ΠΛΟΥΤΑΡΧΟΥ

ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

PLUTARCHI

OPERUM VOLUMEN SECUNDUM.

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

ΠΛΟΥΤΑΡΧΟΥ
ΒΙΟΙ.

PLUTARCHI
VITÆ.

SECUNDUM CODICES PARISINOS RECOGNOVIT

THEOD. DŒHNER.

GRÆCE ET LATINE.

VOLUMEN SECUNDUM.



PARISIIS,

EDITORE AMBROSIO FIRMIN DIDOT,

INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO.

M DCCC LXII.

PRÆFATIO.

Quum hoc *Plutarchearum vitarum* opus ita in me suscipiebam edendum, ut alteri quod *Moralium* fere titulo circumfertur, in hac Parisinarum editionum serie *Dübneri* v. cl. curis edito adjungeretur, facile prævidebam, non hoc sic a me fieri posse, ut post diligentissimi editoris *Caroli Sintenis* operam novum quasi quiddam molirer; nam in scriptore tanti voluminis, tam vastæ variæque eruditionis qualis est Plutarchus, editorem apparet eum qui ad tale quid adspiret, quum sit ei per omnia eruditionis vestigia auctorem suum sequendum rimandumque historiæ pariter ac philosophicæ cognitionis semitas et avia, scrutandæ denique diversæ ejus orationis formæ, eum inquam sine plurimo otii bene collocati dispendio non posse præstare quod pro re consummatum existimetur. Sed proficere non paululum tamen mihi videbar, si in edendis hisce vitis et ea diligenter respicerem quæ nostra memoria a plurimis viris doctis in Plutarchi emendationem et explicationem seu data opera sive in transitu sunt collata, et vero uterer iis subsidiis quæ bibliotheca Parisina, ut monitum in præfatione prioris voluminis, mihi commodavit. Quibus omnibus quo modo usus sim si vellem per singula exposito critices tractatæ instrumento oculis subjicere, vereor ne aut ultra hujuscemodi præfationis terminos exspatiandum mihi foret, aut paucis declaratis viderer nihil declarasse vel parum. Ex omnibus Plutarchi vitarum editoribus quum reliquos longe procedat *Carolus Sintenis*, hunc maxime ducem quoad licuit sequi consentaneum erat. A quo quum mihi recedendum duxi, raro id feci virorum doctorum vel meis conjecturis receptis, alias vulgatam incertæ adeo fidei lectionem præferens emendationibus librorumve lectionibus et ipsis non satis certis ac testatis, aliquando id quod probabile videretur ut in re incerta latinis tantum significans verbis; tum non raro eas lectiones quas adhuc paucorum librorum niti auctoritate viderem, si dubitationem non admitterent, Parisinis testimoniis confirmatas in

ordinem recepi : id quod factum sæpius est in altero volumine, quam in priore, quoniam, quod vehementer doleo, et alios libros Parisinos et eum maxime qui numero 1676 notatur, egregium, ut mox demonstrabitur, in nonnullis vitis constituendi textus instrumentum non potui adhibere; quod tamen detrimentum iis quæ in calce voluminis alterius addenda curavi resarcire studui. Nec nihili facere volui ad restituendam Plutarchi scripturam nuper inventum critices subsidium detectis hiatus apud veteres scriptores finibus, quod ex quo primus qualis sit docuit Benseler, ad Plutarchum singulari cura admovit Sintenis in programmate de hiatu in Plutarchi vitis parallelis. Quo quidem adjumento, ubi primum ad id attendere cœpi, usus sum ea tamen temperantia, ut non ubique in novandi conatus præcipitem me darem, sed ut in re nova necdum omnibus opinor partibus decisa ibi mutarem ubi mutationis lenitas ipsam commendaret ac pæne flagitaret, aut ipsi libri, potissimum ille quem supra laudavi Parisinus 1676 et qui communem fere cum eo habere videtur originem 1677, adstipularent. Qui quidem libri, de quibus accuratius monitum est a Sinteni in præfatione voluminis IV Plutarchi vitarum edit., quum in aliis vitis in reliquorum qui adhuc collati sunt, conspirent depravationes, in vitis Lycurgi, Numæ, Solonis, Publicolæ, Themistoclis, Camilli, Aristidis, Catonis majoris, Fabii, Agesilai et Pompeii, præstantissimas exhibent scripturas multasque virorum doctorum confirmant conjecturas. Id quod maxime cadit in locos propter hiatum jure suspectos. Ita, ut in duarum vitarum exemplis consistam, Ages. c. III, 5 præstant βλάστῃ, c. VIII, 4 præstant Sintenis libri Λυσάνδρου μᾶλλον ἤ, c. IX, 1 Vulcobii Ἑλληνίδας, ibid. § 5 Stephani δειλῶν ὁπλιτῶν, c. XIII, 2 Stephani et Xylandri ἰδαίου, c. XIV, 3 Stephani φαυλοτέραν καὶ εὐτελεστέραν, c. XV, 3 Benseleri ἤδη τῆς Ἑλλάδος, ibid. § 6 Vulcobii μάλιστα δὴ τὸν Δημοστράτου, c. XVII, 4 Mureti ἠχθέσθη μὲν οὖν, ibid. § 4 præstant Vulcobianum νικῶσι τῇ ναυμαχίᾳ, c. XVIII, 7 codex 1676 confirmat Reiskianum οὐ μὴν ἐτρέψαντό γε, c. XIX, 7 uterque codex præstat quod Sintenis μητέρα γινωσκόντων ἡμῶν, c. XXX, 2 transponunt ἡττημένοι δὲ ὕστερον pro vulgato ὕστερον δὲ ἡττημένοι. Ibid. § 7 Vulcobianum καὶ δὴ καί præstatur a codice 1677, qui et alias aliquid boni proprii habet, ut supra c. XIII, 6 Stephani et Mureti μεταστραφείς et infra c. XXIV, 1, Schæferianum βούλευμα, c. XXIX, 3 Corais γυμνοπαιδίαι, c. XXVIII, 1 Schæferi νομίζει, ibid. c. XXIV, § 5 codex 1676 præbet Corais βοιωταρχῶν, c. XXV, 1 transponunt αὐτῷ κινδυνεύοντι, ut conjecerat Benselerus, ibid. § 3 Schæferi ἔπαυσεν, cap. XXVI, 1 recte omittunt υἱόν quemadmodum voluerat Amiotus, ibid. § 5 præstant Vulcobianum ἐφεξῆς consentiente ipso

Plutarcho M. 261, 7. c. XXVII, 3 Stephani τὸ περὶ Τεγύρας, c. XXXI, 2 codex 1676 præbet Sintenis ἐν δὲ τούτῳ παντί, c. XXXIV, 11 recte omittunt ἀλλά post ἐλάττονα cum Emperio, cap. XXXVI, 1 præstant Corais στρατηγόν, cap. XL, 3 Vulcobii θνήσκει. Eorundem librorum præstantia me commovit ut cap. V, 4 reciperem Schæferianum παύσασθαι δὲ πάντων, cap. VI, 4 cum eodem et cod. 1676 εὐθύς ante πρῶτος, utpote plane otiosum, delevi; ibid. § 5 recepi Stephanianum τῶν μὲν αὐτῶν, et paulo post θῦσαί σε utroque codice confirmatum; ibid. § 6 ἀπάθειαν pro vulgato ἀμαθίαν, cap. VIII, 3 ἐπεβούλευεν, cap. XVII, 2 ἐκλέξαντες pro ἐκλεξάμενοι, cap. XXII, 2 ἀπαγγέλλοντες, cap. XXV, 2 Schæferianum ἔπαυσεν, cap. XXVI, 2 cum utroque codice in verbis ἐπεὶ δὲ τὸν υἱὸν Κλεόμβροτον ineptum υἱὸν, cap. XXVII, 5 cum cod. 1676 ἄν quod vulgo legitur post οὕτω γάρ, cap. XXVIII, 1 cum utroque intolerabile εἶναι ante αὐτονομεῖσθαι, et ibid. § 5 μηνός post Σκιροφοριῶνος delevi; cap. XXII, 8 cum iisdem codd. et Vulcobio scripsi συντεταγμένων, cap. XXXVI, 2 καλοῦ καιρὸν οἰκεῖον εἶναι. cap. XXXVI, 6 cum cod. 1676 post λιτότητα addidi καὶ καθαριότητα. In vita Pompeii cap. II, 2 codex 1677 præstat Corais ἔφευγεν, cap. VI, 1 uterque codex Corais ἀπολείποντας, cap. VII, 4 Schæferi μετεβάλοντο, cap. VIII, 7 codex 1676 præbet Corais δὲ ante καί, et paulo post Vulcobii δέδια; cap. IX, 3 recepi Stephanianum ἢ τοῖς Πομπηίου τρόποις nunc utriusque codicis auctoritate confirmatum; cap. XI, 3 præstant Stephani δόξα τοῖς ἄλλοις παρέστη πᾶσι, cap. XII, 5 Reiskii ἐγκαταστήσας, cap. XIII, 2 Sintenis οὕτως ἐπαύσαντο, ibid. § 5 omittunt ἄν post εἰκότως ut conjecerat Schæferus, cap. XIV, 2 præstant Schæferi ἐκέλευσε, cap. XV, 1 ex iisdem codd. pro vulgato ἀποδειχθῆναι dedi ἀναδειχθῆναι coll. Syll. XXXIV, 8. IX, 2 ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη τότε καὶ κύουσαν, cap XII, 5 καὶ πάντων κατακρατήσας, Cap. XIV, 1 ᾐτεῖτο, ibid. § 4 ἀλλὰ μᾶλλον ἀφήσειν, cap. XV, 1 e cod. 1676 καὶ τὸν δῆμον εὐνοίᾳ τῇ πρὸς αὐτὸν ἐκείνῳ. Sed revertor unde digressus sum. Cap. XVI, 1 codex 1676 præstat Reiskianum μεγίστῳ, Corai ἐν ante ἀξιώματι delenti accedit cod. 1677; idemque codex ibid. præbet Emperii κεκινηκότα; ibid. § 4 ex utroque codice, quorum alter γραμματείῳ alter γραμματιδίῳ habet, scripsi γραμματειδίῳ; cap. XXI, 2 ἐκ τῆς μάχης ἐξέπεσον πρὸς αὐτόν, cap. XXII, 2 e cod. 1676 μάλα ἴσχυεν, cap. XXIII, 1 ex utroque dedi τῆς ἀρχῆς συμπεραινομένης, cap. XXX, 2 præstant Stephani et ut equidem pro certo affirmare possum codicis Sangermanensis scripturam ὑφ' ἑνί, cap. XXXVIII, 2 cum cod. 1676 transposui ἔρως εἶχε καὶ ζῆλος, cap. XLVII, 3 præstant Reiskianum προαγαγών, cap. LIV, 1 aptior mihi videbatur scriptura cod. 1676 τότε δή, cap. LVII, 2 præstant Reiskii ῥᾷον, cap. LXVIII, 4 e cod. 1676 dedi καθίσταντο.

Interpretationem latinam subjicere placuit Xylandri, non eam tamen immutatam et integram. Qui vir ut pleraque recte, haud raro rectius quam ipse ea ætate legeretur Plutarchus, sæpe etiam dilucidius et certe elegantius, quam scripsit idem quem expressit, interpretatus est: ita tamen erat ubi commentantem potius quam interpretantem ægre ferres. Quare non dubitavi frequenti huic verborum ubertati pro re nata falcem immittere. Præterea res et ratio flagitabat, ut aliis locis qui nunc rectius et emendate leguntur ab ejus interpretatione plane abstinerem novamque substituerem; quod cadit etiam in multos versus, quos pedum quam numerorum studiosior aliquando satis inconditos procudit Xylander. Atque in his omnibus quantulumcunque præstiterim operæne sit pretium, judicium esto penes judices æquos et benevolos. Et addo extremum hoc, totum Plutarcheum opus conclusum iri Indice, quem ipse concinnavi, tam rerum quam auctorum eorum, quos sive nomine addito sive neglecto laudatos vidi; insereturque ille quinto tomo, Pseudoplutarchea et Fragmenta complexuro.

Scribebam Schneebergæ Saxoniæ, mense Julio MDCCCXLVII.

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΑΡΑΛΛΗΛΑ

Η ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

ΝΙΚΙΑΣ.

523 Ἐπεὶ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελι- c κοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐναργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον, ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλέσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκεί- d νοις ἀγώνων καὶ ναυμαχιῶν καὶ δημηγοριῶν, οὐ μὰ Δία

παρὰ Λύδιον ἅρμα
πεζὸς οἰχνεύων,

ὥς φησι Πίνδαρος, ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις καὶ κατὰ τὸν Δίφιλον

Παχὺς, ὠνθυλευμένος στέατι Σικελικῷ,

πολλαχοῦ δ' ὑπορρέων εἰς τὸν Ξέναρχον· ὥσπερ ὅταν λέγῃ τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν ἀντειπόντα πρὸς τὴν στρατηγίαν, καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν e προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον· ἔτι δ' εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακοσίοις βοηθεῖν διὰ τὴν Κόρην, παρ' ἧς ἔλαβε τὸν Κέρβερον, ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεστέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς ἀνάστατον ἐποίησε τὴν πόλιν. (2) Ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας ταῦτά τε γράφειν ἐπῄει καὶ τὴν Φιλίστου διάλεκτον εὐθύνειν καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη λοιδορεῖσθαι· ἐμοὶ f δ' ὅλως μὲν ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους μικροπρεπὲς φαίνεται καὶ σοφιστικὸν, ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. (3) Ἃς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιστος ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς,

PLUTARCHI

PARALLELA

SEU VITÆ PARALLELÆ.

NICIAS.

Quum Niciæ Crassum Siculisque cladibus Parthicas haud absurde comparaturus videar, primo loco monendum orandumque mihi harum Vitarum lectorem censui, ne in earum rerum expositione, in quibus narrandis Thucydides affectus movendo, illustratione varietateque fuit longe se ipso superior, nedum imitatione eum aliquis æquare ut posset, idem mihi quod Timæo usuvenisse arbitretur. Is enim quum speraret se et gravitatis laudem Thucydidi prærepturum, et ostensurum quam ineptus et rudis scriptor esset Philistus, in historia se per media illa certamina, et navalia prœlia et conciones, quas isti præcipue res summa cum laude descripserant, ingerit, ut non

pedes ad Lydium,
quod ait Pindarus,
currum incedere,

sed puerilis et serus studiorum videatur, crassusque secundum Diphilum, et

adipe Siculo inquinatus,

sæpe ad Xenarchum delabitur: ut quum dicit omen Atheniensibus factum fuisse, quod Nicias dux cui a victoria nomen est, imperium recusaverit: item quod mutilatis Hermis, id est Mercurii statuis, portentum fuerit, plurima illos damna eo in bello ab Hermocrate Hermonis filio accepturos: item verisimile esse, Herculem Syracusanis auxilium tulisse in gratiam Proserpinæ, quæ ei Cerberum tradiderit, Atheniensibus autem succensuisse, quod Ægestæis Trojanorum posteris salutem attulerint, quum ipse a Laomedonte injuria affectus Trojam evertisset. (2) Verum eodem studio, ut opinor, ille ductus et hæc scripsit, et dictionem Philisti correxit, et Aristoteli Platonique convicia fecit. Mihi quidem plane sordidum sophistarumque proprium videtur de dictione aliis obtrectare aut contendere, stupidi autem hominis, velle cum iis certare, quos imitando assequi non possis. (3) Ergo quas Niciæ actiones Thucydides et Philistus memoriæ mandarunt, quandoquidem omittere non licet, eas potissimum paucis perstringam pro instituti mei necessitate, quæ ingenium ejus naturamque multis et magnis calamitatibus occultatam continent, ne negligentiæ ignaviæque crimine me onerem. Præterea si quæ plerisque

524 ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην ἢ πρὸς ἀναθήμασιν a ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς πεπείραμαι συναγαγεῖν, οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

II. Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου καὶ Θουκυδίδης ὁ Μελησίου καὶ Θηραμένης ὁ Ἅγνωνος, ἧττον δὲ οὗτος ἢ ἐκεῖνοι· καὶ γὰρ εἰς δυσγένειαν ὡς ξένος ἐκ Κέω λελοιδόρηται καὶ διὰ τὸ μὴ μόνιμον, ἀλλὰ [καὶ] ἐπαμφο- b τερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας ἐπεκλήθη Κόθορνος. (2) Ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν καὶ πολλὰ καὶ Περικλεῖ δημαγωγοῦντι τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος ἀντεπολιτεύσατο, νεώτερος δὲ Νικίας γενόμενος ἦν μὲν ἔν τινι λόγῳ καὶ Περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις, Περικλέους δ' ἀποθανόντος εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν, οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν καὶ συμφιλοτιμούμενον. (3) Ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα γεροντογωγῶν καὶ ἀναμισθαρνεῖν c διδούς· ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ θράσος ὁρῶντες αὐτοί, οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. (4) Καὶ γὰρ οὐκ ἦν αὐστηρὸν οὐδ' ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνόν, ἀλλ' εὐλαβείᾳ τινὶ μεμιγμένον αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. (5) Τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν· τὸ δ' ἐν τῇ πολιτείᾳ ψοφοδεὲς καὶ πρὸς τοὺς d συκοφάντας εὐθορύβητον αὐτοῦ καὶ δημοτικὸν ἐδόκει καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρέχειν τῷ δεδιέναι τοὺς ὑπερορῶντας, αὔξειν δὲ τοὺς δεδιότας. Τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων τὸ μὴ καταφρονεῖσθαι.

III. Περικλῆς μὲν οὖν ἀπό τε ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον οὐδὲ πιθανότητος· Νικίας δὲ τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει. Καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένῃ τοὺς Ἀθηναίους διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὢν χορηγίαις ἀνελάμβανε καὶ e γυμνασιαρχίαις ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ ἑαυτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. (2) Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό τε Παλλάδιον ἐν ἀκροπόλει τὴν χρύσωσιν ἀποβεβληκὸς καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ἀποκείμενος ἐν Διονύσου νεώς· ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δὲ οὐδέποτε. (3) Λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτοῦ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν· ἡσθέντων δὲ τῶν Ἀθη-

ignota sunt, ea aut ex aliorum apud quos sparsim exstant libris, aut ex donariis antiquisve decretis colligere conabor, non ut inutilem historiam, sed quæ ad mores ingeniumque viri perspiciendum faciat, proponam.

II. De Nicia id primo potest dici loco, quod Aristoteles scripsit: tres fuisse optimos cives, ac qui paterno amore et benevolentia cives suos amplecterentur, Niciam Nicerati, Thucydidem Melesiæ, Theramenem Hagnonis filium, quanquam hic quidem minorem reliquis laudem meretur, quod et ignobilitas ei, quoniam peregrinus ex Ceo erat, objecta est, et ob inconstans ambiguumque partium studium Cothurni cognomentum est adeptus. (2) Thucydides ætate illos antecessit, Periclique in gratiam populi plurima agenti partes optimatium ipse defendens frequenter in republica restitit. Nicias minor natu vivente tamen adhuc Pericle alicujus fuit existimationis, nam et huic in prætura collega fuit, et ipse solus non unum gessit magistratum; Pericle mortuo, statim ad principatum evectus est, potissimum a divitibus et nobilibus, qui eum Cleonis protervitati oppositum audaciæque volebant: habebat tamen et populum sui studiosum et favore prosequentem. (3) Nam Cleo plurimum potentiæ sibi paraverat quod populum, ut senem duceret et stipendia faciendi potestatem ei concederet; et tamen avaritiam ejus impudentiamque et audaciam multi eorum, quorum gratiam captabat, videntes, ad Niciam se conferebant. (4) Erat enim hujus gravitas non severa aut importuna nimium, sed eam cautionem adhibebat, ut ipsius etiam timiditatis opinione multitudinis animos sibi conciliaret. (5) Quippe natura pusillanimus, in re bellica prospero successu metum occultabat: nam rem plerumque bene gerebat, at magna ejus in republica gerenda formido atque adversus calumniatores trepidatio, quum popularis habita est, tum ipse benevolentia populi magnam ex eo consecutus potentiam, quod eos qui se despiciant, metuere soleat, extollat vero qui metuant. Namque non contemni se a potentioribus, vulgus summi honoris loco habet.

III. Et Pericles quidem vera virtute, eloquentiaque fretus, non erat quod aliam personam indueret, fidemve sibi arte aliqua apud plebem faceret in reipublicæ administratione versans. At Nicias istis rebus destitutus, divitiis autem præstans, his ipsis in plebe sibi obstringenda usus est, Atheniensesque facilitate et scurrilitate Cleonis delinitos, quum iisdem rebus allicere non posset, choragiis, gymnasiarchiis, muneribusque hujuscemodi aliis suos fecit, eoque sumptuum genere et munificentia et superioris et suæ ætatis omnes superavit. (2) Nostro quoque tempore ejus adhuc donaria quædam exstant, Palladium in arce, cui quidem aurum, quo inductum fuit, defluxit, et ædes in Bacchi templo tripodibus qui ad edenda spectacula usurpantur subjecta. Et sæpe quidem vicit choragus, inferior nunquam discessit. (3) In quodam, ut traditum est, choragio servus ejus personam Bacchi gerens productus est, pulchritudine et magnitudine corporis præcipua imberbisque etiamnum: cujus aspectu se delectatos quum

ναίων τῇ ὄψει καὶ κροτούντων ἐπὶ πολὺν χρόνον ἀναστὰς ὁ Νικίας εἶπεν, ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον f θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. (4) Μνημονεύεται δ' αὐτοῦ καὶ τὰ περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. Τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ θεῷ, προσπλεόντων μὲν, ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν a 523 ἀπαντῶντος ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων καὶ μεταμφιεννυμένων, ἐκεῖνος, ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥήνειαν ἀπέβη τὸν χορὸν ἔχων καὶ τὰ ἱερεῖα καὶ τὴν ἄλλην παρασκευὴν, ζεῦγμα δὲ πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς καὶ στεφάνοις καὶ αὐλαίαις κομίζων διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνείας καὶ Δήλου πόρον οὐκ ὄντα μέγαν· εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ θεῷ καὶ τὸν χορὸν ἄγων κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα διὰ τῆς γεφύρας b ἀπεβίβαζε. (5) Μετὰ δὲ τὴν θυσίαν καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν ἀνάθημα τῷ θεῷ καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑστιᾶσθαι πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν θεῶν αἰτουμένους· καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. Ὁ δὲ φοῖνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ καὶ ἀνέτρεψε.

diuturno plausu Athenienses significassent, assurrexit Nicias, deoque dedicatum corpus servire nefas se putare inquiens, adolescentem manumisit. (4) Memoriæ prodita sunt etiam alia splendida ejus et pia Deli edita facinora. Chori, qui ad canenda in honorem Apollinis carmina in eam insulam mitti a civitatibus solebant, simul atque appulerant, a populo qui ad navim concurrebat, statim canere cogebantur, id quod nullo ordine aut decore fiebat, quum raptim inter exscendendum et coronarentur et vestem mutarent. Nicias autem, quum dux chori esset eo missus, ad Rheneam cum choro, victimis et reliquo apparatu appulit, et per noctem ponte, quem Athenis ad mensuram confectum auro et tincturis, coronis aulæisque exornatum pulcherrime secum advexerat, Rheneam Delo (fretum haud spatiosum interjacet) conjunxit, ortaque luce per pontem pompam deo chorumque pretiose ornatum et canentem duxit. (5) Sacrificio, certaminibus epulisque confectis palmam æream Apollini dedicavit, agrumque centum minis emptum eidem consecravit, cujus reditus in sacrificium et solenne convivium Delii insumerent, Niciæ multa a diis bona precantes: sic enim in columna, quam ejus doni quasi custodem in insula reliquit, inscriptum fuit. Palma, quam dixi, vento fracta, in magnam Naxiorum statuam incidit eamque subvertit.

IV. Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖον ἔνεστιν οὐκ ἄδηλον, c ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι· σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια καὶ θειασμῷ προσκείμενος, ὥς φησι Θουκυδίδης. (2) Ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς θεοῖς καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖστα περὶ τῶν ἰδίων καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων· ἐκέκτητο γὰρ ἐν τῇ Λαυρεωτικῇ πολλὰ, μεγάλα εἰς d πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα· καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι καὶ τῆς οὐσίας ἐν ἀργυρίῳ τὸ πλεῖστον εἶχεν. (3) Ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. Ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις ἢ τοῖς εὖ πάσχειν ἀξίοις, καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. (4) Λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν καὶ παρὰ τῶν κωμικῶν ἔστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν e ταυτὶ πεποίηκε·

Χαρικλῆς μὲν οὖν ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ,
ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου·
τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
ὧν δ' ἕκατι τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ,
οὐκ ἐρῶ, φίλος γὰρ ἀνὴρ, σωφρονεῖν δέ μοι δοκεῖ.

IV. In his multum inesse gloriæ liberalitatisque ad ostentationem compositæ, nemo non videt. Verum qui ex reliqua ejus vita atque moribus conjecturam facere velit, is religionis quasi appendicem fuisse istam liberalitatem donaque in gratiam populi collata dicet. Vehementer enim numina divina horruit et religionibus admodum deditus erat, ut Thucydides de eo affirmat. (2) In quodam Pasiphontis dialogo scriptum est, quotidie eum diis sacrificasse, haruspicem secum habuisse et quum simularet se assiduo de publicis rebus consultare, plerumque de suis rebus quæsivisse, potissimum de secturis argentariis. In Laureotico enim agro multas habebat multosque ex iis reditus, sed qui non sine periculo pararentur, et magnus mancipiorum numerus ibi esset alendus, atque plerasque suas opes in argento habebat. (3) Unde multos circum se postulantes munera et auferentes habebat; non pauciora enim iis qui lædere ipsum possent, quam qui beneficio digni essent, largiebatur, omninoque timiditas ejus malis, bonis humanitas pro reditu erat. (4) Licet hujus rei a Comicis quoque sumere testimonia. Teleclides in quendam sycophantam hæc scripsit:

Cui Charicles minam dedit, ne forte sese proderet
matris esse filium primum, exemptum pecunia.
Quattuor minas dedit ei Nicias Nicerati:
quam vero ob causam illud dederit, etsi gnarus, non tamen
dicam: namque amicus est et arbitror justum virum.

(5) Ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων λέγει,

A. Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ; f
B. Οὐδ' εἶδον, εἰ μὴ 'ναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
A. Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑορακέναι·
καίτοι τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου;
A. Ἠκούσατ', ὦ συνήλικες,
ἐπ' αὐτοφώρῳ Νικίαν εἰλημμένον.
B. Ὑμεῖς γὰρ, ὦ φρενοβλαβεῖς,
λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι;

(6) Ὁ δ' Ἀριστοφάνους Κλέων ἀπειλῶν λέγει,

Λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.

(7) Ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις·

Ἦν γὰρ πολίτης ἀγαθὸς, ὡς εὖ οἶδ' ἐγὼ,
526 κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας. a

V. Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν οὔτε κοινολογίαις οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτὸν οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς, ἀλλ' ἄρχων μὲν ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτὸς, ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει πρῶτος ἀφικνούμενος. Εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος οἰκουρῶν καὶ κατακεκλειμένος. (2) Οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν ἐνετύγχανον καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. b (3) Καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ, προσποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος ἔκτισε Θουρίους. (4) Οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόρρητα διεπράττετο τῷ Νικίᾳ καὶ λόγους ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον· « ᾧ γ', ἔφη, καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖ- c πνον ἀεί τι προσπίπτει δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. Ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς καὶ τοῖς φίλοις οὐ προσηνὴς οὐδὲ ἡδύς ἐστιν, ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. Οἱ δ' ἄλλοι καὶ φίλους κτώμενοι καὶ πλουτίζοντες αὐτοὺς ἀπὸ τοῦ βήματος εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ. » (5) Τῷ δ' ὄντι τοιοῦτος ἦν ὁ Νικίου βίος, ὥστ' αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὐτόν·

Προστάτην δὲ τοῦ βίου
τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν.

VI. Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν ἢ τῷ φρονεῖν d διαφερόντων ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν

(5) Et alius in Marica ab Eupolide exagitatus, pauperem quendam et otiosum producens, ita quærit:

A. Cum Nicia tibi res quamdiu fuit?
B. Nec vidi eum, nisi novissime in foro.
A. Visum fatetur a sese is homo Niciam:
qui nosset autem, ni tunc ille prodidit?
A. Audistis æquales mei,
deprensum in ipsa re teneri Niciam.
B. Sicne ergo, vecordes, virum vos optimum
facinoris inveneritis ut mali reum?

(6) At Cleon apud Aristophanem ita minatur,

Rhetoribus ora comprimam perturbaboque Niciam.

(7) Phrynichus etiam quam fuerit timidus et abjecti animi Nicias, his verbis significat:

Erat enim civis optimus, probe scio,
nec pavidus incessit trepidansque ut Nicias.

V. Itaque qui tantopere calumniatores formidaret, neque cœnare cum ullo civium, neque in colloquia et quotidianas consuetudines se ingerere, neque cuiquam id generis oblectationi vacare, magistratum gerens, in prætorio usque ad noctem permanere, primus in senatum venire, postremus discedere. Ubi nihil in publico agendum esset, accessu difficilis erat et domi inclusus neminem ad se admisit. (2) Eos qui limina Niciæ adibant, amici ejus compellabant, ignoscerentque Niciæ orabant, tum quoque publicis occupationibus curisque detento. (3) Qui maxime Niciam in ea sibi gloria et majestate comparanda augendaque adjuvaret, Hiero fuit enutritus in familia ejus, ab eoque in litteris et musica institutus; filium se credi volebat esse Dionysii ejus qui Χαλκός dictus est, cujus et carmina exstant, et dux coloniæ in Italiam missæ constitutus, Thurios condidit. (4) Is Hiero et arcana ista Niciæ cum vatibus commercia composuit, et sermones apud populum sparsit, quam ille vitam reipublicæ causa toleraret, quippe qui ne balneo quidem aut cœna tractationem publicorum negotiorum intermitteret, qui de civitatis commodis sollicitus, suas res negligeret, vix circa primam vigiliam somno se daret. Quibus rebus et corpus suum afflixisset, et amicis se comem jucundumque præbere non posset, quos una cum pecunia sua studio reipublicæ amisisset, quum reliqui amicos pararent seque ex suggestu ditarent voluptatibusque perfruentes ad rempublicam quasi per jocum accederent. (5) Et erat sane is vitæ status Niciæ, ut de se illud Agamemnonis dicere potuisset:

Vitam priorem non nisi
splendore habemus, cetera vulgo subditi.

VI. Quum animadverteret autem eloquentia et sapientia qui præstarent cives, eorum consiliis populum uti ali-

δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν, ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν καὶ μάλιστα δὴ τοῖς περὶ Πάχητα τὸν ἑλόντα Λέσβον, ὃς εὐθύνας διδοὺς τῆς στρατηγίας ἐν αὐτῷ τῷ δικαστηρίῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτόν, τὰς μὲν ἐργώδεις πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκός, εἰς οὐδεμίαν αὑτοῦ σοφίαν ἢ δύναμιν ἢ ἀρετὴν ἀνέφερε e
τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ καὶ κατέφευγεν εἰς τὸ θεῖον τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. (2) Ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα· πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γενομένων οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν, ἀλλὰ περὶ Θρᾴκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων, τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη Δημοσθένους ἄρχοντος, ἐν δὲ Δηλίῳ χιλίους αὐτῶν ἀπέβαλον Ἱπποκράτους ἡγουμένου, τοῦ δὲ λοιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς διὰ τὸν πόλεμον εἰς f
τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς χώρας ὄχλον ἐκ τῆς μεταβολῆς τῶν τόπων καὶ διαίτης ἀήθους γενομένου. (3) Νικίας δὲ τούτων ἁπάντων ἀναίτιος ἔμεινε· καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον εὖ κατὰ τῆς Λακωνικῆς πεφυκυῖαν καὶ Λακεδαιμονίους ἔχουσαν οἰκή-
527 τορας, ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θρᾴκης ἀφεστώ- a
των καὶ προσηγάγετο, κατακλείσας δὲ Μεγαρεῖς εἰς τὴν πόλιν εὐθὺς μὲν ἔσχε Μινώαν τὴν νῆσον, ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρμώμενος Νισαίας ἐκράτησεν, εἰς δὲ τὴν Κορινθίαν ἀποβὰς ἐνίκησε μάχῃ καὶ διέφθειρε Κορινθίων πολλοὺς καὶ Λυκόφρονα τὸν στρατηγόν. (4) Ἔνθα δὲ αὐτῷ συνέβη τῶν οἰκείων δύο νεκροὺς ἀπολιπεῖν διαλαθόντας περὶ τὴν ἀναίρεσιν. Ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας ἔπεμψε κήρυκα πρὸς τοὺς πολεμίους περὶ ἀναιρέσεως. (5) Καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν ἐδόκουν οἱ νεκρῶν ὑποσπόνδων λαβόντες ἀναίρεσιν ἀπολέγεσθαι τὴν νίκην, καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας οὐκ ἔνθεσμον b
ἦν· νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. Ἀλλ' ὅμως ἐκεῖνος ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. (6) Πορθήσας δὲ τὴν παραλίαν τῆς Λακωνικῆς καὶ τοὺς ἀντιστάντας Λακεδαιμονίων τρεψάμενος εἷλε Θυρέαν Αἰγινητῶν ἐχόντων καὶ τοὺς αἱρεθέντας ἀπήγαγε ζῶντας εἰς Ἀθήνας.

VII. Ἐπεὶ δὲ Δημοσθένους Πύλον τειχίσαντος ἐπεστράτευσαν ἅμα πεζῷ καὶ ναυσὶ Πελοποννήσιοι καὶ μάχης γενομένης ἀπελήφθησαν ἐν τῇ Σφακτηρίᾳ νήσῳ c
Σπαρτιατῶν ἄνδρες ἀμφὶ τοὺς τετρακοσίους, μέγα μέν, ὥσπερ ἦν, ἡγούμενοι τὸ λαβεῖν αὐτοὺς Ἀθηναῖοι, χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης ἐν χωρίοις ἀνύδροις καὶ θέρους μὲν μακρὰν καὶ πολυτελῆ

quando, vitare autem suspectamque habere potentiam, fastumque reprimere et gloriam (quod Pericles damnatus, Damon ostracismo ejectus, et adversus Antiphontem Rhamnusium diffidentia vulgi, ac præsertim in Pachetem, qui Lesbum quum cepisset, jussus rationem gestæ rei in judicio reddere, stricto gladio sese interfecerat; satis demonstrabant), laboriosas et longas istas præturas omni studio subterfugit; ipse quoties rei gerendæ esset præfectus, tutissima consectans, quoties, ut fere ei contigit, feliciter propositum confecisset, id non suæ sapientiæ, potentiæ aut virtuti ascripsit; verum invidiam gloriæ vitans exitum fortunæ acceptum retulit atque ad deos confugit. (2) Testimonium ei res ipsæ perhibuerunt. Quum enim et sæpe et graviter tum Athenienses offendissent, nunquam plane ipsi accepti detrimenti ne pars quidem imputari potuit. Victi sunt in Thracia a Chalcidensibus, Calliade et Xenophonte ducibus; Ætolica calamitas est imperatore accepta Demosthene; apud Delium Hippocrate duce mille viros amiserunt; pestis causam Pericles potissimum sustinuit, qui agrestem turbam in urbem belli causa conclusisset, quæ mutatio locorum et vita insolens luem excitaverit. (3) Horum nihil Niciæ ascribi potuit: verum dux ipse Cythera cepit, insulam opportune contra Laconicam regionem positam et a Laconibus habitatam; multa etiam in Thracia, quæ defecerant, recepit, multa Atheniensibus adjecit; Megarensibus in urbem a se compulsis, statim Minoam insulam, mox ex hac armis elatis Nisæam occupavit; in agrum Corinthium facta impressione, prœlio Corinthios vicit, multosque eorum et ducem Lycophronem occidit. (4) Ibi duos de suis mortuos quum reliquisset, qui in auferendis cadaveribus latuerant, re cognita statim profectionem inhibuit, missoque caduceatore ab hostibus cadavera repetiit. (5) Equidem seu lege seu consuetudine receptum erat, ut qui inducias ad sepelienda suorum cadavera peterent, ii victoriam diffiteri viderentur et tropæum eos statuere nefas haberetur; vicisse enim eos a quibus peteretur, quod, qui petit, videtur accipere nequire. Maluit tamen victoriæ gloriam dimittere, quam duos cives insepultos relinquere. (6) Populatus oram Laconicæ maritimam, fusis qui se opponebant Spartanis, Thyream cepit Æginetasque, qui tum tenebant eam urbem; quos cepisset, vivos Athenas abduxit.

VII. Posteaquam Demosthene Pylum muris muniente, classem terrestremque exercitum eo admoverunt Peloponnesii, facto conflictu in Sphacteria insula circiter trecenti Spartani intercepti sunt. Hos capere quum rem, ut erat, magnam putarent Athenienses, obsidio autem difficilis tardaque videretur, quæ in loca aquâ destituta æstivo tempore longam et sumptuosam commeatuum subvectionem requi-

τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον, ἤχθοντο καὶ μετεμέλοντο πρεσβείαν Λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικομένην πρὸς αὐτούς. (2) b Ἀπεώσαντο δὲ Κλέωνος ἐναντιωθέντος οὐχ ἥκιστα διὰ Νικίαν· ἐχθρὸς γὰρ ὢν αὐτοῦ καὶ προθύμως ὁρῶν συμπράττοντα τοῖς Λακεδαιμονίοις ἔπεισε τὸν δῆμον ἀποψη- d φίσασθαι τὰς σπονδάς. (3) Ὡς οὖν ἥ τε πολιορκία μῆκος ἐλάμβανε καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατόπεδον, δι' ὀργῆς εἶχον τὸν Κλέωνα. Τοῦ δ' εἰς τὸν Νικίαν ἐκτρέποντος τὴν αἰτίαν καὶ κατηγοροῦντος, ὅτι δειλίᾳ καὶ μαλακίᾳ προΐεται τοὺς ἄνδρας, ὡς αὐτοῦ γε στρατηγοῦντος οὐκ ἂν περιγενομένους χρόνον τοσοῦτον, τοῖς Ἀθηναίοις εἰπεῖν παρέστη, « Τί δ' οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας; » ὅ τε Νικίας ἀναστὰς ἐξίστατο τῆς ἐπὶ Πύλον στρατηγίας αὐτῷ καὶ λαμβάνειν ὁπόσην βούλεται δύναμιν ἐκέλευσε καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ' ἔργον τι τῇ e πόλει παρασχεῖν ἄξιον σπουδῆς. (4) Ὁ δὲ τὸ μὲν πρῶτον ἀνεδύετο τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος· ἐγκελευομένων δὲ ταῦτα τῶν Ἀθηναίων καὶ τοῦ Νικίου καταβοῶντος ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον ὑπεδέξατό τε τὴν στρατηγίαν καὶ προσδιωρίσατο πλεύσας ἐντὸς ἡμερῶν εἴκοσιν ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας ἢ ζῶντας ἄξειν Ἀθήναζε. (5) Τοῖς δ' f Ἀθηναίοις ἐπῆλθε γελάσαι μέγα μᾶλλον ἢ πιστεῦσαι· καὶ γὰρ ἄλλως εἰώθεσαν αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν μετὰ παιδιᾶς οὐκ ἀηδῶς. (6) Λέγεται γὰρ ἐκκλησίας ποτὲ οὔσης τὸν μὲν δῆμον καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον καὶ παρακαλεῖν ὑπερθέσθαι τὴν ἐκκλησίαν εἰς αὔριον· « Ἀσχολοῦμαι γάρ, ἔφη, σήμερον ἑστιᾶν μέλλων ξένους καὶ τεθυκὼς τοῖς θεοῖς· » τοὺς δ' Ἀθηναίους γελάσαντας ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ 528 καὶ στρατηγήσας ἄριστα μετὰ Δημοσθένους ἐντὸς οὗ a προεῖπε χρόνου τῶν Σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον τὰ ὅπλα παραδόντας ἤνεγκεν αἰχμαλώτους. (2) Καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. Οὐ γὰρ ἀσπίδος ῥῖψις, ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδόκει τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. (3) Σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης, ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων·

Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γ' ἔτι
ὥρα 'στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν.

Ἐν δὲ Γεωργοῖς ταῦτα γράφων·

b

A. Ἐθέλω γεωργεῖν. B. Εἶτα τίς σε κωλύει;
A. Ὑμεῖς. Ἐπεὶ δίδωμι χιλίας δραχμάς,
ἐάν με τῶν ἀρχῶν ἀφῆτε. B. Δεχόμεθα·
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

reret, hieme autem ea periculosa et plane impedita futura esset, graviter tulerunt pœnituitque non admisisse legationem Spartanorum de pace et fœdere missam. (2) Cujus repulsæ auctor præsertim fuerat Cleon repugnante Nicia; Cleon enim Niciæ inimicus, quum eum impensius cupere Lacedæmoniis videret, populo persuasit ut decreto facto pacificationem prohiberet. (3) Itaque tracta obsidione Athenienses quum summis in difficultatibus constitutum exercitum audirent, Cleoni irascebantur. Qui quum in Niciam culpam conferret eumque accusaret, quasi is timiditate ac mollitie sua ne hostes expugnarentur obstaret, qui se duce haud tam diu fuissent Atheniensium vires evasuri, in mentem venit civibus dicere: Cur ergo non ipse classe adversus eos pergis? Niciasque in concione surgens, imperium ei belli Pylii potestatemque quantas vellet copias eo ducendi concessit, jubens non verbis uti ferocibus extra periculum, sed facinus memorabile in usum reipublicæ edere. (4) Primum tergiversatus est Cleon, improviso id jussus; acclamantibus tamen Atheniensibus et Nicia increpante, ambitione exsuscitata et inflammato animo, imperium occepit, pollicitusque simul est, se intra vigesimum quam navigasset diem aut occisurum Spartanos qui in Pylo erant, aut vivos Athenas perducturum. (5) Sane ridere magis quam credere Atheniensibus subiit, alioquin etiam futilitatem ejus et vecordiam delectationi et risui habere solitis. (6) Etenim ferunt aliquando concione coacta eum, quum a populo diu esset multumque exspectatus, tandem advenisse coronatum, petiisseque ut res in crastinum differretur: Nam mihi (inquit) non vacat, quod hodie hospitibus convivium præbiturus sum atque diis sacrificavi. Ita igitur populum risu sublato discessisse et concionem dimisisse.

VIII. Enimvero vel tum fortuna usus secunda laudeque cum Demosthene belli gesti clarissima parta, intra eum quem constituerat diem Lacedæmonios omnes, nisi qui in prœlio occubuerant, quum arma ultro tradidissent, captivos Athenas adduxit. (2) Id factum magnam Niciæ infamiam conciliavit. Non enim clypeum abjecisse, sed turpius aliquid deteriusque videbatur egisse, qui præ timiditate ultro se imperio abdicasset, inimicoque rei tam præclare gerendæ occasionem prodidisset. (3) Quo cum nomine rursum exagitat Aristophanes in Avibus:

Non oscitare nunc profecto convenit,
diuve cunctari nos more Niciæ.

Et in Agricolis.

A. Agrum est in animo colere. B. Quis te ergo vetat?
A. Vos: siquidem mille drachumas dabo lubens,
si me abdicaveritis magistratu. B. Placet:
bis mille erunt, quas Nicias dedit additis.

(4) Καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρὰ τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως, ὑφ' ἧς εἰς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον ἄλλας τε τῇ πόλει προσετρίψατο συμφοράς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν καὶ περισπάσας τὸ ἱμάτιον καὶ τὸν μηρὸν c πατάξας καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

IX. Ἤδη δέ που καὶ Ἀλκιβιάδης ἐνεφύετο τηνικαῦτα τοῖς Ἀθηναίοις δημαγωγὸς οὐχ ὁμοίως ἄκρατος, ἀλλ' οἷον ἡ Αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ

Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά,

οὕτως ἡ Ἀλκιβιάδου φύσις ἐπ' ἀμφότερα πολλὴ ῥυεῖσα καὶ λαμπρὰ μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. (2) Ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ Κλέωνος ὁ Νικίας καιρὸν d ἔσχε παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν, ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωτήριον ἐξέπεσε ῥύμῃ καὶ σφοδρότητι τῆς Ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. (3) Ἐπράχθη δὲ οὕτως. Οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος Κλέων καὶ Βρασίδας ἦσαν, ὧν ὁ πόλεμος τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει· τῷ μὲν γὰρ ἀδικημάτων μεγάλων, τῷ δὲ κατορθωμάτων ἀφορμὰς παρεῖχε. (4) Τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ Ἀμφίπολιν, εὐθὺς ὁ Νικίας παραλαβὼν τοὺς μὲν Σπαρτιάτας ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους, e τοὺς δ' Ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαρροῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας ἔπραττεν, ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν καὶ τοὺς ἄλλους Ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς τὸν αὖθις χρόνον ποιοῖτο. (5) Τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν· ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ καὶ διδάσκων ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς Σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς προεκαλεῖτο καὶ προὔτρεπεν ἔχεσθαι τῆς εἰρή- f νης. (6) Οἱ δ' ἐπίστευον αὐτῷ διά τε τὴν ἄλλην ἐπιείκειαν καὶ ὅτι τοῖς ἡλωκόσι περὶ Πύλον καὶ δεδεμένοις ἐπιμελόμενος καὶ περιέπων φιλανθρώπως ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. (7) Ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταὐτὸ καὶ γευόμενοι πάλιν ἀδείας καὶ σχολῆς
529 καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας ἐπόθουν τὸν a ἀμίαντον καὶ ἀπόλεμον βίον, ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα τῶν χορῶν ἀκούοντες,

Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις·

ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος, ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας οὐ σάλπιγγες, ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. (8) Λοιδοροῦντες οὖν καὶ προβαλλό-

(4) Equidem civitati haud exiguum damnum dedit, quod Cleoni passus est tantum gloriæ potentiæque accedere, quibus ille ad audaciam fastumque elatus effrenum, multas calamitates, quæ in ipsum quoque Niciam redundarunt, reipublicæ inflixit; atque idem sublato tribunalis decore, primus inter dicendum exclamare, vestem reducere, femur percutere, currere inter disserendum cœpit, unde primum apud eos qui in republica versabantur levitas, neglectusque decori, quæ postea omnibus rebus confusionem intulerunt, exorta sunt.

IX. Jam tum Alcibiades quoque ad orandum et rempublicam tractandam se contulerat, non usquequaque ille incontinens. Ut enim Ægyptus dicitur ob fertilitatem

Multa venena, et multa salubria ferre medendo,

sic Alcibiadis in utramque partem locuples ingenium multas novis rebus magnisque mutationibus occasiones præbuit. (2) Quæ causa fuit, ut Nicias ne liberatus quidem Cleonis importunitate civitatem componere et ad tranquillitatem reducere potuerit; sed quum res ad salutarem viam retraxisset, cœpto suo excidit, vehemente Alcibiadis ambitionis impetu rursum ad bellum compulsus. (3) Res ita acta est. Qui maxime pacem Græciæ impediebant, Cleon erat et Brasidas, quorum alterius malitiam bellum occultabat, alterius virtutem exornabat; alteri enim magnorum flagitiorum, alteri præclarorum facinorum materiam suppeditabat. (4) Hi quum uno eodemque in prœlio juxta Amphipolin periissent, Nicias continuo Spartanos nactus jam pridem pacis cupidos, Atheniensesque etiam bello jam diffidentes, utrosque quasi fatigatos et manus ab armis ultro detrahentes, id agere instituit, ut reconciliata civitatum gratia, depulsisque tot a Græcis malis, et ipse laboribus liber certam consecuturis temporibus felicitatem stabiliret. (5) Ac divites quidem et seniores, rusticamque multitudinem statim ad pacem propensam habuit; reliquorum multos quum privatim compellasset docendoque ad bellum tardiores effecisset, Spartanos bona spe ostensa cohortatus est ut paci studerent. (6) Fidem ei Spartani habuerunt, quum ob notam ejus probitatem, tum quod apud Pylum captos et in vincula conjectos humaniter curando fovendoque, calamitatem eorum leniisset. (7) Jam ante induciæ fuerant in annum factæ, in quibus quum convenirent inter se, rursumque securitatem, otium, hospitia et cum amicis commercia degustassent, cupiditas eos vitæ nullo bello inquinatæ incesserat. Libenter audiebant choros, qui id genus carmina canerent,

Pilum jaceat mihi, dum circumdet aranea filum;

suaviter etiam recordabantur ejus dicti, *eos qui in pace dormiunt, non tubis, sed a gallis gallinaceis excitari.* (8) Convicia itaque facientes atque exsecrantes eos qui in

μενοι τοὺς λέγοντας, ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον, ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες ἐποιήσαντο τὴν εἰρήνην, δόξα τε παρέστη τοῖς πλείστοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι, καὶ τὸν Νικίαν διὰ στόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν ἐπωνύμῳ b γενέσθαι τοῦ μεγίστου καὶ καλλίστου τῶν ἀγαθῶν δέδωκε. (9) Τῷ γὰρ ὄντι Νικίου τὴν εἰρήνην ἐνόμιζον ἔργον, ὡς Περικλέους τὸν πόλεμον. Ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς εἰς συμφορὰς μεγάλας ἐμβαλεῖν ἐδόκει τοὺς Ἕλληνας, ὁ δὲ τῶν μεγίστων κακῶν ἔπεισεν ἐκλαθέσθαι φίλους γενομένους. Διὸ καὶ τὴν εἰρήνην ἐκείνην ἄχρι νῦν Νικίειον καλοῦσι.

X. Γενομένων δὲ συνθηκῶν, ὅπως τὰ χωρία καὶ τὰς πόλεις ἃς εἶχον ἀλλήλων καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι, πρότερον ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ Νικίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. Καὶ τοῦτο c μὲν ἱστορεῖ Θεόφραστος. (2) Ἐπεὶ δὲ Κορίνθιοι καὶ Βοιωτοὶ πρὸς τὰ πραττόμενα δυσκολαίνοντες αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ Νικίας τοὺς Ἀθηναίους καὶ Λακεδαιμονίους τῇ εἰρήνῃ τὴν συμμαχίαν ὥσπερ κράτος ἢ δεσμὸν ἐπιθέντας φοβερωτέρους τε τοῖς ἀφισταμένοις καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. (3) Πραττομένων δὲ τούτων ὁ Ἀλκιβιάδης οὔτε πρὸς ἡσυχίαν εὖ πεφυκὼς καὶ τοῖς Λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ Νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιστὰς d οὐδὲν ἐπέραινεν, ὀλίγῳ δ' ὕστερον ὁρῶν οὐκέτι τοῖς Ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι Βοιωτοῖς ἔθεντο συμμαχίαν καὶ Πάνακτον ἑστῶσαν οὐ παρέδωκαν οὐδ' Ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. Τέλος δὲ πρεσβείαν μεταπεμψάμενος Ἀργείων ἔπραττε συμμαχίαν πρὸς τοὺς Ἀθηναίους. (4) Ἐπεὶ δὲ πρέσβεις ἐλθόντες ἐκ Λακεδαίμονος αὐτοκράτορες καὶ τῇ βουλῇ προεντυγχάνοντες ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ Ἀλκιβιάδης, μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι' e ἀπάτης καὶ ὅρκων ὡς ἅπαντα συμπράξων, ἂν μὴ φῶσι μηδ' ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες· μάλιστα γὰρ οὕτως ἃ βούλονται γενήσεσθαι. (5) Πεισθέντων δὲ καὶ μεταστάντων ἀπὸ τοῦ Νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον ἠρώτα πρῶτον, εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες· ὡς δὲ ἠρνοῦντο, παρ' ἐλπίδας μεταβαλόμενος τήν τε βουλὴν ἐπεκαλεῖτο μάρτυρα τῶν λόγων καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν μηδὲ πιστεύειν οὕτω περιφανῶς ψευδομένοις καὶ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία περὶ τῶν αὐτῶν λέγουσι. (6) Θορυβουμένων δ', ὡς εἰκὸς, αὐτῶν καὶ τοῦ Νικίου μηδὲν ἔχοντος εἰπεῖν, f ἀλλ' ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς Ἀργείους καλεῖν καὶ ποιεῖσθαι συμμάχους, ἐβοήθησε δὲ τῷ Νικίᾳ σεισμός τις διὰ μέσου γενόμενος

fatis esse dixerant, uti hoc bellum per novem triennia traheretur, communicatis toto de negotio sermonibus, pacem constituerunt. Fuit hæc apud plerosque opinio, liberatos tandem esse magnis malis Græcos; eratque in ore omnium Nicias, quem diis carum hominem judicabant, illiusque pietati tribuisse deos, ut a præstantissimo maximoque bono nomen haberet. (9) Vere enim statuebant pacis ejus auctorem Niciam, uti belli Periclem; quorum hic ob leves causas in maximas calamitates Græciam conjecisse videbatur; ille contra eos commovit, ut oblitteratis gravissimis injuriis, in gratiam redirent. Itaque pacem eam hodieque Nicieam vocant.

X. Facta pace hac cum conditione ut urbes oppidaque et homines capti mutuo redderentur, prioresque id quibus obtulisset sors facerent, clam sortes pecunia Nicias corrupit, ita ut priores Lacedæmonii redderent. Auctor est Theophrastus. (2) Corinthiis et Bœotis indigne ea quæ agebantur ferentibus, ita ut causando reprehendendoque renovare bellum viderentur, suasit Nicias Atheniensibus et Lacedæmoniis, ut paci sociale fœdus tanquam vinculum et firmamentum adderent, quo majori terrori esse deficientibus ipsique mutuo fideliores possent. (3) Dum hæc aguntur, Alcibiades, ut erat natura a quiete alienus, insuper Lacedæmoniis infensus, a quibus coli atque observari Niciam, se sperni contemnique videbat, ab initio statim, tametsi frustra, pacem impugnaverat. Paulo post animadvertens Lacedæmonios Atheniensibus non amplius placere injuria affectos se putantibus, quod ii cum Bœotis societatem conjunxissent, nec Panactum integram reddidissent nec Amphipolim, causas has arripuit, singulisque exaggerandis populi animos irritavit. (4) Tandem accitis legatis Argivorum, cum iis de fœdere ineundo egit. Posteaquam vero legati a Sparta plena cum potestate missi Athenas pervenerunt, collocutique prius cum senatu, visi sunt nihil iniquum agere; ibi vero metuens Alcibiades, ne populum iisdem illi rationibus in ipsorum partem traherent, fraude eos circumvenit, juramento confirmans, se in omnibus auxilio ipsis futurum, si neque ostenderent neque faterentur se cum plena potestate adesse; atque hac maxime ratione impetraturos quæ cuperent. (5) Quum persuasisset iique a Nicia ad ipsum transivissent, ad populum eos produxit, primoque omnium ex iis quæsivit, cum plenane de omnibus rebus potestate missi venissent; id ubi negaverunt, inopinantibus iis alium se præbuit ac senatum eorum quæ ii dixerant ante testem vocavit populumque monuit, ne fidem haberent hominibus tam aperte mentientibus, et modo hoc, modo diversum eadem de re dicentibus. (6) Perturbatis, uti par erat, legatis, et Nicia, qui nihil quod diceret habebat, dolore miraculoque rei perculso, populus statim Argivos vocare et fœdus icere contendit; Niciam terræ motus, qui subito exsistens concio-

καὶ διαλύσας τὴν ἐκκλησίαν. (7) Τῇ δ' ὑστεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος πολλὰ ποιήσας καὶ εἰπὼν * ἔπεισε a μόλις ἐπισχεῖν τὰ πρὸς Ἀργείους, αὐτὸν δὲ πέμψαι πρὸς Λακεδαιμονίους, ὡς πάντων καλῶς γενησομένων. (8) Ἐλθὼν δ' εἰς Σπάρτην τἄλλα μὲν ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς ἐτιμήθη, πράξας δ' οὐδὲν, ἀλλὰ κρατηθεὶς ὑπὸ τῶν βοιωτιαζόντων ἐπανῆλθεν, οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς Ἀθηναίους λυπουμένους καὶ ἀγανακτοῦντας, ὅτι πεισθέντες ὑπ' ἐκείνου τοσούτους καὶ τοιούτους ἄνδρας ἀπέδωκαν· οἱ γὰρ ἐκ Πύλου κομισθέντες ἦσαν ἐξ οἴκων τε πρώτων τῆς Σπάρτης καὶ φίλους καὶ συγγενεῖς τοὺς δυνατωτάτους ἔχοντες. (9) Οὐ μὴν ἔπραξάν τι τραχύτερον ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν Ἀλκιβιάδην στρατηγὸν εἵλοντο b καὶ Μαντινεῖς καὶ Ἠλείους Λακεδαιμονίων ἀποστάντας ἐποιήσαντο συμμάχους μετ' Ἀργείων καὶ λῃστὰς εἰς Πύλον ἔπεμψαν κακουργεῖν τὴν Λακωνικήν· ἐξ ὧν αὖθις εἰς πόλεμον κατέστησαν.

XI. Ἀκμαζούσης δὲ τῆς πρὸς τὸν Νικίαν τοῦ Ἀλκιβιάδου διαφορᾶς καὶ γιγνομένης ὀστρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι, ἕνα τῶν ὑπόπτων ἢ διὰ δόξαν ἄλλως ἢ πλοῦτον ἐπιφθόνων ἀνδρῶν τῷ ὀστράκῳ μεθιστὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέρους περιίστατο καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοστρακισμῷ. (2) Τοῦ μὲν γὰρ c Ἀλκιβιάδου καὶ τὸν βίον ἐβδελύττοντο καὶ τὸ θράσος ὠῤῥώδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις δηλοῦται, τὸν δὲ Νικίαν ὅ τε πλοῦτος ἐπίφθονον ἐποίει καὶ μάλιστα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον μηδὲ δημοτικὸν, ἀλλ' ἄμικτον καὶ ὀλιγαρχικὸν ἀλλόκοτον ἐδόκει, πολλὰ δ' ἤδη ταῖς ἐπιθυμίαις αὐτῶν ἀντιτείνων παρὰ γνώμην βιαζόμενος πρὸς τὸ συμφέρον ἐπαχθὴς ἦν. (3) Ὡς δ' ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς εἰρηνοποιοὺς καὶ πρεσβυτέρους, τῶν μὲν εἰς τοῦτον, τῶν δ' εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς·

ὥς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα χώραν ἔδωκε d τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις, ὧν ἦν καὶ Ὑπέρβολος ὁ Περιθοίδης, ἄνθρωπος ἀπ' οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ' ἀπὸ τοῦ τολμᾶν εἰς δύναμιν προελθὼν καὶ γενόμενος δι' ἣν εἶχεν ἐν τῇ πόλει δόξαν ἀδοξία τῆς πόλεως. (4) Οὗτος ἐν τῷ τότε χρόνῳ τοῦ μὲν ὀστράκου πόῤῥω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ καὶ παροξύνων τὸν δῆμον ἐπ' ἀμφοτέρους. (5) Συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν Νικίαν καὶ τὸν Ἀλκιβιάδην καὶ e λόγον δόντες ἀλλήλοις κρύφα καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες ἐκράτησαν, ὥστε μηδέτερον αὐτῶν, ἀλλὰ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι. (6) Καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ

nem solvit, adjuvit. (7) Postridie populo rursum coeunte, multa faciendo multaque dicendo vix tandem impetravit ut fœdus illud differretur, ipse legatus Spartam mitteretur, pollicitus omnia se probe compositurum. (8) Eo quum venisset, habitus quidem in honore est, ut virum bonum et Spartanæ reipublicæ bene cupientem dignum erat; re tamen infecta, quod ii qui ad Bœotos inclinabant, prævaluerant, domum rediit, non modo inglorius et male audiens, sed et cives metuens, offensos sibi ac iratos, quod ipsius suasu tot tantosque viros reddidissent; qui enim Pylo adducti fuerant, ex principibus Spartæ familiis erant potentissimosque in republica habebant cognatos atque amicos. (9) Nihil tamen ob eam iram populus in eum gravius statuit, nisi quod Alcibiadem prætorem creaverunt Mantinensesque et Eleos, quum ii a Lacedæmoniis descivissent, cum Argivis in societatem acceperunt prædonesque Pylum miserunt, qui fines Laconicos infestarent. Hæc novi belli causam præbuerunt.

XI. Vigente maxime inter Niciam et Alcibiadem discordia, proposito ostracismo (quod fieri solebat a populo statis temporibus, suspectum aliquem, aut gloriæ opumve nomine invisum exilio decennali mulctandi causa), in magno uterque tumultu et periculo versatus est; quum haud dubie alteruter eam calamitatem subiturus videretur. (2) Nam Alcibiadis vitam vulgo abominabantur audaciamque pertimescebant, uti in ejus Vita copiosius ostendimus; Niciæ autem et divitiæ invidiam excitabant, maxime vero vitæ ejus ratio non comis nec popularis, sed solitaria et paucorum dominatui addicta insolens habita est, multum denique adversando illorum cupiditatibus invitos cogens ad id quod e re erat, exosum sese reddiderat. (3) Ut uno verbo dicam, juvenes bellique cupidi contra pacis studiosos et seniores de eo, uter esset ejiciendus, contendebant. Enimvero

Seditione orta vel pessimus aptus honorem est:

quando tunc quoque in diversas partes abiens populus locum fraudulentissimis et petulantissimis hominibus dedit. Erat inter hos Hyperbolus Perithœdes, nulla ad audaciam a potentia, sed ad hanc ab illa progressus, et qui ob gloriam qua in urbe erat, urbis esset infamia. (4) Is eo tum tempore tutissimum sese ab ostracismo ratus, quippe qui numella se digniorem sciret, sperans alterutro horum ejecto, parem se fore manenti, haud obscuram lætitiam, quam ex eorum dissensione ceperat, ferebat, et contra utrumque populum instigabat. (5) Itaque Nicias et Alcibiades, ejus malitia cognita, clam inter se collocuti, factiones inter se conciliatas in unum corpus redegerunt, eoque effecerunt ut neuter ipsorum, sed Hyperbolus ostracismo pelleretur. (6) Quod ut initio risum populo jocosque mo-

γέλωτα τῷ δήμῳ παρέσχεν, ὕστερον δὲ ἠγανάκτουν ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες· εἶναι γάρ τι καὶ κολάσεως ἀξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ἐξοστρακισμὸν ἡγούμενοι Θουκυδίδῃ καὶ Ἀριστείδῃ καὶ τοῖς ὁμοίοις, Ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταὐτὰ ἔπαθε τοῖς ἀρίστοις, ὥς που καὶ f Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ·

Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,
αὐτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια·
οὐ γὰρ τοιούτων οὕνεχ' ὄστραχ' εὑρέθη.

(7) Καὶ τὸ πέρας οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη 531 μετὰ Ὑπέρβολον, ἀλλ' ἔσχατος ἐκεῖνος, πρῶτος δ' a Ἵππαρχος ὁ Χολαργεὺς συγγενής τις ὢν τοῦ τυράννου. (8) Ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ· Νικίας γὰρ εἰ τὸν περὶ ὀστράκου κίνδυνον ἀνέῤῥιψε πρὸς Ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας, ἢ κρατηθεὶς αὐτὸς ἐξῄει πρὸ τῶν ἐσχάτων ἀτυχιῶν τὸ δοκεῖν ἄριστος εἶναι στρατηγὸς διαφυλάξας. (9) Οὐκ ἀγνοῶ δ', ὅτι Θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον Φαίακος, οὐ Νικίου, πρὸς Ἀλκιβιάδην ἐρίσαντος. Ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν.

XII. Ὁ γοῦν Νικίας, τῶν Αἰγεστέων πρέσβεων καὶ Λεοντίνων παραγενομένων καὶ πειθόντων τοὺς Ἀθηναίους στρατεύειν ἐπὶ Σικελίαν, ἀνθιστάμενος ἡττᾶτο τῆς βουλῆς Ἀλκιβιάδου καὶ φιλοτιμίας πρὶν b ὅλως ἐκκλησίαν γενέσθαι κατασχόντος ἤδη πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον, ὥστε καὶ νέους ἐν παλαίστραις καὶ γέροντας ἐν ἐργαστηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους ὑπογράφειν τὸ σχῆμα τῆς Σικελίας καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης καὶ λιμένας καὶ τόπους, οἷς τέτραπται πρὸς Λιβύην ἡ νῆσος. (2) Οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πολέμου Σικελίαν, ἀλλ' ὁρμητήριον, ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς Καρχηδονίους καὶ σχήσοντες ἅμα Λιβύην καὶ τὴν ἐντὸς Ἡρακλείων στηλῶν θάλασσαν. (3) Ὡς οὖν c ὥρμηντο πρὸς ταῦτα, ὁ Νικίας ἐναντιούμενος οὔτε πολλοὺς οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. Οἱ γὰρ εὔποροι δεδιότες, μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. (4) Ὁ δ' οὐκ ἔκαμνεν οὐδ' ἀπηγόρευεν, ἀλλὰ καὶ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον Ἀθηναίους καὶ στρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον μετ' Ἀλκιβιάδου καὶ Λαμάχου, πάλιν ἐκκλησίας γενομένης ἀναστὰς ἀπέτρεπε καὶ διεμαρτύρετο καὶ τελευτῶν διέβαλλε τὸν Ἀλκιβιάδην ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. (5) Ἔπραξε d δ' οὐδὲν μᾶλλον, ἀλλ' ὑπὸ ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι καὶ πολλὴν ἀσφάλειαν ἕξειν, πρὸς τὴν Ἀλκιβιάδου τόλμαν καὶ τὴν Λαμάχου θρασύτητα τῆς ἐκείνου συγκεραννυμένης εὐλαβείας βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. (6) Ἀναστὰς γὰρ ὁ μάλιστα τῶν

vit, ita postea pessime eos habuit, contumeliam arbitrantes, quod dignitatem supplicii tam impuro homini irrogati imminuissent. Quippe Thucydidi et Aristidi eorumque similibus hoc modo injunctum exilium, pro supplicio, et quidem gravi, esse, facereque ad eorum reprimendam potentiam, at Hyperbolo honori id esse, eoque impudentiam ipsius auctum iri, quod eadem cum præstantissimis viris pœna dignatus esset. Quam in sententiam Plato quoque poeta comicus de eo scripsit :

Quamquam perdigna moribus quidem suis,
at seque et stigmatis indigna passus est.
Non talibus repertus ostracismus est.

(7) Itaque ultimus omnium Hyperbolus ea pœna, neque post eum quisquam alius, affectus est, primus autem omnium ita punitus fuit Hipparchus Cholargensis, tyranni cognatus. (8) Ceterum incerta et ratione incomprehensibilis fortuna res est : nam si Nicias cum Alcibiade in dubiam de ostracismo aleam ivisset, aut eo ejecto tuto ipse civitatem administrasset, aut victus ipse ante extremam calamitatem abiisset, optimi ducis integro adhuc sibi nomine. (9) Neque sum nescius Theophrastum in ea esse sententia, Phæace, non Nicia, cum Alcibiade contendente, Hyperbolum esse exilio damnatum : sed plures auctores ita memoriæ prodiderunt.

XII. Proinde Ægestanorum et Leontinorum legati quum Atheniensibus suaderent, uti expeditionem in Siciliam facerent, Nicias id impugnaturus, consilio et ambitione Alcibiadis victus est, qui spes injiciendo verbisque corrumpendo populum, etiam prius quam in concione de re ista ageretur, in suam sententiam pertraxerat; adolescentes adeo in palæstris, senes in officinis et hemicycliis una sedentes figuram Siciliæ depingebant marisque circumjecti naturam, portusque et loca ejus insulæ versus Africam obversa considerabant. (2) Non enim præmium victoriæ Siciliam, sed belli arcem fore putabant, unde Carthaginiensibus impetitis, Africam essent mareque quod intra columnas Herculis est omne in suam potestatem redacturi. (3) His rebus intentis civibus Nicias contrarium suadens, neque multos neque graves habuit adjutores. Divites enim, veriti ne publica ministeria et præfecturas viderentur subterfugere, etiam præter animi sententiam quiescebant. (4) Neque tamen defatigatus est animumve despondit, sed quum bellum decretum esset, primus ipse dux belli cum Alcibiade et Lamacho creatus, rursum in concione populum dehortatus est obtestatusque, et denique Alcibiadem criminatus est, qui sua avaritia ambitioneque ductus ad difficile et transmarinum bellum populum extruderet. (5) Nihil tamen eo consecutus est; quin imo id ipsum suffragia populi confirmavit, quod ob peritiam rei bellicæ haberetur aptior et commixta ejus timiditas cum Alcibiadis audacia et Lamachi ferocia eo magis tuta omnia præstitura crederetur. (6) Et is qui maxime ex demagogis Athenienses ad bellum suscipien-

δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς Ἀθηναίους Δημόστρατος ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν· καὶ ψήφισμα γράψας, ὅπως αὐτοκράτορες ὦσιν οἱ στρατηγοὶ κἀνταῦθα κἀκεῖ βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι.

XIII. Καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν στρατείαν· ἀλλ' ἑτέρους ἔχων e μάντεις ὁ Ἀλκιβιάδης ἔκ δή τινων λογίων προὔφερε παλαιῶν μέγα κλέος τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔσεσθαι. (2) Καὶ θεοπρόποι τινὲς αὐτῷ παρ' Ἄμμωνος ἀφίκοντο χρησμὸν κομίζοντες, ὡς λήψονται Συρακοσίους ἅπαντας Ἀθηναῖοι· τὰ δ' ἐναντία φοβούμενοι δυσφημεῖν ἔκρυπτον. Οὐδὲ γὰρ τὰ προὖπτα καὶ καταφανῆ τῶν σημείων ἀπέτρεπεν, ἥ τε τῶν Ἑρμῶν περικοπὴ μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων πλὴν ἑνός, ὃν Ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς Αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης Ἀνδοκίδου οἰκίας, καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα f θεῶν. (3) Ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτόν, εἶτα περιβὰς ἀπέκοψεν αὐτοῦ λίθῳ τὸ αἰδοῖον. (4) Ἐν δὲ Δελφοῖς Παλλάδιον ἕστηκε χρυσοῦν ἐπὶ φοίνικος χαλκοῦ βεβηκὸς ἀνάθημα τῆς πόλεως ἀπὸ τῶν Μηδικῶν ἀριστείων· τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλλον. (5)
532 Οἱ δὲ ταῦτα μὲν ἔφασαν εἶναι Δελφῶν πλάσματα πε- a πεισμένων ὑπὸ Συρακοσίων· χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ Κλαζομενῶν τὴν ἱέρειαν τῆς Ἀθηνᾶς ἄγειν, μετεπέμψαντο τὴν ἄνθρωπον· ἐκαλεῖτο δὲ Ἡσυχία. Καὶ τοῦτ' ἦν, ὡς ἔοικεν, ὃ παρῄνει τῇ πόλει τὸ δαιμόνιον, ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. (6) Εἴτε δὴ ταῦτα δείσας εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν στρατείαν φοβηθεὶς ὁ ἀστρολόγος Μέτων (ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος) προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν ὡς μεμηνώς. (7) Οἱ δέ φασιν οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν προελθεῖν εἰς τὴν ἀγορὰν ταπεινὸν καὶ δεῖσθαι τῶν πο- b λιτῶν, ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ τὸν υἱὸν αὐτοῦ μέλλοντα πλεῖν τριήραρχον εἰς Σικελίαν ἀφῶσι τῆς στρατείας. (8) Σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν ἐμήνυσε κἀκεῖνα, τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον. Ὁ δὲ τοῖς συνήθεσι καὶ φίλοις ἔφρασε καὶ διῆλθεν εἰς πολλοὺς ὁ λόγος. (9) Οὐχ ὀλίγους δὲ καὶ τὰ τῶν ἡμερῶν, ἐν αἷς τὸν στόλον ἐξέπεμπον, ὑπέθραττεν· Ἀδώνια γὰρ εἶχον αἱ γυναῖκες τότε καὶ προὔκειτο πολλαχόθι τῆς πόλεως εἴδωλα καὶ ταφαὶ περὶ αὐτὰ καὶ κοπετοὶ γυναικῶν ἦσαν, ὥστε τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα δυσχεραίνειν καὶ δεδιέναι περὶ c τῆς παρασκευῆς ἐκείνης καὶ δυνάμεως, μὴ λαμπρότητα καὶ ἀκμὴν ἐπιφανεστάτην σχοῦσα ταχέως μαρανθῇ.

XIV. Τὸ μὲν οὖν ἐναντιωθῆναι ψηφιζομένῃ τῇ στρατείᾳ τὸν Νικίαν καὶ μήθ' ὑπ' ἐλπίδων ἐπαρθέντα

dum stimulabat, Demostratus, progressus in concionem effecturum se dixit, ut Nicias prætextus quærendi finem faceret, rogationeque lata, uti imperatoribus plena daretur potestas domi forisque consultandi agendique, populo ut eam haberet ratam persuasit.

XIII. Equidem etiam multi auspices prodigiis moti bellum prohibuisse feruntur. Verum alii vates, quos secum Alcibiades habebat, oracula quædam vetusta proferebant, magnam ex Sicilia gloriam Athenienses adepturos affirmantia. (2) Et quidam ab Ammone advenerant sortilegi oraculum ferentes, quod universos Syracusanos in potestatem Atheniensium venturos diceret; contraria enim, ne malum omen offerrent, occultabant, quando ne manifesta quidem ostenta videbant animos Atheniensium ab instituto dimovere; nec quod una nocte omnes Hermæ membris exterioribus mutilati fuerunt, uno excepto, quem Andocidæ appellant, quod donarium Ægeidis tribus ante ædes, quas tum Andocides habebat, stetit, nec quod factum est in ara duodecim deorum : (3) homo enim quidam subito in eam insiluit, quumque circumivisset, pudenda sibi saxo amputavit. (4) Delphis Palladium aureum super palmam æream fixum Athenienses ex manubiis Medicis dedicaverant; id tum per aliquot dies corvi advolantes rostris percusserant, fructumque palmæ aureum avulserant et deturbarant. (5) Hoc Athenienses in gratiam Syracusanorum a Delphicis confictum dicebant. Oraculo autem jussi Minervæ antistitam Clazomenis Athenas adducere, eam acciverunt; nomen mulieri erat Ἡσυχία (*i. e. Quies*), atque hoc nimirum fuit, quod eo tempore dii præcipiebant Atheniensibus, uti quiescerent. (6) Itaque Meton astrologus, sive his territus signis, sive humanas rationes secutus, metuens ne dux ad id bellum mitteretur, quum jam tum aliquem magistratum gereret, simulata insania domum suam incendit. (7) Quidam non furorem finxisse, sed noctu aiunt domum inflammasse, abjecto habitu in forum venisse, et a civibus petiisse, ut in tantæ calamitatis solatium filium suum, qui erat triremis præfectus in Siciliam iturus, militia liberarent. (8) Socrati etiam, qui sapiens est usurpatus, iis quibus consueverat indiciis ista quoque Genius ostendit, ad perniciem patriæ istam spectare expeditionem. Ipse familiaribus amicisque retulit et sermo ejus ad multorum aures pervenit. (9) Non paucos etiam dies, quo classis exiit, perterruit: Adonidi enim tunc sacra faciebant mulieres Atticæ, et passim per urbem simulacra jacebant, circum sepulturæ, et planctus mulieres videbantur; itaque subiit quibusdam ominari et vereri ne apparatus ille et exercitus tanto splendore tantoque vigore præcellens, paulo post emarcesceret.

XIV. Et Nicias quidem quod decretum eo de bello impugnavit, ac neque spe elatus, neque imperii magnitudine

μήτε πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἐκπλαγέντα μεταθέσθαι τὴν γνώμην ἀνδρὸς ἦν χρηστοῦ καὶ σώφρονος· ἐπεὶ δ' οὔτε τοῦ πολέμου τὸν δῆμον ἀποτρέψαι πειρώμενος οὔθ' αὑτὸν ἐξελέσθαι τῆς στρατηγίας δεόμενος ἴσχυσεν, ἀλλ' ὥσπερ ἀράμενος καὶ φέρων αὐτὸν ὁ δῆμος ἐπέθηκε τῇ δυνάμει στρατηγόν, οὐδεὶς ἔτι καιρὸς ἦν τῆς πολλῆς εὐλαβείας καὶ μελλήσεως, ὥστε παιδὸς δίκην ἀπὸ τῆς d
νεὼς ὀπίσω βλέποντα καὶ τὸ μὴ κρατηθῆναι τοῖς λογισμοῖς ἀναλαμβάνοντα καὶ στρέφοντα πολλάκις ἐναμβλῦναι καὶ τοὺς συνάρχοντας αὐτῷ καὶ τὴν ἀκμὴν διαφθεῖραι τῶν πράξεων, ἀλλ' εὐθὺς ἔδει τοῖς πολεμίοις ἐμφύντα καὶ προσκείμενον ἐλέγχειν τὴν τύχην ἐπὶ τῶν ἀγώνων. (2) Ὁ δέ, Λαμάχου μὲν ἄντικρυς ἀξιοῦντος πλεῖν ἐπὶ Συρακούσας καὶ μάχην ἔγγιστα τῆς πόλεως τιθέναι, Ἀλκιβιάδου δὲ τὰς πόλεις ἀφιστάναι Συρακοσίων, εἶθ' οὕτως ἐπ' αὐτοὺς βαδίζειν, τὰ ἐναντία λέγων καὶ κελεύων ἀτρέμα παρὰ τὴν Σικε- e
λίαν κομιζομένους καὶ περιπλέοντας ἐπιδείξασθαι τὰ ὅπλα καὶ τὰς τριήρεις, εἶτ' ἀποπλεῖν Ἀθήναζε μικρὸν τῆς δυνάμεως Αἰγεστεῦσιν ἀπαρξαμένους, αὐτίκα τε τὴν γνώμην ὑπεξέλυσε καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. (3) Καὶ μετ' ὀλίγον χρόνον Ἀλκιβιάδην Ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμών, δυνάμει δὲ μόνος ὢν οὐκ ἐπαύσατο καθήμενος ἢ περιπλέων ἢ βουλευόμενος, πρὶν ἐγγηρᾶσαι μὲν αὐτῶν τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ τῶν πολεμίων τὸ θάμβος καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέθηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. (4) Ἔτι δὲ τοῦ Ἀλκιβιάδου παρόντος ἑξήκοντα ναυσὶ f
πλεύσαντες ἐπὶ Συρακούσας τὰς μὲν ἄλλας ἀνεῖχον ὑπὲρ τοῦ λιμένος ἔξω παρατάξαντες, δέκα δὲ κατήλαυνον εἴσω κατασκοπῆς εἵνεκα· καὶ Λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀποκαλοῦσαι διὰ κήρυκος αὗται λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὑτοὺς οἱ Συρακόσιοι· κείμεναι δ' ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ Διὸς Ὀλυμπίου τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθη-
533 σαν. (5) Ὡς οὖν ὑπὸ τῶν Ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς a
στρατηγοὺς ἐκομίσθησαν καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μή ποτε ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι λέγοντος, ὡς Ἀθηναῖοι λήψονται Συρακοσίους ἅπαντας. Οὐ μὴν ἀλλ' ἑτέρῳ φασὶν ἔργῳ τοῦτο τοῖς Ἀθηναίοις γενέσθαι ἐπιτελές, καθ' ὃν χρόνον ἀποκτείνας Δίωνα Κάλλιππος ὁ Ἀθηναῖος ἔσχε Συρακούσας.

XV. Ἀποπλεύσαντος δὲ τοῦ Ἀλκιβιάδου μετ' ὀλίγον ἐκ Σικελίας, τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχεν. Ὁ δὲ Λάμαχος ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ καὶ τῇ χειρὶ χρώμενος ἀφειδῶς κατὰ τὰς μάχας, πένης δὲ τοσοῦτον καὶ λιτός, ὥστε καθ' ἑκάστην στρατηγίαν ἀπο- b
λογίζεσθαι τοῖς Ἀθηναίοις μικρὸν ἀργύριον εἰς ἐσθῆτα καὶ κρηπῖδας ἑαυτῷ. (2) Τοῦ δὲ Νικίου καὶ διὰ τἆλλα μέγας ἦν καὶ διὰ τὸν πλοῦτον καὶ τὴν δόξαν ὁ ὄγκος. Λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοι-

perculsus sententiam mutavit, boni moderatique viri functus est officio : at posteaquam neque avertere a bello populum neque se ejus administrationi eximere valuit, sed eum populus veluti vi abreptum copiis ducem imposuit, non jam porro illa nimis anxie cavendi cunctandique erat retinenda ratio. Is vero pueri instar a navi retro oculos retorquens, crebroque animo suo revolvens, quod non rationibus rem obtinuisset, collegas etiam segniores reddidit, occasionemque primam rei gerendæ prodidit. Etenim initio statim oportuerat hostes adorientem iisque instantem in ipsis prœliis fortunam periclitari. (2) At Nicias Lamacho monente, ut recta ad Syracusas iretur et pugnæ copia hosti proxime eam urbem fieret, Alcibiade urbes ad defectionem a Syracusanis sollicitare et inde ipsos adoriri jubente ab utroque dissentiens, quiete præter Siciliam navigare, armaque et triremes ostentare, atque ita postquam suæ potentiæ gustum quasi aliquem Ægestæis præbuissent, Athenas redire jussit; quo consilio et rationes suorum conturbavit et animos dejecit. (3) Quin et paulo post Alcibiade ad causam dicendam Athenas revocato, quum verbo quidem alter creatus esset dux, potentiam autem solus omnem obtineret, desidendi, circumnavigandi, consultandi non ante finem fecit, quam et spei vigor eorum consenuisset, et stupor metusque, quem hostes ad primum copiarum Atheniensium conspectum conceperant, evanuisset. (4) Quum adesset adhuc Alcibiades, sexaginta navibus ad Syracusas navigarunt et reliquis extra portum instructis, decem explorandi et Leontinos in suam possessionem per præconem revocandi causa intra portum vexerunt. Hæ navim hostilem ceperunt, asseres vehentem, in quibus tributim descripti erant Syracusani, eosque asseres alias extra urbem in Jovis Olympii fano repositos tum ob recensionem et delectum eorum qui ætate essent ad bellum integra, afferri jusserant. (5) Ut igitur ii asseres ad duces Atheniensium allati sunt ac nominum multitudo cognita, perturbati sunt vates, veriti ne jam tum oraculum esset repræsentatum, quod omnes Syracusanos in potestatem Atheniensium perventuros dixerat. Quanquam id alias quoque Atheniensibus evenisse traditur eo tempore, quo Callippus Atheniensis occiso Dione Syracusas obtinuit.

XV. Haud multo post Alcibiade ex Sicilia avecto summa rerum penes Niciam fuit. Lamachus autem fortis quidem erat justusque vir et in pugna manu promptus, adeo interim pauper, ut rationes Atheniensibus singulorum a se obitorum imperiorum reddens, exiguum pecuniæ in vestem crepidasque sibi insumptæ iis adnotaverit. (2) Niciæ quum alias, tum ob divitias et gloriam ampla erat majestas. Fertur quodam tempore, quum inter collegas esset de re qua-

νῇ τῶν συναρχόντων κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν γνώμην Σοφοκλῆς ὁ ποιητὴς ὡς πρεσβύτατος ὢν τῶν συστρατήγων, Ἐγὼ, φάναι, παλαιότατός εἰμι, σὺ δὲ πρεσβύτατος. » (3) Οὕτω δὲ καὶ τότε τὸν Λάμαχον ἄγων ὑφ' ἑαυτοῦ στρατηγικώτερον ὄντα καὶ χρώμενος εὐλαβῶς καὶ διὰ μελλήσεως ἀεὶ τῇ δυνάμει πρῶτον μὲν ἀπωτάτω τῶν πολεμίων ἐκπεριπλέων Σικελίαν c θάρσος ἔδωκεν αὐτοῖς, ἔπειτα προσβαλὼν Ὕβλῃ πολιχνίῳ μικρῷ καὶ πρὶν ἑλεῖν ἀποστὰς κομιδῇ κατεφρονήθη. (4) Καὶ τέλος εἰς Κατάνην ἀπῆλθε πράξας οὐδὲν ἢ καταστρεψάμενος Ὕκκαρα, βαρβαρικὸν χωρίον, ὅθεν λέγεται καὶ Λαΐδα τὴν ἑταίραν ἔτι κόρην ἐν τοῖς αἰχμαλώτοις πραθεῖσαν εἰς Πελοπόννησον κομισθῆναι.

XVI. Τοῦ δὲ θέρους διελθόντος, ἐπεὶ τοὺς Συρακοσίους ἐπυνθάνετο προτέρους ἐπ' αὐτοὺς ἀφίξεσθαι τεθαῤῥηκότας, οἱ δ' ἱππεῖς ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον ἠρώτων εἰ Καταναίοις συνοικήσοντες d ἢ Λεοντίνους κατοικιοῦντες ἥκουσι, μόλις ὁ Νικίας ὥρμησε πλεῖν ἐπὶ Συρακούσας. (2) Καὶ βουλόμενος ἀδεῶς καὶ καθ' ἡσυχίαν ἱδρῦσαι τὸν στρατὸν, ὑπέπεμψεν ἄνθρωπον ἐκ Κατάνης κελεύοντα τοὺς Συρακοσίους, εἰ βούλονται λαβεῖν ἔρημον ἀνδρῶν τὸ στρατόπεδον καὶ τὰ ὅπλα τῶν Ἀθηναίων, ἐν ἡμέρᾳ ῥητῇ πρὸς Κατάνην πανστρατιᾷ παραγενέσθαι, τῶν δ' Ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων ἐγνωκέναι τοὺς Συρακοσίων φίλους, ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα καὶ τὸν ναύσταθμον ὑποπιμπράναι, πολλοὺς δὲ εἶναι τοὺς συνεστῶτας ἤδη καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. e (3) Τοῦτ' ἄριστα Νικίας ἐστρατήγησε περὶ Σικελίαν. Πανστρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους καὶ τὴν πόλιν ὁμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ Κατάνης ἀναχθεὶς τῶν τε λιμένων ἐκράτησε καὶ τῷ στρατοπέδῳ κατέλαβε χώραν, ὅθεν ἥκιστα βλαπτόμενος οἷς λείπεσθαι τῶν πολεμίων ἤλπιζεν, ἐξ ὧν ἐθάῤῥει πολεμήσειν ἀκωλύτως. (4) Ἐπεὶ δ' ἀναστρέψαντες ἐκ Κατάνης οἱ Συρακόσιοι παρετάξαντο πρὸ τῆς πόλεως, ἐπαγαγὼν ταχὺ τοὺς Ἀθηναίους ἐκράτησε. (5) Καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων· οἱ γὰρ ἱππεῖς ἐμποδὼν f ἐγένοντο τῇ διώξει· τοῦ δὲ ποταμοῦ διαφθείρων καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν Ἑρμοκράτει λέγειν παραθαῤῥύνοντι τοὺς Συρακοσίους, ὅτι γελοῖός ἐστιν ὁ Νικίας, ὅπως οὐ μαχεῖται στρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. (6) Οὐ μὴν ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς Συρακοσίοις, ὥστ' ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα στρατηγῶν ἑτέρους
534 ἑλέσθαι τρεῖς, οἷς πίστιν ἔδωκεν ὁ δῆμος δι' ὅρκων, ἦ a μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. (7) Τοῦ δ' Ὀλυμπίου πλησίον ὄντος ὥρμησαν οἱ Ἀθηναῖοι καταλαβεῖν, πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. Ὁ δὲ Νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑστέρησε καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν Συρακοσίων ἡγούμενος, ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ στρατιῶται, τὸ μὲν κοινὸν οὐκ ὠφεληθήσεσθαι, τὴν δ' αἰτίαν αὐτὸς

piam in prætorio deliberatio, Sophoclem poetam jussum ab eo primum sententiam dicere, ut qui ætate ceteros præcederet, respondisse: Ego quidem, Nicia, annorum, tu venerationis plurimum habes. (3) Ita tum quoque Lamachum imperatoriis artibus superiorem ipso sub se habens, solita sua timiditate et cunctatione bellum administravit: primum longissime ab hostibus circumnavigando, fiduciam iis auxit; deinde Hyblam, exiguum oppidum, oppugnare adortus, quum re infecta obsidionem solvisset, in summum contemptum venit. (4) Denique Catanam accessit, neque ibi quicquam egit, nisi quod Hyccara, oppidulum barbaricum, cepit. Ex hoc oppidulo Laidem, quæ nobilis deinde meretrix fuit, puellam adhuc inter captivos venditam et in Peloponnesum abductam ferunt.

XVI. Præterita jam æstate, quum Syracusanos audivisset eo fiduciæ pervenisse, ut contra ipsum ultro proficisci statuerent, equitibus eorum etiam per ludibrium ad ipsa castra adequitantibus, quærentibusque habitatumne cum Catanensibus, an reductum in sua Leontinos venerint, vix tandem Nicias navigare ad Syracusas animum intendit. (2) Ut autem tuto et nemine interturbante exercitum ibi collocare posset, a Catana quendam misit qui Syracusanis indicaret ut, si castra Atheniensium vacua armaque capere cuperent, ad certum diem omnibus cum copiis ad Catanam venirent Atheniensibus enim plerumque in urbe commorantibus, statuisse amicos Syracusanorum, quum hos advenire cernerent, simul et portas occupare, et navale incendere: esse autem multos, qui ea de re conspirarint ipsorumque adventum exspectent. (3) Nihil hac arte præclarius in Sicilia Nicias ostendit. Hostes enim cum toto exercitu ex urbe abducens, ita ut prope vacua virorum esset, ipse Catana avectus quum portus Syracusanos occupavit, tum eo in loco castra posuit, ex quo, quam minime vexatus iis quæ hostibus potiora esse putabat, contra iis quibus valeret sine impedimento bellum gesturum speraret. (4) Quum a Catana reversi Syracusani ante urbem aciem instruxissent, celeriter eductis contra suis, victoria potitus est. (5) Ibi hostium quidem non magnam stragem edidit, equitibus insecutioni obstantibus; fluvii vero pontes abrumpens, Hermocrati occasionem dedit in confirmandorum Syracusanorum causa habita oratione dicendi, ridiculum esse Niciam, qui omnia sua consilia eo accommodet, uti ne pugnet, perinde atque non pugnandi causa advenisset. (6) Enimvero id facinus tantum Syracusanis terrorem incussit atque stuporem, ut loco quindecim ducum, tres alios tum constituerint, iisque populus jurejurando fidem fecerit, plena iis cum potestate imperium permissum iri. (7) Jovis Olympii templum Atheniensibus capere cupientibus, quod multa in eo erant aurea argenteaque donaria, Nicias consulto rem tantisper distulit, dum per ejus negligentiam Syracusani præsidium eo imponerent, ratus direptis a militibus templi opibus nihil ad rempublicam utilitatis, ad se totius flagi-

ἕξειν τοῦ ἀσεβήματος. (8) Τῇ δὲ νίκῃ περιβοήτῳ γενομένῃ χρησάμενος εἰς οὐδὲν, ὀλίγων ἡμερῶν διαγενομένων αὖθις ἀνεχώρησεν εἰς Νάξον κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων στρατιᾷ τοσαύτῃ, πράττων δὲ b μικρὰ πρὸς Σικελούς τινας ἀφισταμένους πρὸς αὐτὸν, ὥστε τοὺς Συρακοσίους αὖθις ἀναθαῤῥήσαντας ἐξελάσαι πρὸς Κατάνην καὶ τήν τε χώραν τεμεῖν καὶ τὸ στρατόπεδον κατακαῦσαι τῶν Ἀθηναίων. (9) Ἃ δὴ πάντες ᾐτιῶντο τὸν Νικίαν ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν καὶ φυλάττεσθαι τὸν τῶν πράξεων ἀπολλύντα καιρόν· ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐμέμψατο τοῦ ἀνδρός. Ὁρμῆσαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.

XVII. Ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς Συρακούσας, οὕτως ἐστρατήγησε καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν c μὲν εἰς Θάψον ταῖς ναυσὶ προσμίξας καὶ ἀποβὰς, φθάσαι δὲ τὰς Ἐπιπολὰς κατασχὼν, τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων ἄμαχον εἶναι δοκοῦσαν. (2) Ὃ δὲ πάντων μάλιστα καὶ Σικελιώτας ἐξέπληξε καὶ τοῖς Ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας, πόλιν Ἀθηνῶν οὐκ ἐλάττονα, δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις καὶ θαλάσσῃ γειτνιώσῃ καὶ παρακειμένοις ἕλεσι τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. (3) Ἀλλὰ τοῦτ' ἐξεργάσασθαι μικρὸν ἐδέησε τοῦ παντὸς ἄνθρωπος οὐδ' ὑγιαίνοντι d χρώμενος ἑαυτῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. (4) Θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν ἐν οἷς κατώρθουν. (5) Ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον γράφων ἐπικήδειον ἐποίησεν,

> Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
> ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις·

οὐκ ὀκτὼ δὲ νίκας, ἀλλὰ πλείονας ἄν τις εὕροι Συρακοσίους νενικημένους ὑπ' αὐτῶν, πρὶν ἐκ θεῶν ὄντως ἢ τύχης ἀντίστασίν τινα γενέσθαι τοῖς Ἀθηναίοις ἐπὶ e πλεῖστον αἰρομένοις δυνάμεως.

XVIII. Ταῖς μὲν οὖν πλείσταις πράξεσι βιαζόμενος τὸ σῶμα παρῆν ὁ Νικίας· ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης ὁ μὲν ἐν τείχεσι μετ' ὀλίγων ὑπηρετῶν κατέκειτο, τὴν δὲ στρατιὰν ἔχων ὁ Λάμαχος προσεμάχετο τοῖς Συρακοσίοις ἐκ τῆς πόλεως τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν Ἀθηναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. (2) Τῷ δὲ κρατεῖν τῶν Ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις ἀπομονωθεὶς ὁ Λάμαχος ὑπέστη τῶν Συρακοσίων τοὺς ἱππεῖς ἐπιφερομένους. (3) Ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. Πρὸς τοῦτον ἐκ προ- f κλήσεως καταστὰς ὁ Λάμαχος ἐμονομάχησε καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν ὁμοῦ συναπέ-

tii infamiam redundaturam. (8) Illustri autem victoria nullam ad rem usus, paucis post diebus in Naxum recessit, magnisque ibi in tantum exercitum sumptibus hiemavit, nihil agens interim, nisi quod cum paucis quibusdam Siculis ad se desciscentibus pactus est. Itaque Syracusani animo recepto, ad Catanam profecti agrum vastavere et Atheniensium castra combusserunt. (9) Quapropter omnium in reprehensionibus Nicias fuit, qui consultando, cunctando et cavendo occasionem rei gerendæ amitteret; nam actiones ejus vituperari non poterant; utque erat in efficiendo eo quod semel conatus esset impiger atque strenuus, ita cunctanter et timide rem aliquam aggrediebatur.

XVII. Postquam rursus exercitum Syracusis admovere statuit, ea arte eaque celeritate et securitate usus est, ut et inscio hoste Thapsum naves adverterit militesque exposuerit et occupaverit Epipolas et milites delectos, qui accurrerant, fuderit trecentosque ceperit et equitatum hostilem, qui invictus putabatur, repulerit. (2) Ac quod et maxime Siculos perterruit, et incredibile Græcis visum est, muro Syracusas circumvenit modico temporis spatio, urbem Athenis non minorem, sed ob inæqualitatem locorum maris vicinitatem paludesque circumjectas tanto muro in orbem ducendo iniquiorem. (3) Atque hæc ille fere omnia perfecit, quum ne prospera quidem inter tot curas uteretur valetudine, sed ex renibus laboraret; cui morbo æquum est imputari, si quid ab eo perfectum non fuit. (4) Miror autem quum ducis diligentiam, tum militum virtutem, in iis quas prospere gesserunt rebus. (5) Et vero Euripides post cladem eorum et perniciem epitaphium scribens, hæc fecit:

> Hice Syracosios superarunt fortiter octo
> cladibus, ambobus dum æqua dedere dei.

Sed non octies tantum, verum sæpius victos ab iis Syracusanos invenies, antequam deorum sane aliquis aut fortuna Atheniensium res ad summam potentiam evectas subvertit.

XVIII. Plerisque rebus gerendis ipse vim suo corpori faciens interfuit Nicias. Aliquando morbi vehementissime ingruentis vi oppressus, in castris jacuit, paucos secum famulos habens. Lamachus interim cum exercitu in Syracusanos pugnavit, ab urbe murum versus Atheniensem exstruentes, quo prohiberent ne hostis quod interjectum erat spatium munitionibus occuparet. (2) Ibi quum Athenienses victoria elati Syracusanos incomposito agmine insequerentur, destitutus a suis Lamachus Syracusanorum equites sese inferentes substitit. (3) Primus inter eos erat Callicrates, homo belli gnarus et ferox. Cum hoc, ut se mutuo provocaverant, singulari pugna congressus, ictus prior ipse, quum hostem vulnerasset, concidens una cum

θανε τῷ Καλλικράτει. (4) Καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετὰ τῶν ὅπλων ἐξῆραν οἱ Συρακόσιοι, δρόμῳ δ' ἐφέροντο πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ἐν 535 οἷς ὁ Νικίας ἦν οὐκ ἔχων τοὺς βοηθοῦντας. (5) Ὅμως a δ' ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τὸν κίνδυνον ἐκέλευσε τοὺς καθ' ἑαυτὸν ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα καὶ τὰς μηχανὰς αὐτὰς πῦρ κομίσαντας ἅψαι. (6) Τοῦτο τοὺς Συρακοσίους ἐπέσχε καὶ τὸν Νικίαν ἔσωσε καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν Ἀθηναίων· φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες ἀπετράπησαν οἱ Συρακόσιοι. (7) Τούτων δὲ πραχθέντων ἀπολέλειπτο μὲν ὁ Νικίας μόνος τῶν στρατηγῶν, ἦν δ' ἐλπίδος μεγάλης. Καὶ γὰρ πόλεις μεθίσταντο, καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν ἦλθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις πάντων προστιθεμένων. b Καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν Συρακοσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτὸν ἀπεγνωκότων τὴν πόλιν. (8) Ὅπου καὶ Γύλιππος ἐκ Λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπὸν, ὡς ἐχομένης μὲν ἤδη τῆς Σικελίας, Ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων, εἰ καὶ τοῦτό πως ἐγγένοιτο. (9) Μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. (10) Ὁ δὲ Νικίας εὐθὺς αὐτὸς καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαρρηκὼς, μάλιστα δὲ τοῖς ἐκ Συρακουσῶν διαλεγομένοις κρύφα καὶ πέμ- c πουσι πρὸς αὐτὸν ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων οὐδένα τοῦ Γυλίππου λόγον ἔσχε προσπλέοντος οὐδὲ φυλακὴν ἐποιήσατο καθ' ὥραν, ἀλλὰ τῷ παντελῶς ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι λαθὼν αὐτὸν ὁ ἀνὴρ εἰσέπλευσε διὰ τοῦ πορθμοῦ καὶ προσκομισθεὶς ἀπωτάτω τῶν Συρακουσῶν στρατιὰν συνηγάγετο πολλὴν, οὐδ' εἰ πάρεστι τῶν Συρακοσίων ἐπισταμένων οὐδὲ προσδοκώντων. (11) Διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῶν πρὸς τὸν Νικίαν ὁμολογιῶν καί τινες ἐβάδιζον ἤδη πρὶν ἢ παντελῶς ἀποτειχισθῆναι τὴν πόλιν οἰόμενοι δεῖν γενέσθαι d τὰς διαλύσεις· βραχὺ γὰρ ἦν κομιδῇ τὸ ἀπολειπόμενον τοῦ ἔργου καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας σύμπασαν.

XIX. Ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου ἀφικνεῖται Γόγγυλος ἐκ Κορίνθου μιᾷ τριήρει καὶ συνδραμόντων πρὸς αὐτὸν, ὡς εἰκὸς, πάντων, ἔφραζεν ὅτι Γύλιππος ἀφίξεται διὰ ταχέων καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. (2) Οὔπω δὲ τῷ Γογγύλῳ πιστευόντων βεβαίως ἧκεν ἄγγελος παρὰ τοῦ Γυλίππου κελεύοντος ἀπαντᾶν. (3) Οἱ δὲ θαρρήσαντες ἐξωπλίζοντο· καὶ προσῆγεν εὐθὺς ὁ Γύλιππος ἐξ ὁδοῦ παρατεταγμένος ἐπὶ τοὺς Ἀθηναίους. (4) Ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ Νικίας, θέμενος ἐπὶ τοὺς Ἀθηναίους ὁ Γύλιππος τὰ e ὅπλα καὶ κήρυκα πέμψας ἔλεγε διδόναι τοῖς Ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ Σικελίας. (5) Ὁ μὲν οὖν Νικίας οὐδὲν

Callicrate exspiravit. (4) Lamachi corpore et armis potiti Syracusani ea abstulerunt et ad muros Atheniensium cursim contenderunt, ubi Nicias propugnatoribus carens jacebat. (5) Verum hic necessitate tamen compulsus surrexit periculoque præsenti conspecto, quos secum habebat, ignem lignis, quæ tum multa ante muros jacebant ad fabricandas machinas cæsa, ipsisque machinis immitti jussit. (6) Id consilium Syracusanos (nam ingentem flammam de medio loco assurgere videntes, retro averterunt) repressit, et Niciam murosque et pecuniam Atheniensium servavit. (7) Secundum hæc Nicias solus belli dux relictus, præclara in spe fuit. Nam et urbes ad ipsum deficiebant et multæ undique annona onustæ naves in castra ejus conveniebant, omnibus se ei, ut qui prospero uteretur successu, adjungentibus. Quin et sermones jam Syracusanorum salutem urbis desperantium de pacificatione ad ipsum deferebantur. (8) Quando Gylippus quoque Lacedæmone ad opem iis ferendam navigans, ut in itinere cognovit urbem munitionibus clausam summis esse in angustiis, ita porro navigavit, ut qui teneri jam ab hoste Siciliam putaret et Italicas tantum jam urbes ab eo defendendas, si quidem posset, duceret. (9) Late enim fama tenebat, Athenienses omnia in sua potestate habere et duce belli uti ob fortunæ favorem prudentiamque invicto. (10) Et ipse tum contra naturam suam Nicias, præsenti rerum fortuna aucta statim fiducia, ac potissimum iis fidens, quæ ex clandestinis cum iis qui Syracusis nuncios ad ipsum mittebant colloquiis acceperat, jamjam urbem conditiones pacis accepturam ratus, Gylippum advenientem nihili fecit, neque, quam tempus postulabat, est usus custodia. Itaque Gylippus dum ab eo plane contemnitur atque negligitur, per fretum in Siciliam nescio Nicia appulit longissime ab urbe Syracusis copiasque magnas conduxit, neque advenisse his eum scientibus neque exspectantibus. (11) Quare concione iis indicta, ut de pace cum Nicia facienda ageretur, quidam convenerant, qui eam componendam existimabant, priusquam prorsus munitionibus urbs circummuniretur; per enim exiguum ei operi deerat adhuc et jam omnis ad id perficiendum parata erat materia.

XIX. Jam id in discrimen adductis rebus Gongylus Corintho Syracusas una triremi pervenit, concursuque, ut fit, ad ipsum facto, mox adfuturum Gylippum, advehi etiam alias auxiliarias naves indicat. (2) Nondum fidem iis Gongylo habentibus a Gylippo nuncius venit obviam ire sibi Syracusanos jubente. (3) Ita demum receptis animis Syracusani armati Gylippo occurrerunt; isque statim ex itinere instructas copias contra Athenienses duxit. (4) Postquam et horum aciem opposuit Nicias, Gylippus in conspectu Atheniensium depositis armis præconem ad eos misit, impunitatem se Atheniensibus, si quidem ex Sicilia abeant, dare edicens. (5) Nullo responso id Nicias dignari, quidam

ἠξίωσεν ἀποκρίνασθαι· τῶν δὲ στρατιωτῶν τινες καταγελῶντες ἠρώτων, εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας Λακωνικῆς οὕτως ἰσχυρὰ τὰ Συρακοσίων ἐξαίφνης γέγονεν, ὥστ' Ἀθηναίων καταφρονεῖν, οἳ πολὺ ῥωμαλεωτέρους Γυλίππου καὶ μᾶλλον κομῶντας τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους ἀπέδωκαν Λακεδαιμονίοις. (6) Τίμαιος δὲ καὶ τοὺς Σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον, ὕστερον f μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν καταγνόντας, ὡς δὲ πρῶτον ὤφθη, σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. Εἶτα μέντοι φησὶν αὐτός, ὅτι τῷ Γυλίππῳ φανέντι καθάπερ γλαυκὶ πολλοὶ προσέπτησαν ἑτοίμως στρατευόμενοι. (7) Καὶ ταῦτα τῶν πρώτων ἀλη-536θέστερά εἰσιν· ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι a τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς Σπάρτης καθορῶντες συνίσταντο. (8) Κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν οὐ Θουκυδίδης μόνον, ἀλλὰ καὶ Φίλιστος, ἀνὴρ Συρακόσιος καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. (9) Τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ Ἀθηναῖοι τῶν Συρακοσίων ὀλίγους τινὰς ἀπέκτειναν καὶ Γόγγυλον τὸν Κορίνθιον. (10) Εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔδειξεν ὁ Γύλιππος, οἷόν ἐστιν ἐμπειρία. Τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν ἐνίκησε τοὺς Ἀθηναίους· καὶ φυγόντων εἰς τὸ στρατόπεδον ἐπιστήσας τοὺς Συρα- b κοσίους τοῖς λίθοις οἷς ἐκεῖνοι προσεκόμιζον καὶ τῇ ὕλῃ παροικοδομῶν εἰς διαστολὰς ἀπέκοψε τὸν ἐκείνων περιτειχισμόν, ὥστ' αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. (11) Ἐκ τούτου δὲ θαῤῥήσαντες οἱ Συρακόσιοι τάς τε ναῦς ἐπλήρουν καὶ τοῖς ἱππεῦσι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες πολλοὺς ᾕρουν. (12) Καὶ ὁ Γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις αὐτὸς ἐξώρμα καὶ συνίστη πάντας ἐῤῥωμένως ὑπακούοντας αὐτῷ καὶ συλλαμβανομένους, ὥστε τὸν Νικίαν αὖθις εἰς ἐκείνους ἀποτρεπόμενον τοὺς πρώτους λογισμοὺς καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν ἀθυμεῖν καὶ γράφειν τοῖς Ἀθηναίοις κελεύοντα πέμπειν ἕτερον στρατὸν ἢ c καὶ τοῦτον ἀπαγαγεῖν ἐκ Σικελίας, αὐτῷ δὲ πάντως αἰτούμενον τῆς στρατηγίας ἄφεσιν διὰ τὴν νόσον.

XX. Οἱ δ' Ἀθηναῖοι καὶ πρότερον μὲν ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς Σικελίαν, φθόνῳ δὲ τῶν πρώτων πραττομένων πρὸς εὐτυχίαν τοῦ Νικίου τοσαύτην πολλὰς διατριβὰς ἐμβαλόντων, τότε γοῦν ἔσπευδον βοηθεῖν. (2) Καὶ Δημοσθένης μὲν ἔμελλε μεγάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος, Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων ᾑρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων Εὐθύδημον καὶ Μένανδρον. (3) Ἐν τούτῳ δὲ d καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων, πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν, ἀλλ' ἄφνω προσπεσὼν ὁ Γύλιππος εἷλε τὸ Πλημμύριον, ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων ἐκράτησε πάν-

militum irridere et percontari, ecquid unius pallioli et baculi Laconici præsentia ita res Syracusanorum corroboratæ essent, uti Athenienses despicerent, qui multo robustiores Gylippo magisque comatos trecentos quum in compedibus habuissent, eos Lacedæmoniis reddiderint. (6) Timæus ne Siculos quidem Gylippum alicujus pretii hominem duxisse ait, sed et postea avaritiam ejus sordesque damnasse, et ut primum in Sicilia visus est, lacernam ejus et comam risisse. Deinde tamen, inquit, ad eum, tanquam ad noctuam subito visam, multi advolaverunt eumque ducem sunt secuti. (7) Id quod verius est quam priora ista. Etenim in scipione et pallio majestatem Laconicam conspicati, ad eum se adjunxerunt. (8) Ac totius rei gestæ gloriam Gylippo deberi non Thucydides modo, sed et Philistus Syracusanus, qui rebus istis interfuit, scribunt. (9) Primo conflictu Athenienses superiores fuerunt, paucosque Syracusanorum aliquot et Gongylum Corinthium interfecerunt. (10) Postridie, quæ vis esset experientiæ, Gylippus ostendit. Iisdem enim armis, equis locisque usus ordine modo instruendæ aciei mutato, vicit Athenienses, hostiles munitiones interrupit et, dum illi fugiunt in castra, Syracusanos constituens iis ipsis quos illi advexerant lapidibus reliquaque materia intervalla præstruens ita ut vel vincentibus nihil commodi præberent. (11) Inde animis confirmati Syracusani classem instruere, equitibus suis et ministris passim vagantibus multos homines capere. (12) At Gylippus circum urbes proficisci, eas cohortari sibi adjungere et ad mandata sua exsequenda opemque ferendam promptas reddere. Quare Nicias rursus ad pristina sua consilia mentem revolvit, rerumque mutatione perspecta, æger animi Atheniensibus scripsit, ut aut alium mitterent excercitum, aut hunc suum etiam ex Sicilia revocarent, se autem omnino militia solvi ob morbum postulabat.

XX. Jam ante etiam mittere in Siciliam copias statuerant Athenienses, verum quum propter invidiam res priores tam prospere a Nicia gestæ magnam rei intulissent moram, tunc demum omni studio mittere subsidium properarunt. (2) Demosthenes sub exitum hiemis cum magna classe erat navigaturus, Eurymedon ipsa hieme præcessit, pecuniam afferens et Niciæ collegas ex iis qui tum in castris erant, Euthydemum et Menandrum constituens. (3) Interea Nicias rursus terra marique rem gerere subito aggressus, classe primum superatus, disjecit tamen hostium naves multasque submersit. Terra non satis mature suis subvenit, sed Gylippus Plemmyrium repente adortus cepit, quo in oppido triremium instrumenta et multum pecuniæ Athenienses reposuerant; omnia ea multique viri in Gylippi potestatem

των καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους καὶ ζῶντας ἔλαβε· τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. Ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα τῶν Ἀθηναίων κρατούντων, ἐκπεσόντων δὲ χαλεπὴ καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς e πολεμίους ἐκεῖ ναυλοχοῦντας. (4) Ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακοσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ' ἀταξίᾳ περὶ τὴν δίωξιν. Αὖθις οὖν ἐπεχείρουν παρασκευαζόμενοι λαμπρότερον. (5) Ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν, ἀλλὰ πολλὴν ἀβελτηρίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης σπεύδων, ἀπ' ἐλαττόνων καὶ χορηγουμένων φαύλως διαγωνίσασθαι. (6) Τοῖς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον ἀρτίως εἰς τὴν ἀρχὴν καθισταμένοις φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγούς, τὸν μὲν Δημοσθένην φθῆναι πράξαντάς τι λαμπρὸν, f ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. (7) Πρόσχημα δ' ἦν ἡ δόξα τῆς πόλεως, ἣν ἀπόλλυσθαι καὶ καταλύεσθαι παντάπασι φάσκοντες, εἰ φοβηθήσονται Συρακοσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. Καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίστωνος τοῦ Κορινθίων κυβερνήτου τοῖς περὶ τὸ ἄριστον, ὡς εἴρηκε Θουκυδίδης, κατὰ 537 κράτος ἡττήθησαν καὶ πολλοὺς ἀπέβαλον· καὶ ἀθυμία a πολλὴ περιεστήκει τὸν Νικίαν τῇ τε μοναρχίᾳ κακοπαθοῦντα καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων.

XXI. Ἐν τούτῳ δὲ Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ καὶ δεινότατος τοῖς πολεμίοις ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ἄγων ὁπλίτας πεντακισχιλίους, ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους, ὅπλων δὲ κόσμῳ καὶ παρασήμοις τριήρων καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. (2) Ἦν οὖν, ὡς εἰκὸς, αὖθις ἐν φόβῳ μεγάλῳ τὰ Συρακοσίων εἰς οὐδὲν πέρας οὐδὲ ἀπαλ- b λαγὴν, ἀλλὰ πονοῦντας ἄλλως καὶ φθειρομένους αὐτοὺς μάτην ὁρώντων. (3) Τὸν δὲ Νικίαν οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως, ἀλλ' ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος καὶ τῷ ταχίστῳ τῶν κινδύνων περὶ τοῦ παντὸς διαγωνισαμένους ἑλεῖν Συρακούσας ἢ ἀποπλεῖν οἴκαδε, δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν μηδὲ ἀνοήτως· τὴν γὰρ τριβὴν εἶναι κατὰ τῶν πολεμίων μήτε χρήματα κεκτημένων ἔτι μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενούντων· εἰ δὲ c θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ' αὐτὸν ἐπὶ συμβάσεις τραπησομένων, ὡς πρότερον. (4) Καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα καὶ μένειν κελεύοντες, ὡς καὶ νῦν ὑπερπονούντων τῷ πολέμῳ καὶ τὸν Γύλιππον βαρυνομένων, ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀνάγκαι, παντάπασιν ἀπαγορευσόντων. (5) Τούτων ὁ Νικίας τὰ μὲν

venerunt cæsique sunt haud pauci; et, quod maximum erat, Niciam commeatu interclusit, cujus subvectio secura erat et expedita Atheniensibus Plemmyrium tenentibus, ejectis difficilis et non nisi prœlio cum hostibus ibi in statione classem habentibus commisso. (4) Quin et Syracusanis sua classis non tam vi hostium, quam ob solutos in iis insequendis ordines videbatur detrimentum passa. Itaque splendidius instructa, hostem ad prœlium navale provocaverunt. (5) Nicias vero pugnam navalem detrectare stolidissimique esse dicere, quum tanta classis adventaret et recentes copiæ cum quibus mox esset adfuturus Demosthenes, interim minoribus et male instructis velle decertare. (6) Ceterum Menander et Euthydemus, nuper imperium adepti, utrique duci æmulabantur, quum et præclarum aliquod edere ante Demosthenis adventum facinus, et superare Niciæ gloriam cuperent. (7) Itaque prætexentes majestatem patriæ, quæ imminueretur omnino et periret, si Syracusanos ad pugnam provocantes timerent, navalis pugna ut committeretur pervicerunt, et ab Aristone Corinthiorum gubernatore circumventi eo, quod prandium apparaverat, ut Thucydides scribit, victique omnino permultos suorum amiserunt. Quæ res novum Niciæ dolorem attulit, quum et solus totius belli administrationem ægre susciperet, et collegarum culpa cladem accepisset.

XXI. Interim Demosthenes portum intrare conspectus est, apparatu splendidissimo et hostibus admodum terribili, navibus septuaginta tribus, quinque armatorum millia, jaculatorum, sagittariorum et funditorum tria millia advehens, armorum ornatu et navium insignibus multitudineque magistrorum et tibicinum ita instructa classe, ut plurimum is splendor ad ostentationem et terrorem hostibus incutiendum faceret. (2) Rursus itaque, ut erat consentaneum, in magnum timorem Syracusani pervenerunt, quum nullum finem laborum, sed alias ex aliis ærumnas et clades frustra se tolerare judicarent. (3) Niciæ gaudium quod ex adventu earum copiarum percepit, perbreve fuit. Primo enim statim colloquio Demosthenes continuo adoriri hostem et rem quam primum in summum discrimen deducere, Syracusas capere aut domum redire jubebat. Ibi Nicias metuens rebus a mira ista properatione et temeritate, orare ne quid inconsiderate, ne quid stulte actum vellet; docere, moram hostibus damnosam fore, qui et a pecunia jam laborent, neque diu porro cum iis sint permansuri socii; mox eos in difficultates conjectos, rursum, ut ante, ad se de pacis conditionibus missuros. (4) Et vero erant Syracusani quidam non pauci, qui clandestinis cum Nicia colloquiis utentes, manere eum jubebant, Syracusanos jam et bellum ægre sustentare et Gylippum molestum iis esse, omninoque si difficultates istæ augerentur, animos desponsuros affirmantes. (5) Hæc Nicias partim obscure innuens, partim

αἰνιττόμενος, τὰ δ' οὐ θέλων ἐν φανερῷ λέγειν ἀτολμίας παρέσχε τοῖς στρατηγοῖς δόξαν, καὶ ταῦτ' ἐκεῖνα πάλιν ἥκειν φάσκοντες αὐτοῦ, μελλήματα καὶ διατριβὰς καὶ d ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμὴν οὐκ εὐθὺς ἐπιχειρῶν τοῖς πολεμίοις, ἀλλ' ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο. Καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. (6) Οὕτω δὴ τὴν πεζὴν στρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτὸς ἐπεχείρει ταῖς Ἐπιπολαῖς· καὶ τοὺς μὲν φθάσας πρὶν αἰσθέσθαι τῶν πολεμίων ἀπέκτεινε, τοὺς δ' ἀμυνομένους ἐτρέψατο. (7) Καὶ κρατῶν οὐκ ἔμενεν, ἀλλ' ἐχώρει προσωτέρω, μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε. Πρῶτοι γὰρ οὗτοι συστρέψαντες ἑαυτοὺς καὶ συνδραμόντες εἰς τοὺς Ἀθηναίους ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ἐώσαντο καὶ πολλοὺς αὐτοῦ κατέβαλον. (8) Δι' ὅλου δὲ τοῦ στρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχή, καὶ τοῦ φεύγοντος ἤδη καταπιμπλάμενον τὸ ἔτι νικῶν καὶ τὸ ἐπιβαῖνον e καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον ἑαυτῷ περιέπιπτε, τοὺς μὲν φεύγοντας οἰόμενον διώκειν, τοῖς δὲ φίλοις ὡς πολεμίοις χρώμενον. (9) Ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταὐτῷ μετὰ φόβου καὶ ἀγνοίας καὶ τὸ τῆς ὄψεως ἄπιστον ἐν νυκτὶ μήτε σκότος ἄκρατον μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ' οἵαν εἰκὸς ἤδη καταφερομένης σελήνης καὶ περισκιαζομένοις ὅπλοις πολλοῖς καὶ σώμασι κινουμένοις διὰ τοῦ φωτὸς μὴ διασαφοῦσαν τὰ εἴδη φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. (10) Ἔτυχον δέ πως καὶ τὴν σελήνην f ἔχοντες ὄπισθεν· ὅθεν αὐτοὶ μὲν αὐτοῖς τὰς σκιὰς ἐπιβάλλοντες ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων καὶ τὴν λαμπρότητα, τοὺς δ' ἐναντίους ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς πολὺ πλείονας ὁρᾶσθαι καὶ 538 λαμπροτέρους ἐποίει. (11) Τέλος δὲ πανταχόθεν αὐτοῖς, a ὡς ἐνέδοσαν, προσκειμένων τῶν πολεμίων φεύγοντες οἱ μὲν ὑπ' ἐκείνων, οἱ δ' ὑπ' ἀλλήλων ἀπέθνησκον, οἱ δὲ κατὰ τῶν κρημνῶν ὀλισθαίνοντες· τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους ἡμέρας ἐπιγενομένης οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. Ἐγένοντο δὲ νεκροὶ δισχίλιοι καὶ τῶν περιγενομένων ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν.

XXII. Ὁ μὲν οὖν Νικίας πληγεὶς οὐκ ἀπροσδοκήτως ᾐτιᾶτο τοῦ Δημοσθένους τὴν προπέτειαν· ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος ἐκέλευσεν ἀποπλεῖν τὴν ταχίστην· οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς οὔτ' ἀπὸ τῆς παρούσης τῶν πολεμίων κρατεῖν, ὅπου b γε καὶ κρατοῦντας ἐκείνων ἔδει μεταστῆναι καὶ φυγεῖν τὸ χωρίον, ἀεὶ μέν, ὡς πυνθάνονται, βαρὺ καὶ νοσῶδες ὂν στρατοπέδῳ, νῦν δ', ὡς βλέπουσι, καὶ διὰ τὴν ὥραν ὀλέθριον. Μετοπώρου γὰρ ἦν ἡ ἀρχή· καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δὲ ἠθύμουν. (2) Ὁ δὲ Νικίας χαλεπῶς ἤκουε τὴν φυγὴν καὶ τὸν ἀπόπλουν, οὐ τῷ μὴ δεδιέναι τοὺς Συρακοσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς Ἀθηναίους καὶ τὰς ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. (3) Δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι προσδοκᾶν

proloqui nolens, timiditatis opinionem de se apud collegas excitavit; dicentesque antiquas illas ejus artes, cunctationem, curas, nimiamque diligentiam quibus ab initio vigorem exercitus exstinxisset, non hostes invadendo, sed inanibus consiliis sese in despectum adducendo, eas nunc renovari, in Demosthenis sententiam concesserunt. Et vix tandem vi adactus Nicias reliquis morem gessit. (6) Proinde noctu Demosthenes cum peditatu profectus, Epipolas aggressus est; quibusdamque antequam hostem adesse sentirent occisis, aliis qui se opposuissent fusis, locum obtinuit. (7) Verum hoc non contentus, eo usque progressus est, dum in Bœotos incidit. Hi enim primi agmine facto adversis hastis cum magno clamore in Athenienses impetum dederunt multosque eorum prostraverunt. (8) Statim trepidatio tumultusque totum exercitum pervasit, fugientesque victoribus permixti et qui adhuc ascendebant et in hostem contendebant, a suorum fugientium turba repressi, invicem in se inciderunt, rati cedentes instare et socios pro hostibus ducentes. (9) Quippe concursus incompositus tot in uno loco hominum per terrorem et ignorationem incertusque conspectus in nocte neque tenebris meris obscura, neque luce certa illustrata (jam enim luna ad occasum vergens, arma et corpora multa varie agitata ita irradiabat umbrasque eorum projiciebat, ut conspici certo nihil quicquam posset), hostium metu etiam amicos suspectos invicem faciebat summasque in miserias Athenienses deducebat. (10) Habebant quoque forte a tergo lunam, atque ita suis sese umbris regentes, armorum suorum nitorem et multitudinem obtegebant, contra hostes ob scuta ad lumen lunæ renidentia, multo quam erant plures et splendidiores apparebant. (11) Tandem terga dederunt et quidam ab hostibus effuse fugientes insequentibus, alii a se mutuo cæsi sunt, nonnulli per præcipitia delapsi perierunt, multos hinc inde palantes facto die equites deprehenderunt ac perdiderunt. Duo Atheniensium millia cæsi, eorum qui evaserunt pauci cum armis in castra reverterunt.

XXII. Nicias non inopinata accepta clade, quum accusaret Demosthenis temeritatem, hic se excusans, suasit quam celerrime Siciliam relinquendam esse; nam neque venturum alium exercitum et præsentibus copiis hostem superari non posse, et quidem etiam victis hostibus, fugiendum tamen fore locum hunc, qui quum semper diceretur iniquus esse et insalubris militibus, tum vero satis appareret propter anni tempus pestilentem esse. Jam enim auctumnus inierat multique ægrotabant, animis omnes ceciderant. (2) At Niciæ consilium de fuga et discessu magnopere displicebat, non quod non metueret Syracusanos, sed quia magis iis Atheniensium judicia et calumnias formidaret; (3) dicebatque se quidem non timere, ne quid præterea ad-

ἔφασκεν, εἰ δὲ συμβαίη, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον ἢ τὸν ὑπὸ τῶν πολιτῶν, οὐχ ὅμοια φρονῶν οἷς ὕστερον ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας· « Βούλομαι γὰρ, ἔφη, μᾶλλον ὑφ' ὑμῶν ἢ μεθ' ὑμῶν ἀποθανεῖν· » περὶ μέντοι τόπου καὶ χώρας, εἰς ἣν μετατάξουσι τὸ στρατόπεδον, βουλεύσασθαι καθ' ἡσυχίαν. (4) Ταῦτα δ' αὐτοῦ λέγοντος ὁ μὲν Δημοσθένης οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευτυχήσας ἐπαύσατο βιαζόμενος, τοῖς δ' ἄλλοις παρέστη τὸν Νικίαν προσδοκῶντα καὶ πιστεύοντα τοῖς ἔνδον οὕτως ἐῤῥωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως· διὸ καὶ συνεχώρησαν. (5) Ὡς μέντοι στρατιὰ Συρακοσίοις ἐπῆλθεν d ἄλλη καὶ μᾶλλον ἥπτετο τῶν Ἀθηναίων ἡ νόσος, ἤδη καὶ τῷ Νικίᾳ συνεδόκει μεθίστασθαι καὶ παρήγγειλε τοῖς στρατιώταις εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν.

XXIII. Ὡς δ' ἦν ἕτοιμα ταῦτα πάντα καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττεν, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη τῆς νυκτὸς, μέγα δέος τῷ Νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπὸ ἀπειρίας ἢ δεισιδαιμονίας ἐκπεπληγμένοις τὰ τοιαῦτα. (2) Τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν ἀμωσγέπως ἤδη συνεφρόνουν καὶ οἱ πολλοὶ γινομένην ὑπὸ τῆς σελήνης· αὐτὴν δὲ τὴν σελήνην, ᾧτινι συντυγχάνουσα καὶ πῶς e αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι καὶ χρόας ἵησι παντοδαπὰς, οὐ ῥᾴδιον ἦν καταλαβεῖν, ἀλλ' ἀλλόκοτον ἡγοῦντο καὶ πρὸ συμφορῶν τινων μεγάλων ἐκ θεοῦ γινόμενον σημεῖον. (3) Ὁ γὰρ πρῶτος σαφέστατόν γε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας οὔτ' αὐτὸς ἦν παλαιὸς οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόῤῥητος ἔτι καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς ἢ πίστεως βαδίζων. (4) Οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς f αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον, ἀλλὰ καὶ Πρωταγόρας ἔφυγε καὶ Ἀναξαγόραν εἰρχθέντα μόλις περιεποιήσατο Περικλῆς, καὶ Σωκράτης, οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φιλοσοφίαν. (5) Ὀψὲ δ' ἡ Πλάτωνος ἐκλάμψασα δόξα διὰ τὸν βίον τοῦ ἀνδρὸς καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις
539 ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας ἀφεῖλε τὴν τῶν a λόγων τούτων διαβολὴν καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. (6) Ὁ γοῦν ἑταῖρος αὐτοῦ Δίων, καθ' ὃν χρόνον ἔμελλεν ἄρας ἐκ Ζακύνθου πλεῖν ἐπὶ Διονύσιον ἐκλιπούσης τῆς σελήνης, οὐδὲν διαταραχθεὶς ἀνήχθη καὶ κατασχὼν ἐν Συρακούσαις ἐξέβαλε τὸν τύραννον. (7) Τῷ μέντοι Νικίᾳ συνηνέχθη τότε μηδὲ μάντιν ἔχειν ἔμπειρον· ὁ γὰρ συνήθης αὐτοῦ καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν Στιλβίδης ἐτεθνήκει μικρὸν ἔμπροσθεν. (8) Ἐπεὶ τὸ σημεῖον, ὥς φησι Φιλόχορος, φεύγουσιν οὐχ ἦν πονηρὸν, ἀλλὰ καὶ πάνυ χρηστόν· ἐπικρύψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται, τὸ δὲ φῶς b πολέμιόν ἐστιν αὐταῖς· ἄλλως τε καὶ τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακὴν, ὡς

versi in Sicilia accideret, sin vero secus eveniret, malle ab hostibus, quam a civibus necari; (a qua ejus sententia alienus fuit posteriori tempore Leo Byzantinus, qui ad cives suos dixit, malle se ipsorum manu, quam una cum ipsis mori); ceterum de loco in quem castra sint transferenda, per otium deliberandum esse. (4) Hæc illo disserente, Demosthenes, ut qui sua sententia haud feliciter Niciæ consilium victum ante sciret, urgendi finem fecit; concesserunt et reliqui, quod subiret eis cogitare Niciam ideo de discessu tam vehementer denuo obniti, quod iis qui in urbe erant fidem haberet, beneque de iis speraret. (5) Sed posteaquam et alius Syracusanis accessit exercitus, et lues apud Athenienses aucta est, tum demum Nicias quoque in sententiam Demosthenis concessit, militibusque mandavit, uti ad abnavigandum parati essent.

XXIII. Omnibus jam ad abitum instructis, quum nemo hostium observaret (neque enim quisquam id exspectabat), noctu luna defecit; ea res Niciæ aliisque qui seu imperitia seu superstitione decepti id genus ostenta timent, magnum injecit terrorem. (2) Solis enim lumen circa trigesimum mensis diem obscurari idque lunam efficere, jam tum utcumque etiam vulgo intelligebatur. Quid vero rei esset, quod luna subito, quum plena luce splendet, eam amittat variosque colores exhibeat, non facile intelligebatur et in prodigium trahebatur, quo divinitus magnæ præmonstrarentur calamitates. (3) Qui enim primus apertissime quidem et liberrime ausus est de lunæ illuminatione et obumbratione scripto edere rationem, is Anaxagoras fuit, non vetustus ipse, neque celebris tum disputatio habebatur, sed occulte adhuc et apud paucos et cum cautione magis quam fide tractabatur. (4) Non enim ferebant eo tempore eos qui naturam rerum et cœlestia sublimiaque explicare profitebantur; tanquam qui divinum numen in absurdas causas viresque providentia cassas et affectiones necessitate constrictas discerperent. Itaque et Protagoras in exilium actus est, et Anaxagoram in carcerem conjectum vix servavit Pericles, et Socrates ejusdem philosophiæ causa, quum quidem nihil esset ipsi cum physica rei, interiit. (5) Platonis primum gloria, quæ et ob vitam ejus effulsit et quod divinis præstantioribusque principiis naturales istas necessitates subjecit, invidia eam philosophiæ partem liberavit, eique aditum ad omnes homines expediit. (6) Socius quidem Platonis Dio, quo tempore a Zacyntho solvens contra Dionysium ibat, lunæ defectu, qui tum forte accidebat, nihil turbatus, Syracusas perrexit ac tyrannum ejecit. (7) Nicias tum casu vatem peritum secum habebat nullum; familiaris enim ejus, et qui multum ei superstitionis solebat eximere, Stilbides, paulo ante fato functus erat. (8) Namque, ut Philochorus asserit, signum id fugientibus nequaquam malum est, sed percommodum: tenebras enim et latebras quacum metu aguntur, requirunt, iisque lux est adversa. Et alioquin quæ circa solem lunamve accidunt portenta, in

Αὐτοκλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς. (9) Ὁ δὲ Νικίας ἄλλην ἔπεισε σελήνης ἀναμένειν περίοδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐτὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε.

XXIV. Μικροῦ δὲ πάντων ἀφέμενος τῶν ἄλλων ἔθυε καὶ διεμαντεύετο καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι, τῷ μὲν πεζῷ τὰ τείχη καὶ τὸ στρατόπεδον αὐτῶν πολιορκοῦντες, ταῖς δὲ ναυσὶ κύκλῳ τὸν λιμένα περιλαμβάνοντες, οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν, ἀλλὰ c καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἁλιάδων καὶ ταῖς σκάφαις προσπλέοντα προὐκαλεῖτο τοὺς Ἀθηναίους καὶ προὐπηλάκιζεν. (2) Ὧν ἕνα, παῖδα γνωρίμων γονέων, Ἡρακλείδην, προεξελάσαντα τῷ πλοίῳ ναῦς Ἀττικὴ διώκουσα κατελάμβανε. Δείσας δὲ περὶ αὐτῷ Πόλλιχος ὁ θεῖος ἀντελαύνει δέκα τριήρεσιν, ὧν ἦρχεν· οἱ δ' ἄλλοι περὶ τοῦ Πολλίχου φοβηθέντες ὡσαύτως ἀνήγοντο. Καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης ἐνίκησαν οἱ Συρακόσιοι καὶ τὸν Εὐρυμέδοντα πολλῶν μετ' ἄλλων διέφθειραν. (3) Ἦν οὖν οὐκέτι μένειν ἀνασχετὰ Ἀθηναίοις, ἀλλὰ τῶν στρατηγῶν κατεβόων d πεζῇ κελεύοντες ἀναχωρεῖν. Καὶ γὰρ οἱ Συρακόσιοι νικήσαντες εὐθὺς ἐνέφραξαν καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. (4) Οἱ δὲ περὶ τὸν Νικίαν τοῦτο μὲν οὐκ ἐπείθοντο· δεινὸν γὰρ ἦν ἀπολιπεῖν ὁλκάδας τε πολλὰς καὶ τριήρεις ὀλίγον ἀριθμῷ διακοσίων ἀποδεούσας· ἐμβιβάσαντες δὲ τῶν πεζῶν τοὺς ἀρίστους καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριήρεις· αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. (5) Τὸν δὲ λοιπὸν ὄχλον ἔστησε παρὰ θάλασσαν ὁ Νικίας ἐκλιπὼν τὸ μέγα στρατόπεδον καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ Ἡράκλειον, ὥστε, μὴ τεθυκότων τὴν εἰθισμένην θυσίαν τῷ Ἡρακλεῖ τῶν Συρακοσίων, θῦσαι τότε τοὺς ἱερεῖς καὶ στρατηγοὺς ἀναβάντας.

XXV. Ἤδη δὲ πληρουμένων τῶν τριήρων, ἐπειδὴ e οἱ μάντεις τοῖς Συρακοσίοις ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην μὴ καταρχομένοις μάχης, ἀλλ' ἀμυνομένοις (καὶ γὰρ τὸν Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον), ἀνήχθησαν. (2) Ἡ δὲ ναυμαχία πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις ἢ τοῖς ἀγωνιζομένοις διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτους ἐν ὀλίγῳ λαμβάνοντος ἔβλαπτε ταῖς αὑτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. (3) Ἀθρόαις f γὰρ ἐμάχοντο ταῖς ναυσὶ καὶ βαρείαις πρὸς κούφας ἀλλαχόθεν ἄλλας ἐπιφερομένας καὶ βαλλόμενοι λίθοις ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα κατ' αἰχμὴν προσφέρεσθαι. (4) Ταῦτα δ' a
540 Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακοσίους καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προθύμως ἔπεσεν ἤδη κρατούντων τῶν Συρακοσίων. (5) Γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς ἡ μὲν κατὰ θάλασ-

triduum tantum cavere jubent, ut in Exegeticis Autoclides tradit. (9) At vero Nicias alium lunæ circuitum exspectare jubebat, quasi non statim eam esset conspecturus suo nitori restitutam, postquam ea per locum ab opposita terra luci solis obstructum transivisset.

XXIV. Interim reliquis prope omnibus rebus omissis, sacrificiis et auguriis tempus traxit, eo usque dum hostes Atheniensibus supervenerunt, pedestribus copiis muros eorum et castra oppugnantes, navibus autem portum circumquaque occupantes; neque ipsi solum triremibus id agebant, sed et pueri lembis piscatoriis et scaphis conscensis Athenienses per ludibrium provocabant. (2) Ex his pueris unum illustribus natum parentibus Heraclidam, quum is cymba sua præter reliquos esset provectus, Attica navis insequuta est et apprehendit. Illi timens Pollichus avunculus, decem triremibus, quibus præerat, contra hostes provectus, idemque tutandi Pollichi causa ceteri fecerunt. Commisso acri navali prœlio, vicerunt Syracusani et Eurymedontem cum multis aliis interfecerunt. (3) Jam vero nullo modo manendum sibi in insula Athenienses rati, multis clamoribus a ducibus contendebant, ut se terrestri itinere abducerent; nam Syracusani statim a victoria fauces portus obstruxerant et occluserant. (4) Niciæ autem id minime probabatur; indignam enim rem existimabat, tot naves onerarias triremesque prope ducentas hostibus relinquere. Itaque centum et decem triremes (reliquis enim remigia deerant) imposito fortissimo quoque peditum et jaculatorum robustissimo replevit. (5) Reliquam turbam ad mare assistere jussit, majoribus castris et munitionibus quæ ad Herculis fanum pertinent, relictis. Quo factum est ut intermissum hactenus Herculis sacrificium a Syracusanis, duces eorum et vates eo profecti peragerent.

XXV. Triremibus jam completis haruspices Syracusanis ex hostia gloriam et victoriam polliciti sunt, si non inferrent vim, sed defenderent; Herculem enim omnes eo vicisse ut se prius adortum defenderet. (2) Itaque in altum deductæ sunt ad pugnam naves. Fuit ea pugna ingens et acerrima, neque minus perturbavit movitque spectatores, quam ipsos eos qui dimicabant, quum illi certamen tam diversas subinde mutationes insperatasque accipiens contemplarentur. Suus autem apparatus non minus quam hostium incommodum attulit Atheniensibus. (3) Hi enim quum gravibus navigiis iisque confertis contra levia pugnarent, hinc inde irrumpentia, icti lapidibus, qui undique eandem ictus vim habebant, ipsi jaculis et sagittis hostem petebant, quæ ne directe omnia et cuspide inciderent, maris fluctuatio efficiebat. (4) Hoc præceptum Aristo Corinthius gubernator Syracusanis dederat, qui in ipso prœlio strenue dimicans, jam vincentibus Syracusanis occubuit. (5) Atheniensibus ingenti clade fusis et facultas mari effugiendi

σαν φυγὴ τοῖς Ἀθηναίοις ἀποκέκοπτο· χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον οὔτε νεκρῶν ᾔτησαν ἀναίρεσιν, ἅτε δὴ τῆς ἐκείνων ἀταφίας τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν οἰκτροτέραν οὖσαν ἤδη πρὸ ὀφθαλμῶν ἔχοντες, αὐτοὺς δὲ κἀκείνων ἐπιπονωτέρους ἡγούμενοι μετὰ πλειόνων κακῶν ἐπὶ ταὐτὸ πάντως b ἀφιξομένους τέλος.

XXVI. Ὡρμημένων δ' αὐτῶν ἀπαίρειν διὰ νυκτὸς οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακοσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν ὄντας οὔτε πείσειν οὔτε βιάσεσθαι προσεδόκων ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν, Ἑρμοκράτης δ' αὐτὸς ἀφ' ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν ἀπ' ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι, παραινοῦντας δὲ μὴ πορεύεσθαι διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακοσίων ἐνέδρας c πεποιημένων αὐτοῖς καὶ προκατεχόντων τὰς παρόδους. (2) Τούτῳ δὲ καταστρατηγηθεὶς ὁ Νικίας διέμεινεν ἃ ψευδῶς ἔδεισεν ὑπὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. (3) Προελθόντες γὰρ ἅμ' ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν τάς τε γεφύρας ἀπέκοψαν, ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν, ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. (4) Οἱ δὲ καὶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν νύκτα τὴν ἑτέραν ἐπιμείναντες ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ, καθάπερ ἐκ πατρίδος, οὐ πολεμίας, ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν d ἀναγκαίων καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων, ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων νομίζοντες εἶναι. (5) Πολλῶν δὲ δεινῶν ἐν τῷ στρατοπέδῳ φαινομένων οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα, κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ' ἀξίαν εἰς ἀναγκαίαν δίαιταν καὶ τὰ μικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα πολλῶν διὰ τὴν νόσον δεόμενον, πράττοντος δὲ μετ' ἀῤῥωστίας καὶ καρτεροῦντος ἃ πολλοὶ τῶν ἐῤῥωμένων μόλις ὑπέμενον, καταφανοῦς δὲ πᾶσιν ὄντος οὐ δι' αὐτὸν οὐδὲ τῷ φιλοψυχεῖν τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι' ἐκείνους τὴν e ἐλπίδα μὴ προϊεμένου. (6) Καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τρεπομένων ἐκεῖνος, εἴ ποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν ὧν ἤλπιζε κατορθώσειν. (7) Οὐ μόνον δ' αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες καὶ τῶν παραινέσεων, ἃς ἐποιήσατο κωλύων τὸν ἔκπλουν, ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν, καὶ πρὸς τὰς ἐκ θεῶν ἐλπίδας ἀθύμως εἶχον ἐννοοῦντες, ὡς ἀνὴρ θεοφιλὴς καὶ πολλὰ καὶ μεγάλα λαμπρυνόμενος πρὸς τὸ θεῖον οὐδενὸς ἐπιεικεστέρᾳ τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ στρατεύματι f καὶ ταπεινοτάτων.

XXVII. Οὐ μὴν ἀλλ' ὅ γε Νικίας ἐπειρᾶτο καὶ

omnis prærepta ab hoste fuit, et quum terra se difficulter evasuros cernerent, neque Syracusanis naves ex propinquo abducentibus repugnaverunt, neque suorum cadavera ad sepulturam petierunt, quum jam ante oculos haberent, majoris esse miseriæ, saucios alios et ægrotos hosti, quam istos inhumatos relinquere, illorumque deteriore conditione se ipsos esse existimabant, qui ad eundem utique finem per plura adversa tenderent.

XXVI. Quum autem noctu statuissent discedere Athenienses, Gylippus ne in animum quidem suum induxit, posse Syracusanis persuaderi, ut a sacrificiis et potationibus, quibus se victoriæ et solennis festivitatis causa dederant, ad insequendos hostes se conferrent. At Hermocrates suo ex ingenio dolum adversus Niciam commentus, quosdam ad eum misit, qui tanquam ab iis missi Syracusanis, quibuscum clandestina agitare colloquia ipse consueverat, monerent ne ea nocte proficisceretur: insidias enim a Syracusanis positas, obsessaque esse itinera. (2) Hac fraude Nicias deceptus ea nocte substitit, idque quod falso metuebat, postridie hostium fraude revera expertus est. (3) Summo enim mane Syracusani angustias viarum occupavere, transitus fluviorum clauserunt, pontes deturbarunt, campestria et plana loca equitibus insederunt, ita ut sine pugna nullus Atheniensibus uspiam pateret progressus. (4) Hi quum et diem eum et insequentem noctem mansissent, inde cum fletu et ejulatu profecti sunt, tanquam si non ex hostili, sed ex patria terra discederent: adeo penuria rerum necessariarum et amici familiaresque imbecilli relicti eos afficiebant, et tamen præsentia mala futuris leviora ducebant. (5) Inter plurima, quæ eo in exercitu miseranda videbantur, nullum fuit ipso Nicia spectaculum miserabilius. Quippe vi morbi afflictus, præter dignitatem suam ad maxime necessarium victum tenuissimumque viaticum redactus, quum quidem corpus ob infirmitatem plurimis opus haberet, in tanta imbecillitate tamen agebat atque tolerabat, quæ multi sani et validi non sustinerent: omnibus manifesto demonstrans, se non vitæ amore, suive causa eas ærumnas perferre, sed exercitus causa non omnem spem abjicere. (6) Et quum reliqui ad lacrimas et questus sese demitterent præ metu atque mœrore, ipse, si idem facere cogeretur, satis liquebat, recordatione turpitudinis infamiæque ea militia partæ, ejusque cum magnitudine et gloria rerum quas se gesturum speraverat, comparatione ista extorqueri. (7) Neque tantum vultum ejus inspicientes, sed multo magis sermones ejus bellum hoc dissuadentis admonitionesque memoria repetentes, indigna circumventum calamitate censebant; neque boni jam a diis quicquam sperabant, reputantes hominem religiosum et qui summa liberalitate deûm honores auxisset, nihilo quam flagitiosissimos et vilissimos in toto exercitu homines meliore esse conditione.

XXVII. Neque tamen non conatus est Nicias voce, vultu

φωνῇ καὶ προσώπῳ καὶ δεξιώσει κρείττων ὁρᾶσθαι τῶν δεινῶν. Καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ' ἡμέρας ὀκτὼ βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, 541 ἄχρις οὗ Δημοσθένης ἑάλω καὶ τὸ μετ' ἐκείνου στράτευμα a περὶ τὴν Πολυζήλειον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. (2) Αὐτὸς δὲ Δημοσθένης σπασάμενος τὸ ξίφος ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων αὐτόν. (3) Ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακόσιοι καὶ πέμψας ἱππέας ἔγνω τὴν ἐκείνου τοῦ στρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων, ὅσα Συρακοσίοις ἀνάλωτο πρὸς τὸν πόλεμον. (4) Οἱ δ' οὐ b προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ' ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες ἔβαλλον ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. (5) Οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε καὶ τὴν ἐπιοῦσαν ἡμέραν προῄει βαλλόμενος πρὸς τὸν Ἀσίναρον ποταμόν. Ἐπεὶ δὲ τοὺς μὲν οἱ πολέμιοι συνενεγκόντες ἐνέσεισαν εἰς τὸ ῥεῖθρον, οἱ δὲ φθάνοντες ὑπὸ δίψους ἔρριπτον ἑαυτούς· καὶ πλεῖστος ἐνταῦθα μόρος ἦν καὶ ὠμότατος ἐν τῷ ποταμῷ πινόντων ἅμα καὶ σφαττομένων, ἄχρι Νικίας Γυλίππῳ προσπεσὼν εἶπεν· « Ἔλεος ὑμᾶς, ὦ Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδείς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον, τῶν δ' ἄλλων Ἀθηναίων, c ἐννοηθέντας ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου, μετρίως δ' αὐταῖς καὶ πρᾴως ἐχρήσαντο ἐν οἷς εὐτύχουν Ἀθηναῖοι πρὸς ὑμᾶς. » (6) Τοιαῦτα τοῦ Νικίου λέγοντος ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ καὶ πρὸς τοὺς λόγους ὁ Γύλιππος· ᾔδει γὰρ τοὺς Λακεδαιμονίους εὖ πεπονθότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας διαλύσεις· μέγα δ' ἡγεῖτο πρὸς δόξαν, εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιστρατήγους. (7) Διό τόν τε Νικίαν ἀναλαβὼν ἐθάρρυνε καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγειλε. Βραδέως d δὲ τοῦ παραγγέλματος διικνουμένου πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο· καίτοι πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. (8) Τοὺς δὲ φανερῶς ἑαλωκότας ἀθροίσαντες τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις, ἐστεφανωμένοι δ' αὐτοὶ καὶ κοσμήσαντες τοὺς ἵππους διαπρεπῶς, κείραντες δὲ τοὺς τῶν πολεμίων εἰσήλαυνον εἰς τὴν πόλιν ἀγῶνα λαμπρότατον, ὃν Ἕλληνες πρὸς Ἕλληνας ἠγωνίσαντο καὶ νίκην τελεωτάτην κράτει πλείστῳ καὶ ῥώμῃ μεγίστῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες.

XXVIII. Ἐκκλησίας δὲ πανδήμου Συρακοσίων καὶ τῶν συμμάχων γενομένης Εὐρυκλῆς ὁ δημαγωγὸς ἔγραψε, e πρῶτον μὲν τὴν ἡμέραν, ἐν ᾗ τὸν Νικίαν ἔλαβον, ἱερὰν ἔχειν θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας· ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ Καρνείου μηνὸς, ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα προσαγορεύουσι· τῶν δ' Ἀθηναίων τοὺς μὲν

et suis compellandis superiorem se calamitatibus ostendere; totoque octo dierum itinere ab hostibus jaculis impetitus et sauciatus, invictum suum exercitum conservavit, donec Demosthenes cum exercitu apud villam Polyzeli inter pugnandum a reliquis copiis avulsus atque circumventus in potestatem hostium pervenit. (2) Ac Demosthenes sibi ipsi quidem stricto gladio ictum intulit, non tamen mortuus est, hostibus eum mature cingentibus et corripientibus. (3) Hæc ubi et Syracusani adequitantes Niciæ indicaverunt et ipse missis equitibus captum esse cum Demosthene exercitum cognovit, ita demum a Gylippo petiit ut Athenienses factis induciis, acceptisque obsidibus, dum omnis in bellum hoc impensa pecunia Syracusanis redderetur, Athenienses ex Sicilia dimitteret. (4) Id ut impetraret tantum abfuit, ut ab hostibus superbe atque petulanter minitantibus et contumeliose insultantibus telis etiam impeteretur, omnibus jam destitutus rebus necessariis. (5) Perduravit tamen eam noctem et postridie ad Asinarum fluvium hostibus semper urgentibus processit. Ibi Athenienses partim equitatus hostium impetu facto in profluentem detrusit, alii siti victi ultro ad aquam procubuerunt, ibique ingens et crudelissima inter bibendum trucidatorum edita est strages, donec Nicias ad pedes Gylippi accidens: Misereremini, inquit, victores, non quidem mei, cujus gloria nomenque illustre ad tantas calamitates devenit, sed Atheniensium reliquorum, et cogitate communem esse fortunam belli, qua mediocriter usi sunt et clementer Athenienses, quoties ea illis contra vos favit. (6) His dictis quum aspectus Niciæ sermoque Gylippum movit, non ignarum in pacificatione olim Lacedæmonios ab eo beneficium accepisse, tum vero quod magnæ sibi futurum gloriæ censebat, si adversæ partis duces vivos abduceret. (7) Itaque et Niciam recepit bonoque eum animo esse jussit, et reliquos cædi vetuit. Verum tardius eo mandato per milites dilato, multo minores capitivi interfectis fuerunt, quamvis haud paucos ipsi milites cædi subtraxerint. (8) Ergo collectis in unum iis, qui palam capti fuerant, maximas et pulcherrimas juxta fluvium arbores captivis armis decorarunt, ipsi coronati suisque eleganter exornatis equis, hostium tonsis, in urbem redierunt: quum quidem ex certamine, quo Græcorum contra Græcos nobilius fuit nullum, perfectissimam victoriam summa roboris, alacritatis virtutisque vi peperissent.

XXVIII. Advocatis deinde in concionem universis et Syracusanis et auxiliariis, Eurycles populi tum princeps legem tulit, ut dies quo Nicias captus fuit, festus esset, eoque ab operibus vacantes Asinaria festivitatem solennem (sic a fluvio nominatam) celebrarent: (fuit is dies vicesimus septimus Carnii mensis, quem Metagitnionem Athenienses cognominant;) ut Atheniensium servi et ceteri socii

οἰκέτας ἀποδόσθαι καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν ἐμβαλόντας εἰς τὰς λατομίας πλὴν τῶν στρατηγῶν· ἐκείνους δὲ ἀποκτεῖναι. (2) Ταῦτα προσδεχομένων τῶν Συρακοσίων, Ἑρμοκράτης μὲν εἰπὼν ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς f χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη, Γύλιππον δὲ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λακεδαιμονίοις ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακόσιοι κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον αὐτοῦ τὴν τραχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες, ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν 542 a κατεγνωκότες, ἀῤῥώστημα πατρῷον, ἐφ' ᾧ καὶ Κλεανδρίδης ὁ πατὴρ αὐτοῦ δώρων ἁλοὺς ἔφυγε, καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς τὴν Σπάρτην, ὑφελόμενος τριάκοντα καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πάντων ἐξέπεσεν. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ Λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. (3) Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακοσίων κελευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ' Ἑρμοκράτους πέμψαντος, ἔτι τῆς ἐκκλησίας συνεστώσης, μηδενὸς τῶν φυλάκων παρόντος, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν· τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. b (4) Πυνθάνομαι δὲ μέχρι νῦν ἐν Συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, Νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεκροτημένην.

XXIX. Τῶν δ' Ἀθηναίων οἱ μὲν πλεῖστοι διεφθάρησαν ἐν ταῖς λατομίαις ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς εἰς ἡμέραν ἑκάστην κοτύλας δύο κριθῶν λαμβάνοντες καὶ μίαν ὕδατος, οὐκ ὀλίγοι δ' ἐπράθησαν διακλαπέντες ἢ καὶ διαλαθόντες ὡς οἰκέται. (2) Καὶ τούτους ὡς οἰκέτας ἐπώλουν στίζοντες ἵππον εἰς τὸ μέτωπον· ἀλλ' ἦσαν οἱ καὶ τοῦτο πρὸς τῷ δουλεύειν c ὑπομένοντες. Ἐβοήθει δὲ καὶ τούτοις ἥ τ' αἰδὼ καὶ τὸ κόσμιον· ἢ γὰρ ἠλευθεροῦντο ταχέως ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. (3) Ἔνιοι δὲ καὶ δι' Εὐριπίδην ἐσώθησαν. Μάλιστα γὰρ, ὡς ἔοικε, τῶν ἐκτὸς Ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν οἱ περὶ Σικελίαν καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείγματα καὶ γεύματα κομιζόντων, ἐκμανθάνοντες ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. (4) Τότε γοῦν φασι τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάσασθαι τὸν Εὐριπίδην φιλοφρόνως καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ἀφείθησαν ἐκδιδάξαντες ὅσα τῶν ἐκείνου ποιημάτων d ἐμέμνηντο, τοὺς δ', ὅτι πλανώμενοι μετὰ τὴν μάχην τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. (5) Οὐ δεῖ δὲ θαυμάζειν, ὅτι τοῦ Καυνίου φασὶ πλοίου προσφερομένου τοῖς λιμέσιν ὑπὸ λῃστρίδων διωκομένου μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν, εἶτα μέντοι διαπυνθανομένους, εἰ γινώσκουσιν ᾄσματα τῶν

venderentur, ipsi et Sicilienses in lapidicinas custodiæ causa dederentur; uti duces eorum occiderentur. (2) Approbantibus hæc Syracusanis, Hermocrates quum diceret victoria recte uti, præclarius esse quam ipsum vincere, haud mediocri tumultu est exceptus: Gylippum vero duces Atheniensium poscentem, ut ii sibi Lacedæmonem vivi perducendi traderentur, luxuriantes jam rebus secundis maledictis incesserunt, quum in ipso alioquin bello haud facile severitatem ejus et Laconicum imperandi morem tulissent. Timæus addit, ob sordes etiam et avaritiam eum male apud ipsos audivisse, paterna vitia; nam et Cleandridas pater ejus ob capta munera exterminatus fuit, et ipse quod triginta talenta de mille iis, quæ Lysander Spartam misit, surripuisset subterque culmen domus abscondisset, indicio facto, turpissimo est exilio mulctatus. Qua de re accuratius est in Lysandri Vita dictum. (3) Demosthenem porro et Niciam Syracusanorum jussu periisse Timæus negat, ut Philistus et Thucydides scriptum reliquerunt, sed quum Hermocrates durante adhuc concione misisset qui populi sententiam exponeret, ipsos custodibus absentibus mortem sibi conscivisse; corpora quidem ante portas projecta ferunt, ut spectare qui vellent possent. (4) Auditu accepi etiamnum Syracusis scutum in templo repositum demonstrari, quod Niciæ fuisse perhibeant, auro purpuræ intertexto perquam ornatum.

XXIX. Plerique autem Atheniensium qui in latomias traditi fuere, ibi perierunt morbo et victu incommodo; singulis enim diebus, duas hordei cotylas, unam aquæ accipiebant; multi autem, vel furtim subtracti vel qui inter servos delituissent, divenditi sunt: (2) et hos quidem pro mancipiis ita vendebant, ut equi notam in fronte inurerent: et tamen erant qui hoc quoque præter servitutem dedecus sustinerent. Sed vel his verecundia et morum honestas postea auxilio fuit; aut enim manu missi statim sunt, aut in honore apud dominos habiti. (3) Nonnullis Euripides salutem attulit. Hujus enim poetæ Siculi Græcorum, ut constat, maxime studiosi fuerunt, et quum exiguæ subinde ejus carminum particulæ ac quasi gustus ejus Musæ ad ipsos perlatus esset, et ediscebant et libenter mutuo iis se impertiebant. (4) Eo itaque tempore ferunt permultos eorum, qui domum evasissent, Atheniensium, Euripidem honoris gratia salutasse et ei retulisse, alios, ut docendo quæ ipsius carmina memoria tenuissent, ex servitute libertatem recepissent, alios se, dum post pugnam vagarentur, versus ejus cantando, cibum potumque ea re invenisse. (5) Quo minus mirum est Cauniam navim prædonibus persequentibus ad Syracusarum portus confugientem, ab iis initio non receptam, sed aditu prohibitam fuisse; post quum interrogati ecquid Euripidis cantilenas te-

Εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καταγαγεῖν τὸ πλοῖον.

XXX. Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. Ξένος γάρ τις, ὡς ἔοικεν, ἀποβὰς εἰς Πειραιᾶ καὶ καθίσας ἐπὶ κουρεῖον ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων λόγους ἐποιεῖτο περὶ e τῶν γεγονότων. (2) Ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ καὶ προσβαλὼν τοῖς ἄρχουσιν εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον. (3) Ἐκπλήξεως δὲ καὶ ταραχῆς, ὡς εἰκὸς, γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες εἰσήγαγον τὸν ἄνθρωπον· ὡς δ' ἐρωτώμενος, παρ' οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι καὶ ταράττειν τὴν πόλιν εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν, ὡς εἶχεν, ἀπαγγέλλοντες. Οὕτω μόλις ὁ Νικίας ἐπιστεύθη παθὼν ἃ πολλάκις αὐτοῖς προεῖπεν.

nerent, affirmassent, ita demum concessum uti navim subducerent.

XXX. Apud Athenienses autem ferunt calamitatem maxime propter nuntium ipsum fidem non invenisse. Etenim hospes quidam quum in Piræeum esset advectus, in tonstrina sedens, de iis quæ acta fuerant, tanquam ea jam Atheniensibus cognita essent, verba fecit. (2) Tonsor quum primus omnium hoc de casu inaudivisset, celeriter in urbem accurrit ipsoque in foro rem magistratibus renunciavit. (3) Exorta, ut erat consentaneum, trepidatione et tumultu, principes advocata concione hominem ad populum introduxerunt. Is ex quo percepisset ista interrogatus, quum nominare auctorem non posset, nugator esse et civitatem voluisse perturbare creditus, rotæ alligatus est aliquandiuque tormenta passus donec venerunt, qui totam cladem exponerent. Adeo ægre creditum est ab Atheniensibus ea Niciam esse passum, quæ eventura sæpe prædixerat.

ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

543 Μάρκος δὲ Κράσσος ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρὸς, ἐτράφη δ' ἐν οἰκίᾳ μικρᾷ μετὰ δυεῖν ἀδελφῶν. Καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων, καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν, b ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. (2) Ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν τῇ γυναικὶ συνῴκησε καὶ τοὺς παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. (3) Καίτοι προϊὼν καθ' ἡλικίαν αἰτίαν ἔσχε Λικιννίᾳ συνεῖναι τῶν Ἑστιάδων μιᾷ παρθένων· καὶ δίκην ἔφυγεν ἡ Λικιννία Πλωτίνου τινὸς διώκοντος. (4) Ἦν δὲ προάστειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων c εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε· καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος ὑπὸ τῶν δικαστῶν ἀφείθη. Τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον ἢ τοῦ κτήματος κρατῆσαι.

II. Ῥωμαῖοι μὲν οὖν λέγουσι πολλαῖς ἀρεταῖς τοῦ Κράσσου κακίαν μόνην ἐπισκοτῆσαι τὴν φιλοπλουτίαν· ἔοικε δὲ οὐ μία, πασῶν δ' ἐρρωμενεστέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη τὰς ἄλλας ἀμαυρῶσαι. (2) Τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται τόν τε τρόπον τοῦ πορισμοῦ καὶ τῆς οὐσίας τὸ μέγεθος. Τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν ὑπατείαν ἀποθύσας μὲν τῷ Ἡρακλεῖ d τὴν δεκάτην καὶ τὸν δῆμον ἑστιάσας, τρεῖς δε μῆνας ἑκάστῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχὼν, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους στρατείας αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας εὗρεν ἑκατὸν

MARCUS CRASSUS.

M. Crassus, censorio triumphalique patre natus, una cum duobus fratribus in parva domo educatus est. Atque hi quidem vivis etiam adhuc parentibus uxores habuerunt omnesque simul eadem sunt usi mensa, quæ res ei ad temperantiam et frugalitatem haud parum contulisse creditur. (2) Altero fratrum mortuo, cum uxore ejus habitavit liberosque ex ea suscepit, ea in re nulli Romanorum continentia cedens. (3) Quanquam ætate progressus dictus est cum Licinia Vestali virgine rem habuisse, eaque a Plotino (Plotio) quodam rea ejus criminis facta est. (4) Possidebat ea suburbanum pulchrum: quod quum parvo pretio redimere Crassus cuperet, eamque ob rem crebro eam conveniret demerereturque, in istam incidit suspicionem. Hoc ille tamen incesti crimen avaritiæ nomine quodammodo diluens a judicibus culpa liberatus est. Neque tamen prius destitit Liciniam ambire, quam prædium illud adipisceretur.

II. Sane Romani tradunt multis Crassi virtutibus unum avaritiæ vitium offecisse; hoc tamen non unum ejus vitium fuisse videtur, sed quum omnibus reliquis ejus vitiis esset vehementius, cetera obscurasse putandum est. (2) Maxima autem ejus avaritiæ demonstrandæ argumenta habentur modus pecuniæ faciendæ et facultatum quantitas. Quum enim initio non ultra trecentorum talentorum rem habuisset, postea in consulatu, decimis Herculi consecratis, exhibito plebi epulo triumque mensium frumento in capita a se præbito, ante Parthicam tamen expeditionem inito suarum opum numero, septies mille ac centum talentorum

ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. (3) Τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθές, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. (4) Ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν ἐπώλει τὰς οὐσίας τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ λάφυρα καὶ νομίζων καὶ ὀνομάζων e καὶ βουλόμενος ὅτι πλείστοις καὶ κρατίστοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων οὔτ' ὠνούμενος ἀπεῖπε. (5) Πρὸς δὲ τούτοις ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας ἐμπρησμοὺς καὶ συνιζήσεις διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. Εἶτ' ἔχων τούτους ὑπὲρ πεντακοσίους ὄντας ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις διὰ φόβον καὶ ἀδηλότητα τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων, ὥστε τῆς Ῥώμης τὸ πλεῖστον μέρος ὑπ' αὐτῷ γενέσθαι. (6) Τοσούτους δὲ κεκτημένος τεχνίτας οὐδὲν ᾠκοδόμησεν αὐτὸς ἢ τὴν ἰδίαν οἰκίαν, ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους f αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι χωρὶς ἀνταγωνιστῶν. (7) Ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων, πολυτιμήτου δὲ χώρας καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα πρὸς τὴν τῶν
544 οἰκετῶν τιμήν· τοσούτους ἐκέκτητο καὶ τοιούτους, a ἀναγνώστας, ὑπογραφεῖς, ἀργυρογνώμονας, διοικητάς, τραπεζοκόμους, αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. (8) Καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ, ὡς ἔλεγεν, ἡγεῖτο τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δὲ οἰκέτας δι' αὑτοῦ κυβερνᾶν· τὴν γὰρ οἰκονομικὴν ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν ἐν ἀνθρώποις πολιτικὴν γιγνομένην ὁρῶμεν· ἐκεῖνο δὲ οὐκ εὖ, τὸ μηδένα νομίζειν μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας στρατόπεδον (ὁ γὰρ πόλεμος οὐ τεταγμένα σι- b τεῖται, κατὰ τὸν Ἀρχίδαμον, ὥσθ' ὁ πρὸς πόλεμον πλοῦτος ἀόριστος), καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένως· (9) ἐκεῖνος γάρ, ἐπεὶ κατ' ἄνδρα νείμας ἑκάστῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς ἔγνω πλέον ἐπιζητοῦντας, « Μηδείς, ἔφη, γένοιτο Ῥωμαίων ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν. »

III. Οὐ μὴν ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ Κράσσος· ἀνέῳκτο γὰρ ἡ οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων, ἀπῄτει δ' ἀποτόμως τοῦ χρόνου παρελθόντος, εἰς ὃν ἐδάνειζε, καὶ τὸ προῖκα πολλῶν ἐγίνετο τόκων ἐπαχθέστερον. (2) Ἐν δὲ τοῖς δείπνοις c ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης, ἡ δ' εὐτέλεια τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην ἡδίονα τοῦ πολυτελοῦς εἶχε. (3) Παιδείας δὲ τῆς περὶ λόγον μάλιστα μὲν τὸ ῥητορικὸν καὶ χρειῶδες εἰς πολλοὺς ἤσκησε· καὶ γενόμενος δεινὸς εἰπεῖν ἐν τοῖς μάλιστα Ῥωμαίων ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεστάτους ὑπερέβαλεν. (4) Οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν,

summam invenit. (3) Majorem horum partem (si quidem veritas etiam maledicto exprimenda est), ex igne et bello confecit, publicis calamitatibus pro summo usus quæstu. (4) Quo enim tempore Sylla capta urbe a se interfectorum bona, spolia ea et censens sua atque nominans, vendidit, cupiens et plurimos et optimos civium ejus piaculi contagio afficere, tum vendendi Crassus accipiendique nullum finem fecit. (5) Præterea incendia, cognatum Romæ atque domesticum malum, per urbem grassari cernens, et ædificia multa nimio pondere et domiciliorum multitudine corruere, coemptis ultra quingentis servis, qui architecturæ et ædificandarum domuum essent periti, deinde ædificia vel incensa vel his vicina a possessoribus, quos metus et incertus rerum eventus movebant, vili pretio redemit, eaque ratione magnam urbis Romæ partem suam fecit. (6) Atque ipse tot possidens fabros, nihil tamen præter suam domum exstruxit, ædificandi studio laborantium vires nullo adversario a se ipsis comminui dicens. (7) Quum autem permultum argentifodinarum, prædia ingentis pretii et operarios possideret, tamen hæc parvi facienda duxisset, qui cum mancipiorum ejus pretio conferret: tot ille talesque servos habebat, anagnostas, scriptores, argentarios, dispensatores, structores. His ipse docendis instituendisque præerat, docens domino maxime convenire curam servorum, qui rei domesticæ animata essent instrumenta. (8) Non male Crassus, si quidem ita sensit ut dixit, reliqua a servis debere, ipsos a domino gubernari. Etenim rationem familiæ administrandæ videmus, quum in tractandis rebus inanimis quæstuaria sit, in hominibus instituendis civilem rationem fieri. Id vero non recte, quod neminem divitem esse putabat et pronuntiabat, qui non suæ pecuniæ fructibus exercitum alere posset (bellum enim, ut ait Archidamus, demenso non alitur, unde ad bellum infinitæ requiruntur divitiæ); longe igitur abfuit a Marii sententia: (9) hic enim quum suis viritim dena quaterna agri jugera divisisset, ampliusque eos requirere intellexisset: Nemo, inquit, Romanorum sit qui, quod agri ad eum alendum satis est, parum existimet.

III. Fuit tamen Crassus hospitalis et omnibus fores ejus patebant. Amicis quoque absque fenore mutuum credebat, sed elapso quod definierat tempore adeo severe exigebat, ut ea fenoris remissio multis fuerit usuris gravior. (2) Ad cœnam plerumque populares et plebeios vocabat; in frugalitate ea munditics et comitas, uti splendore esset jucundior. (3) Ex artibus liberalibus dicendi artem usui apud populum futuram præcipue exercuit, disertusque natura inter primos Romanorum, diligentia et labore ingeniosissimos superavit. (4) Ferunt enim nullam ita exiguam aut abjectam fuisse causam, quam non posset ex tempore agere; itaque sæpe

ἀλλὰ καὶ Πομπηίου πολλάκις ὀκνοῦντος καὶ Καίσαρος ἐξαναστῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν· καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν ὡς ἐπιμελὴς καὶ βοηθητικός. (5) Ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις d καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. Οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. (6) Λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱστορίαν γενέσθαι καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριστοτέλους λόγοις προσθέμενος, ὧν διδάσκαλον εἶχεν Ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πρᾳότητος ἀπόδειξιν διδόντα τὴν πρὸς Κράσσον συνήθειαν. Οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέστερος ἢ προσελθὼν ἐγένετο. (7) Μόνος γοῦν ἀεὶ τῶν φίλων αὐτῷ συναποδημῶν στέγαστρον ἐλάμβανεν e εἰς τὴν ὁδὸν καὶ τοῦτ' ἐπανελθὼν ἀπῃτεῖτο, φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

IV. Ἐπεὶ δὲ Κίννα καὶ Μαρίου κρατήσαντος εὐθὺς ἦσαν ἔνδηλοι κατιόντες οὐκ ἐπ' ἀγαθῷ τῆς πατρίδος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίστων, οἱ μὲν ἐγκαταληφθέντες ἀπέθνησκον, ὧν ἦν καὶ ὁ πατὴρ Κράσσου καὶ ὁ ἀδελφὸς, αὐτὸς δὲ νέος ὢν παντάπασι τὸ μὲν αὐτίκα δεινὸν ἐξέφυγε, πάντη δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους ἀναλαβὼν καὶ θεράποντας δέκα, f τάχει δ' ὑπερβάλλοντι χρησάμενος εἰς Ἰβηρίαν ἔφυγε, γεγονὼς πάλαι στρατηγοῦντος αὐτόθι τοῦ πατρὸς καὶ φίλους πεποιημένος. (2) Εὑρὼν δὲ πάντας περιδεεῖς καὶ τὴν ὠμότητα τὴν Μαρίου καθάπερ ἐφεστῶτος αὐτοῖς 543 τρέμοντας οὐδενὶ γενέσθαι φανερὸς ἐθάρρησεν, ἀλλ' a εἰς ἀγροὺς ἐμβαλὼν παραλίους Οὐιβίου Πακιανοῦ σπήλαιον ἔχοντας εὐμέγεθες ἔκρυψεν ἑαυτὸν, πρὸς δὲ τὸν Οὐίβιον ἔπεμψεν ἕνα δοῦλον ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἐπιλιπόντων. (3) Ὁ δὲ Οὐίβιος ἀκούσας ἥσθη τε σωζομένῳ καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν ἐγγὺς ἐκέλευσε καθ' ἡμέραν δεῖπνον πεποιημένον κομίζειν καὶ τιθέντα παρὰ τὴν πέτραν ἀπέρχεσθαι σιωπῇ καὶ μὴ πολυπραγμονεῖν μηδ' ἐξετάζειν, προειπὼν πολυπραγμονοῦντι θάνατον, συμπράττοντι δὲ τοῦτο πιστῶς ἐλευθερίαν. (4) Τὸ δὲ σπήλαιον οὐκ ἄπωθεν μέν ἐστι b θαλάσσης, κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ παραπέμπουσι λαύραν ἀνάγουσαν εἴσω, παρελθόντι δ' ὕψος τε θαυμαστὸν ἀναπέπταται καὶ κατ' εὖρος ἔχει κόλπους δι' ἀλλήλων ἀνοιγομένους μεγάλαις περιφερείαις. (5) Ἀμοιρεῖ δ' οὔτε ὕδατος οὔτε φωτὸς, ἀλλὰ πηγὴ μὲν ἡδίστου νάματος ὑπορρεῖ παρὰ τὸν κρημνὸν, αὐτοφυεῖς δὲ ῥωγμοὶ τῆς πέτρας ᾗ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν ὑπολαμβάνουσι καὶ καταλάμπεται ἡμέρας τὸ χωρίον. (6) Ὁ δ' ἐντὸς ἀὴρ ἀστάλακτος καὶ καθαρὸς, πυκνότητι τῆς πέτρας τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πηγὴν ἐκπιεζούσης. c

Pompeio, Cæsare et Cicerone orare recusantibus, ipse patrocinium suscepit; quo etiam nomine ut diligens et ad opem ferendam promptus favorem meruit. (5) Grata populo etiam ejus in congressibus et salutationibus fuit humanitas et popularitas; nemini enim Romano adeo humili aut obscuro obviam venit, quem salutatus non nomine vicissim suo compellaret. (6) Tradunt etiam historiæ admodum fuisse gnarum, et Aristotelicam philosophiam attigisse, Alexandro usum præceptore. Is homo consuetudine cum Crasso sua ostendit qua esset facilitate et mansuetudine; non enim facile dixero, pauperiorne ad Crassum accesserit, an apud ipsum factus fuerit; (7) quippe solus amicorum peregre proficiscentem semper comitans tegumentum accipiebat idque reposcebatur reversus, ne paupertatem quidem, proh miseram patientiam! indifferentis numero ratus. Verum de his postea.

IV. Quum Cinna et Marius rerum potiti statim ostenderent se non commodo patriæ, sed plane ad cædem atque perniciem optimi cujusque in urbem reversos, quicunque in urbe deprehensi erant, trucidati sunt, interque eos Crassi pater ac frater. Ipse Crassus adolescentulus plane, ut in præsentia cædem evasisset, ita circumventum tamen se a tyrannis indagarique sentiens, cum tribus amicis et decem servis mira celeritate in Hispaniam profugit, ubi olim patrem prætorem in eam provinciam comitatus amicos sibi paraverat. (2) Verum hos omnes quum videret summo esse in metu et Marii crudelitatem veluti præsentis extimescere, nulli eorum se aperire ausus, in agros Vibii Paciani maritimos se contulit, ibique in ampla satis spelunca delituit, misso ad Vibium servo qui animum ejus exploraret; jam enim victus quoque deficere cœperat. (3) Vibius superstitem esse Crassum lætatus, cognita comitum multitudine et loco, ipse quidem in conspectum Crassi non venit, villico autem proxime eo deducto mandavit, uti quotidie cœnam paratam juxta speluncæ saxum deponeret, eoque facto tacitus abiret, neque præterea quicquam curiosius inquireret vel exploraret, ostentata morte, si id faceret; libertate, si se fideliter in ea re adjuvisset. (4) Spelunca est haud longe a mari remota; circa eam præcipites quidam dejectus concurrunt, angustasque et clandestinas fauces introrsum ducentes recludunt: intus altitudo exsurgit mira, et latitudo satis ampla patet sinubus inter se perviis intercepta. (5) Neque aqua deest, neque lumen, sed et juxta præcipitia defluit fons aquæ dulcissimæ et fissuræ saxi natura factæ lumen, quo id maxime loco externe accidit, admittunt, ita ut interdiu illustretur locus. (6) Aer in specu purus est minimeque madidus: densitas enim petræ omnes humores ad fontem elidit.

V. Ἐνταῦθα διατρίβοντι τῷ Κράσσῳ τὰ ἐπιτήδεια καθ' ἡμέραν ἐφοίτα κομίζων ὁ ἄνθρωπος, αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος εἰδότων καὶ παραφυλαττόντων τὸν καιρόν. (2) Ἦν δ' ἄφθονα καὶ πρὸς ἡδονὴν, οὐ μόνον χρείαν, ποιούμενα τὰ πρὸς τὸ δεῖπνον. Ἐγνώκει γὰρ ὁ Οὐίβιος ἁπάσῃ φιλοφροσύνῃ θεραπεύειν τὸν Κράσσον, ᾧ γε καὶ τὸ τῆς ὥρας ἐν τῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη καί τι καὶ ταῖς καθ' ἡλικίαν ἡδοναῖς αὐτοῦ χαριστέον, ἐπεὶ τήν γε χρείαν ἀναγκαίως μᾶλλον ἢ d προθύμως ὑπουργοῦντος εἶναι. (3) Δύο δὴ θεραπαινίδας εὐπρεπεῖς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. Ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον δείξας τὴν ἄνοδον ἐκέλευεν εἴσω πορεύεσθαι καὶ θαῤῥεῖν. (4) Οἱ δὲ περὶ τὸν Κράσσον ἰδόντες προσερχομένας ἔδεισαν, μὴ καταφανὲς καὶ γνώριμον εἴη τὸ χωρίον· ἀνέκρινον οὖν αὐτὰς, τί βούλονται καὶ τίνες εἰσίν. (5) Ὡς δ' ἀπεκρίναντο δεδιδαγμέναι δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ Κράσσος τοῦ Οὐιβίου τὴν πρὸς αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην ἀνέλαβε τὰς παιδίσκας· καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον, ὧν ἐδεῖτο φράζουσαι καὶ διαγ- e γέλλουσαι πρὸς τὸν Οὐίβιον. (6) Τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν οὖσαν ὁ Φενεστέλλας ἰδεῖν αὐτὸς καὶ πολλάκις ἀκοῦσαι μεμνημένης ταῦτα καὶ διεξιούσης προθύμως.

VI. Ὁ δὲ Κράσσος ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διακλαπεὶς ἅμα τῷ πυθέσθαι τὴν Κίννα τελευτὴν φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἐπιλεξάμενος δισχιλίους καὶ πεντακοσίους ἐπήρχετο τὰς πόλεις· καὶ μίαν γε διήρπασε Μαλάκην, ὡς πολλοὶ γεγράφασιν, αὐτὸν δέ φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. (2) Ἐκ τούτου συναγαγὼν πλοῖα καὶ διαπεράσας εἰς Λιβύην ἀφί- f κετο πρὸς Μέτελλον Πίον, ἔνδοξον ἄνδρα, συνειλοχότα στρατιὰν οὐκ εὐκαταφρόνητον. (3) Οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ στασιάσας τῷ Μετέλλῳ πρὸς Σύλλαν ἀπῆρε καὶ συνῆν ἐν τοῖς μάλιστα τιμώμενος. (4) Ἐπεὶ δὲ διαβὰς εἰς Ἰταλίαν ὁ Σύλλας πάντας ἐβούλετο τοὺς σὺν αὐτῷ νέους ἔχειν συνεργοὺς καὶ πρὸς ἄλλην ἄλλον ἔταττε πρᾶξιν, ἀποστελλόμενος εἰς Μαρσοὺς 546 ἐπὶ στρατιὰν ὁ Κράσσος ᾔτει φύλακας· ἡ πάροδος γὰρ a ἦν παρὰ τοὺς πολεμίους. Εἰπόντος δὲ τοῦ Σύλλα σὺν ὀργῇ καὶ σφόδρα πρὸς αὐτὸν, « Δίδωμί σοι φύλακας τὸν πατέρα, τὸν ἀδελφὸν, τοὺς φίλους, τοὺς συγγενεῖς, ὧν παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων [ἔργῳ] μετέρχομαι τοὺς φονεῖς, » οὕτω παθών τι καὶ παροξυνθεὶς ὁ Κράσσος εὐθὺς ἐξῆλθε καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως δύναμίν τε συχνὴν ἤθροισε καὶ πρόθυμον αὐτὸν ἐν τοῖς ἀγῶσι τῷ Σύλλᾳ παρεῖχεν. (5) Ἀπ' ἐκείνων δὲ τῶν πράξεων λέγουσιν αὐτῷ πρῶτον ἐγγενέσθαι τὴν πρὸς Πομπήιον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. Ὁ γὰρ Πομπήιος ἡλικίᾳ τε λειπόμενος αὐτοῦ καὶ πατρὸς γεγο- b νὼς ἀδοξήσαντος ἐν Ῥώμῃ καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν πολιτῶν, ἐν ἐκείνοις τοῖς πράγμασιν ἐξέλαμψε

V. Ibi tum delitescenti Crasso quotidie alimenta afferebat villicus, neminem ipse cernens vel cognoscens, sed ipsis (ut tempus ejus adventus sciebant observabantque) conspicuus. (2) Cœna autem apponebatur non ad saturandum modo, sed et ad voluptatem parata. Etenim statuerat Vibius Crassum quam posset humanissime tractare, adolescentiam ejus cum animo reputans, cujus voluptatibus profecto esset aliquid gratiæ dandum; qui enim necessaria tantum suppeditet, eum necessitate id magis facere quam studio et voluntate videri posse. (3) Itaque duas elegantes ancillas secum ad mare duxit, utque ad speluncam perventum est, monstrato aditu, mandatoque uti hilares eo intrarent, abiit. (4) Quas ut Crassus adeuntes conspexit, veritus ne innotuisset hæc latebra, quænam essent, aut cujus rei gratia venissent, percontatus est. (5) Postquam vero uti fuerant instructæ, quærere se dominum ibi latentem responderunt, cognita Vibii erga se humanitate atque urbanitate, ad se puellas recepit, retinuitque deinceps secum et earum ministerio quæ vellet Vibio renunciavit. (6) Harum se alteram jam grandævam vidisse sæpeque hæc omnia eam studiose narrantem audivisse affirmat Fenestella.

VI. At Crassus, quum ad hunc modum per octo menses absconditus egisset, simul ac de obitu Cinnæ certior est factus, in lucem prodiit; factoque ad eum multorum hominum concursu, delectis bis mille quingentis circum urbes profectus est, unamque Malacam (ut multi quidem perhibent; ipsum enim ferunt summa contentione id negasse) diripuit. (2) Inde contractis navibus in Africam trajecit, seque Metello Pio conjunxit, illustri viro et qui tum haud contemnendas conduxerat copias. (3) Sed ibi non diu permansit, verum orta ei cum Metello discordia, ad Syllam sese contulit, apud eumque inter præcipuos habitus est. (4) Sylla ubi in Italiam pervenit, cupiens omnium juvenum opera uti, alios aliis negotiis præfecit. Ita Crassus ab eo in Marsos ad scribendos milites missus, quod per hosticum esset sibi eundum, stipatores petiit; respondit Sylla iratus aliquanto vehementius: Custodes, inquiens, do tibi patrem, cognatos amicosque tuos, quorum ego injuste atque indigne cæsorum necem persequor. Hoc dicto irritatus, statim abiit Crassus, ac vi perrupit per hostes, collectoque magno exercitu, strenuum se in rebus gerendis Syllæ præbuit. (5) Illæ, ut traditum est, primum res contentionem gloriæ inter Crassum Pompeiumque excitarunt. Etenim Pompeius et minor ætate, et patre qui apud cives in summo odio infamiaque fuisset ortus, eo in bello tantum splendoris sibi paravit atque tantus

καὶ διεφάνη μέγας, ὥστε Σύλλαν, ἃ πρεσβυτέροις καὶ ἰσοτίμοις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίστασθαι προσιόντος αὐτοῦ καὶ κεφαλὴν ἀποκαλύπτεσθαι καὶ προσειπεῖν αὐτοκράτορα. (6) Ταῦτα διέκαιε καὶ παρώξυνε τὸν Κράσσον οὐκ ἀλόγως ἐλασσούμενον. Ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες ἐπιφερόμεναι, φιλοκέρδεια καὶ μικρολογία. (7) Καὶ γὰρ πόλιν Ὀμβρικὴν Τουδερτίαν ἑλὼν ἔδοξε πλεῖστα τῶν χρημάτων σφετερίσασθαι c καὶ διεβλήθη πρὸς Σύλλαν. (8) Ἀλλ' ἔν γε τῷ περὶ τὴν Ῥώμην ἀγῶνι πάντων γενομένῳ μεγίστῳ καὶ τελευταίῳ Σύλλας μὲν ἡττήθη, τῶν κατ' αὐτὸν ὠσθέντων, ἐνίων καὶ συντριβέντων, Κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων ἐνίκησε καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους ἔπεμψε πρὸς Σύλλαν δεῖπνον αἰτῶν τοῖς στρατιώταις καὶ τὸ κατόρθωμα φράζων. (9) Ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι πάλιν κακῶς ἤκουσεν ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα καὶ δωρεὰς αἰτῶν. (10) Ἐν δὲ Βρεττίοις λέγεται καὶ προγράψαι τινὰ, οὐ Σύλλα d κελεύσαντος, ἀλλ' ἐπὶ χρηματισμῷ· δι' ὃ καὶ Σύλλαν καταγνόντα πρὸς μηθὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. (11) Καίτοι δεινότατος ἦν Κράσσος πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι, πάλιν δ' αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. (12) Ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα μάλιστα μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους.

VII. Ἠνία δὲ Πομπήιος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν θριαμβεύων καὶ Μάγνος, ὅπερ ἐστὶ μέγας, ὑπὸ τῶν πολιτῶν ἀναγορευθείς. (2) Καί ποτε καὶ φήσαντός τινος, ὡς Πομπήιος Μάγνος πρόσεισι, γελάσας ἠρώτησεν, ὁπηλίκος. (3) Ἀπογνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπε- e δύετο τὴν πολιτείαν σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου, κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν ᾗ Πομπήιος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων στρατειῶν. (4) Καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. Μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ Πομπηίου καὶ κράτος ἐν τῇ πόλει διὰ τὰς στρατείας, παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ Κράσσου διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου φεύγων τὰ πλήθη καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς καὶ τῶν δεομένων ὀλίγοις καὶ μὴ πάνυ προθύμως βοηθῶν, ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. (5) f Ὁ δὲ Κράσσος ἐνδελεχὲς τὸ χρήσιμον ἔχων καὶ σπάνιος οὐκ ὢν οὐδὲ δυσπρόσοδος, ἀλλ' ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγίνετο τῆς ἐκείνου σεμνότητος. Σώματος δ' ἀξίωμα καὶ λόγου πειθὼ καὶ προσώπου χάριν ἀγωγὸν ἀμφοτέροις
547 ὁμοίως προσεῖναι λέγουσιν. (6) Οὐ μέντοι πρὸς ἔχθραν a τινὰ τὸν Κράσσον ἢ κακόνοιαν ἐξήνεγκεν οὗτος ὁ ζῆλος, ἀλλὰ καὶ Πομπηίῳ καὶ Καίσαρι τιμωμένοις μὲν ὑπὲρ αὐτὸν ἤχθετο, τῇ δὲ φιλοτιμίᾳ ταύτῃ δυσμένειαν ἢ κακοήθειαν οὐ συνῆπτε· καίτοι Καῖσαρ ὑπὸ λῃστῶν ἁλοὺς ἐν Ἀσίᾳ καὶ φρουρούμενος ἀνεβόησεν· « Ἡλίκης, ὦ

apparuit, ut Sylla (quem honorem paucis seniorum et æquali honore præditorum habuerat) accedente eo assurrexerit, caput retexerit imperatoremque eum salutaverit. (6) Hæc urebant stimulabantque Crassum, quum quidem non injuria Pompeio postponeretur; nam et peritia destituebatur innataque vitia, turpis nimirum cupiditas lucri et sordes, gratiam rebus gestis ejus adimebant. (7) Quippe quum Tuder Umbriæ urbem cepisset, delatus fuit apud Syllam, quasi magnam pecuniæ partem peculatus esset. (8) At vero in pugna apud Romam, quæ ejus belli et maxima fuit et ultima, victo Sylla, iisque quos ducebat pulsis et nonnullis cæsis, Crassus dextri cornu dux vicit hostesque fugientes usque ad noctem insecutus, misit ad Syllam, qui sibi militibusque cœnam poscentes rem præclare gestam indicarent. (9) Rursum in proscriptionibus et bonorum publicationibus male audivit, magna parvo pretio redimens, vel etiam dono sibi dari postulans. (10) In Bruttiis ferunt quendam proscripsisse non Syllæ jussu, sed ut pecunia potiretur, ideoque Syllam indignatum, ejus opera nullo postea in publico negotio usum. (11) Et quidem Crassus adulando quosvis homines suos efficere apprime norat, sicut contra a quibusvis adulatione facile circumveniebatur. (12) Id quoque peculiariter de eo memoratur, quum esset lucri cupidissimus, eodem vitio laborantes maxime solitum odisse et maledictis invadere.

VII. Urebat autem eum Pompeius rebus bellicis vigens, triumphumque antequam senator fieret agens Magnique a civibus cognomen ferens. (2) Aliquando quum accedere Pompeium Magnum quispiam dixisset, ridens, Quantus, inquit, tandem? (3) Ceterum ubi vidit se bellica gloria Pompeium adæquare nullo modo posse, ad res civiles se contulit, studium suum deferendo, patrocinando, mutuam pecuniam præbendo, eos qui a populo aliquid peterent adjuvando unaque ambiendo, potentiam sibi gloriamque parans parem ei, quam multis magnisque bellis gestis Pompeius adeptus fuerat. (4) Fuit autem quiddam in illis peculiare. Nam Pompeii nomen absentis potentiaque major in urbe erat ob rei bellicæ laudem, præsens Crasso sæpe inferior fuit. Quippe Pompeius fastu vitæ quodam atque splendore elatus turbas hominum fugiebat forumque vitabat, paucisque eorum qui opem ejus implorabant, neque id prompte admodum, patrocinabatur, ratus integriores se vires suas habiturum, si iis in suis modo rebus uteretur. (5) At Crassus assidue se utendum civibus præbens, neque raro aut difficulter se adiri patiens, sed in aliorum negotiis curandis nunquam non versans, populari sua humanitate majestatem illius superabat. Dignitatem corporis, facundiam, vultumque ad sui gratiam allicientem, hæc in utroque fuisse aiunt. (6) Non tamen, quantumvis Pompeium Cæsaremque honore ipsum anteire ægre ferret, hæc æmulatio Crassum ad inimicitias aut malevolentiam provexit, neque ambitioni odium malignitatemve adjecit, quamvis Cæsar in Asia a prædonibus captus et in custodiam datus exclamaverit:

Κράσσε, χαρᾶς ἀπολαύσεις πυθόμενος τὴν ἐμὴν ἅλωσιν. » (7) Ἀλλ' ὕστερόν γε φιλικῶς ἀλλήλοις προσεφέροντο· καί ποτε τῷ Καίσαρι μέλλοντι μὲν εἰς Ἰβηρίαν ἐξιέναι στρατηγῷ, χρήματα δ' οὐκ ἔχοντι τῶν δανειστῶν ἐπιπεσόντων καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ Κράσσος οὐ περιεῖδεν, ἀλλ' ἀπήλλαξεν ὑποθεὶς αὑτὸν b ἔγγυον τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. (8) Καθόλου δὲ τῆς Ῥώμης εἰς τρεῖς νενεμημένης δυνάμεις, τὴν Πομπηΐου, τὴν Καίσαρος, τὴν Κράσσου (Κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως καὶ τὸ θαυμαζόμενον πλέον ἴσχυεν), ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει Πομπήϊον ἐθεράπευε, τὸ δ' ὀξὺ καὶ φερόμενον μετ' εὐχερείας ταῖς Καίσαρος ἐλπίσιν ἐπηκολούθει, Κράσσος δὲ μέσος ὢν ἀμφοτέραις ἐχρῆτο καὶ πλείστας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος οὔτε φίλος ἦν βέβαιος οὔτ' ἀνήκεστος ἐχθρὸς, ἀλλὰ ῥᾳδίως καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος, ὥστε c πολλάκις μὲν ἀνθρώπων, πολλάκις δὲ νόμων ἐν ὀλίγῳ φανῆναι τῶν αὐτῶν συνήγορος καὶ ἀντίδικος. (9) Ἴσχυε δὲ καὶ χάριτι καὶ φόβῳ, φόβῳ δ' οὐκ ἔλαττον. Ὁ γοῦν πλεῖστα πράγματα παρασχὼν τοῖς καθ' αὑτὸν ἄρχουσι καὶ δημαγωγοῖς Σικίννιος πρὸς τὸν εἰπόντα, Τί δὴ μόνον οὐ σπαράττει τὸν Κράσσον, ἀλλὰ παρίησι, χόρτον αὐτὸν ἔχειν φησὶν ἐπὶ τοῦ κέρατος. Εἰώθεισαν δὲ Ῥωμαῖοι τὸν κυρίττοντα τῶν βοῶν ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας χόρτῳ περιελίσσειν τὸ κέρας.

VIII. Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον d ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. (2) Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν, γενομένης δὲ μηνύσεως οἱ προαισθόμενοι καὶ φθάσαντες ὀγδοήκοντα δυεῖν δέοντες ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους ἐξεπήδησαν, ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο· καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες ἡγεμόνας εἵλοντο e τρεῖς, ὧν πρῶτος ἦν Σπάρτακος, ἀνὴρ Θρᾲξ τοῦ Νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων καὶ τοῦ γένους Ἑλληνικώτερος. (3) Τούτῳ δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον, γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς ἀτυχὲς τέλος ἐσομένης δυνάμεως· ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε.

IX. Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι f καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων ἄσμενοι ταῦτα μετελάμβανον ἀποῤῥίψαντες ὡς ἄτιμα καὶ βάρβαρα τὰ τῶν μονομάχων· (2) ἔπειτα Κλωδίου

Quanto, Crasse, fruere gaudio, si me captum cognoveris! (7) Sed postea amice vixerunt. Quin etiam Cæsarem, quum prætor in Hispaniam abiturus pecunia egeret et creditores eum invaderent itinerisque apparatum retinerent, Crassus non passus est, sed profectionem ejus expedivit, ipse pro eo octingenta triginta talenta spondens. (8) Omnino in tres factiones diversas Roma tum abierat, quarum videlicet erant duces Pompeius, Cæsar, Crassus: (nam Catonis gloria major quam potentia erat, et admiratio virtutum ejus plus valuit;) Pompeium prudentiores et mansuetiores in urbe colebant; mobiles et inquieti Cæsaris spes sequebantur; Crassus medium tenens utrisque utebatur crebroque in republica mutatus, neque amicus certus, neque implacabilis inimicus erat, facile vel gratiam vel iram commodi sui causa deponens; itaque sæpe parvo temporis spatio eosdem et homines et leges modo accusare, modo defendere cernebatur. (9) Valebat et gratia et non minus metu. Quamobrem Sicinius, quo non alius plus molestiæ sua tempestate in magistratu aut republica versantibus exhibuit, interrogatus cur solum Crassum non invaderet: Quia, inquit, fœnum habet in cornu. Solebant enim Romani boum, qui cornu ferirent, fœno circumligare cornua, ut obvii cavendum sibi ab iis esse scirent.

VIII. Porro autem gladiatorum defectio et Italiæ depopulatio, quod plerique bellum Spartacium nominant, hanc habuit originem. (2) Lentulus quidam Batiatus Capuæ gladiatores alebat; ex his plerique Galatæ erant atque Thraces, nullum ob flagitium, sed iniquitate emptoris inclusi, uti spectaculis gladiatoriis depugnarent. Ex his ducenti aufugiendi consilium tractaverunt, sed re per indicium delata, septuaginta et octo (qui maturius indicium factum senserant), antequam deprehenderentur, carcere exsiluerunt, arreptis ex coquina quadam cultris atque verubus, quumque in itinere in currus aliquot incidissent, arma gladiatoria in aliam quandam urbem vehentes, diripuerunt ea, armatique iis locum munitum occupaverunt, tribus sibi ducibus præfectis. Fuit inter hos primus, nomine Spartacus, Thrax Nomadum ex genere, vir non animosus modo et robustus, sed et prudentia mansuetudineque fortuna sua superior magisque ad Græcos mores compositus, quam patria ferret. (3) Ei, ut narrant, quum primum Romam venalis esset adductus, dormienti draco caput circumplicasse visus est; uxor autem eandem cum eo habens patriam, divina et Bacchico furore correpta, signum id esse dixit magnæ et terribilis potentiæ, qua is esset cum adverso exitu potiturus. Eadem tunc quoque una effugerat, et aderat viro.

IX. Ii tum gladiatores primum repulsis qui a Capua insecuti eos fuerant multisque armis bellicis potiti, abjectis gladiatoriis istis, ut indecoris et barbaricis, non sine gaudio ea sumpserunt. (2) Missus deinde Roma est contra eos

στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι καὶ χαλεπὴν 548 καὶ στενὴν ἄνοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα a κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ' ἄνωθεν ἀνηρτημένας παρὰ τὸ κρημνῶδες ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν πλὴν ἑνός. (3) Οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα τελευταῖος ἀπεσώζετο καὶ αὐτός. (4) Ταῦτ' ἠγνόουν οἱ Ῥωμαῖοι· διὸ καὶ περιελθόντες αὐτοὺς ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ φυγῆς γενομένης ἔλαβον τὸ στρατόπεδον. (5) Καὶ προσεγένοντο πολλοὶ τῶν αὐτόθι b βοτήρων καὶ ποιμένων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες, ὧν τοὺς μὲν ὥπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο. (6) Δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς στρατηγὸς Πούπλιος Βαρῖνος, οὗ πρῶτα μὲν ὑποστράτηγόν τινα Φούριον ἔχοντα δισχιλίους στρατιώτας ἐτρέψαντο συμβαλόντες· ἔπειτα σύμβουλον αὐτοῦ καὶ συνάρχοντα Κοσσίνιον ἀποσταλέντα μετὰ πολλῆς δυνάμεως ἐπιτηρήσας ὁ Σπάρτακος λουόμενον περὶ Σαλήνας μικρὸν ἐδέησε συναρπάσαι. Χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν ἐκράτησε τῆς ἀποσκευῆς, ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων φόνῳ πολλῷ τὸ στρατόπεδον εἷλεν· ἔπεσε δὲ καὶ Κοσσίνιος. (7) Αὐτὸν δὲ τὸν στρατηγὸν c ἄλλαις μάχαις πολλαῖς καταγωνισάμενος, τέλος δὲ τούς τε ῥαβδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβών, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν, ἐφρόνει δὲ τὰ εἰκότα καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν στρατὸν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτοὺς ἐπὶ τὰ οἰκεῖα χωρεῖν τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ' εἰς Γαλατίαν. (8) Οἱ δὲ πλήθει τε ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν. (9) Οὐκέτ' οὖν τὸ παρ' ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχλει τῆς ἀποστάσεως τὴν σύγκλητον, ἀλλὰ δὴ διὰ φόβον τε καὶ κίνδυνον ὡς πρὸς ἕνα τῶν δυσκολω- d τάτων πολέμων καὶ μεγίστων ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπάτους. (10) Ὧν Γέλλιος μὲν τὸ Γερμανικὸν ὕβρει καὶ φρονήματι τῶν Σπαρτακείων ἀποσχισθὲν ἐξαίφνης ἐμπεσὼν ἅπαν διέφθειρε, Λέντλου δὲ τὸν Σπάρτακον μεγάλοις στρατοπέδοις περιλαβόντος ὁρμήσας ὁμόσε καὶ μάχην συνάψας ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. (11) Ὠθουμένῳ δ' αὐτῷ πρὸς τὰς Ἄλπεις Κάσσιος ὁ τῆς περὶ Πάδον Γαλατίας στρατηγὸς ἔχων μυρίους ἀπήντησε· καὶ γενομένης μάχης κρατηθεὶς καὶ πολλοὺς ἀποβαλὼν μόλις αὐτὸς ἐξέφυγε.

X. Ταῦθ' ἡ βουλὴ πυθομένη τοὺς μὲν ὑπάτους πρὸς e ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου στρατηγὸν εἵλετο· καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν. (2) Αὐτὸς μὲν οὖν ὑπέμεινε πρὸ τῆς Πικηνίδος ὡς τὸν Σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος, Μώμιον δὲ πρεσβευτὴν ἄγοντα

Clodius prætor cum tribus virorum millibus, obseditque eos in monte unum tantum habente angustumque aditum, quem et ipsum insederat custodia; cetera montis præcipitia ambiebant asperæque cautes et multa labrusca vite omnia integebantur. Gladiatores vero palmites, quos usui ad eam rem esse sentiebant, cædentes, scalas ex iis validas contexuerunt itaque longas, ut superne de præruptis saxis demissæ subjectam planitiem attingerent, tuto omnes per eas descenderent, uno excepto. (3) Is dejiciendis armis relictus, ubi descenderunt, dimisit ea, omnibusque dimissis ipse quoque ultimus evasit. (4) Atque ita fefellerunt Romanos, ut subito eos adorti, improvisa re primo in terrorem, post in fugam conjecerint ac castra ceperint. (5) Secundum hoc multi se eis incolæ eorum locorum pastores adjunxerunt ac bubulci, homines audaces et cursu celeres, quorum partem armaverunt, reliquis præcursoribus et expeditis militibus usi sunt. (6) Missus est deinde adversus eos prætor P. Varinus. Hujus primum legatum Furium cum duobus militum millibus prœlio inito fuderunt; deinde consiliarium collegamque ejus Cossinium missum cum magno exercitu, quum lavare apud Salinas observassent, parum abfuit quin oppressissent; ægre vixque elapsis, statim impedimenta Spartacus cepit, et fugientis premens vestigia non sine magna cæde castris potitus est, interfecto etiam Cossinio. (7) Ipsum autem prætorem quum multis aliis pugnis superasset, tandem captis lictoribus equoque ejus, magnum terribileque suum nomen reddidit. Verum is id quod res erat cogitans, ne sperandum quidem a se Romanorum potentiam superatum iri, exercitum ad Alpes duxit, optimum ratus, ut iis superatis in patriam suam, Galliam alii, reliqui Thraciam discederent. (8) Sed illi multitudine jam roborati animisque elati, consilio eo repudiato, Italiam pervagando populari maluerunt. (9) Itaque non dedecore jam defectionis ejus atque indignitate, sed terrore et periculo motus senatus utrumque consulem tanquam ad difficillimum et maximum bellum miserunt. (10) Ex his Gellius Germanos, qui superbia et audacia adducti se a Spartacis divulserant, subito adortus ad internecionem delevit; Lentulum vero magnos sibi exercitus circumfundentem adortus Spartacus, prœlio commisso legatos ejus fudit et impedimentis potitus est. (11) Ad Alpes autem contendenti Cassius Galliæ Cisalpinæ præfectus cum decem armatorum millibus occurrit, victusque, multis suorum amissis, vix ipse fuga salutem invenit.

X. Hæc postquam comperit senatus, consulibus iratus uti quiescerent mandavit, Crassum belli ejus ducem constituit; multique nobilium hujus auspicia ultro secuti sunt, gloria amicitiaque ejus moti. (2) Crassus in finibus agri Piceni substitit, ut Spartacum eo iturum exciperet, Mummium legatum cum duabus legionibus circummisit, imperans

δύο τάγματα κύκλῳ περιέπεμψεν ἕπεσθαι κελεύσας τοῖς πολεμίοις, συμπλέκεσθαι δὲ μὴ μηδὲ ἀψιμαχεῖν. Ὁ δ' ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι μάχην θέμενος ἡττήθη· καὶ πολλοὶ μὲν ἔπεσον, πολλοὶ δὲ ἄνευ τῶν ὅπλων φεύγοντες ἐσώθησαν. (3) Ὁ δὲ Κράσσος f αὐτόν τε τὸν Μώμμιον ἐδέξατο τραχέως καὶ τοὺς στρατιώτας ὁπλίζων αὖθις ἐγγυητὰς ᾔτει τῶν ὅπλων, ὅτι φυλάξουσι, πεντακοσίους δὲ τοὺς πρώτους καὶ μάλιστα τοὺς τρέσαντας εἰς πεντήκοντα διανείμας δεκάδας ἀφ' ἑκάστης ἀπέκτεινεν ἕνα τὸν κλήρῳ λαχόντα, πάτριόν τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς στρατιώταις ἐπαγαγών· καὶ γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεστι καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ 549 περὶ τὴν κόλασιν ἁπάντων θεωμένων. (4) Οὕτω δ' a ἐπιστρέψας τοὺς ἄνδρας ἦγεν ἐπὶ τοὺς πολεμίους. Ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας εἰς τὴν θάλασσαν· ἐν δὲ πορθμῷ λῃστρίσι Κιλίσσαις ἐπιτυχὼν ὥρμησεν ἅψασθαι Σικελίας καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον αὖθις ἐκζωπυρῆσαι τὸν δουλικὸν ἐκεῖ πόλεμον οὔπω πολὺν χρόνον ἀπεσβηκότα καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. (5) Ὁμολογήσαντες δὲ οἱ Κίλικες αὐτῷ καὶ δῶρα λαβόντες ἐξηπάτησαν καὶ ἀπέπλευσαν. Οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας ἐκάθιζε τὸν στρατὸν εἰς τὴν Ῥηγίνων χερρόνησον. (6) Ἐπελθὼν δ' ὁ Κράσσος καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν b ἀποτειχίσαι τὸν ἰσθμὸν ἅμα καὶ τὴν σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν καὶ τὴν εὐπορίαν τῶν πολεμίων. (7) Μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος σταδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος ἴσον πεντεκαίδεκα ποδῶν· ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. (8) Ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον· ὡς δὲ τῆς λείας ἐπιλειπούσης προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμὸν καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χερρονήσου, νύκτα νιφετώδη καὶ c πνεῦμά τι χειμέριον παραφυλάξας ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατιᾶς περαιῶσαι τὸ τρίτον.

XI. Ἐφοβήθη μὲν οὖν ὁ Κράσσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν, ἐθάρρησε δὲ πολλῶν ἐκ διαφορᾶς ἀποστάντων αὐτοῦ καὶ στρατοπεδευσαμένων καθ' αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἥν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. (2) Τούτους ἐπελθὼν ὁ Κράσσος ἐξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ d Σπαρτάκου καὶ τὴν φυγὴν ἐπιστήσαντος. (3) Γεγραφὼς δὲ τῇ βουλῇ πρότερον, ὡς χρὴ καὶ Λούκουλλον ἐκ Θρᾴκης καλεῖν καὶ Πομπήιον ἐξ Ἰβηρίας, μετενόει καὶ πρὶν ἥκειν ἐκείνους ἔσπευδε διαπράξασθαι τὸν πόλεμον, εἰδὼς ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐχ αὑτοῦ, τὸ κατόρθωμα δόξει. (4) Πρῶτον μὲν οὖν

ut hostem insequeretur, ad prœlium vero provocare aut confligere omnino caveret. Sed Mummius prima spe victoriæ oblata, prœlio facto victus est, multique Romanorum cæsi sunt, multi abjectis armis fugerunt. (3) Acerbe Mummium Crassus accepit; militibus quum rursus arma traderet, petiit sponsores, qui eos arma servaturos reciperent. Quingentos autem primos, et qui maxime fugæ fuerant auctores, in quinquaginta decurias divisit; ex his decimum quemque sorte ductum morte mulctavit, quoddam vetustum supplicii militaris genus multo tempore omissum in milites exercens. Huic enim generi pœnæ etiam turpitudo adest, multaque omnibus inspicientibus horrenda peraguntur. (4) Ita castigatum exercitum contra hostem duxit. Sed Spartacus per Lucaniam ad mare concedens, quum ibi naves piratarum Cilicum offendisset, statuit in Siciliam trajicere, immissisque eam in insulam duobus suorum millibus, rursus ibi bellum servile, haud ita pridem sopitum atque exiguo tantum aliquo fomite opus habens, resuscitare. (5) Cilices acceptis donis operaque sua obligata, deluso Spartaco inde solverunt. Itaque is rursus a mari recedens, copias in Chersonesum apud Rhegium transtulit. (6) Crassus ut supervenit, doctus ab ipsius loci natura quid faciendum esset, Isthmum munitione includere statuit, ut simul et otio milites et commeatu hostes probiberet. (7) Magnum id opus et difficile præter omnium opinionem modico temporis spatio perfecit, fossa a mari ad mare perducta, longitudine trecentorum stadiorum, latitudine et profunditate quindecim pedum; eique fossæ miræ altitudinis roborisque murum imposuit. (8) Spartacus primo id opus sprevit ac neglexit; at postquam præda deficiente pergere statuens cognovit de muro circumducto, ita ut nihil ex peninsula capere liceret, noctem nivalem ventumque hibernum nactus, terra aliaque materia et ramis ingestis partem haud magnam fossæ complanavit, tertiamque copiarum partem per eum locum traduxit.

XI. Crasso vero metuenti ne Spartacus Romam versus ducere intenderet, animum reddidit hoc, quod multi per dissensionem ab eo defecerant et seorsum apud Lucanam paludem castra fecerant: quam mutatione temporis dulcem rursumque salsam et potui incommodam fieri asserunt. (2) Hos adortus a palude repulit Crassus, celeriter tamen superveniente Spartaco, et fugam inhibente, insequendi et cædendi occasionem amisit. (3) Scripserat jam ante ad senatum, Lucullum ex Thracia, Pompeium ex Hispania ad id bellum evocandos; mutato autem tum consilio (quippe haud nescius, non sibi, sed ei qui suppetias latum advenisset, victoriæ laudem adscriptum iri), ante eorum adventum finem bello imponere contendit. (4) Primum itaque statuens eos adoriri, qui de-

διαγνοὺς τοῖς ἀφεστῶσι καὶ κατ' ἰδίαν στρατευομένοις, ὧν ἀφηγοῦντο Γάϊος Καννίκιος καὶ Κάστος, ἐπιθέσθαι λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε λανθάνειν πειρᾶσθαι κελεύσας. (5) Οἱ δὲ ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν τὰ κράνη κα- e ταμπέχοντες, ὀφθέντες δ' ὑπὸ δυεῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις ἐκινδύνευσαν, εἰ μὴ Κράσσος ὀξέως ἐπιφανεὶς μάχην ἔθετο πασῶν καρτερωτάτην, ἐν ᾗ τριακοσίους ἐπὶ δισχιλίοις καὶ μυρίοις καταβαλὼν δύο μόνους εὗρε κατὰ νώτου τετρωμένους, οἱ δ' ἄλλοι πάντες ἑστῶτες ἐν τάξει καὶ μαχόμενοι τοῖς Ῥωμαίοις ἀπέθανον. (6) Σπαρτάκῳ δὲ μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα Κόϊντος τῶν περὶ Κράσσον ἡγεμόνων καὶ Σκρώφας ταμίας ἐξαπτόμενοι παρηκολούθουν. Ἐπιστρέψαντος δὲ γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων καὶ μόλις τρωθέντα τὸν f ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. (7) Τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. Οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ' ἤδη καθ' ὁδὸν ὄντας ἐν τοῖς ὅπλοις περισχόντες ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους εἰς
550 ταὐτὸ τῷ Κράσσῳ σπεύδοντες. (8) Ἤδη γὰρ ὁ Πομ- a πήιος προσιὼν ἀπηγγέλλετο· καὶ δὴ ἀρχαιρεσιάζοντες ἦσαν οὐκ ὀλίγοι τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν, ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. (9) Ἐπειγόμενος οὖν διαγωνίσασθαι καὶ παραστρατοπεδεύσας τοῖς πολεμίοις ὤρυττε τάφρον, πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. (10) Ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος ἅπαν παρέταξε τὸ στράτευμα. (11) Καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ σπασάμενος τὸ ξίφος, καὶ εἰπὼν ὅτι νικῶν μὲν ἕξοι πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον· b ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος διὰ πολλῶν ὅπλων καὶ τραυμάτων ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. Τέλος δὲ, φυγόντων τῶν περὶ αὐτὸν, αὐτὸς ἑστὼς καὶ κυκλωθεὶς ὑπὸ πολλῶν ἀμυνόμενος κατεκόπη. (12) Κράσσου δὲ τῇ τύχῃ χρησαμένου καὶ στρατηγήσαντος ἄριστα καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα τὴν Πομπηίου δόξαν. Οἱ γὰρ διαφυγόντες ἐμπεσόντες αὐτῷ διεφθάρησαν, ὥστε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾷ Κράσσος νενίκηκεν, αὐτὸς δὲ τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε. (13) Πομπήιος μὲν οὖν ἀπὸ Σερτωρίου καὶ c Ἰβηρίας ἐπιφανῶς ἐθριάμβευσε, Κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ' αὐτὸς αἰτεῖν ἐπεχείρησεν, ἐδόκει δὲ καὶ τὸν πεζὸν, ὀούαν δὲ καλούμενον, ἀγεννῶς καὶ παρ' ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεῦσαι. Τί δ' οὗτος ἐκείνου διαφέρει καὶ περὶ τῆς κλήσεως ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.

XII. Μετὰ δὲ ταῦτα τοῦ Πομπηίου αὐτόθεν ἐπὶ τὴν

fectione facta seorsum castra habebant ducesque C. Cannicium et Castum, sex millia suorum misit, qui tumulum quendam occuparent, et omni studio hoc agerent, ne ab hostibus conspicerentur. (5) Verum hos, tametsi fallendi gratia cassides texerant, duæ mulieres ante hostium castra sacrificantes deprehenderunt; summoque fuissent in periculo, nisi celeriter Crassus auxilium tulisset. Ita prœlium, quo vix aliud acrius, commissum est: in quo Crassus de duodecim millibus hostium ac trecentis occisis, duos tantum a tergo vulneratos reperit, reliqui omnes in acie stantes et pugnaverant et ceciderant. (6) Spartacum audita horum clade ad montes Petilinos recedentem Quinctius Crassi legatus et Scrofa quæstor vestigiis inhærentes sequebantur; hos ille conversus in fugam compulit, ita ut vix erepto quæstore (is enim vulnus acceperat) evaserint. (7) Hæc victoria Spartacum perdidit, animis fugitivorum inflatis jam, ut neque pugnam porro subterfugere, neque obtemperare ducibus vellent, sed eos armati circumsistentes, quum jam in itinere essent, retro per Lucaniam ducere contra Romanos cogerent, eodem quo Crassus cupiebat contendentes. (8) Etenim jam de Pompeii adventu renuntiatum erat, et Romæ haud pauci in comitiis dictitabant, Pompeio hujus belli victoriam deberi, quem, simul atque venisset, pugna commissa debellaturum. (9) Hac de causa decernere pugna cupiens Crassus, castris ex adverso hostium locatis fossam egit, ad quam exsilientes servi operarios inturbabant. (10) Subinde autem utrinque suis auxilio quum venirent, necessitatem ita exigere cernens Spartacus, totum exercitum in aciem eduxit. (11) Adductoque ad se equo, stricto gladio effatus, victorem se multos et pulchros de hoste equos capturum, victo equi nullum usum fore, equum confodit. Inde Crassum ipsum per arma ac vulnera multa petens, eum quidem non est assecutus, duos autem centuriones congressos obtruncavit. Tandem suis fugientibus, stans ipse pugnansque contra eos a quibus fuerat circumdatus, ita occisus est. (12) Enimvero tametsi id bellum et fortuna et arte optima gessit Crassus et corpus in pugnæ discrimen adduxit, rei gestæ tamen gloria Pompeii nomen non effugit. Is enim eos qui prœlii fortuna evadentes in eum inciderant delevit. Itaque ad senatum scripsit, Crassum quidem fugitivos præclara pugna devicisse, at se radicem belli exstirpasse. (13) Proinde illustrem de Hispania et Sertorio triumphum Pompeius duxit, Crassus triumphum ne ipse quidem petere ausus est, quin et ovatio de servili bello parum digne et pro majestate honoris data videbatur. Quæ duo ut differrent, tum quæ nominum ratio, in Marcelli Vita prodidimus.

XII. Secundum hæc quum ultro ad consulatum Pom-

ὑπατείαν καλουμένου, ἐλπίδας ἔχων ὁ Κράσσος συνάρξειν ὅμως οὐκ ὤκνησε τοῦ Πομπηίου δεηθῆναι. (2) Δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος (ἐπεθύμει d γὰρ ἁμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν Κράσσον) ἐσπούδασε προθύμως καὶ τέλος εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἕξει χάριν ἢ περὶ τῆς ἀρχῆς. (3) Οὐ μὴν ἔμειναν ἐπὶ ταύτης τῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταστάντες, ἀλλ' ὀλίγου δεῖν περὶ πάντων διαφερόμενοι καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν, πλὴν ὅτι Κράσσος Ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος εἱστίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. (4) Ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης ἔτυχον μὲν ἐκκλησιάζοντες, ἀνὴρ δέ e τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς Ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης ὤν, Γάϊος Αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προσελθὼν ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην· « Ὁ γὰρ Ζεὺς, ἔφη, μοι φανεὶς προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιίδητε τοὺς ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν ἢ φίλους γενέσθαι. » (5) Ταῦτα λέγοντος τοῦ ἀνθρώπου καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν Πομπήιος ἡσυχίαν ἦγεν ἑστὼς, ὁ δὲ Κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος, « Οὐδὲν, εἶπεν, ὦ ἄνδρες, οἶμαι, πολῖται, ταπεινὸν πράττειν οὐδ' ἀνάξιον ἐμαυτοῦ καταρ- f χόμενος εὐνοίας καὶ φιλίας πρὸς Πομπήιον, ὃν ὑμεῖς μήπω γενειῶντα Μέγαν ἀνηγορεύσατε καὶ μήπω μετέχοντι βουλῆς ἐψηφίσασθε θρίαμβον. »

XIII. Ἡ μὲν οὖν ὑπατεία τοῦ Κράσσου ταῦτ' ἔσχεν ἄξια μνήμης. Ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν (οὔτε γὰρ βουλῆς ἐξέτασιν οὔθ' ἱππέων ἐπίσκεψιν οὔτ' ἀποτίμησιν πολιτῶν 551 ἐποιήσατο), καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν a πρᾳότατον Λουτάτιον Κάτλον. (2) Ἀλλά φασιν ἐπὶ δεινὸν ὁρμήσαντι τῷ Κράσσῳ πολίτευμα καὶ βίαιον, Αἴγυπτον ποιεῖν ὑποτελῆ Ῥωμαίοις, ἀντιβῆναι τὸν Κάτλον ἐρρωμένως, ἐκ δὲ τούτου γενομένης διαφορᾶς ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. (3) Ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν Ῥώμην ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας, οὐδεὶς δὲ ἐπίστευσεν. (4) Ὅμως δ' ὁ Κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν Κράσσῳ καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος· ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. Ἐν δὲ τῷ Περὶ b ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν ἐπιστολὴν κομίζοντα τὰ περὶ τὸν Κατιλίναν ἐξηγουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. (5) Ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο, τοῦ δὲ βλάπτειν ἀναφανδὸν ἐμποδὼν εἶχε τὸν υἱόν. Ὁ γὰρ Πόπλιος ὢν φιλόλογος καὶ φιλομαθὴς ἐξήρτητο τοῦ Κικέρωνος, ὥστε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἐσθῆτα κρινομένῳ καὶ τοὺς ἄλλους

peius vocaretur, Crassus tametsi spem habebat se ei collegam futurum, Pompeium tamen ut sibi ea in petitione esset adjumento orare non abhorruit. (2) Neque id nolenti fuit Pompeio, quippe qui sibi gratiam aliquam a Crasso deberi jamdudum obscure cupivisset; itaque summo studio eum juvit et ad extremum in concione dixit, si collega sibi Crassus daretur, id se haud minus gratum habiturum, quam ipsum consulatum. (3) Sed enim magistratum adepti non eandem benevolentiam retinuerunt, ac parum abfuit quin omnibus de rebus dissidentes, semperque contendentes invicem et objurgantes, consulatum istum nulla re gesta nobilem exigerent, nisi quod Crassus, Herculi magno exhibito sacrificio, decem millibus mensarum epulum populo præbuit, frumentumque in tres menses largitus est. (4) Quum jam sub exitum consulatus sui Pompeius et Crassus in concione adessent, Caius Aurelius, eques Romanus, vir neque illustris et agrestis rudisque vitæ, suggesto conscenso tale suum insomnium recitavit : Jovem sibi dormienti apparuisse ac mandasse uti publice moneret populum, ne prius abdicare se magistratu consules sineret, quam ii in gratiam mutuo rediissent. (5) Hæc illo dicente, populoque ut offensis positis reconciliarentur hortante, quum Pompeius quietus staret, prior ei Crassus dextram injecit, et, Non, inquit, existimo, Quirites, abjecte me meæque personæ inconvenienter agere, quod cum Pompeio redintegrandæ benevolentiæ initium ipse facio, quum vos imberbem adhuc eum Magni cognomine ornaveritis, nondum in senatum ascito triumphum decreveritis.

XIII. Hæc in suo consulatu digna referri Crassus egit. In censura autem, tametsi Romanorum mansuetissimum Lutatium Catulum collegam habuit, prorsus tamen actum est nihil; nam neque senatus neque Equites examinati, neque census fuit populus. (2) Hoc traditum est, Crasso rem arduam et violentam agitanti, nempe ut Ægyptum Romanis stipendiariam faceret, Catulum acriter restitisse; inde orta controversia, eos magistratu ultro sese abdicasse. (3) Porro in Catilinaria conjuratione, quæ res ardua prope rem Romanam evertit, venit etiam Crassus in suspicionem, et progressus quidam e conjuratis, eum quoque nominavit, nemo tamen ei indicio fidem habuit. (4) Et ipse quidem quadam in oratione Cicero haud obscure Crassum et Cæsarem ejus seditionis reos facit; sed ea post utriusque mortem edita est. In volumine autem, quod de suo consulatu composuit Cicero, Crassum scribit noctu ad se accessisse, et literas attulisse de rebus Catilinariis agentes, quo indicio confirmaverit conjurationem. (5) Eam ob rem Crassus tametsi Ciceronem perpetuo est odio prosecutus, ne tamen palam ulcisceretur, filium suum impedimento habuit Publium. Is enim philosophiæ deditus, ita observabat Ciceronem, ut eo in judicium vocato vestem mutaverit effeceritque uti idem etiam reliqui juvenes facerent; et ad

νέους ταὐτὰ ποιοῦντας παρασχεῖν. Τέλος δὲ τὸν πατέρα πείσας φίλον ἐποίησεν.

XIV. Ὁ δὲ Καῖσαρ, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας, παρασκευαζόμενος ὑπατείαν μετιέναι καὶ Κράσσον c ὁρῶν καὶ Πομπήιον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε θατέρου δεηθεὶς ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον οὔτε μηδετέρου συνεργοῦντος ἤλπιζε κατορθώσειν. Ἔπραττεν οὖν διαλλαγὰς αὐτὸς προσκείμενος αὐτοῖς καὶ διδάσκων, ὡς καταλύοντες ἀλλήλους αὔξουσι Κικέρωνας καὶ Κάτλους καὶ Κάτωνας, ὧν οὐδεὶς λόγος, ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταὐτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. (2) Πείσας δὲ καὶ διαλλάξας συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον, ᾗ κατέλυσε Ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον, οὐκ ἐκείνους δι' ἀλλήλων μείζονας, ἀλλὰ δι' ἐκείνων ἑαυτὸν μέγιστον d ἀπεργασάμενος. Εὐθὺς γὰρ ἀρθεὶς ὑπ' ἀμφοτέρων ὕπατος ἀπεδείχθη λαμπρῶς. Ὑπατεύοντι δ' αὐτῷ καλῶς ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν καὶ Γαλατείαν ἐγχειρίσαντες ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν, οἰόμενοι καθ' ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους ἐκείνῳ βεβαιοῦντες ἣν ἔλαχεν ἀρχήν. (3) Πομπήιος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου ταῦτ' ἔπραττε· τῶν δὲ Κράσσου νοσημάτων τὸ ἀρχαῖον ἡ φιλοπλουτία καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον ἐπὶ ταῖς Καίσαρος ἀριστείαις τροπαίων καὶ θριάμβων, οἷς γε μόνοις ἐλαττοῦσθαι προύχοντα τοῖς ἄλλοις, αὐτὸν οὐκ ἀνῆκεν οὐδ' ἐλώφησε πρὶν εἰς ὄλεθρον e ἀκλεῆ καὶ δημοσίας συμφορὰς τελευτῆσαι. (4) Καίσαρος γὰρ εἰς Λουκίαν πόλιν ἐκ Γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ Ῥωμαίων ἀφίκοντο καὶ Πομπήιος καὶ Κράσσος ἰδίᾳ συγγενόμενοι πρὸς αὐτὸν ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων καὶ πᾶσαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν, Καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος, ἄλλας δὲ ἐπαρχίας καὶ στρατεύματα Πομπηίου καὶ Κράσσου λαβόντων. (5) Ἐνταῦθα δ' ὁδὸς ἦν μία δευτέρας ὑπατείας αἴτησις· ἣν μετιόντων ἐκείνων ἔδει συμπράττειν Καίσαρα τοῖς τε φίλοις γράφοντα καὶ τῶν στρατιωτῶν πέμποντα πολλοὺς f ἀρχαιρεσιάσοντας.

XV. Ἐπὶ τούτοις οἱ περὶ Κράσσον εἰς Ῥώμην ἐπανελθόντες εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. (2) Ἐν δὲ τῇ βουλῇ Μαρκελλίνου καὶ Δομιτίου Πομπήιον ἐρωτώντων, εἰ μέτεισιν ὑπατείαν,
552 ἀπεκρίνατο τυχὸν μὲν μετιέναι, τυχὸν δὲ μὴ μετιέναι· a καὶ πάλιν ἐρωτώμενος ἔφη μετιέναι τοῖς δικαίοις πολίταις, μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. (3) Τούτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ Κράσσος εἶπεν, εἰ τῇ πόλει μετιέναι συμφέρει τὴν ἀρχὴν, εἰ δὲ μὴ, πεπαύσεσθαι. (4) Διὸ καί τινες ἐθάρρησαν ὑπατείαν μετελθεῖν, ὧν ἦν καὶ Δομίτιος. Γενομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες ἀπέστησαν, Δομί-

extremum persuasit patri, ut cum Cicerone amicitiam jungeret.

XIV. Cæsar ut ex provincia reversus consulatus petendi causa, Pompeium et Crassum rursus inimicitias exercere sensit, quum neque alterutro sibi conciliato alterius odium incurrere consultum putaret et neutro sibi opitulante obtenturum quod petebat diffideret, in eo fuit, ut eos in gratiam reponeret. Itaque instans ipse iis monensque fore, ut ipsi mutuo attritis viribus Ciceronibus, Catulis et Catonibus summam rerum traderent, quorum nullum esset futurum nomen, si ipsi amicitia et factionibus junctis, uno consilio unisque viribus rempublicam regerent: (2) his rationibus eos in gratiam reduxit, atque trium istorum conjuncta potentia omni vi adversariorum superior senatus tandem atque populi Romani potestatem evertit, neque illos majores mutuo auxilio, sed se ipsum utrorumque opera maximum effecit. Proinde statim utriusque studio sublatus consul gloriose creatus est Cæsar, copiasque ei consulatum egregie gerenti et bellum Gallicum decreverunt, atque ita sane quasi in arce collocaverunt, rati se, confirmata, quam erat sortitus, provincia, absque labore reliqua pro suo inter se divisuros arbitrio. (3) Quæ quidem ut ita ageret, immoderata Pompeium movit ambitio; Crassum vero ad inveteratum suum morbum, avaritiam, nova triumphorum ac tropæorum flagransque instigabat cupiditas Cæsaris victoriis incitatum; itaque quum se ceteris rebus superiorem, hac in una parte cedere videret, non prius finem ei cupiditati statuit, quam sibi ipsi turpe exitium, reipublicæ magnas calamitates paravit. (4) Cæsar quum Lucam ex Gallia venisset, eo ad ipsum quum alii multi Romani, tum Pompeius etiam Crassusque profecti sunt, privatimque cum eo congressi, statuerunt majori studio propositum exsequi, totamque rerum summam in suam trium potestatem redigere: id autem fieri posse ita videbatur, si manente in armis Cæsare, ipsi alias provincias et exercitus acciperent. (5) Eam ad rem unica erat via, alterius consulatus petitio, quam Cæsar et amicorum opera et missis ad comitia obeunda militibus adjuvaret.

XV. His ita constitutis Romam reversi, statim in suspicionem inciderunt, et obtinebat rumor, nequaquam optimo publico conventum Lucæ fuisse. (2) In senatu Pompeius a Marcellino et Domitio interrogatus, essetne petiturus consulatum, fortasse se petiturum, fortasse non respondit; rursumque interrogatus, bonorum, non malorum civium causa se ambiturum dixit. (3) Superbius hæc et inflatius responsa videbantur; Crassus moderatius, Ambiturum, si ita usui esse reipublicæ putaret, sin minus, cessaturum. (4) Quo factum est ut et alii quidam petere consulatum auderent, interque hos Domitius. Verum ubi et Crassus ac Pompeius ambitionem dissimulare cessaverunt, reliqui terrore objecto destiterunt. Domitium Cato fami-

τιον δὲ Κάτων οἰκεῖον ὄντα καὶ φίλον ἐθάῤῥυνεν ἐγκελευόμενος καὶ παρορμῶν ἔχεσθαι τῆς ἐλπίδος ὡς ὑπερμαχοῦντα τῆς κοινῆς ἐλευθερίας· οὐ γὰρ ὑπατείας b Πομπήιον δεῖσθαι καὶ Κράσσον, ἀλλὰ τυραννίδος, οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ στρατοπέδων εἶναι τὰ πραττόμενα. (5) Ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ Κάτων μονονοὺ βίᾳ προῆγεν εἰς ἀγορὰν τὸν Δομίτιον καὶ συνίσταντο πολλοὶ πρὸς αὐτούς. Καὶ τὸ θαυμάζον οὐκ ὀλίγον ἦν, « Τί δὴ δευτέρας οὗτοι χρῄζουσιν ὑπατείας; τί δὲ πάλιν μετ' ἀλλήλων; τί δ' οὐ μεθ' ἑτέρων; πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν οὐκ ἀνάξιοι δήπου Κράσσῳ καὶ Πομπηίῳ συνάρχειν. » (6) Ἐκ τούτου δείσαντες οἱ περὶ Πομπήιον οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων, ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις λόχον ὑφέντες τῷ Δομιτίῳ νυκτὸς ἔτι μετὰ c τῶν ἄλλων κατερχομένῳ κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ, συντιτρώσκουσι δὲ πολλούς, ὧν ἦν καὶ Κάτων. (7) Τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους ἀνηγορεύθησαν ὕπατοι· καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ βῆμα καὶ τὸν Κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες καί τινας ὑποστάντας ἀποκτείναντες, Καίσαρι μὲν ἄλλην ἐπέδοσαν πενταετίαν τῆς ἀρχῆς, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο Συρίαν καὶ Ἰβηρίας συναμφοτέρας. Κληρουμένων δὲ Συρίαν ἔλαχε Κράσσος, τὰ δ' Ἰβηρικὰ Πομπήιος.

XVI. Ἦν δὲ οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. Οἵ d τε γὰρ πολλοὶ Πομπήιον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο καὶ Πομπήιος ἐρῶν τῆς γυναικὸς αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε, Κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος, ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν, πρὸς δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λέγειν παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς ἢ σοβαρὸς τῷ βίῳ γεγονώς. (2) Τότε δ' ἐπηρμένος κομιδῆ καὶ διεφθαρμένος οὐ Συρίαν οὐδὲ Πάρθους ὅρον ἐποιεῖτο τῆς εὐπραξίας, ἀλλ' ὡς παιδιὰν ἀποφανῶν e τὰ Λουκούλλου πρὸς Τιγράνην καὶ Πομπηίου πρὸς Μιθριδάτην ἄχρι καὶ Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. (3) Καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ Παρθικὸς πόλεμος οὐ προσῆν. Ἤδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτο Κράσσος ἐπτόηται· καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ τὴν ὁρμὴν ἐπαινῶν καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. (4) Ἐπεὶ δὲ δημαρχῶν Ἀτήιος ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι καὶ συνίσταντο πολλοὶ χαλεπαίνοντες, εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ' ἐνσπόνδοις πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος ἐδεήθη Πομπηίου παραγενέσθαι καὶ συμπροπέμψαι. Μέγα γὰρ ἦν f ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι καὶ καταβοᾶν ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ κατεπράϋνεν ὁ Πομπήιος, ὥσθ' ὑπείκειν σιωπῇ δι' αὐ-

liarem suum et necessarium enixe hortatus est et confirmavit, uti ne spem dimitteret propositam, quum quidem pro libertate patriæ propugnaret; non enim consulatum a Pompeio et Crasso, sed tyrannidem quæri, neque id agi ut magistratum, sed ut provincias et exercitus arripiant. (5) Hæc ita et sentiens et dicens Cato, tantum non vi in forum protraxit Domitium: multique se iis conjunxerunt, multis mirari subibat, quidnam isti iterum consulatum peterent, cur simul iterum non cum aliis; multos enim dicebant Romæ dignos esse viros qui Crassi aut Pompeii collegæ essent. (6) Eo territus Pompeius cum factione, nulla turpi aut violenta actione abstinuit, dum propositum teneret; quin et præter reliqua facinora, Domitium nocte adhuc cum sua factione in forum ascendentem per insidias aggressi, servum qui lumen gerebat obtruncavere, Catonem multosque alios consauciavere, (7) fugatisque iis et in ædes proprias compulsis, ita demum consules creati sunt; paulo post curiam armatis cingentes Catonemque foro expellentes, quosdamque resistere ausos interficientes, ita Cæsari imperium in alios quinque annos prorogaverunt, sibi ipsis provincias Syriam et utramque Hispaniam decreverunt. Sortiti Syriam Crassus, Hispaniam Pompeius accepit.

XVI. Quæ quidem sors omnibus placuit. Nam et populus Pompeium haud procul ab urbe abesse volebat et ipse amore conjugis plerumque apud Romam statuerat agere, at Crassus, simul atque sors exierat, haud obscure gaudium tulit, quippe qui nihil sibi ad eum usque diem felicius evenisse putaret. Itaque vix apud multitudinem et nihil ad se attinentes homines sibi temperavit, apud domesticos vero nova multa et puerilia jactitabat, præter et ætatem suam et ingenium, quippe qui natura minime jactabundus et ab inani fastu alienus erat. (2) Tunc vero subito inflatus ac perditus, non Syriam, non Parthos finem suæ fortunæ statuebat, sed quasi effecturus ut pro ludicris haberentur Luculli contra Tigranem et Pompeii adversus Mithridatem res gestæ, et ad Bactra usque et Indos et Oceanum spes suas extendebat. (3) Et vero in lege de his provinciis lata, nulla Parthorum inerat mentio. Sed nemo ignorabat contra eos bellum animo agitare Crassum; et Cæsar missis ex Gallia literis propositum laudabat et ad id bellum gerendum adhortabatur. (4) Enimvero Ateius tribunus plebis impedire profectionem ejus statuit, multis ad se congregatis, qui indignarentur Crassum ad bellum hominibus, a quibus nulla Romanis orta esset injuria, imo et pax intercederet, inferendum exire. Eos metuens Crassus a Pompeio impetravit, ut exeuntem se comitaretur ac deduceret; magna enim erat hujus apud plebem auctoritas, ac tunc quoque visus ante Crassum sereno vultu incedere, multos qui egressurum inhibere statuerant et conviciari, ita sedavit, uti taciti via venientibus excederent.

653 τῶν προϊοῦσιν. (5) Ὁ δ' Ἀτήιος ἀπαντήσας πρῶτον a μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. (6) Ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης ἀνῆκε τὸν Κράσσον, ὁ δ' Ἀτήιος προδραμὼν ἐπὶ τὴν πύλην ἔθηκεν ἐσχαρίδα καιομένην, καὶ τοῦ Κράσσου γενομένου κατ' αὐτήν, ἐπιθυμιῶν καὶ κατασπένδων ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινούς δέ τινας θεοὺς καὶ ἀλλοκότους ἐπ' αὐταῖς καλῶν καὶ ὀνομάζων. (7) Ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιὰς τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς, κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον, ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν b αὐτὰς οὐδ' ὑπὸ πολλῶν ἀρᾶσθαι. (8) Καὶ τότ' οὖν ἐμέμφοντο τὸν Ἀτήιον, εἰ δι' ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμονίαν τοσαύτην.

XVII. Ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. Ἔτι δ' ἀστατούσης χειμῶνι τῆς θαλάσσης οὐ περιέμεινεν, ἀλλ' ἀνήχθη καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε, τὴν δ' ἄλλην ἀναλαβὼν δύναμιν ἠπείγετο πεζῇ διὰ Γαλατίας. Εὑρὼν δὲ τὸν βασιλέα Δηιόταρον πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν εἰπών· « Ὦ βασιλεῦ, δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ. » Γελάσας δ' ὁ Γαλάτης, « Ἀλλ' οὐδ' αὐτός, εἶπεν, ὦ αὐτόκρατορ, c ὡς ὁρῶ, πρωὶ λίαν ἐπὶ Πάρθους ἐλαύνεις. » Ἦν δ' ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων, πρεσβύτερος δὲ τὴν ὄψιν ἢ καθ' ἡλικίαν. (2) Ἀφικόμενον δ' αὐτὸν ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. Καὶ γὰρ ἔζευξε ῥᾳδίως τὸν Εὐφράτην καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν ἑκουσίως προσθεμένας. Ἐν μιᾷ δ', ἧς Ἀπολλώνιος ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς καὶ κρατήσας διήρπασέ τε τὰ χρήματα καὶ τοὺς ἀνθρώπους ἀπέδοτο· Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. d (3) Ἐπὶ ταύτης ἁλούσης δεξάμενος αὐτοκράτωρ ὑπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι πολλὴν ὦφλεν αἰσχύνην καὶ ταπεινὸς ἐφάνη καὶ περὶ τὰ μείζονα δύσελπις οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. (4) Ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοί, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων καὶ δεξόμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας αὐτόν τε κεκοσμημένον ἀριστείοις καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα. (5) Τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος μετά γε τὴν στρατείαν αὐτὴν μέγιστον ἁμάρτημα τῶν γενομένων, ὅτι πρόσω χωρεῖν δέον ἔχεσθαί τε Βαβυλῶνος e καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς. (6) Ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ᾐτιῶντο χρηματιστικὰς μᾶλλον οὔσας ἢ στρατηγικάς· οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων οὐδὲ γυμνασιῶν ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πόλεων ἐκλογιζόμενος καὶ τὰ χρήματα τῆς ἐν Ἱερᾷ

(5) Ateius vero occurrens Crasso, primum verbis monuit obtestatusque est, ne proficisceretur, deinde viatorem misit, qui eum retineret. (6) Hoc quum reliqui tribuni plebis non permitterent, et viator Crassum missum faceret, ad portam accurrit Ateius focumque accendit, utque advenit Crassus odoramentis in ignem projectis ac libato, diras horrendas atrocesque ei obnuntiavit, deos quosdam terribiles et inauditos nominatim ciens atque invocans. (7) Has execrationes arcanas atque vetustas eam ferunt habere vim, ut nemo unquam, cui eæ fuerint obnuntiatæ, exitium effugerit; sed et in obnuntiantem infortunium redundare: itaque haud temere eas neque crebro usurpant. (8) Propterea tum quoque Ateio vitio datum est, quod eam urbem, cujus nomine Crasso succensebat, devotionibus tam gravi religione obstrinxisset.

XVII. Crassus ut Brundusium pervenit, mari ob hiemem nondum pacato, moræ tamen impatiens trajecit, et multas amisit naves. Cum reliquis copiis terrestri itinere per Galatiam iter faciens, quum regem Dejotarum admodum grandi natu novam urbem condere videret, subsannavit, duodecima demum hora eum incipere ædificare dicens. Cui Galata subridens, Et vero, imperator, inquit, ne tu quidem nimis mane, ut video, contra Parthos proficisceris. Sexagesimum jam tum annum Crassus superaverat, eo autem erat aspectu, ut etiam grandævior videretur. (2) Initium rerum gerendarum sane spem non fefellit. Nam et Euphratem ponte haud difficulter junxit et tuto exercitum traduxit, multasque Mesopotamiæ urbes se ultro dedentes occupavit, unam quam Græci dicebant Zenodotiam, quam Apollonius tyrannide obtinebat, ob interfectos ibi centum Romanos milites iratus admoto exercitu cepit, diripuit et homines divendidit. (3) Ea de re imperatorem se ab exercitu salutari passus, magnum sibi dedecus paravit, qui tam levi re gesta exsultaret, abjectumque animum et spes de majoribus rebus exiguas se habere ostenderet. (4) Imposito in eas quas dixi urbes præsidio mille equitum, septies mille peditum, in Syriam recessit hiematurus, ibique excepturus filium, qui a Cæsare e Gallia veniens secumque et virtutis suæ præmia ferens mille equites delectos adduxit. (5) In eo primum, secundum expeditionem ipsam maximum omnium, quæ evenerunt, peccatorum admisisse visus est, quod quum procedendum ulterius et Babylon ac Seleucia, urbes Parthis semper infensæ, essent petendæ, ipse spatium se ad bellum parandi hostibus concessit. (6) Jam illa in Syria commoratio reprehenditur, quæ magis quærendæ pecuniæ, quam imperatoriis muneribus servierit. Non enim ibi exercitum lustravit, non exercitationes instituit, sed urbium reditus ad calculum vocans multosque dies in pecunia deæ quæ Hierapoli colitur in trutina ponderanda consu-

πόλει θεοῦ σταθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας, ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυναστείαις στρατιωτῶν καταλόγους, εἶτ' ἀνιεὶς ἀργύριον διδόντας ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. (7) Γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ ταύτης, ἣν οἱ f μὲν Ἀφροδίτην, οἱ δὲ Ἥραν, οἱ δὲ τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσι καὶ τὴν πάντων εἰς ἀνθρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. Ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος, εἶτ' 554 ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος. a

XVIII. Ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. Ἔφασαν γάρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον, εἰ δὲ τῆς πατρίδος ἀκούσης, ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην καὶ τὸ μὲν Κράσσου γῆρας οἰκτείρειν, ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον ἢ φρουροῦντας. (2) Πρὸς ταῦτα Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, b γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων Οὐαγίσης καὶ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον, «Ἐντεῦθεν,» εἶπεν, «ὦ Κράσσε, φύσονται τρίχες πρότερον ἢ σὺ ὄψει Σελεύκειαν.» (3) Οὗτοι μὲν οὖν ἀπήλαυνον ὡς βασιλέα Ὑρώδην πολεμητέα φράσοντες. Ἐκ δὲ τῶν πόλεων, ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες ἄξια φροντίδων ἀπήγγελλον αὐτόπται μὲν γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων καὶ τῶν ἀγώνων, οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν, οἷα δὲ φιλεῖ πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες διώκοντες, ἄληπτοι δὲ φεύγοντες, βέλη δὲ καινὰ προθέοντα τῆς ὄψεως καὶ πρὶν c ὀφθῆναι τὸν βάλλοντα χωροῦντα διὰ τοῦ προστυχόντος, τῶν δὲ καταφράκτων ὅπλα τὰ μὲν διὰ παντὸς ὠθεῖσθαι, τὰ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. (4) Ταῦτα τῶν στρατιωτῶν ἀκουόντων τὸ θράσος ὑπέπιπτε. Πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε, καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι μακρὰν ὁδὸν ἔσεσθαι καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων, ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. (5) Τούτων ἦν Κάσσιος ὁ ταμίας. Ἡσυχῇ d δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. Ἀλλ' οὔτε τούτοις προσεῖχεν οὔτε τοῖς ἕτερόν τι πλὴν ἐπείγεσθαι παραινοῦσιν.

XIX. Οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης ὁ Ἀρμενίων βασιλεὺς ἐπέρρωσεν· ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. Καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως· ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο

mens, populis et regulis numerum militum mittendorum assignans, acceptaque eos pecunia mox dimittens, in magnam sese infamiam et contemptum adduxit. (7) Atque illa ipsa dea (sive ea Venus est, sive Juno, sive Natura, hoc est, ea causa, quæ initia omnibus rebus et semina ex humido præbet, omniumque hominibus bonorum principia demonstrat : diversa enim diversi sentiunt) primum ei omen objecit. Egredientibus enim eis ex templo, in foribus et filius Crassi, et ipse super eum pater corruit.

XVIII. Jam ex hibernis milites ad se Crassus contrahebat, quum legati ad eum ab Arsace veniunt, breve mandatum exponentes : si quidem a Romanis missus adsit cum exercitu Crassus, omnino se illud bellum summa vi hostilique animo et implacabili defensurum ; sin, uti auditu acceperit, invito P. R. Crassus sui lucri causa Parthis arma intulerit regionemque invaserit, mediocri animo id Arsacen ferre et Crassi senectutem miserari, atque ideo Romanis eos, qui in Mesopotamia inclusi verius quam in præsidio positi detineantur, remittere. (2) Ad hæc Crasso superbe respondente, Seleuciæ se responsurum, maximus natu inter legatos Vagises risum sustulit, monstratoque supinæ manus medio, Prius, inquit, hac in palma pili enascentur, quam tu Seleuciam cernas. (3) His actis legati ad regem Hyrodem se contulerunt, bellum esse gerendum indicantes. Ceterum ex urbibus Mesopotamiæ, quas Romanos præsidio tenuisse diximus, quidam non sine summo periculo elapsi ad Crassum pervenerunt, haud leves res renunciantes. Ipsi enim et multitudinem hostium viderant et quæ in oppugnandis urbibus ii egerant, quæ omnia inflatius, uti fit, et terribilius referebant : Parthos neque effugere insequentes, neque fugientes assequi quenquam posse, nova eorum tela oculorum aciem prævertere, et antequam conspiceretur is qui miserit, quidvis penetrare; ita esse facta arma cataphractorum, ut et nihil iis resistere et omnem ipsa vim sustinere possint. (4) Hæc audita militum animos fregerunt. Etenim persuasi Parthos nihil ab Armeniis aut Cappadocibus differre, quos agitando et trahendo fatigatus fuerat Lucullus; et nihil sibi eo bello difficilius longitudine itineris et insectione hostium manum conferre fugientium fore, præter spem certamina et gravia pericula proposita videbant. Quare etiam procerum quidam auctores Crasso fuerunt, uti ne pergeret, sed novam de toto negotio deliberationem proponeret. (5) Inter quos etiam Cassius quæstor fuit. Haruspices etiam Crasso adversa, et expiatu difficilia in sacrificiis portendi subindicabant. Neque his tamen Crassus, neque ulli qui aliud quam festinare suaderet, obtemperavit.

XIX. Maxime eum Artabazus Armeniorum rex in proposito confirmavit. Is enim cum sex equitum millibus in castra venit, qui regis modo satellites et comites dicebantur, pollicitus alia decem millia cataphractorum et triginta pe-

καταφράκτους καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. (2) Ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν· οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιὰν e αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας ὄρη πολλὰ καὶ λόφους συνεχεῖς καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ἣ μόνη Πάρθων ἀλκή, προβαλλόμενον. (3) Ὁ δὲ τὴν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας μετρίως ἠγάπησε, βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. (4) Ὁ μὲν οὖν Ἀρμένιος ἐπὶ τούτοις ἀπήλαυνε. Τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιερρήγνυντο, πολλὰ δὲ κατήστραπτεν ἐναντία τῷ στρατῷ, f πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας ἀνέρρηξε πολλὰ καὶ συνέτριψεν. Ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος, οὗ στρατοπεδεύειν ἔμελλεν. Ἵππος δὲ τῶν στρατηγικῶν ἐπιφανῶς κεκοσμημένος βίᾳ συνεπισπάσας τὸν ἡνίοχον εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη. Λέγεται δὲ καὶ τῶν 555 ἀετῶν ὁ πρῶτος ἀρθεὶς ἀπὸ ταὐτομάτου μεταστραφῆναι. a (5) Πρὸς δὲ τούτοις συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις πρῶτα πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα καὶ προτίθενται τοῖς νέκυσιν, αὐτοῦ τε Κράσσου δημηγοροῦντος ἐξέπεσε φωνὴ δεινῶς συγχέασα τὸν στρατόν. Ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. Καὶ δέον, ὡς ᾔσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπὸ αὐθαδείας. (6) Τέλος δὲ τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο, καὶ τὰ σπλάγχνα τοῦ μάντεως αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν· ἐφ' ᾧ καὶ μάλιστα δυσχε- b ραίνοντας ἰδὼν τοὺς παρόντας ἐμειδίασε καί, « Τοιοῦτον, ἔφη, τὸ γῆρας· ἀλλὰ τῶν γε ὅπλων οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας. »

XX. Ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς, ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. (2) Τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν, ἵππων δ' ἐντετυχηκέναι πολλῶν ἴχνεσιν οἷον ἐκ μεταβολῆς ὀπίσω διωκομένων. Ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν καὶ τοῖς στρατιώταις παντάπασι τῶν Πάρθων παρέστη καταφρονεῖν ὡς οὐκ c ἀφιξομένων εἰς χεῖρας. (3) Ὅμως δ' οἱ περὶ Κάσσιον αὖθις διελέγοντο τῷ Κράσσῳ καὶ παρῄνουν μάλιστα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον, εἰ δὲ μή, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν· εὐπορίαν γὰρ τὰ σιτηγὰ τῆς ἀγορᾶς παρασχεῖν ἅμα συγκαταίροντα πρὸς τὸ στρατόπεδον καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν σχόντας ἀπ' ἴσης ἀεὶ πρὸς ἐναντίους μαχεῖσθαι τοὺς πολεμίους.

XXI. Ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ

ditum millia, iisque se ipsum alimenta daturum. (2) Idem Crasso consuluit, ut per Armeniam in Parthiam invaderet; e ita enim et commeatus copiam se præsente habiturum, et tuto profecturum, objectis exercitui montibus multis collibusque perpetuis, et locis equitatui, in quo uno omnis Parthorum vis esset, incommodis. (3) Crassus studium ejus et splendidum auxilium satis gratum habuit, iturum autem se dixit per Mesopotamiam, ubi multos bonosque Romanos reliquisset. (4) Secundum hæc Armeniæ rex abiit. At Crasso juxta Zeugma exercitum traducente, multa ingentia tonitrua, multa ex adverso exercitus fulgura erupe- f runt, ventus nubi et procellæ permixtus in rates ejus incubuit, magnamque partem perfregit. Locus etiam castris destinatus, duobus est fulminibus ictus. Equus unus ex prætoriis splendide ornatus, vi secum sessorem in aquam abripuit, cumque eo submersus periit. Ferunt etiam primam ex aquilis sponte sua retro aversam, quum a transportaretur. (5) Postquam fluvium transgressis militibus alimenta dividi cœptum est, primo omnium lentes ferunt et salem distributos, quæ Romani funesta esse ducunt et mortuis apponunt. Ipsique Crasso in concione ad milites vox excidit, quæ graviter animos eorum perturbavit: pontem enim fluminis se rescissurum dixit, ne quis eorum reverti posset. Quam vocem quum sentiret incommode elapsam, ac deberet eorum causa quos illa terruerat corrigere et explanare, præ superbia neglexit. (6) Denique quum solemne pro exercitu sacrum faceret lustrale, viscera b ei ab haruspice tradita, manibus exciderunt; quo quum vehementer commotos videret astantes, subridens: Hæc est, inquit, senectus, arma tamen nobis ex manibus non elabentur.

XX. Proinde juxta fluvium copias produxit, quæ constabant septem legionibus, equitum millibus prope quattuor, totidemque fere levis armaturæ militibus. (2) Interim quidam eorum qui exploratum præmissi fuerant, renunciant regionem hominibus vacuam esse, in multa vero equorum se incidisse vestigia retro aversa, tanquam in fuga. Hoc et Crassum in magnam extulit spem et militibus contemnere jam Parthos subibat, tanquam manum conserere non ausu- c ros. (3) Nihilominus tamen Cassius iterum Crassum monuit, ut in urbe aliqua, quæ Romano præsidio esset munita, interim maxime dum certi aliquid de hostibus cognosceret, exercitum contineret; sin hoc nollet, at secundum amnem Seleuciam duceret, ita et annonarias naves expeditum commeatum militibus præbituras una cum exercitu per flumen ductas et flumen ne circumveniri ab hoste possent, sed pari opportunitate semper cum hostibus confligerent, præsidio futurum.

XXI. De hisce rebus Crasso adhuc deliberante, venit ad

βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνὴρ καὶ πάντων, ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακά, μέγιστον αὐτοῖς d καὶ τελειότατον γενόμενος· τοῦτον δ' ᾔδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεστρατευμένων ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας καὶ δόξαντα φιλορρώμαιον εἶναι· τότε δ' ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν, εἰ δύναιτο παρατρέψας αὐτὸν ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ὑπωρειῶν εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς καὶ περιελαυνόμενον· πάντα γὰρ διενοοῦντο μᾶλλον ἢ κατὰ στόμα συμφέρεσθαι Ῥωμαίοις. (2) Ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος (ἦν δὲ καὶ πιθανὸς εἰπεῖν) Πομπήιον μὲν ὡς εὐεργέτην ἐπῄνει, Κράσσον δὲ τῆς e δυνάμεως μακαρίσας ἐμέμφετο τῆς διατριβῆς μέλλοντα καὶ παρασκευαζόμενον, ὥσπερ ὅπλων αὐτῷ δεῆσον, οὐ χειρῶν οὐδὲ ποδῶν τῶν ταχίστων ἐπ' ἀνθρώπους, οἳ πάλαι ζητοῦσιν ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων εἰς Σκύθας ἢ Ὑρκανοὺς ἀναπτέσθαι. « Καίτοι μάχεσθαι μέλλοντας, ἔφη, σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταὐτῷ γενέσθαι τὴν δύναμιν ἀναθαρσήσαντος βασιλέως· ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης ἐφ' αὐτοὺς ἀναδεξάμενοι τὴν δίωξιν, ὁ δ' οὐδαμῇ φανερός ἐστι. » (3) Ταῦτα δὲ ἦν ψευδῆ πάντα. Διχῇ γὰρ εὐθὺς Ὑρώδης διελὼν τὴν f δύναμιν αὐτὸς μὲν Ἀρμενίαν ἐπόρθει τινύμενος Ἀρταουάσδην, Σουρήναν δ' ἀφῆκεν ἐπὶ Ῥωμαίους, οὐχ ὑπερφροσύνῃ χρώμενος, ὥς ἔνιοί φασιν· οὐ γὰρ ἦν τοῦ αὐτοῦ Κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστήν, ἄνδρα 556 Ῥωμαίων πρῶτον, Ἀρταουάσδῃ δὲ προσπολεμεῖν καὶ a τοῖς Ἀρμενίων ἐπιόντα κώμαις ἐξαιρεῖν, ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον αὐτὸς μὲν ἐφεδρεύειν καὶ καραδοκεῖν τὸ μέλλον, Σουρήναν δὲ προκαθεῖναι πειρασόμενον μάχης καὶ περιέλξοντα τοὺς πολεμίους. (4) Οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ Σουρήνας, ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ μετὰ βασιλέα δεύτερος, ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν καθ' αὑτὸν ἐν Πάρθοις πρῶτος, ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος ὡς οὐδεὶς ἕτερος. (5) Ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεὶ χιλίαις σκευοφορούμενος καμήλοις καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων, ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον, εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς b ὁμοῦ πελάτας τε καὶ δούλους μυρίων οὐκ ἀποδέοντας. (6) Κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γενομένῳ Πάρθων ἐπιτιθέναι τὸ διάδημα πρῶτος, Ὑρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον εἰς Πάρθους κατήγαγε καὶ Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. (7) Οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ' ἐκεῖνον τὸν χρόνον εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίστην· οἷς οὐχ ἥκιστα καὶ τὸν Κράσσον ἔσφηλε διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχειρότατον γενόμενον.

XXII. Τότ' οὖν ὁ βάρβαρος, ὡς ἔπεισεν αὐτὸν, ἀποσπάσας τοῦ ποταμοῦ διὰ μέσων ἦγε τῶν πεδίων

eum Ariamnes Arabum regulus, fraudulentus homo et versipellis omniumque malorum, quæ ad parandum Romanis exitium fortuna contulit, summum atque validissimum; hunc sciebant nonnulli qui cum Pompeio militaverant, usum ipsius nonnihil humanitate, et Romani populi studiosum habitum. Tunc a regiis ducibus ad Crassum erat submissus, ut eum conaretur quam longissime a fluvio et regionibus montosis in vastas planities abducere et ab omni parte equitatui patentes; quidvis enim potius facere quam a fronte aggredi Romanos statuerant. (2) Ergo barbarus ut ad Crassum venit, homo satis facundus, laudare beneficia Pompeii, Crassum qui tantas haberet copias, felicem dicere, cunctationem incusare inque apparando moram; Quasi vero, inquit, arma tibi defutura sint, non manus ac pedes quam celerrimi contra eos homines, qui jam pridem in eo sunt ut correptis pretiosissimis quibusque rebus et hominibus in Scythiam aut Hyrcaniam avolent. Quin etiam si pugnandum, inquit, maturato opus est, priusquam rege animum recipiente omnes hostium copiæ conveniunt; nunc enim Surenas modo et Sillaces objecti vobis sunt, ut excipiant incursionem, rex ipse nusquam apparet. (3) Horum quidem nihil erat verum. Statim enim Hyrodes in duas partes diductis copiis, cum altera ipse Armeniam populabatur, ulciscens Artabazum, Surenam cum altera Romanis obviam miserat; neque id contemptu Romanorum, ut quidam putant. Neque enim conveniebat eum qui Crassum, primarium inter Romanos virum, adversarium dedignaretur, Artabazo bellum facere et Armeniæ pagos evertere, sed videtur potius periculo territus, insidiari speculabundus eventumque rei exspectare voluisse et Surenam hostibus opposuisse, qui pugnando eos detineret. (4) Non enim de media aliquis plebe homo erat Surena, sed vir opibus, genere ac gloria post regem primus, virtute et peritia omnibus sui temporis Parthis præstans, neque eum magnitudine et pulchritudine corporis quisquam æquabat. (5) Quoties expeditionem faceret, mille utebatur camelis ad impedimenta ferenda, ducentis curribus pellices vehebantur, mille cataphracti, plures levis armaturæ equites comitabantur et omnino equitum, clientium servorumque quos secum ducebat numerus decem millia explebat. (6) A majoribus hunc honorem habebat, ut creato regi Parthorum primus ipse diadema imponeret; idem hunc ipsum Hyroden regno pulsum reduxerat, Seleuciam magnam ei ceperat, quum quidem primus in murum ascendisset suaque manu adversos se ei offerentes repulisset. (7) Eo tempore nondum triginta natus annos, summam prudentiæ et calliditatis laudem obtinebat; quibus sane plurimum Crasso nocuit, quem audacia primum et fastus, metus deinde et calamitates fraudibus obnoxium redegerant.

XXII. Enimvero barbarus quum in suam sententiam pertraxisset Crassum, avulsos a flumine Romanos per medios

ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον, εἶτα μοχθηρὰν, ἄμμου βαθείας ὑποδεχομένης καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων, ὥστε μὴ μόνον δίψει καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρεῖχεν οὐ φυτὸν ὁρῶσιν, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν διαβλαστάνουσαν, ἀλλ' ἀτεχνῶς πελάγιόν τι χεῦμα θινῶν τινων ἐρήμων περιεχόντων τὸν στρατόν. (2) Ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος· ἐπεὶ δὲ καὶ παρ' Ἀρταουάσδου d τοῦ Ἀρμενίου παρῆσαν ἄγγελοι φράζοντες, ὡς πολλῷ συνέχοιτο πολέμῳ ῥυέντος ἐπ' αὐτὸν Ὑρώδου καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ Κράσσῳ μάλιστα μὲν ἐκεῖ τραπέσθαι καὶ γενόμενον μετ' Ἀρμενίων ὁμοῦ διαγωνίσασθαι πρὸς τὸν Ὑρώδην, εἰ δὲ μὴ, πορεύεσθαι καὶ στρατοπεδεύειν ἀεὶ τὰ ἱππάσιμα φεύγοντα καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς, Κράσσος μὲν οὐδὲν ἀντιγράψας ὑπ' ὀργῆς καὶ σκαιότητος ἀπεκρίνατο νῦν μὲν Ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ' ἀφίξεσθαι δίκην ἐπιθήσων Ἀρταουάσδῃ τῆς προδοσίας. (3) Οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν καὶ Κράσσον e μὲν ἀχθόμενον αὐτοῖς ἐπαύσαντο νουθετοῦντες, ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν· « Τίς σε δαίμων πονηρὸς, ὦ κάκιστε ἀνθρώπων, ἤγαγε πρὸς ἡμᾶς; τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας Κράσσον εἰς ἐρημίαν ἀχανῆ καὶ βυθὸν ἐκχέαντα τὴν στρατιὰν ὁδὸν ὁδεύειν Νομάδι λῃστάρχῃ μᾶλλον ἢ Ῥωμαίων αὐτοκράτορι προσήκουσαν; » (4) Ὁ δὲ βάρβαρος ἀνὴρ ὢν ποικίλος ἐκείνους μὲν ὑποπίπτων ἐθάῤῥυνε καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι, τοὺς δὲ στρατιώτας ἅμα συμπαραθέων καὶ παραβοηθῶν ἐπέσκωπτε μετὰ γέλωτος· « Ὑμεῖς δὲ διὰ Καμπανίας ὁδεύειν οἴεσθε κρήνας καὶ νάματα καὶ f σκιὰς καὶ λουτρὰ δηλαδὴ καὶ πανδοχεῖα ποθοῦντες; οὐ μέμνησθε δὲ τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν; » (5) Οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους καὶ πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν 557 ἀφίππευσεν οὐ λαθὼν τὸν Κράσσον, ἀλλὰ καὶ τοῦτο a πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων.

XXIII. Λέγεται δὲ τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον οὐχ ὥσπερ ἔθος ἐστὶ Ῥωμαίων στρατηγοῖς ἐν φοινικίδι προελθεῖν, ἀλλ' ἐν ἱματίῳ μέλανι, καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα, τῶν δὲ σημαιῶν ἐνίας μόλις ὥσπερ πεπηγυίας πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας. (2) Ὧν ὁ Κράσσος καταγελῶν ἐπετάχυνε τὴν πορείαν προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι, πρίν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποσταλέντων ὀλίγοι προσπελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν, ἐπιέναι δὲ μαχουμένους πλήθει πολλῷ καὶ θάρσει τοὺς b ἄνδρας. (3) Ἅπαντες μὲν οὖν ἐθορυβήθησαν, ὁ δὲ Κράσσος ἐξεπλάγη παντάπασι καὶ διὰ σπουδῆς οὐ πάνυ καθεστηκὼς παρέταττε, πρῶτον μὲν, ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν ἐπὶ πλεῖ-

duxit campos. Iter initio commodum fuit et expeditum, grave deinde quum et arena profunda exciperet et planities arboribus aquaque carentes, quarum nullus finis visu attingi posset. Itaque non modo præ siti et difficultate itineris animos despondebant, sed et facies ipsa loci ingentem mœstitiam afferebat, non plantam, non rivum, non montis prominentiam, non herbam virentem cernentibus, sed vastum duntaxat æquor arenarum desertarum exercitum usquequaque ambientium. (2) Et jam tum fraudem esse plerique suspicabantur. Jam et ab Artabazo Armeniæ rege missi aderant qui Crasso nuntiarent, regem magno bello premi Hyrode in ipsum ruente, ita quidem ut auxilium præstare non possit, dare autem eum Crasso hoc consilii, potissimum ut ipse quoque in Armeniam veniat, ut ibi conjunctis viribus contra Parthum decertare possint; sin vero, ut hoc modo iter faceret, uti semper loca equitatui æqua vitans, in montanis se contineret. Ad hæc nihil præ ira et importunitate Crassus rescribens, legatis respondit, nunc quidem se Armeniis non vacare, mox venturum et pœnas proditionis ab Artabazo sumpturum. (3) Rursum ea res indignationem Cassio movit, et Crasso, quod moneri se inique ferret, omisso, privatim barbarum objurgabat: Quisnam, aiebat, te malus genius ad nos adduxit, hominum pessime? quibus veneficiis et præstigiis Crasso persuasisti, ut in vastam solitudinem desertaque exercitum immitteret, iterque prædonum duci incertis sedibus vaganti, quam Romano imperatori, convenientius faceret? (4) Sed barbarus, ut erat veterator, submisse illos consolari hortarique ut paulisper adhuc perdurarent, milites vero una cursitans atque adjuvans, per risum subsannare: ecquid putarent se per Campaniam proficisci, qui ita fontes, rivos, umbras et lavacra et diversoria requirerent? cogitarent potius per Arabum et Assyriorum confinia se ire. (5) Hoc modo Romanos eludens barbarus, antequam imposturæ manifestus fieret, persuaso Crasso, se abire ut hostium res per insidias conturbaret, discessit.

XXIII. Memoriæ traditum est eo die Crassum non puniceа, qui mos est imperatorum Romanorum, sed nigra in veste in medium processisse, eamque ab ipso, quum sensisset, statim mutatam. Quædam etiam signa, veluti infixa, vix magno cum labore convelli a signiferis potuisse. (2) Quos Crassus irridens, iter acceleravit legionesque coegit equitatum consequi. Jam ex iis qui præmissi exploratum fuerant pauci ad suos reversi, socios suos ab hostibus cæsos, se vix effugisse, hostes vero ingenti multitudine ac fiducia pugnatum advenire annuntiabant. (3) Perturbatis omnibus, Crassus attonitus plane ac præ festinatione non satis quid ageret intelligens, aciem primo ut Cassius monebat instruxit, legionariorum phalangem laxis ordinibus quam longissime per campos extendens, ne ab hostibus circumdari posset,

στον ἀνάγων τοῦ πεδίου πρὸς τὰς κυκλώσεις, τοὺς δ'
ἱππεῖς διανέμων τοῖς κέρασιν· ἔπειτα μετέδοξε καὶ συν-
αγαγὼν ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον ἐν δώ-
δεκα σπείραις προερχομένης τῶν πλευρῶν ἑκάστης. (4)
Παρὰ δὲ σπεῖραν ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέ-
ρος ἐνδεὲς ἱππικῆς βοηθείας, ἀλλὰ πανταχόθεν ὁμαλῶς
προσφέροιτο πεφραγμένος. Τῶν δὲ κεράτων τὸ μὲν
Κασσίῳ, τὸ δὲ τῷ νέῳ Κράσσῳ παρέδωκεν, αὐτὸς δ' c
εἰς μέσον κατέστη. (5) Καὶ προάγοντες οὕτως ἐπὶ
ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος, οὐ πολὺ μὲν ἄλ-
λως οὐδὲ ἄφθονον, ἀσμένοις δὲ τότε τοῖς στρατιώταις
φανὲν ἐν αὐχμῷ καὶ καύματι καὶ παρὰ τὴν ἄλλην ἐπί-
πονον καὶ ἄνυδρον πορείαν. (6) Οἱ μὲν οὖν πλεῖστοι
τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους
καὶ νυκτερεύσαντας καὶ πυθομένους, ἐφ' ὅσον οἷόν τε,
πλῆθος καὶ τάξιν τῶν πολεμίων ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ'
αὐτούς· Κράσσος δὲ τῷ παιδὶ καὶ τοῖς περὶ αὐτὸν ἱππεῦ-
σιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν ἐπαρθεὶς ἐκέ-
λευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. d
(7) Καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς ἦγεν
οὐ σχέδην οὐδ' ὡς ἐπὶ μάχην διαναπαύων, ἀλλ' ὀξείᾳ
καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ μέχρις οὗ κατώφθησαν
οἱ πολέμιοι παρὰ δόξαν οὔτε πολλοὶ φανέντες οὔτε σο-
βαροὶ τοῖς Ῥωμαίοις. (8) Τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε
τοῖς προτάκτοις Σουρήνας, τὴν δὲ λαμπρότητα κατέ-
κρυβε τῶν ὅπλων ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κε-
λεύσας. (9) Ὡς δ' ἐγγὺς ἐγένοντο καὶ σημεῖον ἤρθη
παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλαντο φθογγῆς
βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. (10) Πάρθοι
γὰρ οὐ κέρασιν οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς e
μάχην, ἀλλὰ ῥόπτρα βυρσοπαγῆ καὶ κοῖλα περιτείναν-
τες ἠχείοις χαλκοῖς ἅμα πολλαχόθεν ἐπιδουποῦσι, τὰ δὲ
φθέγγεται βύθιόν τι καὶ δεινὸν ὠρυγῇ θηριώδει καὶ τρα-
χύτητι βροντῆς μεμιγμένον, εὖ πως συνεωρακότες, ὅτι
τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς
καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ καὶ μάλιστα
ἐξίστησι τὴν διάνοιαν.

XXIV. Ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων διὰ τὸν
ἦχον ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβα-
λόντες ὤφθησαν αὐτοί τε φλογοειδεῖς κράνεσι καὶ θώραξι
τοῦ Μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ περιλαμπές·
οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς σκε-
πάσμασιν, ὁ δὲ Σουρήνας μέγιστος καὶ κάλλιστος, αὐ- f
τὸς δὲ τῇ κατ' ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους
οὐκ ἐοικώς, ἀλλὰ Μηδικώτερον ἐσκευασμένος ἐντρίμ-
μασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων Πάρ-
θων ἔτι Σκυθικῶς ἐπὶ τὸ φοβερὸν τῷ ἀνασίλλῳ κομών-
558 των. (2) Καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσ- a
ελαύνοντες ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους· ὡς
δ' ἑώρων τό τε βάθος τοῦ συνασπισμοῦ καὶ τῶν ἀνδρῶν
τὸ μόνιμον καὶ παρεστηκός, ἀνῆγον ὀπίσω καὶ σκίδνα-
σθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν ἐλάνθανον
ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν. (3) Κράσ-
σου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ

equitesque in cornua distribuens; mox mutato consilio, contractis ordinibus aciem quadratam bifrontem et profundam effecit, cujus singula latera duodecim cohortibus complerentur. (4) Singulis cohortibus turmam equitum addidit, ut nulla pars equestri auxilio destitueretur, sed undique eodem modo munita acie hosti occurreret. Cornu alterum filio commisit, medium agmen ipse duxit. (5) Ita progressi ad amnem pervenerunt, cui Balisso nomen, non abundantem quidem aquæ, militibus tamen in tanto æstu atque siccitate, perpessis præterea magnam in tam laborioso et sicco itinere sitim, oppido gratum. (6) Plerisque ducum ibi pernoctandum castris factis, et cognoscendum, quoad fieri posset, de multitudine, apparatu et ordine hostium videbatur, mane contra eos eundum; Crassus vero filio equitibusque, quibus ille præerat, ducere et pugnam conserere jubentibus fidens, ordinem suum tuentes comedere et bibere, quibus opus esset, jussit. (7) Ac priusquam id omnes fecissent, rursum duxit non sensim neque ut quiete vires eorum ad pugnam redintegraret, sed propere atque continenter, donec subito conspecti a Romanis sunt hostes, præter eorum opinionem neque multi neque splendidi. (8) Quippe multitudinem post antesignanos occultaverat Surenas, splendoremque armorum vestibus et pellibus tegi jusserat. (9) Postquam prope hostem perventum est datumque a duce signum, illico gravi sonitu terribilique fremitu totam compleverunt planitiem. (10) Non enim cornibus aut tubis Parthi prœlium accendunt, sed pelles cavo aheno inductas malleis undequaque simul pulsant; hæc tympana sic perculsa raucum murmur sonumque terrificum edunt, quasi fremitu feræ alicujus et tonitru permisto, ac recte quidem intellexerunt, ab iis quæ auditu sentiuntur animam facillime perturbari affectionesque istas celerrime movere cogitandique facultatem excutere.

XXIV. Eo tum sonitu perturbatis Romanis, subito Parthi tegumenta armorum abjecerunt, ardentesque suas galeas et thoraces, late rutilante Margiano ferro, ostentaverunt, itidemque equites æreis et ferreis tecti velamentis. Surenas vero, maximus ipse et pulcherrimus, fortitudinis gloriam formæ muliebri ornatu minime exprimebat, Medorum in morem faciem fucatus crinemque discriminatus, quum reliqui Parthi Scythico adhuc more ad perterrendos hostes capillo in verticem eminente horrerent. (2) Atque primum quidem conati sunt infestis contis impetu dato primam aciem disjicere, sed ubi stipatos ordines constantiamque in ordinibus tuendis Romanorum senserunt, retro abierunt, quumque dissipatorum speciem præberent et ordines solventium, imprudentibus hostibus quadratam eorum aciem circumvenerunt. (3) Levis autem armaturæ milites a Crasso emissi, haud longe progressi sunt, sed statim multis petiti sa-

πολὺ προῆλθον, ἀλλὰ πολλοῖς τοξεύμασιν ἐντυχόντες ταχὺ καὶ συμπαρέντες αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ δέους ὁρῶσι τὸν τόνον τῶν οἰστῶν καὶ τὴν ῥώμην ὅπλα τε ῥηγνύντων καὶ διὰ παντὸς φερομένων ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ στεγάσματος. (4) Οἱ δὲ Πάρθοι διαστάντες ἐκ μήκους b ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριβῆ τοξείαν (ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν), εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποστελλόντων. (5) Ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων· καὶ γὰρ μένοντες ἐν τάξει συνετιτρώσκοντο, καὶ χωρεῖν ὁμόσε πειρώμενοι τοῦ μὲν ποιεῖν ἴσον ἀπεῖχον, ὁμοίως δ' ἔπασχον. Ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι, καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐστιν ἀμυνομένους c ἔτι σώζεσθαι καὶ τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν.

XXV. Ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη σχήσεσθαι μάχης ἢ συνάπτειν εἰς χεῖρας, ἐκαρτέρουν· ὡς δ' ἔγνωσαν, ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ' ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος ἠθύμει καὶ σκοπεῖν ἐκέλευεν ἀγγέλους πέμψας πρὸς τὸν υἱόν, ὅπως προσμῖξαι βιάσεται τοῖς ἐναντίοις πρὶν ἢ κυκλωθῆναι· μάλιστα γὰρ ἐκείνῳ προσέπιπτον καὶ περιίππευον τὸ κέρας ὡς κατὰ νώτου γενησόμενοι. (2) Λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους, ὧν οἱ χίλιοι παρὰ d Καίσαρος ἦσαν, καὶ τοξότας πεντακοσίους καὶ τῶν ἔγγιστα θυρεοφόρων ὀκτὼ σπείρας περιήγαγεν εἰς ἐμβολήν. (3) Τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες, ὡς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ πατρὸς στρατηγοῦντες, ὀπίσω στρέψαντες ἐδίωκον. (4) Ὁ δὲ βοήσας, ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε καὶ σὺν αὐτῷ Κηνσωρῖνός τε καὶ Μεγάβακχος, ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου καὶ παραπλήσιοι καθ' ἡλικίαν. (5) Ἐπισπομένων δὲ τῶν ἱππέων οὐδὲ τὸ πεζὸν ἀπελείπετο προ- e θυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος· νικᾶν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὗ πολὺ προελθόντες ᾔσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων καὶ πλειόνων ἄλλων ἐπιφερομένων. (6) Ἐνταῦθα ἔστησαν οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας ὀλίγοις οὖσι τοὺς πολεμίους. Οἱ δὲ τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δ' ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες καὶ συνταράττοντες τὸ πεδίον, ἀνίστασαν ἐκ βυθοῦ θῖνας ἄμμου κονιορτὸν ἐπαγούσας ἄπλετον, ὡς μήτε διορᾶν ῥᾳδίως μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἰλου- f μένους δὲ ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾴδιον οὐδ' ὀξὺν θάνατον, ἀλλ' ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσανασχετοῦντας καὶ κυλινδουμένους περὶ τοῖς οἰστοῖς ἐναποθραύειν τοῖς τραύμασι
559 βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας καὶ a

giltis atque confixi intra legionarios sese recepere, primique confusionis et metus initium præbuerunt, quum legionarii vim sagittarum cernerent et robur arma penetrantium et omnia sive dura sive mollia tegumenta perrumpentium. (4) Proinde Parthi a se invicem divulsi eminus sagittis Romanos undique impetere cœperunt, neque accurate collimarent necesse erat: ita enim continua erat et densa Romanorum acies, ut aberrare vel volens aliquis non potuisset; arcus porro grandes atque validi, qui propter magnam flexuram vehementi admodum impetu sagittas extorquebant, validas et violentas incusserunt plagas. (5) Erant itaque jam tum res Romanorum pessimo in statu; nam et ordines suos servantes, vulneribus conficiebantur, et si conferre manum conarentur, idem quod ante patiebantur, hostem lædere non poterant. Fugientes enim Parthi sagittas simul emittebant, quod post Scythas nemo iis melius novit; estque id optimum inventum, quod salutem suam defendentibus etiam fuga turpitudine caret.

XXV. Tamen Romani, quamdiu spes fuit hostes sagittis omnibus emissis, aut cominus pugnandi copiam aut pugnæ finem facturos, perduraverunt; sed ubi cognoverunt multas camelos sagittis onustas astare, unde primi prætervecti reliquos sumerent, tum demum Crassus animum despondens, quod finem nullum videret, missis nuntiis filium monuit, ut quacunque posset ratione impetum in hostes faceret, antequam ab iis circumdaretur; maxime enim eum petebat cornu hostium et a tergo cingere nitebatur. (2) Ergo P. Crassus cum mille trecentis equitibus, quorum mille a Cæsare adduxerat, quingentis sagittariis, octoque scutatorum qui proxime aderant cohortibus, adversum se hostibus objecit. (3) Verum Parthi, sive quod in loca palustria incidissent, quæ nonnullorum est opinio, sive quod id agerent, ut quam longissime Crassum a patre abducerent, retro versi raptim ferebantur. (4) Ille vero inclamans, Fugiunt hostes, insecutus est, unaque cum eo Censorinus et Megabacchus, hic quidem magnanimitate et alacritate præstans, ille etiam senatoria dignitate magnaque in dicendo vi præditus, uterque socius et æqualis P. Crassi. (5) Equitibus hos sequentibus, ne pedites quidem se continuerunt, spe adducti quod vincere suos et instare fugientibus Parthis putabant, tantisper, dum longius progressi fraudem senserunt, iis qui fugere putabantur, se convertentibus, pluribusque aliis auxilio venientibus. (6) Substiterunt igitur Romani, secum, quod pauci erant, congressurum hostem putantes. Illi vero cataphractos equites Romanis opponentes, reliquo equitatu, nullo servato ordine, eos circumvecti, ex planitie acervos arenæ et vim pulveris tantam excitarunt, ut neque prospicere, neque loqui facile Romani possent, verum in angusto loco conglobati et conflictati feriebantur et peribant non facili neque celeri mortis genere, sed convulsi et intolerabili dolore cruciati, circa sagittas sibi infixas volutati, in ipsis eas vulneribus perfringere studebant, cuspides vero

δεδυκυίας διὰ φλεβῶν καὶ νεύρων προσαναῤῥηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. (7) Οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν· καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος, ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι καὶ πρὸς ἄμυναν. (8) Αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας προσέβαλε μὲν ἐῤῥωμένως καὶ συνῆψε τοῖς ἀνδράσιν, ἦν δὲ ἄνισος ἔν τε ταῖς πληγαῖς καὶ τῷ φυλάττεσθαι, b παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν· τούτοις γὰρ ἐθάῤῥει μάλιστα καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. (9) Τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο καὶ συμπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας, πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολείποντες ἵππους καὶ ὑποδυόμενοι τοῖς ἐκείνων ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δ' ἀνεσκίρτων ὑπ' ὀδύνης καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. (10) c Ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα τό τε θάλπος καὶ τὸ δίψος, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. Ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. (11) Ἰδόντες δὲ θῖνα βουνώδη πλησίον ἐχώρουν ἐπ' αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν, ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες ᾤοντο ῥᾷον ἀμύνεσθαι τοὺς βαρβάρους. (12) Ἀπέβαινε δὲ τοὐναντίον. Ἐν μὲν γὰρ τῷ ὁμαλῷ τοῖς ὄπισθεν ἀμωσγέπως παρέχουσιν οἱ πρόταχτοι ῥᾳστώνην, ἐκεῖ δ' ἄλλον d ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἀνέχοντος τοῦ χωρίου καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίροντος οὐκ ἠδύναντο διαφεύγειν, ἀλλ' ἐβάλλοντο πάντες ὁμαλῶς ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὐτῶν τελευτήν. (13) Ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάῤῥαις, Ἱερώνυμος καὶ Νικόμαχος, οἳ συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ' αὐτῶν καὶ διαφεύγειν εἰς Ἴχνας, πόλιν ᾑρημένην τὰ Ῥωμαίων καὶ οὐ μακρὰν οὖσαν. Ὁ δὲ φήσας οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι' αὐτόν, ἐκείνους μὲν ἐκέλευσε σώζεσθαι καὶ δεξιωσάμενος ἀπέλυσεν, αὐτὸς δὲ τῇ χειρὶ χρήσασθαι e μὴ δυνάμενος (διελήλατο γὰρ βέλει), τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει παρασχὼν τὸ πλευρόν. (14) Ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσι· Μεγάβακχος δ' αὐτὸν διεχρήσατο καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. Τοὺς δ' ὑπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους· ζῶντας δ' οὐ πλείονας ἁλῶναί φασι πενταχοσίων. Τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν Πόπλιον ἀποκείραντες ἤλαυνον εὐθὺς ἐπὶ τὸν Κράσσον.

XXVI. Εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. Ὡς ἐκέλευσε

hamatas evellere vi conati, quæ per venas nervosque penetrarant, lacerabant atque dilaniabant semetipsos. (7) Multis hoc modo pereuntibus, nihilo majori usui ad dimicandum fuerunt qui vivebant; Publioque monenti ut in cataphractos impetum facerent, manus clypeis, pedes solo penitus affixos sagittis ostendebant et ad pugnam et ad fugam inutiles. (8) Ipse itaque equitibus concitatis fortiter in hostes irruit pugnamque conseruit. Verum ea et in cavendis et in inferendis ictibus erat perinæqualis, quippe hastis imbecillibus et brevibus thoraces ex crudis tergoribus ferrove confectos impetebat; contra leviter armata et fere nuda corpora Gallorum gravibus contis feriri passus est; his enim maxime fidebat Crassus eorumque virtute multa admiratione digna facinora edidit. (9) Nam et contos hostium apprehendebant colluctantesque eos ob pondus armorum immobiles de equis deturbabant, et multi a suis equis descendentes, hostiles equos subibant et ventres eorum sauciabant, ut equi vulneris impatientia exsilientes, et promiscue et sessores et hostes obterentes, morerentur. (10) Maxime autem Gallos æstus et sitis, insolens iis utrumque, premebat, et plerique equorum adversis contis confixi perierant. Quare ad pedestres copias se recipere coacti sunt, abducentes secum Publium jam vulneribus graviter afflictum. (11) Conspicati autem in propinquo collem arenis exaggeratum eo se contulere equisque in medio loco alligatis, extrema clypeis circummunientes, speravere se facile barbarorum vim defensuros. (12) Verum hoc secus cecidit. Nam in loco quidem æquali priores utcumque posterioribus propugnaculi instar esse possunt, at is locus quum propter inæqualitatem posteriores magis magisque tolleret, effecit ut tela evitare non possent, sed ex æquo omnes ferirentur, ignominiosam, quod nihil agere licuisset, mortem deplorantes. (13) Erant cum Publio Græci duo, Carris habitantes eo tempore, Hieronymus et Nicomachus; hi ei suadebant, ut una cum ipsis prœlio se subtraheret, et Ichnas perfugeret, urbem haud longe distantem et Romanorum rebus faventem. At Publius tantum effatus, nullum tam atrox mortis genus fore, cujus metu eos, qui propter ipsum perirent, desereret, salutatos ire jussit et saluti suæ consulere; ipse quum sua manu uti non posset (erat enim jaculo transfixa), armigero latus feriendum præbuit. (14) Eodem modo Censorinum quoque mortuum aiunt; Megabacchus et ceteri nobilissimus quisque suis ipsorum manibus se interemerunt, reliquos Parthi in tumulum ascendentes contis confoderunt repugnantes, vivi non plures quingentis in hostium potestatem venerunt. Capitibus autem Publii et sociorum amputatis, recta ad ipsum Crassum contenderunt.

XXVI. Ejus res ita habebat. Postquam filium invadere

τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοὺς καθ' αὑτὸν οὐκέτι προσκειμένους ὁμοίως f (ἐκεῖ γὰρ ἐῤῥύησαν οἱ πλεῖστοι), μικρὸν ἀνεθάῤῥησε καὶ συναγαγὼν ὑπέστειλεν ἐν χωρίοις προσάντεσι τὸν στρατὸν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. (2) Τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν ἐμπεσόντες εἰς τοὺς βαρβάρους, οἱ δ' ὕστεροι μόγις δια- 560 φυγόντες ἀπήγγελλον οἴχεσθαι τὸν Πόπλιον, εἰ μὴ τα- a χεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένοιτο. (3) Τὸν δὲ Κράσσον ἅμα πολλὰ πάθη κατέσχε· καὶ λογισμῷ μὲν οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα, φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν καὶ μὴ βοηθεῖν τέλος ὥρμησε προάγειν τὴν δύναμιν. (4) Ἐν τούτῳ δ' οἱ πολέμιοι προσεφέροντο κλαγγῇ καὶ παιᾶνι φοβερώτεροι καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. (5) Οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν ἐγγὺς προσελάσαντες ἀνέδειξαν ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος· οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ b κακίστου γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. (6) Τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τἆλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυναν, ὥσπερ ἦν εἰκὸς, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. (7) Καίτοι τόν γε Κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσιν· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις· « Ἐμὸν, ὦ Ῥωμαῖοι, τοῦτο « τὸ πένθος ἴδιόν ἐστιν, ἡ δὲ μεγάλη τύχη καὶ δόξα « τῆς Ῥώμης ἐν ὑμῖν ἕστηκε σωζομένοις ἄθραυστος καὶ « ἀήττητος. Εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου « παῖδα πάντων ἄριστον, ἐπιδείξασθε τοῦτο ὀργῇ πρὸς « τοὺς πολεμίους. Ἀφέλεσθε τὴν χαρὰν αὐτῶν, τιμω- c « ρήσασθε τὴν ὠμότητα, μὴ καταπλαγῆτε τοῖς γεγενη- « μένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. Οὐδὲ « Λούκουλλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν οὐδὲ Σκη- « πίων Ἀντίοχον, χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικε- « λίαν ἀπώλεσαν, ἐν δ' Ἰταλίᾳ πολλοὺς αὐτοκράτορας « καὶ στρατηγοὺς, ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐ- « τοὺς κρατῆσαι τῶν νενικηκότων. Οὐ γὰρ εὐτυχίᾳ τὰ « Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ « χωρούντων εἰς τοῦτο προῆλθε δυνάμεως. »

XXVII. Τοιαῦτα λέγων καὶ παραθαρσύνων ὁ Κράσσος οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας, ἀλλὰ καὶ συναλαλάξαι κελεύσας ἤλεγξε τοῦ στρατοῦ τὴν κατή- d φειαν, ὡς ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποίησαντο, ἡ δὲ παρὰ τῶν βαρβάρων λαμπρὰ καὶ θρασεῖα κατεῖχε. Τραπομένων δὲ πρὸς ἔργον οἱ μὲν οἰκέται καὶ πελάται πλάγιοι περιελαύνοντες ἐτόξευον, αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρόταχτοι χρώμενοι συνέστελλον εἰς ὀλίγον τοὺς Ῥωμαίους, πλὴν ὅσοι τὸν ἀπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ

hostes jussit et nuntius allatus est acriter instante Publio effuse Parthos fugere, quum etiam se ab hostibus minus jam urgeri cerneret, qui et ipsi plerique eodem transiverant, recepto aliquantulum animo, exercitum ad loca acclivia contraxerat, statim ab insecutione hostium rediturum filium exspectans. (2) Qui vero missi ad eum a Publio erant, ut indicarent quanto in periculo versaretur, a barbaris in quos inciderunt cæsi sunt. Posteriores vix elapsi, actum esse de Publio, nisi celeriter ei subveniretur, retulerunt. (3) Tot simul perturbationibus Crassus perculsus, nullum consilium rei salubre inveniebat, metu tamen totius eventus et desiderio filii modo ad succurrendum, nunc ad non succurrendum propensus, statuit tandem promovere exercitum. (4) Interim hostes magno strepitu et pæanem canendo terrorem Romanis auxerunt, quos rursum multa circummugiebant tympana, novi prœlii initium exspectantes. (5) Parthi vero Publii caput hastæ præfixum prope adequitantes ostenderunt, ac per contumeliam quinam ejus parentes, quod genus fuisset, quæsiverunt; non enim convenire ut tam generosus et illustri virtute præditus homo, Crassi, viri ignavissimi et pessimi, filius dicatur. (6) Id spectaculum Romanorum animos plus quam reliquæ omnes calamitates fregit atque debilitavit, non ut debuit iram eis et ulciscendi cupiditatem, sed horrorem trepidationemque afferens. (7) Quanquam ipsum Crassum non unquam quam eo in casu præclarius se gessisse ferunt, ac circum ordines obeuntem clamasse: « Meus hic, o Romani, proprius est luc!u3, ma- « gna vero Romæ fortuna et gloria vobis servatis integra in- « columisque perstat. Sin mei vos miseratio aliqua tangit, « qui optimo filio orbatus sum, agedum ira in hosies ;d « ostendite. Gaudium illis adimite, crudelitatem ulci:cimi- « ni, neque vos terreant ea quæ passi estis, siquidem ma- « gnas res affectantem, aliquid perferre oportet. Neque Lu- « cullus Tigranem, neque Antiochum Scipio sine suorum « sanguine vicit, majores nostri mille naves apud Siciliam « amiserunt, in Italia multos imperatores, multos duces; « neque horum ullus victus obstitit quominus ii victores « debellarent. Non enim fortunæ bonitate, sed patientia et « virtute in subsistendis rebus adversis ad tantam potentiam « res Romana pervenit. »

XXVII. Hoc ille sermone suos ad meliorem spem erigere conatus, paucorum vidit animos incensos; quin et clamorem militarem tollere quum jussisset, mœstitiam eorum culpavit, quod imbecillam, exiguam et inæqualem vociferationem edidissent, quum barbarorum aspera et sonora conclamatio aures perstreperet. Ut ad rem ipsam ventum est, domestici et clientes ex obliquo circumvecti sagittas emittebant; quibus vero primi ordines mandati erant, ii gravibus contis utentes, Romanos in angustum locum comprimebant: nisi si qui a sagittis illæsi ausi sunt in hos impetum facere, parum quidem nocentes hostibus, ipsi vero con-

θνήσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἱππεῖς, πολλάκις καὶ διὰ δυεῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευό- e μενον. (2) Οὕτω δὲ διαγωνισάμενοι νυκτὸς ἐπιούσης ἀπηλλάγησαν, εἰπόντες ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱόν, ἢν ἄρα μὴ βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμενος ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς Ἀρσάκην ἢ κομισθῆναι. (3) Οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον ἐν ἐλπίσι μεγάλαις ἦσαν· νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν οὔτε ταφῆς τῶν κειμένων οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων ποιουμένους λόγον, ἑκάστου δ' ἑαυτὸν ἀποκλαίοντος. (4) Ἄφυκτα γὰρ ἐφαίνετο τήν τε ἡμέραν αὐτοῦ προσμείνασι καὶ νύκτωρ εἰς πεδίον ἀχανὲς ἐμβαλοῦσιν· οἵ τε f τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον καὶ κομίζειν ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι καὶ ἀπολείπειν βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. (5) Τοῦ δὲ Κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως 561 τήν τ' ὄψιν καὶ τὴν φωνήν. Ὁ δὲ καθ' ἑαυτὸν ἐγκε- a καλυμμένος ὑπὸ σκότους ἔκειτο, παράδειγμα τοῖς πολλοῖς τύχης, τοῖς δ' εὖ φρονοῦσιν ἀβουλίας καὶ φιλοτιμίας, δι' ἣν οὐκ ἠγάπα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ' ὅτι δυεῖν μόνον ἀνδρῶν ὕστερος ἐκρίνετο τοῦ παντὸς ἀποδεῖν νομίζων. (6) Τότε δ' οὖν αὐτὸν Ὀκταούιος ὁ πρεσβευτὴς καὶ Κάσσιος ἀνίστασαν καὶ παρεθάρρυνον. Ὡς δ' ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγούς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν ἄνευ σάλπιγγος καὶ δι' ἡσυχίας τὸ πρῶτον· εἶτ' αἰσθομένων ὡς ἀπελείποντο τῶν ἀδυνάτων ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς καὶ βοῆς τὸ b στρατόπεδον κατεῖχεν. (7) Ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ὑπελάμβανεν, ὡς ἐπιφερομένων τῶν πολεμίων. Καὶ πολλάκις μὲν ἐκτρεπόμενοι, πολλάκις δὲ εἰς τάξιν καθιστάμενοι, τῶν δὲ τραυματιῶν ὅσοι παρηκολούθουν τοὺς μὲν ἀναλαμβάνοντες, τοὺς δὲ ἀποτιθέμενοι διατριβὴν εἶχον, πλὴν τριακοσίων ἱππέων, οὓς Ἰγνάτιος ἔχων προσέμιξε ταῖς Κάρραις περὶ μέσας νύκτας. (8) Φθεγξάμενος δὲ Ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν, ὅτι γέγονε μάχη μεγάλη Κράσσῳ πρὸς Πάρθους, ἄλλο δ' οὐδὲν εἰπὼν οὐδ' αὑτὸν c ὅστις ἦν ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα καὶ διέσωσε μὲν τοὺς σὺν αὑτῷ, κακῶς δ' ἤκουσε καταλιπὼν τὸν στρατηγόν. (9) Οὐ μὴν ἀλλ' ὤνησέ γε τὸν Κράσσον ἡ προσριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γάρ, ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντός ἐστι τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου παρήγγειλεν εὐθὺς ἐξοπλίζεσθαι τοὺς στρατιώτας καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον ἀπαντήσας ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν.

XXVIII. Οἱ δὲ Πάρθοι νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν οὐκ ἐδίωκον, ἅμα δ' ἡμέρᾳ τοὺς μὲν ἐν τῷ d στρατοπέδῳ καταλειφθέντας οὐ μείους τετρακισχιλίων

festim occumbentes vulneribus magnis et letalibus, quum illi tam fortiter impingerent ferrum, ut cum ipso hastili penetraret in equites et sæpe adeo duos homines ictu perforaret. (2) Parthi quum ad hunc modum decertassent, nocte appetente digressi sunt, dicentes, Crasso se hanc noctem ad mortem filii deflendam largiri, nisi eam malit rectius deliberationi dare, utrum venire an apportari ad Arsacen malit. (3) Haud procul tamen a Romanis pernoctaverunt, magnam in spem futurorum erecti. Nox ea Romanis fuit tristissima: non de humandis cæsorum cadaveribus, non de sauciis curandis atque animas agentibus quisquam cogitabat, sed suam quisque ipsius fortunam deplorabat. (4) Quippe et si ad diem ibi permansissent, omnem fugiendi occasionem præreptum iri intelligebant, et noctu in vastissimam planitiem se demittentibus spes salutis nulla erat; tum saucii ancipitem curam afferebant, qui si una auferrentur, fugam impedituri; sin desererentur, clamore eam prodituri essent. (5) Crassi autem, quamvis eum causam omnium malorum censerent, vultum tamen vocemque desiderabant. Sed is in tenebris seorsum obvolutus jacebat, imperitæ multitudini fortunæ exemplum præbens, sani autem judicii hominibus, imprudentiæ et ambitionis; quibus ille vitiis inductus inter tam multa hominum millia non se unum primum esse et maximum, ferre non potuerat, sed omnia sibi deesse existimaverat, propterea quod vel duobus viris postponeretur. (6) Ibi eum Octavius legatus et Cassius conati sunt allevare et confirmare; qui quum plane animum despondisset, ipsi tribunis militum et centurionibus convocatis, deliberata re loco isto discedere statuerunt atque milites tacite et sine tubæ sonitu primum excitaverunt: mox quum ægroti se derelinqui sentirent, terribilis tumultus et confusio cum ejulatu et clamore castra pervasit. (7) Trepidatio quoque et terror inter progrediendum obortus, hostes ingruere opinantium, et modo declinantium a via, modo ordines instruentium, saucios qui sequebantur partim ad se recipientium, partim deponentium; hæc fugæ moram injecerunt: unus Ignatius cum trecentis equitibus ad Carras circa mediam noctem pervenit. (8) Romanoque sermone compellatis vigilibus, quum inaudirent, Coponio urbis præfecto indicare jussit, magno prœlio Crassum cum Parthis decertasse; nihil præterea addens neque suum nomen edens, ad Zeugma contendit suosque eripuit, male tamen ob desertum imperatorem audivit. (9) Verumtamen Crasso profuit nuntius ille Coponio allatus. Is enim colligens nihil boni quod renuntiaret habuisse qui tam celeri et confuso sermone uteretur, statim suos milites arma capere jussit; utque primum sensit in via esse Crassum, occurrit exercitumque Carras duxit.

XXVIII. Verum Parthi, quamvis nocturnus eos discessus non fefellisset, insecuti tamen non sunt. Prima luce in castris deprehensos ad quattuor millia hominum, omnes ne-

ἐπελθόντες ἀπέσφαξαν, ἐν δὲ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι συνέλαβον. (2) Τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέῤῥηξε Βαργοντῖνος ὁ πρεσβευτὴς ἐκπεσούσας τῆς ὁδοῦ, ἃς περισχόντες ἔν τινι λόφῳ διέφθειραν ἀμυνομένας πλὴν ἀνδρῶν εἴκοσι. Τούτους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν θαυμάσαντες εἶξαν καὶ διέξοδον ἀπιοῦσι βάδην εἰς τὰς Κάῤῥας ἐδίδοσαν. (3) Τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς λόγος ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων, τὸν δ' εἰς Κάῤῥας συνεῤῥυηκότα ὄχλον εἶναι σύμμικτον e οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. (4) Οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν καὶ μαθεῖν βουλόμενος τἀληθὲς, ὅπως ἢ προσμένων ἐνταῦθα πολιορκοίη ἢ Κράσσον διώκοι χαίρειν ἐάσας Καῤῥηνοὺς, ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη κελεύσας ἱέντα Ῥωμαϊκὴν διάλεκτον καλεῖν Κράσσον αὐτὸν ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. (5) Ταῦτα τοῦ διγλώττου φράσαντος ὡς ἀπηγγέλη τοῖς περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις καὶ μετὰ μικρὸν ἧκον ἀπὸ τῶν βαρβάρων Ἄραβες, οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' f ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ πρὸ τῆς μάχης γεγονότες. Οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους ἔλεγον ὅτι Σουρήνας σπένδεται καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾶν λυσιτελὲς ἀμφοτέροις πρὸ τῆς ἐσχάτης ἀνάγκης. (6) Δεξαμένου δὲ τοῦ Κασσίου καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος, ἐν ᾧ συνίασι Σουρήνας 562 καὶ Κράσσος, οὕτω φάμενοι ποιήσειν ἀπήλαυνον. a

XXIX. Ἡσθεὶς οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς Πάρθους πολλὰ καθυβρίζοντας καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. (2) Οἱ δ' ἤχθοντο μὲν ἠπατημένοι, μακρὰς δὲ καὶ κενὰς τὰς Ἀρμενίων ἐλπίδας καταβάλλειν τῷ Κράσσῳ φράσαντες εἴχοντο δρασμοῦ· καὶ τοῦτ' ἔδει μηδένα πρὸ καιροῦ Καῤῥηνῶν πυθέσθαι. Πυνθάνεται δ' ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθεὶς καὶ τῆς ὁδοῦ τὴν ἡγεμονίαν. Οὐδὲν οὖν ἔλαθε τοὺς Πάρθους, ἐξαγ- b γέλλοντος τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. (3) Ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριον αὐτοῖς ἐστιν οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νύκτωρ ὁ Κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει στρατηγῶν ὁ Ἀνδρόμαχος ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία τάφρων μεστὰ τὴν πορείαν χαλεπὴν καὶ πολυπλανῆ γινομένην τοῖς ἐπισπομένοις. (4) Ἐγένοντο γάρ τινες, οἳ μηδὲν ὑγιὲς τὸν Ἀνδρόμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες οὐχ ἠκολούθησαν. Ἀλλὰ Κάσσιος μὲν ἐπανῆλθεν εἰς Κάῤῥας πάλιν, καὶ τῶν ὁδηγῶν (Ἄραβες δ' ἦσαν) ἀναμένειν κελευόντων, ἄχρις ἂν ἡ σελήνη παραλλάξῃ τὸν σκορπίον, « Ἀλλ' ἔγωγ', c εἰπὼν, ἔτι τούτου μᾶλλον φοβοῦμαι τὸν τοξότην », ἀπήλαυνεν εἰς Συρίαν μεθ' ἱππέων πεντακοσίων· (5) ἄλλοι

caverunt et multos in campis oberrantes equitatu assecuti occiderunt. (2) Quattuor cohortes duce Varguntine per noctem a reliquis avulsæ, via exciderant; has Parthi in quodam colle circumventas et armis se defendentes, interfecerunt, viginti modo ex his viris, qui per ipsos strictis gladiis eruptionem tentabant, mirati virutem, spatium transeundi fecerunt, sensimque Carras ire passi sunt. (3) Ceterum ad Surenam falsus pervenerat rumor, effugisse Crassum cum optimis Romanorum, eam vero quæ Carras confluxisset turbam, hominum esse vilium promiscuam colluviem. (4) Opinatus ergo præmium victoriæ sibi ademptum, dubius tamen adhuc animi, ut quid in ea re verum esset cognosceret, sciretque Carræne sibi oppugnandæ an insequendus Crassus Carris omissis foret; unum suorum interpretum ad muros mittit, qui Romano sermone Crassum vel Cassium vocaret, diceretque cupere Surenam cum iis colloqui. (5) Hæc ubi dixerat interpres, Crasso relata sunt conditionesque acceptæ. Paulo post Arabes a Parthis venerunt, qui Crassum Cassiumque de facie noverant, quod ante pugnam in castris eorum fuissent. Hi quum in muro astantem viderent Cassium, Surenam aiebant pacem ipsis dare et salutem amicitiamque regis polliceri, si (quod unum utile ipsis esset, priusquam extrema experirentur) Mesopotamiam missam facerent. (6) Probante id Cassio et postulante ut locus diesque congressui Surenæ cum Crasso definiretur, ita se curaturos dixere et ad suos redierunt.

XXIX. Surena lætus admodum quod in obsidione eos viros esset habiturus, eo ipso die Parthos urbi admovit, insultantes acerbe jubentesque Romanos, si pacem vellent, Crassum sibi et Cassium vinctos dedere. (2) Doluit ea fraus Romanis et Crassum, longa et inani spe subsidii ex Armenia exspectandi deposita, fugam moliri jusserunt. Id vero consilium quum maxime curandum fuisset ne quis maturius Carrensium cognosceret, Andromachus homo perfidissimus ex ipso Crasso intellexit, cujus fides et hoc ei dedit et ut viæ dux esset. Itaque nihil fefellit Parthos, Andromacho singula accurate enuntiante. (3) Noctu Carris egressum Crassum (noverat enim Parthos noctu pugnare neque solere facile neque posse) Andromachus, ne tardius Parthi insequerentur, artificio variis viis circumducens, difficili sequentibus et pleno ambagibus itinere ad extremum in loca paludibus et fossis plurimis intercepta pertraxit. (4) Etenim non defuerunt qui nihil sani Andromachum flexibus istis et circuitionibus agere suspicati, sequi eum noluerunt. Cassius certe Carras rediit, et quum Arabes itineris duces ibi eum permanere juberent, donec luna scorpium peragrasset: Ego vero, inquiens, sagittarium magis metuo, in Syriam cum equitibus quingentis discessit. (5) Et quidam alii fidos

δὲ χρησάμενοι πιστοῖς ὁδηγοῖς ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίνναχα, καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. Οὗτοι περὶ πεντακισχιλίους ἦσαν· ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς Ὀκταούιος. (6) Τὸν δὲ Κράσσον ἡμέρα κατελάμβανεν ἐπιβουλευόμενον ὑπ' Ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. Ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων, ἱππεῖς δὲ παντελῶς ὀλίγοι καὶ πέντε ῥαβδοῦχοι, μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταστὰς, ἤδη τῶν πολεμίων d ἐπικειμένων, ὅσον δώδεκα σταδίους ἀπολιπὼν τοῦ συμμῖξαι τοῖς περὶ τὸν Ὀκταούιον, ἐπ' ἄλλον ἀναφεύγει λόφον, οὐχ οὕτω μὲν ἄφιππον οὐδ' ὀχυρὸν, ὑποκείμενον δὲ τοῖς Σιννάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. (7) Ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν Ὀκταούιον ὁ κίνδυνος αὐτοῦ. Καὶ πρῶτος Ὀκταούιος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν, εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐπεφέροντο καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου περιέσχον ἐν μέσῳ τὸν Κράσσον καὶ προεβάλλοντο τοὺς θυρεοὺς μεγαληγοροῦντες, ὡς οὐκ ἔστι Πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους e ἀποθανεῖν.

XXX. Ὁρῶν οὖν ὁ Σουρήνας τούς τε Πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας καὶ, ἢν ἥ τε νὺξ ἐπίσχῃ καὶ τῶν ὀρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ Κράσσῳ δόλον. (2) Ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων ἀκηκοό- f τες ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπίτηδες διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον εἶναι πρὸς Ῥωμαίους, τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι Κράσσῳ χρησάμενος φιλανθρώπως, ἴσχοντο δὲ μάχης οἱ βάρβαροι, Σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινεν, ἐκάλει δὲ τὸν Κράσσον ἐπὶ συμβάσεις, εἰπὼν ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως, πρᾳότητα δ' αὐτοῖς καὶ φιλοφροσύνην ἑκὼν ἐπιδείκνυται σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. a

563 (3) Ταῦτα τοῦ Σουρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο καὶ περιχαρεῖς ἦσαν, ὁ δὲ Κράσσος οὐδὲν ὅ τι μὴ δι' ἀπάτης ἐσφαλμένος ὑπ' αὐτῶν καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ' ἐβουλεύετο. (4) Τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων ὡς προβάλλοντα μαχουμένους αὐτοὺς οἷς αὐτὸς ἀνόπλοις εἰς λόγους οὐ θαρρεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι καὶ λέγειν ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι δύνανται διὰ νυκτὸς ἰέναι, καὶ τὴν ὁδὸν ἐδείκνυε καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας ἐγγὺς οὔσης. (5) Ὡς δὲ χαλεπαίνοντες αὐτῷ καὶ τὰ ὅπλα b κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει καὶ τοσοῦτον εἶπε

nacti itinerum monstratores, montana loca, quæ Sinnaca dicuntur, apprehenderunt et ante diem in tuto loco constituti sunt : hi erant ad quinque millia duce Octavio, viro fortissimo. (6) Crassum vero fraude Andromachi in loca iniqua et palustria conjectum dies ortus deprehendit. Erant cum ipso quattuor scutatorum cohortes et perpauci equites ac quinque lictores. Cum his ægre iter ingressus, jam hostibus instantibus quum ab Octavio ad duodecim adhuc abesset stadia, in alium collem confugit, non quidem perinde equitatui inaccessum, neque munitum, sed Sinnacis tamen suppositum, quibus longo jugo per campos medios extenso continuabatur. (7) In conspectu Octavii periculum Crassi erat. Is igitur primo cum paucis ad ferendam opem decurrit, deinde et reliqui mutuo se increpantes, approperaverunt impetuque facto hostes colle deturbaverunt, ipsi in medium Crasso recepto suisque clypeis tecto gloriati sunt, non esse ullum Parthis telum, quod ad imperatoris corpus sit perventurum, antequam omnes ipsi pro eo propugnantes occubuissent.

XXX. At enim Surena quum et Parthos remissius pugnam obire cerneret et intelligeret, si nox appetiisset Romanique montem tenuissent, fore omnino ut capi non possent, dolum Crasso intentavit. (2) Dimisit nempe quosdam ex captivis, qui sermonem barbarorum (quem de composito ii in castris habuerant) inaudivissent : non esse regem eo animo, ut bellum cum Romanis prorsus componi non velit, benignitate restituere se velle eos in amicitiam suam, Crassoque usurum humaniter; simul a pugna barbari cessaverunt, Surena cum principibus placide ad collem adequitat remissoque arcus nervo dextram protendens, ad paciscendum evocat Crassum : Fortitudinem quidem, inquiens, et potentiam regis licet inviti expertus es, ipse ultro clementiam tibi et humanitatem suam ostendit, pacis conditionibus latis discedentibus vobis salutem donans. (3) Hæc Surenæ verba magno gaudio milites excipiebant. At Crassus, qui se nulla alia re quam fraude ab eo læsum nosset, subitamque hanc mutationem absurdam judicaret, non statim assentiri, sed quid agendum esset, circumspicere. (4) Ibi vero quum milites conclamantes pacisci eum cum Surena juberent et convicia facerent, quod ipsos armatis hostibus ad pugnandum objiceret, quibuscum inermibus ad colloquium venire non auderet, primum conatus est deprecari et docere, quod si quod reliquum erat diei perdurassent, noctu in loca montosa regionesque asperas possent recedere; viam quoque monstravit oravitque ne in proximo sitam salutis spem dimitterent. (5) Ut vero exacerbati arma gladiis pulsabant minasque jactabant, timore affectus ad colloquium ivit, hæc modo conversus ad suos

μεταστραφείς· « Ὀκταούιε καὶ Πετρώνιε καὶ ὅσοι πάρεστε Ῥωμαίων ἄρχοντες, ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην καὶ σύνιστε παρόντες, ὡς αἰσχρὰ πάσχω καὶ βίαια, τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες, ὡς Κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν ἀπώλετο. »

XXXI. Οὐ μὴν ἔμειναν οἱ περὶ τὸν Ὀκταούιον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου· τοὺς δὲ ῥαβδούχους ἑπομένους ὁ Κράσσος ἀπήλασε. (2) Πρῶτοι δὲ c τῶν βαρβάρων ἀπήντησαν αὐτῷ δύο μιξέλληνες, οἳ καὶ προσεκύνησαν τὸν Κράσσον ἀπὸ τῶν ἵππων ἁλόμενοι καὶ προσαγορεύσαντες ἑλλάδι φωνῇ παρεκάλουν προπέμψαι τινάς, οἷς ἐπιδείξεται Σουρήνας ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. (3) Ὁ δὲ Κράσσος ἀπεκρίνατο μέν, ὡς, εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθε, ὅμως δὲ δύο Ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους, ἐπὶ τίσι καὶ πόσοι συνίασιν. (4) Οὓς εὐθὺς συλλαβὼν ὁ Σουρήνας κατέσχεν, αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἱππότης προσῄει καί, « Τί τοῦτ'; ἔφη, πεζὸς ὁ Ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δὲ ὀχούμεθα; » καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. (5) Τοῦ δὲ Κράσσου d φήσαντος, οὔτε αὐτὸν ἁμαρτάνειν οὔτ' ἐκεῖνον ὡς ἑκατέρῳ πάτριόν ἐστι ποιουμένους τὴν σύνοδον, εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ Σουρήνας Ὑρώδῃ τε βασιλεῖ καὶ Ῥωμαίοις, δεῖν δὲ γράψασθαι τὰς συνθήκας ἐπὶ τὸν ποταμὸν προελθόντας· « Οὐ γὰρ ὑμεῖς γε, ἔφη, πάνυ μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι, » καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. (6) Μεταπεμπομένου δὲ ἵππον οὐδὲν ἔφη δεῖν· « βασιλεὺς γάρ σοι δίδωσι τοῦτον. » Ἅμα δ' ἵππος τῷ Κράσσῳ παρέστη χρυσοχάλινος, οἵ τε ἀναβολεῖς αὐτὸν ἀράμενοι περιεβίβασαν καὶ e παρείποντο πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. (7) Ὀκταούιος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν καὶ μετ' ἐκεῖνον εἷς τῶν χιλιάρχων Πετρώνιος, εἶτα οἱ λοιποὶ περιίσταντο τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι καὶ τοὺς πιεζοῦντας τὸν Κράσσον ἐξ ἑκατέρου μέρους ἀφέλκοντες. (8) Ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, Ὀκταούιος μὲν ἀνασπάσας τὸ ξίφος ἑνὸς τῶν βαρβάρων κτείνει τὸν ἱπποκόμον, ἕτερος δὲ τὸν Ὀκταούιον ἐκ τῶν ὄπισθεν πατάξας. (9) Πετρώνιος δὲ ὅπλου μὲν οὐκ εὐπόρησεν, εἰς δὲ τὸν θώρακα πληγεὶς ἀπεπήδησεν [ἀπὸ τοῦ ἵππου] ἄτρωτος· τὸν δὲ Κράσσον f Πομαξάθρης Πάρθος ἀπέκτεινεν. Οἱ δ' οὔ φασιν, ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα, τοῦτον δὲ κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. Εἰκάζεται δὲ ταῦτα μᾶλλον ἢ γινώσκεται· τῶν γὰρ παρόντων οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράσσον ἀνῃρέθησαν, οἱ δ' 564 εὐθὺς ἀνεπήδησαν ἐπὶ τὸν λόφον. (10) Ἐπελθόντων a δὲ τῶν Πάρθων καὶ λεγόντων ὅτι Κράσσος μὲν δίκην ἔδωκε, τοὺς δ' ἄλλους κελεύει Σουρήνας κατιέναι θαῤῥοῦντας, οἱ μὲν ἐνεχείρισαν αὐτοὺς καταβάντες, οἱ δὲ τῆς νυκτὸς ἐσπάρησαν, καὶ τούτων ὀλίγοι παντάπασι

in digressu locutus: Octavi tuque Petroni, et quotquot adestis Romanorum duces, vos videtis uti ire ad barbaros cogar, ipsique præsentes mihi conscii estis, quam indigne vim patiar; at vos tamen, si supereritis, apud alios homines non traditum a civibus, sed ab hostibus deceptum periisse Crassum dicitote.

XXXI. Neque vero mansit Octavius, sed una de colle descendit; lictores sequi volentes Crassus a se removit. (2) Primi barbarorum ei occurrerunt duo semigræci et ab equis desilientes eum honoraverunt, Græcaque voce compellantes, mittere aliquem suorum jusserunt, quibus ostenderet Surena se suosque absque armis et ferro ad congressum venire. (3) His respondit Crassus, se, si vel minimam vitæ suæ rationem haberet, haudquaquam in manus Parthorum daturum se fuisse; misit tamen duos Roscios fratres exploratum, qui et quot ad colloquium essent venturi. (4) Hos statim comprehendi et detineri jussit Surena, ipse cum principibus eques Crasso obviam ivit, quumque peditem venire conspexisset: Quid hoc, inquit, est rei? pedes imperator Romanus venit, nos equitamus? simul equum ei adduci jussit. (5) Crassus vero neutrum peccasse dixit, sed utrumque morem patrium in congressu tenuisse. Ad hæc Surena: Jam nunc pacem esse atque pactionem regi Hyrodi et Romanis, progrediendum tamen ad fluvium esse et ibi fœdus (quæ facile oblivisci solerent Romani) conscribendum, simul et dextram porrexit. (6) Et quum Crassus equum suum adduci juberet, nihil opus esse dixit; nam a rege ei equum hunc dono dari. Aderatque præsto equus aureo freno ornatus: in hunc a stratoribus Crassus est impositus et verberibus ab iis qui juxta incedebant ad cursum incitatus equus. (7) Primus Octavius frenum apprehendit et post eum Petronius tribunus militum et tum reliqui circumstantes, inhibere equum, et eos qui Crassum utrimque premebant, removere aggressi sunt. (8) Conflictatione ex eo tumultu orto, res etiam ad verbera venit. Ibi Octavius unius de barbaris equisonem cædit, ipse a tergo ictus ab alio cadit. (9) Petronius armis non potitus, tamen quum ictus in thoracem fuisset, [ab equo] resiliit illæsus. Crassum Pomaxathres Parthus interfecit. Id alii negant, qui cæsum ab alio ferunt, hunc autem mortui caput et manum dextram amputasse. Verum hic conjectura potius quam cognitio est. Qui enim adfuerunt partim Crassum defendentes occisi sunt, partim in collem effugerunt. (10) Quo quum Parthi accessissent ac dicerent Crassum pœnas dedisse, reliquos Surenam jubere secure descendere, quidam de colle digressi se hostibus tradidere, quidam nocte dilapsi sunt, atque horum perpauci evaserunt; pleros-

διεσώθησαν· τοὺς δ' ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες συνελάμβανον καὶ διέφθειρον. Λέγονται δ' οἱ πάντες δισμύριοι μὲν ἀποθανεῖν, μύριοι δὲ ἁλῶναι ζῶντες.

XXXII. Ὁ δὲ Σουρήνας τὴν κεφαλὴν τοῦ Κράσσου καὶ τὴν χεῖρα πρὸς Ὑρώδην ἔπεμψεν εἰς Ἀρμενίαν, αὐτὸς δὲ διαδοὺς λόγον ὑπ' ἀγγέλων εἰς Σελεύκειαν, ὡς ζῶντα Κράσσον ἄγοιτο, παρεσκευάζετο πομπήν τινα γελοίαν ὕβρει προσαγορεύων θρίαμβον. (2) Ὁ μὲν b γὰρ ἐμφερέστατος Κράσσῳ τῶν αἰχμαλώτων Γάϊος Παχκιανὸς ἐσθῆτα βαρβαρικὴν γυναικὸς ἐνδὺς καὶ διδαχθεὶς Κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν ἐφ' ἵππου καθήμενος ἤγετο· πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἤλαυνον· ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια καὶ παρὰ τοὺς πελέκεις πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀποτετμημέναι. (3) Κατόπιν δ' εἵποντο Σελευκιάδες ἑταῖραι μουσουργοὶ πολλὰ βωμολόχα καὶ γελοῖα δι' ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέγουσαι. Ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. (4) Τὴν δὲ γερουσίαν τῶν Σελευκέων c ἀθροίσας εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν· οὔτι ταῦτά γε καταψευσάμενος· εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. (5) Τοῖς μέντοι Σελευκεῦσιν ἐδόκει σοφὸς ἀνὴρ Αἴσωπος εἶναι τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολαστημάτων πήραν ἐξηρτημένον πρόσωθεν, ὄπισθεν δὲ Παρθικὴν Σύβαριν ἐφελκόμενοι ἐν τοσαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμόρφως τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη d φοβερὰ καὶ θηριώδη δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλομένην, κατ' οὐρὰν δὲ τῆς φάλαγγος εἰς χορείας καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκολάστους μετὰ γυναικῶν τελευτῶσαν. (6) Ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος, ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες, ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.

XXXIII. Τούτων δὲ πραττομένων Ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταουάσδῃ τῷ Ἀρμενίῳ καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος, ἑστιάσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς καὶ πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς Ἑλ- e λάδος ἀκουσμάτων. Ἦν γὰρ οὔτε φωνῆς οὔτε γραμμάτων Ὑρώδης Ἑλληνικῶν ἄπειρος, ὁ δ' Ἀρταουάσδης καὶ τραγῳδίας ἐποίει καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασῴζονται. (2) Τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης ἐπὶ θύρας ἀπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι, τραγῳδιῶν δὲ ὑποκριτὴς Ἰάσων ὄνομα Τραλλιανὸς ᾖδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. Εὐδοκιμοῦντος δ' αὐτοῦ Σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι καὶ προσκυνήσας προὔβαλεν εἰς μέσον τοῦ Κράσσου τὴν κεφαλήν. (3) Κρότον δὲ τῶν Πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων τὸν μὲν Σιλλάκην κατέκλιναν οἱ

que omnes Arabes indagaverunt et occiderunt. Summa cæsorum viginti millia fuisse perhibetur, eorum qui capti sunt decem millia.

XXXII. Surena autem capite et manu Crassi in Armeniam ad Hyrodem missis nuntios Seleuciam præmisit, qui vivum adduci Crassum dictitarent; ipse ridiculam pompam instruxit, triumphum in contumeliam Romanorum nominans. (2) C. Paccianus, qui inter captivos proxime ad formam Crassi accedebat, doctus auscultare, quoties Crassus et Imperator vocaretur, barbarica mulieris amictus veste equo invehebatur. Præcedebant hunc tubicines et lictores camelis vecti, fascibus appensa marsupia et securibus recens præcisa Romanorum capita alligata erant. (3) A tergo sequebantur Seleucienses meretrices cantatrices, multa in mollitiem et ignaviam Crassi scurrilia carmina concinentes. Hæc ab omnibus spectabantur. (4) Convocato præterea Seleuciensi senatu, in medium attulit Milesiaca Aristidis, libros obscœnissimos, ne hic quidem fingens quicquam. Inventi enim sunt in Rustii sarcinis, idque occasionem Surenæ præbuit insectandi et deridendi Romanos, qui ne in bello quidem ab id genus libris et rebus abstinerent. (5) Ac tum quidem Æsopum sapientem verum judicaverunt, quum in Surenam intuerentur, qui manticam Milesiacæ luxuriæ ante se et in pectore gereret, a tergo autem Parthicam quandam Sybarin traheret, tot onustos pellicibus currus, viperarum quodammodo et scytalarum instar partes priores atque conspicuas terribiles præferentem et feras hastis, arcubus equisque posterioribus in choreas, crepitacula, cantilenas et pernoctationes lascivas cum scortis desinentem. (6) Non caruit sane culpa Rustius, impudentes vero Parthi, qui Milesiaca reprehenderent, quum multi Arsacidæ Parthis imperarint ex Ionicis et Milesiis scortis nati.

XXXIII. Dum hæc aguntur, Hyrodes jam pacem cum Artavasde Armeniæ rege junxerat sororemque ejus Pacoro filio suo desponderat, agitabanturque convivia et comessationes, in quibus multa Græcorum carminum recitabantur. Nam neque linguæ neque literarum Græcarum ignarus Hyrodes erat, Artavasdes etiam tragœdias faciebat et orationes historiasque conscribebat, quarum quædam adhuc exstant. (2) Ubi Crassi caput ad fores allatum est, mensæ erant sublatæ, et tragœdiarum actor Iason Trallianus ex Euripidis Bacchis ea quæ de Agave sunt facta recitabat; qui quum admodum placeret, Sillaces in cœnaculum progressus, adorato rege Crassi caput in medium projecit. (3) Plausum dantibus Parthis magno clamore et exsultatione, Sillacen regis jussu famuli ad men-

ὑπηρέται βασιλέως κελεύσαντος, ὁ δ' Ἰάσων τὰ μὲν τοῦ Πενθέως σκευοποιήματα παρέδωκέ τινι τῶν χορευτῶν, τῆς δὲ τοῦ Κράσσου κεφαλῆς λαβόμενος καὶ ἀναβακχεύσας ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ' ἐνθουσιασμοῦ καὶ ᾠδῆς·

Φέρομεν ἐξ ὄρεος
ἕλικα νεότομον ἐπὶ μέλαθρα
μακαρίαν θήραν.

565 (4) Καὶ ταῦτα μὲν πάντας ἔτερπεν· ᾀδομένων δὲ τῶν a
ἐφεξῆς ἀμοιβαίων πρὸς τὸν χορόν,

A. Τίς ἐφόνευσεν;
B. Ἐμὸν τὸ γέρας·

ἀναπηδήσας ὁ Πομαξάθρης (ἐτύγχανε δὲ δειπνῶν) ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς ἑαυτῷ ταῦτα λέγειν μᾶλλον ἢ ἐκείνῳ προσῆκον. (5) Ἡσθεὶς δ' ὁ βασιλεὺς τὸν μὲν οἷς πάτριόν ἐστιν ἐδωρήσατο, τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν. Εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν Κράσσου στρατηγίαν ὥσπερ τραγῳδίαν τελευτῆσαι. (6) Δίκη μέντοι καὶ τῆς ὠμότητος Ὑρώδην καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον Ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν, Ὑρώδῃ δὲ ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ b
κρατηθέντα καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. Ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ἐφ' ἑαυτήν, ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης ἀπέπνιξεν αὐτόν.

sam adduxerunt. Iason autem, Penthei habitu cuidam suorum histrionum tradito, Crassi caput arripuit bacchatusque fanatico furore cantuque carmina illa recitavit:

Ex montibus afferimus reduces
modo desectam
hederam, prædam felicem.

(4) Hæc omnibus oblectationi fuerunt. Quum deinde ea quæ alternis ad chorum cantantur,

A. Quis eum mactavit?
B. Mea hæc est gloria;

Pomaxathres, ut tum una cœnabat, ad hæc verba exsiluit caputque Crassi arripuit, quod ipse hoc quam ille dicere justius posset. (5) Delectatus ea re Hyrodes, hunc quidem more patrio splendidis muneribus affecit, Iasoni autem talentum dono dedit. Eum ergo finem expeditio Crassi tragœdiæ similem habuit. (6) Verum enimvero et Hyrodem crudelitatis et Surenam perfidiæ pœna consecuta est. Paulo enim post Surenam gloriæ æmulus Hyrodes interfecit, et ipsi, quum victo cæsoque in pugna contra Romanos Pacoro morbo laboraret qui in aquam intercutem desiit, Phraates filius insidiatus, aconitum dedit. Quod venenum quum morbus apprehendisset unaque excerneretur cum humore, ita ut allevaretur corpus, Phraates compendio utens eum suffocavit.

ΝΙΚΙΟΥ ΚΑΙ ΚΡΑΣΣΟΥ ΣΥΓΚΡΙΣΙΣ.

NICIÆ CUM CRASSO COMPARATIO.

Ἐν δὲ τῇ συγκρίσει πρῶτον ὁ Νικίου πλοῦτος τῷ Κράσσου παραβαλλόμενος ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. Ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων ἢ βαρβάρων, ἐνίων δεδεμένων καὶ φθειρομένων c
ἐν τόποις ὑπούλοις καὶ νοσεροῖς· παραβαλλομένη δὲ πρὸς τὰ Σύλλα δημιόπρατα καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας ἐπιεικεστέρα φανεῖται. (2) Ταύταις γὰρ ὁ Κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν· ἃ δὲ ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν καὶ τοὺς συμμάχους ἀδικεῖν καὶ γύναια περιιὼν κολακεύειν καὶ συνεπικρύπτειν τοὺς πονηρούς, τούτων αἰτίαν οὐδὲ ψευδῆ ποτε Νικίας ἔλαβεν, ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις ἐχλευάζετο, πρᾶγμα ποιῶν Περικλεῖ μὲν ἴσως καὶ Ἀριστείδῃ μὴ πρέπον, αὐτῷ δ' ἀναγκαῖον οὐκ d
εὖ πεφυκότι πρὸς τὸ θαρρεῖν. (3) Ὃ καὶ Λυκοῦργος ὕστερον ὁ ῥήτωρ ἐπαρρησιάσατο πρὸς τὸν δῆμον αἰτίαν ἔχων ἐξωνήσασθαί τινα τῶν συκοφαντῶν· « Ἥδομαι γάρ, εἶπεν, εἰ τοσοῦτον χρόνον πεπολιτευμένος παρ'

Initio divitiæ Niciæ si cum Crassi opibus conferantur, honestius partæ sunt. Nam ut laudari fortassis non merentur reditus ex metallicis secturis, in quibus major pars laborum a maleficis aut barbaris conficitur, quorum nonnulli compedes habent, et in locis infectis et morbosis pereunt, ita cum bonorum publicationibus ii collati Syllanis et locatione operarum post incendia justiores censebuntur. (3) His enim artibus Crassus perinde atque agricultura aut usuraria usus est; illa autem crimina, lucro suam in senatu sententiam addicere, socios populi Romani injuria afficere, mulierculas adulari et captare, malos homines occultare (quæ Crassus sibi objecta infitiando depulit), Niciæ ne falso quidem attribuit quisquam. Quod autem argentum sycophantis præ metu dedit Nicias, eoque nomine subsannatus est, rem sane Pericli aut Aristidi minime convenientem, sibi vero necessariam fecit, qui natura esset timidus. (3) Ejusmodi factum Lycurgo postea temporis oratori, quum culparetur quendam sycophantam redemisse, libere se purgandi ad populum occasionem præbuit; dicebat enim se gaudere quod tamdiu in republica versatus, dedisse prius

ὑμῖν διδοὺς πεφώραμαι πρότερον ἢ λαμβάνων.» (4) Ἦν δὲ ταῖς δαπάναις πολιτικώτερος μὲν ὁ Νικίας ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλοτιμούμενος, ὧν δ' ὁ Κράσσος ἀνάλωσεν ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πάλιν, οὐδὲν ἦν μέρος ὁ Νικίας ἐκέκτητο σὺν οἷς ἀνάλωσεν, ὥστε θαυμάζειν, εἴ τινα λέληθε τὸ τὴν κακίαν ἀνωμαλίαν εἶναί τινα τρόπου καὶ ἀνομολογίαν ὁρῶντα τοὺς e αἰσχρῶς συλλέγοντας εἶτ' ἀχρήστως ἐκχέοντας.

II. Περὶ μὲν τοῦ πλούτου τοσαῦτα. Τοῖς δὲ πολιτεύμασι τοῦ μὲν Νικίου πανοῦργον οὐδὲν οὐδὲ ἄδικον οὐδὲ βίαιον πρόσεστιν οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπὸ Ἀλκιβιάδου καὶ τῷ δήμῳ προσῄει μετ' εὐλαβείας. (2) Τοῦ δὲ Κράσσου πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς ἀπιστίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι, βίᾳ δ' οὐδ' αὐτὸς ἠρνεῖτο τὴν ὑπατείαν μετιέναι μισθωσάμενος ἄνδρας τοὺς Κάτωνι καὶ Δομιτίῳ τὰς χεῖρας προσοίσοντας. Ἐν δὲ τῇ f περὶ τῶν ἐπαρχιῶν ψηφοφορίᾳ τοῦ δήμου πολλοὶ μὲν ἐτρώθησαν, ἔπεσον δὲ τέσσαρες, αὐτὸς δ', ὅπερ ἡμᾶς ἐν τῇ διηγήσει παρελήλυθε, Λεύκιον Ἀνάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα πὺξ πατάξας εἰς τὸ πρόσωπον ἐξέβαλεν ᾑμαγμένον. (3) Ὡς δὲ περὶ ταῦτα βίαιος ὁ 566 Κράσσος καὶ τυραννικὸς, οὕτως αὖ πάλιν ἐκείνου τὸ a ψοφοδεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον καὶ τοῖς κακίστοις ὑφειμένον τῶν μεγίστων ἐπιλήψεων ἄξιον· ὁ δὲ Κράσσος ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς Κλέωνας οὐδ' Ὑπερβόλους, μὰ Δία, τοῦ ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν Καίσαρος λαμπρότητα καὶ τρεῖς τοῦ Πομπηίου θριάμβους, οὐχ ὑπείξας, ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ Πομπήιον ὑπερβαλόμενος. Δεῖ γὰρ ἐπὶ μεγίστοις οὐ τὸ ἀνεπίφθονον, ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. (4) Εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν καὶ δέδιας Ἀλκιβιάδην μὲν ἐπὶ τοῦ βήματος, ἐν δὲ Πύλῳ Λακεδαιμονίους, Περδίκκαν δ' ἐν Θρᾴκῃ, πολ- b λὴν εὐρυχωρίαν ἡ πόλις ἔχει σχολῆς ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον, ὡς ἔνιοι σοφισταὶ λέγουσιν. (5) Ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως θεῖος ἦν ὡς ἀληθῶς καὶ τὸ λῦσαι τὸν πόλεμον Ἑλληνικώτατον πολίτευμα· καὶ τῆς πράξεως ἕνεκα ταύτης οὐκ ἄξιον Νικίᾳ παραβαλεῖν Κράσσον, οὐδ' εἰ τὰ Κάσπιον φέρων πέλαγος ἢ τὸν Ἰνδὸν ὠκεανὸν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσώρισε.

III. Πόλει μέντοι χρώμενον ἀρετῆς αἰσθανομένῃ καὶ κρείττονα ὄντα τῇ δυνάμει χώραν οὐ δοτέον τοῖς πονηροῖς οὐδ' ἀρχὴν μὴ ἄρχουσιν οὐδὲ πίστιν ἀπιστου- c μένοις, ὅπερ ἐποίησεν ὁ Νικίας τὸν Κλέωνα μηδὲν ὄντα πλέον ἐν τῇ πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς αὐτὸς εἰς τὸ στρατηγεῖν καταστήσας. (2) Οὐκ ἐπαινῶ μὲν ἐγὼ τὸν Κράσσον ἐν τοῖς Σπαρτακείοις ἐπειχθέντα θᾶσσον ἢ ἀσφαλέστερον διαγωνίσασθαι, καίτοι φιλοτιμίας ἦν τὸ δεῖσαι, μὴ Πομπήιος ἐλθὼν

quam accepisse compertus fuisset. (4) Sumptus autem quos fecit Nicias in donaria, gymnasia et choros instituendos civiliores videntur Crassi illis epulis, quæ multis simul hominum millibus præbuit et frumenti largitionibus; et quidem omnes Niciæ facultates vix aliquotam partem Crassi istarum impensarum implevissent. Itaque miror esse qui non animadvertant vitia esse inæqualitatem quandam et discrepantiam animi, quum videant eos qui turpiter parant pecuniam, eam in malos usus profundere.

II. Hæc de opibus. Si quo modo uterque sit in republica versatus, considerare velis, Niciam nihil callide, nihil injuste, nihil per vim, nihil ferociter fecisse invenies: potius ab Alcibiade deceptus fuit et caute alioquin populum accedebat. (2) Crasso multam in permutandis amicitiis inimicitiisque infidelitatem illiberalitatemque imputant; vi se consulatum obtinuisse, ne ipse quidem negavit, qui conductos mercede percussores Domitio et Catoni immiserit. In comitiis ubi suffragia a populis de provinciis ferebantur, vulnerati multi, occisi quattuor fuerunt, ipse (quod nos in narratione præteriit) L. Analium senatorem, contradicere aggressum, pugno in faciem incusso, sanguine fœdatum concione expulit. (3) Verum ut vis hujus et tyrannica violentia, ita Niciæ contra nimia in republica timiditas, omnem ad strepitum expavescentis, nihil audentis pessimisque sese submittentis, gravissimas meretur reprehensiones. Quibus in rebus Crassus alto profecto fuit magnoque animo, quum quidem non cum Cleonibus aut Hyperbolis res ei esset, sed Cæsaris majestatem et tres triumphos Pompeii adversarios sibi haberet, quibus tamen non cessit, sed utriusque potentiam æquans, Pompeium censoria dignitate etiam superavit. Etenim summas in republica res aggresso, non tam fugienda est invidia, quam quærendus splendor et potentia, quæ invidiæ luminibus sua mole officiat. (4) Quodsi omnino securitatem et quietem præfers metuisque in curia Alcibiadem, in Pylo Lacedæmonios, in Thracia Perdiccam, multum tibi ad otium spatii in urbe est, licetque de medio abire, domique sedentem te tibi coronam tranquillitatis nectere, ut quidam oratores dicunt. (5) Studium profecto tamen pacis in Nicia divini quippiam habet, neque ejus pacificatione ullum Græciæ dignius factum exstat; ad quam si respicias, non merebitur conferri Crassus, etiamsi Caspium mare Indumque amnem finibus Romani imperii inclusisset.

III. Is tamen qui in urbe, quæ de virtute judicium ferre potest, in summa est constitutus potentia, malis nequaquam locum dare debet, neque magistratum indignis, neque fidem infidelibus, quod secus est a Nicia factum, qui Cleoni nulla alia re quam impudentibus pro tribunali clamoribus in civitate noto imperium mandavit. (2) Non laudo equidem Crassum, qui bello Spartacio citius quam tutius decertare festinavit, fuitque hominis gloriæ cupidi, metuere ne Pompeius superveniens gloriam ei facti eripe-

ἀφέληται τὴν δόξαν αὐτοῦ, καθάπερ ἀφείλετο Μετέλλου Μέμμιος τὴν Κόρινθον, τὸ δὲ τοῦ Νικίου παντάπασιν ἄτοπον καὶ δεινόν. Οὐ γὰρ ἐλπίδας οὐδὲ ῥαστώνην ἐχούσης ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς, ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ στρατηγίᾳ μέγαν ἠγάπησε d τὸ καθ' αὑτὸν ἐν ἀσφαλεῖ θέμενος προέσθαι τὸ κοινόν. (3) Καίτοι γε Θεμιστοκλῆς, ἵνα μὴ φαῦλος ἄνθρωπος ἐν τοῖς Περσικοῖς καὶ ἄφρων στρατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ τῆς ἀρχῆς ἀπέστησεν αὐτὸν, καὶ Κάτων, ὅτε μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν ὑπὲρ τῆς πόλεως τὴν δημαρχίαν μετῆλθεν· ὁ δ' αὑτὸν ἐπὶ τὴν Μίνωαν καὶ Κύθηρα καὶ Μηλίους τοὺς ταλαιπώρους φυλάττων στρατηγὸν, εἰ δὲ δέοι μάχεσθαι Λακεδαιμονίοις ἀποδυόμενος τὴν χλαμύδα καὶ τῇ Κλέωνος ἀπειρίᾳ καὶ θρασύτητι ναῦς καὶ ἄνδρας καὶ ὅπλα καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομένην e παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προίεται δόξαν, ἀλλὰ τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. (4) Ὅθεν ὕστερον οὐχ ἑκὼν οὐδὲ βουλόμενος Συρακοσίοις πολεμεῖν ἠναγκάζετο δοκῶν οὐ λογισμῷ τοῦ συμφέροντος, ἀλλὰ ῥαστώνῃ καὶ μαλακίᾳ τὸ παρ' αὑτὸν ἀποστερεῖν Σικελίας τὴν πόλιν. (5) Ἐκεῖνο μέντοι μεγάλης ἐπιεικείας σημεῖον, ὅτι δυσχεραίνοντα τὸ πολεμεῖν ἀεὶ καὶ φεύγοντα τὸ στρατηγεῖν οὐκ ἐπαύοντο χειροτονοῦντες ὡς ἐμπειρότατον καὶ βέλτιστον· τῷ δὲ Κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφιεμένῳ στρατηγίας οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης, Πομπηίου καὶ f Μετέλλου καὶ Λουκούλλων ἀμφοτέρων ἀπόντων, καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. (6) Ἀλλ', ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἐδόκει κατὰ τὸν κωμικὸν ἀνὴρ

Ἄριστος εἶναι τἄλλα πλὴν ἐν ἀσπίδι.

567 Καὶ τοῦτο Ῥωμαίους οὐδὲν ὤνησεν ἐκβιασθέντας ὑπὸ a τῆς φιλαρχίας αὐτοῦ καὶ φιλοτιμίας. Ἀθηναῖοι μὲν γὰρ ἄκοντα Νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, Ῥωμαίους δὲ Κράσσος ἄκοντας ἐξήγαγε· καὶ διὰ μὲν τοῦτον ἡ πόλις, ἐκεῖνος δὲ διὰ τὴν πόλιν ἠτύχησεν.

IV. Οὐ μὴν ἀλλὰ μᾶλλον ἔστιν ἐν τούτοις τὸν Νικίαν ἐπαινεῖν ἢ ψέγειν τὸν Κράσσον. Ὁ μὲν γὰρ ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος ἔμφρονος οὐ συνηπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν, ἀλλ' ἀπεῖπε καὶ ἀπέγνω λήψεσθαι Σικελίαν· ὁ δ' ὡς ἐπὶ ῥᾷστον ἔργον τὸν Παρθικὸν ὁρμήσας πόλεμον ἥμαρτεν. (2) Ὠρέχθη δὲ μεγάλων, Καίσαρος τὰ ἑσπέρια καὶ Κελτοὺς καὶ Γερμανοὺς καταστρεφομένου καὶ Βρεττα- b νίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν Ἰνδικὴν ἐλάσαι θάλασσαν καὶ προσεργάσασθαι τὴν Ἀσίαν, οἷς Πομπήιος ἐπῆλθε καὶ Λούκουλλος ἀντέσχετο, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ' ὅμοια Κράσσῳ καὶ τὰς αὐτὰς ὑποθέσεις λαβόντες. (3) Ἐπεὶ καὶ Πομπηίῳ τῆς ἀρχῆς διδομένης ἡ σύγκλητος ἠναντιοῦτο, καὶ Καίσαρα μυριάδας τριάκοντα Γερμανῶν τρεψάμενον συνεβούλευεν ὁ Κάτων

ret, sicuti Metello Corinthum præripuit Mummius; Niciæ vero absurdum plane fuit factum et periculosum. Non enim adversario ambitione cessit et imperio rebus jam ad bonam spem et otium deductis, sed in administratione belli magnum metuens periculum, satis habuit publico bono neglecto suæ securitati consuluisse. (3) At vero Themistocles ineptum et imprudentem hominem, ne is Persici belli imperium nactus civitatem pessumdaret, pecunia data a magistratu removit, et Cato Uticensis quo tempore maxime civitatem in periculo esse sensit, reipublicæ causa tribunatum plebis petiit: Nicias autem ducem se contra Minoam, Cythera, miserosque Melios servans et quum esset adversus Lacedæmonios pugnandum, paludamento posito, Cleonis imperitiæ audaciæ naves, viros, arma, bellumque summa opus habens peritia, committens, non suam gloriam, sed patriæ securitatem et salutem prodidit. (4) Itaque postea nolens invitusque bellum Syracusanum gerere coactus est, quod crederetur non utilitatis rationes secutus, sed mollitiem ignaviamque, quantum in ipso esset, Sicilia Athenas privare. (5) Id quidem magnum est signum virtutis ejus bellicæ, quod infestum semper bellis et imperia subterfugientem, tamen ut peritissimum optimumque ducem perpetuo elegerunt Athenienses. Crasso contra quum nunquam non gerere bellum cupivisset, nunquam voto potiri licuit, nisi Servili bello, ad quod penuria ducum missus est, Pompeio, Metello ambobusque Lucullis absentibus, quamvis eo tempore summo esset in honore possetque plurimum. (6) Nimirum enim etiam iis qui ei favebant, videbatur, ut est apud Comicum,

In omnibus, nisi bello, rebus optimus.

Nihil tamen hoc Romanis profuit, qui cupiditate imperandi et ambitione ejus ad bellum sunt compulsi. Nam Athenienses invitum Niciam ad bellum extruserunt, Crassus Romanos nolentes in bellum traxit, et alter propter civitatem, propter alterum civitas in calamitatem venit.

IV. Verumtamen hac ipsa in re magis laudandus est Nicias, quam vituperandus Crassus. Ille enim peritia usus et rationibus, uti prudentem decebat imperatorem, subductis, non passus est se spe civium vana in errorem abduci, sed diffisus est et desperavit Siciliam subigi posse: Crassus in eo peccavit, quod ad Parthicum bellum tanquam facile profectus est. (2) Magnas enim res animo conceperat, quum Cæsar Hispaniam, Gallias, Germanos, Britannos subegisset, ipse ad ortum solis conversus usque ad Indicum mare omnem Asiam Romano imperio adjungere, quod ante illum Pompeius aggressus est et Lucullus tentaverat, viri boni et apud omnes laudati: quin et idem iis quod Crasso propositum, et eædem ejus tenendi rationes fuerant. (3) Nam et Pompeio quum esset decretum imperium, senatus restiterat, et Cæsarem, quum is trecenta Germanorum fudisset millia, dedi victis Cato jubebat,

ἐκδοῦναι τοῖς ἡττημένοις καὶ τρέψαι τὸ μήνιμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον· ὁ δὲ δῆμος ἐῤῥῶσθαι φράσας c Κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια καὶ περιχαρὴς ἦν. (4) Πῶς οὖν ἂν διετέθη καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ Κράσσος ἐκ Βαϐυλῶνος ἔγραψε νικᾶν, εἶτ' ἐπελθὼν Μηδίαν, Περσίδα, Ὑρκανούς, Σοῦσα, Βάκτρα, Ῥωμαίων ἐπαρχίας ἀπέδειξεν; Εἴπερ γὰρ ἀδικεῖν χρή, κατὰ τὸν Εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ Σκάνδειαν, οὐ Μένδην ἐκκοπτέον οὐδὲ φεύγοντας Αἰγινήτας ἀπολελοιπότας τὴν ἑαυτῶν ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν ἀποκεκρυμμένους ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν μὴ ῥᾳδίως μηδ' ἐπὶ τοῖς τυχοῦσιν ὥς τι φαῦλον ἢ μικρόν, προιεμένους d τὸ δίκαιον. (5) Οἱ δὲ τὴν μὲν τῆς Ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ Κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων.

V. Ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς Νικίου μὲν οὐκ ὀλίγα γενναῖα· καὶ γὰρ μάχαις πολλαῖς ἐνίκησε τοὺς πολεμίους καὶ τοῦ λαβεῖν Συρακούσας ὀλίγον ἐδέησε καὶ πάντα δι' αὐτὸν οὐκ ἔπταισεν, ἀλλὰ καὶ νόσον ἄν τις αἰτιάσαιτο καὶ φθόνον τῶν οἴκοι πολιτῶν· Κράσσος δὲ διὰ πλῆθος ἁμαρτημάτων οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν, ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτηρίαν οὐ τῆς Πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τῆς e Ῥωμαίων εὐτυχίας περιγενομένην. (2) Ἐπεὶ δ' ὁ μὲν μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ πάντα ὑπερορῶν ὁμοίως ἀπώλοντο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσφάλεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς τοῦ παρανόμου καὶ αὐθάδους τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. (3) Περὶ μέντοι τὴν τελευτὴν ἀμεμπτότερος ὁ Κράσσος οὐ παραδοὺς ἑαυτὸν οὐδὲ δεθεὶς οὐδὲ φεναχισθείς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων· ὁ δὲ Νικίας αἰσχρᾶς καὶ ἀκλεοῦς ἐλπίδι σωτηρίας ὑποπεσὼν τοῖς πολεμίοις αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

ut ipse violati fœderis scelus expiaret; quamquam populus valere jusso Catone, quindecim dierum supplicationem summa cum lætitia egit. (4) Quod igitur gaudium futurum fuisse existimas, quot dierum supplicia, si Crassus laureatas Babylone literas misisset, si Mediam, Persidem, Hyrcaniam, Susa et Bactra Romani imperii provincias redegisset? Si enim, ut Euripideo isto utar, violandum est jus ab iis quibus otium molestum est, neque uti partis norunt bonis, non Scandia est, non Mende exscindenda, neque exsules Æginetæ qui avium instar suis sedibus relictis alio avolantes se occultant, indagandi sunt; sed ea injustitia magno pretio æstimanda, neque levissimum quodque aut facillimum ea quærendum, quippe quum justitiam, rem minime vilem, semel dimiseris. (5) Quapropter qui Alexandri Magni propositum faciendæ expeditionis illius probant, Crassi culpant, non recte ii ex postremis de primis judicium ferunt.

V. In ipsis vero bellis haud pauca sunt Niciæ præclara facinora; nam et multis prœliis vicit hostes et parum abfuit quin caperet Syracusas, et si quid minus prospere gestum est, etiam adversam valetudinem aliquis in causa fuisse et invidiam civium haud injuste dixerit. Crassi tam multa fuerunt peccata, ut nullus fuerit fortunæ locus, si quidem ea juvare ipsum voluisset, ut mirari subeat ipsius stultitiam, quæ non Parthorum potentiæ succubuit, sed ipsa Romanorum felicitate plus valuit. (2) Quod vero alter omnibus vaticiniis et religionibus attentus, alter omnia ejus generis despiciens, uterque periit, quæstionem movet neque certum est de eorum fiducia judicare; minus tamen eum pecasse arbitror, qui in illis nimis cautus opinionem antiquam et consuetam sibi, quam qui injustam cupiditatem contumaciamque suam secutus est. (3) Mors quidem Crassi minus, quam Niciæ, reprehensionem meretur: Crassus enim non tradens se ipsum, neque vinctus neque inani spe delusus, sed amicis orantibus obtemperans et ab hostibus violata fide inductus periit; Nicias turpis et ignominiosæ salutis spe hostibus factus supplex, morti suæ dedecus adjecit.

ΣΕΡΤΩΡΙΟΣ.

568 Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως ῥεούσης, ἐπὶ ταὐτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. Εἴτε γὰρ οὐκ ἔστι τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν, εἴτ' ἔκ τινων ὡρισμένων ἀριθμῶν ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταὐτὰ γίνεσθαι διὰ τῶν αὐτῶν περαινόμενα. (2) Ἐπεὶ δ' ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα συνάγουσιν c ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν, οἷον ὅτι δυεῖν Ἄττεων γενομένων ἐμφανῶν, τοῦ μὲν Σύρου, τοῦ δ' Ἀρκάδος, ἑκάτερος ὑπὸ συὸς ἀπώλετο, δυεῖν δὲ Ἀκταιώνων, ὁ μὲν ὑπὸ τῶν κυνῶν, ὁ δ' ὑπὸ τῶν ἐραστῶν διεσπάσθη, δυεῖν δὲ Σκηπιώνων, ὑφ' οὗ μὲν ἐνικήθησαν Καρχηδόνιοι πρότερον, ὑφ' οὗ δὲ ὕστερον ἄρδην ἀνῃρέθησαν, ἑάλω δὲ τὸ Ἴλιον ὑφ' Ἡρακλέους διὰ τὰς Λαομέδοντος ἵππους καὶ ὑπὸ Ἀγαμέμνονος διὰ τοῦ Δουρείου προσαγορευθέντος ἵππου, τρίτον δ' ὑπὸ d Χαριδήμου, ταῖς πύλαις ἵππου τινὸς ἐμπεσόντος ἀποκλεῖσαι ταχὺ τῶν Ἰλιέων μὴ δυνηθέντων, δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων, Ἴου καὶ Σμύρνης, τὸν ποιητὴν Ὅμηρον ἐν ᾗ μὲν γενέσθαι λέγουσιν, ἐν ᾗ δὲ ἀποθανεῖν, φέρε καὶ τοῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν στρατηγῶν οἱ πολεμικώτατοι καὶ πλεῖστα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος ἑτερόφθαλμοι γεγόνασι, Φίλιππος, Ἀντίγονος, Ἀννίβας καὶ περὶ οὗ τόδε τὸ σύγγραμμα Σερτώριος. (3) Ὃν Φιλίππου μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέστερον περὶ τὰς γυναῖκας, Ἀντιγόνου δὲ πιστότερον περὶ φίλους, Ἀννίβου δὲ ἡμερώτερον πρὸς πολεμίους, λειπόμενον δὲ συνέσει μὲν οὐδενὸς τούτων, τύχῃ δὲ πάντων. (4) Ἧι πολὺ τῶν ἐμφανῶν πολεμίων χαλεπωτέρᾳ περὶ πάντα χρησάμενος ἐπανίσωσεν ἑαυτὸν ἐμπειρίᾳ μὲν τῇ Μετέλλου, τόλμῃ δὲ τῇ Πομπηίου, τύχῃ δὲ τῇ Σύλλα, e δυνάμει δὲ τῇ Ῥωμαίων, φυγὰς καὶ βαρβάρων ἔπηλυς ἄρχων ἀντιταξάμενος. (5) Τούτῳ δὴ μάλιστα τῶν Ἑλλήνων τὸν Καρδιανὸν ὁμοιοῦμεν Εὐμένη· ἀμφότεροι γὰρ ἀρχικοὶ καὶ σὺν δόλῳ πολεμικοὶ καὶ τῆς μὲν αὐτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν, τύχῃ δὲ χρησάμενοι βιαίῳ καὶ ἀδίκῳ περὶ τὴν τελευτήν· ἐπιβουλευθέντες γὰρ ἀμφότεροι, μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν.

II. Κοΐντῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει f Νούσσοις τῆς Σαβίνων· τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ πατρὸς ὀρφανὸς ὑπερφυῶς δοκεῖ φιλομήτωρ γενέσθαι. Ὄνομα τῆς μητρὸς Ῥέαν λέγουσιν. Ἤσκητο μὲν οὖν καὶ περὶ δίκας ἱκανῶς καί τινα καὶ δύναμιν ἐν
569 τῇ πόλει μειράκιον ὢν ἀπὸ τοῦ λέγειν ἔσχεν. Αἱ δὲ a περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν.

SERTORIUS.

Mirum fortasse non est, si infinito temporis cursu fortuna alias aliter fluente, iidem sæpenumero casus forte revolvuntur. Nam sive infinitæ sunt ei subjectæ res, ipsa materiæ copia satis causæ esse potest, cur similes aliquando effectus producantur; sive certo numero res astrictæ sunt, necesse est sæpe ab iisdem causis eosdem effectus proficisci. (2) Sunt qui hac eventuum similitudine oblectati, ex historiis et fama exempla eorum colligant, quæ ita fortuito acciderunt, ut consilium vel providentiam causam habuisse videantur. Verbi causa, quod duo Atties illustres quum fuerint, unus Syrus, alter Arcas, uterque ab apro est interfectus; ex duobus Actæonibus unus a canibus est, alter ab amatoribus discerptus; duo Scipiones fuerunt, quorum prior Carthaginienses debellavit, posterior plane exscidit; Ilium captum est primum ab Hercule ob equas Laomedontis, deinde ab Agamemnone lignei illius equi opera, tertio a Charidemo, quum equus portæ illapsus eam celeriter claudendi impedimento civibus fuit; quod de duarum urbium quæ a plantis optime olentibus, viola et myrrha, nomen habent, Ios nimirum et Smyrna, altera natales, altera mortem Homeri suscepisse dicitur. Addamus ergo licet nos illis hoc: ex ducibus præstantissimi bello et qui maximas res dolo et calliditate gesserunt altero oculo caruerunt, Philippus, Antigonus, Hannibal et (de quo nobis in præsentia instituitur sermo) Sertorius. (3) Is Philippo quidem abstinentior mulierum fuit, Antigono fidelior erga amicos, Hannibale in hostes clementior, prudentia nulli horum secundus, fortuna omnibus inferior fuit. (4) Quæ quum omnibus in rebus multo ei plus, quam aperti hostes, molestiæ exhibuerit, ipse tamen illos æquavit, licet Metelli peritiæ Pompeii audaciæ, fortunæ Syllæ, potentiæ Romanorum exsul ipse et barbarorum advena dux oppositus esset. (5) Huic de Græcis Eumenem maxime Cardianum comparamus. Uterque enim imperandi et bellum astute gerendi peritus fuit, uterque a suis abalienatus peregrinos duxit, uterque fortuna usus aspera injusta morte periit, ab iis quorum opera hostes vicerat, per insidias interemptus.

II. Quintus Sertorius loco haud ignobili natus Nursiæ in Sabinis, orbus patre apud matrem viduam (Rheæ nomen fuisse ferunt) honeste educatus est, ideoque mirifice eam dilexisse fertur. (2) In causis dicendis ita se exercitavit, ut facundia adolescens adhuc aliquid sibi in urbe potentiæ paraverit, sed res militiæ præclare gestæ, a foro ad castra studium ejus transtulerunt.

III. Πρῶτον μὲν οὖν, Κίμβρων καὶ Τευτόνων ἐμβεβληκότων εἰς Γαλατίαν, στρατευόμενος ὑπὸ Καιπίωνι, κακῶς ἀγωνισαμένων τῶν Ῥωμαίων καὶ τροπῆς γενομένης ἀποβεβληκὼς τὸν ἵππον καὶ κατατετρωμένος τὸ σῶμα, τὸν Ῥοδανὸν διεπέρασεν αὐτῷ τε τῷ θώρακι καὶ θυρεῷ πρὸς ἐναντίον ῥεῦμα πολὺ νηχόμενος· οὕτω τὸ σῶμα ῥωμαλέον ἦν αὐτῷ καὶ διάπονον τῇ ἀσκήσει. (2) Δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς, ὥστε καὶ τὸ μένειν ἄνδρα Ῥωμαῖον ἐν τάξει τότε καὶ τὸ πείθεσθαι τῷ στρατηγῷ μέγα ἔργον εἶναι, Μάριος μὲν ἡγεῖτο, Σερτώριος b δὲ κατασκοπὴν ὑπέστη τῶν πολεμίων. Ἐσθῆτι δὲ Κελτικῇ σκευασάμενος καὶ τὰ κοινότατα τῆς διαλέκτου πρὸς ἔντευξιν ἐπὶ καιροῦ παραλαβὼν ἀναμίγνυται τοῖς βαρβάροις· καὶ τὰ μὲν ἰδών, τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων ἐπανῆλθε πρὸς Μάριον. Τότε μὲν οὖν ἀριστείων ἔτυχεν· ἐν δὲ τῇ λοιπῇ στρατείᾳ πολλὰ καὶ συνέσεως ἔργα καὶ τόλμης ἀποδειξάμενος εἰς ὄνομα καὶ πίστιν ὑπὸ τοῦ στρατηγοῦ προήχθη. (3) Μετὰ δὲ τὸν Κίμβρων καὶ Τευτόνων πόλεμον ἐκπεμφθεὶς ὑπὸ Δειδίῳ στρατηγῷ χιλίαρχος ἐπὶ Ἰβηρίας, ἐν τῇ πόλει Κάστλωνι παρεχείμαζε τῆς Κελτιβήρων. c Ἐπεὶ δὲ τῶν στρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων καὶ τὰ πολλὰ μεθυόντων καταφρονήσαντες οἱ βάρβαροι μετεπέμψαντο νυκτὸς ἐπικουρίαν παρὰ τῶν ἀστυγειτόνων Γυρισοινῶν καὶ κατ' οἰκίας ἐπιόντες ἔκτεινον αὐτούς, ὑπεκδὺς ὁ Σερτώριος μετ' ὀλίγων καὶ τοὺς ἐκπίπτοντας συναγαγὼν κύκλῳ τὴν πόλιν περιῆλθε· καὶ καθ' ἃς οἱ βάρβαροι πύλας ἔλαθον παρεισπεσόντες ἀνεῳγμένας εὑρὼν οὐ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρουρὰς ἐπιστήσας καὶ καταλαβὼν πανταχόθεν τὴν πόλιν, ἔκτεινε τοὺς ἐν ἡλικίᾳ πάντας. (4) Ὡς δὲ ἀνῃρέθησαν, ἐκέλευσε τοὺς στρατιώτας πάντας τὰ μὲν αὑτῶν ὅπλα καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν d βαρβάρων ἐνεσκευασμένους ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. (5) Ψευσάμενος δὲ τῇ τῶν ὅπλων ὄψει τοὺς βαρβάρους τάς τε πύλας ἀνεῳγμένας εὗρε καὶ πλῆθος ἀνθρώπων ἔλαβεν οἰομένων ἀπαντᾶν εὖ πεπραχόσι φίλοις καὶ πολίταις. Διὸ πλεῖστοι μὲν ὑπὸ τῶν Ῥωμαίων ἐσφάττοντο περὶ τὰς πύλας, οἱ δὲ λοιποὶ παραδόντες ἑαυτοὺς ἐπράθησαν.

IV. Ἐκ τούτου Σερτώριος ἐν τῇ Ἰβηρίᾳ διεβοήθη· καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς Ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ Πάδον Γαλατίας ἐν δέοντι. Τοῦ γὰρ Μαρσικοῦ πολέμου συνισταμένου, στρατιώτας τε προσταχθὲν αὐτῷ καταλέγειν καὶ ὅπλα ποιεῖσθαι, σπουδὴν e καὶ τάχος προσθεὶς τῷ ἔργῳ, παρὰ τὴν τῶν ἄλλων νέων βραδυτῆτα καὶ μαλακίαν ἀνδρὸς ἐμπράκτως βιωσομένου δόξαν ἔσχεν. (2) Οὐ μὴν ὑφήκατο τῆς στρατιωτικῆς τόλμης εἰς ἀξίωμα προεληλυθὼς ἡγεμόνος, ἀλλὰ καὶ χειρὸς ἐπιδεικνύμενος ἔργα θαυμαστὰ καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδούς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. (3) Ἐπὶ τούτῳ δὲ καὶ καλλωπι-

III. Primum quum in Galliam Cimbri ac Teutones irrupissent, stipendia sub Cæpione faciens, Romanis fusis, amisso equo et consauciato corpore Rhodanum tranavit cum thorace et scuto, adverso et multo flumine superato; adeo erat valido corpore et exercitationibus durato. (2) Deinde iis cum multis millibus reversis et tam terribiles jactantibus minas, ut Romanorum ordines tueri et imperata facere magnum aliquid fuerit, a Mario belli ejus duce speculatum emissus, veste Gallica usus et sermone vulgari, quantum ejus ad congressus opus erat, percepto, barbaris se permiscuit et quorum causa venerat partim visu partim auditu cognitis, ad Marium rediit. Cujus rei causa tum ab eo præmiis affectus est, in reliquo deinde bello quum multis egregiis factis suam prudentiam et audaciam declarasset, nomen apud imperatorem fidemque sibi paravit. (3) Post Cimbricum bellum tribunus militum cum prætore Didio in Hispaniam profectus, Castulone Celtiberiæ urbe hiemavit. Hic quum barbari milites Romanos plerumque, ut in copia rerum fit, lascivientes et ebrietati deditos contemnerent auxilioque noctu a finitimis Gyrisœnis accito per domos circumeuntes eos interficerent, elapsus Sertorius, conductis iis qui ipsi quoque urbe effugerant, mœnia ambivit, iisque portis, per quas Gyrisœni clam ingressi erant, apertas offendens, præsidio munitis, urbem occupavit adultosque omnes trucidavit. (4) Quibus interfectis, militibus suis mandavit, ut armis suis vestibusque positis, barbarico habitu sumpto ipsum sequerentur ad eam urbem, ex qua missi erant Castulonem qui Romanos noctu adorti fuerant. (5) Itaque armorum aspectu deceptis barbaris, portas apertas invenit, inque hominum turbam incidit, qui se civibus suis amicisque re bene gesta redeuntibus occurrere putabant: quo factum ut plerique a Romanis apud portas trucidarentur; reliqui se ipsos tradiderunt et divenditi sunt.

IV. Hoc facinus magnum Sertorio per Hispaniam nomen fecit. Inde ut primum Romam rediit, quæstor in eam quæ Pado adjacet Galliam missus est et quidem opportuno tempore. Marsico enim bello commisso, jussus exercitum conscribere et arma parare, celeriter id, secus quam reliquorum juvenum tarditas et mollities ferret, perfecit, hominisque strenui nomen inde sibi peperit. (2) Neque vero ducis dignitatem adeptus militarem audaciam abjecit, sed et manu admirabilia edens facinora et corpus periculis objiciens frequenter, alterum oculorum ex vulnere amisit. (3) Quo ipso se maxime ostentare solebat, reliquos non semper virtutis

ζόμενος ἀεὶ διετέλει· τοὺς μὲν γὰρ ἄλλους οὐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστειῶν περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι στρεπτὰ καὶ δόρατα καὶ στεφάνους, αὐτῷ δὲ f τῆς ἀνδραγαθίας παραμένειν τὰ γνωρίσματα τοὺς αὐτοὺς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. (4) Ἀπέδωκε δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. Εἰσελθόντα γὰρ εἰς θέατρον ἐξεδέξαντό τε κρότῳ καὶ κατευφήμησαν, ὧν οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικίᾳ τε καὶ δόξῃ τυχεῖν ἦν ῥᾴδιον. (5) Δημαρχίαν μέντοι μετιὼν Σύλλα καταστασιάσαντος αὐτὸν
570 ἐξέπεσε· διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. (6) Ἐπεὶ a δὲ Μάριος μὲν ὑπὸ Σύλλα κρατηθεὶς ἔφευγε, Σύλλας δὲ Μιθριδάτῃ πολεμήσων ἀπῆρε, τῶν δὲ ὑπάτων Ὀκτάβιος μὲν ἐπὶ τῆς Σύλλα προαιρέσεως ἔμενε, Κίννας δὲ νεωτερίζων ὑποφερομένην ἀνεκαλεῖτο τὴν Μαρίου στάσιν, τούτῳ προσένειμεν αὐτὸν ὁ Σερτώριος, ἄλλως τε καὶ τὸν Ὀκτάβιον .ὁρῶν αὐτὸν μὲν ἀμβλύτερον ὄντα, τοῖς δὲ Μαρίου φίλοις ἀπιστοῦντα. (7) Γενομένης δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, Ὀκτάβιος μὲν ἐκράτησε, Κίννας δὲ καὶ Σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον· καὶ τῶν περὶ τὴν Ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων προσαγόμενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατέστησαν ἀξιόμαχοι τοῖς b περὶ τὸν Ὀκτάβιον.

V. Μαρίου δὲ καταπλεύσαντος ἐκ Λιβύης καὶ τῷ Κίννᾳ προστιθέντος ἑαυτὸν ὡς ἰδιώτην ὑπάτῳ, τοῖς μὲν ἄλλοις ἐδόκει δέχεσθαι, Σερτώριος δὲ ἀπηγόρευεν, εἴτε τὸν Κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος, εἴτε τὴν βαρύτητα τοῦ Μαρίου δεδοικώς, μὴ πάντα τὰ πράγματα συγχέῃ θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης ἐν τῷ κρατεῖν προερχόμενος. (2) Ἔλεγεν οὖν μικρὸν εἶναι τὸ ὑπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι, δεξαμένων δὲ τὸν Μάριον τὸ σύμπαν οἴσεσθαι τῆς δόξης ἐκεῖνον καὶ c τῆς δυνάμεως χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. (3) Εἰπόντος δὲ τοῦ Κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν Σερτώριον, αἰδεῖσθαι δὲ καὶ διαπορεῖν, ὅπως ἀπώσεται τὸν Μάριον αὐτὸς ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκώς, ὑπολαβὼν ὁ Σερτώριος εἶπεν, « Ἀλλ' ἐγὼ μὲν αὐτὸν ἀφ' ἑαυτοῦ Μάριον ἥκειν νομίζων εἰς Ἰταλίαν τὸ συμφέρον ἐσκόπουν, σοὶ δὲ τὴν ἀρχὴν οὐδὲ βουλεύεσθαι καλῶς εἶχεν ἥκοντος ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι, τῆς πίστεως μηδενὶ λογισμῷ χώραν διδούσης. » Οὕτως μεταπέμπεται τὸν Μάριον Κίννας· καὶ τριχῇ τῆς δυνάμεως διανεμηθείσης ἦρχον οἱ τρεῖς. (4) Διαπολεμηθέντος δὲ τοῦ πολέμου καὶ τῶν περὶ τὸν Κίνναν καὶ Μάριον ἐμφορου- d μένων ὕβρεώς τε καὶ πικρίας ἁπάσης, ὥστε χρυσὸν ἀποδεῖξαι Ῥωμαίοις τὰ τοῦ πολέμου κακά, Σερτώριος λέγεται μόνος οὔτε ἀποκτεῖναί τινα πρὸς ὀργὴν οὔτε ἐνυβρίσαι κρατῶν, ἀλλὰ καὶ τῷ Μαρίῳ δυσχεραίνειν καὶ τὸν Κίνναν ἐντυγχάνων ἰδίᾳ καὶ δεόμενος μετριώτερον ποιεῖν. (5) Τέλος δὲ τῶν δούλων, οὓς Μάριος συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυ-

suæ testes secum ferre, sed deponere torques, hastas, coronas, sibi vero fortitudinis suæ indicia nunquam non esse jactans, eosdemque se virtutis et fortunæ suæ inspectores habere. (4) Populus quoque dignos ei honores habuit, quippe in theatrum intrantem plausu est lætisque acclamationibus prosecutus; id quod vel ætate et gloria præstantioribus viris non facile obtigit. (5) Tribunatum vero plebis petens, Syllæ factione victus repulsam tulit; quæ quidem causa fuisse videtur cur Syllam oderit. (6) Posteaquam Marius a Sylla superatus fugit et Sylla ad Mithridaticum bellum abiit, consulum porro alter Octavius in Syllana sententia quum perstaret, alter Cinna res novas agitaret Mariique factionem jam collabentem resuscitaret, huic se Sertorius adjunxit, Octavium ipsum præsertim segniorem cernens, et Marii amicis nihil credentem. (7) Commissa in foro inter consules pugna, Octavius vicit; Cinna et Sertorius quum ad decem millia hominum amisissent, urbe discesserunt, exercituumque qui per Italiam adhuc sparsim erant, plerisque persuadendo sibi ascitis, mox copias quibus Octavio pares essent, contraxerunt.

V. Atquum Marius ex Africa advectus, se Cinnæ, tanquam privatum consuli, adjungeret, reliquis recipiendum sentientibus, Sertorius contradixit; sive quod minoris se apud Cinnam auctoritatis futurum metueret, postquam bello et imperiis gestis clarior vir ei accessisset, sive veritus ne Marius, ut erat homo sævus, omnia confunderet victor, ira immodica præter jus et æquum proruens. (2) Itaque dicebat, sibi, ut quibus in promptu jam esset victoria, haud multum restare laboris; Marium, ubi receptus fuisset, societatis imperii impatientem hominem infidumque, omnem gloriam ac potentiam sibimet ipsi soli vindicaturum. (3) Ad hæc quum responderet Cinna, recte quidem hæc a Sertorio dici, verumtamen se pudore detineri et hærere quomodo Marium, quem ad societatem rerum evocasset, repelleret; Ego quidem, inquit Sertorius, ipsum ultro venire in Italiam ratus Marium, quid ex re esset cogitavi, te vero ne consultare quidem initio decuit, postquam is venit, quem venire jusseras, sed recipiendus fuit, eoque utendum; fides enim data omnem deliberationem excludit. Ita Marius a Cinna accersitus, divisæque in tres partes copiæ. (4) Confecto bello, quum Cinna et Marius insolentia atque crudelitate animum explerent, ita ut quæ bello mala passi fuerant Romani, aurum præ istis putarent, Sertorius neque trucidasse quenquam ob iram, neque injuria affecisse victor fertur, imo et Marii crudelitatem ægre tulisse et Cinnam privatim compellando deprecandoque moderatiorem reddidisse. (5) Ad extremum quum servi, quos belli socios, tyrannidis stipatores Marius habebat, et vires eorum opesque

ραννίδος ἔχων ἰσχυροὺς καὶ πλουσίους ἐποίησε, τὰ μὲν ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ καὶ βίᾳ παρανομούντων εἰς τοὺς δεσπότας, σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ Σερτώριος ἅπαν- [e] τας ἐν ταὐτῷ στρατοπεδεύοντας κατηκόντισεν οὐκ ἐλάττους τετρακισχιλίων ὄντας.

VI. Ἐπεὶ δὲ Μάριος μὲν ἐτελεύτησε καὶ Κίννας ἀνῃρέθη μικρὸν ὕστερον, ὁ δὲ νεανίας Μάριος ἄκοντος αὐτοῦ παρὰ τοὺς νόμους ὑπατείαν ἔλαβε, Κάρβωνες δὲ καὶ Νωρβανοὶ καὶ Σκηπίωνες ἐπιόντι Σύλλᾳ κακῶς ἐπολέμουν, καὶ τὰ μὲν ἀνανδρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν ἐφθείρετο, τὰ δὲ οἱ προδιδόντες ἀπώλλυσαν, ἔργον δὲ οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις διὰ τὸ χεῖρον φρονεῖν τοὺς μᾶλλον δυναμένους, τέλος δὲ Σύλλας Σκηπίωνι παραστρατοπεδεύσας καὶ φιλοφρονούμενος, ὡς εἰρήνης ἐσο- [f] μένης, διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων Σκηπίωνι καὶ διδάσκων Σερτώριος οὐκ ἔπειθε, παντάπασιν ἀπογνοὺς τὴν πόλιν ὥρμησεν εἰς Ἰβηρίαν, ὡς, εἰ φθάσει τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. (2) Χειμῶσι [a] [571] δὲ χαλεποῖς χρησάμενος ἐν χωρίοις ὀρεινοῖς ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. Ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ καὶ δεινολογουμένων, εἰ Ῥωμαίων ἀνθύπατος τέλη καταβαλεῖ βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ, τοὺς μὲν βαρβάρους ἐθεράπευσε χρήμασι, τὴν δ' Ἰβηρίαν ἐπειχθεὶς κατέσχε. (3) Παραλαβὼν δὲ ἔθνη πλήθει μὲν καὶ ἡλικίαις ἀκμάζοντα, πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν πρὸς ὅλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν ὁμιλίᾳ τε τοὺς δυνατοὺς καὶ φόρων ἀνέσει τοὺς πολλούς. Μάλιστα δὲ τῶν ἐπιστα- [b] θμιῶν ἀπαλλάξας ἠγαπήθη· τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χειμάδια πήγνυσθαι πρῶτος αὐτὸς οὕτω κατασκηνῶν. (4) Οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὸ πᾶν ἐποιήσατο, Ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων τοὺς ἐν ἡλικίᾳ καθοπλίσας μηχανάς τε παντοδαπὰς καὶ ναυπηγίας τριήρων ὑποβαλόμενος διὰ χειρὸς εἶχε τὰς πόλεις, ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων φαινόμενος.

VII. Ὡς δὲ Σύλλαν μὲν ἐπυνθάνετο τῆς Ῥώμης [c] κρατεῖν, ἔρρειν δὲ τὴν Μαρίου καὶ Κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν διαπολεμήσουσαν αὐτῷ μεθ' ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ Πυρηναῖα ὄρη διὰ Ἰουλίου Σαλινάτορος ἑξακισχιλίους ὁπλίτας ἔχοντος. (2) Καὶ μετ' οὐ πολὺ Γάϊος Ἄννιος ἐκπεμφθεὶς ὑπὸ Σύλλα καὶ τὸν Ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο παρὰ ταῖς ὑπωρείαις. (3) Καλπουρνίου δέ τινος ἐπίκλησιν Λαναρίου δολοφονήσαντος τὸν Ἰούλιον καὶ τῶν στρατιωτῶν τὰ ἄκρα τῆς Πυρήνης

auxerat, multa permissu ac jussu Marii, multa injussu suos in dominos violenter et libidinose committerent, ipsos necantes, dominas violantes et liberis stupra inferentes; tolerari porro eorum malitiam non posse ratus Sertorius, universos (erant autem haud pauciores quattuor millibus) eodem in loco castrametatos jaculis confecit.

VI. Mario mortuo, neque ita diu post Cinna interfecto, Marius junior invito Sertorio consulatum contra leges invaserat, Carbones, Norbani et Scipiones male contra Syllam adventantem pugnaverant, res partim ignavia et mollitie ducum, partim proditione peribant. Sertorii nullus interim erat usus, rebus ad exitium vergentibus eo quod qui plus possent, minus sapiebant; ad extremum Sylla, castris Scipioni oppositis, spe pacis lactato eo exercitum corrupit et ad se traduxit, quum id Sertorius frustra prædixisset, futurumque demonstrasset Scipioni. His motus Sertorius, rebus urbanis plane desperatis, in Hispaniam contendit, ut si eam obtinuisset, partium suarum hominibus adversam fortunam passis refugium esset. (2) Ceterum tempestatibus gravibus jactatus, quum in montanis locis transitum a barbaris cogeretur pretio redimere, indignantibus suis indignamque rem ferentibus, quod Romanus proconsul barbaris nebulonibus stipendiarius esset, nulla ipse ejus quæ apparebat turpitudinis habita ratione, tempusque se, quo nihil carius esse homini magnam rem affectanti possit, redimere testatus, barbaros pecunia delenivit, Hispaniaque properando potitus est. (3) Ibi quum in suam potestatem accepisset populos multitudine quidem et viribus florentes, sed avaritia et libidine ducum, quos subinde eo miserant Romani, ita vexatos, ut animi eorum ab omni imperio ferendo alieni essent, potentes colloquiis, populos tributorum remissione et præsertim ab hospitio militibus præbendo eos liberans, sibi conciliavit; in suburbanis enim milites sibi hibernacula figere jussit, primusque omnium ipse id fecit. (4) Neque tamen omnia sua in barbarorum benevolentia reposuit, sed Romanos qui in Hispaniam migraverant, qui ætate erant valida, armavit, machinasque varias et triremes fabricans, urbes obtinuit, in pace mansuetum sese omnibus exhibens terribilemque apparatu hostibus.

VII. Ut vero cognovit Syllam Roma potitum ac de Marii et Carbonis factione actum esse, missum iri statim contra se ducem exercitumque existimans, Pyrenæos montes obsedit, misso eo Julio Salinatore cum sex millibus legionariorum militum. (2) Paulo post C. Annius a Sylla missus, quum Julium dejici de præsidio posse desperaret, ad radices Pyrenæi animi incertus consedit. (3) Sed quum Calpurnius cognomine Lanarius quidam Julium per dolum necasset militesque juga Pyrenæi deseruissent, Annius mon-

ἐκλιπόντων, ὑπερβαλὼν Ἄννιος ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. Σερτώριος δὲ οὐχ ὢν ἀξιόμαχος d μετὰ τρισχιλίων εἰς Καρχηδόνα τὴν νέαν καταφυγὼν κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν καὶ διαπεράσας τὸ πέλαγος Λιβύῃ κατὰ τὴν Μαυρουσίαν προσέσχεν. (4) Ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλὼν αὖθις εἰς Ἰβηρίαν ἀπέπλει· καὶ ταύτης μὲν ἀποκρούεται, Κιλισσῶν δὲ ληστρίδων αὐτῷ προσγενομένων, Πιτυούσῃ νήσῳ προσέβαλε καὶ ἀπέβη τὴν παρ' Ἀννίου φρουρὰν βιασάμενος. (5) Ἄννιος δὲ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις, πρὸς ὃν ἐπεχείρησε e μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς καὶ πρὸς τάχος, οὐ πρὸς ἀλκὴν πεποιημένοις σκάφεσι χρώμενος, ζεφύρῳ δὲ λαμπρῷ τοῦ πελάγους ἀνισταμένου καὶ τὰ πολλὰ τῶν τοῦ Σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶ τῆς μὲν θαλάσσης ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σαλεύων πρὸς ἐναντίον κῦμα καὶ κλύδωνα τραχὺν ἐπιπόνως διεκαρτέρησεν.

VIII. Ἐνδόντος δὲ τοῦ πνεύματος φερόμενος νήσοις τισὶν ἐναυλίζεται σποράσιν ἀνύδροις· κἀκεῖθεν ἄρας καὶ διεκβαλὼν τὸν Γαδειραῖον πορθμὸν, ἐν δεξιᾷ τοῖς ἐκτὸς f ἐπιβάλλει τῆς Ἰβηρίας μικρὸν ὑπὲρ τῶν τοῦ Βαίτιος ἐκβολῶν, ὃς εἰς τὴν Ἀτλαντικὴν ἐκφερόμενος θάλατταν ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν. (2) Ἐνταῦθα ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ νέον ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες, αἳ δύο μέν εἰσι λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ' ἀπέχουσι Λιβύης σταδίους καὶ ὀνομάζονται Μακάρων. (3)
572 Ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ a
πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. (4) Ἀὴρ δὲ ἄλυπος ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι κατέχει τὰς νήσους. Οἱ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι, πελάγιοι δὲ περιῤῥέοντες ἀργέσται καὶ ζέφυροι βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης b ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν, ὥστε μέχρι τῶν βαρβάρων διῖχθαι πίστιν ἰσχυρὰν αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε.

IX. Ταῦθ' ὁ Σερτώριος ἀκούσας ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους καὶ ζῆν ἐν ἡσυχίᾳ τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπαύστων. (2) Αἰσθόμενοι δὲ οἱ Κίλικες οὐθὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς Λιβύην ἀπέπλευσαν Ἄσκαλιν τὸν Ἴφθα κατάξοντες ἐπὶ τὴν Μαυρουσίων βασιλείαν. (3) Οὐ μὴν ἀπέκαμεν ὁ Σερτώριος, ἀλλὰ τοῖς

tibus superatis magna cum manu obviis quibusque secum acceptis contra Sertorium proficiscebatur. Sertorius autem pugnæ conserendæ impar cum tribus millibus Carthaginem Novam aufugit, indeque conscensis navibus ad eam Africæ partem, quæ Maurusia dicitur, trajecit. (4) Ibi quum, barbaris milites imprudenter aquatum progressos adortis, permultos eorum amisisset, rursus in Hispaniam navigavit; repulsusque a littore, navibus prædatoriis Ciliciis ad se venientibus, Pityusam insulam aggressus est Anniique præsidio ejecto obtinuit. (5) Paulo post eodem Annius cum navibus multis et armatorum quinque millibus advenit: cum eo Sertorius, tametsi levibus et non ad robur, sed ad celeritatem paratis uteretur navibus, navali prælio decernere statuit; sed quum Zephyrus mare exagitasset validus multasque Sertorii naves, ut erant leves, obliquas ad littus scopulosum dejecisset, ipse mari vi tempestatis, terra hostium armis prohibitus decem integros dies cum paucis navigiis adversis fluctibus asperoque æstui luctatus ægre perduravit.

VIII. Remittente vento ad sparsas in mare quasdam insulas aqua carentes delatus est, indeque rursus solvit et per Gaditanum fretum vectus, a dextro latere Hispaniam, quæ Oceanum attingit, aggressus est paulo supra Bætis fluvii ostia, qui fluvius in Atlanticum mare excurrens, Hispaniæ finitimæ sibi Bæticæ cognomen dedit. (2) Ibi nautæ quidam ei occurrunt, qui nuper ex Atlanticis insulis redierant. Duæ sunt insulæ, stricto admodum freto disjunctæ, decem stadiorum millibus ab Africa remotæ, eædemque insulæ Fortunatæ dicuntur. (3) Imbribus modicis idque raro rigantur, plerumque lenibus et roscidis ventis perflatæ, non arationi modo et plantationi bonam et fertilem terram præbent, sed et ultro fruges effundunt, quæ et sua copia et dulcedine sufficiant ad alendum otiosum et nullis negotiis deditum populum. (4) Aer innoxius est annique tempestates mediocri mutatione iis in insulis variantur. Etenim qui in eas partes hinc feruntur Boreæ et subsolani, quum in vastum ob longitudinem distantiæ incidant locum, dissipantur, et antequam eo perferantur, concidunt; Cauri autem et Zephyri qui ab alto circumflant, pluvias a mari modicas rarasque infundunt, plerumque humidis serenitatibus refrigerantes, placide alunt. Itaque usque ad barbaros etiam constans et probata percrebuit opinio, esse illis in insulis Elysios istos campos, et beatorum, quam descripsit Homerus, habitationem.

IX. His de rebus ut percepit auditu Sertorius, mirabilis eum invasit amor eas insulas incolendi, tyrannideque et bellis continuis evitatis in pace et quiete vivendi. (2) Quod ubi senserunt Cilices, qui non quietem et pacem, sed divitias et spolia expeterent, in Africam avecti sunt, ut Ascalim, Iphthæ filium, in Mauritaniæ regnum restituerent. (3) Neque elanguit ob hoc Sertorius, sed Ascalis hostibus

πρὸς τὸν Ἄσκαλιν διαπολεμοῦσιν ἔγνω βοηθεῖν, ὡς οἱ c σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχὴν καὶ πράξεων ἑτέρων ὑπόθεσιν μὴ διαλυθεῖεν ὑπὸ τῆς ἀπορίας. (4) Ἀσμένοις δὲ τοῖς Μαυρουσίοις ἀφικόμενος εἴχετο ἔργου καὶ καταμαχεσάμενος καὶ κυκλωσάμενος τὸν Ἄσκαλιν ἐπολιόρκει. Σύλλα δὲ Πακκιανὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν Ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ Σερτώριος τὸν μὲν Πακκιανὸν ἀπέκτεινεν, τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο, καὶ τὴν Τίγγιν, εἰς ἣν ὁ Ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν, ἐξεπολιόρκησεν. (5) Ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι· καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψε τοῖς d βαρβάροις ἀπιστῶν διὰ μέγεθος. Ἐντυχὼν δὲ τῷ σώματι πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη καὶ σφάγιον ἐντεμὼν συνέχωσε τὸ μνῆμα καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. (6) Τιγεννῖται δὲ μυθολογοῦσιν Ἀνταίου τελευτήσαντος τὴν γυναῖκα Τίγγην Ἡρακλεῖ συνελθεῖν, Σόφακα δ' ἐξ αὐτῶν γενόμενον βασιλεῦσαι τῆς χώρας καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι, Σόφακος δὲ παῖδα γενέσθαι Διόδωρον, ᾧ πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατῳκισμένων ὑφ' Ἡρακλέους Ὀλβιανῶν καὶ Μυκηναίων. (7) Ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῇ Ἰόβα χάριτι τοῦ πάντων e ἱστορικωτάτου βασιλέων· ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι. (8) Σερτώριος δὲ πάντων ἐγκρατὴς γενόμενος τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων.

X. Ἐντεῦθεν ὅποι χρὴ τραπέσθαι βουλευόμενον ἐκάλουν Λυσιτανοὶ πρέσβεις πέμψαντες ἐφ' ἡγεμονίᾳ, πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ Ῥωμαίων φόβον, ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ καὶ πυνθανόμενοι παρὰ f τῶν συγγεγονότων τὸ ἦθος αὐτοῦ. (2) Λέγεται δὲ ὁ Σερτώριος οὔτε ὑφ' ἡδονῆς οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι, φύσει δὲ ἀνέκπληκτος ὢν παρὰ τὰ δεινὰ καὶ μέτριος εὐτυχίαν ἐνεγκεῖν, καὶ πρὸς μὲν εὐθυμαχίαν οὐδενὸς ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων, ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας περὶ τόπους ἐχυροὺς καὶ διαβάσεις τάχους δεομένας ἀπάτης
573 τε καὶ ψευδῶν ἐν δέοντι σοφιστὴς δεινότατος. (3) a Ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων. Καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἐπαμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. (4) Ἐμοὶ δὲ ἀρετὴν μὲν εἰλικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον, ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. Ὃ καὶ Σερτώριον b

opitulari statuit, ut milites sui nova oblata spe et aliarum rerum gerendarum occasione secum manerent, neque incerti quid agerent a se dilaberentur. (4) Pergratus fuit Mauritanis ejus adventus; et rem aggressus ipsam, Ascalim pugna victum in obsidione habuit. Et quum Sylla Paccianum cum exercitu misisset, uti Ascali opem ferret, Sertorius pugna commissa Paccianum occidit, victorque exercitum ejus ad se traduxit, Tingimque urbem, in quam Ascalis confugerat cum fratribus, expugnavit. (5) Ibi Antæum sepultum Afri narrant; et Sertorius quum barbaris tantam corporis ejus molem perhibentibus fidem non haberet, effosso monumento corpus sexaginta, ut aiunt, cubitorum inveniens, obstupuit, hostiaque mactata sepulcrum instauravit honoresque et famam Antæi auxit. (6) Perhibent Tigennitæ, Antæo mortuo, Herculem cum Tingi uxore ejus concubuisse; inde natum Sophacem regem ejus fuisse regionis et urbem matri cognominem condidisse; Sophaci filium fuisse Diodorum, qui ex Græcis eo ab Hercule deductis Olbianis et Mycenæis exercitu contracto, multas Africæ gentes subegerit. (7) Quæ quidem gratiæ data sint Jubæ, quo nemo regum alius fuit historiarum peritior; hujus enim majores a Diodoro et Sophace genus traxisse creduntur. (8) Sertorius urbe potitus, qui deprecabantur seque fidei ejus traderent, nullo maleficio affecit, sed et pecuniam et urbes et magistratus iis reddidit, ab iisque ultro dantibus quæ necesse erat accepit.

X. Inde quo se verteret deliberantem Lusitani vocaverunt, missis ad eum qui imperium deferrent legatis. Nam et duce ad bellum quod a Romanis imminebat magna auctoritate et peritia prædito indigebant, et soli ei se credebant, cujus etiam de moribus ex iis qui una fuissent cognoverant. (2) Sertorium autem memoriæ proditum est neque voluptati neque metui obnoxio ingenio fuisse, natura et imperterritum rebus adversis, et qui res secundas mediocriter ferret; neminem eo tempore ducem magis aperta prœlia vitasse, callidissimum vero fuisse in tempore artificem ad furtiva belli opera, et ad captandam opportunitatem in occupandis locis natura munitis et fluminibus trajiciendis, ubicumque celeritate, astutia et fraude opus erat. (3) Perliberalis erat in præmiis virtutum conferendis, in suppliciis moderatus. Quanquam extremo vitæ suæ cursu videtur id quod in obsides statuit, ostendisse, animum ejus non vere mansuetum fuisse, sed crudelitatem ejus arte quadam necessitatis causa fuisse celatam. (4) Mihi autem ut veram virtutem rectaque ratione stabilitam, nunquam videtur fortunæ vis in contrarium posse convertere, ita consilia tamen alias recta, bonasque naturas indigne gravibus calamitatibus afflictas non absurdum puto credere una cum fortuna mutari. Id quod ego tum Sertorio acci-

οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων γινομένων πονηρῶν πρὸς τοὺς ἀδικοῦντας.

XI. Οὐ μὴν ἀλλὰ τότε γε Λυσιτανῶν καλούντων ἀπῆρεν ἐκ Λιβύης. Καὶ τούτους συνέταττεν εὐθὺς αὐτοκράτωρ στρατηγὸς καὶ τὴν ἐγγὺς Ἰβηρίαν ὑπήκοον ἐποιεῖτο, τῶν πλείστων ἑκουσίως προστιθεμένων, μάλιστα μὲν διὰ τὸ πρᾷον αὐτοῦ καὶ δραστήριον, ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο. (2) Καὶ πρῶτόν γε πάντων τὸ περὶ τὴν ἔλαφον. Ἦν δὲ τοιόνδε· Σπάνος, ἀνὴρ δημότης τῶν ἐπὶ χώρας βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχὼν, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν ἐκπλαγεὶς c τῇ καινότητι τῆς χρόας (λευκὴ γὰρ ἦν πᾶσα) λαμβάνει διώξας. (3) Κατὰ τύχην δὲ Σερτωρίου τοῖς τόποις ἐναυλισαμένου καὶ πᾶν ὅ τις ἐξ ἄγρας ἢ γεωργίας ἥκοι κομίζων δῶρον ἀσμένως δεχομένου καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. Ὁ δὲ δεξάμενος αὐτίκα μὲν ἥσθη μετρίως, χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν καὶ βαδίζοντί ποι παρακολουθεῖν ὄχλου τε καὶ θορύβου παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε φάσκων, Ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι, καὶ πολλὰ d τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δηλοῦν, γινώσκων εὐάλωτον εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. (4) Ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε· γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκότας ποι τῆς ὑπ' αὐτὸν χώρας ἢ πόλιν ἀφιστάντας προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τοὺς ὕπνους διειλέχθαι κελεύουσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. Αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτοῦ στρατηγῶν ἀκούσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δὲ ἔλαφον ἐστεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν εὐθυμεῖσθαι παρακαλῶν καὶ τοῖς θεοῖς θύειν ὡς ἀγαθόν τι πευσομένους.

XII. Οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτοὺς e ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, οὐχ ὑπ' ἀνδρὸς ἀλλοδαποῦ λογισμῶν, ἀλλ' ὑπὸ θεοῦ στρατηγεῖσθαι πειθομένοις, ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρούντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. (2) Δισχιλίοις γὰρ ἑξακοσίοις, οὓς ὠνόμαζε Ῥωμαίους, συμμίκτοις δὲ ἑπτακοσίοις Λιβύων εἰς Λυσιτανίαν αὐτῷ συνδιαβᾶσι πελταστὰς τετρακισχιλίους Λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίους προσλαβὼν ἐπολέμει τέτταρσι Ῥωμαίων στρατηγοῖς, ὑφ' οἷς ἦσαν πεζῶν μὲν δώδεκα μυριάδες, ἱππεῖς δὲ ἑξακισχίλιοι, τοξόται δὲ καὶ σφενδονῆται f δισχίλιοι, πόλεις δὲ ἀναρίθμητοι τὸ πλῆθος, αὐτὸς εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος. (3) Ἀλλ' ὅμως ἀσθενὴς οὕτω καὶ μικρὸς ἀρξάμενος οὐ μόνον ἐθνῶν ἐκράτησε μεγάλων καὶ πόλεις εἷλε πολλὰς, ἀλλὰ καὶ τῶν ἀντιστρατήγων Κότταν μὲν ἐν τῷ περὶ τὴν Μελλαρίαν πορθμῷ κατεναυμάχησε, Φουφίδιον δὲ τὸν ἄρχοντα τῆς Βαιτικῆς περὶ τὸν Βαῖτιν ἐτρέψατο δισχιλίους

57 I ἀποκτείνας Ῥωμαίων, Δομέτιον δὲ Καλουίσιον ἀνθύ- a

disse puto, jam fortuna eum destituente, tantaque rerum iniquitate exasperatum injurias malorum atrocius ultum arbitror.

XI. Enimvero quo dixi tempore a Lusitanis vocatus, Africa relicta, statim ipsos creatus plena cum potestate imperator composuit et vicinam Hispaniam in suam potestatem redegit, plerisque ultro se ei adjungentibus clementia ipsius et alacritate illectis; multos quoque ipse fraude et arte quadam sibi conciliavit. (2) Cujus generis potissimum est illud de cerva commentum. Res ita habet: Spanus quidam, unus de agresti hominum plebe, quum in cervam incidisset quæ recens a partu venatores instantes fugiebat, ipsam quidem assequi non potuit, hinnuleum vero, coloris novitatem (totus enim albus erat) miratus, persecutus est et cepit. (3) Forte tum iis in locis Sertorius commorabatur, quicquid ex venatione aut ruris frugibus ad se afferretur, grato animo accipiens colentibusque se amice et benigne gratiam referens; ei dono hinnuleum istum Spanus attulit. Acceptus mediocriter initio Sertorium delectavit; qui progressu temporis ita cicurem et sui amantem fecit, ut et vocantis vocem exaudiret et una quo duceret iret, et tumultum omnem militarem perferre assuesceret. Exinde divinitatem rei commentus, cervam istam a Diana sibi dono datam, multasque res occultas per eam a diis sibi indicari dixit, quippe natura animos barbarorum eos esse, qui facile religione objecta deciperentur, intelligens. (4) Auxit hanc opinionem alio astu. Nam si forte hostes in agrum Lusitanum impressionem fecisse occultis nuntiis percepisset, aut urbes ad defectionem sollicitasse, in somnis locutam sibi cervam aiebat, ac monuisse ut paratum exercitum haberet. Rursus si de victoria alicujus suorum ducum cognovisset, occultato rei nuntio, cervam coronatam læti nuntii causa produxit, bono animo suos esse diisque sacra facere, ut qui lætum aliquid mox essent audituri, jubens.

XII. Hoc modo illis cicuratis, ad omnia negotia moderatioribus usus est, ut qui non alienigenæ hominis consilio, sed divino duci se crederent. Videbatur et ipse rerum successus hoc testari, quum præter spem et rationem copiæ augerentur. (2) Etenim cum bis mille sexcentis viris, quos Romanos appellaverat admixtisque Afris septingentis, in Lusitaniam pervenerat; a Lusitanis scutatos quattuor millia, et septingentos equites acceperat. His instructus copiis contra quattuor Romanos duces bellum sustinebat, qui sub se habebant centum viginti peditum, sex equitum, duo sagittariorum millia, urbes vero innumeras, quum Sertorius ab initio viginti tantum urbes obtineret. (3) Et a tam imbecilli tamen is parvoque principio non gentes modo magnas superavit urbesque multas cepit, sed et adversæ partis duces Cottam in freto ad Mellariam naumachia vicit, Fufidium Bæticæ præfectum ad Bætin flumen superavit, cæsis Romanorum duobus millibus, Domitium Calvisium

πατον ὄντα τῆς ἑτέρας Ἰβηρίας διὰ τοῦ ταμίου καταγωνισάμενος καὶ Θωράνιον, ἄλλον ἡγεμόνα τῶν ὑπὸ Μετέλλου πεμφθέντων μετὰ δυνάμεως, ἀνεῖλεν, αὐτόν τε τὸν Μέτελλον, ἄνδρα Ῥωμαίων ἐν τοῖς τότε μέγιστον καὶ δοκιμώτατον, οὐκ ὀλίγοις σφάλμασι περιβαλὼν εἰς τοσαύτην ἀπορίαν κατέστησεν, ὥστε Λεύκιον μὲν Μάλλιον ἐκ τῆς περὶ Ναρβῶνα Γαλατίας ἐλθεῖν αὐτῷ βοηθὸν, Πομπήιον δὲ Μάγνον ἐκ Ῥώμης κατὰ τάχος ἀποσταλῆναι μετὰ δυνάμεως. (4) Οὐ γὰρ εἶχεν ὁ Μέτελλος ὅ τι χρήσαιτο προσπολεμῶν ἀνδρὶ τολμητῇ b πάσης ἐξαναδυομένῳ φανερᾶς μάχης, πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολὴν εὐσταλίᾳ καὶ κουφότητι τῆς Ἰβηρικῆς στρατιᾶς, αὐτὸς ὁπλιτικῶν καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων καὶ στρατηγὸς ἐμβριθοῦς καὶ μονίμου φάλαγγος, ὤσασθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίους καὶ καταβαλεῖν ἄριστα γεγυμνασμένης, ὀρειβατεῖν δὲ καὶ συνηρτῆσθαι διώξεσι καὶ φυγαῖς ἀπαύστοις ἀνθρώπων ὑπηνεμίων καὶ λιμὸν ἀνέχεσθαι καὶ δίαιταν ἄπυρον καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι, μὴ δυναμένης.

XIII. Ἔτι δὲ αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν καί τι c καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκὼς, τῷ δὲ Σερτωρίῳ συνειστήκει πνεύματος ἀκμαίου γέμοντι καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα ῥώμῃ καὶ τάχει καὶ λιτότητι. (2) Μέθης μὲν γὰρ οὐδὲ ῥαθυμῶν ἥπτετο, πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας καὶ συνεχεῖς ἀγρυπνίας ὀλίγοις εἴθιστο καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφέρειν, πλάνοις δὲ χρώμενος ἀεὶ καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι, πάσης διεκδύσεως φεύγοντι καὶ διώκοντι κυκλώσεως ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. (3) Διὸ τῷ μὲν εἰργομένῳ μάχης ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι βλάπτεσθαι συνέβαινεν, ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν d διωκόντων. Καὶ γὰρ ὑδρείας ἀπέκοπτε καὶ σιτολογίας εἶργε καὶ προϊόντι μὲν ἐκποδὼν ἦν, ἐκίνει δὲ ἱδρυνθέντα, πολιορκοῦντι δ' ἄλλους ἐπιφαινόμενος ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις, ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν καὶ, τοῦ Σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν Μέτελλον, βοᾶν καὶ κελεύειν μάχεσθαι στρατηγὸν στρατηγῷ καὶ Ῥωμαῖον Ῥωμαίῳ, ἀναδυόμενον δὲ χλευάζειν. (4) Ὁ δὲ τούτων μὲν εὖ ποιῶν κατεγέλα· στρατηγοῦ γὰρ, ὡς ἔφη Θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγὸν, οὐ πελταστοῦ τοῦ τυχόντος. Ὁρῶν δὲ τοὺς Λαγγοβρίτας οὐ e μικρὰ τῷ Σερτωρίῳ συλλαμβανομένους, δίψῃ δὲ ὄντας εὐαλώτους (ἓν γὰρ ἦν αὐτοῖς φρέαρ ἐν τῇ πόλει, τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν), ἧκεν ἐπὶ τὴν πόλιν ὡς ἡμέραις δυσὶ συναιρήσων τὴν πολιορκίαν, ὕδατος οὐκ ὄντος. Διὸ καὶ πέντε ἡμερῶν ἐπιφέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. (5) Ὁ Σερτώριος δ' ὀξέως βοηθήσας ἐκέλευσε δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι καθ' ἕκαστον ἀσκὸν ἀργύριον συχνὸν τάξας.

alterius Hispaniæ præfectum quæstoris sui opera fudit, Thoranium alium ducem a Metello cum copiis missum delevit. Ipsum quidem Metellum, quo eo tempore major inter Romanos aut laudatior fuit nemo, tot cladibus affecit eoque compulit, ut L. Manlius ex Narbonensi Gallia auxilio ei venerit, et Pompeius Magnus celeriter cum copiis contra Sertorium Roma missus fuerit. (4) Neque enim erat quo se Metellus verteret, bellum gerens contra hominem audacem, et qui omnem justam pugnam subterfugiens, facillime se quasvis in partes mutaret, levitate et agilitate Hispaniensis exercitus adjutus; quum quidem Metellus armis, justaque acie decertare peritus, gravem et collato pede pugnare manumque conferentes hostes pellere et sternere doctum exercitum duceret, montes autem scandere et continuo fugientem hostem vagum insequi, famemque tolerare, vivere victu crudo et sine tentoriis, quod Hispani solebant, minime doctum.

XIII. Ad hæc Metellus tum ætate provectior post graves longosque labores jam nonnihil ad molliorem et delicatam vitam inclinaverat; committebatur autem cum Sertorio qui et juveniles spiritus et corpus robore, celeritate patientiaque tenuis victus mirifice duratum habebat. (2) Etenim ne in summo quidem otio ebrietati indulgebat, ingentes labores, longa itinera et continentes insomnias exiguo cum alimento eoque vili perferre assueverat; perpetuis autem oberrationibus et venationibus per otium deditus, summam locorum, quibus vel fugiens evadere, vel instans circumvenire, et tam accessu facilium quam inviorum peritiam sibi paraverat. (3) Itaque Metellus pugnæ sibi copia non data ea perpetiebatur incommoda, quæ victis alioquin accidunt; Sertorius fugiens, insequentium commoditatibus fruebatur; nam et aquatione et frumentatione excludebat hostem, quo progrediente e conspectu evolavit, castris autem se continenti insultabat, obsidentem alios subito adveniens necessariarum rerum inopia oppugnabat. Quo fiebat ut milites Metelli animum desponderent, et quum ad singularem pugnam eum Sertorius provocaret, congredi imperatorem cum imperatore, Romanum cum Romano juberent, detrectantemque deriderent. (4) Verum hic prudenter quidem eos despexit. Duce enim dignam mortem, ut ait Theophrastus, dux oppetere debet, non levis alicujus armigeri. Cernens autem Lagobritas, qui multum Sertorio auxilii ferebant, siti facile expugnari posse (unum enim tantum in urbe habebant puteum et quæ in suburbanis erant adque mœnia aquæ, iis potiturus is qui obsideret videbatur), ad urbem accessit, ratus ob aquæ defectum eam se bidui spatio capturum; atque ideo tantum quinque dierum cibaria milites suos ferre secum jussit. (5) At Sertorius ut celerrime suis opitularetur, bis mille utres aqua impleri jussit, in singulos magna pecunia erogata.

Καὶ πολλῶν μὲν Ἰβήρων, πολλῶν δὲ Μαυρουσίων f ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις ἔπεμψε διὰ τῆς ὀρεινῆς κελεύσας, ὅταν παραδῶσι τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. (6) Ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν Μέτελλον, ἤχθετο μέν, ἤδη τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπαναλωκότων, ἐξέπεμψε δὲ ἐπὶ σιτολογίαν 575 Ἀκύινον ἑξακισχιλίων ἡγούμενον. a Αἰσθόμενος δὲ ὁ Σερτώριος καὶ προλοχίσας τὴν ὁδὸν ἐπανερχομένῳ τῷ Ἀκυίνῳ, τρισχιλίους ἄνδρας ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν, αὐτὸς δὲ κατὰ στόμα προσβαλὼν τρέπεται καὶ τοὺς μὲν διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. (7) Ἀκύινον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος Μέτελλος αἰσχρῶς ἀπῄει, πολλὰ χλευαζόμενος ὑπὸ τῶν Ἰβήρων.

XIV. Ἔκ τε δὴ τούτων θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ Σερτώριος καὶ ὅτι Ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ ληστηρίου μεγάλου b στρατὸν ἐποιεῖτο τὴν δύναμιν. Ἔτι δ' ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ κράνη τε κατεκόσμει καὶ θυρεοὺς αὐτῶν διεποίκιλλε καὶ χλαμύσιν ἀνθιναῖς καὶ χιτῶσι χρῆσθαι διδάσκων καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν ἐδημαγώγει. (2) Μάλιστα δὲ εἷλεν αὐτοὺς τὰ τῶν παίδων. Τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς Ὄσκαν, πόλιν μεγάλην, διδασκάλους ἐπιστήσας Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν μαθημάτων ἔργῳ μὲν ἐξωμηρεύσατο, λόγῳ δὲ ἐπαίδευεν, ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. (3) Οἱ δὲ πατέρες ἥδοντο θαυμαστῶς τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες μάλα κοσμίως c φοιτῶντας εἰς τὰ διδασκαλεῖα καὶ τὸν Σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα καὶ πολλάκις ἀποδείξεις λαμβάνοντα καὶ γέρα τοῖς ἀξίοις νέμοντα καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον, ἃ Ῥωμαῖοι βούλλας καλοῦσιν. (4) Ἔθους δ' ὄντος Ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνῄσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ βαρβάρων κατάσπεισιν ὀνομαζόντων, τοῖς μὲν ἄλλοις ἡγεμόσιν ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταίρων, Σερτωρίῳ δὲ πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων ἑαυτοὺς ἠκολούθουν. (5) Λέγεται δέ, πρός τινι πόλει τροπῆς γενομένης καὶ τῶν πολεμίων d ἐπικειμένων, τοὺς Ἴβηρας ἀμελήσαντας αὐτῶν τὸν Σερτώριον σώζειν καὶ τοῖς ὤμοις ἐπαραμένους ἄλλους πρὸ ἄλλων ἀνακουφίσαι πρὸς τὰ τείχη, γενομένου δ' ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεσθαι πρὸς φυγὴν ἕκαστον αὐτῶν.

XV. Οὐ μόνον δὲ τοῖς Ἴβηρσιν ἦν ποθεινός, ἀλλὰ καὶ τοῖς ἐξ Ἰταλίας στρατευομένοις. Περπέννα γοῦν Οὐέντωνος ἀπὸ τῆς αὐτῆς Σερτωρίῳ στάσεως εἰς Ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν καὶ μεγάλης δυνάμεως, ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν Μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ

Multisque Hispanis, multis Mauritanis id ministerium in se recipientibus, viros robustos et celeres cursu delegit, qui aquam eam per montana in urbem deferrent, traditisque utribus imbellem turbam secum abducerent, ut potus defensoribus urbis sufficeret. (6) Metellus, quum ea de re esset ad se renunciatum, graviter ferens, quod jam tum milites cibaria sua absumpserant, Aquinum cum sex millibus frumentatum emisit. Id sentiens Sertorius, iter insidiis insedit, revertentique Aquino tria virorum millia ex obscura quadam valle immisit, et ipse a fronte adortus hostium agmen fudit partimque interfecit, partim cepit. (7) Aquinum autem Metellus armis equoque amissis ad se reversum quum accepisset, discessit ab urbe non sine dedecore, multum eum Hispanis subsannantibus.

XIV. Quum hæc miram Sertorii admirationem amoremque apud barbaros excitavere, tum quod Romana armatura, ordinibus tesserisque suos instruens, insanamque illam et belluinam roboris fiduciam diminuens, copias suas de magna latronum manu exercitum redegit. Ad hæc argento et auro liberaliter dato galeas eorum et scuta exornavit, chlamydibusque pictis et togis uti docens et ad hæc sumptus præbens, populi favorem sibi conciliavit. (2) Maxime autem omnium puerorum eos institutio cepit. Nobilissimos enim ex omnibus Hispaniæ populis pueros Oscam, quæ est ampla urbs, conducens, præceptores, qui eos Græcis Latinisque disciplinis informarent, constituit, quumque eos re ipsa obsides haberet, verbo educavit ita, uti in viros adultis jus Romanæ civitatis daret, adque magistratus admitteret. (3) Mirifice autem lætabantur parentes, quum filios suos prætextatos viderent admodumque ornate ad scholam commeantes, Sertorium pro iis mercedem solventem, sæpe periculum de eorum profectibus facientem, dona dignis et aureas bullas donantem. (4) Porro cum moris esset Hispanici, ut qui circa imperatorem versantur, in bello se cum eo una morituros voveant (quod illius regionis barbari devotionem appellant), pauci admodum stipatores et socii reliquis ducibus, Sertorio permulta millia hujusmodi solduriorum comitabantur. (5) Ac ferunt apud quandam urbem fuso Sertorii exercitu hostibusque urgentibus, Hispanos suis corporibus neglectis, solius Sertorii saluti intentos fuisse, eumque certatim humeris sustulisse, dum in murum attolleretur; ita demum salvo imperatore, eos fugam pro se quemque fecisse.

XV. Neque Hispani modo, sed et Italiani milites ita eum desiderabant. Etenim quum Perpenna Vento, Sertorianæ factionis socius, in Hispaniam magna cum vi pecuniæ validoque exercitu venisset statuissetque pro se bellum contra Metellum gerere, indigne id milites tulerunt, mul-

πολὺς ἦν τοῦ Σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ τὸν e Περπένναν ἀνιῶν εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. (2) Οὐ μὴν ἀλλ' ἐπεὶ Πομπήιος ἠγγέλλετο τὴν Πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα· καὶ τὰ σημεῖα τῶν τάξεων ἀναρπάσαντες κατεβόησαν τοῦ Περπέννα κελεύοντες ὡς τὸν Σερτώριον ἄγειν αὐτούς· εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεσθαι καὶ σώζειν δυνάμενον. Συγχωρήσας δὲ ὁ Περπέννας ἤγαγεν αὐτοὺς καὶ συνέμιξε τῷ Σερτωρίῳ πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας.

XVI. Σερτώριος δὲ, τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποτα- f μοῦ πάντων ὁμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέρρεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. (2) Ὡς δὲ ἑώρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις 576 ἐν οἷς οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας a ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν. Ὧν δὲ εἴκαζε γενομένων, ἐπιβοηθήσας ἀνέλαβέ τε φεύγοντας αὐτοὺς καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρατόπεδον. (3) Βουλόμενος δὲ καὶ τὴν ἀθυμίαν ἀφελεῖν, μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροίσας ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθενῆ τελέως καὶ πρεσβύτερον ἤδη, τὸν δὲ ἕτερον εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρὸν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. (4) Παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δὲ ἰσχυρῷ μικρὸς ἕτερος καὶ τὴν ὄψιν εὐκαταφρόνητος. Σημείου δὲ δοθέντος αὐτοῖς ὁ μὲν ἰσχυρὸς ἀμφοτέραις ταῖς χερσὶ τοῦ ἵππου τὴν κέρκον ὡς ἀποῤῥήξων b εἷλκε βίᾳ πρὸς αὐτὸν, ὁ δὲ ἀσθενὴς τοῦ ἰσχυροῦ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. (5) Ἐπεὶ δὲ ὁ μὲν οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις παρασχὼν ἀπεῖπεν, ὁ δὲ ἀσθενὴς ἀκαρεῖ καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐρὰν, ἀναστὰς ὁ Σερτώριος, « Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν. Ἄμαχον γὰρ τὸ ἐνδελεχὲς, ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δὲ ἀκαίρως ἐπει- c γομένοις πολεμιώτατος. » (6) Τοιαῦτα μὲν ὁ Σερτώριος ἑκάστοτε πλέκων παραμύθια τοῖς βαρβάροις διεπαιδαγώγει τὸν καιρόν.

XVII. Οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν πολεμικῶν ἔργων ἐθαυμάσθη τὸ περὶ τοὺς λεγομένους Χαρακιτανούς. Εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν Ταγώνιον ποταμὸν, οὐκ ἄστεσιν οὐδὲ κώμαις ἐνοικοῦντες, ἀλλὰ λόφος ἐστὶν εὐμεγέθης καὶ ὑψηλὸς, ἄντρα καὶ κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. (2) Ἡ δ' ὑποκειμένη πᾶσα χώρα πηλὸν ἀργιλώδη καὶ γῆν ὑπὸ χαυνότητος εὔθρυπτον ἀναδίδωσιν, οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν καὶ μικρὸν ἁψαμένων, ὥσπερ ἄσβεστον ἢ τέφραν ἐπὶ πολὺ δια- d

taque erat in castris de Sertorio mentio, Perpennæ molesta, nobilitate generis et opibus tumenti. (2) Sed postquam Pompeium transcendere Pyrenæos montes auditum est, milites arreptis armis legionumque signis, Perpennam magno clamore postulabant, uti se ad Sertorium duceret, minati, ni fecisset, ipsos ad eum transituros, virum qui et sibi et aliis saluti esse posset. Concessit itaque Perpenna et cum quinquaginta tribus cohortibus Sertorio se adjunxit.

XVI. Sertorius, quum omnes fere qui sunt intra Iberum amnem populi ei accessissent, magnam secum habebat multitudinem, siquidem undique ad eum confluebant; barbarica tamen eum confusio et temeritas suorum perturbabat, aggredi hostes juhentium, moramque ægre ferentium. (2) Cui rei quum sermone mederi conatus nihil proficeret, importuneque Hispanos pugnandi facultatem flagitare videret, passus est cum hoste congredi, ab eoque non quidem prorsus opprimi, plagas tamen accipere; quod quum ita, uti cogitaverat, accidisset, auxilium tulit, fugientesque tuto in castra perduxit. (3) Utque protinus illis animum redderet, paucis post diebus universo in concionem advocato exercitu, equos introduxit duos, alterum imbecillem jam et senem, alterum validum magnumque caudæque mira densitate et pulchritudine pilorum insignem. (4) Astabat porro vetulo vir ingens et robustus, robusto alius parvulus et imbecillis. Ut signum est datum, robustus imbecillis equi caudam utraque manu apprehendit, uti eam extraheret, magnaque vi ad se traxit; invalidus vero singulatim caudæ robusti equi pilos evellit. (5) Quum prior multum diuque frustra laborasset, risumque spectatoribus multum movisset, infirmus autem alter brevi temporis momento nulloque labore caudam validioris equi pilis nudasset, in medium progressus Sertorius, Videtisne, inquit, commilitones, perseverantiam vi esse efficaciorem, multaque quæ uno impetu confici non possunt, paulatim posse? Est enim assiduitatis vis invicta, qua omnem superat exsinditque potentiam tempus, quod plurimum auxilii fert iis, qui prudenter occasionem captant, idemque tempus infestissimum iis est, qui importuna festinatione utuntur. (6) Hunc ad modum Sertorius subinde quod ad confirmandos barbarorum animos faceret comminiscens, tempus trahebat.

XVII. Inter opera ejus militaria id quoque cumprimis admirationem meruit. Characitani populus est supra Tagonium flumen, non pagos, non oppida incolens, sed ingentem excelsumque collem, qui antra et speluncas multas Septentrionibus obversas habet. (2) Quæ subjacet ei tota regio, lutum argillæ simile terramque quæ præ raritate facile in pulverem diminuatur habet, eaque nec vestigiis incedentium resistit, paulumque modo pedibus subacta calcis instar aut

χεομένην. (3) Τῶν οὖν βαρβάρων, ὁσάκις φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια καὶ τὴν λείαν εἴσω συναγαγόντες ἀτρεμοῖεν, ὄντων ἀλήπτων ὑπὸ βίας, τὸν δὲ Σερτώριον τότε διακεκριμένον ἀπὸ τοῦ Μετέλλου καὶ καταστρατοπεδεύσαντα παρὰ τὸν λόφον ὑπερφρονούντων, ὡς κεκρατημένον, εἴτε ὑπ' ὀργῆς ἐκεῖνος εἴτε μὴ δοκεῖν φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας κατεσκέπτετο τὸν τόπον. (4) Οὐδαμόθεν δὲ προσβολὴν ἔχοντος, ἄλλως ἀλύων καὶ κεναῖς χρώμενος ἀπειλαῖς ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ πνεύματος ἐπ' αὐτοὺς φερόμενον. Τέτραπται μὲν γάρ, ὡς ἔφην, τὰ σπήλαια πρὸς βορέαν, e ὁ δὲ ἀπὸ τῆς ἄρκτου ῥέων ἄνεμος (Καικίαν ἔνιοι καλοῦσιν) ἐπέχει μάλιστα καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώμενος ὀρῶν, τότε δὲ καὶ θέρους ἀκμάζοντος ἰσχύων καὶ τρεφόμενος τῇ τῶν ὑπαρκτίων ἀνέσει πάγων ἥδιστος ἐπέπνει καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέρας ἀναψύχων. (5) Ταῦτα δὴ συλλογιζόμενος ὁ Σερτώριος καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων ἐκέλευσε τοὺς στρατιώτας τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀποσπῶντας καὶ παραφέροντας f καταντικρὺ τοῦ λόφου θῖνα ποιεῖν, ἣν οἱ βάρβαροι χώματος ἐπ' αὐτοὺς εἶναι κατασκευὴν ὑπονοοῦντες ἐχλεύαζον. (6) Τότε μὲν οὖν ἐργασαμένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν· ἅμα δ' ἡμέρᾳ πρῶτον μὲν αὔρα μαλακὴ προαπέπνει διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λειότατον ὥσπερ ἄχνην σκιδνάμενον, ἔπειτα σοβαροῦ τοῦ Καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου 577 καὶ τῶν λόφων κονιωμένων ἐπιστάντες οἱ στρατιῶται a τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους καὶ τὸν σπίλον ἔκοπτον, ἔνιοι δὲ καὶ τοὺς ἵππους ἄνω καὶ κάτω διεξήλασαν ἀνιστάντες τὸ χαύνωμα καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. Ἡ δ' ὑπολαμβάνουσα πᾶν τὸ θρυπτόμενον καὶ κινούμενον ἄνω προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων κατὰ θύρας δεχομένοις τὸν Καικίαν. (7) Οἱ δέ, ἅτε δὴ τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων, ᾗ τὸ πνεῦμα προσέπιπτε, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις, ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄσθματος τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον ἕλκοντες. (8) Ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι, τῇ τρίτῃ παρέδωκαν ἑαυτούς, οὐ τοσοῦτον Σερτωρίῳ δυνάμεως, ὅσον δόξης, b προσθέντες, ὡς τὰ δι' ὅπλων ἀνάλωτα σοφίᾳ κατεργασαμένῳ.

XVIII. Μέχρι μὲν οὖν τοῖς περὶ Μέτελλον ἐπολέμει, τὰ πλεῖστα κατευτυχεῖν ἐδόκει, γήρᾳ καὶ φυσικῇ βραδυτῆτι τοῦ Μετέλλου πρὸς ἄνδρα τολμητὴν καὶ λῃστρικῆς μᾶλλον ἢ στρατιωτικῆς ἡγούμενον δυνάμεως οὐχ ἀναφέροντος· ἐπεὶ δὲ καὶ Πομπηΐῳ τὴν Πυρήνην ὑπερβαλόντι παραστρατοπεδεύσας καὶ πᾶσαν ἅμα μὲν διδούς, ἅμα δὲ λαμβάνων στρατηγικῶν παλαισμάτων πεῖραν ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλεῖον εἶχε, κομιδῇ διεβοήθη μέχρι Ῥώμης ὡς δεινότατος ὢν πόλεμον c μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. (2) Οὐ γάρ τι μικρὸν ἦν τὸ Πομπηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ Σύλλαν ἀνδραγαθημάτων, ἐφ'

cineris pulverem late effert. (3) Barbari ergo quoties belli metu in antra suá subiissent, eoque prædam abdidissent, quieti et ab omni vi tuti degebant. Enimvero Sertorius eo tempore, a Metello quum se removisset propeque eum collem castra fecisset, sive iratus se tanquam victum a barbaris contemni, sive ne fugisse videretur, summo mane speculatum loci ejus naturam ivit. (4) Quem quum inaccessum videret, inanibus tantum utens minis temere oberrabat. Interim conspicit a terra in eos magnam vim pulveris a vento incitari. Nam, ut ostendi, antra Boream spectabant, et ventus qui a Septentrionibus perflat (Cæciam nonnulli vocant) maxime omnium ventorum eo incumbit, ex humidis campis et nivalibus montibus perspirans, tum quoque adulta jam æstate invaluerat, auctusque frigore de glaciei resolutione suavissimum flabat, ipsosque ac pecora interdiu refrigerabat. (5) Hæc Sertorius partim ipse conjiciens, partim ab incolis edoctus, militibus mandavit ut ex rara ista et cineris simili terra evellerent et e regione collis aggerem comportarent, quem oppugnandi causa barbari congeri putantes, irridebant Sertorium. (6) Atque is nocte appetente ab opere milites in castra reduxit. Sub auroram initio lenis aura spirare cœpit, quæ tenuissimas congesti aggeris partes veluti spumam late differret; inde una cum sole vehemens Cæcias coortus quum colles pulvere aspergeret, milites Sertoriani et pulverem ab imo subruerunt et aggerem concusserunt, quidam etiam equis per eam planitiem discurrentes pulverem excitabant a vento sublime correptum. Qui excipiens omne quidquid comminutum erat commotumque ad habitationes barbarorum impulit, quæ foribus accipiebant Cæciam. (7) Ita fiebat, quoniam ab ea parte tantum aerem speluncæ accipiebant, quæ vento patebat, ut statim barbarorum oculis caligo offunderetur statimque anhelatu suffocante corriperentur, aspero aere cum multo pulvere faucibus attracto. (8) Itaque quum per biduum ægre id tulissent, Sertorio se dediderunt, non tantum ei virium apponentes, quantum gloriæ, quod is, quæ armis capi nequissent, prudentia expugnasset.

XVIII. Enimvero quamdiu contra Metellum bellum gessit, visus fuit eo superior esse, quod Metellus senex et natura tardus homini audaci et latronum potius quam militum manu stipato par non esset. At posteaquam Pompeio etiam montes Pyrenæos transgresso castra opposuit, omnibusque cum eo imperatoriis artibus decertans, insidias machinando vitandoque superior fuit, Romam usque ingens se ejus gloria extulit, peritissimumque belli ducum fama celebravit. (2) Neque enim parvum erat Pompeii nomen maximeque tum florebat laude rerum sub Sylla gestarum, propter quas et

οἷς καὶ Μάγνος ὑπ' αὐτοῦ, τουτέστι μέγας, ἐπωνομάσθη τιμῶν τε θριαμβικῶν οὔπω γενειῶν ἔτυχεν. Ὅθεν καὶ πολλαὶ τῶν ὑπὸ Σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν ὁρμὴν μεταβολῆς ἔσχον, εἶτ' ἐπαύσαντο, τοῦ περὶ Λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. (3) Σερτωρίου γὰρ πολιορκοῦντος αὐτούς, ἧκε Πομπήιος πανστρατιᾷ βοηθήσων· εἶτα ὁ μὲν λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πόλεως προληψόμενος, ὁ δὲ τοῦτο d κωλύσων ἠπείγετο. Τοῦ δὲ Σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρατὸν ὁ Πομπήιος ἔχαιρε τῇ συντυχίᾳ, νομίζων ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς ἀπειλῆφθαι τὸν Σερτώριον· καὶ πρὸς τοὺς Λαυρωνίτας εἰσέπεμψε θαρρεῖν κελεύων καὶ καθῆσθαι περὶ τὰ τείχη θεωμένους πολιορκούμενον Σερτώριον. (4) Ἐκεῖνος δ' ἀκούσας ἐγέλασε καὶ τὸν Σύλλα μαθητήν (οὕτω γὰρ τὸν Πομπήιον ἐπισκώπτων προσηγόρευεν) αὐτὸς ἔφη διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον ἢ κατὰ πρόσωπον βλέπειν. (5) Ταῦτα δὲ λέγων ἅμα τοῖς πολιορ- e κουμένοις ἐπεδείκνυεν ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθεὶς κατειλήφει τὸν λόφον, ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ Πομπηίῳ κατὰ νώτου προσπέσοιεν. (6) Ὃ δὴ καὶ Πομπήιος ὀψὲ μάλα συμφρονήσας ἐπιχειρεῖν μὲν οὐκ ἐθάρρει, κύκλωσιν δεδοικώς, ἀπολιπεῖν δὲ ᾐσχύνετο κινδυνεύοντας ἀνθρώπους, παρὼν δὲ καὶ καθήμενος ἠναγκάζετο ὁρᾶν ἀπολλυμένους· ἀπέγνωσαν γὰρ αὐτοὺς οἱ βάρβαροι καὶ τῷ Σερτωρίῳ παρέδωκαν. (7) Ὁ δὲ τῶν μὲν σωμάτων ἐφείσατο καὶ πάντας ἀφῆκε, τὴν δὲ πόλιν κατέπρησεν, οὐχ ὑπ' ὀργῆς οὐδ' ὠμότητος (ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν οὗτος ἀνήρ), f ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων Πομπήιον, ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μονονοὺ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων οὐ προσήμυνεν.

XIX. Ἧτται μὲν οὖν τῷ Σερτωρίῳ πλείονες συνέ-
578 βαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ φυλάττοντι καὶ τοὺς a καθ' αὑτόν, θραυομένῳ δὲ περὶ τοὺς ἄλλους ἡγεμόνας· ἐκ δὲ ὧν ἐπηνωρθοῦτο τὰς ἥττας μᾶλλον ἐθαυμάζετο νικώντων τῶν ἀντιστρατήγων, οἷον ἐν τῇ περὶ Σούκρωνι μάχῃ πρὸς Πομπήιον καὶ πάλιν ἐν τῇ περὶ Τουττίαν πρός τε τοῦτον ὁμοῦ καὶ Μέτελλον. (2) Ἡ μὲν οὖν περὶ Σούκρωνι μάχη λέγεται γενέσθαι τοῦ Πομπηίου κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Ὁ δὲ Σερτώριος ἐβούλετο μὲν τῷ Πομπηίῳ, πρὶν ἐπελθεῖν τὸν Μέτελλον, διαγωνίσασθαι, παραγαγὼν δὲ ἑσπέρας ἤδη συνέβαλεν, οἰόμενος ξένοις οὖσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις τὸ σκότος ἔσεσθαι καὶ φεύγουσιν ἐμπόδιον καὶ διώκουσι. (3) Γενομένης δὲ τῆς μάχης ἐν b χερσίν, ἔτυχε μὲν οὐ πρὸς Πομπήιον αὐτός, ἀλλὰ πρὸς Ἀφράνιον ἐν ἀρχῇ συνεστηκὼς ἔχοντα τὸ ἀριστερόν, αὐτὸς ἐπὶ τοῦ δεξιοῦ τεταγμένος. Ἀκούσας δὲ τῷ Πομπηίῳ τοὺς συνεστῶτας ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ' ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς δὲ ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. Καὶ

Magnus fuerat ab ipso Sylla cognominatus, et triumphi honore imberbis etiamnum affectus; multæque urbes jam a Sertorio ad eum deficere cogitabant, nisi eas insperata Lauronis calamitas deterruisset. (3) Obsidente eam urbem Sertorio, Pompeius auxilio Lauronensibus cum toto exercitu profectus est. Erat collis, quem quum occupare, ut ad oppugnandam urbem commodum, Sertorius cuperet, propere exercitum Pompeius ad id prohibendum duxit; quumque prævenisset Sertorius, exercitum Pompeius juxta collocavit, gaudens eo eventu, ut qui Sertorium in medio inter urbem et hostilia castra deprehensum putaret; itaque et oppidanos missis nuntiis bono jussit esse animo et de muris obsidione cinctum Sertorium intueri. (4) Sertorius eo audito risit, seque ostensurum Syllæ discipulo (ita enim Pompeium per jocum vocabat) dixit imperatoris esse a tergo magis quam a fronte prospicere. (5) His dictis et iis quos in obsidione habebat, demonstravit, se in prioribus castris, ex quibus ad occupandum collem profectus erat, sex millia armatorum reliquisse, qui in ipsos conversum Pompeium a tergo adorirentur. (6) Id quod Pompeius sero tandem deprehendens, metu ne circumveniretur invadere hostem non ausus, relinquere vero in periculo constitutos Lauronenses turpe ducens, præsens otioseque assidens inspicere eorum interitum coactus est. Barbari enim, re desperata, Sertorio se dediderunt. (7) Atque is oppidanis pepercit, dimissisque omnibus urbem incendit non ira quidem adductus aut crudelitate (his enim minime omnium imperatorum ille indulsit), sed ut iis qui magni fecissent Pompeium, pudorem et dolorem objiceret, utque fama per barbaros vagaretur, Pompeium, quum ita in propinquo esset, ut tantum non incalesceret incendio, sociorum nihil opis attulisse.

XIX. Clades autem Sertorius aliquot accepit vitio suorum legatorum, quum se ipsum eosque quos habebat secum semper invictos servaret, sed plus admirationis corrigendo accepta damna, quam victoria adversarii duces, meruit. Cujus rei exempla sunt, prœlium apud Sucronem cum Pompeio, et rursus ad Duriam cum eo simul et Metello depugnatum. (2) Pugna ad Sucronem commissa fertur Pompeio accelerante, ne in partem victoriæ Metellus veniret. Sertorius quoque paratus decernere ante quam hic se Pompeio conjunxisset, jam præcipite die exercitu per ambages circumducto, pugnam conseruit, ratus hostibus peregrinis et locorum ignaris tenebras et fugæ et insecutionis impedimentum futurum. (3) Conserto prœlio, ipse quidem ab initio non Pompeio fuerat, sed Afranio lævum cornu tuenti oppositus, ipse in dextro consistens. Ubi vero audivit cum Pompeio congressos, urgente illo, se recipere et vinci, dextro aliis mandato ducibus, laboranti alteri succurrit, suosque ibi partim jam ce-

τοὺς μὲν ἤδη τρεπομένους, τοὺς δὲ ἔτι μένοντας ἐν τάξει συναγαγὼν καὶ ἀναθαῤῥύνας, ἐξ ὑπαρχῆς ἐνέβαλε τῷ Πομπηίῳ διώκοντι καὶ φυγὴν ἐποιήσατο πολλήν, ὅτε καὶ Πομπήιος ἐγγὺς ἐλθὼν ἀποθανεῖν καὶ τραυματισθεὶς παραλόγως διέφυγεν. (4) Οἱ γὰρ μετὰ Σερτωρίου c Λίβυες, ὡς ἔλαβον αὐτοῦ τὸν ἵππον χρυσῷ κεκοσμημένον καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους προήκαντο τὴν δίωξιν. (5) Ἀφράνιος δὲ τοὺς ἀνθεστῶτας πρὸς αὐτὸν ἅμα τῷ Σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθοῦντα τρεψάμενος, εἰς τὸ στρατόπεδον κατήῤῥαξε· καὶ συνεισπεσὼν ἐπόρθει σκότους ἤδη ὄντος μήτε τὴν Πομπηίου φυγὴν εἰδὼς μήτε τοὺς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. (6) Ἐν τούτῳ δὲ Σερτώριος ἀνέστρεψε τὸ καθ' αὑτὸν νενικηκὼς καὶ τοῖς Ἀφρανίου δι' ἀταξίαν ταρασσομένοις ἐπιπεσὼν πολλοὺς διέφθειρε. (7) Πρωὶ δὲ αὖθις ἐξοπλισθεὶς ἐπὶ μάχην κατέβαινεν, εἶτα Μέτελλον αἰ- d σθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν ἀνέζευξεν εἰπών, « Ἀλλ' ἔγωγε τὸν παῖδα τοῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νουθετήσας εἰς Ῥώμην ἀπεστάλκειν. »

XX. Ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμοῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. Μηχανῆς γὰρ ἐπὶ τοὺς βαρβάρους ἐστέρητο θαυμαστῆς τότε δὴ μάλιστα παραμυθίας δεομένους. Εἶτα μέντοι νυκτὸς ἄλλως πλανώμενοί τινες ἐπιτυγχάνουσιν αὐτῇ καὶ γνωρίσαντες ἀπὸ τῆς χρόας λαμβάνουσιν. (2) Ἀκούσας δὲ ὁ Σερτώριος ἐκείνοις μὲν ὡμολόγησεν, ἂν μηδενὶ φράσωσι, χρήματα πολλὰ δώσειν, ἀποκρύψας δὲ τὴν ἔλαφον καὶ διαλιπὼν ὀλίγας ἡμέρας προῄει μάλα φαιδρὸς ἀπ' ὄψεως ἐπὶ τὸ βῆμα διηγούμε- e νος τοῖς ἡγεμόσι τῶν βαρβάρων, ὡς ἀγαθόν τι μέγα τοῦ θεοῦ προμηνύοντος αὐτῷ κατὰ τοὺς ὕπνους, εἶτ' ἀναβὰς ἐπὶ τὸ βῆμα τοῖς ἐντυγχάνουσιν ἐχρημάτιζεν. (3) Ἡ δὲ ἔλαφος ὑπὸ τῶν φυλαττόντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα καὶ κατιδοῦσα τὸν Σερτώριον ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα καὶ παραστᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτοῦ καὶ τῷ στόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τοῦτο ποιεῖν. (4) Ἀντιφιλοφρονουμένου δὲ τοῦ Σερτωρίου πιθανῶς καί τι καὶ δακρύσαντος ἔκπληξις εἶχε τοὺς παρόντας τὸ πρῶτον, εἶτα κρότῳ καὶ f βοῇ τὸν Σερτώριον, ὡς δαιμόνιον ἄνδρα καὶ θεοῖς φίλον οἴκαδε προπέμψαντες ἐν εὐθυμίαις καὶ χρησταῖς ἐλπίσιν ἦσαν.

XXI. Ἐν δὲ τοῖς τῶν Σαγουντίνων πεδίοις εἰς τὰς ἐσχάτας ἀπορίας καταχεκλεικὼς τοὺς πολεμίους ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνουσιν ἐφ' ἁρπαγὴν
579 καὶ σιτολογίαν. Ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέ- a ρων. (2) Καὶ Μέμμιος μὲν ὁ τῶν ὑπὸ Πομπηίῳ στρατηγῶν ἡγεμονικώτατος ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν, ἐκράτει δὲ Σερτώριος καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεστώτων ἐωθεῖτο πρὸς αὐτὸν τὸν Μέτελλον· ὁ δὲ παρ' ἡλικίαν ὑποστὰς καὶ περιφανῶς ἀγωνιζόμενος παίεται δόρατι. (3) Τοῦτο τοὺς μὲν ἰδόντας τῶν Ῥωμαίων, τοὺς δὲ ἀκούσαντας αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα

dentes, partim adhuc ordines suos tuentes conducens, dictisque confirmans, in Pompeium pulsis jam instantem se convertit, agmenque ejus in fugam conjecit. Ea quidem tanta fuit, ut Pompeius ipse vix mortem evaserit sauciatusque præter spem manus hostium effugerit. (4) Afri enim Sertorium comitantes, quum in equum Pompeii incidissent auro exornatum phalerasque magni pretii gestantem, dum de divisione ejus prædæ contendunt, ipsum de manibus emiserunt. (5) Afranius autem sibi objectos, simul atque alteri cornu suppetias ivit Sertorius, fudit et in castra compulit, eodemque impetu irruptione facta, ea diripuit, quum jam tenebræ ingruissent, nescius Pompeium fugatum, neque milites a direptione cohibere valens. (6) Interim Sertorius parta sua a parte victoria reversus, Afranianos nullo ordine vagantes subito invasit multosque eorum interfecit. (7) Postridie rursum armatus in aciem eduxit. Sed quum sensisset Metellum in propinquo esse, acie dimissa in castra rediit, Ego vero, inquiens, puerum istum verberibus castigatum Romam remissurus fui, nisi vetula ista intervenisset.

XX. Graviter autem dolebat eam, de qua diximus, cervam nusquam apparere. Privatus enim erat miro quodam artificio, quo et ante apud barbaros usus erat, et nunc maxime ad confirmandos eorum animos illo opus habebat. Verum quidam per noctem temere vagantes in eam inciderunt cognitamque ex colore ceperunt. (2) Ea re percepta Sertorius, iis qui cepissent multum pecuniæ pollicitus, si quidem rem silentio texissent, ipse cervam abdidit, et paucos post dies hilari admodum vultu ad tribunal processit, barbarorum ducibus indicans, magnum aliquod bonum sibi per insomnium a diis promissum; inde conscenso tribunali, responsa dedit. (3) At cerva ab iis qui eam in propinquo asservabant, emissa, quum Sertorium conspexisset, læta ad tribunal accurrit astansque caput genibus ejus imposuit et ore dextram attigit, id quod facere jam olim erat assuefacta. (4) Sertorius blande eam accepit, ac nonnihil etiam illacrimavit; qua re obstupuerunt primum qui aderant, deinde imperatorem cum lætis acclamationibus et plausu in prætorium deducentes, ut divinum diisque carum hominem, bono animo erant, omniaque prospera sperabant.

XXI. Præterea in Saguntinis campis quum hostes in summas conjecisset difficultates, prædandi et frumentandi causa progressis eis coactus fuit prœlium conserere. Præclare utraque a parte pugnatum est. (2) Et Memmius, Pompeii legatorum optimus bello, in ipso pugnæ vigore cecidit; Sertorius autem quum prævaleret, multa eorum qui adhuc ordinibus servatis resistebant cæde, in ipsum Metellum impetum fecit, atque is præter ætatem subsistens, dum egregie pugnat, hasta feritur. (3) Hoc quum partim vidissent, partim inaudivissent Romani, turpe arbitrati ducem suum

καὶ θυμὸς ἅμα πρὸς τοὺς πολεμίους παρέστη. Προθέμενοι δὲ τοὺς θυρεοὺς καὶ συνεξενεγκόντες εὐρώστως ἐξωθοῦσι τοὺς Ἴβηρας· καὶ γενομένης οὕτω παλιντρόπου τῆς νίκης, ὁ Σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώ- [b] μενος καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν ἐφράγνυτο τὰ τείχη καὶ τὰς πύλας ὠχυροῦτο, πάντα μᾶλλον ἢ πολιορκίαν ὑπομένειν διανοούμενος, ἀλλ' ἐξηπάτα τοὺς πολεμίους. (4) Ἐκείνῳ γὰρ προσκαθεζόμενοι καὶ τὸ χωρίον οὐ χαλεπῶς λήψεσθαι προσδοκῶντες τούς τε φεύγοντας τῶν βαρβάρων προΐεντο καὶ τῆς ἀθροιζομένης αὖθις τῷ Σερτωρίῳ δυνάμεως ἠμέλησαν. Ἠθροίζετο δὲ, πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτοῦ καὶ κελεύοντος, ὅταν ἤδη πολλοὺς ἔχωσιν, ἄγγελον ἀποστεῖλαι πρὸς αὐτόν. (5) Ἐπεὶ δὲ ἀπέστειλαν, σὺν οὐδενὶ πόνῳ [c] διεκπαισάμενος τοὺς πολεμίους, συνέμιξε τοῖς ἑαυτοῦ· καὶ πάλιν ἐπῄει πολὺς γεγονὼς καὶ περιέκοπτεν αὐτῶν τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν ἐνέδραις καὶ κυκλώσεσι καὶ τῷ πανταχόσε φοιτᾶν ὀξὺς ἐπιὼν, τὰ δ' ἐκ θαλάττης λῃστρικοῖς σκάφεσι κατέχων τὴν παραλίαν, ὥστε ἠναγκάσθησαν οἱ στρατηγοὶ διαλυθέντες ὁ μὲν εἰς Γαλατίαν ἀπελθεῖν, Πομπήιος δὲ περὶ Βακκαίους διαχειμάσαι μοχθηρῶς ὑπὸ ἀχρηματίας, γράφων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει τὸν στρατὸν, εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ· καταναλωκέναι γὰρ ἤδη τὰ αὐτοῦ προπολεμῶν τῆς [d] Ἰταλίας. (6) Καὶ πολὺς ἦν οὗτος ἐν Ῥώμῃ λόγος, ὡς Πομπηίου πρότερος εἰς Ἰταλίαν ἀφίξοιτο Σερτώριος· εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν ἡ Σερτωρίου δεινότης κατέστησεν.

XXII. Ἐδήλωσε δὲ καὶ Μέτελλος ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος. Ἐπεκήρυξε γὰρ, εἴ τις αὐτὸν ἀνέλοι Ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν καὶ πλέθρα δισμύρια γῆς· εἰ δὲ φυγὰς, κάθοδον εἰς Ῥώμην, ὡς ἀπογνώσει φανερᾶς ἀμύνης ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. (2) Ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν Σερτώριον οὕτως ἐπήρθη καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστε αὐτοκράτωρ ἀναγορευθῆναι, θυσίαις [e] δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα καὶ βωμοῖς ἐδέχοντο. Λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι καὶ δείπνων σοβαρωτέρων ὑποδοχὰς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων ἔπινε καὶ Νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρύσεα τρόπαια καὶ στεφάνους διαφέρουσαι κατήγοντο, καὶ χοροὶ παίδων καὶ γυναικῶν ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. (3) Ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην Σύλλα καὶ λείψανον τῆς Κάρβωνος φυγῆς ἀποκαλῶν τὸν Σερτώριον οὕτω κεχαύνωται καὶ περιχαρὴς γέγονεν ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. (4) Μεγαλοφροσύνης δὲ τοῦ Σερτωρίου πρῶτον μὲν τὸ τοὺς φεύγοντας ἀπὸ Ῥώμης βουλευτὰς [f] καὶ παρ' αὐτῷ διατρίβοντας σύγκλητον ἀναγορεῦσαι ταμίας τε καὶ στρατηγοὺς ἐξ ἐκείνων ἀποδεικνύναι καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν· ἔπειτα τὸ χρώμενον ὅπλοις καὶ χρήμασι καὶ πόλεσι ταῖς Ἰβήρων μηδ' ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς

deserere hostibusque irati, objectis scutis atque illo summa vi elato Hispanos repulerunt. Sic victoria ad Romanos inclinante, Sertorius ut et suis tutam fugam redderet, et ipse quietus exspectare dum convenirent aliæ copiæ posset, in montanam validamque urbem effugit, ejus muros muniit, portas obstruxit. Neque vero quicquam minus quam obsidionem sufferre statuerat, sed eo hostem decipiebat. (4) Qui obsidione urbem cingens quum facillime eam capturum speraret, interim et elabi barbaros a pugna fugientes patiebatur, et exercitum alium Sertorio colligi non prohibebat. Etenim contrahebat interea novas copias, dimissis ad urbes legatis, mandatoque ut ubi primum multi convenissent, ipsum missis nunciis certiorem facerent. (5) Nuncio, uti præceperat, misso, facta absque ullo labore per hostes eruptione, ad exercitum pervenit; viribusque reparatis, hostes commeatu interclusit, a terra quidem insidiis et circuitionibus et celeri ad quævis loca profectione, a mari vero, navibus prædatoriis oram obtinens. Coactique sunt tandem Romani duces in diversas partes abire: Metellus Galliam petiit, Pompeius difficulter ob inopiam apud Vaccæos hiemavit, ad senatum scribens se, nisi pecuniam misissent, exercitum abducturum; jam enim se, dum pro Italia bellum gereret, omnem suam rem familiarem consumpsisse. (6) Romæque frequenter dicebatur, citius Sertorium quam Pompeium in Italiam adventurum; eo tum præstantissimos Romanorum duces Sertorius sua solertia redegerat.

XXII. Neque obscure tulit Metellus. Edixit enim, si quis Romanus Sertorium occidisset, ei se centum argenti talenta et viginti millia jugerum agri daturum; sin exsul, reditum in patriam: quippe desperans aperto Marte vinci posse, proditione mortem Sertorii redimere cupiebat. (2) Idem quum pugna aliquando Sertorium vicisset, tantum sibi arrogavit adeoque rei gestæ felicitate elatus est, ut imperatoris nomen sumpserit, circum urbes proficiscens sacrificiis se et supplicationibus excipi voluerit, coronari quoque se passus, ut aiunt, splendidioribusque accipi cœnis, in quibus potaret veste triumphali amictus, demitterenturque lacunari Victoriæ quæ artificioso motu currentibus instrumentis tropæa et coronas gestarent, chori denique puerorum et mulierum carmina victoriæ ejus gratulantia canerent. (3) Ridiculus profecto Metellus, qui Syllæ fugitivum et reliquias Carboniani exsilii Sertorium nominans, tanto gaudio fastuque elatus fuerit, quod eum cedentem superasset. (4) Contra magni animi Sertorius facinora edidit, qui exsulantes Roma senatores et secum agentes, Senatum appellavit, ex iisque quæstores et prætores creavit, omniaque id genus alia Romano more instituit, qui quum Hispanorum armis, pecunia urbibusque Hispanorum uteretur, non modo re, sed ne verbo quidem

580 αὐτούς, Ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ a ἄρχοντας αὐτῶν, ὡς Ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ Ῥωμαίων. (5) Καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις καὶ πολὺν ἔχων ἵμερον τοῦ κατελθεῖν· ἀλλὰ δυσπραγῶν μὲν ἠνδραγάθει καὶ ταπεινὸν οὐδὲν ἔπραττε πρὸς τοὺς πολεμίους, ἐν δὲ ταῖς νίκαις διεπέμπετο πρὸς Μέτελλον καὶ πρὸς Πομπήιον ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι καὶ βιοῦν ἰδιώτης καθόδου τυχών· μᾶλλον γὰρ ἐθέλειν ἀσημότατος ἐν Ῥώμῃ πολίτης ἢ φεύγων τὴν ἑαυτοῦ πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ ἀναγορεύεσθαι. (6) Λέγεται δὲ οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν διὰ τὴν μητέρα τραφεὶς ὀρφανὸς ὑπ' αὐτῇ καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. Καλούντων δὲ τῶν περὶ τὴν Ἰβηρίαν φίλων αὐτὸν ἐφ' ἡγε- b μονίᾳ, πυθόμενος τὴν τελευτὴν τῆς μητρός, ὀλίγον ἐδέησεν ὑπὸ λύπης προέσθαι τὸν βίον. Ἑπτὰ γὰρ ἡμέρας οὔτε σύνθημα δοὺς οὔτε ὀφθείς τινι τῶν φίλων ἔκειτο, καὶ μόλις οἱ συστράτηγοι καὶ ὁμότιμοι τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα τοῖς στρατιώταις ἐντυχεῖν καὶ τῶν πραγμάτων εὖ φερομένων ἀντιλαμβάνεσθαι. (7) Διὸ καὶ πολλοῖς ἔδοξεν ἥμερος ἀνὴρ φύσει γεγονὼς καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς δι' αἰτίας παρὰ γνώμην ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα φρουρὰν ἀναγκαίαν τοῦ σώματος c περιβάλλεσθαι τὸν πόλεμον.

XXIII. Ἦν δὲ καὶ τὰ πρὸς Μιθριδάτην αὐτοῦ πολιτεύματα μεγαλοφροσύνης. Ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ Σύλλαν σφάλματος ὁ Μιθριδάτης ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος αὖθις ἐπεχείρησε τῇ Ἀσίᾳ, μέγα δὲ ἤδη τὸ Σερτωρίου κλέος ἐφοίτα πανταχόσε καὶ τῶν περὶ αὐτοῦ λόγων ὥσπερ φορτίων ξενικῶν οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας ἀναπεπλήκεσαν τὸν Πόντον, ὥρμητο διαπρεσβεύεσθαι πρὸς αὐτὸν ἐπηρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις, οἳ τὸν μὲν Σερτώριον Ἀννίβᾳ, τὸν δὲ Μιθριδάτην Πύρρῳ παρεικάζοντες οὐκ ἂν d ἔφασαν Ῥωμαίους πρὸς τηλικαύτας ὁμοῦ φύσεις τε καὶ δυνάμεις ἐπιχειρουμένους διχόθεν ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. (2) Πέμπει δὴ πρέσβεις ὁ Μιθριδάτης εἰς Ἰβηρίαν γράμματα Σερτωρίῳ καὶ λόγους κομίζοντας, δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον, ὑπ' ἐκείνου δὲ ἠξίου τὴν Ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε Ῥωμαίοις κατὰ τὰς πρὸς Σύλλαν γενομένας συνθήκας. (3) Ἀθροίσαντος δὲ Σερτωρίου βουλήν, ἣν σύγκλητον ὠνόμαζε, e καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις καὶ ἀγαπᾶν κελευόντων (ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς ἀντὶ τούτων λαμβάνειν ὧν μάλιστα δεόμενοι τυγχάνουσιν), οὐκ ἠνέσχετο ὁ Σερτώριος, ἀλλὰ Βιθυνίαν μὲν ἔφη καὶ Καππαδοκίαν λαμβάνοντι Μιθριδάτῃ μὴ φθονεῖν, ἔθνη βασιλευόμενα καὶ μηδὲν προσήκοντα Ῥωμαίοις, ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ Ῥωμαίων κεκτημένων ἐπαρχίαν ἀφελόμενος

de summa eis potestate concessit, sed Romanos eis duces magistratusque præfecit, ut qui non illis vires contra Romanos adderet, sed eorum opera Romanos in libertatem assereret. (5) Miro enim patriæ amore tenebatur, reditumque in eam magnopere desiderabat. Atque ideo adversis rebus fortem se præbebat ac nunquam hostibus humilem se aut abjecti animi ostendebat. Quoties autem victoria potiretur, Metello et Pompeio missis legatis indicabat, se paratum esse arma deponere, redituque in patriam concesso, privatam vitam agere : malle enim se Romæ civium omnium obscurissimum, quam in exsilio omnium aliorum imperatorem creari. (6) Traditum est, haud minimam ei causam, cur tantopere patriam desideraret, matrem fuisse, a qua pupillus educatus ab ea totus pendebat. Nam et vocatus ab amicis in Hispania ad belli summam administrandam, quum de obitu matris cognovisset, parum abfuit quin præ mœrore vita defungeretur. Septem enim integros dies jacuit, ut neque militibus tesseram daret, neque ab ullo amicorum conspiceretur, difficulterque collegæ tentorio circumfusi ab eo impetraverunt, ut ad exercitum veniret, rebusque prospere succedentibus uteretur. (7) Qua de causa plerique eum virum placidi ingenii et ad pacem proclivis esse senserunt, ac qui coactus ob causas quasdam bellum administraret, impunitatemque non impetrans et ab inimicis ad arma compulsus, corporis sui defendendi causa necessarium bellum suscepisset.

XXIII. Jam quæ cum Mithridate egit, magnanimitatem ejus ipsa quoque testantur. Quippe a Sylla victus Mithridates, quum quasi ad secundam luctam resurgens, denuo Asiam invaderet, jamque Sertorii gloria late esset propagata sermonibusque de eo, tanquam mercibus peregrinis ii qui ab occidente navigabant Pontum implevissent, statuit cum eo per legatos agere, maxime adulatorum nugis incitatus, qui Sertorium Hannibali, Mithridatem Pyrrho conferentes, fieri non posse affirmabant, uti Romani tam graves quum duces tum copias, simul diversis ex partibus invadentes, sustinere possent, ubi præstantissimus imperator maximo regi se adjunxisset. (2) Misit itaque in Hispaniam ad Sertorium cum literis et mandatis legatos, promittens se naves ei et pecuniam ad bellum suppeditaturum, si Asiam (quæ fœdere cum Sylla icto Romanis cesserat) omnem ipsi decerneret. (3) Sertorius advocato (ita enim nominaverat) senatu, quum acciperent reliqui conditionem, in eaque acquiescendum dicerent (quippe quum pro literis et titulis inanibus ac de iis quæ in ipsorum potestate non essent rebus, ea offerrentur, quibus maxime tum opus haberet), nequaquam tulit hoc Sertorius : Bithyniam quidem et Cappadociam, quæ jam ante sub regibus fuissent, neque ad Romanos quicquam pertinerent, non invidere se Mithridati recuperanti dixit ; quam vero provinciam optimo jure a Romanis possessam iste invasisset, quam deinde

καὶ κατασχὼν πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ Φιμβρίου, σπενδόμενος δὲ πρὸς Σύλλαν ἀφῆκε, ταύτην οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην· δεῖν γὰρ αὔξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. Γενναίῳ γὰρ ἀνδρὶ μετὰ τοῦ καλοῦ νικᾶν αἱρετὸν, αἰσχρῶς δὲ οὐδὲ σώζεσθαι.

XXIV. Ταῦτα ἀπαγγελθέντα Μιθριδάτης διὰ θάμβους ἐποιεῖτο· καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους· 581 a «Τί δῆτα προστάξει Σερτώριος ἐν Παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι καὶ πειρωμένοις Ἀσίας ἀπειλεῖ πόλεμον;» οὐ μὴν ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, Καππαδοκίαν καὶ Βιθυνίαν ἔχειν Μιθριδάτην, Σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος, Σερτώριον δὲ παρὰ Μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα καὶ τεσσαράκοντα ναῦς. (2) Πέμπεται δὲ καὶ στρατηγὸς εἰς Ἀσίαν ὑπὸ Σερτωρίου τῶν ἀπὸ βουλῆς πεφευγότων πρὸς αὐτὸν Μάρκος Μάριος, ᾧ συνεξελὼν τινας πόλεις τῶν Ἀσιάδων ὁ Μιθριδάτης εἰσελαύνοντι μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς εἵπετο δευτέραν τάξιν καὶ σχῆμα θεραπεύοντος ἑκουσίως ἀνειληφώς. b (3) Ὁ δὲ τὰς μὲν ἠλευθέρου, ταῖς δὲ ἀτέλειαν γράφων χάριτι Σερτωρίου κατήγγελλεν, ὥστε τὴν Ἀσίαν αὖθις ἐνοχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν, βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκήνων, ἀναπτερωθῆναι πρὸς τὴν ἐλπίδα καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας.

XXV. Ἐν δ' Ἰβηρίᾳ τῶν περὶ Σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων, ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ ζῆλος ἀνόητος τῆς ἐκείνου δυνάμεως. (2) Ἐνῆγε δὲ Περπέννας δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ c πρὸς τὴν ἡγεμονίαν καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα τοῖς ἐπιτηδείοις· «Τίς ἄρα πονηρὸς ἡμᾶς ὑπολαβὼν ἐκ κακῶν εἰς χείρονα φέρει δαίμων, οἳ Σύλλᾳ μὲν ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης ποιεῖν τὸ προσταττόμενον οὐκ ἠξιοῦμεν οἴκοι μένοντες, δεῦρο δὲ φθαρέντες ὡς ἐλεύθεροι βιωσόμενοι δουλεύομεν ἑκουσίως τὴν Σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον ὑπὸ τῶν ἀκουόντων, σύγκλητος, ὄντες, ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους οὐχ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες;» (3) Τοιούτων ἀναπιμπλάμενοι λόγων οἱ πολλοὶ φανερῶς μὲν οὐκ ἀφίσταντο, d δεδοικότες αὐτοῦ τὴν δύναμιν, κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο καὶ τοὺς βαρβάρους ἐκάκουν κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. Ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. (4) Οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἐπιπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας, ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πρᾳότητος μεταβαλόντα περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δὲ e ἀποδόμενον.

pulsus a Fimbria, pace a Sylla accepta reddidisset, eam se f ab eo rursus occupari non concessurum; neque enim se cum detrimento patriæ vincere, sed victorem augere patriam velle. Generosi enim hominis esse honestis rationibus victoriam quærere, turpibus ne salutem quidem.

XXIV. Ad hæc responsa Mithridates obstupuit, ferturque dixisse : Quid tandem Sertorius in Palatio sedens jubebit, qui nunc ad Atlanticum usque rejectus mare fines nostro regno præscribit, Asiamque affectantibus bellum minatur? Ictum tamen est fœdus et juramento sancitum, ut Mithridates misso sibi a Sertorio duce et exercitu Cappadociam et Bithyniam obtineret, utque Sertorio tria millia talentorum et quadraginta naves præberet. (2) Missus est ad Mithridatem in Asiam M. Marius, unus ex senatoribus qui ad Sertorium confugerant. Cujus auxilio quum quasdam Asiæ urbes Mithridates cepisset, ingredientem cum fascibus et lictoribus posterior ipse clientis habitu studiose ascito secutus est. (3) Marius urbes alias liberas pronuntiavit, alias immunes, Sertorio id acceptum ferendum monens, effectumque eo est, ut Asia rursum a publicanis vexata, avaritiaque et fastu militum, qui ibi stativa habebant, gravata, animum ad bonam spem denuo erigeret, imperiique mutationem, quæ exspectabatur, optaret.

XXV. At vero in Hispania Sertoriani senatores atque collegæ, ut primum pares se hostibus vires nactos crediderunt, timore abjecto invidia æmulationeque Sertorianæ potentiæ correpti sunt. (2) Auctor fuit Perpenna, inani ob nobilitatem superbia principatum affectans. Is occulte improbos apud necessarios suos sermones spargebat. « Quis tandem, aiebat, malus nos genius ex malis ad deteriora transtulit? Nos Syllæ, cujus imperio totus propemodum terrarum orbis, totum mare suberat, imperata facere in patria nostra dedignati, hucque mala nostra fortuna profecti, ut libere viveremus, ultro servimus, Sertoriani exsilii stipatores et nomen quidem auditoribus ridiculum gerimus, Senatorum, injurias, imperia et labores cum Hispanis et Lusitanis eosdem toleramus! » (3) His plerique sermonibus imbuti, aperte non ausi deficere, quod Sertorii potentiam timerent, occulte rebus ipsius incommodarunt, Hispanosque gravibus suppliciis afficientes et pecuniam quasi a Sertorio jussi exigentes defectionibus et tumultibus per urbes Hispanicas occasionem præbuerunt. (4) Qui vero ad hæc sedanda et medenda mittebantur, ii pluribus conturbatis bellis et aucta barbarorum contumacia revertebantur. Quibus malis commotus Sertorius, clementiam suam pristinamque humanitatem deponens, facinus illud injustum in pueros, quos Oscæ ab eo educatos fuisse demonstravimus, perpetravit, aliis eorum necatis, aliis divenditis.

XXVI. Ὁ δ' οὖν Περπέννας πλείονας ἐνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν προσάγεται καὶ Μάλλιον, ἕνα τῶν ἐφ' ἡγεμονίας. Οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου καὶ φιλοφρονούμενος πρὸς αὐτὸ φράζει τὴν ἐπιβουλήν, κελεύων ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. Τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν Αὐφιδίῳ μᾶλλον προσπεπονθὸς ἐκφέρει τὸν λόγον. (2) Ἀκούσας δὲ ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γρα- f κῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου διαταραχθείς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν ὡς κενοῦ καὶ ἀλαζόνος, αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευθεὶς καὶ φράσας τὴν ὀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον ἐκέλευσεν ἐπιχειρεῖν. (3) Οἱ δὲ ἐπείθοντο καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα
582 κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. Ἐδήλου δὲ τὰ a γράμματα νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν καὶ φόνον πολὺν τῶν πολεμίων. Ἐφ' οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δὲ ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο καὶ πολλὰ λιπαρήσας ἔπεισεν ἐλθεῖν. (4) Ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾶν τι τῶν αἰσχρῶν οὔτε ἀκούειν ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύναις ἐθίζοντος· τότε δέ, τοῦ πότου μεσοῦντος, ἀρχὴν ἀψιμαχίας ζητοῦντες ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον ὡς παροξυνοῦντες ἐκεῖνον. (5) Ὁ δὲ b εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν εἴτε τὴν διάνοιαν αὐτῶν τῇ θρασύτητι τῆς λαλιᾶς καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας ὕπτιον ἀνεὶς ἑαυτόν, ὡς οὔτε προσέχων οὔτε κατακούων. (6) Ἐπεὶ δὲ ὁ Περπέννας φιάλην τινὰ λαβὼν ἀκράτου καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερκατακείμενος παίει τῷ ξίφει τὸν Σερτώριον. Ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξανισταμένου, περιπεσὼν εἰς τὸ στῆθος κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥστε μηδὲ ἀμυνόμενον πολλῶν παιόντων ἀποθανεῖν. c

XXVII. Οἱ μὲν οὖν πλεῖστοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήιον καὶ Μέτελλον· τοὺς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. Χρησάμενος δὲ ταῖς Σερτωρίου παρασκευαῖς ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτε ἄρχειν μήτε ἄρχεσθαι πεφυκώς, Πομπηίῳ προσέβαλε· καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτοῦ καὶ γενόμενος αἰχμάλωτος οὐδὲ τὴν ἐσχάτην ὑπέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίου γραμμάτων κύριος γεγονὼς ὑπισχνεῖτο Πομπηίῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιστον ἐν Ῥώμῃ δυνα- d

XXVI. Perpenna quum jam multos in cædem Sertorii conjuratos haberet, Mallium quoque sibi ascivit, unum ex ducibus. Is quum puerum quendam deperiret, ei blandiens insidias detexit, hortatusque est ut spretis reliquis amatoribus sibi soli deditus esset, quippe intra paucos dies ad magnam potentiam perventuro. Puer alii ex amatoribus Aufidio, qui sibi carior erat, eum sermonem aperuit. (2) Aufidius perterritus, eo quod consors ejus in Sertorium conspirationis, Mallium tamen ejus socium esse ignoraret, quum Perpennam præterea, Græcinum aliosque ipsi notos conjurationis socios proferret adolescens, perturbatus, verbis apud eum sermones istos elevavit, Malliumque uti nihili faceret, inanem jactatorem, monuit; ipse Perpennam adiit, ostendensque quantum in mora periculi foret, aggredi facinus jussit. (3) Obtemperatum est ei, submissusque ideo ad Sertorium homo, qui litteras afferret, victoriam unius legatorum ejus multamque hostium cædem nuntiantes. Perfusum ea de re gaudio Sertorium et ob tam lætum nuncium hostiam immolantem, Perpenna cumque eo reliquos amicos præsentes (ii omnes conjurati erant) ad convivium invitat, multisque tandem uti condiceret cœnam persuadet. (4) Antehac ubicumque in cœna Sertorius fuisset, summa verecundia et modestia adhiberi consueverant (adeo enim neque aspicere neque audire turpe quicquam sustinebat, ut convivas quoque assuefecerit compositis et liberalibus uti jocis atque confabulationibus); tunc vero in medio potu conjurati rixæ ansam quærentes, palam obscœnis utebatur sermonibus, multique, ut ipsum irritarent, simulantes ebrietatem libidinose faciebant. (5) Sertorius, seu immodestiæ eorum succensens, seu ex sermonis petulantia insolentique sui contemptu institutum eorum conjiciens, discumbendi modo mutato, supinum sese inclinavit, ut qui neque adverteret animum eorum dictis, neque audiret. (6) Ut Perpenna pateram mero plenam sustulit, interque bibendum ex manibus ea dimissa strepitum (quod erat manus inferendi signum) edidit, Antonius supra accumbens Sertorium gladio feriit: quumque is ad ictum se obverteret simulque assurgeret, in pectus incidens, utramque ejus manum comprehendit. Ita Sertorius ne defendendi quidem corporis sui locum nactus, multorum vulneribus obtruncatus est.

XXVII. Eo facto plerique Hispanorum extemplo discesserunt, petitaque per caduceatores pace, Pompeio et Metello se dediderunt. Qui in castris manserant, eos ad se Perpenna recepit, reique aliquid gerere aggressus, Sertorianum apparatum dedecorans tantum ostendensque se neque ad parendum neque ad imperandum idoneum, cum Pompeio conflixit. A quo quum statim obtritus captusque esset, ne supremam quidem fortunam ita ut duci conveniebat, sustinuit, sed quia Sertorii literarum scrinia nactus fuerat, promisit Pompeio, se consularium et potentissimo-

μένων αὐτογράφους ἐπιστολὰς καλούντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι καὶ μεταβαλεῖν τὴν πολιτείαν. (2) Ἔργον οὖν ὁ Πομπήιος οὐ νέας φρενὸς, ἀλλ' εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. Τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας καὶ τὰ γράμματα τοῦ Σερτωρίου συναγαγὼν ἅπαντα κατέκαυσεν οὔτε ἀναγνοὺς οὔτε ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλε, φοβηθεὶς μὴ, τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀποστάσεις καὶ ταραχαὶ γένωνται. (3) Τῶν δὲ τῷ Περ- e πέννᾳ συνομοσαμένων οἱ μὲν ἐπὶ Πομπήιον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. Διέφυγε δ' οὐδεὶς πλὴν Αὐφίδιος ὁ τοῦ Μαλλίου ἀντεραστής· οὗτος δὲ ἢ λαθὼν ἢ παραμεληθεὶς ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν.

rum Romæ virorum epistolas ipsorum manu scriptas ostensurum, qui Sertorium in Italiam evocassent, nimirum multis res novas et immutationem reipublicæ expetentibus. (2) Ceterum Pompeius non juvenilis, sed gravis admodum prudentisque animi facinus edidit, eoque Romam magnis terroribus et tumultibus liberavit. Nam epistolas Sertorii in unum congestas quum neque ipse legisset, neque legere quenquam passus fuisset, cremavit; ipsum quoque Perpennam statim interfecit, ne nominibus ad alios emanantibus, defectiones turbæque existerent. (3) Qui Perpennæ conjurationis socii fuerant, partim ad Pompeium pertracti et necati, partim in Africam fugientes, ibi a Mauritanis jaculis confixi sunt. Neque præter Aufidium Mallii rivalem quisquam necem effugit : solus is sive latens, sive neglectus in quodam barbarico pago pauper omnibusque exosus consenuit.

ΕΥΜΕΝΗΣ.

583 Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν γενέσθαι, b τραφῆναι δὲ ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ Φίλιππον παρεπιδημοῦντα καὶ σχολὴν ἄγοντα τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων καὶ παλαίσματα παίδων, ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. (2) Δοκοῦσι δὲ εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι. (3) Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν οὔτε συνέσει τινὸς οὔτε πίστει λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον ἐκαλεῖτο μὲν ἀρχιγραμματεὺς, τι- c μῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας ἀποθανόντος Ἡφαιστίωνος εἰς τὴν ἐκείνου προῆλθε τάξιν. (4) Διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμένης δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμένη καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. (5) Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ d Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.

II. Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ καὶ παρεκινδύνευσε δι' Ἡφαιστίωνα. Πρῶτον μὲν γὰρ Εὐίῳ τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰ-

EUMENES.

Duris auctor est Eumenem patria Cardianum paupere natum fuisse parente, qui se vehiculo meritorio in Chersoneso aluerit, liberaliter tamen in literis et palæstra a puero institutum; Philippum autem quum forte Cardiam venisset ac per otium Cardianorum puerorum adolescentumque exercitationes et luctas inspexisset, Eumenem, quod is puer etiamnum iis in rebus præstaret, animoque perspicaci et forti præditus videretur, probavisse secumque abduxisse. (2) Probabilior vero esse videtur eorum sermo, qui ob hospitium et amicitiam paternam Eumenem dicunt a Philippo evectum. (3) Mortuo Philippo Eumenes, quum neque prudentia neque fide cuiquam cedere videretur ex omnibus circa Alexandrum, scriba quidem regius dictus est, in eo autem habitus honore, quo summi amici familiaresque regis; nam et imperator cum exercitu est in Indiam missus, et in Perdiccæ præfecturam equitatus, quum is mortuo Hephæstioni sufficeretur, successit. (4) Itaque et Neoptolemus stipatorum dux a Macedonibus irrisus fuit, quum post Alexandri mortem diceret se cum hasta et scuto, Eumenem cum stylo et pugillaribus secutum fuisse; norant enim Eumenem quum aliis rebus, tum conjugii etiam affinitate ab Alexandro honoratum. (5) Quum enim primam Asiaticarum mulierum Barsinen Artabazi cognovisset, ex qua et Herculem filium habuit, sorores ejus mulieris Apamam Ptolemæo, Eumeni Barsinam nuptum dedit, quo tempore reliquas etiam Persicas feminas sociis suis collocavit.

II. Verumtamen sæpe offendit Alexandrum Eumenes et discrimen adivit propter Hephæstionem. Primum quum Hephæstio tibicini cuidam Evio domum attribuisset, quam

κίαν κατανείμαντος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμένει προκατειληφότες, ἐλθὼν ὑπ' ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμένης ἐβόα μετὰ Μέντορος, ὡς αὐλεῖν εἴη e κράτιστον ἢ τραγῳδεῖν τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν, ὥστε Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. Ταχὺ μέντοι μεταπεσὼν αὖθις εἶχε τὸν Εὐμένη δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν ἢ παῤῥησίᾳ πρὸς Ἡφαιστίωνα χρησάμενον. (2) Ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. Τοῦ δ' Εὐμένους αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέχθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν ἐγκαλέσας οὐδὲ δεξάμενος ἐκέ- f λευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμένους πῦρ ἐνεῖναι, βουλόμενος ἐκκομιζομένων τῶν χρημάτων λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. (3) Ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων ὁ Ἀλέξανδρος. Τὸ δὲ συγχυθὲν χρυσίον ἢ ἀργύριον ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον ἢ χιλίων ταλάντων. Ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν 584 διαφθαρμένων ἀποστέλλειν πάντα παραλαμβάνειν ἐκέλευσε a τὸν Εὐμένη. (4) Πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δὲ εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔσχε· μετ' ὀλίγον δὲ τελευτήσαντος Ἡφαιστίωνος περιπαθῶν ὁ βασιλεὺς καὶ πᾶσιν, οὓς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὢν, μάλιστα τὸν Εὐμένη δι' ὑποψίας εἶχε καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. (5) Ὁ δὲ πανοῦργος ὢν καὶ πιθανὸς ἐπεχείρησεν οἷς ἀπώλλυτο σώζειν ἑαυτόν. Κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν ὑφηγούμενός τε τιμὰς, αἳ μάλιστα κοσμεῖν b ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.

III. Ἀποθανόντος δ' Ἀλεξάνδρου καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμένης, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον ξένῳ ὄντι, πολυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. (2) Καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. (3) Ἐπεὶ δὲ ἀναμιχθέντες ἀλλήλοις c οἱ στρατηγοὶ καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν καὶ τὴν ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ μέχρι Τραπεζοῦντος οὔπω τότε Μακεδόνων οὖσαν, Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν, ἀλλ' ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμένη κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην. (4) Ἀντίγονος μὲν οὖν οὐ προσέσχε τοῖς

famuli Eumenis hero suo occupaverant, iratus cum Mentore ad Alexandrum accessit Eumenes, clamitans, nihil præstare quam projectis armis tibiis canere et tragœdias agere, ita ut Alexander etiam indigna passum eum crederet et Hephæstionem objurgaret; mox tamen mutato animo Eumeni succensuit, magis ab eo se contumelia affectum, quam libere accusatum Hephæstionem ducens. (2) Deinde Nearchum cum navibus ad Oceanum mittens, quum suo in ærario nihil haberet, pecuniam ab amicis exigens, ab Eumene trecenta talenta petiit; qui quum nonnisi centum daret eaque tarde, ægre et difficulter hæc ipsa se per procuratores suos coegisse dicens, nihil eum incusavit quidem rex, neque accepit pecuniam, sed famulos occulte ignem tentorio Eumenis injicere jussit, cupiens dum pecunia exportaretur, eum mendacii in ipsa re arguere. (3) Verum celerius opinione tentorium combustum, pœnituitque Alexandrum, quod litteræ simul essent consumptæ. Aurum quidem et argentum incendio confusum supra mille talenta appendisse deprehensum est. Neque de his quicquam accepit rex, sed ad satrapas et præfectos in omnes partes dimissis nunciis, crematorum libellorum exemplaria repetiit, eaque omnia Eumeni custodienda tradidit. (4) Rursus quum doni cujusdam causa in contentionem cum Hephæstione venisset multaque male dixisset, multa male audivisset, tum quidem non inferior discessit, sed mox eo mortuo, quum rex graviter dolens, omnibus iis, quos vel invidisse viventi vel gaudere mortuum putaret, difficilem se asperumque præberet; maxime omnium suspectus Eumenes ab eo est habitus, sæpenumero rixam istam conviciaque ei exprobrante. (5) At ille callidus et ad persuadendum aptus, ut salutem inde sibi pararet, unde exitium imminebat, ad Alexandri in Hephæstionem studium et gratiam confugit, ostendens quibus maxime rebus defunctum cohonestari posset et impensas ad id large et liberaliter præbens.

III. Mortuo Alexandro, orto inter regis socios et phalangem dissidio, animo quidem Eumenes illis se adjunxit, verbis autem privatum se et utriusque partis studiosum simulavit, ac qui ad se, nimirum alienigenam, nihil pertinere Macedonum controversias duceret. (2) Reliquisque ducibus Babylone digressis, ibi relictus multos militum placavit et ad pacem procliviores reddidit. (3) Congressis autem inter se ducibus compositisque tumultibus, instituta satrapiarum et provinciarum divisione, Eumeni Cappadocia et Paphlagonia Euxino mari subjecta usque ad Trapezuntem obtigit. Verum hæc nondum Macedonum propria, Ariarathem habebat regem, constitutumque erat uti Leonnatus et Antigonus cum magnis copiis eum deducerent, satrapamque ejus provinciæ declararent. (4) Sed Antigonus iis quæ erant

γραφεῖσιν ὑπὸ Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων, Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς d Φρυγίαν ἀναδεξόμενος Εὐμένει τὴν στρατείαν, Ἑκαταίου δὲ τοῦ Καρδιανῶν τυράννου συμμίξαντος αὐτῷ καὶ δεομένου βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαίνειν καὶ τὸν Εὐμένη παρεκάλει καὶ διήλλαττε πρὸς Ἑκαταῖον. (5) Ἦν γὰρ αὐτοῖς πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ πολλάκις ὁ Εὐμένης ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ Ἑκαταίου τυραννοῦντος καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. (6) Διὸ καὶ τότε τοῦ Εὐμένους παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως e Ἑκαταίῳ χαριζόμενος καὶ πάλαι μισῶν αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος οὐδὲν ὧν ἐφρόνει πρὸς αὐτὸν ἀπεκρύψατο. (7) Λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας· καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν ὡς γαμησομένης. (8) Ὁ δ' Εὐμένης, εἴτε τὸν Ἀντίπατρον δεδοικὼς εἴτε τὸν Λεοννάτον ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας, ἀπογνοὺς νύκτωρ ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. Εἶχε δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους, ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον f τάλαντα πεντακισχίλια. (9) Φυγὼν δὲ οὕτως πρὸς Περδίκκαν καὶ τὰ Λεοννάτου βουλεύματα κατειπὼν εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ καὶ τοῦ συνεδρίου μετεῖχεν, ὀλίγον δὲ ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ 585 στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου a καὶ τῆς χώρας ὑποχειρίου γενομένης ἀποδείκνυται σατράπης. (10) Καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε καὶ φρουράρχους ἐγκατέστησε καὶ δικαστὰς ἀπέλιπε καὶ διοικητάς, οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος, αὐτὸς δὲ συνανέζευξεν ἐκεῖνόν τε θεραπεύων καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.

IV. Οὐ μὴν ἀλλ' ὁ Περδίκκας ἐφ' ἃ μὲν ὥρμητο πιστεύων δι' αὐτοῦ προσάξεσθαι, τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμένη, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον Ἀρμενίαν τεταραγμένην ὑπὸ Νεοπτολέμου διὰ χειρὸς ἕξοντα. (2) b Τοῦτον μὲν οὖν ὁ Εὐμένης, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὑρών, ὥσπερ ἀντίταγμα παρεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν ὠνητοὺς διανέμων ἵππους φιλοτιμίαις τε καὶ δωρεαῖς τὰ φρονήματα παροξύνων καὶ τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν, ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ

a Perdicca constituta, non obtemperavit, jam animo ad majores res elatus, cunctosque spernens; Leonnatus vero, suscepta in Eumenis gratiam expeditione, in Phrygiam descendit. Sed quum Hecatæus Cardianorum tyrannus cum illo congressus oraret ut Antipatro potius Macedonibusque Lamiæ obsessis, opem ferret, Leonnatus in Europam transire statuit; Eumenem quoque ad idem hortatus est et cum Hecatæo in gratiam reduxit. (5) Etenim ob civiles in patria contentiones simultas iis suberat, et sæpe palam Eumenes Hecatæum accusaverat, Alexandrumque ad restituendam Cardianis libertatem hortatus fuerat. (6) Ea de causa tunc quoque Eumeni militiam contra Græcos detrectanti et Antipatrum metuere dicenti ne ab eo in gratiam Hecatæi, præsertim jam olim odio habitus, necaretur, fidem habuit Leonnatus, nihilque eorum quæ sentiebat dissimulavit. (7) Erat enim prætextus tantum ea auxilii latio; statuerat autem, quum primum in Europam advenisset, Macedoniam sibi vindicare ostendebatque nonnullas Cleopatræ epistolas, spe nuptiarum proposita Pellam eum evocantis. (8) At Eumenes, sive Antipatrum timens, sive Leonnato ob levitatem et consilii inconstantiam ac temeritatem parum fidens, noctu assumptis suis impedimentis abiit. Habebat autem trecentos equites et ex famulis ducentos qui arma ferrent, auri tantum, quantum argenti quinquies mille talenta efficeret. (9) Cum hoc apparatu ad Perdiccam profugit et ei Leonnati consilia detexit, statimque apud illum potuit plurimum, estque inter consiliarios receptus. Paulo post in Cappadociam deductus, Perdicca cum copiis præsente et bellum gerente, captoque Ariarathe et subacta provincia, satrapa ejus constitutus est. (10) Proinde urbibus ejus provinciæ amicorum suorum procurationi mandatis, præsidiis præfectisque et judicibus administrisque, quos volebat, relictis, nusquam Perdicca quicquam de iis rebus sollicito, una cum eo abiit, quod et coleret ipsum, et ab aula abesse nollet.

IV. Verum Perdiccas ea quæ animo agitaret confidens se absque alterius opera perficere posse, quæ vero post se reliquisset, ea fido et strenuo indigere custode, Eumenem ex Cilicia dimisit, eo quidem nomine, uti propriam satrapiam gubernaret, re ipsa vero ut finitimam Armeniam a Neoptolemo perturbatam componeret. (2) Hunc etsi inani fastu corruptum, colloquiis tamen statuit in viam reducere Eumenes; sed quum Macedonicam phalangem tumere et ferocire animadverteret, equitatum sibi comparavit, quem ei opponeret. Ejus rei causa Cappadoces, quicumque equites essent, immunes tributi esse permisit; suis, quibus fidebat maxime, emptos a se equos divisit, utque largitionibus atque muneribus animos suorum excitavit, ita corpora exercitationibus et disciplina hunc in modum formavit, uti Macedonibus adversariis admi ationi esset, suis fiduciam

θαῤῥῆσαι τῶν Μακεδόνων ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ c αὐτὸν ἠθροισμένους ἱππεῖς οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

V. Ἐπεὶ δὲ Κράτερος καὶ Ἀντίπατρος τῶν Ἑλλήνων περιγενόμενοι διέβαινον εἰς Ἀσίαν τὴν Περδίκκου καταλύσοντες ἀρχὴν καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων ἀπέδειξε τὸν Εὐμένη τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν· καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμένει προσέχειν κελεύσας, Εὐμένη δὲ χρῆσθαι τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνω- d κεν. (2) Ἀλκέτας μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι, Κράτερον δὲ καὶ δέχεσθαι δι' εὔνοιαν ἑτοίμων ὄντων· Νεοπτόλεμος δὲ βουλεύων μὲν ἐπ' Εὐμένει προδοσίαν οὐκ ἔλαθε, καλούμενος δὲ οὐχ ὑπήκουσεν, ἀλλὰ παρέταττε τὴν δύναμιν. (3) Ἔνθα πρῶτον ὁ Εὐμένης ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς· ἡττώμενος γὰρ ἤδη κατὰ τὸ πεζὸν ἐτρέψατο τοῖς ἱππεῦσι τὸν Νεοπτόλεμον καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ καὶ τῇ φάλαγγι διεσπαρμένῃ περὶ τὴν δίωξιν ἀθρόους ἐπελάσας ἠνάγκασε τὰ ὅπλα e θέσθαι καὶ λαβόντας ὅρκους αὐτῷ συστρατεύειν. Ὁ μὲν οὖν Νεοπτόλεμος ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς ἔφυγε πρὸς Κράτερον καὶ Ἀντίπατρον. (4) Παρ' ἐκείνων δὲ ἀπέσταλτο πρεσβεία πρὸς Εὐμένη παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτούς, καρπούμενον μὲν ὅσας εἶχε σατραπείας, προσλαβόντα δὲ στρατιὰν καὶ χώραν παρ' αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ' ἐχθροῦ φίλον γενόμενον, Κρατέρῳ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. (5) Ταῦτα ὁ Εὐμένης ἀκούσας Ἀντιπάτρῳ μὲν οὐκ ἂν ἔφη παλαιὸς ὢν ἐχθρὸς νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον, Κράτερον δὲ Περδίκκᾳ διαλλάττειν ἕτοιμος εἶναι καὶ συνά- f γειν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις, ἄρχοντος δὲ πλεονεξίας τῷ ἀδικουμένῳ βοηθήσειν, μέχρις ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον ἢ τὴν πίστιν προήσεσθαι.

VI. Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον πυθόμενοι ταῦτα κατὰ σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων· ὁ Νεο- 586 πτόλεμος δὲ μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς a τήν τε μάχην ἀπήγγελλε καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους, πάντως δὲ Κράτερον· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἥξειν φερομένους. (2) Καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατέρου μέγα, καὶ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοί, μνημονεύοντες ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλάς, ὑποφερομένου πρὸς τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος καὶ τοῖς πατρίοις ἀμύνων διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις. (3) Τότε δ' οὖν ὁ Κράτερος τὸν μὲν Ἀντίπατρον εἰς Κιλικίαν ἀπέ- b στειλεν, αὐτὸς δὲ τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος

augeret, quum brevi tempore equites sexies mille et trecentis non pauciores collegisset.

V. Ut Craterus et Antipater, Græcis superatis, in Asiam ad Perdiccæ regnum evertendum trajecerunt, jamque in Cappadociam invasuri esse audiebantur, Perdiccas bellum ipse contra Ptolemæum gerens, Eumenem copiarum, quæ in Armenia et Cappadocia erant, imperatorem constituit, summamque ei rerum mandavit, missis ad Alcetam et Neoptolemum epistolis, quibus eos parere Eumeni, eum suo arbitratu res gerere jubebat. (2) Et Alcetas quidem aperte munus belli administrandi recusavit, quod Macedones, quos sub se habebat, Antipatri verecundia ducti pugnam detrectarent, Cratero autem ita bene vellent, ut etiam de recipiendo eo cogitarent; Neoptolemus autem proditionem contra Eumenem moliens, non fefellit, vocatusque ab eo, non obtemperavit, sed aciem contra eum instruxit. (3) Hic primum prudentiæ suæ in comparando equitatu fructum sensit Eumenes; quum enim jam pedestri conflictu superaretur, equitibus immissis Neoptolemum fudit, impedimenta ejus cepit, phalangemque in persequendo hoste dissipatam adortus omni equitatu, arma deponere coegit adegitque sacramento ut se ducem sequerentur. Neoptolemus cum paucis quibusdam ex fuga collectis ad Craterum et Antipatrum effugit. (4) Hi missis legatis Eumenem monuerant, ut se cum ipsis conjungeret, habiturus non modo suas satrapias, sed ab ipsis quoque imperium et ditionem accepturus, Antipatro ex inimico amicus futurus, neque amicitiam Crateri cum hostili odio commutaturus. (5) Responderat ad hæc Eumenes, non profecto se, cui diuturnæ cum Antipatro fuissent inimicitiæ, hoc tempore amicum ejus futurum, quum videat eum amicos hostiliter tractare; libenter autem Craterum Perdiccæ justis et æquis conditionibus conciliaturum, eique uter prior injuriam passus fuisset, contra inferentem auxilio futurum, quatenus vita suppeditaret, priusque vitam quam fidem abjecturum.

VI. Hæc quum ad Antipatrum relata essent, per otium de summa rerum consilia agitabant; quum Neoptolemus a fuga ad eos perveniens, exposita pugna, hortatus est ad ferendam opem utrumque, præsertim tamen Craterum; quem ita desiderari a Macedonibus affirmabat, ut simul atque causiam ejus conspexissent et vocem audivissent, cum armis ad ipsum transituros certo se scire assever aret. (2) Et erat profecto magnum Crateri nomen mortuoque Alexandro plerique animis ad eum inclinabant, memoria recolentes quod sæpe propter Macedones in offensas ipsius Alexandri incurrisset, inhibens eum jam ad Persicos mores vergentem, patriasque consuetudines, quas ille jam tum præ fastu et luxu contaminabat, asserens. (3) Proinde Craterus misso in Ciliciam Antipatro, magna cum parte

ἐπὶ τὸν Εὐμένη μετὰ τοῦ Νεοπτολέμου προσῆγεν, οἰόμενος οὐ προσδεχομένῳ καὶ μετὰ πρόσφατον νίκην ἐν ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν ἐπιπεσεῖσθαι. (4) Τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμένη καὶ προπαρασκευάσασθαι νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν ἄκρας θείη δεινότητος· τὸ δὲ μὴ μόνον τοὺς πολεμίους ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους ἀγνοοῦντας ᾧ μαχοῦνται προενσεῖσαι τῷ Κρατέρῳ καὶ ἀποκρύψαι τὸν c ἀντιστράτηγον, ἴδιον δοκεῖ τούτου τοῦ ἡγεμόνος ἔργον γενέσθαι. Διέδωκε μὲν οὖν λόγον, ὡς Νεοπτόλεμος αὖθις ἐπίοι καὶ Πίγρης ἔχοντες ἱππεῖς καὶ Καππαδοκῶν καὶ Παφλαγόνων. (5) Νυκτὸς δὲ ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν ὄψιν εἶδεν ἀλλόκοτον. Ἐδόκει γὰρ ὁρᾶν Ἀλεξάνδρους δύο παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος, εἶτα τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ τὴν Δήμητραν βοηθοῦσαν ἐλθεῖν· γενομένου δὲ ἀγῶνος ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς, τῷ δὲ νικῶντι σταχύων δρεπομένην τὴν Δήμητραν συμπλέκειν στέφανον. (6) Αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν εἶναι πρὸς αὐτοῦ μαχομένου περὶ γῆς d ἀρίστης καὶ τότε πολὺν καὶ καλὸν ἐχούσης ἐν κάλυκι στάχυν· ἅπασα γὰρ κατέσπαρτο καὶ παρεῖχεν εἰρήνῃ πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων· μᾶλλον δὲ ἐπεῤῥώσθη πυθόμενος σύνθημα τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητραν δὴ καὶ αὐτὸς ἐδίδου σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί τε πάντας ἐκέλευε καὶ καταστέφειν τὰ ὅπλα τῶν σταχύων λαμβάνοντας. (7) Ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὐτῷ θέμενος ἀποκρύψαι καὶ κατασχεῖν ἀπόῤῥητον οὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς καὶ διεπίστευσε τῇ γνώμῃ e τὸν κίνδυνον.

VII. Ἀντέταξε δὲ Κρατέρῳ Μακεδόνων μὲν οὐδένα, δύο δὲ ἱππαρχίας ξενικάς, ὧν Φαρνάβαζος ὁ Ἀρταβάζου καὶ Φοῖνιξ ὁ Τενέδιος ἡγοῦντο, διακελευσάμενος ὀφθέντων τῶν πολεμίων ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι μὴ διδόντας ἀναστροφὴν μηδὲ φωνὴν μηδὲ κήρυκα πεμπόμενον προσιεμένους. Ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς Μακεδόνας, μὴ γνωρίσαντες τὸν Κράτερον οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον. (2) Αὐτὸς δὲ τοὺς ἐῤῥωμενεστάτους ἱππεῖς τριακοσίους εἰς ἄγημα συντάξας καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν ἔμελλε τοῖς περὶ Νεο- f πτόλεμον ἐπιχειρεῖν. Ὡς δὲ τὸν ἐν μέσῳ λόφον ὑπερβαλόντες ὤφθησαν ὀξεῖαν καὶ μεθ' ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κράτερος καὶ πολλὰ λοιδορήσας τὸν Νεοπτόλεμον, ὡς ἐξηπατημένος ὑπ' αὐ-
587 τοῦ περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος a
ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν ἀντεξήλασε. (3) Γενομένης δὲ τῆς πρώτης συῤῥάξεως βαρείας καὶ τῶν δοράτων ταχὺ συντριβέντων, τοῦ δὲ ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄντος, οὐ καταισχύνας ὁ Κράτερος τὸν Ἀλέξανδρον, ἀλλὰ πολλοὺς μὲν καταβαλών, πολλάκις δὲ τρεψάμενος

copiarum et Neoptolemo contra Eumenem abiit, sperans eum nihil exspectare, et victoria recenti elatum, incompositos crapulæque vacantes milites habentem, facile opprimi posse. (4) Quod præsensit adventum ejus Eumenes, seque paravit, sobrii quidem fuit ducis, non summæ tantum peritiæ : quod autem non modo ea celare potuit hostes, quæ sibi nocitura videbantur, sed milites etiam suos ignaros contra quem pugnarent Cratero immisit et ducem adversarium occultavit, singularis videtur hujus imperatoris ars fuisse. Etenim rumorem sparserat, Neoptolemum cum Pigrete et equitatu Paphlagonum et Cappadocum reverti. (5) Noctu quum castra movere vellet, obdormivit et insomnium vidit mirabile. Duos enim vidit Alexandros ad pugnam inter se conserendam instruentes aciem atque singulas utrumque ducere phalanges, alteri Minerva, alteri Cerere auxilio veniente; prœlioque facto acri, victum cum Minerva Alexandrum, victori Cererem ex demessis spicis coronam contexere. (6) Statim conjicere cœpit, sibi victoriam portendi; pugnabat enim pro fertilissimis agris, jamque multas et egregias in folliculis spicas habentibus : erat enim tota circum regio consita, pacisque speciem undique aristis vestita præbebat. Confirmavit hanc opinionem et hoc, quod tesseram hostium Alexandrum esse et Minervam audiebat. Itaque ipse suis Alexandrum cum Cerere tesseram dedit, omnesque se armaque sua redimire spicis jussit. (7) Sæpe autem ducibus suis quum statuisset indicare, pugnam contra Craterum faciendam esse, ne solus tam gravis et arcanæ rei conscius esset, tamen continuit se consiliumque suum secutus est, eique se in præsenti periculo credidit.

VII. Cratero neminem Macedonum, sed equitum peregrinorum alas duas opposuit, sub Pharnabazo Artabazi filio et Phœnice Tenedio; his mandavit ut, quum primum conspexissent hostem, celeriter occurrerent et prœlium committerent, neque ullam moram interponerent, neve ullam vocem aut præconem admitterent. Magnopere enim metuebat ne Cratero agnito Macedones a se ad eum transirent. (2) Ipse in agema trecentorum equitum, quos fortissimos habebat, coacto, in dextrum latus concessit, in Neoptolemum pugnaturus. Postquam Eumenis exercitum, superato qui medius erat colle, Craterus conspexit magno atque acri cum impetu contra se venire, obstupuit, Neoptolemoque multis factis conviciis, qui ipsum in falsam de transitione Macedonum spem adduxisset, cohortatus suos, ut fortes se strenuosque præberent, hosti occurrit. (3) Acris ab initio fuit conflictus, statimque hastis perfractis ad gladios res devenit; ibi Craterus quum dignum se amicitia Alexandri Magni ostendisset, multos hostium dejecisset, sæpe adversos re-

τοὺς ἀντιτεταγμένους, τέλος δὲ πληγεὶς ὑπὸ Θρᾳκὸς ἐκ πλαγίων προσελάσαντος ἀπεῤῥύη τοῦ ἵππου. Πεσόντα δὲ αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοοῦντες, Γοργίας δὲ τῶν Εὐμένους στρατηγῶν ἔγνω τε καὶ καταβὰς περιέστησε φρουρὰν τῷ σώματι κακῶς ἤδη διακειμένου καὶ δυσθανατοῦντος. (4) Ἐν τούτῳ δὲ καὶ Νεοπτόλεμος Εὐμένει συνήρχετο· μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ b δι' ὀργῆς ἔχοντες ἐν μὲν δυσὶν ἀναστροφαῖς οὐ κατεῖδον, ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. (5) Τῶν δ' ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόντων, ὥσπερ τριήρων, τὰς ἡνίας ἀφέντες ἀλλήλων ἐπεδράξαντο ταῖς χερσὶ τά τε κράνη περισπῶντες καὶ περιῤῥηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. Πρὸς δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων, ἀποῤῥυέντες εἰς γῆν καὶ περιπεσόντες ἀλλήλοις ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. (6) Εἶτα ὁ μὲν Εὐμένης τοῦ Νεοπτολέμου προεξανισταμένου τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταστῆναι, ὁ δὲ c Νεοπτόλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος, ἠμύνετο μὲν εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων, πληγεὶς δὲ παρὰ τὸν τράχηλον ἔπεσε καὶ παρείθη. (7) Τοῦ δὲ Εὐμένους δι' ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα περισπῶντος αὐτοῦ καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας ᾗ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς. Ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν ἢ ἔβλαψε τὸν Εὐμένη δι' ἀσθένειαν ἀμυδρὰ γενομένη. (8) Σκυλεύσας δὲ τὸν νεκρὸν εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων μηροὺς καὶ d βραχίονας διακεκομμένος, ὅμως δ' ἀναβληθεὶς ἐπὶ τὸν ἵππον ἐδίωκε πρὸς θάτερον κέρας, ὡς ἔτι συνεστώτων τῶν πολεμίων. (9) Πυθόμενος δὲ τὴν Κρατέρου τελευτὴν καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα, καταβὰς ἀπεδάκρυσε καὶ τὴν δεξιὰν ἐνέβαλε, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον, πολλὰ δὲ ἐκεῖνον μὲν ᾠκτίσατο τῆς τύχης, αὐτὸν δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει ταῦτα πεισόμενος ἢ δράσων συνηνέχθη.

VIII. Ταύτην τὴν μάχην Εὐμένης ἡμέραις δέκα e σχεδόν τι μετὰ τὴν προτέραν ἐνίκησε· καὶ δόξῃ μὲν ἤρθη μέγας ἀπ' αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δὲ ἀνδρείᾳ κατειργασμένος, φθόνον δὲ πολὺν ἔσχε καὶ μῖσος ὁμαλῶς παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶ τῶν Μακεδόνων τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. (2) Ἀλλ' εἰ μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατέρου τελευτήν, οὐκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ δὲ ἀνῃρημένου Περδίκκου κατὰ στάσιν ἐν Αἰγύπτῳ δυσὶν ἡμέραις πρότερον, ἧκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος f εἰς τὸ στρατόπεδον, καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον τοῦ Εὐμένους κατέγνωσαν. Ἀπεδείχθη δὲ τοῦ πολέμου τοῦ πρὸς αὐτὸν Ἀντίγονος μετ' Ἀντιπάτρου στρατηγός. (3) Ἐπεὶ δὲ Εὐμένης τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν Ἴδην νεμομένοις ἐπιτυχὼν καὶ λαβὼν ἵππους, ὅσων ἔχρῃζε, τοῖς ἐπιμεληταῖς τὴν γρα-

pulisset, tandem a latere a Thrace quodam ictus, ex equo defluxit. Jacentem reliqui prætervecti sunt, quis esset ignorantes; Gorgias autem unus ex Eumenis ducibus quum agnovisset, male jam affecto et cum morte luctanti custodiam apposuit. (4) Interim Neoptolemus cum Eumene congressus est, antiquo uterque in alterum odio inflammatus. Semel atque iterum concursum est, priusquam mutuo se agnoscerent; tertio congressu agniti invicem statim sublato clamore, strictis gladiis contra se impetum dederunt. (5) Magna autem vi triremium in morem collisis equis, omissis frenis manus invicem sibi intulerunt, galeasque et thoraces ab humeris mutuo diripuerunt, atque hanc inter conflictationem subterfugientibus equis, una in terram delapsi, rursus implicati colluctatique sunt. (6) Ibi Neoptolemo prius assurgenti Eumenes poplitem succidit, atque ipse in pedes consistere occupavit. Neoptolemus altero genu innixus, altero sauciatus inferne ictus quidem, non tamen letales inferens fortiter se defendit, donec juxta cervicem cæsus cecidit moribundus et in longum porrectus est. (7) Atque hic Eumenem ex ira et vetere odio arma sibi detrahentem, conviciaque facientem, gladio, quem adhuc tenebat, qua thorax bubonem tangens desinit, imprudentem sauciavit. Verum is ictus, ut invalidus, plus terroris quam damni attulit. (8) Eumenes spoliato cadavere, male affectus femorum et brachiorum vulneribus, tamen in equum impositus, ad alterum cornu accurrit, resistere etiamnum hostes putans. (9) Audita morte Crateri, ad eum equo advectus est atque adhuc spirantem animique compotem cernens, ab equo descendit et illacrimavit, dextraque injecta multis verbis insectatus est Neoptolemum, fortunamque Crateri et suam necessitatem deploravit, qua cum viro amico sibi et familiari congressus esset aut passurus hæc aut illaturus.

VIII. Hac victoria Eumenes decimo fere die post superiorem potitus, magnam sibi gloriam paravit, quod partim prudentia, partim fortitudine bellum confecisset, sed magnam ei et apud socios et apud hostes invidiam fecit atque odium, quod peregrinus homo et advena, armis et manibus Macedonicis nobilissimum et primum Macedonum interfecisset. (2) Quodsi Perdiccæ contigisset de morte Crateri nuntium accipere, haud dubie nemo alius in Macedones principatum obtinuisset. Nunc Perdicca duobus ante diebus in Ægypto per seditionem necato, fama hujus pugnæ in castra pervenit, statimque ea irritati Macedones, morte Eumenem damnaverunt, bellumque contra eum gerendum Antigono et Demetrio mandaverunt. (3) Et quum Eumenes in armenta equorum regiorum, qui apud Idam pascebantur, incidisset, indeque acceptis quotquot opus

φὴν ἔπεμψε, λέγεται γελάσαι τὸν Ἀντίπατρον καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν Εὐμένη τῆς προνοίας ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν τῶν βασιλικῶν ἢ λήψεσθαι παρ' αὐτῶν. (4) Περὶ δὲ τὰς Σάρδεις ἐβούλετο μὲν ἱππο- 588 κρατῶν ὁ Εὐμένης τοῖς Λυδοῖς ἐναγωνίσασθαι πεδίοις, a ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμούμενος. Αὐτῆς δὲ ἐκείνης δεηθείσης (ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον), ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν καὶ διεχείμαζεν ἐν Κελαιναῖς· ὅπου τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμουμένων πρὸς αὐτὸν, « Τοῦτο ἦν, ἔφη, τὸ λεγόμενον, Ὀλέθρου δὲ οὐθεὶς λόγος », τοῖς δὲ στρατιώταις ὑποσχόμενος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν ἐπίπρασκεν αὐτοῖς τὰς κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμούσας. Ὁ δὲ πριάμενος b ἡγεμὼν τάγματος ἢ ξεναγὸς ὄργανα καὶ μηχανὰς, τοῦ Εὐμένους παρέχοντος, ἐξεπολιόρκει· καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. (5) Ἐκ δὴ τούτου πάλιν ὁ Εὐμένης ἠγαπᾶτο· καί ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέῤῥιψαν οἱ τῶν πολεμίων ἡγεμόνες ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν Εὐμένη, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες καὶ δόγμα ποιοῦνται χιλίους τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφοροῦντας εἶναι καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν. (6) Οἱ δὲ ἐπείθοντο καὶ τιμὰς ἠγάπων παρ' αὐτοῦ λαμβάνοντες, ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. Ἐξῆν γὰρ c Εὐμένει καὶ καυσίας ἁλουργεῖς καὶ χλαμύδας διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσι.

IX. Τὸ μὲν οὖν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους· ὁ δὲ ἀληθῶς μεγαλόφρων καὶ βέβαιος ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων γίνεται κατάδηλος, ὥσπερ Εὐμένης. (2) Πρῶτον μὲν γὰρ ἐν Ὀρκυνίοις τῆς Καππαδοκίας ἡττηθεὶς ὑπ' Ἀντιγόνου διὰ προδοσίαν καὶ διωκόμενος οὐ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ συλλαβὼν ἐκρέμασε. (3) Φεύγων δὲ d τὴν ἐναντίαν ὁδὸν τοῖς διώκουσι μετέβαλε λαθὼν καὶ παραλλάξας, ὡς ἦλθεν ἐπὶ τὸν τόπον, οὗ τὴν μάχην συνέβη γενέσθαι, κατεστρατοπέδευσε συναγαγὼν τοὺς νεκροὺς, καὶ τῶν ἐν κύκλῳ κωμῶν τὰ θυρώματα κατασχίσας ἔκαυσεν ἰδίᾳ μὲν ἡγεμόνας, ἰδίᾳ δὲ τοὺς πολλοὺς, καὶ πολυάνδρια χώσας ἀπῆλθεν, ὥστε καὶ τὸν Ἀντίγονον ὕστερον ἐπελθόντα θαυμάζειν τὸ θάρσος αὐτοῦ καὶ τὴν εὐστάθειαν. (4) Ἔπειτα ταῖς ἀποσκευαῖς τοῦ Ἀντιγόνου περιπεσὼν καὶ λαβεῖν ῥᾳδίως δυνάμενος πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν καὶ πλοῦτον ἐκ πολέμων τοσούτων καὶ λεηλασιῶν ἠθροισμένον, e ἔδεισε μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων οἱ σὺν αὐτῷ βαρεῖς γένωνται πρὸς τὴν φυγὴν καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν καὶ τὸν χρόνον, ἐν

videbatur equis, procuratoribus eorum summam scripto indicasset, risisse fertur Antipater et dixisse: mirari se prudentiam Eumenis, qui speret se regiorum bonorum rationem ipsis exhibiturum, aut ab ipsis accepturum. (4) Statuerat quidem Eumenes, ut qui equitatu prævaleret, apud Sardes in campis Lydiis decertare, studens simul Cleopatræ suas copias ostentare; ea tamen ipsa orante (metuebat enim ne in reprehensionem Antipatri incurreret), in Phrygiam superiorem recessit et Celænis hiberna habuit. Ibi Alcetæ, Polemoni et Docimo secum de summa rerum contendentibus, Hoc erat, inquit, quod dici solet, At nulla habetur perniciei ratio. Militibus stipendia se triduo pollicitus persoluturum, villas eis et arces ejus regionis vendidit, mancipiorum et pecoris plena. Hæc qui emerat phalangis aut mercenariorum militum dux, admotis, quas Eumenes præbebat, machinis expugnabat, et quod captum erat, inter milites pro ratione debiti stipendii dividebant. (5) Hæc res magnum amorem Eumeni conciliavit. Itaque literis in castra allatis, quas hostium duces sparserant, centum talenta et honores ei qui necasset Eumenem pollicentibus, admodum irritati Macedones decretum fecerunt, ut mille de prætorianis militibus præsidii causa perpetuo Eumeni adessent, eumque inter obambulandum custodirent, noctuque apud eum excubias agerent. (6) Atque illi munus istud obiverunt, gaudebantque ab imperatore eos sibi honores conferri, quibus amici a regibus afficiuntur. Nam causias etiam purpura prætextas chlamydesque Eumenes largiebatur, quod est apud Macedones donum maxime regium.

IX. Enimvero secundæ res etiam ingenio modico et submisso præditos attollunt, ut amplitudinem quandam atque fastum præ se ferant, quum excelso loco se constitutos cernunt; vera autem animi magnitudo et constantia magna in rebus adversis ferendis emendandisque casibus elucescit. Cujus rei exemplum Eumenes præbuit. (2) Primum enim in Orcyniis Cappadociæ victus ab Antigono intercedente proditione, quum insequerentur hostes, non passus est proditorem in fuga ad eos evadere, sed comprehensum in crucem egit. (3) Fugiens autem contraria qua illi, qui eum insequebantur, via, insciis hostibus iter convertit, iisque præteritis ut ad locum pervenit, quo in loco pugnatum fuerat, castra ibi fecit, cadaveribusque collectis, januas in propinquo sitorum pagorum conscidit, iisque lignis ea cremavit, seorsum duces, seorsum gregarios milites, tumulisque congestis, abiit ita ut Antigonus quoque postmodo reversus audaciam ejus et constantiam admiratus sit. (4) Deinde quum in impedimenta Antigoni incidisset, in quibus multi liberi homines, multi erant servi et ingentes tot bellis prædationibusque partæ opes, facileque ea capere posset, veritus tamen est ne milites sui præda et opibus onusti, segnes ad fugam fierent et ad errandum tempusque vagando terendum

ᾧ μάλιστα τοῦ πολέμου τὰς ἐλπίδας εἶχεν, ὡς ἀποστρέψων τὸν Ἀντίγονον. (5) Ἐπεὶ δὲ ἄντικρυς χαλεπὸν ἦν ἀποτρέπειν Μακεδόνας χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευσε θεραπεύσαντας αὑτοὺς καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας οὕτω βαδίζειν ἐπὶ τοὺς πολεμίους. Αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ τῆς ἀποσκευῆς τῶν πολεμίων Μένανδρον, ὡς κηδόμενος αὐτοῦ φίλου γεγονότος f καὶ συνήθους, φυλάξασθαι παραινῶν καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων καὶ ταπεινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν ἄφιππον οὖσαν καὶ κυκλώσεις οὐκ ἔχουσαν. (6) Τοῦ δὲ Μενάνδρου ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένου, κατασκόπους ἔπεμ-
589 ψεν ὁ Εὐμένης φανερῶς καὶ παρήγγειλε τοῖς στρα- a τιώταις ὁπλίζεσθαι καὶ τοὺς ἵππους ἐγχαλινοῦν, ὡς προσάξων τοῖς πολεμίοις. Τῶν δὲ κατασκόπων ἀπαγγειλάντων, ὅτι παντάπασιν ὁ Μένανδρος ἄληπτος εἴη καταπεφευγὼς εἰς τόπους χαλεπούς, ἄχθεσθαι προσποιούμενος ὁ Εὐμένης ἀπῆγε τὴν στρατιάν. (7) Λέγεται δέ, τοῦ Μενάνδρου ταῦτα μαρτυρήσαντος πρὸς τὸν Ἀντίγονον καὶ τῶν Μακεδόνων ἐπαινούντων τὸν Εὐμένη καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι καὶ γυναῖκας αἰσχῦναι παρὸν ἐφείσατο καὶ παρῆκεν, « Ἀλλ' ἐκεῖνος, φάναι τὸν Ἀντίγονον, οὐχ b ἡμῶν, ὦ μακάριοι, κηδόμενος παρῆκεν, ἀλλ' αὑτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας. »

X. Ἐκ τούτου πλανώμενος ὁ Εὐμένης καὶ ὑποφεύγων ἔπεισε τοὺς πολλοὺς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος αὐτῶν εἴτ' ἐφέλκεσθαι μὴ βουλόμενος ἐλάττονας μὲν τοῦ μάχεσθαι, πλείονας δὲ τοῦ λανθάνειν ὄντας. (2) Καταφυγὼν δὲ εἰς Νῶρα, χωρίον ἐν μεθορίῳ Λυκαονίας καὶ Καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν, κἀντεῦθεν αὖθις, ὅσοι τῶν φίλων ἐδεήθησαν ἀφεθῆναι τοῦ χωρίου τὴν χαλεπότητα καὶ τῆς διαίτης τὴν ἀνάγκην οὐ φέροντες, πάντας ἀσπασάμενος καὶ φιλοφρονηθεὶς ἀπέπεμψεν. (3) Ὡς δὲ ἐπελθὼν ὁ Ἀντίγονος c εἰς λόγους αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο πολλοὺς εἶναι τοὺς Ἀντιγόνου φίλους καὶ μετὰ Ἀντίγονον ἡγεμόνας, ὧν δὲ αὐτὸς προπολεμεῖ μηδένα λείπεσθαι μετ' αὐτόν· ὁμήρους δὲ πέμπειν ἐκέλευσεν, εἰ χρῄζει διὰ λόγων αὐτῷ γενέσθαι. Τοῦ δὲ Ἀντιγόνου κελεύοντος ὡς κρείττονι λαλεῖν, « Οὐδένα, εἶπεν, ἐμαυτοῦ κρείττονα νομίζω, μέχρις ἂν ὦ τοῦ ξίφους κύριος. » (4) Ὅμως δὲ πέμψαντος τοῦ Ἀντιγόνου τὸν ἀδελφιδοῦν Πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ Εὐμένης, κατέβη καὶ περιβαλόντες ἀλλήλους ἠσπάσαντο φιλικῶς καὶ οἰκείως, ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλὰ καὶ συνήθεις γεγο- d νότες. (5) Λόγων δὲ γενομένων πολλῶν καὶ τοῦ Εὐμένους οὐχ ὑπὲρ ἀσφαλείας μεμνημένου καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιοῦντος αὐτῷ βεβαιοῦσθαι καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τοὺς παρόντας εἶχε τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένους. Ἅμα δὲ πολλοὶ συνέτρεχον τῶν Μακεδόνων ἰδεῖν ὅστις ἐστὶ τὸν Εὐμένη ποθοῦντες· οὐ γὰρ ἑτέρου λόγος ἦν τοσοῦτος ἐν τῷ στρατῷ μετὰ τὴν τοῦ Κρατέρου τελευτήν. (6) Δείσας

(hac enim suam spem in re potissimum habebat, eaque Antigonum avertere statuerat) molliores. (5) Itaque quum difficulter videret Macedones ab opibus illis, quum in promptu essent, abstineri posse, corpora prius curari equisque pabulum dari, atque ita demum hostem invadi jussit. Ipse ad Menandrum (qui impedimentis hostium ducendis præerat) quasi de eo ob pristinam familiaritatem atque amicitiam esset sollicitus, clam misit qui monerent ut sibi caveret atque quam celerrime ex locis incursioni equestri commodis et dejectis in proximos montium procursus recederet, equitatui et circumdationi iniquos. (6) Menander, statim intellecto periculo, se eo recepit. Ibi Eumenes mandato militibus, uti arma caperent et equos frenarent, mox in hostem ituri, emisit palam speculatores, atque hi quum retulissent Menandrum ad loca naturæ situ invia ab omni incursu tutum jam esse, simulans ægre id se ferre, exercitum abduxit. (7) Antigonum perhibent, Menandro hæc coram eo testante Macedonibusque humanitatem Eumenis laudantibus, eique favere incipientibus, ut qui liberos eorum quum in servitutem abducere et uxores, quibus vim potuisset facere, dimisisset, dixisse: At ille, boni viri, non vestri commodi causa id egit, sed sibi ipsi fugienti hujusmodi injicere compedes noluit.

X. Exinde fugiens Eumenes et vagans, multis suorum militum persuasit ut ab ipso discederent, sive quod eorum curam gereret, sive quod turbam pugnæ imparem, et tamen majorem quam quæ latere posset, trahere secum nolebat. (2) Ita Noram pervenit, quod est castellum in confinio Lycaoniæ et Cappadociæ, cum equitibus quingentis et ducentis armatis peditibus; ibi quoque suorum quotquot loci iniquitatem penuriamve metuentes dimissionem petebant, consalutatos benigne a se dimisit. (3) Quum eo pervenisset etiam Antigonus et antequam obsidionem inciperet, ad colloquium Eumenem evocaret, respondit: Antigoni multos esse amicos et qui post eum duces creari possent, iis autem, pro quibus ipse bellum gereret, se adempto, nullum superesse; obsides itaque mitteret, si colloqui vellet. Eodem postulante, ut ad se veluti præstantiorem ad conferendos sermones veniret, negavit se quenquam se ipso præstantiorem agnoscere, quamdiu gladium teneret. (4) Antigono tamen fratris filium Ptolemæum in castellum, uti postulaverat Eumenes, mittente, ita demum ad eum descendit. Amice admodum congressi, seque complexi mutuo sunt, ut familiares jam olim, seque invicem plurimum usi. (5) Multis verbis commutatis, quum nullam securitatis petendæ aut pacificationis mentionem Eumenes faceret, provincias modo sibi confirmari et dona reddi postularet, admirari subiit præsentibus hominis magnanimitatem atque confidentiam; concurrebantque simul frequentes Macedones, Eumenes qui vir esset cernere cupientes; neque enim a Crateri morte ullius alterius tanta fuerat in exercitu mentio. (6) Anti-

δὲ ὁ Ἀντίγονος ὑπὲρ αὐτοῦ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε μὴ προσιέναι βοῶν καὶ τοῖς λίθοις ἔβαλλε τοὺς ἐπιφερομένους· τέλος δὲ ταῖς χερσὶ τὸν Εὐμένη πε- e
ριβαλὼν καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις μόλις εἰς τὸ ἀσφαλὲς ἀποκατέστησε.

XI. Τοὐντεῦθεν ὁ μὲν περιτειχίσας τὰ Νῶρα καὶ φρουρὰν καταλιπὼν ἀνέζευξεν· Εὐμένης δὲ πολιορκούμενος ἐγκρατῶς, τοῦ χωρίου σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, καὶ ἄλλο μηδὲν ἔχοντος ἐδώδιμον μηδὲ ἥδυσμα πρὸς τὸν σῖτον, ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνοῦσιν ἱλαρὰν τὴν δίαιταν ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὐτοῦ τράπεζαν καὶ τὸ συσσίτιον ὁμιλίᾳ χάριν ἐχούσῃ καὶ φιλοφροσύνην ἐφηδύνων. (2) Ἦν δὲ καὶ τὸ εἶδος ἡδύς, οὐ πολεμικῷ καὶ f
τετριμμένῳ δι' ὅπλων ἐοικώς, ἀλλὰ γλαφυρὸς καὶ νεοπρεπὴς καὶ πᾶν τὸ σῶμα διηρθρωμένος ὡς ὑπὸ τέχνης ἀκριβῶς τοῖς μέλεσι θαυμαστὴν συμμετρίαν ἔχουσιν, εἰπεῖν δὲ οὐ δεινός, αἱμύλος δὲ καὶ πιθανός, ὡς ἐκ τῶν ἐπιστολῶν συμβάλλειν ἐστίν. (3) Ἐπεὶ δὲ
590 τοὺς σὺν αὐτῷ πολιορκουμένους ἡ στενοχωρία μάλιστα πάντων ἔβλαπτεν ἐν οἰκήμασι μικροῖς καὶ τόπῳ δυοῖν a
σταδίοιν ἔχοντι τὴν περίμετρον ἀναστρεφομένους, τροφὴν δὲ ἀγυμνάστους μὲν αὐτοὺς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας, οὐ μόνον τὸν ἄλυν αὐτῶν ὑπὸ τῆς ἀπραξίας μαραινομένων ἀπαλλάξαι βουλόμενος, ἀλλὰ καὶ πρὸς φυγήν, εἰ παραπέσοι καιρός, ἁμωσγέπως ἠσκημένοις χρήσασθαι, τοῖς μὲν ἀνθρώποις οἶκον, ὃς ἦν μέγιστος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξε περίπατον κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων, τῶν δ' ἵππων ἕκαστον ῥυτῆρσι μεγάλοις εἰς τὴν ὀροφὴν ἀναδεδεμένοις ὑποζώσας, ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν ἐμετεώριζε καὶ παρήγειρε διὰ τροχιλίας, b
ὥστε τοῖς μὲν ὀπισθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι, τοῖς δὲ ἐμπροσθίοις ποσὶν ἀκρωνύχους ἐπιψαύειν. (4) Οὕτω δὲ ἀνηρτημένους οἱ ἱπποκόμοι παρεστῶτες ἅμα ταῖς τε κραυγαῖς καὶ ταῖς μάστιξιν ἐπηρέθιζον· οἱ δὲ πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς τοῖς μὲν ὀπισθίοις ἐνήλλοντο καὶ διεσκίρτων σκέλεσι, τοῖς δὲ μετεώροις ἐφιέμενοι στηρίσασθαι καὶ κροτοῦντες τὸ ἔδαφος κατετείνοντο πᾶν τὸ σῶμα καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ σταλαγμόν, οὔτε πρὸς τάχος οὔτε πρὸς ῥώμην γυμναζόμενοι κακῶς. Τὰς δὲ κριθὰς ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον καὶ πέττωσι βέλτιον.

XII. Ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, c
Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ καὶ τεταράχθαι τὰ πράγματα Κασάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμένη φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. (2) Διὸ πέμψας Ἱερώνυμον ἐσπένδετο τῷ Εὐμένει προτείνας ὅρκον, ὃν ὁ Εὐμένης διορθώσας ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσι, πότερος εἴη δικαιότερος. (3) Ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ τῶν βασιλέων

gonus autem metuens ne vis ei fieret, primo militibus ne accederent edixit, lapidibusque impetiit accedentes; ad extremum manus ei injecit, remotaque per stipatores turba, ægre in tutum locum reduxit.

XI. Proinde Nora munitionibus clausa, relictoque ad obsidionem præsidio, abiit; Eumenes autem omni vi obsessus, quum locus præter copiam satis amplam panis, aquæ et salis, nihil ciborum, nihil condimentorum haberet, utcumque tamen hilarem vitæ consuetudinem sociis reddebat, eos per vices suæ adhibens mensæ et convictum gratioso colloquio comitateque condiens. (2) Erat et forma eleganti, non bellicoso homini armisque durato similis, sed nitidus, aspectu juvenili, omnibusque membris ita compactus, ut mirabilem eam concinnitatem omnium partium ab arte aliqua effectam diceres; non magna in eo vis sermonis fuit, sed suavem ac non infacundum fuisse ex epistolis ejus apparet. (3) Verum ea obsidione nihil perinde obfuit sociis ejus, quam angustia loci, exiguis in tectis et loco duorum stadiorum ambitu, versantibus, quo fiebat ut cibum et ipsi non exercitato prius corpore caperent, et equis otiosis præberent. Itaque ut ne desidia et languore plane obtorperent, sed saltem ad fugam, si ita res tulisset, utcumque paratis uti posset, domum, quæ Noræ amplissima fuit, quattuordecim cubitorum longitudine, ambulationi militum destinavit, sensim eos motum corporis intendere præcipiens. Equorum autem unumquemque magnis loris ad culmen alligatis a partibus quæ circa collum sunt succingens, trochlearum adminiculo sensim elevavit ita, ut posterioribus pedibus terræ innixi, priorum primoribus tantum ungulis eam contingerent. (4) Ita suspensos assistentes equisones clamoribus et flagellis irritabant; equi ardore et ira repleti, posterioribus pedibus saliebant eosque jactantes, quum prioribus inniti solo contenderent, totum corpus extendebant, multumque sudoris emittebant, atque ea exercitatio quum ad robur, tum ad celeritatem augendam erat non incommoda. Hordeum quoque mola prius fractum iis dabant, ut et conficerent citius et concoquerent melius.

XII. Tracta jam aliquamdiu obsidione, Antigonus, audito Antipatrum in Macedonia mortuum, Casandrum vero et Polysperchontem de summa rerum litigantes tumultum dedisse, nihil jam exiguum, sed universum animo concipiens imperium, Eumenem socium sibi et rerum gerendarum administrum parandum duxit. (2) Itaque misso Hieronymo cum Eumene pacem fecit, proposito tamen ei juramento, cujus formula emendata Eumenes Macedonibus ad obsidionem ab Antigono relictis dijudicandum dedit, rectiusne ipse an vero Antigonus eam concepisset. (3) Etenim Antigonus ab initio tantum facta dicis causa regum men-

ἐπιμνησθεὶς τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὥρκιζεν, Εὐ- d μένης δὲ πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις Ὀλυμπιάδα μετὰ τῶν βασιλέων, ἔπειτα ὤμνυεν οὐκ Ἀντιγόνῳ μόνον εὐνοήσειν οὐδ' ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ἀλλὰ καὶ Ὀλυμπιάδι καὶ τοῖς βασιλεῦσιν. (4) Ὧν δικαιοτέρων φανέντων, οἱ Μακεδόνες ταῦτα ὁρκίσαντες τὸν Εὐμένη τὴν πολιορκίαν ἔλυσαν, καὶ πρὸς τὸν Ἀντίγονον ἀπέστελλον, ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ Εὐμένει τὸν ὅρκον. (5) Ἐν τούτῳ δὲ Εὐμένης ὅσους εἶχεν ἐν Νώροις τῶν Καππαδοκῶν ὁμήρους ἀπεδίδου λαμβάνων ἵππους καὶ ὑποζύγια καὶ σκηνὰς παρὰ τῶν κομιζομένων καὶ συνῆγε τῶν στρατιωτῶν ὅσοι διασπα- e ρέντες ἀπὸ τῆς φυγῆς ἐπλανῶντο κατὰ τὴν χώραν, ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων ἀποδέοντας γενέσθαι, μεθ' ὧν ἐξελάσας ἔφυγεν, ὀρθῶς φοβηθεὶς τὸν Ἀντίγονον. Οὐ γὰρ μόνον ἐκεῖνον ἐκέλευσε πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς Μακεδόσι πικρῶς ἀντέγραψε δεξαμένοις τοῦ ὅρκου τὴν διόρθωσιν.

XIII. Φεύγοντι δ' Εὐμένει γράμματα κομίζεται παρὰ τῶν ἐν Μακεδονίᾳ τὴν Ἀντιγόνου δεδοικότων αὔξησιν, Ὀλυμπιάδος μὲν παρακαλούσης ἐλθόντα τὸ Ἀλεξάνδρου παιδίον παραλαβεῖν καὶ τρέφειν ὡς ἐπι- f βουλευόμενον, Πολυπέρχοντος δὲ καὶ Φιλίππου τοῦ βασιλέως κελευόντων Ἀντιγόνῳ πολεμεῖν τῆς ἐν Καππαδοκίᾳ δυνάμεως ἄρχοντα καὶ τῶν ἐν Κουίνδοις χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον ὁπόσοις βούλεται χρῆσθαι. Περὶ δὲ τούτων καὶ Ἀντιγένει καὶ Τευτάμῳ τοῖς τῶν ἀργυρασπίδων ἡγουμένοις ἐγεγρά- 691 φεισαν. (2) Ἐπεὶ δὲ λαβόντες ἐκεῖνοι τὰ γράμματα τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν Εὐμένη, a φθόνου δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεστοὶ δευτερεύειν ἀπαξιοῦντες ἐκείνῳ, τὸν μὲν φθόνον ὁ Εὐμένης ἐθεράπευε τῷ τὰ χρήματα μὴ λαβεῖν ὡς οὐδὲν δεόμενος, ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν μήτε ἡγεῖσθαι δυναμένων μήτε ἕπεσθαι βουλομένων ἐπῆγε δεισιδαιμονίαν. (3) Ἔφη γὰρ Ἀλέξανδρον αὐτῷ κατὰ τοὺς ὕπνους φανῆναι καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς καὶ θρόνον ἐν αὐτῇ κείμενον· εἶτα εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύουσιν αὐτοῖς καὶ χρηματίζουσιν αὐτὸς παρέσται καὶ συνεφάψεται βουλῆς τε πάσης καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτοῦ. (4) Ταῦτα b ῥᾳδίως ἔπεισε τὸν Ἀντιγένη καὶ τὸν Τεύταμον, οὔτε ἐκείνων βαδίζειν βουλομένων πρὸς αὐτὸν, οὔτε αὐτὸς ἀξιῶν ἐπὶ θύραις ἑτέρων ὁρᾶσθαι. Καὶ τιθέντες οὕτω σκηνὴν βασιλικὴν καὶ θρόνον Ἀλεξάνδρῳ καταπεφημισμένον, ἐκεῖ συνεπορεύοντο βουλευόμενοι περὶ τῶν μεγίστων. (5) Ἐπεὶ δὲ προϊοῦσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ Πευκέστας μετὰ τῶν ἄλλων σατραπῶν ἀπήντησε φίλος ὢν καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων καὶ λαμπρότητι παρασκευῆς ἐπέῤῥωσαν τοὺς Μακεδόνας, αὐτοὶ δὲ ἀνάγωγοι ταῖς ἐξουσίαις καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν καὶ φρονήματα τυραννικὰ καὶ τεθραμμένα c

tione, ceteroquin Eumenem sibi soli obstringebat; Eumenes primo post reges loco Olympiadem ascribebat, neque Antigono tantum, sed et Olympiadi et regibus ceteris fidelem se futurum, eosdemque cum iis amicos inimicosque habiturum promittebat. (4) Justius hoc Macedonibus visum est, atque ita jurato Eumene obsidionem solverunt, missis ad Antigonum, qui ab eo vicissim juramentum Eumenis nomine acciperent. (5) Interim Eumenes Cappadocibus obsides, quos Noris habuerat, reddere ac loco eorum equos, jumenta et tentoria accipere, milites, qui a fuga dispersi per eam regionem errabant, ad se colligere, ita mox haud multo minores mille equites secum habere: his cum copiis Antigonum, cujus animus eum non fefellit, fugere cœpit. Etenim non modo obsideri rursus Eumenem jussit, sed et acerbe objurgavit per litteras Macedones, quod ejus correctionem juramenti approbassent.

XIII. Ceterum ad Eumenem dum fugit, litteræ afferuntur missæ ex Macedonia ab iis, qui incrementa Antigoni metuebant; in iis Olympias Eumenem hortabatur, ut ad se veniret, Alexandrique filiolum insidiis impetitum educandum suspiceret; Polyspercbon et rex Philippus jubebant bellum contra Antigonum gerere, ducem copiarum, quæ erant in Cappadocia, itemque accipere ex regia pecunia, quæ erat Quindis reposita, talenta quingenta, quibus acceptum damnum resarciret, ad bellum vero gerendum uti quantum opus esset ea pecunia. Iisdem de rebus etiam ad Teutamum Antigenemque argyraspidum præfectos perscripserant. (2) Sed hi literis allatis quum accipere se libenter amicoque animo Eumenem simularent, invidia autem et ambitione gravissime laborarent, indignati sese Eumeni posthabitos; invidiam quidem is recusando pecuniam, tanquam nihil ejus indigens, amovit, ambitionem vero eorum et principatus cupiditatem, neque ducere valentium, neque sequi volentium, objecta animis religione compescuit. (3) Alexandrum perhibuit in somnis sibi visum tabernaculum regio more instructum, soliumque in eo collocatum demonstrasse ac dixisse: ibi ipsis consultantibus se adfuturum, et si a se initium fecissent deliberationis, omnibus eorum consiliis actionibusque operam navaturum. (4) Id facile persuasit Antigeni ac Teutamo, quum neque hi ad ipsum accedere, neque ipse ad fores aliorum conspici vellet. Itaque tabernaculo et solio regio, Alexandro dedicato, collocato, eodem convenerunt summis de rebus communicaturi consilia. (5) Inde in superiores regiones proficiscentibus, Peucestes cum reliquis satrapis occurrit amicus, copiasque conjunxit; itaque jam armorum multitudine et apparatus splendore res Macedonica iis in locis firma erat. At vero ipsi duces potentia contumaces luxuque molles redditi post obitum Alexandri, spiritusque tyrannicos barbarica arro-

βαρβαρικαῖς ἀλαζονείαις ἐπὶ ταὐτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλους βαρεῖς ἦσαν καὶ δυσάρμοστοι, τοὺς δὲ Μακεδόνας κολακεύοντες ἐκκεχυμένως καὶ καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον ἀσωτίας πανηγυριζούσης καταγώγιον ἐποίησαν καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. (6) Αἰσθόμενος δὲ ὁ Εὐμένης αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρὸς, ἐσκήψατο χρημάτων δεῖσθαι καὶ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων αὐτὸν, d ἵνα καὶ πιστεύωσι καὶ ἀπέχωνται περὶ τῶν δανείων ἀγωνιῶντες· ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ φύλακα τοῦ σώματος ἔχειν καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν.

XIV. Οὐ μὴν ἀλλ' οἱ Μακεδόνες ἀδείας μὲν οὔσης ἐφθείροντο πρὸς τοὺς διδόντας καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον δορυφορουμένων καὶ στρατηγιώντων· ἐπεὶ δὲ Ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσε μετὰ πολλῆς δυνάμεως καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγὸν, οὐ μόνον οἱ στρατευόμενοι τῷ e Εὐμένει προσεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων ἕκαστος ἐνέδωκε καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. (2) Καὶ γάρ τοι περὶ τὸν Πασιτίγριν ποταμὸν ἐπιχειρήσαντα διαβαίνειν τὸν Ἀντίγονον οἱ μὲν ἄλλοι παραφυλάττοντες οὐδὲ ᾔσθοντο, μόνος δὲ Εὐμένης ὑπέστη, καὶ συνάψας μάχην πολλοὺς μὲν κατέβαλε καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖθρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. (3) Μάλιστα δὲ οἱ Μακεδόνες περὶ τὴν συμβᾶσαν ἀῤῥωστίαν αὐτῷ καταφανεῖς ἐγένοντο τοὺς μὲν ἄλλους ἑστιᾶν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγούμενοι μόνον ἐκεῖνον. (4) Ὁ μὲν γὰρ f Πευκέστας ἐν τῇ Περσίδι λαμπρῶς αὐτοὺς ἑστιάσας καὶ κατ' ἄνδρα διαδοὺς ἱερεῖον εἰς θυσίαν ἤλπιζεν εἶναι μέγιστος· ὀλίγαις δὲ ὕστερον ἡμέραις τῶν στρατιωτῶν ἐπὶ τοὺς πολεμίους βαδιζόντων, ἐτύγχανεν ὁ Εὐμένης ἐκ νόσου τινὸς ἐπισφαλοῦς ἐν φορείῳ κομιζόμενος ἔξω τοῦ στρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. (5) Μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἄφνω λόφους τινὰς ὑπερβάλλοντες 592 ἐξεφάνησαν οἱ πολέμιοι καταβαίνοντες εἰς τὸ πεδίον. a Ὡς οὖν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξέλαμψαν ἀπὸ τῶν ἄκρων τοῦ ἀγήματος ἐν τάξει πορευομένων καὶ τῶν θηρίων τοὺς πύργους ἄνω καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος εἰς μάχην ἀγομένοις, ἐπιστήσαντες οἱ πρῶτοι τὴν πορείαν ἐβόων Εὐμένη καλεῖν αὐτοῖς, οὐ γὰρ ἂν προελθεῖν ἐκείνου μὴ στρατηγοῦντος, καὶ τὰ ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες ἀλλήλοις μένειν διεκελεύοντο καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν καὶ χωρὶς Εὐμένους μὴ μάχεσθαι μηδὲ κινδυνεύειν πρὸς τοὺς πολεμίους. (6) Ἀκούσας δὲ ὁ Εὐμένης ἧκε πρὸς αὐτοὺς δρόμῳ τοὺς κομίζοντας ἐπιταχύνας καὶ τοῦ b φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας προὔτεινε

gantia nutritos in unum conferebant; itaque invicem molesti et discordes effuse adulando Macedonas, cœnasque et victimas prodige exhibendo, exiguo temporis spatio castra profusionis atque lasciviæ reddiderunt deversorium, plebisque factiones in deligendis sibi ducibus (veluti in populari reipublicæ administratione fieri solet) excitaverunt. (6) Eapropter Eumenes sentiens eos sese mutuo contemnere, ipsum metuere, et in hoc esse, ut capto tempore occidant, pecunia sibi opus esse simulavit, eoque sub prætextu ab iis, quibus maxime odio erat, multa talenta mutuo accepit, ut ii fidem ipsi haberent et metu amittendi crediti ab insidiis desisterent. Ita evenit ut alienam ille pecuniam corporis sui custodem habuerit, et aliis salutem suam data pecunia redimentibus, solus ille accipiendo tutum sese præstitit.

XIV. Neque secius tamen Macedones extra periculum versantes munera captabant, et ad limina eorum, qui stipari volebant imperiumque affectabant, commeabant; at ubi Antigonus cum magnis copiis accessit, et res ipsa quasi loquens verum ducem flagitavit, non milites modo tum Eumeni obtemperare, sed illi etiam ipsi, qui pacis tempore et in luxu magni aliquid essent, missa ambitione taciti obsequentes se præbuerunt in loco quem cuique assignabat strenue tenendo. (2) Et vero apud Pasitigrim fluvium, quum Antigonus transire aggressus ceteros hostium duces observare jussos fefellisset, solus Eumenes eum excepit, commissoque prœlio tantam edidit hostium stragem, ut cadaveribus amnis repleretur et quattuor millia captivos abduxerit. (3) Maxime vero ostenderunt ægrotante eo Macedones, quod reliquos splendide epula præbere et oblectare animos militum, solum autem Eumenem bellum gerere posse et exercitum ducere arbitrarentur. (4) Etenim Peucestas in Perside quum splendidum epulum, singulisque victimam ad immolandum suppeditasset, maximum se esse sperabat; paucis post diebus exercitu contra hostes proficiscente, Eumenes periculoso morbo affectus, ne insomnia eum ob tumultus militum torqueret, extra aciem in lectica ferri se jusserat. (5) Paululum progressis, repente in conspectum hostes venerunt, superatis quibusdam tumulis in planitiem descendentes. Quorum ubi aurea arma ex tumulis splendorem ad solem dederunt, agemate composito ordine incedentes, superque elephantos turres et purpuræ conspectæ sunt, uti eorum mos est ad pugnam euntium incedere; ibi vero primi Macedonum fixo gressu, cum clamore Eumenem vocaverunt, et nisi ipso ducente ultra progressuros negaverunt, fixisque in terram armis, sese invicem ut eum exspectarent hortati sunt; edixerunt etiam ducibus, ne quid illo absente agerent, neve cum hoste confligerent. (6) Quo audito Eumenes, lecticariis properare jussis, ad eos pervenit, et aulæis lecticæ utrimque deductis, manum dextram lætus eis protendit. Macedones simul atque Eu-

τὴν δεξιὰν γεγηθώς. Οἱ δὲ ὡς εἶδον, εὐθὺς ἀσπασάμενοι Μακεδονιστὶ τῇ φωνῇ τάς τε ἀσπίδας ἀνείλοντο καὶ ταῖς σαρίσαις ἐπιδουπήσαντες ἠλάλαξαν προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος.

XV. Ἀντίγονος δὲ παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν Εὐμένη νοσεῖν καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρῖψαι τοὺς ἄλλους ἐκείνου νοσοῦντος· διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προσῆγεν. (2) Ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς ἐπέστη πλείω χρόνον· εἶτα ὤφθη τὸ φορεῖον c ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. Γελάσας οὖν ὁ Ἀντίγονος, ὥσπερ εἰώθει, μέγα καὶ πρὸς τοὺς φίλους εἰπών, « Τοῦτο ἦν τὸ φορεῖον, ὡς ἔοικε, τὸ ἀντιπαρατattόμενον ἡμῖν », εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω καὶ κατεστρατοπέδευσεν. (3) Οἱ δὲ μικρὸν ἀναπνεύσαντες αὖθις ἐδημαγωγοῦντο καὶ τοῖς ἡγεμόσιν ἐντρυφῶντες σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν Γαβηνῶν, ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν ὁμοῦ τι χιλίους σταδίους. (4) Ταῦτα γνοὺς ὁ Ἀντίγονος ὥρμησεν ἐξαίφνης ἐπ' αὐτούς, ὑποστρέψας χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ βραχεῖαν, ἐλπίζων, εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ d χειμάδια, μηδ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς τὸ αὐτὸ τοῖς στρατηγοῖς. (5) Ἐμβαλόντι δὲ εἰς γῆν ἀοίκητον αὐτῷ πνεύματά τε δεινὰ καὶ κρύη μεγάλα διελυμαίνετο τὴν πορείαν ἐνοχλουμένου τοῦ στρατεύματος. Ἦν οὖν ἀναγκαία βοήθεια πυρὰ πολλὰ καίειν· ὅθεν οὐκ ἔλαθε τοὺς πολεμίους, ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν ἀοίκητον ὄρη νεμόμενοι θαυμάσαντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἱππαστρίαις καμήλοις ἀγγέλους πρὸς Πευκέσταν. (6) Ὁ δέ, ὡς ἤκουσεν, αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέους γενόμενος καὶ τοὺς ἄλλους ὁρῶν ὁμοίως ἔχοντας ὥρμητο φεύγειν ἀνα- e στήσας τοὺς καθ' ὁδὸν ὄντας αὐτοῖς μάλιστα τῶν στρατιωτῶν. Εὐμένης δὲ τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον ὑπισχνούμενος ἐπιστήσειν τῶν πολεμίων τὸ τάχος, ὥστε τρισὶν ὕστερον ἡμέραις ἢ προσδοκῶνται παραγενέσθαι. (7) Πεισθέντων δὲ αὐτῶν, ἅμα μὲν ἀγγέλους περιέπεμπε τὰς δυνάμεις ἐκ τῶν χειμαδίων καὶ τοὺς ἄλλους ἀθροίζεσθαι κατὰ τάχος κελεύων, ἅμα δὲ αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων καὶ τόπον ἐξ ἀπόπτου καταφανῆ τοῖς ὁδεύουσι τὴν ἔρημον περιβαλόμενος καὶ διαμετρήσας ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαστήμασιν, ὥσπερ οἱ στρατοπεδεύοντες. (8) Γενομένου δὲ τούτου καὶ τῶν πυρῶν f τοῖς περὶ Ἀντίγονον ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχθος ἔσχε καὶ δυσθυμία τὸν Ἀντίγονον οἰόμενον ᾐσθημένους ἔκπαλαι τοὺς πολεμίους ἀπαντᾶν. Ἵν' οὖν μὴ κατάκοπος καὶ τετρυμένος ἐκ πορείας ἀναγκάζηται μάχεσθαι πρὸς ἀνθρώπους ἑτοίμους καὶ καλῶς κε-
593 χειμακότας, προέμενος τὴν σύντομον ἦγε διὰ κω- a μῶν καὶ πόλεων καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ στράτευμα. (9) Μηδενὸς δὲ ἐμποδὼν ὄντος, ὥσπερ εἰω-

menem conspexere, Macedonicis verbis consalutaverunt, scuta resumpserunt, sarissisque ea pulsantes, hostem præsentia imperatoris freti ad pugnam provocarunt.

XV. Audiverat ex captivis Antigonus ægrotare Eumenem, et male affectum lectica ferri; itaque hoc decumbente facile reliquos superatum iri fidens, ad pugnam properaverat. (2) Sed hostibus ordines instruentibus aciem obequitans, ejus figuram et dispositionem inspiciens, stupefactus aliquamdiu substitit; posteaquam vero lecticam ab uno cornu ad alterum transire vidit, cachinno, uti solebat, sublato: Hæc ergo, inquit, amici, erat lectica illa nobis opposita; statimque retro abduxit copias et castra fecit. (3) At milites Eumenis paululum quietis nacti factiones iterum exercebant et duces ludificantes hibernis totam prope Gabenam occupaverunt, quum quidem primi ab extremis ad mille usque stadia abessent. (4) Quod ut cognovit Antigonus, subito contra illos alia via difficili et aquæ carente, compendiosa tamen atque brevi, duxit, sperans fore ut, si in eos subito in hibernis disjectos irrueret, multitudo ad duces suos convenire nullo modo posset. (5) Verum in vastam et habitationibus nudam terram ingresso, violenti venti frigoraque ingentia obstiterunt, exercituique graviter obfuerunt; neque aliud erat remedium quam multos ignes succendere. Ideo hostes non fefellit, sed barbari qui montes solitudinem versus spectantes incolunt, multitudinem ignium mirati, camelis ad equitandum aptis impositos nuncios ad Peucestam miserunt. (6) Quibus auditis, is terrore plane exanimatus, quum reliquos eodem modo cerneret affectos, fugæ se dedit, excitatis qui in itinere erant militibus. Sed Eumenes trepidationem repressit, suis promittens, ita se hostium celeritatem inhibiturum, uti triduo quam putarent tardius advenirent. (7) Acquiescentibus illis simul et dimissis per hiberna nunciis, qui milites unum in locum conducerent, ipse cum reliquis ducibus eques ad locum profectus est, qui late conspicuus erat per deserta proficiscentibus; eum dimensus, per intervalla multos ignes, uti in castris fieri solet, incendit. (8) Quo facto Antigonus cum ignes illos montanos conspexisset, graviter indoluit, ratus hostes jam pridem ejus adventu cognito occurrere. Itaque ne cum paratis ad pugnam et bene in hibernis habitis suos itinere defatigatos confectosque committeret, omisso compendio, per pagos et urbes duxit, paulatim reficiens exercitum. (9) Ibi quum nemo ei, id quod alias

θεν ἀντικαθημένων πολεμίων, τῶν δὲ περιχώρων λεγόντων στράτευμα μηδὲν ὦφθαι, πυρῶν δὲ κεκαυμένων μεστὸν εἶναι τὸν τόπον, ᾔσθετο κατεστρατηγημένος ὑπ' Εὐμένους καὶ βαρέως φέρων προσῆγεν ὡς φανερᾷ μάχῃ κριθησόμενος.

XVI. Ἐν τούτῳ δὲ τῆς δυνάμεως περὶ τὸν Εὐμένη τὸ πλεῖστον ἠθροισμένον ἐθαύμαζε τὴν σύνεσιν αὐτοῦ καὶ μόνον ἐκέλευεν ἄρχειν· ἐφ' ᾧ λυπούμενοι καὶ φθονοῦντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, Ἀντιγένης καὶ Τεύταμος, ἐπεβούλευον αὐτῷ καὶ τοὺς πλείστους τῶν τε b σατραπῶν καὶ τῶν στρατηγῶν συναγαγόντες ἐβουλεύοντο, πότε χρὴ καὶ πῶς τὸν Εὐμένη διαφθεῖραι. (2) Συνδόξαν δὲ πᾶσιν ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ, μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, Εὔδαμος ὁ τῶν ἐλεφάντων ἡγεμὼν καὶ Φαίδιμος ἐξαγγέλλουσι κρύφα τῷ Εὐμένει τὰ δεδογμένα, δι' εὔνοιαν μὲν οὐδεμίαν ἢ χάριν, εὐλαβούμενοι δέ, μὴ τῶν χρημάτων, ἃ δεδανείκεσαν αὐτῷ, στερηθῶσιν. (3) Εὐμένης δὲ τούτους μὲν ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν καὶ πρὸς τοὺς φίλους εἰπών, ὡς ἐν πανηγύρει θηρίων ἀναστρέφοιτο, διαθήκας ἔγραψε καὶ τὰ γραμματεῖα κατέσχισε καὶ διέφθειρεν, οὐ βουλόμενος αὐτοῦ τελευτήσαν- c τος ἐκ τῶν ἀποῤῥήτων αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. (4) Ταῦτα διοικησάμενος ἐβουλεύετο τὴν νίκην παρεῖναι τοῖς ἐναντίοις ἢ φυγὼν διὰ Μηδίας καὶ Ἀρμενίας ἐμβαλεῖν εἰς Καππαδοκίαν. Οὐδὲν δὲ κυρώσας τῶν φίλων λιπαρούντων, ἀλλ' ἐπὶ πολλὰ τῇ γνώμῃ πολυτρόπῳ παρὰ τὰς τύχας οὔσῃ κινήσας αὐτὸν ἐξέταττε τὴν δύναμιν, τοὺς μὲν Ἕλληνας καὶ τοὺς βαρβάρους παρορμῶν, ὑπὸ δὲ τῆς φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλούμενος θαῤῥεῖν, ὡς οὐ δεξομένων τῶν πολεμίων. (5) Καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήττητοι καὶ ἀπτῶτες εἰς ἐκεῖνο d χρόνου, πολλοὶ μὲν ἑβδομήκοντα ἔτη γεγονότες, νεώτερος δὲ οὐδεὶς ἑξηκονταετοῦς. (6) Διὸ καὶ τοῖς περὶ τὸν Ἀντίγονον ἐπιόντες ἐβόων· « Ἐπὶ τοὺς πατέρας ἁμαρτάνετε, ὦ κακαὶ κεφαλαί »· καὶ μετ' ὀργῆς ἐμπεσόντες ὅλην ὁμοῦ τὴν φάλαγγα συνέτριψαν, οὐδενὸς ὑποστάντος αὐτούς, τῶν δὲ πλείστων ἐν χερσὶ διαφθαρέντων. (7) Ταύτῃ μὲν οὖν ὁ Ἀντίγονος ἡττᾶτο κατὰ κράτος, τοῖς δ' ἱππεῦσιν ἐπεκράτει, τοῦ δὲ Πευκέστου παντάπασιν ἐκλελυμένως καὶ ἀγεννῶς ἀγωνισαμένου καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινὰ καὶ τοῦ τόπου συνεργοῦντος. e (8) Ἀχανὲς γὰρ ἦν τὸ πεδίον, οὔτε βαθύτερον οὔτε ἀπόκροτον καὶ στερεόν, ἀλλὰ θινῶδες καὶ μεστὸν ἁλμυρίδος αὐχμηρᾶς, ἣ τοσούτων μὲν ἵππων, τοσούτων δὲ ἀνθρώπων ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν ἐξήνθει κόνιν ὥσπερ ἄσβεστον ἀπολευκαίνουσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολοῦσαν. Ἧ καὶ ῥᾴδιον λαθὼν ὁ Ἀντίγονος τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησε.

XVII. Παυσαμένης δὲ τῆς μάχης εὐθὺς οἱ περὶ τὸν f Τεύταμον ἐπρεσβεύοντο περὶ τῆς ἀποσκευῆς. Ἀντιγόνου

hostibus in propinquo degentibus fieri solet, obstaret, finitimique nuntiarent, nullum omnino exercitum, sed multos tantum ignes visos sibi, deceptum se Eumenis astu sensit, idque inique ferens, perrexit eo animo, ut justo prœlio decerneret.

XVI. Interim copiæ ad Eumenem congregatæ majori ex parte sunt, militesque ejus prudentiam mirati, solum ipsum præesse rebus jusserunt. Hoc Argyraspidum duces Antigenem et Teutamum ita ussit, ut invidia impulsi insidias Eumeni struerent et cum plerisque satrapis atque ducibus consilium inirent, quomodo et quando Eumenes necandus esset. (2) Quibus omnibus quum visum esset ejus opera in prœlio uti, inde eum necare, id eorum institutum Eudamus elephantis præfectus et Phædimus occulte ad Eumenem detulerunt, non benevolentia illi quidem et amicitia, sed metu amittendi debitum moti. (3) Eumenes collaudatis eis, in tentorium suum ingressus amicis dixit, in turba belluarum se versari, testamentum condidit, epistolasque omnes concidit, ne ipso mortuo ex earum arcanis qui scripserant crimine calumniave urgeri possent. (4) His actis, an proderet victoriam hosti, an vero fugiendo per Mediam et Armeniam in Cappadociam pergeret, dubius, neque quicquam amicis licet enixe rogantibus certi constituens, sed animo suo in omni fortuna versatili inclinans ad multa, aciem instruxit, Græcos et barbaros cohortatus, quum ultro ipsum phalanx et Argyraspides bono esse animo juberent, quod hostes suum impetum non substituros dicerent. (5) Quippe grandævi erant milites auspicia Philippi et Alexandri secuti et veluti athletæ præstantissimi ad id usque tempus nunquam hosti succubuerant; multi septuagenarii erant, nullus sexagenario minor. (6) Atque hi Antigoni copiis coeuntibus, impios esse, qui adversum patres suos arma ferrent vociferati, tanta cum ira irruerunt, ut totam simul phalangem obtererent, nemine eorum vim perferente et plerisque hostium eo conflictu deletis. (7) Ab ea parte plane victus Antigonus, equitatu prævaluit, Peucestaque turpiter prorsus et segniter prœliante, impedimentis hostium omnibus potitus est, quam ad rem præterquam quod cautum sese in discrimine gessit, ipsa loci natura multum attulit auxilii. (8) Vasta enim erat planities, neque terrena neque dura et rigida, sed sabulosa et plena siccæ cujusdam salsæ terræ, eaque pugnæ tempore tot equorum hominumque pulsata et subversa pedibus se in auras extulit, et pulvere albo calcis instar aerem implevit, conspectumque ademit, quo facilius Antigonus impedimenta hostibus non observantibus cepit.

XVII. Finito prœlio, confestim Teutamus legatos ad Antigonum misit, impedimenta sua repetitum. Respondit

δὲ καὶ ταύτην ἀντιδώσειν ὑπισχνουμένου τοῖς ἀργυράσπισι καὶ τἆλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὸν Εὐμένη, βούλευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβουλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. (2) Καὶ πρῶτον μὲν ἀνυπόπτως προσεπέλαζον αὐτῷ καὶ παρεφύλαττον, οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ θαῤῥεῖν ὡς νενικηκότα κελεύοντες, οἱ
594 δὲ τῶν ἄλλων ἡγεμόνων κατηγοροῦντες. Ἔπειτα a
προσπεσόντες ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτοῦ καὶ τῇ ζώνῃ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. (3) Ἐπεὶ δὲ ὑπὸ Ἀντιγόνου Νικάνωρ ἐπέμφθη παραληψόμενος αὐτόν, ἐδεῖτο λόγου τυχεῖν ἀγόμενος διὰ τῶν Μακεδόνων, οὐχ εἰς δέησιν ἢ παραίτησιν, ἀλλ' ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. (4) Γενομένης δὲ σιωπῆς, ἐν ὑψηλῷ τινι καταστὰς καὶ τὰς χεῖρας δεδεμένας προτείνας, « Ποῖον, εἶπεν, ὦ κάκιστοι Μακεδόνων, τρόπαιον Ἀντίγονος ἐθελήσας ἂν ἔστησε καθ' ὑμῶν, οἷον ὑμεῖς καθ' αὑτῶν ἀνίστατε τὸν στρατηγὸν αἰχμάλωτον ἐκδιδόντες; Οὐκ ἄρα δεινὸν ἦν κρατοῦντας ὑμᾶς ἥτταν b
ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευάς, ὡς ἐν τοῖς χρήμασιν, οὐκ ἐν τοῖς ὅπλοις τοῦ κρατεῖν ὄντος, ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς; Ἐγὼ μὲν οὖν ἀήττητος ἄγομαι νικῶν τοὺς πολεμίους, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος· ὑμεῖς δέ, πρὸς Διὸς στρατίου καὶ θεῶν ὁρκίων, ἐνταῦθά με δι' αὐτῶν κτείνατε. Πάντως κἀκεῖ κτεινόμενος ὑμέτερον ἔργον εἰμί. Μέμψεται δὲ οὐδὲν Ἀντίγονος· νεκροῦ γὰρ Εὐμένους δεῖται καὶ οὐ ζῶντος. Εἰ δὲ φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. Εἰ δὲ οὐ πιστεύετέ μοι ξίφος, ὑποῤῥίψατε τοῖς θηρίοις δεδεμένον. Καὶ ταῦτα πράξαντας ὑμᾶς ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης ὡς ἄνδρας ὁσιωτάτους καὶ δικαιοτάτους περὶ τὸν αὑτῶν c
στρατηγὸν γενομένους. »

XVIII. Ταῦτα τοῦ Εὐμένους λέγοντος τὸ μὲν ἄλλο πλῆθος ἄχθει κατείχετο καὶ κλαυθμὸς ἦν, οἱ δὲ ἀργυράσπιδες ἄγειν ἐβόων καὶ μὴ φλυαροῦντι προσέχειν· οὐ γὰρ εἶναι δεινόν, εἰ Χεῤῥονησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις Μακεδόνας, ἀλλ' εἰ τῶν Ἀλεξάνδρου καὶ Φιλίππου στρατιωτῶν οἱ κράτιστοι τοσαῦτα καμόντες ἐν γήρᾳ στέρονται τῶν ἐπάθλων καὶ τροφὴν παρ' ἑτέρων λαμβάνουσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδουσιν. Ἅμα δὲ ἦγον αὐτὸν ἐπιταχύνοντες. (2) Ἀντίγονος δὲ δείσας τὸν ὄχλον (ἀπελείφθη γὰρ οὐδεὶς ἐν τῷ στρατοπέδῳ) d
δέκα τοὺς κρατιστεύοντας ἐλέφαντας ἐξέπεμψε καὶ λογχοφόρους συχνοὺς Μήδους καὶ Παρθυαίους διακρουσομένους τὸ πλῆθος. (3) Εἶτ' αὐτὸς μὲν ἰδεῖν οὐχ ὑπέμεινε τὸν Εὐμένη διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν, πυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα, πῶς φυλάξουσιν, « Οὕτως, εἶπεν, ὡς ἐλέφαντα, ὡς λέοντα. » (4) Μετὰ μικρὸν δὲ συμπαθὴς γενόμενος τῶν τε δεσμῶν τοὺς βαρεῖς ἐκέλευσεν ἀφελεῖν καὶ παῖδα παραδέξασθαι τῶν συνήθων, ὅπως ἀλείψαιτο, καὶ τῶν φίλων ἐφῆκε τῷ βουλομένῳ συνδιημερεύειν καὶ κομίζειν

Antigonus non ea modo se redditurum, sed et benigne tractaturum præterea Argyraspides, si quidem Eumenem sibi dederent. Hic immane Argyraspidibus consilium incidit, ducem suum vivum in manus hostiles tradendi. (2) Et primum absque suspicione ei se adjungebant observabantque partim amissa impedimenta deplorantes, partim bono animo eum, uti victorem, esse jubentes, partim de reliquis ducibus querentes. Deinde impetu facto, gladium ei eripuerunt manusque in tergum zona revinxerunt. (3) Ut vero Nicanor ab Antigono missus advenit, uti eum abduceret, ibi quum per Macedones medios duceretur, petiit ut copiam sibi dicendi facerent, non pro se deprecaturo, sed de rebus exercitum utilibus monituro. (4) Facto inde silentio, sublimi in loco constitit, manusque vinctas protendens : « Poteratne, inquit, Macedonum pessimi, Antigonus tale de vobis statuere tropæum, quale vos de vobis ipsi tradendo imperatore vestro statuitis? Nonne indignum est facinus, vos parta victoria propter amissa impedimenta victos fateri (quasi vero in his, non in armis victoria sit), et pro iis redimendis ducem vestrum tradere? Ipse quidem invictus abducor, qui, victis hostibus, a commilitonibus meis perdor. Vos autem ego per Jovem militarem, et deos qui juramenta observant, obtestor, hic me vos necate; utique enim ibi etiam cæsus, a vobis cæsus dicar, neque reprehendet factum Antigonus : non enim vivum, sed mortuum cupit Eumenem. Sin manibus vestris parcitis, altera mearum vinculis soluta rei peragendæ sufficiet. Quod si gladium mihi non creditis, at vinctum me elephantis objicite. Id si feceritis, insontes vos pronuncio, et qui sanctissime justissimeque imperatorem vestrum tractaveritis. »

XVIII. Hæc ejus verba apud reliquam multitudinem miserationem et luctum excitaverunt; Argyraspides vero clamabant, uti duceretur, neque nugis ejus aures præberentur : nihil enim iniquum esse, si Chersonesia pestis lugeat, quæ innumeris bellis Macedonas exercuerit; id vero indignum esse, Alexandri et Philippi præstantissimos milites tot exantlatis ærumnis in senectute privari laborum præmiis, cibumque ab aliis petere, uxores eorum tertiam jam noctem cum hostibus concumbere. Simulque accelerato itinere abducebatur. (2) Sed Antigonus turbam metuens (nemo enim in castris remanserat) decem præstantissimos elephantos emisit, multosque hastatos Medos et Parthos qui multitudinem reprimerent. (3) Adductum verecundia pristinæ amicitiæ et consuetudinis aspicere non sustinuit; quærentibus iis quibus erat traditus, quomodo tractari eum vellet, ut elephantum, ut leonem, respondit. (4) Paulo tamen post miseratione motus, graviora ei vincula detrahi jussit, puerumque qui inungeret ex domesticis ejus admitti, itemque amicos qui colloqui vellent, aut

τὰ ἐπιτήδεια. (5) Βουλευόμενος δὲ περὶ αὐτοῦ πλείο- e νας ἡμέρας προσήγετο καὶ λόγους καὶ ὑποσχέσεις Νεάρχου τε τοῦ Κρητὸς καὶ Δημητρίου τοῦ υἱοῦ φιλοτιμουμένων τὸν Εὐμένη σῶσαι, τῶν ἄλλων ὁμοῦ τι πάντων ἐνισταμένων καὶ κελευόντων ἀναιρεῖν. (6) Λέγεται δὲ τὸν Εὐμένη τοῦ φυλάσσοντος αὐτὸν Ὀνομάρχου πυθέσθαι, τί δήποτε Ἀντίγονος ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον οὔτε ἀποκτίννυσι ταχέως οὔτε εὐγενῶς ἀφίησι· τοῦ δὲ Ὀνομάρχου πρὸς ὕβριν εἰπόντος, ὡς οὐ νῦν, ἀλλ' ἐπὶ τῆς μάχης ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς, « Ναὶ μὰ τὸν Δία, φάναι τὸν Εὐμένη, καὶ f τότε εἶχον· ἐροῦ δὲ τοὺς εἰς χεῖρας ἐλθόντας· ἀλλ' οὐδενὶ κρείττονι προστυχὼν οἶδα. » Καὶ τὸν Ὀνόμαρχον, « Οὐκοῦν ἐπεὶ νῦν, φάναι, τὸν κρείττονα εὕρηκας, τί οὐκ ἀναμένεις τὸν ἐκείνου καιρόν; »

alimenta conferre. (5) Deliberans inde de eo per aliquot dies, sermones et promissiones Nearchi Cretensis et filii sui Demetrii admisit, qui salvum Eumenem cupiebant, reliquis uno ore necem ejus urgentibus. (6) Ferunt Eumenem ex Onomarcho, qui custodiebat ipsum, quæsivisse, curnam Antigonus hoste suo potitus non aut statim trucidaret, aut ingenue dimitteret. Respondisse eum superbe, non in præsentia, sed in ipso prœlio animo ad mortem parato esse debuisse. Tum Eumenem : Etiam, mehercle, tum fui idque ita cognosces ex iis, qui manum contulerunt, tametsi in fortiorem me incidi neminem. Ad hæc illum : Nimirum ergo quum nunc eum inveneris, tempus ejus opportunum exspecta.

XIX. Ὡς δ' οὖν ἔδοξε τῷ Ἀντιγόνῳ τὸν Εὐμένη 595 κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. Καὶ a δύο μὲν ἡμέρας ἢ τρεῖς ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν· αἰφνίδιον δὲ ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον ἀποσφάττουσιν αὐτόν. (2) Τὸ δὲ σῶμα τοῖς φίλοις παραδοὺς ὁ Ἀντίγονος ἐπέτρεψε καῦσαι καὶ τὰ λείψανα συνθέντας εἰς ἀργυρᾶν ὑδρίαν κομίζειν ἀποδοθησόμενα τῇ γυναικὶ καὶ τοῖς παισίν. (3) Οὕτω δὲ ἀποθανόντος Εὐμένους, οὐκ ἐπ' ἄλλῳ τινὶ τὴν τιμωρίαν ἐποιήσατο τῶν προδόντων αὐτὸν ἡγεμόνων καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ' αὐτὸς Ἀντίγονος προβαλλόμενος ὡς ἀσεβεῖς καὶ θηριώδεις τοὺς ἀργυράσπιδας παρέδωκε Σιβυρτίῳ τῷ διοικοῦντι τὴν Ἀραχω- b σίαν πάντα τρόπον ἐκτρῖψαι καὶ καταφθεῖραι κελεύσας, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι μηδὲ ὄψεται τὴν Ἑλληνικὴν θάλατταν.

XIX. Antigonus autem, quum Eumenem occidere statuisset, cibum ei subtrahere jussit, biduoque aut triduo ita ad mortem ductus, cum subito castra essent movenda, immisso percussore interfectus est. (2) Corpus ejus amicis cremandum Antigonus dedit, iique ossa lecta in argenteam urnam uxori ejus et liberis remiserunt. (3) Hunc ad modum Eumene interempto, fatum non alterius cujuspiam opera ultum est duces et milites, qui eum prodiderant, sed ipse Antigonus duces et milites Argyraspides ob proditionem impios et immanes reputans, Sibyrtio Arachosiæ præfecto tradidit, eosque, quibuscunque modis absumi et interfici jussit, ne quis eorum in Macedoniam redire aut Græcum mare inspicere posset.

ΣΕΡΤΩΡΙΟΥ ΚΑΙ ΕΥΜΕΝΟΥΣ ΣΥΓΚΡΙΣΙΣ.

Ταῦτ' ἔστιν ἃ περὶ Εὐμένους καὶ Σερτωρίου μνήμης ἄξια παρειλήφαμεν. Ἐν δὲ τῇ συγκρίσει κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας ἐθνῶν τε παντοδαπῶν καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν· ἴδιον δὲ Σερτωρίῳ μὲν τὸ παρὰ πάντων τῶν συμμάχων δεδομένην ἔχειν διὰ τὸ ἀξίωμα τὴν ἀρχήν, Εὐμένει δὲ τὸ πολλῶν διαφερομένων περὶ τῆς c ἡγεμονίας πρὸς αὐτὸν ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον· καὶ τῷ μὲν ἄρχεσθαι βουλόμενοι δικαίως εἵποντο, τῷ δὲ ἄρχειν μὴ δυνάμενοι πρὸς τὸ συμφέρον ὑπήκουον. (2) Καὶ γὰρ ὁ μὲν Ἰβήρων καὶ Λυσιτανῶν Ῥωμαῖος, ὁ δὲ Χεῤῥονησίτης Μακεδόνων ἦρχεν, ὧν οἱ μὲν ἔκπαλαι Ῥωμαίοις ἐδούλευον, οἱ δὲ τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. (3) Καὶ Σερτώριος μὲν ἀπὸ βουλῆς καὶ στρατηγίας θαυμαζόμενος, Εὐμένης

SERTORII CUM EUMENE COMPARATIO.

Hæc sunt quæ de Eumene et Sertorio memoratu digna accepimus. In comparatione autem commune hoc est ambobus quod peregrinus uterque et alienigena et exsul, variis gentibus, et bellicosis magnisque exercitibus imperaverunt. Id interest, quod Sertorio unanimi sociorum consensu ob ejus existimationem imperium delatum est, Eumenes, multis cum eo de imperio contendentibus, rebus gestis obtinuit principatum. Deinde quod alterum justo principi parere volentes secuti sunt, alteri qui imperare tum nequirent, sui commodi causa obtemperaverunt. (2) Etenim Romanus alter Hispanis et Lusitanis, alter Chersonesius Macedonibus præfuit, quorum hi omnes homines subegerant, illi jam pridem Romanis serviebant. (3) Præterea Sertorius senatoria dignitate et imperiis gestis magno in

δὲ διὰ τὴν γραμματείαν καταφρονούμενος ἐφ' ἡγεμονίαν προῆλθεν. (4) Οὐ μόνον τοίνυν ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρή- d σατο κωλύμασιν Εὐμένης. Καὶ γὰρ ἄντικρυς τοὺς ἐνισταμένους καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς, οὐχ ὥσπερ τῷ ἑτέρῳ φανερῶς μὲν οὐδείς, λάθρα δὲ ὕστερον καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. Διὸ τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν τὸ νικᾶν τοὺς πολεμίους, τῷ δ' ἐκ τοῦ νικᾶν ὁ κίνδυνος ὑπὸ τῶν φθονούντων.

II. Τὰ μὲν οὖν κατὰ τὴν στρατηγίαν ἐφάμιλλα καὶ παράλληλα· τῷ δὲ ἄλλῳ τρόπῳ φιλοπόλεμος μὲν ὁ Εὐμένης καὶ φιλόνεικος, ἡσυχίας δὲ καὶ πρᾳότητος οἰκεῖος ὁ Σερτώριος. (2) Ὁ μὲν γάρ, ἀσφαλῶς καὶ μετὰ τιμῆς βιοῦν ἐξὸν ἐκποδὼν γενομένῳ τοῖς πρώτοις, μαχόμενος e καὶ κινδυνεύων διετέλεσε· τῷ δὲ οὐδὲν δεομένῳ πραγμάτων ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. (3) Εὐμένει μὲν γὰρ Ἀντίγονος ἐκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώνων ἡδέως ἂν ἐχρῆτο τὴν μετ' αὐτὸν ἀγαπῶντι τάξιν, Σερτωρίῳ δὲ οἱ περὶ Πομπήιον οὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. (4) Διὸ τῷ μὲν ἑκοντὶ συνέβαινε πολεμεῖν ἐπ' ἀρχῇ, τῷ δὲ ἀκουσίως ἄρχειν διὰ τὸ πολεμεῖσθαι. Φιλοπόλεμος μὲν οὖν ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν, πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. (5) Καὶ μὴν ἀποθανεῖν γε συνέβη τῷ μὲν οὐ f προαισθομένῳ, τῷ δὲ καὶ προσδεχομένῳ τὴν τελευτήν· ὧν τὸ μὲν ἐπιεικείας, φίλοις γὰρ ἐδόκει πιστεύειν, τὸ δὲ ἀσθενείας, βουλόμενος γὰρ φυγεῖν συνελήφθη. (6) Καὶ τοῦ μὲν οὐ κατῄσχυνε τὸν βίον ὁ θάνατος πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν οὐδεὶς ἐποίη- 596 σεν, ὁ δὲ φεύγειν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθείς, a ζῆν δὲ μετ' αἰχμαλωσίαν βουληθείς, οὔτε ἐφυλάξατο καλῶς τὴν τελευτὴν οὔθ' ὑπέμεινεν, ἀλλὰ προσλιπαρῶν καὶ δεόμενος τοῦ σώματος μόνου κρατεῖν δοκοῦντα τὸν πολέμιον καὶ τῆς ψυχῆς αὐτοῦ κύριον ἐποίησεν.

pretio habitus, Eumenes ob scribæ munus obitum contemptus, ad principatum progressi sunt. (4) Sed Eumenes non minores modo initio occasiones, verum etiam graviora ad incrementum impedimenta habuit, multis ipsi palam resistentibus, multis occulte insidiantibus; nam adversus Sertorium aperte nemo, clam demum et pauci sociorum insurrexerunt. Itaque alteri finis periculorum erat vincere hostes; alteri victori periculum ab æmulis impendebat.

II. Rebus gestis pares propemodum fuerunt; ingeniis dissimiles, quippe belli et certaminum cupidus Eumenes, otii et pacis desiderans Sertorius. (2) Et Eumenes quum, si cessisset, tuto vivere et honorifice potuisset, maluit cum præstantissimis certando periculaque adeundo vitam agere; Sertorius nihil minus quam negotiorum cupidus bellum corporis sui defendendi causa ab inimicis pacem invidentibus gerere coactus est. (3) Nam Eumenem, si contentione de principatu omissa secundo loco se haberi passus fuisset, libenter socium habuisset Antigonus, Pompeius Sertorium ne privatum quidem vivere voluit. (4) Itaque illi contigit ut ultro ad imperium obtinendum bellum susciperet, huic ut invitus illato sibi bello delatum imperium gereret. Enimvero belli cupidum dicimus, qui securæ vitæ cupiditatem majorum rerum præposuit; bellicosum, qui bello tutum sese præstitit. (5) Mors Sertorio necopinanti accidit, Eumeni prævidenti. Et illi bonitas causam necis præbuisse videri potest, quod amicis se credidit; huic angustiæ animæ, qui fugam tentans captus est. (6) Ac Sertorii quidem vitam mors non dedecoravit, ea passum a sociis, quæ hostium nemo ei fecit: Eumenes quum neque effugere ne caperetur, potuisset, et captus jam vitæ desiderio teneretur, neque vitavit recte mortem, neque pertulit, sed deprecando necem hostem, qui corpus tantum ejus sua in potestate habere videbatur, animi quoque sui dominum compotemque fecit.

ΑΓΗΣΙΛΑΟΣ.

596 Ἀρχίδαμος ὁ Ζευξιδάμου βασιλεύσας ἐπιφανῶς Λακεδαιμονίων κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμου c Λαμπιδοῦς Ἆγιν καὶ πολὺ νεώτερον ἐξ Εὐπωλίας τῆς Μελησιππίδα θυγατρὸς Ἀγησίλαον. (2) Ἐπεὶ δὲ, τῆς βασιλείας Ἄγιδι προσηκούσης κατὰ τὸν νόμον, ἰδιώτης ἐδόκει βιοτεύειν ὁ Ἀγησίλαος, ἤχθη τὴν λεγομένην ἀγωγὴν ἐν Λακεδαίμονι, σκληρὰν μὲν οὖσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύουσαν δὲ τοὺς νέους ἄρχεσθαι. (3) Διὸ καί φασιν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δ α μ α σ ί μ β ρ ο τ ο ν, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους. (4) Ταύτης ἀφίησιν ὁ νόμος τῆς d ἀνάγκης τοὺς ἐπὶ βασιλείᾳ τρεφομένους παῖδας· Ἀγησιλάῳ δὲ καὶ τοῦτο ὑπῆρξεν ἴδιον, ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον τοῦ ἄρχεσθαι. Διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοστότατον αὐτὸν τοῖς ὑπηκόοις παρέσχε τῷ φύσει ἡγεμονικῷ καὶ βασιλικῷ προσκτησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον.

II. Ἐν δὲ ταῖς καλουμέναις ἀγέλαις τῶν συστρεφομένων παίδων Λύσανδρον ἔσχεν ἐραστὴν ἐκπλαγέντα μάλιστα τῷ κοσμίῳ τῆς φύσεως αὐτοῦ. (2) Φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέστατος ἐν τοῖς νέοις καὶ πάντα πρωτεύειν βουλόμενος καὶ τὸ σφοδρὸν ἔχων καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαστον εὐπειθείᾳ πάλιν αὖ e καὶ πρᾳότητι τοιοῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προσταττόμενα καὶ τοῖς ψόγοις ἀλγύνεσθαι μᾶλλον ἢ τοὺς πόνους βαρύνεσθαι. (3) Τήν τε τοῦ σκέλους πήρωσιν ἥ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἐπέκρυπτε, καὶ τὸ ῥᾳδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους, ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐκδηλοτέραν ἐποίει, πρὸς μηδένα πόνον μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. (4) Τῆς δὲ f μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν, αὐτὸς γὰρ οὐκ ἠθέλησεν, ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν μήτε μιμηλάν τινα ποιήσασθαι τοῦ σώματος εἰκόνα· λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος. Ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε μήτε φωνῇ μήτ᾽ ὄψει τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν ἄχρι γήρως παρεῖχεν. (5) Ὡς δὲ Θεόφραστος 597 ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν· « Οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἅμμιν, a ἀλλὰ βασιλείδια γεννάσει. »

III. Βασιλεύοντος δὲ Ἄγιδος ἧκεν Ἀλκιβιάδης ἐκ Σικελίας φυγὰς εἰς Λακεδαίμονα· καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως Τιμαίᾳ συνεῖναι. (2) Καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδάριον οὐκ ἔφη γινώσκειν ὁ Ἆγις, ἀλλ᾽ ἐξ Ἀλκιβιάδου γεγονέναι. Καὶ τοῦτο δὲ οὐ πάνυ δυσκό-

AGESILAUS.

Archidamus Zeuxidami filius, qui magna cum gloria Spartæ regnavit, ex Lampidone uxore sua, præstanti muliere, Agidem filium reliquit et alium natu multo minorem ex Eupolia Melesippidæ filia Agesilaum. (2) Regnum quum lege ad Agidem deferretur et Agesilaus vitam privatam acturus putaretur, Lacedæmoniorum disciplina institutus est, dura quidem illa et laboriosa, sed qua ad ferenda imperia juvenes erudirentur. (3) Inde ferunt Spartam a Simonide *domitricem hominum* dictam, quod disciplinæ genere cives obedientes et mansuetos efficeret, equorum instar, qui ab initio statim domantur. (4) Et quidem hujus disciplinæ necessitate lex eos, qui spe regni educantur, solvit. Verum Agesilao id peculiariter contigit, ut nequaquam rudis parendi ad imperandum accederet. Itaque longe omnium regum commodissimus subditis fuit, quod regiæ naturæ humanitatem et popularitatem educatione adjecisset.

II. In gregibus quos vocant eorum qui una versantur puerorum, Lysandrum amatorem habuit, maxime elegantiam in eo ingenii admirantem. (2) Quippe quum esset præ reliquis æqualium contentiosus et iracundus atque ubique primas sibi posceret insuperabilisque esset vehementiæ, neque usquam se cogi pateretur; contra ita obedientem et placidum sese præstabat, ut nihil mandatorum metu, verecundia omnia faceret et reprehensiones quam labores gravius ferret. (3) Claudicationem et florentis ætatis pulchritudo texit et casum eum ipse leviorem reddidit æquo hilarique animo ferens primusque se ipsum eo nomine ludens; et vero honestæ laudis cupiditatem suam eo magis conspicuam reddidit, nullum laborem, nullum negotium ob claudicationem detrectans. (4) Formam ejus expressam non habemus; noluit enim id et moriens quoque edixit, ne imago ipsius vel fingeretur vel pingeretur; aiunt autem fuisse statura parva et aspectu contemnendo. Ceterum hilaritas animusque omni tempore lætus et urbanus, voxque et vultus ab omni morositate et austeritate alienus, amabiliorem eum formosis usque ad senectutem fecerunt. (5) Theophrastus auctor est, Archidamo mulctam ephoros indixisse, quod uxorem pusillam duxisset, dicentes eum non reges, sed regulos geniturum.

III. Agide regnante Alcibiades ex Sicilia exsul Lacedæmonem venit, neque diu ibi fuit, quum rumor exstitit, eum cum uxore Agidis Timæa rem habere. (2) Filium quidem ex ea natum rex non agnovit suum esse, sed Alcibiadis esse dixit; neque id moleste admodum Timæam tulisse

λως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἱλωτίδας Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχίδην, καλεῖν· καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν οὐ πρὸς ὕβριν φάναι τῇ Τιμαίᾳ πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι Σπαρ- b τιάτας ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. (3) Διὰ ταῦτα μὲν τῆς Λακεδαίμονος ὁ Ἀλκιβιάδης ὑπεξῆλθε φοβηθεὶς τὸν Ἆγιν. Ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ, νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. (4) Οὐ μὴν ἀλλὰ τελευτήσαντος τοῦ Ἄγιδος ὁ Λύσανδρος ἤδη καταναυμαχηκὼς Ἀθηναίους καὶ μέγιστον ἐν Σπάρτῃ δυνάμενος τὸν Ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς οὐ προσήκουσαν ὄντι νόθῳ τῷ Λεωτυχίδῃ. Πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν διὰ τὴν ἀρετὴν τοῦ Ἀγησι- c λάου καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς ἐφιλοτιμοῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. (5) Ἦν δὲ Διοπείθης ἀνὴρ χρησμολόγος ἐν Σπάρτῃ μαντειῶν τε παλαιῶν ὑπόπλεως καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. Οὗτος οὐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέσθαι τῆς Λακεδαίμονος βασιλέα καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιοῦτον ἀνεγίνωσκε·

Φράζεο δή, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία·
δηρὸν γὰρ νοῦσοί σε κατασχήσουσιν ἄελπτοι
φθερσιβρότου τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

(6) Πρὸς ταῦτα Λύσανδρος ἔλεγεν, ὡς, εἰ πάνυ φοβοῖντο d τὸν χρησμὸν οἱ Σπαρτιᾶται, φυλακτέον αὐτοῖς εἴη τὸν Λεωτυχίδην· οὐ γάρ, εἰ προσπταίσας τις τὸν πόδα βασιλεύοι, τῷ θεῷ διαφέρειν, ἀλλ' εἰ μὴ γνήσιος ὢν μηδὲ Ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. (7) Ὁ δὲ Ἀγησίλαος ἔφη καὶ τὸν Ποσειδῶ καταμαρτυρεῖν τοῦ Λεωτυχίδου τὴν νοθείαν ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἆγιν· ἀπ' ἐκείνου δὲ πλέον ἢ δέκα μηνῶν διελθόντων γενέσθαι τὸν Λεωτυχίδην.

IV. Οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ Ἀγησίλαος εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ Ἄγιδος ὡς νόθον ἀπελάσας τὸν Λεωτυχίδην. Ὁρῶν δὲ τοὺς ἀπὸ e μητρὸς οἰκείους ἐπιεικεῖς μὲν ὄντας, ἰσχυρῶς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα τῶν χρημάτων, εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τῇ κληρονομίᾳ κατασκευαζόμενος. (2) Ὁ δὲ φησιν ὁ Ξενοφῶν, ὅτι πάντα τῇ πατρίδι πειθόμενος ἴσχυε πλεῖστον, ὥστε ποιεῖν ὃ βούλοιτο, τοιοῦτό ἐστι. Τῶν ἐφόρων ἦν τότε καὶ τῶν γερόντων τὸ μέγιστον ἐν τῇ πολιτείᾳ κράτος, ὧν οἱ μὲν ἐνιαυτὸν ἄρχουσι μόνον, οἱ δὲ γέροντες διὰ βίου ταύτην ἔχουσι τὴν τιμὴν ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν ἐξεῖναι συνταχθέντες, ὡς ἐν τῷ περὶ Λυκούργου γέγραπται. (3) Διὸ καὶ πατρικήν τινα πρὸς αὐτοὺς ἀπὸ τοῦ παλαιοῦ διετέλουν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφορὰν παραλαμβάνοντες. Ὁ δὲ Ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν ἦλθε καὶ τὸ f πολεμεῖν καὶ τὸ προσκρούειν αὐτοῖς ἐάσας ἐθεράπευε,

Duris scribit, domique ancillis nomen pueri non Leotychidam, sed Alcibiadem insusurrasse; Alcibiadem quoque dixisse, non libidinis causa se cum Timæa coiisse, verum id affectantem, ut Spartani ab ipsius prole regerentur. (3) Ea quidem causa ipsi fuit, ut Agidem metuens Lacedæmone abiret. Leotychidas Agidi semper suspectus fuit, neque eo, quo legitimus, loco habitus; tandem ægrotanti supplicans, lacrimis precibusque impetravit uti multis audientibus filium se suum pronuntiaret. (4) Enimvero Agide vita defuncto, Lysander, qui devictis navali pugna Atheniensibus plurimum Spartæ poterat, Agesilaum ad regnum produxit, quod id ad Leotychidam adulterinum non pertineret. Multi etiam civium Agesilao propter virtutem communemque disciplinam favebant studioseque adjuvabant. (5) Erat quidam eo tempore Spartæ Diopithes, antiquorum oraculorum copia instructus vaticinandique peritissimus creditus. Is claudo regnum Spartæ dari nefas esse affirmabat, inque judicio tale oraculum recitabat:

Sparta cave, quamvis alte te gloria tollat,
rex validæ tibi det pedibus ne incommoda claudis:
namque insperatos cogeris ferre labores
pestiferosque diu belli subsistere fluctus.

(6) Ad hæc Lysander, Spartanis, si maxime hoc oraculum metuerent, a Leotychida cavendum; non enim de eo sollicitum fuisse deum, ne quis offenso pede claudicans regnaret, sed id demum claudum fore regnum, si spurius et non Herculis stirpe natus rex crearetur. (7) Agesilaus Neptunum quoque testem laudabat Leotychidæ adulterinorum natalium, qui Agidem terræ motu cubiculo ejecisset, et ab eo tempore quum Timæa is abstinuisset, decimo peracto mense natum Leotychidam affirmabat.

IV. Hoc modo regnum Agesilaus, mox etiam opes Agidis occupavit, ejecto ut spurio Leotychida. Verum quia maternos propinquos, bonos viros, paupertate graviter premi videbat, bonorum partem eis tribuit, benevolentiam sibi et gloriam potius quam invidiam et inimicitias ea hæreditate parandum ratus. (2) Quod autem Xenophon dicit, eum patriæ in omnibus obtemperando eo potentiæ pervenisse, ut ageret quæ vellet, id tale est. Ephororum tunc summa erat Lacedæmone potestas et seniorum, quorum illi annuum, hi quamdiu viverent gerebant magistratum, ad cohibendam regum licentiam constituti, quemadmodum in Lycurgo scripsimus. (3) Inde fiebat ut antiquitus et a majoribus ad se propagatam cum his litem ac contentionem reges initio statim imperii sui susciperent. Sed Agesilaus contrariam viam ingressus, certamina et offensas eorum

πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος, εἰ δὲ κληθείη, θᾶττον ἢ βάδην ἐπειγόμενος, ὁσάκις δὲ τύχοι καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ καὶ χρηματίζων 598 ἐπιοῦσι τοῖς ἐφόροις ὑπεξανίστατο, τῶν δ' εἰς τὴν γε- a ρουσίαν ἀεὶ καταταττομένων ἑκάστῳ χλαῖναν ἔπεμπε καὶ βοῦν ἀριστεῖον. (4) Ἐκ δὲ τούτων τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς ἐλάνθανεν αὔξων τὴν ἑαυτοῦ δύναμιν καὶ τῇ βασιλείᾳ προστιθέμενος μέγεθος ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρούμενον.

V. Ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους πολίτας ὁμιλίαις ἐχθρὸς ἦν ἀμεμπτότερος ἢ φίλος. Τοὺς μὲν γὰρ ἐχθροὺς ἀδίκως οὐκ ἔβλαπτε, τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε, καὶ τοὺς μὲν ἐχθροὺς ᾐσχύνετο μὴ τιμᾶν κατορθοῦντας, τοὺς δὲ φίλους οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας, ἀλλὰ καὶ βοηθῶν ἠγάλλετο καὶ συνεξαμαρτάνων αὐτοῖς· οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργη- b μάτων αἰσχρὸν εἶναι. (2) Τοῖς δ' αὖ διαφόροις καὶ πταίσασι πρῶτος συναχθόμενος καὶ δεηθεῖσι συμπράττων προθύμως ἐδημαγώγει καὶ προσήγετο πάντας. (3) Ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα καὶ φοβούμενοι τὴν δύναμιν ἐζημίωσαν αὐτὸν αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας ἰδίους κτᾶται. (4) Καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια, παύσασθαι δὲ πάντως τὴν γένεσιν καὶ κίνησιν ὑπὸ τῆς πρὸς πάντα πάντων ἁρμονίας, οὕτως ἔοικεν ὁ Λακωνικὸς νομοθέτης ὑπέκκαυμα τῆς ἀρετῆς ἐμβαλεῖν εἰς τὴν πολιτείαν τὸ φιλόνεικον καὶ φιλότιμον ἀεί τινα τοῖς ἀγαθοῖς διαφορὰν c καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος, τὴν δὲ ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ χάριν ἀργὴν καὶ ἀναγώνιστον οὖσαν οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. (5) Τοῦτο δὲ ἀμέλει συνεωρακέναι καὶ τὸν Ὅμηρον οἴονταί τινες· οὐ γὰρ ἂν τὸν Ἀγαμέμνονα ποιῆσαι χαίροντα τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ἐνόμιζεν εἶναι τὸν πρὸς ἀλλήλους ζῆλον καὶ τὴν διαφορὰν τῶν ἀρίστων. (6) Ταῦτα μὲν οὖν οὐκ ἂν οὕτως τις ἁπλῶς συγχωρήσειεν· αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι καὶ μεγάλους κινδύ- d νους ἔχουσι.

VI. Τοῦ δὲ Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος ἀπήγγελόν τινες ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ Λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. (2) Ὁ δὲ Λύσανδρος ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπιθέσθαι τῇ στρατείᾳ καὶ προπολεμῆσαι τῆς Ἑλλάδος ἀπωτάτω διαβάντα καὶ φθάσαντα τὴν τοῦ βαρβάρου παρασκευήν. c Ἅμα δὲ τοῖς ἐν Ἀσίᾳ φίλοις ἐπέστελλε πέμπειν εἰς Λακεδαίμονα καὶ στρατηγὸν Ἀγησίλαον αἰτεῖσθαι. (3)

vitare, ipsos colere, ab ipsis omnes suas actiones auspicari, vocatus præsto adesse, ephoris accedentibus quoties pro tribunali sedens responsa daret, assurgere, singulis qui in senatum adsciti essent lænam et bovem dono quasi virtuti ejus gratulans mittere. (4) His rebus honorare et amplificare dignitatem ejus ordinis creditus, nemine animadvertente suam potentiam augebat, regnoque amplitudinem concessam aliorum erga se benevolentia parabat majorem.

V. Cum reliquis civibus ita se gessit, ut inimicus quam amicus minus reprehensionis mereretur. Nemini enim inimicorum injuste oberat, amicos etiam in rebus non justis adjuvabat : inimicos, si quid præclare fecissent, non afficere honore turpitudini ducebat, amicos delinquentes vituperare non poterat, sed auxilium iis operamque præbere peccantibus, laudi sibi habebat; nimirum existimans nullum quod amico tribueretur officium turpe esse. (2) Dissentientes a se quum adversam fortunam passi essent, primus omnium, miserabatur rogatusque promptam operam navabat; itaque omnium in se studia convertebat. (3) Quod quum viderent ephori potentiamque ejus metuerent, mulctam irrogaverunt, causati publicos eum cives privatim suos efficere. (4) Quemadmodum enim physici existimant, lite et contentione ex rerum natura sublatis, cœlestium corporum motus cessaturos, rerumque procreationes ac mutationes propter omnium inter se congruentiam esse desituras; ita Lacedæmonius legumlator videtur in rempublicam quasi fomitem virtutis immisisse studium contendendi, uti semper aliquid inter bonos certaminis dissidiique esset; eam vero gratiam, qua cives non exploratis prius per mutuas contentiones animis ultro alter alteri concedunt, ut otiosam et desidem, concordiæ nomen non mereri statuit. (5) Atque hoc nimirum etiam ab Homero animadversum fuisse putant aliqui; neque enim finxisset Agamemnonem rixa Ulyssis et Achillis gaudentem,

Mutua quum facerent gravibus convicia verbis,

nisi is præstantissimorum heroum æmulationem et disceptationem magno reipublicæ bono esse duxisset. (6) Verum hæc haud ita simpliciter, puto, quispiam concesserit, quippe nimiæ contentiones in gravia civitates discrimina adducunt.

VI. Agesilao nuper rege facto, quidam ex Asia venientes renuntiant, regem Persarum magna classe Lacedæmonios mari ejicere moliri. (2) Ibi Lysander rursus in Asiam proficisci cupiens et amicis, qui urbium ab ipso præfecti dominique constituti, ob violentiam et injurias a civibus partim pulsi, partim obtruncati fuerant, opem ferre, Agesilao auctor fuit, ut bellum susciperet, factaque longissime a Græcia expeditione regis conatum præverteret. Simul et amicos, quos in Asia habebat, per epistolas monuit, uti missis Lacedæmonem legatis Agesilaum ducem peterent.

Παρελθὼν οὖν εἰς τὸ πλῆθος Ἀγησίλαος ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους Σπαρτιάτας, νεοδαμώδεις δὲ λογάδας δισχιλίους, τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δύναμιν. (4) Συμπράττοντος δὲ πάντα τοῦ Λυσάνδρου προθύμως ἐψηφίσαντο καὶ τὸν Ἀγησίλαον ἐξέπεμπον εὐθὺς ἔχοντα τοὺς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν πρῶτος, οὐ διὰ τὴν ἑαυτοῦ μόνον δόξαν καὶ δύναμιν, ἀλλὰ καὶ διὰ τὴν Ἀγησιλάου φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς f βασιλείας ἀγαθὸν διαπεπρᾶχθαι τὴν στρατηγίαν ἐκείνην. (5) Ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιστὸν, αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτόν· « Ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν οὐδεὶς τῆς Ἑλλάδος ὁμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς ἢ πρότε- a
599 ρον Ἀγαμέμνων καὶ σὺ νῦν μετ' ἐκεῖνον, ἐννοεῖς δήπουθεν· ἐπεὶ δὲ τῶν μὲν αὐτῶν ἄρχεις ἐκείνῳ, τοῖς δ' αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκός ἐστι καὶ θῦσαί σε τῇ θεῷ θυσίαν, ἣν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν. » (6) Ἅμα δέ πως ὑπῆλθε τὸν Ἀγησίλαον ὁ τῆς κόρης σφαγιασμὸς, ἣν ὁ πατὴρ ἔσφαξε πεισθεὶς τοῖς μάντεσιν. Οὐ μὴν διετάραξεν αὐτὸν, ἀλλ' ἀναστὰς καὶ διηγησάμενος τοῖς φίλοις τὰ φανέντα, τὴν μὲν θεὸν ἔφη τιμήσειν οἷς εἰκός ἐστι χαίρειν καὶ θεὸν οὖσαν, οὐ μιμήσασθαι δὲ τὴν ἀπάθειαν τοῦ τότε στρατηγοῦ. (7) Καὶ καταστέψας ἔλαφον ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὥσπερ εἰώθει τοῦτο ποιεῖν ὁ ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. b Ἀκούσαντες οὖν οἱ Βοιωτάρχαι πρὸς ὀργὴν κινηθέντες ἔπεμψαν ὑπηρέτας ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια Βοιωτῶν. Οἱ δὲ καὶ ταῦτα ἀπήγγειλαν καὶ τὰ μηρία διέῤῥιψαν ἀπὸ τοῦ βωμοῦ. (8) Χαλεπῶς οὖν ἔχων ὁ Ἀγησίλαος ἀπέπλει τοῖς τε Θηβαίοις διωργισμένος καὶ γεγονὼς δύσελπις διὰ τὸν οἰωνὸν, ὡς ἀτελῶν αὐτῷ τῶν πράξεων γενησομένων καὶ τῆς στρατείας ἐπὶ τὸ προσῆκον οὐχ ἀφιξομένης.

VII. Ἐπεὶ δὲ ἧκεν εἰς Ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσανδρον, ὄχλου φοιτῶντος ἐπὶ τὰς θύρας ἑκάστοτε καὶ πάντων c παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ὄντα διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων καὶ δυνάμενον καὶ πράττοντα πάντα τὸν Λύσανδρον. (2) Οὐδεὶς γὰρ δεινότερος οὐδὲ φοβερώτερος ἐκείνου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν, οὐδὲ μείζονα τοὺς φίλους ἀνὴρ ἄλλος εὐεργέτησεν οὐδὲ κακὰ τηλικαῦτα τοὺς ἐχθροὺς ἐποίησεν. (3) Ὧν ἔτι προσφάτων ὄντων οἱ ἄνθρωποι μνημονεύοντες, ἄλλως δὲ τὸν μὲν Ἀγησίλαον ἀφελῆ καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες, ἐκείνῳ δὲ τὴν αὐτὴν ὁμοίως σφοδρότητα καὶ d τραχύτητα καὶ βραχυλογίαν παροῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. (4) Ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφε-

(3) Exinde in concionem progressus Agesilaus bellum ea conditione suscepit, uti Spartani triginta, quibus legatis in bello et consiliariis uteretur, tum duo millia lectorum tironum, sex millia sociorum sibi decernerentur. (4) Hæc omnia Lysandro eandem rem agente decrevit statim populus, et Agesilaus missus est ad bellum cum triginta Spartanis, inter quos primus erat Lysander, non ob suam tantum gloriam atque potentiam, sed et Agesilai amicitiam, quem impetrata ejus belli administratione majori sibi, quam quum regem creari effecisset, beneficio obstrinxisse judicabat. (5) Collectis Geræstum copiis, Agesilaus Aulidem cum amicis abiit; ibi pernoctans, in somnis visus est sibi hujusmodi sermonem audire : Intelligis haud dubie, o rex Spartanorum, neminem unquam præter Agamemnonem, et nunc te, universæ Græciæ imperatorem constitutum fuisse; itaque quando et iisdem imperas et eosdem bello petis, atque iisdem etiam ex locis ad bellum proficisceris, haud ab re sit, divæ quoque eadem te sacra facere quibus ille peractis hinc solvit. (6) Venit quidem illico in mentem Agesilao, Agamemnonem jussu aruspicum filiam suam ibi pro victima immolasse; nihil tamen perturbatus surrexit, reque amicis exposita, deam inquit se honoraturum iis sacris, quibus deam quoque gaudere par sit, indolentiam vero Agamemnonis nequaquam imitaturum. (7) Proinde coronavit cervam suumque aruspicem secus quam solebat a Bœotiis ad hoc constitutus, immolare jussit. Eo audito Bœotorum principes indignatione accensi, apparitores miserunt, qui edicerent Agesilao, ne contra quam instituta et consuetudo Bœotorum ferret, sacrificaret. Atque hi et mandata persecuti sunt, et femora aris imposita deturbaverunt. (8) Ita ægro animo Agesilaus solvit, Bœotis infensus metuensque ne id omen rem ab ipso confectum non iri, expeditionemque proposito fine non potituram significaret.

VII. Ut Ephesum pervenit, e vestigio Lysandri potentia et auctoritas molesta fuit, cujus ad limina frequens assidue turba commeabat omnesque eum comitabantur et colebant; quasi vero propter legem nomen et habitum imperatoris Agesilaus, revera omnia agendi summamque rerum potestatem Lysander haberet. (2) Nemo enim unquam dux Lysandro gravior aut potentior in Asiam missus fuerat, nemo alius majora vel amicis beneficia, vel hostibus damna dederat. (3) Quæ quum in recenti adhuc haberent homines memoria, Agesilaum præterea simplicem et lenem popularemque, illum pristina vehementia, severitate et dicendi brevitate præditum viderent, huic uni sese omnes submittebant unumque colebant. (4) Primum reliquis hoc Spartanis molestum fuit, quod Lysandri magis famulos quam

ρον ὑπηρέται Λυσάνδρου μᾶλλον ἢ σύμβουλοι βασιλέως ὄντες· ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος, εἰ καὶ μὴ φθονερὸς ἦν μηδὲ ἤχθετο τοῖς τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνεικος ἐφοβεῖτο, μή, κἂν ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τοῦτο τοῦ Λυσάνδρου γένηται διὰ τὴν δόξαν. (5) Οὕτως οὖν ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις ἐῶν χαίρειν καὶ παραμε- e λῶν ἕτερα πρὸ ἐκείνων ἔπραττεν· ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας ἀπράκτους ἀπέπεμπε· καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος ἐπηρεάζοι τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν, καὶ τοὐναντίον οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν χαλεπὸν ἦν μὴ καὶ ζημιωθῆναι. (6) Γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ' ἔλεγεν, ὡς δι' αὐτὸν ἀτιμάζοιντο, καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμέ- f νους.

VIII. Ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνον ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καθάψασθαι βουλόμενος Ἀγησίλαος ἀπέδειξε κρεοδαίτην καὶ προσεῖπεν, ὡς λέγεται, πολλῶν ἀκουόντων· « Νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀπιόντες τὸν ἐμὸν κρεοδαίτην. » (2) Ἀχθόμενος οὖν ὁ Λύσανδρος λέγει πρὸς αὐτόν· « Ἤδεις ἄρα σαφῶς, Ἀγησίλαε, φίλους ἐλατ- 600 τοῦν*. » « Ἤδειν, ἔφη, τοὺς ἐμοῦ μεῖζον δύνασθαι a βουλομένους. » Καὶ ὁ Λύσανδρος, « Ἀλλ' ἴσως, ἔφη, ταῦτα σοὶ λέλεκται βέλτιον ἢ ἐμοὶ πέπρακται. Δὸς δέ μοι τινὰ τάξιν καὶ χώραν, ἔνθα μὴ λυπῶν ἔσομαί σοι χρήσιμος. » (3) Ἐκ τούτου πέμπεται μὲν ἐφ' Ἑλλήσποντον καὶ Σπιθριδάτην, ἄνδρα Πέρσην, ἀπὸ τῆς Φαρναβάζου χώρας μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων ἤγαγε πρὸς τὸν Ἀγησίλαον, οὐκ ἔληγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον ἐπεβούλευεν, ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. Καὶ ἐδόκει μεγάλην ἂν ἀπεργάσασθαι κίνη- b σιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτη- b σεν εἰς Βοιωτίαν στρατεύσας. (4) Οὕτως αἱ φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις τὸ ἄγαν μὴ φυλαξάμεναι τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. Καὶ γάρ, εἰ Λύσανδρος ἦν φορτικός, ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρόν, οὐκ ἠγνόει δήπουθεν Ἀγησίλαος ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. Ἀλλ' ἔοικε ταὐτῷ πάθει μήτε ἐκεῖνος ἄρχοντος ἐξουσίαν γνῶναι μήτε οὗτος ἄγνοιαν ἐνεγκεῖν συνήθους.

IX. Ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον ἐποιήσατο σπονδάς, ὡς τὰς πόλεις αὐ- c τῷ τὰς Ἑλληνίδας ἀφήσοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο. (2) Προσδο-

regis consiliarios agerent; deinde ipse Agesilaus, tametsi ab invidia alieno ingenio, neque ullius honoribus iniquus, gloriæ tamen cupidus et contentiosus, vereri cœpit ne, si quid splendide actum fuisset, id Lysandri gloriæ accederet. (5) Itaque sic agit : primum omnibus illius consiliis repugnabat, et in quas res illum maxime incumbere intelligeret, iis omissis aut neglectis alias potius sequebatur. Inde si qui ipsum compellarent, aut aliquid peterent, Lysandro maxime freti, eos infecta re dimittere; itemque in judiciis, quibus Lysander male vellet, secundum eos decernere, ac contra quibus ille cupere cernebatur, eos tantum non mulctis afficere. (6) Hæc quum non fortuito sed data opera et eodem semper modo fierent, causam Lysander sensit amicisque palam exposuit propter ipsum eos ignominia affici, hortatusque est, ut ipsum porro regem, aut qui ipso plus apud eum possent, colerent.

VIII. Hæc quum conflandæ regi invidiæ causa agere ac dicere videretur, Agesilaus, quo magis cohiberet, divisorem eum carnium constituit, addiditque, ut aiunt, multis præsentibus hæc verba : Eant nunc et structorem meum observent. (2) Lysander indigne hec ferens, Agesilaum accessit et, Præclare, inquit, nosti amicos tuos opprimere. Sane, subjecit Agesilaus, eos, qui me ipso majores esse volunt. Ad hæc Lysander : Hæc fortassis dicta a te rectius, quam a me facta sunt. Quin tu locum mihi et ordinem assigna, ubi tibi minus invisus, plus prosim. (3) Mittitur ergo in Hellespontum et Spithridatem Persam a Pharnabazi provincia ad Agesilaum cum magna pecuniæ vi et ducentis equitibus perduxit. Non tamen iram dimisit, sed in posterum infesto animo, id molitus est, ut regnum duabus Heraclidarum familiis ademptum omnibus ex æquo Spartanis adeundum proponeret; videturque gravis ex ea discordia motus Spartæ exstiturus fuisse, nisi in Bœotiam expeditione facta Lysander maturius periisset. (4) Adeo ambitiosi homines in civilibus certaminibus modum excedentes, plus mali quam boni habent. Etenim si fuit, ut sane fuit, importunus Lysander et quam pro temporis ratione ambitiosior, non ignorabat tamen Agesilaus aliam honestiorem rationem virum ita illustrem atque gloriæ cupidum corrigendi. Nunc in eadem culpa esse videri possunt, quum alter regis potentia quæ esset non agnoverit, alter ignorationem familiaris hominis ferre, ut decuit, non potuerit.

IX. Ceterum Tisaphernes initio Agesilaum metuens factis induciis confirmarat fore uti rex Græcis civitatibus libertatem redderet, mox persuasus satis sibi virium esse, bellum cepit, id quod Agesilao pergratum fuit. (2) Ma-

κία γὰρ ἦν μεγάλη τῆς στρατείας· καὶ δεινὸν ἡγεῖτο τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐβουλήθησαν αὐτοί, τοσαυτάκις βασιλέα νενικηκότας, αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος ἡγουμένων γῆς καὶ θαλάσσης μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. (3) Εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν ἐπέδειξεν ὡς ἐπὶ Καρίαν προάξων. Ἐκεῖ δὲ τὴν δύναμιν τοῦ βαρβά- d ρου συναθροίσαντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε. Καὶ πόλεις μὲν εἷλε συχνὰς καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν ἐπιδεικνύμενος τοῖς φίλοις, ὅτι τὸ μὲν σπεισάμενον ἀδικεῖν τῶν θεῶν ἐστι καταφρονεῖν, ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πολλὴ καὶ τὸ μεθ' ἡδονῆς κερδαίνειν ἔνεστι. (4) Τοῖς δὲ ἱππεῦσιν ἐλαττωθεὶς καὶ τῶν ἱερῶν ἀλόβων φανέντων ἀναχωρήσας εἰς Ἔφεσον ἱππικὸν συνῆγε, τοῖς εὐπόροις προειπών, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα. (5) Πολ- e λοὶ δὲ ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πολεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ δειλῶν ὁπλιτῶν. [Ἐμισθοῦντο γὰρ οἱ μὴ βουλόμενοι στρατεύεσθαι τοὺς βουλομένους στρατεύεσθαι, οἱ δὲ μὴ βουλόμενοι ἱππεύειν τοὺς βουλομένους ἱππεύειν]. Καὶ γὰρ τὸν Ἀγαμέμνονα ποιῆσαι καλῶς, ὅτι θήλειαν ἵππον ἀγαθὴν λαβὼν κακὸν ἄνδρα καὶ πλούσιον ἀπήλλαξε τῆς στρατείας. (6) Ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατροφίας γυμνουμένων κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ f Ἀγησίλαος, « Οὗτοι μέν, εἶπεν, οἷς μάχεσθε· ταῦτα δέ, ὑπὲρ ὧν μάχεσθε. »

X. Καιροῦ δὲ ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν, προεῖπεν εἰς Λυδίαν ἀπάξειν, οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην· ἀλλ' ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ καὶ νῦν γοῦν αὐτὸν ἅψασθαι τῆς Καρίας νομίζων
601 οὔσης δυσίππου πολὺ τῷ ἱππικῷ λειπόμενον. (2) a Ἐπεὶ δέ, ὡς προεῖπεν, ὁ Ἀγησίλαος ἧκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισαφέρνης· καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων. (3) Ἐννοήσας οὖν ὁ Ἀγησίλαος, ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζόν, αὐτῷ δὲ τῆς δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι. Καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δὲ εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. (4) Γενομένης δὲ τροπῆς τῶν βαρβάρων, ἐπακολουθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ στρατόπεδον καὶ πολλοὺς ἀνεῖλον. Ἐκ ταύτης τῆς b μάχης οὐ μόνον ὑπῆρξεν αὐτοῖς ἄγειν καὶ φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν Τισαφέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἀπεχθέστατον. (5) Ἔπεμψε γὰρ εὐθέως ὁ

gnum enim aliquid se effecturum sperabat, indignumque rebatur, quum decem illa Græcorum cum Xenophonte millia victo quoties voluissent rege ad mare pervenissent, si ipse dux Spartanorum, terræ marisque imperium tenentium, nullum Græcorum memoria dignum factum ederet. (3) Proinde primum Tisaphernis perjurium justa fraude ulciscens, Cariam se petiturum simulavit; eoque barbaro copias contrahente, impressione in Phrygiam facta, multas urbes, ingentesque opes cepit, eoque facto ostendit amicis, eos qui rupto fœdere injuriam inferant, deorum esse contemptores, hostes vero non modo decipi juste posse, sed et gloriam ei rei et cum voluptate lucrum comitari. (4) Equitatu vero inferior, quum exta parum læta apparuissent, Ephesum se recepit, ibique equitatum conduxit, divitibus permisso, ut qui militare ipsi nollent, suo loco equum equitemque darent. (5) Permulti fuere qui hoc facerent, itaque Agesilaus pro ignavis peditibus multos et bellicosos eos nactus est [nam qui militare nolebant, homines belli cupidos conducebant, itemque equestris rei studiosos, qui equites esse nolebant.] Idque faciebat Agamemnonis, ut aiebat, exemplo, qui accepta bona equa, imbellem virum atque divitem militia solvit. (6) Jussit etiam captivos vestibus exutos a sectoribus vendi, et quum multi vestium emptores exsisterent, corpora alba et plane ob umbratilem educationem tenera, ut inutilia et nullius pretii ab omnibus deriderentur, assistens Agesilaus: At hi, inquit, sunt contra quos, illa propter quæ pugnamus.

X. Tempore postulante ut rursus in hosticum invaderet, prædixit se in Lydiam iturum; Tisaphernes autem, quum non falleret eum Agesilaus, semetipsum decepit, ei ob priorem fallaciam fidem non habens existimansque eum, quod esset ab equitatu longe imparatior, nunc in Cariam equitatui iniquam regionem profecturum. (2) Sed ubi Agesilaus, sicuti prædixerat, in campos Sardibus propinquos venit, coactus celeriter opem suis ferre, cum equitatu acceleravit, et multos hostium incomposito agmine regionem vastantium interfecit. (3) Agesilaus peditatum hostium nondum advenisse, se omnes suas copias in promptu habere cogitans, statuit prœlio decernere. Itaque equitibus scutatos permiscuit, ire celeriter et cum hoste manum conserere jubens; ipse cum phalange secutus est. (4) Fusis tum barbaris instantes Græci multos interfecerunt, hostiumque castra ceperunt. Hoc autem eo prœlio consecuti sunt, ut non modo populari ipsis impune agros regis ditioni subjectos licuerit, sed et pœnas dederit Tisaphernes, homo improbus et Græcis infestissimus. (5) Statim enim missus est a rege Tithraustes, qui Tisa-

βασιλεὺς Τιθραύστην ἐπ' αὐτόν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τὸν δὲ Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε καὶ χρήματα διδοὺς αὐτῷ προσέπεμψεν. Ὁ δὲ τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον ἢ πλουτῶν αὐτός· καὶ ἄλλως γε μέντοι νομίζειν Ἕλληνας καλόν, οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. (6) Ὅμως δὲ τῷ Τιθραύστῃ c χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο Τισαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα λαβὼν ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα. (7) Καὶ καθ' ὁδὸν ὢν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. Τοῦτο μόνῳ πάντων ὑπῆρξεν Ἀγησιλάῳ. Καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως καὶ τῶν τότε ζώντων ἐπιφανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος· ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον ἢ διὰ τὴν ἡγεμονίαν. (8) Τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον ἁμαρτεῖν ἔδοξεν, ὅτι πρεσβυτέρων d καὶ φρονιμωτέρων παρόντων οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

XI. Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ Φαρναβάζῳ τεταγμένην χώραν οὐ μόνον ἐν ἀφθόνοις διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων Κότυν ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. (2) Ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, e κάλλιστον υἱὸν μὲν ἔχων Μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς Ἀγησίλαος, καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. (3) Ταύτην μὲν ἔπεισε γῆμαι τὸν Κότυν ὁ Ἀγησίλαος· καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστάς, αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν οὐχ ὑπομένοντος οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν, ἀλλὰ ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοτε ἀλλαχόσε τῆς χώρας μεθιδρυόμενος, μέχρι οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης καὶ παραλαβὼν Ἡριππίδαν τὸν Σπαρ- f τιάτην ἔλαβε τὸ στρατόπεδον καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. (4) Ἔνθα δὴ πικρὸς ὢν ὁ Ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι καὶ πάντα ἐφορῶν καὶ διερευνώμενος παρώξυνε τὸν Σπιθριδάτην, ὥστε ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων. (5) Τοῦτο λέγεται a
602 τῷ Ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. Ἤχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκὼς τὸν Σπιθριδάτην καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην, ᾐσχύνετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς οὐ μόνον αὑτόν, ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύουσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. (6) Χωρὶς δὲ τῶν ἐμφανῶν

pherni caput amputavit, Agesilaum misso auro hortatus est uti pace facta domum abiret. Respondit Agesilaus, civitatem Spartanam pacis componendæ jus habere, se quidem magis gaudere, si milites suos ditare possit, quam si ipse dives sit, et alioquin Græcos pulchrius censere, spolia ex hostibus quam dona capere. Tamen ut Tithraustæ, quod is communem Græciæ hostem occidisset, gratiam referret, triginta ab eo talentis viatici nomine acceptis, in Phrygiam copias reduxit. (6) In itinere scytalam accepit, qua ephori eum jubebant classi quoque præesse; id quod soli omnium Agesilao datum est. (7) Maximus ergo jam tum haud dubie illustrissimusque hominum erat, ut quodam loco Theopompus ait; quanquam sibi virtutis quam imperii nomine plus ipse arrogaverit. (8) Enimvero tum in eo peccasse creditus est, quod parum habita publicæ utilitatis ratione, quum multi ætate et prudentia priores adessent, ad affinitatem respiciens atque uxori gratificans, cujus erat Pisander frater, hunc classi præfecit.

XI. Ipse traducto in eam quæ Pharnabazo suberat regionem exercitu, non modo in rerum omnium affluentia vixit, sed et multum pecuniæ coegit, et ad Paphlagoniam usque progressus, regem Paphlagonum Cotyn virtute et fidelitate sua adductum societate sibi conjunxit. (2) Spithridates autem, qui jam ante a Pharnabazo ad Agesilaum transiverat, una semper in expeditione aderat. Erat ei pulcherrimus filius Megabates, puer ætate, forma elegantissima, ideoque ab Agesilao adamatus; erat et filia, virgo sane formosa et viro matura. (3) Hanc ut duceret Cotys, Agesilaus persuasit, acceptisque ab eo mille equitibus, et duobus scutatorum millibus, in Phrygiam rediit, Pharnabazique ditionem infestavit. Pharnabazus vero ne munitis quidem castellis fidere et subsistere ausus, pretiosissima et carissima quæque secum ducens subterfugiebat, in diversis subinde partibus regionis considens, donec eum Spithridates deprehendit et auxilio usus Herippidæ Spartani, castris omnique gaza potitus est. (4) Ibi Herippidas acerbius inquirens, si quis de præda quippiam surripuisset, barbarosque deponere sarcinas cogens, omniaque perscrutans, ita Spithridatem offendit, ut is cum Paphlagonibus statim Sardes abierit. (5) Nihil unquam molestius Agesilao evenit. Nam et Spithridatem amissum dolebat, virum eximium, cumque eo haud parvam militum manum, et avaritiæ illiberalitatisque crimen ægre ferebat, a quo non se modo, sed et patriam immunem præstare semper studuerat. (6) Sed præter has evidentes doloris causas,

τούτων ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παιδὸς ἔρως ἐνεσταγμένος, εἰ καὶ πάνυ παρόντος αὐτοῦ τῷ φιλονείκῳ χρώμενος ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. (7) Καί ποτε τοῦ Μεγαβάτου προσιόντος ὡς ἀσπασομένου καὶ φιλήσοντος ἐξέκλινεν. Ἐπεὶ δὲ ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν, ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ Ἀγησίλαος προσεποιεῖτο θαυμάζειν, ὅ τι δὴ παθὼν αὐτὸν ὁ Μεγαβάτης ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. « Σὺ γὰρ αἴτιος, οἱ συνήθεις ἔφασαν, οὐχ ὑποστὰς, ἀλλὰ τρέσας τὸ φίλημα τοῦ καλοῦ καὶ φοβηθείς· ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς ἐκεῖνος ἐντὸς φιλήματος· ἀλλ' ὅπως αὖθις οὐκ ἀποδειλιάσεις. » (8) Χρόνον οὖν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας, « Οὐδὲν, ἔφη, δεινὸν πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γάρ μοι δοκῶ τήναν τὰν μάχαν τὰν περὶ τοῦ φιλάματος ἅδιον ἂν μάχεσθαι πάλιν ἢ πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι. » (9) Τοιοῦτος μὲν ἦν τοῦ Μεγαβάτου παρόντος, ἀπελθόντος γε μὴν οὕτω περιχαῶς ἔσχεν, ὡς χαλεπὸν εἰπεῖν, εἰ πάλιν αὖ μεταβαλομένου καὶ φανέντος ἐνεκαρτέρησε μὴ φιληθῆναι.

XII. Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησε· καὶ συνήγεν ἀμφοτέρους ὢν ξένος ὁ Κυζικηνὸς Ἀπολλοφάνης. (2) Πρότερος δὲ μετὰ τῶν φίλων ὁ Ἀγησίλαος ἐλθὼν εἰς τὸ χωρίον ὑπὸ σκιᾷ τινι πόας οὔσης βαθείας καταβαλὼν ἑαυτὸν ἐνταῦθα περιέμενε τὸν Φαρνάβαζον. Ὁ δὲ ὡς ἐπῆλθεν, ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον κατεκλίνη καὶ αὐτὸς, ὡς ἔτυχεν, ἐπὶ τῆς πόας χαμᾶζε, καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. (3) Ἀσπασάμενοι δὲ ἀλλήλους ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν· ὁ δὲ Ἀγησίλαος, ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον), « Ἡμεῖς, εἶπεν, ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς καὶ νῦν πολέμιοι γεγονότες πολεμικῶς. Ἓν οὖν καὶ σὲ τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. Ἀφ' ἧς δ' ἂν ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον ἢ δοῦλον λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν οὐδὲ ζηλωτόν ἐστιν. » (4) Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. « Ἐγὼ γὰρ, εἶπεν, ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατηγὸν, ἔσομαι μεθ' ὑμῶν, ἐὰν δ' ἐμοὶ παραδιδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου. » (5)

amor eum Megabatæ urebat, qui alte jam insederat, tametsi præsente adhuc puero cupiditati ei vehementius pertinaciusque repugnasset. (7) Etenim quodam tempore Megabatem salutandi et osculandi causa accedentem declinave-
b rat; quumque is verecundia motus deinceps eminus ipsum salutaret, pœnitentia non admissi osculi ductus, mirari simulavit, ecquid se Megabates non ore etiam admoto salutaret. Tu in causa es, dicebant familiares, qui osculum pulchri pueri formidasti atque fugisti; nam adhuc facile ei persuadebitur, ut ad osculum veniat, modo ne rursus reformidaveris. (8) Sub hæc verba Agesilaus quum aliquamdiu cogitabundus tacuisset, Nihil impedit, respondit, quominus id ei persuadeatur; se enim libentius iterum eo cum osculo
c certaturum, quam omnia quæ conspexisset aurea habiturum. (9) Talem quidem se præsente adhuc Megabate gessit, absente autem eo ita arsit, ut dictu difficile sit an, si ille rediisset, temperaturus sibi ab osculo fuerit.

XII. Secundum hæc Pharnabazus colloquium ejus petiit, in unum eos conducente hospite utriusque Cyziceno Apollophane. (2) Prior dictum ad locum cum amicis venit Agesilaus, inque herbido et umbroso se reclinavit loco, Pharnabazum exspectans; qui ut venit, substratis mollibus pellibus variisque tapetibus, Agesilai ita recumbentis ve-
d recundia motus, ipse quoque in gramine humi accubuit, quanquam esset veste miræ tenuitatis tincturæque amictus. (3) Facta consalutatione, Pharnabazo non defuit quod juste commemoraret: se nimirum a Lacedæmoniis, quibus in bello contra Athenienses multa magnaque tulisset auxilia, hostiliter nunc invadi; Agesilaus autem quum Spartanos, qui una aderant, præ pudore oculos in terram defigere vidit, animique incertos, quod injuriam Pharnabazo fieri putarent: Nos, inquit, Pharnabaze, et ante quum amici regis essemus, amice res ejus tractavimus, et
e nunc hostes facti, hostium more. Itaque quum te etiam ad ejus ditionem velle pertinere videamus, haud injuria te affligendo illi damnum damus. At tu qua primum die Græcorum amicitiam et societatem servitio regio prætuleris, deinceps ita habe, hanc classem, hanc phalangem, hæc arma, nosque omnes tuorum bonorum libertatisque (sine qua nihil bonum est, nihil expetendum hominibus) tuæ custodes fore. (4) Tum Pharnabazus nihil eorum quæ sentiebat dissimulans, Si quidem, inquit, alium quam me rex ad hoc bellum ducem miserit, vestrarum ero partium; sin autem mihi imperium credat, vobis ulciscendis ipsiusque nomine lædendis nihil mihi reliquum faciam indu-
f striæ. (5) Hoc sermone delectatus Agesilaus, dextram

Ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστὰς, Εἴθε, εἶπεν, ὦ Φαρνάβαζε, τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο μᾶλλον ἢ πολέμιος. »

XIII. Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ καὶ μειδιῶν εἶπεν, « Ἐγώ σε ξένον, ὦ Ἀγησίλαε, ποιοῦ- 03 μαι· » καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. (2) a Δεξάμενος οὖν ὁ Ἀγησίλαος καὶ ἡσθεὶς τῇ τε ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχοι τι τοιοῦτον, οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. Ἰδὼν δὲ ἵππον Ἰδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις ταχὺ ταῦτα περισπάσας τῷ μειρακίῳ δίδωσι. (3) Καὶ τὸ λοιπὸν οὐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ περιιόντι τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον ἰσχυρῶς ἐπεμελεῖτο καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. (4) Ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν· ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπίασιν b ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης δεόμενος ὑπὲρ τοῦ παιδός· ὁ δὲ καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. (5) Τἄλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος, ἐν δὲ τοῖς φιλικοῖς πρόφασιν ἐνόμιζεν εἶναι τὸ λίαν δίκαιον. Ἀναφέρεται γοῦν ἐπιστόλιον αὐτοῦ πρὸς Ἱδριέα τὸν Κᾶρα τοιοῦτο· « Νικίας εἰ μὲν μὴ ἀδικεῖ, ἄφες, εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες, πάντως δὲ ἄφες. » (6) Ἐν μὲν οὖν τοῖς πλείστοις τοιοῦτος ὑπὲρ τῶν φίλων ὁ Ἀγησίλαος· ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ μᾶλλον, ὡς ἐδήλωσεν, ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθε- c νοῦντα καταλιπὼν τὸν ἐρώμενον. Ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος αὐτὸν ἀπιόντα μεταστραφεὶς εἶπεν, ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν. Τουτὶ μὲν Ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν.

XIV. Ἤδη δὲ περιιόντος ἐνιαυτοῦ δευτέρου τῇ στρατηγίᾳ πολὺς ἄνω λόγος ἐχώρει τοῦ Ἀγησιλάου καὶ δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης καὶ εὐτελείας καὶ μετριότητος. (2) Ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων τοὺς θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας. (3) Ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν καὶ εὐτελεστέραν στιβάδα τῆς Ἀγησιλάου. Πρός τε θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥσπερ d μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ τοῦ θεοῦ κεκραμέναις ὥραις πεφυκώς. (4) Ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν Ἀσίαν Ἕλλησιν ἦσαν οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαρρέοντες ὑπὸ πλούτου καὶ τρυφῆς ὕπαρχοι καὶ στρατηγοὶ δεδιότες καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιιόντα λιτῷ καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ Λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετασχηματίζοντες· ὥστε πολλοῖς ἐπῄει τὰ τοῦ Τιμοθέου λέγειν, « Ἄρης τύραννος· χρυσὸν δὲ Ἑλλὰς οὐ δέδοικε. »

ipsi injiciens atque assurgens, Utique, ait, Pharnabaze, eo te animo præditum amicum potius quam inimicum nanciscamur.

XIII. Digresso cum amicis Pharnabazo, filius relictus ad Agesilaum accurrit, subridensque : Hospitii, inquit, jus tecum, Agesilae, jungo; simulque spiculum quod manu tenebat, ei dedit. (2) Agesilaus illo accepto, et forma et comitate pueri oblectatus oculos in astantes conjecit, si quis haberet quod muneris loco pulchro et generoso reddi posset. Conspicatusque Idæi scribæ equum phaleris ornatum, celeriter eas detraxit pueroque donavit. (3) In posterum quoque semper memoriam ejus retinuit; et progressu temporis re familiari spoliatum, fugatumque a fratribus, in Peloponnesum venientem, magna cura fovit. (4) Quin et in amatoriis rebus ei auxilio fuit. Amabat enim Persa athleticum quendam Atheniensem puerum; qui quum ob molem et duritiem corporis in periculo esset ne Olympico certamine excluderetur, Persæ pro illo deprecanti gratificatus Agesilaus, ægre id quod petebant obtinuit. (5) Etenim vir aliis in rebus accuratæ justitiæ, in amicitia latebram excusationis honestæ esse putabat nimiam justitiam. Fertur sane epistola ejus ad Hydrieum Carem hujuscemodi : Niciam, si nihil peccavit, dimitte, sin peccavit, nostri causa dimitte; omnino autem dimitte. (6) Ac talis quidem plerumque erga amicos fuit. Aliquando tamen majorem in modum propter utilitatem tempori se accommodabat; uti quum subito tumultu castra movens amasium suum ægrotantem reliquit, vocantique se et oranti, conversus, Difficile est, inquit, simul misereri et sapere. Id quidem Hieronymus philosophus narrat.

XIV. Agebatur jam alter belli annus. Magna autem admirandaque fama de continentia Agesilai, frugalitate ac mediocritate per Asiam vagabatur. (2) Peregre proficiscens, seorsum in religiosissimis deorum fanis diversabatur, iis quæ absque arbitris facimus fere, deos immortales inspectores et testes adhibens. (3) Inter tot militum millia non facile invenisses qui lecto simpliciore quam Agesilaus vilioreque uteretur; frigus et æstum ita ferebat, ut solum ad ferendas prout deus temperasset tempestates natum diceres. (4) Jucundissimum autem Græcis Asiam habitantibus spectaculum exhibebant præfecti ducesque, haud ita pridem insolentia intolerabili usi, luxuque et opibus diffluentes, qui tum virum in vili obambulantem pallio metuebant ac venerabantur et ad unum ipsius breve Laconicumque dictum sese componebant; multisque subibat illud Timothei dicere,

Mars est tyrannus; aurum haud metuit Græcia.

XV. Κινουμένης δὲ τῆς Ἀσίας καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης, ἁρμοσάμενος τὰς αὐτόθι πόλεις e καὶ ταῖς πολιτείαις δίχα φόνου καὶ φυγῆς ἀνθρώπων ἀποδοὺς τὸν προσήκοντα κόσμον, ἐγνώκει πρόσω χωρεῖν καὶ τὸν πόλεμον διάρας ἀπὸ τῆς Ἑλληνικῆς θαλάττης περὶ τοῦ σώματος βασιλεῖ καὶ τῆς ἐν Ἐκβατάνοις καὶ Σούσοις εὐδαιμονίας διαμάχεσθαι καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολήν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς Ἕλλησι καὶ διαφθείρων τοὺς δημαγωγούς. (2) Ἐν τούτῳ δὲ ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης ἀπαγγέλλων, ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλεμος Ἑλληνικὸς καὶ καλοῦσιν ἐκεῖνον οἱ ἔφοροι καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν. f

(3) Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά·

τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων; οἳ τῆς Τύχης ἄνω φερομένης ἐπελάβοντο καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα καὶ τὸν Πόλεμον ἤδη τῆς Ἑλλάδος ἐξῳκισμένον αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν.
604 (4) Οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους a Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον, ἀλλ' εἰκότως ἂν οἶμαι δακρῦσαι συννοήσαντας, ὅτι ταῦτ' Ἀλεξάνδρῳ καὶ Μακεδόσιν ἀπέλιπον, οἳ τότε τοὺς τῶν Ἑλλήνων στρατηγοὺς περὶ Λεῦκτρα καὶ Κορώνειαν καὶ Κόρινθον καὶ Ἀρκαδίαν κατανήλωσαν. (5) Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖττον ἢ μεῖζόν ἐστι τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. (6) Ὅπου γὰρ Ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς Ἰταλίας μάλα μόλις ὑπήκουσε τοῖς ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν, Ἀλέξανδρος δὲ καὶ προσεπέ- b σκωψε πυθόμενος τὴν πρὸς Ἆγιν Ἀντιπάτρου μάχην εἰπών, « Ἔοικεν, ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι μυομαχία· » πῶς οὐχ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας; ὃς ἅμα τῷ τὴν σκυτάλην ἐλθεῖν εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ, πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπὼν καὶ μάλιστα δὴ τὸν Δημοστράτου τοῦ c Φαίακος ἐλέγξας λόγον εἰπόντος, ὡς εἰσὶ δημοσίᾳ μὲν Λακεδαιμόνιοι βελτίονες, ἰδίᾳ δὲ Ἀθηναῖοι. Βασιλέα γὰρ αὑτὸν καὶ στρατηγὸν ἄριστον ἐπιδειξάμενος ἔτι βελτίονα καὶ ἡδίονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρέσχε. (7) Τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας· τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

XVI. Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ

XV. Mota Asia multisque undique deditionem facientibus, urbes composuit respublicasque absque cæde et exsiliis pristino decori restituit. Progredi inde statuit belloque a Græco mari translato cum rege de vita et qua ille Ecbatanis Susisque fruebatur felicitate dimicare, otium ei primo omnium adimere, ne bellorum inter Græcos præmiis porro dividendis factiosisque oratoribus corrumpendis vacare posset. (2) Hæc illo agitante, Epicydidas Spartanus ad ipsum venit, nuntians grave bellum a Græcis Spartanos circumstare, ipsum ab Ephoris uti domesticis rebus auxilio esset, vocari.

(3) Hui, barbara invenisse vos, Græci, mala?

quo enim alio nomine invidiam istam intestinasque seditiones Græcorum affecero? qui Fortunam prospero cursu pergentem inhibuerunt, armaque jam in barbaros versa, Martemque Græcia exterminatum, rursus in se ipsos contorserunt. (4) Neque enim assentior Demarato Corinthio, qui magna voluptate Græcos caruisse dixit eos, qui Alexandrum in solio Darii sedentem non vidissent; sed merito eos lacrimaturos fuisse existimo, si cum animis suis reputassent felicitatis ejus locum Alexandro et Macedonibus ab iis factum, qui isto tempore Græcorum duces in Leuctricas, Coronenses, Corinthias et Arcadicas pugnas insumpserunt. (5) Neque vero quicquam hoc in Græciam reditu majus aut præclarius Agesilaus fecit, neque ullum exstat isto pulchrius obedientiæ et justitiæ exemplum. (6) Nam et Hannibal quum adversa jam uteretur fortuna Italiaque pelleretur, ægre tamen paruit ad bellum in Africam evocantibus, et Alexander audita Antipatri contra Agidem pugna, per jocum suis dixit, Videtur mihi, o socii, dum nos hic Darium vincimus, interim murium aliquis in Arcadia fuisse conflictus. Quidni merito Spartam Agesilai nomine beatam prædicare licet, qui tanto honore patriam, tanta leges reverentia coluerit? Simul enim atque scytalam accepit, felicitate tanta atque potentia et spe ad summa ducente omissis, statim imperfecto negotio discessit, magnum sui desiderium sociis relinquens, Damostratique Corcyræi dictum abunde refellens, qui publice Lacedæmonios, privatim Athenienses meliores esse dixerat. Nam quum regem se imperatoremque præstantissimum ostendisset, multo se meliorem et cariorem familiaribus privatim suis amicum exhibuit. (7) Nomisma Persicum sagittarium insculptum habebat. Eo respiciens, quum discederet Agesilaus, multis sagittariorum millibus a rege se ex Asia profligari dixit; ingenti enim pecunia a rege Athenas et Thebas missa corrupti oratores bellum contra Spartanos excitaverant.

XVI. Hellesponto trajecto quum per Thraciam iter faceret,

τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων d δὲ πρὸς ἑκάστους ἐπυνθάνετο, πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. (2) Οἱ μὲν οὖν ἄλλοι πάντες φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον ὡς ἕκαστος δυνάμεως εἶχεν, οἱ δὲ καλούμενοι Τράλλεις, οἷς καὶ Ξέρξης ἔδωκεν, ὡς λέγεται, δῶρα, τῆς διόδου μισθὸν ᾔτουν τὸν Ἀγησίλαον ἑκατὸν ἀργυρίου τάλαντα καὶ τοσαύτας γυναῖκας. Ὁ δὲ κατειρωνευσάμενος αὐτοὺς καὶ φήσας, « Τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι; » προῆγε καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις ἐτρέψατο καὶ διέφθειρε πολλούς. (3) Τὸ δ' αὐτὸ καὶ τῷ βασιλεῖ τῶν Μακεδόνων ἐρώτημα προσέπεμψε· φήσαντος δὲ βουλεύσεσθαι, « Βουλευέσθω τοίνυν ἐκεῖνος, εἶπεν, ἡμεῖς e δὲ δὴ πορευόμεθα. » Θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς ἐκέλευσεν ὡς φίλον προάγειν. (4) Τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούντων ἐπόρθει τὴν χώραν. Εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλασσομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν, ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε. (5) Καὶ τοῦτο ἴσως ἐπ' Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην f γεγονέναι περὶ Κόρινθον καὶ [ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰφνίδιον ἀπολωλέναι καὶ] Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς οὐδὲ ἐπηρμένος, ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας, « Φεῦ τῆς Ἑλλάδος, ἔφη, τοσούτους ἄνδρας ἀπολωλεκυίας ὑφ' αὐτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχό-
605μενοι » (6) Τῶν δὲ Φαρσαλίων προσκειμένων αὐτῷ a καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ καὶ τρεψάμενος ἔστησε τρόπαιον ὑπὸ τῷ Ναρθακίῳ. Καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησεν.

XVII. Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀπήντησεν αὐτῷ κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. Ὁ δέ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐξ Ἀσίας ἥκουσι, καὶ δύο μόρας b μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. (2) Οἱ δ' ἐν τῇ πόλει Λακεδαιμόνιοι τιμῶντες αὐτὸν ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. Ἀπογραψαμένων δὲ πάντων προθύμως οἱ ἄρχοντες πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ῥωμαλεωτάτους ἐκλέξαντες ἀπέστειλαν. (3) Ὁ δὲ Ἀγησίλαος εἴσω Πυλῶν παρελθὼν καὶ διοδεύσας τὴν Φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γινόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δὲ

nullum barbarorum populum orare ut sibi transire per ejus regionem liceret dignatus est: missis modo ad singulos nuntiis quæsivit, ut amicumne an ut hostem transire ipsum vellent. (2) Omnibus pro viribus amice excipientibus ac deducentibus, soli Tralles qui dicuntur, a quibus Xerxen quoque muneribus transeundi facultatem redemisse fama est, mercedem petierunt, centum argenti talenta, totidemque mulieres. Subsannavit eos Agesilaus, Cur, inquiens, non statim advenerunt ut ea acciperent? simulque progressus acie occurrentes magna cum ipsorum strage fudit. (3) Eodem modo etiam ad regem Macedonum quæsitum misit; quumque is deliberaturum se respondisset: Deliberet sane, inquit, nos scilicet progredimur. Itaque audaciam ejus miratus, sibique metuens rex, ut amicum venire jussit. (4) Thessalorum, quod suppetias hostibus ferrent, agros vastavit; Larissam vero Xenoclem et Scytham amicitiæ jungendæ causa misit. Quos quum Larissæi comprehensos in custodia posuissent, indigne ferentibus reliquis, Agesilaumque obsidere urbem atque oppugnare jubentibus, nolle se tota Thessalia potiri ea conditione, uti alterutrum eorum virorum amitteret, respondit, pactoque eos recepit. (5) Id fortasse Agesilai factum non est mirandum; qui quum audivisset apud Corinthum magno facto prœlio [subito multos insignes viros periisse,] de Spartanis perpaucos, magnum hostium numerum cecidisse, non profecto gaudio elatus est, sed gravi gemitu dato, Proh Græcia, inquit, quæ tot bonos viros ipsa perdidisti, quot vivi pugna omnes simul conjunctos barbaros vincere possent! (6) Pharsaliis autem exercitum ipsius infestantibus, quingentos equites suos impetum in eos facere jussit, fusisque eis tropæum sub monte Narthacio erexit. Eaque victoria maxime gavisus est, quod suo tantum usus equitatu rei equestris gloria maxime tumentes vicisset.

XVII. Ibi Diphridas ephorus Sparta missus eum convenit, mandavitque ut statim in Bœotiam irrumperet. Statuerat quidem id paulo post majori cum apparatu facere, nunquam tamen non obediendum magistratui ratus, suis prædixit prope esse diem cujus causa ex Asia venissent, duasque cohortes ab exercitu qui juxta Corinthum versabatur, accivit. (2) At in urbe Spartani honoris causa decreverunt, ut qui adesse regi vellent juvenes, nomina darent; quumque id studiose omnes fecissent, quinquaginta ex iis ætate et robore validissimi a principibus lecti et ad Agesilaum missi sunt. (3) Agesilaus intra Pylas progressus, peragrataque regione amica Phocide, ut primum Bœotiam attigit, apud Chæroneam castra fecit. Ibi et solem deficere et lunæ in modum

ἤκουσε τεθνάναι Πείσανδρον ἡττημένον ναυμαχίᾳ περὶ c Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. (4) Ἠχθέσθη μὲν οὖν, ὡς εἰκὸς, ἐπὶ τούτοις καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν· ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶσι τῇ ναυμαχίᾳ· καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

XVIII. Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας, αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγεν. Οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοὶ, τὸ δὲ d εὐώνυμον Ἀργεῖοι. (2) Λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν ἐκείνην οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος ἐξ Ἀσίας διαβεβηκώς. (3) Ἡ μὲν οὖν πρώτη σύρραξις οὐκ ἔσχεν ὠθισμὸν οὐδὲ ἀγῶνα πολὺν, ἀλλ' οἵ τε Θηβαῖοι ταχὺ τοὺς Ὀρχομενίους ἐτρέψαντο καὶ τοὺς Ἀργείους ὁ Ἀγησίλαος. (4) Ἐπεὶ δὲ ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν ἀνέστρεψαν, ἐνταῦθα, τῆς νίκης ἀκινδύνου παρούσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν ὤσασθαι κατὰ κράτος βουλόμενος. (5) e Οἱ δὲ οὐχ ἧττον ἐρρωμένως ἐδέξαντο καὶ μάχη γίνεται δι' ὅλου μὲν ἰσχυρὰ τοῦ στρατεύματος, ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν ἐν τοῖς πεντήκοντα τεταγμένον, ὧν εἰς καιρὸν ἔοικεν ἡ φιλοτιμία τῷ βασιλεῖ γενέσθαι καὶ σωτήριος. (6) Ἀγωνιζόμενοι γὰρ ἐκθύμως καὶ προκινδυνεύοντες ἄτρωτον μὲν αὐτὸν οὐκ ἐδυνήθησαν φυλάξαι, πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι μόλις ἀνήρπασαν ζῶντα, καὶ συμφράξαντες πρὸ αὐτοῦ πολλοὺς μὲν ἀνῄρουν, πολλοὶ δὲ ἔπιπτον. (7) Ὡς δὲ μέγα ἔργον ἦν ὤσασθαι προτροπάδην f τοὺς Θηβαίους, ἠναγκάσθησαν ὅπερ ἐξ ἀρχῆς οὐκ ἐβούλοντο ποιῆσαι. Διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον, εἶτα ἀτακτότερον ἤδη πορευομένους, ὡς διεξέπεσον, ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον, οὐ μὴν ἐτρέψαντό γε, ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα μέγα τῇ μάχῃ φρονοῦντες, ὡς ἀήττητοι καθ' αὐτοὺς γεγονότες.

606 XIX. Ἀγησίλαος δὲ, καίπερ ὑπὸ τραυμάτων πολ- a λῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. (2) Ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. Πλησίον γὰρ ὁ νεὼς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς, καὶ πρὸ αὐτοῦ τρόπαιον ἕστηκεν, ὃ πάλαι Βοιωτοὶ Σπάρτωνος στρατηγοῦντος ἐνταῦθα νικήσαντες Ἀθηναίους καὶ Τολμίδην ἀποκτείναντες ἔστησαν. (3) Ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγησίλαος, εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ τοὺς αὐλητὰς b

mutilum conspexit, et Pisandrum navali apud Cnidum prœlio victum a Pharnabazo et Conone periisse accepit. (4) Hæc, uti par erat, quum viri, tum patriæ nomine dolorem ei attulerunt. Ne tamen nuntius militum ad pugnam proficiscentium animos perturbaret, eos qui a mari venerant, diversa annuntiare jussit, vicisse scilicet suos prœlio illo navali; ipseque coronatus gratulatoria sacra fecit partesque hostiæ amicis dimisit.

XVIII. Progressus inde Coroneam quum et vidisset hostes et iis in conspectum venisset, aciem instruxit, Orchomeniis sinistro, sibi dextro cornu assignato; Thebani contra dextro in cornu ipsi, in lævo Argivi constiterunt. (2) Pugnæ huic non temere aliam parem exstitisse Xenophon scribit, qui et ipse interfuit commilito Agesilai, quocum ex Asia trajecerat. (3) Primus concursus haud multum habuit conflictationis aut certaminis; statim enim Orchomenios Thebani, Agesilaus Argivos pulerunt. (4) Ab insecutione utrique sinistrum suum cornu laborare et pedem referre audientes, ad pugnam redierunt. Ibi Agesilaus, quum citra periculum victoria potiri posset, si adversos Thebanos adoriri supersedisset ac prætereuntibus instans a latere ferire voluisset, animi ardore et ambitione commotus atque pervicacia incitatus ad hostes sternendos a fronte adversariis se obtulit, vim vi repellere conatus. (5) Acre tum undique prœlium exstitit, sed longe acerrimum circa ipsum regem inter quinquaginta, quos dixi, delectos juvenes pugnantem, quorum sane tum laudis cupiditas commoda regi salutarisque fuit. (6) Pugnantes enim acriter periculisque se pro rege objicientes, tamen ne vulneraretur, efficere nullo modo potuerunt; consauciatum autem hastis et gladiis per arma adactis vix eripuerunt morti, actoque globo multos hostium ante ipsum obtruncaverunt, multis etiam suorum amissis. (7) Et quoniam fieri non poterat ut Thebanos ordinibus constantibus pugnantes funderent, id quod ab initio noluerant, facere coacti sunt. Deducta enim phalange intervallisque factis, Thebanos per eos jam dissolutis ordinibus evadentes insecuti sunt et ex obliquo petierunt. (8) Non tamen eos in fugam conjicere valuerunt, sed ad Heliconem ii concesserunt, plurimum sibi id ob prœlium tribuentes, quod invictos sese ipsi sua ex parte præstitissent.

XIX. Agesilaus autem, tametsi graviter affecto ob vulnerum multitudinem corpore, tentorium tamen prius non subivit, quam lectica ad phalangem gestatus, cadavera in armis congesta inspexit. (2) Quotquot hostium in templum Itoniæ Minervæ confugerant, eos dimitti jussit. Haud procul id templum Coronea abest, juxtaque tropæum, quod Bœoti statuere, quum Spartone duce Athenienses vicissent. (3) Prima luce Agesilaus uti certo exploraret, pugnamne iterum tentare statuissent hostes, milites suos sertis redimitos, præcinentibus tibicinibus, tropæum figere et

ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον ὡς νενικηκότας. (4) Ὡς δὲ ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος εἰς Δελφοὺς ἀπεκομίσθη, Πυθίων ἀγομένων, καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων ἑκατὸν ταλάντων γενομένην. (5) Ἐπεὶ δὲ ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης· οὐ γάρ, ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν, καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης καὶ κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν καὶ δυσκολαίνων πρὸς τὰ οἴκοι καὶ ζυγομαχῶν, ἀλλὰ ὁμοίως τοῖς μηδεπώποτε τὸν Εὐρώταν c διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρόν, οὐ θεραπείαν γυναικός, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευήν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως οὔσας σφόδρα παλαιάς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν Ἀριστόδημος. (6) Καὶ τὸ κάναθρόν φησιν ὁ Ξενοφῶν οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς ἢ τῶν ἄλλων. Κάναθρα δὲ καλοῦσιν εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων, ἐν οἷς κομίζουσι τὰς παῖδας ἐν ταῖς πομπαῖς. (7) Ὁ μὲν οὖν Ξενοφῶν ὄνομα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε, καὶ ὁ Δικαίαρχος ἐπηγανάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα μήτε τὴν Ἐπαμινώνδου μητέρα [ἔτι] γινωσκόντων ἡμῶν. Ἡμεῖς δὲ εὕρομεν ἐν ταῖς Λακωνι- d καῖς ἀναγραφαῖς ὀνομαζομένην γυναῖκα μὲν Ἀγησιλάου Κλεόραν, θυγατέρας δ' Εὐπωλίαν καὶ Προλύταν. (8) Ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν Λακεδαίμονι μηδὲν τῶν ἄλλων διαφέρουσαν.

XX. Οὐ μὴν ἀλλὰ ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγάλα φρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν ἅρμα καθεῖσαν Ὀλυμπίασιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. (2) Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων e μεθ' ἑαυτοῦ σπουδαζόμενον ἐκέλευε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ κάλλιστον, ἄρχεσθαι καὶ ἄρχειν. (3) Τοῦ δὲ Λυσάνδρου τετελευτηκότος εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεύς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν. Ἐπεὶ f δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς καὶ φοβηθεὶς τὴν δεινότητα συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ καθησύχασε. (4) Τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἔβλαπτε, διαπραττόμενος δὲ πέμπεσθαί τινας ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ
607 αὐτῶν ἐπεδείκνυε γενομένους ἐν ταῖς ἐξουσίαις πονηροὺς a καὶ πλεονέκτας, εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν καὶ

ornare tanquam victores jussit. (4) Ibi quum hostes cadavera repetitum misissent, factis induciis confirmataque hunc ad modum victoria, Delphos ad Pythia deportatus est; ibi et pompam deo peregit et decimas Asiaticarum manubiarum ad centum talenta consecravit. (5) Reversus domum carus statim et in admiratione civibus suis propter mores vitæque rationem fuit. Non enim quod plerique omnes imperatores faciunt, ex peregrinatione alius, vel externis moribus motus domestica fastidiens aspernansque rediit, sed perinde atque ii qui Eurotam nunquam transiissent, patrias consuetudines amplexus, non cœnam immutavit, non lavacrum, non uxoris cultum, non armorum apparatum, non ædificia; quin et fores easdem reliquit, ita vetustas, ut eæ ipsæ videri potuerint, quas Aristodemus fecerat. (6) Canathrum quoque filiam ejus nihilo quam aliorum filias pulchrius habuisse Xenophon scribit. Sunt autem canathra imagines gryphum et hircocervorum, in quibus filias vehunt in pompis. (7) Nomen quidem filiæ Agesilai non perhibuit Xenophon, et Dicæarchus queritur neque Epaminondæ matris neque Agesilai filiæ nomen nobis notum esse. Verum nos in Laconicis commentariis reperimus Agesilai uxorem Cleoram, filias Eupoliam et Prolytam nominatas fuisse. (8) Hastam quoque ipsius videre est Spartæ repositam, nihil ab aliis differentem.

XX. Sed enim quum videret quosdam inimicos multum sibi arrogare, eo quod equos alerent, sorori suæ persuasit, uti quadrigas Olympiis in certamen committeret, quo Græcis ostenderet eam victoriam nulla virtute, sed sumptu et opibus parari. (2) Xenophontem philosophum, quem in magno secum pretio habuerat, accitum pueros erudire Spartæ jussit, ut ex eo artem parendi et imperandi, qua nulla est præstantior, discerent. (3) Lysandro mortuo quum inveniret factionem ab eo ut ex Asia redierat contra se concitatam, statuit demonstrare, qualis civis in vita sua Lysander fuisset, orationemque de novis rebus statuque reipublicæ mutando, quam Cleon Halicarnassensis conscripserat, Lysander autem pronuntiare ad populum statuerat, in volumine relictam quum legisset, proferre in medium voluit. Uni tamen ex senatoribus, qui ipse quoque lecta oratione vim dictionis metuens, non effodiendum Lysandrum, sed orationem potius cum eo defodiendam suadebat, obtemperavit et propositum abjecit. (4) Adversarios autem suos palam non est ultus, sed effecit ut ii unus post alium duces magistratusque constituerentur, ostenditque eos potestate cupide et injuste uti; in judicium deinde vocatis opem ferens et patrocinans, ex inimicis familiares redegit, atque

συναγωνιζόμενος οἰκείους ἐκ διαφόρων ἐποιεῖτο καὶ μεθίστη πρὸς αὐτὸν, ὥστε μηθένα ἀντίπαλον εἶναι. (5) Ὁ γὰρ ἕτερος βασιλεὺς Ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾶος καὶ κόσμιος, οὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. (6) Οὐ μὴν ἀλλὰ καὶ τοῦτον ἐποιεῖτο χειροήθη. Συσσιτοῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον, ὅταν ἐπιδημῶσιν. Εἰδὼς οὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν Ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγου περὶ τῶν ἐν ὥρᾳ· καὶ προῆγε τὸν νεανίσκον εἰς ταὐτὸ καὶ συνήρα καὶ συνέπραττε, τῶν Λακωνικῶν ἐρώτων οὐδὲν αἰσχρὸν, αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ Λυκούργου γέγραπται.

XXI. Μέγιστον οὖν δυνάμενος ἐν τῇ πόλει διαπράττεται Τελευτίαν τὸν ὁμομήτριον ἀδελφὸν ἐπὶ τοῦ ναυτικοῦ γενέσθαι. Καὶ στρατευσάμενος εἰς Κόρινθον, αὐτὸς μὲν ἥρει κατὰ γῆν τὰ μακρὰ τείχη, τὰς δὲ ναῦς ὁ Τελευτίας. (2) Ἀργείων δὲ τὴν Κόρινθον ἐχόντων τότε καὶ τὰ Ἴσθμια συντελούντων, ἐπιφανεὶς ἐκείνους μὲν ἐξήλασεν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας· ἐπεὶ δὲ τῶν Κορινθίων ὅσοι φυγάδες ἔτυχον παρόντες ἐδεήθησαν αὐτοῦ τὸν ἀγῶνα διαθεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν, αὐτῶν δὲ ἐκείνων διατιθέντων καὶ συντελούντων παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. Ὕστερον δ' ἀπελθόντος αὐτοῦ πάλιν ὑπ' Ἀργείων ἤχθη τὰ Ἴσθμια καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δ' οἳ νενικηκότες πρότερον, ἡττημένοι δὲ ὕστερον διεγράφησαν. (3) Ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφηνε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς Ἀργείους ὁ Ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. (4) Αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίως ᾤετο δεῖν ἔχειν· καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει καὶ συμπαρῆν ἀεὶ φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὢν καὶ οὔτε παίδων οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος, ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας ἐδόκει μηδὲ γινώσκειν. (5) Καί ποτε Καλλιππίδης ὁ τῶν τραγῳδιῶν ὑποκριτὴς ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦντας ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης, τέλος δὲ εἶπεν, « Οὐκ ἐπιγινώσκεις με, ὦ βασιλεῦ; » Κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν εἶπεν, « Ἀλλ' οὐ σύ γε ἐσσὶ Καλλιππίδας ὁ δεικηλίκτας; » οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. (6) Παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρῃτήσατο φήσας « Αὐτᾶς ἄκουκα. » (7) Τοῦ δὲ ἰατροῦ Μενεκράτους, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δὴ πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος οὕτως· « Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν· » ἀντέγραψε, « Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν. »

XXII. Διατρίβοντος δὲ περὶ τὴν Κόρινθον αὐτοῦ καὶ

ita confecit, uti neminem sibi in republica adversum haberet. (5) Etenim Agesipolis, alterius familiæ rex, patrem exsulem habens, ætate admodum adolescens ingenioque leni et tranquillo, non multum se reipublicæ administrandæ ingerebat. (6) Hunc tamen ipsum quoque sibi obstrinxit. Reges quoties Spartæ agunt, una in eodem phiditio cibum capere mos est. Amoribus itaque obnoxium, ut et ipse erat, Agesipolim sentiens, semper puerorum formosorum b mentionem inferebat, adolescentisque amoribus studium operamque suam locabat. Nihil autem turpe Laconicos amores, sed verecundiam contentionemque virtutum et laudum habuisse, in Vita Lycurgi docuimus.

XXI. Summam porro in urbe potentiam nactus, effecit ut frater suus uterinus Teleutias classi præficeretur; expeditioneque ad Corinthum facta, ipse terra longos muros, frater naves cepere. (2) Argivis vero Corinthum eo tempore obtinentibus et Isthmia agentibus subito visus, ipsos quidem vixdum sacris operatos expulit, relinquentes omnem apparatum, Corinthiis vero, qui ipsi aderant, exsulibus orantibus ut ipse ludos instauraret, non assensit, sed ipsis c celebrantibus eos adfuit securitatemque præstitit. Post illo digresso Argivi rursum Isthmia peregere, ac nomina quorundam qui ante vicerant, deinde autem victi sunt, de tabulis exempti sunt. (3) Ad hæc Agesilaus Argivos magnæ se ipsos timiditatis arguere dixit, qui ludorum eorum exhibitionem rem tam augustam atque magnam censerent, neque pugnare tamen propter eam ausi fuissent. (4) Ipse in id genus rebus omnibus mediocritati studuit; ac domestica quidem certamina et choros perstudiose exornavit præsensd que obiit, ut ne puerorum quidem aut virginum a concertationibus abesset, at quæ aliis admirationi esse cernebat, ea ne cognoscere quidem volebat. (5) Aliquando Callippides tragœdiarum actor magni inter Græcos nominis atque famæ, primum Agesilaum accedens salutavit, deinde superbe se una ambulantibus immiscens ostentabat, a rege se urbane compellatum iri sporans; tandem ait: Non agnoscis me, o rex? Tum Agesilaus in eum intuens, Nonne, inquit, Callippides tu es dioelicta? Sic autem Lacedæmonii mimos vocabant. (6) Rursus monentibus ut quendam qui vocem luscie niæ imitabatur, audiret: Ipsam, respondit, audivi. (7) Menecrati medico, qui quod in desperatis quibusdam morbis felici usus erat successu Jovis cognomentum retulerat, superbiusque eo usus ad Agesilaum scribere ausus fuerat: Menecrates Juppiter regi Agesilao salutem; sic rescripsit: Agesilaus rex Menecrati sanam mentem.

XXII. Quum autem in agro Corinthio commoraretur He-

τὸ Ἡραῖον εἰληφότος καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. Ὁ δὲ μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο f μήτε ὁρᾶν αὐτοὺς μήτε ἀκούειν ἐντυγχανόντων. (2) Ἔπαθε δὲ πρᾶγμα νεμεσητόν· οὔπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων, ἧκόν τινες ἀπαγγέλλοντες αὐτῷ τὴν μόραν ὑπ' Ἰφικράτους κατακεκόφθαι. Καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς· πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας καὶ μισθοφόρων Λακεδαιμονίους.

608 (3) Ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων· a ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἧκε καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν. Ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρεθῆναι δὲ ἠξίουν εἰς Κόρινθον, ὀργισθεὶς ὁ Ἀγησίλαος εἶπεν, « Εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει. » Καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ τήν τε χώραν τῶν Κορινθίων ἔκοπτε καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. Οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας ἀφῆκε τὴν πρεσβείαν. (4) Αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας b ἐκ τῆς μόρας ἀναλαβὼν ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχαίρωσιν. (5) Ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς διέβαινεν εἰς Ἀκαρνανίαν στρατιᾷ μετ' αὐτῶν, καὶ πολλὴν μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε. Δεομένων δὲ τῶν Ἀχαιῶν, ὅπως τὸν χειμῶνα παραμείνας ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν· μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτούς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν· ὃ καὶ συνέβη. Παραγγελλομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας διηλλάγησαν τοῖς Ἀχαιοῖς. c

XXIII. Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες ἐπόρθουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν Ἀθηναίων Φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς Λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα· καὶ πέμπουσιν Ἀνταλκίδαν πρὸς Τηρίβαζον αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. (2) Ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. Ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον d αὔξοντος καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. (3) Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς Λακεδαιμονίους μηδίζειν ὁ Ἀγησίλαος ἀπεκρίνατο μᾶλλον τοὺς Μήδους λακωνίζειν. (4) Τοῖς δὲ μὴ βουλομένοις δέχεσθαι τὴν εἰρήνην ἀπειλῶν καὶ καταγγέλλων πόλεμον ἠνάγκασεν ἐμμεῖναι ἅπαντας οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα διὰ τοὺς Θηβαίους, ὅπως αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες ἀσθενέστεροι γένωνται. Δῆλον δὲ τοῦτο

ræumque cepisset captivosque homines et prædam diripientes milites spectaret, legati de pace petenda ad ipsum a Thebanis missi venerunt. Hos, ut perpetuo oderat urbem, ac tum insultare quoque ei e re esse putabat, neque videre se neque vocem eorum orantium exaudire simulavit. (2) Hoc tam superbum factum Nemesis inultum non est passa. Nondum enim digressis legatis, adfuerunt qui cæsam ab Iphicrate ipsius apud Lechæum cohortem referrent. Diu nulla ejusmodi clades Lacedæmoniis acciderat; multos enim bonos viros amiserant victos a scutatis gravis armaturæ milites, a stipendiariis Lacedæmonios. (3) Exsiluit statim ut succurreret eis Agesilaus; sed ubi actum jam esse de ipsis audivit, Heræum rediit, ibique Bœotos exsequi legationem jussit. Qui quum ludibrium ei reponentes, nulla pacis mentione facta, Corinthum modo eundi facultatem peterent, iratus : Cras, inquit, tuto mecum eo ibitis, si quidem amicos vestros successu elatos videre est animus. Postridieque eos secum ducens agrum Corinthiorum vastavit et ad murum usque accessit; atque ita quum demonstrasset Corinthiis non esse animum ei resistendi, legatos dimisit. (4) Ipse cum iis qui de cohorte supererant Lacedæmonem rediit, mane educens et tenebris demum factis iter inhibens, ne qui invidebant et odio habebant ipsum Arcades, damno ejus gauderent. (5) Post hæc in gratiam Achæorum una in Acarnaniam exercitum duxit, ibique magna acta præda prœlio etiam Acarnanes vicit. Orantibus autem Achæis ut per hiemem ibi maneret, sementemque hostium prohiberet, contra se facturum respondit; magis enim hostes bellum formidaturos si verno tempore segetem in agris sint habituri. Idque consilium exitus probavit; rursum enim nuntiato hostili exercitu, cum Achæis pacem fecerunt Acarnanes.

XXIII. Enimvero postquam Pharnabazus et Conon regia classe mare obtinentes, oram Laconicæ vastaverunt, Athenæ quoque muris circumdatæ sunt Pharnabazo pecuniam suppeditante, statuerunt Lacedæmonii cum rege pacem inire. Mittunt itaque Antalcidam ad Teribazum, turpissime et injustissime Græcos Asiam incolentes, pro quibus bellum gesserat Agesilaus, regi prodentes. (2) Verum ejus rei infamia nihil plane ad Agesilaum pertinuit. Antalcidas enim inimicus ei erat, ideoque tanto studio in pacem faciendam incumbebat, quod bello eum ad summam gloriam potentiamque evehi animadverteret. (3) Verumtamen Agesilaus et ei qui Lacedæmonios Medis obsequi dicebat, respondit non ita rem habere, sed Medos Lacedæmoniis studere. (4) Et qui pacem accipere nollent, eos bellum minitando et denuntiando ipsis coegit ut omnes pactis cum rege Persarum conditionibus starent, idque eum maxime propter Thebanos fecisse, ut ii Bœotia suæ libertati restituta vires amitterent.

τοῖς ὕστερον ἐποίησεν. (5) Ἐπεὶ γὰρ Φοιβίδας ἔργον εἰργάσατο δεινὸν ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν Καδμείαν καταλαβὼν καὶ πάντες μὲν ἠγανάκτουν οἱ Ἕλληνες, e χαλεπῶς δὲ ἔφερον οἱ Σπαρτιᾶται, μάλιστα δὲ οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ καὶ μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ Φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν, εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες, οὐχ ὤκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν, ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴ τι χρήσιμον ἔχει, σκοπεῖν· τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. (6) Καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης, εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. Πρὸς δὲ f τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ, « Τί δαὶ ἐκεῖνος ἐμοῦ, εἶπε, μείζων, εἰ μὴ δικαιότερος; » ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ καθάπερ μέτρῳ βασιλικῷ μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. (7) Ἣν δὲ τῆς εἰρήνης γενομένης ἔπεμψεν αὐτῷ περὶ
609 ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς οὐκ ἔλαβεν, εἰ- a πὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν καὶ μηδὲν ἰδίας δεήσεσθαι μενούσης ἐκείνης. (8) Ἐν δὲ τοῖς ἔργοις οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν, ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος καὶ μάλιστα τῇ πρὸς Θηβαίους, οὐ μόνον ἔσωσε τὸν Φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα καὶ κατέχειν τὴν Καδμείαν δι' ἑαυτῆς, τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας Ἀρχίαν καὶ Λεοντίδαν ἀποδεῖξαι κυρίους, δι' ὧν ὁ Φοιβίδας εἰσῆλθε καὶ κατέλαβε τὴν ἀκρόπολιν.

XXIV. Ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλευμα δὲ Ἀγησιλάου τὸ πε- b πραγμένον· αἱ δὲ ὕστεραι πράξεις ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. (2) Ὡς γὰρ ἐξέβαλον οἱ Θηβαῖοι τὴν φρουρὰν καὶ τὴν πόλιν ἠλευθέρωσαν, ἐγκαλῶν αὐτοῖς, ὅτι τὸν Ἀρχίαν καὶ τὸν Λεοντίδαν ἀπεκτόνεσαν, ἔργῳ μὲν τυράννους, λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. (3) Καὶ Κλεόμβροτος ἤδη βασιλεύων Ἀγησιπόλιδος τεθνηκότος εἰς Βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως· ὁ γὰρ Ἀγησίλαος, ὡς ἔτη τεσσαράκοντα γεγονὼς ἀφ' ἥβης καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατείαν ἐκείνην αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμη- c κὼς αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. (4) Ἦν δέ τις Λάκων Σφοδρίας ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ τεταγμένος ἐν Θεσπιαῖς ἁρμοστὴς, οὐκ ἄτολμος μὲν οὐδ' ἀφιλότιμος ἀνὴρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον ἢ φρενῶν ἀγαθῶν μεστός. Οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου καὶ τὸν Φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ Θήβας τολμήματος, ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν Πειραιᾶ καταλάβοι δι' ἑαυτοῦ καὶ τῶν Ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. (5) Λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν d

ex iis apparet, quæ postea temporis egit. (5) Quum enim Phœbidas indignum perpetrasset facinus, utpote qui pacis tempore fœdereque neglecto Cadmeam occupavit, idque et omnes Græci, et ipsi Spartani moleste ferrent, maxime ii qui inimici Agesilao erant iratique ex Phœbida quærerent, cujus jussu hoc facinus perpetrasset, nimirum ut Agesilaum ejus rei suspectum facerent; non est veritus Agesilaus Phœbidæ opitulari, palamque dixit, rem ipsam utiline sit expendendam esse; quæ enim Lacedæmoniorum civitati conducant, ea recte etiam injussu agi. (6) Alioquin justitiam solebat inter omnes virtutes præstantissimam dicere, et sine qua fortitudo nullius esset pretii, quum contra ne opus quidem hac esset futurum, si omnes homines justi essent. Dicentibus, hoc ita magno regi placere; Quid ergo, inquit, an is major me est, si non sit justior? recte atque pulchre judicans justitia, tanquam regia mensura, præstantiam esse examinandam. (7) Epistolam a rege facta pace sibi missam, qua cum ipso rex hospitium et amicitiam inire studebat, non accepit, suffecturam dicens publicam amicitiam, eaque constante nihil privata opus fore. (8) Sed enim in rebus non hanc suam de justitia opinionem servans, sed ambitionem sæpenumero studiumque contendendi præsertim contra Thebanos, non modo Phœbidam servavit, sed et civitati persuasit, uti in se facinus id reciperet, arcemque Thebanam sibi servaret, Archiam et Leontidam, quorum opera Phœbidas ingressus erat et occupaverat arcem, reipublicæ Thebanorum præficeret.

XXIV. Eapropter statim suspicio insinuavit, Phœbidæ opera, consilio Agesilai rem actam fuisse; quæ autem subsecutæ sint actiones certam rem fecerunt. (2) Quum enim Thebani præsidio ejecto urbem in libertatem asseruissent, criminis loco objiciens Agesilaus, quod Archiam et Leontidam, qui sub prætorum nomine tyrannidem gesserant, interfecissent, bellum eis intulit. (3) Itaque Cleombrotus rex (jam enim Agesipolis obierat) cum exercitu est in Bœotiam missus. Agesilaus enim, ut qui quadraginta jam postquam ex ephebis excesserat annos vixisset, beneficio legis militia solvebatur eamque expeditionem subterfugiebat, veritus, si qui paulo ante pro exsulibus contra Phliasios bellum gessisset, nunc Thebanos propter necatos tyrannos infestare diceretur. (4) Erat tum quidam Laco, Sphodrias nomine, contrariæ Agesilao factionis, Thespiis præfectus, vir neque timidus et laudis cupidus, sed qui spe quam consilio bono plerumque magis duceretur. Is magnum nomen affectans, Phœbidæ illustrem ob Cadmeam captam esse gloriam censens, persuaderi sibi passus est ut longe præclarius ad facinus accingeretur; nimirum uti subito a terra irruens Piræeum Atheniensibus adimeret, atque ita mari eos excluderet. (5) Auctores commenti hujus fuisse Pelopidam et

περὶ Πελοπίδαν καὶ Μέλωνα Βοιωταρχῶν. Ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους, οἳ τὸν Σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν, ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον, τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. (6) Ἡμέρα γὰρ αὐτὸν ἐν τῷ Θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ Πειραιεῖ· καὶ φῶς ἀφ' ἱερῶν τινῶν Ἐλευσινόθεν ἰδόντας λέγουσι φρῖξαι καὶ περιφόβους γενέσθαι τοὺς στρατιώτας. Αὐτὸς δὲ τοῦ θράσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν, καί τινα βραχεῖαν ἁρπαγὴν e θέμενος αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς Θεσπιάς. (7) Ἐκ δὲ τούτου κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας, ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν αἰσχυνομένων τοὺς Ἀθηναίους καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν.

XXV. Εἶχεν οὖν ὁ Σφοδρίας υἱὸν Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν Ἀρχίδαμος ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱὸς ἤρα. Καὶ τότε συνηγωνία f μέν, ὡς εἰκὸς ἦν, αὐτῷ κινδυνεύοντι περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν· ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου. (2) Τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ a 610 δεδιὼς σιωπῇ παρηκολούθει· τέλος δὲ τῆς κρίσεως ἐγγὺς οὔσης ἐτόλμησεν εἰπεῖν πρὸς τὸν Ἀγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. (3) Ὁ δὲ Ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν Ἀρχίδαμον οὐκ ἔπαυσεν· ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. Οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι δεομένῳ τῷ παιδὶ, σκέψασθαι δὲ φήσας, ὅ τι καλῶς ἔχοι καὶ πρεπόντως, ἀπῆλθεν. (4) Αἰδούμενος οὖν ὁ Ἀρχίδαμος ἐξέλιπε τὸ προσιέναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. (5) Ἐκ δὲ τούτου κἀκεῖνοι b τὰ κατὰ τὸν Σφοδρίαν μᾶλλον ἀπέγνωσαν, ἄχρι οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου· τὸ μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτὸν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι καὶ τὴν πόλιν ὁρᾶν τοιούτων στρατιωτῶν δεομένην. (6) Τούτους γὰρ ὁ Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης τῷ παιδὶ χαρίζεσθαι βουλόμενος, ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρίου θαῤῥοῦντας ἤδη βοηθεῖν. (7) Ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως· καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, c ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς ὥσπερ ἵππον οἴκοι συνέπαιζεν, ὀφθεὶς δὲ ὑπό τινος τῶν

Melonem Bœotiæ principes ferunt : eos submissis qui Lacedæmoniis se cupere simularent, Sphodriam laudando et prædicando solum eum tam præclaro facinore dignum, eo compulisse, uti conatum haud minus Phœbidæ facto injustum, fortuna tamen et audacia destitutum susciperet. (6) Lux enim eum in Thriasio campo deprehendit, quum noctu adhuc Piræeum invadere statuisset, militesque conspecta a sacris Eleusiniis luce consternatos fuisse dicunt. Sphodrias ipse fiducia excidit, quum latere non posset, exiguaque præda acta turpiter ac cum dedecore Thespias rediit. (7) Missi inde ab Atheniensibus Spartam, qui Sphodriam accusarent, sed ii offenderunt nihil opus esse ephoris accusatore, quod ei jam ante capitalis rei diem dixissent. Sed ille judicium subire ausus non est, iram civium metuens, qui Atheniensium verecundia moti, ne injuriæ faciendæ reo auctores fuisse viderentur, una cum illis affecti injuria videri volebant.

XXV. Erat Sphodriæ filius Cleonymus, puer etiamnum et forma eleganti; eum Archidamus Agesilai regis filius amabat, ac tametsi, ut consentaneum erat, dolorem cum eo de parentis periculo communem habebat, nihil tamen auxilii palam ferre poterat, quod Sphodrias ex inimicis Agesilai unus erat. (2) Cleonymo eum accedente et cum lacrimis obsecrante, ut Agesilaum placaret, quem maxime ille metueret, tres aut quattuor per dies præ verecundia et metu compellare patrem non ausus tacitus sequebatur; tandem judicii die instante Agesilao dicere sustinuit Cleonymum se pro patre deprecari. (3) Agesilaus jam pridem senserat Cleonymi amore Archidamum teneri, non tamen prohibuerat, quod a puero statim eam de se Cleonymus opinionem præbuisset, ut, si quis alius, in præclarum virum evasurus videretur. Nullam tamen benignitatis auxiliive spem filio deprecanti ostendit, idque modo dicens, deliberaturum se quid recte et honeste facere posset, abiit. (4) Itaque Archidamus verecundia motus, a Cleonymi consuetudine, qua quotidie uti consueverat, se abstinuit. (5) Exinde amici quoque Sphodriæ magis magisque de causa ejus desperaverunt, donec Agesilai quidam amicus Etymocles cum illis colloquens, Agesilai sententiam eis exposuit; scilicet factum id summopere ei improbari, Sphodriam tamen virum bonum existimare, videreque urbem hujusmodi militibus indigere. (6) Hunc enim in modum de causa illa solebat loqui Agesilaus, in gratiam filii, adeo ut et Cleonymus statim operam Archidami senserit et amici Sphodriæ animo recepto adfuerint. (7) Fuit alioquin miro liberûm amore præditus Agesilaus, idque de eo jocosum perhibetur, aliquando eum domi cum filiolis equitantem in arundine collusisse, visumque

φίλων παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

XXVI. Ἀπολυθέντος δὲ τοῦ Σφοδρίου καὶ τῶν Ἀθηναίων, ὡς ἐπύθοντο, πρὸς πόλεμον τραπομένων, σφόδρα κακῶς ὁ Ἀγησίλαος ἤκουσε δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ καὶ τὴν πόλιν παραίτιον ἀπειργάσθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. (2) Ἐπεὶ δὲ τὸν Κλεόμ- d βροτον οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη καὶ κακῶς ἐποίει τοὺς Θηβαίους καὶ πάλιν ἀντέπασχεν, ὥστε καὶ τρωθέντος αὐτοῦ ποτε τὸν Ἀνταλκίδαν εἰπεῖν « Ἦ καλὰ τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις μὴ βουλομένους αὐτοὺς μηδὲ ἐπισταμένους μάχεσθαι διδάξας. » (3) Τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. Διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς e καλουμέναις τρισὶ ῥήτραις ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. (4) Ἦν δὲ καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος, ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. Οὐδὲν οὖν ἔλεγον δεόμενοι φθείρεσθαι δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. (5) Ἔνθα δὲ δὴ λέγεται τὸν Ἀγησίλαον ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος τόδε μηχανήσασθαι. Πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν. Εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι f πρῶτον· ὡς δὲ ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας ἐφεξῆς καὶ οἰκοδόμους καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. (6) Πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς·
611 ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν a βάναυσον. Οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος, « Ὁρᾶτε, εἶπεν, ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς. »

XXVII. Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατείαν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν σπάσμα καὶ πόνον ἰσχυρὸν ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν μεστὸν αἵματος ἔδοξε γεγονέναι καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. (2) Ἰατροῦ δέ τινος Συρακοσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν, αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγη- b σίλαον. Οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε· καὶ κομισθεὶς εἰς Λακεδαίμονα πολὺν χρόνον ἔσχεν ἀῤῥώστως καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. (3) Ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἦν τὸ περὶ Τεγύρας μέγιστον, ὅπου πρῶτον ἐκ παρατάξεως

cuidam amicorum, monuisse eum ne cui id diceret, priusquam ipse etiam liberos procreasset.

XXVI. Absoluto ita Sphodria, Atheniensibusque ut id cognoverunt ad bellum versis, pessime Agesilaus audiebat, qui ob cupiditatem ineptam et puerilem justum judicium impedivisset, tantorumque in Græcos flagitiorum culpæ partem civitati Spartanæ imposuisset. (2) Quapropter Cleombrotum cernens parum animi ad bellum contra Thebanos gerendum habere, valere jussa, qua militiam nuper excusaverat, lege, ipse in Bœotiam impressionem fecit multaque damna intulit, multa accepit, itaque et vulnerato aliquando Antalcidas dixit, præclara eum præmia a Thebanis auferre, quod eos neque volentes neque scientes pugnare docuisset. (3) Et quidem haud unquam alias quam eo tempore bellicosiores Thebani fuerunt, crebris Lacedæmoniorum contra ipsos expeditionibus veluti exercitati. Itaque et antiquus ille Lycurgus in tribus legum tabulis, quas Rhetras vocant, vetuerat sæpius eosdem bello petere, ne ii artes militares discerent. (4) Erat et sociis Lacedæmoniorum invisus Agesilaus, quod nullum ob publicum crimen, sed ira et contentione quadam instigatus Thebanos perdere quæreret; nullaque necessitate postulante circumduci se huc atque illud ac conteri, quotannis tot numero tam paucos comitantes, indignabantur. (5) Quo tempore Agesilaum narrant, uti ostenderet Spartanorum multitudinem, eo consilio usum. Universos socios inter se permixtos considere jussit, Lacedæmonios seorsum. Inde præconis voce primum figulos jussit, postea ærarios fabros surgere, inde lignarios, tum ædificatores reliquosque secundum omnia artificia. (6) Ita universi fere socii, nemo Lacedæmoniorum surrexit; nullam enim iis artem quæstuariam seu sordidam tractare legibus permittitur. Ibi tum risum tollens Agesilaus, Videtis, inquit, o viri, quam multo nos quam vos plures milites in bellum emittamus.

XXVII. Megaris autem, quum eo a Thebis exercitum abduxisset, ascendenti ad curiam quæ in arce erat, convulsio et vehemens dolor sanum crus invasit, ex eoque id intumuit inflammatioque a sanguinis, ut videbatur, immodico affluxu ingens exstitit. (2) Quum autem medicus quidam Syracusanus venam infra malleolum aperuisset, dolor quidem remisit, sed profluxus sanguinis inde ortus, quum sisti nullo modo posset, ad animi deliquium et grave discrimen eum adduxit. Vix demum profluvio cruoris represso Lacedæmonem delatus, aliquamdiu ægrotavit, ac per valetudinem militiæ ineptus fuit. (3) Interim multas terra marique clades Lacedæmonii perpessi sunt, quarum maxima fuit apud Tegyras, ubi primum acie a Thebanis victi sunt. (4) Omnibus

κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. (4) Ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα ποιησάμενοι τὰς διαλύσεις. Ὧν εἷς ἦν Ἐπαμινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ c παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. (5) Οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παῤῥησίαν ἔχοντι καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινὸν, τὸν μὲν πόλεμον ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι, τὴν δὲ εἰρήνην ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων· οὕτω γὰρ [ἂν] αὐτὴν διαμενεῖν, ἴσων ἁπάντων γενομένων.

XXVIII. Ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν εἰ νομίζει δίκαιον εἶναι καὶ ἴσον αὐτονομεῖσθαι τὴν d Βοιωτίαν. Ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμινώνδου ταχὺ καὶ τεθαῤῥηκότως, εἰ κἀκεῖνος οἴεται δίκαιον αὐτονομεῖσθαι τὴν Λακωνικὴν, ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς ἐκέλευσε λέγειν σαφῶς αὐτὸν, εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον. (2) Τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης καὶ προειπεῖν πόλεμον αὐτοῖς, τοὺς δὲ ἄλλους Ἕλληνας διαλλαγέντας ἐκέλευσεν ἀπιέναι, τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης, τὰ δὲ ἀνήκεστα τοῦ πολέμου ποιοῦντας· ἔργον γὰρ ἦν πάσας ἐκ- e καθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. (3) Ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως. Εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα· καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον, ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον, οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν οὐδὲ ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. (4) Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ Ἐπαμινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον ἐλπίζων, αὐτοῖς μὲν αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρ- f χούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. (5) Δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον ἢ λογισμῷ γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. Τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι, 812 τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύ- a κτροις ἡμερῶν εἴκοσι διαγενομένων. (6) Ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων καὶ Κλεόμβροτος ὁ βασιλεὺς καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν. Ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου τὸν καλὸν τρὶς πεσόντα πρὸ τοῦ βασιλέως καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν.

XXIX. Συμβάντος δὲ τοῖς τε Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου καὶ τοῖς Θηβαίοις παρὰ

Græcis adversum omnes pacem constituendam visum erat, atque ex Græcia legati ad pacem componendam Spartam convenerant. Fuit inter eos Epaminondas, eruditione et philosophia illustris, sed qui nondum suæ in bello prudentiæ documentum exhibuisset. (5) Is quum reliquos omnes videret Agesilao se submittere, solus libere quæ sensit ausus est effari, orationemque habuit non pro Thebanorum modo, sed universæ adeo Græciæ commodis; demonstravit enim bello Lacedæmonios augeri, reliquis omnibus eo afflictis, proinde æqualibus conditionibus pacem justisque componendam; ita enim demum stabilem fore pacem, si æqualitas ubique constituatur.

XXVIII. Agesilaus vero quum magnopere admirari eum orationique ejus attentos esse Græcos cerneret, percontatus est: ecquid justum et æquum censeret, Bœotiam suis legibus uti permittere. Quumque Epaminondas mox confidenter interrogasset vicissim, ipsene Laconicam liberam dimitti æquum justumque arbitraretur, exsiliens præ indignatione, diserte eloqui jussit, Bœotiamne liberam relinquat. (2) Ac quum rursum Epaminondas interrogasset, ecquid Laconicam dimitteret liberam, ibi tum exasperatus Agesilaus, arrepta quam diu captaverat occasione Thebanorum nomen statim ex albo pacem accipientium delevit, bellumque eis indixit. Reliquos Græcos abire domum jussit, et sanabilia paci, insanabilia bello delegare; omnes enim controversias transigere et abolere, immensi erat laboris. (3) Cleombrotum autem, qui tum in Phocide cum exercitu agebat, ephori statim contra Thebanos ducere jusserunt, missisque legatis sociorum delectum habuere, gravatim quidem ab bellum accedentium, recusare tamen aut imperia Lacedæmonica detrectare non audentium. (4) Multis adversis ostentis factis (quæ in Vita Epaminondæ persecuti sumus), Prothooque Spartano expeditioni ei repugnante, non tamen remisit Agesilaus, sed bellum commisit, sperans, quum per ipsos tota Græcia sui juris esset, soli autem fœdere exclusi essent Thebani, hos se nunc ulciscendi locum habere. (5) Ipsa temporis ratio ostendit festinatione magis quam consilio bellum id inceptum; decimoquarto enim die mensis Scirophorionis Lacedæmone fœdus ictum, quinta Hecatombæonis, dierum intervallo viginti, clades Leuctrica accepta est. (6) Mortui sunt ea in pugna mille Lacedæmonii et rex Cleombrotus, juxtaque eum præstantissimus quisque Spartanorum; inter quos traditum est Cleonymum Sphodriæ filium illum formosum pro rege propugnantem ter prostratum, totiesque resurgentem et pugnantem in Thebanos occubuisse.

XXIX. Improvisa clade Spartanis et Thebanis secunda præter spem fortuna usis, qualis altera Græcis adversum

δόξαν εὐτυχήματος οἷον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις, οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν ἢ τὴν νικῶσαν. (2) Ὁ μὲν γὰρ Ξενοφῶν φησι τῶν ἀγαθῶν ἀνδρῶν ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς καὶ b διατριβὰς ἀξιομνημόνευτον, ὀρθῶς λέγων· ἔστι δὲ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν ἃ παρὰ τὰς τύχας πράττουσι καὶ λέγουσι διευσχημονοῦντες. (3) Ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα καὶ ξένων οὖσα μεστή· γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. Οἱ δ' ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μετα- c βαλεῖν τὴν πόλιν, ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. (4) Ἅμα δὲ ἡμέρᾳ, φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους, οἱ δὲ τῶν σωζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἴκοι διέτριβον, εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. (5) Ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ d καὶ σιωπηλήν, τὰς δὲ τῶν πεπτωκέναι λεγομένων ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

XXX. Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς Πελοπόννησον, ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου καὶ δυσθυμία πολλὴ καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες εἵλοντο χωλὸν καὶ πεπηρωμένον· ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε e φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. (2) Διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀποριῶν ἰατρῷ καὶ διαιτητῇ, τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν πολλοῖς οὖσι καὶ δυνατοῖς, φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. (3) Οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι· παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. Οἱ δὲ καρτεροῦσι περιιόντες αὐχμη- f ροὶ καὶ ταπεινοὶ τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φοροῦσι καὶ ξυρῶνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. Δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλοὺς οὐκ ὀλίγων δεομένῃ στρατιω-

Graecos pugnantibus non evenit, virtutis tamen causa non minus victam quam victricem urbem mirari quis potuisset. (2) Recte quidem est a Xenophonte dictum, præstantium virorum jocos etiam et quæ inter potandum animi causa agunt, memorabile aliquid in se habere; at vero etiam magis est operæ pretium animadvertere, quam ii adversa fortuna in agendo loquendoque modestiam servent. (3) Festum diem agebant Spartani, urbsque hospitum erat plena (erant enim gymnica certamina chororum in theatro), quum nuntii Leuctricæ calamitatis adfuerunt. Hic ephori, tametsi minime obscurum erat actum de summa rerum et amissum esse principatum, neque chorum tamen discedere, neque festivitatis ejus formam immutari passi sunt, sed dimissis secundum domos eorum qui ceciderant nominibus ad necessarios, ludos et certamina chororum ipsi perfecerunt. (4) Postridie quum jam omnibus innotuisset qui periissent, qui evasissent, mortuorum quidem parentes et affines et propinqui in forum descendere, lætoque vultu, animisque et lætitia alacres sese mutuo datis dextris amplecti; eorum vero qui superfuerant necessarii tanquam in luctu domi sese cum uxoribus continere, aut si in publicum prodirent, habitum, vocem vultumque tristem præ se ferre atque demissum. (5) Id vero magis in feminis erat animadvertere: quæ incolumes suos recepissent, taciturnas mœstasque incedere, quæ amisissent, in fanis obversari mutuoque se hilari vultu consalutare.

XXX. Enimvero ut et socii desciverunt et Epaminondæ victoria elatus in Peloponnesum expeditionem facturus creditus est, plerisque animo recolere subiit oracula de claudicatione Agesilai, multaque per urbem mœstitia et metus deûm exsistebat, arbitrantium ideo eas clades reipublicæ accidisse, quod regno eum qui pedibus integer esset, prohibuissent, claudumque et mutilum in ejus locum substituissent, a quo maxime cavere sibi divinitus fuerant jussi. (2) Virtutem tamen ejus, potentiam gloriamque venerati, non regem modo et ducem belli retinuerunt, sed et medico arbitroque civilium difficultatum usi sunt. Qui ea in pugna victi fugerant, quos Spartani τρέσαντας, i. e. trepidantes, vocant et multi erant et potentes, ita ut tumultum metuentes legibus præscriptam pœnam eis irrogare non auderent. (3) Non enim tantum omni magistratu arcebantur, sed et uxorem illorum alicui collocare aut accipere ignominiosum erat; iidem impune ab obvio quovis feriuntur, tolerantque hoc squalidi et humiles circumeuntes, centones discolores induti, barbæque partem radunt, partem promittunt. Grave igitur erat tam multos eo habitu, isto præsertim tempore, quo militibus permultis opus erat, videre in urbe

τῶν. (4) Καὶ νομοθέτην αἱροῦνται τὸν Ἀγησίλαον. Ὁ δὲ μήτε προσθείς τι μήτε ἀφελὼν μήτε μεταγράψας εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν Λακεδαιμονίων· καὶ φήσας, a ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπὸν, ἅμα τούς τε νόμους τῇ πόλει καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. (5) Βουλόμενος οὖν τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην μὲν ἰσχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις, ἑλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων καὶ τὴν χώραν ἐπιδραμὼν ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

XXXI. Ἐκ δὲ τούτου παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμινώνδας μετὰ τῶν συμμάχων οὐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. Πολλοὶ δὲ καὶ ψιλοὶ καὶ b ἄνοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν, ὥστε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν Λακωνικήν. (2) Ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' οὗ κατῴκουν τὴν Λακεδαίμονα Δωριεῖς· ἐν δὲ τούτῳ παντὶ τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν, ἀλλ' ἀδῄωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. (3) Ὁ γὰρ Ἀγησίλαος οὐκ εἴα πρὸς τοσοῦτον, ὥς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους, ἀλλὰ τῆς πόλεως τὰ μέσα c καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων προκαλουμένων ἐκεῖνον ὀνομαστὶ καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων, ὃς τῶν κακῶν αἴτιός ἐστιν ἐκκαύσας τὸν πόλεμον. (4) Οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν πρός τε τὴν κραυγὴν καὶ τὸ πῦρ τῶν πολεμίων. (5) Ἠνία δὲ καὶ τὸ τῆς δόξης αὐτὸν, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν d καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα καὶ τὸ αὔχημα κεκολουμένον, ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις εἰπὼν, ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. (6) Λέγεται δὲ καὶ Ἀνταλκίδας, Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρείας πρὸς αὐτὸν καὶ εἰπόντος, « Ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν, » ὑποτυχεῖν· « Ἀλλ' ἡμεῖς γε οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα. » (7) Παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο τῶν ἀσημοτέρων τις Σπαρτιατῶν· ὁ μὲν γὰρ εἶπε, « Πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται », ὁ δὲ ἀπήντησεν, « Ὑμῶν δέ γε οὐδεὶς ἐν τῇ Λακωνικῇ. » e

XXXII. Τότε μέντοι τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι περίφοβον γενόμενον. (2) Ὁ δὲ Ἀγησίλαος, ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ παρετάξατο πρὸ τῶν

oberrantes. (4) Itaque Agesilaus legum ferendarum causa vocatur. Atque is in concionem Lacedæmoniorum progressus, nihil addens, nihil detrahens legibus, nihil mutans, eo die leges cessare dixit, ex eo in posterum pristinam auctoritatem habere. Ita et leges civitati servavit, et ab ignominia cives. (5) Porro ut juvenum animos a præsenti consternatione et mœstitia reficeret, in Arcadiam irrupit, studioseque sibi a pugna cavens, oppidulum quoddam Mantineorum cepit incursionemque in agros fecit, atque ita spe civium animos erexit lætioresque reddidit, ne deploratam plane rem Spartanam putarent.

XXXI. Secundum hæc in Laconicam Epaminondas invasit cum sociis, haud minores quadraginta millibus gravis armaturæ milites ducens; multi quoque levis armaturæ, et inermes prædæ causa comitabantur, ita ut ad septuaginta hominum millia in Laconicam intraverint. (2) Haud pauciores sexcentis anni effluxerant, ex quo Dorienses Spartam habitare cœperunt; neque ante eum unquam diem hostes in Laconica conspecti sunt, nemine antehac id auso. Itaque in regionem intactam inviolatamque hactenus impressione facta usque ad Eurotam atque urbem incendiis et rapinis omnia vastabant, nemine resistente. (3) Non enim patiebatur Agesilaus tanto, ut ait Theopompus, fluctui procellæque se objicere Lacedæmonios, sed urbis medium et præcipua loca militibus quum munivisset, minas et arrogantiam hostium perferebat, provocantium eum nominatim ad pugnam, ipsumque qui causa malorum esset bellumque incendisset, propugnare pro agro patrio jubentium. (4) Haud minore ægritudine eum tumultus urbani vociferationesque et discursiones afficiebant senibus obsidionem moleste ferentibus, mulieribusque se non continentibus, sed clamore et ignibus hostilibus ad insaniam redactis. (5) Gloriæ quoque jactura eum torquebat, quod quam urbem ipse maximam potentissimamque acceperat, ejus dignitatem dejectam et majestatem decurtatam cerneret, quum quidem ipse frequenter gloriatus ante esset, a muliere nulla Lacedæmonia fumum hostilem conspectum. (6) Fertur et Antalcidas Atheniensi cuidam in contentione fortitudinis dicenti, Nos quidem sæpe vobis a Cephiso fugientibus institimus, respondisse : At vos ab Eurota nunquam antea a nobis pulsi estis. (7) Cujus simile est et id quod ignobilior quidam Spartanus Argivo, multos Lacedæmonios in Argolide sepultos dicenti, reddidit : At vestrûm nemo in Laconica jacet.

XXXII. Tunc autem Antalcidas ephorus, admodum urbi metuens, pueros in insulam Cythera exposuisse traditur. (2) Agesilaus autem hostibus fluvium transire conantibus urbemque aggredi, omissis reliquis partibus, in medio urbis et sublimibus locis milites collocavit. (3) Auctus tum

μέσων καὶ ὑψηλῶν. (3) Ἐῤῥύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων, καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. Πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμινώνδαν ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν· « Ὢ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. » (4) Ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν ἐπόρθει τὴν χώραν, ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν ὡς διακόσιοι συστραφέντες κατελάβοντο
614 τὸ Ἰσσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. (5) Ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν, αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. (6) Οἱ δὲ ἀκούσαντες ἥσθησαν οἰόμενοι λανθάνειν καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε, τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκά τινας συλλαβὼν νυκτὸς ἀπέκτεινεν. (7) Ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν. (8) Ἐπεὶ δὲ πολλοὶ τῶν συντεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. (9) Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν· ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρὰ Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν, ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.

XXXIII. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. Τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν,

nivibus Eurotas uberrime fluebat, neque tam asperitas, quam frigus fluminis Thebanis transitum reddidit molestiorem durioremque. Ibi Epaminondam ante phalangem suorum incedentem quidam Agesilao ostenderunt, ferturque diu defixis in illum, quocunque iret, oculis, eam tantum vocem emisisse : O virum res magnas molientem! (4)
f Tandem Epaminondas quum frustra ad ipsam urbem confligere et tropæum statuere conatus, Agesilaum excire non potuisset, retro conversus regionem populationibus infestavit. At Spartæ quidam jam olim pravos et subdolos animos gerentes, circiter ducenti, coitione facta Issorium, ubi Dianæ templum est, munitum et expognatu difficilem
a locum, occupaverunt. (5) In quos quum extemplo impetum facere Lacedæmonii vellent, Agesilaus veritus seditionem, reliquis quiescere jussis, ipse pallio amictus cum uno famulo eo accessit, vociferans, secus eos accepisse quid mandati dedisset; neque enim eo jussisse ipsos convenire, neque omnes, sed alios eo (alium locum demonstrans), alios in diversas urbis partes. (6) Quod ut factiosi isti audiverunt, latere suam conspirationem rati, læti eo quo jusserat rex discesserunt. Issorium Agesilaus statim aliis accitis obtinuit; circiter quindecim ejus conspirationis socios deprehendit noctuque interfecit. (7) Major deinde alia Spartanorum ob res novas occulte in domum quandam
b congressorum indicata est conjuratio; quos et in judicium trahere in tanto tumultu difficillimum et insidiantes negligere periculosum erat. Itaque eos Agesilaus re cum ephoris communicata indicta causa necavit, quum ad eum usque diem nemo Spartanus nisi in judicio damnatus, capite pœnas luisset. (8) Quum multi finitimorum et helotum, quibus arma data fuerant, ex urbe ad hostes perfugerent, idque animos suorum vehementer perturbaret, famulis negotium dedit, ut sub auroram per cubicula circumirent, armaque fugitivorum inde auferrent atque absconderent, ne multitudo eorum innotesceret. (9) Thebanos discessisse ex
c Laconica quidam asserunt appetente hieme, quum jam Arcades nullo ordine discederent et ab exercitu diffluerent, alii quum tres jam integros menses ibi commorati pleraque ejus regionis partes devastassent; Theopompus scribit, ad Bœotarchos, quum jam discessum molirentur, Phrixum Lacedæmonium venisse, decemque ab Agesilao talenta attulisse, quibus ille redimeret eorum abitum; ita iis, quum jam ante discedere statuissent, viaticum etiam ab hoste accessisse.

d XXXIII. Id quomodo solus Theopompus resciverit, omnibus aliis ignorantibus, haud sane intelligo. Illud quidem apud omnes in confesso est, Spartam tunc beneficio Agesilai servatam, quum is ambitione et pertinacia, ingene-

φιλονεικίας καὶ φιλοτιμίας, ἀποστὰς ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. (2) Οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πταίσματος, ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ παρὰ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως· οὐκ ἀλόγως. Πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσαγαγόντες ἀρχὰς καὶ δυναστείας βιαίους, e ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. (3) Αὐτὸς μὲν οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας, Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. (4) Αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. Πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει μήτε μεγαληγορεῖν τοὺς ἀγωνι- f ζομένους μήτε ὑπερχαίρειν τοὺς πυθομένους, ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν· 615 τότε δὲ τῆς μάχης ἀγγελθείσης καὶ τοῦ Ἀρχιδάμου a προσιόντος οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ὑπήντα δακρύων ὑπὸ χαρᾶς καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα, τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης· ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμινώνδαν καὶ τῶν ἀρχαίων πολιτῶν πανταχό- b θεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων οὐδὲ κωλύειν ἐδύναντο, χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάττονα καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. (2) Διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. Μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. (3) Ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ Ἐπαμινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς c δυνάμεως καὶ προσιόντα λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν

ratis ipsi vitiis, valere jussis, tuta consilia pertulerit. (2) Potentiam autem gloriamque Spartæ non potuit ex illo lapsu recuperare, sed quemadmodum corporis sani quidem, nimis tamen accurata atque exquisita victus ratione semper usi, unum peccatum atque momentum totam urbis ejus felicitatem inclinavit; neque immerito. Etenim reipublicæ, ad pacem, virtutem et concordiam optime institutæ, violenta imperia superaddentes, quibus urbem felicitate fruituram nihil indigere Lycurgus senserat, cladem passi sunt. (3) Jam ipse Agesilaus ob ingravescentem ætatem militaribus imperiis sese abdicaverat, Archidamus autem filius ejus, accepto a Dionysio tyranno ex Sicilia auxilio, Arcades vicit ea pugna, quam lacrimarum expertem vocare solent; nullo enim suorum amisso magnum hostium numerum interfecit. (4) Ceterum hæc maxime victoria quantum corruissent vires civitatis Spartanæ ostendit. Ante enim ita usitatum ipsis atque peculiare vincere hostes ducebant, ut nullam aliam victimam præter gallum diis offerrent et neque ii qui pugnassent, eo nomine sese jactarent, neque qui de victoria inaudiebant, nimio aliquo gaudio efferrentur. Nuntio primo victoriæ ex eo prœlio, quod ad Mantineam commissum et a Thucydide descriptum est, magistratus ex phiditiis præmii loco carnem misit, nihil præterea. Atqui tum renuntiata victoria, quum Archidamus ad urbem accederet, nemo se domi continuit, sed primus occurrit pater præ gaudio flens, post eum magistratus, inde senum et mulierum turba ad fluvium descendit, manus ad cœlum tollentium, diisque gratias agentium, quasi tum primum indignum a se dedecus Sparta depulisset rursumque ab initio in claram lucem oculos attolleret. Nam ante hanc victoriam perhibent viros acceptæ cladis pudore ne in uxores quidem suas rectis oculis intueri sustinuisse.

XXXIV. Porro quum Messenen Epaminondas instaurasset et in eam antiqui cives undique commigrarent, vi quidem id prohibere neque ausi sunt, neque vero potuerunt Spartani, Agesilao autem graviter succensebant, quod regionem non minus Laconica populosam, agrique bonitate inter Græcas præcipuam, quam per tot annos tenuerant, sub ejus regno perdidissent. (2) Ob id Agesilaus pacem a Thebanis oblatam non accepit; nolensque verbis eam ipsis regionem, quam re ipsa obtinebant, concedere, nimia pertinacia usus tantum abfuit uti eam recuperaret, ut arte hostium circumventus ipsam prope Spartam amiserit. (3) Etenim quum Mantinenses iterum a Thebanis defecissent, Lacedæmoniosque evocassent, sentiens Epaminondas Agesilaum eo accedere cum exercitu, clam Mantinensibus noctu Tegea exercitum versus Lacedæmonem

Ἀγησίλαον ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. (4) Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησίν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. (5) Ὀλίγῳ δὲ ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν καὶ προσέβαλλον τῇ πόλει, μάλα ἐρρωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. Οὐ γάρ, ὡς πρότερον, ἀσφαλείας d ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας οὐδὲ χρησάμενος, τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδου τὴν πόλιν ἐξαρπάσας καὶ στήσας τρόπαιον καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς Λακεδαιμονίους ἀποδιδόντας, ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον ἀγωνιζόμενον ὑπερηφάνως τῇ τε ῥώμῃ τῆς ψυχῆς καὶ τῇ κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν e καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις· Ἰσάδαν δὲ δοκῶ, τὸν Φοιβίδου υἱόν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. (6) Ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος καὶ τὸ μέγεθος τοῦ σώματος, ὥραν δὲ ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι παριόντες εἰς ἄνδρας ἐκ παίδων εἶχε, γυμνὸς δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων, λίπα χρισάμενος τὸ σῶμα καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος ἐξήλατο τῆς οἰκίας καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο παίων τὸν προστυχόντα καὶ καταβάλλων. Ἐτρώθη δὲ ὑπ' f οὐδενός, εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτόν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. Ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτόν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

XXXV. Ὀλίγαις δὲ περὶ τὴν Μαντίνειαν ὕστερον 611 ἡμέραις ἐμαχέσαντο· καὶ τὸν Ἐπαμινώνδαν ἤδη κρα- a τοῦντα τῶν πρώτων, ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε δόρατι μέν, ὡς Διοσκορίδης ἱστόρηκε, Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. (2) Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν φόβῳ τοῦ Ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. (3) Μετὰ δὲ τὴν μάχην καὶ τὸν θάνατον τοῦ Ἐπαμινώνδου γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὑτοὺς ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. Ἐπεὶ δὲ οἱ λοιποὶ πάντες b ἐδέχοντο καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. (4) Βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς καὶ πολέμων ἄπληστος ὁ Ἀγησί-

duxit, parumque abfuit quin præterito Agesilao urbem vacuam occupasset. (4) Agesilaus ab Euthyno Thespiensi, ut habet Callisthenes (nam Xenophon Cretensi cuidam hoc factum ascribit), ea de re certior factus, celeriter equitem præmisit qui in urbe id annuntiaret, pauloque post ipse etiam Spartam intravit. (5) Exiguum intercessit temporis spatium, quum Thebani Eurotam transiverunt. Præter ætatem tum ingeniumque suum Agesilaus pro patria summa vi propugnavit. Non enim, ut ante, cavendi et tuta consilia sequendi, sed insanæ cujusdam audaciæ tempus esse locumque videbat, qua nunquam ante usus, tunc ea una periculum depulit patriamque e manibus Epaminondæ eripuit, tropæum constituit, puerisque et mulieribus ostendit Lacedæmonios pulcherrimam educationis gratiam referentes. Inspexerunt inter primos Archidamum præclare pugnantem quum animi robore, tum agilitate corporis, celeriterque per vicos qua pugna inclinaret discurrentem et sese ubique cum paucis aliis hostibus opponentem; viderunt Isadam Phœbidæ filium, non civibus modo, sed et hostibus visu pulchrum et admirandum spectaculum. (6) Is forma corporis ac magnitudine conspicuus eaque ætate, qua maxime ab adolescentia ad virilem statum accedentes florent, neque armis neque vestibus tectus, oleo corpus inunctus, alteraque manu gladium, altera lanceam tenens, domo exsiluit ac per mediam pugnam proruens inter hostes versatus est, obvium quemque feriens et sternens. Neque ullum accepit vulnus, sive deo ob virtutem eum custodiente, seu quod amplior et præstantior humana natura hostibus esset visus. Ob hoc facinus fertur ab ephoris coronatus, ac deinde mulcta mille drachmarum affectus, quod absque armis committere se discrimini pugnæ ausus fuisset.

XXXV. Paucis post diebus ad Mantineam pugnatum est. Ibi Epaminondam, quum primos in fugam conjectos insequeretur, Anticrates Laco sustinens hasta feriit, ut quidem Dioscorides narrat; nam Lacedæmonii eos qui ab Anticrate genus ducunt etiamnum Machærionas vocant, quod μαχαίρᾳ, i. e. ense, Epaminondam percusserit. (2) Adeo enim Epaminondæ terror carum Spartanis ejus percussorem reddidit, ut ei honores ac munera, posteritati immunitatem decreverint; qua etiam nostra ætate Callicrates unus de Anticratis posteris fruitur. (3) Post eam pugnam obitumque Epaminondæ, Græcis inter se pacem componentibus, juramento isto Agesilaus Messenios prohibuit, ut qui civitatem non haberent. Quos quum reliqui omnes admitterent, Lacedæmonii eo fœdere abstinuerunt, solique bellum paci prætulerunt, sperantes sese recuperaturos Messeniam. (4) Videbatur itaque violentus rigidusque et belli inexpletus Agesilaus, qui communia Græciæ

λαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ διαβάλλων, πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῷ καιρῷ καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοιαύτην γενομένην ἀφεικότα καὶ πόλεις καὶ γῆν καὶ θάλατταν ὑπὲρ τῶν ἐν Μεσσήνῃ c κτημάτων καὶ προσόδων σφαδάζειν.

XXXVI. Ἔτι δὲ μᾶλλον ἠδόξησε Τάχῳ τῷ Αἰγυπτίῳ στρατηγὸν ἐπιδοὺς ἑαυτόν. Οὐ γὰρ ἠξίουν ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην ἀποστάτῃ βασιλέως, ἀνθρώπῳ βαρβάρῳ, χρῆσαι τὸ σῶμα καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον. (2) Καὶ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, b οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν καὶ τὴν φιλοτιμίαν· τοῦ γὰρ καλοῦ καιρὸν οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δὲ ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. (3) Οὐ μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. Ὅθεν ἤθροισε μισθοφόρους ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε καὶ πλοῖα πληρώσας ἀνήχθη τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον. (4) Ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ e διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. Ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου, καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. (5) Ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν, ὅτι τοῦτο ἦν τὸ μυθολογούμενον· f ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. (6) Ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο, καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. 617 Τῇ μέντοι στεφανωτρίδι βύβλῳ φησὶν αὐτὸν a ἡσθέντα Θεόφραστος διὰ τὴν λιτότητα καὶ καθαριότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως.

XXXVII. Τότε δὲ συμμίξας τῷ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ, ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων, τοῦ δὲ ναυτικοῦ Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Τάχως. (2)

fœdera summo studio impediret et fraudibus interciperet, coactus inde ob defectum pecuniæ molestus esse omnibus amicis urbanis, ab iisque mutuum et stipem corrogare, quum quidem decebat eum patriam oblata occasione, rebusque ad hunc statum adductis, malis istis liberare, neque amissis urbibus, terræque et maris imperio, propter bona et reditus Messeniacos præ impatientia omnia turbare.

XXXVI. Majorem vero sibi infamiam paravit, quum Tacho Ægyptio legatum sese præbuit. Indignum enim videbatur, eum virum qui optimus Græcorum esset habitus, gloriaque sua orbem terrarum implevisset, homini barbaro, et qui a suo rege defecisset, corpus, nomen gloriamque suam pro pecunia utendam dare mercenariorumque militum ducis munus subire. (2) Etenim ne si pro libertate quidem Græciæ honestam illam et celebrem in se recepisset provinciam, annos octoginta natus, eoque amplius, totumque corpus vulneribus conscissus, reprehensione omni cariturам eam tam intempestivam ambitionem fuisse; quippe honestarum actionum suum esse tempus, suam ætatem, et vero omnino bona a turpibus solo modo discerni. (3) Verum hæc Agesilaus contemnens, neque ullum publicum ministerium se ipso indignum sentiens, potiusque dedecori sibi ducens, si otiosus domi vitam exigeret mortemque exspectaret, conductis pecunia a Tacho accepta militibus, impletisque navibus, solvit, triginta secum, ut ante, Spartanos consiliarios habens. (4) Ut in Ægyptum appulit, primores statim regiorum administrorum officii causa ad navim ejus venerunt, reliqui etiam Ægyptii, apud quos magnam exspectationem atque studium nomen et gloria ejus excitaverat, ad spectaculum quasi concurrerunt. (5) Qui ut nihil splendoris, nihil apparatus, tantum senem in herba apud littus decumbere viderunt, horrido vilique habitu, et parvo corpore, ridere eis et jocari subiit. Hoc nimirum, aiebant, est illud fabulæ: Parturiunt montes, nascitur tandem mus. (6) Multo magis stultitiam ejus mirabantur, qui, quum xenia offerrentur, farinas quidem, vitulos et anseres acciperet, bellaria, placentas et unguenta repudiaret, urgentibus enixeque rogantibus uti acciperet, servis suis ea dari juberet. Papyro tamen coronaria, ob simplicitatem et munditiam ejusmodi coronarum, delectatum fuisse Theophrastus refert, petiisseque et accepisse quum a rege discederet.

XXXVII. Congressus autem cum Tacho ad expeditionem parato, non, uti speraverat, universis copiis, sed mercenariis tantum militibus præfectus est, classi Chabrias Atheniensis, omnibus copiis ipse Tachos præerat. (2) Id

[illegible] b [illegible] Σοὶ μέν, ὦ Χαβρία, κατὰ σεαυτὸν [illegible] Αἰγυπτίοις στρατηγός. Οὐκ οὖν ἂν ἔχοι [illegible] c [illegible] Ταῦτα δ' εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δὲ ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. (6) Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς Ἀγησιλάῳ περὶ τούτων μελήσειν, ἐκείνῳ δ' ἐπέστειλαν ἐφῆν κελεύοντες, ὅπως πράξῃ τι τῇ Σπάρτῃ συμφέρον. (7) Οὕτω δή, λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος ἀπὸ d τοῦ Τάχω μεθίστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος, ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες οὔτε μανθάνουσιν οὔτ' ἐπίστανται δίκαιον ἄλλο πλὴν ὃ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν e δέκα μυριάδας ἀνθρώπων ἐπῄει. (2) Θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον καὶ λέγοντος, ὅτι πολλοὶ μὲν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι, « Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, » ὁ Ἀγησίλαος εἶπεν, « ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν ὡς δυσεξαπάτητον. Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν μηδὲ ὑπονοῶν μηδὲν οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβήν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος. » (3) Ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. Ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος f αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν

primum Agesilao salutatum misit. Deinde reliquos quoque magnatum et [illegible] Ægypti [illegible], [illegible] Phœnices navigavit, [illegible] se, ac- [illegible] exspectans. (3) Nectanabis enim Tachi cognatus, ab eoque parti copiarum præfectus, defecit, atque ab Ægyptiis creatus, missis ad Agesilaum internuntiis, petiit ut sibi auxilio veniret, itemque Chabriam magnis utique propositis præmiis ad societatem jungendam sollicitat. (4) Sentiens hæc Tachos, ambos deprecatus est, et Chabriam quoque hortando leniendoque conatus est in amicitia Tachi Agesilaum retinere. Agesilaus autem, Tibi quidem, inquit, o Chabria, qui ultro huc venisti, tuis [illegible] licet, ego [illegible] a patria [illegible] dux Ægyptiis; non [illegible] igitur [illegible] ei, ad quos missus sum belli socius, hos bello petam nisi jussu civitatis. (5) Simul Spartam misit, qui Tachum accusarent Nectanabimque commendarent. Misit et horum uterque, alter antiquam societatem prætendens, alter majus studium benevolentiamque erga civitatem Lacedæmoniorum in posterum promittens. (6) Auditis legatis, responderunt Ægyptiis palam, Agesilao totam rem curæ fore, cum vero missis literis hortati sunt, ut quod in rem Spartæ esset, id ageret. (7) Ita Agesilaus cum suis stipendiariis militibus a Tacho ad Nectanabim transiit, absurdam et inhonestam plane rem patriæ commodo prætexens; nam si prætextu dempto actioni isti debitum nomen dare volumus, proditio erat. Sed Lacedæmonii primas honesti partes utilitati patriæ tribuentes, nullam justam rem agnoscunt, nisi quæ ad amplificandam Spartam faciat.

XXXVIII. Tachos destitutus a mercenariis militibus fugit. Mox quidem Mendesius contra Nectanabim insurgit, rex et ipse salutatus, contractisque centum millibus hominum in adversarium it. (2) Ibi tum Nectanabi hortanti dicentique, numerosos quidem hostes esse, sed convenas ac mechanicis tantum opificiis exercitatos atque ob imperitiam contemnendos, Agesilaus non se multitudine eorum, sed imperitia perturbari respondit et ruditate; ea enim effici, ne decipi possint. Fraudes enim eos tantum opprimunt, qui suspicantes semper et exspectantes ad defensionem se accingunt; at qui nihil metuit, nihil suspicatur, nullam ille fraudi ansam præbet, sicut et in lucta qui se nunquam movet, nullum ad sternendum colluctanti momentum dat. (3) Secundum hæc Mendesius quoque Agesilaum missis nuntiis suum efficere est conatus. Metuens itaque sibi Nectanabis, Agesilao quamprimum prœlio congredi jubente, neque bellum trahere contra homines belli imperitos et qui ob multitudinem circumvenire insidiis, vel fossa locorumve

δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν ἀπεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν
618 ἔχουσαν περίβολον. (4) Ὁ δὲ Ἀγησίλαος ἠγανάκτει a μὲν ἀπιστούμενος καὶ βαρέως ἔφερεν, αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον ἢ τελέως ἀπελθεῖν ἄπρακτος ἠκολούθησε καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι καὶ τοὺς Ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν· οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. (2) Ὁ δὲ Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων ἤκουε μὲν ἔτι μᾶλλον κακῶς ἢ πρότερον ὑπὸ τῶν Αἰγυπτίων καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως, ἔφερε δὲ πρᾳότερον ἤδη τὰς διαβολὰς καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. Ἦν δὲ τοιόνδε. (3) Τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν ὡς παντάπα- b σιν ἀποκλείσοντες αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος ἀπαντῶντος αὐτῷ καὶ περιιόντος ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι καὶ κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας ἔλεγεν ἐλθὼν πρὸς τὸν Αἰγύπτιον· « Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι φοβούμενος οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. Ἐπεὶ δὲ ἡμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε c νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι καὶ μεθ' ἡμῶν ἐπισπόμενος δρόμῳ σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. Ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. » (4) Ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα καὶ προσπεσὼν ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. (5) Ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα καθάπερ πάλαισμα τοῖς πολεμίοις. Τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δὲ ἀντιπεριχωρῶν ἐμβάλλει τὸ d πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραῤῥέουσαν, ὧν τὸ μέσον ἐμφράξας καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. Ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν.

XL. Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. (2) Ὁ δὲ ὥρμητο πρὸς τὸν οἴ- e κοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. (3) Χειμῶνος δὲ ὄντος ἤδη τῆς γῆς ἐχόμενος

occupatione facile possent, magis etiam suspectum eum habens, in magnam se et munitam probe urbem recepit. (4) Agesilaus tametsi indigne ferebat de fide sua dubitari, tamen turpe ratus ad alium rursus transire vel nulla re gesta discedere, Nectanabim secutus est et cum eo in urbem intravit.

XXXIX. Supervenientibus hostibus et munitionibus urbem cingentibus, rex rursus metuens obsidionem pugnandum existimavit, studiose Græcis astipulantibus, quod in urbe nihil erat alimentorum. (2) Id quum prohiberet Agesilaus, pejus etiam quam prius apud Ægyptios audivit, proditorem eum regis vocantes; sed jam æquiore animo calumnias ferebat, occasioni exsequendi sui consilii intentus. Id fuit hujusmodi. (3) Fossam circa murum exterius peraltam barbari agebant, ut omnino hostem in urbem concluderent. Ea quum jam prope eo esset perducta, ut in se rediret mœniaque tota ambiret, noctem præstolatus, armari Græcos jussit Nectanabimque accedens : Nunc, inquit, o juvenis, tempus salutis adest, quam ego occasionem metuens ne perderem, non ante indicavi, priusquam instaret. Ipsi nos hostes suarum manuum opere tutos reddiderunt, tanta acta fossa, cujus quod perfectum est, ipsorum multitudini impedimento erit, intercapedo nobis æquali cum ipsis prœlio congrediendi locum dabit. Agedum ergo animo viri strenui cogitationes concipe, nosque cursu secutus, te et exercitum serva. Nam neque nos a fronte impetum facientes hostis subsistet et reliquis, ne damnum nobis dent, fossa obstabit. (4) Miratus est Agesilai calliditatem Nectanabis inque medium se Græcorum agmen recepit; facta irruptione facile fusi sunt hostes. (5) Agesilaus ut semel Nectanabim sibi obtemperantem habuit, iterum eadem arte cum hostibus colluctatus, modo fugiendo et post se hostes trahendo, modo contrario itinere cedendo, tandem multitudinem hostium in eum locum pertraxit, cujus ab utroque latere aqua profundo alveo defluebat. Horum interstitium obstruxit et phalangis suæ fronte occupavit, ita ut æquali numero primis hostium concurreret, neque ab hostibus circumveniri posset. Ideo hostes quum haud diu restitissent, fusi sunt, multisque cæsis, reliqui in fuga dissipati in diversas partes diffluxerunt.

XL. Ex illo Nectanabis res bono in statu satisque tutæ erant; id quod ille gratum habens, amice admodum Agesilaum oravit, ut ibi per hiemem secum maneret. (2) Sed Agesilaus ad bellum domesticum festinabat, patriam pecuniæ indigere mercenarioque milite uti sciens. Dimissus itaque reverenter et magnifice est, rege præter alios honores ac dona, ad bellum ei ducenta triginta talenta largiente. (3) In reditu tempestate oborta quum terram jam navibus

τῆς ἀκτῆς κατὰ τὴν Λιβύην εἰς ἔρημον ὁρμισάμενος τόπον, ὃν καλοῦσι Μενελάου λιμένα, θνήσκει βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης ἓν τῶν τεσσαράκοντα πλείω καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς ἄχρι τῆς ἐν Λεύκτροις μάχης. (4) Ἔθους δὲ ὄντος Λακωνικοῦ τῶν μὲν ἄλλων ἐπὶ ξένης f ἀποθανόντων αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος οὐ παρόντος, 619 ἀπῆγον εἰς Λακεδαίμονα. (5) Τὴν δὲ βασιλείαν a Ἀρχίδαμος ὁ υἱὸς αὐτοῦ παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος, ὃν ἐπιχειρήσαντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν ἀπέκτεινε Λεωνίδας πέμπτον ἀπ' Ἀγησιλάου γενόμενον.

atti gisset et in Africæ desertum quendam locum (Menelai portum vocant) appulisset, diem obiit, quum quidem annos quattuor et octoginta vixisset, Spartæ unum et quadraginta regnasset, et ex his plures quam triginta omnium maximus potentissimusque, totiusque propemodum Græciæ princeps atque rex, usque ad Leuctricam pugnam, habitus fuisset. (4) Moris erat Laconici, ut ceterorum in exteris regionibus mortuorum corpora funerata ibidem relinquerentur, regum autem Spartam referrentur; idcirco Spartani qui aderant, cadaver Agesilai cera (non enim erat in promptu mel), colliquata circumfusum Lacedæmonem pervexerunt. (5) Patri in regno successit Archidamus, quod in eo genere usque ad Agidem permansit; Agidem, qui ab Agesilao erat quintus, institutam a majoribus reipublicæ administrationem instaurare conatum, Leonidas interfecit.

ΠΟΜΠΗΙΟΣ.

POMPEIUS.

Πρὸς Πομπήιον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆ- b μος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων,

Quod apud Æschylum Prometheus de Hercule salutis suæ auctore dicit,

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Carissima infensissimi proles patris,

Οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγόν, ὡς τὸν Πομπηίου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος), ἐπεὶ δὲ ἀπέθανε κεραυνωθείς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες, οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν ἢ θᾶσσον ἀρξαμένην c ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν ἢ πταίσαντι παραμείνασαν βεβαιότερον ἄλλος ἔσχε Ῥωμαίων ἢ Πομπήιος. (2) Αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία, τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθανότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι μηδὲ ἥδιον ὑπουργῆσαι δεομένῳ. Προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος καὶ τὸ σεμνὸν λαμβάνοντος.

id jam inde ab initio sensisse de Pompeio populus Romanus videtur. Neminem enim unquam ducem tam constanti tamque acerbo odio prosecuti sunt, ut Strabonem Pompeii patrem; cujus quum viventis potentiam in armis (erat enim vir bellicosissimus) metuissent, fulmine exstincti cadaver de feretro inter efferendum detraxerunt ignominioseque tractaverunt. Rursum inter Romanos nemo fuit, qui vehementiori et quæ celerius incepisset, aut rebus prosperis magis increvisset, rebusque etiam fractis constantius perdurasset, populi benevolentia uteretur, atque Pompeius. (2) Odiorum in illum causa fuit insatiabilis avaritia, huic cur diligeretur, multæ; victus ratio modesta, exercitatio in armis, facundia, probati mores, comitas, quum quidem nemo esset, qui vel æquiori animo peti abs sese aliquid pateretur, vel cujus petitionibus libentius satisfieret. Præterea et dabat sine molestia et in accipiendo gravitatem adhibebat.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. Τὸ d γὰρ ἐράσμιον ἀξιωματικὸν ἦν φιλανθρώποις, καὶ ἐν τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. (2) Ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας· ᾗ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφευγεν ὁ Πομπήιος, ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. Διὸ καὶ

II. Ab initio vultus quoque haud parum ei ad conciliandos multitudinis animos adjumenti attulit, prius capiens blanditiis quam loqueretur. Aspectus ejus amabilis majestatem præ se ferebat comitate temperatam et in juvenili ejus flore maturitas quædam regiam prodebat ac venerabilem animi indolem; et in florente ætate statim indoles veneranda et regius animus elucebant. (2) Tum coma leniter rejecta, oculorumque mollities atque conversiones faciei similitudinem cum Alexandri regis effigie quandam verbis magis quam re apparentem efficiebant, ita ut ne Alexandri quidem appellationem ab initio fugerit Pompeius, sed quidam per jocum

Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικός, συνηγορῶν αὐτῷ [e] μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ Φίλιππος ὢν φιλαλέξανδρός ἐστι. (3) Φλώραν δὲ τὴν ἑταίραν ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς Πομπήιον ὁμιλίας λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην ἀδήκτως ἀπελθεῖν. (4) Πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν ἐπιθυμῆσαί τινα τῶν Πομπηίου συνήθων αὐτῆς Γεμίνιον καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήιον, ἐκείνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν οὖν Πομπήιον ἐπιτρέψαι μὲν τῷ Γεμινίῳ, μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν μηδὲ ἐντυχεῖν [f] αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα· τοῦτο δὲ αὐτὴν οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. (5) Καίτοι τὴν Φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Κεκίλιον Μέτελλον ἀνδριάσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν Διοσκούρων κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλ- [620] λος. (6) Πομπήιος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευ- [a] θέρου γυναικὶ πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν ἐχρῆτο παρὰ τὸν ἑαυτοῦ τρόπον οὐκ ἐπιεικῶς οὐδὲ ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. (7) Οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. (8) Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος καὶ ἀπομνημόνευμα λέγεται τοιοῦτον. Ἰατρὸς αὐτῷ νοσοῦντι καὶ [b] κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν· ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λουκούλλῳ δι' ἔτους τρεφομένας, «Εἶτ', εἶπεν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησε;» καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων. Ταῦτα μὲν οὖν ὕστερον.

III. Ἔτι δὲ μειράκιον ὢν παντάπασι καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. Οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν αὐτὸς μὲν ἔμελλε Πομπήιον ἀποκτείνειν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. Μηνύσεως δὲ τῷ Πομπηίῳ περὶ δεῖπνον ὄντι [c] προσπεσούσης, οὐδὲν διαταραχθείς, ἀλλὰ καὶ πιὼν προθυμότερον καὶ φιλοφρονησάμενος τὸν Τερέντιον ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. Ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη καὶ τῇ στιβάδι τοῦ Πομπηίου προσελθὼν ὡς κατακειμένου πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. (2) Ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν τάς τε σκηνὰς ἀνασπώντων καὶ τὰ ὅπλα λαμβανόντων. Ὁ μὲν οὖν στρατηγὸς οὐ προῄει δεδιὼς τὸν θόρυβον, ὁ δὲ [d] Πομπήιος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέ-

eum palam Alexandrum nominarint. Itaque L. Philippus, vir consularis Pompeio patrocinans, nihil se alienum ratione facere dicebat, quod Philippus ipse Alexandrum diligeret. (3) Floram porro meretricem jam natu grandem ferunt sæpe gratam consuetudinis olim cum Pompeio habitæ mentionem fecisse et dixisse, nunquam se ab eo, si una cubasset, sine morsu discessisse. (4) Id quoque narrasse Floram, Geminium quendam ex Pompeii familiaribus concubitum ejus affectasse, ac sæpe eo nomine compellasse, ipsam vero recusasse, Pompeiique gratia non obsequi dixisse; Geminium Pompeium convenisse, ab eoque ut potiretur Flora impetrasse; Pompeium deinceps ipsa, tametsi amore captus videretur, omnino abstinuisse, idque ipsam non meretricia levitate tulisse, sed præ dolore et desiderio ejus aliquamdiu ægrotasse. (5) Fertur ita nobilis forma Flora fuisse, ut Cæcilius Metellus, quum Castoris ædem statuis et tabulis exornaret, ipsius quoque picturam ob venustatem ibi dedicaverit. (6) Demetrii quoque liberti sui, qui plurimum apud ipsum valuit, ac rem quater mille talentorum reliquit, uxorem Pompeius contra ingenium suum neque benigne neque liberaliter tractavit, metuens ne pulchritudine ipsius, quæ insignis erat et quemvis ad amorem pellicere posse existimabatur, captus videretur. (7) Adeo præcavendis etiam e longinquo reprehensionibus intentus, non tamen effugit calumnias inimicorum, qui eum matronarum in gratiam publica multa dimittere et negligere dicerent. (8) De frugalitate autem et simplicitate ejus in victu, hoc etiam commemoratur. Medicus ægrotanti et cibos fastidienti mandaverat, uti turdum comederet; quum venalis nullus reperiri posset (nam anni tempus non ferebat) et quidam inveniri apud Lucullum altiles diceret: Ergone, inquit, nisi Lucullus luxui studeret, Pompeius non viveret? spretoque medici mandato alium cibum vulgarem sumpsit. Sed hæc posterius.

III. Admodum adolescens cum patre in militia proficiscens, qui Cinnæ erat oppositus, socium et contubernalem habuit L. quendam Terentium. Is a Cinna corruptus pecunia, Pompeium occidere et submissis aliis incendere tentorium ducis statuerat. Indicium rei ad Pompeium cœnantem delatum est; isque nihil perturbatus, sed potui magis indulgens amiceque cum Terentio agens, simul ac somni tempus appetiit, occulte se e tentorio suo subtraxit præsidioque patri circumposito, quieti se dedit. Terentius tempus necis esse ratus, stricto gladio ad lectum Pompeii venit, eumque ibi jacere putans, multos in stragula ictus ingessit. (2) Post hæc odium ducis magnum tumultum excitavit, defectionemque agitantes milites tentoria demoliri armaque corripere cœperunt. Dux turbam metuens, progredi ausus non fuit, at Pompeius filius inter medios milites obversa-

τα, τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος κλαίων ἔκειτο καὶ πατεῖν ἐκέλευε τοὺς ἐξιόντας, ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος. Καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευθέρων ὁ Πομπήϊος νενοσφισμένον Ἀλέξανδρον ἀπέδειξε τοῖς ἄρχουσιν, αὐτὸς δὲ λίνα θηρατικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ἁλόντων ἔχειν κατηγορεῖτο. Ταῦτα δὲ e ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ἐμπεσόντων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. (2) Ἐγένοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος δόξαν ἔσχε μεγάλην καὶ χάριν, ὥστε Ἀντίστιον στρατηγοῦντα καὶ βραβεύοντα τὴν δίκην ἐκείνην ἐρασθῆναι τοῦ Πομπηΐου καὶ γυναῖκα διδόναι τὴν ἑαυτοῦ θυγατέρα καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. (3) Δεξαμένου δὲ Πομπηΐου καὶ γενομένων ἐν αὐταῖς ἀπορρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ f πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. Τέλος δὲ τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. Τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. (4) Ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος
621 εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥω- a μαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες πελάται καὶ βοτῆρες ἀράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. Ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα Ταλασίῳ· τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος, ὥστε τοὺς ἀκούσαντας τοὔνομα κροτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. Ἐκ τούτου φασὶ (καὶ γὰρ εὐτυχὴς ἀπέβη τῷ Ταλασίῳ ὁ γάμος) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γενέσθαι τοῖς γαμοῦσιν. Οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομένων. Ὀλίγαις δ' οὖν ὕστερον ἡμέραις ὁ Πομπήϊος ἠγάγετο τὴν b Ἀντιστίαν.

V. Ἐπεὶ δὲ πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν, οὐκ ὄντος ἐμφανοῦς αὐτοῦ, θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκοι τὸν νεανίσκον ὁ Κίννας· ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ' αὐτόν. (2) Ὁ δὲ φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος προσέπεσε τοῖς γόνασι καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. Ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπών, « Ἀλλ' οὐκ ἐγγύην ἔρ- c χομαι σφραγιούμενος, ἀλλ' ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον, » ἀπέκτεινεν αὐτόν. (3) Οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα

tus, precibus et lacrimisque deprecatus tandem in ipsa porta castrorum se prosternens, discessuris obstitit, flens ac sese calcari jubens, ita ut omnes, octingentis tantum dempsis, moti verecundia recesserint ac cum duce in gratiam redierint.

IV. Strabone patre mortuo, ipsius nomine peculatus dies Pompeio dictus est. Et magnam quidem pecuniæ publicæ partem ab Alexandro quodam liberto interversam quum deprehendisset Pompeius, rem ad magistratus detulit, ipse retia et libros de præda Asculana retinere culpatus est. Et acceperat quidem ea a patre Asculo capto, sed Cinnani satellites, quum in urbem rediit Cinna, impetu in domum ejus facto ea diripuerant. (2) In exordio causæ aliquot contra accusatorem certamina sustinuit, in quibus ita se acrem ac præter ætatem suam constantem gessit, ut gloriam sibi gratiamque magnam paraverit, adeo ut Antistius prætor, apud quem ea causa agebatur, Pompeii amore captus fuerit filiamque ei suam nuptum dare decreverit, re cum amicis communicata. (3) Pompeio id probante occultoque ea re composita, studium tamen Antistii in causa fuit, uti ne lateret multitudinem. Tandem quum is Pompeium judicum sententiis absolutum pronuntiaret, tanquam signo dato populus acclamavit: Talasio! quæ vox antiquo instituto in nuptiis acclamari solet, origine, ut perhibent, tali. (4) Quum Sabinorum filias quæ ad ludos Romam convenerant, præcipui virtute Romani ad matrimonium jungendum diriperent, ignobiles quidam clientes et pastores forma et magnitudine præsignem quandam virginem abstulerunt, ac ne ab obviis præstantioribus ea ipsis eriperetur, inter currendum clamaverunt, Talasio; erat autem Talasius unus ex nobilibus et gratiosis Romanis; itaque qui audiebant id nomen, et ipsi nomen idem acclamabant, quasi congratulantes et comprobantes. Et quia nuptiæ istæ Talasio bene cecidissent, ideo receptum exinde esse dicunt, ut per jocum in nuptiis Talasii nomen sponsæ acclamaretur. Quæ quidem historia de iis, quæ de Talasio traduntur, vero simillima videtur. Enimvero paucis post diebus Antistiam duxit Pompeius.

V. Quum ad Cinnam in castra profectus atque ob criminationes et calumnias aliorum sibi metuens clam sese e medio subduxisset, rumore in castris exorto, adolescentem a Cinna necatum esse, milites jam pridem infestos animos gerentes, impetum in Cinnam fecerunt. (2) Is fugiens a quodam centurione stricto gladio insequente deprehensus, ad genua ei accidit, sigillumque, quod magni erat pretii, protendit. Cui centurio acerbe admodum insultans, Atqui, inquit, non venio ad obsignandam sponsionem, sed ut pœnas de nefario et scelerato tyranno sumam; simulque hominem obtruncavit. (3) Cinna in hunc modum sublato, rerum potitus est Carbo,

καὶ συνεῖχε Κάρβων ἐμπληκτότερος ἐκείνου τύραννος, ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. Εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν ἀπογνώσει τῆς ἐλευθερίας.

VI. Τότε οὖν ὁ Πομπήιος ἐν τῇ Πικηνίδι τῆς Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. d Ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολείποντας τὰ οἰκεῖα καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον ὥσπερ εἰς λιμένα καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς οὐδὲ ἀσύμβολος οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. (2) Ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος· οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως καὶ τοῖς παρὰ Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐηδίου δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν ὁ Πομπήιος, οὕτως ἠγανάκτησαν, ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐήδιον. (3) Ἐκ τούτου Πομπήιος ἔτη μὲν e τρία καὶ εἴκοσι γεγονώς, ὑπ' οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγός, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν ἐν Αὐξίμῳ, πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο Οὐεντιδίους ὑπὲρ Κάρβωνος ἀντιπράττοντας διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. (4) Ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δὲ ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτούς, οὕτω f κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας καὶ τὴν ἄλλην πᾶσαν παρασκευὴν ἦγε πρὸς Σύλλαν, οὐκ ἐπειγόμενος οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρίβων καθ' ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους καὶ πᾶν ὅσον ἐπῄει τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

VII. Ἀνέστησαν οὖν ἐπ' αὐτὸν τρεῖς ἅμα στρατηγοὶ 622 πολέμιοι, Καρίννας καὶ Κλοίλιος καὶ Βροῦτος, οὐχ a ἐναντίοι πάντες οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες ὡς ἀναρπασόμενοι. (2) Ὁ δὲ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν ὥρμησεν ἐφ' ἓν τὸ τοῦ Βρούτου στράτευμα, τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτός, προτάξας. Ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππευσαν οἱ Κελτοί, τὸν πρῶτον καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. Οἱ δὲ ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. (3) Ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε. Πομπηίῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. (4) Αὖθις δὲ Σκηπίωνος ἐπιόντος αὐτῷ b τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φά-

insolentior quam Cinna fuerat tyrannus; accedebat autem ad urbem Sylla, quem plerique ob præsentium malorum molestiam desiderabant, domini quoque mutationem magni boni loco ducentes. Adeo tum Romam calamitates redegerant, uti, desperata libertate, servitutem saltem tolerabiliorem quærerent.

VI. Agebat tum in Piceno Italiæ Pompeius, ubi et prædia habebat, plerumque autem benevolentia civitatum a patre ad se derivata perfruebatur. Ibi quum Romanorum nobilissimos ac præstantissimos sentiret, suis rebus relictis, in Syllæ castra, veluti portum aliquem, passim confluere, indignum sese ratus, si nihil afferens ipse ad Syllam auxilii tantum impetrandi causa confugeret, gratiam ab eo inire aliquam cumque gloria et potentia accedere statuit. (2) Itaque Picenorum animos tentando, sibi conciliavit, iique studiose obtemperantes, a Carbone missos spreverunt. Quum Vedius quidam subito ex ludo literario ad gubernandum populum prosiluisse Pompeium dixisset, adeo indignati sunt, ut statim impetu facto Vedium necarent. (3) Exinde Pompeius, annos natus viginti tres, a nemine hominum dux creatus, ipse sibi arrogato magistratu, Auximi, quæ magna est Piceni urbs, tribunal in foro constituit, duosque fratres Ventidios, qui in ea civitate primas obtinebant, contra ipsum factionem Carbonianam tuentes, edicto urbe expulit. Milites deinde conscripsit centurionesque iis et primipilos ordine constituit, idemque ceteras etiam urbes adiens fecit. (4) Cedentibus autem et fugientibus Carbonianis et reliquis prompte se ipsi adjungentibus, ita demum modico tempore contractis tribus integris legionibus, tum commeatu, jumentis et carris ad impedimenta vehenda omnique alio apparatu, ad Syllam profectus est, non festinans, neque latere cupiens, sed moram in itinere faciens infestandis hostibus, et omnem, qua ibat, Italiam ad desciscendum a Carbone pertrahendo.

VII. Itaque tres adversæ partis duces, Carinnas, Clœlius et Brutus, contra Pompeium insurrexerunt, tribus diversis exercitibus eum ambientes, uti in medio inclusum arriperent. (2) Pompeius nihil perterritus, toto exercitu instructo in Brutum duxit, equites, inter quos ipse erat, primo loco agens. Quumque hostium equitatus Gallicus obviam processisset, primum eorum et robustissimum cominus hasta ictum dejecit: reliqui retro aversi, peditum quoque aciem disjecerunt, et in fugam totus exercitus sese dedit. (3) Duces autem discordia oborta, quo quemque sors tulit, a sese discesserunt. Civitates ob metum dissipatos Carbonianos rataæ Pompeio se conjunxerunt. (4) Mox Scipio consul quum adversus eum proficisceretur, antequam intra teli jactum acies pervenissent, milites Scipionis salutaverunt milites

μέσων καὶ ὑψηλῶν. (3) Ἐῤῥύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων, καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. Πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμινώνδαν ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν· « Ὢ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. » (4) Ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν ἐπόρθει τὴν χώραν, ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν ὡς διακόσιοι συστραφέντες κατελάβοντο 614 τὸ Ἰσσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. (5) Ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν, αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. (6) Οἱ δὲ ἀκούσαντες ἥσθησαν οἰόμενοι λανθάνειν καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε, τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκά τινας συλλαβὼν νυκτὸς ἀπέκτεινεν. (7) Ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν. (8) Ἐπεὶ δὲ πολλοὶ τῶν συντεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. (9) Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν· ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρὰ Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν, ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.

XXXIII. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. Τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν,

nivibus Eurotas uberrime fluebat, neque tam asperitas, quam frigus fluminis Thebanis transitum reddidit molestiorem durioremque. Ibi Epaminondam ante phalangem suorum incedentem quidam Agesilao ostenderunt,ferturque diu defixis in illum, quocunque iret, oculis, eam tantum vocem emisisse : O virum res magnas molientem! (4) f Tandem Epaminondas quum frustra ad ipsam urbem confligere et tropæum statuere conatus, Agesilaum excire non potuisset, retro conversus regionem populationibus infestavit. At Spartæ quidam jam olim pravos et subdolos animos gerentes, circiter ducenti, coitione facta Issorium, ubi Dianæ templum est, munitum et expugnatu difficilem a locum, occupaverunt. (5) In quos quum extemplo impetum facere Lacedæmonii vellent, Agesilaus veritus seditionem, reliquis quiescere jussis, ipse pallio amictus cum uno famulo eo accessit, vociferans, secus eos accepisse quid mandati dedisset; neque enim eo jussisse ipsos convenire, neque omnes, sed alios eo (alium locum demonstrans), alios in diversas urbis partes. (6) Quod ut factiosi isti audiverunt, latere suam conspirationem rati, læti eo quo jusserat rex discesserunt. Issorium Agesilaus statim aliis accitis obtinuit; circiter quindecim ejus conspirationis socios deprehendit noctuque interfecit. (7) Major deinde alia Spartanorum ob res novas occulte in domum quandam b congressorum indicata est conjuratio; quos et in judicium trahere in tanto tumultu difficillimum et insidiantes negligere periculosum erat. Itaque eos Agesilaus re cum ephoris communicata indicta causa necavit, quum ad eum usque diem nemo Spartanus nisi in judicio damnatus, capite pœnas luisset. (8) Quum multi finitimorum et helotum, quibus arma data fuerant, ex urbe ad hostes perfugerent, idque animos suorum vehementer perturbaret, famulis negotium dedit, ut sub auroram per cubicula circumirent, armaque fugitivorum inde auferrent atque absconderent, ne multitudo eorum innotesceret. (9) Thebanos discessisse ex c Laconica quidam asserunt appetente hieme, quum jam Arcades nullo ordine discederent et ab exercitu diffluerent, alii quum tres jam integros menses ibi commorati pleraque ejus regionis partes devastassent; Theopompus scribit, ad Bœotarchos, quum jam discessum molirentur, Phrixum Lacedæmonium venisse, decemque ab Agesilao talenta attulisse, quibus ille redimeret eorum abitum; ita iis, quum jam ante discedere statuissent, viaticum etiam ab hoste accessisse.

d XXXIII. Id quomodo solus Theopompus resciverit, omnibus aliis ignorantibus, haud sane intelligo. Illud quidem apud omnes in confesso est, Spartam tunc beneficio Agesilai servatam, quum is ambitione et pertinacia, ingene-

φιλονεικίας καὶ φιλοτιμίας, ἀποστὰς ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. (2) Οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πταίσματος, ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ παρὰ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως· οὐκ ἀλόγως. Πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσαγαγόντες ἀρχὰς καὶ δυναστείας βιαίους, e ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. (3) Αὐτὸς μὲν οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας, Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. (4) Αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. Πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει μήτε μεγαληγορεῖν τοὺς ἀγωνι- f ζομένους μήτε ὑπερχαίρειν τοὺς πυθομένους, ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν·
615 τότε δὲ τῆς μάχης ἀγγελθείσης καὶ τοῦ Ἀρχιδάμου a προσιόντος οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ὑπήντα δακρύων ὑπὸ χαρᾶς καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα, τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης· ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμινώνδαν καὶ τῶν ἀρχαίων πολιτῶν πανταχό- b θεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων οὐδὲ κωλύειν ἐδύναντο, χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάττονα καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. (2) Διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. Μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. (3) Ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ Ἐπαμινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς c δυνάμεως καὶ προσιόντα λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν

ratis ipsi vitiis, valere jussis, tuta consilia pertulerit. (2) Potentiam autem gloriamque Spartæ non potuit ex illo lapsu recuperare, sed quemadmodum corporis sani quidem, nimis tamen accurata atque exquisita victus ratione semper usi, unum peccatum atque momentum totam urbis ejus felicitatem inclinavit; neque immerito. Etenim reipublicæ, ad pacem, virtutem et concordiam optime institutæ, violenta imperia superaddentes, quibus urbem felicitate fruituram nihil indigere Lycurgus senserat, cladem passi sunt. (3) Jam ipse Agesilaus ob ingravescentem ætatem militaribus imperiis sese abdicaverat, Archidamus autem filius ejus, accepto a Dionysio tyranno ex Sicilia auxilio, Arcades vicit ea pugna, quam lacrimarum expertem vocare solent; nullo enim suorum amisso magnum hostium numerum interfecit. (4) Ceterum hæc maxime victoria quantum corruissent vires civitatis Spartanæ ostendit. Ante enim ita usitatum ipsis atque peculiare vincere hostes ducebant, ut nullam aliam victimam præter gallum diis offerrent et neque ii qui pugnassent, eo nomine sese jactarent, neque qui de victoria inaudiebant, nimio aliquo gaudio efferrentur. Nuntio primo victoriæ ex eo prœlio, quod ad Mantineam commissum et a Thucydide descriptum est, magistratus ex phiditiis præmii loco carnem misit, nihil præterea. Atqui tum renuntiata victoria, quum Archidamus ad urbem accederet, nemo se domi continuit, sed primus occurrit pater præ gaudio flens, post eum magistratus, inde senum et mulierum turba ad fluvium descendit, manus ad cœlum tollentium, diisque gratias agentium, quasi tum primum indignum a se dedecus Sparta depulisset rursumque ab initio in claram lucem oculos attolleret. Nam ante hanc victoriam perhibent viros acceptæ cladis pudore ne in uxores quidem suas rectis oculis intueri sustinuisse.

XXXIV. Porro quum Messenen Epaminondas instaurasset et in eam antiqui cives undique commigrarent, vi quidem id prohibere neque ausi sunt, neque vero potuerunt Spartani, Agesilao autem graviter succensebant, quod regionem non minus Laconica populosam, agrique bonitate inter Græcas præcipuam, quam per tot annos tenuerant, sub ejus regno perdidissent. (2) Ob id Agesilaus pacem a Thebanis oblatam non accepit; nolensque verbis eam ipsis regionem, quam re ipsa obtinebant, concedere, nimia pertinacia usus tantum abfuit uti eam recuperaret, ut arte hostium circumventus ipsam prope Spartam amiserit. (3) Etenim quum Mantinenses iterum a Thebanis defecissent, Lacedæmoniosque evocassent, sentiens Epaminondas Agesilaum eo accedere cum exercitu, clam Mantinensibus noctu Tegea exercitum versus Lacedæmonem

μέσων καὶ ὑψηλῶν. (3) Ἐῤῥύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων, καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. Πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμινώνδαν ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν· « Ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. » f (4) Ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν ἐπόρθει τὴν χώραν, ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν ὡς διακόσιοι συστραφέντες κατελάβοντο 614 τὸ Ἰσσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ a καὶ δυσεκβίαστον τόπον. (5) Ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν, αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. (6) Οἱ δὲ ἀκούσαντες ἥσθησαν οἰόμενοι λανθάνειν καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους κατέσχε, τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκά τινας συλλαβὼν νυκτὸς ἀπέκτεινεν. (7) Ἄλλη δὲ μείζων ἐμηνύθη b συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν. (8) Ἐπεὶ δὲ πολλοὶ τῶν συντεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. c (9) Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι χειμώνων γενομένων καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως, οἱ δὲ τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας· Θεόπομπος δέ φησιν· ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρὰ Ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν, ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσπεριγενέσθαι.

XXXIII. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν d οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ᾔσθετο. Τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν,

nivibus Eurotas uberrime fluebat, neque tam asperitas, quam frigus fluminis Thebanis transitum reddidit molestiorem dulioremque. Ibi Epaminondam ante phalangem suorum incedentem quidam Agesilao ostenderunt, ferturque diu defixis in illum, quocunque iret, oculis, eam tantum vocem emisisse : O virum res magnas molientem! (4) Tandem Epaminondas quum frustra ad ipsam urbem confligere et tropæum statuere conatus, Agesilaum excire non potuisset, retro conversus regionem populationibus infestavit. At Spartæ quidam jam olim pravos et subdolos animos gerentes, circiter ducenti, coitione facta Issorium, ubi Dianæ templum est, munitum et expugnatu difficilem locum, occupaverunt. (5) In quos quum extemplo impetum facere Lacedæmonii vellent, Agesilaus veritus seditionem, reliquis quiescere jussis, ipse pallio amictus cum uno famulo eo accessit, vociferans, secus eos accepisse quid mandati dedisset; neque enim eo jussisse ipsos convenire, neque omnes, sed alios eo (alium locum demonstrans), alios in diversas urbis partes. (6) Quod ut factiosi isti audiverunt, latere suam conspirationem rati, læti eo quo jusserat rex discesserunt. Issorium Agesilaus statim aliis accitis obtinuit; circiter quindecim ejus conspirationis socios deprehendit noctuque interfecit. (7) Major deinde alia Spartanorum ob res novas occulte in domum quandam congressorum indicata est conjuratio; quos et in judicium trahere in tanto tumultu difficillimum et insidiantes negligere periculosum erat. Itaque eos Agesilaus re cum ephoris communicata indicta causa necavit, quum ad eum usque diem nemo Spartanus nisi in judicio damnatus, capite pœnas luisset. (8) Quum multi finitimorum et helotum, quibus arma data fuerant, ex urbe ad hostes perfugerent, idque animos suorum vehementer perturbaret, famulis negotium dedit, ut sub auroram per cubicula circumirent, armaque fugitivorum inde auferrent atque absconderent, ne multitudo eorum innotesceret. (9) Thebanos discessisse ex Laconica quidam asserunt appetente hieme, quum jam Arcades nullo ordine discederent et ab exercitu diffluerent, alii quum tres jam integros menses ibi commorati pleraque ejus regionis partes devastassent; Theopompus scribit, ad Bœotarchos, quum jam discessum molirentur, Phrixum Lacedæmonium venisse, decemque ab Agesilao talenta attulisse, quibus ille redimeret eorum abitum; ita iis, quum jam ante discedere statuissent, viaticum etiam ab hoste accessisse.

XXXIII. Id quomodo solus Theopompus resciverit, omnibus aliis ignorantibus, haud sane intelligo. Illud quidem apud omnes in confesso est, Spartam tunc beneficio Agesilai servatam, quum is ambitione et pertinacia, ingene-

φιλονεικίας καὶ φιλοτιμίας, ἀποστὰς ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. (2) Οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πταίσματος, ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ παρὰ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως· οὐκ ἀλόγως. Πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσαγαγόντες ἀρχὰς καὶ δυναστείας βιαίους, e ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. (3) Αὐτὸς μὲν οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας, Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. (4) Αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. Πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει μήτε μεγαληγορεῖν τοὺς ἀγωνι- f ζομένους μήτε ὑπερχαίρειν τοὺς πυθομένους, ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν·
615 τότε δὲ τῆς μάχης ἀγγελθείσης καὶ τοῦ Ἀρχιδάμου a προσιόντος οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ὑπήντα δακρύων ὑπὸ χαρᾶς καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα, τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης· ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμινώνδαν καὶ τῶν ἀρχαίων πολιτῶν πανταχό- b θεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων οὐδὲ κωλύειν ἐδύναντο, χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάττονα καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. (2) Διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. Μὴ βουλόμενος δὲ τῷ λόγῳ προέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. (3) Ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ Ἐπαμινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς c δυνάμεως καὶ προσιόντα λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν τὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν

ratis ipsi vitiis, valere jussis, tuta consilia pertulerit. (2) Potentiam autem gloriamque Spartæ non potuit ex illo lapsu recuperare, sed quemadmodum corporis sani quidem, nimis tamen accurata atque exquisita victus ratione semper usi, unum peccatum atque momentum totam urbis ejus felicitatem inclinavit; neque immerito. Etenim reipublicæ, ad pacem, virtutem et concordiam optime institutæ, violenta imperia superaddentes, quibus urbem felicitate fruituram nihil indigere Lycurgus senserat, cladem passi sunt. (3) Jam ipse Agesilaus ob ingravescentem ætatem militaribus imperiis sese abdicaverat, Archidamus autem filius ejus, accepto a Dionysio tyranno ex Sicilia auxilio, Arcades vicit ea pugna, quam lacrimarum expertem vocare solent; nullo enim suorum amisso magnum hostium numerum interfecit. (4) Ceterum hæc maxime victoria quantum corruissent vires civitatis Spartanæ ostendit. Ante enim ita usitatum ipsis atque peculiare vincere hostes ducebant, ut nullam aliam victimam præter gallum diis offerrent et neque ii qui pugnassent, eo nomine sese jactarent, neque qui de victoria inaudiebant, nimio aliquo gaudio efferrentur. Nuntio primo victoriæ ex eo prœlio, quod ad Mantineam commissum et a Thucydide descriptum est, magistratus ex phiditiis præmii loco carnem misit, nihil præterea. Atqui tum renuntiata victoria, quum Archidamus ad urbem accederet, nemo se domi continuit, sed primus occurrit pater præ gaudio flens, post eum magistratus, inde senum et mulierum turba ad fluvium descendit, manus ad cœlum tollentium, diisque gratias agentium, quasi tum primum indignum a se dedecus Sparta depulisset rursumque ab initio in claram lucem oculos attolleret. Nam ante hanc victoriam perhibent viros acceptæ cladis pudore ne in uxores quidem suas rectis oculis intueri sustinuisse.

XXXIV. Porro quum Messenen Epaminondas instaurasset et in eam antiqui cives undique commigrarent, vi quidem id prohibere neque ausi sunt, neque vero potuerunt Spartani, Agesilao autem graviter succensebant, quod regionem non minus Laconica populosam, agrique bonitate inter Græcas præcipuam, quam per tot annos tenuerant, sub ejus regno perdidissent. (2) Ob id Agesilaus pacem a Thebanis oblatam non accepit; nolensque verbis eam ipsis regionem, quam re ipsa obtinebant, concedere, nimia pertinacia usus tantum abfuit uti eam recuperaret, ut arte hostium circumventus ipsam prope Spartam amiserit. (3) Etenim quum Mantinenses iterum a Thebanis defecissent, Lacedæmoniosque evocassent, sentiens Epaminondas Agesilaum eo accedere cum exercitu, clam Mantinensibus noctu Tegea exercitum versus Lacedæmonem

Ἀγησίλαον ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. (4) Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησίν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. (5) Ὀλίγῳ δὲ ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν καὶ προσέβαλλον τῇ πόλει, μάλα ἐρρωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. Οὐ γάρ, ὡς πρότερον, ἀσφαλείας d ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας οὐδὲ χρησάμενος, τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδου τὴν πόλιν ἐξαρπάσας καὶ στήσας τρόπαιον καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς Λακεδαιμονίους ἀποδιδόντας, ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον ἀγωνιζόμενον ὑπερηφάνως τῇ τε ῥώμῃ τῆς ψυχῆς καὶ τῇ κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν e καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις· Ἰσάδαν δὲ δοκῶ, τὸν Φοιβίδου υἱόν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. (6) Ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος καὶ τὸ μέγεθος τοῦ σώματος, ὥραν δὲ ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι παριόντες εἰς ἄνδρας ἐκ παίδων εἶχε, γυμνὸς δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων, λίπα χρισάμενος τὸ σῶμα καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος ἐξήλατο τῆς οἰκίας καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο παίων τὸν προστυχόντα καὶ καταβάλλων. Ἐτρώθη δὲ ὑπ' f οὐδενός, εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτόν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. Ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτόν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

XXXV. Ὀλίγαις δὲ περὶ τὴν Μαντίνειαν ὕστερον 616 ἡμέραις ἐμαχέσαντο· καὶ τὸν Ἐπαμινώνδαν ἤδη κρατοῦντα τῶν πρώτων, ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε a δόρατι μέν, ὡς Διοσκορίδης ἱστόρηκε, Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. (2) Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν φόβῳ τοῦ Ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. (3) Μετὰ δὲ τὴν μάχην καὶ τὸν θάνατον τοῦ Ἐπαμινώνδου γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτοὺς ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. Ἐπεὶ δὲ οἱ λοιποὶ πάντες b ἐδέχοντο καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. (4) Βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς καὶ πολέμων ἄπληστος ὁ Ἀγησί-

duxit, parumque abfuit quin præterito Agesilao urbem vacuam occupasset. (4) Agesilaus ab Euthyno Thespiensi, ut habet Callisthenes (nam Xenophon Cretensi cuidam hoc factum ascribit), ea de re certior factus, celeriter equitem præmisit qui in urbe id annuntiaret, pauloque post ipse etiam Spartam intravit. (5) Exiguum intercessit temporis spatium, quum Thebani Eurotam transiverunt. Præter ætatem tum ingeniumque suum Agesilaus pro patria summa vi propugnavit. Non enim, ut ante, cavendi et tuta consilia sequendi, sed insanæ cujusdam audaciæ tempus esse locumque videbat, qua nunquam ante usus, tunc ea una periculum depulit patriamque e manibus Epaminondæ eripuit, tropæum constituit, puerisque et mulieribus ostendit Lacedæmonios pulcherrimam educationis gratiam referentes. Inspexerunt inter primos Archidamum præclare pugnantem quum animi robore, tum agilitate corporis, celeriterque per vicos qua pugna inclinaret discurrentem et sese ubique cum paucis aliis hostibus opponentem; viderunt Isadam Phœbidæ filium, non civibus modo, sed et hostibus visu pulchrum et admirandum spectaculum. (6) Is forma corporis ac magnitudine conspicuus eaque ætate, qua maxime ab adolescentia ad virilem statum accedentes florent, neque armis neque vestibus tectus, oleo corpus inunctus, alteraque manu gladium, altera lanceam tenens, domo exsiluit ac per mediam pugnam proruens inter hostes versatus est, obvium quemque feriens et sternens. Neque ullum accepit vulnus, sive deo ob virtutem eum custodiente, seu quod amplior et præstantior humana natura hostibus esset visus. Ob hoc facinus fertur ab ephoris coronatus, ac deinde mulcta mille drachmarum affectus, quod absque armis committere se discrimini pugnæ ausus fuisset.

XXXV. Paucis post diebus ad Mantineam pugnatum est. Ibi Epaminondam, quum primos in fugam conjectos insequeretur, Anticrates Laco sustinens hasta feriit, ut quidem Dioscorides narrat; nam Lacedæmonii eos qui ab Anticrate genus ducunt etiamnum Machærionas vocant, quod μαχαίρᾳ, i. e. ense, Epaminondam percusserit. (2) Adeo enim Epaminondæ terror carum Spartanis ejus percussorem reddidit, ut ei honores ac munera, posteritati immunitatem decreverint; qua etiam nostra ætate Callicrates unus de Anticratis posteris fruitur. (3) Post eam pugnam obitumque Epaminondæ, Græcis inter se pacem componentibus, juramento isto Agesilaus Messenios prohibuit, ut qui civitatem non haberent. Quos quum reliqui omnes admitterent, Lacedæmonii eo fœdere abstinuerunt, solique bellum paci prætulerunt, sperantes sese recuperaturos Messeniam. (4) Videbatur itaque violentus rigidusque et belli inexpletus Agesilaus, qui communia Græciæ

λαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ διαβάλλων, πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῷ καιρῷ καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοιαύτην γενομένην ἀφεικότα καὶ πόλεις καὶ γῆν καὶ θάλατταν ὑπὲρ τῶν ἐν Μεσσήνῃ c κτημάτων καὶ προσόδων σφαδάζειν.

XXXVI. Ἔτι δὲ μᾶλλον ἠδόξησε Τάχῳ τῷ Αἰγυπτίῳ στρατηγὸν ἐπιδοὺς ἑαυτόν. Οὐ γὰρ ἠξίουν ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην ἀποστάτῃ βασιλέως, ἀνθρώπῳ βαρβάρῳ, χρῆσαι τὸ σῶμα καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον. (2) Κεἰ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευ- b θερίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν καὶ τὴν φιλοτιμίαν· τοῦ γὰρ καλοῦ καιρὸν οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δὲ ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. (3) Οὐ μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδὲν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. Ὅθεν ἤθροισε μισθοφόρους ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε καὶ πλοῖα πληρώσας ἀνήχθη τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον. (4) Ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ e διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. Ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου, καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. (5) Ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν, ὅτι τοῦτο ἦν τὸ μυθολογούμε- f νον· ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. (6) Ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε ξενίων προσκομισθέντων καὶ προσαχθέντων ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο, καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζον-
617τας. Τῇ μέντοι στεφανωτρίδι βύβλῳ φησὶν αὐτὸν a ἡσθέντα Θεόφραστος διὰ τὴν λιτότητα καὶ καθαριότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως.

XXXVII. Τότε δὲ συμμίξας τῷ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ, ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων, τοῦ δὲ ναυτικοῦ Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Τάχως. (2)

fœdera summo studio impediret et fraudibus interciperet, coactus inde ob defectum pecuniæ molestus esse omnibus amicis urbanis, ab iisque mutuum et stipem corrogare, quum quidem decebat eum patriam oblata occasione, rebusque ad hunc statum adductis, malis istis liberare, neque amissis urbibus, terræque et maris imperio, propter bona et reditus Messeniacos præ impatientia omnia turbare.

XXXVI. Majorem vero sibi infamiam paravit, quum Tacho Ægyptio legatum sese præbuit. Indignum enim videbatur, eum virum qui optimus Græcorum esset habitus, gloriaque sua orbem terrarum implevisset, homini barbaro, et qui a suo rege defecisset, corpus, nomen gloriamque suam pro pecunia utendam dare mercenariorumque militum ducis munus subire. (2) Etenim ne si pro libertate quidem Græciæ honestam illam et celebrem in se recepisset provinciam, annos octoginta natus, eoque amplius, totumque corpus vulneribus conscissus, reprehensione omni carituram eam tam intempestivam ambitionem fuisse; quippe honestarum actionum suum esse tempus, suam ætatem, et vero omnino bona a turpibus solo modo discerni. (3) Verum hæc Agesilaus contemnens, neque ullum publicum ministerium se ipso indignum sentiens, potiusque dedecori sibi ducens, si otiosus domi vitam exigeret mortemque exspectaret, conductis pecunia a Tacho accepta militibus, impletisque navibus, solvit, triginta secum, ut ante, Spartanos consiliarios habens. (4) Ut in Ægyptum appulit, primores statim regiorum administrorum officii causa ad navim ejus venerunt, reliqui etiam Ægyptii, apud quos magnam exspectationem atque studium nomen et gloria ejus excitaverat, ad spectaculum quasi concurrerunt. (5) Qui ut nihil splendoris, nihil apparatus, tantum senem in herba apud littus decumbere viderunt, horrido vilique habitu, et parvo corpore, ridere eis et jocari subiit. Hoc nimirum, aiebant, est illud fabulæ: Parturiunt montes, nascitur tandem mus. (6) Multo magis stultitiam ejus mirabantur, qui, quum xenia offerrentur, farinas quidem, vitulos et anseres acciperet, bellaria, placentas et unguenta repudiaret, urgentibus enixeque rogantibus uti acciperet, servis suis ea dari juberet. Papyro tamen coronaria, ob simplicitatem et munditiam ejusmodi coronarum, delectatum fuisse Theophrastus refert, petiisseque et accepisse quum a rege discederet.

XXXVII. Congressus autem cum Tacho ad expeditionem parato, non, uti speraverat, universis copiis, sed mercenariis tantum militibus præfectus est, classi Chabrias Atheniensis, omnibus copiis ipse Tachos præerat. (2) Id

Καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ Αἰγυπτίου βαρυνόμενος ἠναγκάζετο φέρειν· καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας, αὑτῷ παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρι οὗ καιρὸν ἔλαβε. (2) Νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τοῦ Τάχω καὶ μέρος b ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως ἀπέστη· καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἀναγορευθεὶς διεπέμπετο πρὸς τὸν Ἀγησίλαον ἀξιῶν αὐτῷ βοηθεῖν, τὰ δ' αὐτὰ καὶ τὸν Χαβρίαν παρεκάλει μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. (4) Αἰσθομένου δὲ ταῦτα τοῦ Τάχω καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ Τάχω πείθων καὶ παραμυθούμενος κατέχειν, ὁ δὲ Ἀγησίλαος εἶπεν, ὅτι « Σοὶ μέν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς ἔξεστιν, ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. Οὐκ οὖν ἂν ἔχοι μοι καλῶς οἷς c ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ. » (5) Ταῦτα δὲ εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δὲ ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. (6) Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς Ἀγησιλάῳ περὶ τούτων μελήσειν, ἐκείνῳ δὲ ἐπέστειλαν ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον. (7) Οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος ἀπὸ d τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος, ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες οὔτε μανθάνουσιν οὔτ' ἐπίστανται δίκαιον ἄλλο πλὴν ὃ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν e δέκα μυριάδας ἀνθρώπων ἐπῄει. (2) Θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον καὶ λέγοντος, ὅτι πολλοὶ μέν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι, « Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, » ὁ Ἀγησίλαος εἶπεν, « ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν ὡς δυσεξαπάτητον. Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν μηδὲ ὑπονοῶν μηδὲν οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβήν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος. » (3) Ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. Ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος f αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν

primum Agesilao molestum accidit. Deinde reliquam quoque arrogantiam et levitatem Ægyptii ægre ferens, sustinuit tamen et cum eo contra Phœnices navigavit, contra et dignitatem et ingenium suum submittens se, occasionemque patienter exspectans. (3) Nectanabis enim Tachi cognatus, ab eoque parti copiarum præfectus, descivit, rexque ab Ægyptiis creatus, missis ad Agesilaum internuntiis, petiit ut sibi auxilio veniret, itemque Chabriam magnis utique propositis præmiis ad societatem jungendam invitavit. (4) Sentiens hoc Tachos, ambos deprecatus est, et Chabrias quoque hortando leniendoque conatus est in amicitia Tachi Agesilaum retinere. Agesilaus autem, Tibi quidem, inquit, o Chabria, qui ultro huc venisti, tuis uti consiliis licet, ego missus a patria sum dux Ægyptiis; non recte igitur egero si, ad quos missus sum belli socius, hos bello petam nisi jussu civitatis. (5) Simul Spartam misit, qui Tachum accusarent Nectanabimque commendarent. Misit et horum uterque, alter antiquam societatem prætendens, alter majus studium benevolentiamque erga civitatem Lacedæmoniorum in posterum promittens. (6) Auditis legatis, responderunt Ægyptiis palam, Agesilao totam rem curæ fore, eum vero missis litteris hortati sunt, ut quod in rem Spartæ esset, id ageret. (7) Ita Agesilaus cum suis stipendiariis militibus a Tacho ad Nectanabim transiit, absurdam et inhonestam plane rem patriæ commodo prætexens; nam si prætextu dempto actioni isti debitum nomen dare volumus, proditio erat. Sed Lacedæmonii primas honesti partes utilitati patriæ tribuentes, nullam justam rem agnoscunt, nisi quæ ad amplificandam Spartam faciat.

XXXVIII. Tachos destitutus a mercenariis militibus fugit. Mox quidam Mendesius contra Nectanabim insurgit, rex et ipse salutatus, contractisque centum millibus hominum in adversarium it. (2) Ibi tum Nectanabi hortanti dicentique, numerosos quidem hostes esse, sed convenas ac manuariis tantum opificiis exercitatos atque ob imperitiam contemnendos, Agesilaus non se multitudine eorum, sed imperitia perturbari respondit et ruditate; ea enim effici, ne decipi possint. Fraudes enim eos tantum opprimunt, qui suspicantes semper et exspectantes ad defensionem se accingunt; at qui nihil metuit, nihil suspicatur, nullam ille fraudi ansam præbet, sicut et in lucta qui se nunquam movet, nullum ad sternendum colluctanti momentum dat. (3) Secundum hæc Mendesius quoque Agesilaum missis nuntiis suum efficere est conatus. Metuens itaque sibi Nectanabis, Agesilao quamprimum prœlio congredi jubente, neque bellum trahere contra homines belli imperitos et qui ob multitudinem circumvenire insidiis, vel fossa locorumve

δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν ἀπεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν
618 ἔχουσαν περίβολον. (4) Ὁ δὲ Ἀγησίλαος ἠγανάκτει a μὲν ἀπιστούμενος καὶ βαρέως ἔφερεν, αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον ἢ τελέως ἀπελθεῖν ἄπρακτος ἠκολούθησε καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι καὶ τοὺς Ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν· οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. (2) Ὁ δὲ Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων ἤκουε μὲν ἔτι μᾶλλον κακῶς ἢ πρότερον ὑπὸ τῶν Αἰγυπτίων καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως, ἔφερε δὲ πρᾳότερον ἤδη τὰς διαβολὰς καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. Ἦν δὲ τοιόνδε. (3) Τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν ὡς παντάπασιν b ἀποκλείσοντες αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος ἀπαντῶντος αὐτῷ καὶ περιιόντος ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι καὶ κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας ἔλεγεν ἐλθὼν πρὸς τὸν Αἰγύπτιον· « Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι φοβούμενος οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. Ἐπεὶ δὲ ἡμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε c νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι καὶ μεθ' ἡμῶν ἐπισπόμενος δρόμῳ σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. Ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. » (4) Ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα καὶ προσπεσὼν ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. (5) Ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα καθάπερ πάλαισμα τοῖς πολεμίοις. Τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δὲ ἀντιπεριχωρῶν ἐμβάλλει τὸ d πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραῤῥέουσαν, ὧν τὸ μέσον ἐμφράξας καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. Ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνηρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν.

XL. Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. (2) Ὁ δὲ ὥρμητο πρὸς τὸν οἴκοι e πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. (3) Χειμῶνος δὲ ὄντος ἤδη τῆς γῆς ἐχόμενος

occupatione facile possent, magis etiam suspectum eum habens, in magnam se et munitam probe urbem recepit. (4) Agesilaus tametsi indigne ferebat de fide sua dubitari, tamen turpe ratus ad alium rursus transire vel nulla re gesta discedere, Nectanabim secutus est et cum eo in urbem intravit.

XXXIX. Supervenientibus hostibus et munitionibus urbem cingentibus, rex rursus metuens obsidionem pugnandum existimavit, studiose Græcis astipulantibus, quod in urbe nihil erat alimentorum. (2) Id quum prohiberet Agesilaus, pejus etiam quam prius apud Ægyptios audivit, proditorem eum regis vocantes; sed jam æquiore animo calumnias ferebat, occasioni exsequendi sui consilii intentus. Id fuit hujusmodi. (3) Fossam circa murum exterius peraltam barbari agebant, ut omnino hostem in urbem concluderent. Ea quum jam prope eo esset perducta, ut in se rediret mœniaque tota ambiret, noctem præstolatus, armari Græcos jussit Nectanabimque accedens: Nunc, inquit, o juvenis, tempus salutis adest, quam ego occasionem metuens ne perderem, non ante indicavi, priusquam instaret. Ipsi nos hostes suarum manuum opere tutos reddiderunt, tanta acta fossa, cujus quod perfectum est, ipsorum multitudini impedimento erit, intercapedo nobis æquali cum ipsis prœlio congrediendi locum dabit. Agedum ergo animo viri strenui cogitationes concipe, nosque cursu secutus, te et exercitum serva. Nam neque nos a fronte impetum facientes hostis subsistet et reliquis, ne damnum nobis dent, fossa obstabit. (4) Miratus est Agesilai calliditatem Nectanabis inque medium se Græcorum agmen recepit; facta irruptione facile fusi sunt hostes. (5) Agesilaus ut semel Nectanabim sibi obtemperantem habuit, iterum eadem arte cum hostibus colluctatus, modo fugiendo et post se hostes trahendo, modo contrario itinere cedendo, tandem multitudinem hostium in eum locum pertraxit, cujus ab utroque latere aqua profundo alveo defluebat. Horum interstitium obstruxit et phalangis suæ fronte occupavit, ita ut æquali numero primis hostium concurreret, neque ab hostibus circumveniri posset. Ideo hostes quum haud diu restitissent, fusi sunt, multisque cæsis, reliqui in fuga dissipati in diversas partes diffluxerunt.

XL. Ex illo Nectanabis res bono in statu satisque tutæ erant; id quod ille gratum habens, amice admodum Agesilaum oravit, ut ibi per hiemem secum maneret. (2) Sed Agesilaus ad bellum domesticum festinabat, patriam pecuniæ indigere mercenarioque milite uti sciens. Dimissus itaque reverenter et magnifice est, rege præter alios honores ac dona, ad bellum ei ducenta triginta talenta largiente. (3) In reditu tempestate oborta quum terram jam navibus

τοις ναυσὶ καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι Μενελάου λιμένα, θνήσκει βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης ἑνὶ τῶν τεσσαράκοντα πλέον καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς ἄχρι τῆς ἐν Λεύκτροις μάχης. (4) Ἔθους δὲ ὄντος Λακωνικοῦ τῶν μὲν ἄλλων ἐπὶ ξένης f ἀποθανόντων αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος οὐ παρόν- 619 τος, ἀπῆγον εἰς Λακεδαίμονα. (5) Τὴν δὲ βασιλείαν a Ἀρχίδαμος ὁ υἱὸς αὐτοῦ παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος, ὃν ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν ἀπέκτεινε Λεωνίδας πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα.

attigisset et in Africæ desertum quendam locum (Menelai portum vocant) appulisset, diem obiit, quum quidem annos quattuor et octoginta vixisset, Spartæ unum et quadraginta regnasset, et ex his plures quam triginta omnium maximus potentissimusque, totiusque propemodum Græciæ princeps atque rex, usque ad Leuctricam pugnam, habitus fuisset. (4) Moris erat Laconici, ut celerorum in exteris regionibus mortuorum corpora funerata ibidem relinquerentur, regum autem Spartam referrentur; idcirco Spartani qui aderant, cadaver Agesilai cera (non enim erat in promptu mel) colliquata circumfusum Lacedæmonem pervexerunt. (5) Patri in regno successit Archidamus, quod in eo genere usque ad Agidem permansit; Agidem, qui ab Agesilao erat quintus, institutam a majoribus reipublicæ administrationem instaurare conatum, Leonidas interfecit.

ΠΟΜΠΗΙΟΣ.

POMPEIUS.

Πρὸς Πομπήιον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων, b

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηίου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος), ἐπεὶ δὲ ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες, οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν ἢ θᾶσσον ἀρξαμένην c ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν ἢ πταίσαντι παραμείνασαν βεβαιότερον ἄλλος ἔσχε Ῥωμαίων ἢ Πομπήιος. (2) Αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία, τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθανότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι μηδὲ ἥδιον ὑπουργῆσαι δεομένῳ. Προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος καὶ τὸ σεμνὸν λαμβάνοντος.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. Τὸ d γὰρ ἐράσμιον ἀξιωματικὸν ἦν φιλανθρώπως, καὶ ἐν τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. (2) Ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας· ᾗ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφευγεν ὁ Πομπήιος, ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. Διὸ καὶ

Quod apud Æschylum Prometheus de Hercule salutis suæ auctore dicit,

Carissima infensissimi proles patris,

id jam inde ab initio sensisse de Pompeio populus Romanus videtur. Neminem enim unquam ducem tam constanti tamque acerbo odio prosecuti sunt, ut Strabonem Pompeii patrem; cujus quum viventis potentiam in armis (erat enim vir bellicosissimus) metuissent, fulmine exstincti cadaver de feretro inter efferendum detraxerunt ignominioseque tractaverunt. Rursum inter Romanos nemo fuit, qui vehementiori et quæ celerius incepisset, aut rebus prosperis magis increvisset, rebusque etiam fractis constantius perdurasset, populi benevolentia uteretur, atque Pompeius. (2) Odiorum in illum causa fuit insatiabilis avaritia, huic cur diligeretur, multæ; victus ratio modesta, exercitatio in armis, facundia, probati mores, comitas, quum quidem nemo esset, qui vel æquiori animo peti abs sese aliquid pateretur, vel cujus petitionibus libentius satisfieret. Præterea et dabat sine molestia et in accipiendo gravitatem adhibebat.

II. Ab initio vultus quoque haud parum ei ad conciliandos multitudinis animos adjumenti attulit, prius capiens blanditiis quam loqueretur. Aspectus ejus amabilis majestatem præ se ferebat comitate temperatam et in juvenili ejus flore maturitas quædam regiam prodebat ac venerabilem animi indolem; et in florente ætate statim indoles veneranda et regius animus elucebant. (2) Tum coma leniter rejecta, oculorumque mollit'em atque conversiones faciei similitudinem cum Alexandri regis effigie quandam verbis magis quam re apparentem efficiebant, ita ut ne Alexandri quidem appellationem ab initio fugerit Pompeius, sed quidam per jocum

Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικὸς, συνηγορῶν αὐτῷ e μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ Φίλιππος ὢν φιλαλέξανδρός ἐστι. (3) Φλώραν δὲ τὴν ἑταίραν ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς Πομπήιον ὁμιλίας λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην ἀδήκτως ἀπελθεῖν. (4) Πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν ἐπιθυμῆσαί τινα τῶν Πομπηίου συνήθων αὐτῆς Γεμίνιον καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήιον, ἐκείνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν οὖν Πομπήιον ἐπιτρέψαι μὲν τῷ Γεμινίῳ, f μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν μηδὲ ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα· τοῦτο δὲ αὐτὴν οὐχ' ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. (5) Καίτοι τὴν Φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Κεκίλιον Μέτελλον ἀνδριάσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν Διοσκούρων κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλ-620λος. (6) Πομπήιος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευ- a θέρου γυναικὶ πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν ἐχρῆτο παρὰ τὸν ἑαυτοῦ τρόπον οὐκ ἐπιεικῶς οὐδὲ ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. (7) Οὕτω δὲ πάνυ πόῤῥωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. (8) Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος καὶ ἀπομνημόνευμα λέγεται τοιοῦτον. Ἰατρὸς αὐτῷ νοσοῦντι καὶ b κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν· ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λουκούλλῳ δι' ἔτους τρεφομένας, « Εἶτ', εἶπεν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησε; » καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων. Ταῦτα μὲν οὖν ὕστερον.

III. Ἔτι δὲ μειράκιον ὢν παντάπασι καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. Οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν αὐτὸς μὲν ἔμελλε Πομπήιον ἀποκτείνειν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. Μηνύσεως δὲ τῷ Πομπηίῳ περὶ δεῖπνον ὄντι c προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον καὶ φιλοφρονησάμενος τὸν Τερέντιον ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. Ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη καὶ τῇ στιβάδι τοῦ Πομπηίου προσελθὼν ὡς κατακειμένου πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. (2) Ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν τάς τε σκηνὰς ἀνασπώντων καὶ τὰ ὅπλα λαμβανόντων. Ὁ μὲν οὖν στρατηγὸς οὐ προῄει δεδιὼς τὸν θόρυβον, ὁ δὲ d Πομπήιος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέ-

eum palam Alexandrum nominarint. Itaque L. Philippus, vir consularis Pompeio patrocinans, nihil se alienum ratione facere dicebat, quod Philippus ipse Alexandrum diligeret. (3) Floram porro meretricem jam natu grandem ferunt sæpe gratam consuetudinis olim cum Pompeio habitæ mentionem fecisse et dixisse, nunquam se ab eo, si una cubasset, sine morsu discessisse. (4) Id quoque narrasse Floram, Geminium quendam ex Pompeii familiaribus concubitum ejus affectasse, ac sæpe eo nomine compellasse, ipsam vero recusasse, Pompeiique gratia non obsequi dixisse; Geminium Pompeium convenisse, ab eoque ut potiretur Flora impetrasse; Pompeium deinceps ipsa, tametsi amore captus videretur, omnino abstinuisse, idque ipsam non meretricia levitate tulisse, sed præ dolore et desiderio ejus aliquamdiu ægrotasse. (5) Fertur ita nobilis forma Flora fuisse, ut Cæcilius Metellus, quum Castoris ædem statuis et tabulis exornaret, ipsius quoque picturam ob venustatem ibi dedicaverit. (6) Demetrii quoque liberti sui, qui plurimum apud ipsum valuit, ac rem quater mille talentorum reliquit, uxorem Pompeius contra ingenium suum neque benigne neque liberaliter tractavit, metuens ne pulchritudine ipsius, quæ insignis erat et quemvis ad amorem pellicere posse existimabatur, captus videretur. (7) Adeo præcavendis etiam e longinquo reprehensionibus intentus, non tamen effugit calumnias inimicorum, qui eum matronarum in gratiam publica multa dimittere et negligere dicerent. (8) De frugalitate autem et simplicitate ejus in victu, hoc etiam commemoratur. Medicus ægrotanti et cibos fastidienti mandaverat, uti turdum comederet; quum venalis nullus reperiri posset (nam anni tempus non ferebat) et quidam inveniri apud Lucullum altiles diceret: Ergone, inquit, nisi Lucullus luxui studeret, Pompeius non viveret? spretoque medici mandato alium cibum vulgarem sumpsit. Sed hæc posterius.

III. Admodum adolescens cum patre in militia proficiscens, qui Cinnæ erat oppositus, socium et contubernalem habuit L. quendam Terentium. Is a Cinna corruptus pecunia, Pompeium occidere et submissis aliis incendere tentorium ducis statuerat. Indicium rei ad Pompeium cœnantem delatum est; isque nihil perturbatus, sed potui magis indulgens amiceque cum Terentio agens, simul ac somni tempus appetiit, occulte se e tentorio suo subtraxit præsidioque patri circumposito, quieti se dedit. Terentius tempus necis esse ratus, stricto gladio ad lectum Pompeii venit, eumque ibi jacere putans, multos in stragula ictus ingessit. (2) Post hæc odium ducis magnum tumultum excitavit, defectionemque agitantes milites tentoria demoliri armaque corripere cœperunt. Dux turbam metuens, progredi ausus non fuit, at Pompeius filius inter medios milites obversa-

τευε, τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος ἐμποδὼν ἔκειτο κλαίων καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας, ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήιος. Καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευθέρων ὁ Πομπήιος νενοσφισμένον Ἀλέξανδρον ἀπέδειξε τοῖς ἄρχουσιν, αὐτὸς δὲ λίνα θηρατικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. Ταῦτα δὲ e ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. (2) Ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος δόξαν ἔσχε μεγάλην καὶ χάριν, ὥστε Ἀντίστιον στρατηγοῦντα καὶ βραβεύοντα τὴν δίκην ἐκείνην ἐρασθῆναι τοῦ Πομπηίου καὶ γυναῖκα διδόναι τὴν ἑαυτοῦ θυγατέρα καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. (3) Δεξαμένου δὲ Πομπηίου καὶ γενομένων ἐν αὐτοῖς ἀπορρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ f πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. Τέλος δὲ τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. Τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. (4) Ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος 621 εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥω- a μαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες πελάται καὶ βοτῆρες ἀράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. Ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα Ταλασίῳ (τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος), ὥστε τοὺς ἀκούσαντας τοὔνομα κροτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. Ἐκ τούτου φασὶ (καὶ γὰρ εὐτυχὴς ἀπέβη τῷ Ταλασίῳ ὁ γάμος) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γενέσθαι τοῖς γαμοῦσιν. Οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομένων. Ὀλίγαις δ' οὖν ὕστερον ἡμέραις ὁ Πομπήιος ἠγάγετο τὴν b Ἀντιστίαν.

V. Ἐπεὶ δὲ πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτὸν, οὐκ ὄντος ἐμφανοῦς αὐτοῦ, θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκοι τὸν νεανίσκον ὁ Κίννας· ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ' αὐτόν. (2) Ὁ δὲ φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος προσέπεσε τοῖς γόνασι καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. Ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπὼν, « Ἀλλ' οὐκ ἐγγύην ἔρ- c χομαι σφραγιούμενος, ἀλλ' ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον, » ἀπέκτεινεν αὐτόν. (3) Οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα

tus, plorans supplexque deprecatus tandem in ipsa porta castrorum se projiciens, discessuris obstitit, flens ac sese calcari jubens, ita ut omnes, octingentis tantum demptis, moti verecundia recesserint ac cum duce in gratiam redierint.

IV. Strabone patre mortuo, ipsius nomine peculatus dies Pompeio dictus est. Et magnam quidem pecuniæ publicæ partem ab Alexandro quodam liberto interversam quum deprehendisset Pompeius, rem ad magistratus detulit, ipse retia et libros de præda Asculana retinere culpatus est. Et acceperat quidem ea a patre Asculo capto, sed Cinnani satellites, quum in urbem rediit Cinna, impetu in domum ejus facto ea diripuerant. (2) In exordio causæ aliquot contra accusatorem certamina sustinuit, in quibus ita se acrem ac præter ætatem suam constantem gessit, ut gloriam sibi gratiamque magnam paraverit, adeo ut Antistius prætor, apud quem ea causa agebatur, Pompeii amore captus fuerit filiamque ei suam nuptum dare decreverit, re cum amicis communicata. (3) Pompeio id probante occultoque ea re composita, studium tamen Antistii in causa fuit, uti ne lateret multitudinem. Tandem quum is Pompeium judicum sententiis absolutum pronuntiaret, tanquam signo dato populus acclamavit: Talasio! quæ vox antiquo instituto in nuptiis acclamari solet, origine, ut perhibent, tali. (4) Quum Sabinorum filias quæ ad ludos Romam convenerant, præcipui virtute Romani ad matrimonium jungendum diriperent, ignobiles quidam clientes et pastores forma et magnitudine præsignem quandam virginem abstulerunt, ac ne ab obviis præstantioribus ea ipsis eriperetur, inter currendum clamaverunt, Talasio; erat autem Talasius unus ex nobilibus et gratiosis Romanis; itaque qui audiebant id nomen, et ipsi nomen idem acclamabant, quasi congratulantes et comprobantes. Et quia nuptiæ istæ Talasio bene cecidissent, ideo receptum exinde esse dicunt, ut per jocum in nuptiis Talasii nomen sponsæ acclamaretur. Quæ quidem historia de iis, quæ de Talasio traduntur, vero simillima videtur. Enimvero paucis post diebus Antistiam duxit Pompeius.

V. Quum ad Cinnam in castra profectus atque ob criminationes et calumnias aliorum sibi metuens clam sese e medio subduxisset, rumore in castris exorto, adolescentem a Cinna necatum esse, milites jam pridem infestos animos gerentes, impetum in Cinnam fecerunt. (2) Is fugiens a quodam centurione stricto gladio insequente deprehensus, ad genua ei accidit, sigillumque, quod magni erat pretii, protendit. Cui centurio acerbe admodum insultans, Atqui, inquit, non venio ad obsignandam sponsionem, sed ut pœnas de nefario et scelerato tyranno sumam; simulque hominem obtruncavit. (3) Cinna in hunc modum sublato, rerum potitus est Carbo,

καὶ συνεῖχε Κάρβων ἐμπληκτότερος ἐκείνου τύραννος, ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. Εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν ἀπογνώσει τῆς ἐλευθερίας.

VI. Τότε οὖν ὁ Πομπήιος ἐν τῇ Πικηνίδι τῆς Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. Ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους d καὶ βελτίστους τῶν πολιτῶν ἀπολείποντας τὰ οἰκεῖα καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον ὥσπερ εἰς λιμένα καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς οὐδὲ ἀσύμβολος οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. (2) Ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος· οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως καὶ τοῖς παρὰ Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐηδίου δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐν παιδαγωγείου παραπεπήδηκεν ὁ Πομπήιος, οὕτως ἠγανάκτησαν, ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐήδιον. (3) Ἐκ τούτου Πομπήιος ἔτη μὲν e τρία καὶ εἴκοσι γεγονώς, ὑπ' οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγός, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν ἐν Αὐξίμῳ, πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο Οὐεντιδίους ὑπὲρ Κάρβωνος ἀντιπράττοντας διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. (4) Ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δὲ ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτούς, οὕτω f κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας καὶ τὴν ἄλλην πᾶσαν παρασκευὴν ἦγε πρὸς Σύλλαν, οὐκ ἐπειγόμενος οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρίβων καθ' ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους καὶ πᾶν ὅσον ἐπῄει τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

VII. Ἀνέστησαν οὖν ἐπ' αὐτὸν τρεῖς ἅμα στρατηγοὶ 622 πολέμιοι, Καρίννας καὶ Κλοίλιος καὶ Βροῦτος, οὐχ a ἐναντίοι πάντες οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες ὡς ἀναρπασόμενοι. (2) Ὁ δὲ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν ὥρμησεν ἐφ' ἓν τὸ τοῦ Βρούτου στράτευμα, τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτός, προτάξας. Ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππευσαν οἱ Κελτοί, τὸν πρῶτον καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. Οἱ δὲ ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. (3) Ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε. Πομπηίῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. (4) Αὖθις δὲ Σκηπίωνος ἐπιόντος αὐτῷ b τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φά-

insolentior quam Cinna fuerat tyrannus; accedebat autem ad urbem Sylla, quem plerique ob præsentium malorum molestiam desiderabant, domini quoque mutationem magni boni loco ducentes. Adeo tum Romam calamitates redegerant, uti, desperata libertate, servitutem saltem tolerabiliorem quærerent.

VI. Agebat tum in Piceno Italiæ Pompeius, ubi et prædia habebat, plerumque autem benevolentia civitatum a patre ad se derivata perfruebatur. Ibi quum Romanorum nobilissimos ac præstantissimos sentiret, suis rebus relictis, in Syllæ castra, veluti portum aliquem, passim confluere, indignum sese ratus, si nihil afferens ipse ad Syllam auxilii tantum impetrandi causa confugeret, gratiam ab eo inire aliquam cumque gloria et potentia accedere statuit. (2) Itaque Picenorum animos tentando, sibi conciliavit, iique studiose obtemperantes, a Carbone missos spreverunt. Quum Vedius quidam subito ex ludo literario ad gubernandum populum prosiluisse Pompeium dixisset, adeo indignati sunt, ut statim impetu facto Vedium necarent. (3) Exinde Pompeius, annos natus viginti tres, a nemine hominum dux creatus, ipse sibi arrogato magistratu, Auximi, quæ magna est Piceni urbs, tribunal in foro constituit, duosque fratres Ventidios, qui in ea civitate primas obtinebant, contra ipsum factionem Carbonianam tuentes, edicto urbe expulit. Milites deinde conscripsit centurionesque iis et primipilos ordine constituit, idemque ceteras etiam urbes adiens fecit. (4) Cedentibus autem et fugientibus Carbonianis et reliquis prompte se ipsi adjungentibus, ita demum modico tempore contractis tribus integris legionibus, tum commeatu, jumentis et carris ad impedimenta vehenda omnique alio apparatu, ad Syllam profectus est, non festinans, neque latere cupiens, sed moram in itinere faciens infestandis hostibus, et omnem, qua ibat, Italiam ad desciscendum a Carbone pertrahendo.

VII. Itaque tres adversæ partis duces, Carinnas, Clœlius et Brutus, contra Pompeium insurrexerunt, tribus diversis exercitibus eum ambientes, uti in medio inclusum arriperent. (2) Pompeius nihil perterritus, toto exercitu instructo in Brutum duxit, equites, inter quos ipse erat, primo loco agens. Quumque hostium equitatus Gallicus obviam processisset, primum eorum et robustissimum cominus hasta ictum dejecit: reliqui retro aversi, peditum quoque aciem disjecerunt, et in fugam totus exercitus sese dedit. (3) Duces autem discordia oborta, quo quemque sors tulit, a sese discesserunt. Civitates ob metum dissipatos Carbonianos ratæ Pompeio se conjunxerunt. (4) Mox Scipio consul quum adversus eum proficisceretur, antequam intra teli jactum acies pervenissent, milites Scipionis salutaverunt milites

λαγγας, οἱ Σχηπίωνος ἀσπασάμενοι τοὺς Πομπηίου μετεβάλοντο, Σχηπίων δὲ ἔφυγε. (5) Τέλος δὲ Κάρβωνος αὐτοῦ περὶ τὸν Ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος, εὐρώστως ὑποστὰς καὶ τρεψάμενος εἰς χαλεπὰ καὶ ἄφιππα χωρία πάντας ἐμβάλλει διώκων· οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες ἐνεχείρισαν αὐτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων.

VIII. Οὔπω δὲ ταῦτα Σύλλας ἐπέπυστο· πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικὼς ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς c πολεμίοις ἐδίωκε βοηθήσων. (2) Γνοὺς δὲ ὁ Πομπήιος ἐγγὺς ὄντα προσέταξε τοῖς ἡγεμόσιν ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη· μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς, ἔτυχε δὲ μειζόνων. (3) Ὡς γὰρ εἶδεν αὐτὸν ὁ Σύλλας προσιόντα καὶ τὴν στρατιὰν παρεστῶσαν εὐανδρίᾳ τε θαυμαστὴν καὶ διὰ τὰς κατορθώσεις ἐπηρμένην καὶ ἱλαράν, ἀποπηδήσας τοῦ ἵππου καὶ προσαγορευθείς, ὡς εἰκός, αὐτοκράτωρ ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν Πομπήιον, οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τοῦτο Σύλλαν, περὶ οὗ Σκηπίωσι καὶ Μαρίοις ἐπολέμει. d (4) Καὶ τἆλλα δὲ ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ Πομπηίῳ καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον, ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἑωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. (5) Οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ Πομπήιος, ἀλλ' εὐθὺς εἰς τὴν Κελτικὴν ὑπ' αὐτοῦ πεμπόμενος, ἣν ἔχων ὁ Μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐκ ἔφη καλῶς ἔχειν πρεσβύτερον καὶ προύχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι, βουλομένῳ μέντοι τῷ Μετέλλῳ καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν ἕτοιμος εἶναι. (6) Δεξαμένου δὲ τοῦ Μετέλλου καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν e Κελτικὴν αὐτός τε καθ' ἑαυτὸν ἔργα θαυμαστὰ διεπράττετο καὶ τοῦ Μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως αὖθις ἐξεῤῥίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. (7) Ἀλλὰ γάρ, ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι καὶ τοὺς πανταχοῦ καθελόντος ἐνδόξως ἀγῶνας εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας οὐδ' ἀναγράφουσιν, οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ Πομπήιος αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει δὲ καὶ μεγέθει τῶν ὕστερον ἀγώνων καὶ πολέμων καταχεχωσμένας δέδια κινεῖν, μὴ f περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν.

623 IX. Ἐπεὶ τοίνυν ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας a καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο πλουσίους ποιῶν καὶ προάγων ἐπ' ἀρχὰς καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως ὧν ἕκαστος ἐδεῖτο, Πομπήιον δὲ θαυμάζων δι' ἀρετὴν καὶ

Pompeii et transitionem fecerunt; Scipio effugit. (5) Tandem ad Arsim fluvium ab ipso Carbone immissas permultas equitum turmas fortiter substitit, fusosque urgens in loca equitatui iniqua compulit, ita ut nulla salutis spe apparente, se cum armis et equis ipsi tradiderint.

VIII. Nondum hæc resciverat Sylla, sed primis nuntiis et rumoribus allatis timens Pompeio inter tot tantosque hostium duces versanti auxilii ferendi causa ad eum tendebat. (2) Pompeius ubi prope Syllam esse percepit, ducibus mandavit uti exercitum diligentissime armarent atque instruerent, ut quam pulcherrimus imperatori splendidissimusque appareret; sperabat enim magnos a Sylla honores, sed speratis majores adeptus est. (3) Etenim ut accedentem vidit Sylla exercitumque robore præstantem, rebusque gestis animosum hilaremque conspexit, ab equo desiluit, salutatusque (uti consentaneum erat) imperator a Pompeio, imperatoris nomine resalutavit, quod nemo eum facturum credidisset, ut juvenem nondumque senatoriam dignitatem nactum eo nomine impertiret, de quo cum Scipionibus et Mariis digladiabatur. (4) Reliqua primæ illius comitati convenerunt, quod accedente Pompeio assurrexit, quod caput detexit, quæ non temere alterius causa faciebat, tametsi multos secum et bonos viros haberet. (5) Non tamen inflatus his honoribus est Pompeius, sed statim a Sylla ire jussus in Galliam, quam provinciam Metellus tenens nihil dignum exspectatione gerere videbatur, non æquum esse respondit, seni et gloria illustri viro adimi belli gerendi munus; paratum quidem se esse ire ad Metellum et una bellum administrare, si illi sit volenti. (6) Hoc quum probaret Metellus et per litteras venire juberet, in Hispaniam profectus, quum ipse res admiratione dignas gessit, tum Metelli audaciam viresque jam senio elanguescentes rursus exsuscitavit atque calefecit, quomodo affirmant æri concreto jam et refrigerato æs colliquatum igni et fluens affusum, majorem ipso igne colliquandi vim habere (7) Verum enimvero sicuti præstantissimi alicujus inter homines athletæ, et qui omnibus ex certaminibus gloriosam palmam retulerit, victorias, quas puer consecutus est, memoratu dignas non existimant, neque ascribunt reliquis; sic et quæ tum edidit Pompeius facinora, ingentia ea si per se considerés, magnitudine tamen et multitudine eorum quæ deinceps bella et certamina obiit, ita offuscantur, ut veritus sim ne si ea referre aggrediar, primisque immorer ejus actionibus, maximas res gestas, casusque qui ingenium ipsius potissimum declarant, expositurus deficiam.

IX. Postquam Italia potitus Sylla dictator creatus est, quum suis legatis et ducibus gratiam referret, ditando eos, ad magistratus evehendo, studioseque omnia quæ vellent largiendo, Pompeium virtutis causa in admiratione habens, multumque suis rebus prodesse judicans, statuit affinitate

μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν, ἐσπούδασεν ἀμωσγέπως οἰκειότητι προσθέσθαι. (2) Συμβουλομένης δὲ τῆς γυναικὸς αὐτοῦ, τῆς Μετέλλης, πείθουσι τὸν Πομπήιον ἀπαλλαγέντα τῆς Ἀντιστίας λαβεῖν γυναῖκα τὴν Σύλλα πρόγονον Αἰμιλίαν, ἐκ Μετέλλης καὶ Σκαύρου γεγενημένην, ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη τότε καὶ κύουσαν. (3) Ἦν οὖν τυραννικὰ τὰ τοῦ γάμου καὶ τοῖς Σύλλα καιροῖς μᾶλλον ἢ τοῖς Πομπηίου b τρόποις πρέποντα, τῆς μὲν Αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς Ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα· κατεσφάγη γὰρ ὁ Ἀντίστιος ἐν τῷ βουλευτηρίῳ δοκῶν τὰ Σύλλα τηρεῖν διὰ Πομπήιον· ἡ δὲ μήτηρ αὐτῆς ἐπιδοῦσα ταῦτα προήκατο τὸν βίον ἑκουσίως, ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι καὶ νὴ Δία τὸ τὴν Αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ Πομπηίῳ τίκτουσαν.

X. Ἐκ τούτου Σικελίαν ἠγγέλλετο Περπέννας αὐτῷ c κρατύνεσθαι καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον, αἰωρουμένου καὶ Κάρβωνος αὐτόθι ναυτικῷ καὶ Δομιτίου Λιβύῃ προσπεπτωκότος ἄλλων τε πολλῶν ἐπ' ἐκεῖνα μεγάλων ὠθουμένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. (2) Ἐπὶ τούτους Πομπήιος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. Καὶ Περπέννας μὲν εὐθὺς αὐτῷ Σικελίας ἐξέστη, τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας καὶ φιλανθρώπως πάσαις ἐχρῆτο πλὴν Μαμερ- d τίνων τῶν ἐν Μεσσήνῃ. Παραιτουμένων γὰρ αὐτοῦ τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νομίμῳ παλαιῷ Ῥωμαίων ἀπειρημένα, « Οὐ παύσεσθε, εἶπεν, ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες; » (3) Ἔδοξε δὲ καὶ ταῖς Κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. Εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν, ὥσπερ ἦν ἴσως, ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. Ὁ δὲ δέσμιον προαγαγὼν ἄνδρα Ῥωμαῖον τρὶς ὑπατεύσαντα καὶ πρὸ τοῦ βήματος στήσας καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων, εἶτ' ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. Ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, e ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ παρασχεῖν. (4) Γάϊος δὲ Ὄππιος ὁ Καίσαρος ἑταῖρος ἀπανθρώπως φησὶ καὶ Κοΐντῳ Οὐαλλερίῳ χρήσασθαι τὸν Πομπήιον. Ἐπιστάμενον γὰρ ὡς ἔστι φιλόλογος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις ὁ Οὐαλλέριος, ὡς ἤχθη πρὸς αὐτὸν, ἐπισπασάμενον καὶ συμπεριπατήσαντα καὶ πυθόμενον ὧν ἔχρῃζε καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. Ἀλλ' Ὀππίῳ μὲν, ὅταν περὶ τῶν Καίσαρος πολεμίων ἢ φίλων διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετ' εὐλαβείας· Πομπήιος δὲ τοὺς μὲν ἐν δόξῃ μάλιστα τῶν Σύλλα πολεμίων καὶ φανερῶς ἁλι- f σκομένους ἀναγκαίως ἐκόλαζε, τῶν δ' ἄλλων ὅσους ἐξῆν περιεώρα λανθάνοντας, ἐνίους δὲ καὶ συνεξέπεμπε.

aliqua sibi copulare. (2) Itaque assentiente uxore Metella Pompeio persuadet, ut dimissa Antistia privignam Syllæ, Scauri et Metellæ filiam Æmiliam, quæ tum alius viri uxor erat uterumque ferebat, in matrimonium acciperet. (3) Tyrannicæ erant sane istæ nuptiæ magisque Syllæ temporibus quam Pompeii moribus conveniebant; quum Æmilia gravida ab viro suo abduceretur, Antistia ignominiose et miserabiliter expelleretur, nuper etiam propter maritum amisso patre; in Curia enim Antistius jugulatus fuerat, ob affinitatem Pompeianam Syllæ rebus studere creditus. Antistiæ mater hæc videns, ultro mortem sibi conscivit, neque id modo tragœdiæ istarum nuptiarum accessit infortunium, sed et ipsa Æmilia statim in partu apud Pompeium periit.

X. Interim nuntiatur Perpennam Siciliam occupare contrariæque factionis superstitibus hominibus insulam eam receptaculi loco præbere; ibidemque Carbo cum classe altum tenuit mare, et Domitius Africam invaserat, multique alii nobiles exsules, qui proscriptionem Syllanam evasissent, in istas partes se receperant. (2) Adversus istos Pompeius cum magnis copiis mittitur. Perpenna statim Sicilia abiit. Urbes misere affectas recepit Pompeius humanumque sese omnibus præterquam Mamertinis Messanensibus præbuit. His tribunal ejus et jurisdictionem recusantibus, quod antiqua lege quadam Romana id fieri prohibitum esset: Nunquamne, inquit, nobis gladios succinctis leges recitare desinetis? (3) Videtur et Carbonis calamitatibus inhumanius insultasse. Si enim fuit, ut fortasse fuit, necesse eum occidere, at statim, ubi ceperat eum, id fieri oportebat culpaque fuisset ejus, qui jusserat. At Pompeius eum virum qui ter Romanorum consul fuisset, vinctum ad se adduci jussit, stantisque ad tribunal sedens ipse causam examinavit, omnibus qui aderant moleste ferentibus, atque ita tandem abductum necari mandavit. Carbonem quidem tradunt, quum ad supplicium duceretur, stringique jam gladium cerneret, locum sibi dari et exiguum ventris exonerandi spatium petiisse. (4) C. autem Oppius, Cæsaris amicus, inhumaniter usum etiam Q. Valerio Pompeium scribit. Quum enim sciret rara præditum esse doctrina virum, adductum ad se apprehendisse, unaque deambulasse, ac postquam ex eo didicisset quæ voluisset, famulis mandasse ut statim abductum occiderent. Verum Oppio, quum de amicis inimicisve Cæsaris scribit, caute admodum adhibenda est fides. Pompeius Syllæ hostes, si qui illustres et aperte capti ad se adducerentur, necesse habuit supplicio afficere; alioquin ceterorum quotquot potuit, latere passus est, nonnullorum etiam

(5) Τὴν δὲ Ἱμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν γενομένην μετὰ τῶν πολεμίων, Σθένις ὁ δημαγωγὸς αἰτησάμενος λόγον οὐκ ἔφη δίκαια ποιήσειν τὸν Πομπήιον, ἐὰν τὸν αἴτιον ἀφεὶς ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. Ἐρομένου δὲ ἐκείνου, τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν a
624 ὁ Σθένις ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ' ἐχθροὺς βιασάμενον. Ἀγασθεὶς οὖν τὴν παρρησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήιος ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα τοὺς ἄλλους ἅπαντας. (6) Ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

XI. Ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος ἐδέξατο δόγμα συγκλήτου καὶ γράμματα Σύλλα κελεύοντα εἰς Λιβύην πλεῖν καὶ πολεμεῖν Δομιτίῳ κατὰ κράτος ἠθροικότι πολλαπλασίαν δύναμιν ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Ἰταλίαν καὶ συνέχει τὰ Ῥωμαίων πράγματα τύραννος ἐκ φυγάδος καταστάς. b
(2) Ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ Πομπήιος Σικελίας μὲν ἄρχοντα Μέμμιον κατέλιπε τὸν ἄνδρα τῆς ἀδελφῆς, αὐτὸς δὲ ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. Κατασχόντι δὲ αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην ναυσί, ταῖς δὲ εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι προσεχώρησαν, αὐτὸς δὲ ἦγεν ἓξ ἐντελῆ τάγματα. (3) Συμβῆναι δὲ αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. Στρατιῶται γάρ τινες, ὡς ἔοικε, θησαυρῷ περιπεσόντες ἔλαβον συχνὰ χρήματα· τοῦ δὲ πράγματος γενομένου φανεροῦ δόξα τοῖς ἄλ- c
λοις παρέστη πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον ἐν ταῖς ποτε τύχαις τῶν Καρχηδονίων ἀποτεθειμένων. Οὐδὲν οὖν ὁ Πομπήιος εἶχε χρῆσθαι τοῖς στρατιώταις ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῄει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυττούσας καὶ στρεφούσας τὸ πεδίον, ἕως ἀπειπόντες ἐκέλευον αὐτοὺς ἄγειν ὅπη βούλεται τὸν Πομπήιον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτηρίας δεδωκότας.

XII. Ἀντιτεταγμένου δὲ τοῦ Δομιτίου καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περᾶσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἕωθεν ἀρξάμενος κατεῖχεν, d
ὥστε ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Δομίτιον ἀναζυγὴν παραγγεῖλαι. (2) Πομπήιος δὲ τοῦτον αὐτοῦ ποιούμενος τὸν καιρὸν ὀξέως ἐπῄει καὶ διέβαινε τὴν χαράδραν. Οἱ δὲ ἀτάκτως καὶ θορυβούμενοι καὶ οὐ πάντες οὐδὲ ὁμαλῶς ὑφίσταντο, καὶ τὸ πνεῦμα περιῄει τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. Οὐ μὴν ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς, αὐτός τε Πομπήιος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα βράδιον ἀποκρινάμενος. Ὠσάμενοι δὲ πολλῷ φόνῳ e
τοὺς πολεμίους (λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν) αὐτοκράτορα τὸν Πομπήιον ἠσπάσαντο. (3) Φήσαντος δὲ ἐκείνου μὴ δέχεσθαι τὴν τιμήν, ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων, εἰ δὲ αὐτὸν ἀξιοῦσι

fugam adjuvit. (5) Quum porro Himeræorum civitatem punire statuisset, quod hostium partes secuta esset, Sthenis, qui in ea republica plurimum potuerat, impetrata dicendi facultate, injuste facturum Pompeium dixit, si sonte omisso insontes perdat. Interrogatus inde, quemnam sontem diceret, Ego, inquit, is sum, qui cives mihi cupientes persuadendo, adversarios vi induxi. Hujus magnanimitatem inque dicendo libertatem admiratus Pompeius, primum ipsi, post toti etiam civitati culpam condonavit. (6) Audiens porro milites in itinere immodeste se gerere, gladios eorum obsignavit, et qui sigillum non servassent, iis pœnam irrogavit.

XI. Hæc agenti in Sicilia et instituenti, senatusconsultum et litteræ a Sylla afferuntur, in Africam trajicere omnique vi bellum Domitio facere jubente. Etenim Domitius copias multo majores contraxerat iis, quibus haud ita dudum fretus ex Africa in Italiam trajecerat Marius, rebusque in suam potestatem redactis de exsule tyrannus factus fuerat. (2) Itaque Pompeius omnibus celeriter instructis, præfectoque Siciliæ Memmio sororis suæ marito, ex Sicilia solvit cum navibus longis centum viginti, onerariis autem quibus commeatum, tela, pecunias et machinas deportaret, octingentis. Cum quibus ut partim Uticam, partim Carthaginem appulit, septem millia hostium ad ipsum desciverunt; ipse vero sex perfectas legiones ducebat. (3) Narrant eo loco rem ei ridiculam accidisse. Quidam milites quum in thesaurum forte fortuna incidissent, ingentem sunt nacti pecuniam; ea res quum vulgo innotuisset, omnes reliqui in eam opinionem venerunt, omnia circum loca pecuniis referta esse, quas Carthaginienses imminente exitio terra obruissent. Nullam ergo ad rem uti militibus suis potuit Pompeius, multos per dies thesauris quærendis intentis; sed obambulabat ridens, in piciensque tot hominum millia fodientes invertentesque terram; tandem desperata re Pompeium se ducere quo vellet jusserunt, abunde jam pœnas suæ stultitiæ dedisse rati.

XII. Quum instructa acie Domitius occurrisset et convallem quandam salebrosam transituque difficilem ante se cepisset, effusus una cum vento ingens imber ab aurora obtinuit, ita ut Domitius desperata pugna in castra reducere juberet. (2) Eam occasionem arripiens Pompeius, celeriter superata convalle hostes adortus est, perturbatis jam ordinibus trepidantes et neque universos, neque æqualiter subsistentes, vento quoque imbrem eis adversum objiciente. Tametsi ea tempestas Romanos quoque conturbavit, quum se ipsos mutuo haud perspicue cognoscere possent, parumque abfuit quin ipse Pompeius a quodam milite, cui tesseram quærenti tardius responderat, per ignorationem cæderetur. Multa demum cum cæde hostibus fusis (quippe de viginti millibus tria tantum evaserunt), Pompeium imperatorem salutaverunt. (3) Quumque is respondisset se vallo hostium stante id nomen non accipere, proinde si dignum eo putarent illud prius dejicerent, impetum in castra ho-

ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα· καὶ Πομπήϊος ἄνευ κράνους ἠγωνίζετο δεδοικὼς τὸ πρότερον πάθος. Ἁλίσκεται δὴ τὸ στρατόπεδον καὶ ἀποθνήσκει Δομίτιος. (4) Τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. Εἷλε δὲ καὶ τῶν βασιλέων Ἰάρβαν f τὸν συμμαχήσαντα Δομιτίῳ, τὴν δὲ βασιλείαν Ἰάμψᾳ παρέδωκε. (5) Χρώμενος δὲ τῇ τύχῃ καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος εἰς τὴν Νομαδικὴν ἐνέβαλε· καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας καὶ πάντων καταχρατήσας οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξεῤῥυηκὸς αὖθις ἰσχυρὸν καὶ φοβερὸν ἐγκαταστήσας, οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα ῥώμης καὶ τόλμης ἀπολιπεῖν. 628 Ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων ἡμέρας a διέτριψεν οὐ πολλάς· ταῖς δὲ πάσαις, ὥς φασι, τεσσαράκοντα τοὺς πολεμίους συνεῖλε καὶ Λιβύην ἐχειρώσατο καὶ διῄτησε τὰ τῶν βασιλέων, ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν.

XIII. Ἐπανελθόντι δὲ εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα προστάττοντος ἀφιέναι μὲν τὴν ἄλλην στρατιὰν, αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον στρατηγόν. (2) Ἐπὶ τούτοις αὐτὸς μὲν ἀδήλως ἤχθετο καὶ βαρέως ἔφερεν, ἐμφανῶς δὲ ὁ στρατὸς ἠγανάκτει· καὶ δεηθέντες τοῦ Πομπηΐου προελθεῖν τόν τε Σύλλαν κακῶς ἔλεγον κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν οὐδὲ εἴων πιστεύειν τῷ τυράννῳ. Τὸ μὲν οὖν πρῶτον ὁ Πομπήϊος ἐπειρᾶτο πραΰ- b νειν καὶ παρηγορεῖν αὐτούς· ὡς δὲ οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. Οἱ δὲ συλλαβόντες αὐτὸν αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν· καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ πείθεσθαι δεομένου καὶ μὴ στασιάζειν, ἄχρι οὗ προσλιπαρούντων καὶ καταβοώντων ὤμοσεν ἀναιρήσειν ἑαυτὸν, εἰ βιάζοιντο, καὶ μόλις οὕτως ἐπαύσαντο. (3) Τῷ δὲ Σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία τὸν Πομπήϊον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενο- c μένῳ γέροντι παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους, πυθόμενος δὲ τἀληθῆ καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ παραπέμπειν τὸν Πομπήϊον ὡρμημένους μετ' εὐνοίας ἔσπευδεν ὑπερβάλλεσθαι· καὶ προελθὼν ἀπήντησεν αὐτῷ καὶ δεξιωσάμενος ὡς ἐνῆν προθυμότατα μεγάλῃ φωνῇ Μάγνον ἠσπάσατο καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεῦσαι. Σημαίνει δὲ μέγαν ὁ Μάγνος. (4) Ἕτεροι δέ φασιν ἐν Λιβύῃ πρῶτον ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν ὑπὸ Σύλλα βεβαιωθέν. d Αὐτὸς μέντοι πάντων ὕστατος καὶ μετὰ πολὺν χρόνον εἰς Ἰβηρίαν ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ Σερτώριον ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ ταῖς διατάγμασι Μάγνον Πομπήϊον· οὐκέτι γὰρ ἦν ἐπίφθονον τοὔνομα

stium dederunt. Ibi Pompeius metu prioris periculi sine galea pugnavit, castraque capta et occisus est Domitius. Urbes porro partim continuo imperata fecerunt, partim vi captæ sunt. (4) Cepit et regem Hiarbam qui Domitio auxilium tulerat regnumque ejus Hiempsali dedit. (5) Inde fortunæ hoc successu militumque robore usus in Numidiam perrexit, progressusque aliquot dierum iter, quum obvia quæque in suam potestatem redegisset, nomenque Romanum, cujus jam ex animis barbarorum effluxerat formido, terribile iterum reddidisset atque confirmasset, ne feras quidem Africam inhabitantes roboris audaciæque Romanorum inexpertas relinqui debere dixit. Ideo paucos aliquot dies leonibus et elephantis venandis insumpsit; quadraginta omnino diebus, ut aiunt, hostes in potestatem redegit, Africam subjecit regumque negotia composuit, annum tum agens quartum et vicesimum.

XIII. Uticam reverso litteræ a Sylla redduntur, quibus dimittere exercitum atque una cum legione ibi successorem exspectare jubebatur. (2) Ægre id quidem tulit Pompeius, verumtamen dissimulavit; exercitus autem palam indignatus est; atque orantes Pompeium, ut procederet, Syllam vituperaverunt, Pompeiumque a sese dimissuros negaverunt, ac ne se committeret tyranno monuerunt. Conatus primum verbis eos lenire atque placare Pompeius quum nihil efficeret, a tribunali descendit, lacrimansque in tabernaculum abiit : sed milites eum comprehensum rursum in tribunali collocaverunt; magna parte diei exacta, illis manere et imperare jubentibus, ipso ut obedirent sibi, neve tumultuarentur precante, tandem instantibus cumque vociferatione urgentibus, manus se sibi allaturum, si cogere pergerent, juravit, vixque ita eos repressit (3) Sylla autem, ut primum Pompeium defecisse annuntiatum est, amicis dixit : Nimirum ergo in fatis erat, ut senex cum pueris decertarem. Nam et Marius junior, admodum adolescens, multum ipsi molestiæ exhibuerat inque extremum discrimen adduxerat. Sed ubi rem ut erat cognovit omnesque homines Pompeio studiose occurrere comitarique eum amice sensit, operam dedit ut omnium benevolentiam ipse superaret; itaque obviam profectus, quum quam familiarissime excepisset, alta voce Magnum salutavit, idque ei cognomentum tribuere eos qui aderant jussit. (4) Alii primum in Africa id ei ab universo exercitu acclamatum, inde a Sylla confirmatum obtinuisse dicunt. Ipse quidem Pompeius postremus omnium et post multum temporis pro consule in Hispaniam adversus Sertorium missus, epistolis suis et edictis Pompeium Magnum se ascribere cœpit; jam enim consuetudo invidiam

σύνηθες γενόμενον. (5) Ὅθεν εἰκότως ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι Ῥωμαίους, οἳ ταῖς τοιαύταις ἐπικλήσεσι καὶ προσωνυμίαις οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. Δύο γοῦν Μαξίμους, ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος· Οὐαλλέριον μὲν ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον, Φάβιον δὲ Ῥοῦλλον, ὅτι πλουσίους e τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ καταλελεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν.

XIV. Ἐκ τούτου θρίαμβον ᾐτεῖτο Πομπήιος, ἀντέλεγε δὲ Σύλλας· ὑπάτῳ γὰρ ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δὲ οὐδενὶ δίδωσιν ὁ νόμος. Διὸ καὶ Σκηπίων ὁ πρῶτος ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν Ἰβηρίᾳ Καρχηδονίων κρατήσας οὐκ ᾔτησε θρίαμβον· ὕπατος γὰρ οὐκ ἦν οὐδὲ στρατηγός. Εἰ δὲ Πομπήιος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστι, παντάπασιν ἐπίφθονον ἔσεσθαι καὶ τὴν ἀρχὴν ἑαυτῷ καὶ τὴν τιμὴν ἐκείνῳ. (2) Ταῦτα πρὸς Πομπήιον ὁ Σύλλας ἔλεγεν, ὡς οὐκ ἐάσων, f ἀλλ' ἐνστησόμενος αὐτῷ καὶ κωλύσων τὸ φιλόνεικον ἀπειθοῦντος. Ὁ δὲ Πομπήιος οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευσε τὸν Σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα 626 πλείονες ἢ δυόμενον προσκυνοῦσιν, ὡς αὐτῷ μὲν αὐξα- a νομένης, μειουμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. Ταῦτα ὁ Σύλλας οὐκ ἀκριβῶς ἐξακούσας, ὁρῶν δὲ τοὺς ἀκούσαντας ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο τί τὸ λεχθὲν εἴη. Πυθόμενος δὲ καὶ καταπλαγεὶς τοῦ Πομπηίου τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς « Θριαμβευσάτω. » (3) Πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτούς, ὥς φασι, βουλόμενος ἀνιᾶν ὁ Πομπήιος ἐπεχείρησεν ἐλεφάντων ἅρματι τεττάρων ἐπιβὰς εἰσελαύνειν· ἤγαγε γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους· ἀλλὰ τῆς πύλης στενοτέρας οὔσης ἀπέστη καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. (4) Ἐπεὶ δὲ οἱ στρα- b τιῶται μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν, οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ μᾶλλον ἀφήσειν τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους. Ὅτε δὴ καὶ Σερουίλιος, ἀνὴρ ἐπιφανὴς καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ Πομπηίου, νῦν ἔφη τὸν Πομπήιον ὁρᾶν καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. (5) Δῆλον δ' ἐστὶν ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν· ἀλλ' οὐκ ἐσπούδασεν, ὡς λέγουσι τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. Οὐ γὰρ ἦν θαυμαστόν, εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήιος, ἀλλ' ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων ἐθριάμβευε. Τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μι- c κρόν· ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ.

XV. Σύλλας δὲ ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν ἡσυχίαν ἦγε· πλήν, ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας καὶ τὸν δῆμον εὐ-

ejus cognominis aboleverat. (5) Quare admiretur aliquis atque veneretur haud injuria antiquos illos Romanos, qui hujusmodi titulo, non bello tantum præclare facta, sed et civiles actiones virtutesque compensarint. Duos enim Maximos populus nominavit, Valerium, quod ei senatum dissidentem reconciliasset, et Fabium Rullum, quod divites quosdam ex libertinis in senatum lectos, ejecisset.

XIV. Triumphum vero petenti Pompeio, Sylla restitit; eum nemini nisi consuli aut prætori leges concedere, atque hanc fuisse causam, cur Scipio major Carthaginiensibus in Hispania majoribus atque præstantioribus certaminibus victis triumphum non postularit, quia neque consul neque prætor rem gesserat. Quodsi imberbis Pompeius et cui per ætatem senatorem esse non liceret, triumphum in urbem inveheret, permultum eam rem odii et Syllano imperio et Pompeiano honori conflaturam. (2) Hæc ita Pompeium Sylla monebat, ut se prohibiturum, ac si non obtemperasset, pertinaciam ejus repressurum diceret. Pompeius autem nihil remisit, sed reputare Syllam jussit, solem orientem a pluribus quam occidentem adorari; suam jam augeri, illius decrescere et languescere potentiam innuens. Hoc Sylla quum non satis inaudivisset, sed ex eorum qui perceperant vultu et gestu videret dictum id admirationem omnibus excitasse, quæsivit quidnam dictum fuisset; eoque intellecto cognita Pompeii audacia obstupuit, bisque exclamavit : Triumphet. (3) Multis indignantibus et stomachantibus, ut molestia eos graviori (sic enim ferunt) afficeret Pompeius, statuit currum quattuor elephantis (multos enim de regiis captos ex Africa adduxerat) trahentibus in urbem invehi, sed angustia portæ prohibitus, equos adhibuit. (4) Ut vero milites exspectatione sua minora adepti interpellare eum et tumultuari sunt aggressi, nihil se eos curare respondit, ac malle triumphum omittere, quam ipsos adulari. Quum quidem Servilius, illustris vir et qui maxime triumphum ejus impugnaverat, dixit nunc se intelligere Pompeium vere magnum esse et dignum triumpho. (5) Neque obscurum est facile tum fuisse Pompeio senatoriam dignationem impetrare, verum id consulto fertur omisisse, ex ipsa obscuritate gloriam captans. Non enim mirum erat si, antequam ætas ferret, senator lectus fuisset, sed id sane quam splendidissimum fuit, quod nondum senator triumphavit. Idque ei haud parum in concilianda multitudinis benevolentia profuit; gaudebat enim populus, quum eum acto triumpho inter equites agere cerneret.

XV. Sylla autem tametsi ægre ferebat eum ad tantam gloriam potentiamque progredi, verecundia tamen motus, ab impediendo abstinuit. Tamen quum ipso invito Lepidum ad consulatum eveheret, comitia ejus obiens, populique er-

νοίᾳ τῇ πρὸς αὐτὸν ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ Σύλλας, « Ὁρῶ σε, εἶπεν, ὦ νεανία, χαίροντα τῇ νίκῃ. Πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, Κάτλου τοῦ πάντων ἀρίστου Λέπιδον τὸν πάντων κάκιστον ἀναδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; d Ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν· ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ παρεσκεύακας. » (2) Ἐδήλωσε δὲ μάλιστα Σύλλας, ὅτι πρὸς Πομπήιον οὐκ εὐμενῶς εἶχε, ταῖς διαθήκαις ἃς ἔγραψεν. Ἑτέροις γὰρ φίλοις δωρεὰς ἀπολιπὼν καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους, τὸν Πομπήιον ὅλως παρῆλθεν. Ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος, ὥστε, Λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι καὶ παρασχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν. e

XVI. Ἐπεὶ δὲ ταχὺ τοῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρῄει τὰ μαντεύματα καὶ Λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν οὐ κύκλῳ περιιὼν οὐδὲ μετὰ σχήματος, ἀλλὰ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν τὰ πάλαι νοσοῦντα καὶ διαφυγόντα τὸν Σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος, ὁ δὲ συνάρχων αὐτοῦ Κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστῳ τῶν τότε Ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον ἢ στρατιωτικῆς οἰκεῖος εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν Πομπήιον· οὐ διεμέλλησεν ὅπῃ τράπηται, f προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον ἤδη πολλὰ τῆς Ἰταλίας κεκινηκότα καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρούτου στρατεύματι. (2) Τῶν μὲν οὖν ἄλλων 627 ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ Πομπήιος, ἐν δὲ Μουτίνῃ a τῆς Γαλατίας ἀντεκάθητο τῷ Βρούτῳ συχνὸν χρόνον· ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην ῥυεὶς καὶ προσκαθήμενος ἔξωθεν ὑπατείαν ᾔτει δευτέραν ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. (3) Ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηίου κομισθεῖσα κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. Ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλομένης ἐκείνης, ἐνεχείρισε τῷ Πομπηίῳ τὸ σῶμα καὶ λαβὼν ἱππεῖς προπομποὺς ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον, ὅπου μεθ' ἡμέραν μίαν, ἐπιπέμψαντος αὐτῷ τοῦ Πομπηίου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήιος αἰτίαν. Γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς b μεταβολῆς πρὸς τὴν σύγκλητον, ὡς ἑκὼν αὐτῷ πρόσθοιτο Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ ἀνθρώπου κατηγορούσας. Τούτου Βροῦτος ἦν υἱὸς ὁ Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε πολεμήσας μήτε ἀποθανὼν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. (4) Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας ἀπέδρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν,

ga se benevolentiam ei utendam præbens, videns e foro discedentem, magna caterva comitante, Cerno, inquit Sylla, te, o juvenis, exsultare hac victoria. Qui enim hoc non præclarum sit facinus, populo ita a te instructo, Lepidum omnium civium pessimum prius renuntiatum consulem Catulo omnium optimo? Cave tamen ne dormias, sed rebus te intentum esse oportet, qui adversarium tibi ipse potentiorem te effeceris. (2) Testamento autem suo maxime ostendit Sylla infensum se esse Pompeio. Quum enim reliquis amicis dona legasset, filiique eos sui procuratores constituisset, Pompeium prorsus præterivit. Quod ipsum tamen æquo admodum animo civiliterque tulit Pompeius; ac quum Lepidus aliique cadaver ejus in Campo sepeliri publiceque efferri nollent, ipse iis restitit, sepulturamque et tutam et gloriosam præstitit.

XVI. Statim a Syllæ morte id quod is prædixerat, apparuit. Etenim Lepidus Syllanam sibi potentiam vindicans, nullis ambagibus, nullo prætextu usus, illico in armis erat, jam olim exulceratas factionum reliquias, quæ Syllam effugerant, colligens et resuscitans. Collega ejus Catulus, cui maxime integra et sana senatus atque populi pars intenta erat, quanquam inter Romanos temperantiæ et justitiæ nomine summæ esset auctoritatis, videbatur tamen civilibus quam bellicis rebus administrandis aptior, resque ipsa Pompeium ducem requirere. Atque is non hæsitavit cunctabundus, quo se converteret, sed optimatibus sese adjunxit, estque ab iis dux belli contra Lepidum creatus, qui jam multas Italiæ partes concitaverat, citerioremque Galliam Bruti exercitu obtinebat. (2) Reliquis facile in potestatem redactis Pompeius aliquamdiu Mutinæ Brutum obsedit; interim Lepidus ad Romam duxit et cum exercitu ante mœnia consedit, alterum sibi consulatum postulans, suorumque multitudine eos qui in urbe erant perterrefaciens. (3) Hoc terrore cives literæ a Pompeio missæ solverunt, quibus bellum sine prœlio confectum nuntiabatur. Nam Brutus seu ipse copiis traditis, seu proditus ab illis ad hostem inclinantibus, se ipsum Pompeio dediderat et ab equitibus in oppidum quoddam Pado vicinum deductus fuerat, ubi interposito die uno, Pompeius eum misso Geminio interfecit, non sine gravi crimine. Etenim quum initio transitionis scripsisset ad senatum, Brutum ultro ipsi se adjunxisse, paulo post aliis literis interfectum accusabat. Filius ejus Bruti is fuit, qui cum Cassio Cæsarem occidit, neque bello neque exitu patris similis, ut in ipsius Vita perscriptum est. (4) Proinde Lepidus statim ex Italia pulsus in Sardiniam profugit, ubi morbo implicitus diem obiit supremum ex ægritudine, non ob res fractas, ut putant,

ἀλλὰ γραμματειδίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς ἐφώρασε.

XVII. Λεπίδῳ δὲ οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, c ὥσπερ ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνεῤῥυηκότων, πολλοὺς μὲν ἤδη τῶν ἐλαττόνων στρατηγῶν ἀνῃρηκότα, Μετέλλῳ δὲ Πίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δὲ ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ πολέμου καὶ ἀπολείπεσθαι τῶν πραγμάτων ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου παραβόλως καὶ λῃστρικώτερον αὐτῷ προσφερομένου καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων ἀθλητὴν ἀγώνων καὶ δυνάμεως στασίμου καὶ βαρείας ἡγεμόνα. (2) Πρὸς ταῦτα Πομπήιος ἔχων τὴν στρα- d τιὰν ὑφ' ἑαυτῷ διεπράττετο Μετέλλῳ πεμφθῆναι βοηθὸς καὶ Κάτλου κελεύοντος οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν Λευκίου Φιλίππου γνώμην εἰπόντος. Ὅτε καί φασιν, ἐν συγκλήτῳ πυθομένου τινὸς καὶ θαυμάζοντος, εἰ Πομπήιον ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος, « Οὐχ ἔγωγε, φάναι τὸν Φίλιππον, ἀλλ' ἀνθ' ὑπάτων, » ὡς ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.

XVIII. Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήιος, οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους καὶ τὰ μὴ πάνυ βεβαίως e τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηίου διέσπειρε καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν αὐτῷ δεῆσαι καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον· ἔργῳ μέντοι φυλαττόμενος σφόδρα καὶ δεδοικὼς τὸν Πομπήιον ἀσφαλέστερον ἐστρατήγει. (2) Καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκὼς, καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτὸν, ὥστε τῷ Πομπηίῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα δόξῃ φέρειν ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης f οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην· φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. (3) Τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος ἠνίασε μάλιστα τὸν Πομπήιον ἡ
628 Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. Κυκλοῦσθαι γὰρ a
αὐτὸν οἰηθεὶς καί τι μεγαληγορήσας αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν αὐτοῦ παρόντος. Ἑρέννιον δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ, νικήσας περὶ Οὐαλεντίαν ὑπὲρ μυρίους ἀπέκτεινεν.

XIX. Ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν ἐπ' αὐτὸν ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Περὶ δὲ Σούκρωνι ποταμῷ τῆς ἡμέρας ἤδη τελευτώσης συνέβαλον τὰς δυνάμεις δεδιότες μετελθεῖν

sed quod incidisset in codicillos quosdam, ex quibus de adulterio uxoris suæ cognovit.

XVII. Hispaniam autem Sertorius obtinebat, nequaquam similis Lepido dux, sed magnum Romanis terrorem offerebat, ad eumque tanquam postremam reipublicæ perniciem omnes bellorum civilium reliquiæ confluxerant. Et jam multis minoribus ducibus interfectis, cum Metello Pio decertabat, nobili et bellicoso viro, sed qui ob senectutem segnius jam occasiones belli sectari multaque prætermittere videbatur, quæ celeritate sua plerumque Sertorius præripiebat, improviso et latronis in morem eum adoriens, variisque insidiis et circumcursionibus infestans virum justorum certaminum peritum, exercitusque gravis et acie dimicare consueti ducem. (2) Ideo Pompeius exercitum sub se habens, id egit, ut Metello adjutor mitteretur, jussuque Catuli milites non exauctoravit, sed alias ex aliis obtendens causas, circa Urbem armatus versabatur, donec L. Philippi suasu imperium ei contra Sertorium est decretum. Quo tempore, uti aiunt, quum quidam in senatu quæreret, ecquid Pompeium pro consule ad bellum mittendum putaret Philippus, Nequaquam, inquit, sed pro consulibus; utrumque consulem nullius esse pretii existimans.

XVIII. Ubi primum Hispaniam attigit Pompeius, novique ducis gloria novas in animis hominum, ut fieri assolet, spes excitavit, ac populi qui nondum plane Sertorio se conjunxerant, moveri mutarique in alteram partem cœperunt, superbos de Pompeio sermones divulgavit Sertorius et per jocum dixit, ferula sibi et flagello tantum opus fore ad puerum istum coercendum, nisi anum istam (Metellum significabat) metueret; re quidem ipsa sibi ab eo cavit, Pompeiique metu bellum non ea qua ante temeritate gessit. (2) Metellus enim, quod nemo putasset, luxuriæ se totum et voluptatibus dederat, subitoque magna ejus ad fastum et luxum mutatio exstiterat. Quod ipsum Pompeio præter gloriam, miram quandam benevolentiam conciliavit, frugalitatem vitæ magis etiam intendentem; qua in re non magna opus erat contentione; siquidem natura homo erat temperans atque in cupiditatibus moderatus. (3) Belli ejus variæ formæ fuerunt; sed Lauronis maxime excidium Pompeio molestum fuit; existimans enim Sertorium a se circumventum gloriatusque aliquid ea de re, subito se circumquaque cinctum sensit; itaque movere se non ausus, ante oculos suos eam urbem conflagrare vidit. Herennium vero et Perpennam, Sertorii, ad quem confugerant, legatos, apud Valentiam superavit et ultra decem millia hostium cecidit.

XIX. Ea victoria elatus et magnos gerens spiritus, propere contra ipsum Sertorium duxit, uti victoriæ laude Metellum excluderet. Ad Sucronem amnem jam advesperascente commissum est prœlium, utroque duce Metelli ad-

τὸν Μέτελλον, ὁ μὲν ὡς μόνος, ὁ δὲ, ὡς μόνῳ διαγωνίσαιτο. Τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών· ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε· τῶν δὲ στρατηγῶν b πλέον ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν ἐκεῖνος ἀντιταχθέν. (2) Πομπηίῳ δὲ ἀνὴρ μέγας ἱππότῃ πεζὸς ἐφώρμησε· συμπεσόντων δ' εἰς τὸ αὐτὸ καὶ γενομένων ἐν λαβαῖς ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήιος μόνον, ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. Πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε προέμενος τὸν ἵππον τοῖς πολεμίοις φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. Ταῦτα γὰρ διανεμόμενοι καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους ἀπελείφθησαν. (3) Ἅμα δὲ c ἡμέρᾳ παρετάξαντο μὲν ἀμφότεροι πάλιν ἐκβεβαιούμενοι τὸ νίκημα, Μετέλλου δὲ προσιόντος ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. Τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σερτώριον, πολλάκις δὲ αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς, ὥσπερ χειμάῤῥουν ἐξαίφνης πιμπλάμενον. (4) Ὁ δ' οὖν Πομπήιος, ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους θεραπεύων ὡς προὔχοντα τιμῇ τὸν Μέτελλον. Ὁ δὲ καὶ τοῦτο διεκώλυσε καὶ τἆλλα χρηστὸς ἦν ἀνὴρ περὶ d αὐτὸν οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου· τὰ πολλὰ δὲ χωρὶς ἐστρατοπεδεύοντο· διέκοπτε γὰρ αὐτοὺς καὶ διίστη ποικίλος ὢν ὁ πολέμιος καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους ἀγῶνας. Τέλος δὲ περικόπτων μὲν ἀγορὰς, ληιζόμενος δὲ τὴν χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους τῆς ὑφ' ἑαυτὸν Ἰβηρίας ἀναγκασθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας ἀπορίᾳ τῶν ἐπιτη- e δείων.

XX. Πομπήιος δὲ τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον ᾔτει χρήματα τὴν σύγκλητον ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς δυνάμεως, εἰ μὴ πέμποιεν. Ὑπατεύων δὲ Λούκουλλος τότε καὶ Πομπηίῳ μὲν ὢν διάφορος, μνώμενος δὲ ἑαυτῷ τὸν Μιθριδατικὸν πόλεμον ἔσπευσεν ἀποσταλῆναι τὰ χρήματα, φοβούμενος αἰτίαν Πομπηίῳ παρασχεῖν δεομένῳ Σερτώριον ἀφεῖναι καὶ πρὸς Μιθριδάτην τραπέσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. (2) Ἐν τούτῳ δὲ θνήσκει Σερτώριος ὑπὸ τῶν φίλων δολοφονηθείς· ὧν Περπέννας ὁ κορυφαιότατος f ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. (3) Εὐθὺς οὖν ὁ Πομπήιος ἐπεξελθὼν καὶ ῥεμβόμενον ἐν τοῖς πράγμασι 629 τὸν Περπένναν καταμαθὼν, δέλεαρ αὐτῷ δέκα σπείρας a ὑφῆκεν εἰς τὸ πεδίον διασπαρῆναι κελεύσας. Τραπομένου δὲ πρὸς ταύτας ἐκείνου καὶ διώκοντος, ἀθρόους ἐπι-

ventum prævertere cupiente, altero uti solus, altero ut cum solo depugnaret. Incerta victoria ejus prœlii fuit: alterum utrinque cornu vicit. Ex ducibus Sertorius plus laudis meruit; cornu enim sibi oppositum fudit. (2) Pompeium autem vir magnus equitem pedes invasit, congressisque ipsis cominus, utriusque gladii ictus in utriusque manum incidit, sed impari eventu; Pompeius enim tantum sauciabatur, hostis vero manum amputabat. Pluribus inde contra ipsum concurrentibus, jam coorta fuga præter spem evasit, equum hostibus dimittens aureis phaleris et pretioso ornatu instructum. Hæc enim spolia inter se dividentes, atque inter se de iis certantes barbari, effugiendi spatium Pompeio reliquerunt. (3) Ut primum illuxit, utrinque in aciem proditum est, victoriæ disceptandæ causa, Metello autem accedente, Sertorius dissipato exercitu discessit. Etenim milites ejus ita a se mutuo divelli, rursumque in unum coire assueti erant, uti Sertorius sæpe solus oberraverit, mox cum centum ac quinquaginta militum millibus, veluti torrens subito inundans sese ostenderit. (4) Pompeius autem post eam pugnam Metello obviam ivit, quumque prope jam adesset, fasces suos submitti jussit, Metellum ut honore præstantiorem veneratus. Sed neque hoc passus est Metellus et in ceteris quoque æquum se præbuit, nihil sibi tanquam consulari et seniori amplius vindicans, nisi quod tessera, si una forte castra habebant conjuncta, a Metello utriusque exercitus militibus dabatur. Plerumque vero seorsum castra metabantur, artibus et calliditate Sertorii mutuo divulsi, brevi temporis momento diversis ex partibus sese ostendentis et ex uno certamine subito ad aliud traducentis. Atque is ad extremum commeatu intercluso, agris vastatis, mari occupato, utrumque ea quam ipse obtinebat Hispania ejecit, coactos rerum necessariarum penuria in alias provincias abire.

XX. Pompeius vero quum in id bellum omnem prope suam rem familiarem impendisset, pecunias a senatu postulabat, se cum exercitu in Italiam, nisi eæ mitterentur, venturum scribens. Ibi Lucullus, qui tum erat consul, Pompeii inimicus quum bellum Mithridaticum affectaret, studiose egit ut pecuniæ mitterentur; veritus ne Pompeio Sertorium (quod is alioquin cupiebat) dimittendi et bellum in Mithridatem conferendi occasio daretur, hostem superatu (ut putabatur) facilem et magnam victori gloriam allaturum. (2) Interim Sertorius a suis per dolum cæditur. Fuit inter hos princeps Perpenna, eademque aggressus est quæ Sertorius agere, usus quidem eodem apparatu iisdemque copiis, sed qui similiter iis uteretur, animum non habens. (3) Statim itaque Pompeius advenit inepteque res administrare Perpennam sentiens, decem cohortes inescandi hominis causa in campos immisit, nullo ordine eos palare per agros jubens. Quibus quum se Perpenna insequendis dedisset, cum omni-

φανεὶς καὶ συνάψας μάχην ἐκράτησε πάντων. (4) Καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπένναν ἀχθέντα πρὸς αὐτὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος οὐδ' ἀμνήμων γενόμενος τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος. Ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς κύριος ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα καὶ μεταστῆσαι b τὴν πολιτείαν ἐκάλουν τὸν Σερτώριον εἰς τὴν Ἰταλίαν. Φοβηθεὶς οὖν ὁ Πομπήιος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε Περπένναν ἀνεῖλε καὶ τὰς ἐπιστολὰς οὐδ' ἀναγνοὺς κατέκαυσεν.

XXI. Ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας κατασβέσαι ταραχὰς καὶ τὰ φλεγμαίνοντα μάλιστα καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων, ἀπῆγεν εἰς Ἰταλίαν τὸν στρατὸν ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος. Διὸ καὶ Κράσσος ὁ στρατηγὸς ἤπειξε παραβόλως τὴν μάχην καὶ κατευτύχησε δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. (2) Οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν Πομπήιον εἰσποιούσης ἁμωσγέπως τῷ c κατορθώματι τῆς τύχης πεντακισχίλιοι φεύγοντες ἐκ τῆς μάχης ἐξέπεσον πρὸς αὐτόν, οὓς ἅπαντας διαφθείρας ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας, ὡς Κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. Καὶ ταῦτα βουλομένοις ἦν δι' εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου καὶ μὴ Πομπηίου τὸ πᾶν ἔργον εἶναι. (3) Ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς ὅμως ἐνῆν καὶ ὑποψία τις καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα, βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας d ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. Ὅθεν οὐκ ἐλάττονες ἦσαν τῶν δι' εὔνοιαν τρεχόντων καὶ φιλοφρονουμένων καθ' ὁδὸν οἱ φόβῳ ταῦτα ποιοῦντες. (4) Ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήιος προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἓν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν ἢ τῇ βουλῇ καὶ τὸ τῆς δημαρχίας ἀξίωμα, Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστάναι καὶ χαρίζεσθαι τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. Οὐ γὰρ ἔστιν οὗτινος ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος καὶ μᾶλλον ἐπόθησεν ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην, ὥστε καὶ Πομπήιον εὐτύχημα ποιεῖσθαι μέγα τὸν τοῦ πολιτεύματος καιρόν, ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην, ᾗ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέ- e λαβε.

XXII. Ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας, οὐ διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας, ἀλλ' ἐκεῖνο τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ τῶν τότε πολιτευομένων πλουσιώτατος καὶ δεινότατος εἰπεῖν καὶ μέγιστος αὐτόν τε Πομπήιον ὑπερφρονῶν καὶ τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρρησεν ὑπατείαν μετιέναι πρότερον ἢ Πομπηίου δεηθῆ-

bus copiis ipse supervenit, prœlio commisso hostem fudit. (4) necatis plerisque in pugna ducibus; Perpennam vero ad se adductum interfecit, non ingratus immemorve accepti in Sicilia beneficii (hoc enim a quibusdam ei crimen objicitur), sed insigni et omnibus salutari usus consilio. Nam Perpenna scriniorum Sertorii compos, literas ostendebat potentissimorum Romæ virorum, qui res novas reipublicæque mutationem affectantes, Sertorium in Italiam evocabant. Proinde veritus Pompeius ne ista majoris alterius belli occasionem præberent, Perpennam e medio sustulit, literasque ne lectas quidem a se concremavit.

XXI. Commoratus inde in Hispania tantum temporis, quantum maximis tumultibus componendis æstuique rerum sedando satis esset, exercitum in Italiam abduxit, forte tum maxime vigente bello servili. Itaque et Crassus prœlio decernere audacter admodum festinavit et usus secundo Marte, duodecim hostium millia et trecentos delevit. (2) Veruntamen hujus quoque victoriæ in partem aliquam fortuna Pompeium cooptavit. Quinque millia enim fug'tivorum ex pugna evaserunt et in ipsum inciderunt; quibus occidione cæsis, Crassum literis ad senatum dandis antevertit, in quibus scripsit Crassum quidem acie gladiatores vicisse, se autem id bellum radicitus exstirpasse. Fuitque hoc Romanis ob benevolentiam erga ipsum et auditu et dictu gratum; nam Hispanicum quidem et Sertorianum bellum ne joco quidem quisquam ab ullo alio quam Pompeio confectum dixisset. (3) Enimvero cum tanto honore atque exspectatione metus tamen tum et suspicio quædam conjuncta erant, non dimissurum exercitum, sed per arma et dominatum recta ad Syllanum imperium progressurum Pompeium. Itaque iis qui benevolentia ducti ei occurrerent amiceque acciperent, haud pauciores fuerunt qui metu idem facerent. (4) Postquam hanc quoque suspicionem Pompeius abolevit, professus se statim a triumpho milites dimissurum, id unum invidi quod carperent, invenerunt, quod populo magis quam senatui se dederet, populique auctoritatem a Sylla dejectam erigere in gratiam multitudinis atque instaurare intenderet. Neque id falsum fuit. Neque enim est quod magis insano amore populus prosecutus est, neque ullum magistratum ardentius desideravit recuperare quam illum; itaque Pompeius magna in parte felicitatis putavit, quod in eum qui tum erat reipublicæ statum incidisset, quum quidem, si eam gratiam alius præripuisset, nullam aliam rationem invenire potuisset, qua gratias studiis populi referret.

XXII. Altero triumpho ipsi et consulatu decreto, non quidem ob hæc adeo in admiratione populi fuit, sed id evidens majestatis ejus argumentum habitum est, quod Crassus, eorum qui tum in republica versabantur opulentissimus, facundissimus atque potentissimus et qui alias non ceteros modo, sed et ipsum Pompeium præ se contemneret, tum non ausus est nisi prius exorato Pompeio consulatum

νχι. (2) Καὶ μέντοι Πομπήιος ἠγάπησε πάλαι δεόμενος
χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν·
ὥστε καὶ δεξιοῦσθαι προθύμως καὶ παρακαλεῖν τὸν δῆ- f
μον ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἐλάττονα τοῦ συν-
άρχοντος ἢ τῆς ἀρχῆς. Οὐ μὴν ἀλλ' ἀποδειχθέντες
ὕπατοι διεφέροντο πάντα καὶ προσέκρουον ἀλλήλοις· καὶ
630 ἐν μὲν τῇ βουλῇ μάλα ἴσχυεν ὁ Κράσσος, ἐν δὲ τῷ a
δήμῳ μέγα τοῦ Πομπηίου κράτος ἦν. Καὶ γὰρ ἀπέδωκε
τὴν δημαρχίαν αὐτῷ καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς
τοὺς ἱππέας νόμῳ μεταφερομένας. (3) Ἥδιστον δὲ
θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτὸν τὴν στρατηγίαν
παραιτούμενος. Ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν,
ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγο-
ρὰν τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας, οὓς τιμητὰς κα-
λοῦσι, καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐ-
τοκρατόρων ἕκαστον, ὑφ' οἷς ἐστρατεύσαντο, καὶ διδόν-
τας εὐθύνας τῆς στρατείας ἀφίεσθαι· νέμεται δὲ καὶ τιμὴ
καὶ ἀτιμία προσήκουσα τοῖς βίοις ἑκάστων. (4) Τότε
δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ Γέλλιος καὶ Λέντλος ἐν b
κόσμῳ καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων, ὤφθη
δὲ Πομπήιος ἄνωθεν ἐπ' ἀγορὰν κατερχόμενος, τὰ μὲν
ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς
ἄγων τὸν ἵππον. Ὡς δ' ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγό-
νει, κελεύσας διασχεῖν τοὺς ῥαβδοφόρους τῷ βήματι
προσήγαγε τὸν ἵππον. Ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιω-
πὴ πᾶσα, τούς τ' ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς
τὴν ὄψιν ἔσχεν. Εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε·
« Πυνθάνομαί σου, ὦ Πομπήιε Μάγνε, εἰ πάσας ἐστρά-
τευσαι τὰς κατὰ νόμον στρατείας. » Πομπήιος δὲ με-
γάλῃ φωνῇ, « Πάσας, εἶπεν, ἐστράτευμαι, καὶ πάσας
ὑπ' ἐμαυτῷ αὐτοκράτορι. » Τοῦτο ἀκούσας ὁ δῆμος ἐξέ- c
κραγε καὶ κατασχεῖν οὐκέτι τὴν βοὴν ὑπὸ χαρᾶς ἦν,
ἀλλ' ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν οἴκαδε
χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτοῦσιν.

XXIII. Ἤδη δὲ τῆς ἀρχῆς συμπεραινομένης τῷ
Πομπηίῳ, τῆς δὲ πρὸς Κράσσον αὐξομένης διαφορᾶς,
Γάϊός τις Αὐρήλιος, ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δὲ
ἀπράγμονι κεχρημένος, ἐκκλησίας οὔσης ἀναβὰς ἐπὶ τὸ
βῆμα καὶ προσελθὼν ἔφη κατὰ τοὺς ὕπνους αὐτῷ τὸν
Δία φανῆναι κελεύοντα τοῖς ὑπάτοις φράσαι, μὴ πρό-
τερον ἀποθέσθαι τὴν ἀρχὴν ἢ φίλους ἀλλήλοις γενέσθαι.
Ῥηθέντων δὲ τούτων, ὁ μὲν Πομπήιος ἡσυχίαν ἦγεν
ἑστώς, ὁ δὲ Κράσσος ἀρξάμενος δεξιοῦσθαι καὶ προσα- d
γορεύειν αὐτόν, « Οὐδέν, εἶπεν, οἶμαι ποιεῖν ἀγεννὲς
οὐδὲ ταπεινόν, ὦ πολῖται, Πομπηίῳ πρότερος ἐνδι-
δούς, ὃν ὑμεῖς μήπω μὲν γενειῶντα Μέγαν ἠξιώσατε
καλεῖν, μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε δύο
θριάμβους. » Ἐκ τούτου διαλλαγέντες ἀπέθεντο τὴν
ἀρχήν. (2) Καὶ Κράσσος μὲν [οὖν] ὅνπερ ἐξ ἀρχῆς
εἵλετο τρόπον τοῦ βίου διεφύλαττε, Πομπήιος δὲ τάς
τε πολλὰς ἀνεδύετο συνηγορίας καὶ τὴν ἀγορὰν κατὰ
μικρὸν ἀπέλιπε καὶ προῄει σπανίως εἰς τὸ δημό-
σιον, ἀεὶ δὲ μετὰ πλήθους. Οὐ γὰρ ἦν ἔτι ῥᾴδιον
ὄχλου χωρὶς ἐντυχεῖν οὐδ' ἰδεῖν αὐτόν, ἀλλ' ἥδιστος e

petere. (2) Et vero Pompeius, qui eum sibi jam pridem aliquo officio devincire quærebat, gratum id habuit, populumque enixe prensavit atque hortatus est, ut hunc sibi collegam darent, id sibi non minus acceptum, quam ipsum consulatum, fore affirmans. Atqui consules creati, omnibus in rebus dissenserunt, crebræque fuerunt inter ipsos offensæ. In senatu quidem Crassus multum valebat, Pompeii magna erat apud populum potentia. Nam et tribunatum plebis ei reddidit, et judicia passus est lege iterum ad Equites deferri. (3) Jucundissimum autem populo spectaculum ipse exhibuit, quum dignitati imperatoriæ renunciaret. Mos est ut equites Romani, postquam legitimum militandi spatium absolverunt, equum in forum ad censores deducant, enumeratisque ibi quæ sub quibus imperatoribus atque ducibus stipendia fecerint, eorumque ratione exposita, exauctorentur; honor quoque aut ignominia unicuique pro meritis vitæ confertur. (4) Ita tum Gellio et Lentulo censoribus in foro pro dignitate sua sedentibus, et equitibus inspiciendos sese præbentibus, conspectus est Pompeius superne in forum descendens, consularia insignia gestans, atque ipse equum sua manu adducens. Postquam prope ad censores pervenit et cognitus est, dimoveri a lictoribus turbam jussit, equumque ad tribunal adduxit. Obticuit præ admiratione populus et censores gaudio simul verecundiaque eo aspectu perfusi sunt. Et quum eorum senior ita interrogasset: Quæro ex te, Pompei Magne, militiamne toties, quoties leges jubent, obieris; alta voce Pompeius: Defunctus sum, inquit, omnibus, idque me ipso imperatore. Hoc ut audivit populus, exclamavit et censores, quum vociferationem eam præ gaudio populi compescere nequirent, surrexere, Pompeiumque domum suam deduxerunt, gratificantes civibus, qui cum plausu eum comitabantur.

XXIII. Quum consulatus jam ad finem vergeret atque inimicitiæ Pompeii cum Crasso magis magisque crescerent, C. Aurelius, equestris ordinis homo et qui hactenus in otio vixisset, concione frequenti in rostra progressus, Jovem sibi in somnis visum dixit, monuisseque ut consulibus mandaret ne, priusquam in gratiam rediissent, magistratu sese abdicarent. Hæc ubi dixit, Pompeius uti astiterat, ita immotus perstitit, Crassus autem dextram ei protendens, priorque compellans, Nihil, inquit, o cives, indignum aut humile facere me arbitror, si prior Pompeio concedam, quem vos imberbem etiamnum Magni cognomento affecistis, nondum in senatum recepto duos triumphos dare dignati estis. Reconciliata inde gratia, ita consulatu abierunt. (2) Et Crassus quidem in eo vitæ instituto, quod ab initio susceperat, perseveravit; at Pompeius pleraque porro patrocinia subterfugere, paulatim se a foro subtrahere, raro in publicum procedere, neque unquam sine magna caterva. Non enim nisi multis stipatum erat vel accedere vel videre, sed gaudebat cum multis magnoque comitatu in publicum pro-

ὁμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο σεμνότητα περιβαλλόμενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον, ταῖς δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος δεῖν τὸ ἀξίωμα διατηρεῖν. (3) Ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλής ἐστι πρὸς ἀδοξίαν τοῖς ἐκ τῶν ὅπλων μεγάλοις καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις· αὐτοὶ μὲν γὰρ καὶ ἐνταῦθα πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι, τοῖς δὲ ἐκεῖ φερομένοις ἔλαττον ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν οὐκ ἀνεκτόν ἐστι. Διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑπὸ χεῖρα ποιοῦνται καὶ καταβάλλουσι, τῷ δὲ ἀπολεγομένῳ καὶ ὑποχωροῦντι τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν ἀνεπίφθονον φυλάττουσιν. Ἐδήλωσε δὲ αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον.

XXIV. Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ
Κιλικίας τὸ πρῶτον ἀρχὴν παράβολον λαβοῦσα καὶ λαν-
θάνουσαν, φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθρι-
631 δατικῷ πολέμῳ χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις a
ἑαυτήν. Εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ
θύρας τῆς Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς
ἡ θάλασσα κατὰ μικρὸν αὐτοὺς ἐφείλκετο καὶ προῆγεν
οὐκέτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νή-
σους καὶ πόλεις παραλίους ἐκκόπτοντας. (2) Ἤδη δὲ
καὶ χρήμασι δυνατοὶ καὶ γένεσι λαμπροὶ καὶ τὸ φρονεῖν
ἀξιούμενοι διαφέρειν ἄνδρες ἐνέβαινον εἰς τὰ ληστρικὰ
καὶ μετεῖχον, ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔρ-
γου φέροντος. Ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρα-
τικὰ καὶ φρυκτώρια τετειχισμένα καὶ στόλοι προσέπι-
πτον οὐ πληρωμάτων μόνον εὐανδρίαις οὐδὲ τέχναις b
κυβερνητῶν οὐδὲ τάχεσι νεῶν καὶ κουφότησιν ἐξησκη-
μένοι πρὸς τὸ οἰκεῖον ἔργον, ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον
αὐτῶν τὸ ἐπίφθονον ἐλύπει καὶ ὑπερήφανον, στυλίσι χρυ-
σαῖς καὶ παραπετάσμασιν ἁλουργοῖς καὶ πλάταις ἐπαρ-
γύροις ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν καὶ καλλω-
πιζομένων. Αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι παρὰ πᾶσαν
ἀκτὴν καὶ σωμάτων ἡγεμονικῶν ἁρπαγαὶ καὶ πόλεων
αἰχμαλώτων ἀπολυτρώσεις ὄνειδος ἦσαν τῆς Ῥωμαίων
ἡγεμονίας. Ἐγένοντο δ' οὖν αἱ μὲν λῃστρίδες νῆες ὑπὲρ
χιλίας, αἱ δὲ ἁλοῦσαι πόλεις ὑπ' αὐτῶν τετρακόσιαι. (3)
Τῶν δὲ ἀσύλων καὶ ἀβάτων πρότερον ἱερῶν ἐξέκοψαν c
ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ Σαμοθράκιον,
τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεὼν καὶ τὸν ἐν Ἐπιδαύρῳ
τοῦ Ἀσκληπιοῦ καὶ τὸν Ἰσθμοῖ καὶ Ταινάρῳ καὶ Κα-
λαυρίᾳ τοῦ Ποσειδῶνος, τοῦ δὲ Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ
καὶ Λευκάδι, τῆς δὲ Ἥρας τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει,
τὸν ἐπὶ Λακινίῳ. Ξένας δὲ θυσίας ἔθυον αὐτοὶ τὰς ἐν
Ὀλύμπῳ καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ
τοῦ Μίθρου καὶ μέχρι δεῦρο διασώζεται καταδειχθεῖσα
πρότερον ὑπ' ἐκείνων. (4) Πλεῖστα δὲ Ῥωμαίοις ἐνυ-
βρίσαντες ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν ἀναβαίνοντες ἀπὸ d
θαλάσσης ἐλῄζοντο καὶ τὰς ἐγγὺς ἐπαύλεις ἐξέκοπτον.
Ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο Σεξτίλιον καὶ
Βελλῖνον ἐν ταῖς περιπορφύροις καὶ τοὺς ὑπηρέτας ἅμα
καὶ ῥαβδοφόρους ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες.
Ἥλω δὲ καὶ θυγάτηρ Ἀντωνίου, θριαμβικοῦ ἀνδρὸς, εἰς

dire, quo conspectui suo splendoris aliquid atque gravitatis accederet, intactam suam vulgi compellationibus et consuetudini majestatem servandam sibi ratus. (3) Etenim qui sunt re bellica magni facti neque assueti in civilem æqualibitatem, iis in toga viventibus proclivis est ad ignominiam lapsus. Ipsi enim ut militiæ, ita domi etiam primas sibi vindicant. At vero qui in bello posteriori loco sunt, nullo modo ferre possunt si ne in toga quidem plus aliis possint. Ideo si quem rebus gestis et triumphis splendidum virum in foro deprehendunt, opprimunt eum suamque in potestatem redigunt; rebus autem urbanis sese abstinenti atque cedenti, gloria et potentia bellica invidiæ secura permanet. Atque hoc ipsum paulo post re ipsa ita habere compertum est.

XXIV. Prædonum maritimorum manus primum a principio temerario et occulto exorta ex Cilicia eruperat, post Mithridati in bello contra Romanos optimam præstando operam, animos et confidentiam ceperant. Inde Romanis civilibus in bellis ad ipsas Urbis portas inter se decertantibus, mare præsidio omni nudatum occasionem iis vires suas ita augendi, potentiæque proferendæ præbuit, ut non jam navigantes solum infestarent, sed insulas porro et urbes maritimas exscinderent. (2) Jam et opibus potentes et genere nobiles et prudentia præstantes socios se piratarum latrociniis, tanquam rei gloriosæ atque honestæ, adjunxerant. Itaque passim navalia erant piratarum, et speculæ muris munitæ classesque occurrebant, non classiariorum tantum fortitudine, peritiave gubernatorum, aut velocitate et agilitate navium ad institutum suum præclare instructæ, sed et invidiosa in eo apparatu superbia plus quam terror ipse molestiæ afferebat, quippe aureis malis, purpureis velis, remisque inargentatis utebantur, quasi luxuriantes et ostentantes sese maleficiis. Tum omnibus in littoribus fistulæ, cantilenæ, crapulæ, principum personarum rapinæ et captivarum urbium redemptiones, Romani erant imperii opprobrium. Naves eorum plures quam mille fuerunt, captæ urbes quadringentæ. (3) Delubra etiam ad id usque tempus sacrosancta et intacta exciderunt, Clarium, Didymæum, Samothracium, Proserpinæ quod est Hermione, et Æsculapii apud Epidaurum, Isthmicum, Tænarium, Neptuni in Calauria, Apollinis unum Actii, alterum Leucade, Junonis in Samo, Argis et Lacinio; in Olympo etiam peregrina quædam sacra, ritusque arcanos peregerunt, ex quibus adhuc Mithræ sacrum permanet, prius ab eis demonstratum. (4) Romanis vero plurimum per libidinem insultaverunt, ac præterea digressi a mari, prædationibus eorum itinera infestaverunt, marique propinquas villas exciderunt. Duos quoque aliquando prætores rapuerunt Sextilium et Bellinum, et prætextatos eos una cum ministris et lictoribus abduxerunt. Ceperunt et Antonii triumphalis viri filiam rus

ἀγρὸν βαδίζουσα καὶ πολλῶν χρημάτων ἀπελυτρώθη. (5) Ἐκεῖνο δὲ ἦν ὑβριστικώτατον· ὁπότε γάρ τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ συγγνώμην ἔχειν ἀντιβολοῦντες· ὁ δὲ ἐπείθετο ταπεινοὺς ὁρῶν καὶ δεομένους. Ἐκ τούτου δὲ οἱ μὲν ὑπέδουν τοῖς καλκίοις αὐτὸν, e οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. Πολὺν δὲ χρόνον οὕτω κατειρωνευσάμενοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες ἐκέλευον ἐκβαίνειν καὶ ἀπεῖναι χαίροντα, τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.

XXV. Ἐπενείματο δὲ ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν, ὥστε ἄπλουν καὶ ἄβατον ἐμπορίᾳ πάσῃ γενέσθαι. Τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέστρεψε θλιβομένους τῇ ἀγορᾷ καὶ σπάνιν μεγάλην προσδοκῶντας ἐκπέμψαι Πομπήιον ἀφαιρησόμενον τῶν f πειρατῶν τὴν θάλασσαν. (2) Ἔγραψε δὲ Γαβίνιος, εἷς τῶν Πομπηίου συνήθων, νόμον οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. Ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. Τοῦτο δὲ οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι περιελαμβάνοντο. 632 a Πρὸς δὲ τούτοις ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας, χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμείων καὶ παρὰ τῶν τελωνῶν ὅσα βούλοιτο καὶ ναῦς διακοσίας, κύριον ὄντα πλήθους καὶ καταλόγου στρατιᾶς καὶ πληρωμάτων ἐρετικῶν. (3) Ἀναγνωσθέντων δὲ τούτων ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο, τῆς δὲ συγκλήτου τοῖς μεγίστοις καὶ δυνατωτάτοις ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δ' ἄξιον εἶναι τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. Ὅθεν ἐνίσταντο τῷ νόμῳ πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ νόμῳ, Πομπηίου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. (4) Οἱ δὲ ἄλλοι τοῦ Πομπηίου σφοδρῶς καθήπτοντο. Καὶ b τῶν μὲν ὑπάτων ἅτερος εἰπὼν πρὸς αὐτὸν, ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι· Κάτλου δὲ κατὰ τοῦ νόμου προσελθόντος, πολλὴν μὲν αἰδούμενος ὁ δῆμος ἡσυχίαν παρεῖχεν, ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπιφθόνως ὑπὲρ τοῦ Πομπηίου διελθὼν συνεβούλευε φείδεσθαι καὶ μὴ προβάλλειν τὸν τοιοῦτον ἄνδρα κινδύνοις ἐπαλλήλοις καὶ πολέμοις, « Ἢ τίνα, εἶπεν, ἕξετε ἄλλον, ἂν ἀπολέσητε τοῦτον; » ἐκ μιᾶς γνώμης ὑπεφώνησαν ἅπαντες, « Σεαυτόν. » (5) Ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν, ἀπέστη· Ῥωσκίου δὲ προσελθόντος οὐδεὶς c ἤκουσεν, ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε μὴ μόνον, ἀλλὰ δεύτερον αἱρεῖσθαι Πομπήιον. Ἐπὶ τούτῳ λέγεται δυσχεράναντα τὸν δῆμον τηλικοῦτον ἐκκραγεῖν, ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφωθῆναι καὶ κα-

euntem, eaque magna redempta est pecunia. (5) Summæ autem fuit, quod referam, petulantiæ : si quis ab ipsis captus Romanum se esse vociferaretur, nomenque ederet, perterritos se sibique metuere simulantes, femora percutiebant sua, supplicesque ei facti veniam flagitabant; et qui ita humiliter deprecari eos videret, serio agere putabat. Interim alii calceos ei subligabant, alii toga amiciebant, uti ne in posterum iterum Romanus esse ignoraretur. Ubi ludibrio hominis tandem saturati erant, medium in mare scalam protendentes abire jam tum ac valere jusserunt, et si quis descendere nollet, vi impulsum merserunt.

XXV. Ceterum ea piratarum classis universum prope Mediterraneum mare obtinebat, ita ut cursus maritimi omnisque mercatura essent præclusi. Quapropter annonæ caritate pressi majoresque in posterum metuentes difficultates Romani Pompeium ad liberandum a piratis mare emittendum cogitaverunt. (2) Legem autem tulit Gabinius, unus ex Pompeii familiaribus, quæ non classis præfecturam, sed apertum uni in omnes homines nullisque obnoxium legibus imperium dabat. Præesse enim lex omni quod est intra Columnas Herculis mari jubebat, omnique terræ usque ad quadringenta stadia a mari dissitæ. Hac sane mensura pauca Romanis subdita loca non includebantur, quin et maximas gentes ea et potentissimos reges comprehendebat. Præterea legatos eum ex senatu quindecim deligere, quibus singulas provincias demandaret, ex ærario et a publicanis pecuniæ quantum vellet accipere ac naves ducentas, ipsumque multitudinis et delectus sociorum navalium atque classiariorum potestatem habere. (3) Promulgatam legem mirifico applausu populus excepit. At proceribus senatus et potentissimis infinita ea nullisque circumscripta legibus potestas invidia quidem superior, formidabilis autem esse videbatur, ideoque legem impugnabant. Solus Cæsar ei patrocinabatur, minime quidem in Pompeii gratiam, sed quo jam inde ab initio populi favorem conciliaret sibi propriumque faceret. (4) Ceteri senatores graviter Pompeium reprehenderunt. Inter quos consulum alter quum ei dixisset, Romulum eum æmulantem, similem vitæ exitum non effugiturum, pæne est a populo necatus. Catulo adversus legem dicere aggresso populus verecundia viri altum silentium tenuit; atque is, honorifice multa de Pompeio ac citra invidiam locutus, populo consuluit ut parcerent ei, neque tantum virum uni ex alio objicerent discrimini atque bello : Quem enim, dicebat, alium habebitis, si hunc perdideritis? ad hoc una voce populus, Te ipsum, exclamavit. (5) Itaque Catulus quum non persuaderet, abiit; Roscio autem in concionem progresso aures nemo præbuit, quumque is digitis demonstraret, non solum, sed cum collega Pompeium rei præficiendum, præ indignatione tantum clamorem populus sustulisse dicitur, ut corvus forum casu tum supervolans attonitus in turbam

ταπεσεῖν εἰς τὸν ὄχλον. Ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ κενὸν πολὺ λαμβάνοντος ἐνολισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ ἀέρι σάλον καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.

XXVI. Τότε μὲν οὖν διελύθησαν. Ἧ δὲ ἡμέρᾳ τὴν ψῆφον ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ Πομπήιος εἰς [d] ἀγρόν· ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. (2) Ἅμα δὲ ἡμέρᾳ προελθὼν ἔθυσε· καὶ γενομένης ἐκκλησίας αὐτῷ, διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις ἤδη, μικροῦ διπλασιάσας τὴν παρασκευήν. Πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες δώδεκα καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. Ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. Αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα [e] τοῦ Πομπηίου λέλυκε τὸν πόλεμον. (3) Οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη καὶ τὸ διάστημα τῆς ἐντὸς θαλάσσης εἰς μέρη τρισκαίδεκα καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἅμα πανταχοῦ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπτοντα τῶν πειρατικῶν ἀθρόα περιλαμβάνων εὐθὺς ἐξεθηρᾶτο καὶ κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν Κιλικίαν, ἐφ' οὓς αὐτὸς ἐστέλλετο ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίστας. Οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων τὸ Τυῤῥηνικὸν πέλαγος, τὸ Λιβυκόν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ Σικελίαν [f] ἡμέραις τεσσαράκοντα ταῖς πάσαις αὐτῷ τε χρώμενος ἀτρύτῳ καὶ τοῖς στρατηγοῖς προθύμοις.

XXVII. Ἐν δὲ Ῥώμῃ τοῦ ὑπάτου Πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένου τὴν παρασκευὴν καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν, αὐτὸς δὲ διὰ Τυῤῥηνίας εἰς Ῥώμην ἀνέ- [633] βαινεν. (2) Αἰσθόμενοι δὲ πάντες ἐξεχύθησαν εἰς τὴν [a] ὁδόν, ὥσπερ οὐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. Ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. Ὅθεν ὁ Πείσων ἐκινδύνευσε τὴν ὑπατείαν ἀφαιρεθῆναι, Γαβινίου νόμον ἔχοντος ἤδη συγγεγραμμένον. Ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ Πομπήιος καὶ τἄλλα χρηματίσας ἐπιεικῶς καὶ διαπραξάμενος ὧν ἐδεῖτο καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. (3) Ἐπειγόμενος δὲ τῷ καιρῷ καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς ὅμως οὐ παρῆλθε τὰς Ἀθήνας, ἀναβὰς δὲ καὶ θύσας τοῖς θεοῖς καὶ προσαγορεύσας τὸν δῆμον εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα, [b] τὸ μὲν ἐντὸς τῆς πύλης·

Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ θεός·

τὸ δ' ἐκτός·

Προσεδοκῶμεν, προσεκυνοῦμεν, εἴδομεν, προπέμπομεν.

deciderit. Propterea non ruptura aut divulsione aeris multum vacui recipientis decidere aves videntur, sed ictu vocis percussæ, quum ea vehementior atque copiosior in aere æstum quendam et fluctum excitavit.

XXVI. Ita tum soluta est concio. Quo die autem lex perferenda fuit, rus abiit Pompeius; perlatamque legem audito, noctu in urbem rediit, concursum ad se invidiosum fore cogitans. (2) Exorto sole in publicum progressus, rem sacram fecit; inde concione habita, effecit uti multa adjicerentur iis quæ ante decreta fuerant, duplumque prope prioris apparatum reddidit. Quingentas enim naves instruxit, legionariorum centum viginti, equitum quinque millia coegit, ex senatu viginti quattuor legatos delegit, duos quæstores habuit. Statim vero pretia rerum venalium decreverunt, lætantique populo sermonem ea res dedit, ipso Pompeii nomine sublatum bellum esse. (3) Enimvero Pompeius mari Mediterraneo in tredecim portiones diviso, singulisque harum certum navium numerum et legatum præficiens, uno momento omnes in partes distributo exercitu, naves piraticas in mari confertas una deprehensas indagine cinxit, statimque assecutus in terram eduxit. Quæ vero dissipari a se invicem et effugere occupaverant, eæ undique in Ciliciam veluti alveare quoddam se recipiebant; adversum hos piratas ipse cum sexaginta totius classis optimis navibus ire statuit. Non ante tamen id fecit, quam omnibus latroniciis expurgavit Tyrrhenum, Africum, Sardoum, Corsicum, Siculumque maria; id quod et se ipso indefesso et legatis alacribus utens quadraginta dierum spatio confecit.

XXVII. Quum autem Romæ Piso consul ira invidiaque ductus apparatum classis ejus impediret, militesque classiarios dimitteret, navalibus copiis Brundusium advocatis, ipse per Etruriam ad Urbem accessit. (2) Quod ubi Romæ innotuit, universi cives obviam ei sese effuderunt, quasi diu absenti, et quem non ante paucos dies emisissent. Gaudii autem causa fuit insperata mutationis celeritas, quæ magnam annonæ copiam effecerat. Itaque parum abfuit quin Piso consulatu dejiceretur in eamque rem rogationem jam conscripserat Gabinius. Sed Pompeius et hoc prohibuit et ceteris in rebus agendis æquum sese ei præbuit atque impetratis quæ voluisset, Brundusium rediit, indeque solvit. (3) Occasioni vero intentus, ideoque festinans, et urbes navigando prætervectus, Athenas tamen non præteriit, sed eo egressus sacra diis fecit, populumque salutavit, atque inde statim discedens, singulares versus de se conscriptos legit, unum intra portam :

Quatenus nosti hominem temet esse, eatenus es deus :

extra autem,

Exspectatum adorabamus; prosequimur, quum vidimus.

(4) Ἐπεὶ δὲ τῶν συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα κακὸν οὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηστῆς οἱ λοιποὶ γενόμενοι τοὺς μὲν ἄλλους διέφευγον ἡγεμόνας, Πομπηίῳ δὲ φέροντες ἑαυτοὺς μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. Ὁ δὲ πάντων ἐφείδετο καὶ μάλιστα διὰ τούτων τοὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόλαζεν ὡς αὐτοὺς ἑαυτοῖς ἀνήκεστα συνειδότας. c

XXVIII. Οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι γενεὰς μὲν αὐτῶν καὶ χρήματα καὶ τὸν ἄχρηστον ὄχλον ἐν φρουρίοις καὶ πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα, τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήιον ἐδέξαντο· καὶ μάχης γενομένης νικηθέντες ἐπολιορκοῦντο. Τέλος δὲ πέμψαντες ἱκετηρίας παρέδωκαν ἑαυτοὺς καὶ πόλεις καὶ νήσους, ὧν ἐπεκράτουν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάστους. Κατελύθη μὲν οὖν ὁ πόλεμος καὶ τὰ πανταχοῦ λῃστήρια τῆς θαλάσσης ἐξέπεσεν οὐκ ἐν πλείονι χρόνῳ τριῶν μηνῶν. (2) Ναῦς δὲ πολλὰς μὲν ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. d Αὐτοὺς δὲ δισμυρίων πλείονας γενομένους ἀνελεῖν μὲν οὐδὲ ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ περιιδεῖν σκεδασθέντας ἢ συστάντας αὖθις ἀπόρους καὶ πολεμικοὺς καὶ πολλοὺς ὄντας οὐκ ᾤετο καλῶς ἔχειν. (3) Ἐννοήσας οὖν, ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν οὔτ' ἐστὶν ἀνήμερον ζῷον οὐδ' ἄμικτον, ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίων μεταβολαῖς ἐξημεροῦται, καὶ θηρία δὲ διαίτης κοινωνοῦντα πρᾳοτέρας ἐκδύεται τὸ ἄγριον καὶ χαλεπὸν, ἔγνω τοὺς ἄνδρας εἰς γῆν e μεταφέρειν ἐκ τῆς θαλάσσης καὶ βίου γεύειν ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. (4) Ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι, τὴν δὲ Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου τοῦ Ἀρμενίων βασιλέως ἀναλαβὼν ἵδρυσε πολλοὺς ἐν αὐτῇ, τοῖς δὲ πολλοῖς οἰκητήριον ἔδωκε Δύμην τὴν Ἀχαΐδα χηρεύουσαν ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.

XXIX. Ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον, f τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον οὐδ' οἱ πάνυ φιλοῦντες αὐτὸν ἔχαιρον. Ὁ γὰρ Μέτελλος οἰκεῖος ὢν ἐκείνου τοῦ συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομπηίῳ, στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον ἢ τὸν Πομπήιον αἱρεθῆναι. Δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγὴ μετὰ τὴν ἐν Κιλικίᾳ· καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει καὶ διέφθειρεν. (2) Οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι πέμψαντες 634 ἱκετηρίαν ἐπεκαλοῦντο τὸν Πομπήιον εἰς τὴν νῆσον, a ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς καὶ πανταχόθεν ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. (3) Ὁ δὲ δεξάμενος ἔγραφε τῷ Μετέλλῳ κωλύων τὸν πόλεμον· ἔγραφε δὲ καὶ ταῖς πόλεσι μὴ προσέχειν Μετέλλῳ, καὶ

(4) Ut autem quibusdam ex piratis, qui conjunctis adhuc navigiis vagabantur, deprecantibus humanum se præbuit acceptisque in potestatem navibus eorum et corporibus nihil mali fecit, reliqui etiam in spem bonam venientes, evitatis ceteris ducibus, Pompeio sese cum uxoribus et liberis dediderunt. Pompeius omnibus pepercit, horumque deinde potissimum opera reliquos, qui extremorum sibi facinorum conscii latitabant adhuc, indagavit et comprehensos suppliciis affecit.

XXVIII. Plerique autem et potentissimi, liberis suis, pecuniaque et prœlio inutili turba in castellis apud Taurum oppidisque validis repositis, navibus ipsi conscensis apud Coracesium Ciliciæ promontorium Pompeium adventantem substiterunt, victique ab eo navali pugna et obsessi, tandem exorata per præcones salute, se ipsos, urbesque et insulas, quas occupatas ita munierant, uti oppugnari ac vi capi non facile possent, in potestatem ejus tradiderunt. Hoc modo bellum confectum, prædonesque undique mari profligati intra tertium mensem. (2) Naves multas alias, æreis rostris armatas nonaginta Pompeius cepit. Ipsos autem piratas, quorum erat super viginti millia numerus, occidere ne cogitavit quidem, dimittendos porro, committendumque ut homines egeni et bello vivere soliti et numero multi aut in varias regiones dissiparentur, aut inter se rursus coirent, nullo modo censuit. (3) Enimvero cum animo suo reputans, hominem natura suapte neque efferum, neque quod domari non possit esse animal, sed vitiis contra naturam utendo degenerare, disciplina porro, locorumque et victus mutatione feras etiam cicurari, feritatem sævitiamque suam cultui mansuetiori adhibitas exuere; has secutus rationes, transferre eos a mari in terram statuit, vitæque placidæ assuefacere, urbes eis habitandas agrumque colendum mandando. (4) Proinde multos eorum in exiguis et prope desertis jam Ciliciæ oppidis collocavit, agro iis addito. Solos etiam urbem nuper a Tigrane Armeniæ rege vastatam instauravit, multosque de piratis in ea posuit. Multos Dyme recepit, urbs Achaica multum bonumque agrum habens, et tum habitatoribus egens.

XXIX. Hæc invidi ejus carpebant. Quæ vero in Creta cum Metello egit, ea ne summis quidem ejus amicis voluptati fuerunt. Is Metellus necessarius illius Metelli, qui in Hispania Pompeii fuerat collega, dux in Cretam, antequam Pompeius imperator contra piratas crearetur, missus fuerat. Ibi enim alius præter Ciliciam fons latrociniorum exstiterat, multosque prædonum Metellus deprehensos exciderat atque deleverat. (2) Qui autem adhuc supererant et in obsidione habebantur, ii supplicibus missis litteris Pompeium in Cretam advocabant, quod ea insula ipsius sub imperio esset, et mensura ejus undiquaque contineretur. (3) Pompeius accepta conditione Metello scripsit, uti bellum desineret; urbibus quoque per litteras mandavit, ne Metello obtemperarent. Misit etiam eo legatum

στρατηγὸν ἔπεμψε τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα Λεύκιον Ὀκταούιον, ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς πολιορκουμένοις καὶ μαχόμενος μετ' αὐτῶν οὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν Πομπήιον ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα χιχράντα καὶ περιάπτοντα τὴν αὑτοῦ δόξαν ὥσπερ ἀλεξιφάρμακον ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς τὸν Μέτελλον. (4) Οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς b ἔργον, ἀλλὰ μειρακίου παντάπασιν ἐμπλήκτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·

Πομπήιον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. Οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο καὶ τὸν Ὀκταούιον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

XXX. Ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν c τὸν πειρατικὸν πόλεμον καὶ σχολὴν ἄγοντα τὸν Πομπήιον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος, ὅσης Λούκουλλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπήιον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν καὶ τὸ κράτος τῆς θαλάσσης ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς. (2) Τοῦτο δ' ἦν ὑφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. Ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται d προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων, αἷς Λούκουλλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. (3) Ἀλλὰ Λουκούλλου μὲν ἀποστερουμένου τὴν δόξαν ὧν κατειργάσατο καὶ θριάμβου μᾶλλον ἢ πολέμου διαδοχὴν λαμβάνοντος ἧττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα, τὴν δὲ δύναμιν τοῦ Πομπηίου βαρέως φέροντες ὡς τυραννίδα καθισταμένην ἰδίᾳ παρεκάλουν καὶ παρεθάῤῥυνον αὑτοὺς ἐπιλαβέσθαι τοῦ νόμου καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. (4) Ἐνστάντος δὲ τοῦ καιροῦ τὸν δῆμον φοβηθέντες ἐξέλιπον καὶ κατεσιώπησαν e οἱ λοιποὶ, Κάτλος δὲ τοῦ νόμου πολλὰ κατηγορήσας καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων, ἐκέλευε τὴν βουλὴν ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις ὄρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. Ἐκυρώθη δ' οὖν ὁ νόμος, ὡς λέγουσι, πάσαις ταῖς φυλαῖς καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήιος ἁπάντων σχεδὸν, ὧν ὁ Σύλλας ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. (5) Αὐτὸς δὲ δεξάμενος τὰ γράμματα καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν καὶ τὸν μηρὸν πατάξαι καὶ

suum L. Octavium, qui intra muros ad obsessos accessit, pro iisque propugnans, non odiosum modo et importunum, sed et ridiculum ostendit Pompeium, qui nomen gloriamque suam præ invidia et contentione honorum cum Metello, amuleti loco hominibus impiis et scelestis utendam daret. (4) Nam ne Achillem quidem ut viro erat dignum, sed plane adolescentuli in morem egisse dicebant, stolida gloriæ cupiditate elati, qui reliquis interdiceret, ne quis telo Hectorem peteret, eoque icto

Ipse ita posterior, prærepta laude, veniret;

Pompeium autem præterea, uti multis laboribus merito duci triumphum eriperet, defendendo publicos hostes salutem iis attulisse. Non cessit tamen Metellus, sed et piratas excidit suppliciisque affecit, et ignominiose habitum in castris Octavium dimisit.

XXX. Posteaquam Romæ renuntiatum est bellum Piraticum esse confectum, Pompeiumque otio fruentem per urbes circumire, Manilius unus de tribunis plebis legem promulgat, ut Pompeius accepta omni Luculli provincia omnibusque copiis, præterea etiam Bithynia, quam tum Glabrio tenebat, retento etiam navali iisdem quibus ante conditionibus imperio, contra Mithridatem et Tigranem bellum gerat. (2) Id nihil erat, nisi universum Romanum imperium unius potestati tradere. Quæ enim provinciæ priori lege ei concessæ non videbantur, Phrygia, Lycaonia, Galatia, Cappadocia, Cilicia superior, Colchis, et Armenia, hæc tum ei addicebantur, una cum iis, quibus Mithridatem et Tigranem debellaverat Lucullus copiis. (3) Verumtamen Luculli minorem habebant optimates rationem, quanquam inique cum eo atque ingrate agi arbitrabantur, cui rerum gestarum gloria eriperetur, ac triumphi verius quam belli successor daretur. Potentiam Pompeii graviter ferebant constituique ea tyrannidem sentiebant; ideo privatim sese cohortabantur ad impediendam legem defendendamque libertatem. (4) Sed ubi tempus perferendæ legis appetiit, reliqui metu populi causam destituerunt, Catulus vero quum multis legem reprehendisset atque tribunum plebis, neque quenquam movisset, alta voce de rostris aliquoties senatum montem quærere, sicut majores, ac rupem jussit, quo confugientes libertatem tuerentur. Perlata est lex omnium, ut fertur, tribuum suffragiis, absentique Pompeio omnis fere ea potestas decreta, quam bello armisque capta urbe Sylla obtinuerat. (5) Atqui ipse literis acceptis decretoque cognito amicis præsentibus atque gratulantibus, supercilium contraxisse dicitur et femur feriisse, ac veluti exosus jam imperia exclamasse:

εἰπεῖν ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρ- f χειν· « Φεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς ἐν ἀγρῷ διαι-
635 τήσομαι μετὰ τῆς γυναικός. » Ἐφ' οἷς λεγομένοις οὐδ' a οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες ὅτι τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λούκουλλον ἔχων διαφορὰν μειζόνως ἔχαιρεν.

XXXI. Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. Πανταχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα, τοὺς στρατιώτας ἀνεκαλεῖτο καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. Ἐπιὼν τε τὴν χώραν, οὐδὲν ἀκίνητον εἴα τῶν ὑπὸ τοῦ Λουκούλλου γεγονότων, ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς καὶ δωρεὰς ἀφείλετο καὶ πάντα ὅλως ἔπραττεν ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. (2) Ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν b εἰς ταὐτό· καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. Οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων δάφναις ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων· ἀλλὰ Λούκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήιος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς. (3) Ἰδόντες οὖν οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι τοῦ Πομπηίου τὰς δάφνας ἀθαλεῖς καὶ μεμαραμμένας παντάπασιν, ἐκ τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους· ὃ σημεῖον ἔδοξεν εἶναι, τὰ τοῦ Λουκούλλου νικητήρια c καὶ τὴν δόξαν οἰσόμενον ἔρχεσθαι Πομπήιον. (4) Ἦν δὲ Λούκουλλος μὲν ἐν ὑπατείας τε τάξει καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηίου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. Οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ ἔργα καὶ συνηδόμενοι τοῖς κατορθώμασιν· ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φιλαργυρίαν τὸν Λούκουλλον, ὁ δὲ εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. (5) Καὶ Λούκουλλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς d αἰχμαλώτου καὶ δωρεὰς ἄλλας οἷς ἐβούλετο, Πομπήιος δὲ μικρὸν ἀπωτέρω στρατοπεδεύσας ἐκώλυε προσέχειν αὐτῷ καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο πλὴν χιλίων ἑξακοσίων, οὓς ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ δὲ Λουκούλλῳ δυσμενεῖς εἶναι. (6) Πρὸς δὲ τούτοις διασύρων τὰ ἔργα ἐμφανῶς ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λούκουλλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος. (7) Ἀμυνόμενος δὲ ὁ Λούκουλλος εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν Πομ- e πήιον ἔφη μαχούμενον βαδίζειν εἰθισμένον ἀλλοτρίοις νεκροῖς, ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν καὶ λείψανα πολέμων σπαράσσειν. Οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερ-

Hui, infinita certamina! quam præstiterat unum ex obscuris fuisse, si nullus bella gerendi finis erit, neque invidiam imperiorum exuere, et in agro cum uxore degere unquam licebit. Hanc ejus simulationem ne familiarissimi quidem probaverunt, scientes eo magis ipsum gaudere, quod ad ingeneratam ejus ambitionem discordia cum Lucullo tanquam fomes accessisset.

XXXI. Et vero statim res ipsæ hoc demonstraverunt. Etenim ubique propositis edictis milites ad se vocavit, principes regesque subditos ad se excivit, regionemque peragrans, nihil eorum quæ Lucullus constituisset, immotum reliquit, quin et pœnas ab eo irrogatas remisit et dona ademit, totusque in eo fuit, ut Lucullum ejus admiratoribus ostenderet nullius rei potestatem habere. (2) Eapropter illo per amicos expostulante, visum fuit e re, uti convenirent, congressique sunt in Galatia. Sicut autem decebat summos duces rebusque præclarissime gestis splendidos, lictores ipsos etiam fasces laureatos præferentes obviam facti sunt. (3) Sed Lucullus per loca virentia et opaca, Pompeius autem per loca arborum nuda et gelida processerat. Ibi cùm Luculli lictores Pompeii lauros emarcuisse plane viderent, de suis lauris recentibus adhuc Pompeianos exornaverunt et redimiverunt fasces; quo videtur præmonstratum signo fuisse, Pompeium venire Luculli victoriæ præmia et gloriam interceptum. (4) Erat Lucullus consulari tum dignitate natuque major, Pompeius ob duos actos triumphos majori in existimatione. Verumtamen primus eorum congressus quam maxime civilis amicusque fuit, unius alterius res gestas prædicantium mutuoque congratulantium; in ipso autem colloquio ad æquale moderatumve perveniri nihil potuit, exprobrantesque Pompeius Lucullo opum, Lucullus Pompeio imperiorum cupiditatem ab amicis ægre dirempti sunt. (5) Ex eo Lucullus in Galatia agrum captivum et munera quibus volebat assignavit, Pompeius paulum remotis castris, edixit ne quis ei obsequeretur milites que ab eo omnes abstraxit, mille sexcentis exceptis, quos ob contumaciam et ipsi inutiles et Lucullo infensos fore cogitabat. (6) Palam quoque facta Luculli exsibilans, cum tragœdiis atque umbris regiis certasse ferebat, sibi certamen contra veras et castigatas copias superesse, Mithridate jam ad scuta, gladios equosque confugiente. (7) Lucullus autem convicia reponens, ire Pompeium dicebat, uti cum larva et umbra hostium depugnaret, solitum alias ignavæ volucris instar in aliena cadavera devolare, hostilesque reliquias laniare. Ita eum Sertorio, Lepido, Spartaco victo

τωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακείοις, τὰ μὲν Κράσσου,
τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατωρθωκότος. Ὅθεν
οὐ θαυμάζειν, εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέ-
μων ὑποβάλλεται τὴν δόξαν ἄνθρωπος ἑαυτὸν εἰς δρα-
πετικὸν θρίαμβον ἀμωσγέπως ἐμβαλεῖν μηχανησά-
μενος.

XXXII. Ἐκ τούτου Λούκουλλος μὲν ἀπῆρε, Πομ-
πήιος δὲ τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ
Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν αὐτὸς ἐβά- f
διζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίους πεζοὺς ἐν φά-
λαγγι καὶ δισχιλίους ἱππεῖς, μάχεσθαι δὲ μὴ θαῤῥοῦν-
τα. (2) Καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ
δύσμαχον, ἐν ᾧ στρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον
ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν ὁ Πομπήιος καὶ τῇ
φύσει τῶν βλαστανόντων καὶ ταῖς συγκλινίαις τῶν τό-
πων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν
ἐκβαλεῖν πανταχοῦ φρέατα. Καὶ μεστὸν ἦν εὐθὺς ὕδα-
τος ἀφθόνου τὸ στρατόπεδον, ὥστε θαυμάζειν, εἰ τῷ
636 παντὶ χρόνῳ τοῦτο Μιθριδάτης ἠγνόησεν. (3) Ἔπειτα a
περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. Ὁ δὲ πέντε
καὶ τετταράκοντα πολιορκηθεὶς ἡμέρας ἔλαθεν ἀποδρὰς
μετὰ τῆς ἐῤῥωμενεστάτης δυνάμεως, κτείνας τοὺς ἀχρή-
στους καὶ νοσοῦντας. Εἶτα μέντοι περὶ τὸν Εὐφράτην
καταλαβὼν αὐτὸν ὁ Πομπήιος παρεστρατοπέδευσε, καὶ
δεδιὼς μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων
νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν χρό-
νον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ
μέλλοντα προδηλοῦσαν. Ἐδόκει γὰρ οὐρίῳ πνεύματι
πλέων τὸ Ποντικὸν πέλαγος ἤδη Βόσπορον καθορᾶν καὶ
φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ
σαφεῖ καὶ βεβαίῳ χαίρων, ἄφνω δὲ ἀναφανῆναι πάντων b
ἔρημος ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. Ἐν τοιούτοις
δὲ αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες ἀνέ-
στησαν οἱ φίλοι φράζοντες ἐπιέναι Πομπήιον. Ἦν
οὖν ἐξ ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος, καὶ προα-
γαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν. (4) Αἰ-
σθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήιος ὤκνει
κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν καὶ κύκλῳ μόνον ᾤετο
δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ κρείτ-
τους ὄντας ἐπιχειρεῖν. Οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρ-
χῶν δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν·
οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλὰ ἡ σελήνη κατα- c
φερομένη παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν. (5)
Καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. Ἐπῄεσαν
μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες·
πεπιεσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτὸς αἱ σκιαὶ
πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι τοῖς πολεμίοις
ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκρι-
βῶς· ἀλλ' ὡς ἐν χερσὶν ἤδη γεγονότων τοὺς ὑσσοὺς
ἀφέντες μάτην οὐδενὸς ἐφίκοντο. Τοῦτο συνιδόντες
οἱ Ῥωμαῖοι μετὰ κραυγῆς ἐπέδραμον καὶ μηκέτι μένειν
τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτει-
νον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ
τὸ στρατόπεδον. (6) Αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ d

nomen suum inscripsisse rebus a Metello, Catulo, Crasso confectis. Itaque mirum non esse, si homo qui quacunque arte servilis triumphi in partem se jungere conatus fuerit, nunc in gloriam Armeniaci Ponticique belli subeat.

XXXII. Proinde Lucullus provincia abiit. Pompeius quum per omne quod est inter Phœnicen et Bosporum mare navalia præsidia collocasset, ipse adversus Mithridatem duxit, qui phalangem triginta millium armatorum habens et duo equitum millia, prælio tamen coire non audebat. (2) Et primum quum natura munitum montem, in quo forte castra posuerat, tanquam aquæ expertem reliquisset Mithridates, eum ipsum occupavit Pompeius, et ex stirpium ibi pullulantium natura et locorum convexitatibus conjectatus scaturigines aquarum ibi locorum esse, ubique jubens puteos agi, in castris statim aquæ affluentia erat, ut mirari subierit, tam longo tempore eam rem a Mithridate ignoratam fuisse. (3) Deinde ei exercitum suum circumdedit, munitionibusque cinctum in obsidione habuit. Mithridates quadraginta quinque dies tolerata obsidione cum validissimis copiarum suarum occulte erupit, quum prius bello inutiles et ægrotos occidisset. Postea apud Euphraten eum assecutus Pompeius, copias juxta collocavit, veritusque ne Euphraten transire occuparet, media de nocte armatum exercitum in eum duxit. Fama est eo tempore Mithridatem in somnis ea vidisse, quæ eventum ei prædicerent. Imaginatus est enim se quum secundo vento Ponticum mare pernavigasset, jamque Bosporo apparente, amicos, ut qui certam salutem sibi partam lætaretur, consalutasset, subito ab omnibus destitutum exigua in cymba hinc inde jactatum fuisse. Hujusmodi eum cogitationibus insomniisque detentum amici excitaverunt, irruere Pompeium nuntiantes. Necessario autem erat pro castris propugnandum: ideo duces exercitum in aciem eduxerunt. (4) Pompeius hostium instituto cognito, nocturnum prœlium formidans, satis esse existimabat si circumvenirentur uti ne effugere possent, facta luce pugnandi occasionem meliorem fore. Sed qui natu erant inter centuriones maximi, orando et instando impulerunt, ut hostem statim invaderet; non enim tenebræ obtinebant plane, sed luna ad occasum vergens satis conspicienda adhuc corpora præbebat. (5) Idque maxime damno hosti fuit. Romani enim lunam a tergo habentes in hostem ibant, eamque jam occasui proximam; quo fiebat ut umbræ longe excurrentes hostibus incumberent, qui intervallum acierum quantum esset quum cernere non possent, veluti cominus jam congressis Romanis pila frustra emitterent, neque quenquam tangerent. Quod ubi senserunt Romani, sublato clamore irruerunt ac subsistere non ausos præque terrore in fugam se conjicientes straverunt, ultra decem millia cæsis permultis, castrisque potiti sunt. (6) Mithridates initio cum octingentis

μὲν ὀκτακοσίοις ἱππεῦσι διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους, ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων ἀπελείφθη μετὰ τριῶν· ἐν οἷς ἦν Ὑψικρατία παλλακίς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος (Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει), τότε δὲ ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν οὔτε θεραπεύουσα τοῦ βασιλέως τὸ σῶμα καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρι ἧκον εἰς χωρίον Σίνορα χρημάτων καὶ κειμηλίων βασιλικῶν μεστόν. Ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. Ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. (7) Ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην, ἐκείνου δὲ ἀπαγορεύοντος καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου διὰ τῆς Κολχίδος ἔφευγε.

XXXIII. Πομπήιος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρὸς καὶ συνήντησε τῷ Πομπηίῳ περὶ τὸν Ἀράξην ποταμόν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. Οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης ἔναγχος μὲν ὑπὸ Λουκούλλου συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾶον εἶναι πυθόμενος τὸν Πομπήιον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν δὲ τοὺς φίλους καὶ συγγενεῖς αὐτὸς ἐπορεύετο 637 παραδώσων ἑαυτόν. (2) Ὡς δὲ ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο τοῦ Πομπηίου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτε ὀφθῆναι. Καὶ ταῦτα οὖν ὁ Τιγράνης ἐπείθετο καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε τὸν Πομπήιον, ἀφελόμενος τὴν κίταριν ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι καὶ καταβαλὼν ἑαυτὸν αἴσχιστα δὴ πάντων προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. (3) Ἀλλ' ὁ Πομπήιος ἔφθη τῆς δεξιᾶς αὐτοῦ λαβόμενος προσαγαγέσθαι· καὶ πλησίον ἱδρυσάμενος ἑαυτοῦ, τὸν δὲ υἱὸν ἐπὶ θάτερα, τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λούκουλλον, ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σωφηνήν, ἃ δὲ ἄχρις ἑαυτοῦ διατετήρηκεν ἕξειν ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας, Σωφηνῆς δὲ βασιλεύειν τὸν υἱόν. (4) Ἐπὶ τούτοις μὲν ὁ Τιγράνης ἠγάπησε καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα περιχαρὴς γενόμενος ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμίμνεον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον· ὁ δ' υἱὸς ἐδυσφόρει καὶ κληθεὶς ἐπὶ δεῖπνον οὐκ ἔφη Πομπηίου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. Ἐκ τούτου δεθεὶς εἰς τὸν θρίαμβον ἐφυλάττετο. Καὶ μετ' οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς

equitibus per Romanos erupit, mox omnibus ceteris dilapsis, solus cum tribus relictus est, in quibus fuit Hypsicratia pellex, virili semper animo audaciaque usa, ita ut Hypsicratem rex appellaverit. Ea tum virili Persæ habitu equoque instructa, neque cursus longitudine relanguescere visa, neque regis corpus equumque curando defatigata est. Tandem ad castellum Sinora, regia pecunia et thesauris plenum, pervenerunt. Ibi rex inter eos qui ex fuga eo e confluxissent, pretiosas vestes distribuit, amicorum quoque singulis letale venenum dedit, ne quis invitus in hostium potestatem veniret. (7) Ipse in Armeniam inde ad Tigranem profectus est, quumque is recusasset hospitium, interfectorique ejus centum talenta præmii loco per edictum constituisset, fontibus Euphratis præteritis per Colchidem fugit.

XXXIII. Ceterum Pompeius in Armeniam irrupit, vocatus a juniore Tigrane, qui jam a patre defecerat et se ad f Araxem fluvium, qui ex iisdem cum Euphrate locis ortus adversus orientem profluit inque mare Caspium exit, obviam ei dedit conjunctique una perrexerunt, urbes in suam potestatem recipientes. At rex Tigranes nuper a Lucullo fractus, quum mitem placidoque ingenio præditum Pompeium audisset, imposito in regiam præsidio amicisque et cognatis ad se receptis, ipse traditum sese Pompeio profectus est. (2) Ut a eques ad castra venit, duo Pompeiani lictores equo eum descendere peditemque ire jusserunt; neminem enim unquam equitare in castris Romanis visum. Et in hoc obtemperavit Tigranes et præterea ensem suum discinxit iisque tradidit. Ut denique ad ipsum pervenit Pompeium, cidarim capiti detractam ante pedes ejus deponere, seque (id quod erat turpissimum) ad genua ipsius provolvere intendit. (3) Sed Pompeius prævertit, dextra eum arreptum ad se attrahens, ac juxta se, filium vero Tigranem ab altero latere collocans. Tum ita locutus est: Lucullo cetera tua damna imputare debes, qui tibi Syriam, Phœnicen, Ciliciam, Gala- b tiam, Sophenen ademit; quæ ad hunc diem servasti, ea retinebis, injuria, quam Romanis intulisti, sex talentorum millibus compensata; filius tuus Sophenæ rex erit. (4) Hæc Tigranes pergrata habuit; Romanisque regem eum salutantibus, magno perfusus gaudio, militibus Romanis singulis dimidiam minam argenti, centurioni minas decem, tribuno militum talentum se dono daturum pollicitus est. Junior autem Tigranes quum moleste hæc ferret et ad cœnam vocatus, nihil se isto honore Pompeii opus habere, sed c alium a Romanis impetraturum respondisset, in vincula positus et ad triumphum est servatus. Paulo post Phraates Parthus rex misit, qui Tigranem filium, uti generum suum,

αὐτοῦ γαμβρὸν, ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ· Πομπήιος δὲ ἀπεκρίνατο τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον ἢ τῷ πενθερῷ προσήκειν, ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

XXXIV. Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. Μέγιστα δὲ αὐτῶν ἐστιν ἔθνη Ἀλβανοὶ καὶ Ἴβηρες, Ἴβηρες μὲν ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δὲ ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. (2) Οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηίῳ δίοδον ἔδοσαν, d χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ' Ἀρμενίας ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. Οἱ δὲ οὔ φασι τούτῳ συμφέρεσθαι τὸν Ἀράξην, ἀλλὰ καθ' ἑαυτὸν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. (3) Πομπήιος δὲ, καίπερ ἐνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτα ἐπαγαγὼν ἐτρέψατο e καὶ διέφθειρε παμπληθεῖς. Τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν καὶ σπεισάμενος ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι καὶ διωθεῖσθαι τὸν Πομπήιον. Οὔτε γὰρ Μήδοις οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες, διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. (4) Οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήιος, ὥστε ἀποθανεῖν μὲν ἐνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν f ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουίλιος ἀπήντησε τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. Πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπι-
638 στρέψας τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν a διεπέρασεν ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον καὶ, μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος ἤλαυνεν ἐπὶ τοὺς πολεμίους καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους ἑξακισμυρίους πεζοὺς καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. Ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς ὄνομα Κῶσις. Οὗτος ἐν χερσὶ τῆς μάχης γενομένης ἐπὶ τὸν Πομπήιον ὁρμήσας, αὐτὸν ἔβαλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι, Πομπήιος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. (2) Ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συνα- b γωνίσασθαι τοῖς βαρβάροις ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. Μετὰ γὰρ τὴν μάχην

a Pompeio exposcerent, utque provinciarum terminum Euphratem haberet postularent. His Pompeius respondit, Tigranem patri magis quam socero deberi, jus autem se pro fine imperii habiturum.

XXXIV. Inde Afranio Armeniæ præsidio relicto, per gentes circa Caucasum proficiscens contra Mithridatem molesto admodum itinere perrexit. Inter has gentes maximæ sunt Albani et Iberi, quorum hi ad Moschicos montes et Pontum pertinent, illi orientem versus et Caspium mare vergunt. (2) Albani primum petenti transeundi facultatem Pompeio concesserunt, post quum hiems exercitum in ipsorum regione deprehendisset et festum Saturnalia Romani agerent, collecti ad quadraginta millia et Cyrnum fluvium (is ex Ibericis montibus scaturiens, Araxe, qui ex Armenia defluit, in se recepto, duodecim ostiis in Caspium mare exit; quidam Araxem non misceri Cyrno, sed seorsum haud longe ab ejus ostiis in id pelagus effluere asserunt) transgressi, Romanos invaserunt. (3) Pompeius fluvium transire eos, tametsi resistere poterat, nemine interturbante passus, inde adducto exercitu fudit, ingentique strage affecit. Post regi eorum per legatos deprecanti gratia delicti facta, initoque fœdere, adversum Iberos profectus est. Hæc natio neque minus quam Albani populosa et bello etiam aliis potentior, a Mithridate gratiam inire Pompeio repellendo magnopere studebat. Alioquin neque Medis neque Persis subditi erant et Macedonicum quoque imperium subterfugerant, ob Alexandri celerem ex Hyrcania discessum. (4) His quoque magno prœlio fusis (nam novem Iberorum millia cæsi, ultra decem millia capti sunt), Pompeius in Colchidem intravit. Ibi ad Phasin amnem Servilius ei occurrit cum classe, quæ Pontum custodiebat.

XXXV. Ceterum Mithridatem persequi in Bosporanas et Mæoticas gentes sese recipientem, res erat quæ in magnas incurreret difficultates. Interim renuntiatur Albanos denuo descivisse. In hos præ ira et studio contendendi conversus, Cyrnum fluvium ægre ac magno cum periculo transivit, quod barbari plerasque fluminis partes vallis adactis intercluserant; quumque progrediendum esset longo et difficili aquæque experte itinere, decem millibus utrium aqua impletorum assumptis, in hostem contendit, in eumque ad Abantem fluvium incidit. Instruxerant Albani aciem, sexaginta peditum millia, equitum millia duodecim, magna ex parte male pellibusque modo ferarum armatorum, quos regis frater Cosis ducebat. Hic commisso prœlio in ipsum Pompeium tendens, jaculo eum, qua thoracis est commissura, ferit; Pompeius autem cominus perfossum interfecit. (2) Hac in pugna memorant Amazonas quoque ab iis qui sunt circa Thermodontem fluvium montibus profectas Albanis

σκυλεύοντες οἱ Ῥωμαῖοι τοὺς βαρβάρους πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δὲ οὐδὲν ὤφθη γυναικεῖον. (3) Νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου· καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

XXXVI. Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήιος c ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη τριῶν ὁδὸν ἡμερῶν ἀποσχών, εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε. Καὶ τῷ μὲν Ἐλυμαίων καὶ τῷ Μήδων βασιλεῖ πέμψασι πρέσβεις ἀντέγραψε φιλικῶς, τὸν δὲ Πάρθον εἰς τὴν Γορδυηνὴν ἐμβεβηκότα καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ πέμψας μετὰ Ἀφρανίου δύναμιν ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος. (2) Ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν. Ἦσαν γὰρ αἱ πολλαὶ θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυνα- d στῶν. Στρατονίκη δέ, ἣ μέγιστον εἶχεν ἀξίωμα καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἦν μέν, ὡς ἔοικε, ψάλτου τινὸς οὐκ εὐτυχοῦς τἄλλα, πρεσβύτου δὲ θυγάτηρ, οὕτω δὲ εὐθὺς εἷλε παρὰ πότον ψήλασα τὸν Μιθριδάτην, ὥστε ἐκείνην μὲν ἔχων ἀνεπαύετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. Ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας, ὄχλον δὲ θεραπείας πολύν, εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα e καὶ παιδιὰν ἡγούμενος ὥρμησε φεύγειν διὰ θυρῶν. (3) Τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων καὶ λεγόντων, ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσίν, οὕτω πιστεύσας μόλις καὶ τὴν πορφύραν ἀναλαβὼν καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον ἤλαυνε διὰ τῆς πόλεως βοῶν· « Ἐμὰ ταῦτα πάντα ἐστί. » Πρὸς δὲ τοὺς καταγελῶντας οὐ τοῦτο ἔλεγεν εἶναι θαυμαστόν, ἀλλ' ὅτι μὴ λίθοις βάλλει τοὺς ἀπαντῶντας ὑφ' ἡδονῆς μαινόμενος. (4) Ταύτης μὲν ἦν καὶ γενεᾶς καὶ αἵματος ἡ f Στρατονίκη. Τῷ δὲ Πομπηίῳ καὶ τὸ χωρίον παρεδίδου τοῦτο καὶ δῶρα πολλὰ προσήνεγκεν, ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο λαβὼν μόνα, τὰ λοιπὰ τὴν Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. Ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ θρόνον,
639 ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, a καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

XXXVII. Ἐν δὲ τῷ Καινῷ φρουρίῳ καὶ γράμμασιν ἀποῤῥήτοις ὁ Πομπήιος ἐνέτυχε τοῦ Μιθριδάτου καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους

adfuisse. Nam quum a prœlio spolia legerent Romani, peltas quidem Amazonicas et cothurnos invenerunt, corpus autem muliebre nullum apparuit. (3) Habitant Amazones in partibus Caucasi ad Hyrcanum mare pertinentibus, non finitimæ Albanis; etenim Gelæ et Leges interjacent, cum quibus illæ quotannis ad Thermodontem accedentes per duos menses conversantur, atque iis finitis digressæ seorsum vivunt.

XXXVI. Secundum hanc victoriam Pompeius quum ad Hyrcanium et Caspium mare, a quo tridui itinere aberat, ire vellet, multitudine venenatorum reptilium prohibitus, in Armeniam minorem recessit. Ibi Elymæorum et Medorum regibus, qui legatos ad ipsum mittebant, amice respondit, Parthum autem, qui facta in Gordienen impressione Tigranis regionem infestabat, Afranio cum copiis misso ejecit et usque ad Arbelitidem insecutus est. (2) Porro autem pellicum Mithridatis quum multæ ad ipsum adducerentur, nulli corpus miscuit, sed omnes parentibus earum et propinquis remisit; erant enim pleræque ducum regulorumque filiæ et uxores. Stratonice, quæ apud Mithridatem in summo erat honore, arcemque cum ingenti auri thesauro custodiebat, filia fuit, ut aiunt, citharœdi cujusdam senis, minime alioquin lauta re præditi. Hæc quum in convivio fidibus cecinisset, ista statim cepit Mithridatem, ut cum ipsa illico iverit cubitum, dimisso patre, qui iniquo animo ferebat, ne compellatum quidem sese benigne. Verum ubi sub auroram expergefactus mensas vidit argenteis et aureis poculis onustas, magnam famulorum turbam, eunuchos et pueros pretiosas ad se vestes afferre, equum pro foribus ornatum eo more quo amicorum regiorum equi solent astare, illudi perque jocum se vexari putans, effugere per fores intendit. (3) Famulis autem inhibentibus, dicentibusque regem opibus ipsum cujusdam divitis nuper mortui donare, hasque exiguas tantum esse primitias, ceterarumque divitiarum indicia; vix tandem fidem habens, purpura se vestivit, insiliensque in equum, per urbem vectus est, vociferans passim : Hæc omnia mea sunt. Et iis qui irridebant : Non, inquit, hoc mirum est, sed quod non insaniens præ lætitia obvios saxis impeto. (4) His natalibus et sanguine orta Stratonice Pompeio et arcem obtulit et multa dona attulit; Pompeius, iis tantum acceptis quæ ad templorum ornatum et triumphi splendorem facerent, cetera Stratonicæ habenda permisit. Similiter missum a rege Iberorum lectulum, mensam et solium aurea omnia, flagitante ut acciperet, quæstoribus in publicum referenda tradidit.

XXXVII. In castro quod dicitur Cænon (*Novum*) in secretas quasdam Mithridatis literas incidit, easque non sine oblectatione percurrit, quod ingenium illius præclare indi-

κατανόησιν. Ὑπομνήματα γὰρ ἦν, ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνῃρηκὼς καὶ τὸν Σαρδιανὸν Ἀλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύνων. (2) Ἦσαν δὲ ἀναγεγραμμέναι καὶ κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δὲ ἔνιαι τῶν γυναικῶν, ἐπιστολαί τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. (3) Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναί b φησι παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων· ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους εἶναι, τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοικότα μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήιον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.

XXXVIII. Ἐντεῦθεν εἰς Ἀμισὸν ἐλθὼν ὁ Πομπήιος πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. Πολλὰ γὰρ τὸν Λούκουλλον ἐπικερτομήσας, ὅτι τοῦ πολεμίου ζῶντος ἔγραφε διατάξεις καὶ δωρεὰς ἔνεμε καὶ τιμάς, ἃ συνῃρημένου πολέμου καὶ πέρας ἔχοντος εἰώθασι ποιεῖν οἱ νενικηκότες, αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτου κρατοῦντος c καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταὐτὰ διακοσμῶν τὰς ἐπαρχίας καὶ διανέμων δωρεάς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν, βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. Ὅθεν οὐδὲ ἠξίωσε τὸν Πάρθον ἀντιγράφων, ὥσπερ οἱ λοιποί, βασιλέα βασιλέων προσαγορεῦσαι τοῖς ἄλλοις χαριζόμενος. (2) Αὐτὸν δέ τις ἔρως εἶχε καὶ ζῆλος Συρίαν ἀναλαβεῖν καὶ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν Ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιιόντι τὴν οἰκουμένην πανταχόθεν Ὠκεανῷ προσμίξειε d νικῶν· καὶ γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης κρατῶν προῆλθε, καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο Ῥωμαίοις τῷ Ἀτλαντικῷ πελάγει, καὶ τρίτον ἔναγχος Ἀλβανοὺς διώκων ὀλίγον ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ὑρκανίαν θάλασσαν. Ὡς οὖν συνάψων τῇ Ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας ἀνίστατο· καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον ὄντα τοῖς ὅπλοις καὶ φεύγοντα χαλεπώτερον ἢ μαχόμενον.

XXXIX. Διὸ τούτῳ μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φυλακὰς τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. Ἀναλαβὼν δὲ e τῆς στρατιᾶς τὴν πληθὺν συχνὴν προῆγε· καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων ἐντυχὼν ἀτάφοις ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας, ὃ δοκεῖ παραλειφθὲν οὐχ ἥκιστα Λουκούλλῳ μίσους αἴτιον γενέσθαι. (2) Χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας καὶ καταβὰς αὐτὸς εἰς Συρίαν, ταύτην μὲν ὡς οὐκ ἔχουσαν γνησίους βασιλεῖς ἐπαρχίαν ἀπέφηνε καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων, τὴν δὲ Ἰουδαίαν κατεστρέψατο καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα. (3) Πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δ' ἠλευθέρου, κολάζων τοὺς ἐν f αὐταῖς τυράννους. Τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ

carent. Deprehendit enim eum veneno sustulisse quum alios multos, tum filium suum Ariarathem et Alcæum Sardianum, quod is eum equestrium certaminum gloria superasset. (2) Erant et conscripta insomniorum indicia, quæ partim ipsi, partim mulieribus evenissent. Repertæ etiam Monimæ et Mithridatis litteræ lascivæ, mutuo scriptæ. (3) Theophanes orationem quoque Rutilii inventam ait, qua ad cædem Romanorum per Asiam cohortatus is Mithridatem fuisset. Quod recte plerique malitiose fictum a Theophane conjiciunt, quod Rutilium ipsius plane dissimilem odisset; probabile etiam est Pompeii causa, cujus patrem Rutilius in historiis pessimum fuisse hominem demonstraverat.

XXXVIII. Amisum inde profectus Pompeius in rem reprehensione dignam propter ambitionem incidit. Etenim qui Lucullo multis verbis exprobrasset, quod is hoste vivente constitutiones quasdam edidisset, munera et honores distribuisset, id quod victores confecto demum omni bello facere usu receptum esset; is tum Mithridate Bosporum obtinente justasque copias secum jam habente, eadem quæ Lucullus, tanquam jam debellato, agitabat: provincias componebat, munera dividebat, multis ad ipsum principibus duodecimque barbaris regibus profectis, quibus etiam id gratificatus est, uti Partho rescribens non, ut alii, regem regum eum salutaret. (2) Vehemens autem amor incesserat Pompeio Syriam recipiendi et per Arabiam ad Rubrum mare proficiscendi, ut victor ubique ad mare quod extra terram alluit perveniret. Nam et in Africa primus vincendo usque ad Oceanum progressus fuit, et in Hispania Atlanticum pelagus finem Romano Imperio fecit; tertium quoque Albanos persequens, parum abfuit quin ad Hyrcanum usque mare excurreret. Ita expeditionis finem mare Rubrum sibi statuens, exercitum movit, quum alioquin Mithridatem armis indagari difficulter posse videret et fuga quam bello molestiorem esse.

XXXIX. Huic graviorem quam Pompeius esset hostem, famem nimirum, relicturum se dicens, navalia præsidia constituit, quæ navigantes in Bosporum observarent negotiatores, deprehensosque morte punirent. Ipse cum exercitus majori parte iter ingressus, quum in cadavera eorum qui Triario duce infeliciter cum Mithridate pugnaverant inhumata etiamnum incidisset, splendide et honorifice sepeliit, quod a Lucullo neglectum haud minimam odii in ipsum causam præbuisse videtur. (2) Inde Afranii opera Arabibus qui circa Amanum montem accolunt in potestatem redactis, ipse in Syriam profectus, eam, ut quæ legitimos reges non haberet, provinciam ditionemque populi Romani redegit, Judæam porro subegit, regemque Aristobulum cepit. (3) Urbes partim condidit, partim supplicio affectis tyrannis libertati restituit. Plurimum autem otii in dijudicandas civitatum re-

δικάζειν ἐποιεῖτο πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν, ἐφ' ἃ δὲ αὐτὸς οὐκ ἐξικνεῖτο πέμπων τοὺς φίλους, ὥσπερ Ἀρμενίοις καὶ Πάρθοις, περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ, τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. Μέγα μὲν γὰρ ἦν ὄνομα 640 a τῆς δυνάμεως, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πραότητος· ᾧ καὶ τὰ πλεῖστα τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνήθων ἀπέκρυπτε, κωλύειν μὲν ἢ κολάζειν τοὺς πονηρευομένους οὐ πεφυκώς, αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον, ὥστε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.

XL. Ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ Δημήτριος ἦν ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἄλλα νεανίας, ἄγαν δὲ τῇ τύχῃ χρώμενος· περὶ οὗ καὶ τοιόνδε τι λέγεται. Κάτων ὁ φιλόσοφος, ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς Ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι Πομπηίου, βουλόμενος ἱστορῆσαι τὴν πόλιν. Αὐτὸς μὲν οὖν, ὥσπερ ἀεί, πεζὸς ἐβάδιζεν, οἱ b δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. Κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν τοὺς ἐφήβους, ἔνθεν δὲ τοὺς παῖδας διακεκριμένους, ἐδυσχέραινεν οἰόμενος εἰς τιμήν τινα καὶ θεραπείαν ἑαυτοῦ μηδὲν δεομένου ταῦτα γίνεσθαι. Τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτοῦ· γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιστὰς ἔχων στέφανον καὶ ῥάβδον ἀπήντησε πυνθανόμενος παρ' αὐτῶν, ποῦ Δημήτριον ἀπολελοίπασι καὶ πότε ἀφίξεται. Τοὺς μὲν οὖν φίλους τοῦ Κάτωνος γέλως ἔλαβεν, ὁ δὲ Κάτων εἰπών, » Ὦ τῆς c ἀθλίας πόλεως », παρῆλθεν οὐδὲν ἕτερον ἀποκρινάμενος. (2) Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις τοῦτον τὸν Δημήτριον ἧττον ἐπίφθονον ἐποίει Πομπήιος αὐτὸς ἐντρυφώμενος ὑπ' αὐτοῦ καὶ μὴ δυσκολαίνων. Λέγεται γάρ, ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τοῦ Πομπηίου προσμένοντος καὶ δεχομένου τοὺς ἄλλους, ἐκεῖνος ἤδη κατέκειτο σοβαρὸς ἔχων δι' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. (3) Οὔπω δὲ εἰς Ἰταλίαν ἐπανεληλυθὼς ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα προάστεια καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα, καὶ κῆποι πολυτελεῖς ἦσαν ὀνομαζόμενοι d Δημητρίου· καίτοι Πομπήιος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς ᾤκησεν. Ὕστερον δὲ Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον ἀνιστὰς θέατρον ὥσπερ ἐφόλκιόν τι παρετεκτήνατο λαμπροτέραν οἰκίαν ἐκείνης, ἀνεπίφθονον δὲ καὶ ταύτην, ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ Πομπήιον εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, ποῦ Πομπήιος Μάγνος ἐδείπνει. Ταῦτα μὲν οὖν οὕτω λέγεται.

XLI. Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτραν Ἀράβων πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ δείσαντος ἰσχυρῶς καὶ γράψαντος, ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν διάνοιαν ὁ Πομπήιος ἐστράτευσεν ἐπὶ τὴν Πέτραν οὐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρα- e τείαν. (2) Ἀπόδρασιν γὰρ ᾤοντο τῆς Μιθριδάτου διώ-

gumque controversias impendit, missis ad arbitrandum amicis, quo ipse non proficiscebatur, sicut Armeniis etiam ac Parthis de finibus litigantibus, arbitriumque ipsi deferentibus, tres suorum misit qui rem componerent. Magnum enim nomen potentiæ ejus; majus virtutis erat atque clementiæ; eoque pleraque suorum amicorum et familiarium peccata occultabat, natura a coercendis et puniendis delictis alienus, ac talem sese adeuntibus præbens, ut facile eorum avaritiam, ac perversitatem toleraret.

XL. Qui plurimum apud ipsum posset Demetrius erat libertus, juvenis ingenio non malo, sed fortunæ nimius; de quo tale quiddam fertur. Cato, is qui philosophus est usurpatus, quum adhuc juvenis esset, magna tamen gloria altosque spiritus duceret, Antiochiam accesserat urbis ejus perlustrandæ causa, absente Pompeio; pedes ipse ibat, uti solitum ei erat, dum amici equites comitabantur. Hic quum ante urbis portam turbam virorum candidatorum et juxta viam ephebos seorsum, seorsum pueros astare videret, existimans sibi nihil talia curanti honoris et reverentiæ causa hæc fieri, indigne tulit, amicosque ab equis descendere et una ire jussit. Ubi propius accesserunt ad portam, magister ejus pompæ coronatus baculumque gestans occurrit et ex ipsis quæsivit, ubinam Demetrium reliquissent et quando is esset venturus. Tum Cato amicis in risum conversis, O miseram, inquit, urbem! nihilque aliud respondens præteriit. (2) Verumtamen Pompeius ipse a Demetrio ludibrio habitus, idque æquo animo sustinens, effecit ut eo leviora aliorum in eum odia essent. Traditum est sæpenumero in conviviis Pompeio ceteros exspectante, illum accubuisse fastuosum, ac togam usque ad aures capiti attraxisse. (3) Idem Demetrius antequam in Italiam rediret, jam Romæ amœnissima suburbana ac loca voluptaria pulcherrima habebat, hortique pretiosi erant, qui Demetrii nuncupabantur. Et vero ipse Pompeius ad tertium usque triumphum ædibus usus est minime splendidis. Post quum Romanis insigne illud et præclarum exstruxisset theatrum, aliquanto splendidiorem priore domum veluti appendicis loco sibi ædificavit, sed hanc quoque ita invidiæ securam, ut qui eam post Pompeium occupavit, miratus sit et quæsiverit, ubinam Pompeius Magnus cœnasset. Atque hæc ita narrantur.

XLI. Arabiæ Petrææ rex quum pridem sprevisset Romanos, tunc vero magno terrore percussus imperata facturum sese scriberet, Pompeius ut animum ejus exploraret, expeditionem adversus Petram suscepit multis multorum reprehensionibus obnoxiam. (2) Etenim subterfugere eum persecutionem Mithridatis censebant, et contra illum antiquum

ξεως εἶναι καὶ πρὸς ἐκεῖνον ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστὴν αὖθις ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο, διὰ Σκυθῶν καὶ Παιόνων στρατὸν ἐλαύνειν ἐπὶ τὴν Ἰταλίαν. (3) Ὁ δὲ ῥᾷον οἰόμενος αὐτοῦ καταλύσειν τὴν δύναμιν πολεμοῦντος ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, οὐκ ἐβούλετο τρίβεσθαι μάτην ἐπὶ τὴν δίωξιν, ἑτέρας δὲ τοῦ πολέμου παρενθήκας ἐποιεῖτο καὶ τὸν χρόνον εἷλκεν. (4) Ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. Οὐκέτι γὰρ αὐτοῦ τῆς Πέτρας πολλὴν f ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένου χάρακα καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ στρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ Πόντου κομίζοντες εὐαγγέλια. Δῆλοι δ' εὐθύς εἰσι ταῖς αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναστέφονται. Τούτους ἰδόντες οἱ στρατιῶται συνετρόχαζον πρὸς τὸν Πομπήιον.
641 Ὁ δὲ πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν, a βοώντων δὲ καὶ δεομένων καταπηδήσας ἀπὸ τοῦ ἵππου καὶ λαβὼν τὰ γράμματα προῄει. (5) Βήματος δὲ οὐκ ὄντος οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος (ὃ ποιοῦσιν αὐτοὶ τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες καὶ κατ' ἀλλήλων συντιθέντες), ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες ὕψος ἐξῆραν. Ἐπὶ τοῦτο προσβὰς ὁ Πομπήιος ἀπήγγειλεν αὐτοῖς, ὅτι Μιθριδάτης τέθνηκε στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ διαχρησάμενος ἑαυτόν, τὰ δὲ ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο καὶ ἐφ' ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος. b

XLII. Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον, ὡς εἰκός, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. Πομπήιος δὲ ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν, εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας. Καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας εἰς Ἀμισὸν ἀφίκετο καὶ κατέλαβε πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ σώματα τῶν βασιλικῶν, αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρὸν οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου (τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς θεραπεύοντας)· ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον οἱ δεόμενοι c τοῦ θεάματος. (2) Οὐ γὰρ αὐτὸς Πομπήιος ἰδεῖν ὑπέμεινεν, ἀλλ' ἀφοσιωσάμενος τὸ νεμεσητὸν εἰς Σινώπην ἀπέπεμψε. Τῆς δὲ ἐσθῆτος, ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε. Καίτοι τὸν μὲν ξιφιστῆρα πεποιημένον ἀπὸ τετρακοσίων ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ, τὴν δὲ κίταριν Γάϊος ὁ τοῦ Μιθριδάτου σύντροφος ἔδωκε κρύφα δεηθέντι Φαύστῳ τῷ Σύλλα παιδὶ θαυμαστῆς οὖσαν ἐργασίας. Ὃ τότε τὸν Πομπήιον διέλαθε, Φαρνάκης δὲ γνοὺς ὕστερον ἐτιμωρήσατο τοὺς ὑφελομένους. (3) Διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος οὕτως ἤδη d πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. Καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις.

adversarium potius ire debere existimabant, qui bellum novo apparatu resuscitare ac per Pannonios et Scythas Italiam versus proficisci nuntiabatur. (3) At vero Pompeius, qui facilius belligerantem opprimi quam fugientem comprehendi posse judicaret, frustra eum insequendo tempus terere nolebat, potiusque interim alias res veluti appendices ejus belli gerere statuebat. (4) Sed eam controversiam fortuna diremit. Nam quum haud procul a Petra abesset, jamque sub vesperam vallo jacto sese eques ante castra exerceret, tabellarii e Ponto citatis equis advenerunt, lætum nuntium afferentes; hoc enim indicant cuspides hastarum lauro revinctæ. Quos simul atque conspexerunt milites, ad Pompeium concurrerunt; isque quum initio exercitationes ad finem perducere vellet, clamore eorum precibusque victus, ab equo descendit, et litteris acceptis in medium progressus est. (5) Tribunal nullum erat, neque adhuc militari more magnis cespitibus invicem impositis suggestum excitaverant: itaque raptim jumentorum clitellis congestis editum aggerem exstruxerunt. In eum progressus Pompeius, militibus renuntiavit Mithridatem mota a filio ejus Pharnace seditione sua ipsius manu mortem oppetiisse, Pharnacem suo et populi Romani nomine omnia in potestatem accepisse, itaque ad se scripsisse.

XLII. Accepto hoc nuntio milites summo, uti par erat, gaudio affecti, sacrificiis et conviviis vacarunt, in uno Mithridate infinitos bostes periisse rati. Pompeius autem quum ei bello longe facilius quam ipse exspectasset finem imposuisset, statim motis ex Arabia castris et peragratis quæ in medio erant provinciis, Amisum venit. Ibi multa a Pharnace missa munera accepit, multa regiorum amicorum, ipsiusque etiam Mithridatis cadaver, cognitu baud facile, quod ii, qui mortuum condiverant, ignoraverant cerebrum eliquandum fuisse; curiosi tamen ex cicatricibus agnoverunt. (2) Ipse enim Pompeius inspicere non sustinuit, invidiamque fortunæ amolitus, Sinopen remisit. Vestis autem et armorum, quæ Mithridates gessisset, magnitudinem splendoremque admiratus est. Quanquam balteum Publius quidam surripuerat, quadraginta talentis confectum, et Ariarathi vendiderat, citarim miro artificio elaboratam Caius qui cum Mithridate educatus fuerat oranti Fausto Syllæ filio clam tradidit. Hi quum in præsentia Pompeium fefellissent, Pharnaces postea re comperta, supplicio fures affecit. (3) Rebus Ponticis constitutis, Pompeius proinde majori cum pompa iter fecit. Quum Mitylenen pervenisset, urbem in Theophanis gratiam libertate donavit, poetarumque certamen ita a majoribus institutum inspexit, quibus res ipsius gestæ una materia carminum

Ἡσθεὶς δὲ τῷ θεάτρῳ περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμενος τὸ ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. (4) Ἐν δὲ Ῥόδῳ γενόμενος πάντων μὲν ἠκροάσατο τῶν σοφιστῶν καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε· Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν, ἣν ἔσχεν ἐπ' αὐτοῦ πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθόλου ζητήσεως ἀντιταξάμενος. (5) Ἐν δὲ Ἀθήναις τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ e Πομπηίου· τῇ πόλει δὲ ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα λαμπρότατος ἀνθρώπων ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθῶν ὀφθήσεσθαι τοῖς οἴκοι ποθοῦσιν. Ὧ δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικουρεῖ πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον· ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. (6) Καὶ πόρρω μὲν ὢν ὁ Πομπήιος κατεφρόνει τοῦ λόγου, πλησίον δὲ Ἰταλίας γενόμενος καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον, ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν, οὔτε τότε γράψας οὔθ' ὕστερον ἐφ' οἷς f ἀφῆκεν ἐξειπών· ἐν δ' ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.

XLIII. Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηίου εἰς τὴν Ῥώμην καὶ θόρυβος ἦν πολύς, ὡς εὐθὺς ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα καὶ μοναρχίας βεβαίας ἐσομένης. 642 Κράσσος δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν a ὑπεξῆλθεν, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει, πίστιν ἀπολείπων τῇ διαβολῇ καὶ τὸν φθόνον ποιῶν τραχύτερον. (2) Εὐθὺς οὖν ἐπιβὰς Ἰταλίας ὁ Πομπήιος καὶ συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας καὶ τὰ πρέποντα διαλεχθεὶς καὶ φιλοφρονησάμενος ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστους καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα, μεμνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. (3) Οὕτω δὲ τῆς στρατιᾶς σκεδασθείσης καὶ πυνθανομένων ἁπάντων πρᾶγμα συνέβη θαυμαστόν. Ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήιον Μάγνον ἄνοπλον καὶ μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας δια- b πορευόμενον, ἐκχεόμεναι δι' εὔνοιαν καὶ προπέμπουσαι μετὰ μείζονος δυνάμεως συγκατῆγον εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τότε, μηδὲν ἐκείνου δεόμενον τοῦ στρατεύματος.

XLIV. Ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δοῦναι ταύτην αὐτῷ τὴν χάριν, ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος, οὐκ ἔτυχε τοῦ βουλεύματος. (2) Θαυμάσας δὲ τὴν παρρησίαν αὐτοῦ καὶ τὸν τόνον, ᾧ μόνος ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἁμωσγέπως κτήσασθαι c τὸν ἄνδρα· καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν τῷ Κάτωνι τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυναῖκα, τὴν δὲ τῷ παιδὶ συνοικίσαι. Τοῦ δὲ Κάτωνος ὑπιδομένου τὴν πεῖραν, ὡς διαφθορὰν οὖσαν αὐτοῦ τρόπον τινὰ δεκαζομένου διὰ τῆς οἰκειότητος, ἥ τε ἀδελφὴ καὶ ἡ γυνὴ χαλεπῶς

erant. Theatri autem formam probans, lineamentis eam expressit, uti ad ejus exemplum Romæ aliud, majus tamen ac magnificentius, ædificaret. (4) Rhodi omnes rhetores audivit, singulosque talento donavit; Posidonius disputationem quoque ejus cum Hermagora sophista de generali quæstione habitam perscripsit. (5) Athenis quum eodem modo philosophos tractasset, urbi ad ædificationes quinquaginta talenta largitus, splendidissimum sese mortalium in Italiam, suisque quorum tenebatur desiderio, exoptatissimum venturum speravit. Enimvero quicunque is est genius, qui magnis atque amplis fortunæ muneribus triste aliquid admiscere solet, is jam pridem domi illius delitescens, minus jucundum ei reditum machinatus fuerat. (6) Etenim per ejus absentiam Mucia intemperantius vixerat. Ac Pompeius quum longius adhuc abesset, rem istam contempserat; postquam prope Italiam pervenit, et magis otioso, ut videtur, animo crimen perpendit, nuntium ei remisit, neque tum, neque post divortium causam discidii indicans. Verum ea in epistolis Ciceronis est perscripta.

XLIII. Varii autem de Pompeio sermones Romam perferebantur, trepidabaturque vulgo quod exercitum recta ad urbem adducturus et tyrannidem occupaturus crederetur. Et Crassus adeo sive revera metuens sibi, sive ut calumniæ fidem daret odiaque hominum in Pompeium incenderet, cum liberis et opibus Roma excessit. (2) Sed Pompeius ut primum Italiam attigit, advocatis in concionem militibus, allocutus eos benigne et quæ præsens occasio ferret, verbis persecutus, discedere unumquemlibet in patriam et ad suos abire jussit, ac curare uti tempore triumphi frequentes adessent. (3) Dissipato ad hunc modum exercitu, eaque re vulgata, mirum est quod accidit. Etenim civitates Pompeium Magnum inermem ac paucis cum familiaribus tanquam a profectione alia redire videntes, effusæ ingenti copia eum Romam usque comitatæ sunt, benevolentia adductæ, ut si quid novarum rerum moliri voluisset, nihil suo illi exercitu opus fuerit.

XLIV. Quia vero lex vetat quenquam triumphaturum, antequam triumphum egisset, in urbem venire, Pompeius postulavit uti tantum sibi gratiæ daret senatus, ut comitia differret, donec præsens ea cum Pisone obire posset. Verum ea petitio, Catone repugnante, frustra fuit. (2) Ex eo Catonis constantiam libertatemque quibus ille unus pro jure palam propugnabat, miratus, statuit eum quacunque ratione sibi adjungere; et quum is duas haberet fratris sui filias secum, alteram sibi, alteram filio in matrimonium petiit. Cato autem quum id, quod tentabat Pompeius, penitus perspiceret et nuptias illas corrumpendi sui gratia affectari intelligeret, ideoque detrectaret, soror ejus uxorque

ἔφερον, εἰ Πομπήιον Μάγνον ἀποτρέψεται κηδεστήν. (3) Ἐν τούτῳ δὲ βουλόμενος ὕπατον ἀποδεῖξαι Πομπήιος Ἀφράνιον ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτοῦ, καὶ τοῦτο κατιόντες εἰς τοὺς Πομπηίου κήπους ἐλάμβανον, ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι καὶ τὸν Πομπήιον ἀκούειν κακῶς, ἧς αὐτὸς ἀρχῆς ἐφ' οἷς d κατώρθωσεν ὡς μεγίστης ἔτυχε, ταύτην ὤνιον ποιοῦντα τοῖς δι' ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. « Τούτων μέντοι, » πρὸς τὰς γυναῖκας ὁ Κάτων ἔφησε, « τῶν ὀνειδῶν κοινωνητέον οἰκείοις Πομπηίου γενομένοις. » Αἱ δὲ ἀκούσασαι συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τοῦ πρέποντος.

XLV. Τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος οὐκ ἐξήρκεσεν, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας ἀποχρῶντα πομπῆς ἀξίωμα καὶ κόσμος εἶναι. (2) Γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. Ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καπ- e παδοκία, Παφλαγονία, Μηδία, Κολχίς, Ἴβηρες, Ἀλβανοί, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην, Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. Ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα χιλίων οὐκ ἐλάττονα, πόλεις δὲ οὐ πολὺ τῶν ἐνακοσίων ἀποδέουσαι, πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων μιᾶς δέουσαι τετταράκοντα. (3) Πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον, ἐκ δὲ ὧν αὐτὸς προσεκτήσατο τῇ πόλει μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν, ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ f κατασκευαῖς ἀργυρίου καὶ χρυσίου δισμύρια τάλαντα πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων, ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας πεντακοσίας. (4) Αἰχμάλωτοι δ' ἐπομπεύθησαν ἄνευ τῶν ἀρχιπειρατῶν υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναι- 643 κὸς καὶ θυγατρός, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως a γυνὴ Ζωσίμη καὶ βασιλεὺς Ἰουδαίων Ἀριστόβουλος, Μιθριδάτου δὲ ἀδελφὴ καὶ πέντε τέκνα καὶ Σκυθίδες γυναῖκες, Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι καὶ τοῦ Κομμαγηνῶν βασιλέως, καὶ τρόπαια πάμπολλα καὶ ταῖς μάχαις ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. (5) Μέγιστον δὲ ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ τῶν πώποτε Ῥωμαίων γεγονός, ὅτι τὸν τρίτον θρίαμβον ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. Ἐπεὶ τρεῖς γε καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς Ἀσίας b εἰσαγαγὼν τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ἐπῆχθαι θριάμβοις.

XLVI. Ἡλικίᾳ δὲ τότε ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν. Ὡς ὤνητό γε ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος, ἄχρι οὗ τὴν Ἀλε-

graviter tulerunt Pompeii Magni affinitatem ab eo recusari. (3) Interim Pompeius quum Afranium ad consulatum promovere cupiens, civibus in hortum suum venientibus tributim pecuniam divideret, ut eos Afranio conciliaret, ejusque rei fama in vulgus percrebrescente Pompeius male audiret, quod magistratum quem præclarissimis ipse facinoribus uti summum decus meruisset, hominibus qui eum per virtutes assequi non possent, venalem redderet; Cato mulieribus dixit: Horum quoque opprobriorum pars ad nos redundabit necessario, si Pompeii necessarii esse volumus. Quo audito eæ agnoverunt, rectius ipsum honori suo, quam ipsas consuluisse.

XLV. Magnificentiæ autem triumphi tametsi in duos dies divisi tempus non suffecit, sed multa eorum, quæ apparaverat, ista pompa exclusa sunt, et ad alia exornanda spectacula reservata. (2) Inscriptiones in triumpho præferebantur, quibus is de gentibus ageretur indicantes. Erant autem Pontus, Armenia, Cappadocia, Paphlagonia, Media, Colchis, Iberia, Albania, Syria, Cilicia, Mesopotamia, Phœnice, Palæstina, Judæa, Arabia, et piratæ terra marique debellati. Tum castella capta ad mille, urbes haud multo pauciores noningentis, naves piraticæ octingentæ, urbes iterum habitatoribus præditæ undequadraginta. (3) Indicabatur porro inscriptione, antehac in Romanis reditibus fuisse bis millies sestertium, nunc ex his quæ ipse civitati Romanæ subegerit, redire ter millies ac quadringenties sestertium; porro in ærarium inferri nomismate et vasis auri argentique vicies mille talenta, præter ea quæ militibus elargitus fuisset; acceperat autem is, cui pro rata proportione minimum datur, sestertia sex. (4) Captivi ducebantur præter principes piratarum, filius Tigranis Armeniæ regis cum uxore et filia, tum Tigranis senioris uxor Zosime, rex Judæorum Aristobulus, Mithridatis soror et quinque nati ac Scythicæ mulieres; ad hæc Albanorum, Iberorum et Commagenorum regis obsides et ingens tropæorum numerus et numero prœliorum æqualis, ex quibus aut ipse aut legati victoriam reportaverant. (5) Id vero plurimum ad gloriam fecit, quod nulli ante Romanorum contigerat, quod tertium triumphum ex tertia orbis terrarum parte duxit. Quippe ante ipsum quoque inventi sunt qui ter triumpharent, sed Pompeius, qui primum ex Africa, secundum ex Europa, tertium ex Asia duxerat triumphum, quodammodo totum orbem terrarum tribus triumphis subjecisse videbatur.

XLVI. Qui in eo sunt, ut omni ex parte Alexandro similem fuisse ostendant, nondum triginta quattuor annos eum natum fuisse affirmant; accedebat autem, si veritas rei quæritur, jam ad quadragesimum. Qui utinam tum vita defunctus fuisset, dum Alexandri adhuc utebatur fortuna.

ξάνδρου τύχην ἔσχεν· ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους, ἀνηκέστους δὲ τὰς δυστυχίας. (2) Ἣν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει τῆς ἑαυτοῦ δόξης ἀφαιρῶν, ἔλαθε ῥώμῃ καὶ μεγέθει τῆς αὑτοῦ δυνά- c μεως καταλυθείς. Καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστίθησι τὴν αὑτῶν ἰσχύν, οὕτως διὰ τῆς Πομπηίου δυνάμεως Καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. (3) Ἐπράχθη δὲ οὕτως. Λούκουλλος ὡς ἐπανῆλθεν ἐξ Ἀσίας ὑπὸ Πομπηίου περιυβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο καὶ μᾶλλον ἔτι Πομπηίου παραγενομένου κολούουσα τὴν δόξαν, ἤγειρεν ἐπὶ τὴν πολιτείαν. Ὁ δὲ τἆλλα μὲν ἀμβλὺς ἦν ἤδη καὶ κα- d τέψυκτο τὸ πρακτικὸν ἡδονῇ σχολῆς καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς ἑαυτὸν ἐνδεδωκώς, ἐπὶ δὲ Πομπήιον εὐθὺς ἀΐξας καὶ λαβόμενος ἐντόνως αὐτοῦ περί τε τῶν διατάξεων, ἃς ἔλυσεν, ἐκράτει καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ, συναγωνιζομένου Κάτωνος. (4) Ἐκπίπτων δὲ καὶ περιωθούμενος ὁ Πομπήιος ἠναγκάζετο δημαρχοῦσι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις· ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος Κλώδιος ἀναλαβὼν αὐτὸν ὑπέρριψε τῷ δήμῳ καὶ παρ' ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ, καὶ e προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλ' εὐεργετῶν, ὃν ὕστερον ἔλαβε παρὰ Πομπηίου, προέσθαι Κικέρωνα φίλον ὄντα καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. Κινδυνεύοντι γὰρ αὐτῷ καὶ δεομένῳ βοηθείας οὐδὲ εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν ὑπεξῆλθε τῆς Ῥώμης.

XLVII. Τότε δὲ Καῖσαρ ἐλθὼν ἀπὸ στρατείας ἥψατο πολιτεύματος ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήιον ἔβλαψε καὶ τὴν πόλιν. Ὑπατείαν μὲν γὰρ μετῄει πρώ- f την· ὁρῶν δὲ ὅτι, Κράσσου πρὸς Πομπήιον διαφερομένου, θατέρῳ προσθέμενος ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν, πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικόν, αἰτίᾳ δὲ φαύλῃ καὶ μετὰ δεινότητος ὑπ' ἐκείνου συντεθὲν ἐπιβούλως. (2) Ἡ γὰρ ὥσπερ ἐν σκάφει τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πόλεως 644 ἰσχὺς εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία τὴν πάντα a πράγματα καταστασιάσασαν καὶ καταβαλοῦσαν ἀνανταγώνιστον ῥοπὴν ἐποίησεν. Ὁ γοῦν Κάτων τοὺς λέγοντας ὑπὸ τῆς ὕστερον γενομένης πρὸς Καίσαρα Πομπηίῳ διαφορᾶς ἀνατραπῆναι τὴν πόλιν ἁμαρτάνειν ἔλεγεν αἰτιωμένους τὸ τελευταῖον· οὐ γὰρ τὴν στάσιν οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει κακὸν πρῶτον γενέσθαι καὶ μέγιστον. (3) Ἡρέθη μὲν γὰρ ὕπατος Καῖσαρ· εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα κατοικίας πόλεων καὶ νομὰς

Quæ enim subsecuta sunt tempora, et successus ei invidiosos et calamitates insanabiles attulerunt. (2) Etenim quam in urbe potentiam meritis suis adeptus fuerat, ea injuste pro aliis utens, dum suam carpens gloriam vires eorum augeret, non sensit sua se potentia atque magnitudine se ipsum pessumdare. Nempe quo modo munitissimæ arces atque partes urbium hostibus, quum ab iis occupantur, id quod in ipsis erat positum roboris atque præsidii addunt; sic Cæsar Pompeiana potentia elatus ad opprimendam urbem, quibus rebus contra reliquos prævaluit, iisdem Pompeium quoque ipsum evertit. (3) Res ita acta est. Lucullus quum magnis a Pompeio affectus injuriis ex Asia rediisset, splendide eum senatus accepit et magis etiam Pompeii præsentis auctoritatem reprimere studens, hortatus est ut rempublicam capesseret. Ibi tum Lucullus, tametsi jam studium rerum gerendarum remisisset otioque et luxui divitiisque fruendis deditus voluptatem negotiis tractandis anteposuisset, Pompeium adortus constanterque urgens, obtinuit in senatu, ut suæ constitutiones, quas resciderat Pompeius, ratæ haberentur, astipulante præsertim Catone. (4) Pompeius pulsus ac circumscriptus, coactus est ad tribunos plebis juniores confugere, quorum omnium impurissimus atque audacissimus Clodius eum arripuit, populoque submisit, inque foro præter dignitatem ejus obversantem secum rapiens, ad confirmanda ea, quæ ipse in gratiam populi promulgaret aut diceret, opera ejus usus est. Et quidem, quasi non ignominia sed beneficio affecisset, mercedem postulabat, quam et postea obtinuit, quum Ciceronem amicum suum, et qui pro ipso plurima exegisset, in gratiam ejus prodidit. Etenim in periculo versantem auxiliumque petentem, in conspectum admittere non sustinuit, missisque ad se ab eo occludens fores, alio ostio ædibus exiit, ita ut judicii metu Cicero Roma discesserit.

XLVII. Interim Cæsar a bello reversus, rem aggressus est, quæ et tum magnam ipsi gratiam et multum in posterum potentiæ paravit, Pompeio autem civitatique gravissimum damnum attulit. Consulatum enim ambiens primum, quia Crassum cum Pompeio dissentire, atque horum alterutrum se inimicum habiturum sentiebat, ad conciliandos eos invicem animum adjecit. Quod factum honestum alioquin et civile, causam tamen habuit malam, estque ab eo insidiosa calliditate susceptum. (2) Omnis enim reipublicæ vis, quæ ante divisa veluti scapham modo in hoc modo in alterum nutantem latus æquali momento addito libraverat, in unum coacta tantum roboris effecit, cui obsisti porro nequiret, quin totam rempublicam everteret. Quapropter Cato dicentibus dissensione Cæsaris et Pompeii quæ post incessit, civitatem pessumdari, respondit male eos judicare qui extremum culpent; non enim eorum dissidium et inimicitiam, sed coitionem atque concordiam primum maximumque reipublicæ damnum dedisse. (3) Ceterum Cæsar consul creatus, illico egenos civium adulans, legem de coloniis de-

ἀγρῶν ἔγραφεν, ἐκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιστάς. Ἐναντιουμένου δὲ τοῦ συνάρχοντος αὐτῷ Βύβλου καὶ Κάτωνος b ὡς ἐῤῥωμενέστατα τῷ Βύβλῳ παρεσκευασμένου βοηθεῖν, προαγαγὼν ὁ Καῖσαρ ἐπὶ τοῦ βήματος Πομπήιον ἐμφανῆ καὶ προσαγορεύσας ἠρώτησεν, εἰ τοὺς νόμους ἐπαινοίη· τοῦ δὲ συμφήσαντος, « Οὐκοῦν, εἶπεν, ἄν τις τοὺς νόμους βιάζηται, εἰς τὸν δῆμον ἀφίξῃ βοηθῶν; » « Πάνυ μὲν οὖν, ἔφη ὁ Πομπήιος, ἀφίξομαι πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη μετὰ ξίφους καὶ θυρεὸν κομίζων. » (4) Τούτου Πομπήιος οὐδὲν οὔτε εἰπεῖν οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον ἔδοξεν, ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι φάσκοντας ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. Τοῖς μέντοι μετὰ ταῦτα πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν τῷ Καίσαρι χρήσασθαι παραδεδωκώς. c Ἰουλίαν γὰρ τὴν Καίσαρος θυγατέρα Καιπίωνι καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν ὀλίγων ἡμερῶν, οὐδενὸς ἂν προσδοκήσαντος, ἔγημε Πομπήιος, μείλιγμα Καιπίωνι τῆς ὀργῆς τὴν ἑαυτοῦ θυγατέρα καταινέσας Φαύστῳ τῷ παιδὶ Σύλλα πρότερον ἐγγεγυημένην. Αὐτὸς δὲ Καῖσαρ ἔγημε Καλπουρνίαν τὴν Πείσωνος.

XLVIII. Ἐκ δὲ τούτου Πομπήιος ἐμπλήσας στρατιωτῶν τὴν πόλιν ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βύβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λουκούλλου καὶ Κάτωνος ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδους, αὐτοῦ δέ τις κοπρίων κόφινον d κατὰ κεφαλῆς τοῦ Βύβλου κατεσκέδασε, δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. (2) Οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν ἐρημώσαντες ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος εἰς πᾶσαν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει καὶ κατάντης πρᾶξιν, οὐδὲν πολυπραγμονῶν, ἀλλ' ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. (3) Ἐκυρώθησαν οὖν Πομπηίῳ μὲν αἱ διατάξεις, ὑπὲρ ὧν Λούκουλλος ἤριζε, Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν καὶ Ἰλλυριοὺς εἰς πενταετίαν καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν, ὑπάτους δὲ εἰς τὸ μέλλον εἶναι Πείσωνα τὸν Καίσαρος πενθερὸν καὶ e Γαβίνιον, ἄνδρα τῶν Πομπηίου κολάκων ὑπερφυέστατον. (4) Πραττομένων δὲ τούτων Βύβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ' ἐξέπεμψε διαγράμματα βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας, Κάτων δὲ ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ τῷ Πομπηίῳ προηγόρευε, Λούκουλλος δὲ ἀπειπὼν ἡσυχίαν ἦγεν ὡς οὐκέτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ Πομπήιος ἔφη, γέροντι τὸ τρυφᾶν ἀωρότερον εἶναι τοῦ πολιτεύε- f σθαι.. (5) Ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης ἔρωτι καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ τῶν κατ' ἀγορὰν πραττομένων, ὥστε καὶ Κλώδιον αὐτοῦ καταφρονῆσαι δημαρχοῦντα τότε καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. (6) Ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα καὶ Κάτωνα

ducendis agrisque dividendis tulit, imminuta magistratus majestate, quum de consulatu tribunatum plebis quodammodo faceret. Repugnante Bibulo collega, eique summa vi opitulari Catone aggresso, palam ad rostra Pompeium produxit, nominatimque compellatum interrogavit, easne leges probaret; annuentique : At si quis, inquit, vim legibus istis faciet, nonne plebi auxilium feres? Utique, respondit Pompeius, adero et contra eos qui gladios minantur, cum gladio clypeum quoque afferam. (4) Nihil ad eum usque diem insolentius Pompeius neque dixisse neque egisse visus fuit, adeoque amici ejus excusare aggressi, excidisse ei ex tempore id dictum asseruerunt. Sed quæ postea fecit, satis ostenderunt eum Cæsari se totum utendum tradidisse. Juliam enim Cæsaris filiam, Cæpioni jam desponsatam, paucis ante nuptiis destinatum tempus diebus præter omnium exspectationem duxit, Cæpionis indignationem conjugii filiæ suæ, quæ ante Fausto Syllæ filio pacta fuerat, promissione leniens. Ipse autem Cæsar Calpurniam Pisonis filiam duxit.

XLVIII. Proinde Pompeius urbe militibus repleta, vi omnium rerum potestatem tenuit. Hi enim Bibulum consulem cum Lucullo et Catone in forum prodeuntem subito invadentes, fasces ejus perfregerunt, et quidam corbem stercore repletam in Bibuli caput effudit; duo etiam tribuni plebis eum comitantes sauciati sunt. (2) Ita adversariis foro pulsis, legem agrariam pertulerunt; qua inescatus populus ad omnia se iis promptum ac præcipitem præbuit, ut nihil inquireret, sed tacitus omnibus eorum decretis suo suffragio subscriberet. (3) Confirmatæ proinde sunt constitutiones Pompeianæ, de quibus cum Lucullo ei lis fuerat; decretum etiam, ut Cæsar cum quattuor legionibus utramque Galliam et Illyricum per quinquennium obtineret, consulesque in sequentem annum designati Piso Cæsaris socer et Gabinius, Pompeii asseclarum princeps. (4) His actis Bibulus domi suæ se continuit, octoque integris sui consulatus mensibus in publicum non prodiit, emissis quibus utrunque traduceret atque accusaret edictis; Cato autem veluti afflatus numine divino in senatu quæ Pompeio essent civitatique eventura prædixit; Lucullus rebus deploratis in otium se dedit, tempus ad rempublicam gerendam suum se exegisse causatus; quum quidem Pompeius dixit, senem intempestivius voluptati quam rebus publicis vacare. (5) Atque hic ipse tamen Juliæ amore statim emollitus, illique uni studens, plerumque in villis aut hortis suis agitabat una, neglectis rebus forensibus, adeo ut Clodius tum tribunus plebis audacissima facinora ipso spreto conatus sit. (6) Nam

προφάσει στρατηγίας εἰς Κύπρον ἀπέπεμψε, Καίσαρος 645 εἰς Γαλατίαν ἐξεληλακότος, αὐτῷ δὲ προσέχοντα τὸν δῆ- a μον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς ἐπεχείρει τῶν Πομπηίου διατάξεων ἐνίας ἀναιρεῖν καὶ Τιγράνην τὸν αἰχμάλωτον ἀφαρπάσας εἶχε σὺν αὐτῷ καὶ τοῖς φίλοις δίκας ἐπῆγε, πεῖραν ἐν ἐκείνοις τῆς Πομπηίου λαμβάνων δυνάμεως. (7) Τέλος δέ, προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ' αὑτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστόν, αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς ἐρωτήματα τοιαῦτα προὔβαλε· « Τίς ἐστιν αὐτοκράτωρ ἀκόλαστος; » « Τίς ἀνὴρ ἄνδρα ζητεῖ; » « Τίς ἑνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν; » οἱ δέ, ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεκροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ' ἑκάστῳ b μέγα βοῶντες ἀπεκρίναντο· « Πομπήιος. »

XLIX. Ἠνία μὲν οὖν καὶ ταῦτα Πομπήιον ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα καὶ μάχης τοιαύτης ἄπειρον· ἤχθετο δὲ μᾶλλον αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ καὶ διδόντι δίκην τῆς Κικέρωνος προδοσίας. (2) Ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι καὶ Κλωδίου τις οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν Πομπήιον ἠλέγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιώς, οὐκέτι προῆλθεν εἰς ἀγοράν, ὅσον ἐκεῖνος ἦρχε χρόνον, ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος c μετὰ τῶν φίλων, ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. (3) Κουλλέωνι μὲν οὖν κελεύοντι τὴν Ἰουλίαν ἀφεῖναι καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς Καίσαρος φιλίας οὐ προσέσχε, τοῖς δὲ Κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον καὶ τῇ βουλῇ προσφιλέστατον, ἐπείσθη· καὶ προαγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ γενομένων καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου. (4) Καὶ νόμῳ κατελθὼν ὁ Κικέρων τήν τε βουλὴν εὐθὺς τῷ Πομπηίῳ διήλλαττε καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν d τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης, ὅσην ἐκέκτηντο Ῥωμαῖοι, κύριον ἐποίει Πομπήιον· ἐπ' αὐτῷ γὰρ ἐγίνοντο λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις, ἑνὶ λόγῳ, τὰ τῶν πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. (5) Κλώδιος δὲ ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν, ἀλλ' ὅπως ὁ νόμος γραφείη γεγονέναι τὴν σιτοδείαν, ὥσπερ ἐκ λειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαμβάνοντος. Ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο σόφισμα κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπήιον, ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. (6) Οὐ μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε e δημαρχῶν νόμον, ἄνευ στρατιᾶς Πομπήιον ἔχοντα ῥαβδούχους δύο διαλλάττειν Ἀλεξανδρεῦσι τὸν βασιλέα. Καὶ Πομπήιος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν, ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. Ἦν δὲ γράμμασιν ἐντυχεῖν διερριμμέ-

posteaquam Ciceronem urbe exturbavit atque in Cyprum belli gerendi simulatione amandavit Catonem, Cæsare in Galliam profecto, quum populum sibi omnia in vulgi gratiam agenti deditum esse animadverteret, continuo aggressus est quasdam Pompeii constitutiones convellere. Itaque et Tigranem captum abripiens secum tenuit et amicos Pompeianos in jus traxit, vires Pompeii in eis periclitans. (7) Tandem quum judicii cujusdam causa processisset in publicum Pompeius, parata hominum petulantium impurorumque manu, loco conspicuo ipse constitit, atque ita quæsivit: Quisnam imperator est impudicus? quis vir virum deperit? quis uno digito caput scabit? ad hæc illi, veluti chorus ad respondendum alternis instructus, ipso togam concutiente ad singulas quæstiones respondere: Pompeius.

XLIX. Hæc etsi Pompeius ægre ferebat, male audire non assuetus et hujusmodi certaminum imperitus, majorem tamen ex eo capiebat molestiam, quod sentiret senatui pergratum esse ipsum contumelia affici, proditique Ciceronis pœnas dare. (2) Sed ubi in foro ad vulnera usque certatum est et quidam Clodianorum per turbam Pompeium circumstantem obrepens gladio armatus esse compertus est, hoc usus prætextu, quum alioqui petulantiam et maledicentiam Clodii formidaret, domi sese omni eo tempore, quod Clodiano tribunatui supererat, continuit, cum amicis deliberans quanam ratione senatus optimatiumque iram placaret. (3) Et Culleoni quidem Juliam dimittere atque ab amicitia Cæsaris ad senatum redire jubenti non paruit, Ciceronem Clodio infestissimum et senatui carissimum ut reduceret hortantibus obtemperavit; productoque in forum supplice illius fratre cum magno hominum agmine, manibus in foro consertis et sauciatis multis, nonnullis etiam cæsis, Clodium vicit, legemque de revocando Cicerone obtinuit. (4) In urbem reversus Cicero, confestim Pompeium in gratiam cum Senatu reposuit, legemque frumentariam defendens rursus quodammodo terræ marisque imperium populus Romanus Pompeio tradidit, in potestatem ejus dando portus, emporia, fructuum venditiones et emptiones, denique et navigantium et terram colentium negotia. (5) Clodius sane non eo, quod annona deficeret, latam eam legem, sed penuriam invectam, ut occasio esset legis ferendæ, per quam quasi ex animi defectu languens jam ejus potentia novo imperio vires reciperet, causabatur. Alii Spintheris consulis artificium fuisse affirmant, Pompeio majus imperium deferentis, ut ipse Ptolemæo regi opitulatum mitteretur. (6) Et tamen Canidius tribunus plebis rogationem promulgavit, uti Pompeius cum duobus lictoribus et absque omni exercitu Ptolomæum Alexandrinis reconciliaret. quod quum non inique pati Pompeius videretur, senatus tamen honesta præscriptione metuere se ei viro, irritum fecit. Repertæ

νοις κατ' ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον, ὡς δὴ Πτολεμαίου δεομένου Πομπήιον αὐτῷ στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. (7) Τιμαγένης δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα πράττοντος Πομπηίῳ χρηματισμοὺς καὶ στρατηγίας καινῆς ὑπόθεσιν. Ἀλλὰ τοῦτο μὲν οὐχ οὕτως ἡ Θεοφάνους f μοχθηρία πεποίηκε πιθανὸν, ὡς ἄπιστον ἡ Πομπηίου φύσις οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.

L. Ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ φίλους, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδόνα 666 καὶ Λιβύην ἤθροιζε σῖτον. Ἀνάγεσθαι δὲ μέλλων, a πνεύματος μεγάλου κατὰ θάλατταν ὄντος καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν αἴρειν ἀνεβόησε· « Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη. » Τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς ἐνέπλησε σίτου τὰ ἐμπόρια καὶ πλοίων τὴν θάλασσαν, ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις ἐπαρκέσαι τὴν περιουσίαν ἐκείνης τῆς παρασκευῆς καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς ἄφθονον ἀποῤῥοὴν εἰς πάντας.

LI. Ἐν τούτῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι Καίσαρα· καὶ δοκῶν ποῤῥωτάτω τῆς Ῥώμης ἀπεῖναι καὶ συνηρτῆσθαι Βέλγαις καὶ Σουήβοις καὶ Βρεττανοῖς, ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ b καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν Πομπήιον. (2) Αὐτὸς μὲν γὰρ ὡς σῶμα τὴν στρατιωτικὴν δύναμιν περικείμενος οὐκ ἐπὶ τοὺς βαρβάρους, ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις τοῖς πρὸς ἐκείνους ἀγῶσι γυμνάζων διεπόνει καὶ κατεσκεύαζεν ἄμαχον καὶ φοβερὰν, χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἄλλα λάφυρα καὶ τὸν ἄλλον πλοῦτον τὸν ἐκ πολέμων τοσούτων περιγενόμενον εἰς τὴν Ῥώμην ἀποστέλλων καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις καὶ γυναιξὶν αὐτῶν ᾠκειοῦτο πολλούς· ὥστε ὑπερβαλόντος αὐτοῦ τὰς Ἄλπεις καὶ διαχειμάζοντος c ἐν Λούκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἁμιλλωμένων καὶ φερομένων πολὺ πλῆθος γενέσθαι, συγκλητικοὺς δὲ διακοσίους, ἐν οἷς καὶ Πομπήιος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ στρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδους ἐπὶ ταῖς Καίσαρος θύραις ὀφθῆναι. (3) Τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέστελλε, Κράσσῳ δὲ καὶ Πομπηίῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι, μετιέναι μὲν ὑπατείας ἐκείνους καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον, ἐπὰν δὲ αἱρεθῶσι τάχιστα, πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων ἡγεμονίας, Καίσαρι δὲ τὰς οὔσας βεβαιοῦν εἰς ἄλλην d πενταετίαν. (4) Ἐπὶ τούτοις ἐξενεχθεῖσιν εἰς τοὺς πολλοὺς χαλεπῶς ἔφερον οἱ πρῶτοι, καὶ Μαρκελλῖνος ἐν τῷ δήμῳ καταστὰς ἀμφοῖν ἐναντίον ἠρώτησεν, εἰ μετίασιν ὑπατείαν. Ὧ καὶ τῶν πολλῶν ἀποκρίνασθαι κελευόντων, πρῶτος Πομπήιος εἶπεν, ὡς τάχα μὲν δὴ μετέλθοι,

etiam sparsim in foro et pone curiam literas, Ptolemæum pro Spinthere Pompeium poscere asserentes. (7) Timagenes Ptolemæum nulla coactum necessitate Ægypto cessisse, sed a Theophane persuasum narrat, qui Pompeio pecuniæ faciendæ novorumque imperiorum materiam procuraret. Id non tam probabilé Theophanis malitia facit, quam incredibile Pompeii natura, nequaquam ita malitiose et illiberaliter ambitiosi.

L. Ceterum rei frumentariæ procurationi præfectus, dimissis in varias partes legatis atque amicis, ipse in Siciliam, Sardiniam et Africam navigavit et frumentum coegit. Inde Romam versus quum vellet solvere, gubernatoribus ob magnitudinem venti mari incumbentis trepidantibus, primus in navim ingressus ancoram attrahi jussit: Navigandum est necessario, non necessario vivendum, inquiens. Hujusmodi audacia et alacritate prosperaque simul usus fortuna, frumento emporia, mare navibus implevit, ita ut externis quoque hominibus is apparatus copiam rerum suffecerit, veluti ex fonte in omnes exundantem.

LI. Interim Gallica bella Cæsarem ad magnam potentiam evexerunt, quum qui longissime ab urbe cum Belgis, Suevis et Britannis videretur concertare, is astute, neque animadvertentibus aliis, interim in medio populi summisque rebus artibus suis præsens Pompeium everteret. (2) Namque Cæsar bellica potentia, veluti persona, tectus, corpus suum certaminibus contra barbaros, veluti venationibus exercebat, neque id tam adversus barbaros, quam uti potentiam suam invictam omnibusque terribilem efficeret. Aurum vero argentumque et spolia opesque tot bellis partas ingentes Romam mittens, muneribus ac sumptuum suppeditatione ædiles, prætores, consules, uxoribus quoque eorum dona largiendo, corrumpebat. Ideo quum transgressus Alpes Lucæ hiemaret, magna virorum mulierumque certatim ad ipsum confluentium multitudo fuit, senatores ducenti, interque hos Pompeius et Crassus et proconsulum prætorumque centum et viginti fasces ante fores Cæsaris conspecti. (3) Ibi Cæsar quum reliquos omnes spe et pecunia onustos a se dimisisset, cum Crasso et Pompeio ita pepigit, ut hi consulatum peterent et ipse multis ad suffragia ferenda missis militibus eorum petitionem adjuvaret, simul atque vero consules designati essent, provincias sibi ipsis et exercitus decerni curarent, ipsi autem Cæsari imperii quod obtinebat prorogationem in alind quinquennium. (4) Hæc postquam innotuerunt in vulgus, graviter proceres reipublicæ offenderunt, et Marcellinus coram populo utrumque percontatus est, petiturine essent consulatum. Ad quod quum multitudo respondere juberet, fortassis petiturum se,

τάχα δὲ οὐκ ἂν μετέλθοι, Κράσσος δὲ πολιτικώτερον· οὕτω γὰρ ἔφη πράξειν, ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. (5) Ἐπιφυομένου δὲ Πομπηίῳ Μαρκελλίνου καὶ σφοδρῶς λέγειν δοκοῦντος, ὁ Πομπήιος ἔφη, πάντων ἀδικώτατον εἶναι τὸν Μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει λόγιος μὲν ἐξ ἀφώνου δι' αὐτὸν, ἐμετικὸς δ' ἐκ πεινατικοῦ e γενόμενος.

LII. Οὐ μὴν ἀλλὰ τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν ὑπατείαν, Λεύκιον Δομίτιον Κάτων ἔπεισε καὶ παρεθάρρυνε μὴ ἀπειπεῖν· οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. (2) Οἱ δὲ περὶ τὸν Πομπήιον φοβηθέντες τὸν τόνον τοῦ Κάτωνος, μὴ τὴν βουλὴν ἔχων ἅπασαν ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν Δομίτιον, ἀλλ' ἐπιπέμψαντες ἐνόπλους ἄνδρας ἀπέκτειναν μὲν τὸν προηγούμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τοὺς ἄλλους· f ἔσχατος δὲ Κάτων ἀνεχώρησε τρωθεὶς τὸν δεξιὸν πῆχυν ἀμυνόμενος πρὸ τοῦ Δομιτίου. (3) Τοιαύτῃ δὲ ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχὴν οὐδὲ τἄλλα κοσμιώτερον ἔπραττον. Ἀλλὰ πρῶτον μὲν, τὸν Κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου καὶ τὴν ψῆφον ἐπιφέροντος, Πομπήιος ἔλυσε τὴν ἐκκλησίαν οἰωνοὺς αἰτιώμενος, ἀντὶ δὲ Κάτωνος Βατίνιον ἀνηγόρευσαν ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. (4) Ἔπειτα νόμους διὰ Τρεβωνίου 64 δημαρχοῦντος εἰσέφερον, Καίσαρι μὲν, ὥσπερ ὡμολόγητο, a δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ δὲ Συρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας, αὐτῷ δὲ Πομπηίῳ Λιβύην ἅπασαν καὶ Ἰβηρίαν ἑκατέραν καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο Καίσαρι δεηθέντι πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. (5) Ἀλλὰ Κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν ἀπαλλαγεὶς τῆς ὑπατείας, Πομπήιος δὲ τὸ θέατρον ἀναδείξας ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει καὶ θηρῶν ἁμίλλας, ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν, ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα, παρέσχεν.

LIII. Ἐπὶ τούτοις δὲ θαυμαστωθεὶς καὶ ἀγαπηθεὶς b αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας αὐτὸς ἐν τοῖς περὶ τὴν Ἰταλίαν ἡβητηρίοις μετιὼν ἄλλοτε ἀλλαχόσε μετὰ τῆς γυναικὸς διῆγεν, εἴτ' ἐρῶν αὐτῆς εἴτε ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν· καὶ γὰρ καὶ τοῦτο λέγεται. (2) Καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον οὐ καθ' ὥραν ποθούσης τὸν Πομπήιον, ἀλλ' αἴτιον ἔοικεν ἥ τε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι μόνην γινώσκοντος τὴν γεγαμημένην, ἥ τε σεμνότης οὐκ ἄκρατον, ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν καὶ μάλιστα γυναικῶν ἀγωγὸν, εἰ δεῖ μηδὲ Φλώραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. (3) Ἐν γοῦν ἀγορανομικοῖς c ἀρχαιρεσίοις εἰς χεῖράς τινων ἐλθόντων καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλίγων ἀναπλησθεὶς αἵματος ἤλλαξε τὰ ἱμάτια. Πολλοῦ δὲ θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων

fortassis non petiturum Pompeius dixit; civilius Crassus: facturum se quod ex usu reipublicæ judicasset. (5) Pompeius autem quum a Marcellino vehementi oratione esset notatus, injustissimum esse eum hominem respondit, qui ab ipso loquax de muto et vomens de famelico factus gratiam non haberet.

LII. Enimvero omnibus a petitione consulatus abstinentibus, L. Domitio persuasit Cato, ne eam rem desperaret; non enim de magistratu, sed pro libertate contra tyrannos certamen fore. (2) Sed Pompeius vehementiam Catonis timens, ne is senatum universum a sua parte habens, quod sanum erat populi in suam pertraheret sententiam; Domitio ad forum descendenti armatos immisit, qui, servo lucernam præferente occiso, reliquos in fugam conjecerunt; quorum novissimus recessit Cato, dextrum cubitum dum pro Domitio propugnat sauciatus. (3) Hoc modo consulatu potiti Pompeius et Crassus, nihilo se moderatiores deinceps gesserunt. Primum Catoni præturam populo decernente et suffragia ineunte, Pompeius de cœlo ostentum factum causatus concionem solvit; inde corruptis pecunia tribubus, pro Catone Vatinium prætorem constituerunt. (4) Deinde leges Trebonii tribuni plebis opera promulgarunt, Cæsari, uti pacti fuerant, aliud quinquennium, Crasso Syriam et bellum Parthicum, Pompeio universam Africam, Hispanias, quattuorque, ex quibus duas roganti Cæsari ad bellum Gallicum utendas dedit, legiones decernentes. (5) Et Crassus quidem omisso consulatu statim in provinciam abiit, Pompeius autem, exstructo theatro, in ejus dedicatione gymnica et musica certamina edidit, venationesque in quibus quingenti leones interfecti sunt, itemque pugnam elephantorum, maxime horrendum spectaculum.

LIII. Propter hæc in admiratione habitus et dilectus ab omnibus, eo tamen haud leviorem sibi invidiam paravit, quod exercitum et provincias amicis suis legatis mandans, ipse per amœna Italiæ loca obambulans modo hic, modo alibi cum uxore degeret, sive amore ejus captus, sive amantem sui uxorem deserere non sustinens. (2) Nam et hoc fertur, et Juliæ insignis in maritum Pompeium præter ætatis rationem amor celebratur; cui causam præbuisse videtur continentia viri, nullius præter uxorem notitiam habentis, et gravitas, consuetudine non immodica, sed gratiosa et mulierum animos apprime trahenti utentis, si quidem etiam Floræ testimonio habenda est fides. (3) Comitiis sane ædiliciis conflictu circa se orto et cæsis haud paucis, sanguine conspersus vestem mutavit Pompeius. Cruentam vero quum servi cursim et cum tumultu domum refer-

τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ καθῃμαγμένην τὴν τήβεννον ἐξέλιπε καὶ μόλις ἀνήνεγκεν, ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν. Ὅθεν οὐδὲ οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καίσαρα Πομπηίου φιλίαν ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός. Αὖθις μέντοι κυήσασα καὶ d τεκοῦσα θῆλυ παιδίον ἐκ τῶν ὠδίνων ἐτελεύτησε καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε. (4) Παρεσκευασμένου δὲ τοῦ Πομπηίου τὸ σῶμα θάπτειν ἐν Ἀλβανῷ, βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον πεδίον κατήνεγκεν οἴκτῳ τῆς κόρης μᾶλλον ἢ Πομπηίῳ καὶ Καίσαρι χαριζόμενος. Αὐτῶν δὲ ἐκείνων μεῖζον ἐδόκει μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος ἢ Πομπηίῳ παρόντι τῆς τιμῆς. (5) Εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικούς, ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. (6) Μετ' οὐ πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις e ἀπολωλὼς ἠγγέλλετο, καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον ἐκποδὼν ἐγεγόνει· δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι τοῖς πρὸς ἀλλήλους ἀμωσγέπως ἐνέμενον δικαίοις. Ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν·

Ὡς ἅτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται,
τὼ χεῖρέ θ' ὑποκονίεται.

(7) Οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. Οὐ γὰρ ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυεῖν ἀνδροῖν οὐκ ἐπέσχεν, ἀλλ' ἀκούοντες καὶ ἀναγινώσκοντες, ὅτι τριχθὰ δὲ πάντα δέδασται τοῖς θεοῖς, ἕκαστος δ' f ἔμμορε τιμῆς, ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν οὖσι τὴν Ῥωμαίων ἀρχήν.

LIV. Καίτοι Πομπήιος εἶπέ ποτε δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον ἢ προσεδόκησε καὶ κατάθοιτο 648 θᾶττον ἢ προσεδοκήθη. Καὶ νὴ Δία μαρτυρούσας a εἶχεν ἀεὶ τὰς διαλύσεις τῶν στρατοπέδων. Τότε δὴ τὸν Καίσαρα δοκῶν οὐ προήσεσθαι τὴν δύναμιν ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς ὀχυρὸς εἶναι πρὸς αὐτόν, ἄλλο δὲ οὐδὲν ἐνεωτέριζεν οὐδὲ ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον καὶ καταφρονεῖν. (2) Ἐπεὶ δὲ τὰς ἀρχὰς οὐ κατὰ γνώμην ἑώρα βραβευομένας, δεκαζομένων τῶν πολιτῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γενομένην· καὶ λόγος εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτορος, ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε Λουκίλλιος ὁ δήμαρχος τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτορα Πομπήιον. Ἐπιλαβομένου δὲ τοῦ Κάτωνος, οὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν, ὑπὲρ δὲ Πομπηίου πολλοὶ τῶν φίλων ἀπελογοῦντο παριόντες b ὡς οὐ δεομένου τῆς ἀρχῆς ἐκείνης οὐδὲ βουλομένου. (3) Κάτωνος δὲ Πομπήιον ἐπαινέσαντος καὶ προτρεψαμένου τῆς εὐκοσμίας ἐπιμεληθῆναι, τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη καὶ κατεστάθησαν ὕπατοι Δομίτιος καὶ Μεσάλας, ὕστερον δὲ πάλιν ἀναρχίας γινομένης

rent, Julia tum prægnans veste conspecta animi deliquium passa est ægreque ad se rediit, isque adeo terror abortus ei causa fuit. Itaque qui amicitiam Pompeii cum Cæsare maxime improbarent, amorem tamen erga uxorem non culpabant. Iterum gravida facta, filiolam enixa e doloribus partus exspiravit, ac filiolæ paucis post diebus mors subsecuta est. (4) Quum in Albano conjugem sepelire Pompeius statuisset, populus vi eum coegit in campum Martium funus ducere, magis adeo miseratione Juliæ, quam in Pompeii Cæsarisve gratiam, tametsi ex illis ipsis majorem honoris partem populus absenti Cæsari quam Pompeio præsenti visus est detulisse. (5) Statim enim a morte Juliæ civitas fluctuabat, omnibusque in rebus æstus sermonesque ad dissidium facientes exsistebant, affinitate, quæ eatenus occultaverat magis eorum virorum quam inhibuerat principatus cupiditatem, sublata. (6) Neque diu post Crassum apud Parthos periisse renuntiatum est, atque hunc etiam magnum belli civilis obicem remotum esse apparebat. Quippe antea uterque hujus metu, utcunque pactis inter sese steterant. Sed ubi fortuna eum, qui certaminis eorum inspector victori imminebat, sustulit, statim licuit comici poetæ illud usurpare:

Adversus alterum alter hic inungitur,
hauritque manibus pulverem.

(7) Usque adeo fortuna nihil est ad naturam. Neque enim ejus potest cupiditatem implere, quando hos duos viros tanta moles tantaque amplitudo imperii cohibere non potuit, qui quum legendo et auditu percepissent inter ipsos deos *trifariam omnia divisa esse* et *quemque accepisse honorem*, sibi duobus sufficere Romanum imperium non putaverunt.

LIV. Et quidem in concione aliquando dixerat Pompeius, se magistratum omnem exspectatione citius accepisse, aliorumque exspectatione citius deposuisse. Et profecto ejus rei testimonium habuit, quod semper exercitus statim dimisit. Tunc igitur Cæsarem intelligens non dimissurum copias, in eo fuit ut civilibus magistratibus se adversus eum muniret: novi præterea nihil moliebatur, neque diffidere socero, sed eum contemnere videri volebat. (2) Post ubi magistratus non pro sua sententia conferri vidit, corruptis largitione civibus, passus est civitatem sine magistratibus esse, statimque de dictatore mentio frequens per urbem vagata est. Hanc primus publice facere ausus est Lucilius tribunus plebis, populo suadens, uti Pompeium diceret dictatorem, et Catone repugnante parum abfuit quin tribunatum amitteret. Multi autem Pompeii amici se obtulerunt, excusantes eum neque expetere eum magistratum, neque esse accepturum. (3) Quum Cato Pompeium laudasset atque hortatus esset, ut pristinum reipublicæ ordinem revocaret, tunc pudore motus effecit uti consules crearentur Domitius et Messala. Paulo post iterum interregno exsistente, multique jam dictatoris mentionem impudentius

καὶ πλειόνων ἤδη τὸν περὶ τοῦ δικτάτορος λόγον ἐγειρόντων, ἰταμώτερον φοβηθέντες οἱ περὶ Κάτωνα, μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ Πομπηίῳ προέμενοι νόμιμον ἀποτρέψαι τῆς ἀκράτου καὶ τυραννικῆς ἐκείνης. (4) Καὶ Βύϐλος ἐχθρὸς ὢν Πομπηίῳ πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ, Πομπήιον μόνον c ἑλέσθαι ὕπατον· ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρούσης τὴν πόλιν ἀκοσμίας ἢ δουλεύσειν τῷ κρατίστῳ. Φανέντος δὲ παραδόξου τοῦ λόγου διὰ τὸν εἰπόντα, Κάτων ἀναστὰς καὶ παρασχὼν δόκησιν, ὡς ἀντιλέξοι, γενομένης σιωπῆς, εἶπε τὴν προκειμένην γνώμην αὐτὸς μὲν οὐκ ἂν εἰσενεγκεῖν, εἰσενηνεγμένῃ δὲ ὑφ᾽ ἑτέρων πείθεσθαι κελεύειν, πᾶσαν μὲν ἀρχὴν μᾶλλον αἱρούμενος ἀναρχίας, Πομπηίου δὲ μηδένα βέλτιον ἄρξειν ἐν ταραχαῖς τηλικαύταις νομίζων. (5) Δεξαμένης δὲ τῆς βουλῆς καὶ ψηφισαμένης, ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήιος ἄρχοι μόνος, εἰ δὲ αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον d δυεῖν μηνοῖν δοκιμάσας ἕλοιτο, κατασταθεὶς οὕτως καὶ ἀποδειχθεὶς διὰ Σουλπικίου μεσοβασιλέως ὕπατος, ἠσπάζετο φιλοφρόνως τὸν Κάτωνα πολλὴν ὁμολογῶν χάριν ἔχειν καὶ παρακαλῶν γίνεσθαι σύμβουλον ἰδίᾳ τῆς ἀρχῆς. Κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν Πομπήιον οὐκ ἠξίου· δι᾽ ἐκεῖνον γὰρ ὧν εἶπεν οὐδὲν εἰπεῖν, διὰ δὲ τὴν πόλιν· ἔσεσθαι δὲ σύμβουλος ἰδίᾳ παρακαλούμενος, ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν τὸ φαινόμενον. Τοιοῦτος μὲν οὖν Κάτων ἐν πᾶσι.

LV. Πομπήιος δὲ παρελθὼν εἰς τὴν πόλιν ἔγημε Κορνηλίαν θυγατέρα Μετέλλου Σκηπίωνος, οὐ παρθένον e, ἀλλὰ χήραν ἀπολελειμμένην νεωστὶ Ποπλίου τοῦ Κράσσου παιδὸς, ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν Πάρθοις τεθνηκότος. Ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα δίχα τῶν ἀφ᾽ ὥρας. Καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο καὶ περὶ λύραν καὶ γεωμετρίαν καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν· καὶ προσῆν τούτοις ἦθος ἀηδίας καὶ περιεργίας καθαρὸν, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα· πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. (2) Ἀλλ᾽ ὅμως τοῦ γάμου τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ᾽ ἡλικίαν· υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν ἡ Κορνηλία μᾶλλον· οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι f τὸν Πομπήιον, ἐν τύχαις οὔσης, ὧν ἐκεῖνον ἰατρὸν ᾕρηται καὶ μόνῳ παραδέδωκεν αὑτήν· ὁ δὲ στεφανοῦται καὶ θύει γάμους αὐτὴν τὴν ὑπατείαν ὀφείλων 694 ἡγεῖσθαι συμφορὰν οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν a, εὐτυχούσης τῆς πατρίδος. (3) Ἐπεὶ δὲ ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστὰς καὶ νόμους γράψας, καθ᾽ οὓς αἱ κρίσεις ἐγίγνοντο, τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν αὐτοῦ προκαθημένου μεθ᾽ ὅπλων τοῖς δικαστηρίοις παρέχων, Σκηπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τριακοσίους δικαστὰς ἐνέτυχε βοηθεῖν, ὁ δὲ κατήγορος ἀπέστη τῆς δίκης ἰδὼν τὸν Σκηπίωνα

referentibus, veritus Cato et qui idem sentiebant, ne id vi a se extorqueretur, statuerunt legitimum aliquem magistratum Pompeio tradere, eaque ratione eum ab immodica illa et tyrannica potentia avertere. (4) Ac Bibulus, Pompeio inimicus, in senatu primus omnium sententiam dixit, Pompeium sine collega consulem esse creandum; ita enim aut civitatem præsenti confusione liberatum iri, aut servituram præstantissimo. Ea quum propter auctorem absurda videretur sententia, Cato assurgens, quum contra dicturi opinionem de se præbuisset, facto silentio, se quidem istius sententiæ auctorem nunquam fuisse futurum dixit, sed prolatæ ab aliis parendum censere; quemvis enim magistratum nullo sibi potiorem videri, neque esse quem Pompeio rectius istis in tumultibus reipublicæ posse præesse sentiat. (5) Quæ sententia ubi est a senatu approbata decretumque uti Pompeius consul solus magistratum gerat, aut si collegam requirat, ne eum ante duorum mensium exitum deligat; ita a Sulpicio interrege consul creatus, peramice Catonem salutavit, fassusque se magnam ipsi gratiam debere, hortatus est ut privatim consiliarius sibi esse vellet. Ad hæc Cato: non esse sibi gratias agendas; non enim Pompeii, sed civitatis causa se dixisse sententiam; privatim autem se vocatum, consilia communicaturum; sin vero, publice quod ex usu fore putaret dicturum. Talis omnino fuit Cato.

LV. Ceterum Pompeius ut in urbem venit, Corneliam Scipionis Metelli filiam uxorem duxit, morte P. Crassi (huic enim virgo nupserat) in Parthis nuper interfecti viduam. Erant ei juvenculæ multæ præter formam amoris illecebræ, ut quæ litteras, canere fidibus, ac geometriam probe nosset, et cum fructu philosophos audire consuevisset; aberant quoque ea vitia, quæ ex hujusmodi studiis juniores mulieres contrahere solent, morositas et curiositas. Pater et genere et gloria erat minime contemnendus. (2) Verumtamen nuptias istas eo nomine quidam improbabant, quod aliena ætate essent contractæ, quum jam nurus quam uxor Pompeii rectius esset Cornelia; at subtiliores civitatis statum neglectui fuisse Pompeio culpabant, cui ea ut suarum calamitatum medico, soli sese dedisset; ipsum vero serta ferre et sacrificia nuptialia peragere, quum ipsum suum consulatum in cladibus patriæ numerare debuisset, quem nunquam ei salva republica ita præter leges commisisset. (3) Præterea judicia et leges de ambitu statuerat, inque eis judiciis graviter et sincere versabatur, judicibusque cum armatis ipse præsidens, securitatem, ordinem et quietem præstabat; verum ubi Scipio socer ipsius in jus vocatus est, trecentos istos ac sexaginta judices domum advocans, ut socero suo auxilium ferrent, deprecatus est, ita quidem ut actionem accusator dimiserit,

προπεμπόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν. (4)
Πάλιν οὖν ἤκουε κακῶς, ἔτι δὲ μᾶλλον, ὅτι λύσας
νόμῳ τοὺς γινομένους περὶ τῶν κρινομένων ἐπαίνους b
αὐτὸς εἰσῆλθε Πλάγκον ἐπαινεσόμενος. Καὶ Κάτων
(ἔτυχε γὰρ κρίνων) ἐπισχόμενος τὰ ὦτα ταῖς χερσὶν
οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν
ἐπαίνων. Ὅθεν ὁ μὲν Κάτων ἀπεβλήθη πρὸ τοῦ φέ-
ρειν τὴν ψῆφον· ἑάλω δὲ ταῖς ἄλλαις ὁ Πλάγκος σὺν
αἰσχύνῃ τοῦ Πομπηίου. (5) Καὶ γὰρ ὀλίγαις ὕστερον
ἡμέραις Ὑψαῖος, ἀνὴρ ὑπατικὸς, δίκην φεύγων καὶ
παραφυλάξας τὸν Πομπήιον ἐπὶ δεῖπνον ἀπιόντα λε-
λουμένον ἱκέτευε τῶν γονάτων λαβόμενος· ὁ δὲ παρῆλ-
θεν ὑπεροπτικῶς εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτοῦ,
ἄλλο δὲ μηδὲν περαίνειν. Οὕτως οὖν ἄνισος εἶναι δο- c
κῶν αἰτίας εἶχε. Τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστη-
σεν εἰς τάξιν καὶ προσείλετο συνάρχοντα τὸν πενθερὸν
εἰς τοὺς ὑπολοίπους πέντε μῆνας. Ἐψηφίσθη δὲ αὐ-
τῷ τὰς ἐπαρχίας ἔχειν εἰς ἄλλην τετραετίαν καὶ χίλια
τάλαντα λαμβάνειν καθ' ἕκαστον ἐνιαυτὸν, ἀφ' ὧν
θρέψει καὶ διοικήσει τὸ στρατιωτικόν.

LVI. Οἱ δὲ Καίσαρος φίλοι ταύτην ἀρχὴν λαβόν-
τες ἠξίουν τινὰ γενέσθαι καὶ Καίσαρος λόγον ἀγωνιζο-
μένου τοσούτους ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας· ἢ γὰρ
ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας ἢ προσλαβεῖν τῇ
στρατείᾳ χρόνον, ἐν ᾧ τῶν πεπονημένων οὐκ ἄλλος
ἐπελθὼν ἀφαιρήσεται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ d
τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. (2) Οὔσης
δὲ περὶ τούτων ἁμίλλης, ὡς δὴ παραιτούμενος ὑπὲρ
τοῦ Καίσαρος ἐπ' εὐνοίᾳ τὸν φθόνον ὁ Πομπήιος ἔφη
γράμματα Καίσαρος ἔχειν βουλομένου λαβεῖν διάδοχον
καὶ παύσασθαι τῆς στρατείας· ὑπατείας μέντοι καὶ μὴ
παρόντι καλῶς ἔχειν αὐτῷ δοθῆναι. (3) Πρὸς ταῦτα
ἐνισταμένων τῶν περὶ Κάτωνα καὶ κελευόντων ἰδιώτην
γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι
παρὰ τῶν πολιτῶν ἀγαθὸν, οὐκ ἐξερίσας, ἀλλ' οἷον
ἡττηθεὶς ὁ Πομπήιος ὕποπτος ἦν μᾶλλον ὧν ἐφρόνει
περὶ Καίσαρος. Ἔπεμψε δὲ καὶ τὰς δυνάμεις ἀπαι- e
τῶν, ἃς ἔχρησεν αὐτῷ, τὰ Παρθικὰ ποιούμενος πρόφα-
σιν. Ὁ δὲ, καίπερ εἰδὼς, ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρα-
τιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος.

LVII. Ἐκ τούτου δὲ Πομπήιος ἐν Νέᾳ πόλει νοσή-
σας ἐπισφαλῶς ἀνέῤῥωσε. Πραξαγόρου δὲ πείσαντος
τοὺς Νεαπολίτας, ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. Μιμου-
μένων δὲ τούτους τῶν προσοίκων καὶ τοῦ πράγματος
οὕτω περιιόντος τὴν Ἰταλίαν πᾶσαν, καὶ μικρὰ καὶ μεγά-
λη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. Τοὺς δὲ ἀπαντῶν-
τας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλὰ ὁδοί τε κα- f
τεπίμπλαντο καὶ κῶμαι καὶ λιμένες εὐωχουμένων καὶ
θυόντων. Πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμ-
πάδων ἐδέχοντο καὶ παρέπεμπον ἀνθοβολούμενον, ὥστε
τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν θέαμα κάλλιστον εἶναι
καὶ λαμπρότατον. (2) Οὐδενὸς μέντοι τοῦτο λέγεται
τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτίων ἔλαττον γε-
νέσθαι. Φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ

Scipioni judices e foro comites ire cernens. (4) Ob hæc rursus in infamia versatus est, multoque magis, quod quum lege lata laudari reos vetuisset, ipse in judicium Planci laudandi causa venit. Quum quidem Cato, unus judicum, manibus aures obturans, non licere sibi laudationem legibus prohibitam audire dixit. Et Catone tamen antequam suffragium ferret amoto, ceterorum sententiis Plancus damnatus est cum dedecore Pompeii. (5) Quippe Hypsæus homo consularis, reus factus et ipse, paucis post illud factum diebus Pompeium a balneo ad cœnam euntem quum observasset, suppliciterque genua tangens invocasset, Pompeius sane quam superbe eum præteriit, nihil ipsum efficere, sibi modo cœnam corrumpi dicens. Hæc ejus inæqualitas in reprehensiones incurrit. Cetera præclare in ordinem composuit et in reliquos adhuc quinque menses socerum suum collegam sibi ascivit. Decreto quoque Pompeio provinciæ in quadriennium prorogatæ sunt, et statutum uti quotannis mille talenta ad alendas copias acciperet.

LVI. Hoc initium amici Cæsaris nacti postulaverunt uti hujus quoque ratio aliqua haberetur, qui tot pro imperio Romano certamina obiisset, scilicet ut aut alter ei consulatus decerneretur, aut imperii tempus proferretur, ne quis alius superveniens laborum ejus gloriam præriperet, sed ipse eo usque imperaret, dum rebus confectis suis per otium honoribus potiretur. (2) Contentione super his postulatis exorta, Pompeius, tanquam Cæsari cuperet et invidiam ab eo amoliretur, litteras se Cæsaris habere dixit quibus is affirmet, se successorem mitti sibi velle et imperium abdicare; par tamen esse uti absenti etiam consulatum petere liceat. (3) Hæc quum a Catone impugnarentur, privatim positis armis petere a civibus præmia jubente, Pompeius dimissa contentione et quasi victum se fassus, majorem sui in Cæsarem animi suspicionem ostendit. Quin et Parthici belli prætextu ab eo quos usui dederat milites repetitum misit. Ille vero, tametsi bene sciret quamobrem milites repeterentur, præclare donatos ei remisit.

LVII. Secundum hæc Pompeius Neapoli ex periculoso morbo convaluit, et Praxagoræ suasu Neopolitani sacris pro salute ejus operati sunt. Horum exemplo vicinis totaque deinceps Italia ducta, omnis et parva et magna civitas festos dies aliquot egit, occurrentibus autem Pompeio nullus satis fuit amplus locus: omnia itinera, pagi, portus convivantium et sacrificantium erant pleni, multi coronati prælatis facibus eum excipiebant, floribusque passim in eum conjectis comitabantur, ita ut reditus iste ad urbem ejus splendidissimi spectaculi loco fuerit. (2) Et vero traditum est, nulla aliam graviorem belli civilis causam hac ipsa pompa fuisse. Etenim rerum gestarum memoriæ ingens gaudium additum, ita animum ejus inflabat, uti cau-

μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογι- 650 σμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς a πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷον καθαιρήσων, ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. (3) Πρὸς δὲ τούτοις Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήιος Καίσαρι στρατιάν· καὶ πολλὰ μὲν ἐξεφλαύριζε τὰς ἐκεῖ πράξεις καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήιον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκεί- b νου στρατεύμασιν, ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα καὶ πόθου πρὸς Πομπήιον ἐνυπάρχειν αὐτοῖς. (4) Οὕτω δ' οὖν ὁ Πομπήιος ἐπήρθη καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαρρεῖν ἐγένετο μεστός, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις, αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν. « Ὅπου γὰρ ἄν, ἔφη, τῆς Ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις. »

LVIII. Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμα- c σιν ἐρρωμενέστερον, αὐτὸς μὲν οὐκέτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλοὺς ὑποικουρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλόμενος, καὶ Κουρίων ὁ δήμαρχος ἀμηχάνων πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτοῦ, καὶ Μάρκος Ἀντώνιος διὰ φιλίαν Κουρίωνος ὧν ὠφελεῖτο μετέχων. (2) Ἐλέχθη μὲν οὖν, ὅτι τῶν ἀφιγμένων τις ἀπὸ Καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον καὶ πυθόμενος, ὡς οὐ δίδωσιν ἡ βουλὴ Καίσαρι χρόνον τῆς d ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος, « Ἀλλὰ τοῦτο δώσει. » Καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. (3) Αἱ μέντοι Κουρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος ἐφαίνοντο δημοτικώτεραι. Δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ Πομπήιον ἀπαιτεῖν ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένους ἐπὶ τοῖς δικαίοις ἢ μένοντας ἀντιπάλους ἐφ' οἷς ἔχουσιν ἀτρεμήσειν· ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν ἣν φοβεῖται δύναμιν διπλασιάζει. (4) Πρὸς ταῦτα Μαρκέλλου τοῦ ὑπάτου ληστὴν ἀποκαλοῦντος τὸν Καίσαρα καὶ ψηφίζεσθαι e πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κουρίων ὅμως ἴσχυσε μετὰ Ἀντωνίου καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. Ἐκέλευσε γὰρ μεταστῆναι τοὺς Καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήιον δὲ ἄρχειν· καὶ μετέστησαν οἱ πλείους. Αὖθις δὲ μεταστῆναι κελεύσαντος ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι καὶ μηδέτερον ἄρχειν, Πομπηίῳ μὲν εἴκοσι καὶ δύο μόνον, Κουρίωνι δὲ πάντες οἱ λοι-

tionis adhibendæ (qua ratione antehac usus ad tutum locum actiones suas successusque perduxerat) securus immodica audacia Cæsaris potentiam sperneret, nihil sibi contra eum armis aut labore opus futurum, multoque nunc facilius, quam ante evectus fuisset, opprimi a se eum posse arbitrans. (3) Sub hæc Appius eos, de quibus dictum est, Pompeianos milites ex Gallia a Cæsare reducens, mirum in modum Gallicis rebus elevatis, Cæsari obtrectavit, Pompeium non recte suarum virium et auctoritatis conscium esse dicens, qui se alienis contra Cæsarem armis muniret, quem suis ipsius copiis possit pessundare ut primum in earum venisset conspectum; tantum enim esse odium militum in Cæsarem, tantumque Pompeii desiderium. (4) Quamobrem Pompeius adeo intumuit eoque securitatis et confidentiæ pervenit, ut eos qui bellum metuerent, risui habuerit, dicentibusque non videre se copias quibus Cæsari adversus urbem ducenti possint obsistere, subridens et hilari vultu responderit, bono ipsos esse animo debere : Ego, inquiens, quum primum Italiæ solum pede percussero, peditum equitumque turmæ erumpent.

LVIII. At vero Cæsar vehementius jam ipsam rem tractabat, ipse non procul ab Italia versans, milites subinde Romam ad comitia mittens, pecunia autem multos magistratum gerentes occulte corrumpens; inter quos fuit etiam Paulus consul, qui mille quingentis talentis suam Cæsari sententiam addixit, et Curio tribunus plebis, ingenti ære alieno a Cæsare liberatus, et M. Antonius debiti ob Curionis amicitiam socius. (2) Deprehensum quidem fuit, quendam de missis Cæsarianis centurionibus quum ad Curiam astitisset audivissetque tempus prorogandi imperii postulatum Cæsari non dari, manu gladium pulsasse ac dixisse : Attamen hic dabit. Et eodem spectabant quæ agebantur ac quæ parabantur. (3) Curionis tamen pro Cæsare petitiones et postulata magis videbantur popularia. Alterumutrum enim horum petebat, ut aut a Pompeio quoque repeterent aut ne Cæsari quidem adimerent exercitum; aut enim privatos æquali conditione, aut si arma retineant, suo utrumque statu contentos fore; qui vero alteriusutrius vires imminuat, eum alterius potentiam, quæ quidem utrinque metuatur, augere. (4) Adversum hæc Marcello Cæsarem prædonem appellante hostemque decerni, nisi arma deposuisset, jubente; Curio tamen et cum eo Piso atque Antonius senatum coarguerunt. Jusserunt enim eos qui solum Cæsarem arma deponere, Pompeium magistratum retinere vellent, secedere; et plerique omnes secessionem fecerunt. Iterum jusserunt eos qui utrumque dimisso exercitu privatum esse vellent, secedere, et pro Pompeio viginti duo solum, pro Curione reliqui omnes steterunt. Itaque Curio veluti

τα προσέθετο. Κουρίων δὲ ὡς νενικηκώς, ἐπαρθεὶς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο, κρότῳ καὶ βολαῖς στεφάνων καὶ ἀνθῶν δεξιούμενος ὑπ' αὐτοῦ. (5) Ἐν δὲ τῇ βουλῇ Πομπήιος οὐ παρῆν· οἱ γὰρ ἄρχοντες στρατοπέδων εἰς τὴν πόλιν οὐκ εἰσίασι. Μάρκελλος δὲ f ἀναστὰς οὐκ ἔφη λόγων ἀκροάσεσθαι καθήμενος, ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν Ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος.

LIX. Ἐκ τούτου τὰς ἐσθῆτας ὡς ἐπὶ πένθει μετεβάλοντο. Μάρκελλος δὲ πρὸς Πομπήιον δι' ἀγορᾶς ἐβάδιζε, τῆς βουλῆς ἑπομένης, καὶ καταστὰς ἐναντίος, 641 « Κελεύω σε, » εἶπεν, « ὦ Πομπήιε, βοηθεῖν τῇ πατρίδι a καὶ χρῆσθαι ταῖς παρεσκευασμέναις δυνάμεσι καὶ καταλέγειν ἑτέρας. » Τὰ δ' αὐτὰ ταῦτα καὶ Λέντλος ἔλεγε τῶν ἀποδεδειγμένων εἰς τὸ μέλλον ὑπάτων ἅτερος. (2) Ἀρξαμένου δὲ τοῦ Πομπηίου καταλέγειν οἱ μὲν οὐχ ὑπήκουον, ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῄεσαν, οἱ δὲ πλείους διαλύσεις ἐβόων. Καὶ γὰρ ἀνέγνω τινὰ Καίσαρος ἐπιστολὴν Ἀντώνιος ἐν τῷ δήμῳ, βιασάμενος τὴν βουλήν, ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. Ἠξίου γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν καὶ τὰς στρατιωτικὰς δυνάμεις ἀφέντας ἐπὶ τῷ δήμῳ γενέσθαι καὶ τῶν πεπραγμένων εὐθύνας b ὑποσχεῖν. (3) Οἱ δὲ περὶ Λέντλον ὑπατεύοντες ἤδη βουλὴν οὐ συνῆγον· ἄρτι δὲ ἐκ Κιλικίας ἀφιγμένος Κικέρων ἔπραττε διαλλαγάς, ὅπως Καῖσαρ ἐξελθὼν Γαλατίας καὶ τὴν ἄλλην στρατιὰν ἀφεὶς πᾶσαν ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηίου δε δυσκολαίνοντος, ἐπείσθησαν οἱ Καίσαρος φίλοι θάτερον ἀφεῖναι· Λέντλου δὲ ἀντικρούσαντος καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήιον ἐξαπατώμενον βοῶντος, οὐκ ἔσχον αἱ διαλύσεις πέρας.

LX. Ἐν τούτῳ δὲ ἀπαγγέλλεται Καῖσαρ Ἀρίμινον, πόλιν μεγάλην τῆς Ἰταλίας, κατειληφὼς καὶ βαδίζων c ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. Τοῦτο δὲ ἦν ψεῦδος. Ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν, τὴν δὲ ἄλλην δύναμιν ἐπέκεινα τῶν Ἄλπεων οὖσαν οὐ περιέμενεν ἐμπεσεῖν ἄφνω τεταραγμένοις καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. (2) Καὶ γὰρ ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν ἐλθών, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ καὶ διεμέλλησεν αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. Εἶτα, ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπὸ κρημνοῦ τινος ἑαυτούς, μύσας τῷ λογισμῷ καὶ παρακαλυψάμενος πρὸς τὸ δεινὸν καὶ τοσοῦτον μόνον Ἑλ- d ληνιστὶ πρὸς τοὺς παρόντας ἐκβοήσας, « Ἀνερρίφθω κύβος, » διεβίβαζε τὸν στρατόν. (3) Ὡς δὲ πρῶτον ἡ φήμη προσέπεσε καὶ κατέσχε τὴν Ῥώμην μετὰ ἐκπλήξεως θόρυβος καὶ φόβος οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ φερομένη πρὸς τὸν Πομπήιον συνέτρεχον καὶ παρῆσαν αἱ ἀρχαί, πυθομένου δὲ τοῦ Τύλλου περὶ

Victor gaudio elatus ad populum se proripuit, plausu et florum sertorumque jactationibus exceptus. (5) Non aderat tum in senatu Pompeius; nam qui exercitui præsunt, urbem non ingrediebantur. Marcellus autem surgens: Non, inquit, hic porro sedens orationes audiam, sed quia decem legiones jam Alpes transire cerno, ipse quoque ibo et emittam qui pro patria illis se objiciat.

LIX. Simul, ut in luctu, vestes mutaverunt. Marcellus autem senatu comitante per forum ad Pompeium profectus, ut contra astitit, Jubeo, inquit, te, Pompei, auxilium patriæ ferre, copiis quas habes uti, exercitum alium conscribere. Idem quoque Lentulus, consulum in sequentem annum designatorum alter, dixit. (2) Pompeio autem delectum instituenti partim nomina non dederunt cives, partim ægre et nulla cum alacritate, plerique pacificationem clamore poscebant. Etenim Antonius apud populum invito etiam senatu epistolam Cæsaris recitaverat, vulgo gratas conditiones habentem. Nam hoc poscebat, ut provinciis relictis exercitibusque dimissis uterque apud populum suorum factorum rationes redderet. (3) Lentulus porro jam consul senatum non habebat. Cicero tum ex Cilicia reversus, paci studebat, hac conditione proposita, uti Cæsar relicta Gallia Illyricum et dimisso omni reliquo exercitu duas legiones retinens, alterum consulatum exspectaret. Pompeio hic se difficilem præbente, Cæsarianis persuasit, ut alteram quoque legionem remitterent. Lentulo tamen repugnante ac Catone Pompeium iterum deceptum peccare clamante, pacificatio ea irrita fuit.

LX. Interim Cæsarem capto Arimino, quæ magna est Italiæ urbs, cum omnibus copiis ad Romam tendere nuntiatur. Erat hic nuntius vanus; cum trecentis enim tantum equitibus et quinque legionariorum millibus ibat, non præstolatus reliquum, qui adhuc trans Alpes erat, exercitum, quod subito irruere in perturbatos et nihil tale exspectantes quam ad bellum parandum tempus concedere mallet. (2) Atque ubi ad Rubiconem amnem, qui ipsius provinciam terminabat, pervenit, tacitus substitit, magnitudinem conatus sui secum aliquandiu reputans, post, quemadmodum qui se a præcipitio in profunditatem immensam demittunt, oculos comprimere solent, animo connivens præ tam gravibus ausis, idque tantum Græce ad præsentes vociferatus: Jacta est alea, exercitum traduxit. (3) Fama rei primum allata Romam, majore quam unquam ante accidisset trepidatione, terrore metuque urbem replevit: ac statim ad Pompeium senatus et qui cum magistratu erant convenire. Ibi quum Tullus Pompeium de copiis

στρατιᾶς καὶ δυνάμεως καὶ τοῦ Πομπηίου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει, νομίζει δὲ καὶ τοὺς κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν τρισμυρίους ὄντας, ὁ μὲν Τύλλος ἀναβοήσας, « Ἐξηπάτηκας ἡμᾶς, ὦ Πομ- e πήιε, » συνεβούλευεν ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν, Φαώνιος δέ τις, ἀνὴρ τἄλλα μὲν οὐ πονηρός, αὐθαδείᾳ δὲ καὶ ὕβρει πολλάκις τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παρρησίαν, ἐκέλευε τὸν Πομπήιον τῷ ποδὶ τύπτειν τὴν γῆν ἃς ὑπισχνεῖτο δυνάμεις ἀνακαλούμενον. (4) Ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πρᾴως· τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖπεν, ἀπεκρίνατο μαντικώτερα μὲν εἶναι τὰ Κάτωνι λεχθέντα, φιλικώτερα δὲ ὑπ' αὐτοῦ πεπρᾶχθαι.

LXI. Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα Πομπήιον, ἐπειπὼν ὅτι τῶν αὐτῶν ἐστι f καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. Οὗτος μὲν οὖν εὐθὺς ἐξῆλθεν εἰς Σικελίαν (ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν) καὶ τῶν ἄλλων ἕκαστος εἰς ἃς ἐκληρώθη. Τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης, ἀπορίαν εἶχε τὸ γινόμενον· οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ πανταχόθεν εἰς τὴν Ῥώμην ἐνέπιπτον, οἱ δὲ τὴν Ῥώμην
652 οἰκοῦντες ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλειπον τὴν πόλιν a ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ τὸ μὲν χρήσιμον ἀσθενὲς ἔχουσαν, τὸ δὲ ἀπειθὲς ἰσχυρὸν καὶ δυσμεταχείριστον τοῖς ἄρχουσιν. (2) Οὐ γὰρ ἦν παῦσαι τὸν φόβον οὐδὲ εἴασέ τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήιον, ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει, φοβηθεὶς ἢ λυπηθεὶς ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἀνεπίμπλη· καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας ἐκράτει βουλεύματα· καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ διὰ τὸ πολλοὺς ἀπαγγέλλειν, ὅ τι τύχοιεν, εἶτα ἀπιστοῦντι χαλεπαίνειν. (3) Οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾶν καὶ κελεύσας ἅπαντας ἕπεσθαι τοὺς ἀπὸ βουλῆς καὶ b προειπὼν ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα, περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. Οἱ δ' ὕπατοι μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων ἔφυγον. Ἦν δὲ καὶ παρ' αὐτὰ τὰ δεινὰ ζηλωτὸς ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν ἀνθρώπων, ὅτι πολλῶν τὴν στρατηγίαν μεμφομένων οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγόν, ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων τοὺς ἀπολιπεῖν Πομπήιον μὴ δυναμένους.

LXII. Ὀλίγαις δὲ ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας καὶ κατασχὼν τὴν Ῥώμην τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε, τῶν δὲ δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ c ταμείου θάνατον ἠπείλησε καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον· ἔφη γάρ, ὡς οὕτω φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον ἢ τὸ πρᾶξαι. (2) Τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω καὶ λαβὼν ὧν ἔχρῃζεν ἐδίωκε Πομπήιον ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. Ὁ δὲ τὸ Βρεντέσιον κατασχὼν καὶ πλοίων εὐπορήσας τοὺς μὲν

percontaretur, isque cunctanter responderet trepideque, exercitum a Cæsare sibi paratum venire, sperare etiam se quos antea ad triginta millia conscripserat, celeriter contracturum, altum exclamans, Fefellisti nos, Pompei, suasit uti ad Cæsarem legati mitterentur. Et M. Favonius, vir non improbus, sed qui contumacia et petulantia sæpenumero Catonianam in dicendo libertatem æmulari se posse putaret, Pompeium pede terram ferire jussit et quas pollicitus fuisset evocare copias. (4) Quod tamen tam importunum dictum æquo animo Pompeius tulit. Idem Catoni in memoriam revocanti, quæ de Cæsare olim ei prædixisset, verius quidem Catonem vaticinatum, a se autem amicius actum respondit.

LXI. Cato quum consilium dedisset, uti Pompeius dux cum mero imperio belli crearetur (etenim ejusdem esse magna excitare mala et compescere), statim in Siciliam abiit, quæ ei provincia obtigerat; eodemque in suas singuli modo profecti sunt. At vero tota Italia excitata, magna erat consilii inopia: nam qui peregre erant, undique Romam confugiebant; qui vero urbem incolebant, ipsi cedebant et relinquebant eam, ubi tanta in tempestate et tumultu, pauci civium utiles, plerique contumaces et magistratibus intractabiles erant. (2) Non enim trepidatio reprimi potuit, neque suis rationibus Pompeio uti licebat, sed qua quisque animi affectione incitatus erat, sive timore, sive dolore, sive hæsitatione, eam statim ad Pompeium deferebat eodemque ipsum pertrahebat, uti eodem die varia et diversa statueret; de hostibus autem nihil certi poterat cognoscere, quod plerique obvios quosque rumores referrent, fidemque non habenti succenserent. (3) Ita demum Pompeius tumultum esse decrevit, edictoque uti omnes ipsum senatores sequerentur, qui remansisset eum Cæsarianum a se habitum iri; imminente jam nocte urbe exivit. Consules quoque non factis, quæ initio belli consueverunt, sacrificiis Roma fugerunt. Mira tamen fuit periculosissimo etiam isto tempore hominum in Pompeium benevolentia, quod plerisque militiam istam culpantibus nemo ducem odio habuit, ac plures quod Pompeium deserere non possent, quam spe libertatis eum secuti sunt.

LXII. Paucis post diebus Cæsar Romam venit, omnibus sese benignum præbens animosque civium placans, nisi quod Metello tribuno plebis pecuniam ipsum ex ærario accipere prohibenti mortem minatus est, voce quam minæ ipsæ essent asperiori addita: minari hoc, quam facere, sibi esse difficilius. (2) Rejecto hunc in modum Metello, acceptis quæ opus haberet, Pompeio insequendo se dedit, ejicere eum ex Italia, antequam exercitus ex Hispania ei conjungeretur, festinans. At Pompeius Brundusio occupato, naves ibi nactus, consules cum triginta cohortibus

ὑπάτους εὐθὺς ἐμβιβάσας καὶ μετ' αὐτῶν σπείρας τριάκοντα προεξέπεμψεν εἰς Δυρράχιον, Σκηπίωνα δὲ τὸν πενθερὸν καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε ναυτικὸν κατασκευάσοντας, αὐτὸς δὲ φραξάμενος τὰς d πύλας καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντεσινοὺς ἀτρεμεῖν κατ' οἰκίαν κελεύσας, ὅλην ἐντὸς τὴν πόλιν ἀνέσκαψε καὶ διετάφρευσε καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς πλὴν δυεῖν, δι' ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. (3) Ἡμέρᾳ δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ' ἡσυχίαν ἐμβεβηκότα, τοῖς δὲ τὰ τείχη φυλάττουσιν ἐξαίφνης σημεῖον ἄρας καὶ καταδραμόντας ὀξέως ἀναλαβὼν ἀπεπέρασεν. Ὁ δὲ Καῖσαρ, ὡς εἶδεν ἐκλελειμμένα τὰ τείχη, τὴν φυγὴν αἰσθόμενος μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς καὶ τοῖς ὀρύγμασι περιπε- e τὴς γενέσθαι· τῶν δὲ Βρεντεσινῶν φρασάντων, φυλαττόμενος τὴν πόλιν καὶ κύκλῳ περιιὼν ἀνηγμένους εὗρε πάντας πλὴν δυεῖν πλοίων στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων.

LXIII. Οἱ μὲν οὖν ἄλλοι τοῦ Πομπηίου τὸν ἀπόπλουν ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν, αὐτὸς δὲ Καῖσαρ ἐθαύμαζεν ὅτι καὶ πόλιν ἔχων ὀχυρὰν καὶ προσδοκῶν τὰς ἐξ Ἰβηρίας δυνάμεις καὶ θαλασσοκρατῶν ἐξέλιπε καὶ προήκατο τὴν Ἰταλίαν. (2) Αἰτιᾶται καὶ Κικέρων, ὅτι τὴν Θεμιστοκλέους ἐμιμήσατο στρατηγίαν μᾶλλον ἢ τὴν Περικλέους, τῶν πραγμάτων f τούτοις ὁμοίων ὄντων, οὐκ ἐκείνοις. Ἐδήλωσε δὲ Καῖσαρ ἔργῳ σφόδρα φοβούμενος τὸν χρόνον. Ἑλὼν γὰρ Νουμέριον Πομπηίου φίλον ἀπέστειλεν εἰς Βρεντέσιον ἐπὶ τοῖς ἴσοις ἀξιῶν διαλλαγῆναι· Νουμέριος δὲ Πομπηίῳ συνεξέπλευσεν. (3) Ἐντεῦθεν ὁ μὲν ἡμέραις ἑξήκοντα κύριος γεγονὼς ἀναιμωτὶ τῆς Ἰταλίας ὅλης ἐβούλετο μὲν εὐθὺς Πομπήιον διώκειν, πλοίων δὲ μὴ παρόντων, ἀποστρέψας εἰς Ἰβηρίαν ἤλαυνε τὰς ἐκεῖ δυνάμεις προσαγαγέσθαι βουλόμενος.

LXIV. Ἐν δὲ τῷ χρόνῳ τούτῳ μεγάλη συνέστη 653 Πομπηίῳ δύναμις, ἡ μὲν ναυτικὴ καὶ παντελῶς a ἀνανταγώνιστος (ἦσαν γὰρ αἱ μάχιμοι πεντακόσιαι, λιβυρνίδων δὲ καὶ κατασκόπων ὑπερβάλλων ἀριθμός), ἱππεῖς δέ, Ῥωμαίων καὶ Ἰταλῶν τὸ ἀνθοῦν, ἑπτακισχίλιοι, γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες· τὴν δὲ πεζήν, σύμμικτον οὖσαν καὶ μελέτης δεομένην ἐγύμναζεν ἐν Βεροίᾳ καθήμενος οὐκ ἀργός, ἀλλ' ὥσπερ ἀκμάζοντι χρώμενος αὐτῷ πρὸς τὰ γυμνάσια. (2) Μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαρρεῖν τοῖς ὁρῶσι Πομπήιον Μάγνον ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένον, ἐν δὲ τοῖς ὅπλοις ἁμιλλώμενον πεζόν, εἶτα ἱππότην αὖθις ἑλκόμενόν τε τὸ ξίφος ἀπραγμόνως θέοντι b τῷ ἵππῳ καὶ κατακλείοντα πάλιν εὐχερῶς· ἐν δὲ τοῖς ἀκοντισμοῖς οὐ μόνον ἀκρίβειαν, ἀλλὰ καὶ ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος, ὃ πολλοὶ τῶν νέων οὐχ ὑπερέβαλλον. (3) Ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάσται καὶ τῶν ἀπὸ Ῥώμης ἡγεμονικῶν ἀριθμὸς ἦν ἐντελοῦς βουλῆς περὶ αὐτόν. Ἦλθε δὲ καὶ Λαβιηνὸς ἀπολιπὼν

Dyrrhachium præmisit, Scipionem socerum et Cneum filium in Syriam classis parandæ causa amandavit: Ipse obstructis portis, in muris expeditissimos militum collocavit et oppidanis mandato uti se domi quisque suæ continerent, totam intus urbem suffodit, omnesque vicos actis palis vallavit, duobus, qui ad mare pertinerent, relictis. (3) Tertio die quum multitudo jam tuto naves conscendisset, murorum custodibus subito signum dedit, celeriterque decurrentes ad se recepit et avectus est. Cæsar ut desertos muros vidit, fugam factam sentiens, parum abfuit quin hostem insequens in sudes et fossas incidisset; monitu tamen Brundusinorum urbem vitans, eaque ambita ad mare perveniens, avectos omnes, præter duo navigia paucis militibus onusta, deprehendit.

LXIII. Omnes alii scriptores hanc Pompeii ex Italia fugam inter præstantissima strategemata ponunt, Cæsar vero mirari se ait, quod urbem tenens munitam, exercitum ex Hispania exspectans, mare præterea obtinens, Italiam reliquerit. (2) Incusat etiam Cicero, quod Themistoclis potius quam Periclis consilia imperatoria imitatus sit, rebus huic, non illum requirentibus. Atque ipse profecto Cæsar re ipsa ostendit, se sibi plurimum a tempore metuisse. Quum enim Numerium Pompeii amicum cepisset, Brundusium eum misit, ad æquas pacis conditiones Pompeium provocans; sed Numerius inde cum Pompeio avectus est. (3) Post hæc sexaginta dierum spatio tota Cæsar Italia, nullo quidem sanguine facto, potitus, quum statim persequi Pompeium cogitaret, navibus destitutus in Hispaniam se convertit, ut Pompeianas ibi copias ad se pertraheret.

LXIV. Interim magnæ ad Pompeium convenerunt copiæ; classis plane invicta, in qua præter quingentas ad prœlium instructas naves, liburnarum et speculatoriorum navigiorum ingens erat numerus; equites Romani et Itali septem millia, flos hominum genere, divitiis audaciaque præstantium. Peditatum autem commixtum et exercitatione opus habentem Berœæ instituebat, non otiosus ibi desidens, sed juvenis in morem exercitationibus deditus. (2) Magnum enim ad audaciam momentum ipse afferebat, quum natus annos duodesexaginta cerneretur pedes in armis certare, deinde eques prompte stringere gladium currente equo et in vaginam nullo labore recondere; in jaculationibus non certitudinem modo ostendere, sed eminus jacere tanta vi, ut multi juvenum superare non possent. (3) Concesserunt ad eum reges quoque et reguli principumque ex urbe virorum tantus numerus, ut perfectum senatum expleret. Tum

Καίσαρα φίλος γεγονὼς καὶ συνεστρατευμένος ἐν Γαλατίᾳ, καὶ Βροῦτος, υἱὸς ὢν Βρούτου τοῦ περὶ Γαλατίαν σφαγέντος, ἀνὴρ μεγαλόφρων, μηδέποτε Πομπήιον προσειπὼν μηδὲ ἀσπασάμενος πρότερον ὡς φονέα τοῦ πατρὸς, τότε δὲ ὡς ἐλευθεροῦντι τὴν Ῥώμην ὑπέταξεν ἑαυτόν. Κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ c βεβουλευμένος, ὅμως κατῃδέσθη μὴ γενέσθαι τοῦ προκινδυνεύοντος ἀριθμοῦ τῆς πατρίδος. (4) Ἦλθε δὲ καὶ Τίδιος Σέξτιος, ἐσχατόγηρως ἀνὴρ θάτερον πεπηρωμένος σκέλος, εἰς Μακεδονίαν· ὃν, τῶν ἄλλων γελώντων καὶ χλευαζόντων, ὁ Πομπήιος ἰδὼν ἐξανέστη καὶ προσέδραμε, μέγα νομίζων μαρτύριον εἶναι καὶ τοὺς παρ' ἡλικίαν καὶ παρὰ δύναμιν αἱρουμένους τὸν μετ' αὐτοῦ κίνδυνον ἀντὶ τῆς ἀσφαλείας.

LXV. Ἐπεὶ δὲ βουλῆς γενομένης καὶ γνώμην Κάτωνος εἰπόντος ἐψηφίσαντο μηδένα Ῥωμαίων ἄνευ παρατάξεως ἀναιρεῖν μηδὲ διαρπάζειν πόλιν ὑπήκοον Ῥωμαίοις, ἔτι μᾶλλον ἡ Πομπηίου μερὶς ἠγαπήθη· καὶ γὰρ οἷς μηδὲν ἦν πρᾶγμα τοῦ πολέμου πόῤῥω κατοι- d κοῦσιν ἢ δι' ἀσθένειαν ἀμελουμένοις τῷ γε βούλεσθαι συγκατετίθεντο καὶ τῷ λόγῳ συνεμάχουν ὑπὲρ τῶν δικαίων, ἡγούμενοι θεοῖς εἶναι καὶ ἀνθρώποις ἐχθρὸν, ᾧ μὴ καθ' ἡδονήν ἐστι νικᾶν Πομπήιον. (2) Οὐ μὴν ἀλλὰ καὶ Καῖσαρ εὐγνώμονα παρεῖχεν ἑαυτὸν ἐν τῷ κρατεῖν, ὃς καὶ τὰς ἐν Ἰβηρίᾳ τοῦ Πομπηίου δυνάμεις ἑλὼν καὶ καταπολεμήσας ἀφῆκε τοὺς στρατηγοὺς, τοῖς δὲ στρατιώταις ἐχρῆτο. Καὶ πάλιν ὑπερβαλὼν τὰς Ἄλπεις καὶ διαδραμὼν τὴν Ἰταλίαν εἰς Βρεντέσιον ἧκεν ἐν τροπαῖς ἤδη τοῦ χειμῶνος ὄντος· καὶ διαπεράσας τὸ πέλαγος αὐτὸς μὲν εἰς Ὠρικὸν παρενέβαλεν, Ἰούβιον e δὲ τὸν Πομπηίου φίλον αἰχμάλωτον ἔχων σὺν ἑαυτῷ πρὸς Πομπήιον ἀπέστειλε προκαλούμενος εἰς ἓν συνελθόντας ἀμφοτέρους ἡμέρᾳ τρίτῃ πάντα διαλῦσαι τὰ στρατεύματα καὶ γενομένους φίλους καὶ ὀμόσαντας ἐπανελθεῖν εἰς Ἰταλίαν. (3) Ταῦτα Πομπήιος αὖθις ἐνέδραν ἡγεῖτο· καὶ καταβὰς ὀξέως ἐπὶ θάλατταν κατέλαβε χωρία καὶ τόπους ἕδρας τε τοῖς πεζοῖς στρατοπέδοις ὑπεραλκεῖς ἔχοντας καὶ ναύλοχα καὶ κατάρσεις ἐπιφόρους τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης, ὥστε πάντα πνεῖν ἄνεμον Πομπηίῳ σῖτον ἢ στρατιὰν ἢ χρήματα κομίζοντα, Καίσαρα δὲ δυσχωρίαις κατὰ γῆν ὁμοῦ καὶ f κατὰ θάλατταν περιεχόμενον ἐξ ἀνάγκης φιλομαχεῖν καὶ προσβάλλοντα τοῖς ἐρύμασι καὶ προκαλούμενον ἑκάστοτε τὰ μὲν πλεῖστα νικᾶν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικροῦ συντριβῆναι καὶ τὴν στρατιὰν ἀποβαλεῖν, τοῦ Πομπηίου λαμπρῶς ἀγωνισαμένου μέ- 654 χρι τροπῆς ἁπάντων καὶ φόνου δισχιλίων, βιάσασθαι a δὲ καὶ συνεισπεσεῖν μὴ δυνηθέντος ἢ φοβηθέντος, ὥστε εἰπεῖν Καίσαρα πρὸς τοὺς φίλους ὅτι « Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον. »

LXVI. Ἐπὶ τούτῳ μέγα φρονήσαντες οἱ Πομπηίου διὰ μάχης ἔσπευδον κριθῆναι. Πομπήιος δὲ τοῖς μὲν ἔξω βασιλεῦσι καὶ στρατηγοῖς καὶ πόλεσιν ὡς νενικηκὼς ἔγραφε, τὸν δὲ τῆς μάχης κίνδυνον ὠῤῥώδει, τῷ χρόνῳ

Labienus Cæsare, cujus amicus et legatus in Gallia fuerat, relicto, et Brutus, filius ejus Bruti quem in Gallia Pompeius occiderat, vir magnanimus, qui Pompeium, uti patris sui interfectorem, nunquam ante salutasset verbove compellasset, tunc ei se ut liberatori patriæ submittebat. Cicero etiam, quamvis aliter et scripsisset et consuluisset, turpe tamen sibi fore judicavit, si non se quoque ei parti, quæ pro patria propugnabat, adjungeret. (4) Venit et Tidius Sextius ad eos in Macedoniam, extrema senectute et altero crure mutilus : quem quum reliqui riderent et exsibilarent, accedenti Pompeius assurrexit et occurrit, magnum pro se ratus testimonium, quod præter ætatem et vires quidam securitati commune periculum anteponerent.

LXV. Senatu inde convocato ex sententia Catonis decretum est, ne quis Romanorum extra prœlium occideretur, neve ulla urbs Romanis subdita diriperetur; id decretum multum favoris Pompeianis partibus conciliavit. Nam et quibus vel procul dissitis nihil ejus belli intererat, vel qui ob tenuitatem negligebantur, ipsi tamen ii voluntate assentiebantur verbisque pro justitia una propugnabant, diis hominibusque inimicum judicantes, qui non victoriam Pompeii esse vellet. (2) Neque vero Cæsar victoria sua inique usus est. Nam et captis in Hispania Pompeii copiis, duces dimisit, militesque ad se recepit; et quum rursum superatis Alpibus Italiaque peragrata Brundusium sub ipsam brumam venisset, atque inde Oricum trajecisset, Vibullium amicum Pompeii, quem tum captivum tenebat, ad Pompeium misit, hanc conditionem ei ferens, uti inter se congressi uterque intra tertium diem copiis dimissis, inita denuo amicitia et sacramento dato, in Italiam reverterentur. (3) Hæc Pompeius insidias esse putavit; itaque statim ad mare degressus, loca terrestribus castris apta et munita occupavit stationesque et portus navibus a mari accipiendis tutos, ut jam omnis ventus ipsi spiraverit annonam, milites aut pecuniam subinde afferens. Cæsar contra difficultatibus terra marique circumventus, pugnam expetere coactus, identidem oppugnavit castra et ad prœlium provocavit. Levibus autem conflictibus plerumque victor, semel parum abfuit quin toto amisso exercitu attritus fuisset, quum Pompeius præclara pugna totum hostilem exercitum fudit, duobus hominum millibus cæsis, in castra tamen una cum fugientibus irrumpere aut nequivit aut non est ausus. Tum quidem Cæsar amicis dixit : ea die victoriam penes hostes fuisse, si ducem vincendi gnarum habuissent.

LXVI. Proinde hoc elati successu Pompeiani, prœlio decernere festinabant. At Pompeius, tametsi absentibus regibus, ducibus et urbibus scripsisset se victoria potitum, pugnæ tamen periculum formidabat, statuebatque tempore

καὶ ταῖς ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν ἐν τοῖς ὅπλοις καὶ συνειθισμένους νικᾶν μετ' ἀλλήλων πολὺν ἤδη χρόνον, πρὸς δὲ τὴν ἄλλην στρατείαν καὶ πλάνας καὶ μεταβάσεις καὶ τάφρων ὀρύξεις καὶ τειχῶν οἰκοδομίας ἀπαγορεύοντας ὑπὸ γήρως καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμφῦναι τάχιστα καὶ συμπλακῆναι b σπεύδοντας. (2) Οὐ μὴν ἀλλὰ πρότερον ἀμωσγέπως παρῆγε πείθων τοὺς περὶ αὐτὸν ἀτρεμεῖν ὁ Πομπήιος· ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ Καῖσαρ ὑπὸ τῶν ἀποριῶν ἀναστὰς ἐβάδιζε δι' Ἀθαμάνων εἰς Θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ φρόνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν Καίσαρα βοῶντες οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον, οἱ δὲ διαβαίνειν εἰς Ἰταλίαν, οἱ δὲ θεράποντας εἰς Ῥώμην καὶ φίλους ἔπεμπον οἰκίας προκαταληψομένους ἐγγὺς ἀγορᾶς ὡς αὐτίκα μετιόντες ἀρχάς. Ἐθελονταὶ δὲ πολλοὶ πρὸς Κορνηλίαν ἔπλεον εἰς Λέσβον εὐαγγελιζόμενοι πέρας ἔχειν τὸν πόλεμον· ἐκεῖ γὰρ αὐτὴν c ὑπεξέπεμψεν ὁ Πομπήιος. (3) Ἀθροισθείσης δὲ βουλῆς Ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην ἔχεσθαι τῆς Ἰταλίας, ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγιστον ἆθλον, προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς Σικελίαν, Σαρδόνα, Κύρνον, Ἰβηρίαν, Γαλατίαν ἅπασαν· ἧς τε δὴ πλεῖστος ὁ λόγος Πομπηίῳ πατρίδος ὀρεγούσης χεῖρας ἐγγύθεν, οὐ καλῶς ἔχειν περιορᾶν προπηλακιζομένην καὶ δουλεύουσαν οἰκέταις καὶ κόλαξι τυράννων. (4) Αὐτὸς δὲ Πομπήιος οὔτε πρὸς δόξαν ἡγεῖτο καλὸν αὐτῷ δευτέραν φυγὴν φεύγειν Καίσαρα καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε ὅσιον ἐγκαταλιπεῖν Σκηπίωνα καὶ d τοὺς περὶ τὴν Ἑλλάδα καὶ Θετταλίαν ἄνδρας ὑπατικοὺς εὐθὺς ὑπὸ Καίσαρι γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων μεγάλων, τῆς δὲ Ῥώμης μάλιστα κήδεσθαι τὸν ἀπωτάτω πολεμοῦντα περὶ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν οὖσα καὶ ἀνήκοος περιμένῃ τὸν κρατοῦντα.

LXVII. Ταῦτα ψηφισάμενος ἐδίωκε Καίσαρα, μάχης μὲν ἐγνωκὼς ἀπέχεσθαι, πολιορκεῖν δὲ καὶ τρίβειν ταῖς ἀπορίαις ἐγγύθεν ἐπακολουθῶν. Καὶ γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο, καὶ λόγος τις εἰς αὐτὸν ἧκεν ἐν τοῖς ἱππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους Καίσαρα συγκαταλύειν κἀκεῖνον αὐτόν. (2) Ἔνιοι δέ e φασι διὰ τοῦτο καὶ Κάτωνι μηδὲν ἄξιον σπουδῆς χρήσασθαι Πομπήιον, ἀλλὰ καὶ πορευόμενον ἐπὶ Καίσαρα πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀποσκευῆς φοβηθέντα, μὴ Καίσαρος ἀναιρεθέντος ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν. (3) Οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν, ὡς οὐ Καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν πατρίδα καὶ τὴν βουλήν, ὅπως διὰ παντὸς ἄρχῃ καὶ μηδέποτε παύσηται τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν χρώμενος ὑπηρέταις καὶ δορυφόροις. (4) Δομίτιος δὲ αὐτὸν Ἀηνόβαρβος Ἀγαμέμνονα καλῶν καὶ βασιλέα βασιλέων f ἐπίφθονον ἐποίει. Καὶ Φαώνιος οὐχ ἧττον ἦν ἀηδὴς τῶν παρρησιαζομένων ἀκαίρως ἐν τῷ σκώπτειν, « Ἄνθρωποι, » βοῶν « οὐδὲ τῆτες ἔσται τῶν ἐν Τουσκλάνῳ

et penuria debellare homines armis quidem invictos, et qui vincere simul multis jam annis consuevissent, sed qui ad cetera militiæ onera, quum hinc inde proficiscendum et vagandum, fossæ agendæ, muniendæ urbes essent, præ senectute animos despondissent, ideoque manum conserere quamprimum cuperent. (2) His rationibus ab initio utcumque suadendo suos adduxerat uti quiescerent; sed ubi Cæsar secundum eam pugnam penuria compulsus movit ac per Athamanes in Thessaliam profectus est, non jam compesci porro temeritas Pompeianorum potuit, quin fugere Cæsarem clamantes, partim insequi eum, partim ire in Italiam juberent. Fuerunt qui servos et amicos Romam mitterent, ædes foro vicinas occupatum, tanquam mox magistratus petituri. Quidam sua sponte ad Corneliam, quam in Lesbum emiserat Pompeius, navigarunt, confectum esse bellum nuntiantes. (3) Advocato senatu Afranius consuluit Italiam arripiendam esse, maximum scilicet ejus belli præmium: hanc tenentibus statim accessuram Siciliam, Sardiniam, Corsicam, Galliam omnem; et patriam, cujus potissimum habenda sit ratio, ex propinquo jam manus protendentem, minime negligendam Pompeio, neque ferendum ut ea contumeliis pressa tyrannorum servis et adulatoribus porro serviat. (4) Pompeius neque gloriosum sibi fore dixit, si Cæsarem denuo fugeret ab eoque premeretur, cujus insequendi fortuna sibi locum dedisset, neque pium esse Scipionem virosque in Græcia et Thessalia consulares destituere, statim cum copiis et opibus magnis in potestatem Cæsaris venturos; Romæ autem curam vel maxime gerere, qui præstet ei, uti bello quam longissime remoto ea interim illæsa victorem exspectet.

LXVII. Hoc ita decreto Cæsarem statuit persequi, certus animi prœlio non congredi, sed proxime inhærens penuria eum oppugnare atque conficere; tum quod ita ex usu esse sentiret, tum quod rumor ad eum allatus erat, sparsus inter Equites, statim profligato Cæsare Pompeium quoque esse opprimendum. (2) Quidam perhibent eum propterea Catonis quoque opera nulla magna in re usum et, quum ad persequendum Cæsarem proficisceretur, ad mare eum custodiendorum impedimentorum causa reliquisse, quod metueret ne is occiso Cæsare statim ipsum quoque imperio se abdicare cogeret. (3) Itaque hostium vestigiis ita per otium inhærens, obtrectationibus adversisque clamoribus locum dedit, ac si id consilium non Cæsaris, sed patriæ et senatus decipiendi causa suscepisset, uti semper cum imperio esset, atque iis qui sibi in orbem terrarum imperium arrogarent, famulis stipatoribusque uteretur. (4) Domitius etiam Ahenobarbus invidiam ei conflavit, Agamemnona identidem et regem regum nominando. Favonii quoque intempestiva dicacitas non minus quam aliorum liberæ voces molesta fuit, vociferantis crebro: Ne hoc quidem anno, o viri, li-

σύκων μεταλαβεῖν; » Λεύκιος δὲ Ἀφράνιος ὁ τὰς ἐν 655 Ἰβηρίᾳ δυνάμεις ἀποβαλὼν ἐν αἰτίᾳ προδοσίας γεγονώς, a τότε δὴ τὸν Πομπήιον ὁρῶν φυγομαχοῦντα, θαυμάζειν ἔλεγε τοὺς κατηγοροῦντας αὐτοῦ, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται προελθόντες. (5) Ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες ἄνδρα δόξης ἥττονα καὶ τῆς πρὸς τοὺς φίλους αἰδοῦς τὸν Πομπήιον ἐξεβιάσαντο καὶ συνεπεσπάσαντο ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἐπακολουθῆσαι προέμενον τοὺς ἀρίστους λογισμούς, ὅπερ οὐδὲ πλοίου κυβερνήτῃ, μήτιγε τοσούτων ἐθνῶν καὶ δυνάμεων αὐτοκράτορι στρατηγῷ παθεῖν ἦν προσῆκον. Ὁ δὲ τῶν μὲν ἰατρῶν τοὺς μηδέποτε χαριζομένους ταῖς ἐπιθυμίαις ἐπῄνεσεν, αὐτὸς δὲ τῷ νοσοῦντι b τῆς στρατηγίας ἐνέδωκε, δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέσθαι. (6) Πῶς γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνους τοὺς ἄνδρας, ὧν οἱ μὲν ὑπατείας ἤδη καὶ στρατηγίας ἐν τῷ στρατοπέδῳ περινοστοῦντες ἐμνῶντο, Σπινθῆρι δὲ καὶ Δομιτίῳ καὶ Σκηπίωνι περὶ τῆς Καίσαρος ἀρχιερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι καὶ δεξιώσεις; ὥσπερ αὐτοῖς Τιγράνου τοῦ Ἀρμενίου παραστρατοπεδεύοντος ἢ τοῦ Ναβαταίων βασιλέως, ἀλλ' οὐ Καίσαρος ἐκείνου καὶ τῆς δυνάμεως, ᾗ χιλίας μὲν ᾑρήκει πόλεις κατὰ κράτος, ἔθνη δὲ πλείονα τριακοσίων ὑπῆκτο, Γερμανοῖς δὲ καὶ Γαλάταις μεμαχημένος ἀήττητος ὅσας c οὐκ ἄν τις ἀριθμήσαι μάχας ἑκατὸν μυριάδας αἰχμαλώτων ἔλαβεν, ἑκατὸν δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως.

LXVIII. Ἀλλ' ὅμως ἐγκείμενοι καὶ θορυβοῦντες, ἐπεὶ κατέβησαν εἰς τὸ Φαρσάλιον πεδίον, ἠνάγκασαν βουλὴν προθεῖναι τὸν Πομπήιον, ἐν ᾗ Λαβιηνὸς ὁ τῶν ἱππέων ἄρχων πρῶτος ἀναστὰς ὤμοσε μὴ ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τοὺς πολεμίους· τὰ δὲ αὐτὰ καὶ πάντες ὤμνυσαν. (2) Τῆς δὲ νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους Πομπήιος εἰς τὸ θέατρον εἰσιόντος αὐτοῦ κροτεῖν τὸν δῆμον, αὐτὸς δὲ κοσμεῖν ἱερὸν Ἀφροδίτης νικηφόρου πολλοῖς λαφύροις. Καὶ τὰ μὲν ἐθάῤῥει, d τὰ δὲ ὑπέθραττεν αὐτὸν ἡ ὄψις δεδοικότα, μὴ τῷ γένει τῷ Καίσαρος εἰς Ἀφροδίτην ἀνήκοντι δόξα καὶ λαμπρότης ἀπ' αὐτοῦ γένηται· καὶ πανικοί τινες θόρυβοι διάττοντες ἐξανέστησαν αὐτόν. Ἑωθινῆς δὲ φυλακῆς ὑπὲρ τοῦ Καίσαρος στρατοπέδου πολλὴν ἡσυχίαν ἄγοντος ἐξέλαμψε μέγα φῶς, ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα φλογοειδὴς ἐπὶ τὸ Πομπηίου κατέσκηψε· καὶ τοῦτ' ἰδεῖν φησι Καῖσαρ αὐτὸς ἐπιὼν τὰς φυλακάς. (3) Ἅμα δὲ ἡμέρᾳ μέλλοντος αὐτοῦ πρὸς Σκοτοῦσαν ἀναζευγνύειν καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρούντων καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας, ἧκον οἱ σκοποὶ φράζοντες ὅπλα πολλὰ καθορᾶν e ἐν τῷ χάρακι τῶν πολεμίων διαφερόμενα καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. Μετὰ δὲ τούτους ἕτεροι παρῆσαν εἰς τάξιν ἤδη καθίστασθαι τοὺς πρώτους λέγοντες. (4) Ὁ μὲν οὖν Καῖσαρ εἰπὼν τὴν προσδοκωμένην ἥκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας, οὐ πρὸς λιμὸν οὐδὲ πενίαν μαχοῦνται, κατὰ τάχος πρὸ

cebit nobis ficubus Tusculanis vesci? Et L. Afranius, qui in Hispania copias amiserat proditionisque eo nomine insimulabatur, quum Pompeium pugnam subterfugere videret, mirari se dicebat, cur accusatores sui non ad pugnandum contra emptorem provinciarum procederent. (5) Hæc illi multaque id genus alia dictitantes Pompeium, existimationis retinendæ cupidum amicorumque verecundia victum, expugnarunt et impulerunt ut optimis consiliis omissis, voluntates eorum spesque sequeretur; quod sane vel navis gubernatori indecorum erat facere, nedum tot gentium exercituumque imperatori; atque is medicos laudare solitus, qui nihil unquam ægroti cupiditatibus quicquam indulsissent, ægris expeditionis ducibus concessit, metuens ne salutem afferendo molestus esset. (6) Sanos enim illos ego nequaquam censuero, qui in castris obambulantes, jam tum consulatus et præturas ambiebant; et quidem Spinther, Domitius et Scipio de pontificatu Cæsaris maximo litigabant et suffragia jam tum aucupabantur, quasi vero Tigranem hostem oppositum haberent, aut regem Nabatæorum, non Cæsarem iis cum copiis, cum quibus mille urbes expugnaverat, populos trecentis plures domuerat, cum Germanisque et Gallis invictus depugnaverat innumerabiliaque prœlia fecerat, decies centena millia captivorum abduxerat, totidem signis collatis fusos interfecerat.

LXVIII. Enimvero urgentes Pompeium tumultuantesque, ut in Pharsalicos campos perventum est, senatum advocare coegerunt; ibi Labienus magister equitum primus omnium surgens, juravit se nisi fusis hostibus ex prœlio non rediturum, eodemque modo ceteri omnes juraverunt. (2) Noctu in somnis visus est sibi Pompeius in theatrum ingredi, applaudente populo, et multis ornare spoliis templum Veneris Victricis. Eo insomnio partim confirmatus est, partim territus, metuens ne Cæsari, qui ad Venerem genus suum referebat, gloriam ipse et splendorem afferret. · Panici quoque terrores in castris exorti ipsum excitaverunt. Matutina vigilia in castris Cæsaris summo silentio ingens lumen effulsit, atque inde fax flammea accensa super Pompeii castra decubuit; hoc se Cæsar ipse, quum excubias inspiceret, vidisse ait. (3) Orta luce quum Scotusam versus proficisci statuisset, ac jam tabernacula milites demolirentur et jumenta calonesque præmitterent, exploratores annuntiant multa in castris Pompeii arma hinc inde circumferri, tumultumque esse et agitationem qualis ad pugnam exeuntium assolet: post hos alii primos jam ordines aciei instructos referunt. (4) Tum Cæsar exspectatum illum diem adesse inquiens, ubi non cum fame et egestate, sed cum hoste sit pugnandum, celeriter ante tabernaculum puniceam

τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν φοινικοῦν χιτῶνα· τοῦτο γὰρ μάχης Ῥωμαίοις ἐστὶ σύμβολον. Οἱ δὲ στρατιῶται θεασάμενοι μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες ἐφέροντο πρὸς τὰ ὅπλα. Καὶ τῶν ταξιαρχῶν f ἀγόντων εἰς ἣν ἔδει τάξιν ἕκαστος, ὥσπερ χορὸς ἄνευ θορύβου μεμελετημένως εἰς τάξιν καὶ πρᾴως καθίσταντο.

LXIX. Πομπήιος δὲ τὸ μὲν δεξιὸν αὐτὸς ἔχων ἔμελλεν ἀνθίστασθαι πρὸς Ἀντώνιον, ἐν δὲ τῷ μέσῳ Σκηπίωνα τὸν πενθερὸν ἀντέταξε Καλβίνῳ Λευκίῳ, τὸ δὲ εὐώνυμον εἶχε μὲν Λεύκιος Δομίτιος, ἐῤῥώσθη δὲ τῷ πλήθει τῶν ἱππέων. Ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐῤῥύησαν ὡς Καίσαρα βιασόμενοι καὶ τὸ δέκατον τάγμα 656 διακόψοντες, οὗ πλεῖστος ἦν ὁ λόγος ὡς μαχιμωτάτου, a καὶ Καῖσαρ ἐν ἐκείνῳ ταττόμενος εἰώθει μάχεσθαι. (2) Κατιδὼν δὲ πεφραγμένον ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον καὶ φοβηθεὶς τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ, μετεπέμψατο σπείρας ἓξ ἀπὸ τῶν ἐπιταγμάτων καὶ κατέστησεν ὄπισθεν τοῦ δεκάτου, κελεύσας ἡσυχίαν ἄγειν ἀδήλους τοῖς πολεμίοις ὄντας· ὅταν δὲ προσελαύνωσιν οἱ ἱππεῖς, διὰ τῶν προμάχων ἐκδραμόντας μὴ προέσθαι τοὺς ὑσσούς, ὥσπερ εἰώθασιν οἱ κράτιστοι σπεύδοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ἄνω συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πολεμίων· b οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνθηροὺς πυῤῥιχιστὰς διὰ τὸν ὡραϊσμὸν οὐδὲ ἀντιβλέψειν πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον. (3) Ἐν τούτοις μὲν οὖν ὁ Καῖσαρ ἦν. Ὁ δὲ Πομπήιος ἀφ' ἵππου τὴν παράταξιν ἐπισκοπῶν, ὡς ἑώρα τοὺς μὲν ἀντιπάλους μεθ' ἡσυχίας τὸν καιρὸν ἐν τάξει προσμένοντας, τῆς δ' ὑφ' αὐτῷ στρατιᾶς τὸ πλεῖστον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θορυβούμενον, ἔδεισε μὴ διασπασθῇ παντάπασιν ἐν ἀρχῇ τῆς μάχης, καὶ παράγγελμα τοῖς προτεταγμένοις ἔδωκεν ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τοὺς πολεμίους. (4) Ὁ δὲ Καῖσαρ αἰτιᾶται τὸ στρατήγημα τοῦτο· τῶν τε γὰρ c πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι καὶ τὴν μάλιστα τοὺς πολλοὺς ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα πῆξαι καὶ καταψῦξαι τοὺς ἄνδρας. Ἦσαν δὲ οἱ μὲν μετὰ Καίσαρος δισχίλιοι πρὸς δισμυρίοις, οἱ δὲ μετὰ Πομπηίου βραχεῖ πλείονες ἢ διπλάσιοι τούτων.

LXX. Ἤδη δὲ συνθήματος διδομένου παρ' ἀμφοτέρων καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστασιν, τῶν μὲν πολλῶν ἕκαστος ἐσκόπει τὸ καθ' d αὑτόν, ὀλίγοι δὲ Ῥωμαίων οἱ βέλτιστοι καί τινες Ἑλλήνων παρόντες ἔξω τῆς μάχης, ὡς ἐγγὺς ἦν τὸ δεινόν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅποι φέρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν. Ὅπλα γὰρ συγγενικὰ καὶ τάξεις ἀδελφαὶ καὶ κοινὰ σημεῖα καὶ μιᾶς πόλεως εὐανδρία τοσαύτη καὶ δύναμις αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύσιν, ὡς ἐν πάθει γενομένη τυφλόν ἐστι καὶ μανιῶδες. (2) Ἦν μὲν γὰρ ἤδη καθ'

togam (hoc pugnæ signum est Romanis) suspendi jussit. Quæ ut a militibus est conspecta, effuso gaudio atque clamore omissis tabernaculis, arma rapuerunt et a ductoribus in suum quisque locum ducti, veluti chorus quidam absque omni turba composite suum singuli ordinem servaverunt.

LXIX. Pompeius dextrum cornu Antonio oppositum cepit, mediam aciem Scipioni socero tuendam contra Domitium Calvinum dedit, sinistrum L. Domitius Ahenobarbus ducebat, equitatu multo munitum. Huc enim se omnes fere contulerant, uti decimam legionem, quæ maxime virtute bellica erat nobilis, disjicerent, Cæsaremque in ea pugnam obire solitum funderent. (2) Verum Cæsar quum lævum hostium cornu tam valido equitatu stipatum cerneret, armorum splendorem metuens, sex cohortes ex subsidiis evocavit et a tergo decimæ legionis collocavit, mandato uti quiescerent neque se conspiciendos hostibus darent; ubi equites hostium impetum dedissent, tum ipsi per primam aciem sese proriperent, neque tum (uti solent fortissimi facere militum, ad rem gladiis gerendam properantes) pila abjicerent, sed iis altius conjectis oculos et facies hostium impeterent. Etenim formosos illos et ætate florentes saltatores neque subsistere propter teneritatem, neque oculos attollere adversus ferrum præsens ausuros. (3) Hæc Cæsar agebat. Pompeius vero ex equo aciem inspiciens, quum hostes loco se tenere et tempus pugnæ composito ordine expectare cerneret, milites autem suos pro imperitia æstuare ac tumultuari, ac vix se continere, metuens ne initio pugnæ a se invicem divellerentur, primam aciem tuentibus mandavit, uti loco persisterent impetumque hostium constanter exciperent. (4) Id consilium Cæsar reprehendit; nempe ictuum violentiam, quæ ex cursu intenditur, retudisse eum, præterea impetu illo, qui inter excurrendum in hostem plerosque incendit et quasi furore quodam incitat ac cum clamore et cursu ardorem pugnandi auget, represso, animos eum suorum refrigerasse. Erant in exercitu Cæsaris viginti duo millia, in Pompeiano duplo paullo plures numero.

LXX. Quum utrimque signum pugnæ datum esset classicumque arma expedire monuisset, gregarii milites singuli de se erant solliciti, pauci ex optimatibus Romani, quidamque Græci spectatores pugnæ, quum jamjam conflicturæ essent acies, reputaverunt quem in locum cupiditas pertinaciaque imperium Romanum deduxissent. Erant et arma cognata et ordines germani et communia signa, uniusque urbis virtus et potentia in se ipsam convertebatur, ostendens quam cæca et insana sit humana natura, quum affectibus fertur. (2) Poterat enim uterque ducum quietus jam im-

ἡσυχίαν χρῄζουσιν ἄρχειν καὶ ἀπολαύειν τῶν κατειργασμένων τὸ πλεῖστον καὶ κράτιστον ἀρετῇ γῆς καὶ θαλάσσης ὑπήκοον, ἦν δ' ἔτι τροπαίων καὶ θριάμβων ἔρωτι βουλομένους χαρίζεσθαι καὶ διψῶντας ἐμπίπλασθαι Παρθικῶν πολέμων ἢ Γερμανικῶν. (3) Πολὺ δὲ καὶ
Σκυθία λειπόμενον ἔργον καὶ Ἰνδοί, καὶ πρόφασις οὐκ e
ἄδοξος ἐπὶ ταῦτα τῆς πλεονεξίας ἡμερῶσαι τὰ βαρβαρικά. Τίς δ' ἂν ἢ Σκυθῶν ἵππος ἢ τοξεύματα Πάρθων ἢ πλοῦτος Ἰνδῶν ἐπέσχε μυριάδας ἑπτὰ Ῥωμαίων ἐν ὅπλοις ἐπερχομένας, Πομπηίου καὶ Καίσαρος ἡγουμένων, ὧν ὄνομα πολὺ πρότερον ἤκουσαν ἢ τὸ Ῥωμαίων; οὕτως ἄμικτα καὶ ποικίλα καὶ θηριώδη φῦλα νικῶντες ἐπῆλθον. (4) Τότε δὲ ἀλλήλοις μαχούμενοι συνῄεσαν οὐδὲ τὴν δόξαν αὐτῶν, δι' ἣν τῆς πατρίδος ἠφείδουν, οἰκτείραντες ἄχρι τῆς ἡμέρας ἐκείνης ἀνικήτων προσαγορευομένων. Ἡ μὲν γὰρ γενομένη συγγένεια καὶ τὰ
Ἰουλίας φίλτρα καὶ γάμος ἐκεῖνος εὐθὺς ἦν ἀπατηλὰ f
καὶ ὕποπτα κοινωνίας ἐπὶ χρείᾳ συνισταμένης ὁμηρεύματα, φιλίας δ' ἀληθινῆς οὐ μετέσχεν.

LXXI. Ὡς δ' οὖν τὸ Φαρσάλιον πεδίον ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων ἀνεπέπληστο καὶ μάχης ἤρθη παρ' ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς Καίσαρος φάλαγγος ἐξέδραμε Γάϊος Κρασσιανὸς ἀνδρῶν ἑκατὸν εἴκοσι λοχαγῶν μεγάλην ἀποδιδοὺς ὑπόσχεσιν Καίσαρι. Πρῶ-
657 τον γὰρ αὐτὸν ἐξιὼν τοῦ χάρακος εἶδε καὶ προσαγορεύ- a
σας ἤρετο, πῶς φρονοίη περὶ τῆς μάχης. Ὁ δὲ τὴν δεξιὰν προτείνας ἀνεβόησε, « Νικήσεις λαμπρῶς, ὦ Καῖσαρ, ἐμὲ δὲ ἢ ζῶντα τήμερον ἢ νεκρὸν ἐπαινέσεις. » Τούτων τῶν λόγων μεμνημένος ἐξώρμησε καὶ συνεπεσπάσατο πολλοὺς καὶ προσέβαλε κατὰ μέσους τοὺς πολεμίους. Γενομένου δὲ τοῦ ἀγῶνος εὐθὺς ἐν ξίφεσι καὶ πολλῶν φονευομένων βιαζόμενον πρόσω καὶ διακόπτοντα τοὺς πρώτους ὑποστάς τις ὠθεῖ διὰ τοῦ στόματος τὸ ξίφος, ὥστε τὴν αἰχμὴν περάσασαν ἀνασχεῖν κατὰ τὸ ἰνίον. (2) Πεσόντος δὲ τοῦ Κρασσιανοῦ κατὰ τοῦτο μὲν
ἦν ἰσόρροπος ἡ μάχη, τὸ δὲ δεξιὸν ὁ Πομπήιος οὐ τα- b
χέως ἐπῆγεν, ἀλλὰ παπταίνων ἐπὶ θάτερα καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον ἐνδιέτριβεν. Ἤδη δὲ ἐκεῖνοι τοὺς οὐλαμοὺς ἀνῆγον ὡς κυκλωσόμενοι τὸν Καίσαρα καὶ τοὺς προτεταγμένους ἱππεῖς ὀλίγους ὄντας ἐμβαλόντες εἰς τὴν φάλαγγα. (3) Καίσαρος δὲ σημεῖον ἄραντος οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν, αἱ δὲ ἐπιτεταγμέναι σπεῖραι πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι, τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους καὶ παριστάμενοι καθ' ἵππον, ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς ἐφιέμενοι τῶν προσώπων. Οἱ δὲ, ἅτε μάχης πάσης ἄπειροι,
τοιαύτην δὲ μὴ προσδοκήσαντες μηδὲ προμαθόντες, οὐκ c
ἐτόλμων οὐδὲ ἠνείχοντο τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ' ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς χεῖρας ἀκλεῶς ἐτράποντο. (4) Φευγόντων δὲ τούτων ἀμελήσαντες οἱ Καίσαρος ἐχώρουν ἐπὶ τοὺς πεζούς, ᾗ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐψιλωμένον περιδρομὴν ἐδίδου καὶ κύκλωσιν. Ἅμα δὲ τούτων ἐκ πλαγίου προσπεσόντων καὶ κατὰ στόμα τοῦ δεκάτου

perare et frui partis; nam quod terra marique indole sua optimum præstantissimumque fuit, id habebant subditum atque pacatum. Sin cupiditati tropæorum et triumphorum siti indulgendum putassent, licebat eam Parthicis aut Germanicis bellis restinguere. (3) Restabant etiam Scythia et Indi, quas barbaras gentes velle cicurare haud erat inglorius cupiditatis prætextus. Quis enim Scytharum equitatus, aut Parthorum sagittæ, aut Indorum divitiæ septuaginta armatis Romanorum millibus restitisset, idque Pompeio et Cæsare ducibus, quorum nomina prius quam Romanorum audierant? adeo inaccessas ii multas ferasque gentes vincendo peragraverant. (4) Ii tum ad depugnandum inter se coibant, ne gloriam quidem suam, propter quam patriam in id malorum conjecerant, miserati, quum eum usque ad diem uterque invicti cognomen tenuisset. Nam affinitatem illam et Juliæ amorem nuptiasque statim ab initio apparuit fraudem esse dubiæque fidei et veræ amicitiæ expertis ac necessitatis causa initæ societatis obligationem.

LXXI Posteaquam Pharsalii campi viris, equis et armis repleti fuerunt signumque utrimque conflictus datum, primus ex Cæsaris acie procurrit C. Crassianus (Crastinus), manipuli centum et viginti virorum dux, et quod Cæsari splendide promiserat egregie repræsentavit. Etenim quum primus Cæsari castris exeunti visus, ab eoque salutatus et interrogatus fuisset, quid animi de pugna futura haberet, manu sublata clamaverat: Victoria magnifica potieris, o Cæsar, me autem vel vivum hodie vel mortuum laudabis. Hujus tunc promissi memor, impetu facto, multisque suorum secum una abreptis, in medios hostes irruit. Hic statim pugna ad gladios perducta multisque cæsis, conanti prorumpere et primum quemque ferienti gladium aliquis in adversum os ita impulit, uti mucro per occipitium emineret. Cæso Crassiano (Crastino) aliquamdiu in ea parte æqualis fuit pugna. (2) Pompeius autem dextrum cornu non statim movit, sed alterum timide circumspectans quid equites acturi essent intentus morabatur. Jam tum ii turmas explicuerant, uti Cæsarem cingerent, paucisque objectis hostium equitibus pulsis, pedestrem aciem invadebant. (3) At ubi Cæsar signum dedit, equitibus sese recipientibus, cohortes subsidiariæ (erant tria virorum millia), ut circumdari aciem prohiberent, procurrere, et singuli ad singulos equos subsistentes, directis, ut moniti fuerant, in sublime pilis vultus eorum impetierunt. Sed Pompeiani equites omnis pugnæ rudes, ad hanc vero neque exspectatione neque disciplina instructi, non sustinuerunt ictus in oculos oraque ingestos, sed aversi et manibus facies tegentes turpiter in fugam sese dederunt. (4) Fugientes Cæsariani omiserunt et in peditatum qua is maxime nudatus equitum ala et circumventu facilis erat, irruerunt atque simul his ex obliquo ingruentibus, a fronte de-

προσμίξαντος οὐχ ὑπέμειναν οὐδὲ συνέστησαν ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον αὐτοὺς τοῦτο πάσχοντας.

LXXII. Τραπομένων δὲ τούτων, ὡς κατεῖδε τὸν [d] κονιορτὸν ὁ Πομπήιος καὶ τὸ περὶ τοὺς ἱππέας πάθος εἴκασεν, ᾧ μὲν ἐχρήσατο λογισμῷ χαλεπὸν εἰπεῖν, μάλιστα δὲ ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν καὶ μηδ' ὅτι Μάγνος ἐστὶ Πομπήιος ἐννοοῦντι, μηδένα προσειπὼν ἀπῄει βάδην εἰς τὸν χάρακα, πάνυ τοῖς ἔπεσι πρέπων ἐκείνοις·

Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε·
στῆ δὲ ταφών, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου.

(2) Τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν ἄφθογγος καθῆστο, μέχρι οὗ τοῖς φεύγουσι πολλοὶ διώκοντες συνεισέπιπτον· τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύτην, « Οὐκοῦν καὶ [e] ἐπὶ τὴν παρεμβολήν; » ἄλλο δὲ μηδὲν εἰπών, ἀναστὰς καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ τύχῃ πρέπουσαν ὑπεξῆλθεν. (3) Ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα καὶ φόνος ἐν τῷ στρατοπέδῳ πολὺς ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων· στρατιώτας δὲ μόνους ἑξακισχιλίους πεσεῖν φησι Ἀσίνιος Πολλίων μεμαχημένος ἐκείνην τὴν μάχην μετὰ Καίσαρος. (4) Αἱροῦντες δὲ τὸ στρατόπεδον ἐθεῶντο τὴν ἄνοιαν καὶ κουφότητα τῶν πολεμίων· πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο καὶ στρωμναῖς ἀνθιναῖς ἤσκητο καὶ τραπέζαις ἐκπωμάτων μεσταῖς, καὶ κρατῆρες οἴνου προὔκειντο καὶ παρασκευὴ καὶ κόσμος [f] ἦν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον ἢ πρὸς μάχην ἐξοπλιζομένων. Οὕτω ταῖς ἐλπίσι διεφθαρμένοι καὶ γέμοντες ἀνοήτου θράσους ἐπὶ τὸν πόλεμον ἐχώρουν.

LXXIII. Πομπήιος δὲ μικρὸν ἔξω τοῦ χάρακος προελθὼν τὸν μὲν ἵππον ἀφῆκεν, ὀλίγων δὲ κομιδῇ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἀπῄει καθ' ἡσυχίαν ἐν διαλογισμοῖς ὤν, οἵους εἰκὸς λαμβάνειν ἄνθρωπον ἔτη τέτταρα καὶ τριάκοντα νικᾶν καὶ κρατεῖν ἁπάντων [658] εἰθισμένον, ἥττης δὲ καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ [a] λαμβάνοντα πεῖραν, ἐννοούμενον δὲ ἐξ ὅσων ἀγώνων καὶ πολέμων ηὐξημένην ἀποβαλὼν ὥρᾳ μιᾷ δόξαν καὶ δύναμιν πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος ἀπέρχεται μικρὸς οὕτω γεγονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους. (2) Παραμειψάμενος δὲ Λάρισσαν, ὡς ἦλθεν ἐπὶ τὰ Τέμπη, καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα δεδιψηκὼς ἔπινε τοῦ ποταμοῦ καὶ πάλιν ἀναστὰς ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρι οὗ κατῆλθεν ἐπὶ θάλατταν. Ἐκεῖ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυσάμενος ἐν καλυβίῳ τινὶ [b] σαγηνέων καὶ περὶ τὸν ὄρθρον ἐπιβὰς ποταμίου πλοίου καὶ τῶν ἑπομένων τοὺς ἐλευθέρους ἀναλαβών, τοὺς δὲ θεράποντας ἀπεῖναι πρὸς Καίσαρα κελεύσας καὶ μὴ δεδιέναι, παρὰ γῆν κομιζόμενος εἶδεν εὐμεγέθη φορτηγὸν ἀνάγεσθαι μέλλουσαν, ἧς ἐναυκλήρει Ῥωμαῖος ἀνὴρ οὐ πάνυ Πομπηίῳ συνήθης, γινώσκων δὲ τὴν ὄψιν αὐτοῦ· Πετίκιος ἐπεκαλεῖτο. (3) Τούτῳ συνεβεβήκει τῆς

cima legio invasit, non subsistentes, neque ordines acie servantes, quum viderent, interea dum se circumventuros hostem putaverant, sibi ipsis id accidisse.

LXXII. His fusis Pompeius ubi pulverem vidit et quid equitibus accidisset conjecit, quod secutus consilium sit, difficile dictu est, maxime autem attonito et de potestate rationis deturbato similis neque cogitanti quod Pompeius Magnus esset, neminem allocutus lento gressu in castra abiit. Et omnino in eum versus hi quadrabant:

Ajaci incussit tunc Juppiter ipse timorem;
Attonitus stetit, atque in dorsum tergora scuti
Rejiciens septena boum, late omnia circum
Prospiciens, turbamque hominum.

(2) Talis tunc Pompeius ut in tentorium venit, tacitus consedit, donec fugientibus multi hostium instantes una in castra irruperunt. Ibi hac una edita voce: Ad castrane etiam? nihil præterea locutus, veste qualis præsenti fortunæ conveniebat indutus, aufugit. (3) Fugam reliquæ etiam legiones fecerunt et in castris magna calonum et eorum qui tabernacula custodiebant cædes fuit. Sex modo militum millia cecidisse Asinius Pollio scribit, qui in ea pugna Cæsari adfuit. (4) Captis castris amentiam et vanitatem Pompeianorum viderunt. Omnia enim tabernacula myrto fuerunt coronata, veste stragula versicolori exornata, mensæ poculis instructæ, appositi crateres vini, atque omnino is apparatus, qualis hominum sacrificantium et festos dies agentium est potius quam ad pugnam euntium. Adeo illi spe perditi et insana temeritate capti, ad bellum accesserant.

LXXIII. Pompeius paullum extra castra progressus, equum dimisit paucisque admodum comitatus, quum nemo hostium insequeretur, tacitus abiit, iis in cogitationibus versans, in quas venire par erat virum qui triginta quattuor annis omnes superare solitus, tunc primum in sua senectute quid esset vinci et fugere sentiret, tum reputantem, quantam gloriam potentiamque multis certaminibus bellisque auctam unius horæ momento amisisset, ut paullo ante tot militibus, equis navibusque stipatus, adeo nunc destitutus et abjectus discederet, uti hostes etiam inquirentes falleret. (2) Inde Larissam transgressus ut ad Tempe venit sitibundus, in faciem se sternens aquam Penei hausit; atque inde surgens per Tempe usque ad mare iter fecit. Ibi noctis reliquum in piscatoria casula exegit; circa auroram in fluviatilem lembum ingressus, de comitibus ingenuos ad se recepit, servos abire ad Cæsarem bono animo jussit. Inde oram legens ad justæ magnitudinis onerariam navim pervenit, cui præerat vir quidam Romanus cognomine Peticii, qui Pompeium de facie noverat, nihil alioquin admodum cum eo commercii habuerat. (3) Ei præterita nocte in somnis

παρῳχημένης νυκτὸς ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήιον, οὐχ ὃν ἑώρακε πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατηφῆ προσδιαλεγόμενον αὐτῷ. Καὶ ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος, ὡς δὴ φιλεῖ περὶ πραγμάτων τηλικούτων c λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. Ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔφρασε κατιδών, ὅτι πλοῖον ποτάμιον ἀπὸ τῆς γῆς ἐρέσσεται καὶ κατασείουσί τινες ἄνθρωποι τὰ ἱμάτια καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. (4) Ἐπιστὰς οὖν εὐθὺς ὁ Πετίκιος ἔγνω τὸν Πομπήιον, οἷον ὄναρ εἶδε· καὶ πληξάμενος τὴν κεφαλὴν ἐκέλευσε τοὺς ναύτας τὸ ἐφόλκιον παραβαλεῖν καὶ τὴν δεξιὰν ἐξέτεινε καὶ προσεκάλει τὸν Πομπήιον, ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην καὶ μεταβολὴν τοῦ ἀνδρός. Ὅθεν οὔτε παράκλησιν ἀναμείνας οὔτε λόγον, ἀλλ' ἀναλαβὼν ὅσους ἐκέλευσε μετ' αὐτοῦ (Λέντουλοι δὲ ἦσαν ἀμφότεροι καὶ Φαώνιος) ἀνήχθη· καὶ d μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἁμιλλώμενον Δηιόταρον τὸν βασιλέα προσαναλαμβάνουσιν. (5) Ἐπεὶ δὲ καιρὸς ἦν δείπνου καὶ παρεσκεύασεν ὁ ναύκληρος ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήιον ἀρχόμενον αὐτὸν ὑπολύειν προσέδραμε καὶ ὑπέλυσε καὶ συνήλειψε. Καὶ τὸ λοιπὸν ἐκ τούτου περιέπων καὶ θεραπεύων, ὅσα δεσπότας δοῦλοι, μέχρι νίψεως ποδῶν καὶ δείπνου παρασκευῆς διετέλεσεν, ὥστε τὴν ἐλευθεριότητα τῆς ὑπουργίας ἐκείνης θεασάμενον ἄν τινα καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον εἰπεῖν·

Φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

LXXIV. Οὕτω δὲ παραπλεύσας ἐπ' Ἀμφιπόλεως ἐκεῖθεν εἰς Μιτυλήνην ἐπεραιοῦτο βουλόμενος τὴν Κορνηλίαν e ἀναλαβεῖν καὶ τὸν υἱόν. Ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ' αἰγιαλόν, ἔπεμψεν εἰς πόλιν ἄγγελον, οὐχ ὡς ἡ Κορνηλία προσεδόκα τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζουσα τοῦ πολέμου κεκριμένου περὶ Δυῤῥάχιον ἔτι λοιπὸν ἔργον εἶναι Πομπηίῳ τὴν Καίσαρος δίωξιν. (2) Ἐν τούτοις οὖσαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος ἀσπάσασθαι μὲν οὐχ ὑπέμεινε, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν κακῶν τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ φράσας σπεύδειν ἐκέλευσεν, εἰ βούλεται πως Πομπήιον ἰδεῖν ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. Ἡ δὲ ἀκούσασα προήκατο μὲν αὑτὴν χαμᾶζε καὶ πολὺν χρόνον f ἔκφρων καὶ ἄναυδος ἔκειτο, μόλις δέ πως ἔμφρων γενομένη καὶ συννοήσασα τὸν καιρὸν οὐκ ὄντα θρήνων καὶ δακρύων, ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ θάλατταν. (3) Ἀπαντήσαντος δὲ τοῦ Πομπηίου καὶ δεξαμένου ταῖς ἀγκάλαις αὐτὴν ὑπερειπομένην καὶ περιπίπτουσαν, « Ὁρῶ σε, εἶπεν, ἄνερ, οὐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς
659 ἐμῆς, προσεῤῥιμμένον ἑνὶ σκάφει, τὸν πρὸ τῶν Κορνηλίας a γάμων πεντακοσίαις ναυσὶ ταύτην παραπλεύσαντα τὴν θάλασσαν. Τί με ἦλθες ἰδεῖν καὶ οὐκ ἀπέλιπες τῷ βαρεῖ δαίμονι τὴν καὶ σὲ δυστυχίας ἀναπλήσασαν τοσαύτης; Ὡς εὐτυχὴς μὲν ἂν ἤμην γυνὴ πρὸ τοῦ Πόπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον ἀποθανοῦσα, σώφρων δὲ καὶ μετ' ἐκεῖνον, ὥσπερ

visus fuerat Pompeius, non qualem sæpe viderat, sed abjectus et mœstus secum colloqui; idque tum una navigantibus insomnium exponebat (sicuti solent homines otiosi hujusmodi de rebus confabulari), quum subito quidam nautarum ei dicit, videre se fluviatilem lembum a terra remigio adigi, hominesque quosdam vestes concutere, manusque versum ipsos protendere. (4) Peticius itaque confestim inhibito remigio, Pompeium, qualis ei per insomnium apparuerat, agnovit, feriensque caput, appendicem naviculam admovere iis jussit, manusque intendens Pompeium vocavit, fortunam viri ex ipso habitu intelligens. Quare non præstolatus preces aut orationem Pompeii, eo et quos is jubebat (duo autem hi erant Lentuli et Favonius) receptis provectus est; paullo post ad ipsos a terra propere contendentem Deiotarum regem receperunt. (5) Sub tempus cœnæ, quum nauclerus pro præsenti copia instruxisset, Favonius Pompeium cernens inopia famulorum ipsum soleas solvere, accurrit, eique solvit et unxit eum, atque in posterum omnia servitia, ut domini servis, usque ad pedum etiam lotionem et cœnæ administrationem obivit, ita ut, si quis ministerii ejus liberalitatem inspexisset, simplicis et ab omni simulatione puri, is utique dicturus fuerit,

En, omnia ingenuos ut egregie decent.

LXXIV. Ita vectus Amphipolin Pompeius, Mitylenen inde trajecit, Corneliam et filium ibi assumpturus. Ut ad littus insulæ appulit, nuntium in urbem misit Corneliæ, quæ annuntiatis et scriptis sibi delinita, hoc unum opinabatur Pompeio restare, ut bello jam ad Dyrrhachium confecto Cæsarem persequeretur. (2) His eam intentam cogitationibus accessit nuntius et salutatione omissa, potissima et pleraque malorum lacrimis magis quam voce indicans, properare jussit, si Pompeium una sola et aliena advectum navi cernere velit. Quod ut audivit Cornelia, humi procubuit et aliquamdiu mentis vocisque impos jacuit; vix tandem ad se rediit intelligensque non hoc lamentandi esse et flendi tempus, ad mare per urbem excurrit. (3) Occurrenti Pompeio, obviisque ulnis labantem in ipsumque corruentem tenenti, Video, inquit, te, marite, non tua, « sed mea fortuna perditum ad unicum navigium recidisse, qui ante Corneliæ nuptias quingentis navibus per hoc æquor vehebaris. Quid me visum venisti? cur non me adverso meo fato reliquisti, a qua in te etiam tantum redundavit calamitatis? Ah quam felix fuissem mulier, si antequam P. Crassum, cui virgo nupsi, in Parthis occidisse renuntiatum fuit, mortem obiissem! quam vero laudabilis, si, quod conata fui, eo

ὥρμησα, τὸν ἐμαυτῆς προεμένη βίον. Ἐσωζόμην δ' ἄρα καὶ Πομπηίῳ Μάγνῳ συμφορὰ γενέσθαι. »

LXXV. Ταῦτα εἰπεῖν τὴν Κορνηλίαν λέγουσι, τὸν δὲ Πομπήιον ἀποκρίνασθαι· « Μίαν ἄρα, Κορνηλία, τύχην ᾔδεις τὴν ἀμείνονα, ἣ καὶ σὲ ἴσως ἐξηπάτησεν, ὅτι μοι χρόνον πλείονα τοῦ συνήθους παρέμεινεν. Ἀλλὰ b καὶ ταῦτα δεῖ φέρειν γενομένους ἀνθρώπους καὶ τῆς τύχης ἔτι πειρατέον. Οὐ γὰρ ἀνέλπιστον ἐκ τούτων ἀναλαβεῖν ἐκεῖνα τὸν ἐξ ἐκείνων ἐν τούτοις γενόμενον. » (2) Ἡ μὲν οὖν γυνὴ μετεπέμπετο χρήματα καὶ θεράποντας ἐκ πόλεως· τῶν δὲ Μιτυληναίων τὸν Πομπήιον ἀσπασαμένων καὶ παρακαλούντων εἰσελθεῖν εἰς τὴν πόλιν οὐκ ἠθέλησεν, ἀλλὰ κἀκείνους ἐκέλευσε τῷ κρατοῦντι πείθεσθαι καὶ θαρρεῖν, εὐγνώμονα γὰρ εἶναι Καίσαρα καὶ χρηστόν. (3) Αὐτὸς δὲ πρὸς Κράτιππον τραπόμενος τὸν φιλόσοφον (κατέβη γὰρ ἐκ τῆς πόλεως ὀψόμενος αὐτὸν) ἐμέμψατο καὶ συνδιηπόρησε βραχέα c περὶ τῆς προνοίας, ὑποκατακλινομένου τοῦ Κρατίππου καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας ἐλπίδας, ὅπως μὴ λυπηρὸς μηδὲ ἄκαιρος ἀντιλέγων εἴη. Ἐπεὶ τὸ μὲν ἐρέσθαι τὸν Πομπήιον ἦν ὑπὲρ τῆς προνοίας, τὸ δὲ ἀποφαίνεσθαι, ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν· ἐρέσθαι δέ· « Πῶς, ὦ Πομπήιε, καὶ τίνι τεκμηρίῳ πεισθῶμεν, ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ Καίσαρος ἐχρήσω κρατήσας; » Ἀλλὰ ταῦτα μὲν ἐατέον ὥσπερ ἔχει τὰ τῶν θεῶν.

LXXVI. Ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τοὺς φίλους ἐκομίζετο προσίσχων ὅρμοις ἀναγκαίοις ὕδωρ ἢ ἀγορὰν ἔχουσιν. Εἰς δὲ πόλιν εἰσῆλθε πρώτην Ἀττάλειαν τῆς d Παμφυλίας. Ἐνταῦθα δὲ αὐτῷ καὶ τριήρεις τινὲς ἀπήντησαν ἐκ Κιλικίας καὶ στρατιῶται συνελέγοντο καὶ τῶν συγκλητικῶν πάλιν ἑξήκοντα περὶ αὐτὸν ἦσαν. (2) Ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι καὶ Κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς Λιβύην, ὠδύρετο πρὸς τοὺς φίλους καταμεμφόμενος ἑαυτὸν ἐκβιασθέντα τῷ πεζῷ συμβαλεῖν, τῇ κρείττονι δὲ ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρήσασθαι μηδὲ περιορμίσαι τὸ ναυτικόν, ὅπου κατὰ γῆν σφαλεὶς εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάττης παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην. Οὐδὲν γὰρ ἁμάρτημα Πομπηίου μεῖζον e οὐδὲ δεινότερον στρατήγημα Καίσαρος ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. (3) Οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων κρίνειν τι καὶ πράττειν ἀναγκαζόμενος ἐπὶ τὰς πόλεις περιέπεμπε, τὰς δ' αὐτὸς περιπλέων ᾔτει χρήματα καὶ ναῦς ἐπλήρου. Τὴν δ' ὀξύτητα τοῦ πολεμίου καὶ τὸ τάχος δεδοικώς, μὴ προαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθών, ἐσκόπει καταφυγὴν ἐπὶ τῷ παρόντι καὶ ἀναχώρησιν. (4) Ἐπαρχία μὲν οὖν οὐδεμία φύξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς, τῶν δὲ βασιλειῶν αὐτὸς μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς ὄντας αὖθίς τε ῥῶσαι καὶ f προπέμψαι μετὰ πλείστης δυνάμεως· (5) τῶν δ' ἄλλων οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώμην,

mortuo vitam projecissem! Nunc in hoc me servatam video, uti etiam Pompeio Magno cladem afferrem. »

LXXV. Hæc eam locutam Pompeium sic respondisse memorant: « Prosperam nimirum, o Cornelia, fortunam tantum noveras, quæ te, uti sentio, decepit, me diutius quam moris ejus est complexa. Sed tamen et hæc ferenda nobis sunt, quippe hominibus, et periclitanda porro fortuna. Neque enim desperandum est posse nos ex hoc casu ad pristinum statum redire, quum ex eo huc redacti simus. » (2) Exinde Cornelia opes et famulos ex urbe accivit, Mitylenæos autem Pompeium salutatum egressos et ut in urbem intraret orantes, hoc recusato monuit, uti bono animo essent et victori parerent Cæsari, bono et clementi viro. (3) Ipse ad Cratippum philosophum, qui Pompeii videndi causa ex urbe descenderat, conversus, reprehendit, ac de providentia divina pauca quædam cum eo disputavit, Cratippo, ne contradicendo molestus aut intempestivus esset, subterfugiente certamen, et ad meliores spes suscipiendas deducente. Etenim Cratippus quum nomine providentiæ Pompeium interrogare potuisset, tum ostendere, vitiosum reipublicæ statum monarchiam jam exposcere, et quærere præterea, quo tandem argumento constiterit, Pompeium melius usurum fuisse fortuna, si vicisset, quam Cæsarem. Verum hæc quæ in deorum sunt posita arbitrio, relinquenda sunt.

LXXVI. Ceterum uxore et amicis receptis Pompeius ex Lesbo solvit, neque nisi aqua aut cibo quum esset opus, navim portui appulit. Prima urbs quam intravit, Attalia fuit Pamphyliæ. Ibi aliquot triremes ad ipsum militesque convenerunt, adeo ut rursum sexaginta senatorios viros secum haberet. (2) Audiens autem et classem adhuc constare et Catonem multis ad se receptis militibus in Africam transmittere, fortunam suam apud amicos deploravit, seque incusavit, qui cogi se ad prœlium terrestre committendum passus, navalibusque copiis (quibus absque dubio prævalebat) nullam ad rem usus fuisset, neque classem loco circumposuisset, ut clade in terra accepta, in promptu vires hosti pares a mari haberet. Non enim aliud Pompeii gravius est peccatum, aut Cæsaris callidius consilium, quam quod ad pugnam tam procul a classis auxilio abstraxit hostem. (3) Verumtamen ex præsenti re consilium capere et aliquid moliri coactus, ad urbes partim misit, partim ipse navibus accessit, pecuniam et supplementum navibus exigens. Interim hostis celeritatem metuens, ne superveniens eum rebus nondum satis paratis arriperet, de perfugio in præsentia aliquo et secessu cogitavit (4) Deliberantibus nulla P. R. provincia perfugium præstare visa est; ex regnis ipse Parthiam prætulit, quæ et in præsens ad suscipiendum et tegendum infirmos ipsos et ad erigendum magnisque cum copiis emittendum satis haberet opum. (5) Reliqui partim Africam et Jubam regem præferebant.

Θεοφάνει δὲ τῷ Λεσβίῳ μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντα καὶ Πτολεμαῖον, ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ χάριτος 660 πατρῴας ὑπόχρεων, Πάρθοις ὑποβαλεῖν ἑαυτὸν, ἀπιστοτάτῳ γένει, καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ κηδεστῇ γενομένῳ τὰ δεύτερα λέγοντα πρῶτον εἶναι τῶν ἄλλων μὴ θέλειν μηδὲ πειρᾶσθαι τῆς ἐκείνου μετριότητος, Ἀρσάκην δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ τὸν μηδὲ Κράσσου δυνηθέντα ζῶντος· καὶ γυναῖκα νέαν οἴκου τοῦ Σκηπίωνος εἰς βαρβάρους κομίζειν ὕβρει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας, ᾗ, κἂν μὴ πάθῃ, δόξαι γε παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς ποιῆσαι δυναμένοις γενομένῃ. Τοῦτο μόνον, ὥς φασιν, ἀπέτρεψε τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπήιον· εἰ δή τις ἔτι Πομπηίου λογισμὸς, ἀλλ' οὐχὶ δαίμων ἐκείνην ὑφηγεῖτο τὴν ὁδόν.

LXXVII. Ὡς δ' οὖν ἐνίκα φεύγειν εἰς τὴν Αἴγυπτον, ἀναχθεὶς ἀπὸ Κύπρου Σελευκίδι τριήρει μετὰ τῆς γυναικός (τῶν δὲ ἄλλων οἱ μὲν ἐν μακραῖς ὁμοίως ναυσὶν, οἱ δὲ ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον), τὸ μὲν πέλαγος διεπέρασεν ἀσφαλῶς, πυθόμενος δὲ τὸν Πτολεμαῖον ἐν Πηλουσίῳ καθῆσθαι μετὰ στρατιᾶς πολεμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε προπέμψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον. (2) Ὁ μὲν οὖν Πτολεμαῖος ἦν κομιδῇ νέος, ὁ δὲ πάντα διέπων τὰ πράγματα Ποθεινὸς ἤθροισε βουλὴν τῶν δυνατωτάτων· ἐδύναντο δὲ μέγιστον οὓς ἐκεῖνος ἐβούλετο· καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος. Ἦν οὖν δεινὸν περὶ Πομπηίου Μάγνου βουλεύεσθαι Ποθεινὸν τὸν εὐνοῦχον καὶ Θεόδοτον τὸν Χῖον ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον καὶ τὸν Αἰγύπτιον Ἀχιλλᾶν. Κορυφαιότατοι γὰρ ἦσαν ἐν κατευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. Καὶ τοιούτου δικαστηρίου ψῆφον Πομπήιος ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων περιέμενεν, ὃν Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν. (3) Τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπελαύνειν ἐκέλευον, οἱ δὲ καλεῖν καὶ δέχεσθαι τὸν ἄνδρα· Θεόδοτος δὲ δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος οὐδέτερον ἀπέφηνεν ἀσφαλὲς, ἀλλὰ δεξαμένους μὲν ἕξειν Καίσαρα πολέμιον καὶ δεσπότην Πομπήιον, ἀπωσαμένους δὲ καὶ Πομπηίῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι καὶ Καίσαρι τῆς διώξεως· κράτιστον οὖν εἶναι μεταπεμψαμένους ἀνελεῖν τὸν ἄνδρα· καὶ γὰρ ἐκείνῳ χαριεῖσθαι, καὶ τοῦτον οὐ φοβήσεσθαι. Προσεπεῖπε δὲ διαμειδιάσας, ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει.

LXXVIII. Ταῦτα κυρώσαντες ἐπ' Ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. Ὁ δὲ Σεπτίμιόν τινα πάλαι γεγονότα Πομπηίου ταξίαρχον παραλαβὼν καὶ Σάλβιον ἕτερον ἑκατοντάρχην καὶ τρεῖς ἢ τέτταρας ὑπηρέτας ἀνήχθη πρὸς τὴν Πομπηίου ναῦν. Ἔτυχον δὲ πάντες εἰς αὐτὴν οἱ δοκιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. Ὡς οὖν εἶδον οὐ βασιλικὴν οὐδὲ λαμπρὰν οὐδὲ ταῖς Θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδοχὴν, ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους

Theophanes Lesbius insani judicabat esse, relicta Ægypto, quæ tridui itinere aberat et Ptolemæo ephebo, et qui pro amicitia beneficiisque patri suo præstitis gratiam deberet, a præterito, infidelissimæ Parthorum genti se committere, et qui socero pridem suo, viro Romano, nolit primas in republica tribuere, atque ipse secundo loco omnibus prior esse, neque ejus æquitatem experiri, eum se Arsaci tradere, qui ne Crassum quidem nisi mortuum ferre potuerit; denique Scipionis genere ortam uxorem ætate florente inter barbaros, qui libidine potestatem suam definiant, abducere, quæ ut nihil acciperet injuriæ, attamen videri accepisse, quum in potestate fuerit eorum, qui facere possent, indignum esse. Hoc unum fuisse aiunt quod a profectione in Parthos Pompeium averterit; si tamen consilium eo tempore aliquod Pompeius secutus est et non fatum jam dux b vitæ fuit.

LXXVII. Itaque ut sententia fugiendi in Ægyptum vicit, Seleuciensi triremi a Cypro cum uxore avectus est, reliquis partim navibus longis, partim onerariis eum comitantibus; et quum tuto id maris trajecisset, Ptolemæum cum exercitu apud Pelusium agere bellum contra sororem gerentem audiens, eo appulit, præmisso qui de ejus adventu regi indicaret atque deprecaretur. (2) Erat adhuc admodum adolescens Ptolemæus, Pothinus summam omnium rerum gubernans, potentissimorum (hi erant, quos ipse volebat) senatum advocavit, et quemvis dicere quod sen- c tiret jussit. Id vero indignum erat, de Pompeio Magno consultare Pothinum eunuchum et Theodotum Chium, qui mercede regem oratoriam docebat, et Ægyptium Achillam: hi enim inter cubicularios et educatores regios ceteros præcipui erant consiliarii; hujusque consilii sententiam procul a terra in ancoris exspectabat Pompeius, quem salutem suam Cæsari debere indignum erat. (3) Quum reliquorum sententiæ diversæ essent, quibusdam pelli, quibusdam vocari et accipi hominem jubentibus, Theodotus, uti facundiam suam artemque ostentaret, neutrum tutum esse dixit: nam et si accepissent, Cæsarem hostem, Pompeium dominum d se habituros; et si exclusissent, Pompeium ob repulsam, Cæsarem, quod insequi eum diutius cogeretur, infensum futurum; optimum sibi videri, acceptum Pompeium interficere; ita et a Cæsare gratiam inituros et metu Pompeii se liberaturos. Subridens quoque (ut aiunt) addidit, mortuum non mordere.

LXXVIII. In hanc concessum est sententiam et Achillæ facinus mandatum. Is assumpto Septimio, qui ordines quondam apud Pompeium duxerat, et Salvio, qui centurio sub eodem fuerat, ac præterea tribus aut quattuor famulis, ita ad navim Pompeii advectus est. Conscenderant in navim Pompeii ex iis qui una venerant præstantissimus quisque, uti viderent quidnam rerum ageretur. Qui ut e viderunt non regio more, non magnifice neque pro spe a Theophane facta Pompeium excipi, sed ad hoc officium

ἀνθρώπους, ὑπείδοντο τὴν ὀλιγωρίαν καὶ τῷ Πομπηΐῳ παρῄνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν, ἕως ἔξω βέλους εἰσίν. (2) Ἐν τούτῳ δὲ πελαζούσης τῆς ἁλιάδος φθάσας ὁ Σεπτίμιος ἐξανέστη καὶ Ῥωμαϊστὶ τὸν Πομπήϊον αὐτοκράτορα προσηγόρευσεν. Ὁ δὲ Ἀχιλλᾶς ἀσπασάμενος αὐτὸν Ἑλληνιστὶ παρεκάλει μετελθεῖν εἰς τὴν ἁλιάδα· τέναγος γὰρ εἶναι πολὺ καὶ βάθος οὐκ ἔχειν πλώιμον τριήρει τὴν θάλατταν ὑπόψαμμον οὖσαν. Ἅμα δὲ καὶ ναῦς τινες ἑωρῶντο τῶν βασιλικῶν f πληρούμεναι καὶ τὸν αἰγιαλὸν ὁπλῖται κατεῖχον, ὥστ' ἄφυκτα καὶ μεταβαλλομένοις ἐφαίνετο καὶ προσῆν τὸ διδόναι τοῖς φονεῦσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας
661 ἀπολογίαν. Ἀσπασάμενος οὖν τὴν Κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ τὸ τέλος καὶ δύο ἑκατοντάρχας a προσεμβῆναι κελεύσας καὶ τῶν ἀπελευθέρων ἕνα Φίλιππον καὶ θεράποντα Σκύθην ὄνομα, δεξιουμένων αὐτὸν ἤδη τῶν περὶ τὸν Ἀχιλλᾶν, ἐκ τῆς ἁλιάδος μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν εἶπε Σοφοκλέους ἰαμβεῖα·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

LXXIX. Ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ φθεγξάμενος ἐνέβη· καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ τὴν γῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ τῶν συμπλεόντων ἐγίνετο λόγος φιλάνθρωπος πρὸς αὐτόν, ἀποβλέψας εἰς τὸν Σεπτίμιον, «Οὐ δή πού σε, εἶπεν, ἐγὼ γεγονότα συστρατιώτην ἐμὸν ἀμφιγνοῶ;» κἀκεῖνος ἐπένευσε b τῇ κεφαλῇ μόνον, οὐδὲν προσειπὼν οὐδὲ φιλοφρονηθείς. Πολλῆς οὖν πάλιν οὔσης σιωπῆς ὁ Πομπήιος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτοῦ λόγον Ἑλληνικόν, ᾧ παρεσκεύαστο χρῆσθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. (2) Ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα τὸ μέλλον ἀπεσκοπεῖτο καὶ θαρρεῖν ἤρχετο πολλοὺς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει συνερχομένους. Ἐν τούτῳ δὲ τὸν Πομπήιον τῆς τοῦ Φιλίππου λαμβανόμενον χειρός, ὅπως ῥᾷον c ἐξανασταίη, Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτος, εἶτα Σάλβιος μετ' ἐκεῖνον, εἶτα Ἀχιλλᾶς ἐσπάσαντο τὰς μαχαίρας. Ὁ δὲ ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου μηδὲν εἰπὼν ἀνάξιον ἑαυτοῦ μηδὲ ποιήσας, ἀλλὰ στενάξας μόνον ἐνεκαρτέρησε ταῖς πληγαῖς, ἑξήκοντα μὲν ἑνὸς δέοντα βεβιωκὼς ἔτη, μιᾷ δ' ὕστερον ἡμέρᾳ τῆς γενεθλίου τελευτήσας τὸν βίον.

LXXX. Οἱ δ' ἀπὸ τῶν νεῶν ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκουστον ἄχρι τῆς γῆς ἐκχέαντες ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. Καὶ πνεῦμα d λαμπρὸν ἐβοήθει πελαγίοις ὑπεκθέουσιν, ὥστε βουλομένους διώκειν ἀποτραπέσθαι τοὺς Αἰγυπτίους. (2) Τοῦ δὲ Πομπηίου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος τοῖς δεομένοις τοιούτου θεάματος ἀπέλιπον. Παρέμεινε δὲ

paucos una cymba venire, suspectam habuere eam contemptionem, Pompeiumque hortati sunt, uti navem in altum detruderet, dum adhuc extra teli jactum essent. (2) Interim cymba appropinquante, mature Septimius surrexit, Romanoque sermone Pompeium imperatorem salutavit. Et Achillas Græcis verbis eum excipiens, in cymbam transire jubehat, vadum ibi causatus, et mare ob arenæ multitudinem triremi non esse navigabile. Simul et naves quasdam regias classiariis impleri cernebant; et armatos milites in littore disponi, ut mutata etiam sententia effugiendi nulla esset spes et ipsa incredulitas cædis purgandæ causam interfectoribus præbere posset. Salutata itaque Cornelia, quæ jam tum mariti exitum lamentabatur, duos præterea centuriones in cymbam ingredi jussit, unumque ex libertis Philippum, et famulum Scytham nomine. Quum jam Achillas ei manum porrigeret, de cymba ad uxorem et filium conversus, Sophoclis iambos protulit:

Etenim tyranni quisquis intrat in domum,
fit servus ejus, liber etsi venerit.

LXXIX. Hac postrema voce suos allocutus, cymbam et ipse conscendit. Quum jam procul triremi sua provectus nullam eorum qui una navigabant benignam mentionem audiret ad se fieri, Septimium intuitus, Ecquid te, inquit, ego meum olim commilitonem agnosco? atque is capite tantum annuens, nihil respondit, neque ullum amicitiæ signum exhibuit. Alto rursum orto silentio, Græcam orationem quam in libello conscripserat usurus ea apud Ptolemæum, relegit. (2) Quum terræ appropinquarent, Cornelia cum amicis in triremi vehementer anxia, eventum exspectabat et jam animum recipere cœperat, multos ad littus aulicos veluti honoris et salutandi gratia confluere cernens, quum Pompeium ut facilius surgeret Philippi manum apprehendentem Septimius a tergo ense trajicit; post hunc Salvius, inde Achillas gladios strinxere. Pompeius nihil se indignum neque agens neque locutus, utraque manu togam faciei prætendens gemitu tantum emisso ictus excepit, itaque mortuus est postridie natalis sui diei annos natus undesexaginta.

LXXX. Qui in triremibus erant Pompeiani, ejulatu qui in terram usque exaudiretur edito, sublatis ancoris summa celeritate fugerunt, ventusque mari alto incumbens eos juvit, ut ne volentibus quidem persequi Ægyptiis licuisset. (2) Illi capite Pompeii amputato, truncum nudum ex cymba projecerunt, spectandum iis quos hæc spectacula delectarent. Philippus tamdiu, dum saturati aspectu dis-

αὐτῷ Φίλιππος, ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως· εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ σῶμα καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστείλας, ἄλλο δὲ οὐδὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλὸν εὗρε μικρᾶς ἁλιάδος λείψανα, παλαιὰ μέν, ἀρκοῦντα δὲ νεκρῷ γυμνῷ καὶ οὐδὲ ὅλῳ πυρκαϊὰν ἀναγκαίαν παρασχεῖν. (3) Ταῦτα συγκομίζοντος αὐτοῦ e καὶ συντιθέντος ἐπιστὰς ἀνὴρ Ῥωμαῖος ἤδη γέρων, τὰς δὲ πρώτας στρατείας ἔτι νέος Πομπηΐῳ συνεστρατευμένος « Τίς ὤν, ὦ ἄνθρωπε, ἔφη, θάπτειν διανοῇ Μάγνον Πομπήιον; » Ἐκείνου δὲ φήσαντος, ὡς ἀπελεύθερος, « Ἀλλ' οὐ μόνῳ σοί, ἔφη, τοῦτο τὸ καλὸν ὑπάρξει· κἀμὲ δὲ ὥσπερ εὑρήματος εὐσεβοῦς δέξαι κοινωνόν, ὡς μὴ κατὰ πάντα μέμφωμαι τὴν ἀποξένωσιν, ἀντὶ πολλῶν ἀνιαρῶν τοῦτο γοῦν εὑράμενος, ἅψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγιστον αὐτοκράτορα Ῥωμαίων. » Οὕτω μὲν ἐκηδεύετο Πομπήιος. (4) Τῇ δ' ὑστεραίᾳ Λεύκιος Λέντλος οὐκ εἰδὼς τὰ f πεπραγμένα πλέων ἀπὸ Κύπρου καὶ παρὰ γῆν κομιζόμενος, ὡς εἶδε νεκροῦ πυρὰν καὶ παρεστῶτα τὸν Φίλιππον, οὔπω καθορώμενος· « Τίς ἄρα, ἔφη, τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται; » καὶ μικρὸν διαλιπὼν καὶ στενάξας, « Τάχα δέ, εἶπε, σύ, Πομπήιε Μάγνε. » Καὶ μετὰ μικρὸν ἀποβὰς καὶ συλληφθεὶς ἀπέθανε. Τοῦτο Πομπηίου τέλος. (5) Οὐ πολλῷ δὲ ὕστερον Καῖσαρ ἐλθὼν εἰς Αἴγυπτον ἄγους τοσούτου
662 καταπεπλησμένην τὸν μὲν προσφέροντα τὴν κεφαλὴν a ὡς παλαμναῖον ἀπεστράφη, τὴν δὲ σφραγῖδα τοῦ Πομπηίου δεξάμενος ἐδάκρυσεν· ἦν δὲ γλυφὴ λέων ξιφήρης. Ἀχιλλᾶν δὲ καὶ Ποθεινὸν ἀπέσφαξεν· αὐτὸς δὲ ὁ βασιλεὺς μάχῃ λειφθεὶς περὶ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ Καίσαρος δίκη παρῆλθε· φυγὼν γὰρ Αἴγυπτον ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος· Βροῦτος δὲ Μάρκος ὁ τὸν Καίσαρα κτείνας ἐκράτησεν ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ καὶ πᾶσαν αἰκίαν αἰκισάμενος ἀπέκτεινε. Τὰ δὲ λείψανα τοῦ Πομπηίου Κορνηλία δεξαμένη κομισθέντα περὶ τὸ Ἀλβανὸν ἔθηκεν.

cederent, trunco astitit; inde aqua marina abluit suaque tunica involvit, et quum lignum in promptu non esset, per littus circumspiciens, fragmenta naviculæ piscatoriæ invenit, vetusta quidem, sed quæ ad necessarium rogum nudo eique mutilato cadaveri sufficerent. (3) Hæc ei fragmenta comportanti pyramque struenti quidam Romanus jam grandi natu occurrit, qui juvenis etiamnum prima sub Pompeio stipendia meruerat, et, Quisnam, inquit, hominum es, qui Pompeium Magnum funerare aggrediaris? Respondit Philippus, libertum se ejus esse. Tum senex : At non proprium hoc decus habebis; quin tu me quoque hujus tanquam pii inventi consortem accipe, ne peregrinationem meam prorsus culpem, qua inter tot molestias id saltem reperi, ut manibus meis contingam et rogo imponam maximum Romanorum imperatorem. Hoc Pompeii funus fuit. (4) Postridie L. Lentulus quid factum esset ignarus, quum a Cypro navigans præter terram veheretur, rogum et Philippum ei astantem, necdum ipse virum conspicatus : Ecquisnam, inquit, hominum hic fato functus quiescit? paululumque inhibita voce et edito gemitu, addidit : Fortassis tu, Pompei Magne? paullo post egressum in terram comprehenderunt atque necaverunt. Hic exitus Pompeii fuit. (5) Paucis post diebus Cæsar in Ægyptum tanto piaculo ita pollutam quum venisset, caput Pompeii sibi afferentem uti scelestum aversatus est, annuloque Pompeii, in quo leo gladium tenens insculptus erat, accepto flevit. Achillam et Pothinum necavit; ipse rex prœlio victus ad fluvium periit. Theodotus rhetor Cæsaris manus effugit, per Ægyptum vagando abjecta conditione et omnium odio. M. autem Brutus quum Cæsare interfecto rerum potitus in Asia eum deprehendisset, omni prius cruciatu vexatum occidit. Reliquias Pompeii sibi allatas Cornelia in Albano humavit.

ΑΓΗΣΙΛΑΟΥ ΚΑΙ ΠΟΜΠΗΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Ἐκκειμένων οὖν τῶν βίων ἐπιδράμωμεν τῷ λόγῳ b ταχέως τὰ ποιοῦντα τὰς διαφορὰς παρ' ἄλληλα συνάγοντες· ἔστι δὲ ταῦτα. Πρῶτον, ὅτι Πομπήιος ἐκ τοῦ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ δόξαν αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ καὶ πολλὰ καὶ μεγάλα Σύλλᾳ τὴν Ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευθεροῦντι συγκατεργασάμενος, Ἀγησίλαος δὲ τὴν βασιλείαν ἔδοξε λαβεῖν οὔτε τὰ πρὸς θεοὺς ἄμεμπτος οὔτε τὰ πρὸς ἀνθρώπους, κρίνας νοθείας Λεωτυχίδην, ὃν υἱὸν αὑτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον, τὸν δὲ χρησμὸν κατειρωνευ-

AGESILAI ET POMPEII COMPARATIO.

Vita utriusque exposita, agedum paucis exponamus instituta comparatione discrimina. Sunt ea hæc : primum justissima ratione Pompeius ad potentiam et gloriam contendit, idque sua ipsius industria, quum præclaram Syllæ Italiam a tyrannis liberanti operam navasset; sed Agesilaus et divinum et humanum jus violasse videtur in occupando regno, dum Leotychidam, quem frater filium suum legitimum pronuntiasset, spurium esse arguit, et de claudo rege

σάμενος τὸν περὶ τῆς χωλότητος. (2) Δεύτερον, ὅτι Πομπήιος Σύλλαν καὶ ζῶντα τιμῶν διετέλεσε καὶ τεθνηκότος c ἐκήδευσε βιασάμενος Λέπιδον τὸ σῶμα καὶ τῷ παιδὶ Φαύστῳ τὴν αὑτοῦ θυγατέρα συνῴκισεν, Ἀγησίλαος δὲ Λύσανδρον ἐκ τῆς τυχούσης προφάσεως ὑπεξέρριψε καὶ καθύβρισε. Καίτοι Σύλλας μὲν οὐκ ἐλαττόνων ἔτυχεν ἢ Πομπηίῳ παρέσχεν, Ἀγησίλαον δὲ Λύσανδρος καὶ τῆς Σπάρτης βασιλέα καὶ τῆς Ἑλλάδος στρατηγὸν ἐποίησε. (3) Τρίτον δὲ αἱ περὶ τὰ πολιτικὰ τῶν δικαίων παραβάσεις Πομπηίῳ μὲν δι' οἰκειότητας ἐγένοντο· τὰ γὰρ πλεῖστα Καίσαρι καὶ Σκηπίωνι συνεξήμαρτε κηδεσταῖς οὖσιν· Ἀγησίλαος δὲ Σφοδρίαν μὲν ἐφ' οἷς Ἀθηναίους ἠδίκησεν ἀποθανεῖν d ὀφείλοντα τῷ τοῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε, Φοιβίδᾳ δὲ Θηβαίους παρασπονδήσαντι δῆλος ἦν δι' αὐτὸ τὸ ἀδίκημα προθύμως βοηθῶν. Καθόλου δὲ ὅσα Ῥωμαίους δι' αἰδῶ Πομπήιος ἢ ἄγνοιαν αἰτίαν ἔσχε βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ Λακεδαιμονίους Ἀγησίλαος ἔβλαψε τὸν Βοιώτιον ἐκκαύσας πόλεμον.

II. Εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρου τοῖς σφάλμασι προσοιστέον, ἀνέλπιστος μὲν ἡ Πομπηίου Ῥωμαίοις, Ἀγησίλαος δὲ Λακεδαιμονίους ἀκούοντας καὶ προειδότας οὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη Λεωτυχίδης e ἀλλότριος εἶναι καὶ νόθος, οὐκ ἂν ἠπόρησαν Εὐρυπωντίδαι γνήσιον καὶ ἀρτίποδα τῇ Σπάρτῃ βασιλέα παρασχεῖν, εἰ μὴ δι' Ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ Λύσανδρος. (2) Οἷον μὲν τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ Ἀγησίλαος ἴαμα μετὰ τὴν ἐν Λεύκτροις ἀτυχίαν κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικὸν οὐδ' ἔχομέν τι τοῦ Πομπηίου παραπλήσιον, ἀλλὰ τοὐναντίον οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν τὸ δύνασθαι μέγα τοῖς φίλοις ἐνδεικνύμενος. Ὁ δὲ εἰς ἀνάγκην καταστὰς τοῦ λῦσαι τοὺς νόμους ἐπὶ τῷ f σῶσαι τοὺς πολίτας ἐξεῦρε τρόπον, ᾧ μήτε ἐκείνους βλάψουσι μήτε ὅπως οὐ βλάψωσι λυθήσονται. Τίθεμαι δὲ κἀκεῖνο τὸ ἀμίμητον ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ Ἀγησιλάου, τὸ δεξάμενον τὴν σκυτάλην ἀπολιπεῖν τὰς ἐν Ἀσίᾳ πράξεις. Οὐ γάρ, ὡς Πομπήιος, ἀφ' ὧν
663 ἑαυτὸν ἐποίει μέγαν ὠφέλει τὸ κοινὸν, ἀλλὰ τὸ τῆς a πατρίδος σκοπῶν τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην οὐδεὶς πρότερον, οὐδὲ ὕστερον πλὴν Ἀλέξανδρος ἔσχεν.

III. Ἀπ' ἄλλης τοίνυν ἀρχῆς, ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς ἀριθμῷ μὲν τροπαίων καὶ μεγέθει δυνάμεων, ἃς ἐπηγάγετο Πομπήιος, καὶ πλήθει παρατάξεων, ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ Ξενοφῶν μοι δοκεῖ παραβαλεῖν τὰς Ἀγησιλάου νίκας, ᾧ διὰ τἄλλα καλὰ καθάπερ γέρας ἐξαίρετον δέδοται καὶ γράφειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. (2) Οἶμαι δὲ καὶ τῇ πρὸς τοὺς πολεμίους ἐπιεικείᾳ διαφέρειν τὸν ἄνδρα τοῦ ἀνδρός. Ὁ μὲν γὰρ ἀνδραποδίσασθαι Θήβας καὶ Μεσσήνην ἐξοικίσασθαι βουλόμενος, ἣν μὲν ὁμόκληρον τῆς b

oraculum eludit. (2) Deinde Pompeius Syllam et viventem semper coluit, et mortui curam habuit, sepulturam Lepido vi extorquens, Faustoque Syllæ filio suam despondens filiam. Agesilaus Lysandrum levi arrepta occasione projecit, summisque affecit contumeliis: Quanquam Syllas non minora a Pompeio accepit, quam in eum contulerat beneficia, Agesilaum Lysander et Spartæ regem et totius Græciæ ducem fecerat. (3) Tertio quæ in republica peccavit Pompeius, affinitate impulsus peccavit; pleraque enim in Cæsaris et Scipionis, socerorum suorum, gratiam deliquit. Agesilaus Sphodriam ob injuriam Atheniensibus illatam morte damnatum filii amori gratificatus eripuit, Phœbidæ qui rupto fœdere Thebanos læserat, ob ipsum facinus palam opitulatus est. Omnino autem quæ Pompeius reverentia aliorum aut ignoratione damna Romanis dedisse culpatur, ea Lacedæmoniis ob iracundiam et pervicaciam injunxit Agesilaus, Bœoticum bellum incendendo.

II. Quodsi res adversæ utriusque viri ad fortunam sunt referendæ, Romanis Pompeiana clades insperata fuit, Agesilaus autem Spartanos præscientes et præmonitos non passus est sibi a claudo regno cavere. Etenim si vel millies deprehensum fuisset Leotychidam alienum esse et nothum, tamen non deerat Eurypontis posteris, quem sua de familia legitimum et integrum pedibus regem Spartæ darent, nisi in gratiam Agesilai tenebras oraculo Lysander offudisset. (2) Sane quod in hæsitatione de desertoribus post Leuctricam cladem consilium excogitavit Agesilaus, uno die leges silere jubens, nullum tale in republica commentum Pompeii adducere possumus, quin imo hic ne a se quidem ipso positis legibus standum putavit, dum amicis suam potentiam demonstraret. Atqui Agesilaus in ea necessitate constitutus, ut pro salute civium leges dissolvendæ sibi viderentur, rationem excogitavit eam, ut neque nocerent civibus leges, neque, ne damno iis essent, abrogarentur. Civili quoque virtuti factum Agesilai illud, quod imitando æquatum a nemine est, appono: quod accepta scytala statim Asiaticas res omisit. Non enim, id quod Pompeius fecit, iis modo rebus patriæ profuit, quibus sibi ipsi magnam potentiam pararet, sed patriæ commodum spectans, tantam potentiam dimisit atque gloriam, quantam neque priorum neque posteriorum, Alexandro excepto, quisquam habuit.

III. Proinde autem alio facto initio, si rei bellicæ fiat comparatio, numero tropæorum et magnitudine exercituum, quos subegit Pompeius, multitudineque prœliorum, quibus victor abiit, ne ipsum quidem Xenophontem puto victorias Agesilai conferre ausurum fuisse, quanquam propter alias præclaras dotes huic scriptori quasi præcipuum aliquod præmium concessum fuit, uti quæ vellet de Agesilao scriberet atque diceret. (2) Praterea clementia adversum hostes Romanum Græco præstitisse. Etenim Agesilaus Thebas evertere et Messena habitatores ejicere

πατρίδος, ἣν δὲ μητρόπολιν τοῦ γένους, παρ' οὐδὲν ἦλθε τὴν Σπάρτην ἀποβαλεῖν, ἀπέβαλε δὲ τὴν ἡγεμονίαν· ὁ δὲ καὶ τῶν πειρατῶν τοῖς μεταβαλομένοις πόλεις ἔδωκε, καὶ Τιγράνην τὸν Ἀρμενίων βασιλέα, γενόμενον ἐφ' ἑαυτῷ θριαμβεῦσαι σύμμαχον ἐποιήσατο φήσας ἡμέρας μιᾶς αἰῶνα προτιμᾶν. (3) Εἰ μέντοι τοῖς μεγίστοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προστίθεται πρωτεῖον ἀρετῆς ἀνδρὸς ἡγεμόνος, οὐ μικρὸν ὁ Λάκων τὸν Ῥωμαῖον ἀπολέλοιπε. Πρῶτον μὲν γὰρ οὐ προήκατο τὴν πόλιν οὐδ' ἐξέλιπεν ἑπτὰ μυ- c ριάσι στρατοῦ τῶν πολεμίων ἐμβαλόντων ὀλίγους ἔχων ὁπλίτας καὶ προνενικημένους ἐν Λεύκτροις· Πομπήιος δὲ, πεντακισχιλίοις μόνοις καὶ τριακοσίοις μίαν Καίσαρος πόλιν Ἰταλικὴν καταλαβόντος, ἐξέπεσε τῆς Ῥώμης ὑπὸ δέους, ἢ τοσούτοις εἴξας ἀγεννῶς ἢ πλείονας ψευδῶς εἰκάσας, καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ, τὰς δὲ τῶν ἄλλων πολιτῶν ἐρήμους ἀπολιπὼν ἔφυγε, δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος· ἦν γὰρ πολίτης καὶ οἰκεῖος· νῦν δὲ ᾧ στρατηγίας χρόνον ἐπιμετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο, τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς d Μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει καὶ τοὺς ἄλλους ἅπαντας.

IV. Ὃ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν ὄντα βιάσασθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον δὲ δυνάμει μὴ βιασθῆναι, τοῦτο ποιῶν Ἀγησίλαος ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀνίκητον· Πομπήιον δὲ Καῖσαρ, οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι, καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι, καὶ κύριος εὐθὺς ἦν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης, ἀφ' ὧν διεπέπρακτο ἂν ἄνευ μάχης ἐκείνοις προσόντων. (2) Τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα μέγιστόν ἐστιν ἔγκλημα στρα- e τηγοῦ τηλικούτου. Νέον μὲν γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἐπιταραχθέντα τῶν ἀσφαλεστάτων ἐκπεσεῖν λογισμῶν εἰκός ἐστι καὶ συγγνωστόν· Πομπήιον δὲ Μάγνον, οὗ Ῥωμαῖοι τὸ μὲν στρατόπεδον πατρίδα, σύγκλητον δὲ τὴν σκηνὴν, ἀποστάτας δὲ καὶ προδότας τοὺς ἐν Ῥώμῃ πολιτευομένους καὶ στρατηγοῦντας καὶ ὑπατεύοντας ἐκάλουν, ἀρχόμενον δὲ ὑπ' οὐδενὸς ἔγνωσαν, πάσας δὲ αὐτοκράτορα στρατευσάμενον ἄριστα τὰς στρατείας, τίς ἂν ἀνάσχοιτο τοῖς Φαωνίου σκώμμασι καὶ Δομιτίου καὶ ἵνα μὴ f Ἀγαμέμνων λέγηται παρ' ἐλάχιστον ἐκβιασθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναῤῥῖψαι κίνδυνον; ὃς εἰ μόνον ἐσκόπει τὸ παρ' ἡμέραν ἄδοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς Ῥώμης, ἀλλὰ μὴ τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα Θεμιστόκλειον ὕστερον ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν Θετ-
664 ταλίᾳ πρὸ μάχης διατριβήν. (3) Οὐ γὰρ ἐκεῖνό γε a στάδιον αὐτοῖς καὶ θέατρον ἐναγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ θεὸς ἀπέδειξε τὸ Φαρσάλιον πεδίον, οὐδὲ ὑπὸ κήρυκος ἐκαλεῖτο μάχεσθαι κατιὼν ἢ λιπεῖν ἑτέρῳ

cupiens, alteram cum urbe patria sortis sociam, totius gentis alteram procreatricem, prope eo rem deduxit, ut Spartam amitteret; imperium quidem amisit. Pompeius et piratis, qui pœnitentiam egerant, urbes dedit et Tigranem Armeniorum regem quum in triumpho ducere posset, socium fecit, uni diei dicens se præferre sempiternam gloriam. (3) Ceterum si boni ducis nomen maximis et summum momentum habentibus factis consiliisque belli tribuitur, permulto prior Romano est Spartanus habendus. Primum hic hostibus septuaginta militum millia adducentibus paucis ipse instructus, iisque ad Leuctra nuper victis, urbem tamen non destituit; ille, quum Cæsar exercitum quinque millium ac trecentorum ducens unam Italiæ urbem occupasset, Roma præ metu cessit, aut fugiens turpiter tam paucos, aut falso plures opinatus, liberisque suis et uxore assumptis fugit, reliquas civium familias defensore nudas relinquens, quum aut pugnando pro patria vincendum, aut a victore (civis enim erat et necessarius) conditiones accipiendæ fuissent. Nunc qui Cæsari tempus imperii prorogari, aut consulatum decerni rem iniquam putaverat, eidem occasionem dedit, ut occupata urbe Metello diceret, et ipsum et ceteros omnes captivos suos esse.

IV. Porro quod præcipuum præclari ducis est officium, ut qua parte prævalet, ea hostem ad prœlium committendum cogat, qua infirmior, ea caveat ne confligere cogatur, id Agesilaus observando invictus permansit. Cæsar contra quibus rebus Pompeium præstare intelligebat, ab iis ne detrimentum acciperet curavit, qua vero parte, pedestribus nimirum copiis, superabat Pompeium, ea congredi eum coegit et summam rerum perdere eoque prœlio statim pecunia, commeatu marique potitus est, per quæ, si hostibus suppetiissent, vel sine prœlio confectus fuisset. (2) Quæ autem affertur pro Pompeio excusatio, maximis tantum imperatorem reprehensionibus exponit. Consentaneum est enim rationi et veniam meretur, si juvenis dux tumultibus suorum mollitiei atque timiditatis exprobrationibus perturbatus tutissimis consiliis excidat: quis autem ferat Pompeium Magnum, cujus castra loco patriæ, tentorium pro curia, Romæ magistratum gerentes pro desertoribus et proditoribus Romani habebant, qui nullius imperio subjectus ipse imperator omnia bella præclarissime confecisset, eum Favonii ac Domitii dicteriis victum, ne Agamemnon audiret, minimo se momento cogi passum, uti principatum et libertatem in tantum discrimen adduceret? Et vero si omnino ad infamiam unius diei respiciendum putabat, oportuit initio statim de urbe Roma dimicare, non, si Themistocleo consilio urbe profugisse videri vellet, deinde cunctationem in Thessalia illam ante prœlium turpem ducere. (3) Non enim profecto Pharsalios campos tanquam stadium aut theatrum in quo de imperio decertarent deus aliquis ipsis constituerat, neque præconis voce ad certamen evocabatur, ut detrectante ipso alter coronaretur; sed

τὸν στέφανον, ἀλλὰ πολλὰ μὲν πεδία, μυρίας δὲ πόλεις καὶ γῆν ἄπλετον ἡ κατὰ θάλατταν εὐπορία παρέσχε βουλομένῳ μιμεῖσθαι Μάξιμον καὶ Μάριον καὶ Λούκουλλον καὶ αὐτὸν Ἀγησίλαον, ὃς οὐκ ἐλάττονας μὲν ἐν Σπάρτῃ θορύβους ὑπέμεινε βουλομένων Θηβαίοις ὑπὲρ τῆς χώρας μάχεσθαι, πολλὰς δ' ἐν Αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας καὶ ὑπονοίας τοῦ βασιλέως ἤνεγκεν b ἡσυχίαν ἄγειν κελεύων, χρησάμενος δὲ τοῖς ἀρίστοις ὡς ἐβούλετο λογισμοῖς, οὐ μόνον Αἰγυπτίους ἄκοντας ἔσωσεν οὐδὲ τὴν Σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνος ὀρθὴν ἀεὶ διεφύλαξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ Θηβαίων ἐν τῇ πόλει τὸ νικῆσαι παρασχὼν αὖθις ἐκ τοῦ τότε μὴ προαπολέσθαι βιασαμένους. Ὅθεν Ἀγησίλαος μὲν ὑπὸ τῶν βιασθέντων ὕστερον ἐπῃνεῖτο σωθέντων, Πομπήιος δὲ δι' ἄλλους ἁμαρτὼν αὐτοὺς οἷς ἐπείσθη κατηγόρους εἶχε. (4) Καίτοι φασί τινες, ὡς ὑπὸ τοῦ πενθεροῦ Σκηπίωνος ἐξηπατήθη· τὰ γὰρ πλεῖστα τῶν χρημάτων ὧν ἐκόμιζεν ἐξ Ἀσίας βουλό- c μενον αὐτὸν νοσφίσασθαι καὶ ἀποκρύψαντα κατεπεῖξαι τὴν μάχην, ὡς οὐκέτι χρημάτων ὄντων. Ὃ κἂν ἀληθὲς ἦν, παθεῖν οὐκ ὤφειλεν ὁ στρατηγὸς οὐδὲ ῥᾳδίως οὕτω παραλογισθεὶς ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. Ἐν μὲν οὖν τούτοις οὕτως ἑκάτερον ἀποθεωροῦμεν.

V. Εἰς Αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγκης ἔπλευσε φεύγων, ὁ δὲ οὔτε καλῶς οὔτε ἀναγκαίως ἐπὶ χρήμασιν, ὅπως ἔχῃ τοῖς Ἕλλησι πολεμεῖν ἀφ' ὧν τοῖς βαρβάροις ἐστρατήγησεν. Εἶτα ἃ διὰ Πομπήιον Αἰγυπτίοις ἐγκαλοῦμεν, ταῦτα Αἰγύπτιοι κατηγοροῦσιν Ἀγησιλάου. Ὁ μὲν γὰρ ἠδικήθη πιστεύσας, ὁ δὲ πιστευθεὶς ἐγκατέλιπε καὶ μετέστη πρὸς τοὺς πολεμοῦντας d οἷς ἔπλευσε συμμαχήσων.

multi adhuc campi, infinitæ urbes et immensum terræ spatium ei restabant maris imperium tenenti, si Maximum imitari, aut Marium, aut Lucullum, aut ipsum Agesilaum voluisset. Nam is haud minores Spartæ tumultus sustinuit, Thebanis eum ad pugnam pro agro paterno provocantibus. Multas etiam in Ægypto propter suspiciones regis pertulit calumnias et obtrectationes, quiescere jubens; verum hic optima sua consilia constanter secutus, non modo invitos Ægyptios neque Spartam solus in tam gravi periculo incolumem servavit, sed tropæum quoque de Thebanis in urbe erexit, vincere iterum suos docens, quum se ab ipsis ad communem perniciem trahi passus non esset. Quamobrem Agesilaus ab illis, quos coegerat remanere, post conservatis laudatus est, Pompeius autem quum per alios peccasset, eosdem, quos peccandi auctores, accusatores habuit. (4) Quidam a Scipione socero deceptum fuisse tradunt; hunc enim cupientem majorem ejus quam ex Asia attulerat pecuniæ partem peculari, ideo eam occultasse et quasi nihil pecuniæ superesset, maturare pugnam coegisse. Quod etsi verum esse credideris, non decuit tamen imperatorem tam facile pati se decipi, neque ita deceptum maximas res in periculum conjicere. Hactenus quid inter eos discriminis fuerit, spectavimus.

V. Denique Pompeius in Ægyptum necessitate urgente confugit; Agesilaus neque honeste neque necessario profectus eo est, operamque suam barbaris pecunia addixit, qua Græcos oppugnare posset. Ad hæc quod nos Pompeii causa Ægyptiis, id Ægyptii Agesilao crimen objiciunt. Nam ille fidei eorum se committens, injuste periit; hic ab iis quibus opitulatum venerat, quique se ei crediderant, defectionem ad hostes eorum fecit.

ΑΛΕΞΑΝΔΡΟΣ.

Τὸν Ἀλεξάνδρου τοῦ βασιλέως βίον καὶ τοῦ Καίσαρος, ὑφ' οὗ κατελύθη Πομπήιος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων οὐδὲν ἄλλο προεροῦμεν ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα μηδὲ καθ' ἕκαστον ἐξειργα- f σμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. (2) Οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους, οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας,
665 ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ ῥῆμα καὶ παιδιά a τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον ἢ μάχαι μυριόνεκροι καὶ παρατάξεις αἱ μέγισται καὶ πολιορκίαι πόλεων. (3) Ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες, οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.

II. Ἀλέξανδρος ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν b Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς Αἰακίδης ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί. Λέγεται δὲ Φίλιππος ἐν Σαμοθρᾴκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς αὐτός τε μειράκιον ὢν ἔτι κἀκείνης παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν. (2) Ἡ μὲν οὖν νύμφη πρὸ τῆς νυκτὸς, ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε βροντῆς γενομένης ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνὸν, ἐκ δὲ τῆς πληγῆς πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντῃ φερομένας διαλυθῆναι. Ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὑτὸν c ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός· ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. (3) Τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησεὺς κύειν ἔφη τὴν ἄνθρωπον, οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν, καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. (4) Ὤφθη δέ ποτε καὶ δράκων κοιμωμένης τῆς Ὀλυμπιάδος παρεκτεταμένος τῷ σώματι· καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον, εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ d καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν ὡς κρείττονι συνούσης ἀφοσιούμενον. (5) Ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον Θρῄσσαις ὅμοια δρῶσιν, ἀφ' ὧν δοκεῖ

ALEXANDER.

Alexandri regis et Cæsaris (ejus qui Pompeium evertit) vitas hoc libro perscripturos ipsa rerum propositarum magnitudo jubet nihil aliud præfari, quam uti a lectore petamus, si non omnia hominum sermonibus celebrata facta, neque singula accurate, sed pleraque compendio exponemus, ut ne id vitio nobis det. (2) Non enim historias, sed vitas scribimus; neque semper clarissimis factis virtutis aut vitii insunt indicia, quin imo sæpe exigua quædam res dictumve aut jocus plus de ingenio alicujus documenti præbet, quam immensa hostium strages edita, maximæ pugnæ, urbiumve oppugnationes. (3) Itaque sicuti pictores vultu et habitu externo faciei ex quibus potissimum natura hominis apparet similitudines exprimunt, minima reliquarum partium habita ratione; ita nobis quoque concedendum est, ut signa animi colligentes, iis vitam uniuscujusque depingamus, aliis magnitudinem factorum et certamina relinquentes.

II. Extra omnem positum est controversiam, paternum genus Alexandri per Caranum ab Hercule, maternum ab Æaco per Neoptolemum tractum fuisse. Philippum in Samothracia adolescentem adhuc sacris initiatum perhibent una cum Olympiade parentibus orba et amore correptum, a fratre ejus Arymba conjugium impetrasse. (2) Sponsa ante eam noctem, qua thalamo conjuncti sunt, imaginata est edito tonitru fulmen in ventrem suum incidisse, eoque ex ictu copiosum ignem accensum in flammas passim dissipatas abiisse. Et Philippus aliquanto post nuptias tempore in somnis sibi visus est uterum uxoris obsignasse annulo, cui leonis esset insculpta imago. (3) Quod insomnium quum in malam partem reliqui harioli acciperent, accuratiusque custodiendam Philippo conjugem dicerent, Aristander Telmesius concepisse eam affirmavit (nihil enim inane obsignari) et parituram filium animosum leonisque ingenio præditum. (4) Visus quoque ei aliquando est draco juxta corpus dormientis Olympiadis porrectus, eoque maxime amorem Philippi et familiaritatem cum uxore diminutam aiunt, minusque eum posthac crebro cum ea concubuisse, sive ab ea fascinationes quasdam et veneficium metuerit, sive ejus, cum qua præstantioris quispiam naturæ rem haberet, consuetudinem abominatus sit. (5) Fertur et alius hac de re sermo. Mulieres ejus regionis Orphicis omnes Bacchicisque orgiis antiquitus obnoxiæ Clodonesque et Mimallones cognominatæ, multa Edonidum et Thressarum (quæ in Thracia apud Hæmum montem agunt, unde videtur ductum ut sacrificiis immodicis et superstitio-

καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις· ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα e βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις ἐξέπληττον τοὺς ἄνδρας.

III. Οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς χρησμὸν κομισθῆναι λέγουσι παρὰ τοῦ θεοῦ κελεύοντος Ἄμμωνι θύειν καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν θεόν· ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν κατώπτευσεν ἐν μορφῇ δράκον f τος συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. (2) Ἡ δὲ Ὀλυμπιάς, ὡς Ἐρατοσθένης φησί, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. Ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν· « Οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν; » (3) Ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκατομβαιῶνος, ὃν Μακεδόνες Λῷον καλοῦσιν, ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ᾧ γ' Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον· εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλε- 665 ξάνδρου μαίωσιν. Ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες a ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι καὶ βοῶντες ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. (4) Φιλίππῳ δὲ ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἧκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος, ἡ δὲ Ὀλυμπίασιν ἵππῳ κέλητι νενικηκέναι, τρίτη δὲ περὶ τῆς Ἀλεξάνδρου γενέσεως. Ἐφ' οἷς ἡδόμενον, ὡς εἰκός, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγεννημένον ἀνίκητον ἔσεσθαι.

IV. Τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ b αὐτὸς ἠξίου πλάττεσθαι. Καὶ γὰρ ἃ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τε ἀνάκλισιν τοῦ αὐχένος εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ γράφων τὸν κεραυνοφόρον οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. Ἦν δὲ λευκός, ὥς φασιν· ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. (2) Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. Αἰτία δὲ ἴσως c ἡ τοῦ σώματος κρᾶσις πολύθερμος οὖσα καὶ πυρώδης·

sis vaca re θρησκεύειν dicatur) factis germana perpetrant Hujusmodi furorem præ ceteris affectans Olympias, solennibus bacchationibus barbaricum superaddens horrorem, magnos angues cicuratos thiasis addebat, qui sæpenumero ex hedera et mystica vanno prorepentes hastasque mulierum et serta circumplicantes, viros perterrebant.

III. Philippo, quum post illud spectrum Chæronem Megalopolitanum Delphos misisset, oraculum allatum tradunt, quo Ammoni rem sacram facere, eumque deorum omnium maxime colere juberetur : ipsumque alterum oculorum amisisse, quem ostii commissuræ applicuerat, deumque sub draconis forma cum muliere concumbentem viderat. (2) Et Olympias, ut refert Eratosthenes, Alexandrum ad bellum proficiscentem prosecuta, solum de arcano suorum natalium certiorem reddidit dignosque origine sua spiritus ducere jussit. Alii solitam abominari hoc ipsam asserunt, et dixisse : Nunquamne me Alexander Junoni invisam reddere desinet? (3) Natus vero est sexto die Hecatombæonis, quem Macedones Loum nominant, quo die templum Dianæ Ephesi conflagravit incendio. Cui rei ita frigidam acclamationem attexuit Hegesias Magnesius, ut ea ipsum debuerit incendium restinguere : ait enim mirum videri non debere crematum esse illud templum, quod eo tempore Diana obstetricis munere in partu Alexandri fuerit occupata. Quotquot autem Magi tum Ephesi fuerunt, templi exitio aliam quandam calamitatem portendi rati, discurrebant facies suas percutientes atque vociferantes, magnam illo die perniciem infortuniumque Asiæ natum esse. (4) Ad Philippum vero quum primum Potidæam cepisset, tres simul allati sunt nuntii, quorum primus Illyrios magna pugna a Parmenione superatos, secundus Olympiacis ludis ipsum equo celete vicisse, tertius natum Alexandrum indicabat. Lætum, uti par fuit, vates magis etiam excitarunt, filium cujus natalis in tres victorias incidisset, invictum fore pronuntiantes.

IV. Corporis figuram statuæ Lysippi, a quo etiam solo fingi voluit, potissimum exprimunt. Multi enim admodum postea successorum et amicorum imitati sunt Alexandrum cervicis levi in sinistram partem inflexione, oculorumque mollitie, quæ artifex accurate effinxit. Apelles autem quum fulminigerum pingeret, colorem ejus non est imitatus, sed squalidum et subfuscum fecit. Etenim album fuisse ferunt, ruboremque in pectore præsertim et facie albedini admixtum habuisse. (2) Suavissimum odorem ab ore et universa ejus carne exhalasse, ita ut et tunicæ fragrantia repletæ inde sint, in Aristoxeni legimus commentariis. Causa fortassis fuit calidum et igneum corporis temperamentum

ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος,
ὡς οἴεται Θεόφραστος. Ὅθεν οἱ ξηροὶ καὶ διάπυροι
τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν
ἀρωμάτων φέρουσιν· ἐξαιρεῖ γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσ-
περ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέ-
ξανδρον δὲ ἡ θερμότης τοῦ σώματος, ὡς ἔοικε, καὶ
ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. (3) Ἔτι δὲ ὄντος αὐ-
τοῦ παιδὸς ἥ τε σωφροσύνη διεφαίνετο τῷ πρὸς τἄλλα
ῥαγδαῖον ὄντα καὶ φερόμενον σφοδρῶς ἐν ταῖς ἡδοναῖς
ταῖς περὶ τὸ σῶμα δυσκίνητον εἶναι καὶ μετὰ πολλῆς d
πραότητος ἅπτεσθαι τῶν τοιούτων, ἥ τε φιλοτιμία παρ'
ἡλικίαν ἐμβριθὲς εἶχε τὸ φρόνημα καὶ μεγαλόψυχον.
Οὔτε γὰρ ἀπὸ παντὸς οὔτε πᾶσαν ἠγάπα δόξαν, ὡς
Φίλιππος λόγου τε δεινότητι σοφιστικῶς καλλωπιζόμε-
νος καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράτ-
των τοῖς νομίσμασιν, ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀπο-
πειρωμένων, εἰ βούλοιτ' ἂν Ὀλυμπίασιν ἀγωνίσασθαι
στάδιον, ἦν γὰρ ποδώκης, « Εἴ γε, ἔφη, βασιλεῖς
ἔμελλον ἕξειν ἀνταγωνιστάς. » (4) Φαίνεται δὲ καὶ
καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων·
πλείστους γέ τοι θεὶς ἀγῶνας οὐ μόνον τραγῳδῶν καὶ e
αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας δὲ
παντοδαπῆς καὶ ῥαβδομαχίας, οὔτε πυγμῆς οὔτε παγ-
κρατίου μετά τινος σπουδῆς ἔθηκεν ἆθλον.

V. Τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις
ἥκοντας, ἀποδημοῦντος Φιλίππου, ξενίζων καὶ γενόμενος
συνήθης οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ καὶ τῷ μη-
δὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι μηδὲ μικρὸν, ἀλλ'
ὁδῶν τε μήκη καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνε- f
σθαι καὶ περὶ αὐτοῦ τοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς
πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε
θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην Φιλίππου δει-
νότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ
μεγαλοπραγμοσύνην. (2) Ὁσάκις γοῦν ἀπαγγελθείη
Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκὼς ἢ μάχην τινὰ περι-
βόητον νενικηκὼς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ
πρὸς τοὺς ἡλικιώτας ἔλεγεν, « Ὦ παῖδες, πάντα προ-
λήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν
ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. » Οὐ γὰρ
667 ἡδονὴν ζηλῶν οὐδὲ πλοῦτον, ἀλλ' ἀρετὴν καὶ δόξαν a
ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρὸς, ἐλάτ-
τονα κατορθώσειν δι' ἑαυτοῦ. Διὸ τοῖς πράγμασιν
αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον
ἡγούμενος ἐβούλετο μὴ χρήματα μηδὲ τρυφὰς καὶ
ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας
ἔχουσαν ἀρχὴν παραλαβεῖν. (3) Πολλοὶ μὲν οὖν περὶ
τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτοῦ τροφεῖς καὶ
παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι, πᾶσι δ' ἐφει-
στήκει Λεωνίδας, ἀνὴρ τό τε ἦθος αὐστηρὸς καὶ συγ-
γενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὐ φεύγων τὸ τῆς παι-
δαγωγίας ὄνομα καλὸν ἔργον ἐχούσης καὶ λαμπρὸν, b
ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα
τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. Ὁ
δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν

Bonus enim odor, si Theophrasto credimus, exsistit, quum humores a calore coquuntur. Itaque siccæ et torridæ orbis terrarum partes plurima et optima gignunt aromata, quod sol humorem, qui in summis corporibus veluti materia putredinis innatat, exhaurit. Et consentaneum est Alexandrum ob calorem corporis bibacem iracundumque fuisse. (3) Quum puer etiamnum esset, modestia in eo eluxit, quod quum ad alias res magno impetu ferretur, ad corporis voluptates neque facile alliciebatur, et modice admodum iis utebatur. In cupiditate honorum gravitas ei præter ætatem et magnanimitas aderat. Non enim quosvis, neque a quibusvis, honores gratos habebat; secus quam Philippus, qui rhetoris in morem arte dicendi se ostentabat, Olympicas curruum victorias nomismati insculpebat: quin et familiaribus quærentibus, velletne Olympiæ in stadio decurrere (erat enim pedibus velox), Si quidem, respondit, reges sint mecum decertaturi. (4) Videturque omnino animum ab athletico genere alienum habuisse. Quum enim plurima certamina non tragœdorum modo, tibicinum citharœdorumque edidisset, sed rhapsodorum etiam, tum venationes, et fustuarias pugnas, nunquam serio præmium pugilibus et pancratio proposuit.

V. Persarum regis legatos, qui Philippo absente venerant, hospitio accepit, consuetudinemque cum iis iniit, in qua familiaritate, nihilque ex ipsis puerile aut parvum, sed de itinerum spatiis, et commeatus in superiorem Asiam modo ac ratione, ac de rege, qualem se is adversus hostes præberet, quod robur, quæ potentia Persarum esset percontando, ita in admirationem sui pertraxit, ut nobilem istam Philippi vehementiam præ alacritate et magnarum rerum cupiditate ejus pueri nihil ducerent. (2) Quoties captam a Philippo urbem aliquam, aut insigni prœlio partam victoriam renuntiabatur, non admodum hilari vultu Alexander audiebat et æqualibus suis dicebat, Omnia, o pueri, pater meus præripiet, neque ullam rem magnam mihi vobiscum gerendam relinquet. Non enim voluptatem, non divitias, sed virtutem et gloriam magni faciens, quanto plura a patre accepisset, tanto pauciora sibi agenda relinqui existimabat. Itaque crescentibus opibus materiam sibi præclarorum facinorum absumi judicans, regnum a patre, non pecunia, luxu et voluptatibus, sed certaminibus, bellis et gloriæ contentionibus locuples tradi sibi cupiebat. (3) Multis, ut facile apparet, cura ipsius commissa fuit altoribus, pædagogis, magistris; omnibus his præerat Leonidas, vir severis moribus et Olympiadis propinquus; atque is nomen pædagogi, cujus sane honestum erat splendidumque munus, non detrectans, dignitatis cognationisque causa a reliquis nutricius appellabatur et educator Alexandri. Nomen et perso-

ὑποποιούμενος ἦν Λυσίμαχος τῷ γένει Ἀκαρνάν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δὲ Ἀλέξανδρον Ἀχιλλέα, Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο καὶ δευτέραν εἶχε χώραν.

VI. Ἐπεὶ δὲ, Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκεφάλαν ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον, ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος οὔτε ἀναβάτην προσιέμενος οὔτε φωνὴν ὑπομένων τινὸς c τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος, δυσχεραίνοντος δὲ τοῦ Φιλίππου καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον, παρὼν Ἀλέξανδρος εἶπεν, « Οἷον ἵππον ἀπολλύουσι δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι, » τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησε· πολλάκις δὲ αὐτοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος, « Ἐπιτιμᾷς σὺ, ἔφη, πρεσβυτέροις ὥς τι πλέον αὐτὸς εἰδὼς ἢ μᾶλλον ἵππῳ χρήσασθαι δυνάμενος; » « Τούτῳ γοῦν, ἔφη, χρησαίμην ἂν ἑτέρου βέλτιον. » « Ἂν δὲ μὴ d χρήσῃ, τίνα δίκην τῆς προπετείας ὑφέξεις; » « Ἐγὼ νὴ Δί', εἶπεν, ἀποτίσω τοῦ ἵππου τὴν τιμήν. » (2) Γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς προσδραμὼν τῷ ἵππῳ καὶ παραλαβὼν τὴν ἡνίαν ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ διαταράττοιτο. Μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα καὶ μετεωρίσας αὑτὸν ἀσφαλῶς περιέβη. Καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ e πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν· ὡς δὲ ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἐφεὶς ἐδίωκεν ἤδη φωνῇ θρασυτέρᾳ καὶ ποδὸς κρούσει χρώμενος. Τῶν δὲ περὶ τὸν Φίλιππον ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς σοβαρὸς καὶ γεγηθὼς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαρὰν καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας, « Ὦ παῖ, φάναι, ζήτει σεαυτῷ βασιλείαν ἴσην, Μακεδονία γάρ σε οὐ χωρεῖ. »

VII. Καθορῶν δὲ τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν f οὖσαν ἐρίσαντος μὴ βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λόγου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας καὶ κατὰ τὸν Σοφοκλέα

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

668 μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λο- a γιώτατον Ἀριστοτέλην καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. (2) Τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ γεγενημένην συνῴκισε πάλιν καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν

nam pædagogi Lysimachus sustinebat, Acarnan genere, cui nihil erat urbanitatis, nisi quod sibi Phœnicis, Alexandro Achillis, Philippo Pelei nomen accommodans probabatur et alterum locum obtinebat.

VI. Quum Philonicus Thessalus Bucephalum tredecim talentis venalem adduxisset ad Philippum, isque equus in campum explorandi causa deductus, ab omnibus pro effero et tractatu difficili judicaretur, quod nec sessorem admitteret nec vocem ullius eorum qui cum Philippo erant, sed contra omnes insurgeret, indigne ferens Philippus, ut nimis ferocem indomitumque, abduci jussit. Alexander, ut forte aderat, Qualem, inquit, equum isti perdunt! quum eum præ mollitie et imperitia tractare non possint. Philippus quum initio dissimulasset, sæpe idem repetenti et indignanti, Tune, ait, senioribus obloqueris, quasi rectius aliquid iis noveris, aut equum melius tractare possis? Equidem, respondit Alexander, rectius eo quam quisquam alius utar. Sin vero, inquit pater, quas tuæ temeritatis pœnas persolves? Alexander, Pretium, inquit, profecto equi pendam. (2) Risu ad hæc coorto, et mox inter eos de solvenda pecunia facta sponsione, statim ad equum accurrit, frænoque correptum adversus solem obvertit; nimirum animadvertens equum umbræ quæ agitata et tremens ei appropinquaret, conspectu perturbari. Deinde quum paululum palpasset manuque leniter ducta demulsisset, ut animo spirituque repletum vidit, sensim abjecta chlamyde sese in eum extulit, tutoque consedit, leviterque habena frænum adducens absque verberibus atque ulla equi laceratione compescuit; ut minas posuisse eum et jam cursus cupiditate æstuare sensit, laxata habena cursum urgebat atque jam asperiorem vocem et pedum pulsum adhibuit. Quum qui aderant cum Philippo primo anxii tacitique spectassent, postquam exsultans gaudio, rite retro acto equo, rediit, omnium acclamatione sublata, Philippus præ lætitia etiam illacrimasse commemoratur, caputque filii, quum ab equo descendisset, osculatus dixisse: O nate, regnum tibi par quære, Macedonia enim te non capit.

VII. Porro autem cernens ingenium Alexandri tale esse, quod cogentibus reluctaretur, facile autem sermone ad officium faciendum pertraheretur, ipse etiam suadere potius quam mandare ei instituit, musicesque et vulgarium artium doctoribus haud satis institutionem et perfectionem ejus credens, quam rem majoris negotii futuram arbitraretur, (ut est apud Sophoclem)

Quod fræna multa multaque gubernacula
desideraret,

nobilissimum doctissimumque philosophorum Aristotelem ad id vocavit, eique præmia doctrinæ præclara et digna dedit. (2) Stagira enim, patriam ejus, ante a se dirutam, instauravit, et cives qui vel diffugissent vel servirent, re-

πολιτῶν ἀποκατέστησε. Σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριϐὴν τὸ περὶ Μίεζαν Νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστοτέλους ἕδρας τε λιθίνας καὶ ὑποσκίους περιπάτους δεικνύουσιν. (3) Ἔοικε δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαϐεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀποῤῥήτων καὶ βαθυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες b οὐκ ἐξέφερον εἰς πολλοὺς, μετασχεῖν. (4) Ἤδη γὰρ εἰς Ἀσίαν διαϐεϐηκὼς καὶ πυθόμενος λόγους τινὰς ἐν βιϐλίοις περὶ τούτων ὑπ' Ἀριστοτέλους ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παῤῥησιαζόμενος ἐπιστολὴν, ἧς ἀντίγραφόν ἐστιν· « Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν. Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. Τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ, καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; Ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν. Ἔῤῥωσο. » (5) Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης ἀπολογεῖται c περὶ τῶν λόγων ἐκείνων ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. Ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

VIII. Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. Οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐϐοήθει τοῖς φίλοις καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστολῶν λαϐεῖν ἔστιν. (2) Ἦν δὲ καὶ φύσει φιλόλογος καὶ φιλαναγνώστης. Καὶ τὴν μὲν d Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων ἔλαϐε μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε. Τῶν δὲ ἄλλων βιϐλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι· κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίϐλους καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνὰς καὶ Τελέστου καὶ Φιλοξένου διθυράμϐους. (3) Ἀριστοτέλην δὲ θαυμάζων ἐν ἀρχῇ καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρὸς, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ e ὥστε ποιῆσαί τι κακὸν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν ἀλλοτριότητος ἐγένοντο τεκμήριον. Ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξεῤῥύη τῆς ψυχῆς, ὡς ἡ περὶ Ἀνάξαρχόν τε τιμὴ καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα καὶ Δάνδαμις καὶ Καλανὸς οὕτω σπουδασθέντες μαρτυροῦσι.

IX. Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους ἦν μὲν ἑκκαιδεκέτης Ἀλέξανδρος, ἀπολειφθεὶς δὲ κύριος ἐν Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος, Μαίδων f τε τοὺς ἀφεστῶτας κατεστρέψατο καὶ πόλιν ἑλὼν αὐτῶν

stituit. Scholam ejus destinavit Nymphæum apud Miezam, ubi hodieque sedilia Aristotelis saxea et ambulationes opacæ demonstrantur. (3) Videtur autem Alexander non moralem tantum et civilem rationem didicisse, sed et occultas istas et altiores disciplinas, quas philosophi acroamaticas et epopticas nominantes nequaquam evulgabant, attigisse. (4) Jam enim in Asiam profectus quum audivisset libros de iis rebus ab Aristotele editos, libere eum philosophiæ nomine objurgavit, epistola missa, cujus exemplum hoc est: Alexander Aristoteli S. « Quod acroamaticas edidisti disputationes, non recte abs te factum est. Qua enim adhuc nos re præstabimus alios, si ea qua nos eruditi sumus philosophia omnibus nunc erit communis? Ego sane mallem optimarum rerum peritia quam potentia excellere. Vale. » (5) Hanc ejus ambitionem ut leniret Aristoteles, excusat se de iis disputationibus, ita editas, uti non editæ si essent, indicans. Etenim revera philosophiæ primæ tractatio ita primum est descripta, ut nihil ad disciplinam conducere, ac tantum exempli loco eruditis proposita ab initio videatur.

VIII. Jam quod medicæ rei studiosus Alexander fuit, ejus rei auctorem præ ceteris habuisse videtur Aristotelem. Non enim contemplationibus modo delectatus est, sed et amicis ægrotantibus medicinam fecit, curandique et victus quasdam rationes præscripsit, ut ex epistolis ejus colligitur. (2) Literarum et lectionis natura studiosus, Iliadem Homeri, quam rei militaris viaticum et putabat et nominabat, ab Aristotele correctam accepit, cui a narthecio cognomen factum est, semperque eam, ut Onesicritus tradit, una cum pugione sub pulvino habuit. In superiore Asia degens, quum reliquos libros desideraret, mitti sibi ab Harpalo jussit; isque ei misit Philisti libros, complures Euripidis, Sophoclis et Æschyli tragœdias et Philoxeni dithyrambos. (3) Aristotelem vero quum initio admiratus fuisset et haud minus quam patrem suum dilexisset (quin et hoc dicebat, se a patre vitam, ab hoc ut bene viveret accepisse), posterioribus temporibus suspectum habuit; quæ abalienatio etsi non eo usque processit, uti durius aliquid de ipso propterea statueret, consuetudine tamen minus quam ante amica et remissione amoris patuit. Interim innatum erga philosophiam et una enutritum studium ex animo nequaquam effluxit; id quod honor Anaxarcho habitus, quinquaginta Xenocrati missa talenta, inque Dandamin et Calanum officia demonstraverunt.

IX. Quum Philippus adversum Byzantinos expeditionem fecisset, Alexander annum tum agens decimum sextum, rerum Macedonicarum sigillique curator relictus, Mædos, qui defecerant, subegit, urbemque eorum captam, barbaris

τοὺς μὲν βαρβάρους ἐξήλασε, συμμίκτους δὲ κατοικίσας
Ἀλεξανδρόπολιν προσηγόρευσεν. (2) Ἐν δὲ Χαιρωνείᾳ
τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέσχε καὶ λέ-
γεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων.
Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κη-
669φισὸν Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣν τότε a
κατεσκήνωσε, καὶ τὸ πολυάνδριον οὐ πόῤῥω τῶν Μα-
κεδόνων ἐστίν. (3) Ἐκ μὲν οὖν τούτων, ὡς εἰκὸς, Φί-
λιππος ὑπερηγάπα τὸν υἱὸν, ὥστε καὶ χαίρειν τῶν
Μακεδόνων Ἀλέξανδρον μὲν βασιλέα, Φίλιππον δὲ
στρατηγὸν καλούντων. (4) Αἱ δὲ περὶ τὴν οἰκίαν τα-
ραχαὶ διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ, τρόπον
τινὰ τῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης,
πολλὰς αἰτίας καὶ μεγάλας διαφορὰς παρεῖχον, ἃς ἡ τῆς
Ὀλυμπιάδος χαλεπότης, δυσζήλου καὶ βαρυθύμου
γυναικὸς, ἔτι μείζονας ἐποίει παροξυνούσης τὸν Ἀλέ-
ξανδρον. (5) Ἐκφανεστάτην δ' Ἄτταλος παρέσχεν
ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος ἠγάγετο
παρθένον ἐρασθεὶς παρ' ἡλικίαν τῆς κόρης. Θεῖος γὰρ b
ὢν αὐτῆς ὁ Ἄτταλος ἐν τῷ πότῳ μεθύων παρεκάλει
τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φι-
λίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασι-
λείας. Ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος καὶ
εἰπὼν, « Ἡμεῖς δέ σοι, κακὴ κεφαλὴ, νόθοι δοκοῦμεν; »
ἔβαλε σκύφον ἐπ' αὐτόν. Ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον
ἐξανέστη σπασάμενος τὸ ξίφος, εὐτυχίᾳ δὲ ἑκατέρου
διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσε σφαλείς. Ὁ δ' Ἀλέ-
ξανδρος ἐφυβρίζων, « Οὗτος μέντοι, εἶπεν, ἄνδρες,
εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς c
ἐπὶ κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται. »
Μετὰ ταύτην τὴν παροινίαν ἀναλαβὼν τὴν Ὀλυμ-
πιάδα καὶ καταστήσας εἰς Ἤπειρον, αὐτὸς ἐν Ἰλλυριοῖς
διέτριβεν. (6) Ἐν τούτῳ δὲ Δημάρατος ὁ Κορίνθιος,
ξένος ὢν τῆς οἰκίας καὶ παῤῥησίας μετέχων, ἀφίκετο
πρὸς Φίλιππον. Μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ
φιλοφροσύνας ἐπερωτῶντος τοῦ Φιλίππου, πῶς ἔχουσιν
ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες, » Πάνυ γοῦν,
ἔφη, σοὶ προσήκει, Φίλιππε, κήδεσθαι τῆς Ἑλλάδος,
ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν
ἐμπέπληκας. » Οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος
ἔπεμψε καὶ κατήγαγε πείσας διὰ τοῦ Δημαράτου τὸν d
Ἀλέξανδρον.

X. Ἐπεὶ δὲ Πιξόδωρος ὁ Καρίας σατράπης ὑπο-
δυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν
ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων Ἀῤῥιδαίῳ
τῷ Φιλίππου γυναῖκα δοῦναι καὶ περὶ τούτων Ἀρι-
στόκριτον εἰς Μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο
λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς
πρὸς Ἀλέξανδρον, ὡς Ἀῤῥιδαῖον ἐπὶ τῇ βασιλείᾳ Φι-
λίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσ-
οικειοῦντος. Ὑφ' ὧν διαταραχθεὶς πέμπει Θεσσαλὸν
εἰς Καρίαν τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν Πιξοδώρῳ
διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα καὶ οὐ φρενήρη e
μεθαρμόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. Καὶ Πιξο-

ejectis, convenis habitandam tradidit et Alexandropolin nominavit. (2) Pugnæ contra Græcos Chæronensi interfuit, primusque perhibetur in sacram Thebanorum cohortem impetum fecisse; atque etiamnum antiqua quercus apud Cephisum ostenditur, quæ Alexandri dicitur, quod ibi tum tetenderit, neque procul inde Macedonum sunt sepulcra. (3) Propter hæc Philippus, uti par fuit, Alexandrum summopere amabat, ut gauderet etiam hunc a Macedonibus regem, se ducem appellari. (4) Sed domesticæ ob nuptias et amores Philippi turbæ, quum regno etiam nonnihil contagium gynæcei morbosi noceret, multas offensas graviaque dissidia excitarunt, quæ ipsa Olympias, iracunda et pellicis impatientissima mulier, morositate sua majorem in modum auxit, Alexandrum irritando. (5) Manifestissimam jurgii causam in nuptiis Cleopatræ, quam puellam intempestivo amore captus duxerat Philippus, Attalus sponsæ avunculus præbuit, in convivio per ebrietatem Macedonas jubens a diis poscere, ut legitimum ex Philippo et Cleopatra regni heredem nasci sinerent. Eo dicto commotus Alexander, Ergo, inquit, nos tibi spurii videmur, sceleste? simulque scyphum in eum conjecit. Philippus stricto gladio in Alexandrum tendens, bona utriusque fortuna præ ira et vino lapsus concidit. Et Alexander insultans ei : En, inquit, viri, qui ex Europa in Asiam molitur expeditionem, a lecto ad lectum transiturus corruit! Post hanc insolentiam Olympiadem in Epirum traduxit, atque ipse in Illyrico versatus est. (6) Sub idem tempus Demaratus Corinthius patria exsul, Philippum, ad quem ei liber accessus patebat, invisit; quumque hic post primam salutationem quæreret, quænam esset Græcorum inter sese concordia : Nimirum, ait, Philippe, Græciæ res te curare convenit, qui tanto tuam domum dissidio totque malis impleveris! Ita Philippus recta rem via tandem reputans, Alexandro ut rediret, Demarati opera persuasit.

X. Post ubi Pixodorus Cariæ satrapa affinitate societatem Philippi captans Aristocritum in Macedoniam misit, filiæ suæ natu maximæ nuptias Arridæo Philippi filio offerens; iterum Alexander matris et amicorum obtrectationibus, qui Philippum Arridæo splendidi conjugii, magnarumque rerum præsidio regnum tacite parare dicebant, conturbatus, Thessalum histrionem in Cariam ad Pixodorum legat, qui eum, spurio et vecorde Arridæo omisso, Alexandrum generum præferre hortaretur, idque multo quam priora me-

δώρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον. (2) Ὁ δὲ Φίλιππος αἰσθόμενος μόνον ὄντα τὸν Ἀλέξανδρον, εἰς τὸ δωμάτιον παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καρὸς ἀνθρώπου καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος ἀγαπᾷ γαμβρὸς γενέσθαι. Τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐν πέδαις δεδεμένον. Τῶν δὲ ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι f
δ' Ἐριγύιον καὶ Πτολεμαῖον ἐκ Μακεδονίας μετέστησεν, οὓς ὕστερον Ἀλέξανδρος καταγαγὼν ἐν ταῖς μεγίσταις ἔσχε τιμαῖς. (3) Ἐπεὶ δὲ Παυσανίας Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς καὶ μὴ τυχὼν δίκης ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας περιῆλθεν, ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροξύνασαν, ἔθιγε δέ τις καὶ Ἀλεξάνδρου
670 διαβολή. (4) Λέγεται γὰρ ἐντυχόντος αὐτῷ τοῦ a
Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην καὶ ἀποδυρομένου, προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον·

Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.

Οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας ἐκόλασε καὶ τὴν Κλεοπάτραν ἀποδημοῦντος αὐτοῦ τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησε.

XI. Παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δούλωσιν ἔφερε ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος οἷον καταζεῦξαι καὶ τιθασεῦσαι b
χρόνον ἔσχεν, ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα πολὺν σάλον ἔχοντα καὶ κίνησιν ὑπ' ἀηθείας ἀπέλιπε. (2) Φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν καὶ τὰ μὲν Ἑλληνικὰ πάντως ἀφεῖναι καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πρᾴως καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν, ὡς, κἂν ὁτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος, ἐπιθησομένων ἁπάντων. (3) Τὰ μὲν οὖν βαρβαρικὰ κινή- c
ματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον, ᾗ καὶ Σύρμον ἐνίκησε μάχῃ μεγάλῃ τὸν βασιλέα τῶν Τριβαλλῶν· Θηβαίους δὲ ἀφεστάναι πυθόμενος καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπὼν ὅτι Δημοσθένει παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. (4) Προσμίξας δὲ ταῖς Θήβαις καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν ἐξῄτει Φοίνικα καὶ Προθύτην καὶ τοῖς μεταβαλλομένοις πρὸς d
αὐτὸν ἄδειαν ἐκήρυττε. Τῶν δὲ Θηβαίων ἀντεξαι-

lius esse consilium Pixodoro visum est. (2) Philippus autem quum solum esse animadvertisset Alexandrum, in conclave, assumpto ejus familiari Philota Parmenionis filio, intrans graviter objurgavit et acerbe conviciatus est, degenerem eum, suisque indignum bonis appellans, qui Carem barbaroque regi servientem socerum sibi optaret. Corinthiis quoque scripsit ut Thessalum compedibus vinctum sibi mitterent; de reliquis Alexandri sociis Harpalum, Nearchum, Erigyium et Ptolemæum Macedonia expulit, quos postea Alexander reduxit honoribusque cumulavit. (3) Posteaquam Pausanias Attali et Cleopatræ suasu turpiter habitus et injuriæ sibi factæ nullam ultionem consecutus Philippum interfecit, causa facinoris omnis fere Olympiadi fuit imputata, quæ iratum juvenem instigasset stimulosque addidisset; attigit tamen et Alexandrum calumnia. (4) Quum enim Pausanias injuria affectus ad ipsum accessisset, suamque sortem deplorasset, Medeæ versiculum ipse pronuntiasse dicitur,

Dantemque, ducentemque una et sponsam neca.

Verumtamen Alexander et conscios cædis paternæ conquisitos supplicio affecit et Olympiadi succensuit, quod se absente Cleopatram inhumanius tractasset.

XI. Annos natus viginti regnum occepit, magnæ invidiæ, gravibus odiis atque periculis undique obnoxium. Nam neque barbaræ et vicinæ gentes jugum ferebant, sed avita regna expetebant, et ad cicurandam, quam armis vicerat, Græciam Philippo tempus non suppetierat, affectasque modo et conturbatas res Græcas, ob insolentiam mutationis fluctuantes adhuc et instabiles reliquerat. (2) Eapropter Macedonibus ob temporis ejus statum sollicitis et Alexandro suadentibus uti Græcas res plane omitteret, neque vim eis afferret, barbaros autem qui descivissent placide revocaret, novarumque rerum initiis mederetur; Alexander contrarias secutus est rationes statuitque audacia et magnanimitate rebus suis salutem et securitatem parare, insurrecturos contra se omnes existimans, si vel minimum de animi sui magnitudine diminuisse sentiretur. (3) Et barbaricos quidem motus atque illarum regionum bella circumducto raptim exercitu statim sedavit omniaque ad Istrum usque pacavit, ubi Syrmum quoque Triballorum regem magna pugna vicit; Thebanos defectionem moliri audiens et cum Atheniensibus conspirare, illico per Pylas exercitum duxit, Demostheni inquiens, a quo puer esset dictus, quam diu in Illyrico et Triballis hæsisset, adolescens autem quum in Thessaliam venisset, velle se ad muros Atheniensium virum ostendere. (4) Quum ad Thebas accessisset, pœnitentiæ facti adhuc potestatem præbens, Phœnicem et Prothytam dedi sibi jussit impunitatemque ad se transeuntibus edixit. Thebanis autem contra Philotam et Antipa-

τούντων μὲν παρ' αὐτοῦ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δὲ τοὺς τὴν Ἑλλάδα βουλομένους συνελευθεροῦν τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς Μακεδόνας πρὸς πόλεμον. (5) Ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ τὰ παρὰ τῶν Θηβαίων πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων· ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέντες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον, ἡ δὲ πόλις ἥλω καὶ διαρπασθεῖσα κατεσκάφη, τὸ μὲν ὅλον προσδοκήσαν- e τος αὐτοῦ τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως δὲ καὶ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασι· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν. (6) Ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς καὶ τοὺς ξένους τῶν Μακεδόνων ἅπαντας καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας καὶ τοὺς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν ἀπέδοτο τοὺς ἄλλους περὶ τρισμυρίους γενομένους· οἱ δὲ ἀποθανόντες ὑπὲρ ἑξακισχιλίους ἦσαν.

XII. Ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχε, Θρᾷκές τινες ἐκκόψαντες f οἰκίαν Τιμοκλείας, γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δὲ ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας ἀνέκρινεν, εἴ που χρυσίον ἔχοι κεκρυμμένον ἢ ἀργύριον. Ἡ δὲ ἔχειν ὡμολόγησε καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη τῆς πόλεως ἁλισκομένης καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρη-
671 μάτων. Ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς καὶ κατασκε- a πτομένου τὸν τόπον, ὤσεν αὐτὸν ἐξόπισθεν γενομένη καὶ τῶν λίθων ἐπεμβαλοῦσα πολλοὺς ἀπέκτεινεν. (2) Ὡς δὲ ἀνήχθη πρὸς Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν· ἔπειτα τοῦ βασιλέως ἐρωτήσαντος, ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο Θεαγένους ἀδελφὴ γεγονέναι τοῦ παραταξαμένου πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν b ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.

XIII. Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ Θήβας δυστύχημα. Καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χερσὶν ἔχοντες ὑπὸ πένθους ἀφῆκαν καὶ τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν ἁπάντων μετεδίδοσαν τῶν φιλανθρώπων. Ἀλλ' εἴτε μεστὸς ὢν ἤδη τὸν θυμόν, ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτόν, ἄρξουσαν τῆς Ἑλλάδος. (2) Ὕστερον μέντοι πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιᾶσαι c συμφορὰ λέγεται καὶ πρᾳότερον οὐκ ὀλίγοις παρασχεῖν.

trum exposcentibus, factoque præconio Græcos invitantibus, ut qui Græciam liberam vellent, se ipsis adjungerent, ita demum Macedones ad bellum convertit. (5) Supra vires etiam virtute et alacritate certatum est a Thebanis, qui cum hoste, cujus copiæ multitudine aliquantum eos superabant, acie congressi sunt; circumventi tandem Macedonibus qui in præsidio Cadmiæ positi fuerant, a tergo irruentibus, plerique ipso in prœlio ceciderunt. Urbs capta direpta soloque est æquata, potissimum Alexandro sperante fore ut hoc Thebanorum exitio perterriti Græci quiescerent, nonnihil tamen gratificari sociis suis Phocensibus et Platæensibus, qui Thebanos accusabant, gestiens. (6) Exemptis sacerdotibus universisque Macedonum hospitibus, Pindari etiam posteris et iis qui decreto de facienda defectione repugnaverant, reliquos omnes ad triginta hominum millia vendidit; occubuerunt supra sex millia.

XII. In tanta Thebanæ urbis calamitate Thraces quidam Timocleæ, nobilis et honestæ mulieris, in domum irruperunt, et reliquis bona diripientibus, dux feminam interim quum vi constuprasset, percontatus est ecquid auri argentive absconditi haberet. Illa se habere fassa, solum in hortum abduxit et puteo commonstrato, eo se capta urbe quæ pretiosissima habuisset dejecisse dixit, Thracem intro despicientem inclinato corpore, a tergo astans ipsa, deorsum in puteum impulit, multisque injectis lapidibus necavit. (2) Ea quum vincta a Thracibus ad Alexandrum adduceretur, ipso statim aspectu incessuque majestatem dignitatemque præ se tulit; deinde interrogata a rege, quænam esset, Theagenis sororem se confessa est, ejus qui dux apud Chæroneam pro libertate adversus Philippum commissa pugna ceciderat. Itaque Alexander et responsum et factum miratus, liberam una cum natis dimisit.

XIII. Cum Atheniensibus vero in gratiam rediit, tametsi ii graviter Thebanorum tulerant cladem. Nam et mysteriorum sollemne imminens præ luctu omiserant, et quotquot Thebanorum Athenas perfugissent, summa humanitate acceperant. Verum sive quod jam exsaturaverat animum leonis instar, sive ut clemens facinus crudelissimo conjungeret, non modo offensas iis omnes condonavit, sed etiam attentam ad res esse civitatem jussit, veluti Græciæ imperaturam, si quid ipsi humanitus accidisset. (2) Sæpe quidem postea Thebanorum vicem doluisse multisque ideo se benigniorem præbuisse fertur. Quin et Cliti cædem a se

Ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον καὶ τὴν πρὸς Ἰνδοῖς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν στρατείαν καὶ τὴν δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγε Διονύσου καὶ νέμεσιν. Ἦν δὲ Θηβαίων οὐδεὶς τῶν περιγενομένων, ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον οὐ διεπράξατο παρ' αὐτοῦ. Ταῦτα μὲν τὰ περὶ Θήβας.

XIV. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν ἡγεμὼν ἀνηγορεύθη. (2) Πολλῶν δὲ καὶ πολιτικῶν d ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένην τὸν Σινωπέα ταὐτὸ ποιήσειν διατρίβοντα περὶ Κόρινθον. Ὡς δὲ ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν· ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ. Καὶ μικρὸν μὲν ἀνεκάθισεν ἀνθρώπων τοσούτων ἐπερχομένων καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δὲ ἐκεῖνος, ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος, « Μικρὸν, εἶπεν, ἀπὸ τοῦ ἡλίου μετάστηθι. » Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ e ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν, ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκωπτόντων, « Ἀλλὰ μὴν ἐγὼ, εἶπεν, εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. » (3). Βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας ἦλθεν εἰς Δελφούς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν. Ὡς δὲ ἀρνουμένης καὶ προϊσχομένης τὸν νόμον αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἷλκεν αὐτὴν, ἡ δὲ ὥσπερ ἐξηττημένη τῆς σπουδῆς εἶπεν, « Ἀνίκητος εἶ, ὦ παῖ, » τοῦτο ἀκούσας Ἀλέξανδρος οὐκέτι ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν ὃν ἐβούλετο παρ' αὐτῆς χρησμόν. (4) Ἐπεὶ δὲ ὥρμησε f πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι καὶ τὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκε. Φοβουμένων δὲ πάντων τὸ σημεῖον, Ἀρίστανδρος ἐκέλευε θαρρεῖν, ὡς ἀοιδίμους καὶ περιβοήτους κατεργασόμενον πράξεις, αἳ πολὺν 671 ἱδρῶτα καὶ πόνον ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι. a

XV. Τῆς δὲ στρατιᾶς τὸ πλῆθος οἱ μὲν ἐλάχιστον λέγοντες τρισμυρίους πεζοὺς καὶ τετρακισχιλίους ἱππεῖς, οἱ δὲ πλεῖστον πεζοὺς μὲν τετρακισμυρίους καὶ τρισχιλίους, ἱππέας δὲ πεντακισχιλίους ἀναγράφουσιν. Ἐφόδιον δὲ τούτοις οὐ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος ἱστορεῖ, Δοῦρις δὲ τριάκοντα μόνον ἡμερῶν διατροφὴν, Ὀνησίκριτος δὲ καὶ διακόσια τάλαντα προσοφείλειν. (2) Ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος οὐ πρότερον ἐπέβη τῆς νεὼς ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος ἀπονεῖμαι b τῷ μὲν ἀγρὸν, τῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον ἢ λιμένος. Ἤδη δὲ κατανηλωμένων καὶ

per ebrietatem perpetratam et apud Indos Macedonum timiditatem, qua expeditionem ipsius gloriamque velut imperfectam destituerunt, Bacchi iræ indignationique imputavit; neque quisquam eorum qui patriæ superstites fuerunt Thebanorum frustra ab eo postea temporis quicquam petiit. Hactenus de rebus Thebanis.

XIV. Proinde Græci, in Isthmo conventu instituto, bellum cum Alexandro adversus Persas gerere decreverunt, ejusque ducem ipsum constituerunt. (2) Hic quum multi primarii in civitatibus viri multique ad ipsum philosophi, gratulandi causa, accessissent, sperabat idem Diogenem quoque Sinopensem facturum, qui tum apud Corinthum degebat. Sed quum is nihil admodum curans Alexandrum otiosus in Cranio degeret, ipse ad eum profectus est. Jacebat tunc forte in dolio suo Diogenes, soli obversus et tot hominum adventu paululum levato corpore adversus Alexandrum prospexit. Qui ut dicta salute eum interrogavit, alicujusne rei egeret, Paulisper, inquit, a sole recedas. Hunc fastum Diogenis magnanimitatemque ita admiratus fertur Alexander, ut suis in digressu ridentibus illum atque subsannantibus dixerit, se, nisi Alexander esset, Diogenem esse velle. (3) Inde numinis de bello consulendi causa Delphos adiit. Forte tum dies erant nefasti, quibus responsa dari vetitum est. Itaque vates, Alexandro per nuntios oraculum postulante, abnuit, legem prætendens; post quum ipse ascendens vi eam ad templum pertraheret, veluti victa ipsius importunitate, Invictus es, inquit, fili. Hoc audito, Alexander nullo præterea sibi opus oraculo esse dixit, habere jam quod ab ipsa requisivisset vaticinium. (4) Aggredienti jam ad expeditionem quum alia divinitus signa sunt facta, tum apud Libethra simulacrum Orphei cupressinum per istos ipsos dies multo sudore fluxit. Eo signo omnibus territis, Aristander bono esse animo jussit: celebria enim et nobilia facinora editurum Alexandrum, quibus cantandis multum sudoris ac laboris essent poetæ musicique impensuri.

XV. Qui minimam copiarum ejus summam ponunt, triginta millia peditum, quattuor equitum recensent; qui maximam, quadraginta et tria illorum, horum quinque millia computant. Ad hunc exercitum alendum ei non plus septuaginta talenta fuisse scribit Aristobulus, Duris triginta modo dierum commeatum, Onesicritus prælerea debuisse eum ducenta talenta perhibet. (2) Enimvero tametsi re ita tenui ad bellum iret, haud prius tamen conscendit navim, quam rebus sociorum inspectis, huic pagum, illi agrum, reditum huic vici, illi portus tribueret. Jam regiis bonis omnibus prope distributis et transcriptis, Per-

διαγεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν ὁ Περδίκκας, « Σεαυτῷ δὲ, εἶπεν, ὦ βασιλεῦ, τί καταλείπεις; » τοῦ δὲ φήσαντος ὅτι τὰς ἐλπίδας, « Οὐκοῦν, ἔφη, καὶ ἡμεῖς τούτων κοινωνήσομεν οἱ μετὰ σοῦ στρατευόμενοι. » Παραιτησαμένου δὲ τοῦ Περδίκκου τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι τὸ αὐτὸ ἐποίησαν. Τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις προθύμως ἐχαρίζετο καὶ τὰ πλεῖστα τῶν ἐν c Μακεδονίᾳ διανέμων οὕτως κατηνάλωσε. (3) Τοιαύτῃ μὲν ὁρμῇ καὶ παρασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. Ἀναβὰς δὲ εἰς Ἴλιον ἔθυσε τῇ Ἀθηνᾷ καὶ τοῖς ἥρωσιν ἔσπεισε. Τὴν δὲ Ἀχιλλέως στήλην ἀλειψάμενος λίπα καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, ὥσπερ ἔθος ἐστὶν, ἐστεφάνωσε μακαρίσας αὐτὸν, ὅτι καὶ ζῶν φίλου πιστοῦ καὶ τελευτήσας μεγάλου κήρυκος ἔτυχεν. (4) Ἐν δὲ τῷ περιιέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν ἐρομένου τινὸς αὐτὸν, εἰ βούλεται τὴν d Ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη, τὴν δ' Ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος.

XVI. Ἐν δὲ τούτῳ τῶν Δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς· τοῦ δὲ ποταμοῦ τὸ βάθος καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γίνεσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ καὶ τὸ περὶ τὸν μῆνα νενομισμένον οἰομένων δεῖν φυλάξασθαι, Δαισίου γὰρ οὐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν στρατιάν· τοῦτο μὲν ἐπηνωρθώσατο κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν, τοῦ δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰσχύνεσθαι τὸν Ἑλλήσποντον, e εἰ φοβήσεται τὸν Γρανικὸν διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἴλαις ἱππέων τρισκαίδεκα· καὶ πρὸς ἐναντία βέλη καὶ τόπους ἀπορρῶγας ὅπλοις καταπεφραγμένους καὶ ἵπποις ἐλαύνων καὶ διὰ ῥεύματος παραφέροντος καὶ περικλύζοντος ἔδοξε μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον ἢ γνώμῃ στρατηγεῖν. (2) Οὐ μὴν ἀλλ' ἐμφὺς τῇ διαβάσει καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι καὶ κατ' ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν f τινὰ καταστῆναι τοὺς διαβαίνοντας. Ἐνέκειντο γὰρ κραυγῇ καὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις ἐχρῶντο δόρασι καὶ ξίφεσι τῶν δοράτων συντριβέντων. (3) Ὠσαμένων δὲ πολλῶν ἐπ' αὐτὸν (ἦν δὲ τῇ πέλτῃ καὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστόν), ἀκοντισθεὶς μὲν ὑπὸ τὴν ὑποπτυχίδα τοῦ θώρακος οὐκ
673 ἐτρώθη, Ῥοισάκου δὲ καὶ Σπιθριδάτου τῶν στρατηγῶν a προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ καὶ τὸ δόρυ κατακλάσας ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησε. (4) Συμπεπτωκότων δὲ

diccas, Tibi vero, ait, o rex, quid reservas? quumque Alexander spes sibi retinere sese responderet, Ergo, inquit, nos etiam tui commilitones eas habituri sumus tecum communes. Perdicca autem possessionem sibi assignatam recusante, nonnulli ceterorum quoque amicorum idem fecerunt. Qui maluissent accipere, iis benigne rex gratificatus est, atque hoc modo plerasque Macedoniæ possessiones divisit. (3) Tali animo et conatu Alexander trajecto Hellesponto Ilium ascendit. Minervæ ibi sacrificavit et heroibus libavit; ipse oleo unctus cum sociis circum Achillis statuam uti moris est, decurrit nudus, eamque coronans, fortunam Achillis laudavit, cui et viventi amicus fidelis et mortuo insignis præco obtigisset. (4) Inter circumeundum et res urbis perlustrandum interrogatus, velletne lyram Paridis videre, nihil se illam curare dixit, sed Achillis citharam quærere, qua is gloriam præclarorum virorum et facta cecinisset.

XVI. Interim Darii duces magnas contraxerant copias et ad trajectum Granici fluminis instruxerant, videbaturque utique in foribus Asiæ de aditu et principio rei gerendæ pugna decernendum, sed et altitudinem fluminis et inæqualitatem asperitatemque ulterioris ripæ, in quam erat facto prœlio exeundum, plerique metuebant, nonnulli consuetudinem etiam observandam putabant, qua receptum erat, ne Dæsio mense exercitum rex Macedonum educeret. Hoc quidem ita correxit Alexander, ut Artemisium mensem denuo agi juberet. Parmenioni pugnam dissuadenti, quod jam in exitu esset æstas, respondit: pudere se Hellesponti, si eo trajecto Granicum metueret. Itaque cum tredecim equitum turmis Granicum intrat, perque rapidum et circumfluctuantem amnem contra adversa tela et prærupta loca armaturæ gravis militibus et equis enitens, insania magis et desperatione quam consilio rem gerere videbatur. (2) Quum magno labore evasisset per fluvium in uda et ob cœnum lubrica loca, coactus est, priusquam ordines suorum instruxisset, tumultuario prœlio ac viritim hostes subsistere, qui magno cum clamore irruebant, equosque equis adhibentes, hastis, et sicubi eas fregissent, gladiis pugnabant. (3) Ibi multis in ipsum, ut erat parma et juba galeæ, cui utrimque alæ candoris magnitudinisque miræ affixæ erant, conspicuus, conversis, jaculo ictus est, qua thoracis est commissura, sed sine vulnere. Rœsace autem et Spithridate ducibus una ingruentibus, hoc declinato, in Rœsacem loricatum prius incidit fractaque hasta gladium strinxit. (4) Interim his manus conserentibus Spithridates

αὐτῶν ὁ Σπιθριδάτης ὑποστήσας ἐκ πλαγίων τὸν ἵππον καὶ μετὰ σπουδῆς συνεξαναστὰς κοπίδι βαρβαρικῇ κατήνεγκε· καὶ τὸν μὲν λόφον ἀπήῤῥαξε μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς κοπίδος. Ἑτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρόμενον ἔφθασε Κλεῖτος ὁ μέλας τῷ ξυστῷ διελάσας μέσον. Ὁμοῦ δὲ καὶ Ῥοισάκης ἔπεσεν ὑπὸ b Ἀλεξάνδρου ξίφει πληγείς. (5) Ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος οὔσης τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε τῶν Μακεδόνων καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. Οὐ μὴν ὑπέστησαν εὐρώστως οὐδὲ πολὺν χρόνον, ἀλλ' ἔφυγον τραπόμενοι πλὴν τῶν μισθοφόρων Ἑλλήνων. Οὗτοι δὲ πρός τινι λόφῳ συστάντες ᾔτουν τὰ πιστὰ τὸν Ἀλέξανδρον. (6) Ὁ δὲ θυμῷ μᾶλλον ἢ λογισμῷ πρῶτος ἐμβαλὼν τόν τε ἵππον ἀποβάλλει ξίφει πληγέντα διὰ τῶν πλευρῶν (ἦν δ' ἕτερος, οὐχ ὁ Βουκεφάλας) καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμπλεκομένους. (7) Λέγονται δὲ πεζοὶ μὲν δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ c δισχίλιοι πεντακόσιοι πεσεῖν. Τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλός φησι τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι. Τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. (8) Κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψε τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας, κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν· « Ἀλέξανδρος ὁ Φιλίππου καὶ οἱ Ἕλληνες d πλὴν Λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοικούντων. » Ἐκπώματα δὲ καὶ πορφύρας καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβε πάντα τῇ μητρὶ πλὴν ὀλίγων ἔπεμψεν.

XVII. Οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησε τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον, ὥστε καὶ Σάρδεις, τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσης τῶν βαρβάρων ἡγεμονίας, παραλαβεῖν καὶ τἄλλα προστίθεσθαι. Μόνη δὲ Ἁλικαρνασὸς ἀντέστη καὶ Μίλητος, ἃς ἑλὼν κατὰ κράτος καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. Καὶ πολλάκις e μὲν ἔσπευδε Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο πρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὑτὸν οὕτως ἀναβαίνειν ἐπ' ἐκεῖνον. (2) Ἔστι δὲ τῆς Λυκίας κρήνη περὶ τὴν Ξανθίων πόλιν, ἧς τότε λέγουσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλούσης ἐκ βυθοῦ δέλτον ἐκπεσεῖν χαλκῆν τύπους ἔχουσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλοῦτο παύσασθαι τὴν Περσῶν ἀρχὴν ὑπὸ Ἑλλήνων καταλυθεῖσαν. Τούτοις ἐπαρθεὶς ἠπείγετο τὴν παραλίαν ἀνακαθήρασθαι μέχρι τῆς Φοινίκης καὶ Κιλικίας. (3) Ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς f ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν

equum a latere inhibens, omnique conatu assurgens, copide barbarica tantum ictum galeæ Alexandri intulit, ut et cristam cum altera ala amputarit et plagam vix galea sustinuerit, sed summos etiam capitis crines acies copidis perstrinxerit. Alterum ictum intentantem Clitus Niger conto medium transfixit. Simul et Rœsaces gladio ab Alexandro ictus cecidit. (5) Hoc in discrimine dum equestris pugna versatur, jam et Macedonica phalanx transiverat et pedestres copiæ pugnam inibant. Sed eam Darii peditatus neque fortiter neque diu sustinuit, statimque fugam universi fecerunt, exceptis Græcis qui apud Persas stipendia merebant. Hi ad tumulum quendam globo facto, Alexandri fidem implorabant. (6) In quos quum ipse iræ magis quam rationi obsecutus primus omnium impetum faceret, et equum amisit gladio per latera confossum (alius fuit hic, non Bucephalus), et plerique eorum qui de Alexandri exercitu cæsi aut vulnerati sunt, ibi in maximum adducti discrimen ceciderunt cum hominibus bellicosis et salute desperata feris congressi. (7) Occubuisse de Darianis traduntur millia peditum viginti, equites bis mille quingenti. De Alexandri exercitu non nisi triginta quattuor homines amissos Aristobulus scribit, quorum novem pedites fuerint. His statuas æreas poni jussit, quas Lysippus finxit. (8) Victoriam autem cum Græcis communicans, privatim Atheniensibus misit trecenta scuta capta, reliquis vero spoliis communi nomine inscribi jussit magnificum plane titulum: « Alexander Philippi filius et Græci, exceptis Lacedæmoniis, de barbaris Asiam habitantibus. » Pocula, purpuras aliaque id genus Persica instrumenta quæ cepisset, paucis demptis omnia matri misit.

XVII. Hæc vero pugna ingentem statim rerum ad Alexandrum inclinationem effecit, adeo ut Sardes etiam, barbarici in Asia maritima imperii decus, et aliæ urbes se ei tradiderint. Solæ Halicarnassus et Miletus restiterunt, quas quum vi expugnasset omnemque circùm regionem subegisset, dubius animi de reliquis fuit, quum sæpe cum Dario confligere et de summa rerum dimicare studeret, sæpe rebus maritimis opibusque prius sese confirmare et quasi exercere, atque ita demum adversus eum pergere statueret. (2) Fons est Lyciæ prope Xanthum, quo tunc sponte sua subverso et exundante, narrant ex fundo ejus æream tabulam elatam, in qua litteris antiquis inscriptum fuerit, regnum Persarum a Græcis eversum cessare. Hoc vaticinio confirmatus, oram maritimam ad Phœnicen usque et Ciliciam expugnare contendit. (3) Qua celeritate oram Pamphyliæ peragrarit, id multis historicis materiam portentosius et inflatius scribendi præbuit, qui divina quadam fortuna id mare Alexandro cessisse autumant, quod alioqui semper ab alto asperum

Ἀλεξάνδρῳ τὴν θάλασσαν ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγους προσφερομένην, σπανίως δέ ποτε λεπτοὺς καὶ προσεχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρεῤῥωγότα τῆς ὀρεινῆς πάγους διακαλύπτουσαν. (4) Δηλοῖ δὲ καὶ Μένανδρος ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον·

Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο· κἂν ζητῶ τινα,
674 αὐτόματος οὗτος παρέσται· κἂν διελθεῖν δηλαδὴ a
διὰ θαλάσσης δέῃ τόπον τιν', οὗτος ἔσται μοι βατός.

Αὐτὸς δὲ Ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς οὐδὲν τοιοῦτον τερατευσάμενος ὁδοποιῆσαί φησι τὴν λεγομένην Κλίμακα καὶ διελθεῖν ὁρμήσας ἐκ Φασηλίδος. Διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτριψεν· ἐν αἷς καὶ Θεοδέκτου τεθνηκότος (ἦν δὲ Φασηλίτης) ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ μετὰ δεῖπνον ἐπεκώμασε μεθύων καὶ τῶν στεφάνων ἐπέῤῥιψε πολλούς, οὐκ ἄχαριν ἐν παιδιᾷ τιμὴν ἀποδιδοὺς τῇ γενομένῃ δι' Ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

XVIII. Μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιστάντας ᾕρει καὶ Φρυγίαν ἐχειροῦτο· καὶ Γόρδιον πόλιν, ἑστίαν b
Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβὼν τὴν θρυλουμένην ἅμαξαν εἶδε φλοιῷ κρανείας ἐνδεδεμένην καὶ λόγον ἐπ' αὐτῇ πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἵμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. (2) Οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι. Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα κα- c
λούμενον, ᾧ συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. (3) Ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος καὶ τὴν Μέμνονος ἀκούσας τελευτήν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου στρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπεῤῥώσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. (4) Ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων κατέβαινεν ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως (ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ), καί τινος ὀνείρου θαῤῥύνοντος αὐτόν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον ἢ κατὰ τὸ εἰκός. Ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν Μακεδόνων φάλαγγα, τὸν d
δὲ Ἀλέξανδρον ἔχοντα στολήν, ἣν αὐτὸς ἐφόρει πρότερον ἀστάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ, παρελθόντα δὲ εἰς τὸ τοῦ Βήλου τέμενος ἀφανῆ γενέσθαι. Διὰ τούτων, ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ λαμπρὰ μὲν γενήσεσθαι καὶ περιφανῆ τὰ τῶν Μακεδόνων, Ἀλέξανδρον δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος ἐξ ἀστάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν.

XIX. Ἔτι δὲ μᾶλλον ἐθάῤῥησε καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. e
Ἦν δὲ ἡ διατριβὴ διὰ νόσον ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ

continenti allidatur, raroque admodum infra præcipitia et abruptos montium processus teneras quasdam et projectas cautes detegat. (4) Sane incredibilem eam rem etiam Menander in Comœdia notavit:

Quam simile hoc Alexandri jam est: sive quæro quempiam,
ultro is offeret se extemplo; sive oportet scilicet
per maris locum transire, mihi patebit transitus.

At ipse in epistolis suis Alexander nihil prodigiosi memorans, iter se fecisse per Climacem ait, profectum a Phaselide. Unde plures in ea urbe dies commoratus, quum Theodectæ (Phaselites is erat) mortui imaginem in foro positam vidisset, post cœnam vino gravis eo bacchatus, multa serta ingessit; haud ingratum etiam in joco honorem ei consuetudini reddens, quæ sibi propter Aristotelem et philosophiam cum eo viro fuerat.

XVIII. Secundum hæc Pisidas resistere ausos subegit, Phrygiam domuit, quumque Gordium, quod antiqui istius Midæ fuisse domicilium traditur, cepisset, decantatum illum currum vidit corni libro illigatum, deque eo sermonem a barbaris pro vero habitum audivit, ei, qui nodum istum solvisset, regnum orbis terrarum fato destinari. (2) Plerique scribunt nexuum occulta fuisse capita obliquisque ea involucris varie inter se abdita; itaque Alexandrum, ut rationem explicandi nodi nullam invenerit, gladio secuisse, statimque multa exstitisse ligamentorum capita. Aristobulus facillimum solutu fuisse affirmat, extracto temonis clavo, quo jugum continebatur, ac deinde jugo etiam amoto. (3) Paphlagonas inde et Cappadoces quum in suam potestatem redegisset, audita Memnonis morte, qui rei maritimæ præfectus a Dario videbatur plurimum negotiorum molestiarumque et difficultatum Alexandro exhibiturus, in superiorem Asiam ducendi consilium firmavit. (4) Jam et a Susis moverat Darius, copiarum multitudine fretus (sexcenta enim millia hominum secum ducebat), et insomnio animatus, cujus gratiorem ipsi quam veriorem interpretationem Magi fecerant. Viderat enim in somnis multo igni Macedonum phalangem hauriri, Alexandrum autem eo amictu, quem ipse olim quum esset astandes regius, gestasset, sibi astare ministrum, eundemque in Beli templum intrantem, a nemine post conspici. Per hæc nimirum deus indicabat fore Macedonum res illustres Alexandrumque Asia potiturum, sic ut Darius etiam eam obtinuit rex de astande factus, et mox cum gloria vitam dimissurum.

XIX. Aucta est etiam fiducia Dario, quum Alexandrum diu in Cilicia commorantem pro timido haberet. Moræ autem causa Alexandro fuit morbus, quem ei alii ob de-

λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσι. Τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάῤῥει βοηθήσειν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς Μακεδόνας· Φίλιππος δ' ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιστεύων καὶ δεινὸν ἡγούμενος, εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν σπεύδοντα ῥωσθῆναι f πρὸς τὸν πόλεμον. (2) Ἐν τούτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν Φίλιππον ὡς ὑπὸ Δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ θυγατρὸς ἀνελεῖν Ἀλέ-675ξανδρον. Ὁ δὲ τὴν ἐπιστολὴν ἀναγνοὺς καὶ μηδενὶ a δείξας τῶν φίλων ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. (3) Ὡς δὲ τοῦ καιροῦ παρόντος εἰσῆλθε μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκε τὴν ἐπιστολὴν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως, ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι, τοῦ μὲν ἀναγινώσκοντος, τοῦ δὲ πίνοντος, εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίως, ἀλλὰ τοῦ μὲν Ἀλεξάνδρου φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος, ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου καὶ ποτὲ μὲν θεοκλυτοῦντος καὶ b πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος καὶ παρακαλοῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. (4) Τὸ γὰρ φάρμακον ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος οἷον ἀπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν καὶ τὰ περὶ τὴν αἴσθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῇ γενέσθαι, λιποθυμίας ἐπιπεσούσης. Οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ Φιλίππου καὶ ῥώσας αὑτὸν ἐπέδειξε τοῖς Μακεδέσιν· οὐ γὰρ ἐπαύοντο πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον ἀθυμοῦντες.

XX. Ἦν δέ τις ἐν τῷ Δαρείου στρατῷ πεφευγὼς ἐκ Μακεδονίας ἀνὴρ Μακεδὼν, Ἀμύντας, οὐκ ἄπειρος τῆς c Ἀλεξάνδρου φύσεως. Οὗτος ὡρμημένον ἰδὼν Δαρεῖον εἴσω τῶν στενῶν βαδίζειν ἐπ' Ἀλέξανδρον ἐδεῖτο κατὰ χώραν ὑπομένειν ἐν πλάτος ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας πλήθει τοσούτῳ διαμαχούμενον. Ἀποκριναμένου δὲ Δαρείου δεδιέναι μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι καὶ διαφυγὼν Ἀλέξανδρος, « Ἀλλὰ τούτου γε, εἶπεν, ὦ βασιλεῦ, χάριν θάῤῥει· βαδιεῖται γὰρ ἐκεῖνος ἐπὶ σὲ καὶ σχεδὸν ἤδη βαδίζει. » (2) Ταῦτα λέγων Ἀμύντας οὐκ ἔπειθεν, ἀλλ' ἀναστὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δὲ Ἀλέξανδρος εἰς Συρίαν ἐπ' ἐκεῖνον. Ἐν δὲ τῇ νυκτὶ διαμαρτόντες ἀλλήλων αὖθις ἀνέστρεφον, Ἀλέ- d ξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενὰ, Δαρεῖος δὲ τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν καὶ τῶν στενῶν ἐξελίξαι τὴν δύναμιν. Ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβλη-

fatigationem, alii, quum in flumine Cydno frigidissimo lavisset, accidisse tradunt. Quum de ceteris medicis nemo auxilium afferre auderet, quod morbum omni remedio superiorem judicantes metuebant ne, si medicinam abs re adhibuissent, in calumnias Macedonum incurrerent; Philippus Acarnan, tametsi et ipse difficultatem rei cerneret, amicitiæ tamen fidens indignumque ratus si rege periclitanto non una periculum subiret nec ad extremum usque conatum ei opitularetur et periculo sese exponens, ausus est medicamentum ei temperare, idque ut biberet persuadere, cupienti recuperatis viribus bello reddi. (2) Interim ex castris Parmenio epistolam ad regem mittit, qua monebat uti sibi a Philippo caveret, quem Darius maximis muneribus et filiæ conjugio proposito ad necandum ipsum compulisset. Alexander lectam epistolam, nullique amicorum exhibitam, sub pulvinari deposuit. (3) Ubi tempus offerendi medicamenti fuit et Philippus cum amicis ad regem intravit, pharmacum in calice afferens, epistolam ei porrexit, ipse poculum alacriter, nihilque suspicans accepit. Mirum profecto id fuit spectaculum, altero legente, altero bibente, ac deinde se minime eodem modo aspicientibus, quum Alexander hilari vultu fidem suam et benevolentiam in Philippum testaretur, Philippus calumnia attonitus nunc deos obtestaretur cœloque manus tenderet, nunc ad lectum Alexandri concideret eumque bono animo esse et sibi obsequi hortaretur. (4) Et vero medicamentum tum initio corpus adortum repulerat quasi et in altum depresserat vires ejus, ita ut et vox deficeret et animi deliquio oborto vita ejus obscure admodum sensu perciperetur. Sed mox a Philippo refectus, receptis viribus sese Macedonibus ostendit, quibus non nisi conspecto ipso eximi mœstitia poterat.

XX. Erat quidam in castris Darii Amyntas genere Macedo et ex Macedonia profugus, cui ingenium Alexandri non erat ignotum. Is quum Darium videret in hoc esse ut per angustias ad Alexandrum contenderet, precatus est ut maneret in locis iis, ubi aperti essent latique campi, tanti copiis contra multo pauciores pugnaturo. Ac respondenti Dario metuere se ne hostes et Alexander fuga mature facta sibi elaberentur, nihil eo metu opus esse dixit, ipsum enim ultro Alexandrum venturum, ac fortassis jam appropinquare. (2) Sed Amyntæ consilio spreto Darius castra in Ciliciam movit et contra adversus eum Alexander in Syriam processit. Per noctem factum est ut invicem non occurrerent : inde uterque retro iter converterunt, Alexander casu sibi oblatam occasionem gaudens et in faucibus obviam venire hosti contendens; Darius, ut locum in quo castra ante habuerat reciperet, copiasque angustiis educeret. Etenim jam senserat se suo incommodo in loca ob mare,

κὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσου ῥέοντι τῷ Πινάρῳ δύσιππα καὶ διεσπασμένα πολλαχοῦ καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν. (3) Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν, ἐστρατήγησε δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων πρὸς τὸ νικῆσαι βέλτιον, ὅς γε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος ἐκείνοις μὲν οὐ παρέσχε e κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν καὶ γενόμενος κατὰ κέρας φυγὴν ἐποίησε τῶν καθ' αὑτὸν βαρβάρων ἐν πρώτοις ἀγωνιζόμενος, ὥστε τρωθῆναι ξίφει τὸν μηρὸν, ὡς μὲν Χάρης φησὶν, ὑπὸ Δαρείου (συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας), Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιστέλλων τοῖς περὶ τὸν Ἀντίπατρον οὐκ εἴρηκεν ὅστις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ, δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος συμβαίη, γέγραφε. (4) Νικήσας δὲ λαμπρῶς καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων Δαρεῖον μὲν οὐχ εἷλε τέτταρας σταδίους ἢ f πέντε προλαβόντα τῇ φυγῇ, τὸ δὲ ἅρμα καὶ τὸ τόξον αὐτοῦ λαβὼν ἐπανῆλθε· καὶ κατέλαβε τοὺς Μακεδόνας τὸν μὲν ἄλλον πλοῦτον ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει, καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλιπόντων, 676 τὴν δὲ Δαρείου σκηνὴν ἐξῃρηκότας ἐκείνῳ θεραπείας τε a λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμουσαν. (5) Εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα πρὸς τὸ λουτρὸν ἐβάδιζεν εἰπὼν, « Ἴωμεν ἀπολουσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείου λουτρῷ. » Καί τις τῶν ἑταίρων, « Μὰ τὸν Δί', εἶπεν, ἀλλὰ τῷ Ἀλεξάνδρου· τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος. » Ὡς δὲ εἶδε μὲν ὄλκια καὶ κρωσσοὺς καὶ πυέλους καὶ ἀλαβάστρους, πάντα χρυσοῦ, ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον οἷον ὑπὸ ἀρωμάτων καὶ μύρων ὁ οἶκος, ἐκ δὲ τούτου παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει καὶ τῷ περὶ τὴν στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ b θαύματος ἀξίαν, διαβλέψας πρὸς τοὺς ἑταίρους, « Τοῦτο ἦν, ὡς ἔοικεν, ἔφη, τὸ βασιλεύειν. »

XXI. Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ φράζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα Δαρείου καὶ θυγατέρας δύο παρθένους ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. Συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος καὶ ταῖς ἐκείνων τύχαις μᾶλλον ἢ ταῖς ἑαυτοῦ ἐμπαθὴς γενόμενος πέμπει Λεοννάτον ἀπαγγεῖλαι κελεύσας, ὡς οὔτε Δαρεῖος τέθνηκεν οὔτε Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκείναις δὲ πάντα ὑπάρξειν, ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. (2) Τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φα- c νέντος ἔτι μᾶλλον τὰ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. Θάψαι γὰρ ὅσους ἐβούλοντο Περσῶν ἔδωκεν ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων, θεραπείας τε καὶ τιμῆς, ἧν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλε, συντάξεις δὲ καὶ

montes fluviumque interfluentem (Pinarum vocant) equitatui aliena passimque intercepta et paucitati hostium opportuna exercitum induxisse. (3) Alexander, quum ei locum opportunum fortuna dedisset, munere hoc ad victoriam eo melius parandam prudenter usus est, quum longe admodum inferior hostili multitudine, non modo id cavit, uti ne ab iis circumveniretur, sed et ipse dextro cornu sinistrum eorum ita præteriit, ut ex obliquo irruens in fugam oppositos sibi hostes pugnans ipse inter primos conjecerit. Ea quidem in pugna gladio femur ictus est; a Dario vulneratum (ipsos siquidem reges manum conseruisse) Chares auctor est. Alexander de ea pugna ad Antipatrum scribens, auctorem vulneris non indicat, pugione sibi femur sauciatum vulnere minime noxio scribit. (4) Victoria insigni potitus est, cæsis centum et viginti millibus barbarorum, eoque amplius. Darium non cepit, qui fuga quattuor aut quinque stadiis anteverterat, sed curru arcuque ejus capto, ad Macedonas rediit. Ibi Macedonas offendit castra barbarorum immensis abundantia opibus diripientes, tametsi expediti ad pugnam iverant illi, relictis Damasci plerisque impedimentis, Darii tentorium famulitio splendido, apparatuque et divitiis ingentibus refertum Alexandro eximium a præda reliquerant. (5) Itaque statim armis positis ad lavacrum contendit, inquiens : Agedum eamus sudorem prœlio conceptum Darii lavacro abluturi. Tum quidam sociorum : Nequaquam, inquit, Darii, sed Alexandri balneo; victoris enim et esse et dici debent eorum qui succubuerunt bona. Ut vero pyxides, guttos, pelves, alabastros, aurea omnia et summa arte parata vidit, tum divinum quendam odorem domus unguentorum et aromatum reddidit, deinde in scenam progressus magnitudine et altitudine, ad hæc stragula veste, mensis et cœnæ apparatu admirandam, oculos in socios convertens dixit : Nimirum ergo hoc erat regem esse.

XXI. Jam cœnaturo renuntiatum est inter captivos matrem uxoremque Darii et duas filias virgines duci, easque, quum Darii currum arcumque conspexissent, plangere et lugere, peremptum eum judicantes. Hic diu secum ipse meditatus, magisque earum quam sua commotus fortuna, Leonnatum mittit, indicare iis jubens, neque Darium periisse, neque ipsis ab Alexandro esse metuendum; se enim cum Dario de principatu belligerare, ipsis omnia quæ regnante Dario habuissent præbiturum. (2) Benignus is et humanus sermo mulieribus visus est, sed re ipsa plus etiam humanitatis expertæ sunt. Nam et sepelire quos vellent Persarum permisit eis, vestibus ad hoc et ornatu de præda concessis, neque quicquam iis solemnium honorum ademit, reditus etiam prioribus ampliores destinavit. Maxi-

μείζονας ἐκαρποῦντο τῶν προτέρων. Ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι μήτε ἀκοῦσαί τι μήτε ὑπονοῆσαι μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ' ὥσπερ οὐκ ἐν στρατοπέδῳ τῶν πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν ἀπόῤῥητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. (3) Καίτοι d λέγεταί γε τὴν Δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος ἀνδρῶν κάλλιστος καὶ μέγιστος, τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. Ἀλλ' Ἀλέξανδρος, ὡς ἔοικε, τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τούτων ἔθιγεν οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου πλὴν Βαρσίνης. Αὕτη δὲ μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη περὶ Δαμασκὸν ἐλήφθη. Πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα καὶ πατρὸς Ἀρταβάζου γεγονότος ἐκ βασιλέως θυγατρὸς ἐγνώσθη, Παρμενίωνος e προτρεψαμένου τὸν Ἀλέξανδρον, ὥς φησιν Ἀριστόβουλος, καλῆς καὶ γενναίας ἅψασθαι γυναικός. (4) Τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. Ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμψεν.

XXII. Ἐπεὶ δὲ Φιλόξενος ὁ τῶν ἐπὶ θαλάττης στρατηγὸς ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον ἔχοντα παῖδας ὠνίους δύο τὴν ὄψιν ὑπερφυεῖς καὶ πυνθανόμενος, εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν ἐβόα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς τοιαῦτα ὀνείδη προξενῶν κάθηται. Τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ
677 λοιδορήσας ἐκέλευσεν αὐτοῖς φορτίοις τὸν Θεόδωρον εἰς a τὸν ὄλεθρον ἀποστέλλειν. Ἐπέπληξε δὲ καὶ Ἅγνωνι γράψαντι πρὸς αὐτόν, ὅτι Κρωβύλον εὐδοκιμοῦντα ἐν Κορίνθῳ βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. (2) Πυνθανόμενος δὲ μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα τιμωρησάμενον ἀποκτεῖναι. Καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν· « Ἐγὼ γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὑρεθείην τὴν Δαρείου γυναῖκα ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὐδὲ τῶν λεγόντων περὶ τῆς εὐμορφίας b αὐτῆς προσδεδεγμένος τὸν λόγον. » Ἔλεγε δὲ μάλιστα συνιέναι θνητὸς ὢν ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν, ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. (3) Ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, καὶ τοῦτο ἄλλοις τε πολλοῖς ἐδήλωσε καὶ τοῖς πρὸς Ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. Ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δει-

mum autem et vere regium iis beneficium exhibebatur, quod generosæ pudicæque mulieres tum in captivitatem redactæ nihil neque audivere, neque senserunt, neque exspectaverunt turpe, sed tanquam non in castris hostium, sed castis et sanctis in virginum domiciliis occultam et ab omnium oculis remotam vitam egerunt. (3) Et quidem Darii uxorem ferunt longe omnibus reginis fuisse formosiorem, sicut et Darium inter viros pulcherrimum maximumque, filias etiam parentum similes. Sed enim Alexander se ipsum vincere quam hostes magis regium existimans esse, neque harum ullam, neque ullam aliam ante nuptias attigit mulierem, Barsina excepta. Hæc Memnone mortuo vidua apud Damascum capta fuit, Græca disciplina erudita, moribusque bonis, Artabazi, qui regem maternum avum habuerat, filia; ejus ut notitiam haberet, Parmenionis, ut ait Aristobulus, monitu, quippe mulierem et natalibus et forma nobilem commendantis, factum est. (4) Reliquas captivas forma et statura eximias quum videret Alexander, per jocum dixit: Persides oculorum dolores esse. Formæ autem earum spectaculo suæ continentiæ et temperantiæ pulchritudinem opponens, tanquam exanimes imagines prætermisit.

XXII. Quum Philoxenus mari præfectus scripsisset Theodorum quendam Tarentinum pueros duos miræ pulchritudinis venales attulisse, percontareturque an eos emeret, indigne ferens, sæpe apud amicos vociferatus est: Cujusnam tandem turpitudinis mihi Philoxenus conscius est, quod talia mihi opprobria commendat? Ipsumque Philoxenum per litteras gravissime objurgatum amandare una cum mercibus suis in malam rem Theodorum istum jussit. Hagnonem etiam graviter corripuit, qui ad ipsum scripsisset, Crobylum Corinthi celebrem velle se ei emere atque afferre. (2) Audito Damonem et Timotheum Macedones stipendiariorum quorundam militum, qui sub Parmenione erant, corrupisse uxores, Parmenionem scripta epistola jussit eos, si quidem convicti ejus sceleris fuissent, tanquam bestias ad hominum perniciem natas capitali supplicio tollere. Et de se ipso ea in epistola hæc verba scripsit: Ego enim tantum abest ut vel viderim vel videre voluerim Darii uxorem, ut ne sermones quidem de elegantia ejus referentium admiserim. Idem ex somno et re venerea potissimum se intelligere dixit, quod homo esset, sentiens videlicet naturæ ab eadem imbecillitate et defatigationem et voluptatem ingeneratam esse. (3) A gula fuisse alienissimum et aliis multis rebus ostendit et his quæ Adæ (a qua se adoptari passus fuerat, eamque Cariæ reginam constituerat) respondit. Quum enim illa amoris causa multum ei quotidie ciborum et placentarum mitteret et ad extremum quos præstantissimos coquos pistoresque haberet:

νοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιούς, ἔφη τούτων μηδενὸς δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν ὑπὸ τοῦ παι- c δαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν τὸ ἄριστον νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον ὀλιγαριστίαν. « Ὁ δ' αὐτὸς οὗτος ἀνήρ, ἔφη, καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱματίων ἔλυεν ἐπισκοπῶν, μή τί μοι τρυφερὸν ἢ περισσὸν ἡ μήτηρ ἐντέθεικεν. »

XXIII. Ἦν δὲ καὶ πρὸς οἶνον ἧττον ἢ ἐδόκει καταφερής. Ἔδοξε δὲ διὰ τὸν χρόνον, ὃν οὐ πίνων μᾶλλον ἢ λαλῶν εἷλκεν ἐφ' ἑκάστης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα πολλῆς σχολῆς οὔσης. Ἐπεὶ πρός γε τὰς πράξεις οὐκ οἶνος ἐκεῖνον, οὐχ ὕπνος, οὐ παιδιά τις, οὐ γάμος, οὐ θέα καθάπερ ἄλλους στρατηγοὺς ἐπέσχε. Δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν d παντάπασι, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. (2) Ἐν δὲ ταῖς σχολαῖς πρῶτον μὲν ἀναστὰς καὶ θύσας τοῖς θεοῖς εὐθὺς ἠρίστα καθήμενος· ἔπειτα διημέρευε κυνηγῶν ἢ συντάττων ἢ δικάζων τι τῶν πολεμικῶν ἢ ἀναγινώσκων. Εἰ δὲ ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν. Πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. (3) Καταλύσας δὲ καὶ τραπόμενος πρὸς λουτρὸν ἢ ἄλειμμα, τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖ- e πνον εὐτρεπῶς ἔχουσι. Καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότους ἤδη κατακλινόμενος ἤρχετο, θαυμαστὴ δὲ ἦν ἡ ἐπιμέλεια καὶ περίβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως μηδὲ ὀλιγώρως διανέμοιτο· τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπ' ἀδολεσχίας ἐξέτεινε. (4) Καὶ τἄλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο καὶ λίαν στρατιωτικὸς αὐτός τε πρὸς τὸ κομπῶδες ὑποφερόμενος καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνεικῶς ἱππάσιμον, ὑφ' ὧν οἱ χαριέστατοι τῶν παρόντων ἐπετρίβοντο μήτε ἁμιλλᾶσθαι τοῖς κόλαξι μήτε λείπε- f σθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. Τὸ μὲν γὰρ αἰσχρὸν ἐδόκει, τὸ δὲ κίνδυνον ἔφερε. Μετὰ δὲ τὸν πότον λουσάμενος ἐκάθευδε πολλάκις μέχρι μέσης ἡμέρας· ἔστι δ' ὅτε καὶ διημέρευεν ἐν τῷ καθεύδειν. (5)
678 Αὐτὸς μὲν οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ a σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων καὶ ἰχθύων ἑκάστῳ διαπεμπόμενος τῶν ἑταίρων, πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν· τὸ μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπὲς καὶ τοῖς εὐτυχήμασι τῆς δαπάνης ἅμα συναυξανομένης τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. Ἐνταῦθα δὲ ἔστη καὶ τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις Ἀλέξανδρον.

XXIV. Μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ πέμψας εἰς Δαμασκὸν ἔλαβε τὰ χρήματα καὶ τὰς ἀποσκευὰς καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν. Καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν Θεσσαλῶν ἱππεῖς· τούτους γὰρ ἄνδρας ἀγαθοὺς διαφερόντως ἐν τῇ μάχῃ b

nihil se istis indigere dixit; meliores enim sibi coquos a Leonida pædagogo additos, ad prandium nocturnam ambulationem, ad cœnam frugale prandium. Idem, inquit, stragulorum etiam vestimentorumque arcas meas aperuit crebro, inquirens ne quid delicatum aut supervacaneum mater eo imposuisset.

XXIII. Minus quoque, quam existimabatur vino fuit deditus; vinosior enim ob tempus creditus fuit, quod non tam bibendo quam dicendo trahebat, singulis calicibus longum sermonem annectens, atque id non nisi quum abundaret otio. Non enim illum, ut alios imperatores, vinum, non somnus, non ludus, non nuptiæ, non spectaculum a rebus gerendis detinuit; quod vita ejus demonstrat, cujus brevissimo spatio plurimas res maximasque gessit. (2) Per otium autem primum assurgens rem sacram diis faciebat, inde sedens prandebat. A prandio reliquum diei venando, instituendo, judicandove aliquid de re bellica, aut legendo exigebat. Si iter non admodum festinans faceret, inter eundum discebat aut jaculari, aut currum concitatum conscendere, ab eodemque descendere. Sæpe etiam animi causa vulpes aut aves captabat, ut ex diariis ejus intelligi potest. (3) Quum divertisset et lavare aut ungi instituisset, ex pistoribus coquisque quærebat paratane esset cœna. Cœnare non nisi jam tenebris noctis ingruentibus cœpit, mirabili autem cura circumspiciebat, ne quid in mensa inæqualiter negligenterve distribueretur. Potum, uti ostendimus, ob loquacitatem diutius trahebat. (4) Atque hic rex alioqui jucundissimæ consuetudinis, nulliusque expers leporis, jactantia nimia molestus fuit, nimisque militari levitati indulsit, quum et ipse majori se fastu efferret, et se ipsum adulatoribus quasi equitandum præberet. Quæ res civilissimo cuique convivarum, plurimum exhibebat molestiæ, quum neque certare cum adulatoribus, neque in laudando iis esse inferiores vellent, quorum alterum turpe erat, alterum periculosum. A potu lotus sæpe ad meridiem usque dormiebat; est et quum totum diem somno impendit. (5) Ciborum quidem delicatiorum ita erat temperans, ut, quum sæpe ad ipsum a mari rarissimi arborum fructus et pisces afferrentur, ita de iis plerumque ad amicos dimiserit, ut nihil sibi reservaret. Cœna tamen splendida semper fuit; auctoque cum fortuna ejus sumptu, tandem ad centum minas pervenit. Tantum enim pendere jubebantur ii qui Alexandrum acciperent convivio, neque ultra id pretium auctum est.

XXIV. Secundum Issicam pugnam Damasco afferri pecuniam et impedimenta et liberos uxoresque Persarum jussit. Maxime hinc ditati sunt Thessalici equites, quos ut fructum præclaræ eo in prœlio exhibitæ operæ caperent, consulto eo misit. Sed et reliquus exercitus summam re-

γενομένους ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον. Καὶ γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ διαίτης βαρβαρικῆς, ὥσπερ κύνες ἔσπευδον ἀψάμενοι στίβου διώκειν καὶ ἀνιχνεύειν τὸν τῶν Περσῶν πλοῦτον. (2) Οὐ μὴν ἀλλ' Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατύνεσθαι τὰ πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς οἱ βασιλεῖς ἧκον ἐγχειρίζοντες αὐτῷ καὶ Φοινίκην πλὴν Τύρου. Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώμασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης ὄναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ c
τοῦ τείχους καὶ καλοῦντα. Τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πρασσόμενα κατὰ τὴν πόλιν. Ἀλλ' οὗτοι μὲν ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους ἐπ' αὐτοφώρῳ τὸν θεὸν εἰληφότες σειράς τε τῷ κολοσσῷ περιέβαλλον αὐτοῦ καὶ καθήλουν πρὸς τὴν βάσιν Ἀλεξανδριστὴν καλοῦντες. (3) Ἑτέραν δὲ ὄψιν Ἀλέξανδρος εἶδε κατὰ τοὺς ὕπνους. Σάτυρος αὐτῷ φανεὶς ἐδόκει προσπαίζειν πόῤῥωθεν, εἶτα βουλομένου λαβεῖν ὑπεξέφυγε· τέλος δὲ d
πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος ἦλθεν εἰς χεῖρας. Οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες οὐκ ἀπιθάνως ἔφασαν αὐτῷ· « Σὰ γενήσεται Τύρος. » Καὶ κρήνην δέ τινα δεικνύουσι, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξε τὸν Σάτυρον. (4) Διὰ μέσου δὲ τῆς πολιορκίας ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Ἀντιλιβάνῳ στρατεύσας ἐκινδύνευσε διὰ τὸν παιδαγωγὸν Λυσίμαχον· ἐξηκολούθησε γὰρ αὐτῷ λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος. Ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς καὶ τοὺς ἵππους ἀπολιπὼν πεζὸς ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, e
ἑσπέρας ἤδη καταλαμβανούσης καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων ἔλαθε τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων καὶ σκότους ἅμα καὶ ῥίγους σφοδροῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. (5) Εἶδεν οὖν πόῤῥω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. Θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσι καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ καὶ δαλὸν ἁρπάσας ἧκε πρὸς τοὺς ἑαυτοῦ κομίζων. Ἐγκαύσαντες δὲ πῦρ πολὺ f
τοὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ' ἐπιόντας ἐτρέψαντο καὶ κατηυλίσθησαν ἀκινδύνως. Ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

XXV. Ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας. Ἀλεξάνδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας, ὡς μὴ σχολάζοιεν οἱ πολέμιοι, τοῖς τείχεσι
679 προσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο· καὶ a
τὰ σημεῖα κατιδὼν, θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν

rum copiam nactus est. Ac tum primum Macedones, auri, argenti, mulierum vitæque barbaricæ gustu percepto, veluti canes vestigium assecuti, persequi et indagare divitias Persicas avebant. (2) At Alexander maritima prius certo in statu collocanda sensit. Statim reges adfuerunt, Cyprum ei et Phœnicen dedentes, Tyro excepta. Tyrum quum septimo jam mense oppugnaret aggeribus machinisque et ducentis a mari triremibus, in somnis vidit Herculem sibi manum de muro porrigentem et vocantem. Multi vero Tyriorum per insomnium visi sibi sunt audire Apollinem dicentem, sibi ea quæ in urbe agerentur non probari, ideoque se ad Alexandrum abire. Atque hi quidem perinde ac si hominem ad hostes transfugere aggressum in ipso facto deprehendissent, colossum dei ejus catenis ligaverunt, clavisque basi affixerunt, Alexandristam appellantes. (3) Aliud visum Alexandro per quietem oblatum est. Satyrus ei conspectus est eminus alludere, deinde volenti eum capere fuga elabi, tandem multa orantis et circumcursitantis in manus venire. Conjectores nomen Satyri dividentes, haud absurde pronunciarunt: Σὰ Τύρος, i. e., tua Tyrus erit. Ostenditur etiam fons, apud quem in somnis cernere Satyrum imaginatus fuerat. (4) Durante Tyri obsidione, exercitum adversus Arabes qui accolunt ad Antilibanum duxit. Ibi propter pædagogum Lysimachum grave subiit periculum, qui sequebatur eum, neque deteriorem se neque grandæviorem Phœnice dicens. Sed quum ad montana appropinquasset et relictis equis pedes incederet, procul reliquis progressis, quum jam advesperasceret, Lysimachum defatigatum deserere non sustinens, dum eum hortatur et promovet, imprudens cum paucis ab exercitu divulsus, coactus est iniquo loco tenebris jam et vehementi frigore oborto pernoctare. (5) Cernens autem procul multos ignes passim ab hostibus accensos, fretus agilitate corporis, quam suis adsidue laboribus tolerando auxerat, ut suorum incommodo mederetur, ad proximum ignem hostium accurrit, duobusque assidentibus barbaris ense cæsis torrem abreptum ad suos tulit. Ita magno statim igne edito, barbaris tantum injecerunt terrorem, uti fugam fecerint; ceteros invadentes repulerunt, atque ita extra periculum eam noctem exegerunt. Hæc est Charetis narratio.

XXV. Ceterum obsidio Tyri hunc habuit finem. Quum Alexander majorem exercitus partem quiete reficeret ob exhaustos labores, paucosque tantum muris admoveret, ne hostibus otium concederet, Aristander vates mactata hostia quum exta inspexisset, audacius affirmavit præsentibus fore ut eo utique mense urbs caperetur. (2) Risu

πόλιν. (2) Γενομένου δὲ χλευασμοῦ καὶ γέλωτος (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα), διηπορημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς καὶ συμφιλοτιμούμενος ἀεὶ τοῖς μαντεύμασιν, ἐκέλευσε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν· καὶ τῇ σάλπιγγι σημήνας ἀπεπειρᾶτο τῶν τειχῶν ἐῤῥωμενέστερον, ἤπερ ἐξ ἀρχῆς διενοήθη. Γενομένης δὲ λαμπρᾶς ἐπιβολῆς καὶ μηδὲ τῶν ἀπὸ στρατοπέδου καρτερούντων, ἀλλὰ συντρεχόντων καὶ προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἷλε κατ' ἐκείνην τὴν ἡμέραν. (3) b Μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον ἀφεθεὶς ἄνωθεν ὑπὸ ὄρνιθος. Ὁ δὲ ὄρνις ἐφ' ἓν τῶν μηχανημάτων καθίσας ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. Καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου πρόῤῥησιν· ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβε δὲ τὴν πόλιν. (4) Ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις κατέπεμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια καὶ σμύρνης ἑκατόν, ἀναμνησθεὶς c παιδικῆς ἐλπίδος. Ὁ γὰρ Λεωνίδης, ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶ καὶ καθαγίσαντα τοῦ θυμιάματος, « Ὅταν, ἔφη, τῆς ἀρωματοφόρου κρατήσῃς, Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις, νῦν δὲ φειδομένως χρῶ τοῖς παροῦσι. » Τότε οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν· « Ἀπεστάλκαμέν σοι λιβανωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς θεοὺς μικρολογούμενος. »

XXVI. Κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὗ πολυτελέστερον οὐδὲν ἐφάνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα d τοὺς φίλους, ὅ τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. Πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα φρουρήσειν ἐνταῦθα καταθέμενος. (2) Καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπίστων μεμαρτυρήκασιν. Εἰ δ', ὅπερ Ἀλεξανδρεῖς λέγουσιν, Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ἐστιν, οὔκουν ἀργὸς οὐδὲ ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. Λέγουσι γὰρ ὅτι τῆς Αἰγύπτου κρατήσας ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν, καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν. Εἶτα νύκτωρ κοιμώμενος ὄψιν εἶδε e θαυμαστήν· ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην καὶ γεραρὸς τὸ εἶδος ἔδοξεν αὐτῷ παραστὰς λέγειν τὰ ἔπη τάδε·

Νῆσος ἔπειτά τίς ἐστι πολυκλύστῳ ἐνὶ πόντῳ
Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

(3) Εὐθὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν ἤπειρον. Ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα (ταινία f γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς

ad hoc et cavillis exsistentibus, quod ultima ea dies mensis erat, rex, uti semper vaticinia magni faciebat, perturbatum Aristandrum cernens, eum diem non trigesimum mensis, sed vigesimum octavum numerari jussit; simulque tuba signum dans, majori quam statuerat initio conatu muros oppugnare cœpit. Facto vehementi impetu, quum ne ii quidem qui erant in castris sese continerent, sed et ipsi ad auxilia accurrerent, animos desponderunt Tyrii, urbsque eadem die capta est. (3) Postea Gazam ei oppugnanti, maximam Syriæ urbem, gleba in humerum incidit desuper ab ave demissa. Avis autem quum in machina consedisset, nervorum nexibus, quorum ad attrahendos funes usus est, sese implicavit. Ita vero evenit, ut prædixerat id signum interpretans Aristander: capta enim urbs est, Alexandro humerus vulneratus. (4) Quum multa de præda Olympiadi, Cleopatræ amicisque dona mitteret, Leonidæ quoque pædagogo quingenta thuris, myrrhæ centum talenta misit, puerilis spei recordatus. Etenim quodam in sacrificio Leonidas ipsi utraque manu odoramenta in ignem conjicienti dixisse fertur: Ubi odoriferam regionem ceperis, Alexander, tum ita liberaliter adole, nunc parcius. Igitur tum Alexander ei scripsit: Mittimus tibi thuris et myrrhæ abunde, uti cesses illiberalis in cultu deorum esse.

XXVI. Quum esset ad ipsum allatum scrinium, quo nihil in rebus et impedimentis Darii captis pretiosius repertum fuit, ex amicis quæsivit, quidnam potissimum ex rebus caris ei imponeret, ac multa multis dicentibus, Iliadem ipse eo depositam se asservaturum affirmavit. (2) Multos hujus rei habeo magnæ fidei auctores. Jam si verum est quod Alexandrini Heraclidem secuti asserunt, non sane otiosum se ei neque consilii dandi negligentem militiæ comitem Homerus præbuit. Nam Ægypto, ut ipsi aiunt, capta Alexander, quum urbem Græcam sibi cognominem ibi condere vellet, magnam et hominibus frequentem, et jam de sententia architectorum locum quendam dimensurus ac definiturus esset, nocte ea mirabile vidit insomnium. Virum venerabili forma, cana coma, imaginatus est sibi adstare et hos versus recitare:

Præterea undoso quædam jacet insula ponto,
Opposita Ægypto; Pharon illam nomine dicunt.

(3) Itaque statim surgens, Pharum adiit, quæ tum adhuc erat paulum supra Canobicum ostium, nunc aggere est annexa continenti. Contemplatus loci commodissimam naturam (est enim terra in longum porrecta, quæ isthmo suo, qui sufficientem habet latitudinem paludem magnam

διείργουσα λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν), εἰπὼν ὡς Ὅμηρος ἦν ἄρα τά τε ἄλλα θαυμαστὸς καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντας. (4) Καὶ γῆ μὲν οὐ παρῆν λευκή, τῶν δὲ ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον, οὗ τὴν ἐντὸς περιφέρειαν εὐθεῖαι βάσεις ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον ἐξ ἴσου συνάγουσαι τὸ μέγεθος. 680 Ἡσθέντος δὲ a τῇ διαθέσει τοῦ βασιλέως αἰφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης πλήθει τε ἄπειροι καὶ κατὰ γένος παντοδαποὶ καὶ μέγεθος ἐπὶ τὸν τόπον καταίροντες νέφεσιν ἐοικότες οὐδὲ μικρὸν ὑπελείποντο τῶν ἀλφίτων, ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. (5) Οὐ μὴν ἀλλὰ τῶν μάντεων θαῤῥεῖν παραινούντων (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφόν), ἔργου κελεύσας ἔχεσθαι τοὺς ἐπιμελητὰς αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος ὁδὸν μακρὰν καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο, τὸν μὲν ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν, τὸν δέ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις b ἐπιπέσοι νότος, ὥς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατόν, ἀναστήσας θῖνα μεγάλην καὶ κυματώσας τὸ πεδίον μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. Ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο, χαλεπὸν δὲ ἦν Ἀλέξανδρον ἀποστρέψαι πρὸς ὁτιοῦν ὡρμημένον. Ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα τὴν γνώμην ἰσχυρὰν ἐποίει καὶ τὸ θυμοειδὲς ἄχρι τῶν θαυμάτων ὑπεξέφερε τὴν φιλονεικίαν ἀήττητον οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους καὶ καιροὺς καταβιαζομένην.

XXVII. Ἐν γοῦν τῇ τότε πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα τῶν ὑστέρων c χρησμῶν ἐπιστεύθη μᾶλλον· τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξε. Πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι τόν τε τῆς δίψης φόβον ἔλυσαν καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμου, νοτερᾶς γενομένης καὶ πρὸς αὑτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. (2) Ἔπειτα τῶν ὅρων, οἵπερ ἦσαν τοῖς ὁδηγοῖς, συγχυθέντων καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες· ὃ δὲ ἦν θαυμασιώτατον, d ὡς Καλλισθένης φησί, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ καὶ κλάζοντες εἰς ἴχνος καθίστασαν τῆς πορείας. (3) Ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἧκεν εἰς τὸν τόπον, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος ἀπὸ τοῦ θεοῦ χαίρειν ὡς ἀπὸ πατρός, προσεῖπεν· ὁ δὲ ἐπήρετο, μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς φονέων. Εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυν-

et mare magno portu finitum sufficienter dirimit), quum aliis in rebus admiratione dignum Homerum, tum sapientissimum esse architectum dixit. Proinde urbis figuram loco isti convenientem ibi describere jussit. (4) Quum non esset in promptu creta, polenta in solo nigro delineaverunt rotundum sinum, cujus peripheriam interiorem rectæ lineæ, ex æquali distantia coeuntes, quasi ab utraque lacinia in effigiem chlamydis connectebant. Eam figuram quum magnopere probaret rex, subito aves innumeræ omnis generis atque magnitudinis a flumine et lacu nubis instar locum eum occupaverunt, atque ita polentam depastæ sunt, ut ne tantillum quidem relinquerent. (5) Alexandrum eo augurio perturbatum vates confirmarunt, urbem locupletissimam et quæ omnigenum hominum alumna foret, condi ab eo dicentes. Itaque præfectis ei operi procuratoribus, iter ad Ammonem ipse suscepit longum, in quo quum difficilia sunt omnia et laboriosa, tum pericula duo impendent, alterum ab aquæ penuria, ob solitudines quæ sunt haud paucorum dierum, alterum ab austro, ne is vehemens in immensa profundaque ambulantibus arena incidat; quippe olim quoque fertur ingentibus excitatis arenarum aggeribus et planitie maris instar exagitata, quinquaginta millia hominum de Cambysis exercitu obruisse atque interfecisse. Quæ tametsi universi prope reputarent, difficile tamen erat Alexandrum ab eo quod semel sibi proposuisset detrahere. Nam et fortuna conatibus ejus favendo animum confirmabat animique vigor ad stupenda usque facta invictam ejus ambitionem provehebat, non hostes modo, sed loca etiam ac tempora vi superantis.

XXVII. Ea quidem in profectione auxilia, quibus deus difficultates ejus sublevavit, plus fidei quam reddita deinde oracula invenerunt, imo ea fidem etiam oraculis quodammodo fecerunt. Primum imbres largi et sitis metu liberaverunt et siccitatem arenæ nimiam abstulerunt, quum ea humectata in sese subsideret, eoque purior fuit et spirabilior aer. (2) Deinde quum ductores metas confudissent atque inde per ignorantiam error et divulsio sequentium oriretur, subito visi corvi duces itineris se præbuerunt, modo volatu præcedentes, modo tardiores exspectantes, quin etiam (quod maxime mirum Callisthenes commemorat) eos qui aberrassent per noctem crocitatione sua in viam revocantes. (3) Ut peragratis solitudinibus ad locum quem petebat pervenit, vates Ammonis eum dei, veluti patris ejus, verbis salvere jussit; interroganti deinde aliquisne ipsum patris percussorum effugisset: Bona, inquit, verba, non enim mortali patre tu natus es; tum mutato sermone quæsivit

θάνετο, τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρη-
μένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ δίδωσιν
ἀνθρώπων κυρίῳ γενέσθαι. Χρήσαντος δὲ τοῦ θεοῦ e
καὶ τοῦτο διδόναι καὶ Φίλιππον ἀπέχειν ἔκπλεω τὴν
δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι λαμπροῖς καὶ χρή-
μασι τοὺς ἀνθρώπους. (4) Ταῦτα περὶ τῶν χρησμῶν
οἱ πλεῖστοι γράφουσιν· αὐτὸς δὲ Ἀλέξανδρος ἐν ἐπι-
στολῇ πρὸς τὴν μητέρα φησὶ γεγονέναι τινὰς αὐτῷ μαν-
τείας ἀποῤῥήτους, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς
μόνην ἐκείνην. Ἔνιοι δέ φασι τὸν μὲν προφήτην Ἑλ-
ληνιστὶ βουλόμενον προσειπεῖν μετά τινος φιλοφροσύ-
νης « Ὦ παιδίον » ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ
βαρβαρισμοῦ πρὸς τὸ σίγμα ἐξενεχθῆναι καὶ εἰπεῖν « Ὦ
παιδίος » ἀντὶ τοῦ ν τῷ ς χρησάμενον, ἀσμένῳ δὲ τῷ
Ἀλεξάνδρῳ τὸ σφάλμα τῆς φωνῆς γενέσθαι καὶ διαδο- f
θῆναι λόγον, ὡς παῖδα Διὸς αὐτὸν τοῦ θεοῦ προσειπόν-
τος. (5) Λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τοῦ
φιλοσόφου διακούσας ἀποδέξασθαι μάλιστα τῶν λεχθέν-
των, ὅτι πάντες οἱ ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ· τὸ
681 γὰρ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν θεῖόν ἐστιν· ἔτι δὲ a
μᾶλλον αὐτὸς περὶ τούτων φιλοσοφώτερον δοξάζειν καὶ
λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα
τὸν θεόν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ τοὺς ἀρίστους.

XXVIII. Καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους σο-
βαρὸς ἦν καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ θεοῦ γε-
νέσεως καὶ τεκνώσεως ὅμοιος, τοῖς δὲ Ἕλλησι μετρίως
καὶ ὑποφειδομένος ἑαυτὸν ἐξεθείαζε· πλὴν περὶ Σάμου
γράφων Ἀθηναίοις « Ἐγὼ μὲν οὐκ ἄν, φησίν, ὑμῖν
ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δὲ αὐτὴν λα-
βόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγο-
ρευομένου, » λέγων τὸν Φίλιππον. Ὕστερον δὲ πληγῇ
περιπεσὼν ὑπὸ τοξεύματος καὶ περιαλγὴς γενόμενος, b
« Τοῦτο μέν, εἶπεν, ὦ φίλοι, τὸ ῥέον αἷμα καὶ οὐχ

ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. »

(2) Ἐπεὶ δὲ μεγάλης ποτὲ βροντῆς γενομένης καὶ πάν-
των ἐκπλαγέντων Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη
πρὸς αὐτόν, « Μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός; » γελάσας
ἐκεῖνος, « Οὐ βούλομαι γάρ, εἶπε, φοβερὸς εἶναι τοῖς
φίλοις, ὥσπερ σύ με κελεύεις ὁ καταφαυλίζων μου τὸ
δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας ὁρᾷς ἐπικειμένους, οὐ
σατραπῶν κεφαλάς. » Τῷ γὰρ ὄντι λέγεται τὸν Ἀνά-
ξαρχον, ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βα-
σιλέως, τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον, οἷον c
ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα
μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς οὐδὲν ἢ μι-
κρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλ-
λων. (3) Ὁ γοῦν Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων
δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς οὐδὲ τετυφωμένος,
ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειό-
τητος.

XXIX. Εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου
θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει καὶ χορῶν κυ-
κλίων καὶ τραγικῶν ἀγῶνας οὐ μόνον ταῖς παρασκευαῖς,

Alexander, Philippine interfectores omnes ultus esset, et an omnibus esset dominaturus hominibus : respondit Ammon, et hoc se ei dare et Philippi cædem prorsus esse vindicatam. Tum Alexander donariis deum, pecunia homines donavit. (4) Hæc istis de oraculis plerique tradunt. Ipse in epistola ad matrem arcanas sibi quasdam sortes datas scribit, quas solus soli sit, ubi revertisset, expositurus. Quidam referunt antistitem quum Græco sermone blandius alloqui Alexandrum et παιδίον, id est filium, appellare vellet, lapsum, ut erat barbarus, in ultimæ litteræ sono, ὦ παῖ Διός quod est o fili Jovis, dixisse loco ν usurpantem ς. Pergratum hunc errorem Alexandro fuisse atque inde vulgatum, eum ab Ammone filium Jovis appellatum. (5) Fertur etiam in Ægypto Psammonem philosophum audivisse, idque ejus dictum maxime probasse, quo affirmabat omnes homines a deo regi; divinum enim esse id, quod in uno quolibet præsit atque imperet; ipsumque magis philosophice eadem de re sensisse, quum quidem deum omnibus hominibus communem esse patrem, sed proprios sibi filios eos asciscere, qui hominum essent præstantissimi, diceret.

XXVIII. Omnino autem ita se erga barbaros superbe gerebat, ut qui deo parente plurimum fideret, apud Græcos modice et parce divinitatem jactavit, nisi quod de Samo Atheniensibus scribens : Non quidem, ait, ego vobis liberam et nobilem urbem tradidissem, sed accepistis eam ab eo, qui tum dominus et pater meus nominabatur : Philippum ita indicans. Post sagitta ictus quum graviter doleret : Id quidem, dicebat amicis, quod de vulnere effluit, sanguis est, non ichor

Qualem felices stillant de corpore divi.

(2) Magno aliquando tonitru audito omnibusque consternatis, Anaxarchus sophista qui tum forte aderat : Cur, inquit, non tu quoque tale quid exhibes, fili Jovis? ad hoc ridens Alexander respondit : Quia nolo amicis esse terrori, id quod tu me jubes, cœnam meam exagitans, quod non satraparum capita, sed pisces mensis impositos vides. Quippe memoriæ proditum est, id aliquando dixisse Anaxarchum, quum Hephæstioni pisciculos rex misisset, veluti contemnentem et irridentem eos qui magnis laboribus et periculis res viles consectantur, quum aut parum aut nihilo plus deliciarum et voluptatis quam alii percipiant. (3) Enimvero ex iis quæ recensui liquet, Alexandrum opinione divinitatis nihil affectum, neque superbiorem factum, reliquos tantum ea subjugasse.

XXIX. In Phœnicen ex Ægypto reversus, sacrificia diis pompasque instituit et chorum cyclicum scenicosque ludos, non apparatu modo, sed et certaminibus splendidos. Præ-

ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. Ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνησιν d οἱ κληρούμενοι τὰς φυλὰς, καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. Μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. Οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν Ἀθηνοδώρῳ, Νικοκρέων δὲ Θεσσαλῷ, περὶ ὃν ἐσπουδάκει καὶ αὐτὸς Ἀλέξανδρος. Οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερον ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. Τότε δὲ, ὡς ἔοικεν, ἀπιὼν ἔφη τοὺς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας ἐπὶ τῷ μὴ Θεσσαλὸν ἰδεῖν νενικημένον. (2) Ἐπεὶ δὲ Ἀθηνόδωρος ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς, ὅτι πρὸς τὸν ἀγῶνα τῶν e Διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν οὐκ ἐποίησε, τὴν δὲ ζημίαν ἀπέστειλε παρ' ἑαυτοῦ. Λύκωνος δὲ τοῦ Σκαρφέως εὐημεροῦντος ἐν τῷ θεάτρῳ καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκε. (3) Δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν καὶ φίλους δεομένους μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δὲ ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα καὶ γήμαντα μίαν τῶν θυγατέρων φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος « Ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον f ἂν ταῦτα, » « Κἀγὼ, νὴ Δί', εἶπεν ὁ Ἀλέξανδρος, εἰ Παρμενίων. » Πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτὸν, εἰ δὲ μὴ, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι.

XXX. Ταχὺ μέντοι μετεμελήθη, τῆς τοῦ Δαρείου
682 γυναικὸς ἀποθανούσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώ- a μενος ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. Ἔθαψεν οὖν τὴν ἄνθρωπον οὐδεμιᾶς πολυτελείας φειδόμενος. Τῶν δὲ θαλαμηπόλων τις εὐνούχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τίρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. (2) Ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας, « Φεῦ τοῦ Περσῶν, ἔφη, δαίμονος, τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς, » ὑπολαβὼν ὁ θαλαμηπόλος, « Ἀλλὰ ταφῆς γε χάριν, εἶπεν, b « ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα Περσῶν. Οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ καὶ μητρὶ σῇ καὶ τέκνοις ἐνέδει τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν ἢ τὸ σὸν ὁρᾶν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὡρομάσδης, οὔτ' ἀποθανοῦσα κόσμου τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. Οὕτω γάρ ἐστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος. » (3) Ταῦτα ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερε πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγὼν, « Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν, ἔφη, τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοὶ δεσπότης c

bebant enim sumptus Cypriorum reges, sicuti Athenis ii qui de tribubus sorte ad id ducti sunt, fuitque inter eos mirifica contentio, Nicocreontem præsertim Salaminium et Pasicratem Solensem. His enim sorte obtigerat, ut nobilissimos histriones instruerent, Athenodorum hic, ille Thessalum. Cui quidem quum ipse quoque Alexander cuperet, non ante tamen studium suum ostendit, quam Athenodorus victor est pronunciatus. Tum discedens, ut aiunt, laudare quidem se judices dixit, partem tamen regni sui libenter dimissurum fuisse, ne Thessalum victum vidisset. (2) Quum vero Athenodorus ab Atheniensibus mulctatus, quod Bacchanalibus non interfuisset, pro se litteras a rege peteret, non impetravit : mulctam tamen a se rex misit. Lycone Scarphensi cum laude in theatro agente, versumque comœdiæ inserente, qui decem talentorum petitionem continebat, ridens ei dedit. (3) Darius porro missis litteris et amicis ab Alexandro petiit, ut acceptis pro redemptione captivorum decem millibus talentûm, Asia cis Euphratem universa occupata, atque altera filiarum matrimonio copulata, fœdus secum societatemque coiret. Ea re cum amicis communicata Alexander, Parmenioni conditiones accepturum se, si Alexander esset, dicenti : Acciperem, inquit, et ego, si Parmenio essem. Dario autem scripsit, eum si ad se veniret, summam humanitatem experturum, si non veniret, se jam ad ipsum proficisci.

XXX. Mox vero pœnituit facti, quum Darii uxor in partu periisset, neque dissimulavit dolorem, quem ex neglecta ostentandæ clementiæ haud vili occasione cepisset. Interim cubicularius quidam eunuchus, ex his unus, qui cum reginis capti fuerant, Tireos nomine, ex castris aufugit equoque ad Darium vectus, mortem ei uxoris nuntiavit. (2) Qui quum caput feriret fortunamque Persarum deploraret, quæ non captivam modo duci reginam, sed et mortuam regii funeris expertem jacere permisisset; interpellans eum Tireos, Quod ad sepulturam, ait, decusque ejus et honores attineat, o rex, nihil est quod fortunam Persarum culpes. Neque enim Statiræ viventi, neque matri liberisque tuis quicquam eorum bonorum honorumque quibus ante fruebantur, defuit hactenus, nisi lumen tuum, quod iterum illustrabit summus Oromasdes. Tantum vero abfuit ut illa sepulturæ ullo honore caruerit, ut lacrimis etiam hostium sit decorata. Ita enim clemens est victor Alexander, ut acer bellator. (3) Hæc audientem Darium perturbatio animi in sinistras adduxit suspiciones et eunuchum in penetrale tentorii recipiens, ita allocutus est : Nisi tu quoque Persarum fortunam imitatus ad Macedonas animo inclinas, si dominus tibi adhuc est Darius, dic mihi lumen Mithræ

ἐγὼ Δαρεῖος, εἰπέ μοι σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Σταteίρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν καὶ μᾶλλον ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα καὶ μέχρι τιμῆς τοσαύτης συμβόλαιον; » (4) Ἔτι λέγοντος αὐτοῦ καταβαλὼν ἐπὶ τοὺς πόδας Τίρεως αὐτὸν ἱκέτευεν εὐφημεῖν καὶ μήτε Ἀλέξανδρον ἀδικεῖν μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχῦναι μήτε αὑτοῦ τὴν μεγίστην ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν, d ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην ἢ Πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον. (5) Ἅμα δὲ ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ μεγαλοψυχίας τῆς Ἀλεξάνδρου λέγοντος ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ Δαρεῖος καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν ἐπεύξατο· « Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σταθεῖσαν ἐφ' οἷς ἐδεξάμην ἀγαθοῖς ἀπολιπεῖν, ἵνα κρατήσας ἀμείψωμαι τὰς Ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχον· εἰ δ' ἄρα τις e οὗτος εἱμαρτὸς ἥκει χρόνος ὀφειλόμενος νεμέσει καὶ μεταβολῇ παύσασθαι τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρου θρόνον πλὴν Ἀλεξάνδρου. » Ταῦτα μὲν οὕτω γενέσθαι τε καὶ λεχθῆναί φασιν οἱ πλεῖστοι τῶν συγγραφέων.

XXXI. Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. Καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας εἰς δύο μέρη διῃρηκέναι σφᾶς αὐτούς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον, τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· f ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς δυσκαταπαύστους
683 γεγονότας. Ταῦτα ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομα- a χῆσαι τοὺς ἡγεμόνας· καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. Ἐθεᾶτο δὲ ὁ στρατὸς ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. Ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας καὶ στολῇ Περσικῇ χρῆσθαι. Ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκε. (2) Τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις, ὥσπερ οἱ πολλοὶ γράφουσιν, ἀλλ' ἐν b Γαυγαμήλοις γενέσθαι συνέπεσε. Σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος ἐνταῦθα καθίδρυσεν αὐτὴν ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. (3) Ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἐξέλιπε περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνησιν ἀρχήν. Ἑνδεκάτῃ δὲ ἀπὸ τῆς ἐκλείψεως

magnum et regis dextram reveritus, numnam ego minima Statiræ infortunia deploro, eaque vivente passi sumus graviora? Numquid honestius miseri fuissemus si in crudelem incidissemus et inhumanum hostem? qui enim honestum sit juveni cum hostis conjuge commercium et ad tantos usque honores procedens? (4) Nondum finiverat, quum Tireos ad pedes ejus se projiciens obtestatus est, saniora loqueretur, neve injuria Alexandrum, sororem eandemque uxorem vita defunctam contumelia afficere, neque se ipsum maximo adversæ fortunæ hujus solatio spoliare vellet, quod ab hoste humana conditione præstantiori victus esset, verum suspiceret etiam Alexandrum, qui plus temperantiæ captivis mulieribus, quam Persis fortitudinis ostendisset. (5) Simul et horrendis se sacramentis obstringebat, deque reliqua Alexandri continentia animique magnitudine orationem instituebat. Darius autem ad amicos egressus, manus ad cœlum tendens, ita precatus est : Dii natales atque regii, id primum vos precor, quam mihi Persarum fortunam dedistis, eam restitutam ego uti posteris eodem quo accepi splendore relinquam, uti victor Alexandro rependam, quæ in mea calamitate carissimis meis præstitit beneficia. Sin fatale adest tempus, itaque visum est Nemesi et rerum vicissitudini, uti Persicum regnum cesset, at nemo hominum præter unum Alexandrum in Cyri sedeat solio. Hæc ita acta dictaque fuisse plerique scriptorum tradunt.

XXXI. Alexander quum quantum cis Euphraten est Asiæ, omne in suam potestatem subegisset, adversus Darium contendit cum mille hominum millibus descendentem. Hic de re ridicula ad Alexandrum ab amicis refertur. Ministros in duas partes se divisisse, utrique ducem fuisse, quorum ii alterum Alexandrum, alterum Darium nominaverint; incepisse primum glebas contra sese jaculari invicem, mox ad pugnos, inde accensa contentione ad lapides quoque et fustes a multis pertinaciter perventum. Hæc ut audivit, jussit ipsos duces singulari prœlio decernere. Alexandrumque ipse, Darium Philotas armavit. Duellum exercitus spectavit, in omen futuri eam rem trahens. Dimicatum est acriter, Alexanderque ille victor duodecim pagos et amictum Persicum præmii loco accepit, auctore Eratosthene. (2) Magna vero illa Alexandri et Darii pugna non ad Arbela, quod plerique scribunt, sed apud Gaugamela facta est. Vocem *gaugamela* cameli domum significare aiunt, quod rex quidam priscis temporibus ex hostibus camelo cursoria servatus, eam ibi collocaverit, pagosque et reditus certos ad curam ejus destinaverit. (3) Luna tum defecit mense Boedromione, quo tempore Mysteria agi Athenis incipiunt. Undecima post id deliquium nocte quum jam in conspectu

νυκτὶ τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις, Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ τοῦ μάντεως Ἀριστάνδρου διέτριβεν ἱερουργίας τινὰς ἀπορρήτους ἱερουργούμενος καὶ τῷ Φόβῳ σφαγιαζόμενος. (4) Οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυαίων ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβα- c ρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος καὶ ψόφος ἐκ τοῦ στρατοπέδου καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. (5) Ὁ δὲ τὸ μνημονευόμενον εἰπὼν, « Οὐ κλέπτω τὴν νίκην, » ἐνίοις μὲν ἔδοξε μειρα- d κιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι παίζων πρὸς τοσοῦτον κίνδυνον, ἐνίοις δὲ καὶ τῷ παρόντι θαῤῥεῖν καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ πρὸς ἄλλην αὖθις ἀναθαῤῥῆσαι πεῖραν αἰτιωμένῳ τούτων νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. Οὐ γὰρ ὅπλων οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον ἀπὸ τηλικαύτης δυνάμεως καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς.

XXXII. Ἀπελθόντων δὲ τούτων κατακλιθεὶς ὑπὸ σκηνὴν λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς ὕπνῳ βαθεῖ e κρατηθῆναι παρὰ τὸ εἰωθὸς, ὥστε θαυμάζειν ἐπελθόντας ὄρθρου τοὺς ἡγεμόνας καὶ παρ' αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος εἰσελθόντα Παρμενίωνα καὶ παραστάντα τῇ κλίνῃ δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα καὶ διεγερθέντος οὕτως ἐρωτᾶν, ὅ τι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. Τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα· « Τί γάρ; οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ f φυγομαχοῦντα χώρᾳ Δαρεῖον; » (2) Οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρ' αὐτὸν τὸν κίνδυνον ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαῤῥεῖν ἑαυτόν. Ἔσχε γὰρ ὁ ἀγὼν ὑποτροπὴν καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥύθῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλοῦντας.
684 a Διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων ἀπέστειλε πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευὰς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειε τοῖς ὄπισθεν.

mutuo essent exercitus, Darius prælucentibus facibus ordines inspectans in armis suos continuit; Alexander, Macedonibus quiescentibus, cum Aristandro vate ante tentorium sacris quibusdam arcanis operatus est et Terrori hostiam mactavit. (4) Amicorum vero grandiores natu, et præcipue Parmenio, quum quidquid campi interjacet Niphatem et montes Gordyæorum, barbaricis fulgere ignibus cernerent, sonusque incertus vocesque confusæ, strepitusque ab hostium castris tanquam vasto mari exaudirentur, multitudinem mirati atque inter se collocuti quantæ molis esset futurum aperto Marte cum tantis hostium copiis concurrere, regem a sacris reversum adiverunt eique auctores fuerunt, ut noctu hostes adoriretur, et quod in pugna maximum suis oblaturum esset terrorem, tenebris absconderetur. (5) Ad hæc vulgatum illud Alexander quum respondisset : Non soleo furari victoriam, quibusdam visus est juvenili dicto futiliter in tanto periculo lusisse, quidam et recte in præsentia animo constitisse eum et de futuro veram fecisse conjecturam senserunt, qui Dario nollet occasionem relinquere ut is iterum victus, bellum denuo repararet nocti et tenebris hanc cladem, ut priorem montibus, angustiis marique, imputans. Non enim armorum aut militum penuria Darium, tantæ ditionis totque terrarum dominum, a bello destiturum, sed ubi aperto prœlio et vi superatus inferiorem se agnoscens spiritus spesque suas posuisset.

XXXII. Digressis amicis quum se in tentorio quieti dedisset, præter morem suum fertur reliquum noctis alto somno exegisse, ita quidem ut mirati sint duces quum sub auroram accessissent, atque ipsi a se primum militibus prandendi mandatum dederint. Deinde rebus ita postulantibus, Parmenionem ingressum lecto astitisse ac bis terve nominatim eum vocasse, itaque expergefactum interrogasse, quidnam ei accidisset, ut quasi victoria parta, non gravissimo instante certamine ita dormiret. Tum Alexandrum subridentem dixisse : Non tibi ergo jam victoriam adepti videmur, erroribus et insecutione pugnam subterfugientis Darii pervastam et populationibus perditam regionem liberati? (2) Neque ante pugnam tantum, sed in ipso etiam conflictu magnam suam prudentiam confidentiamque ostendit. Siquidem lævum cornu, cui Parmenio præerat, fluctuavit atque pedem retulit, quum equites Bactriani magna vi atque impetu in Macedones impressionem facerent, Mazæus autem extra phalangem circummissos equites impedimentorum custodes invadere jussisset : itaque utrinque turbatus Parmenion Alexandro per nuntios indicavit, actum esse de castris et impedimentis, nisi celeriter a fronte auxilium posterioribus

(3) Ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον· ὡς δὲ ἤκουσε τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν οὐδὲ ἐντὸς εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων, ἡττωμένοις δὲ φροντιστέον οὐ χρημάτων οὐδὲ ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. (4) Ταῦτ' ἐπιστείλας Παρμενίωνι τὸ κράνος περιέθετο, τὸν δὲ ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπέν- b δυμα τῶν Σικελῶν ζωστὸν, ἐπὶ δὲ τούτῳ θώρακα διπλοῦν λινοῦν ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. Τὸ δὲ κράνος ἦν μὲν σιδηροῦν, ἔστιλβε δὲ ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου, συνήρμοστο δὲ αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον· μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, εἶχεν ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. Ἐπιπόρπωμα δὲ ἐφόρει τῇ μὲν ἐργασίᾳ σοβαρώτερον ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν· ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον· ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. Ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος c ἢ παρακελευόμενος ἢ διδάσκων ἢ ἐφορῶν παρεξήλαυνεν ἄλλον ἵππον εἶχε, τοῦ Βουκεφάλα φειδόμενος ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου.

XXXIII. Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέῤῥωσαν αὐτὸν βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν τῇ δεξιᾷ παρεκάλει τοὺς θεοὺς, ὡς Καλλισθένης φησὶν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας. (2) Ὁ δὲ μάντις Ἀρίστανδρος χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον ἐπεδείκνυτο παριππεύων ἀετὸν ὑπὲρ d κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους, ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαῤῥεῖν καὶ παρακαλεῖν ἀλλήλους δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. (3) Πρὶν δὲ συμμῖξαι τοὺς πρώτους ἐξέκλιναν οἱ βάρβαροι καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. Πόῤῥωθεν γὰρ αὐτὸν κατεῖδε διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν ἐφ' ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἱππεῦσι καὶ λαμπροῖς e καταπεφραγμένον εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα καὶ παρατεταγμένοις δέχεσθαι τοὺς πολεμίους. Ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. Οἱ δὲ ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι καὶ κατ' ἀλλήλων πίπτοντες ἐμποδὼν τῆς διώξεως ἦσαν ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς ἵπποις. (4) Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς οὐκ ἦν ἀποστρέψαι f

submitteretur. (3) Forte tum suis conflictus signum Alexander dabat, auditoque Parmenionis nuntio, sanis consiliis excidisse eum dixit oblitumque inter tumultum, quod victores hostium quoque bonis sint potituri, victis non de facultatibus aut mancipiis, sed de morte honeste fortiterque pugnando obeunda cogitandum fore. (4) Hæc Parmenioni renuntiari jussit, ipse galeam imposuit capiti; cetera enim arma in tentorio induerat, tunicam superiorem cinctam Siculi operis, super hac thoracem lineum duplicem, ex spoliis Issicis. Galea ferrea erat, argenti puri instar coruscans, opus Theophili; ei consertum erat monile, ferreum et ipsum gemmisque baccatum. Ensem mira tinctura ac levitate ex dono regis Citieorum gestabat, solitus in pugna plerumque rem gladio gerere. Sagum etiam quam cæteræ armaturæ conveniret pretiosius (fecerat antiquus Helicon, donaverat eo Alexandrum Rhodiorum civitas) erat, gestabat autem id quoque ad pugnam. Dum ordines instruens, milites adhortans, docens inspiciensve obequitaret, alio utebatur equo Alexander, Bucephalo parcens, jam graviori ætate; ad pugnam accedenti is adducebatur, eoque conscenso statim prœlium inibat.

XXXIII. Tunc autem Thessalos multis cohortatus reliquosque Græcos, quum bono eum esse animo jussissent sublatoque clamore duci se adversus barbaros peterent, conto in lævam manum translato, dextram intendens deos (ut est a Callisthene scriptum) precatus est, uti si vere genus sibi ab Jove esset, Græcos ulcisci ac roborare sibi darent. (2) Vates autem Aristander albam indutus chlamydem auream que gestans coronam juxta equitabat, aquilam supra caput Alexandri in aere se librantem volatuque suo eum recta in hostes dirigentem ostentans; quod visum multos audacia implevit mutuoque se cohortati, quum equites admissis equis in hostem impetum facerent, fluctuans etiam phalanx irruit. (3) Barbari antequam primi manum conseruissent, gradum retulerunt summoque conatu Alexander victos urgens in medium compellebat, ubi Darius erat. Procul enim hunc conspexerat per primam aciem in medio regiæ turmæ, magnum virum pulchrumque in curru sublimi, quem multi splendidique equites egregie composito agmine stipabant, parati ad excipiendum hostem. Sed in propinquo visus Alexander fugientesque in stantium adhuc ordines impellens, tantum incussit terroris, ut plerique diffugerint. Optimi et nobilissimi dum pro rege propugnant, occisi, atque in sese corruentes, insecutionem remorati sunt inter se convoluti et calcitrantes cum ipsis equis. (4) Darius autem quum undique objectum oculis exitium videret, ac copiæ quas ante se objecerat retro ad ipsum ruerent, quod

τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ' οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσούτοις οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπο-
685 λείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δέ, ὥς φασι, a
νεοτόκον ἵππον περιβὰς ἔφυγεν. (6) Οὐ μὴν τότε ἂν ἐδόκει διαφυγεῖν, εἰ μὴ πάλιν ἧκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. Ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον, εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησί, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. Τότε δ' οὖν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθές, ἀλλ' ὡς ἀνέχων τοῦ φονεύειν καὶ σκότους ὄντος ἀνάκλησιν ἐσήμανεν· ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος ἤκουσε καθ' ὁδὸν b
ἡττῆσθαι παντάπασι καὶ φεύγειν τοὺς πολεμίους.

XXXIV. Τοῦτο τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι, βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ οἴκους καὶ ἡγεμονίας. Φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας ἔγραψε τὰς τυραννίδας πάσας καταλυθῆναι καὶ πολιτεύειν αὐτονόμους, ἰδίᾳ δὲ Πλαταιεῦσι τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. Ἔπεμψε δὲ καὶ Κροτωνιάταις c
εἰς Ἰταλίαν μέρος τῶν λαφύρων τὴν Φαΰλλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τοὺς Ἕλληνας ἰδιόστολον ἔχων ναῦν ἔπλευσεν εἰς Σαλαμῖνα τοῦ κινδύνου τι μεθέξων. Οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετὴν καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος.

XXXV. Ἐπιὼν δὲ τὴν Βαβυλωνίαν ἅπασαν εὐθὺς ὑπ' αὐτῷ γενομένην ἐθαύμασε μάλιστα τό τε χάσμα τοῦ πυρὸς [ἐν Ἐκβατάνοις] ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου καὶ τὸ ῥεῦμα τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος οὐ πόρρω τοῦ χάσματος, ὃς τἆλλα μὲν d
ἀσφάλτῳ προσέοικεν, οὕτω δὲ εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θιγεῖν τὴν φλόγα δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος αὐγῆς τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίειν. (2) Ἐπιδεικνύμενοι δὲ τὴν φύσιν αὐτοῦ καὶ δύναμιν οἱ βάρβαροι τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἐλαφρῷ τῷ φαρμάκῳ κατέψεκασαν· εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν· ἤδη γὰρ συνεσκόταζε. Τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητόν, ἀλλ' ἅμα νοήματι διῖκτο πρὸς θάτερον πέρας καὶ πῦρ ἐγεγόνει συνεχὲς ὁ στενωπός. (3) Ἦν δέ τις Ἀθηνο- e
φάνης Ἀθηναῖος τῶν περὶ ἄλειμμα καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥᾴθυμον. Οὗτος ἐν

circumacto curru effugere non dabatur et rotis cadaverum cumulis detentis et equis inter mortuorum acervos modo decidentibus et occultatis, modo exsilientibus aurigamque perturbantibus, armis curruque omisso, equam, ut ferunt, quæ nuper pepererat, conscendit et fugæ se commisit. (5) Non fuisse evasurum existimant, nisi denuo missi a Parmenione equites in istam partem avocassent Alexandrum, magnas adhuc ibi hostium copias consistere, neque dum de victoria concedere nuntiantes. Atque omnino segnem fuisse eo in prœlio Parmenionem et ignavum asserunt, sive languescente jam ob senectutem audacia, sive magnitudini potentiæ Alexandri infensum atque invidentem, quod Callisthenes tradit. Rex avocari se dolens, causam apud milites dissimulavit ac tanquam finem cædendi facere vespera ingruente, receptui canere jussit; conversus autem cum suis adversus eam partem, quam laborare acceperat, in via audivit victos protinus hostes fugam facere.

XXXIV. Hunc finem ea pugna habuit regnumque Persarum sublatum credebatur, et Alexander rex Asiæ salutatus, magnifice diis sacrificavit; amicis quoque opes, domos et principatus largitus est, ad Græcos etiam gloriose scripsit, omnes se aboliturum tyrannidas ac libertatem omnibus restituturum. Privatim autem Platæensibus pollicitus est, se urbem eorum instauraturum, quod majores ipsorum agrum suum Græcis tradidissent, ut in eo pro libertate pugnare possent. Partem etiam spoliorum Crotoniatis in Italiam misit, virtutem studiumque Phaylli athletæ honorans, qui bello Medico, quum reliqui Itali de rebus Græcorum desperassent, privata navi ad Salaminem venerat, uti pugnam adjuvaret. Adeo benignus omni virtuti observatorque et amator honestorum facinorum erat.

XXXV. Porro Babyloniam peragrans, quæ statim se ei tota dediderat, summæ ei fuit admirationi hiatus ignis, continenter tanquam de fonte sese efferentis, stagnumque copiosæ naphthæ haud procul eo hiatu. Naphtha bitumini similis est, ita igni obnoxia, ut priusquam flammam contingat, ab ipso sæpe splendore qui circa lumen accensum fulget ignem concipiat mediumque aerem inflammet. (2) Ejus vim et naturam barbari ut demonstrarent, angiportum quod ad regis diversorium ducit paucis modo naphthæ guttis irroraverunt, inde in extremo stantes faces imbutis naphtha particulis admoverunt. Jam nox oborta erat. Primis itaque partibus accensis flamma subito et momento temporis ita omnia corripuit, ut totus angiportus in alteram usque partem ignis continuus esse videretur. (3) Erat quidam Athenophanes, Atheniensis, unus de iis qui ungere et lavare Alexandrum solebant animumque ejus ad hilaritatem a curis avocare. Is tum in balneo quum forte puer facie ridicula,

τῷ λουτρῶνι τότε παιδαρίου τῷ Ἀλεξάνδρῳ παρεστῶτος εὐτελοῦς σφόδρα καὶ γελοίου τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως, Στέφανος ἐκαλεῖτο, « Βούλει, φησίν, ὦ βασιλεῦ, διάπειραν ἐν Στεφάνῳ τοῦ φαρμάκου λάβωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι. » Προθύμως δέ πως καὶ τοῦ παιδαρίου δόντος ἑαυτὸν πρὸς τὴν πεῖραν ἅμα τῷ περιαλεῖψαι καὶ θιγεῖν f ἐξήνθησε φλόγα τοσαύτην τὸ σῶμα καὶ πυρὶ κατεσχέθη τὸ πᾶν, ὥστε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν· εἰ δὲ μὴ κατὰ τύχην πολλοὶ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος διὰ χειρῶν ἔχοντες, οὐκ ἂν 686 ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν. Ἀλλὰ καὶ τότε μόγις a κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς δι' ὅλου πῦρ γενόμενον καὶ μετὰ ταῦτα χαλεπῶς ἔσχεν. (4) Εἰκότως οὖν ἔνιοι τὸν μῦθον ἀνασώζοντες πρὸς τὴν ἀλήθειαν τοῦτό φασιν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν. Οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων οὐδὲ ἀπ' αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐγγύθεν παρατεθείσης ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον αἰσθήσει γενέσθαι. Τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄπωθεν ἐπερχόμενα τοῖς μὲν ἄλλοις σώμασι φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς ξηρότητα πνευματικὴν ἢ νοτίδα λιπαρὰν καὶ διαρκῆ κεκτημένοις ἀθροιζόμενα καὶ πυριμανοῦντα μεταβάλλειν ὀξέως τὴν b ὕλην. (5) Παρεῖχε δὲ ἀπορίαν ἡ γένεσις ** εἴτε μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ὑπορρεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. Καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλεγμονῆς τῶν τόπων σφυγμοὺς ἐχόντων, τοὺς δὲ ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. (6) Ἅρπαλος δὲ τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητὴς καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους τῶν μὲν ἄλλων ἐκράτησε, τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, c ἀλλ' ἀεὶ διέφθειρεν οὐ φέροντα τὴν κρᾶσιν· ἡ μὲν γὰρ πυρώδης, ὁ δὲ φιλόψυχρος. Τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγορήσουσιν.

XXXVI. Ἀλέξανδρος δὲ Σούσων κυριεύσας παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δὲ ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. Ὅπου φησὶ καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια, συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττούσης. Αἴτιον δὲ τούτου φασὶν εἶ- d ναι τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν, δι' ἐλαίου δὲ λευκοῦ τῶν λευκῶν· καὶ γὰρ τούτων τὸν ἴσον χρόνον ἐχόντων τὴν λαμπρότητα καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. Δίνων δέ φησι καὶ ὕδωρ ἀπό τε τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς καὶ τὸ κυριεύειν ἁπάντων.

sed qui scite caneret, nomine Stephanus, Alexandro astaret, Visne, inquit, rex, medicamenti istius periculum in Stephano hoc faciamus? Si enim hunc quoque tangat, neque corpore ejus restinguatur, vehementissimam omnino vim ejus esse fatebor. Quum ipse puer prompte eos periclitari in se id passus sit, simul naphtha inunctus est et ignis admotus, tantum flammarum illico edidit corpus et prorsus igne correptum est, ut Alexander ad summum sollicitudinis metusque pervenerit. Quod nisi commodum adfuissent multi vasa aquæ plena lavacri causa manu tenentes, nullum profecto auxilium depascentem ignem inhibuisset. Sic quoque et tunc vix corpus pueri totum ardens exstinctum est maleque is postea habuit. (4) Itaque non absurde quidam fabulam veritati asserunt, id dicentes venenum Medeæ fuisse quo coronam et peplum (de quibus in tragœdiis multus sermo) inunxerit. Neque enim ex his ipsis, neque ultro emicuisse ignem, sed flammam prope appositam ab his tanta celeritate, ut omnem sensum falleret, correptam propagatamque fuisse. Ignis enim radii et fluxus eminus incidentes, aliis corporibus lumen tantum et calorem afferunt, aliis quibus sicci spiritus humorque pinguis et igni alendo sufficiens inest, ea tum collecta atque furioso igne urentia, celerem materiæ mutationem afferunt. (5) Jam quomodo generetur naphtha, in quæstionem venit, utrum ** an humor potius is quasi ignis alimentum effluat ex terra, cujus natura pinguis est ignisque ferax. Est enim admodum fervida Babylonia, ita ut hordei grana humi projecta sæpe subsultent et moveantur, quod ea loca quasi pulsum quendam præ caloris vehementia obtinent, et incolæ æstus tempore super utribus aquæ plenis dormiunt. (6) Et Harpalus gubernator ejus regionis relictus, quum elegantiæ studens Græcis plantis regias et ambulationes exornare laboraret, solam hederam serere non potuit, quin eam perpetuo tellus perderet ob diversitatem temperamenti; ipsi enim ignea est natura, hederæ frigida amant loca. Hujusmodi autem digressiones, si quidem modus eis adsit, minus fortassis a morosis reprehendentur.

XXXVI. Alexander Susis occupatis, in regia invenit numismatis talenta quadragies mille, reliquas divitias apparatumque innumerabilem; quum quidem inventa ibi narret Hermionicæ purpuræ quinque millia talentûm, quæ ante annos centum nonaginta reposita, recentem adhuc colorem retinuisset. Cujus rei causa hæc refertur, quod purpureorum tinctura melle, candidorum oleo albo conficiatur, quæ quum eodem tempore durent, purum rutilumque splendorem conservavit. Dinon asserit, aquam etiam a Nilo et Istro advectam cum aliis solitos reges in thesauro reponere, ut ea re testentur magnitudinem sui imperii omnia complectentis.

XXXVII. Τῆς δὲ Περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν (Δαρεῖος μὲν γὰρ ἐπεφεύγει), γίγνεταί τινος περιόδου κύκλον ἐχούσης οὐ πολὺν ἡγεμὼν αὐτῷ δίγλωσσος c ἄνθρωπος ἐκ πατρὸς Λυκίου, μητρὸς δὲ Περσίδος γεγονώς· ὅν φασιν, ἔτι παιδὸς ὄντος Ἀλεξάνδρου, τὴν Πυθίαν προειπεῖν, ὡς λύκος ἔσται καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ Πέρσας πορείας. (2) Φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσε· γράφει γὰρ αὐτὸς, ὡς νομίζων αὐτῷ τοῦτο λυσιτελεῖν ἐκέλευεν ἀποσφάττεσθαι τοὺς ἀνθρώπους· νομίσματος δὲ εὑρεῖν πλῆθος ὅσον ἐν Σούσοις, τὴν δὲ ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναί φασι μυρίοις ὀρικοῖς ζεύγεσι καὶ πεντακισχιλίαις καμήλοις. (3) Ξέρξου δὲ ἀνδριάντα μέγαν θεασάμενος ὑπὸ πλήθους τῶν ὠθουμένων f εἰς τὰ βασίλεια πλημμελῶς ἀνατετραμμένον ἐπέστη καὶ καθάπερ ἔμψυχον προσαγορεύσας· « Πότερόν σε, εἶπε, διὰ τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν κείμενον παρέλθωμεν ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν; » Τέλος δὲ πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας παρῆλθε. (4) Βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν (καὶ γὰρ ἦν χει-
687 μῶνος ὥρα) τέσσαρας μῆνας αὐτόθι διήγαγε. Λέγε- a ται δὲ, καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίνθιον Δημάρατον εὔνουν [ὄντα] ἄνδρα καὶ πατρῷον φίλον Ἀλεξάνδρου πρεσβυτικῶς ἐπιδακρῦσαι καὶ εἰπεῖν, ὡς μεγάλης ἡδονῆς στεροῖντο τῶν Ἑλλήνων οἱ τεθνηκότες πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον.

XXXVIII. Ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ Δαρεῖον ἔτυχε μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν δεδωκὼς, ὥστε καὶ γύναια συμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἐραστάς. Ἐν δὲ τούτοις εὐδοκιμοῦσα μάλιστα Θαῒς ἡ Πτολεμαίου τοῦ βασιλεύσαντος ὕστερον ἑταίρα, γένος Ἀττική, τὰ μὲν ἐμμελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα b τῇ μέθῃ λόγον εἰπεῖν προήχθη τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δὲ ἢ κατ' αὐτήν. Ἔφη γὰρ ὧν πεπόνηκε πεπλανημένη τὴν Ἀσίαν ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα τὸν Ξέρξου τοῦ κατακαύσαντος τὰς Ἀθήνας οἶκον αὐτὴ τὸ πῦρ ἅψασα τοῦ βασιλέως ὁρῶντος, ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν τὰ μετὰ Ἀλεξάνδρου γύναια μείζονα δίκην ἐπέθηκε Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. (2) Ἅμα δὲ τῷ λόγῳ τούτῳ κρότου καὶ θορύβου γενο- c μένου καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας ἔχων στέφανον καὶ λαμπάδα προῆγεν· οἱ δὲ ἑπόμενοι κώμῳ καὶ βοῇ περιίσταντο τὰ βασίλεια, καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. Ἤλπιζον γάρ, ὅτι τοῖς οἴκοι προσέχοντός

XXXVII. Quum vero Persis difficulter adiri ob aspera possit, et tum quoque a nobilissimis custodiretur Persis, Dario fuga elapso, circuitionis cujusdam haud prolixæ ductor Alexandro obtigit homo duarum linguarum usu præditus, patre Lycio, matre Persica natus, de quo et ferunt puero etiamnum Alexandro vaticinatam esse Pythiam fore ut Λύκος, i. e. lupus, dux Persicæ profectionis Alexandro contingeret. (2) Ibi multam hostium captorum cædem factam tradunt; ipseque scribit se hanc hostium stragem mandasse, quod e re esse videretur. Tantum quantum Susis repertum pecuniæ ibi narrant et reliquas opes decem millibus bigis mulorum et quinquies mille camelis exportatas esse. (3) Xerxis autem statuam magnam quum videret a multitudine certatim ad regiam contendente dejectam, substitit, ac veluti vivum compellans: Utrum te, inquit, ob bellum Græciæ illatum jacentem relinquamus? an propter magnanimitatem tuam virtutesque ceteras erigamus? tandem, quum diu tacitus secum meditatus esset, præteriit. (4) Ceterum ibi reficiendorum militum causa, quum jam hiems appetiisset, quattuor menses substitit. Memoriæ proditum est, quum primum sub aureo cœlo in regio solio consedisset, Demaratum Corinthium, amicum ejus paternum, seniliter illacrimasse ac dixisse: Quam magna voluptate privati sunt Græci, qui mortem obierunt antequam Alexandrum in Darii solio sedentem conspexissent!

XXXVIII. Jam profecturus ad insequendum Darium forte compotationi ac lusui se dedit amicis gratificatus, adeo ut etiam interessent meretrices ad amatores suos comessatum venientes. Quorum nobilissima Thais, genere Attica, Ptolemæi ejus, qui deinde rex fuit, meretrix, partim scite laudans Alexandrum, partim jocis alludens, per ebrietatem in ea prolapsa est verba, quæ patriæ ipsius moribus consentanea, graviora tamen quam pro conditione mulierculæ fuerunt. Dicebat enim, de eorum laborum, quos Asiam pervagando exhausisset, præmium isto die recipere, quum superbæ Persarum regiæ insultaret; maluisse tamen per comessationem Xerxis, qui Athenas combussisset, domum inspiciente rege suapte manu incendere, uti inter homines sermo is divulgaretur, graviores a Persis pœnas de violata Græcia exegisse mulierculas, quæ Alexandri castra essent comitatæ, quam isti terra marique imperatores sumpsissent. (2) Plausu ad hunc sermonem tumultuque et acclamatione assentationeque amicorum exorta, Alexander etiam in eandem sententiam pertractus exsiluit, coronatusque et facem gestans ceteros duxit; amici cum clamore, qualis bacchantium esse assolet, regiam circumdederunt, iisque se Macedones, quotquot exaudivissent, addiderunt, ipsi quoque facibus correptis. Nam regiam cremare ejus esse sperabant, qui ad reditum in patriam

ἐστι τὸν νοῦν καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. Οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασίν, οἱ δὲ ἀπὸ γνώμης· ὅτι δ' οὖν μετενόησε ταχὺ καὶ κατασβέσαι προσέταξεν ὁμολογεῖται.

XXXIX. Φύσει δὲ ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον d ἐπέδωκεν εἰς τοῦτο τῶν πραγμάτων αὐξομένων· καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. Μνησθήσομαι δὲ ὀλίγων. Ἀρίστων ὁ τῶν Παιόνων ἡγούμενος ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, « Τοῦτο, εἶπεν, ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον. » Ὁ δὲ Ἀλέξανδρος γελάσας, « Κενοῦ γε, εἶπεν, ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι. » (2) Τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. Ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα καὶ πυθόμενος τὸ πρᾶ- e γμα, μέλλοντος κατατίθεσθαι, « Μὴ κάμῃς, εἶπεν, ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν ἐπὶ τὴν σκηνὴν ἑαυτῷ τοῦτο κομίσας. » (3) Ὅλως δὲ ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσι. Καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπὸν, εἰ διωθοῖτο τὰς χάριτας· Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου διὰ τὸ μηδὲν αἰτεῖν. Ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος ὁ Σεραπίων ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος τοῦ βασιλέως, Ἐμοὶ δὲ οὐ δίδως »; « Οὐ γὰρ αἰτεῖς, εἶπε, τούτῳ μὲν δὴ γελάσας πολλὰ ἔδωκεν. Πρωτέᾳ δέ τινι f τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι· τῶν δὲ φίλων δεομένων κἀκείνου δακρύοντος ἔφη διαλλάττεσθαι· κἀκεῖνος, « Οὐκοῦν, εἶπεν, ὦ βασιλεῦ, δός τί μοι πιστὸν πρῶτον. » 688 Ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. (4) Περὶ a δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχον ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιὰς, ἣν ἔγραψε πρὸς αὐτόν. « Ἄλλως, φησὶν, εὖ ποίει τοὺς φίλους καὶ ἐνδόξους ἄγε· νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, ἑαυτὸν δὲ ἐρημοῖς. » Πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης ἐφύλαττεν ἀπόρρητα τὰ γράμματα, πλὴν ἅπαξ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὑτοῦ προσέθηκε τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. (5) Μαζαίου δὲ τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου παιδὶ σατραπείαν b ἔχοντι δευτέραν προσετίθει μείζονα. Παραιτούμενος δὲ ἐκεῖνος εἶπεν· « Ὦ βασιλεῦ, τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλοὺς πεποίηκας Ἀλεξάνδρους. » Παρμενίωνι μὲν οὖν τὸν Βαγώου ἔδωκεν οἶκον ἐν ᾧ λέγεται [τῶν περὶ Σούσων] χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. Πρὸς δ' Ἀντίπατρον ἔγραψε κελεύων ἔχειν φύλακας τοῦ σώματος ὡς ἐπιβουλευόμενον. Τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν οὐδὲ παραστρατηγεῖν, ἐγκαλούσης δὲ πράως

animum adjunxisset, neque inter barbaros commorari decrevisset. Hæc quidem ita, alii autem consulto acta scribunt; de eo constat, statim eum ejus facti pœnituisse, ignemque restingui jussisse.

XXXIX. Quum autem esset natura liberalissimus, auxit eam virtutem splendidior fortuna, aderatque in dando alacritas, quæ sola vere grata efficit munera. Ejus rei pauca quædam referam exempla. Aristo dux Pæonum quum hostem occidisset, caputque ei ostendisset: Hoc, inquit, o rex, donum apud nos poculo aureo compensatur. Ad hoc ridens Alexander: Nimirum, ait, vacuo, ego autem tibi plenum mero præbebo. (2) Quidam de vulgo Macedonum mulum regia pecunia onustum agebat, onusque in sese, jumento defesso, recipiebat; quo eum quum urgeri admodum videret rex, et quid rei esset cognovisset, depositurum onus prohibuit, perdurare et reliquum viæ usque ad proprium tabernaculum perferre jubens. (3) Molestius autem omnino ei erat non posci quam dare. Phocioni scripsit, non usurum se porro ejus amicitia, si dona pergeret repudiare. Serapioni cuidam ex collusoribus pilæ juveni nihil dederat, quod is nihil petiisset. Quum itaque Alexander ad ludum venisset, et Serapion soli ei pilam non objecisset, ac rex percontaretur, cur non ipsi quoque daret: Quia non petis, respondit. Hunc itaque arridens splendido munere affecit. Proteas quidam facetus lepidusque inter pocula homo in regis indignationem incidisse videbatur; deprecantibus amicis, ipsoque lacrimante, quum rex placatum se homini diceret: Firma ergo, inquit Proteas, aliquo pignore ejus rei fidem. Quinque ei talenta dari jussit Alexander. (4) Quantas vero amicis et satellitibus divitias elargitus sit, Olympiadis ad eum scripta epistola demonstrat: Alia, inquit, ratione amicis tuis benefac, eosque in honore habe; nunc quidem omnes regis æquales facis, multosque illis amicos, tibi solitudinem paras. Hujusmodi sæpenumero ab Olympiade scripta cum nemine communicavit; semel tantum Hephæstionem apertas literas una pro more legentem non vetuit, annulo tamen suo os ejus obsignavit. (5) Mazæi, qui apud Darium summo fuerat loco, filio, satrapiam obtinenti, aliam insuper addere voluit. Quam ille recusans: Ante, inquit, o rex, unicus fuit Darius, tu nunc multos effecisti Alexandros. Parmenionem domo Bagoæ quæ Susis erat donavit, in qua dicuntur vestium mille talenta inventa. Antipatrum scripta epistola monuit, ut sibi corporis stipatores pararet, intendi enim ei insidias. Multa ad matrem munera misit, curiose in suas res inquirere, inque rebus bellicis se ingerere eam

ἔφερε τὴν χαλεπότητα. Πλὴν ἅπαξ ποτὲ μακρὰν Ἀντιπάτρου κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνοὺς ἀγνοεῖν εἶπεν Ἀντίπατρον, ὅτι μυρίας ἐπιστολὰς c ἓν δάκρυον ἀπαλείφει μητρός.

XL. Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστε Ἅγνωνα μὲν τὸν Τήιον ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι, Φιλώτᾳ δὲ πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένους ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν ὅσους οὐδὲ ἐλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους, ἐπετίμησε πράως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ τοσούτους ἠγωνισμένοι καὶ d τηλικούτους ἀγῶνας οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν, οὐδὲ ὁρῶσι τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. « Καίτοι πῶς ἄν τις, ἔφη, δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον ἢ λόγχην ἀσκήσειεν ἢ κράνος ἀπειθικὼς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας; » « Οὐκ ἴστε, εἶπεν, ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις; » (2) Ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις κακοπαθῶν καὶ παραβαλλόμενος, ὥστε καὶ Λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ λέοντα κα- e ταβάλλοντι μέγαν εἰπεῖν· « Καλῶς γε, Ἀλέξανδρε, πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τῆς βασιλείας. » Τοῦτο τὸ κυνήγιον Κρατερὸς εἰς Δελφοὺς ἀνέθηκεν εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος καὶ αὐτοῦ προσβοηθοῦντος, ὧν τὰ μὲν Λύσιππος ἔπλασε, τὰ δὲ Λεωχάρης.

XLI. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. Ὁ δὲ καὶ πάνυ πράως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο φάσκων βασιλικὸν εἶναι f τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. Καίτοι τὰ μικρότατα τῶν γενομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. (2) Πευκέστᾳ μὲν ἔγραψε μεμφόμενος, ὅτι δηχθεὶς ὑπ' ἄρκτου τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δὲ 689 οὐκ ἐδήλωσεν. « Ἀλλὰ νῦν γε, φησί, γράψον πῶς ἔχεις καὶ μή τινές σε τῶν συγκυνηγετούντων ἐγκατέλι- a πον, ἵνα δίκην δῶσι. » Τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν, ὅτι παιζόντων αὐτῶν πρὸς ἰχνεύμονα τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κρατερὸς τοὺς μηροὺς ἐτρώθη. Πευκέστα δὲ σωθέντος ἔκ τινος ἀσθενείας ἔγραψε πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. (3) Κρατεροῦ δὲ νοσοῦντος ὄψιν ἰδὼν καθ' ὕπνον αὐτός τε τινὰς θυσίας ἔθυσεν ὑπὲρ αὐτοῦ κἀκείνῳ θῦσαι ἐκέλευσεν. Ἔγραψε δὲ καὶ Παυ-

non est passus, reprehendentis morositatem æquo animo tulit, nisi quod semel quum Antipater longas contra ipsam scripsisset literas, lectis iis : Ignorat, dixit, Antipater infinitas epistolas unica matris lacrima obliterari.

XL. Quum suos plane luxui deditos cerneret intolerabilique luxuria et impendiis immensis uti, adeo ut Hagno Teius argenteos in crepidis clavos gestaret, Leonnatus multis camelis pulverem in gymnasia ex Ægypto advehi curaret, Philotæ ad venationes aulæa per centum stadia extenderentur, odorato unguento delibuti irent ad lavacrum et unctionem plures quam oleo, fricatores atque cubicularios secum ducerent, placide suos et philosophice reprehendit. Mirari se aiebat, quod tot tantisque certaminibus superatis, non meminissent suavius dormire eos qui alios defatigassent, quam qui defatigati essent, neque ex comparatione suæ cum Persica vitæ ratione perspicerent, nihil magis servile quam luxuriam, nihil magis regium esse, quam laborare. Et vero (dicebat) quomodo is equum suum ipse curet, hastam galeamve poliat, qui desueverit suis suum ipsius carissimum corpus manibus attrectare? An nescitis eum victoriæ finem nobis propositum esse, ne idem quod victi agamus. (2) Eam ob rem magis etiam quam ante laboribus et periculis militiæ ac venationis se ipsum exercuit, adeo ut Laco quidam legatus quum ei adesset magnum leonem dejicienti, dixerit : Præclare equidem, o Alexander, cum leone de regno decertasti. Venationis ejus simulacrum Delphis Craterus dedicavit, æneas leonis, canum, ipsiusque regis cum leone congressi et sui ad opem ferendam accurrentis effigies, partim Lysippi, partim Leocharis opera, ponens.

XLI. Enimvero dum Alexander exercendo aliosque ad virtutem stimulando nihil periculi subterfugeret, amici ejus propter opes jam et fastum luxuriæ studiosi, errores ejus et expeditiones graviter tulerunt, sensimque ad obtrectandum ei et maledicendum delapsi sunt. Placidissime initio id ei latum, quod diceret, regium est male audire, quum bene feceris. Sane minima quoque ejus in familiares officia, magnæ fuerunt benevolentiæ venerationisque indicia, quorum pauca quædam apponam. (2) Quum Peucestam per litteras objurgaret, quod is ab urso morsus ea de re ad alios, ad se unum nihil perscripsisset : Vel nunc, inquit, mihi scribe uti valeas et an aliqui sociorum in venatione te destituerint, ut ii pœnas dent. Hephæstionem ob negotia quædam absentem per epistolam certiorem reddidit, in ludicro adversus ichneumonem certamine Perdiccæ hasta casu sauciata Crateri femora fuisse. Peucesta ex quodam morbo sanitati restituto, Alexippo medico gratias scripto egit. (3) Cratero ægrotante quum insomnium vidisset, sacra pro ejus salute fecit ipsumque etiam facere jussit, et Pau,

σανίᾳ τῷ ἰατρῷ βουλομένῳ τὸν Κράτερον ἐλλεβορίσαι τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν, ὅπως χρήσεται τῇ φαρμακείᾳ. Τοὺς δὲ πρώτους τὴν Ἁρπάλου φυγὴν b καὶ ἀπόδρασιν ἀπαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. (4) Ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος Εὐρύλοχος Αἰγαῖος ἐνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν, ὡμολόγησε Τελεσίππας ἐρᾶν καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησε τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. Ἀκούσας δὲ ὅτι τῶν ἐλευθέρων ἑταιρῶν, « Ἡμᾶς μὲν, εἶπεν, ὦ Εὐρύλοχε, συνερῶντας ἔχεις· ὅρα δὲ ὅπως πείθωμεν ἢ λόγοις ἢ δώροις τὴν Τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρας ἐστί. »

XLII. Θαυμάσαι δὲ αὐτόν ἐστι, ὅτι καὶ μέχρι τοιούτων ἐπιστολῶν τοῖς φίλοις ἐσχόλαζεν, οἷα γράφει c παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κελεύων ἀναζητῆσαι καὶ Πευκέσταν ἐπαινῶν, ὅτι Νίκωνα, Κρατέρου δοῦλον, συνέλαβε, καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δύνηται, συλλαβεῖν, ἔξω τοῦ ἱεροῦ προκαλεσάμενον, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. (2) Λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. Ἀλλ' ὕστερόν γε αὐτὸν ἐξετράχυναν αἱ πολ- d λαὶ διαβολαὶ διὰ τῶν ἀληθῶν πάροδον ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. Καὶ μάλιστα κακῶς ἀκούων ἐξίστατο τοῦ φρονεῖν καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. (3) Τότε δὲ ἐξήλαυνεν ἐπὶ Δαρεῖον ὡς πάλιν μαχούμενος· ἀκούσας δὲ τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν ἀπέλυσε τοὺς Θεσσαλοὺς οἴκαδε δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. Πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γινομένην (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους) ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν e ἀνυδρίαν. (4) Ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. Πυθομένου δὲ αὐτοῦ, τίσι κομίζοιεν, « Υἱοῖς, ἔφασαν, ἰδίοις· ἀλλὰ σοῦ ζῶντος ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπολέσωμεν. » Ταῦτ' ἀκούσας ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς καὶ πρὸς τὸ ποτὸν βλέποντας ἀπέδωκεν οὐ πιὼν, ἀλλ' ἐπαινέσας τοὺς ἀν- f θρώπους, « Ἂν γὰρ αὐτὸς, ἔφη, πίω μόνος, ἀθυμήσουσιν οὗτοι. » Θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς ἄγειν ἀνέκραγον θαρροῦντα καὶ τοὺς ἵππους ἐμάστιζον· οὔτε γὰρ κάμνειν οὔτε διψᾶν οὔθ' ὅλως θνητοὺς εἶναι νομίζειν αὑτοὺς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον.

saniæ medico, qui ei helleboro purgaturus erat, scribens partim sollicitudinem suam indicavit, partim de eo medicamento propinando instruxit. Ephialtem et Cissum, qui primi de Harpali fuga et defectione indicium attulerunt, tanquam falso eum deferentes in vincula condidit. (4) Infirmos eo et senes in patriam remissuro, Eurylochus Ægeus se quoque inter ægrotos ascripserat, deprehensus deinde nihil habere morbi, confessus est se amore Telesippæ teneri, eamque descendentem ad mare cupere sequi. Alexander, cujus conditionis ea esset mulier sciscitatus, ut de iberis meretricibus unam esse intellexit : Habes nos, inquit, Euryloche, amori tuo faventes, da autem operam ut ei vel verbis vel muneribus persuadeamus uti maneat, quandoquidem libera nata est Telesippa.

XLII. Miretur autem aliquis eum amicis etiam usque ad talium epistolarum scriptionem vacasse, quales fuerunt, qua puerum Seleuci, qui in Ciliciam aufugerat, inquiri jussit; qua Peucestam laudat, quod Niconem Crateri servum comprehendisset : qua Megabyzo mandat de servo, qui in templo consederat, ut eum, si posset, evocatum ex templo capiat, in templo manum ei non afferat. (2) Ferunt eum etiam quum primum de causis capitalibus cognosceret, actore dicente manum alteri aurium apposuisse, ut eam reo calumniarum expertem reservaret. Verum postea temporis exasperaverunt eum crebræ calumniæ, per vera aditum ad mendacia nactæ; præcipue conviciis de se auditis mentis impos fiebat durumque se et inexorabilem præbebat, quippe gloriam vita et regno antiquiorem habens. (3) Tum vero rursus castra adversus Darium movit, tertio prœlio cum eo decertaturus: quem ut captum audivit a Besso, missis domum Thessalis, præter stipendia talentorum duo millia dono dedit. In persequendo autem Dario ob itineris difficultatem et longitudinem (etenim undecim dierum spatio tria millia ac trecenta stadia perequitavit) plerique animos desponderunt, præcipue ob aquæ penuriam. (4) Ibi Macedones ei quidam occurrerunt, aqua repletos utres a flumine mulis vehentes. Qui quum Alexandrum viderent male ob sitim habentem (jam enim meridies erat) celeriter impletam aqua galeam ad eum attulerunt, quærenti quibus aquam adveherent, Filiis suis, responderunt, sed se incolumi rege etiam iis amissis alios posse generare. His auditis Alexander quum galeam in manus accepisset, oculisque circumlatis equites suos omnes capita inclinasse et ad potum respicere vidisset, non bibit, sed aquam iis qui dederant collaudatis reddidit : Nam si solus, dicebat, ego bibero, languebunt horum animi. Equites autem continentiam et magnanimitatem regis cernentes, bono eum animo esse et se ducere jusserunt, simulque flagris equos incitarunt, neque defatigari se, neque omnino mortales se esse arbitrari dicentes, quamdiu hunc haberent regem.

690 XLIII. Ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία· μόνους δέ φασιν ἑξήκοντα συνεισπεσεῖν εἰς τὰ στρατόπεδα τῶν πολεμίων. Ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐρριμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρερχόμενοι τοὺς πρώτους ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. Μόλις δὲ εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. Ὅμως δὲ καὶ πιεῖν ᾔτησε καὶ πιὼν ὕδωρ ψυχρὸν εἶπε πρὸς τὸν δόντα Πολύστρατον· « Ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν ἀμείψασθαι μὴ δυνάμενον· ἀλλὰ Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν· Ἀλεξάνδρῳ δὲ οἱ θεοὶ τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, ᾧ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ. » Ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρὸς ἐξέλιπεν. (2) Ἀλέξανδρος δὲ ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι καὶ περιέστειλε. Καὶ Βῆσσον μὲν ὕστερον εὑρὼν διεσφενδόνησεν ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος προσαρτήσας τοῦ σώματος, εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον τὸ προσῆκον αὐτῷ μέρος νείμασθαι. Τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλε, τὸν δὲ ἀδελφὸν Ἐξάθρην εἰς τοὺς ἑταίρους ἀνέλαβεν.

XLIV. Αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. Καίτοι τούς γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθε τἀληθές, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθε τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης βορειότατος οὗτός ἐστι, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. (2) Ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν λαμβάνουσιν. Ὁ δὲ ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας ἠπείλησε πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. Ἐπεὶ δὲ καὶ τὸν ἵππον ἄγοντες ἧκον καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φιλανθρώπως πᾶσι καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν.

XLV. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολήν, εἴτε βουλόμενος αὑτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον, εἴτ' ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς Μακεδόσι κατὰ μικρὸν ἀνασχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθιζομένοις. (2) Οὐ μὴν τήν γε Μηδικὴν ἐκείνην προσήκατο παντάπασι βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν οὐδὲ ἀναξυρίδας οὐδὲ κάνδυν οὐδὲ τιάραν ἔλαβεν, ἀλλὰ ἐν μέσῳ τινὰ τῆς

a XLIII. Omnium quidem erat idem studium; sexaginta tantum una cum rege in castra hostium irruperunt. Ibi multum argenti aurique projectum prætereuntes, multos quoque currus liberis et mulieribus onustos et absque aurigis vagantes, primos insecuti sunt, inter eos Darium esse sperantes. Vix tandem inventus est Darius in curru jacens, plurimis confixus jaculis, ac jam moribundus: petiit tamen potum, et quum bibisset aquam frigidam, ad Polystratum (is ei aquam præbuerat) ita est locutus: Hoc mihi omnium calamitatum extremum obtigit, ut pro beneficio gratiam referre non possim; sed Alexander tibi beneficium b compensabit, Alexandro dii humanitatem, quam matri, uxori liberisque meis exhibuit, cui hanc ego meam dextram te nuntio porrigo. Hæc fatus, manu Polystrati comprehensa, exspiravit. (2) Alexander ut supervenit, dolorem eo ex casu acceptum haud clam tulit, suamque ipsius chlamydem exuit et cadaver Darii ea involvit. Bessum quidem postea repertum in diversas partes discerpsit, duabus arboribus rectis ita incurvatis, uti earum fastigia una essent, quarum utrique alteram corporis partem alligavit, libratæ tum arbores, quum magna violentia sese erigerent, suam utraque partem secum rapuit. In præsentia vero c Darii corpus regio cultu ornatum matri ejus remisit, Exathrem autem Darii fratrem in amicorum numerum recepit.

XLIV. Inde cum robore exercitus in Hyrcaniam descendit; vidensque ibi sinum maris magnum ac Ponto non minorem, reliquo tamen mari dulciorem, quum nihil super eo certi cognosceret interrogando, maxime hanc secutus est conjecturam, esse Mæotidis paludis eruptionem. Quanquam rei veritas naturæ peritos non latuit, qui multis ante expeditionem Alexandri annis retulerunt, de quattuor sinubus qui ab Oceano in terram sunt immissi, eum esse d Septentrionibus proximum, qui Caspium et Hyrcanum mare nominatur. (2) Hic barbari quidam Bucephalum equum Alexandri ductores ejus subito adorti, rapuerunt. Haud mediocriter id tulit, missoque caduceatore minatus est se, nisi equum reddidissent, omnes cum uxoribus et liberis interfecturum. Adducentibus equum et urbes tradentibus humanum se præbuit, iisque a quibus captus fuerat Bucephalus, redemptionis nomine munera dedit.

XLV. Inde translatis in Parthiam castris, otiosus pri- e mum barbaricum amictum induit, sive ut se ejus regionis moribus accommodaret, quod plurimum facere ad subjugandos homines eorum consuetudinis atque morum gentilium adsimulationem sciret, sive ut ea re Macedonum animos exploraret, quo pacto ii eum adorari se volentem toleraturi essent, eosque paulatim ad ferendam ipsius a patriis institutis digressionem et mutationem adsuefaceret. (2) Medicum habitum non plane ascivit, barbaricum nimis et a communi usu alienum, neque anaxyridas, neque

Περσικῆς καὶ τῆς Μηδικῆς μιξάμενος εὖ πως ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. (3) Ἐχρῆτο δὲ τὸ μὲν πρῶτον ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ' οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως f ἐξελαύνων καὶ χρηματίζων ἑωρᾶτο. Καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα, τὴν δὲ ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετὴν ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν· ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ' οὗ τὸ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ
691 πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ ταῖς ὄψεσιν a ἀχλὺν ὑποδραμεῖν παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς, ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τοὺς Σκύθας τρεψάμενος ἐδίωξεν ἵππῳ σταδίους ἑκατὸν ἐνοχλούμενος ὑπὸ διαρροίας.

XLVI. Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι καὶ Πολύκλειτος καὶ Ὀνησίκριτος καὶ Ἀντιγένης καὶ Ἴστρος· Ἀριστόβουλος δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς καὶ Πτολεμαῖος καὶ Ἀντικλείδης καὶ Φίλων ὁ Θηβαῖος καὶ Φίλιππος ὁ Θεαγγελεὺς, πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς καὶ Φίλιππος ὁ Χαλκιδεὺς καὶ Δοῦρις ὁ Σά- b μιος πλάσμα φασὶ γεγονέναι τοῦτο. Καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς τὸν μὲν Σκύθην αὐτῷ φησι διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει. Λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα, « Καὶ ποῦ, φάναι, τότε ἤμην ἐγώ; » Ταῦτα μὲν οὖν ἄν τις οὔτε ἀπιστῶν ἧττον οὔτε πιστεύων μᾶλλον Ἀλέξανδρον θαυμάσειε. c

XLVII. Φοβούμενος δὲ τοὺς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσι, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν, τοὺς δὲ ἀρίστους ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, προσέβαλε λόγον, ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων, ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὥσπερ γυναιξίν. Οὐ μὴν ἀλλ' ἀπιέναι γε τοὺς βουλομένους ἐφῆκε, μαρτυράμενος ὅτι τὴν οἰκουμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων στρατεύειν. Ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται, καὶ d ὅτι ταῦτα εἰπόντος αὐτοῦ πάντες ἐξέκραγον ὅποι βούλεται τῆς οἰκουμένης ἄγειν. Δεξαμένων δὲ τούτων τὴν πεῖραν, οὐκέτι ἦν χαλεπὸν προαχθῆναι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. (2) Οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοίου τοῖς ἐπιχωρίοις ἑαυτὸν ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δι' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. Διὸ καὶ

candyn, neque tiaram sumpsit, sed medium inter Persicam ac Medicam consuetudinem quiddam commixtis commode utrisque tenuit, quod et minus quam illa superbum et hac augustius esset. (3) Usus autem eo habitu primum est, si cum barbaris domive cum amicis colloqueretur, postea vulgo etiam sic incedens ac responsa dans videbatur. Erat quidem id spectaculum Macedonibus molestum, reliquas tamen ejus virtutes admirantes, existimabant nonnihil etiam quod ad splendorem et voluptatem faceret concedendum ei, qui præter multa alia facinora nuper admodum sagitta crus ita læsus, ut radii os fractum excideret, rursumque ictus saxo collum, ita ut caligo oculis oborta aliquandiu duraret, tamen se ipsum periculis objiciendi finem nullum faciebat, quin etiam alvi profluvio vexatus, Orexarten tamen fluvium (quem ipse Tanain esse judicabat) trajecerat, Scythasque fugatos equo vique ad centum stadia insecutus erat.

XLVI. Hic ad eum venisse Amazonem illam multi auctores narrant, quorum de numero sunt Clitarchus, Polyclitus, Onesicritus, Antigenes, Ister. Aristobulus contra, Chares admissionalis, Ptolemæus, Anticlides, Philo Thebanus, Philippus Theangelensis, Hecatæus etiam Eretriensis, Philippus Chalcidensis ac Duris Samius, confictam esse eam rem affirmant; quibus videtur astipulari ipse Alexander, qui ad Antipatrum de omnibus accurate scribens, a Scytha quidem sibi filiæ matrimonium oblatum refert, Amazonis non meminit. Ferturque longo post tempore Onesicrito Lysimachus rex quartum librum recitanti, in quo narratio de Amazone comprehendebatur, leniter subridens dixisse: Ubinam vero ipse interim fui? Sed hæc neque pro fictis habita diminuunt, neque credita augent Alexandri admirationem.

XLVII. Metuens autem Alexander ne Macedones ad id quod reliquum erat expeditionum animos desponderent, relicta ibi cetera multitudine, flore exercitus secum accepto (viginti peditum, tria equitum millia erant) in Hyrcania sic allocutus est: nunc quidem in somnis etiam ipsos barbaris obversari; quodsi turbatis tantum rebus Asiæ discederent, fore ut tanquam mulieres ii ipsos iterum invaderent. Qui tamen vellent, iis abeundi potestatem concessit: testatusque est se, quum Macedonibus orbem terrarum subjecisset, cum amicis et voluntariis militibus destitutum fuisse. Hæc iisdem prope verbis sunt in epistola ad Antipatrum perscripta; quæ quum dixisset, clamor ab universis sublatus est, in quamcunque vellet mundi partem ipsos duceret jubentium. His feliciter tentatis, non jam difficile erat reliquam multitudinem movere, sed ultro sequebantur. (2) Proinde vitæ rationem ad indigenarum consuetudinem magis etiam quam hactenus accommodavit, eamque commiscendo et communicando Macedonicis moribus aptavit, quum statuisset tam procul inde profecturus benevolentia potius quam vi res istic constituere. Ita-

τρισμυρίους παῖδας ἐπιλεξάμενος ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι, πολλοὺς ἐπιστάτας καταστήσας. Καὶ τὰ περὶ Ῥωξάνην ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν e ἔν τινι χορῷ παρὰ πότον ὀφθεῖσαν, ἔδοξε δὲ οὐκ ἀνάρμοστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. Ἐθάῤῥησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέστατος περὶ ταῦτα γεγονὼς οὐδὲ ἧς μόνης ἡττήθη γυναικὸς ἄνευ νόμου θιγεῖν ὑπέμεινεν. (3) Ἐπεὶ δὲ καὶ τῶν φίλων ἑώρα τῶν μεγίστων Ἡφαιστίωνα μὲν ἐπαινοῦντα καὶ συμμετακοσμούμενον αὐτῷ, Κράτερον δὲ τοῖς πατρίοις ἐμμένοντα, δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τούτου δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι· καὶ ὅλως τὸν μὲν ἐφίλει μάλιστα, τὸν δὲ ἐτίμα, νομίζων καὶ f λέγων ἀεὶ τὸν μὲν Ἡφαιστίωνα φιλαλέξανδρον εἶναι, τὸν δὲ Κράτερον φιλοβασιλέα. (4) Διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες συνέκρουον πολλάκις. Ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων προσελάσας Ἀλέξανδρος ἐλοιδόρει τὸν Ἡφαιστίωνα 692 φανερῶς ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν, a ὡς, ἐάν τις αὐτοῦ τὸν Ἀλέξανδρον ἀφέληται, μηδέν ἐστιν· ἰδίᾳ δὲ καὶ τοῦ Κρατέρου πικρῶς καθήψατο. Καὶ συναγαγὼν αὐτοὺς καὶ διαλλάξας ἐπώμοσε τὸν Ἄμμωνα καὶ τοὺς ἄλλους θεούς, ἦ μὴν μάλιστα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους· ἂν δὲ πάλιν αἴσθηται διαφερομένους ἀποκτενεῖν ἀμφοτέρους ἢ τὸν ἀρξάμενον. Ὅθεν ὕστερον οὐδὲ παίζοντες εἰπεῖν τι οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται.

XLVIII. Φιλώτας δὲ ὁ Παρμενίωνος ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα· καὶ γὰρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι, φιλόδωρος δὲ οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον οὐδείς. Λέγεται γοῦν, ὅτι τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον ἐκέλευσε δοῦναι· φήσαντος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν, « Τί λέ- b γεις; εἶπεν, οὐδὲ ποτήριον ἔχεις οὐδὲ ἱμάτιον; » Ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον ἢ κατ' ἰδιώτην καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ παρασήμῳ μιμούμενος ὑποψίαν καὶ φθόνον ἔσχεν, ὥστε καὶ Παρμενίωνά ποτε εἰπεῖν πρὸς αὐτόν· « Ὦ παῖ, χείρων μοι γίνου. » (2) Πρὸς δὲ αὐτὸν Ἀλέξανδρον ἐκ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. Ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήματα Δαρείου νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κο- c μισθέντων εἰς τὸ στρατόπεδον εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυδναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν· ἐκαλεῖτο δὲ Ἀντιγόνη. Τοῦτο ἔσχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παῤῥησιαζόμενος ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινε καὶ τοῦ πατρός, Ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει δι' αὐτοὺς τὸ τῆς ἀρχῆς

que etiam triginta puerorum millia delegit, quæ litteris Græcis instituerentur, interque arma Macedonica educarentur, multis ad id magistris constitutis. Roxanen aliquando in choro quodam inter pocula conspectam, pulchritudine ejus illectus, amare cœpit, sed ea res haud inconveniens tamen ejus instituto visa est. Confisi enim sunt barbari in communione nuptiarum ac magnopere dilexerunt Alexandrum, quod modestissimum se gessisset et cujus unius amori succubuisset, eam nisi ut legibus est permissum, tangere non sustinuisset. (3) Quum amicorum suorum summos Hephæstionem et Craterum, hunc patrium morem retinere, illum probare imitarique mutationem videret, hoc apud Græcos et Macedonas, illo apud barbaros usus est administro; atque omnino hunc maximo honore, illum summo amore est prosecutus, ab Hephæstione Alexandrum, a Cratero regem diligi sentiens atque pronuntians. (4) Quæ res simultatibus horum inter se offensisque occasionem frequentibus præbuit. Semel in India etiam ad manus jurgium et gladiorum strictionem res devenit, amicisque utrique ad opem ferendam accurrentibus, equo citato advectus Alexander, aperte convicium Hephæstioni fecit, stolidum appellans et insanum, si non intelligeret se ademto sibi Alexandro nullius esse pretii. Craterum quoque privatim acerbe objurgavit, conducensque eos in unum et in gratiam reponens mutuam, Ammonem et reliquos deos obtestatus est, neminem se hominum iis cariorem habere; si tamen iterum rixari sensisset, aut utrumque se, aut auctorem dissidii interfecturum. Itaque in posterum ne per jocum quidem alter alterum dicto factove læsisse fertur.

XLVIII. Erat Parmenionis filius Philotas magnæ inter Macedones existimationis ob fortitudinem, tolerantiam, liberalitatem, atque in amicos propensum animum, qua virtute, excepto Alexandro, parem habebat neminem. Certe traditum est quum familiaris quidam ab eo pecuniam peteret et dispensator numerare jussus non esse sibi respondisset, dixisse eum : Quid ergo, nullumne poculum, nullam vestem habes? Fastu tamen, opibus, corporis cultu, vitæque ratione quam privatum hominem deceret insolentiori uti videbatur, ac tum quoque majestatem et sublimitatem non urbanitate, sed sine gratia inepte et insulse exprimens suspectum se obnoxiumque invidiæ reddebat, ita ut Parmenio etiam aliquando ei dixerit : Deterior mihi, o fili, evadis. (2) Erat hic jam pridem apud Alexandrum delatus. Quo enim tempore Darius in Cilicia victus et apud Damascum bona ejus capta fuerant, multis in castra adductis mancipiis, mulier inter ea quædam nomine Antigone, Pydnæa ortu, venusta forma reperta est. Eam Philotas deinde habuit. Apud eam, ut solent apud amasias juvenes, quum splendide multa ac pro militari arrogantia liberius jactasset, plerasque res gestas sibi et patri suo imputaverat, Alexandrum adolescentem appellans, qui ipsorum opera regis titulo frueretur. Hæc

ὄνομα καρπούμενον. Ταῦτα τῆς γυναικὸς ἐκφερούσης πρός τινα τῶν συνήθων, ἐκείνου δὲ, ὡς εἰκὸς, πρὸς ἕτερον, περιῆλθεν εἰς Κράτερον ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον εἰσήγαγε κρύφα πρὸς Ἀλέξανδρον. d Ἀκούσας δὲ ἐκεῖνος ἐκέλευσε φοιτᾶν εἰς ταὐτὸ τῷ Φιλώτᾳ καὶ πᾶν, ὅ τι ἂν ἐκπύθηται, τοῦτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν.

XLIX. Ὁ μὲν οὖν Φιλώτας ἐπιβουλευόμενος οὕτως ἠγνόει καὶ συνῆν τῇ Ἀντιγόνῃ πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν ῥήματα καὶ λόγους κατὰ τοῦ βασιλέως ἀνεπιτηδείους προϊέμενος. Ὁ δὲ Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ Φιλώτου προσπεσούσης, ἐκαρτέρησε σιωπῇ καὶ κατέσχεν, εἴτε θαῤῥῶν τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. (2) Ἐν δὲ τῷ τότε χρόνῳ Μακεδὼν ὄνομα Λίμνος ἐκ Χαλάστρας ἐπιβουλεύων e Ἀλεξάνδρῳ Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. Τοῦ δὲ μὴ δεξαμένου, φράσαντος δὲ τἀδελφῷ Κεβαλίνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν ἐκέλευσεν εἰσάγειν αὐτοὺς πρὸς Ἀλέξανδρον ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. Ὁ δὲ Φιλώτας, ὅ τι δὴ παθὼν (ἄδηλον γάρ ἐστιν) οὐ παρῆγεν αὐτοὺς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. Καὶ τοῦτο δὶς ἐποίησεν. Οἱ δὲ καθ' ὑπεροψίαν ἤδη τοῦ Φιλώτου τραπόμενοι πρὸς ἕτερον καὶ δι' ἐκείνου τῷ Ἀλεξάνδρῳ προσαχθέντες πρῶτον f μὲν τὰ τοῦ Λίμνου κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῇ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. (3) Καὶ τοῦτο δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτὸν, ἔτι μᾶλλον διεταράχθη τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. Καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν ἐπε-
693 σπάσατο τοὺς πάλαι μισοῦντας αὐτὸν ἤδη φανερῶς λέ- a
γοντας, ὡς ῥᾳθυμίᾳ τοῦ βασιλέως εἴη Λίμνον οἰομένου, Χαλαστραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ' αὑτόν· ἀλλὰ τοῦτον μὲν ὑπηρέτην εἶναι, μᾶλλον δὲ ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφιέμενον, ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερε. (4) Τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντος τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. Ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις, Ἀλεξάνδρου δὲ κατακούοντος ἔξωθεν αὐλαίας παρατεταμένης· ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν b οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος· « Οὕτω δὴ μαλακὸς ὤν, ὦ Φιλώτα, καὶ ἄνανδρος ἐπεχείρεις πράγμασι τηλικούτοις; » (5) Ἀποθανόντος δὲ τοῦ Φιλώτου, καὶ Παρμενίωνα πέμψας εὐθὺς εἰς Μηδίαν ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δὲ ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι, τριῶν δὲ

quum Antigone cuidam suorum familiarium, isque alteri retulisset, ad Craterum usque sermo pervenit, isque mulierem ad Alexandrum occulte perduxit. Alexander, audita re, eam cum Philota consuetudinem habere, et quidquid tale inaudivisset, sibi renuntiare jussit.

XLIX. Has insidias non sentiens Philotas, et ira et jactantia multos de rege sinistros sermones apud Antigonam efferebat. Verum Alexander, tametsi gravia de Philota afferrentur crimina, tacitus tamen ea ferebat, seque continebat, sive Parmenionis erga se benevolentia fretus, sive gloriam ejus Philotæque et potentiam metuens. (2) Isto autem tum tempore Macedo quidam Limnus nomine, Chalastra urbe oriundus, insidias struens Alexandro, Nicomachum quendam adolescentem amasium suum ad facinoris societatem ineundam hortatus est. Is, repudiata petitione, rem cum fratre Cebalino communicat. Cebalinus ad Philotam accedit, seque et fratrem ad regem, de magna et necessaria re eum compellaturos, introduci postulat. Philotas incertum qua de causa abnuit, regem majoribus negotiis intentum causans. Bis id fecit. Itaque insolentiam ejus aversati, alium quendam accesserunt, cujus opera ad regem admissi, primum de Limno indicium detulerunt, deinde obiter significarunt, ut bis a Philota spreti fuissent. (3) Vehementer hoc Alexandrum irritavit, auxitque perturbationem, quod Limno ab eo qui ad ipsum comprehendendum missus fuerat, quum vi resistere pararet, occiso, indicem insidiarum periisse putabat. Graviter exinde Philotæ infensus, eos qui hominis antiquo odio laborabant, sibi ascivit, jam palam dicentes socordem esse regem, qui Limnum Chalastræum hominem tantum facinus nemine impellente ausum fuisse opinaretur; administrum eum, aut verius instrumentum fuisse, facinoris majorem auctorem quærendum, insidiarum autem causam apud eos inventum iri, quibus eas latere ex re fuisset. (4) His sermonibus calumniisque aures rege pandente, infinitis jam Philotas criminibus onerari cœpit. Itaque captus est et in quæstionem datus, amicis regis tormentis adstantibus, ab Alexandro autem post aulæum extentum auscultante, quum quidem miserabiles et humiles voces atque deprecationes eo ad Hephæstionem emittente, dictum traditur: Itane mollis adeoque effeminatus quum esses, Philota, tantam rem aggrediebare? (5) Occiso Philota, Parmenionem quoque statim in Mediam misit qui necarent, eum virum, qui multis in rebus gerendis affuerat Philippo; unus vero, aut maxime omnium natu grandiorum amicorum, Alexandrum ad Asiaticam expeditionem excitaverat, isque

υἱῶν, οὓς ἔσχεν, ἐπὶ τῆς στρατιᾶς δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. Ταῦτα πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησε τὸν Ἀλέξανδρον, μάλιστα δὲ Ἀντιπάτρῳ· καὶ πρὸς Αἰ- c τωλοὺς ἔπεμψε κρύφα πίστεις διδοὺς καὶ λαμβάνων. Ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος οὐχ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς.

L. Οὐ πολλῷ δὲ ὕστερον συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις, τῶν κατὰ Φιλώταν ἀγριώτερα· λόγῳ μέντοι συντιθέντες ἅμα καὶ τὴν αἰτίαν καὶ τὸν καιρὸν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκομεν πεπραγμένα τοῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτου δαίμονι d παρασχόντος. Ἐπράχθη δὲ οὕτως. (2) Ἧκόν τινες ὀπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. Ὁ δὲ θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος ἐκάλει τὸν Κλεῖτον ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. Ὁ δὲ θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν ἐβάδιζε· καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολούθησεν αὐτῷ. Πυθόμενος δὲ ὁ βασιλεὺς ἀνεκοινοῦτο τοῖς μάντεσιν Ἀριστάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. Φησάντων δὲ πονηρὸν εἶναι τὸ σημεῖον ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ Κλείτου. Καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους εἶδεν ὄψιν ἄτοπον· δόξαι γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρμενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, e τεθνηκότων ἁπάντων. Οὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἧκε, τεθυκότος τοῦ βασιλέως Διοσκόροις. (3) Πότου δὲ νεανικοῦ συρραγέντος ᾔδετο ποιήματα Πρανίχου τινὸς, ὡς δέ φασιν ἔνιοι, Πιερίωνος, εἰς τοὺς στρατηγοὺς πεποιημένα τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων ἐπ' αἰσχύνῃ καὶ γέλωτι. Τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων καὶ λοιδορούντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τοῦ δὲ Ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων f καὶ φύσει τραχὺς ὢν ὀργὴν καὶ αὐθάδης ἠγανάκτει μάλιστα, φάσκων οὐ καλῶς ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου τὸν Κλεῖτον αὑτῷ συνηγορεῖν δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος, « Αὕτη μέντοι σε, εἶπεν, ἡ δειλία τὸν ἐκ θεῶν ἤδη τῷ Σπιθριδάτου ξίφει τὸν νῶτον ἐκτρέποντα περιεποίησε, καὶ 694 τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τούτοις ἐγέ- a νου τηλικοῦτος, ὥστε Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπειπάμενος Φίλιππον. »

LI. Παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος, « Ἦ ταῦτα, εἶπεν, ὦ κακὴ κεφαλὴ, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων καὶ διαστασιάζων Μακεδόνας χαιρήσειν νομίζεις; » « Ἀλλ' οὐδὲ νῦν, ἔφη, χαίρομεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι, μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινο-

de tribus filiis quos in castris habuit, duos mori jam ante viderat, cum tertio ipse interfectus est. His factum est ut amicis suis terrori jam Alexander esset, maxime Antipatro, qui et missis nuntiis, occultum fœdus cum Ætolis iniit; nam hi Alexandrum ob excidium Œniadarum metuebant: quo is audito non Œniadarum liberos, sed se ab Ætolis supplicium sumpturum affirmaverat.

L. Hæc paullo post Cliti cædes subsecuta est, quod facinus, si quis id nude audiat, quam Philotæ interitus potest videri crudelius; qui causam etiam tempusque rei considerant, non sponte regis, sed infortunio quodam perpetratum, fatoque Cliti iram et ebrietatem Alexandri ansam præbuisse animadvertent. Res ita acta est. (2) Venere quidam Alexandro poma Græca a mari apportantes, quorum maturitatem ac elegantiam miratus rex, Clitum accersi jussit, ostensurus ei, partemque eorum daturus. Clitus tum forte sacris operabatur; iisque relictis statim ad regem contendit, tribus ovibus, de quibus jam immolaverat, eum sequentibus. Alexander rem perceptam cum vatibus Aristandro et Cleomanti Lacone communicavit; qui quum dirum esse signum dicerent, statim pro Clito jussit sacrificia expiatoria peragi. Nam et ipse nudiustertius insomnium viderat horrendum, Clitum una cum Parmenionis filiis sedere nigris cum vestibus, omnesque eos mortuos esse. Non continuo tamen perfecit Clitus sacrificium placatorium, sed statim ad cœnam venit, quum rex Castori et Polluci litasset. (3) Compotatione autem alacri facta, Pranichi cujusdam, aut ut nonnulli dicunt Pierionis, carmina recitata sunt in duces qui nuper a barbaris victi fuissent, risus et ignominiæ causa conscripta. Senioribus indignantibus atque poetam et cantorem criminantibus, Alexandro autem et æqualibus cum voluptate audientibus, utque pergeret, jubentibus; Clitus jam vino captus, homo natura ira promptus et contumax, ægre id tulit, indignum esse inquiens quod inter barbaros et hostes exagitentur Macedones, qui deridentibus eos longe fuerint præstantiores, tametsi infortunium passi. Ad hæc Alexando Clitum sibi patrocinantem infortunii nomen prætexere timiditati dicente, assurgens Clitus: Hæc quidem, inquit, timiditas te, diis nate, jam Spithridatis gladio tergum præbentem servavit, Macedonumque sanguine tu hisque vulneribus eo provectus es, ut abdicato Philippo Ammonem tibi patrem asciscas.

LI. Irritatus his Alexander: Hæccine tu, ait, sceleste, identidem de nobis prædicans et Macedones ad seditionem sollicitans, perpetuo gavisurum te putas? Imo, respondit Clitus, ne nunc quidem gaudemus, Alexander, hos laborum fructus percipientes, beatosque præ nobis eos ducimus qui mortem prius obierunt, quam Medicis cædi fascibus

μένους Μακεδόνας καὶ Περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν.» (2) Τοιαῦτα τοῦ Κλείτου παῤῥησιαζομένου καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτὸν, οἱ πρεσβύτεροι κατέχειν b ἐπειρῶντο τὸν θόρυβον. Ὁ δὲ Ἀλέξανδρος ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον· «Οὐ δοκοῦσιν, εἶπεν, ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν ὥσπερ ἐν θηρίοις ἡμίθεοι περιπατεῖν;» (3) Τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλὰ εἰς μέσον ἃ βούλεται λέγειν τὸν Ἀλέξανδρον κελεύοντος ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκέτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος μήλων παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν καὶ τὸ ἐγχειρίδιον ἐζήτει. c Τῶν δὲ σωματοφυλάκων ἑνὸς Ἀριστοφάνους φθάσαντος ὑφελέσθαι καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστὰς (τοῦτο δὲ ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευσε σημαίνειν καὶ πὺξ ἔπαισεν ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. Οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. (4) Τὸν δὲ Κλεῖτον οὐχ ὑφιέμενον οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. Ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων·

Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται. d

Οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα διελαύνει. Πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. Καὶ γενόμενος παρ' ἑαυτῷ καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασε, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

LII. Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἤδη τῷ βοᾶν καὶ θρηνεῖν e ἀπειρηκὼς ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν εἰσῆλθον βίᾳ. Καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους, Ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν τήν τε ὄψιν, ἣν εἶδε περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. (2) Διὸ Καλλισθένην τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. Ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πρᾴως ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως λαβέσθαι τοῦ πάθους, ὁ δὲ Ἀνάξαρχος ἰδίαν τινὰ πορευόμενος f ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν

Macedonas, nosque ut ad regem adire liceat a Persis impetrare cernerent. (2) Hæc eo libere dicente, sociisque Alexandri contra insurgentibus eumque conviciis impetentibus, seniores compescere tumultum conati sunt. Alexander autem ad Xenodochum Cardianum Artemiumque Colophonium conversus: Non videntur, inquit, vobis Græci inter Macedones, veluti semidei inter belluas, obversari? (3) Clito autem non remittente, sed Alexandrum dicere in medium quæ vellet jubente, aut non invitare ad cœnam liberos apertique oris homines, sed inter barbaros vivere et mancipia, ad adorandam Persicam zonam candidumque amiculum ejus parata; non ita amplius iræ continens Alexander, malo, quod juxta jacebat, correpto eum petiit percussitque et simul ensem quæsivit. Quem quum mature subtraxisset unus de stipatoribus Aristophanes, reliqui autem eum retinerent ac deprecarentur, exsiliens Macedonica lingua regiam cohortem invocavit (quod magni erat tumultus signum) classicumque canere jussit et tubicinem cunctantem pugnis cecidit; cujus quidem magna postea laus fuit, quod solus futuro in castris tumultui obstitisset. (4) Clitum nihil de contentione minuentem, amici magno labore cœnaculo ejecerunt. Verum is per alias fores rursum intravit, ferociter admodum contemptoque plane Alexandro, Euripidis hos de Andromacha tragœdia versus recitans:

Quam comparatum inique id est in Græcia.

Ibi demum Alexander stipatorum cuidam erepta lancea, Clitum sibi occurrentem obducentemque jam ostii velum ea trajicit; isque cum gemitu et fremitu corruit. Statim vero ira Alexandri cecidit et ad sanam mentem reversus, quum amicos astare videret, hastam ex corpore interfecti Cliti rapuit, quumque eam jugulo intentaret, a stipatoribus prohibitus est, qui manus ejus continuerunt, ipsumque vi in cubiculum pertraxerunt.

LII. Totam eam noctem lacrimando misere exegit, postridie clamando et lugendo fessus, gravia ducens suspiria mutus jacuit; itaque amici ejus silentio solliciti, vi in cubiculum intraverunt. Horum ille sermones non admisit, Aristandro vate ipsum insomnii quod de Clito habuerat, admonente, atque ut ita fieret in fatis jampridem fuisse affirmante, visus est nonnihil moveri. (2) Itaque adductus est ad eum Callisthenes philosophus, Aristotelis propinquus, et Anaxarchus Abderita. Ille placido sermone civiliter conatus est eum a dolore abducere, verborum ambagibus se insinuans offensasque declinans, Anaxarchus autem peculiarem jam inde ab initio philosophandi rationem secutus, ita ut superbe fastidire sodalium suorum rationem videretur, simul atque ingressus est, exclamavit: En tibi Alexan-

ἀνεβόησεν· « Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει· ὁ δὲ ἔρριπται κλαίων ὥσπερ ἀνδράποδον
69 ἀνθρώπων νόμον καὶ ψόγον δεδοικώς, οἷς αὐτὸν προσήκει a
νόμον εἶναι καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. Οὐκ οἶσθα, εἶπεν, ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον; » (3) Τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν, αὐτὸν δὲ δαιμονίως ἐνήρμοσε καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδὲ ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε. (4) Λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν
καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων τὸν Καλλι- b
σθένην μετέχοντα δόξης τοῖς λέγουσι, τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν· « Ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτα ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι. » Τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνε.

LIII. Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ c
τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος ἀνέβη πρὸς Ἀλέξανδρον. Φθονούμενος δὲ διὰ τὴν δόξαν ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος ἔν τε τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις, ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ·

Μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός.

(2) Λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμὰς οὐ μέγ' ἔργον εὖ λέγειν.

« Ἀλλ' ἔνδειξαι, φάναι, τὴν αὑτοῦ δύναμιν ἡμῖν κα- d
τηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν. » Οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον πολλὰ παρρησιάσασθαι κατὰ τῶν Μακεδόνων καὶ τὴν Ἑλληνικὴν στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως εἰπεῖν·

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς· e

ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι,

drum, quem universus terrarum orbis suspicit! ut jacet mancipii in morem, flens, hominumque legem et reprehensionem timens, quibus ipse debebat juris regulá et finis esse, si quidem hoc consilium vicit et prævaluit ut imperet, non ut inani opinione victus serviat. Nescis, aiebat, Justitiam et Themin assidere Jovi, ut quicquid rex facit, id justum fasque sit? (3) Hoc sermone Anaxarchus dolorem quidem Alexandri minuit, leviorem tamen multo injustioremque redegit, seque ei mirifice gratum effecit, Callisthenis consuetudini propter austeritatem jam ante minus jucundæ invidia majori conflata. (4) Ferunt aliquando inter cœnandum orta de temperie cœli et tempestatum vicibus disputatione, Callisthenem eorum opinionem probasse, qui Asiam Græcia frigidiorem censent et Anaxarcho contentiose repugnanti dixisse : Atqui necesse est te idem nobiscum fateri : qui quum in Græcia palliolo hiemem sustinueris, hic tribus tapetibus tectus jaces. Auxit hoc dictum odium adversus ipsum Anaxarchi.

LIII. Reliquis autem sophistis et adulatoribus invisus erat Callisthenes, colebatur vero a junioribus propter orationem, neque minus senioribus placebat ob modestiam gravitatemque vitæ, quam sua contentus sorte tolerabat, ita ut confirmaret suæ peregrinationis causam, quam proferebat, nimirum se ut patriam instauraret civesque reduceret, ad Alexandrum abiisse. Sed quum gloriæ ipsius invidebatur, tum ipse quasdam calumniandi occasiones inimicis præbuit, vocatus ad cœnam plerumque recusans, aut si venisset, gravitate vultus et silentio indicans ea quæ agerentur sibi non probari, ita ut Alexander quoque de eo dixerit,

Sapientem ego odi, qui sibi ipsi non sapit.

(2) Traditum est litteris, quondam frequenti in convivio jussum inter pocula Macedonum laudes dicere Callisthenem, tanta facundia de proposita re disseruisse, ut assurrexerint, plausuque dato serta in eum conjecerint. Alexandrum vero dixisse : Recte ab Euripide pronuntiatum,

Quum disserendi pulcra datur occasio,
Non est magni laboris res, bene dicere :

quin potius ostentandæ facundiæ causa vituperaret Macedones, ut vitiorum suorum moniti, ea emendarent. Ibi eum retractantem, quæ prius dixisset, multa libere in Macedones locutum, Græcorumque dissidia causam fuisse incrementorum et potentiæ Philippi pronuntiasset, addito carmine,

Pessimus ad summos etiam conscendit honores,
Quum res dissidiis et seditione laborant.

Eo dicto ingentia Macedonum in se odia concitasse fertur, et

καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκε.

LIV. Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στροῖβον Ἀριστοτέλει διηγεῖσθαι, τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν·

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

Οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης, ὅτι Καλλισθένης λόγῳ μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δὲ οὐκ εἶχεν. Ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμε- f νος καὶ φιλοσόφως καὶ μόνος ἐν φανερῷ διελθὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης καὶ μείζονος Ἀλέξανδρον ἀποτρέψας τὴν προσ-

696 κύνησιν, αὐτὸν δὲ ἀπώλεσεν ἐκβιάσασθαι δοκῶν a μᾶλλον ἢ πεῖσαι τὸν βασιλέα. (2) Χάρης δὲ ὁ Μιτυληναῖός φησι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναί τινι τῶν φίλων· τὸν δὲ δεξάμενον πρὸς ἑστίαν ἀναστῆναι καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ καὶ κατακλιθῆναι. Πάντων δὲ τοῦτο ποιούντων, ἐφεξῆς τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλ' Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα, Δημητρίου δὲ τοῦ προσονομαζομένου Φείδωνος εἰπόντος, « Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσεκύνησε, » διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον, τὸν δὲ Καλλισθένην μέγα φθεγξάμενον b εἰπεῖν, « Φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι. »

LV. Τοιαύτης ὑπογενομένης ἀλλοτριότητος πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο, λέγων ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἅγνωνες ἐπεφύοντο φάσκοντες περιιέναι τὸν σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια καὶ περιέπειν ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. (2) Διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβαλόντι, πῶς ἂν ἐνδοξότατος γένοιτο ἄν- c θρωπος, εἶπεν, « Ἂν ἀποκτείνῃ τὸν ἐνδοξότατον, » τὸν δὲ Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων ἐκέλευσε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. (3) Καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ Καλλισθένους κατεῖπεν. Ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατέρῳ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ φησὶ τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. Ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον καὶ τὸν Καλλισθένην συνεπαιτιασάμενος, « Οἱ μὲν παῖδες, φησὶν, d ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν, τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω καὶ τοὺς ἐκπέμψαντας αὐτὸν καὶ τοὺς

Alexandrum dixisse : Non facundiæ Callisthenes, sed malevolentiæ suæ documentum Macedonibus præbuit.

LIV. Hæc Strœbum Callisthenis anagnostam Aristoteli narrasse Hermippus ait, additque Callisthenem, quum animum regis a se abalienatum sentiret, discedentem ei bis terve dixisse,

Te quoque Patroclus præstantior occidit olim,

Quare haud ab re dictum ab Aristotele videtur, Callisthenem esse quidem pereloquentem, sed mente carere. Adorationem autem regis summo conatu, utque philosophum decuit, amolitus solusque palam ea locutus, quæ optimus quisque et maximus natu Macedonum occulta indignatione mussabat, magno Græcos, majori Alexandrum dedecore liberavit, sibi vero ipsi perniciem conciliavit, quod vi magis quam persuadendo regem ab eo proposito detraxisse putabatur. (2) Chares Mitylenæus Alexandrum narrat in convivio quum bibisset, pateram cuidam amicorum porrexisse, eum accepisse et ad focum astitisse; quumque bibisset, primum adorasse regem, deinde osculum dedisse, atque ita accubuisse; hoc omnes deinceps imitatos; Callisthenem vero accepta patera, rege non attendente, sed cum Hephæstione colloquente, bibisse et ad regem osculandi causa accessisse, Demetrio autem cui Phidonis cognomentum fuit, regem monente, ne osculum ei præberet, quod solus omnium non adorasset, ita Alexandrum ab osculo se retraxisse, Callisthenem vero magna voce dixisse : Unius itaque osculi jactura facta abeo.

LV. Hac animorum abalienatione orta, primum Hephæstioni creditum est : Callisthenem secum pactum de adorando rege et fefellisse fidem dicenti; deinde Lysimachi et Hagnones eum adorti, circumire sophistam aiebant magnos ducentem spiritus, veluti tyrannidem si demolitus esset, concursum ad eum adolescentulorum esse, ab iis eum veluti qui unus inter tot hominum millia liber esset, coli. (2) Quo factum est, ut Hermolai in Alexandrum detectis insidiis, haud absimilia veri crimina objicere viderentur, qui Callisthenem deferebant, cuidam quærenti quanam ratione celeberrimus homo fieri posset, respondisse : Si illustrissimum interficeret; Hermolaum autem quum ad facinus adhortaretur, monuisse ne aureum lectum metueret, sed meminisset se ad morbis et vulneribus obnoxium hominem adire. (3) Tametsi nemo ex Hermolai sociis ne extrema quidem passus Callisthenem reum appellavit; quin et Alexander statim Cratero, Attalo et Alcetæ scribens, pueros ait in tormentis confessos, se solos, nullo alio conscio, id facinus molitos. Post tamen ad Antipatrum scribens, Callisthenem quoque accusat, his verbis : Pueros Macedones lapidibus obruerunt, sophistam ipse puniam et eos qui eum miserunt, et hos, qui insidiatores meos urbi-

ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας,» ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς, ἀνεψιᾶς Ἀριστοτέλους. (4) Ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα, Χάρης δὲ μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη παρόντος Ἀριστοτέλους, ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος e [ἐν Μαλλοῖς Ὀξυδράκαις] ἐτρώθη περὶ τὴν Ἰνδίαν, ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

LVI. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. Δημάρατος δὲ ὁ Κορίνθιος ἤδη πρεσβύτερος ὢν ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν εἶπε μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. Οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν, ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοή- f κοντα· τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.

LVII. Μέλλων δὲ ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ 697 δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν a ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὑτοῦ καὶ τῶν ἑταίρων, μετὰ δὲ ταύτας ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. Καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη καὶ δεινότερον ἢ τὸ ἔργον. Ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖστοι βοῇ καὶ ἀλαλαγμῷ μετὰ ἐνθουσιασμοῦ τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας αὐτοὶ κατακαίοντες καὶ διαφθείροντες ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. (2) Ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. Καὶ γὰρ Μένανδρόν τινα τῶν ἑταίρων ἄρχοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινε καὶ τῶν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσε. b (3) Προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα, διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον ἐκλιπόντος αὐτοῦ περιστήσῃ τὸ δαιμόνιον. (4) Οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν. Ὁ γὰρ ἐπὶ τῶν στρωματοφυλάκων τεταγμένος ἀνὴρ Μακεδὼν ὄνομα Πρόξενος τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποτα- c μὸν ἀνεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους· ἀπαντλουμένου δὲ τοῦ πρώτου καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου διαφέρειν στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον, καὶ ταῦτα τῆς χώρας μηδὲ ἐλαίας φε-

bus receperunt. Quibus verbis palam in Aristotelem iram suam aperuit, apud quem ob propinquitatem educatus fuerat Callisthenes, natus Herone Aristotelis consobrina. (4) Quidam suspensum ab Alexandro Callisthenem decessisse perhibent, quidam in compedibus morbo afflictum, Chares septem menses in vinculis servatum, ut in concilio præsente Aristotele judicaretur, quibus vero diebus Alexander apud Indos [in Mallis Oxydracis] vulneratus fuit, mortuum ait pediculari morbo, quum admodum esset obesus.

LVI. Verum hæc aliquanto post acta sunt. Ceterum Demaratus Corinthius ingravescente jam ætate, studii tamen sui ostentandi causa ad Alexandrum profectus est, quumque eum vidisset, magna voluptate privatos esse Græcos dixit, qui ante mortui essent, quam sedentem in solio Darii Alexandrum viderent. Neque tamen alios ille regiæ benevolentiæ fructus tulit, quam quod propter valetudinem mortuus, magnifice sepultus, tumulumque ei magno ambitu et octoginta cubitorum altitudine milites exstruxerunt, reliquiæ quadrigis splendide exornatis ad mare devectæ sunt.

LVII. Transiturus in Indiam Alexander quum præ multitudine spoliorum gravem jam videret tardumque exercitum, instructis summo mane curribus, primum suis sociorumque impedimentis ignem injecit, idemque deinde reliquos facere Macedonas jussit. Apparuit autem consilium difficilius atque periculosius quam ipsa combustio. Nam paucis admodum doluit, plerique sublato clamore, veluti furore quodam divino correpti quæ usibus essent necessaria petentibus distribuerunt, supervacanea ipsi combusserunt, eoque facto alacritatem Alexandri magnopere auxerunt. (2) Atque is jam terribilis quoque erat, et delinquentibus inexorabilem sese præbebat, quippe et Menandrum, unum de suis familiaribus, manere in castello, cui præsidio erat impositus, nolentem interfecit, et ex barbaris qui rebellaverant Orsodatem ipse sagittis confixit. (3) Quum autem ovis agnum peperisset, qui in capite figuram et colorem tiaræ et ex utraque ejus parte testiculos haberet, abominatus id prodigium, a Babyloniis, quos ejus rei causa ex more quodam secum habebat, expiatus est, ad amicos etiam dixit, se non sui, verum ipsorum causa perturbatum esse, ne ipso defuncto summam rerum ad ignobilem et imbellem aliquem hominem fatum devolveret. (4) Sed hunc ejus mœrorem aliud lætius ostentum sustulit. Etenim Proxenus Macedo, stratoribus regiis præfectus, quum tentorio regis locum foderet juxta Oxum fluvium, fontem liquoris pinguis aperuit; cujus quum summum esset haustum, purum deinde et perlucidum oleum scaturiit, neque odore quicquam neque gustu ab oleo, neque nitore etiam et pinguedine differens, et vero nullæ sunt in ista regione oleæ

ῥούσης. Λέγεται μὲν οὖν καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοῖς λουομένοις ἐπιλιπαίνειν. Οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ d τιθέμενος. Οἱ δὲ μάντεις ἐνδόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι.

LVIII. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον καὶ τραύμασι νεανικοῖς ἀπήντησε, τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. Αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος οὐδὲν ᾤετο τοῖς θαῤῥοῦσιν ἀνάλωτον οὐδὲ ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. (2) Λέγεται δὲ τὴν Σισιμίθρου πολιορκῶν πέτραν ἄβατον οὖσαν καὶ ἀπρόσβατον ἀθυμούντων τῶν στρατιωτῶν ἐρωτῆσαι τὸν e Ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμίθρης. Φήσαντος δὲ τοῦ Ὀξυάρτου δειλότατον ἀνθρώπων, « Λέγεις σύ γε, φάναι, τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν ἐστι. » Ταύτην μὲν οὖν ἐκφοβήσας τὸν Σισιμίθρην ἔλαβεν. (3) Ἑτέρᾳ δὲ ὁμοίως ἀποτόμῳ προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων παρώρμα καὶ Ἀλέξανδρόν τινα καλούμενον προσαγορεύσας, « Ἀλλὰ σοί γε, εἶπεν, ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν. » Ἐπεὶ δὲ λαμπρῶς ὁ νεανίας ἀγωνιζόμενος ἔπεσεν, οὐ μετρίως ἐδήχθη. (4) Τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθύς) f ἐπιστάς, « Τί γάρ, εἶπεν, ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον; » Καὶ ἤδη τὴν ἀσπίδα ἔχων περᾶν ἠθέλησεν.** (5) Ἐπεὶ δὲ καταπαύσαντος τὴν μάχην αὐτοῦ παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον.
698 Ἄκουφις ἐκαλεῖτο. Θαυμάσας οὖν τὴν λαμπρότητα a καὶ φιλανθρωπίαν ὁ Ἄκουφις ἠρώτα, τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου, « Σὲ μὲν ἄρχοντα καταστήσαντας αὐτῶν, πρὸς δὲ ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους, » γελάσας ὁ Ἄκουφις, « Ἀλλὰ βέλτιον, εἶπεν, ἄρξω, βασιλεῦ, τοὺς κακίστους πρός σε πέμψας μᾶλλον ἢ τοὺς ἀρίστους. »

LIX. Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιστα, σοφὸς δέ τις ἀνὴρ εἶναι καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος, « Τί δεῖ πολέμων, φάναι, καὶ μάχης ἡμῖν, Ἀλέξανδρε, πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι b μήτε τροφὴν ἀναγκαίαν, ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νοῦν ἔχουσιν ἀνθρώποις; Τοῖς δὲ ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μέν εἰμι κρείττων, ἕτοιμος εὖ ποιεῖν, εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν

Oxum autem mollissimam habere aquam memorant, adeo ut lavantibus cutim pinguedine quadam inungat. Equidem Alexandrum mirifice eo ostento delectatum ex epistola ejus ad Antipatrum constat, in qua hoc inter divinitus sibi facta indicia cum præcipuis numerat. Vates gloriosam quidem, sed juxta laboriosam difficilemque expeditionem designari responderunt; nam oleum a deo hominibus laborum remedium datum esse.

LVIII. Et gravia sane in prœliis pericula subivit, et gravissima vulnera accepit, maximam autem perniciem exercitui inopia rerum necessariarum et intemperies cœli attulit. Verum ipse audacia fortunam, viresque virtute superare contendens, nihil audentibus inexpugnabile, nihil satis munitum adversus animosos existimabat. (2) Narrant eum, quum Sisimithræ saxum inaccessum oppugnaret, militibus animis languentibus ex Oxyarte quæsivisse, qualis esset ipsius Sisimithræ animus, quumque is eum timidissimum hominem affirmaret, Saxum, dixisse, expugnabile refers, quum qui id tenet, munitus non sit; territoque minis Sisimithra, petram eam occupasse. (3) Alteri æque prærupto saxo quum ad oppugnandum juniores Macedonum adhibuisset, eos exhortatus est et quendam Alexandrum nomine ita compellavit: Te strenuum esse vel ob nominis mecum communitatem convenit; et quum juvenis fortiter certans cecidisset, haud mediocriter doluit. (4) Ad oppugnandam Nysam aggredi cunctantibus Macedonibus, eo quod profundus eam fluvius allueret, fixo gressu: Cur, inquit, hominum ego deterrimus natare non didici? simulque arrepto scuto trajicere intendit.**(5) Quum ad ipsum obsessarum urbium legati deprecatum accessissent, atque ipse forte tum receptui a prœlio cecinisset, conspectus in armis absque ulla corporis cura, terrorem eis objecit. Deinde pulvinari allato, maximum natu legatorum (Acuphis ei nomen erat) jussit ei insidere. Qui quum magnificentiam ejus et humanitatem admiratus quæreret, quibusnam conditionibus amicos ipsos habere vellet: Si, inquit Alexander, tui te principem suum constituant, et ad me centum præstantissimos suorum viros mittant; ad quod ridens Acuphis, Atqui, ait, o rex, melius imperaturus sim, si pessimos, non optimos ad te mittam.

LIX. Porro Taxiles Indiæ sub se partem habuisse traditur Ægypto haud minorem et cum primis pabuli frugumque fertilem. Homo ipse sapiens fuit, et quum salutasset Alexandrum, ita allocutus est: Quid nobis, o Alexander, bello invicem pugnaque opus est, si neque aquam nobis neque victum necessarium ereptum venis, quæ sola hominibus cordatis pugnandi necessitatem imponunt? Ceteris seu opibus seu divitiis si te præsto, paratus sum tibi bene facere; sin iis te inferior sum, affectus beneficio gratias agere non

εὖ παθών.» (2) Ἡσθεὶς οὖν ὁ Ἀλέξανδρος καὶ δεξιωσάμενος αὐτόν, «Ἦ που νομίζεις, ἔφη, δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφροσύνης; Ἀλλ' οὐδέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρός σε καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς μου χρηστὸς ὢν μὴ περιγένῃ.» Λαβὼν δὲ δῶρα πολλὰ καὶ δοὺς πλείονα τέλος χίλια τάλαντα νομίσματος αὐτῷ c προέπιεν. Ἐφ' οἷς τοὺς μὲν φίλους ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν. (3) Ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι μισθοφοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν ἐρρωμένως ἀμύνοντες καὶ πολλὰ τὸν Ἀλέξανδρον ἐκακοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτοὺς ἀπιόντας ἐν ὁδῷ λαβὼν ἅπαντας ἀπέκτεινε. Καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ τὰ ἄλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος ὥσπερ κηλὶς πρόσεστιν. Οὐχ ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρέσχον αὐτῷ τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες καὶ τοὺς ἐλευθέρους δήμους ἀφιστάντες. Διὸ καὶ τούτων πολ- d λοὺς ἐκρέμασε.

LX. Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφε. Φησὶ γὰρ ἐν μέσῳ τῶν στρατοπέδων τοῦ Ὑδάσπου ῥέοντος ἀντιπόρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν. Αὐτὸν μὲν οὖν καθ' ἡμέραν ἑκάστην ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολὺν ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι, νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους καὶ προελθόντα πόρρω τῶν πολεμίων διαπεράσαι πρὸς νῆσον οὐ μεγάλην. (2) Ἐνταῦθα δὲ ῥαγδαίου μὲν e ἐκχυθέντος ὄμβρου, πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φερομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους ὑπὸ τῶν κεραυνῶν ἀπὸ τῆς νησῖδος ἄρας προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. Τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον ἔκρηγμα ποιῆσαι μέγα καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος, αὐτὸς δὲ δέξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολίσθανον καὶ περιρρηγνύμενον. Ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτόν· «Ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσετε ἄν, ἡλίκους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας;» Ἀλλὰ τοῦτο f μὲν Ὀνησίκριτος εἴρηκεν, αὐτὸς δέ φησι τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους, διαβὰς δὲ τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι, λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν, εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ 699 προσγενομένους, θάτερον δὲ συμβῆναι. Τῶν γὰρ ἱπ- a πέων χιλίους καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ' ἱππέων ἀνελεῖν τετρακοσίους. (3) Οὕτω δὴ συμφρονήσαντα τὸν Πῶρον, ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλι-

recuso. (2) Gratum hoc Alexandro fuit, dataque dextra: An tu existimas, inquit, nostro hoc congressu amicitiæque junctione certamen omne exclusum? Sed nihil agis. Ego enim tecum beneficiis certabo, ne bonitate me vincas. Multis inde acceptis donis, quum plura dedisset, ad extremum mille pecuniæ talenta ei propinavit; quod factum gravissime amicis doluit, barbarorum autem multorum favorem Alexandro conciliavit. (3) Indorum bellicosissimi stipendia merentes per urbes circumibant easque summa vi tuebantur Alexandroque plurimum incommodabant; hos Alexander, pacto secum inito, ex urbe quadam discedentes in itinere adortus universos interfecit. Quod ejus facinus ceteris rebus juste et regi convenienter gestis quasi maculam inussit. Haud pauciores ei molestias etiam philosophi exhibebant, reges qui se ei dedidissent culpantes, liberosque populos ad defectionem trahentes; itaque horum multos suspendio affecit.

LX. Rem cum Poro gestam ipse in epistolis retulit. Inter Alexandri et Pori castra Hydaspes fluebat. Elephantos Porus semper fluvio oppositos instruebat ad prohibendum transitu hostem. Alexander singulis noctibus strepitu et tumultu in castris excitato, suos, ne metuerent barbaros, adsuefaciebat, nactus autem noctem hibernam luna non fulgente, cum parte peditum et robore equitum longe ab hoste progressus ad insulam quandam haud magnam trajecit. (2) Ibi quum ingens imber effunderetur, atque crebri turbines et fulmina in exercitum ingruerent, quosdam suorum perire et conflagrare fulminibus cernens, ab insula ad ulteriorem ripam contendit. Asper autem Hydaspes et ob tempestatem turgidus alveum magnum perruperat, eoque plurimum aquæ ferebatur, ita ut mediam terram tenere non constanter potuerit Alexander, lubricam quippe et undis cinctam. Ibi eum Onesicritus scribit dixisse: Creditisne, o Athenienses, quantum periculi sustineam hic, ut a vobis prædicer? Macedones (ita enim Alexander scriptum reliquit) omissis ratibus cum armis eluviem illam superaverunt, ad mamillas usque madefacti. Inde cum equitatu stadia viginti a peditibus processit, ratus fore ut, si hostes equitatu occurrerent, facile vinceret; sin phalangem moverent, satis mature ipsum sui pedites assequerentur; et alterum horum eventus probavit. Mille enim equites ac sexaginta currus obviam sibi factos fudit, curribusque est potitus omnibus, equites quadringentos interfecit. (3) Porus quum trajecisse ipsum Alexandrum sensit, universas contra eum copias adduxit, quibusdam modo ad arcendos transitu Macedones relictis, metuens vero Alexander elephantos et hostium

πε, φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. Γενομένης δὲ τροπῆς ἑκατέρωθεν ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους. Ὅθεν ἤδη τὴν μάχην ἀνα- b μεμιγμένην εἶναι καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους. Ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπιστολαῖς εἴρηκεν. (4) Οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολογοῦσι τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος ἱππότου μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος. Καίτοι μέγιστος ἦν ὁ ἐλέφας· σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐρρωμένου μὲν ἔτι θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων, ὡς δὲ ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας μὴ περιρρυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκε πράως ἑαυτόν, τῇ δὲ c προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον ἐξῄρει τοῦ σώματος. (5) Ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσηται, « Βασιλικῶς » εἶπε· προσπυθομένου δὲ, μή τι ἄλλο λέγει, « Πάντα, εἶπεν, ἐστὶν ἐν τῷ βασιλικῶς. » Οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευε σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν καὶ τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναί φασιν, ἄλλην δὲ τρὶς τοσαύτην, ἧς Φίλιππόν τινα τῶν ἑταίρων σατράπην ἀπέδειξεν.

LXI. Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκε- d φάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος, ὡς δὲ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. Ἐδήχθη δ' ἰσχυρῶς Ἀλέξανδρος οὐδὲν ἄλλο ἢ συνήθη καὶ φίλον ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ παρὰ τὸν Ὑδάσπην Βουκεφαλίαν προσηγόρευσε. Λέγεται δὲ καὶ κύνα Περίταν ὄνομα, τεθραμμένον ὑπ' αὐτοῦ καὶ στεργόμενον, ἀποβαλὼν κτίσαι πόλιν ἐπώνυμον. Τοῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου.

LXII. Τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν e ἀμβλυτέρους ἐποίησε καὶ τοῦ πρόσω τῆς Ἰνδικῆς ἔτι προελθεῖν ἐπέσχε. Μόλις γὰρ ἐκεῖνον ὠσάμενοι δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περᾶσαι ποταμὸν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι καὶ βάθος ὀργυιὰς ἑκατὸν, ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. Ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δὲ ὀκτακισχίλια καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομέ- f νειν. Καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο καὶ στρατοῦ μυριάσιν

multitudinem, ipse in lævum cornu impetum fecit, Cœnum dextrum adoriri jussit. Utrimque autem cedente cornu, qui pellebantur ad elephantos subinde se receperunt, atque ibi agmen coegerunt, ita ut jam pugna commixta, vix tandem octava hora animos Indi desponderint. Hæc sunt quæ ipse prœlii auctor in epistola eo de prœlio scribit. (4) Plerique uno ore scriptores affirmant, Porum cubitorum quattuor et palmi longitudine fuisse, equitemque corporis magnitudine elephanto respondisse. Maximus is omnium fuit et ingenio præditus admirabili, qui mirificam regis curam gereret; nam et pro incolumi eo acriter pugnavit, obvios quosque proruens, et quum eum jaculis vulneribusque confectum cerneret, ne collaberetur, in genua placide subsidens singulatim spicula proboscide ex corpore ejus extraxit. (5) Porus captus, quum eum Alexander interrogasset, quomodo tractari se cuperet : Regaliter, respondit; iterumque percontanti, anne præterea aliquid : In voce Regaliter omnia inesse dixit. Itaque eum Alexander non modo ejus quod tenuerat regni satrapam reliquit, sed et liberos Indos subactos ei subdidit; horum ditio quindecim gentes, urbium memorabilium quinque millia, pagorum ingentem numerum complectitur. Aliam regionem triplam hujus Philippo cuidam ex amicis gubernandam dedit.

LXI. Ex pugna contra Porum Bucephalus quoque, non statim, sed ut plerique ferunt, postea e vulneribus, quum curaretur, obiit; Onesicritus ætate confectum exspirasse ait, mortuum enim tricenarium. Graviter ejus obitum Alexander tulit perinde ac si familiarium aliquem, aut amicorum amisisset; ideo et urbem ejus nomine Bucephaliam juxta Hydaspem condidit. Sotion se ex Potamone Lesbio audisse scribit, Alexandrum canis etiam Peritæ, quem a se educatum sibique carum amisisset, nomine urbem posuisse.

LXII. Ceterum prœlium adversus Porum Macedonas languidiores reddidit et a petendo ulteriorem Indiam avertit. Quum enim hunc viginti peditum, duobus equitum millibus occurrentem magno cum labore superassent, Alexandro Gangem transire contendenti summopere repugnarunt. Inaudierant enim latitudinem ejus triginta duorum esse stadiorum, altitudinem ulnarum centum, ripam ulteriorem armorum, equorum elephantorumque occultari copiis. Siquidem rumor erat Gandaritarum et Præsiorum reges ibi cum octoginta equitum, ducentis peditum, octo curruum, sex ad bellum instructorum elephantorum millibus consedisse. Neque inflatius hæc referebantur. Nam Androcottus, qui paullo post regnum ibi tenuit, quingentos elephantos Seleuco donavit, Indiamque universam circum-

ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. (2) Τὸ μὲν οὖν πρῶτον ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὑτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν Γάγ-
700 γην, ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. a Ὡς δὲ οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυε πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. Καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας ἀπέλιπέ τε καὶ διέῤῥιψεν. Ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν οἱ Πραισίων βασιλεῖς διαβαίνοντες σέβονται καὶ θύουσιν Ἑλληνικὰς θυσίας. (3) Ἀνδρόκοττος δὲ μειράκιον ὢν αὐτὸν Ἀλέξανδρον εἶδε καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθε τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ b μοχθηρίαν καὶ δυσγένειαν.

LXIII. Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος ἐκομίζετο τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. Ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν οὐδὲ ἀπόλεμος, προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων ἐχειροῦτο πάντα. (2) Πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὕς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησε κατακοπῆναι. Τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασε, πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη καὶ τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος ἐλάμ- c βανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὢν συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκε τοὺς πολεμίους καὶ κατὰ τύχην ὀρθὸς ἔστη. (3) Τιναξαμένου δὲ τοῖς ὅπλοις ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. Διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δὲ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον, εἷς δὲ μικρὸν ἀπωτέρω στὰς ἐφῆκεν ἀπὸ τόξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μασθὸν ὀστέοις. Πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ τὸ σῶμα d καὶ κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμε βαρβαρικὴν μάχαιραν σπασάμενος, Πευκέστας δὲ καὶ Λιμναῖος προέστησαν· ὧν πληγέντων ἑκατέρων ὁ μὲν ἀπέθανε, Πευκέστας δὲ ἀντεῖχε, τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. (4) Αὐτὸς δὲ τραύματα πολλὰ λαβών, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου προσήρεισε τῷ τείχει τὸ σῶμα βλέπων πρὸς τοὺς πολεμίους. Ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων ἁρπασθεὶς ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. Καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν ὀϊστὸν ἐκπρι- e σάντων ξύλινον ὄντα καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος περὶ τὴν ἐκκοπὴν ἐγίνοντο τῆς ἀκίδος ἐνδεδυκυίας ἑνὶ τῶν ὀστέων. Λέγεται δὲ τὸ μὲν πλάτος τριῶν

ductis sexcentis armatorum millibus subjugavit. (2) Initio igitur Alexander præ mœstitia et ira se ipsum in tentorio inclusit, ibique decubuit, ingratas omnes res hactenus gestas habens nisi Gangem transilsset, victumque se palam fateri existimans, si ita retro abiisset. Victus tandem et amicorum opportunis cohortationibus et militum foribus assistentium et deprecantium ejulatu ac clamoribus, castra inde movit, multas gloriæ causa fallacias machinatus. Nam et arma solito majora et equorum præsepia et fræna usitatis graviora paravit, quæ sparsim ibi discedens reliquit. Posuit etiam aras diis, quas etiamnum Præsiorum reges ubi transeunt, venerantur et ibi Græco ritu sacrificant. (3) Androcottus autem puer admodum Alexandrum vidit, ferturque sæpe postmodo dixisse : Minimum abfuisse quin Alexander rerum potiretur, rege ob improbitatem et ignobilitatem suis inviso et contempto.

LXIII. Inde ad visendum Oceanum Alexander animum applicavit multisque navibus remigio instructis, multis ratibus compactis, paulatim ad eum fluviis subvectus est. Navigatio autem ea non otiosa bellive expers fuit, sed urbes in transitu oppugnans, in terramque egrediens in potestatem redigebat. (2) Apud Mallos, quam gentem Indorum bellicosissimam tradunt, paullum abfuit quin occideretur. Quum enim jaculis homines de muro profligasset primusque admota scala in murum evasisset, scala fracta et barbaris apud murum subsistentibus, jaculaque contra eum in sublimi stantem torquentibus, ut aderant ipsi suorum admodum pauci, in medios hostes desilivit, bonaque fortuna in pedes rectus constitit. (3) Hic quum arma concussisset, fulgorem aliquem et spectrum ante corpus ejus ferri existimantes, initio diffugerunt; mox cum duobus modo stipatoribus adesse cernentes accurrerunt, aliique cominus eum gladiis et hastis per arma adactis consauciarunt, defendentem sese, quidam modico spatio remotus tanta vi sagittam arcu in eum emisit, ut thorace perrupto ea in ossibus circum mamillam infigeretur. Quum vim hujus ictus sustinere non posset et corpus labasceret, accurrit auctor vulneris cum stricto barbarico ense. Peucestas autem et Limnæus ante regem constiterunt et uterque graviter sauciatus est, ita ut Limnæus perierit; barbarum Alexander obtruncavit. (4) Sed acceptis multis vulneribus ac tandem cervicem fuste ictus, muro corpus acclinavit, ad hostes respiciens. Interim Macedones circumfusi, abreptum ad tabernaculum retulerunt, sensu jam orbatum. Statim per castra rumor vagatus est, mortuum esse regem. Difficulter magnoque cum labore lignum sagittæ abscisum thoraxque detractus est. Cuspis tres digitos lata, longa quattuor, sub unum ossium hamo ita subiverat,

δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων. Διὸ ταῖς λιποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος ἐξαιρουμένης αὐτῆς ὅμως ἀνέλαβε. (5) Καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δὲ ἀσθενὴς ὢν καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὑτὸν, ἔξω θορυβοῦντας ὡς ᾔσθετο ποθοῦντας αὐτὸν ἰδεῖν τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθε. Καὶ θύσας τοῖς θεοῖς αὖθις ἀνήχθη καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας f καταστρεφόμενος.

LXIV. Τῶν δὲ Γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας λαβὼν δέκα δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα, φήσας ἀποκτενεῖν τὸν 701 μὴ ὀρθῶς ἀποκρινάμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω a τοὺς ἄλλους· ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. (2) Ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς, πότερον οἴηται τοὺς ζῶντας εἶναι πλείονας ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας· οὐκέτι γὰρ εἶναι τοὺς τεθνηκότας. Ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν· ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. Ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῷον πανουργότατον, ὃ μέχρι [τοῦ νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. Ὁ δὲ τέταρτος ἀνακρινόμενος, τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν, ἀπεκρίνατο καλῶς ζῆν βουλόμενος αὐτὸν ἢ καλῶς ἀποθανεῖν. Ὁ δὲ πέμπτος ἐρωτηθεὶς, πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέ- b ραν γεγονέναι, τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεπεῖπεν οὗτος, θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. Μεταλαβὼν οὖν τὸν ἕκτον ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιστα, ἂν κράτιστος ὢν, ἔφη, μὴ φοβερὸς ᾖ. Τῶν δὲ λοιπῶν τριῶν ὁ μὲν ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεὸς, εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μή ἐστιν· ὁ δὲ περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο τὴν ζωὴν τοσαῦτα κακὰ φέρουσαν. Ὁ δὲ τελευταῖος, μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχον ζῆν, μέχρι οὗ μὴ c νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. (3) Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν ἐκέλευσεν ἀποφαίνεσθαι. Τοῦ δὲ ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος, « Οὐκοῦν, ἔφη, [καὶ] σὺ πρῶτος ἀποθανῇ τοιαῦτα κρίνων. » « Οὐκ ἄν γε, εἶπεν, ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινάμενον κάκιστα. »

LXV. Τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος· πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' αὑτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. Ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων. Καί φησι τὸν μὲν Καλανὸν ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν ἀποδύντα τὸν χιτῶνα γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δὲ οὐ δια- d λέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Δάνδαμιν πραότερον εἶναι καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους εἰπεῖν ὡς

ut exscindenda fuerit. Itaque tantum animi deliquium Alexandro, dum exsecaretur ea, obortum est, ut morti fuerit proximus. Rediit tamen ad se, et mortis periculum superavit. (5) Nondum plane recuperatis viribus (etenim per haud exiguum tempus diæta curari opus habuit), desiderio sui videndi tumultuari foris Macedones audiens, veste sumpta ad eos exivit, sacrisque factis rediit. Inde avectus multas in transitu magnas urbes, multum regionis subegit.

LXIV. Ex Gymnosophistis, qui Sabbæ deficiendi auctores fuerant et plurima mala Macedonibus paraverant, decem quum cepisset, qui arguti in respondendo succinctaque explicanda quæstione essent, quæstiones eis ambiguas proposuit, qui primus non recte dissolvisset quod interrogabatur, eum se et reliquos ita deinceps ordine interfecturum minitans, judiciumque ea de re uni de natu maximis committens. (2) Primus pluresne vivos esse an mortuos putaret interrogatus : vivos respondit; mortuos enim non amplius esse. Alter, marene an terra majores aleret bestias. Terra, inquit; ejus enim pars est mare. Tertius, quod animantium esset callidissimum : Id, ait, quod ab homine nondum est cognitum. Quartus, qua ratione Sabbæ defectionem persuasisset : Ut, inquit, aut bene viveret, aut honeste moreretur. Quintus, diemne an noctem prius exstitisse arbitraretur : Dies, ait, uno die prior fuit; et mirante responsionem rege addidit, necessario quæstionibus ambiguis propositis, obscuras etiam fieri responsiones. Sextus, qua ratione aliquis efficere posset, ut maxime diligeretur : Si, inquit, optimus sit, neque tamen terribilis. Septimus, quonam pacto aliquis ex homine fieri posset deus, respondit, Si quid faciat, quod homo facere nequeat. Octavus, morsne an vita sit robustior : vitam dixit, ut quæ tot mala perferat. Ultimi, quum percontaretur Alexander quousque homini commode vivendum putaret, responsio fuit : Tantisper, dum mortem non putaret vita potiorem. (3) Conversus inde rex ad judicem, sententiam ferre jussit; quumque is unum alio deterius respondisse pronuntiaret : Ergo, inquit, tibi primo moriendum est ita judicanti. Nequaquam, ait ille, si quidem, o rex tibi constes, qui eum te interfecturum primo loco dixeris, qui omnium pessime respondisset.

LXV. Hos quidem donatos dimisit. Onesicritum vero ad eos Gymnosophistas, qui celebri fama in otio vivebant, misit petitum, ut ad se venirent. Onesicritus philosophus erat, Diogenis Cynici aliquando sectator. Is refert Calanum contumeliose admodum et aspere sibi mandasse, ut vestimento posito nudus ipsum audiret; alioquin non esse cum ipso collocuturum, ne si ab ipso quidem Jove missus fuisset. Dandamin autem mansuetiorem se præbuisse, et quum de Socrate Pythagoraque ac Diogene sermonem accepisset,

εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. Ἄλλοι δέ φασι τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν ἀλλ' ἢ τοσοῦτον μόνον, « Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθε; » (2) Τὸν μέντοι Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. Ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν e γλῶτταν τῷ Καλέ προσαγορεύων ἀντὶ τοῦ Χαίρειν τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. Καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν ἐπάτησε τὸ ἄκρον· ἡ δὲ εἰς ἓν πιεσθεῖσα τοῖς ἄλλοις ἐπήρθη μέρεσι. Καὶ τοῦτο περιιὼν ἐν κύκλῳ καὶ πιέζων καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς κατέσχε καὶ πάντα οὕτως ἠρέμησεν. Ἐβούλετο δὲ ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν f Ἀλέξανδρον.

LXVI. Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. Ἐμβαλὼν δὲ ταῖς ναυσὶν, εἰς τὸν Ὠκεανὸν ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. (2) Ἐνταῦθα δὲ ἀποβὰς ἔθυε τοῖς θεοῖς καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας ὅσον ἐφικτὸν ἦν. Εἶτα ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώπων ὑπερ-702 βῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφε. Καὶ τὰς a μὲν ναῦς ἐκέλευσε περιπλεῖν ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δὲ Ὀνησίκριτον· αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος εἰς ἐσχάτην ἀπορίαν προήχθη καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. (3) Καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοὶ, τὸ δ' ἱππικὸν εἰς μυρίους καὶ πεντακισχιλίους. Ἀλλὰ καὶ νόσοι χαλεπαὶ καὶ δίαιται πονηραὶ καὶ καύματα ξηρὰ καὶ πλείστους ὁ λιμὸς διέφθειρεν ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας εἰθισμένα προσφέρεσθαι σάρκα μοχθηρὰν b εἶχε καὶ δυσώδη. Μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν καὶ τῆς Γεδρωσίας ἁψάμενος εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.

LXVII. Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησε κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. Αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός· ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς c καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. (2) Εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες ἐκ πίθων

dixisse, videri sibi istos viros bono fuisse ingenio præditos, sed nimia legum verecundia vixisse. Alii Dandamin aliud nihil, nisi hoc unum dixisse tradunt: Cur tam longo itinere Alexander huc venit? (2) Calano tamen Taxiles persuasit ut ad Alexandrum iret. Sphinæ ei nomen fuit, sed quod congressos secum Indica voce καλέ (id est, *salve*) compellaret, a Græcis Calanus est dictus. Hunc ferunt Alexandro imaginem regni proposuisse. Corium scilicet probe siccatum et aridum in medium proposuisse, ejusque extremum calcasse, eo factum ut hoc uno loco presso ceteræ partes se erigerent. Quumque per orbem circumiens et pedibus stringens in omni parte hoc evenire monstrasset, medio tandem corio institisse, ita omnes partes subsedisse. Indicavit autem hoc exemplo, medias maxime partes regni tenendas, neque procul aberrandum Alexandro.

LXVI. Enimvero septem menses impensi sunt isti per flumina in Oceanum subvectioni. Hinc navibus ingressus ad insulam venit, quam ipse Scillustin, ceteri Psiltucin nominarunt. Hic egressus sacra diis fecit, marisque ejus et oræ, quantum ejus fieri potuit, naturam contemplatus, deos precatus est, ne quis post ipsum homo fines istius expeditionis excederet. (2) Inde rediens classem ita Oceanum jussit circumvehi, uti Indiæ oram a dextra haberet, eique ducem Nearchum, gubernatorum principem Onesicritum præfecit. Ipse pedestri itinere per Oritas profectus in extremam difficultatem incidit, tantamque hominum multitudinem deperdidit, ut bellicarum copiarum ne quadrantem quidem ex India reduxerit. (3) Et quidem centum viginti peditum, ad quindecim equitum millia secum habuerat. Enimvero graves morbi, victus pravus, æstus in summa siccitate multos, plurimos fames perdidit, regionem incultam peragrantes hominum miseram vitam tolerantium et qui paucas tantum atque viles habebant oves, quarum ob marinorum piscium esum fœtida esset ciboque incommoda caro. Hanc quum sexaginta dierum spatio ægre transivisset, simul ut in Gedrosiam pervenit, commeatum a proximis satrapis et regibus affatim paratum invenit.

LXVII. Ibi refecto exercitu, septem diebus comessando per Carmaniam transiit. Ipsum cum sociis super machina in sublimi et insigni tabulato constructa noctes diesque potantem octo equi lento gressu portabant; sequebantur permulti currus, velis alii purpureis et picturatis, alii recentibus subinde et viridibus obumbrati frondibus, quibus reliqui socii et duces coronati et potantes vehebantur. (2) Parmam autem, galeam, aut sarissam nullam vidisses, sed universo itinere milites vinum ex cadis atque crateribus magnis haurientes pateris, scyphis ac thericleis, invicemque sibi quum in itinere faciendo, tum corporibus reclinatis ad-

μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. Πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον. Τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο [ταῖς φιάλαις] καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ καὶ συμπαραπέμποντος τὸν κῶμον. d (3) Ἐπεὶ δὲ ἧκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. Λέγεται δὲ μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δὲ ἐρώμενον Βαγώαν χορεύοντα νικῆσαι καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας κροτεῖν καὶ βοᾶν φιλῆσαι κελεύοντας, ἄχρι οὗ περιβαλὼν κατεφίλησεν.

LXVIII. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς e διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. Καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. (2) Ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη καὶ τὸ περὶ Μαλλοὺς τραῦμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρε καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐποίησε, καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. Ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι διείλοντο τὴν ἀρχήν, Ὀλυμπιὰς f μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. Καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. (3) Διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι 703 πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν, αὐτὸς δὲ καταβαίνων a ἐκόλαζε τοὺς πονηροὺς τῶν στρατηγῶν. Τῶν δὲ Ἀβουλήτου παίδων ἕνα μὲν Ὀξυάρτην αὐτὸς ἀπέκτεινε σαρίσσῃ διελάσας, Ἀβουλήτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. Ὡς δ' οὐκ ἐγεύοντο, φήσας « Τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς; » καθεῖρξε τὸν Ἀβουλήτην.

LXIX. Ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξίν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. Καὶ διὰ τοῦτό φασιν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδὲ ἅπαξ εἰς Πέρσας παραγενέσθαι διὰ μικρολογίαν ἀποξενώσαντα b τῆς πατρίδος ἑαυτόν. (2) Ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. Τὴν δὲ ἐπιγραφὴν ἀναγνοὺς ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. Εἶχε δὲ οὕτως· « Ὦ ἄνθρωπε, ὅστις εἶ καὶ ὅθεν ἥκεις, ὅτι

quietem propinantes. Omnia autem fistularum, tibiarum, carminum et cantilenarum sonitu, mulierumque bacchationibus perstrepebant et incompositum vagumque iter facientibus [inter pocula] subibat orgia Bacchi per lasciviam simulare, tanquam præsente et pompam eam ducente deo. (3) Postquam in regiam Gedrosiæ pervenit Alexander, iterum festos agens dies exercitum recreavit. Ferunt eum temulentum chororum certamina spectasse, Bagoam amasium ipsius choros ducentem victoria potitum, utque erat ornatus, medio theatro transisse et ad regem aggressum juxta consedisse. Macedones quum id cernerent, plausum dedisse, neque vociferandi ut eum rex oscularetur finem ante fecisse, quam Bagoæ amplexum is osculumque tulisset.

LXVIII. Huc ad eum quum pervenisset Nearchus, delectatus navigationis ejus narratione, statuit ipse magna cum classe secundo Euphrate in Oceanum develii, atque inde juxta Arabiam et Africam facta navigatione, per columnas Herculis in mare Mediterraneum intrare. Itaque apud Thapsacum omnis generis navigia compingi et undique nautæ gubernatoresque conduci cœpti. (2) At molestia expeditionis in superioribus provinciis susceptæ et vulnus in prœlio cum Mallis acceptum ingensque quæ ferebantur strages exercitus, ex ambigua de ejus salute nunciorum fide, subditos ad rebellionem pellexerat, ducibusque et satrapis multa injuste, insolenter atque ex cupiditatibus agendi ansam præbuerat, et jam undique res fluctuabant atque defectionem spectabant. Quando Olympias etiam et Cleopatra mota adversus Antipatrum seditione, ita inter se imperium partitæ erant, ut illa Epirum, hæc Macedoniam teneret. Qua re ad Alexandram perlata, rectius consuluisse sibi matrem dixit, quod Macedones mulieris regnum nequaquam essent perpessuri. (3) His motibus impulsus Nearchum rursus ad mare dimisit, consilio oram totam bellis implendi. Ipse ex superiori Asia degressus pœnas de malis præfectis sumpsit, Oxyartemque unum de Abuleti liberis sarissa confodit. Abuletus nihil rerum necessariarum apparaverat; tria millia modo talentorum pecuniæ ipsi attulerat. Alexander id argentum equis proponi jussit, quumque ii non gustarent: Quid ergo, inquit, nobis tuus apparatus prodest? Abuletumque in carcerem conjecit.

LXIX. In Persis primum pecuniam mulieribus distribuit. Nam mos regibus Persarum fuit, ut quoties in eam regionem venissent, aureum singulis Persarum mulieribus dividerent; ideoque ferunt quosdam reges raro, Ochum ne semel quidem venisse, sed ob tenacitatem voluntarium sibi a patria exsilium indixisse. (2) Deinde Cyri sepulcrum effossum offendens, auctorem facinoris Polymachum, minime quidem ignobilem hominem Pellaque oriundum, necavit. Inscriptionem quum legisset, Græcis quoque subscribi litteris jussit. Ejus hæc fuit sententia: « Quicunque ades morta-

μὲν γὰρ ἥξεις οἶδα, ἐγὼ Κῦρος εἰμὶ ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μὴ οὖν τῆς ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει.» Ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν ἐν νῷ λα- c βόντα τὴν ἀδηλότητα καὶ μεταβολήν. (3) Ὁ δὲ Καλανὸς ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι. Καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτήν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ καὶ τῶν τριχῶν ἀπαρξάμενος ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν Μακεδόνων καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως, αὐτὸν δὲ ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. Ταῦτα δ' εἰπὼν κατακλιθεὶς καὶ συγκαλυψάμενος οὐκ ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος, ἀλλ', ἐν ᾧ κατεκλίθη σχήματι τοῦτο διατηρῶν, ἐκαλλιέρησεν d ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. Τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς ἐν Ἀθήναις Καίσαρι συνὼν ἐποίησε· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον Ἰνδοῦ προσαγορευόμενον.

LXX. Ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα προὔθηκε καὶ στέφανον ἀκρατοποσίας. Ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος ἄχρι χοῶν τεσσάρων προῆλθε· καὶ λαβὼν τὸν νικητήριον στέφανον τάλαντον, ἡμέρας τρεῖς ἐπέζησε. Τῶν δὲ ἄλλων, ὥς Χάρης φησί, e τετταράκοντα καὶ εἷς ἀπέθανον πιόντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. (2) Τῶν δὲ ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα τὴν Δαρείου θυγατέρα Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον καλὸν ἑστιάσας, ἐν ᾧ φασιν ἐνναχισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι, τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γενομένου. (3) Ἐπεὶ δὲ Ἀντιγέ- f νης ὁ ἑτερόφθαλμος ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς καὶ παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν ἀπέτισε τὸ ἀργύριον, εἶτα ἐφωράθη ψευδόμενος, ὀργισθεὶς ὁ βασιλεὺς ἀπήλασε τῆς αὐλῆς αὐτὸν
704 καὶ παρείλετο τὴν ἡγεμονίαν. Ἦν δὲ λαμπρὸς ἐν τοῖς a πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὤν, Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμόν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος οὐδὲ ὑφήκατο πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. Οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. Καὶ τοῦτο δείσας ὁ βασιλεὺς ἀνῆκε τὴν ὀργὴν καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.

LXXI. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων καὶ τοῖς εἴδεσιν εὐπρεπῶν ἔτι δὲ b

lium, atque undecunque veneris, (venturum enim te scio,) Cyrus ego sum, qui Persicum regnum constitui. Ne igitur tantillum mihi telluris invideas, qua corpus meum obtegitur.» Hæc res animum Alexandri majorem in modum perturbavit, incertam rerum vicissitudinem reputantis. (3) Ibidem Calanus quum ex alvo modicum tempus laborasset, rogum sibi exstrui postulavit. Et ad hunc equo advectus, quum se certis precibus consecrasset, primitiasque crinium injecisset, ascendit, ac Macedones qui tum aderant salutans, hortatus est ut eam diem hilarem sumerent, ac cum rege compotarent, quem ipse paullo post Babylone esset visurus. Hæc locutus se reclinavit, vestibusque velavit, neque igne appropinquante se commovit, sed eo quo recubuerat habitu servato, more ejus regionis sophistarum antiquo se ipsum sacrificavit. Hoc idem multis interjectis annis Indus quidam Cæsaris assecla Athenis fecit, cujus hodie etiam ostenditur monumentum atque Indi sepulcrum dicitur.

LXX. Digressus a rogo Alexander, multis amicorum et ducum convocatis ad cœnam, certamen poculorum coronamque ei qui plurimum meri ebibisset, proposuit. Ejus victor Promachus usque ad quattuor choas processit, ac victoriæ præmium nactus talentum, tres dies supervixit. Reliquorum compotorum quadraginta unum mortuos testatur Chares, oborto post ebrietatem vehementi frigore. (2) Nuptias amicorum Susis celebrans atque ipse filiam Darii Statiram ducens, præstantissimas ceteris suorum præstantissimis conjunxit, ac Macedonibus qui jam ante nuptias peregerant, epulum sponsale egregium præbens (quum quidem novem hominum millibus ad cœnam invitatis, unicuilibet aurea patera ad libandum data est), quum in reliquis admirabili est usus magnificentia, tum æs alienum de suo ipse creditoribus dissolvit, cujus summa impensæ fuerunt novem millia talentorum et octingenta septuaginta talenta. (3) Antigenem vero luscum, quod is se debere mentitus fuisset et fictitium creditorem ad mensam adduxisset, cui pecuniam redderet, deprehensum imposturæ præ ira aula et imperio amovit. Præclarus rebus bellicis fuit is Antigenes, juvenisque adhuc, Philippo Perinthum oppugnante, quum sagitta catapulta acta oculum ictus esset, non ante passus fuit sibi telum a suis extrahi, quanquam instantibus, quam intra muros hostem vi repulisset. Itaque hanc ignominiam haud mediocriter ferenti, veritus ne se ipsum præ mœrore interficeret, rex gratiam delicti fecit, pecuniamque eam habere ipsum jussit.

LXXI. Quum autem triginta ista puerorum millia, quos exercendos Græcaque disciplina instituendos reliquerat, non corporum modo viribus et specie decora, sed et agili-

καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη, τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. Διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν οὐ τοιούτους παραλαβόντα. Πάντας οὖν ἐκέλευον ἀφιέναι καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυῤῥιχιστὰς, σὺν οἷς ἐπιὼν καταχτήσεται τὴν οἰκουμένην. (2) Πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχε καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, c ἀπελάσας δὲ τὰς φυλακὰς παρέδωκε Πέρσαις καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους, ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δὲ ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ διδόντες λόγον εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. (3) Τέλος δὲ συμφρονήσαντες ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. Ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. Οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προσεστῶτες καὶ d ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. Τῇ δὲ τρίτῃ προελθὼν καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους ἐδάκρυε πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια καὶ προσαγορεύσας φιλανθρώπως ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθέζοιντο. Τῶν δὲ τεθνηκότων τοὺς παῖδας ὀρφανοὺς ὄντας ἐμμίσθους ἐποίησεν.

LXXII. Ὡς δὲ ἧκεν εἰς Ἐκβάτανα τῆς Μηδίας καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ e πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς οὐ φέρων ἀκριβῆ δίαιταν, ἅμα τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον περὶ ἄριστον γενόμενος καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχε καὶ μικρὸν διαλιπὼν ἀπέθανε. (2) Τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε καὶ τῶν πέριξ πόλεων ἀφεῖλε τὰς ἐπάλξεις, τὸν δὲ ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν, αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν πᾶσαν ἐν τῷ στρατοπέδῳ f πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεία τιμᾶν Ἡφαιστίωνα καὶ θύειν ὡς ἥρωι παρακελεύουσα. Τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος ὥσπερ ἐπὶ θήραν καὶ κυνηγεσίαν ἀνθρώπων ἐξῆλθε καὶ τὸ Κοσσαίων ἔθνος κατεστρέφετο πάντας ἡβηδὸν ἀποσφάττων.
705 Τοῦτο δὲ Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. (3) Τύμ- a βον δὲ καὶ ταφὴν αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ

tate in exercitationibus ac velocitate admirabili uti videret, non levem cepit voluptatem, Macedonibus autem ea res tristitiam attulit atque sollicitudinem, ne in minori propterea apud regem essent pretio. Itaque quum is imbecillos Macedonum et membris mutilatos ad navigationem dimitteret, contumeliam esse et circumscribi se reliqui dixerunt, quod eos homines, quorum in omnibus negotiis abusus esset corporibus, ignominiose nunc deponeret, patriisque et parentibus non quales accepisset redderet. Quin universos potius Macedonas, veluti inutiles, dimitteret, ac cum juvenibus istis tripudiare in armis callentibus subigere mundum pergeret. (2) Hæc stomachum Alexandro moverunt gravibusque eos conviciis increpatos repulit, custodias Persis mandavit atque ex iis lictores et stipatores constituit. Macedones quum ab iis regem deduci, se cum dedecore esse rejectos viderent, animos demiserunt, collocutique mutuo senserunt præ ira se et æmulatione prope insanire. (3) Tandem ad se reversi unanimes ad tentorium regis accesserunt, inermes, unicaque singuli tunica amicti, ac cum clamore et ejulatu se regi dediderunt, statuendique de ipsis ut malis ingratisque potestatem detulerunt. Alexander tametsi mitigatus, non admisit eos tamen, toto biduo totidemque noctibus continenter astantes, dominumque eum suum lugubriter invocantes. Tertia die progressus, quum miserabilem eorum et abjectum gestum videret, aliquamdiu illacrimavit; inde mediocriter verbis castigatos humaniter compellavit, militiæque inutiles magnifice donatos dimisit, Antipatro etiam scribens, omnibus certaminibus ac spectaculis præcipuum eis in theatro locum assignare, coronatosque sedere jussit. Defunctorum etiam pupillis stipendia decrevit.

LXXII. Postquam Ecbatana Mediæ pervenit, negotiis necessariis confectis, theatro iterum et ludis vacavit, quam ad rem tria artificum millia ex Græcia ei missa venerant. Forte tum iisdem diebus Hephæstio quum febricitaret, accuratam dietam, homo scilicet juvenis et bellis assuetus, non ferens, Glauco medico ad theatrum digresso, prandens gallum assatum devoravit, et ingens poculum vino plenum exhausit; quo facto deterius habuit, neque multo post decessit. (2) Hunc casum immodice tulit Alexander. Illico luctus causa omnium equorum mulorumque jubas totondit et circumjacentibus urbibus propugnacula ademit, miserum illum medicum in crucem sustulit, atque in castris tantisper tibiarum usum omnemque musicam inhibuit, dum ab Ammone oraculum allatum Hephæstioni honores et sacrificia tanquam heroi fieri jussit. Bello etiam ad leniendum dolorem usus, veluti ad hominum venationem exivit, Cossæamque gentem subegit, omnemque occidione occidit. Hæc justa Hephæstionis dicta sunt. (3) Porro autem decem millia talentorum in tumulum ejus at-

μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε μάλιστα τῶν τεχνιτῶν Στασικράτην μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. Οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν ἔφη τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέστατον ἐξεργάσασθαι τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ b περιλαμβάνοντα μυρίανδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀποῤῥέοντος. Ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δὲ ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.

LXXIII. Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ, Νέαρχος (ἀφίκετο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. Ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος ὁρᾷ κόρακας πολλοὺς διαφερομένους καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέ- c πεσον παρ' αὐτόν. (2) Ἔπειτα μηνύσεως γενομένης κατὰ Ἀπολλοδώρου τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν. Οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον· φήσαντος δὲ, ὅτι τὸ ἧπαρ ἦν ἄλοβον, « Παπαὶ, εἶπεν, ἰσχυρὸν τὸ σημεῖον. » (3) Καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν, ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. Ἠνώχλει δ' αὐτὸν σημεῖα πολλά. Καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. Ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα καὶ d σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι συσφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. Οὗτος ἀνακρινόμενος, ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δὲ εἶναι τὸ γένος· ἔκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης πολὺν γεγονέναι χρόνον ἐν δεσμοῖς· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι καὶ προαγαγεῖν δεῦρο καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιω- e πᾶν.

LXXIV. Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη καὶ πρὸς τοὺς φίλους ὕποπτος. Μάλιστα δὲ Ἀντίπατρον ἐφοβεῖτο καὶ τοὺς παῖδας, ὧν Ἰόλας μὲν ἀρχιοινοχόος ἦν, ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστὶ, θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐγέλασε προπετέστερον. Ὁ δὲ Ἀλέξανδρος ὠργίσθη καὶ δραξάμενος

que exsequias impendere quum animum induxisset, artificio autem et ornatu apparatus impendium superare, maxime omnium artificum Stasicratem requisivit, cujus in magnificentia et novitate insolenti tentanda audaciam cognitam habebat. Quippe is ante etiam cum Alexandro congresus affirmaverat omnium montium Athon Thraciæ aptissimum esse, qui in statuæ humanæ formam fingeretur; itaque si juberet sibi stabilissimum et illustrissimum fabricari ex illo monte monumentum, se ita Athon efformaturum, uti sinistra manu urbem populosam contineret, dextra autem amnis in mare decurrentis copiosam aquam funderet. Quod quum Alexander tunc repudiasset, isto tempore multo absurdiora et sumptuosiora adhibitis artificibus instituebat atque machinabatur.

LXXIII. Quum ad Babylonem procederet, Nearchus (is enim rursus ab Oceano per Euphraten subvectus redierat) retulit, quosdam Chaldæos ad se venisse, qui regem Alexandrum monere juberent, ut Babylonem vitaret. Verum Alexander neglecta ea admonitione quum ad muros urbis jam accessisset, corvorum turbam vidit mutuo concertantium, seque invicem rostris ferientium, ita ut nonnulli juxta ipsum deciderent. (2) Indicio etiam delato, Apollodorum Babylonis præfectum de ipso exta consuluisse, Pythagoram haruspicem vocavit. Neque is factum infitiatus est, et interrogatus qualia fuissent exta, jecur sine capite apparuisse dixit, et Alexander, Papæ, inquit, grave hoc ostentum! Pythagoramque illæsum dimisit. (3) Interim graviter ferens quod Nearcho non obtemperasset, plerumque extra Babylonem se continuit et circumnavigando Euphrate tempus traxit, multis eum prodigiis terrentibus. Etenim leonum qui alebantur maximum ac pulcherrimum asinus cicur aggressus calce impacta occiderat. Quum ipse unguendi causa vestibus se nudasset et pila luderet, adolescentes qui una ludebant, quum jam vestes essent recipiendæ, hominem conspiciunt in solio sedentem, tacitum, amictuque et diademate regio indutum. Is interrogatus, quisnam esset, aliquamdiu vocem nullam edidit; vix tandem animo recepto, Dionysium se vocari respondit, genere Messenium esse, mari huc advectum criminis cujusdam causa, diu in vinculis habitum fuisse; modo Serapin ei astitisse, vincula solvisse, huc produxisse et mandasse, ut diademate et amictu regio sumpto tacitus ibi sederet.

LXXIV. Hoc ut audivit Alexander, istum quidem hominem jussu vatum e medio sustulit; ipse animo æger, minus jam diis fidere, de amicis sinistra suspicari, præcipue autem ab Antipatro et ejus filiis sibi metuere. Ex his Iolas pincernarum princeps erat, Cassander recens eo advenerat. Hic quum barbaros quosdam genua coram rege flectere cerneret, Græco nimirum more educatus, ac qui nihil tale prius vidisset, liberius risit. Alexander autem iratus, cri-

αὐτοῦ τῶν τριχῶν σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον. (2) Αὖθις δὲ πρὸς τοὺς f κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων, « Τί λέγεις; ἔφη, τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν; » Φήσαντος δὲ τοῦ Κασάνδρου τοῦτο αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν
706 ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος, « Ταῦτα ἐκεῖνα, a ἔφη, σοφίσματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τῶν λόγων οἰμωξομένων, ἂν καὶ μικρὸν ἀδικοῦντες τοὺς ἀνθρώπους φανῆτε. » (3) Τὸ δὲ ὅλον οὕτω φασὶ δεινὸν ἐνδῦναι καὶ δευσοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος, ὥστε ὕστερον χρόνοις πολλοῖς ἤδη Μακεδόνων βασιλεύοντα καὶ κρατοῦντα τῆς Ἑλλάδος ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα φρῖξαι καὶ κραδανθῆναι τὸ σῶμα καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.

LXXV. Ὁ δ' οὖν Ἀλέξανδρος ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διά- b νοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων μεστὸν ἦν τὸ βασίλειον. Οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα καὶ καταφρόνησις αὐτῶν, δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον ** καὶ ἀναπληροῦν ἀβελτηρίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. (2) Οὐ μὴν ἀλλὰ καὶ χρησμῶν τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κομισθέντων, ἀποθέμενος τὸ πένθος αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. Ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει μέλλων καθεύδειν, Μηδίου δεηθέντος ᾤχετο κωμασόμενος πρὸς αὐ- c τόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον ὥσπερ λόγχῃ πεπληγώς, ἀλλὰ ταῦτά τινες ᾤοντο δεῖν γράφειν ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιάσαι καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.

LXXVI. Ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται τὰ περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς d ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέξαι. Τῇ δὲ ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. Εἶτ' ὀψὲ λουσάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς ἐμφαγὼν διὰ νυκτὸς ἐπύρεξε. Τῇ εἰκάδι λουσάμενος πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. Τῇ δεκάτῃ φθίνοντος ταὐτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη καὶ τὴν νύκτα βαρέως ἔσχε καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα. Καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν, ὅτε δὴ τοῖς e ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων,

nibus utraque manu arrepti caput parieti allisit. (2) Iterum adversus Antipatri accusatores dicere aliquid cupientem Cassandrum rejiciens : Quid dicis? inquit; hosne homines nulla affectos injuria calumniandi modo causa tantum iter fecisse? Quumque Cassander hoc ipsum calumniarum indicium responderet esse, quod tam procul ab iis unde possent redargui recessissent, risu sublato Alexander : Hæ, ait, illæ Aristotelis sunt argutiæ, sed plorabitis uterque, si vel levi quenquam affeceritis injuria. (3) Omnino autem gravis Alexandri metus animo Cassandri penitusque insedit, adeo ut multo post tempore, quum jam Macedonibus imperaret Græciamque sua in potestate haberet, Delphis ambulans statuasque spectans, visa forte Alexandri imagine subito perculsus toto horruerit tremueritque corpore, eaque ad illius imaginis conspectum orta animi æstuatio vix sedari potuerit.

LXXV. Ceterum Alexander postquam semel animus religione obstrictus fuit timore atque perturbatione discruciatus, etiam levissima quæque et a communi consuetudine utcunque aliena in prodigium traxit; itaque sacrificantium, expiantium, vaticinantium plena erat regia. Etenim ut perniciosa est incredulitas et contemptus signorum divinitus oblatorum, ita superstitio etiam noxia est, quæ tum aquæ instar ad subsidentia delabentis, animum Alexandri trepidum stolida timiditate complebat. (2) Enimvero oraculis de Hephæstione allatis finito luctu, rursum sacrificiis et compotationibus se dedit. Quum autem splendido convivio Nearchum accepisset, ac pro more suo a cœna lotus cubitum ire vellet, a Medio exoratus est, ut ad eum comessatum iret; ibi quum insequentem diem totum potando exegisset, febricitare cœpit. Quæ enim de epoto Herculis scypho, utque repente tanto correptus sit dolore ac si hasta dorsum esset transverberatus, a nonnullis scribuntur, ea ficta sunt ab iis, qui grandi veluti fabulæ exitum tragicum et miserabilem attexendum putaverunt. Aristobulus eum febri sæva laborantem, quum vehementer sitiret, vinum bibisse scribit, inde in phrenesin incidisse ac mortuum postrema Dæsii mensis die.

LXXVI. De morbo ejus ita est in diariis perscriptum : octavo decimo Dæsii die dormiit in balneo propter febrim, postridie in cubiculum rediit et cum Medio talis ludendo diem consumpsit; vesperi quum lavisset et diis sacra fecisset, sumpto avidius cibo nocte febricitavit. Vicesimo ejus mensis die lavit, iterum diis solitum sacrificium peregit, inque balneo recumbens, Nearcho navigationem suam et de Oceano narranti vacavit. Vicesimo primo die cum idem fecisset, aucto æstu noctem duriter egit. Postridie vehementi febre laboravit, transportatusque ad magnum natatorium, cum ducibus collocutus est de constituendis iis quæ

ὅπως καταστήσωσι δοκιμάσαντες. Ἑβδόμῃ σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά· τῶν δὲ ἡγεμόνων ἐκέλευσε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. Εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς τῇ ἕκτῃ μικρὸν ὕπνωσεν, ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. Ἐπελθόντων δὲ τῶν ἡγεμόνων ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην, διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο· καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν f τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. Ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες ἠρώτων, εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε. Τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.

LXXVII. Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. Φαρμακείας δὲ ὑποψίαν 707 παραυτίκα μὲν οὐδεὶς ἔσχεν, ἕκτῳ δὲ ἔτει φασὶ μηνύσεως a γενομένης τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρῖψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. Οἱ δὲ Ἀριστοτέλην φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γεγενῆσθαι τῆς πράξεως καὶ ὅλως δι' ἐκείνου πορισθῆναι τὸ φάρμακον Ἁγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα· τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνάκριδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγεῖον στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. (2) Οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· b καὶ τεκμήριον αὐτοῖς ἐστιν οὐ μικρόν, ὅτι τῶν ἡγεμόνων στασιασάντων ἐφ' ἡμέρας πολλὰς ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον· ἀλλ' ἔμεινε καθαρὸν καὶ πρόσφατον. (3) Ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι, δυσζήλως δὲ ἔχουσα πρὸς τὴν Στάτειραν ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. Ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ τὸν Ἀρριδαῖον ὥσπερ δορυφόρημα τῆς c βασιλείας ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς Φιλίννης, ἀτελῆ δὲ τὸ φρονεῖν ὄντα διὰ σώματος νόσον οὐ φύσει προσπεσοῦσαν οὐδὲ αὐτομάτως, ἀλλὰ καὶ πάνυ φασὶ παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος καὶ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

vacarent præfectis provinciis. Vicesimo quarto vehementer febricitans, ad rem sacram faciendam deportatus est, summosque duces in aula agere, centuriones et quingenorum præfectos foris pernoctare jussit. Translatus in ulteriorem regiam vicesimo quinto die aliquantulum dormiit, febri nihil remittente; quumque ad eum duces accessissent, vocem nullam edidit. Idem vicesimo sexto accidit. Itaque Macedonibus obiisse visus fuit et ad fores aggressi, magno clamore ac minis ab amicis regiis obtinuerunt, ut ostiis apertis singuli tunicati juxta lectum regis transirent. Eadem die Pytho et Seleucus ad oraculum Serapidis missi quæsiverunt, eone deferendus esset Alexander; relinqui eum in quo esset loco deus jussit. Vicesimo octavo mensis die vita excessit.

LXXVII. Hæc fere ita ad verbum in diariis habentur. Veneni suspicio tunc quidem nemini incidit. Sexto post anno, uti traditum est, Olympias, re per indicium comperta, multos occidit, Iolæque ante defuncti reliquias dissipavit, quod is venenum miscuisset. Qui Aristotelis consilio Antipatrum rem eam egisse aiunt, atque illius omnino opera venenum allatum, Hagnothemin quendam, qui ex rege Antigono audivisset, narrasse tradunt; venenum autem fuisse aquam gelidissimam, ex rupe quadam Nonacridis sumptam veluti rorem tenuem et in asini ungula repositam, quod nullo alio vase contineri posset, verum sua frigiditate et acrimonia omnia perrumperet. (2) Plerique totam veneficii narrationem confictam existimant. Quibus haud leve testimonium perhibetur eo, quod principibus per multos dies de summa rerum contendentibus, interim cadaver Alexandri insepultum jacens in æstuoso loco, nullum tamen hujusmodi corruptionis signum habuit, sed purum atque veluti recens permansit. (3) Roxane autem uterum tunc ferebat, ideoque in honore a Macedonibus habebatur. Ea studio æmulationis incensa Statiram cum sorore fictis litteris evocavit, ambasque occidit et earum cadavera in puteum abjecit atque obruit, conscio et adjuvante Perdicca. Is enim statim magnam est adeptus potentiam, Arridæum veluti regni obtinendi satellitium sibi adjungens. Fuit is Arridæus Philippo et ignobili scorto Philinna prognatus, mentis non plane compos, quod corporis morbo ei eveniebat. Verum is morbus non naturæ vitio aut casu aliquo accidisse, quinimo in puero eo satis bona atque ingenua indoles apparuisse dicitur, sed postmodo venenis ab Olympiade corruptus, sanæ mentis jacturam fecisse.

Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

Τὴν Κίννα τοῦ μοναρχήσαντος θυγατέρα Κορνηλίαν, d ὡς ἐπεκράτησε Σύλλας, οὔτε ἐλπίσιν οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. Αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλίᾳ γὰρ, πατρὸς ἀδελφῇ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγε- e γόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. Ὡς δὲ ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι' ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐχ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην εἰς τὸν δῆμον προῆλθεν οὔπω πάνυ μειράκιον ὢν, ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασε, περὶ δὲ ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων, ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσι. (2) Ταύτης τῆς φωνῆς ἀνενεχθείσης πρὸς Καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν Σαβίνοις ἔκλεπτεν ἑαυτόν· ἔπειτα f δι' ἀῤῥωστίαν εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. Ὧν τὸν ἡγεμόνα Κορνήλιον πείσας δυσὶ ταλάντοις ἀφείθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδην τὸν βασιλέα.
708 Παρ' ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτα ἀποπλέων a ἁλίσκεται περὶ τὴν Φαρμακοῦσαν νῆσον ὑπὸ πειρατῶν ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατταν.

II. Πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ' αὐτῶν λύτρα εἴκοσι τάλαντα, κατεγέλασεν ὡς οὐκ εἰδότων ὃν ᾑρήκοιεν, αὐτὸς δὲ ὡμολόγησε πεντήκοντα δώσειν· ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν ἐπὶ τὸν τῶν χρημάτων πορισμὸν, ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξι μεθ' ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν ἀπολελειμμένος οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων ὁσάκις ἀναπαύοιτο προσέταττεν αὐτοῖς σιωπᾶν. Ἡμέραις δὲ b τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνεγυμνάζετο. Καὶ ποιήματα γράφων καὶ λόγους τινὰς ἀκροαταῖς ἐκείνοις ἐχρῆτο καὶ τοὺς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει καὶ σὺν γέλωτι πολλάκις ἠπείλησε κρεμᾶν αὐτούς. Οἱ δὲ ἔχαιρον ἀφελείᾳ τινὶ καὶ παιδιᾷ τὴν παῤῥησίαν ταύτην νέμοντες. (2) Ὡς δὲ ἧκον ἐκ Μιλήτου τὰ λύτρα καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ Μιλησίων λιμένος ἐπὶ τοὺς λῃστὰς ἀνήγετο καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχοῦντας ἐκράτησε τῶν πλείστων. c Καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τοὺς δὲ ἄνδρας ἐν Περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰούνιον, ὡς ἐκείνῳ προσῆκον ὄντι στρατηγῷ κολάσαι τοὺς ἑαλω-

CAIUS JULIUS CÆSAR.

Cinnæ summa rerum Romanarum potiti filiam Corneliam Sylla victor quum nec pollicitationibus nec minis a Cæsare divellere posset, dotem ejus publicavit. Causa autem Cæsari inimicitiarum cum Sylla fuit Marii propinquitas. Nam Julia, patris Cæsaris soror, uxor Marii senioris, mater junioris fuit, Cæsaris consobrini. Cæsar vero quum initio præ multitudine cædium et negotiorum a Sylla se præteritum non contentus, sacerdotii insuper petendi causa in publicum procederet, nondum plane adolescens, Sylla resistente repulsam tulit. Idem de cæde ejus deliberans, quibusdam dicentibus absurdum fore, si talem puerum occideret, stupidos esse respondit, si non in isto puero multos conspicerent Marios. (2) Cæsar autem de hoc dicto certior factus, diu in Sabinis oberrans neci se subtraxit. Deinde ob valetudinem in aliam domum translatus, noctu in Syllanos milites incidit, qui loca ista perscrutabantur et latentes ibi comprehendebant. Horum duci Cornelio duobus datis talentis, dimissus est, statimque ad mare profectus, in Bithyniam ad regem Nicomedem navigavit. Neque diu apud eum commoratus quum inde aveheretur, apud Pharmacusam insulam a piratis captus est, jam tum magnis classibus et innumeris navigiis mare obtinentibus.

II. Ab his primum viginti talentis dimissionem redimere jussus, derisit eos, quod nescirent quem cepissent; ultroque daturum se quinquaginta promisit. Deinde suis in diversas urbes ad cogendam pecuniam dimissis, quum inter hominum generis immanissimum Cilicas solus ipse cum uno amico et duobus famulis ageret, ita eos sprevit, ut quoties requieti se dedisset, mitteret qui eos tacere juberent. Ita per duodequadraginta dies quasi non captus teneretur ab iis, sed stiparetur, summa securitate collusit ipsis et una exercitationibus vacavit. Carmina etiam et orationes quasdam quum scripsisset, iis recitabat, et qui non laudassent, eos palam barbaros rudesque appellabat, ac sæpe per risum minabatur, se eos in crucem acturum, gaudentes ea dicendi libertate et simplicitati ac joco imputantes. (2) Allatis a Mileto pecuniis quum satis fecisset piratis essetque dimissus, statim navibus instructis adversum eos ex portu Milesiorum est profectus, et stationem adhuc apud insulam habentes nactus, plerosque cepit. Itaque pecunia prædæ cessit, piratas Pergami in custodiam dedit, et ad præfectum Asiæ Junium abiit, quod illius, utpote prætoris, esset de ca-

κότας. Ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος (ἦν γὰρ οὐκ ὀλίγα) καὶ περὶ τῶν αἰχμαλώτων σκέψεσθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ Καῖσαρ εἰς Πέργαμον ᾤχετο καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

III. Ἐκ δὲ τούτου τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης d καὶ τῶν οἴκοι καλούντων αὐτὸν, ἔπλευσεν εἰς Ῥόδον ἐπὶ σχολὴν πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. (2) Λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον, ἀσχοληθεὶς ἀφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο τῆς ἐν τῷ λέγειν δεινότητος ὑπὸ στρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. Αὐτὸς δ' οὖν ὕστερον ἐν τῇ e πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ παραιτεῖται μὴ στρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος.

IV. Ἐπανελθὼν δ' εἰς Ῥώμην Δολοβέλλαν ἔκρινε κακώσεως ἐπαρχίας, καὶ πολλαὶ τῶν ἀπὸ τῆς Ἑλλάδος πόλεων μαρτυρίας αὐτῷ παρέσχον. Ὁ μὲν οὖν Δολοβέλλας ἀπέφυγε τὴν δίκην. Ὁ δὲ Καῖσαρ ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκούσῃ δωροδοκίας ἐπὶ Λουκούλλου f τοῦ Μάρκου Μακεδονίας στρατηγοῦ. Καὶ τοσοῦτον ἴσχυσεν, ὥστε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους, σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. (2) Ἐν δὲ Ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπε, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικοῦ παρ' ἡλικίαν ὄντος. Ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τρα-
709 πέζης καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος a αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. (3) Ἣν τὸ πρῶτον οἱ φθονοῦντες οἰόμενοι ταχὺ τῶν ἀναλωμάτων ἐπιλιπόντων ἐξίτηλον ἔσεσθαι, περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δὲ ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολὴν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος ἡγητέον μικρὰν, ὅπου ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχὲς ἐκ τοῦ καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν. (4) Ὁ γοῦν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας ὥσπερ θα- b λάττης τὰ διαγελῶντα καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν Κικέρων ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾶν διάνοιαν. « Ἀλλ' ὅταν, ἔφη, τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω κἀκεῖνον ἑνὶ δακτύλῳ κνώμενον, οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν ἂν ἐμβαλέσθαι τη-

ptivis supplicium sumere. Verum quum is pecuniæ intentus (erat enim haud parva) per otium se de captivis deliberaturum respondisset, valere eo jusso, Cæsar Pergamum rediit, productosque in medium universos piratas in crucem egit, quod illis sæpe in insula jocans, ut videbatur, prædixerat.

III. Secundum hæc Syllæ potentia jam languescente, a suis in patriam revocatus, Rhodum navigavit ad Apollonium Molonis filium, quem et Cicero audivit, insignem rhetorem et honestorum morum. (2) Fertur ad civiles orationes Cæsar et natura aptissimus fuisse et plurimum in ea re operæ posuisse, ut haud dubie secundum laudis locum tenuerit, primo autem renuntiavit, ut potentia et armis potius primus esset omnium, quandoquidem propter bellicarum et civilium rerum tractationem, quibus rempublicam in suam redegit potestatem, non eo pervenit eloquentiæ, quo naturalis eum indoles perduxisset. Ipse quidem postea in oratione qua laudationi Catonis Ciceronianæ respondit, precatus est ne militaris sermo cum oratoris ingeniosi et qui multum otii dicendo impendisset, eloquentia compararetur.

IV. Romam reversus, Dolabellam repetundarum postulavit, multarum Græcarum civitatum testimoniis adjutus. Absolutus tamen est Dolabella. Cæsar, ut gratiam Græcis referret, causam eorum egit P. Antonium captorum munerum accusantium apud M. Lucullum Macedoniæ prætorem. Ac tantum valuit ejus oratio, ut Antonius, prætendens sibi in Græcia contra Græcos iniquum esse certamen, ad tribunos plebis provocaverit. (2) Ceterum Romæ Cæsar quum reis defendendis gratiosum se reddidit, tum congressibus et colloquiis comibus magnam sibi plebis benevolentiam paravit, ultra quam ætas ipsius ferret officiosus. Simul et conviviorum ac cœnarum et vitæ splendore paulatim potentia ipsius augebatur, suo tempore in republica valitura. (3) Quam initio æmuli eo neglexerunt apud vulgus efflorescentem, quod sumptibus deficientibus fore ut statim evanesceret putabant; sero admodum errorem suum animadverterunt, quum ea grandis jam et inexpugnabilis non occulte jam ad mutationem reipublicæ spectaret; adeo nullius rei initium parvum est putandum, quandoquidem id assiduitate illico magna incrementa facere potest, quum quidem eo quod neglectui sit et contemptui habitum, absque ullo impedimento augescat. (4) Sane qui primus videtur ejus institutum suspectum habuisse, veluti maris falso blandientem tranquillitatem, latentemque sub humanitatis et hilaritatis specie calliditatem deprehendisse, Cicero dicebat se in omnibus ejus conatibus atque consiliis tyrannicum propositum inesse perspexisse, sed quum eum comam ita accurate composuisse et uno digito caput scabere videret, non potuisse sibi persuadere eum hominem tantum

λικοῦτο κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πολιτείας.» Ταῦτα μὲν οὖν ὕστερον.

V. Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς c αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς Γάϊον Ποπίλιον ἐρίσας ὑπὲρ χιλιαρχίας πρότερος ἀνηγορεύθη· δευτέραν δὲ καὶ καταφανεστέραν ὅτε, τῆς Μαρίου γυναικὸς Ἰουλίας ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθε καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίου προθέσθαι τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. Ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ Καίσαρος, ὁ δῆμος ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδου διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίου τιμὰς εἰς τὴν πόλιν. (2) Τὸ μὲν d οὖν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι πάτριον ἦν Ῥωμαίοις, νέαις δὲ οὐκ ὂν ἐν ἔθει πρῶτος εἶπε Καῖσαρ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς ἀποθανούσης· καὶ τοῦτο ἤνεγκεν αὐτῷ χάριν τινὰ καὶ συνεδημαγώγησε τῷ πάθει τοὺς πολλοὺς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾶν. (3) Θάψας δὲ τὴν γυναῖκα ταμίας εἰς Ἰβηρίαν ἑνὶ τῶν στρατηγῶν Βέτερι συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσε καὶ τὸν υἱὸν αὐτοῦ πάλιν αὐτὸς ἄρχων ταμίαν ἐποίησε. Γενόμενος δὲ ἀπὸ τῆς ἀρχῆς ἐκείνης τρίτην ἠγάγετο γυναῖκα Πομπηΐαν, ἔχων ἐκ Κορνηλίας θυγατέρα τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ e γαμηθεῖσαν. (4) Χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνούμενος δὲ ταῖς ἀληθείαις τὰ μέγιστα μικρῶν, λέγεται πρὶν εἰς ἀρχήν τινα καθίστασθαι χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. Ἐπεὶ δὲ τοῦτο μὲν ὁδοῦ τῆς Ἀππίας ἀποδειχθεὶς ἐπιμελητὴς πάμπολλα χρήματα προσανάλωσε τῶν ἑαυτοῦ, τοῦτο δὲ ἀγορανομῶν ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχε καὶ ταῖς ἄλλαις περὶ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις f καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας, οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχὰς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς αὐτὸν ἀμείψαιντο.

VI. Δυεῖν δὲ οὐσῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα μέγα δυναμένης, τῆς δὲ Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διέσπαστο κομιδῇ ταπεινὰ πράττουσα, ταύτην ἀναῤῥῶσαι καὶ προαγαγέσθαι βουλόμενος ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις εἰκόνας ἐποιήσατο Μαρίου κρύφα καὶ Νίκας τροπαιοφόρους,
710 ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον ἀνέστησεν. Ἅμα a δὲ ἡμέρᾳ τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλου δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα), θάμβος ἔσχε τῆς τόλμης τοῦ ἀναθέντος (οὐ γὰρ ἦν ἄδηλος), ταχὺ δὲ περιιὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. (2) Ἀλλ' οἱ μὲν ἐβόων τυραννίδα πολιτεύεσθαι Καίσαρα νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλαττόμενον, εἰ τετιθάσευται ταῖς φιλοτιμίαις

facinus animo conceptorum, ut rempublicam Romanam evertere aggrederetur. Sed hæc post.

V. Primum popularis benevolentiæ erga ipsum documentum exstitit, quod in ambitione tribunatus militaris C. Popilio est prælatus; alterum et illustrius, quum Juliæ Marii uxoris, amitæ suæ, defunctæ laudationem funebrem in foro peroravit, et imagines Marii in funere ducere ausus est, tunc primum a Syllæ dominatu visas, a quo Marius cum suis hostes reipublicæ fuerant judicati. Tunc enim quibusdam obstrepentibus Cæsari, populus factum ejus læto clamore et applausu approbavit, gaudens longo post tempore et quasi ab inferis eum honores Marii in urbem reduxisse. (2) Enimvero ætate provectiores mulieres in funere laudare, moris antiqui apud Romanos fuit: primus Cæsar uxorem suam, quum juniores laudari non esset receptum, mortuam oratione funebri decoravit: quo facto animos multitudinis sibi favore obstrinxit, ut tanquam mansuetum placidissimisque moribus virum amarent. (3) A morte mulieris quæstor cum prætore Vetere profectus est in Hispaniam, quem et coluit summa constantia et ipse prætor factus filium ejus quæstorem fecit. Eo defunctus magistratu, tertiam duxit conjugem Pompeiam, quum haberet ex Cornelia filiam, quæ postea Pompeio Magno nupsit. (4) Ceterum ingentes sumptus faciens, creditusque brevem et unius dieculæ gloriam maximis parare impendiis, quum re vera minimis maxima emeret, fertur priusquam magistratum aliquem iniret, mille trecenta talenta æris alieni conflasse. Quum vero insuper viæ Appiæ procurator constitutus, magnam a se pecuniam impendisset et ædilis viginti et trecenta gladiatorum paria exhibuisset, ceterisque in theatra, pompas et cœnas impensis omnem priorem magnificentiam superasset, tantum erga se favorem populi concitavit, ut certatim novos magistratus, novos honores quærerent, quibus delatis ei gratias referrent.

VI. Duæ eo tempore factiones Romæ erant, Syllana altera, tum vigens, altera Mariana, humilis tum et dissipata atque fracta. Hanc Cæsar erigere et provehere cupiens, munificentia ædilitia ad summum producta, occulte imagines Marii et Victorias tropæa ferentes noctu in Capitolio posuit, auro radiantia, arteque summa elaborata, quorum inscriptiones Cimbricas victorias indicarent. Quæ facta die quum essent conspecta, mirati sunt homines audaciam ejus qui ea posuisset: nec enim is latebat. Statim rumore vulgato universi Romani ad spectaculum concurrerunt. (2) Ibi alii clamare, Cæsarem tyrannidem moliri, qui legibus et senatusconsultis abolitos honores restitueret; periculum eum facere jam de animis populi, eosque præmollire et explorare, num hujusmodi donis sint mancipati ipsumque

ὑπ' αὐτοῦ καὶ δίδωσι παίζειν τοιαῦτα καὶ καινοτομεῖν. Οἱ δὲ Μαριανοὶ παραθαῤῥύναντες ἀλλήλους πλήθει τε b θαυμαστοὶ ὅσοι διεφάνησαν ἐξαίφνης καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον· πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίου θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίου συγγενείας. (3) Συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς, Κάτλος Λουτάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα Ῥωμαίων, ἀναστὰς καὶ κατηγορήσας Καίσαρος ἐπεφθέγξατο τὸ μνημονευόμενον· « Οὐκέτι γὰρ ὑπονόμοις, ἔφη, Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν. » Ἐπεὶ δὲ ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν καὶ παρεκελεύοντο μη- c δενὶ τοῦ φρονήματος ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

VII. Ἐν δὲ τούτῳ καὶ Μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν Ἰσαυρικοῦ καὶ Κάτλου μετιόντων, ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. Ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης, ὁ Κάτλος ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀῤῥωδῶν τὴν ἀδηλότητα προσέπεμψε πείθων ἀποστῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. Ὁ δὲ καὶ πλείω d προσδανεισάμενος ἔφη διαγωνιεῖσθαι. Τῆς δ' ἡμέρας ἐνστάσης καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης, ἀσπασάμενος αὐτήν, « Ὦ μῆτερ, εἶπεν, τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν ἢ φυγάδα ὄψει. » Διενεχθείσης δὲ τῆς ψήφου καὶ γενομένης ἁμίλλης, ἐκράτησε καὶ παρέσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. (2) Ὅθεν οἱ περὶ Πείσωνα καὶ Κάτλον ᾐτιῶντο Κικέρωνα φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. Ὁ γὰρ δὴ Κατιλίνας οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν e καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς αὐτὸς μὲν ἐξέπεσε περιπταίσας ἐλάττοσιν ἐλέγχοις πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι, Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχους ἀπέλιπε τῆς συνωμοσίας, οἷς εἰ μὲν κρύφα παρεῖχέ τι θάρσους καὶ δυνάμεως ὁ Καῖσαρ, ἄδηλόν ἐστιν, ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων καὶ Κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαστον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατοῦν ἐκέλευον, ὁ δὲ Καῖσαρ ἀναστὰς λόγον διῆλθε πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρί- f τους ἄνδρας ἀξιώματι καὶ γένει λαμπροὺς οὐ δοκεῖ πάτριον οὐδὲ δίκαιον εἶναι, μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης, εἰ δὲ φρουροῖντο δεθέντες ἐν πόλεσι τῆς Ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρι οὗ καταπολεμηθῇ Κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι παρέξει.

711 VIII. Οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης a καὶ τοῦ λόγου δυνατῶς ἐπ' αὐτῇ ῥηθέντος, οὐ μόνον οἱ

rebus hujusmodi ludere et nova affectare patiatur. At Mariani subito ingenti multitudine exsistere, dictis Cæsarem confirmare, plausu Capitolium implere; multi conspecta Marii imagine præ gaudio illacrimare, Cæsar in oculis eorum esse, magnisque laudibus tolli ac solus Marii propinquitate dignus prædicari. (3) Convocato ejus rei causa senatu, Lutatius Catulus, qui in summa tum erat inter Romanos existimatione, surgens, inter alia quibus Cæsarem accusabat, id quoque memoratum deinde dixit, eum non jam cuniculis, sed machinis rempublicam oppugnare. Sed postquam Cæsar excusationem suam senatui probavit, auxit ea res animos sectatorum ejus, hortatique sunt, ut ne cui animi contentione cederet; haud dubie enim omnes eum populi favore victurum.

VII. Interim Metello pontifice maximo vita defuncto, quum id sacerdotium Isauricus et Catulus, clarissimi viri et in senatu principes, peterent, nihil territus Cæsar ipse quoque in comitiis idem ambiit, et quum paria utrinque studia viderentur, Catulus, quo majore esset dignitate præditus, eo magis eventum rei incertum metuens, grandem pecuniam Cæsari per internuntios obtulit, si a petitione desisteret. Respondit Cæsar etiam majore æris alieni onere sibi contracto, se certaturum. Comitiorum die matrem eum cum lacrimis ad fores persequentem quum salutasset : Hodie, inquit, mater, filium tuum aut pontificem maximum aut exsulem videbis. Vicit tamen in suffragiorum certamine, senatuique et optimatibus metum incussit, quod ad extremum audaciæ populum producturus videbatur. (2) Itaque Piso et Catulus Ciceronem incusabant, qui Cæsari opportunam se opprimendi ansam præbenti pepercisset in conjuratione Catilinaria. Catilina enim, quum non mutare, sed evertere rempublicam et omnia confundere statuisset antequam totum ipsius consilium detegeretur, levioribus quibusdam indiciis proditus profugerat, Lentulo et Cethego conjurationis exsecutoribus in urbe relictis, quibus utrum virium aliquid fiduciæque fecerit Cæsar, non satis constat. His quidem in senatu convictis, quum Cicero consul de supplicio iis irrogando sententias singulorum quæreret et ad Cæsarem usque omnes morte mulctandos dixissent, Cæsar orationem, quam fuerat ante meditatus, habuit : neque moris Romani neque justum sibi videri, indicta causa, idque non postulante extrema necessitate, viros dignitate et genere illustres interficere; placere ut in urbes Italiæ arbitrio Ciceronis electas divisi in custodia teneantur, donec Catilina debellato senatus per otium de causis singulorum cognoscere ac statuere queat.

VIII. Hæc sententia quum humanitatem præ se ferret, et oratione facunda esset confirmata, tantum valuit, ut

μετὰ τοῦτον ἀνιστάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι πρὸς τὴν ἐκείνου μετέστησαν, ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθε. (2) Τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ καὶ συγκατεξαναστάντος ἐῤῥωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τε λέγεται τῇ τηβέννῳ πε- b ριβαλὼν ὑπεξαγαγεῖν αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι φοβηθεὶς τὸν δῆμον ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. (3) Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθές, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δὲ εἶχεν ὕστερον ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας πρὸς τὸν δῆμον ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος, ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε c μετὰ κραυγῆς καὶ περιέστη τὴν σύγκλητον ἀπαιτῶν τὸν ἄνδρα καὶ κελεύων ἀφεῖναι. (4) Διὸ καὶ Κάτων φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμόν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν ἑπτακόσιαι πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι, τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσε περιφανῶς τὸ πολίτευμα τοῦτο καὶ τὸ πλεῖστον ἀπέῤῥηξε τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν ἐν καιρῷ στρατηγεῖν μέλλοντος καὶ φοβερωτέρου d διὰ τὴν ἀρχὴν ὄντος.

IX. Οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ' αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις τῷ Καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. Πόπλιος Κλώδιος ἦν ἀνὴρ γένει μὲν εὐπατρίδης καὶ πλούτῳ καὶ λόγῳ λαμπρός, ὕβρει δὲ καὶ θρασύτητι τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων οὐδενὸς δεύτερος. Οὗτος ἤρα Πομπηίας τῆς Καίσαρος γυναικὸς οὐδὲ αὐτῆς ἀκούσης. Ἀλλὰ φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν ἥ τε μήτηρ τοῦ Καίσαρος Αὐρηλία, γυνὴ σώφρων, περιέπουσα τὴν νύμφην ἀεὶ χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς ἐποίει τὴν ἔντευξιν. (2) e Ἔστι δὲ Ῥωμαίοις θεός, ἣν Ἀγαθὴν ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. Καὶ Φρύγες μὲν οἰκειούμενοι Μίδα μητέρα τοῦ βασιλέως γενέσθαι φασί, Ῥωμαῖοι δὲ νύμφην Δρυάδα Φαύνῳ συνοικήσασαν, Ἕλληνες δὲ τῶν Διονύσου μητέρων τὴν ἄῤῥητον. Ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν ἑορτάζουσαι κατερέφουσι καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ θεῷ κατὰ τὸν μῦθον. Ἄνδρα δὲ προσελθεῖν οὐ θέμις οὐδ' ἐπὶ τῆς οἰκίας γενέσθαι τῶν ἱερῶν ὀργιαζομένων· αὐταὶ δὲ καθ' ἑαυτὰς αἱ γυναῖκες πολλὰ τοῖς Ὀρφικοῖς ὁμολο-

non modo qui post Cæsarem dixerant, ei subscriberent, sed et quidam eorum qui ante responderant, suis retractatis ei accederent, eo usque dum ad Catulum et Catonem perventum est. (2) Hi quum Cæsaris orationem magno studio refellerent et Cato simul etiam suspicionem ei impingeret, conjurati isti ad necem traditi sunt. In Cæsarem vero senatu egredientem multi eorum juvenum qui Ciceronem stipabant, nudatis gladiis irruerent, sed eum et Curio fertur toga sua circumdata eduxisse, et ipse Cicero respicientibus ad se juvenibus renuisse, sive quod populum metueret, sive quod injustam eam cædem putaret. (3) Hoc si verum sit, equidem miror a Cicerone in libro de consulatu suo omissum. Vitio sane ei post datum est, quod occasione contra Cæsarem oblata optima usus non esset, metu populi, qui incredibili studio Cæsarem defenderet. Nam et paucis post diebus, quum in senatum is diluendarum suspicionum causa venisset, ac tumultibus exciperetur adversis et senatus solito diutius consedisset; magno cum clamore multitudo curiam circumstetit, missum fieri Cæsarem postulans. (4) Itaque Cato seditionem pauperum præsertim (hi enim Cæsare freti totam multitudinem incendebant) metuens, senatui persuasit, ut singulis mensibus plebi frumentum divideretur : qua ex re cæteris sumptibus accessit trecenties sestertiûm in singulos annos. Id quidem factum magnum in præsentia terrorem avertit haud dubie maximamque Cæsaris copiarum partem avellit ac dissipavit, cum is ob præturam, quam tum idoneo sibi tempore erat gesturus, terribilior videretur.

IX. Sed nihil in eo tumultuose actum, verum sed domus Cæsaris adversa fortuna læsa est. P. erat Clodius patricio genere natus, opibusque et facundia clarus, libidine autem, audacia et impudicitia nemini nequissimo secundus. Is Pompeiam Cæsaris uxorem deperibat, cui ne ipsi quidem voluntas deerat. Sed et gynæceum accurate custodiebatur et Aurelia Cæsaris mater, honesta matrona, nurum ubique comitans, difficilem et periculosum congressum eorum effecit. (2) Colitur Romæ dea, quam Bonam appellant, ut Græci Muliebrem. Hanc Phryges Midæ regis matrem fuisse putant, Romani Nympham Dryadem, Fauni uxorem, Græci de nutricibus Bacchi unam, eam scilicet quam nominari nefas est. Itaque apud hos quum sacra ei fiunt, vitium palmitibus scenæ tectæ gestantur, et secundum fabulam draco sacer apud Deam collocatur. Quum ea sacra peraguntur, virum accedere aut iisdem in ædibus esse nefas ducitur; ipsæ inter se mulieres multa cum Orphicis convenientia obire feruntur. Eorum orgiorum tempus et

γοῦντα δρᾶν λέγονται περὶ τὴν ἱερουργίαν. Ὅταν οὖν f ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος, ὑπατεύοντος ἢ στρατηγοῦντος ἀνδρὸς, αὐτὸς μὲν ἐξίσταται καὶ πᾶν τὸ ἄῤῥεν, ἡ δὲ γυνὴ τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ καὶ τὰ μέγιστα νύκτωρ τελεῖται, παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι καὶ μουσικῆς ἅμα πολλῆς παρούσης.

X. Ταύτην τότε τὴν ἑορτὴν τῆς Πομπηίας ἐπιτελούσης, ὁ Κλώδιος οὔπω γενειῶν καὶ διὰ τοῦτο λήσειν
712 οἰόμενος ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν ἐχώρει a νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. Καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις εἰσήχθη μὲν ἀδεῶς ὑπὸ τῆς συνειδυίας θεραπαινίδος, ἐκείνης δὲ προδραμούσης, ὡς τῇ Πομπηίᾳ φράσειε, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν ὅπου κατελείφθη τῷ Κλωδίῳ μὴ καρτεροῦντι, πλανωμένῳ δ' ἐν οἰκίᾳ μεγάλῃ καὶ περιφεύγοντι τὰ φῶτα προσπεσοῦσα τῆς Αὐρηλίας ἀκόλουθος ὡς δὴ γυνὴ γυναῖκα παίζειν προὐκαλεῖτο καὶ μὴ βουλόμενον εἰς τὸ μέσον εἷλκε καὶ τίς ἐστι καὶ πόθεν ἐπυνθάνετο. Τοῦ δὲ Κλωδίου φήσαντος ἅβραν περιμένειν Πομπηίας, αὐτὸ τοῦτο καλουμένην, καὶ τῇ φωνῇ γενομένου καταφανοῦς, b ἡ μὲν ἀκόλουθος εὐθὺς ἀπεπήδησε κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον ἄνδρα πεφωρακέναι βοῶσα. (2) Τῶν δὲ γυναικῶν διαπτοηθεισῶν, ἡ Αὐρηλία τὰ μὲν ὄργια τῆς θεοῦ κατέπαυσε καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα περιῄει τὴν οἰκίαν ὑπὸ λαμπάδων ζητοῦσα τὸν Κλώδιον. Εὑρίσκεται δ' εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγώς· καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν ἐξελαύνεται διὰ τῶν θυρῶν. (3) Τὸ δὲ πρᾶγμα καὶ νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιοῦσαι τοῖς αὑτῶν ἔφραζον ἀνδράσι, καὶ μεθ' ἡμέραν ἐχώρει διὰ τῆς πόλεως λόγος, ὡς ἀθέσμοις ἐπικεχειρηκότος τοῦ Κλωδίου καὶ δίκην οὐ τοῖς ὑβρισμένοις μόνον, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς θεοῖς ὀφείλοντος. c Ἐγράψατο μὲν οὖν τὸν Κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας καὶ συνέστησαν ἐπ' αὐτὸν οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες καὶ μοιχείαν ἀδελφῆς, ᾗ Λουκούλλῳ συνῳκήκει. Πρὸς δὲ τὰς τούτων σπουδὰς ὁ δῆμος ἀντιτάξας ἑαυτὸν ἤμυνε τῷ Κλωδίῳ καὶ μέγα πρὸς τοὺς δικαστὰς ὄφελος ἦν ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. (4) Ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηίαν, μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γιγνώσκειν. Ὡς δὲ τοῦ λόγου παραδόξου φανέντος ὁ κατήγορος d ἠρώτησε « Πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα ; » « Ὅτι ; ἔφη , τὴν ἐμὴν ἠξίουν μηδὲ ὑπονοηθῆναι. » Ταῦτα οἱ μὲν οὕτω φρονοῦντα τὸν Καίσαρα λέγουσιν εἰπεῖν, οἱ δὲ τῷ δήμῳ χαριζόμενον ὡρμημένῳ σώζειν τὸν Κλώδιον. Ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς γράμμασι τὰς γνώμας ἀποδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι μήτ' ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.

XI. Ὁ δὲ Καῖσαρ εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν

celebrandi munus quum ad consulem vel prætorem devenit, ipse, et omne quod est masculum, ædibus egrediuntur, uxor domo occupata eam exornat et pleraque noctu fiunt jocis ad nocturna sacra admixtis, musicaque multa adhibita.

X. Ea tum sacra Pompeia administrante, Clodius imberbis adhuc eoque se latere posse sperans, habitu psaltriæ, specie mulieris juvenis ad ædes venit, quumque fores apertas offendisset, ab ancilla rei conscia tuto introducitur. Hæc dum ad Pompeiam accurrit rei indicandæ causa et mora fit, Clodius manere ubi relictus erat non sustinens, magna in domo hinc inde oberrat, lucem fugiens. In eum Aureliæ pedisequa incidit, et mulierem rata ad colludendum invitat, detrectantemque in medium protrahit, et quis atque unde esset percontatur, quumque is se Pompeiæ abram (i. e. *ancilla delicatior*), ut et ipsa vocabatur, quærere diceret et virum se esse voce proderet, subito magna cum vociferatione ad lumina et turbam se proripit, virum se in ædibus deprehendisse clamans. (2) Perterritis mulieribus Aurelia, orgiis deæ sublatis, fores occludi jussit, domumque facibus prælucentibus perlustravit, Clodium quærens; isque inventus est in conclavi ancillæ, quæ eum domum adduxerat, quo confugerat, agnitusque a mulieribus domo ejicitur. (3) Ea adhuc nocte matronæ domum digressæ maritis rem aperuerunt, interdiuque rumor per urbem dispersus est, Clodium infanda conatum non iis modo ad quos ea injuria pertineret, sed civitati etiam diisque pœnas debere. Itaque ei quidam tribunorum plebis diem violatæ religionis dixit, factaque est contra Clodium coitio potentissimorum senatorum, qui ei quum alia horrenda flagitia, tum incestum cum sorore Lucullo nupta objicerent. Huic eorum conatui populus se opponens, Clodio auxiliabatur, quod ei plurimum profuit, quia judices perterrefacti multitudinem formidabant. (4) Cæsar cum uxore statim divortium fecit. Testimonium vero jussus dicere, nihil se eorum quæ Clodio objicerentur cognitum habere respondit. Quod quum incredibile videretur, accusator quæsivit ex eo, cur ergo uxorem dimisisset. Tum Cæsar, sive ex animi sententia, sive ut populo gratificaretur Clodium incolumem cupienti, respondit : Quia suam uxorem etiam suspicione vacare vellet. Absolutus quidem est Clodius, quum plerique judices (ne, si condemnassent, in periculo versarentur apud plebem; sin absolvissent, in infamia apud optimates essent) confusis literis tulissent sententias.

XI. Cæsar statim ex prætura provinciam nactus Hispa-

ἐπαρχιῶν τὴν Ἰβηρίαν λαβών, ὡς ἦν δυσδιάθετον αὐτῷ e τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήιον ἀντιπολιτείαν. Ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. (2) Λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβάλλοντος αὐτοῦ καὶ πολίχνιόν τι βαρβαρικὸν οἰκούμενον ὑπὸ ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρὸν παρερχομένου, τοὺς ἑταίρους ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς, f « Ἦπου, φάναι, κἀνταῦθά τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι καὶ περὶ πρωτείων ἅμιλλαι καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλους, » τὸν δὲ Καίσαρα σπουδάσαντα πρὸς αὐτοὺς εἰπεῖν, « Ἐγὼ μὲν ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος ἢ παρὰ Ῥωμαίοις δεύτερος. » (3) Ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ σχολῆς οὔσης ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρου γεγραμμένων, σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα
713 καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν, a
εἰπεῖν· « Οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν Ἀλέξανδρος ἐθνῶν τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται; »

XII. Τῆς δ' οὖν Ἰβηρίας ἐπιβὰς εὐθὺς ἦν ἐνεργὸς, ὥσθ' ἡμέραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι, καὶ στρατεύσας ἐπὶ Καλλαϊκοὺς καὶ Λουσιτανοὺς κρατῆσαι καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης τὰ μὴ πρότερον ὑπακούοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. (2) Θέμενος δὲ τὰ τοῦ πολέμου καλῶς, οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν ἰώμενος διαφοράς. Ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι καθ' ἕκαστον ἐνιαυτὸν b δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην, ἄχρι ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. Ἐπὶ τούτοις εὐδοκιμῶν ἀπηλλάγη τῆς ἐπαρχίας αὐτός τε πλούσιος γεγονὼς καὶ τοὺς στρατιώτας ὠφεληκὼς ἀπὸ τῶν στρατηγιῶν καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

XIII. Ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν παρόντας ἐν τῇ πόλει τοῦτο πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον αἰτούμενος αὐτῷ c δοθῆναι παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. (2) Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα, ὡς ἑώρα πολλοὺς τεθεραπευμένους ὑπὸ τοῦ Καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς ὑποδύεται πολίτευμά τι πάντας ἀνθρώπους ἐξαπατῆσαν πλὴν Κάτωνος. (3) Ἦν δὲ τοῦτο διαλλαγὴ Πομπηίου καὶ Κράσσου τῶν

niam, quum fœneratores debitum exigentes molesteque profecturum urgentes atque conviciantes placare non posset, ad Crassum confugit, Romanorum ditissimum et qui vigore ac vehementia Cæsaris indigeret ob dissensionem cum Pompeio. Crasso apud creditores, qui maxime instabant, octingenta triginta talenta intercedente, in provinciam suam abiit. (2) Narrant eum, quum Alpes transiret et præter oppidulum quoddam barbaricum iter faceret paucis habitatum hominibus atque vile, amicis per jocum quærentibus, an et hic de magistratibus essent contentiones ac de principatu certamina et potentium æmulationes? serio respondisse, malle se hic primum quam Romæ secundum esse. (3) Rursus quum in Hispania per otium librum aliquem de rebus Alexandri gestis legeret, diu cogitabundum, ad extremum illacrimasse, et amicis causam quærentibus dixisse : An non dolendum vobis videtur, me quum id ætatis sim, qua Alexander tot nationibus imperavit, nihil dum memoratu dignum gessisse?

XII. Simul atque autem Hispaniam attigit, eam industriam adhibuit, ut paucis diebus cohortibus viginti suis decem alias adjecerit, factaque in Callaicos et Lusitanos expeditione, populos qui Romanis hactenus non paruerant subigendo usque ad Oceanum perrexerit. (2) Rebus bellicis bene compositis, civiles eadem felicitate constituit, civitates ad concordiam reducens et maxime rixas inter debitores et creditores tollens, lege posita, ut de reditibus debitoris bessem creditor quotannis acciperet, dum ipsi satisfactum esset, reliquo debitor frueretur. Parta his factis gloria ex provincia discessit, ditatus ipse et a militibus, qui eo duce rem et ipsi fecerant, imperator dictus.

XIII. Quia autem triumphum petentes extra urbem manere, consulatum ambire præsentes in urbe oportebat, ea legum diversitate implicatus, quum ad urbem comitiis consularibus instantibus accessisset, misit ad senatum petitum, ut sibi absenti petere consulatum per amicos concederetur. (2) Cato primum lege ad postulatum id oppugnandum annixus quum videret multos Cæsari deditos, rem mora injecta impediit, totumque diem dicendo absumpsit. Itaque Cæsar statuit, omisso triumpho, consulatum persequi. (3) Ut primum in urbem venit, callide eam rem confecit, qua universos homines, solo excepto Catone, decepit. Pompeium

μέγιστον ἐν τῇ πόλει δυναμένων· οὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς καὶ τὴν ἀπ' ἀμφοῖν d συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν ἔλαθε μεταστήσας τὴν πολιτείαν. Οὐ γὰρ, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ Καίσαρος καὶ Πομπηίου διαφορὰ τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους, ἀλλὰ μᾶλλον ἡ φιλία, συστάντων ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας τὸ πρῶτον, εἶτα οὕτως καὶ πρὸς ἀλλήλους διαστάντων. Κάτωνι δὲ πολλάκις τὰ μέλλοντα προθεσπίζοντι περιῆν δυσκόλου μὲν ἀνθρώπου τότε καὶ πολυπράγμονος, ὕστερον δὲ φρονίμου μὲν, οὐκ εὐτυχοῦς δὲ συμβούλου λαβεῖν δόξαν.

XIV. Οὐ μὴν ἀλλ' ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσου e καὶ Πομπηίου φιλίας δορυφορούμενος ἐπὶ τὴν ὑπατείαν κατήχθη καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπουρνίου Βύβλου καὶ καταστὰς εἰς τὴν ἀρχὴν εὐθὺς εἰσέφερε νόμους οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρουχίας τινὰς χώρας καὶ διανεμὰς εἰσηγούμενος. (2) Ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρουσάντων πάλαι δεόμενος προφάσεως ἀνακραγὼν καὶ μαρτυράμενος, ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο θεραπεύσων ἐκεῖνον ἐξ ἀνάγκης ὕβρει καὶ χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησε· καὶ περιστησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήιον, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοῖεν. f Ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τοὺς ἐνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. Ἐκεῖνοι δὲ ὑπισχνοῦντο· Πομπήιος δὲ καὶ προσεπεῖπεν, ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους καὶ θυρεὸν κομίζων. Ἐπὶ τούτῳ τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς, οὐδὲ τῆς πρὸς τὴν σύγκλητον εὐλαβείας πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας, ὁ δὲ δῆμος ἥσθη. (3) 714 Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηίου δυνάμεως ὑπο- a δραττόμενος (ἦν γὰρ αὐτῷ Ἰουλία θυγάτηρ ἐγγεγυημένη Σερουιλίῳ Καιπίωνι), ταύτην ἐνεγγύησε Πομπηίῳ, τὴν δὲ Πομπηίου τῷ Σερουιλίῳ δώσειν ἔφησεν, οὐδὲ αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ Φαύστῳ τῷ Σύλλα παιδὶ καθωμολογημένην. (4) Ὀλίγῳ δὲ ὕστερον Καῖσαρ ἠγάγετο Καλπουρνίαν θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέστησεν ὕπατον εἰς τὸ μέλλον, ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένου Κάτωνος καὶ βοῶντος οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας καὶ διὰ γυναίων εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλους ἀντεισαγόντων. Ὁ μὲν b οὖν συνάρχων τοῦ Καίσαρος Βύβλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευε μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσε. (5) Πομπήιος δὲ γήμας εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους, Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν προσθεὶς τὸ Ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν οὖν ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν

enim et Crassum ex gravi discordia in gratiam mutuo restituit, qui duo facile totius civitatis erant potentissimi, eorumque potentiam in unum conflatam ad se transferens, perhumano titulo tenus facto rempublicam nemine animadvertente pervertit. Non enim Cæsaris et Pompeii dissidium, quod plerique putant, civilium bellorum causa fuit, sed amicitia verius eorum, quam initio ad evertendum optimatium in civitate principatum initam deinde disciderunt. Cato autem sæpenumero quæ futura essent vaticinans, eum solum fructum tulit, ut tum morosus et curiosus homo, post prudentior quam felicior consultor haberetur.

XIV. Verum Cæsar Crassi Pompeiique amicitia stipatus consulatum periit, eumque splendide impetravit, Calpurnio Bibulo collega. Ut primum vero magistratum iniit, illico leges de agris dividendis in gratiam multitudinis tulit, quæ non consulem, sed petulantissimum aliquem tribunum plebis decerent. (2) In senatu autem optimatibus repugnantibus, arrepta quam dudum quærebat occasione, magna voce obtestatus invitum se et vi coactum ad populum confugere eique se committere injuriis et violentia senatus compulsum, ex Curia se in forum proripuit; et a lateribus suis hinc Pompeium, inde Crassum collocans, quæsivit ex iis, ecquid leges has probarent : affirmanteque utroque, hortatus est ut in eos opitularentur, qui gladiis se contrà acturos minarentur. Promisit hoc uterque, addiditque Pompeius, se contra gladios istos cum ense et scuto etiam venturum. Quod dictum pergratum populo, optimates offendit, insano scilicet adolescenti potius conveniens, quam tantæ viro existimationis et a verecundia senatui debita alienissimum. (3) At Cæsar, quo magis potentiam Pompeii suam faceret, Juliam filiam suam, Servilio Cæpioni desponsatam, Pompeio nuptum dedit, promissa huic Pompeii filia, quæ et ipsa Fausto Syllæ filio pacta erat. (4) Neque multo post ipse Calpurniam Pisonis filiam duxit, eique consulatum in sequentem annum confecit, maxime tum Catone vociferante et testante ferendos non esse qui nuptiis principatum prostituant et mulierum causa provincias copiasque mutuo sibi tradant. Collega Cæsaris Bibulus, quum resistendo ejus legibus nihil proficeret, sed sæpe cum Catone in foro de vita periclitatus esset, domi inclusus reliquum consulatus tempus exegit. (5) Pompeius nuptiis peractis statim armatis forum opplevit, et in perferendis legibus populum adjuvit; Cæsari Gallia omnis cis et trans Alpes Illyricumque decretum cum quatuor legionibus in quinquennium. Catonem his ausum contra contradicere, Cæsar in carcerem

ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους· ἐκείνου δὲ ἀφώνου βαδίζοντος ὁρῶν ὁ Καῖσαρ οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, c ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. (6) Τῶν δὲ ἄλλων συγκλητικῶν ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βουλήν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. Εἰπόντος δὲ Κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο· « Τί οὖν, ἔφη ὁ Καῖσαρ, οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς; » καὶ ὁ Κονσίδιος εἶπεν· « Ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας· ὁ γὰρ ἔτι λειπόμενος βίος οὐ πολλῆς ὀλίγος ὢν δεῖται προνοίας. » (7) Αἴσχιστον d δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν ἐν τῇ Καίσαρος ὑπατείᾳ δήμαρχον αἱρεθῆναι Κλώδιον ἐκεῖνον, ὑφ' οὗ τὰ περὶ τὸν γάμον καὶ τὰς ἀπορρήτους παρενομήθη παννυχίδας. Ἡρέθη δὲ ἐπὶ τῇ Κικέρωνος καταλύσει· καὶ Καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατείαν ἢ καταστασιάσαι Κικέρωνα μετὰ Κλωδίου καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

XV. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. Ὁ δὲ τῶν πολέμων οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν στρατειῶν αἷς ἡμερώσατο τὴν Κελτικήν, χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν e ὁδόν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρατηλάτην ἀπέδειξεν αὐτόν, ἀλλ' εἴτε Φαβίους καὶ Σκηπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, Σύλλαν καὶ Μάριον ἀμφοτέρους τε Λουκούλλους ἢ καὶ Πομπήιον αὐτόν, οὗ κλέος ὑπουράνιον ἤνθει παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλοι τις, αἱ Καίσαρος ὑπερβάλλουσι πράξεις τὸν μὲν χαλεπότητι τόπων ἐν οἷς ἐπολέμησε, τὸν δὲ μεγέθει χώρας ἣν προσεκτήσατο, τὸν δὲ πλήθει καὶ βίᾳ πολεμίων οὓς ἐνίκησε, τὸν δὲ ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν f ἃ καθωμίλησε, τὸν δὲ ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους, πάντας δὲ τῷ πλείστας μεμαχῆσθαι μάχας καὶ πλείστους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. Ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ Γαλατίαν πόλεις
715 μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δὲ ἐχειρώσατο a τριακόσια, μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν, ἄλλας δὲ τοσαύτας ἐζώγρησεν.

XVI. Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ πρὸς αὐτόν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. (2) Οἷος ἦν τοῦτο μὲν Ἀκίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ νεὼς πολεμίας ἐπιβεβηκὼς τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δὲ ἀριστερᾷ τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ

abripuit, existimans eum tribunos plebis appellaturum; sed cum quum tacitum ire, et non modo optimatibus id dolere factum, sed plebem etiam verecundia virtutis Catonis mœstam videret silentemque sequi, ipse clam unum de tribunis exoravit, ut Catonem eriperet. (6) De reliquis senatoribus perpauci in Curiam exinde ventitabant; ceteri indignitate eorum quæ fiebant moti publico abstinebant. Cujus rei quum causam Considius quidam admodum senex redderet, armorum et militum metu fieri ut non conveniretur dicens : Quid ergo, inquit Cæsar, non tu quoque domi te contines, eadem timens? Et Considius : Metu me senectus liberat; quod enim reliquum est vitæ, exiguum quum sit, non magna cura indiget. (7) Omnium autem factorum id turpissimum videbatur, quod Cæsare consule Clodius ille tribunus plebis est factus, qui conjugium Cæsaris et arcana pervigilia polluerat. Ad eum autem magistratum promotus est, ut Ciceronem everteret; neque prius Cæsar ad exercitum abiit, quam opera Clodii Ciceronem oppressisset eumque Italia expulisset.

XV. Talia ejus ante Gallicum bellum facta fuerunt. Bellorum autem quæ deinceps gessit et expeditionum quibus Galliam domuit tempus eum, quasi alio exorsum initio aliaque vivendi atque agendi ingressum via, non ullo eorum qui summi et maxime apud omnes in admiratione habentur ducum inferiorem commonstravit et pugnandi laude et imperandi. Imo sive Fabios, Scipiones, Metellos, sive qui æquales ejus aut ætate paullo superiores fuerunt, Syllam, Marium, utrumque Lucullum, ipsumque adeo, cujus ad cœlum usque omnigenarum bellicarum virtutum gloria se efferebat, Pompeium conferas, rebus eorum gestis facta Cæsaris palmam præripiunt. Alio enim majorem laudem consecutus est ob iniquitatem locorum in quibus bellum gessit, alio ob magnitudinem regionis quam in potestatem redegit, alio ob multitudinem devictorum hostium et robur, alio ob insolentiam et perfidiam morum cum quibus ipsi communicandum erat, alio ob clementiam qua adversus domitos usus est, alio ob liberalitatem et beneficia in commilitones, omnibus vero ob multitudinem depugnatorum prœliorum occisorumque hostium. Non toto enim decennio in Gallia belligeratus, urbes octingentis plures cepit, populos trecentos subegit, quum ter millies millibus hostium congressus diversis prœliis, quorum decies centena millia in acie interfecit, vivos alterum tantum cepit.

XVI. Tanta vero benevolentia erga eum, tantum fuit militum studium, ut qui alioquin in bello nihil reliquis præstarent, ii pro Cæsaris gloria invicti quodvis periculum adirent. (2) Qualis fuit exempli causa Acilius, qui quum Massiliensi naumachia in hostilem navim evasisset, dextera ei gladio amputata, sinistra manu clypeum tenuit, eoque facies hostium feriens, universos repulit, navique ipse po-

πρόσωπα τοὺς πολεμίους ἀπέστρεψε πάντας καὶ τοῦ σκάφους ἐπεκράτησε· τοῦτο δὲ Κάσσιος Σκεύας, ὃς ἐν b τῇ περὶ Δυῤῥάχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δὲ ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους ὡς παραδώσων ἑαυτόν· δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου πατάξας ἀπέστρεψεν, αὐτὸς δὲ διεσώθη τῶν οἰκείων περισχόντων. (3) Ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον ἑλώδη καὶ μεστὸν ὑδάτων ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχαις ἐπιθεμένων στρατιώτης, Καίσαρος αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους καὶ πολλὰ καὶ c περίοπτα τόλμης ἀποδειξάμενος ἔργα, τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων ἔῤῥιψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη καὶ μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων, διεπέρασε. Θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων, αὐτὸς εὖ μάλα κατηφὴς καὶ δεδακρυμένος προσέπεσε τῷ Καίσαρι συγγνώμην αἰτούμενος ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. (4) Ἐν δὲ Λιβύῃ ναῦν ἑλόντες οἱ περὶ Σκηπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων ἐπέπλει ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο d λείαν, τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. Ὁ δὲ, εἰπὼν ὅτι τοῖς Καίσαρος στρατιώταις οὐ λαμβάνειν, ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλεν.

XVII. Τὰ δὲ τοιαῦτα λήματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψε καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι καὶ τιμᾶν ἀφειδῶς ἐνδεικνύμενος, ὅτι τὸν πλοῦτον οὐκ εἰς τρυφὰς ἰδίας οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει, κοινὰ δὲ ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλασσόμενα ἀπόκειται καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν· e ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. (2) Τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων ὑπομονὴ παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος ἐξέπληττεν, ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς καὶ τὴν κεφαλὴν νοσώδης καὶ τοῖς ἐπὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον αὐτῷ τοῦ πάθους, ὡς λέγεται, τούτου προσπεσόντος, οὐ μαλακίας ἐποιήσατο τὴν ἀῤῥωστίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀῤῥωστίας τὴν στρατείαν ταῖς ἀτρύτοις ὁδοιπορίαις καὶ ταῖς εὐτελέσι f διαίταις καὶ τῷ θυραυλεῖν ἐνδελεχῶς καὶ ταλαιπωρεῖν ἀπομαχόμενος τῷ πάθει καὶ τὸ σῶμα φρουρῶν δυσάλωτον. (3) Ἐκοιμᾶτο μέν γε τοὺς πλείστους ὕπνους ἐν ὀχήμασιν ἢ φορείοις εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος, ὠχεῖτο δὲ μεθ' ἡμέραν ἐπὶ τὰ φρούρια καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου παιδὸς τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ' ἐξόπισθεν ἐφεστηκότος στρατιώτου ξίφος ἔχοντος.

titus est. Et Cassius Scæva, qui in pugna ad Dyrrhachium oculum sagitta, humerum itemque femur pilo confixus, exceptis scuto centum et triginta telorum ictibus, hostes vocavit, veluti se dediturus; accedentibusque duobus, alterius brachium gladio abscidit, alterum in faciem percussum avertit et ipse suorum auxilio salvus evasit. (3) In Britannia quum primos centuriones in palustrem et aqua repletum locum ingressos adorirentur hostes, quidam miles, ipso Cæsare pugnam spectante, per medios se proripuit, quumque præclara fortitudinis facinora edidisset, primipilis servatis et fugientibus barbaris, ægre ipse evadens, in lacum sese conjecit et summa cum difficultate natando partim, partim gradiendo cum amisso scuto transiit. Admirante eum Cæsare cum comitibus et magno cum gaudio clamoreque obviam prodeuntibus, ipse tristis admodum et lacrimans ei supplicavit, ut sibi veniam scuti amissi daret. (4) In Africa Scipio navim Cæsaris cepit, inque ea quæstorem Granium Petronem; is quum hostes, reliquis inter se divisis, eum se salute donare dicerent, Cæsaris milites non accipere, sed dare salutem consuevisse inquiens, se ipsum gladio transegit.

XVII. Hujusmodi autem spiritus militum et animi ardores Cæsar ipse excitavit atque aluit, primum honoribus et donis largiendis, ostendens non se sui luxus aut voluptatum causa bello divitias parare, sed eas opes tanquam communia virtutis præmia apud se recondi, divitiis ad hoc tantum se uti, ut militibus pro meritis dare præmia possit; deinde quod omnibus ultro periculis se objiciebat, et nulli labori succumbebat. (2) Et quidem ejus in periculis adeundis audaciam eo minus admirabantur, quod proficisci ab incredibili gloriæ cupiditate existimarent; verum laborum tolerantia, quos præter vires corporis sustinebat, stupefaciebat. Nam et corporis habitu tenui fuit et alba mollique carne et capite morboso et comitiali morbo obnoxius, quod ei malum Cordubæ primum accidisse dicitur. Verum valetudinem Cæsar non mollitiei ansam arripuit, sed expeditionibus, difficillimis itineribus, tenuitate victus, et continua sub dio vita et ærumnosa morbum depellere et corpus sanum tueri studebat. (3) Plerumque in curru aut lectica dormiebat simulque provehebatur, ut ne somnus quidem otiosus esset. Interdiu vehebatur circum castella, urbes et castra, uno assidente puero, qui, dum ipse iter faceret, dictata ab ipso exciperet scribendo, unoque a tergo milite

716 Συντόνως δὲ ἤλαυνεν οὕτως, ὥστε τὴν πρώτην ἔξοδον a ἀπὸ Ῥώμης ποιησάμενος ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. (4) Τὸ μὲν οὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥᾴδιον· εἴθιστο γὰρ εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων καὶ τῷ νώτῳ περιπλέκων ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον. Ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιστολὰς ὑπαγορεύειν καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν, ὡς δὲ Ὄππιός φησι, καὶ πλείοσι. Λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν Καίσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων τοῦ καιροῦ διά τε πλῆθος ἀσχολιῶν καὶ τῆς πόλεως τὸ μέγεθος μὴ περιμένοντος. (5) Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται b σημεῖον, ὅτι, τοῦ δειπνίζοντος αὐτὸν ἐν Μεδιολάνῳ ξένου Οὐαλλερίου Λέοντος παραθέντος ἀσπάραγον, καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸς μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. « Ἤρκει γάρ, ἔφη, τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων αὐτός ἐστιν ἄγροικος. » (6) Ἐν ὁδῷ δέ ποτε συνελασθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρε πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἰπών, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς c κρατίστοις, τῶν δ' ἀναγκαίων τοῖς ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι, αὐτὸς δὲ μετὰ τῶν ἄλλων ὑπὸ τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

XVIII. Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων πρὸς Ἑλβηττίους συνέστη καὶ Τιγυρινούς, οἳ τὰς αὑτῶν δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίοις Γαλατίας, ὥσπερ πάλαι Κίμβροι καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι καὶ πλῆθος ὁμαλῶς τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δὲ αἱ μαχόμεναι μιᾶς δέουσαι. Τούτων Τιγυρινοὺς μὲν οὐκ αὐτός, ἀλλὰ Λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν. (2) Ἑλβηττίων δὲ d αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν στρατιάν, καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων, φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγε. Κἀκεῖ συναγαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη, « Τούτῳ μέν, ἔφη, νικήσας χρήσομαι πρὸς τὴν δίωξιν, νῦν δὲ ἴωμεν ἐπὶ τοὺς πολεμίους· » καὶ πεζὸς ὁρμήσας ἐνέβαλε. Χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον, περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχε πόνον, οὐκ αὐτῶν μόνων ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμεναι μέχρι θανάτου συγ- e κατεκόπησαν, ὥστε τὴν μάχην μόλις εἰς μέσας νύκτας τελευτῆσαι. (3) Καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ κρεῖττον ἐπέθηκε τὸ συνοικίσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης τῶν περιόντων βαρβάρων καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν ἣν ἀπέλιπον, καὶ τὰς πόλεις ἃς διέφθειραν ὄντας ὑπὲρ δέκα μυριάδας. Ἔπραξε δὲ τοῦτο δεδιὼς μὴ τὴν χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσι.

cum gladio astante. Adeo autem magna itinera faciebat, ut primam Roma expeditionem faciens, octavo die ad Rhodanum pervenerit. (4) Equitare ab ineunte ætate didicerat, ac se assuefecerat ut retro abductis manibus et tergo applicatis summo impetu equum citaret. Ea vero expeditione exercuit se præterea ut inter equitandum epistolas dictaret, idque duobus, et, ut Oppius ait, etiam pluribus diversas. Ferunt id quoque primum omnium Cæsarem excogitasse, ut per codicillos cum amicis colloqueretur, quod coram de rebus maxime necessariis agere et urbis magnitudo et negotiorum multitudo non pateretur. (5) Quam tenui victu usus fuerit, argumento est quod Mediolani apud hospitem suum Valerium Leonem cœnans, quum is asparagum apposuisset et pro oleo recenti conditum instillasset, ipse nihil moratus comedit, amicosque indignantes increpuit : Satis erat, inquiens, non vesci iis quæ displicerent, inurbani vero hominis est talem rusticitatem arguere. (6) In itinere aliquando vi tempestatis in tugurium pauperis cujusdam compulsus, quum nihil reperisset præter unum cubiculum vix uni recipiendo sufficiens, ad amicos dixit : Honestiora optimis, necessaria infirmissimis concedenda; idque cubiculum Oppio ad quietem concessit, ipse cum reliquis sub vestibulo ostii dormivit.

XVIII. Enimvero primum bellum Gallicum ei contra Helvetios fuit et Tigurinos, qui quum suas urbes numero duodecim ac vicos quadringentos combussissent, per Galliam Romanis subditam procedebant, quemadmodum olim Cimbri ac Teutones; quibus neque audacia inferiores videbantur, itemque trecenta hominum millia erant, atque ex his centum nonaginta millia ad pugnam apti. Tigurinos Labienus Cæsaris legatus apud Ararim flumen concidit. (2) Helvetii autem Cæsarem, quum is ad sociam quandam urbem exercitum adduceret, inopinato sunt in itinere adorti, occupavit tamen in locum quendam natura munitum cum suis evadere. Ibi quum colligeret et instrueret copias, et equus ei adduceretur : Hoc, inquit, utar ad insequendos victos hostes, nunc in eos eamus; simulque pedes irruit. Difficulter et sero pulsis hostibus, plurimum laboris apud carros et castra eorum sustinuit, quum non illi soli ibi, sed mulieres etiam et pueri usque ad mortem se defenderent, atque conciderentur, ita ut mediante demum nocte finis pugnandi fuerit. (3) Insigni victoriæ pulchrius adjecit facinus, quod barbaros a pugna superstites et fuga dilapsos, ultra centum millia hominum, coegit regionem quam reliquerant, repetere, urbesque a se crematas iterum colere. Id autem eo consilio fecit, ne Germani eam regionem habitatoribus vacuam invaderent.

XIX. Δεύτερον δὲ πρὸς Γερμανοὺς ἄντικρυς ὑπὲρ Κελτῶν ἐπολέμησε, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν Ἀριόβυστον ἐν Ῥώμῃ σύμμαχον πεποιημένος· f ἀλλ' ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες καὶ καιροῦ παραδόντος οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ' ἐπινεμήσεσθαι καὶ καθέξειν τὴν Γαλατίαν. (2) Ὁρῶν δὲ τοὺς ἡγεμόνας ἀποδειλιῶντας καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον ὡς δὴ τρυφῇ χρησόμενοι καὶ χρηματισμῷ τῇ 717 μετὰ Καίσαρος στρατείᾳ, συναγαγὼν εἰς ἐκκλησίαν a ἐκέλευσεν ἀπιέναι καὶ μὴ κινδυνεύειν παρὰ γνώμην οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας, αὐτὸς δὲ ἔφη τὸ δέκατον τάγμα μόνον παραλαβὼν ἐπὶ τοὺς βαρβάρους πορεύσεσθαι μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις μήτε αὐτὸς ὢν Μαρίου χείρων στρατηγός. (3) Ἐκ τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς αὐτὸν χάριν ἔχειν ὁμολογοῦντες, τὰ δὲ ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας, ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθουν ὁδὸν ἡμερῶν πολλῶν, ἕως ἐν διακοσίοις τῶν πολεμίων σταδίοις κατεστρατοπέδευσαν. (4) Ἦν μὲν οὖν ὅ τι καὶ πρὸς b τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο τῆς τόλμης τοῦ Ἀριοβύστου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι, μὴ προσδοκήσας ἐθαύμαζε τὴν Καίσαρος τόλμαν καὶ τὸν στρατὸν ἑώρα τεταραγμένον. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον οὐκ ἐῶσαι μάχην τίθεσθαι πρὶν ἐπιλάμψαι νέαν σελήνην. (5) Ταῦτα τῷ Καίσαρι πυνθανομένῳ καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι καλῶς ἔχειν ἔδοξεν ἀπροθύμοις οὖσιν αὐτοῖς συμβαλεῖν c μᾶλλον ἢ τὸν ἐκείνων ἀναμένοντα καιρὸν καθῆσθαι. Καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις, ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. Γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν, ἐπὶ σταδίους τετρακοσίους ἄχρι τοῦ Ῥήνου διώξας κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πεδίον καὶ λαφύρων. Ἀριόβυστος δὲ φθάσας μετ' ὀλίγων διεπέρασε τὸν Ῥῆνον· ἀριθμὸν δὲ νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.

XX. Ταῦτα διαπραξάμενος τὴν μὲν δύναμιν ἐν Σηκουανοῖς ἀπέλιπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν βουλόμενος εἰς τὴν περὶ Πάδον Γαλατίαν d κατέβη, τῆς αὐτῷ δεδομένης ἐπαρχίας οὖσαν. Ὁ γὰρ καλούμενος Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς ὁρίζει τὴν ἄλλην Ἰταλίαν. (2) Ἐνταῦθα καθήμενος ἐδημαγώγει, πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς ὧν ἕκαστος δεηθείη καὶ πάντας ἀποπέμπων τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ, τὰ δὲ ἐλπίζοντας. Καὶ παρὰ τὸν ἄλλον δὲ πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήιον ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς τῶν πολιτῶν ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ

XIX. Secundum bellum palam pro Gallis contra Germanos gessit, tametsi eorum regem Ariovistum Romæ prius socium P. R. appellavisset. Erant autem intolerabiles Romanorum subditis vicini Germani et capto tempore videbantur non contenti statu suarum rerum præsenti latius grassaturi Galliamque invasuri. (2) Videns autem Cæsar duces suos formidine captos, præsertim vero qui nobiles juvenes ipsum secuti erant, luxum scilicet et divitias in castris Cæsaris consecuturi, advocata concione, abire eos neque invitos periculo se committere jussit, qui ita effeminati essent; se cum decima legione in hostes iturum, quod neque hostes Cimbris fortiores, neque se Mario deteriorem imperatorem duceret. (3) Eam ob rem decima legio missis legatis gratias Cæsari egit; reliquæ suis obtrectantes ducibus repletæque alacritate una multorum dierum iter Cæsarem secutæ sunt, donec viginti quinque millibus passuum ab hostibus castrametati sunt. (4) Audaciam Ariovisti ipse adventus Cæsaris nonnihil fregit. Mirabatur enim Cæsaris confidentiam, qui ducere adversus Germanos (quibus ipse adventantibus fugam facturos Romanos speraverat) exercitum non veritus fuisset, inque suis castris trepidari sentiebat. Auxerunt terrorem vaticinia mulierum sacrarum, quæ in vortices fluminum inspicientes ex strepituque et fluctuatione amnium futura præsagientes, pugnare eos ante novam lunam vetabant. (5) Quæ ut sunt ad Cæsarem renuntiata, Germanos quiescere videns, statuit potius adoriri eos pugnam ita formidantes, quam otiosus desidere, dum tempus iis commodum appeteret. Itaque munitiones eorum et colles quos insederant invasit, irritatosque ut descenderent ad pugnam permovit, fuditque eos ingente strage et ad Rhenum usque per quadringenta stadia insecutus, cadaveribus et spoliis omnem planitiem replevit, Ariovisto cum paucis elapso et Rhenum transvecto. Cæsa perhibent octoginta hominum millia.

XX. Inde exercitu in Sequanis in hibernis relicto, ut rebus urbanis intendere animum posset, in Galliam Pado vicinam profectus est, quæ et ipsa ad ejus provinciam pertinebat. Rubicone enim amne Italia a Gallia Cisalpina dividitur. (2) Ibi quum ageret, multitudinis ad se confluentis devinxit animos largiendo quæ petebantur, nec quoquam dimisso nisi impetratis quæ cupiebat aut spe excitata. Reliquo etiam belli tempore non animadvertente Pompeio alternis, modo civium armis hostes domuit, modo pecuniis ab hoste captis cives captavit inque potestatem suam rede-

χειρούμενος. (3) Ἐπεὶ δὲ Βέλγας ἤκουσε δυνατωτάτους e Κελτῶν καὶ τὴν τρίτην ἁπάσης τῆς Κελτικῆς νεμομένους ἀφεστάναι πολλάς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας, ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις τοὺς μὲν ἀθρουστάτους καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. (4) Τῶν δ' ἀποστάντων οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν· ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε, Νερβίους, ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς κατῳκημένοι, γενεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς ὕλης f ἀπωτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ Καίσαρι ποιουμένῳ χάρακα καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν μάχην ἑξακισμύριοι τὸ πλῆθος ὄντες αἰφνιδίως προσέπεσον καὶ τοὺς μὲν ἱππεῖς ἐτρέψαντο, τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες ἅπαντας ἀπέκτειναν τοὺς ταξιάρχους. Εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους ἐνέ-
718 βαλε τοῖς βαρβάροις, καὶ ἀπὸ τῶν ἄκρων τὸ δέκατον a κινδυνεύοντος αὐτοῦ κατέδραμε καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων, οὐδεὶς ἂν δοκεῖ περιγενέσθαι· νῦν δὲ τῇ Καίσαρος τόλμῃ τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι τρέπονται μὲν οὐδ' ὣς τοὺς Νερβίους, κατακόπτουσι δὲ ἀμυνομένους· πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι λέγονται, βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.

XXI. Ταῦτα ἡ σύγκλητος πυθομένη πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς θεοῖς καὶ σχολάζειν ἑορτάζοντας, ὅσας ἐπ' οὐδεμιᾷ νίκῃ πρότερον. Καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσούτων ἀναῤῥαγέντων, καὶ τὸ νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ b νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. (2) Καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν Γαλατίαν πάλιν ἐν τοῖς περὶ Πάδον χωρίοις διεχείμαζε συσκευαζόμενος τὴν πόλιν. Οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες ἐκείνῳ χρώμενοι χορηγῷ καὶ τοῖς παρ' ἐκείνου χρήμασι διαφθείροντες τὸν δῆμον ἀνηγορεύοντο καὶ πᾶν ἔπραττον, ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς αὐτὸν εἰς Λοῦκαν, Πομπήιός τε καὶ Κράσσος καὶ Ἄππιος ὁ τῆς Σαρδῶνος ἡγεμὼν καὶ Νέπως ὁ τῆς Ἰβηρίας ἀνθύπατος, ὥστε ῥαβδούχους μὲν ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας ἢ διακοσίους. (3) Βουλὴν δὲ θέμενοι διεκρίθησαν ἐπὶ c τούτοις· ἔδει Πομπήιον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι, Καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας, ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. Οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος λαμβάνοντες ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δὲ ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο, Κάτωνος μὲν οὐ παρόντος· ἐπίτηδες γὰρ αὐτὸν εἰς Κύπρον ἀπεδιοπομπήσαντο· Φαωνίου δέ, ὃς ἦν

git. (3) Posteaquam vero renuntiatum est Belgas Gallorum potentissimos et qui tertiam totius Galliæ partem tenerent, contractis multis hominum armatorum millibus, bellum moliri, magna adversus eos celeritate contendit, populantesque Romanis societate conjunctam Galliam adortus, conferto agmine malo eventu pugnantes fudit, tantaque affecit strage, ut ob cadaverum multitudinem Romanis transitus per paludes altosque fluvios daretur. (4) Ex his qui rebellaverant, ad Oceanum accolentes omnes, ne tentato quidem prœlio, deditionem fecerunt. Inde in Nervios Cæsar duxit, omnium Gallorum ferocissimos atque bellicosissimos. Hi quum saltus densissimos incolerent, medio cujusdam silvæ recessu uxoribus cum liberis atque facultatibus repositis, sexaginta millium multitudine Cæsarem castra facientem neque tum pugnam exspectantem subito invaserunt, et fuso equitatu duodecimam septimamque legionem circumdederunt, centurionesque omnes interfecerunt. Quod nisi Cæsar ipse arrepto scuto per suos in primam aciem processisset, impetumque in barbaros dedisset, eoque in tali periculo constituto decima legio a tumulis decurrisset ordinesque hostium dissipasset, nemo videtur ea die Romanus evasurus cædem fuisse. Nunc Cæsaris audacia incitati, supra vires, ut dicitur, pugnantes, Nervios non pepulere quidem, sed resistentes prope occidione occiderunt; quippe de sexaginta millibus vix quingenti, de quadringentis senatoribus tres cladi superfuerunt.

XXI. Hæc quum senatui essent renuntiata, quindecim dierum (quod pro nulla ante unquam factum fuit victoria) decreta est supplicatio. Nam et periculi magnitudinem tot populorum simul facta rebellio ostendebat, et victoriæ splendorem benevolentia erga Cæsarem augebat. (2) Ipse vero Gallicis rebus compositis, rursus circa Padum hiemabat atque urbem callide sibi conciliare studebat. Non enim ii modo qui magistratus petebant, ipso suppeditante pecuniam, populum corrumpebant et dignitates quas vellent consecuti, omnia quæ ad potentiam Cæsaris conducerent augendam agebant, sed et ad eum plerique illustrissimorum amplissimorumque virorum Lucam convenerunt, Pompeius, Crassus, Appius Sardiniæ præfectus, Nepos Hispaniæ proconsul, ita ut lictores ibi tum centum viginti, senatorii viri ducentis plures fuerint. (3) Consiliis inter se collatis digressi sunt his conditionibus, ut Pompeius ac Crassus consules constituerentur, Cæsari provincia in aliud quinquennium et pecunia ex ærario decerneretur. Quod quidem nemini cordato non est visum absurdissimum, eos qui tantum a Cæsare pecuniæ accepissent, senatui decernendæ ei tanquam indigenti pecuniæ auctores esse, aut invito potius gementique id extorquere decretum. Cato tum aberat, quem isti de industria in Cyprum amandaverant. Favonius autem qui erat Catonis imitator, quum

ζηλωτὴς Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλλομένου διὰ θυρῶν καὶ βοῶντος εἰς τὸ πλῆθος. d Ἀλλὰ προσεῖχεν οὐδείς, τῶν μὲν Πομπήιον αἰδουμένων καὶ Κράσσον, οἱ δὲ πλεῖστοι Καίσαρι χαριζόμενοι καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.

XXII. Τραπόμενος δὲ αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ δυνάμεις, πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν Ῥῆνον διαβεβηκότων· Οὐσίπας καλοῦσι τοὺς ἑτέρους, τοὺς δὲ Τεντερίτας. (2) Περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν, ὡς οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν ἐν σπονδαῖς ἐπιθοῖντο καθ' ὁδὸν καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ πεντακισχιλίους ὄντας ἱππεῖς ὀκτα- e κοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοι τοῖς βαρβάροις τὸ στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν εὐήθειαν ἡγούμενος. (3) Τανύσιος δὲ λέγει Κάτωνα, τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ σπονδὰς καὶ θυσίας, ἀποφήνασθαι γνώμην, ὡς ἐκδοτέον ἐστὶ τὸν Καίσαρα τοῖς βαρβάροις ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. Τῶν δὲ διαβάντων αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα μυριάδες f ἦσαν, ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο Σούγαμβροι, Γερμανικὸν ἔθνος. (4) Καὶ ταύτην λαβὼν αἰτίαν ἐπ' αὐτοὺς ὁ Καῖσαρ, ἄλλως δὲ δόξης ἐφιέμενος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι τὸν Ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα καὶ κατ' ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα καὶ τραχὺν καὶ ῥοώδη καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν.
719 a Ἀλλὰ ταῦτα προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος καὶ χαλινώσας τὸ προσπῖπτον ῥεῦμα τῷ ζεύγματι πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν.

XXIII. Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντῆσαι τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ Γερμανικοῦ Σουήβων εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαρρύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους, ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν εἴκοσι δυεῖν δεούσας b ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς. (2) Ἡ δὲ ἐπὶ τοὺς Βρεττανοὺς στρατεία τὴν μὲν τόλμαν εἶχεν ὀνομαστήν· πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν ἐπέβη στόλῳ καὶ διὰ τῆς Ἀτλαντικῆς θαλάττης στρατὸν ἐπὶ πόλεμον κομίζων ἔπλευσε· καὶ νῆσον ἀπιστουμένην ὑπὸ μεγέθους καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γενομένης οὐδὲ οὔσης πέπλασται, κατασχεῖν ἐπιθέμενος προήγαγεν ἔξω τῆς οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. (3) Δὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέρας Γαλατίας καὶ μάχαις πολλαῖς κακώσας τοὺς πολεμίους μᾶλλον ἢ τοὺς ἰδίους ὠφελήσας, οὐδὲν γὰρ ὅ τι καὶ λαβεῖν ἦν c

in senatu diu frustra reclamasset, e curia se proripuit, et apud multitudinem magnis clamoribus questus est, quum quidem nemo dicta ejus curaret, aliis Pompeium et Crassum verentibus, aliis Cæsari, in quo ipsis erant omnia, cupientibus.

XXII. Cæsar postquam in Galliam ad copias rediit, magnum iis in regionibus bellum offendit, quod duo magni Germaniæ populi, Usipetes et Tenchteri, Rhenum habitationis quærendæ causa transiissent. (2) De pugna cum his facta ipse in Commentariis scribit, eos missis ad se legatis in itinere per inducias ex improviso equitatum ipsius (erant autem quinque millia Cæsarianorum equitum) octingentis equitibus adortos in fugam vertisse; misisse deinde iterum fallendi causa legatos, quos ipse detinuerit et exercitum in hostem duxerit, stoliditatem ratus fidem erga homines ita infidos ac perjuros. (3) Tanusius quidem scribit, quum senatus victoriæ ejus causa supplicationem decerneret, Catonem sententiam tulisse, dedendum esse barbaris Cæsarem, expiandamque urbis nomine violationem fœderum vertendasque in sontem exsecrationes. Cæsa autem fuerunt Germanorum qui Rhenum transierant, quadringenta millia; paucos, qui reverterunt, Sicambri exceperunt, Germanica gens. (4) Hanc nactus ansam Cæsar, qui alioquin gloriæ studiosus primus cum exercitu Rhenum transiisse dici cuperet, ponte Rhenum instravit, quo maxime loco is et latus admodum est et rapidus turgidusque, ita ut trunci ac ligna secundo amne devecta pontis fulcra vehementer concuterent. Contra hoc Cæsar sublicas ligneas validas et robustas objecit, flumini impactas, quibus vis undarum frangeretur, pontemque decem omnino diebus absolvit, opus fide superius.

XXIII. Traductis ea copiis, quum nemo occurrere auderet, sed Suevi etiam, quorum prima est inter Germanos laus, intra densas ac silvis obsitas convalles se recepissent, quum duodeviginti dies in Germania hostium regionem incendiis vastando, sociosque quoscumque Romanorum confirmando, exeg'sset, in Galliam rediit. (2) Nobilis etiam conatus Britannicæ expeditionis est. Primus enim cum classe occiduum Oceanum intravit ac per Atlanticum mare copias ad bellum vexit et insulam incredibilis magnitudinis ac quæ permultis scriptoribus contendendi materiam præbuit, quum quidam nihil nisi nomen esse eam putarent, occupare aggressus, Romanorum imperium extra orbem terrarum propagavit. (3) Bis ex opposita Gallia in eam insulam trajecit; quumque multis prœliis majora Britannis damna quam suis commoda attulisset (nihil enim fere erat, quod hominibus inopem et laboriosam vitam tole-

ἄξιον ἀπ' ἀνθρώπων κακοβίων καὶ πενήτων, οὐχ οἷον ἐβούλετο τῷ πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ' ὁμήρους λαβὼν παρὰ τοῦ βασιλέως καὶ ταξάμενος φόρους ἀπῆρεν ἐκ τῆς νήσου. (4) Καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ τελευτήν· τελευτᾷ δὲ τίκτουσα παρὰ Πομπηΐῳ. Καὶ μέγα μὲν αὐτὸν ἔσχε Πομπήιον, μέγα δὲ Καίσαρα πένθος, οἱ δὲ φίλοι συνεταράχθησαν, ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἄλλα νοσοῦσαν τὴν πολιτείαν φυλαττούσης οἰκειότητος λελυμένης. Καὶ γὰρ d τὸ βρέφος εὐθὺς οὐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν ἐτελεύτησε. Τὴν μὲν οὖν Ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς τὸ Ἄρειον ἤνεγκε πεδίον κἀκεῖ κηδευθεῖσα κεῖται.

XXIV. Τοῦ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένου, πάντα μὲν αὖθις ἀνεῤῥήγνυτο τὰ τῶν Γαλατῶν καὶ στρατοὶ μεγάλοι περιιόντες ἐξέκοπτον τὰ χειμάδια καὶ προσεμάχοντο τοῖς χαρακώμασι τῶν Ῥωμαίων, οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων μετὰ Ἀμβιόριγος e Κότταν μὲν αὐτῷ στρατοπέδῳ καὶ Τιτύριον διέφθειραν, τὸ δὲ ὑπὸ Κικέρωνι τάγμα μυριάσιν ἓξ περισχόντες ἐπολιόρκουν καὶ μικρὸν ἀπέλιπον ᾑρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων. (2) Ὡς δὲ ἠγγέλη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιστρέψας καὶ συναγαγὼν ἑπτακισχιλίους τοὺς σύμπαντας ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. Τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ' ἀπήντων ὡς ἀναρπασόμενοι τῆς ὀλιγότητος καταφρονήσαντες. Κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεὶ καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ' ὀλίγων, φράγνυται f στρατόπεδον καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας ἐνοικοδομεῖν ὡς δεδοικότας ἠνάγκαζε καταφρονηθῆναι στρατηγῶν, μέχρι οὗ σποράδην ὑπὸ θράσους προσβάλλοντας ἐπεξελθὼν ἐτρέψατο καὶ πολλοὺς αὐτῶν διέφθειρε.

XXV. Τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα Γαλατῶν κατεστόρεσε καὶ τοῦ χειμῶνος αὐτὸς ἐπιφοιτῶν τε πανταχόσε καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. Καὶ γὰρ ἧκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολω-
720 λότων αὐτῷ τρία τάγματα, Πομπηΐου μὲν ἐκ τῶν a ὑφ' αὐτὸν δύο χρήσαντος, ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ Πάδον Γαλατίας. (2) Πόῤῥω δὲ τούτων αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τοῦ μεγίστου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ πολέμων ἀνεφαίνοντο, ῥωσθεῖσαι πολλῇ μὲν ἡλικίᾳ καὶ πανταχόθεν ὅπλοις ἀθροισθείσῃ, μεγάλοις δὲ πλούτοις εἰς ταὐτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις. Τότε δὲ καὶ χειμῶνος ὥρᾳ πάγοι ποταμῶν καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ καὶ πεδία χειμάῤῥοις ἐπιλελιμνασμένα καὶ πῆ μὲν ἀτέκμαρτοι

rantibus eriperet) non quali statuerat exitu bellum finiit, sed acceptis a rege obsidibus et stipendio imperato, ex insula discessit. (4) In Galliam reversus, literas accepit, quas nuntii fuerant ad ipsum in Britanniam delaturi; his amici eum certiorem de obitu Juliæ filiæ Pompeio nuptæ faciebant, quæ in partu perierat. Magnum is casus Cæsari, magnum Pompeio dolorem attulit, amici autem perturbabantur, existimantes vinculum, quod laborantem ceteroqui rempublicam in pace et concordia continebat, morte Juliæ ruptum. Nam et infans paucis post matrem diebus obiit. Juliam quidam invitis tribunis populus in campum Martium detulit, ibique sepeliit.

XXIV. Quum vero Cæsar copias suas magnas jam factas necessario in hiberna multa divisisset, atque ipse more suo in Italiam abiisset, omnia illico Gallica bella recruduerunt; et Galli magnis cum exercitibus circumeuntes exscindebant hiberna, oppugnabantque castra Romanorum. Maxima et validissima pars rebellantium duce Ambiorige Cottam et Titurium cum ipso exercitu necaverunt, Ciceronis hiberna sexaginta hominum millibus obsederunt, ac tantum non expugnaverunt, Romanis omnibus consauciatis et virtute magis quam viribus obsidionem sufferentibus. ¶2 Cæsar, acceptis harum rerum nuntiis, tametsi procul a suis abesset, statim tamen eo conversus, septem millibus militum contractis ad eripiendum obsidione Ciceronem properavit. Obsidentes, ejus adventu cognito et contempta paucitate, obviam contendunt, quasi ad internecionem cæsuri Cæsarem. At Cæsar callide subterfugere, locum nactus qui paucis adversum multos pugnaturis esset commodus, castra munire, suos prœlio abstinere, vallum altius exstrui et portas obstrui metu simulato jubere, ita se hostibus in contemptum adducere, donec eos ex ferocia sparsim effusos subito adortus fudit et magna clade affecit.

XXV. Hoc factum plerasque Gallorum qui in Belgico sunt defectiones repressit, et ipse per hiemem circum oppida passim proficiscebatur, ac ne quid novarum rerum exsisteret observabat. Nam in locum amissorum militum tres ei legiones Roma missæ advenerant, quarum duas de suis militibus ei Pompeius utendas dedit, tertia ex Gallia Togata recens collecta fuit. (2) Interim in diversa procul parte defectio, cujus jam pridem inter bellicosissimos et potentissimos homines jacta erant et alita semina, in maximum et periculosissimum illuc erupit bellum, confirmata ingentibus hominum valida ad militiam ætate copiis et cum armis undique accurrentium, collatis in unum maximis opibus ac divitiis; ad hæc validæ urbes et regiones difficilibus munitæ accessibus; et tunc hiberno tempore congelati amnes, silvæ nivibus obtectæ, campi torrentibus stagnantibus perfusi, hinc itinera ob nivis altitu-

βάθει χιόνος ἀτραποί, πῇ δὲ δι' ἑλῶν καὶ ῥευμάτων b παρατρεπομένων ἀσάφεια πολλὴ τῆς πορείας παντάπασιν ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφισταμένων ποιεῖν. Ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δὲ ἦσαν Ἀρβέρνοι καὶ Καρνουτῖνοι, τὸ δὲ σύμπαν αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα Γαλάται τυραννίδα δοκοῦντα πράττειν ἀπέκτειναν.

XXVI. Οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας ᾠκειοῦτο τὴν πέριξ ἅπασαν ἄχρι τῶν πρὸς τὸν Ἄραρα κεκλιμένων, διανοούμενος, ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. Ὅπερ εἰ μι- c κρὸν ὕστερον ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον, οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν Ἰταλίαν κατέσχον. Νυνὶ δὲ ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι δοκῶν τοῖς πρὸς πόλεμον, μάλιστα δὲ καιρῷ πεφυκὼς Καῖσαρ ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν ἄρας ἐχώρει ταῖς αὐταῖς ὁδοῖς, ἃς διῆλθε, καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. (2) Ὅπου γὰρ ἄγγελον ἢ γραμματοφόρον διαδῦναι τῶν παρ' αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης ἑωρᾶτο τῆς στρατιᾶς ἅμα χώρας d λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία, καταστρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους, μέχρι καὶ τὸ τῶν Ἐδούων ἔθνος ἐξεπολεμώθη πρὸς αὐτόν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύοντες αὑτοὺς Ῥωμαίων καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι πολλὴν τῇ Καίσαρος στρατιᾷ περιέστησαν ἀθυμίαν. Διόπερ καὶ κινήσας ἐκεῖθεν ὑπερέβαλε τὰ Λιγγονικὰ βουλόμενος ἅψασθαι τῆς Σηκουανῶν φίλων ὄντων καὶ προκειμένων τῆς Ἰταλίας πρὸς τὴν ἄλλην Γαλατίαν. (3) Ἐνταῦθα δὲ αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων καὶ περισχόντων μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι τοῖς μὲν ὅλοις καταπολε- e μῶν ἐκράτησε χρόνῳ πολλῷ καὶ φόνῳ καταβιασάμενος τοὺς βαρβάρους, ἔδοξε δὲ κατ' ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρβέρνοι ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον· ὃ θεασάμενος αὐτὸς ὕστερον ἐμειδίασε καὶ τῶν φίλων καθελεῖν κελευόντων οὐκ εἴασεν ἱερὸν ἡγούμενος.

XXVII. Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν συνέφυγον. Καὶ πολιορκοῦντι ταύτην Καίσαρι δοκοῦσαν ἀνάλωτον εἶναι μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος f ἔξωθεν. Ὃ γὰρ ἦν ἐν Γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν, ἐν ὅπλοις ἧκον ἐπὶ τὴν Ἀλησίαν, τριάκοντα μυριάδες· αἱ δὲ ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα μυριάδων, ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα κατειλημμένον καὶ πολιορκούμενον ἀναγκασθῆναι διττὰ τείχη προβαλέσθαι,
721 τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δὲ ἀπὸ τῶν ἐπεληλυθότων, ὡς, a

dinem incerta, hinc ob paludes et amnes aversos perplexa videbantur Cæsarem impeditura, ne de rebellantibus pœnas sumere posset. Desciverant autem a fide Romanorum multi populi, quorum præcipui erant Arverni et Carnutes; summa rerum ad Vercingentorigem delata erat, cujus patrem Galli affectatæ tyrannidis insimulatum occiderant.

XXVI. Is copiis in multas partes divisis et singulis partibus suis præfectis ducibus, ad defectionem vicinas omnes usque ad Ararim regiones pertraxit, in animo habens quod jam tum Romæ coitio esset adversus Cæsarem facta, universam bello concitare Galliam. Et quidem si hoc paulo post molitus fuisset, Cæsare bello jam civili implicato, haud leviores utique Cimbricis terrores Romam invasissent. Nunc qui omnibus rebus ad bellum præclare, tempore autem omnium optime nosset uti Cæsar, simul atque rem comperit, ipsis viis, quas ingressus est, ipsaque itineris celeritate et impetu ostendit barbaris, invictum se adversum eos adducere exercitum. (2) Quo enim missum ab eo nuntium aut tabellarium pervenire multo etiam tempore posse nemo credidisset, ibi ipse statim cum toto est conspectus exercitu, agros hostium vastans, munitiones exscindens, urbes subigens, eos qui factum mutarent in fidem recipiens, donec ab Heduis etiam est rebellatum. Hi quum se reliquo tempore fratres Romanorum appellassent, essentque ab iis præcipuos honores consecuti, tum se adjunxerunt rebellibus, multasque Cæsaris exercitui molestias exhibuerunt. Itaque Cæsar inde motis castris per Lingones in Sequanos contendit socios et quorum regio omnium Gallicarum prima aditur ab Italia proficiscentibus. (3) In itinere eum hostes adorti sunt, multisque hominum millibus circumfusis pugnare coactus, omnibus copiis suis in certamen commissis temporisque diuturnitate et cæde subactos compressit barbaros; tametsi initio videtur incommodum accepisse. Ostendunt enim Arverni pugionem in templo suspensum, spolium Cæsaris; quem ipse Cæsar postea quum vidisset, subrisit, amicosque tollere volentes prohibuit, sacrum esse deputans.

XXVII. Enimvero eorum qui cladem effugissent, major pars cum rege Alesiam confugerunt, urbem et murorum magnitudine, et tum defensorum multitudine prope inexpugnabilem visam. Quam quum Cæsar in obsidione haberet, periculum ei tantum, quantum verbis exprimi non potest, obtigit. Robur enim totius Galliæ, hominum armatorum trecenta millia ad Alesiam venerunt, quum in urbe essent non infra centum septuaginta millia, ita ut Cæsar utrinque gravi bello detentus, duos castris muros sit coactus circumdare, unum adversus urbem, alterum exadversus eos

εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ' αὐτόν. (2) Διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς παρασχόμενος, μάλιστα δὲ ἄν τις θαυμάσειε τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγενόμενον, μᾶλλον δὲ καὶ τῶν Ῥωμαίων τοὺς τὸ πρὸς τὴν πόλιν τεῖχος φυλάττοντας. Οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην ἢ κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκουσθῆναι θεασαμένων ἄρα κατὰ θάτερα b μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεούς, πολλοὺς δ' αἵματι πεφυρμένους θώρακας, ἔτι δ' ἐκπώματα καὶ σκηνὰς Γαλατικὰς ὑπὸ τῶν Ῥωμαίων εἰς τὸ στρατόπεδον κομιζομένας. Οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον ἢ ὄνειρον, ἠφάνιστο καὶ διεπεφόρητο, τῶν πλείστων ἐν τῇ μάχῃ πεσόντων. (3) Οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι τέλος παρέδοσαν ἑαυτούς. Ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου Οὐεργεντόριξ ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα καὶ κοσμήσας τὸν ἵππον ἐξιππάσατο διὰ τῶν πυλῶν, καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτα ἀφαλόμενος c τοῦ ἵππου τὴν μὲν πανοπλίαν ἀπέρριψεν, αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν, ἄχρι οὗ παρεδόθη φρουρησόμενος ἐπὶ τὸν θρίαμβον.

XXVIII. Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήιον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. Κράσσου γὰρ ἐν Πάρθοις ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ μὲν ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ τὸν ὄντα καταλύειν, τῷ δέ, ἵνα μὴ πάθῃ τοῦτο, προαναιρεῖν ὃν ἐδεδοίκει. (2) Τοῦτο δὲ Πομπηίῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη τέως ὑπερορῶντι Καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον ὃν αὐτὸς ηὔξησε καταλυθῆναι πάλιν d ὑπ' αὐτοῦ· Καῖσαρ δὲ ἀπ' ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος ἀπὸ τῶν ἀνταγωνιστῶν ὥσπερ ἀθλητὴς ἑαυτὸν ἀποστήσας μακρὰν καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέμοις ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων, εἰς ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηίου κατορθώμασι, λαμβάνων προφάσεις τὰς μὲν αὐτοῦ Πομπηίου, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι' ἣν οἱ μὲν ἀρχὰς μετιόντες ἐν μέσῳ θέμενοι τραπέζας ἐδέκαζον ἀναισχύντως τὰ πλήθη, κατῄει δὲ ὁ δῆμος ἔμμισθος οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις e ἁμιλλώμενος. Αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύνοντες τὸ βῆμα διεκρίθησαν ἀναρχίᾳ τὴν πόλιν ὥσπερ ἀκυβέρνητον ὑποφερομένην ἀπολιπόντες, ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾶν, εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον, ἀλλὰ μοναρχίαν ἐκ τοιαύτης παραφροσύνης καὶ τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. (3) Πολλοὶ δὲ ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη πλὴν ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τοῦτο χρῆναι τοῦ πρᾳοτάτου τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος, ὑποδηλοῦντες τὸν f

qui recens advenerant; actum enim de se fore intelligebat si inter se copias conjungere hostibus licuisset. (2) Multis itaque nominibus celebre ad Alesiam bellum Cæsaris fuit, quod obscurum non erat, nullo unquam alio bello insigniora audaciæ ac peritiæ opera edita esse. Id vero maximam admirationem meruit, quod Cæsar non animadvertentibus qui in urbe erant hostibus, cum tot millibus conflixit, victorque discessit, idque adeo magis, quod Romanos etiam, qui murum urbi objectum custodiebant, fefellit. Non enim prius de victoria cognoverunt, quam virorum et mulierum ab Alesia ejulatum et planctum exaudierunt, qui nimirum viderent ab altera parte multa auro argentoque ornata scuta, multos sanguine conspersos thoraces, multa pocula, multa tentoria Gallica a Romanis in castra referri. Tanta celeritate magnæ istæ copiæ umbræ instar aut insomnii dilapsæ evanuerunt, plerisque in pugna occisis. (3) Qui vero Alesiæ obsidebantur, quum et se et Cæsarem diu multumque torsissent, in deditionem tandem venerunt. Totius autem belli dux Vercingentorix armis indutus pulcherrimis, equo ornato portis exiit; quumque ter in orbe circa Cæsarem, ut tum sedebat, equitasset, equo desilivit, projectisque armis ad pedes Cæsaris accessit, atque ibi quietus assedit, donec ad triumphum in custodia asservari jussus est.

XXVIII. Enimvero jam pridem Pompeium evertere Cæsar animum induxerat, sicut et hunc Pompeius. Crasso enim, quem victor uterque adversarium fuisset habiturus, in Parthis occiso, relinquebatur Cæsari ut maximus fieret, eum qui maximus erat Pompeium dejiciendi, Pompeio hunc, ne id sibi accideret, ante opprimendi consilium capere. (2) Et Pompeius quidem nuper demum sibi a Cæsare timere cœperat, quem hactenus neglexerat, existimans se quem evexisset haud difficulter dejecturum. At Cæsar, qui multo ante hoc apud animum suum proposuisset, longe se ab adversariis, velut athleta, subduxerat, bellisque Gallicis et se et copias exercuerat, ac gloria factorum rerum gestarum Pompeii famam æquaverat. Occasiones autem propositi sui exsequendi partim Pompeius ipsi, partim temporum vitia, corruptaque Romæ reipublicæ ratio suppeditabant. Quippe qui magistratus ambiebant, posita in medio mensa argentaria impudenter populum corrumpebant, isque addictis suffragiis in Campum descendebat, non votis pro largitore, sed sagittis, gladiis et fundis certaturus, ita ut sæpe sanguine et cædibus polluto tribunali discederent, urbem tanquam gubernatoris orbam effrenatæ licentiæ diripiendam relinquentes, adeo quidem ut cordati homines bene actum fore cum republica existimarent, si ad nihil eam deterius vesania tanta atque procella, quam ad unius alicujus dominationem redigerent. (3) Quin et inventi jam sunt multi, qui nisi unius imperio sanari rempublicam posse negare auderent in publico, idque remedium adhibendum esse a medico lenissimo, eique obtemperandum, Pompeium scilicet indicantes. Pompeius autem se

Πομπήιον. Ἐπεὶ δὲ κἀκεῖνος, λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος, ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα πείθουσι τὴν γερουσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικτάτωρ γενέσθαι νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς. Οἱ δὲ καὶ χρόνον ἐπεψηφίσαντο τῶν ἐπαρχιῶν· δύο δὲ εἶχεν, Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς ἀποστέλλων καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τοῦ δημοσίου ταμείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν.

722 XXIX. Ἐκ τούτου Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων a καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. Τὸ μὲν οὖν πρῶτον Πομπηίου σιωπῶντος οἱ περὶ Μάρκελλον καὶ Λέντλον ἠναντιοῦντο, μισοῦντες ἄλλως Καίσαρα καὶ τοῖς ἀναγκαίοις οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ προπηλακισμόν. Νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος ἐν Γαλατίᾳ κατῳκισμένους ἀφῃροῦντο τῆς πολιτείας· καὶ Μάρκελλος ὑπατεύων ἕνα τῶν ἐκεῖ βουλευτῶν εἰς Ῥώμην ἀφικόμενον ᾔκιστο ῥάβδοις, ἐπιλέγων ὡς ταῦτα τοῦ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ, καὶ δεικνύειν ἀπιόντα Καίσαρι κελεύει. (2) Μετὰ δὲ Μάρκελλον, ἤδη Καί- b σαρος τὸν Γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥύδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις καὶ Κουρίωνα μὲν δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, Παύλῳ δὲ ὑπατεύοντι χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαστὸν ἀνάθημα, τῇ ἀγορᾷ προσεκόσμησεν ἀντὶ τῆς Φουλβίας οἰκοδομηθεῖσαν, οὕτω δὴ φοβηθεὶς τὴν σύστασιν ὁ Πομπήιος ἀναφανδὸν ἤδη δι' ἑαυτοῦ καὶ τῶν φίλων ἔπραττεν ἀποδειχθῆναι διάδοχον Καίσαρι τῆς ἀρχῆς, καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας, οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς Κελτικοὺς ἀγῶνας. Ὁ δὲ ἀποπέμπει δωρησάμενος c ἕκαστον ἄνδρα πεντήκοντα καὶ διακοσίαις δραχμαῖς. (3) Οἱ δὲ τούτους Πομπηίῳ κομίσαντες εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ Καίσαρος, αὐτὸν δὲ Πομπήιον ἐλπίσι κεναῖς διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς Καίσαρος στρατιᾶς· καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον καὶ πολιτείας ὑπούλου μόλις ἔχοντα, τῆς δὲ ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ κἂν μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον· οὕτω γεγονέναι τὸν Καίσαρα πλήθει στρατειῶν λυπηρὸν αὐτοῖς καὶ φόβῳ μοναρχίας ὕποπτον. (4) Ἐπὶ τούτοις Πομπήιος ἐχαυνοῦτο, καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν, ὡς μὴ δεδοικώς, d λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο τῷ δοκεῖν Καίσαρα καταψηφιζόμενος. Ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν· ἀλλὰ λέγεταί τινα τῶν ἀφιγμένων παρ' αὐτοῦ ταξιαρχῶν ἑστῶτα πρὸ τοῦ βουλευτηρίου καὶ πυθόμενον, ὡς οὐ δίδωσιν ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς· « Ἀλλ' αὕτη, φάναι, δώσει, » κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

XXX. Οὐ μὴν ἀλλ' ἥ γε παρὰ Καίσαρος ἀξίωσις τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. Ἠξίου

id recusare speciose simulans, re ipsa hoc unum summo studio agebat, ut dictatorem se dici efficeret; id quod Cato intelligens, senatui persuasit uti eum solum consulem crearet, ut legitimo utcumque magistratu delinitus, contentionem dictaturæ adipiscendæ abjiceret. Quin et provinciarum ejus tempus prorogatum est; obtinebat autem duas Hispanias et Africam universam, quas missis legatis administrabat, ex ærario quotannis acceptis mille talentis exercitus alebat.

XXIX. Interim Cæsar per nuntios consulatum et provinciarum prorogationem petit. Ibi primum tacente Pompeio, Marcellus et Lentulus odio Cæsaris petitionem ejus impugnaverunt, necessariis dictis multa supervacanea addentes, quæ ad contumeliam ejus injuriamque pertinerent. Nam Novocomensibus, quam coloniam nuper in Galliam Cæsar deduxerat, jus civitatis ademerunt, et Marcellus consul unum senatorum ejus loci Romam profectum virgis cædi jussit, addens se eum ita insigniisse, ut cognosceret se Romanum non esse: abiret, ac Cæsari ostenderet. (2) Cæsar post Marcelli hoc factum Gallicas divitias ubertim hauriendas iis qui in republica versarentur dedit, Curionem gravi ære alieno liberavit, qui tum tribunus plebis erat, Paulo consuli H. S. trecenties sexagies largitus est; ex qua pecunia is basilicam, nobile opus, foro ornandi causa adjecit, pro Fulvia exstructum. Proinde Pompeius factionis Cæsarianæ metu palam ipse, amicorum etiam adhibita opera, egit uti Cæsari successor mitteretur, misitque qui milites ab eo reposcerent, quos ad Gallicum bellum ei utendos concesserat. Remisit eos Cæsar, viritim ducentis quadraginta denariis donatos. (3) Qui autem eos ad Pompeium reduxere, ii apud vulgus sparsis de Cæsare sinistris rumoribus ipsum Pompeium inani spe productum corruperunt, desiderari eum a Cæsaris exercitu dicentes, et qui ob invidiam et vitia reipublicæ hic vix suum locum teneat, ei paratas ibi esse copias, atque, si modo Italiam attigissent, mox in ejus potestate futuras; adeo Cæsarem suis militibus ob continentes expeditiones invisum, et metu tyrannidis suspectum esse. (4) His inflatus Pompeius quasi nihil timens curam exercitus parandi dimisit, Cæsaremque, ut sibi falso persuadebat, decretis et sententiis, quas ille nihili faceret, oppugnare satis habuit. Ferunt sane quendam tribunum militum astantem curiæ, quum audiret senatum Cæsari tempus imperii non prorogare, capulo gladii manu pulsato dixisse: At hic dabit.

XXX. Verumtamen Cæsaris petitio splendidum justitiæ prætextum habebat. Postulabat enim ut tam Pompeius

γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα καὶ Πομπηίου ταὐτὸ πράξαντος ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν· ὡς τοὺς αὐτὸν μὲν ἀφαιρουμένους, e ἐκείνῳ δὲ ἣν εἶχε βεβαιοῦντας δύναμιν ἕτερον διαβάλλοντας ἕτερον κατασκευάζειν τύραννον. (2) Ταῦτα προκαλούμενος ἐν τῷ δήμῳ Κουρίων ὑπὲρ Καίσαρος ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ στεφάνους ἐπ' αὐτὸν ὥσπερ ἀθλητὴν ἀνθοβολοῦντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν Καίσαρος ὑπὲρ τούτων ἐπιστολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε καὶ ἀνέγνω βίᾳ τῶν ὑπάτων. (3) Ἐν δὲ τῇ βουλῇ Σκηπίων μὲν ὁ Πομπηίου πενθερὸς εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ κατάθηται τὰ ὅπλα Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. Ἐρωτώντων δὲ τῶν ὑπάτων, εἰ δοκεῖ Πομ- f πήιον ἀφεῖναι τοὺς στρατιώτας, καὶ πάλιν, εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι παντάπασι, τῇ δὲ πάντες παρ' ὀλίγους προσέθεντο· τῶν δὲ περὶ Ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν. Ἀλλὰ ἐκβιαζομένου Σκηπίωνος καὶ Λέντλου τοῦ ὑπάτου βοῶντος ὅπλων δεῖν πρὸς ἄνδρα λῃστήν, οὐ ψήφων, τότε μὲν διελύθησαν καὶ μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν στάσιν.

723 XXXI. Ἐπεὶ δὲ παρὰ Καίσαρος ἧκον ἐπιστολαὶ a μετριάζειν δοκοῦντος, ἠξίου γὰρ ἀφεὶς τἆλλα πάντα τὴν ἐντὸς Ἄλπεων καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρι οὗ τὴν δευτέραν ὑπατείαν μέτεισι, καὶ Κικέρων ὁ ῥήτωρ ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων ἐμάλαττε τὸν Πομπήιον· ὁ δὲ τἆλλα συγχωρῶν τοὺς στρατιώτας ἀφῄρει. Καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. Πομπηίου δὲ καμπτομένου καὶ ἐνδιδόντος οἱ περὶ Λέντλον οὐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα προπηλακίσαντες ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην b Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι καὶ δι' ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς· οὕτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῄεσαν.

XXXII. Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. Ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης καὶ τάχει καιροῦ c καταληπτέαν οὖσαν, ἐκπλήξειν γὰρ ἀπιστούμενος ῥᾷον ἢ βιάσεσθαι μετὰ παρασκευῆς ἐπελθών, τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων κατασχεῖν Ἀρίμινον, τῆς Ἰταλίας μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φόνου καὶ ταραχῆς, Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. (2) Αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ μονομάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος· μι-

quam ipse ab armis discederent et privati a civibus aliquid muneris peterent; et ostendebat qui se armis spoliarent, Pompeio imperium confirmantes, eos alterum tyrannidis accusando, alteri tyrannidem parare. (2) Has a Cæsare latas conditiones Curio apud populum proponens magno est acceptus applausu et coronæ in eum tanquam athletam conjectæ. Antonius etiam tribunus plebis epistolam Cæsaris eadem de re allatam apud populum invitis consulibus recitavit. (3) In senatu autem Scipio Pompeii socer sententiam tulit, ut Cæsar, nisi intra diem dictam ab armis discessisset, hostis judicaretur. Consulibus vero quærentibus, Pompeiusne dimittere exercitum juberetur, itemque an Cæsar, illud pauci admodum, hoc prope omnes censuerunt; quum vero Antonius postularet, uti uterque imperio se abdicaret, ab universis assensum est. Vi tamen Scipio obtinuit ac Lentulus consul, armis, non suffragiis, contra latronem opus esse vociferans, ut re infecta discederetur luctuque ob tumultum vestis mutaretur.

XXXI. Aliæ deinde Cæsaris allatæ sunt epistolæ, quibus moderate, ut videbatur, petebat uti citerior saltem Gallia et Illyricum sibi cum duabus legionibus concederetur usque ad alterius consulatus petitionem. Cicero etiam tunc e Cilicia reversus pacificationi studebat et Pompeium eo usque inflexerat, uti negatis militibus, cetera concederet, et eo rem inclinaverat, ut persuasi ab ipso Cæsaris amici, qui jam remissiores erant, nominatarum provinciarum et sex millium militum promissione contenti essent inirentque concordiam, idque jam Pompeius concederet. Verum Lentulus consul, quique ab ejus erant factione, obstiterunt, et ab his ignominiose Antonius et Curio senatu exturbati sunt, Cæsari ultro prætextum honestissimum præbentibus et qui ad animos militum irritandos plurimum conduceret; ostendebat enim eis viros insignes, et qui cum magistratu fuissent, servili habitu (nam ita se Roma fugientes metus causa composuerant) rheda meritoria ad se profugisse.

XXXII. Habebat secum Cæsar haud plures trecentis equites et legionariorum militum quinque millia; reliquum exercitum trans Alpes relictum missi erant qui adducerent. Videns autem initium rerum, quas aggrediebatur, in præsentia non tam multitudine militum opus habere, quam celeritate et terrore hostibus injecto (facilius enim se eos improviso impetu perterrefacturum, quam armis coacturum), tribunos et centuriones jussit absque armis reliquis, solis gladiis succinctos, Ariminum occupare, magnam Italiæ urbem, et quantum ejus fieri posset, a cædibus et tumultu abstinere, eosque Hortensio ducendos tradidit. (2) Ipse interdiu in conspectu omnium exercitia gladiatorum

χρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα καὶ συγγενόμενος βραχέα τοῖς παρακεκλημένοις ἐπὶ τὸ δεῖπνον, ἤδη συσκοτάζοντος ἐξανέστη, d τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον, ὀλίγοις δὲ τῶν φίλων προείρητο μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δὲ ἄλλῃ διώκειν. (3) Αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς, ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν διορίζοντα τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμόν (Ῥουβίκων καλεῖται) καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ καὶ περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων, καὶ τροπὰς ἔσχεν αὐτῷ τό τε e βούλευμα πλείστας, πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίνιος, συνδιηπόρησεν ἀναλογιζόμενος, ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι. (4) Τέλος δὲ μετὰ θυμοῦ τινος ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπὼν, « Ἀνεῤῥίφθω κύβος, » ὥρμησε πρὸς f τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον καὶ κατέσχε. Λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν.

XXXIII. Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν
724 ἐκπλήξει διαφοιτᾶν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐ- a τὰς ἀνισταμένας φυγῇ διαφέρεσθαι δι' ἀλλήλων, τὴν δὲ Ῥώμην ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτε ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν οὔτε λόγῳ καθεκτὴν, ἐν πολλῷ κλύδωνι καὶ σάλῳ μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι. Πάθη γὰρ ἀντίπαλα καὶ βίαια κατεῖχε κινήματα πάντα τόπον. Οὐδὲ γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπῖπτον ἐν μεγάλῃ πόλει καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος δι' ἐρίδων ἦν, αὐτόν τε Πομπήιον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάραττε, τοῖς μὲν, ὡς ηὔξησε Καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας, εὐθύνας ὑπέ- b χοντα, τῶν δὲ, ὅτι παρείκοντα καὶ προτεινόμενον εὐγνώμονας διαλύσεις ἐφῆκε τοῖς περὶ Λέντλον ὑβρίσαι, κατηγορούντων. (2) Φαώνιος δὲ αὐτὸν ἐκέλευε τῷ ποδὶ κτυπεῖν τὴν γῆν, ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον οὐδὲν εἴα πολυπραγμονεῖν οὐδὲ φροντίζειν ἐκείνους τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ, ὅταν ἐπίῃ, κρούσας τὸ ἔδαφος τῷ ποδὶ στρατευμάτων ἐμπλήσειν τὴν Ἰταλίαν. (3) Οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει

spectavit; paullum ante vesperam curato corpore in triclinium ingressus et haud diu apud eos, qui erant ad cœnam vocati, moratus, jam tenebris se intendentibus abiit, salutatis ceteris et suum reditum exspectare jussis, paucis autem amicorum mandaverat uti alia alii via se sequerentur. (3) Ipse meritorio curru primum alia via, deinde ea quæ ad Ariminum tendit, vectus, ad Rubiconem fluvium pervenit, qui Italiam a Gallia Cisalpina dividit. Hic eum propiorem jam facinori, quod proposuerat gravissimum, ac præ magnitudine conatus sui veluti vertigine circumactum, variæ gravesque cogitationes subierunt: itaque inhibito cursu substitit, diuque tacitus secum in utramque partem rem deliberavit. Consiliumque ejus quum plurimas habuit mutationes, tum multa etiam cum amicis, inter quos fuit Asinius Pollio, commentatus, quantorum malorum omnibus hominibus istius fluvii transitus esset præbiturus initium, et quæ de eo judicia posteritatis futura essent. (4) Tandem animi fervore quodam, veluti eventui se valere jussis rationibus committens, ac præfatus id, quod solent qui dubiæ se fortunæ et incertis periculis credunt: Jacta esto alea, transiit amnem; cursuque deinde pergens, ante lucem Ariminum pervenit, idque occupavit. Ferunt proxima qua Rubiconem transiit nocte nefarium habuisse insomnium: nempe se cum matre nefande corpus miscere.

XXXIII. Occupato Arimino, bellique jam tanquam latis plateis in omnes terras et maria aperto aditu, ac confuso simul cum provinciarum limitibus jure reipublicæ Romanæ; non jam, ut alias fieri solet, consternatione hominum oborta viros et mulieres per Italiam discurrere vidisses, sed ipsas adeo urbes certatim ac promiscue fugere; Romam vero fuga atque migratione circumjectorum populorum veluti fluviorum illuvie oppletam, neque cujusquam jam dicto audientem esse, neque oratione temperari posse, sed in tanto æstu atque procellis, tantum non ipsam a se ipsa subverti. Contrarii enim affectus et vehementes motus ubique locorum exsistebant, quum ne ii quidem, qui gaudio afficiebantur, quiescerent, sed spe eventus ferocirent et passim cum timentibus sibi ac dolentibus in vasta urbe concurrentes contenderent. At Pompeium attonitum alii aliter perturbare: hi, quod evexisset Cæsarem contra se et rempublicam, pœnas eum dare dicentes; illi culpantes, quod cedentem jam et æquas ferentem conditiones a Lentulo contumeliis affici passus esset. (2) Favonius pede eum terram percutere jubebat, quod elatius aliquando in senatu verba faciens, nihil eos de belli apparatu sollicitos esse jusserat, se, si quando Cæsar ad urbem moveret, ut primum pede solum pulsasset, exercitibus Italiam impleturum. (3) Et vero tunc Pompeio quam Cæsari ampliores erant copiæ:

δυνάμεως ὑπερέβαλεν ὁ Πομπήιος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλὰ ὑπ' ἀγγελμάτων πολλῶν καὶ ψευδῶν καὶ φόβων, c ὡς ἐφεστῶτος ἤδη τοῦ πολεμίου καὶ πάντα κατέχοντος, εἴξας καὶ συνεκκρουσθεὶς τῇ πάντων φορᾷ καὶ ψηφίζεται ταραχὴν ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε κελεύσας ἕπεσθαι τὴν γερουσίαν καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

XXXIV. Οἱ μὲν οὖν ὕπατοι μηδὲ ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ πλεῖστοι τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅ τι τύχοιεν ὥσπερ ἀλλοτρίων λαμβάνοντες. Εἰσὶ δὲ οἳ καὶ σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογισμῶν καὶ συμπαρηνέχθησαν d οὐδὲν δεόμενοι τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. Οἰκτρότατον δὲ τὸ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐκπεσεῖν νομιζομένης. (2) Ἀλλά, καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄνθρωποι πατρίδα διὰ Πομπήιον ἡγοῦντο, τὴν δὲ Ῥώμην ὡς Καίσαρος στρατόπεδον ἐξέλειπον· ὅπου καὶ Λαβιηνός, ἀνὴρ ἐν τοῖς μάλιστα φίλοις Καίσαρος καὶ πρεσβευτὴς γεγονὼς καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς ἀφίκετο πρὸς Πομπήιον. (3) Ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν e ὁ Καῖσαρ· Δομετίῳ δὲ ἡγουμένῳ σπειρῶν τριάκοντα καὶ κατέχοντι Κορφίνιον ἐπελθὼν παρεστρατοπέδευσεν. Ὁ δὲ ἀπογνοὺς τὰ καθ' ἑαυτὸν ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον καὶ λαβὼν τὸ δοθὲν ἔπιεν ὡς τεθνηξόμενος. Μετ' ὀλίγον δὲ ἀκούσας τὸν Καίσαρα θαυμαστῇ τινι φιλανθρωπίᾳ χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὑτὸν ἀπεθρήνει καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ᾐτιᾶτο. Τοῦ δ' ἰατροῦ θαῤῥύναντος αὐτόν, ὡς ὑπνωτικόν, οὐ θανάσιμον πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῄει πρὸς Καίσαρα καὶ λαβὼν δεξιὰν αὖθις διεξέπεσε πρὸς Πομπήιον. Ταῦτα εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα f τοὺς ἀνθρώπους ἡδίους ἐποίει, καί τινες φυγόντες ἀνέστρεψαν.

XXXV. Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομετίου στρατιὰν παρέλαβε καὶ τοὺς ἄλλους, ὅσους ἐν ταῖς πόλεσι Πομπηίῳ στρατολογουμένους ἔφθασε καταλαβών. Πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς ἐπ' αὐτὸν ἤλαυνε Πομπήιον. Ὁ δὲ οὐχ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντέσιον φυγὼν τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ
725 δυνάμεως εἰς Δυῤῥάχιον, αὐτὸς δὲ ὀλίγον ὕστερον ἐπελ- a θόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστον δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν ἀπορία νεῶν ἦν· εἰς δὲ τὴν Ῥώμην ἀνέστρεψε γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος. (2) Ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα καθεστῶσαν καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνούς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς πρὸς Πομ-

sed nemo eum suis uti consiliis sinebat. Itaque victus multitudine falsorum rumorum atque terrorum, tanquam omnibus jam ab hoste occupatis, eoque jam imminente, abreptus communi hominum impetu, tumultum esse decernit et urbe excedit, jusso sequi senatu, et omnibus qui patriam et libertatem tyrannide antiquiorem haberent.

XXXIV. Consules ne iis quidem sacris, quæ ante exitum fieri leges jubent, peractis fugerunt; fugiebant et senatorum plerique, obiter de suis, tanquam aliena si essent, quædam abripientes secum. Fuerunt etiam qui quum ante Cæsaris partes secuti essent, tamen tunc stupore excussi consiliis unà procella fugæ ejus, nulla sua necessitate, abriperentur. Miserrimum vero fuit spectaculum urbis, quum ea veluti navis ingenti ingruente tempestate, rectoribus jam desperantibus, ad quemcumque fortuna obtulisset locum, ejectum iri videretur. (2) Nihilominus, quamvis ea migratio esset miserrima, fugam tamen Romani ob Pompeium pro patria habuerunt et Romam, tanquam Cæsaris castra, reliquerunt; quando Labienus etiam, præcipuus inter amicos Cæsaris, quique ejus bellis Gallicis legatus fuisset et in omnibus rebus promptissimam ei navasset operam, ab eo ad Pompeium perfugit. (3) Huic quidem Cæsar pecuniam et impedimenta ejus transmisit. Domitius triginta cum cohortibus Corfinium obtinebat : is quum admoto exercitu Cæsar eum obsedisset, rebus suis desperatis, a servo medico venenum poposcit, idque ut moriturus bibit. Statim vero audito Cæsarem mira humanitate captos hostes prosequi, deploravit suam sortem et consilii celeritatem, quumque eum medicus bono esse animo jussisset et somniferum, non letale bibisse venenum ostendisset, incredibili gaudio affectus surrexit et Cæsarem adiit, ab eoque benigne acceptus, iterum ad Pompeium profugit. Hæc Romam renuntiata hominum animos delinivere, ita ut multi se a fuga in Urbem reciperent.

XXXV. Cæsar Domitianis militibus et quoscumque alios per oppida Pompeii nomine conductos deprehendit, in suam potestatem redactis, magnis jam auctus copiis et terribilis, adversus ipsum contendit Pompeium. Sed is adventum ejus haudquaquam præstolatus, præmissis Dyrrhachium cum exercitu consulibus, Brundusium fugit, et paullo post Cæsare eo insequente inde solvit, quæ singulatim omnia in Vita ejus persequemur. Cæsaris autem Pompeium statim insequendi consilium penuria navium impediit. Redacta in potestatem suam spatio dierum sexaginta universa absque sanguine Italia, Romam venit. (2) Ibi quum res exspectatione sua pacatiores offendisset compluresque senatores, hos benigno sermone popularique compellavit, hortatusque est ut ad Pompeium legatos de pace tolerabilibus conditionibus

πήιον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις· ὑπήκουσε δ' οὐδεὶς, εἴτε φοβούμενοι Πομπήιον ἐγκαταλελειμμένον, εἴτε μὴ νομίζοντες οὕτω Καίσαρα φρονεῖν, b ἀλλ' εὐπρεπείᾳ λόγων χρῆσθαι. (3) Τοῦ δὲ δημάρχου Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· « Σὺ δ' εἰ τοῖς πραττομένοις δυσχολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος· ὅταν δὲ καταθῶμαι τὰ ὅπλα συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις. Καὶ ταῦτα, ἔφη, λέγω τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος· ἐμὸς γὰρ εἶ καὶ σὺ καὶ πάντες, ὅσους εἴληφα τῶν πρὸς ἐμὲ στασιασάντων. » (4) Ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμείου. c Μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος ἐκκόπτειν ἐκέλευεν· αὖθις δὲ ἐνισταμένου τοῦ Μετέλλου καί τινων ἐπαινούντων, διατεινάμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. « Καὶ τοῦτο, ἔφη, μειράκιον, οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι. » Οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα καὶ τἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

XXXVI. Ἐστράτευε δ' εἰς Ἰϐηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάῤῥωνα Πομπηίου πρεσϐευτὰς ἐκϐαλεῖν καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρ- d χίας ὑφ' αὑτῷ ποιησάμενος, οὕτως ἐπὶ Πομπήιον ἐλαύνειν μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολιπόμενος. Κινδυνεύσας δὲ καὶ τῷ σώματι πολλάκις κατ' ἐνέδρας καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας ἢ κύριος βίᾳ γενέσθαι τῶν στρατοπέδων καὶ τῶν δυνάμεων. Οἱ δὲ ἡγεμόνες ᾤχοντο πρὸς Πομπήιον φεύγοντες.

XXXVII. Ἐπανελθόντα δὲ εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήιον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. Αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ e τῆς βουλῆς φυγάδας τε κατήγαγε καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων οὐ πολλῶν, ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν καὶ Σερουίλιον Ἰσαυρικὸν εἴχετο τῆς στρατείας. (2) Καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δὲ ἔχων λογάδας ἑξακοσίους καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου Ἰαννουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν Ἀθηναίοις) ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαϐαλὼν τὸν Ἰόνιον Ὤρικὸν καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντέσιον ἐπὶ τοὺς ὑστερή- f σαντας τῇ πορείᾳ στρατιώτας. (3) Οἱ δὲ ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι καὶ πρὸς τὰ πλήθη τῶν πολέμων ἀπειρηκότες, ἐν αἰτίαις

componenda mitterent; nemo tamen obtemperavit, sive quod Pompeium a se desertum metuerent, seu quod præter animi sententiam simulari hæc a Cæsare putarent. (3) Metello autem tribuno plebis pecuniam ex ærario auferre prohibenti Cæsar legesque prætendenti, « Non, inquit, idem est armorum atque legum tempus : tu, si tibi quæ geruntur displicent, hinc te age; non enim libertatem dicendi bellum admittit; ubi arma deposuero et bellum compositum erit, tunc redibis, si libet, et popularia ista perorabis. Et hæc ego tibi dico, de meo decedens jure, meus enim tu es et omnes quos de adversa factione cepi. » (4) Hoc locutus, ad ærarium perrexit. Quumque claves nusquam inveniret, accitis fabris fores effringi jussit. Ibi rursus instantem Metellum, et a nonnullis laudatum, interfecturum se, nisi finem obturbandi fecisset, nervose minatus est, addens : Haud quidem te, o adolescentule, fallit, difficilius mihi hoc dictu esse quam factu. Id dictum fecit ut et Metellus perterritus discederet et reliqua Cæsari facilius ac celerius, quibus ad bellum opus erat, subministrarentur.

XXXVI. Proinde in Hispaniam expeditionem fecit, quod statuisset primo Afranium et Varronem legatos Pompeii inde profligare, provinciaque ea et copiis potitus, ac nullo a tergo relicto hoste, ita demum Pompeium persequi. Eo bello quum et insidiis sæpe petitus in discrimen vitæ venisset et exercitus ejus fame præsertim laborasset, tamen insequendi, provocandi et munitionibus circumveniendi hostes non ante finem fecit, quam castra eorum et exercitum caperet, ducibus ad Pompeium fuga se conferentibus.

XXXVII. Reversum inde Romam Piso, socer ejus, hortatus est, uti ad Pompeium pacis contrahendæ causa legatos mitteret, Isauricus autem Cæsaris studio ductus contradixit. Cæsar ex eo dictator constitutus a senatu, exsules reduxit et a Sylla proscriptorum liberis petitionem magistratuum concessit debitoresque fœnorum quadam diminutione sublevavit, alia id genus haud multa egit, intra diem undecimum dictatura se abdicavit, consulque cum Servilio Isaurico a se ipso factus, bellum prosecutus est. (2) Relicto in itinere reliquo propter festinationem exercitu, cum sexcentis delectis equitibus et quinque legionibus circa brumam atque Januarii initium (qui fere mensis Atheniensium Posideoni respondet) mari se commisit, Ionio transmisso Oricum et Apolloniam cepit; inde naves remisit Brundusium, ad milites qui tardius advenerant transfretandos. (3) Hi dum essent adhuc in itinere, ut quorum jam ætate corpora languescerent, animique præ multitudine bellorum deficerent, Cæsarem incusabant. « Quis tandem, dicebant,

εἶχον τὸν Καίσαρα· « Ποῖ δὴ καὶ πρὸς τί πέρας ἡμᾶς οὗτος ὁ ἀνὴρ καταθήσεται περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε
726 πληγαῖς καὶ θυρεοῦ τις ἐστὶ φειδὼ ἐν χρόνῳ τοσούτῳ a
καὶ θώρακος. Οὐδὲ ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ, ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν; ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι δυνατόν· ἀλλ' οὗτος παραβάλλεται καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων. » (4) Τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντέσιον. Ὡς δὲ ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες ἐκάκιζον ἑαυτοὺς προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος· ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. Καθήμενοι δὲ ἐπὶ τῶν ἄκρων b
πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον ἀπεσκόπουν τὰς ναῦς, ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.

XXXVIII. Ἐν δὲ Ἀπολλωνίᾳ Καῖσαρ οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν ἀπορούμενος καὶ περιπαθῶν δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς τὸ μέγεθος δωδεκάσκαλμον ἀναχθῆναι πρὸς τὸ Βρεντέσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. (2) Νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἐνέβη, καὶ καταβαλὼν ἑαυτὸν ὥς τινα τῶν παρημελημένων ἡσύχαζε. Τοῦ δὲ Ἀώου ποταμοῦ c
τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὔραν, ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην ἀπωθοῦσα πόρρω τὸ κῦμα, πολὺς πνεύσας πελάγιος διὰ νυκτὸς ἀπέσβεσε· πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάττης καὶ τὴν ἀντίβασιν τοῦ κλύδωνος ἀγριαίνων ὁ ποταμὸς καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας ὡς ἀποστρέψων τὸν πλοῦν. (3) Αἰσθόμενος δὲ ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτόν, καὶ τοῦ κυβερνήτου λαβόμενος τῆς χειρὸς ἐκπεπληγμένου πρὸς τὴν ὄψιν, « Ἴθι, d
ἔφη, γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις καὶ τὴν Καίσαρος τύχην συμπλέουσαν. » Ἐλάθοντο τοῦ χειμῶνος οἱ ναῦται καὶ ταῖς κώπαις ἐμφύντες ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. Ὡς δὲ ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν καὶ κινδυνεύσας ἐν τῷ στόματι συνεχώρησε μάλ' ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. (4) Ἀνιόντι δὲ αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται πολλὰ μεμφόμενοι καὶ δυσπαθοῦντες, εἰ μὴ πέπεισται καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας ὡς ἀπιστῶν τοῖς παροῦσιν.

XXXIX. Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ e
Βρεντεσίου τὰς δυνάμεις ἄγων· θαρρήσας δὲ Καῖσαρ προυκαλεῖτο Πομπήιον ἱδρυμένον ἐν καλῷ καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ' ἀρχάς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ τῶν ἀναγκαίων, ἀλλὰ ῥίζαν τινὰ κόπτον-

ei finis erit nos circumducendi et nobis quasi omnis laborum sensus animæque expertibus utendi? At enim et ferrum crebris ictibus retusum est, et clypeo thoracive tam longo tempore quænam fuit quies? Annon ex vulneribus Cæsar intelligit se mortalibus imperare nobis et doloribus mortique obnoxiis? At is ea anni ventorumque tempestate mari incumbente, quam ne deus quidem aliquis superare vi queat, audacter in aperta nos pericula conjicit, tanquam si non insequeretur, sed fugeret hostes. » (4) Hæc illi dictitantes lento gradu Brundusium profecti sunt. Sed ut eo pervenerunt et evectum jam ante Cæsarem senserunt, statim mutata sententia se ipsos culpavere, imperatoris proditores sese vocantes : duces quoque incusaverunt, qui non celerius duxissent. Porro autem in promontoriis sedentes, mare et Epirum prospectabant, naves operientes quibus ad imperatorem transveherentur.

XXXVIII. Interim Cæsar Apolloniæ quum non satis haberet secum copiarum, morante ea, de qua modo retulimus, exercitus parte, summa sollicitudine et dolore percitus, rem gravissimam aggressus est. Navi quæ duodecim remis ageretur clam omnibus conscensa, statuit Brundusium trajicere, quum tantis classibus mare hostes obtinerent. (2) Itaque noctu servili veste occultatus in eam se contulit et tanquam extremæ sortis homo quietus decubuit, Aooque flumine est ad mare devectus. Auram matutinam, quæ apud ostia amnis procul repulsis undis tranquillitatem solebat efficere, tum ventus qui ab alto vehemens eam noctem tenuerat, exstinxerat, ita ut ob æstum maris undantis fluctusque occurrentes incitatus fluvius et exasperatus, magno cum strepitu et gravibus retro aversus procellis nulla vi a gubernatore superari posset, isque jam nautas retro avertere navim juberet. (3) Hic Cæsar re cognita se ipsum aperuit, manumque gubernatoris viso eo obstupefacti apprehendens : Agedum, inquit, bone vir, audacter perge, neu time quicquam : Cæsarem vehis, et Cæsaris una fortunam. Nautæ illico tempestatis obliti, remis insurrexere, omnique conatu adversus vim amnis laborarunt. Postquam frustra omnis labor fuit, navisque in ipsis ostiis multa aqua recepta periclitata est, invitus admodum Cæsar rectori ut cursum converteret concessit. (4) Redeunti catervatim obvios se dedere milites, graviter conquerentes, quod non vel cum solis ipsis se vincere posse existimasset, sed quasi præsentibus diffideret, ita se ob absentes angeret tantumque discriminis adiret.

XXXIX. Mox et Antonius cum exercitu a Brundusio transvectus adfuit. Exinde Cæsar, confirmata fiducia, Pompeium castra commodo loco habentem et terra marique commeatu subvecto instructum ad pugnam provocavit, quum ipse neque initio abunde necessariorum haberet et postmodo gravissima premeretur inopia. Quippe radicem quandam

τες οἱ στρατιῶται καὶ γάλακτι φυρῶντες προσεφέροντο. Καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες ἔβαλλον εἴσω καὶ διεῤῥίπτουν, ἐπιλέγοντες ὡς, ἄχρι ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ παύσονται πολιορκοῦντες Πομπήιον. Ὁ μέντοι Πομπήιος οὔτε τοὺς ἄρτους οὔτε τοὺς λόγους f εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. Ἠθύμουν γὰρ οἱ στρατιῶται τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν τῶν πολεμίων ὥσπερ θηρίων ὀῤῥωδοῦντες. (2) Ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηίου μάχαι σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ πλὴν μιᾶς, ἐν ᾗ τροπῆς μεγάλης γενομένης ἐκινδύνευσε μὲν ἀπολέσαι
727 τὸ στρατόπεδον. Πομπηίου γὰρ προσβαλόντος οὐδεὶς a ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. Καῖσαρ δὲ ὑπαντιάζων ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δὲ οὐδέν, ἀλλ' ἐπιλαμβανομένου τῶν σημείων ἀπεῤῥίπτουν οἱ κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους, αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. Ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ φεύγοντι παρ' αὐτὸν ἐπιβαλὼν τὴν χεῖρα μένειν ἐκέλευσε καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους· ὁ δὲ μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν ἐπήρατο τὴν μάχαιραν ὡς καθιξό- b μενος, φθάνει δὲ ὁ τοῦ Καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτοῦ τὸν ὦμον. (3) Οὕτω δὲ ἀπέγνω τὰ καθ' αὑτόν, ὥστε, ἐπεὶ Πομπήιος ὑπ' εὐλαβείας τινὸς ἢ τύχης ἔργῳ μεγάλῳ τέλος οὐκ ἐπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τοὺς φεύγοντας ἀνεχώρησεν, εἶπεν ἄρα πρὸς τοὺς φίλους ἀπιὼν ὁ Καῖσαρ, « Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον. » (4) Αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς νύκτα πασῶν ἐκείνην ἀνιαροτάτην διήγαγεν ἐν ἀπόροις λογισμοῖς, ὡς κακῶς ἐστρατηγηκώς, ὅτι καὶ χώρας ἐπικειμένης βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ Θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον ἐν- c ταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατούντων τῶν πολεμίων, πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς ὅπλοις πολιορκῶν. (5) Οὕτω δὴ ῥιπτασθεὶς καὶ ἀδημονήσας πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων ἀνίστη τὸν στρατὸν ἐπὶ Σκηπίωνα προάγειν εἰς Μακεδονίαν ἐγνωκώς· ἢ γὰρ ἐπισπάσεσθαι Πομπήιον, ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου Σκηπίωνος.

XL. Τοῦτο τὴν Πομπηίου στρατιὰν ἐπῆρε καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας ὡς ἡττημένου καὶ φεύγοντος ἔχε- d σθαι Καίσαρος. Αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήιος ἀναῤῥῖψαι μάχην περὶ τηλικούτων καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. (2) Τὸ γάρ τοι μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις τειχοφυλακοῦντες καὶ νυκτεγερτοῦντες ἐξέκαμον ὑπὸ

effodiebant milites concisamque et lacte subactam comedebant. Quin et aliquando confectis ex ea panibus, ad excubias hostium accurrentes, intro eos conjecerunt, dicentes se a Pompeii obsidione non discessuros, dum terra esset hujusmodi radices productura. At Pompeius neque panes istos neque sermones efferri ad vulgus militum passus est, ne milites animum desponderent, Cæsarianorum immanitatem et extremam tolerantiam, quasi ferarum, formidantes. (2) Semper autem levia prœlia ad munitiones Pompeianas sunt commissa, et Cæsar, quum semper discessisset superior, semel exercitu ipsius fuso prope ipsa castra amisit. Nemo enim mansit in iis Pompeio irruente, sed et fossæ cadavoribus impletæ, et apud ipsum vallum munitionesque effuse fugientes cæsi sunt. Cæsar autem quum obvium se offerens fugam inhibere conaretur, nihil egit aliud, nisi ut signiferi signa ipso apprehendente abjicerent, de quibus duo et triginta ab hostibus capta sunt. Atque ipse Cæsar levi tum momento morti ereptus est. Etenim magno cuidam et robusto viro juxta se fugienti manum injiciens, manere et in hostem se vertere jubebat; is totus, ut fit in gravi periculo, perturbatus, gladio ictum ei intentavit, ac feriisset, nisi armiger Cæsaris brachium ei amputare occupasset. (3) Adeo quidem tum de suis rebus desperavit, ut quum Pompeius sive metu sive fato operi tanto finem non imposuisset, sed hostibus ex fuga in castra inclusis, suos abduxisset, discedens amicis suis dixerit : Hodie penes hostem fuisset victoria, si vincere scientem habuissent. (4) Noctem vero eam omnium acerbissimam exegit Cæsar in tentorio decumbens, gravissimis cogitationibus vexatus, quod rem male gessisset, qui quum ad vicinas locupletes regiones urbesque divites Macedoniæ ac Thessaliæ bellum potuisset avertere, ad mare, quod totum in hostium potestate erat, desidere maluisset, oppugnatus verius commeatuum penuria quam armis oppugnans. (5) Ita jactatus et præsentibus difficultatibus sollicitatus castra movit eo consilio, ut in Macedoniam contra Scipionem duceret, sperans se aut Pompeium eo pertracturum, ubi commeatu a mari destitutus cogeretur pugnare, aut Scipionem a sociis desertum oppressurum.

XL. Hæc Cæsaris discessio Pompeianos milites ducesque excitavit, ut victum fugientemque Cæsarem insequi juberent. Ipse enim Pompeius in discrimen pugnæ mittere summam rerum quammaxime cavebat, optimeque ad tempus ducendum paratus, cunctando atterere et conficere hostem, cujus haud diu vigere possent copiæ, cupiebat. (2) Etenim copiarum Cæsaris pars pugnacissima peritia et incomparabili audacia prædita ad certamina obeunda, ad castra vero huc illuc movenda et munienda, ad muros custodiendos et excubandum propter senectutem defatigata animum despon-

γήρως καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους δι' ἀσθένειαν ἐγκαταλείποντες τὴν προθυμίαν. (3) Τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη τὴν ἀτοπίαν τῆς e διαίτης ποιησάμενον ἀρχὴν ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. Καὶ, τὸ μέγιστον, οὔτε χρήμασιν ἐῤῥωμένος οὔτε τροφῆς εὐπορῶν χρόνου βραχέος ἐδόκει περὶ αὐτῷ καταλυθήσεσθαι.

XLI. Διὰ ταῦτα Πομπηίῳ μάχεσθαι μὴ βουλομένῳ μόνος ἐπῄνει Κάτων φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων εἰς χιλίους τὸ πλῆθος γενομένους ἰδὼν ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. Οἱ δ' ἄλλοι πάντες ἐκάκιζον τὸν Πομπήιον φυγομαχοῦντα καὶ παρώξυνον, Ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀπο- f θέσθαι τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον, ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. (2) Φαώνιος δὲ τὴν Κάτωνος παῤῥησίαν ὑποποιούμενος μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι σύκων διὰ τὴν Πομπηίου φιλαρχίαν. Ἀφράνιος δὲ (νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας), διαβαλλόμενος ἐπὶ χρήμασι προ-
728 δοῦναι τὸν στρατὸν, ἠρώτα, διὰ τί πρὸς τὸν ἔμπορον a οὐ μάχονται τὸν ἐωνημένον παρ' αὐτοῦ τὰς ἐπαρχίας. (3) Ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ Πομπήιος ἐχώρει τὸν Καίσαρα διώκων. Ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς παρέχοντος ἀγορὰν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν· ὡς δὲ εἷλε Γόμφους, Θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιὰν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. Ἀφθόνῳ γὰρ ἐνέτυχον οἴνῳ καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις καὶ βακχεύοντες ἀνὰ τὴν ὁδὸν ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν b τὸ πάθος εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.

XLII. Ὡς δὲ εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήιος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων οὐκ αἰσίων προσγενομένων καὶ καθ' ὕπνον ὄψεως. [Ἐδόκει γὰρ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ κροτούμενον ὑπὸ Ῥωμαίων.] Οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα καὶ Σκηπίωνα διαμιλλωμένους ἀλλήλοις, πέμπειν δὲ πολλοὺς εἰς Ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν c ἐπιτηδείους, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. (2) Μάλιστα δὲ ἐσφάδαζον οἱ ἱππεῖς ἐπὶ τὴν μάχην ἠσκημένοι περιττῶς, ὅπλων λαμπρότησι καὶ τροφαῖς ἵππων καὶ κάλλει σωμάτων μέγα φρονοῦντες καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι πρὸς χιλίους τοὺς Καίσαρος ὄντες. Ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος οὐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι καὶ πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις.

XLIII. Ὁ δὲ Καῖσαρ τοὺς στρατιώτας συναγαγὼν, καὶ προειπὼν ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος

debat, ita ut confectis corporibus alacritas etiam eos in obeundis laboribus deficeret. (3) Sed præter hæc lues etiam pestilens ferebatur in castris Cæsaris grassari, coorta ex victus magna insolentia; et, quod gravissimum erat, neque a pecunia, neque a commeatu instructus Cæsar, brevi videbatur temporis spatio vel per se confectum iri.

XLI. Eas ob causas Pompeio a pugna abhorrenti unus Cato assensus est, eo quod civibus parceret, quippe hic etiam velato vultu lacrimans discesserat, quum hostium cadavera, qui ad mille in acie ceciderant, conspexisset. Ceteri omnes Pompeium, quod pugnam subterfugeret, culpaverunt, irritaveruntque Agamemnonem et regem regum appellantes, quod imperium deponere nollet, sed tot principes a se pendere et ad tentorium suum commeare gauderet. (2) Et Favonius, Catonis dicacitatem insani in morem æmulans, quiritabatur, si propter Pompeii unius cupiditatem imperandi ne isto quidem anno Tusculanis ficubus vesci liceret. Afranius etiam, qui recens ex Hispania re male gesta advenerat, et male audiebat quod accepta pecunia prodidisse exercitum putaretur, tum interrogabat: ecquid non pugnaret Pompeius adversus mercatorem, qui a se mercatus fuisset provincias. (3) His omnibus præter animi sui voluntatem compulsus Pompeius pugnæ conserendæ causa Cæsarem est insecutus. Cæsari iter perdifficile fuit, nemine commeatum præbente, omnibusque eum ob acceptam nuper cladem despicientibus. Sed ut Gomphos, Thessalicum oppidum, ceperat, non alimenta modo exercitui paravit, verum etiam morbo eos insperato quodam modo liberavit. Vino enim, in cujus magnam inciderant copiam, abunde hausto milites, comessati deinde per viam atque bacchati ex crapula habitu corporis immutato, affectum priorem discusserunt.

XLII. Postquam Pharsaliam ingressi uterque castra fecit, Pompeius ad id consilii, quod primum intenderat, revolutus est, territus præterea ostentis parum felicibus: [videbatur enim sibi secundum quietem plausu P. R. in theatro excipi]. At sociis ejus tantum erat confidentiæ, adeoque spem victoriæ animis jam præceperant, ut de Cæsaris pontificatu Domitius, Spinther et Scipio contenderent, multique Romam mitterentur, qui ædes consulatum et præturam ambientibus idoneas conducerent atque occuparent, veluti statim confecto bello magistratus gesturis. (2) Maxime omnium equites ferociebant, pugnamque expetebant et armorum mirifico splendore ornati et equis bene saginatis instructi et pulchritudine sua superbi Cæsarianosque præ paucitate (nam septem millia Pompeio, mille tantum Cæsari erant) contemnentes. Ne pedestribus quidem copiis hostem Cæsar æquabat, quippe viginti duo millia, Pompeianorum quadraginta quinque millibus opponebat.

XLIII. Cæsar, advocatis in concionem militibus, Cornificium cum duabus legionibus appropinquare, quindecim

ἄγων ἐγγύς ἐστιν, ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ d Καληνοῦ κάθηνται περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν, εἴτε βούλονται περιμένειν ἐκείνους, εἴτε αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς. Οἱ δὲ ἀνεβόησαν δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον, ὅπως τάχιστα συνίωσιν εἰς χεῖρας τοῖς πολεμίοις, τεχνάζεσθαι καὶ στρατηγεῖν. (2) Ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον εὐθὺς ὁ μάντις ἔφραζε τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. Ἐρομένου δὲ τοῦ Καίσαρος, εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱερείοις εὔσημον, « Αὐτὸς ἂν, ἔφη, σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. Μεγάλην γὰρ οἱ θεοὶ μεταβολὴν καὶ e μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεστώτων δηλοῦσιν, ὥστε, εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην, εἰ δὲ κακῶς, τὴν ἀμείνονα. » (3) Τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ περὶ τὸ μεσονύκτιον ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος στρατόπεδον λαμπρὰν καὶ φλογώδη γενομένην ἔδοξεν εἰς τὸ Πομπηίου καταπεσεῖν. Ἑωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο γιγνόμενον παρὰ τοῖς πολεμίοις. Οὐ μὴν μαχεῖσθαί γε κατ' ἐκείνην προσεδόκα τὴν ἡμέραν, ἀλλ' ὡς ἐπὶ Σκοτούσης ὁδεύων ἀνεζεύγνυεν.

XLIV. Ἐπεὶ δὲ τῶν σκηνῶν ἤδη καταλελυμένων οἱ σκοποὶ προσίππευσαν αὐτῷ τοὺς πολεμίους ἐπὶ μάχῃ κα- f ταβαίνειν ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος καὶ προσευξάμενος τοῖς θεοῖς παρέταττε τὴν φάλαγγα, τὴν τάξιν τριπλῆν ποιῶν. Καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον, τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ δεξιὸν ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. Κατὰ τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαραταττομένους ὁρῶν καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν, ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε a
729 περιελθεῖν πρὸς ἑαυτὸν ἓξ σπείρας καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ διδάξας ἃ χρὴ ποιεῖν, ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. (2) Πομπήιος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου Σκηπίων ἦρχεν ὁ πενθερός. Οἱ δὲ ἱππεῖς ἅπαντες ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν ὡς τὸ δεξιὸν κυκλωσόμεναι τῶν πολεμίων καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν· οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταῤῥάξεσθαι πάντα τοῖς ἐναντίοις ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. (3) Ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, Πομπήιος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν b ἐπιδρομὴν τῶν πολεμίων, μέχρι ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτὸν ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φορᾶς ἐν ἀρχῇ γινομένην σύῤῥαξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι καὶ συνεκκαίει τὸν θυμὸν ἐκ πάντων ἀναῤῥιπιζόμενον. (4) Αὐτὸς δὲ κινεῖν τὴν φάλαγγα μέλλων καὶ προϊὼν ἐπ' ἔργον ἤδη πρῶτον ὁρᾷ τῶν ταξιαρχῶν ἄνδρα πιστὸν αὐτῷ καὶ πολέμων ἔμπειρον ἐπιθαρ-

cohortes cum Caleno circum Megara et Athenas versari ostendit, et interrogavit, illorumne adventum exspectare, an absque his prœlium committi vellent. Illi sublato clamore poposcerunt, uti ne moram injiceret, sed id omni arte atque consilio potius ageret, ut hostem ad pugnam eliceret. (2) Lustranti deinde exercitum Cæsari primamque immolanti hostiam aruspex statim dixit, hoc triduo pugna cum hoste decretum iri. Quærenti porro, numnam aliquod victoriæ signum in extis conspiceret, « Tu, inquit, rectius quam ego, tibi responderis. Magnam enim dii status rerum tuarum in diversam partem portendunt mutationem : itaque si in præsentia res tuas existimas bono esse loco, adversam fortunam, sin afflictas censes, meliorem spera. » (3) Ea nocte quæ pugnam præcessit, quum excubias ipse inspiceret, fax cœlestis ignis conspecta est, quæ quum super castra ejus splendida et flammea ferretur, in Pompeii castra decumbere videbatur. Matutina etiam vigilia Panicum terrorem in castris hostium exstitisse senserunt. Neque vero pugnam eo die futuram Cæsar sperabat, sed castra velnti ad Scotusam profecturus movebat.

XLIV. Quum jam detensis tabernaculis exploratores equis ad ipsum advecti, hostes ad pugnam descendere annuntiarunt, hoc nuntio vehementer gavisus, deos comprecatus est, triplicemque instruxit aciem. Mediam Domitio Calvino commisit, Antonio sinistrum cornu, dextrum ipse tenuit, decimæ legionis præsidio pugnam initurus. Contra hoc equites hostium objectos videns, eorumque splendorem et multitudinem metuens, occulte ab extremis ordinibus ad se cohortes sex subire et post dextrum cornu adstare jussit, mandato quid agerent hostium equitatu irruente. (2) Pompeius dextrum cornu, alterum Domitius, mediam aciem Scipio Pompeii socer ducebat. Equitatus universi moles ad sinistrum cornu coiverat, spe dextri hostium cornu circumveniendi magnamque apud eorum ducem fugam stragemque edendi; non enim impetum hunc tot equitum a pedestri acie posse sufferri, sed omnia perrupta statim prostrataque fore putabant apud hostes. (3) Quum jam congressûs signum essent daturi, Pompeius stare suos in procinctu jussit, servatisque ordinibus hostium incursum excipere, donec ii intra pili conjectum venissent. In quo eum Cæsar peccasse ait, neque animadvertisse, incursionem statim ab initio cursu et impetu factam ictibus robur addere et animi fervorem ex omnibus exagitatum inflammare. (4) Ipse jam aciem commoturus et ad rem gerendam accessurus, quendam primi pili ducem, hominem fidum sibi et belli peritum,

σύνοντα τοὺς ὑφ' αὑτῷ καὶ προκαλούμενον εἰς ἄμυναν ἀλκῆς. Τοῦτον ὀνομαστὶ προσαγορεύσας, « Τί ἐλπίζομεν, εἶπεν, ὦ Γάϊε Κρασσίνιε, καὶ πῶς τι θάρσους (c) ἔχομεν; » Ὁ δὲ Κρασσίνιος ἐκτείνας τὴν δεξιὰν καὶ μέγα βοήσας, « Νικήσομεν, ἔφη, λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δὲ ἢ ζῶντα τήμερον ἢ τεθνηκότα ἐπαινέσεις. » Ταῦτ' εἰπὼν πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ συνεπισπασάμενος τοὺς περὶ ἑαυτὸν ἑκατὸν καὶ εἴκοσι στρατιώτας. Διακόψας δὲ τοὺς πρώτους καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥστε καὶ τὴν ἀκμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.

XLV. Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συρραγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος, οἱ ἱππεῖς Πομπηίου (d) σοβαρῶς ἐπήλαυνον εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀναχεόμενοι· καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ Καίσαρος, οὐχ, ὥσπερ εἰώθεσαν, ἀκοντίσμασι χρώμενοι τοῖς ὑσσοῖς οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς ἢ κνήμας τῶν πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι καὶ τὰ πρόσωπα συντιτρώσκοντες, ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις οὐδὲ τραύμασιν ὡμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι καὶ μὴ μενεῖν τὸν ἐν τῷ παρόντι (e) κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην δεδοικότας. (2) Ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων οὐδὲ ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ' ἀπεστρέφοντο καὶ συνεκαλύπτοντο φειδόμενοι τῶν προσώπων· καὶ τέλος οὕτως ταράξαντες ἑαυτοὺς ἐτράποντο φεύγειν αἴσχιστα λυμηνάμενοι τὸ σύμπαν. Εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τούτους ἐκυκλοῦντο τοὺς πεζοὺς καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. (3) Πομπήιος δὲ ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς φυγῇ σκεδασθέντας, οὐκέτι ἦν ὁ αὐτὸς οὐδ' ἐμέμνητο Πομπήιος ὢν Μάγνος, ἀλλ' ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην ἐοικὼς [ἢ διὰ θείας ἥττης τεθαμβημένος] ἄφθογγος ᾤχετο ἀπιὼν ἐπὶ σκηνὴν καὶ καθεζόμενος (f) ἐκαραδόκει τὸ μέλλον, ἄχρι οὗ τροπῆς ἁπάντων γενομένης ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος καὶ διεμάχοντο πρὸς τοὺς φυλάττοντας. Τότε δὲ ὥσπερ ἔννους γενόμενος καὶ ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφείς, « Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν; » ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ στρατηγικὴν ἐσθῆτα, φεύγοντι δὲ (730) πρέπουσαν μεταλαβὼν ὑπεξῆλθεν. Ἀλλ' οὗτος μὲν οἵαις (a) ὕστερον χρησάμενος τύχαις ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς Αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ ἐκείνου γράμμασιν.

XLVI. Ὁ δὲ Καῖσαρ, ὡς ἐν τῷ χάρακι τοῦ Πομπηίου γενόμενος τούς τε κειμένους νεκροὺς ἤδη τῶν πολεμίων εἶδε καὶ τοὺς ἐπικτεινομένους, εἶπεν ἄρα στενάξας, « Τοῦτο ἐβουλήθησαν, εἰς τοῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάϊος Καῖσαρ ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ στρατεύματα, κἂν κατεδικάσθην. » (2) Ταῦτά φησι Πολλίων Ἀσίνιος τὰ ῥήματα

primum omnium videt suos cohortantem et ad fortitudinem instigantem. Hunc nominatim compellans, Quid, ait, spei, C. Crastine, quid fiduciæ habemus? Tum Crastinus manum intendens, contenta voce, Vincemus, inquit, Cæsar, præclare; me quidem aut vivum aut mortuum hodie laudabis. Hæc locutus, primus omnium cum centum viginti militibus quos secum habebat, cursu in hostes latus est; primisque dissipatis, quum magna cæde ac vi pergeret, ense per os trajecto, ita ut mucro supra occiput exiret, obtruncatur.

XLV. Hoc modo pugna inter pedites in medio et a cornibus etiam commissa, Pompeiani equites turmas suas confidenter ad circumdandum dextrum hostium cornu explicant. Qui antequam impetum darent, a Cæsare cohortes procurrunt, non, ut alioquin solebant, pila eminus conjicientes neque suras aut femora cominus ferientes, sed in ora et facies ictus intentantes. Ita enim Cæsar eos docuerat, sperans homines qui in bello atque inter vulnera haud diu egissent, juvenes et formæ decore florentes, maxime hujusmodi vulnerum metu cessuros, ac quum præsens periculum, tum mansuram in posterum deformitatem fugituros. (2) Neque id abs re fuit. Non enim sustinuerunt volitantia pila ferrumque ante oculos obversans, sed faciei suæ quisque timens, averterunt sese et texerunt, tandemque ita perturbatis ordinibus in fugam versi sunt, turpissime summam rei pessumdantes. Statim enim qui hos vicerant, peditibus circumfusi, a tergo eos invaserunt. (3) At vero Pompeius ut ab altero cornu dissipatos vidit equites, non jam idem qui prius, neque se Pompeium esse Magnum recordans, verum ejus similis, cui dii sanam eripuissent mentem [aut clade divinitus illata obstupefactus], tacitus in tentorium suum abiit, ibique eventum exspectans sedit, donec omni ipsius exercitu fuso, castra etiam ipsa adorti sunt hostes et cum custodibus pugnaverunt. Ibi demum veluti ad sanitatem reversus hoc unum, ut aiunt, fatus, Ergone etiam ad castra? paludamento posito fugæ aptam vestem sumpsit et e castris elapsus est. Qua deinde fortuna usus sit, utque se ipsum Ægyptiis in manus dans, ab iis sit interfectus, in ejus Vita ostendimus.

XLVI. Cæsar castra hostium ingressus quum hostium cadavera inspexisset et alios qui necarentur, gemitu edito, Hoc, inquit, ergo voluerunt, ad eam me necessitatem compulerunt? scilicet ut C. Cæsar, qui maxima bella feliciter confecissem, dimisso exercitu condemnarer. (2) Hæc Asinius Pollio Latine tum Cæsarem pronuntiasse, post autem

Ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν Καίσαρα παρὰ τὸν τότε καιρὸν, Ἑλληνιστὶ δ' ὑπ' αὐτοῦ γεγράφθαι. Τῶν δὲ ἀποθανόντων τοὺς πλείστους οἰκέτας γενέσθαι περὶ τὴν b κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας, στρατιώτας δὲ μὴ πλείους ἑξακισχιλίων πεσεῖν. Τῶν δὲ ζώντων ἁλόντων κατέμιξε τοὺς πλείστους ὁ Καῖσαρ εἰς τὰ τάγματα· πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν, ὧν καὶ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον, ἐφ' ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιᾶσαι, σωθέντος δὲ καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.

XLVII. Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης ἐπιφανέστατον ἱστορεῖται τὸ περὶ Τράλλεις. Ἐν γὰρ ἱερῷ Νίκης ἀνδριὰς εἱστήκει Καίσαρος, καὶ τὸ περὶ αὐτὸ χωρίον αὐτό τε στερεὸν φύσει καὶ λίθῳ σκληρῷ κατεστρωμένον ἦν ἄνωθεν· ἐκ τούτου λέγουσιν ἀνατεῖ- c λαι φοίνικα παρὰ τὴν βάσιν τοῦ ἀνδριάντος. (2) Ἐν δὲ Παταβίῳ Γάϊος Κορνήλιος, ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίου τοῦ συγγραφέως πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ' οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. Καὶ πρῶτον μὲν, ὡς Λίβιός φησι, τὸν καιρὸν ἔγνω τῆς μάχης καὶ πρὸς τοὺς παρόντας εἶπεν ὅτι καὶ δὴ περαίνεται τὸ χρῆμα καὶ συνίασιν εἰς ἔργον οἱ ἄνδρες. Αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος καὶ τὰ σημεῖα κατιδὼν ἀνήλατο μετ' ἐνθουσιασμοῦ βοῶν, « Νικᾷς, ὦ Καῖσαρ. » Ἐκπλαγέντων δὲ τῶν παρατυχόντων, περιελὼν τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ἐνωμότως ἔφη, μὴ πρὶν ἐπιθήσεσθαι πάλιν ἢ τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔρ- d γον. Ταῦτα μὲν οὖν ὁ Λίβιος οὕτω γενέσθαι καταβεβαιοῦται.

XLVIII. Καῖσαρ δὲ τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νικητήριον, ἐδίωκε Πομπήιον· ἁψάμενος δὲ τῆς Ἀσίας Κνιδίους τε Θεοπόμπῳ τῷ συναγαγόντι τοὺς μύθους χαριζόμενος ἠλευθέρωσε καὶ πᾶσι τοῖς τὴν Ἀσίαν κατοικοῦσι τὸ τρίτον τῶν φόρων ἀνῆκεν. (2) Εἰς δὲ Ἀλεξάνδρειαν ἐπὶ Πομπηίῳ τεθνηκότι καταχθεὶς Θεόδοτον μὲν ἀπεστράφη τὴν Πομπηίου κεφαλὴν προσφέροντα, τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλα- e νώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησε καὶ προσηγάγετο. Τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν, ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. (3) Τὸν δὲ αὐτόθι πόλεμον οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ' ἔρωτι Κλεοπάτρας ἄδοξον αὐτῷ καὶ κινδυνώδη γενέσθαι λέγουσιν, οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται, καὶ μάλιστα τὸν εὐνοῦχον Ποθεινὸν, ὃς πλεῖστον δυνάμενος καὶ Πομπήιον μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν κρύφα μὲν f ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτό φασιν αὐτὸν ἀρξάμενον ἔκτοτε διανυκτερεύειν ἐν τοῖς πότοις ἕνεκα φυλακῆς τοῦ σώματος· φανερῶς δὲ οὐκ ἦν ἀνεκτὸς ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν Καίσαρα λέγων καὶ πράττων. (4) Τοὺς μὲν γὰρ στρατιώτας τὸν κάκιστον μετρουμένους καὶ παλαιότατον σῖτον ἐκέλευσεν ἀνέχε-

Græce scripsisse ait. Plerosque servos fuisse eos, qui in castrorum expugnatione ceciderint; milites haud plures sex millibus periisse. Plerosque peditum captorum Cæsar in suas legiones immiscuit. Multis etiam illustribus viris impunitatem concessit, inter quos et Brutus fuit, a quo deinde occisus est; fertur graviter doluisse, quum is nusquam inveniretur, et quum incolumis ad se adduceretur, magnopere gavisus esse.

XLVII. Multis vero prodigiis ea victoria est præmonstrata, quorum id, quod Trallibus evenisse narrant, illustrissimum est. Ibi in templo victoriæ statua Cæsaris posita erat, loco circum solido et natura et lapidibus instrato pavimento; inde tamen iis diebus juxta fundum statuæ palma enata est. (2) Patavii autem C. Cornelius, Livii historici civis et familiaris, divinandi scientia nobilis, quum eo die, quo depugnatum est, auguria observaret, primo tempus ipsum, ut testatur Livius, pugnæ notavit, iisque qui aderant dixit jam rem confici, prœliumque committi. Deinde ad observanda signa iterum conversus, iis perspectis divino quodam furore afflatus exsiluit, vociferans: Vincis, o Cæsar. Attonitis illis qui intererant, coronam capiti detraxit, sacramento se obstringens, non ante se eam resumpturum, quam artem exitus comprobasset. Hæc ita acta esse Livius affirmat.

XLVIII. Cæsar victoriæ ergo Thessalis libertate donatis, Pompeium insequi instituit. Quum in Asiam pervenisset, Cnidios in gratiam Theopompi, ejus, qui fabulas conscripsit, liberos reddidit, omnibusque Asiæ habitatoribus tertiam tributi partem remisit. (2) Alexandriam Pompeio jam mortuo venit, ibique Theodotum caput illius offerentem aversatus, accepto sigillo ejus illacrimavit; omnes autem socios ejus et familiares qui per eam regionem errantes a rege capti essent, adscivit sibi, ac beneficiis ornavit. Scribensque ad amicos Romam, hunc se dixit fructum victoriæ amplissimum dulcissimumque ferre, quod semper aliquos eorum civium, qui arma contra ipsum tulissent, servare sibi daretur. (3) Bellum vero Alexandrinum quidam ab eo nulla necessitate susceptum, sed ob amorem Cleopatræ eum infamiam simul et gravia pericula ista adisse dicunt; quidam in regios administros culpam conferunt, eunuchum Pothinum præcipue, qui potentissimus omnium nuper Pompeio cædem paraverat, Cleopatram regno ejecerat, ac tum Cæsari occulte exitium struebat: quam fuisse Cæsari causam perhibent, ut insidiarum evitandarum gratia noctes compotando exigere inciperet. Et quidem palam intolerabilis erat Pothinus, multa in Cæsaris invidiam contumeliamque dicens ac faciens. (4) Milites enim quum iis pessimum vetustissimumque dimetiretur frumen-

σθαι καὶ στέργειν ἐσθίοντας τὰ ἀλλότρια, πρὸς δὲ τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος. 731 (5) Ὤφειλε γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι a χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν ἄλλας ἀνῆκε τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα. Τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι καὶ τῶν μεγάλων ἔχεσθαι πραγμάτων κελεύοντος, ὕστερον δὲ κομιεῖσθαι μετὰ χάριτος, εἰπών, ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων, κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο.

XLIX. Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν Σικελιώτην μόνον εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα τοῖς μὲν βασιλείοις προσέσχεν ἤδη συσκοτάζοντος· ἀπόρου b δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτήν, ὁ δὲ Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν στρωματόδεσμον εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. Καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς Κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος διαλλάξαι πρὸς τὸν ἀδελφὸν ὡς συμβασιλεύσουσαν. (2) Ἔπειτα δ' ἐν ταῖς διαλλαγαῖς ἑστιωμένων ἁπάντων οἰκέτης Καίσαρος κουρεὺς διὰ δειλίαν, ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν συνῆκεν ἐπιβουλὴν e Καίσαρι πραττομένην ὑπ' Ἀχιλλᾶ τοῦ στρατηγοῦ καὶ Ποθεινοῦ τοῦ εὐνούχου. Φωράσας δὲ ὁ Καῖσαρ φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ Ποθεινὸν ἀνεῖλεν· ὁ δὲ Ἀχιλλᾶς φυγὼν εἰς τὸ στρατόπεδον περιίστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον ὀλιγοστῷ τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. (3) Ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς· αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων· δεύτερον δὲ περικοπτόμενος τὸν στόλον ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε· τρίτον d δὲ περὶ τῇ Φάρῳ μάχης συνεστώσης, κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις, ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν ἀπενήξατο μόλις καὶ χαλεπῶς. Ὅτε καὶ λέγεται βιβλίδια κρατῶν πολλὰ μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δὲ ἀκάτιον εὐθὺς ἐβυθίσθη. (4) Τέλος δέ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων αὐτοῦ τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. Καταλιπὼν e δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱόν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα προσηγόρευσαν, ὥρμησεν ἐπὶ Συρίας.

L. Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν, ἐπυνθάνετο Δομίτιον μὲν ὑπὸ Φαρνάκου τοῦ Μιθριδάτου παιδὸς ἡττημένον ἐκ Πόντου πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ

tum ferre jussit et boni consulere, quod de alieno ederent, ad cœnas ligneis utebatur tantum et fictilibus vasis, aurea et argentea Cæsarem pignoris loco habere dicens. (5) Debuerat autem pater ejus qui tum rex erat Cæsari septingenties H. S. et tum Cæsar reliquum ejus summæ liberis ejus donabat, quadringenties solum petebat ad alendum exercitum. Pothinus eum in præsentia abire et magna sua negotia persequi jubebat, post eum cum gratiarum relatione debitum recepturum. Cæsar se nihil omnino Ægyptiis consiliariis opus habere respondit, et occulte Cleopatram ad se ex agro accivit.

XLIX. Hæc cum uno suorum amicorum Apollodoro Siculo in lembum ingressa, jam nocte ingruente ad regiam pervenit, quumque latere aliter non posset, in longum porrecta loris stragulo se illigari ab Apollodoro, atque ita ad Cæsarem per fores apportari passa est. Hac primum Cleopatræ techna captus ac protervitate traditur Cæsar, victus deinde suavitate consuetudinis ejus et jucunditate, in gratiam fratris eam restituit, una cum illo regnaturam. (2) Postea facta hac compositione quum frequenti omnes convivio interessent, tonsor Cæsaris, ut erat hominum timidissimus, ideoque curiose omnia explorabat et clanculum auscultabat, ab Achilla exercituum præfecto et Pothino eunucho insidias strui Cæsari percepit, indiciumque rei detulit. Cæsar cœnaculum præsidio cinxit, et Pothinum necavit. At Achillas fuga in castra elapsus difficillimum ei bellum intulit, parva manu contra ingentes copias, inque tanta urbe id sustinere coacto. (3) Primum periculum fuit, quod aqua prohibebatur, aquæ ductibus hostium opera obstructis; alterum, quod interclusus a classe sua, periculum incendio amoliri coactus est, quod a navali grassatum magnam etiam bibliothecam absumpsit; tertium fuit, quum apud Pharum commissa pugna ab aggere in lembum desiluit, suisque pugnantibus auxilium tulit, multis vero Ægyptiorum navibus petitus, in mare se ipsum conjecit, magnoque cum labore enatavit, lembo, in quo fuerat, ab hostibus statim submerso. Ferunt eum tunc libellos multos manu altera tenuisse, eosque, tametsi et mergeretur et telis impeteretur, non dimisisse, verum una manu supra aquam extulisse, altera natasse. (4) Ad extremum rege ad hostes digresso, prœlium commisit, et multis dejectis, ipsoque etiam rege (incertum quo modo) de medio sublato vicit. Cleopatram inde Ægypti reginam constituit, quæ paullo post filium ex eo peperit, quem Alexandrini Cæsarionem appellaverunt.

L. Ipse statim ab eo bello in Syriam profectus, Asiam inde peragravit. Ibi ei renuntiatum est, Domitium a Pharnace Mithridatis filio victum ex Ponto cum paucis profugisse,

τῇ νίκῃ χρώμενον ἀπλήστως καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν, Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης καὶ πάντας ἀνιστάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. Εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι καὶ περὶ πόλιν Ζῆλαν μάχην μεγάλην συνάψας αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα, τὴν δὲ f στρατιὰν ἄρδην ἀνεῖλε. Καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀγγέλλων εἰς Ῥώμην πρός τινα τῶν φίλων Ἀμάντιον ἔγραψε τρεῖς λέξεις· « Ἦλθον, εἶδον, ἐνίκησα. » Ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.

LI. Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν ἀνέβαινεν εἰς Ῥώμην, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν
732 ᾕρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκεί- a νης πρότερον ἐνιαυσίου γενομένης. Εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκουσεν, ὅτι, τῶν στρατιωτῶν στασιασάντων καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον, ὅσον ἀντὶ στρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν ἑκάστῳ δραχμὰς καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. (2) Ἦν δὲ αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία καὶ ἡ Ἀμαντίου φιλαργυρία καὶ μεθύων Ἀντώνιος καὶ Κορφίνιος τὴν Πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν ὡς ἱκανὴν οὐκ οὖσαν. Ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας οὐκ b ἀγνοῶν οὐδὲ βουλόμενος ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσι.

LII. Τῶν δὲ περὶ Κάτωνα καὶ Σκηπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων κἀκεῖ, τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος ἐμβὰς ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. Ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν c ἀνήχθη πάλιν ὑπὲρ τῆς μείζονος ὀρρωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. (2) Πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαρρεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκηπιώνων γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν, εἴτε φλαυρίζων ἐν παιδιᾷ τινι τὸν Σκηπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος, ἦν γὰρ καὶ παρ' αὐτῷ τις ἄνθρωπος ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκηπίων ἐκαλεῖτο Σαλλουτίων, τοῦτον ἐν ταῖς μάχαις προέταττεν ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς ἀναγκαζόμενος πολλάκις ἐξά- d πτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν. Ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος οὔτε ὑποζυγίοις χιλός, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυνθείσης

Pharnacen victoriam insatiabili cupiditate subsecutum, jam Bithynia et Cappadocia occupatis minorem Armeniam appetere, omnesque in illis partibus reges principesque ad defectionem pertrahere. Adversus hunc illico tribus cum legionibus profectus, apud urbem Zelam ingenti prœlio facto exercitum ejus occidione delevit, ipsumque Ponto expulit. Celeritatem ejus victoriæ Romam nuntians, ad Amantium, suorum quendam amicorum, ita scripsit: Veni, vidi, vici. Quæ voces eo ipso, quod similiter desinunt, brevitati indicandæ haud parum congruunt.

LI. Secundum hæc in Italiam trajecit Romamque venit, in fine anni ejus, quo dictator iterum creatus fuerat, quum quidem nunquam antea annua fuisset dictatura. Ad insequentem annum consul creatus est. Male autem audivit, quod milites, cum ii per seditionem duos prætorios viros Galbam et Cosconium interfecissent, verbis tantum increpavit ita, uti pro militibus Quirites appellaret, iisque viritim mille denarios et multum agri in Italia distribuit. (2) Vitio ei dabatur etiam Dolabellæ insania, Amantii avaritia et Cornificii Antoniique temulentia, qui domum Pompejanam perscrutatus, tanquam haud satis laxe in ea posset habitare, demoliebatur atque mutabat. Hæc enim Romanis erant molesta. Cæsar tametsi neque ignoraret neque probaret, tamen ad institutum suum ut iis necessario uteretur administris necesse erat.

LII. Interim Cato et Scipio a Pharsalica pugna in Africam delati, auxilio regis Jubæ magnas contraxerant copias. Adversum hos expeditionem faciens Cæsar, brumæ tempore in Siciliam trajecit, utque suis spem omnem cunctationis præcideret ducibus, in littore suum posuit prætorium. Ventum nactus idoneum, cum tribus peditum millibus et paucis equitibus in Africam transmisit; hisque expositis, metuens majoribus suis copiis clam rursum avectus, eas jam transfretantes offendit, inque castra deduxit. (2) Ceterum audito hostes antiquo oraculo quodam fretos esse, quo Scipionum genus semper rem in Africa obtenturum prædiceretur, Scipionem quendam Salluticnem cognomine, Africanorum genere ortum, sed hominem alioqui contemptum et abjectum, in prœliis primo loco, tanquam ducem constituit et sæpe invadere hostem ac conserere manus coegit; incertum an hostium imperatorem Scipionem per jocum flocci faciendi gratia, an vero oraculi serio sibi vindicandi causa. Cæsariani et frumenti et pabuli affligebantur penuria, cogebanturque algæ marinæ salsugine

τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύντες ἐπάγειν τοὺς ἵππους. Οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον τὴν χώραν. (3) Καί ποτε τῶν Καίσαρος ἱππέων σχολὴν ἀγόντων, ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως, οἱ δὲ τερπόμενοι καθῆντο τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες, ἐξαίφνης περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι καὶ e τοὺς μὲν αὐτοῦ κτείνουσι, τοῖς δὲ εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. Εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίνιος βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. Ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος ἀναστρέψαι καὶ εἰπεῖν· « Ἐνταῦθά εἰσιν f οἱ πολέμιοι. »

LIII. Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκηπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δ' Ἰόβαν δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ περὶ πόλιν Θάψον, ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. (2) Πονουμένῳ δὲ αὐτῷ περὶ ταῦτα, Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν τοὺς μὲν ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλλε κατὰ στόμα. Τρεψάμενος δὲ τούτους ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης, 733 ὑφ' ἧς αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου στρατόπεδον, αὐτοβοεὶ δὲ φεύγοντος Ἰόβα διεπόρθει τὸ τῶν Νομά- a δων· ἡμέρας δὲ μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. (3) Οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἀναγγέλλουσιν· οἱ δὲ οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δὲ εὐθὺς αἰσθόμενον ἀρχομένου, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίων πύργων b κομισθῆναι καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. Τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

LIV. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος ἔσπευδε πρὸς Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν οὐ μετέσχε τοῦ ἀγῶνος. Πυθόμενος δὲ ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθεὶς, ἐφ' ᾧ δὲ ἄδηλον. Εἶπε δ' οὖν, « Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου, καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας. » (2) Ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος οὐ δοκεῖ πρᾴως ἔχοντος οὐδὲ εὐδιαλλάκτως σημεῖον εἶναι. Πῶς γὰρ ἂν ἐφείσατο c ζῶντος εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; Τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτοῦ καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων ἐπιεικείᾳ τεκμαίρονται καὶ τὸν

abluta et condimenti loco pauculo gramine admisto equos adducere. Numidæ enim celeres multique simul identidem irruebant et agris potiebantur. (3) Quodam etiam tempore, quum Cæsaris equites otiosi Afrum quendam saltantem simul et tibia canentem ita uti admirationem mereretur, spectarent, eique intenti oblectationi equos pueris commisissent, Numidæ subito circumfusi bonam eorum partem in ipso illo loco occiderunt, reliquos effuse ad castra fugientes insecuti eodem impetu irruperunt. Quod nisi Cæsar ipse, cumque eo Asinius Pollio ex castris auxilium suis tulissent, eorumque fugam inhibuissent, actum utique de eo bello fuisset. Iterum deinde alio prœlio superiores hostes fuerunt, quum quidem Cæsar aquiliferum fugientem fertur collo correptum obvertisse, ac dixisse : Hic sunt hostes.

LIII. Scipio sane his successibus elatus statuit prœlio rem committere, relictoque seorsum Afranio, seorsum Juba, castra haud procul habentibus, super paludem prope urbem Thapsum castris munitionem erexit, quæ omnibus ad pugnam ituris arcis et refugii loco esset. (2) Hoc illo agente Cæsar, superatis incredibili celeritate silvestribus et quorum aditus occulti erant locis, exercitum ejus partim cinxit, partim a fronte adortus est. Eo fuso, impetum successus prosperi sequens, continuo Afranii castra capit, confestim etiam Numidica, dilapso fuga Juba, diripit. Ita exigua unius diei parte trinis est potitus hostium castris, ac suorum non omnino quinquaginta amissis, hostium quinquaginta millia delevit. (3) Hoc modo quidam de hac pugna tradunt; alii eum rei gestæ interfuisse negant, sed quum jam ordines instrueret, correptum solito morbo tradunt, quem ut primum sensit ingruentem, priusquam penitus omnibus sensibus caperetur, quum jam inciperet tremere, in quoddam vicinum castellum abductum fuisse, atque ibi acquievisse. Qui ex pugna fugerant, consulares et prætorii viri, multi capti mortem sibi consciverunt, permulti ad Cæsarem abducti, jussu ejus necati sunt.

LIV. Catonem vivum in potestatem suam redigere quammaxime cupiens, ad Uticam propere accessit, quam is urbem custodia tenens, prœlio non interfuerat. Ut vero de morte ejus, quam is sibi ipse attulerat, cognovit, haud dissimulavit graviter id se ferre, tametsi cur ita, non constat. Dixit quidem, Invideo tibi mortem tuam, o Cato, quando tu etiam mihi salutem tuam invidisti. (2) Sane oratio in Catonem jam mortuum scripta a Cæsare, videtur animi nequaquam reconciliati indicia continere. Qui enim pepercisset vivo, in quem sensu jam omni privatum tantum iræ effuderit? Humanitas tamen, qua Ciceronem, Brutum, et mille alios, qui in bello contra ipsum fuerant,

λόγον ἐκεῖνον οὐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίᾳ πολιτικῇ συντετάχθαι διὰ τοιαύτην αἰτίαν. (3) Ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπουδῆς, ὡς εἰκὸς, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. Τοῦτο ἠνία Καίσαρα κατηγορίαν αὑτοῦ νομίζοντα τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. Ἔγραψεν οὖν πολλάς τινας κατὰ τοῦ Κά- d τωνος αἰτίας συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. Καὶ σπουδαστὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα πολλούς.

LV. Ἀλλὰ γὰρ, ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν, ὅση παρέξει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον σίτου μὲν εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ λιτρῶν μυριάδας τριακοσίας. (2) Ἔπειτα θριάμβους κατήγαγε τὸν Αἰγυπτιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκὸν, οὐκ ἀπὸ Σκηπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως. Τότε καὶ Ἰόβας υἱὸς ὢν ἐκείνου κο- e μιδῇ νήπιος ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρου καὶ Νομάδος Ἑλλήνων τοῖς πολυμαθεστάτοις ἐνάριθμος γενέσθαι συγγραφεῦσι. (3) Μετὰ δὲ τοὺς θριάμβους στρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου καὶ τὸν δῆμον ἀνελάμβανεν ἑστιάσεσι καὶ θέαις, ἑστιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. Μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων, ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων ἐξητάσθησαν αἱ πᾶσαι πεντεκαίδεκα. Τηλικαύτην ἡ στάσις ἀπειργάσατο συμφορὰν καὶ τοσοῦτον ἀπανάλωσε τοῦ f δήμου μέρος ἔξω λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

LVI. Συντελεσθέντων δὲ τούτων ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον εἰς Ἰβηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηίου παῖδας, νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει στρατιὰν συνειλοχότας καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ
734 Καίσαρι περιστῆσαι τὸν ἔσχατον. (2) Ἡ δὲ μεγάλη μάχη a περὶ πόλιν συνέστη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβουμένους ὁρῶν τοὺς ἑαυτοῦ καὶ κακῶς ἀντέχοντας ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται λαβόντας αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. Μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρε, τῶν δὲ αὑτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. Ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. Ταύτην τὴν μάχην ἐνίκησε τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήιος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· b διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθε. Τῶν δὲ Πομπηίου παίδων ὁ μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας Δείδιος ἀνήνεγκε τὴν

complexus est, argumento esse quibusdam videtur, non odio viri eam orationem, sed civilis contentionis causa scriptam. (3) Etenim Cicero laudationem Catonis composuit, quæ ab eo est Cato inscripta, et a multis magno studio probata, ut par erat orationem a præstantissimo oratore de materia pulcherrima conditam. Id molestum erat Cæsari, ut qui hominis propter se mortui laudibus se accusari putaret. Itaque multa in Catonem crimina collegit, libroque complexus est, cui titulus est Anticato. Utraque oratio propter et Catonem et Cæsarem, multorum est applausu accepta.

LV. Enimvero ut rediit Romam Cæsar ex Africa, primo victoriam suam apud populum verbis jactavit, prædicans se tantum telluris subegisse, unde quotannis in publicum ducenta millia Atticorum medimnorum frumenti essent reditura, olei libræ ter millies millenæ. (2) Triumphos deinde duxit, Ægyptiacum, Ponticum, Africanum, hunc quidem non de Scipione, sed de Juba rege scilicet, cujus etiam filius Juba, puer admodum, in pompa tum ductus est, beatissimus ejus captivitatis nomine, qui per eam ex Numida atque barbaro eo deductus est, ut inter doctissimos Græcorum scriptores numeretur. (3) Secundum triumphos militibus amplissima dona dedit, populumque epulis et spectaculis recreavit. Totum populum epulo excepit tricliniorum viginti duobus millibus, et in honorem filiæ Juliæ dudum mortuæ gladiatorum et naumachiæ spectacula edidit. Post hæc populi recensio facta est et numerata sunt hominum centum quinquaginta millia, quum priori censu trecenta viginti millia essent relata. Tantam civile bellum calamitatem invexit, tantamque populi partem pessumdedit, ut ceteras reliquæ Italiæ et provinciarum clades taceam.

LVI. His omnibus perfectis consul quartum factus in Hispaniam contra filios Pompeii profectus est, qui juvenes etiamnum ætate, admirandæ tum multitudinis copias contraxerant, audaciamque imperio non indignam præ se ferebant; unde Cæsar in summum deductus est discrimen. (2) Magnum ad orbem Mundam prœlium depugnatum est. Quo in prœlio Cæsar quum pelli suos videret et ægre resistere, per ordines et arma discurrens vociferatus est ad milites: Ecquid vos pudet? quin vos imperatorem vestrum corripitis et in manus puerorum traditis? Tandem magno conatu hostes fudit, et super triginta millia occidit, amissis suorum mille præstantissimis viris. Discedens quidem a pugna suis dixit, se de victoria sæpe, tunc vero primum de vita sua dimicasse. Pugnatum est autem Liberalibus, quo die etiam Pompeius Magnus traditur ad bellum exiisse ante quadriennium. De filiis Pompeii junior effugit; majoris caput paucis post diebus Didius attulit. (3) Ultimum hoc

κεφαλήν. (3) Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δὲ ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. Οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας οὐδὲ βαρβάρους βασιλεῖς κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου τύχαις κεχρημένου παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπο- c λογία τὸ μετ' ἀνάγκης πεπρᾶχθαι, καὶ ταῦτα πρότερον μήτε ἄγγελον μήτε γράμματα δημόσια πέμψαντα περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλ' ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.

LVII. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες καὶ δεδεγμένοι τὸν χαλινὸν καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν δικτάτορα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου. Τοῦτο ἦν ὁμολογουμένη μὲν τυραννὶς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης· τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἁμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προσ- d τιθέντες ὑπερβολὰς καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων, οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. (2) Ἐπεί τά γε ἄλλα, τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον παρεῖχε· καὶ τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἄπο τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ πρᾳότητι ψηφίσασθαι. Καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμη- e κότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ ἀρχὰς καὶ τιμὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. (3) Καὶ τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν, ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ τοὺς Πομπηΐου στήσας ἀνδριάντας τοὺς ἰδίους ἔπηξε. Τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς οὐχ ὑπέμεινεν, εἰπὼν ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν. Τὴν δὲ εὔνοιαν ὡς κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον αὖθις ἀνελάμβανε τὸν δῆμον ἑστιάσεσι f καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις, ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν, αἷς καὶ πρότερον τὴν ἅλωσιν καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.

LVIII. Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς τοὐπιὸν ἐπηγγέλλετο, τοὺς δ' ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο, πᾶσι δὲ ἐλπί-
735ζειν ἐνεδίδου μνηστευόμενος ἄρχειν ἑκόντων, ὡς καὶ a
Μαξίμου τοῦ ὑπάτου τελευτήσαντος εἰς τὴν περιοῦσαν ἔτι τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον. Πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων ὁ Κικέρων, - Σπεύδωμεν,

bellorum a Cæsare gestorum fuit. Triumphus autem ab eo bello apud Romanos summam commovit indignationem. Minime enim probabatur eum non exteris ducibus, aut barbaris regibus devictis, sed optimi Romanorum calamitatibus icti genere et liberis exstirpatis, per triumphum patriæ infortuniis insultare, iisque se rebus jactare, quas sola necessitas apud deos hominesque excusare possit, augebatque rei indignitatem, quod antehac neque nuntium neque literas publicas de ulla bello civili parta victoria miserat, verecundia gloriam tegens.

LVII. Veruntamen ad fortunam viri inclinantes, recepto jam fræno, et existimantes constituto unius in republica principatu respirare urbem ab intestinis malis posse, dictatorem eum perpetuum creaverunt; ea vero haud dubia erat tyrannis, adjecta ad summum imperium perpetuitate. Primos honores ei decernendos in senatu proposuit Cicero, quorum tamen magnitudo utcumque homini par esset; his certatim alii majora adjicientes effecerunt ut Cæsar, ob fastum et novitatem eorum quæ in honorem ejus decreta sunt, etiam mansuetissimis invisus fieret. Quam ad rem inimici ejus haud minus quam assentatores contulisse videntur, id agentes, ut quam plurimas ac maximas ejus invadendi causas haberent. (2) Alioquin enim imposito a se jam bellis civilibus fine Cæsar nullo se crimine obligaverat, videturque haud absurde templum Clementiæ ad agendas humanitati ejus gratias decretum fuisse. Multis enim eorum qui bellum contra ipsum gessissent, veniam dedit, quosdam etiam ad magistratus et honores provexit, ut Cassium et Brutum, qui tum prætores erant. (3) Pompeii etiam statuas, quæ dejectæ erant, non est passus jacere, sed restituit, estque tunc a Cicerone dictum, Cæsarem restituendis Pompeii imaginibus suas stabilire. Amicis quoque stipatoribus ipsum uti jubentibus, et operam suam offerentibus, recusavit, dicens, Præstat semel mortem oppetere, quam semper metuere. Itaque civium benevolentia, quam honestissimam eandemque fidelissimam custodiam censebat, sese muniens, iterum populum epulis et frumentariis largitionibus refecit, milites coloniis deducendis, quarum nobilissimæ erant Carthago et Corinthus, quæ ut olim eodem tempore dirutæ, ita tum simul instauratæ sunt.

LVIII. Potentiores autem consulatus et præturas insequentis anni promittendo, aliisque honoribus et dignitatibus delinivit, omnibusque bonas spes proponens id studiose egit, ut volentibus imperaret. Quin etiam mortuo Maximo consule quum una tantum adhuc dies consulatus gerendi superesset, Caninium Rebilum consulem ei suffecit. Ad quem quum pro more frequentes salutatum accederent multi, Cicero, Properemus, inquit, priusquam magistratu

ἔρη, πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος.» (2) Ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων καὶ καινῆς ἔρωτα δόξης ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ, τὸ μὲν πάθος οὐδὲν ἦν ἕτερον ἢ ζῆλος αὑτοῦ καθάπερ ἄλλου καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων b πρὸς τὰ πεπραγμένα, παρασκευὴ δὲ καὶ γνώμη στρατεύειν μὲν ἐπὶ Πάρθους, καταστρεψαμένῳ δὲ τούτους καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι τὸν Πόντον εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν καὶ τὰ περίχωρα Γερμανοῖς καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. (3) Διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορίνθιον Ἰσθμὸν ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν ἐπὶ τούτῳ προχειρισάμενος, καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ c καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνῃ θάλατταν ἀσφάλειαν ἅμα καὶ ῥαστώνην τοῖς δι' ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμέντιον καὶ Σητίαν ἐκτρέψας πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι, τῇ δὲ ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα διὰ χωμάτων ἐπαγαγὼν καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ᾐόνος ἀνακαθηράμενος λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. Καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

LIX. Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις d τῆς περὶ τὸν χρόνον ἀνωμαλίας φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ καὶ τέλος λαβοῦσα γλαφυρωτάτην παρέσχε χρείαν. Οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμέναις ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς ὑποφερομένας κατὰ μικρὸν εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δὲ ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες ἐξαίφνης καὶ προῃσθημένου μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα Μερκηδόνιον ὀνομάζοντες, ὃν Νομᾶς e ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόῤῥω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. (2) Καῖσαρ δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθείς, ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔμιξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. Οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε· Κικέρων γοῦν ὁ ῥήτωρ, ὥς ἔοικε, φήσαντός τινος αὔριον f ἐπιτέλλειν Λύραν, «Ναί, εἶπεν, ἐκ διατάγματος,» ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

homo abeat. (2) Enimvero ingenium ejus magnificum atque honoris avidum ita erat, ut prosperi successus eum non ad fruenda ea quæ adeptus erat averterent, sed ad novos majorum rerum conatus incenderent, et quasi defunctus præsenti gloria esset, ad quærendam recentem aliam incitarent, adeoque ipse secum, veluti cum alio quopiam, contendebat, et acta agendis superare certatim laborabat. Eapropter tunc quoque animo res arduas conceperat, expeditionem in Parthos facere, his subactis per Hyrcaniam præter Caspium mare et Caucasum Pontum in Scythiam proficisci, inde regiones Germaniæ finitimas, ipsamque Germaniam percurrere, et per Gallias in Italiam reverti, scilicet confecto expeditionum circulo, qui Oceano undique circumfuso terris concluderetur. (3) Interim opera Anieni statuerat Isthmum Corinthiacum perfodere, Tiberim statim infra urbem profundo alveo intercipere atque ad Circæum avertere, inque mare quod apud Anxur est deducere; qua re et faciliorem et tutiorem mercaturæ causa Romam petentibus navigationem machinabatur. Præterea paludes quæ sunt apud Pomentum et Setiam siccare, et campum redigere multis hominum millibus colendum, aggeribus conjectis claustra mari quod Romæ proximum est addere, littorisque Ostiæ propinqui cæcis et importuosis partibus expurgatis, portus ibi et stationes pro dignitate navigationis condere. Atque hæc quidem parabantur.

LIX. Anni vero correctio et inæqualitatis fastorum emendatio scite ab eo excogitata et absoluta, usum habuit gratissimum. Non enim antiquitus modo Romani menses habuerunt ad anni circuitum non congruentes (quo efficiebatur ut sacra et feriæ paulatim a constituto die decedentes, in diversam adeo anni partem deferrentur), sed et solaris anni ratio, qua utebantur Cæsaris ætate, omnibus præter sacerdotes ignota erat, iique soli eam cognitam habentes, subito ac præsentiente nemine mensem intercalarem adjiciebant, qui et Mercedonius dicitur; hunc autem primus omnium Numa rex invenisse traditur, auxilium ad errores circa orbium cœlestium ad eadem signa reditum tollendos exiguum neque durabile, uti est in ejus Vita a nobis demonstratum. (2) Sed Cæsar præstantissimis philosophis atque mathematicis eam quæstionem proposuit, et ex methodis jam tum inventis peculiarem quandam et absolutam emendationem composuit, qua etiamnum utuntur Romani, minusque reliquis temporum inæqualitate laborare videntur. Neque tamen id institutum eorum qui potentiæ ipsius æmulabantur reprehensiones effugit. Cicero certe orator, ut fertur, dicente quodam Lyram postridie orituram, Nimirum, inquit, ex edicto; tanquam hic quoque necessitatem hominibus Cæsar imposuisset.

LX. Τὸ δὲ ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δὲ ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη γενομένη. Καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν
736 προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα a
τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτούς, ἄλλως ἀνέφικτα ὄντα. Καί, καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα· τοῦ δὲ δήμου διαταραχθέντος ἀχθεσθεὶς ἐκεῖνος οὐκ ἔφη βασιλεύς, ἀλλὰ Καῖσαρ καλεῖσθαι· καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν. (2) Ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος, προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης οὐχ ὑπεξαναστάς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων ἀπεκρίνατο συστολῆς b
μᾶλλον ἢ προσθέσεως τὰς τιμὰς δεῖσθαι. Καὶ τοῦτο οὐ μόνον ἠνίασε τὴν βουλήν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης, καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς οἷς ἐξῆν μὴ παραμένειν, ὥστε κἀκεῖνον ἐννοήσαντα παραχρῆμα μὲν οἴκαδε τραπέσθαι καὶ βοᾶν πρὸς τοὺς φίλους ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν, ὕστερον δὲ προφασίζεσθαι τὴν νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην ἰλίγγους ἐπισπᾶσθαι c
καὶ καταλαμβάνεσθαι. (3) Τὸ δ' οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου, κατασχεθῆναι φήσαντος, « Οὐ μεμνήσῃ Καῖσαρ ὢν οὐδὲ ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν; »

LXI. Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. Ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτή, περὶ ἧς πολλοὶ γράφουσιν, ὡς ποιμένων τὸ παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρ- d
καδικοῖς Λυκαίοις. Τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοὶ σκύτεσι λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες· πολλαὶ δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι παρέχουσιν ὥσπερ ἐν διδασκάλου τὼ χεῖρε ταῖς πληγαῖς, πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς κύησιν ἀγαθὸν εἶναι. (2) Ταῦτα Καῖσαρ ἐθεᾶτο καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. Ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον e
ὤρεξε τῷ Καίσαρι· καὶ γίνεται κρότος οὐ λαμπρός, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. Ἀπωσαμένου δὲ τοῦ Καίσαρος ἅπας ὁ δῆμος ἀνεκρότησεν· αὖθις δὲ προσφέροντος, ὀλί-

LX. Enimvero apertis capitalibusque in eum odiis ansam præbuit regni cupiditas, quæ et prima causa plerisque fuit, et jam pridem in occulto infensis honestissima facti sui præscriptio. Et vero qui regium nomen Cæsari quærebant, rumorem divulgaverant, Sibyllino oraculo indicari, Parthos a Romanis subigi nullo modo posse, nisi si cum rege suo in eos expeditionem facerent. Quin etiam ab Alba Romam descendentem ausi sunt regem salutare; quum quidem populo conturbato, ipse indignatus, Cæsarem se, non regem vocari dixit; omniumque silentio facto, minime sereno hilarique vultu transiit. (2) Deinde quum essent in senatu honores ei immodici decreti, accedentibus ad ipsum pro rostris tum sedentem consulibus et prætoribus totoque senatu, non assurrexit, sed tanquam si cum privatis hominibus colloqueretur, respondit eos honores diminutionem potius quam additionem requirere. Non senatum modo, sed et populum id offendit, civitatemque rati ignominia senatus ludibrio haberi, magna cum tristitia discesserunt, quotquot discedendi facultatem habuere; adeoque sensit Cæsar indignationem eam, ut statim domum abiret, reductaque a collo veste ad amicos vociferaretur, se paratum esse ad præbendum, si quis necare ipsum vellet, jugulum, ac postea morbum suum prætenderit facto, quo qui laborent, ii si stantes ad multitudinem verba faciant, sensibus suis integris ac firmis uti nequeant, sed hi statim conturbentur, exagitenturque et vertiginibus corripiantur. (3) Sed res nequaquam ita habuit, imo enim ferunt eum, quum assurgere senatui vellet, ab amico, aut verius adulatore quodam suo, Cornelio Balbo, prohibitum, monente eum, ut se Cæsarem esse meminisset, seque ut præstantiorem coli pateretur.

LXI. Ad has inde offensas accessit circumscriptio tribunorum plebis. Res ea ita acta est. Lupercalibus (quæ a pastoribus olim celebrata fuisse multi tradunt, et quidem habent nonnihil similitudinis cum Arcadicis Lycæis) multi nobiles adolescentes et magistratum etiam gerentes discurrunt per urbem nudi et obvios per risum jocumque hirsutis scuticis feriunt; multæ vero etiam nobiles matronæ de industria occurrunt, manusque verberibus tanquam in ludo literario præbent, ad facilem partum gravidis, ad fœcunditatem sterilibus conducere id persuasæ. (2) Ea tunc Cæsar spectabat pro rostris sedens aurea sella, vestitu triumphali. Antonius etiam, ut tum erat consul, inter Lupercos currebat. Is ut in forum pervenit, populusque ei locum adeundi dedit, diadema serto laureo circumplicatum Cæsari porrexit; ad hoc ex composito plausus non alacris est editus. Cæsare repudiante, universus populus plausum dedit, iterumque Anto-

γοι, καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. Οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης Καῖσαρ μὲν ἀνίσταται τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. (3) Ὤφθησαν δὲ ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούιος καὶ Μάρυλλος, ἐπελθόντες ἀπέσπασαν καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες ἀπῆγον εἰς τὸ δεσμωτήριον. Ὁ δὲ δῆμος εἵπετο κροτῶν καὶ f Βρούτους ἀπεκάλει τοὺς ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. Ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον, ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων πολλάκις Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἄνδρας.

LXII. Οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοί, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων
737 καὶ τὸ πρὸς μητρὸς δ' ἀπὸ Σερουιλίων, οἰκίας ἑτέρας a ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. Τοῦτον ἐξ ἑαυτοῦ μὲν ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. Οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηίου φυγῆς οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. Καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ ἔμελλεν εἰς τέταρτον ἔτος ἐρίσαντος Κασσίου προτιμηθείς. Λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν, ὡς δικαιότερα μὲν λέγοι Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. Καί ποτε καὶ διαβαλλόντων b τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγὼν ἔφη πρὸς τοὺς διαβάλλοντας· « Ἀναμενεῖ τοῦτο τὸ σῶμα Βροῦτος, » ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. (2) Οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι, νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα καὶ τὸν δίφρον, ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν, ὧν ἦν τὰ πολλὰ τοιαῦτα· « Καθεύδεις, ὦ Βροῦτε, » καὶ « Οὐκ εἶ Βροῦτος. » Ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινού- c μενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον ἢ πρότερον ἐνέκειτο καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα δι' αἰτίας, ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. Εἶχε μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτόν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε· « Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει λίαν ὠχρὸς ὤν. « Πάλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολοβέλλα διαβολῆς πρὸς αὐτὸν ὡς νεωτερίζοιεν, ἐλθούσης, « Οὐ πάνυ, φάναι, τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους, » Κάσσιον λέγων καὶ d Βροῦτον.

LXIII. Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον, ἐπεὶ καὶ σημεῖα θαυμα-

nio diadema porrigente, pauci; Cæsare non accipiente, universi manus complosernnt. Hoc modo animis populi exploratis, Cæsar surrexit, mandato ut sertum in Capitolium deferretur. (3) Statuæ autem ex eo Cæsaris conspectæ sunt regiis mitris redimitæ; has duo tribuni plebis, Flavius et Marullus, detraxerunt, inventosque eos, qui primi Cæsarem regem salutassent, in carcerem abduxerunt, populo sequente et Bruti nomen tribunis acclamante; nam Brutus fuit is, qui regia potestate eversa, rempublicam senatui et populo reddidit. His factis irritatus Cæsar Flavio et Marullo magistratum abrogavit, et in accusandis iis multa contumeliose in populum faciens, Brutos eos et Cumanos appellabat.

LXII. Proinde multitudo se ad M. Brutum confert, cujus paternum genus a magno illo Bruto videbatur descendere, maternum ex Serviliorum nobili stirpe, idemque consobrinus erat ac gener Catonis. Is Brutus quum natura videretur ad tyrannidem destruendam incitari, honoribus tamen et muneribus a Cæsare acceptis inhibebatur. Non modo enim a Pompeiana fuga apud Pharsalum Cæsar eum servaverat, multosque ipso deprecatore venia donaverat, sed et plurimum ei habebat fidei, præturamque omnium præstantissimam contulerat, et in quartum annum consulem destinaverat, prælatum in contentione Cassio. Ferunt enim Cæsarem dixisse : Cassium justiore sermone uti, se tamen Bruto non defuturum. Idem quibusdam accusantibus Brutum, jam tum conspiratione ea gliscente, animum non advertit, quin et corpus suum manu tangens, delatoribus dixit : Hoc corpus præstolatur Brutus, censens eum ob virtutem dignum imperio, atque hujus tamen causa non ingratum neque improbum adversus se futurum. (2) Qui vero mutari statum reipublicæ cupiebant et ad Brutum vel solum vel primum omnium respiciebant, non ausi verbis eum tentare, noctu sellam ejus et tribunal de quo prætor jus dicebat, schedis oppleverunt, quibus fere hæc erant inscripta : Dormis, Brute; et, Non es Brutus. Quibus sentiens Cassius paulatim animum ejus commoveri, magis quam ante instituit hominemque instigavit, privatim ipse etiam Cæsari infensus ob causas in Bruti Vita indicatas. Sane et suspectus Cæsari fuit, adeo ut hic ad amicos aliquando dixerit : Quid vobis videtur Cassius? mihi quidem non admodum probatur, nimis enim pallet. Iterumque delatis apud eum Dolabella et Antonio, quasi ii res novas machinarentur, dixisse fertur : se sibi haud magnopere a crassis istis crinitisque metuere, sed a pallidis istis atque macilentis, Cassium et Brutum notans.

LXIII. Verum enimvero fatum haud tam prævideri quam evitari nequit, quando et mirabilia prodigia atque ostenta

στὰ καὶ φάσματα φανῆναι λέγουσι. Σέλα μὲν οὖν οὐράνια καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι· Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν, ὡς δὲ ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον· αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ e γενέσθαι τοῦ ἱερείου καὶ δεινὸν εἶναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῷον ἀκάρδιον. Ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ Μαρτίου μηνός, ἣν Εἰδοὺς Ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον, ἐλθούσης δὲ τῆς ἡμέρας προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος, « Αἱ μὲν δὴ Μάρτιαι Εἰδοὶ πάρεισιν, » ὁ δὲ ἡσυχῇ πρὸς αὐτὸν εἴποι, « Ναὶ πάρεισιν, ἀλλ' οὐ παρεληλύθασι. » (2) Πρὸ μιᾶς δὲ ἡμέρας Μάρκου Λεπίδου δειπνίζοντος αὐτόν, ἔτυχε μὲν f ἐπιστολαῖς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου, ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν, « Ὁ ἀπροσδόκητος. » Μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικί, πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ καταλαμπούσης τῆς σελήνης ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ a
738 στεναγμοὺς ἀνάρθρους ἀναπέμπουσαν ἐκ τῶν ὕπνων· ἐδόκει δὲ ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον (3) Οἱ δὲ οὔ φασι τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλὰ ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι τῆς βουλῆς ψηφισαμένης ἀκρωτήριον, ὡς Λίβιος ἱστορεῖ, τοῦτο ὄναρ ἡ Καλπουρνία θεασαμένη καταρρηγνύμενον ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. (4) Ἡμέρας δ' οὖν γενομένης ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. Εἶχε δέ τις, ὡς ἔοικε, κά- b κεῖνον ὑποψία καὶ φόβος. Οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δὲ ἑώρα περιπαθοῦσαν. Ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ δυσιερεῖν, ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον.

LXIV. Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ' αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μή, τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰ- c τίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν κελεύσαντος ἐκείνου καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας,

apparuisse dicunt. Fulgores quidem cœlestes et strepitus nocturnos passim auditos et aves solitarias in forum delapsas referre, ut tantæ rei signa, fortasse non convenit; Strabo philosophus narrat, multos homines ignitos per aerem deferri visos, calonem quendam ex manu multum flammæ effudisse visumque ardere, sed flammis cessantibus nihil habuisse mali. Ipso Cæsare immolante, hostiam corde carere visam, idque pro gravi ostento habitum, quod natura non ferat uti ullum animal sine corde sit. Jam illud a multis commemoratur, quendam ei ariolum prædixisse, ut Idibus Martiis magnum periculum caveret; Cæsarem Idibus Martiis in senatum euntem ariolum salutasse eique illusisse dicentem : Idus Martias jam venisse; illum submissa voce respondisse : Næ illæ venerunt, sed nondum præterierunt. (2) Pridie ejus diei quum apud M. Lepidum cœnaret et accumbens, uti solebat, literis subscriberet, orta disquisitione, quodnam mortis genus esset optimum, omnibus antevertit et subitam inopinatamque mortem optimam esse exclamavit. More deinde suo cum uxore dormiens, omnibus januis et valvis fenestrarum conclavis subito apertis, strepitu simul et luce perterritus, luna splendente vidit Calpurniam uxorem graviter dormire et voces obscuras gemitusque inarticulatos edere per somnum; ea enim imaginabatur per quietem se mariti trucidati corpus in ulnis tenere atque deplorare. (3) Quidam non hoc insomnium uxori ejus obtigisse dicunt, sed, ut Livius narrat, fuit quoddam pinnaculum quasi honoris causa et mandato senatus additum Cæsaris ædibus, id per quietem visa sibi est Calpurnia collapsum deflere ac lamentari. (4) Itaque facta luce Cæsarem oravit, ut si omnino prodire cogeretur, at saltem senatui diem protraheret; quodsi ipsius insomnia prorsus vilipenderet, at aliis divinationibus atque sacris futurum exploraret. Et injecit quidem viro nonnihil metus ac suspicionis, quod uxorem, quam hactenus nequaquam mulierum more superstitiosam expertus fuerat vehementius esse sollicitam cerneret. Quum vero aruspices etiam multis mactatis hostiis non potuisse litari nuntiarent, statuit misso Antonio senatum dimittere.

LXIV. Interim Decimus Brutus Albinus cognomine advenit, cui Cæsar tantum tribuebat, ut eum in testamento suo secundum hæredem scripserit. Is M Bruti et Cassii conjurationis socius, metuens ne Cæsare illam diem evitante conatus ipsorum innotesceret, aruspices risit, Cæsaremque verbis increpuit, qui se ipsum incusationibus et calumniis senatorum objiceret, quod iis illudere videretur; etenim eos jussu ipsius convenisse omnesque paratos esse decer-

ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράσει τις αὐτοῖς καθεζομένοις νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δὲ αὖθις, ὅταν ἐντύχῃ βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων, ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; ἀλλ' d εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. (2) Ταῦθ' ἅμα λέγων ὁ Βροῦτος ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα. Καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ φυλάττειν κελεύσας, ἄχρι ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

LXV. Ἀρτεμίδωρος δὲ Κνίδιος τὸ γένος, Ἑλληνι- e κῶν λόγων σοφιστὴς καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκε μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλε μηνύειν, ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλιδίων ἕκαστον δεχόμενον καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐγγὺς σφόδρα προσελθών, « Τοῦτο, ἔφη, Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων καὶ σοὶ διαφερόντων. » (2) Δεξάμενος οὖν ὁ Καῖσαρ ἀναγνῶναι μὲν ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις, ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο παρῆλθεν εἰς τὴν σύγκλητον. Ἔνιοι δέ φασιν ἄλλον ἐπιδοῦναι τὸ f βιβλίον τοῦτο, τὸν δὲ Ἀρτεμίδωρον οὐδὲ ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.

LXVI. Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηίου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηίου δὲ ἀνάθημα γεγονὼς τῶν προσκεκοσμημένων τῷ θεάτρῳ,
739 παντάπασιν ἀπέφαινε δαίμονός τινος ὑφηγουμένου καὶ a καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. Καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος εἰς τὸν ἀνδριάντα τοῦ Πομπηίου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ' ὁ καιρὸς, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος ἀντὶ τῶν προτέρων λογισμῶν. (2) Ἀντώνιον μὲν οὖν πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν· εἰσιόντος δὲ Καίσαρος ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα, τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέ- b στησαν, οἱ δὲ ἀπήντησαν ὡς δὴ Τυλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι, συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. Ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις καὶ προσκειμένων βιαιότερον ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Τύλλιος τὴν τή-

nere, ut ipse rex omnium quæ extra Italiam sunt provinciarum dicatur, ac terra marique, nisi quum in Italia sit, diadema gestet; quodsi quis considentibus iis, in præsentia abire domum dixerit et rursum in curiam venire, ubi meliora Calpurniæ insomnia fuerint oblata, quosnam futuros invidorum sermones putaret, aut quem amicorum ejus audituros esse istos, ostendere conantem, hæc non servitutem esse et tyrannidem? si tamen omnino stet sententia diem istum abominari, rectius facturum, si ipse in curiam progressus senatui coram hoc indicet. (2) Simulque Cæsarem manu apprehensum produxit. Haud procul foribus processerant, quum servus quidam alienus Cæsarem compellare cupiens adfuit, qui quum a turba Cæsarem certatim sectantium retruderetur, in domum Cæsaris tamen vi eluctando per catervas pervenit, Calpurniæque custodiendum sese tradidit, dum rediret Cæsar habere se magnarum rerum indicia quæ ad eum deferret dicens.

LXV. Artemidorus etiam Cnidius, Græcarum literarum magister, atque ob eam rem quorundam Brutianæ conspirationis sociorum familiaris, ita ut pleraque eorum consilia haberet cognita, indicia rei in libello perscripta ad Cæsarem attulit, quumque eum videret libellos accipere ac suis famulis porrigere, proxime aggressus : Hunc, inquit, o Cæsar, solus lege et celeriter; scriptas enim continet res magnas et tua plurimum referentes. (2) Acceptum Cæsar quum sæpius esset conatus legere, prohibitus interpellantium multitudine, in manibus retinuit solum omnium reliquorum, itaque servans in curiam intravit. Quidam libellum ab alio porrectum scribunt, ipsum Artemidorum tota via aditu Cæsaris exclusum et detrusum fuisse.

LXVI. Verum hujusmodi res etiam casu evenire possent. Eo autem in loco, ubi senatus est habitus et cædes peracta, Pompeii statua posita erat, ipsaque illa curia ab eodem Pompeio olim dedicata et ornamenti causa theatro adjecta, demonstravit numine quopiam auctore viamque quasi præeunte ibi rem perpetratam fuisse. Itaque ergo Cassius etiam, tametsi ab Epicuri opinionibus haud abhorrens, fertur ante factum ad statuam Pompeii respexisse, tacitusque eum invocasse, scilicet instante jam facinoris tempore animo divinitus concitato, atque ea perturbatione prioribus sententiis excussis. (2) Antonium, Cæsari fidum et robustum hominem, extra curiam Brutus Albinus detinuit, injecto studiose longiori sermone. Cæsare ingresso senatus assurrexit honoris causa, Bruti socii partim post sellam ejus circumstiterunt, partim obviam iverunt, scilicet Tullio Cimbro pro fratre exsule deprecanti adfuturi, et usque ad sellam comitati sunt, preces suas pro eo interponentes. Postquam consedit Cæsar, et preces eorum repudiavit, acriusque urgentes singulatim objurgavit, Tullius togam ejus utraque manu com-

βεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. Πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν, ἀλλ', ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθεὶς, ὥστε καὶ τὸν c Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. Ἅμα δέ πως ἐξεφώνησαν ὁ μὲν πληγεὶς Ῥωμαϊστί· « Μιαρώτατε Κάσκα, τί ποιεῖς; » ὁ δὲ πλήξας Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν· « Ἀδελφὲ, βοήθει. » (3) Τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ δρώμενα μήτε φεύγειν μήτε ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. Τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν πληγαῖς ἀπαντῶν καὶ σιδήρῳ φερομένῳ καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος ὥσπερ θηρίον d ἐνειλεῖτο ταῖς πάντων χερσίν· ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. (4) Διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. Λέγεται δὲ ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον καὶ παρῆκεν ἑαυτὸν εἴτε ἀπὸ τύχης εἴτε ὑπὸ τῶν κτεινόντων ἀπωσθεὶς πρὸς τὴν βάσιν, ἐφ' ἧς ὁ Πομπηίου βέβηκεν ἀνδριάς. Καὶ πολὺ καθῄμαξεν αὐτὴν ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι e τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπήιον ὑπὸ πόδας κεκλιμένου καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. Εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.

LXVII. Κατειργασμένου δὲ τοῦ ἀνδρὸς ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τοὺς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια, δρόμῳ δὲ χωρεῖν τοὺς μὲν ἐπὶ τὸν τόπον ὀψομένους τὸ πάθος, τοὺς f δὲ ἐκεῖθεν ἑωρακότας· Ἀντώνιος δὲ καὶ Λέπιδος οἱ μάλιστα φίλοι Καίσαρος ὑπεκδύντες εἰς οἰκίας ἑτέρας κατέφυγον. (2) Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαρραλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. Ἔνιοι δὲ καὶ συνανέβαινον αὐ-
740 τοῖς καὶ κατεμίγνυσαν ἑαυτοὺς ὡς μετεσχηκότες τοῦ a ἔργου καὶ προσεποιοῦντο τὴν δόξαν, ὧν ἦν καὶ Γαΐος Ὀκταούιος καὶ Λέντλος Σπινθήρ. Οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον ὑπὸ Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες ἀπιστίᾳ τῶν ἄλλων. Οὐ-

prehensam a collo detraxit: quod signum erat inferendarum Cæsari manuum datum. Tum primus ei Casca pugione secundum cervicem vulnus inflixit neque letale neque grave, nimirum initio magni facinoris consternatus; itaque Cæsar obvertit se et arrepto pugione exclamavit Latinis verbis, Scelerate Casca, quid agis? simul Casca Græco sermone: Frater, auxiliare mihi. (3) Hoc facto initio, qui non erant conjurationis conscii, ita sunt obstupefacti, ut neque fugere, neque opitulari, neque omnino vocem ullam edere auderent; conjurati gladium unusquisque suum strinxerunt. Ita Cæsar circulo armatorum inclusus, et quocumque faciem converteret, ictibus occurrens in ferrumque offendens vultui oculisque intentatum, feræ instar inter manus omnium involvebatur: omnes enim oportuit participes cædis ejus fieri, ideoque unum etiam vulnus ad inguen ei Brutus imposuit. (4) Perhibent Cæsarem, quum reluctatus adversus ceteros esset, vociferansque corpus hinc inde jactasset, ut viderit Brutum gladium nudasse, toga caput obnupsisse, ac se sive fortuito, sive compulsum eo a percussoribus demisisse ad basin statuæ Pompeianæ. Et hanc cædes ista cruore opplevit, ut videri possit ipse Pompeius supplicio inimici astitisse sub pedes ejus collapsi, ac præ multitudine vulnerum calcitrantis. Viginti enim ac tria vulnera accepit, et multi, dum in unum corpus tot plagas ingerunt, sese mutuo consauciarunt.

LXVII. Cæsare interfecto, quamvis in medium progressus Brutus esset verborum de re acta faciendorum causa, manere tamen senatus non sustinuit, sed fuga se per fores proripuit, tumultuque et dubio metu populum replevit, ita ut quidam ædes clauderent, alii mensis et tabernis relictis ad curiam accurrerent visuri cadaver, quidam eo spectato inde procurrerent. Antonius et Lepidus præcipui Cæsaris amici in alienas domos confugerunt. (2) Brutus vero cum sociis, ut adhuc a cæde calebant, nudos ostendentes gladios universi a curia agmine facto Capitolium petierunt, non fugientium similes, sed hilari vultu et audaciam præ se ferente, populumque ad libertatem vocarunt, obviorumque optimum quemque asciverunt et in arcem evaserunt. Fuerunt qui se eis adjungerent, unaque ascenderent et societatis perpetratæ cædis gloriam sibi arrogarent, ut Lentulus Spinther ac C. Octavius, qui paulo post pœnas vanitatis suæ dederunt, ab Antonio et juniore Cæsare necati, quum sane reliquis fidem eis derogantibus ne gloria quidem ea, ob quam mori cogebantur, perfrui eis contigisset: neque

δὲ γὰρ οἱ κολάζοντες αὐτοὺς τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον. (3) Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ b Βροῦτον, ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα πᾶσι Καίσαρα μὲν ὡς θεὸν τιμᾶν ἐψηφίσαντο καὶ κινεῖν μηδὲ τὸ μικρότατον ὧν ἐκεῖνος ἄρχων ἐβούλευσε, τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμε καὶ τιμὰς ἀπέδωκε πρεπούσας, ὥστε πάντας οἴεσθαι τὰ πράγματα κατάστασιν ἔχειν καὶ σύγκρασιν ἀπειληφέναι τὴν ἀρίστην.

LXVIII. Ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκέτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύ- c σαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν, ἀράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων ὡς καταφλέξοντες, ἄλλοι δὲ ἐφοίτων πανταχόσε τῆς πόλεως συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. Οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πεφραγμένοι πάντες ἦσαν. (2) Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μέν, ὥς φασι, τῆς παρῳχημένης νυκτὸς ὄψιν ἑωρακὼς ἄτοπον· ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι, παραιτούμενος δὲ ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ μὴ βουλόμενος, ἀλλ' ἀντιτείνων. Ὡς δ' ἤκου- d σεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενός τε τὴν ὄψιν ἅμα καὶ πυρέττων. Καί τις ὀφθέντος αὐτοῦ τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνομοσαμένοις, ὃν τοῦτον εἶναι ὑπολαβόντες ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. Τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον καὶ Κάσσιον οὐ πολλῶν ἡμερῶν διαγενομένων ἀπεχώρησαν ἐκ τῆς πόλεως. Ἃ δὲ καὶ πράξαντες καὶ παθόντες e ἐτελεύτησαν, ἐν τοῖς περὶ Βρούτου γέγραπται.

LXIX. Θνήσκει δὲ Καῖσαρ τὰ μὲν πάντα γεγονὼς ἔτη πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ' ἐπιβιώσας οὐ πολὺ πλέον ἐτῶν τεσσάρων, ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. Ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάττης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων, ἀλλὰ f καὶ τοὺς καθ' ὁτιοῦν ἢ χειρὶ τοῦ ἔργου θιγόντας ἢ γνώμης μετασχόντας ἐπεξελθεῖν. (2) Θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φι-

enim punientes illos, facti, sed voluntatis causa supplicium eis imposuerunt. (3) Postridie Bruto cum suis digresso et in concione facti rationes edente, populus neque indignatione neque collaudatione facti verba ejus prosecutus est, altoque silentio ostendit se Cæsaris miseratione, Brutique verecundia teneri. At senatus oblivione injuriarum, omniumque adversus omnes pacificatione constituta, Cæsari divinos honores decreverunt, utque nihil ne levissimum quidem eorum quæ is dictator sanxisset rescinderetur; Bruto quoque et sociis provincias dignosque honores tribuerunt, jamque omnes existimabant pacatam esse rempublicam et optime omnia temperata.

LXVIII. Verum ubi testamentum Cæsaris recitatum est quo haud vile munus viritim is civibus legaverat, corpusque ejus per forum ducto funere spectatum est, ut erat laniatum vulneribus, statim multitudo nulla decori, nulla ordinis habita ratione, subsellia a foro et cancellos et mensas ad cadaver Cæsaris accumulaverunt, ibique statim cremaverunt; alii arreptis ardentibus facibus ad ædes interfectorum ejus accurrerunt, iisque incendium minati sunt, alii per totam urbem discurrerunt, comprehendere eos et discerpere cupientes. Verum eorum nemo se obviam tulit, sed tuto se quisque loco continebat. (2) Erat quidam amicus Cæsaris, Cinna nomine. Is superiori nocte mirum somnium somniaverat: visus erat sibi a Cæsare ad cœnam vocari, quumque detrectaret, ab eo manu abduci invitus atque repugnans; tum vero audiens Cæsarem in foro cremari, honoris causa eo se conferre cœpit, tametsi et insomnio nonnihil terreretur et febricitaret. Hunc quum de multitudine unus vidisset, percontanti alteri quis esset indicavit, isque rursus alteri; ita confestim apud omnes rumor increbuit, esse hunc unum de interfectoribus Cæsaris. Etenim fuit inter conjuratos alius quidam Cinna, quem illi tunc sibi offerri suspicantes, hominem in medio foro facto impetu discerpserunt. Hoc maxime facinore perterriti Cassius et Brutus, ceterique eorum socii, paucis interpositis diebus Roma discesserunt. Quæ deinde egerint, quæ pertulerint, utque perierint, in Bruto perscripsimus.

LXIX. Mortuus est Cæsar annos natus quinquaginta sex, quattuor post Pompeii obitum haud pluribus annis, quum vixdum potentiam et imperium, quod per omnem vitam ac tot pericula quæsivisset, adeptus, nullum ejus fructum, nisi nomen solum et invidiosam gloriam apud cives percepisset. Magnus tamen ille genius, qui viventi adfuit, mortuum quoque cædis ultor persecutus est, auctores ejus terra marique agens et investigans eo usque, dum nemo eorum superesset, sed quicumque in facinoris partem vel facto vel consilio venissent, pœnas dedissent. (2) Ex iis quæ hominibus evenerint, maximam Cassii casus admira-

λίπποις ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτὸν, ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν 741 διαπρεπὴς, εἶτα ἠφανίσθη) καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύ- a ρωμα τῆς αὐγῆς. Ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς οὐκ ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ' αὐτοῦ κατῄει τὸ θερμὸν, ὥστε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ τῆς διακρινούσης αὐτὸν ἀλέας ἐπιφέρεσθαι, τοὺς δὲ καρποὺς ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος. Μάλιστα δὲ τὸ Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν οὐ γενομένην θεοῖς ἀρεστήν· ἦν δὲ τοιόνδε. Μέλλων τὸν στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον ἀνεπαύετο νυκτὸς, ὥσπερ εἰώθει, κατὰ σκηνὴν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος· (3) λέγεται γὰρ οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώ- b δης γενέσθαι καὶ πλεῖστον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς. Ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου σκεψάμενος ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος καὶ χαλεποῦ τὸ εἶδος. Ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι μήτε φθεγγόμενον, ἀλλ' ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα, ὅστις ἐστίν. Ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα· « Ὁ σὸς, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους. » Τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς « Ὄψομαι » εἶπε· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει. (4) Τῷ c δ' ἱκνουμένῳ χρόνῳ περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεξήλασε πορθῶν τὸ Καίσαρος στρατόπεδον, τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, οὐχ ὥστε τι προσειπεῖν, ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον ἔῤῥιψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. Οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης ἀναφυγὼν πρός τι κρημνῶδες καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινὸς, ὥς φασιν, συνεπιῤῥώσαντος τὴν πληγὴν, ἀπέθανεν. d

tionem meretur. Is enim victus apud Philippos, eodem, quo Cæsarem, gladio sese peremit. De ostentis divinitus factis, cometa ingens, qui septem noctes a morte Cæsaris splendidus apparuit, octava evanuit, et solis obscuratio, qui totum illum annum pallido et nihil rutilante circulo ortus est, imbecillumque a se et tenuem diffudit calorem, ita ut aer ob defectum ejus a quo discernitur et temperatur caloris caliginosus gravisque fuerit, ob ejusque frigiditatem fruges non satis percoctæ maturatæque exstiterint. Maxime autem omnium Bruto ostentum factum demonstravit, Cæsaris cædem diis displicuisse. Exercitum enim Abydo in oppositam continentem trajecturus, quum in tentorio more suo non dormiens (3) (nemo enim, ut perhibent, imperator illo minus dormitavit, aut plus vigiliæ temporis impendit), sed futura secum animo prospiciens quiesceret, visus est sibi apud fores strepitum quendam exaudire, respiciensque lucerna jam deficiente terribilem imaginem viri inusitatæ magnitudinis horrendæque formæ vidit. Perterritus primum, ut nihil agere aut loqui, sed tacite astare lecto sensit, percontatus est : ecquis esset. Respondit ei umbra : Sum tuus, Brute, malus genius; apud Philippos me videbis. Et Brutus tum constanti animo : Videbo, inquit; statimque recessit spectrum. (4) Postea temporis apud Philippos cum Antonio et Cæsare congressus, priori prœlio hostes a sua parte fudit et insecutus eos, castra Cæsaris diripuit. Iterum pugnaturo spectrum idem noctu occurrit, tacitum tamen; itaque intelligens fato se urgeri, conjecit se ipsum in pugnæ discrimen. Neque tamen in prœlio cecidit, sed fusis suis in præruptum quendam confugit locum, nudoque pectore in gladium incubuit, et quodam ex amicis, ut traditum est, ictui vehementiam addente mortuus est.

ΦΩΚΙΩΝ.

Δημάδης ὁ ῥήτωρ ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις διὰ τὸ e πρὸς χάριν πολιτεύεσθαι Μακεδόνων καὶ Ἀντιπάτρου, πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος, ἔλεγε συγγνώμης ἄξιος εἶναι πολιτευόμενος τὰ ναυάγια τῆς πόλεως. Τοῦτο δὲ εἰ καὶ τῷ ῥήτορι θρασύτερον εἴρηται, δόξειεν ἂν ἀληθὲς εἶναι μετενεχθὲν ἐπὶ τὴν Φωκίωνος πολιτείαν. Δημάδης μὲν γὰρ αὐτὸς ἦν ναυάγιον τῆς πόλεως οὕτως ἀσελγῶς βιώσας καὶ πολιτευσάμενος, ὥστε Ἀντίπατρον εἰπεῖν ἐπ' αὐτοῦ γέροντος ἤδη γεγονότος, ὅτι καθάπερ f ἱερείου διαπεπραγμένου γλῶσσα καὶ κοιλία μόνον ἀπολείπεται· τὴν δὲ Φωκίωνος ἀρετὴν ὥσπερ ἀνταγωνιστῇ βαρεῖ καὶ βιαίῳ καιρῷ συλλαχοῦσαν αἱ τύχαι τῆς Ἑλλάδος ἀμαυρὰν καὶ ἀλαμπῆ πρὸς δόξαν ἐποίησαν. Οὐ 742 γὰρ Σοφοκλεῖ γε προσεκτέον ἀσθενῆ ποιοῦντι τὴν ἀρε- a τὴν ἐν οἷς φησιν·

Ἀλλ' οὐ γάρ, ὦναξ, οὐδ' ὃς ἂν βλάστῃ μένει
νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται·

τοσοῦτον δὲ τῇ τύχῃ δοτέον ἀντιταττομένῃ πρὸς τοὺς ἀγαθοὺς ἄνδρας ἰσχύειν, ὅσον ἀντὶ τῆς ἀξίας τιμῆς καὶ χάριτος ἐνίοις ψόγους πονηροὺς καὶ διαβολὰς ἐπιφέρουσαν τὴν πίστιν ἀσθενεστέραν ποιεῖν τῆς ἀρετῆς.

II. Καίτοι δοκοῦσιν οἱ δῆμοι μᾶλλον εἰς τοὺς ἀγαθοὺς ἐξυβρίζειν, ὅταν εὐτυχῶσιν, ὑπὸ πραγμάτων μεγάλων καὶ δυνάμεως ἐπαιρόμενοι· συμβαίνει δὲ τοὐναντίον. Αἱ γὰρ συμφοραὶ πικρὰ μὲν τὰ ἤθη καὶ μικρόλυπα καὶ ἀκροσφαλῆ πρὸς ὀργὰς ποιοῦσι, δύσκολον δὲ b τὴν ἀκοὴν καὶ τραχεῖαν ὑπὸ παντὸς λόγου καὶ ῥήματος τόνον ἔχοντος ἐνοχλουμένην· ὁ δὲ ἐπιτιμῶν τοῖς ἐξαμαρτανομένοις ἐξονειδίζειν τὰ δυστυχήματα δοκεῖ καὶ καταφρονεῖν ὁ παρρησιαζόμενος. (2) Καὶ καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μέρη τοῦ σώματος, οὕτως πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας, ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες, ὥσπερ ἀμέλει τὸ ἡδὺ μενοεικὲς ὁ ποιητὴς κέκληκεν, ὡς τῷ ἡδομένῳ τῆς ψυχῆς ὑπεῖκον καὶ μὴ μαχόμενον μηδ' ἀντιτυποῦν. (3) Καὶ γὰρ ὄμμα φλεγμαῖνον ἥδιστα τοῖς σκιεροῖς καὶ c ἀλαμπέσιν ἐνδιατρίβει χρώμασι, τὰ δὲ αὐγὴν ἔχοντα καὶ φῶς ἀποστρέφεται, καὶ πόλις ἐν τύχαις ἀβουλήτοις γενομένη ψοφοδεὲς καὶ τρυφερόν ἐστι δι' ἀσθένειαν ἀνέχεσθαι παρρησίας, ὅτε μάλιστα δεῖται, τῶν πραγμάτων ἀναφορὰν ἁμαρτήματος οὐκ ἐχόντων. Διὸ πάντη σφαλερὸν ἡ τοιαύτη πολιτεία· συναπόλλυσι γὰρ τὸν πρὸς χάριν λέγοντα καὶ προαπόλλυσι τὸν μὴ χαριζόμενον. (4) Ὥσπερ οὖν τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσι μήτε τὴν αὐτὴν τῷ οὐρανῷ φερόμενον φορὰν μήτε ἄντικρυς ἐναντίαν καὶ ἀντιβατικήν, ἀλλὰ λοξῷ καὶ παρεγκεκλι- d μένῳ πορείας σχήματι χρώμενον ὑγρὰν καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τὴν ἀρίστην κρᾶσιν, οὕτως ἄρα τῆς πολιτείας

PHOCION.

Demades orator quum Athenis potentia valeret, eo quod ad gratiam Antipatri et Macedonum omnia sua in republica consilia accommodaret, multa interim dicere ac scribere contra dignitatem et consuetudinem civitatis coactus, veniam sibi deberi dicebat, qui naufragia reipublicæ gubernaret. Quod etsi dictum videri potest ab eo audacius, tamen ad Phocionis translatum reipublicæ administrationem, locum habet. Nam Demades quidem ipse fuit civitatis naufragium, qui ita libidinose vixerit et rempublicam administraverit, ut de eo jam ætate provecto Antipater diceret, linguam tantum ejus et ventrem, veluti confectæ hostiæ, superesse. At Phocionis virtutem, quæ grave et violentum tempus tanquam adversarium sortita erat, fortunæ Græciæ obscuram ingloriamque effecerunt. Neque enim Sophocles audiendus est, qui virtuti vires derogat, ita scribens:

O rex, prior mens, vegeta quantumvis siet,
adversis rebus haud manet, sed excidit.

Id quidem virium credendum est habere fortunam bonos viros oppugnantem, ut pro merito honore et gratia quandoque gravibus reprehensionibus et calumniis eos onerans, virtuti fidei aliquantum deroget.

II. Sane videntur populi rebus præsertim secundis insultare bonis viris, fortunæ favore et rerum statu læto elati; contra tamen fieri solet. Nam res adversæ morosos multitudinis animos efficiunt, irritabilesque et qui levissimam ob causam iras concipiant, aures quoque difficiles et delicatas, ac quæ ab omni sermone ac verbo vehementiori læduntur. Peccata enim increpans aliquis, exprobrare eis infortunium videtur, et libere si loquatur, contemnere. (2) Ac quemadmodum vulneratas et exulceratas corporis partes mel offendit, ita sæpenumero verus et prudens sermo, nisi admixtam habeat lenitatem et obsequium, mordet et exasperat adversam fortunam expertos, atque hoc est opinor, cur Homerus id quod dulce sit μενοεικές dixerit, nempe quod animi humani parti ei, quæ expetit jucunda, concedat neque ei repugnet vel renitatur. (3) Atque ut oculus inflammatione laborans umbrosos et obscuros colores libenter inspectat, splendidos et luminosos aversatus, itidem civitas rebus parum prosperis utens meticulosior est et delicatior, quam ut perferre liberiores sermones possit, quum quidem hi maxime tum requirantur, quod relaxationem eorum quæ peccantur status rerum non admittit. Itaque eo tempore in republica versari, periculosissimum est; nam et qui grata populo loquuntur, una pereunt, et qui secus faciunt, ante ab eo perduntur. (4) Quemadmodum igitur solem mathematici perhibent neque eodem quo cœlum motu ferri, neque prorsus tamen contrario atque opposito, sed obliquo et deflexo cursu leviter incurvis circuitionibus converti, quibus temperat omnia quam rectissime et conservat; ita in republica etiam administranda rectus nimis et ubique

ὁ μὲν ὄρθιος ἄγαν καὶ πρὸς ἅπαντα τοῖς δημοσίοις ἀντιβαίνων τόνος ἀπηνὴς καὶ σκληρὸς, ὥσπερ αὖ πάλιν ἐπισφαλὲς καὶ κάταντες τὸ συνεφελκόμενον τοῖς ἁμαρτάνουσιν, ᾧ πολλοὶ καὶ συνεπιῤῥέπουσιν· ἡ δὲ ἀνθυπείκουσα πειθομένοις καὶ διδοῦσα τὸ πρὸς χάριν, εἶτα ἀπαιτοῦσα τὸ συμφέρον ἐπιστασία καὶ κυβέρνησις ἀνθρώπων πολλὰ πράως καὶ χρησίμως ὑπουργούντων, εἰ μὴ πάντα δεσποτικῶς καὶ βιαίως ἄγοιντο, σωτήριος, ἐργώδης δὲ καὶ χαλεπὴ καὶ τὸ σεμνὸν ἔχουσα τῷ ἐπιεικεῖ e δύσμικτον· ἐὰν δὲ μιχθῇ, τοῦτό ἐστιν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δὲ ἁρμονιῶν ἐμμελεστάτη καὶ μουσικωτάτη κρᾶσις, ᾗ καὶ τὸν κόσμον ὁ θεὸς λέγεται διοικεῖν, οὐ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὴν ἀνάγκην.

III. Ταῦτα δὲ καὶ Κάτωνι τῷ νέῳ συνέβη. Καὶ γὰρ οὗτος οὐ πιθανὸν ἔσχεν οὐδὲ προσφιλὲς ὄχλῳ τὸ ἦθος οὐδὲ ἤνθησεν ἐν τῇ πολιτείᾳ πρὸς χάριν· ἀλλ' ὁ μὲν Κικέρων φησὶν αὐτὸν ὥσπερ ἐν τῇ Πλάτωνος πολιτείᾳ καὶ οὐχ ἐν τῇ Ῥωμύλου πολιτευόμενον ὑποστάθμῃ f τῆς ὑπατείας ἐκπεσεῖν, ἐμοὶ δὲ ταὐτὸ δοκεῖ παθεῖν τοῖς μὴ καθ' ὥραν ἐκφανεῖσι καρποῖς. Ὡς γὰρ ἐκείνους ἡδέως ὁρῶντες καὶ θαυμάζοντες οὐ χρῶνται, οὕτως ἡ Κάτωνος ἀρχαιοτροπία διὰ χρόνων πολλῶν ἐπιγενομένη βίοις διεφθορόσι καὶ πονηροῖς ἔθεσι δόξαν μὲν εἶχε μεγάλην καὶ κλέος, οὐχ ἐνήρμοσε δὲ ταῖς χρείαις διὰ βάρος καὶ μέγεθος τῆς ἀρετῆς ἀσύμμετρον τοῖς καθεστῶσι
743 καιροῖς. (2) Καὶ γὰρ αὐτὸς οὐ κεκλιμένης μὲν ἤδη τῆς a πατρίδος, ὥσπερ ὁ Φωκίων, πολὺν δὲ χειμῶνα καὶ σάλον ἐχούσης, ὅσον ἱστίων καὶ κάλων ἐπιλαβέσθαι καὶ παραστῆναι τοῖς πλέον δυναμένοις πολιτευσάμενος, οἰάκων δὲ καὶ κυβερνήσεως ἀπωσθεὶς, ὅμως μέγαν ἀγῶνα τῇ τύχῃ περιέστησεν. (3) Εἷλε μὲν γὰρ καὶ κατέβαλε τὴν πολιτείαν δι' ἄλλους, μόλις δὲ καὶ βραδέως καὶ χρόνῳ πολλῷ καὶ παρὰ μικρὸν ἐλθοῦσαν περιγενέσθαι διὰ Κάτωνα καὶ τὴν Κάτωνος ἀρετήν· ᾗ παραβάλλομεν τὴν Φωκίωνος, οὐ κατὰ κοινὰς ὁμοιότητας, ὡς ἀγαθῶν καὶ πολιτικῶν ἀνδρῶν. Ἔστι γὰρ ἀμέλει καὶ ἀνδρίας διαφορὰ πρὸς ἀνδρίαν, ὡς τῆς Ἀλκιβιάδου πρὸς τὴν Ἐπαμινώνδου, b καὶ φρονήσεως πρὸς φρόνησιν, ὡς τῆς Θεμιστοκλέους πρὸς τὴν Ἀριστείδου, καὶ δικαιοσύνης πρὸς δικαιοσύνην, ὡς τῆς Νομᾶ πρὸς τὴν Ἀγησιλάου. Τούτων δὲ τῶν ἀνδρῶν αἱ ἀρεταὶ μέχρι τῶν τελευταίων καὶ ἀτόμων διαφορῶν ἕνα χαρακτῆρα καὶ μορφὴν καὶ χρῶμα κοινὸν ἤθους ἐγκεκραμένον ἐκφέρουσιν, ὥσπερ ἴσῳ μέτρῳ μεμιγμένου πρὸς τὸ αὐστηρὸν τοῦ φιλανθρώπου καὶ πρὸς τὸ ἀσφαλὲς τοῦ ἀνδρείου. καὶ τῆς ὑπὲρ ἄλλων μὲν κηδεμονίας, ὑπὲρ αὑτῶν δὲ ἀφοβίας, καὶ πρὸς μὲν τὸ αἰσχρὸν εὐλαβείας, πρὸς δὲ τὸ δίκαιον εὐτονίας συνηρμοσμένης ὁμοίως· ὥστε λεπτοῦ πάνυ λόγου δεῖσθαι c καθάπερ ὀργάνου πρὸς διάκρισιν καὶ ἀνεύρεσιν τῶν διαφερόντων.

IV. Τὸ μὲν οὖν Κάτωνος ὡμολόγηται γένος ἐκ λαμπρῶν ὑπάρχειν, ὡς λεχθήσεται· Φωκίωνα δὲ τεκμαίρομαι μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπε-

populari sententiæ repugnans tenor, durus est et inhumanus, rursusque ad perniciem proclive est una cum peccantibus abripi se pati, quo populum inclinare videmus. Quæ vero et morem gerit aliquando parentibus et gratificatur aliquid, gratiamque rursus commodi publici causa reposcere novit gubernatio et moderatio hominum, multis rebus placide atque utiliter, si non pro imperio omnia exsequi cogantur, subservientium, ea demum ut salutaris, ita et perdifficilis est laboris, gravitatem habens cum mansuetudine conjunctam. Quæ duo si inter se commisceantur, nulla profecto modorum aut sonorum concinnior dici potest suaviorque harmonia, quo modo etiam deus temperare mundum dicitur, non cogendo, sed necessitatem obtemperandi persuadendo fallens.

III. Eorum quæ a nobis hactenus sunt disputata, exemplum in Catone minore proponimus, homine ad persuadendum et favorem gratiamque multitudinis alliciendam minime appositi ingenii. Hunc Cicero consulatu excidisse ait, quod diceret tanquam in Platonis republica, non tanquam in Romuli fæce sententias: mihi vero idem videtur ei contigisse, quod alieno tempore enatis fructibus. Ut enim hos spectamus non sine gaudio et admiratione, neque tamen utimur, sic mores Catonis ad antiquæ virtutis exemplum compositi longo post tempore, corrupta jam et profligata vivendi honestate, quum laudarentur et in magna essent gloria, nulli tamen fuerunt usui, quod virtutis ejus gravitas istis temporibus non congrueret. (2) Quippe tametsi non inclinata prorsus, ut Phocion, patria, magna tamen tempestate et æstu jactata, vela et rudentes apprehendens, et potentioribus assistere aggressus, quamvis clavo et gubernatione depelleretur, plurimum tamen negotii fortunæ exhibuit. (3) Aliorum enim opera rempublicam ea evertit idque difficulter, ac diu Catonianæ virtutis præsidio subsistentem et prope victoria potitam. Cum hoc Phocionem comparamus, non communes illas secuti similitudines, quod boni fuerint, et reipublicæ studiosi viri. Nam et fortitudo sane in alio alia est, ut in Alcibiade et Epaminonda, et prudentia non unius generis, veluti Themistoclis et Aristidis, et justitia a justitia differt, quemadmodum Numæ et Agesilai. Sed horum virorum, etiamsi extremas et tenuissimas consectere differentias, eandem plane formam, eandem effigiem, eundem colorem habent, idem in utroque ingenium fuisse ostendunt, temperatum paribus austeritatis et humanitatis, prudentiæ in cavendis periculis et fortitudinis, procurationis aliorum salutis et metus, quod ad se attineret, vacuitatis, fugæ turpitudinis et constantiæ in prosequenda honestate portionibus, ita ut tenui admodum ratione tanquam instrumento ad invenienda et dijudicanda eorum discrimina opus sit.

IV. Et Catonem quidem constat illustri prognatum genere, ut post dicemus; Phocionem autem arbitror non obscura prorsus aut humili familia ortum. Nam si pater

πτωχότος. Εἰ γὰρ ἦν, ὥς φησιν Ἰδομενεὺς, δοιδυκοποιοῦ πατρὸς, οὐκ ἂν ἐν τῷ λόγῳ Γλαύκιππος ὁ Ὑπερείδου μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ τὴν δυσγένειαν παρῆκεν, οὐδ' ἂν οὕτως ἐλευθερίου βίου καὶ σώφρονος παιδείας μετέσχεν, ὥστε τῆς Πλάτωνος ἔτι μειράκιον ὢν, ὕστερον δὲ τῆς Ξενοκράτους διατριβῆς ἐν Ἀκαδημίᾳ μετασχεῖν καὶ τῶν ἀρίστων d ἐξ ἀρχῆς ἐπιτηδευμάτων ζηλωτὴς γενέσθαι. (2) Φωκίωνα γὰρ οὔτε γελάσαντά τις οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, ὡς ἱστόρηκε Δοῦρις, οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. Ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυσκαρτέρητον, ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος ἐνδεδυμένον Φωκίωνα.

V. Τῷ δὲ ἤθει προσηνέστατος ὢν καὶ φιλανθρωπότατος ἀπὸ τοῦ προσώπου δυσξύμβολος ἐφαίνετο καὶ e σκυθρωπὸς, ὥστε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. Διὸ καὶ Χάρητί ποτε πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι τῶν Ἀθηναίων ἐπιγελώντων, « Οὐδὲν, εἶπεν, αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρὺς, ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν. » (2) Ὁμοίως δέ πως τοῦ Φωκίωνος καὶ ὁ λόγος ἦν ἐπὶ χρηστοῖς εὐτυχήμασι καὶ διανοήμασι σωτήριος, προστακτικήν τινα καὶ αὐστηρὰν καὶ ἀνήδυστον ἔχων βραχυλογίαν. Ὡς γὰρ ὁ Ζήνων ἔλεγεν, ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν, οὕτως ὁ Φωκίωνος λόγος πλεῖστον ἐν ἐλαχίστῃ λέξει νοῦν εἶχε. Καὶ πρὸς τοῦτο ἔοικεν ἀπιδὼν ὁ Σφήττιος f Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριστος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων. Ὡς γὰρ ἡ τοῦ νομίσματος ἀξία πλείστην ἐν ὄγκῳ βραχυτάτῳ δύναμιν ἔχει, οὕτω λόγου δεινότης ἐδόκει πολλὰ σημαίνειν ἀπ' ὀλίγων. (3) Καὶ μέντοι καὶ αὐτόν ποτε τὸν Φωκίωνά φασι πληρουμένου τοῦ θεάτρου περιπατεῖν ὑπὸ σκηνὴν 744 αὐτὸν ὄντα πρὸς ἑαυτῷ τὴν διάνοιαν· εἰπόντος δέ τινος a τῶν φίλων, « Σκεπτομένῳ, Φωκίων, ἔοικας, » « Ναὶ μὰ τὸν Δία, φάναι, σκέπτομαι, εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν, ὃν μέλλω λέγειν πρὸς Ἀθηναίους. » Ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους, « Ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. » Ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον, ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίῤῥοπον ἔχει πίστιν.

VI. Νέος δὲ ὢν Χαβρίᾳ προσέμιξεν ἑαυτὸν τῷ στρατηγῷ καὶ παρείπετο πολλὰ μὲν εἰς ἐμπειρίαν τῶν πολεμικῶν ὠφελούμενος, ἔστι δὲ ἐν οἷς ἐπανορθούμενος b τὴν ἐκείνου φύσιν ἀνώμαλον οὖσαν καὶ ἄκρατον. Νωθρὸς γὰρ ὢν ὁ Χαβρίας καὶ δυσκίνητος ἄλλως ἐν αὐτοῖς τοῖς ἀγῶσιν ὤργα καὶ διεπυροῦτο τῷ θυμῷ καὶ συνεξέπιπτε τοῖς θρασυτάτοις παραβολώτερον, ὥσπερ ἀμέλει

ejus fuisset pistillorum faber, id quod Idomeneus asserit, haud profecto Glaucippus Hyperidis filius in ea oratione, qua alia infinita contra Phocionem convicia est complexus, generis obscuritatem præteriisset; neque ita liberali atque honesto vitæ instituto disciplinaque uti potuisset, quum quidem sciamus adolescentulum Platoni, deinde in Academia Xenocrati operam dedisse, et a tenera statim ætate optimis quibusque studiis incubuisse. (2) Duris refert, neque ridentem neque flentem ab ullo Atheniensium temere conspectum fuisse, neque in balneo publico lavantem, neque manum extra pallium, si eo amiciretur, exserentem; etenim ruri aut militiæ nudus semper et absque calceis incedebat, nisi frigus vehementissimum et intolerabile incidisset, ita ut per jocum etiam milites intensum gelu significari amicto Phocione dicerent.

V. Quum autem ingenio esset humanissimo, magnaque præditus comitate, ex vultu tamen austerus et difficilis alloquentibus apparebat, ita ut eorum qui non una consuevissent nemo facile solus eum compellaret. Itaque Chareti in supercilium aliquando ipsius verba facienti, arridentibus Atheniensibus, Nihil, inquit, vos hoc supercilium læsit, sed istorum risus in multas lacrimas civitatem conjecit. (2) Sermo etiam ipsius acute ingenioseque dictis animique cogitationibus exprimendis salutaris erat, imperiosa quadam, austera et incondita brevitate contentus. Quod enim Zeno dicebat philosophum verba prius in animum demersa proferre debere, id in Phocionis erat oratione, ut paucissimis verbis plurimum sententiæ comprehenderet. Eoque respexisse Polyeuctus Sphettius videtur, oratorem optimum Demosthenem, Phocionem summa dicendi vi præditum dicens. Nam ut nomisma exiguo pondere plurimum pretii continet, ita vis dicendi paucis vocibus multa indicat. (3) Ferunt ipsum quoque aliquando Phocionem, quum eum repleto theatro solum cogitabundumque in scena obambulantem quidam amicus dixisset sibi videri meditari quippiam, respondisse: Et vero meditor, si quid de oratione, quam ad populum habiturus sum, possim detrahere. Demosthenes etiam quum reliquos oratores nihili faceret, Phocione ad orandum assurgente, submissa voce dicere ad amicos solebat: Meorum sermonum securis adest. Tametsi id fortasse ad mores ejus referendum est; unum enim boni viri verbum, unus nutus, sexcentis argumentis ac verborum continuationibus parem fidem meretur.

VI. Juvenis etiamnum Phocion Chabriæ duci se adjunxit, eumque assidue comitatus, multum ab eo ad rei militaris consequendam peritiam adjutus est; inæquale etiam ejus vicissim intemperatumque ingenium non una in re correxit. Segnis enim alioqui et cunctator Chabrias, ipsis in certaminibus pugnandi cupiditate ardebat, ita ut nimis temere cum audacissimis in pericula ferretur; quomodo

καὶ κατέστρεψε τὸν βίον ἐν Χίῳ πρῶτος εἰσελάσας τῇ τριήρει καὶ βιαζόμενος πρὸς τὴν ἀπόβασιν. (2) Ἀσφαλὴς οὖν ἅμα καὶ δραστήριος ὁ Φωκίων φαινόμενος τήν τε μέλλησιν ἀνεθέρμαινε τοῦ Χαβρίου καὶ πάλιν ἀφῄρει τὴν ἄκαιρον ὀξύτητα τῆς ὁρμῆς. Ὅθεν εὐμενὴς ὢν ὁ Χαβρίας καὶ χρηστὸς ἠγάπα καὶ προῆγεν αὐτὸν ἐπὶ πράξεις, καὶ ἡγεμονίας γνώριμον ποιῶν τοῖς Ἕλλησι c καὶ τὰ πλείστης ἄξια σπουδῆς ἐκείνῳ χρώμενος. (3) Κἀκ τῆς περὶ Νάξον ναυμαχίας ὄνομα καὶ δόξαν οὐ μικρὰν Φωκίωνι περιεποίησε. Τοῦ γὰρ εὐωνύμου κέρως ἀπέδωκεν αὐτῷ τὴν ἡγεμονίαν, καθ' ὃ καὶ τὴν μάχην ὀξεῖαν εἶχεν ὁ ἀγὼν καὶ κρίσιν ἐποίησε ταχεῖαν. Πρώτην οὖν ἐκείνην ναυμαχίαν ἡ πόλις αὐτὴ δι' αὑτῆς ἀγωνισαμένη τοῖς Ἕλλησι μετὰ τὴν ἅλωσιν καὶ κατατυχοῦσα τόν τε Χαβρίαν ὑπερηγάπησε καὶ τοῦ Φωκίωνος ὡς ἀνδρὸς ἡγεμονικοῦ λόγον ἔσχεν. Ἐνίκων δὲ μεγάλοις μυστηρίοις· καὶ παρεῖχεν οἰνοχόημα Χαβρίας Ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ d Βοηδρομιῶνος.

VII. Ἐκ τούτου λέγεται πέμποντος αὐτὸν ἐπὶ τὰς νησιωτικὰς συντάξεις τοῦ Χαβρίου καὶ ναῦς εἴκοσι διδόντος εἰπεῖν, εἰ μὲν ὡς πολεμήσων πέμποιτο, μείζονος δεῖν δυνάμεως, εἰ δὲ ὡς πρὸς συμμάχους, ἀρκεῖν ναῦν μίαν· καὶ πλεύσαντα τῇ αὐτοῦ τριήρει καὶ διαλεχθέντα ταῖς πόλεσι καὶ συγγενόμενον τοῖς ἄρχουσιν ἐπιεικῶς καὶ ἀφελῶς καταπλεῦσαι μετὰ πολλῶν νεῶν, ἃς ἀπέστειλαν οἱ σύμμαχοι τὰ χρήματα τοῖς Ἀθηναίοις κομιζούσας. (2) Οὐ μόνον δὲ ζῶντα τὸν Χαβρίαν θεραπεύων διετέλει καὶ τιμῶν, ἀλλὰ καὶ τελευτήσαντος αὐτοῦ τῶν προσηκόντων καλῶς ἐπεμελεῖτο, καὶ τὸν παῖδα Κτήσιππον ἐβούλετο μὲν ἄνδρα ποιεῖν ἀγαθόν, ἔμπληκτον e δὲ ὁρῶν καὶ ἀνάγωγον, ὅμως οὐκ ἀπεῖπεν ἐπανορθούμενος καὶ ἀποκρύπτων τὰ αἴσχη. Πλὴν ἅπαξ λέγεται, παρενοχλοῦντος ἐν στρατείᾳ τινὶ τοῦ νεανίσκου καὶ κόπτοντος αὐτὸν ἐρωτήμασιν ἀκαίροις καὶ συμβουλίαις οἷον ἐπανορθουμένου καὶ παραστρατηγοῦντος, εἰπεῖν· « Ὦ Χαβρία, Χαβρία, μεγάλην γέ σοι χάριν ἐκτίνω τῆς φιλίας ὑπομένων σου τὸν υἱόν. » (3) Ὁρῶν δὲ τοὺς τὰ κοινὰ πράσσοντας τότε διῃρημένους ὥσπερ ἀπὸ κλήρου τὸ στρατήγιον καὶ τὸ βῆμα, καὶ τοὺς μὲν λέγοντας ἐν τῷ δήμῳ καὶ γράφοντας μόνον, ὧν Εὔβουλος ἦν καὶ Ἀριστοφῶν καὶ Δημοσθένης καὶ Λυκοῦργος καὶ Ὑπερείδης, Διοπείθην δὲ καὶ Μενεσθέα καὶ Λεωσθένην f καὶ Χάρητα τῷ στρατηγεῖν καὶ πολεμεῖν αὔξοντας ἑαυτούς, ἐβούλετο τὴν Περικλέους καὶ Ἀριστείδου καὶ Σόλωνος πολιτείαν ὥσπερ ὁλόκληρον καὶ διηρμοσμένην ἐν ἀμφοῖν ἀναλαβεῖν καὶ ἀποδοῦναι. Καὶ γὰρ τῶν
745 ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο κατὰ τὸν Ἀρχίλοχον a

Ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο θεοῖο,
καὶ Μουσέων ἐρατῶν δῶρον ἐπιστάμενος·

καὶ τὴν θεὸν ἑώρα πολεμικήν τε ἅμα καὶ πολιτικὴν οὖσαν καὶ προσαγορευομένην.

VIII. Οὕτω δὲ συντάξας ἑαυτὸν ἐπολιτεύετο μὲν ἀεὶ

etiam in Chio periit, quum primus omnium triremem terræ appulisset et exscensionem vi conaretur. (2) At Phocion, qui et cautus erat et strenuus, Chabriam cunctantem excitare et rursus intempestive ruentem inhibere solebat. Itaque cum Chabrias, vir liberalis ingenii, carum habuit, Græcisque notum fecit, et ad res gerendas atque imperia provexit, operaque ejus in maximis negotiis usus est. (3) Navali præsertim apud Naxum certamine nomen et gloriam Phocioni haud exiguam conciliavit sinistro ei cornu commisso; apud quod et pugnatum est acerrime et hostes primum victi. Hac primum post captam urbem navali pugna Græcos vicerunt Athenienses, aliorum auxilio destituti, Chabriamque summo amore complexi. Phocionem quoque, ut imperio gerendo idoneum virum, celebrarunt. Victoria parta est quo tempore Athenis magna mysteria peragebantur; et quotannis Chabrias propterea die Boedromionis sexto decimo Atheniensibus vinum dimensus est.

VII. Missus deinde ab eo Phocion ad exigendam ab insulis pensionem cum viginti navibus, dixisse fertur: majoribus opus esse copiis, si quidem ad bellum mittatur, sin ad socios, unam navim sufficere; vectusque una triremi cum civitatibus et magistratibus ingenue et benigne collocutus, multis cum navibus Athenas rediit, quæ a sociis missæ pecuniam advehebant. (2) Neque vivum modo Chabriam summa coluit et observavit constantia, sed mortui quoque necessariorum curam fideliter gessit, ac filium ejus Ctesippum quum niteretur præclarum virum redigere, hominem levis ingenii videns et disciplinæ haud capacem, corrigere tamen et dedecora ejus velare non destitit. Semel tantum fertur, quum in quodam bello adolescens ipsum vexaret intempestivisque interrogationibus exagitaret ac corrigendi partes sibi sumeret seque ducis partibus immisceret, dixisse: O Chabria, Chabria, magnam tibi amicitiæ mercedem rependo, qui filium tuum tolerem. (3) Cernens autem eos qui tum rempublicam gerebant, inter se veluti sorte prætorium et tribunal divisisse, et alios apud populum tantum concionari legesque rogare, ut Eubulum, Aristophontem, Demosthenem, Lycurgum, Hyperidem, Diopithem autem, Menestheum, Leosthenem et Charetem bello et exercitibus ducendis opes sibi parare; statuit Periclis, Aristidis Solonisque institutum sequi et utraque re conjuncta perfectum reipublicæ administrandæ officium et suscipere et tradere. Unusquisque enim eorum videtur fuisse, ut est apud Archilochum,

Gradivi juxta per atrocia bella minister,
dulciaque edoctus munera Pieridum;

ipsamque Minervam sentiebat bellicosam simul et civilem esse atque dici.

VIII. Hoc modo quum se comparasset, consilia quidem

πρὸς εἰρήνην καὶ ἡσυχίαν, ἐστρατήγησε δὲ πλείστας οὐ μόνον τῶν καθ' ἑαυτὸν, ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ στρατηγίας, οὐ παραγγέλλων οὐδὲ μετιὼν, ἀλλ' οὐδὲ φεύγων οὐδ' ἀποδιδράσκων τῆς πόλεως καλούσης. Ὁμολογεῖται γὰρ, ὅτι πέντε καὶ τεσσαράκοντα στρατηγίας ἔλαβεν b οὐδ' ἅπαξ ἀρχαιρεσίοις παρατυχὼν, ἀλλ' ἀπόντα μεταπεμπομένων αὐτὸν ἀεὶ καὶ χειροτονούντων· ὥστε θαυμάζειν τοὺς οὐκ εὖ φρονοῦντας τὸν δῆμον, ὅτι, πλεῖστα τοῦ Φωκίωνος ἀντικρούοντος αὐτῷ καὶ μηδὲν εἰπόντος πώποτε μηδὲ πράξαντος πρὸς χάριν, ὥσπερ ἀξιοῦσι τοὺς βασιλεῖς τοῖς κόλαξι χρῆσθαι μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, ἐχρῆτο οὗτος τοῖς μὲν κομψοτέροις καὶ ἱλαροῖς ἐν παιδιᾶς μέρει δημαγωγοῖς, ἐπὶ δὲ τὰς ἀρχὰς ἀεὶ νήφων καὶ σπουδάζων τὸν αὐστηρότατον καὶ φρονιμώτατον ἐκάλει τῶν πολιτῶν καὶ μόνον ἢ μᾶλλον ταῖς βουλήσεσιν αὐτοῦ καὶ ὁρμαῖς ἀντιτασσόμενον. (2) Χρησμοῦ μὲν γὰρ ἐκ Δελφῶν ἀναγνωσθέντος, ὅτι, c τῶν ἄλλων Ἀθηναίων ὁμοφρονούντων, εἷς ἀνὴρ ἐναντία φρονοίη τῇ πόλει, παρελθὼν ὁ Φωκίων ἀμελεῖν ἐκέλευσεν, ὡς αὐτὸς ὢν ὁ ζητούμενος, μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν τῶν πραττομένων. Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν, « Οὐ δή πού τι κακὸν λέγων ἐμαυτὸν λέληθα; »

IX. Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις ἔφη, « Τούτους αἰτεῖτε τοὺς πλουσίους, ἐγὼ δὲ αἰσχυνοίμην ἂν, εἰ τούτῳ μὴ ἀποδιδοὺς ὑμῖν ἐπιδοίην, » δείξας d Καλλικλέα τὸν δανειστήν. Ὡς δ' οὐκ ἐπαύοντο κεκραγότες καὶ καταβοῶντες, λόγον εἶπεν αὐτοῖς τοῦτον· « Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει, φθεγξαμένων δὲ κοράκων τὰ ὅπλα θεὶς ἡσύχαζεν· εἶτ' ἀναλαβὼν αὖθις ἐξῄει καὶ φθεγγομένων πάλιν ὑπέστη· καὶ τέλος εἶπεν· Ὑμεῖς κεκράξεσθε μὲν μέγιστον ὡς δυνατὸν, ἐμοῦ δὲ οὐ γεύσεσθε. » (2) Πάλιν δέ ποτε τῶν Ἀθηναίων ἐξαγαγεῖν αὐτὸν ἐπὶ τοὺς πολεμίους κελευόντων, ὡς δ' οὐκ ἐβούλετο, δειλὸν καὶ ἄνανδρον ἀποκαλούντων, « Οὔτε ὑμεῖς, εἶπεν, ἐμὲ δύνασθε ποιῆσαι θαρσαλέον, οὔτε ἐγὼ ὑμᾶς δειλούς. Οὐ μὴν ἀλλ' ἴσμεν ἀλλήλους. » e (3) Ἐν δὲ καιροῖς ἐπισφαλέσι τραχυνομένου τοῦ δήμου πρὸς αὐτὸν σφόδρα καὶ τῆς στρατηγίας εὐθύνας ἀπαιτοῦντος, « Σωθείητε, εἶπεν, ὦ μακάριοι, πρῶτον. » (4) Ἐπεὶ δὲ πολεμοῦντες μὲν ἦσαν ταπεινοὶ καὶ περιδεεῖς, γενομένης δὲ εἰρήνης ἐθρασύνοντο καὶ κατεβόων τοῦ Φωκίωνος ὡς ἀφῃρημένου τὴν νίκην αὐτῶν, « Εὐτυχεῖτε, εἶπεν, ἔχοντες στρατηγὸν εἰδότα ὑμᾶς· ἐπεὶ πάλαι ἂν ἀπολώλειτε. » (5) Τοῖς δὲ Βοιωτοῖς οὐ βουλομένων αὐτῶν δικάζεσθαι περὶ τῆς χώρας, ἀλλὰ πολεμεῖν, f συνεβούλευε διὰ τῶν λόγων, ἐν οἷς εἰσι κρείττους, μὴ διὰ τῶν ὅπλων, ἐν οἷς ἥττους, μάχεσθαι. (6) Λέγοντα δὲ αὐτὸν οὐ προσιεμένων οὐδὲ ὑπομενόντων ἀκούειν, Ἐμὲ, εἶπεν, ὑμεῖς ἃ μὴ βούλομαι ποιεῖν βιάσασθαι δύνασθε, λέγειν δὲ ἃ μὴ δεῖ παρὰ γνώμην οὐκ ἀναγκάσετε. »

domi semper ad pacem ac quietem attinentia agitavit, imperia vero plura quam ullus æqualium aut superiorum ducum obivit, non prensans neque ambiens ea, neque tamen a civibus oblata subterfugiens. Est enim in confesso, quadragies eum ac quinquies ducem creatum, quum nunquam interfuisset comitiis, sed absens semper delectus vocatusque fuerit. Quo factum est ut quidam haud satis sapientes populi consilium mirarentur, Phocionem crebro ei repugnare solitum, nihilque in ejus graflam aut fecisse unquam, aut dixisse scientes, quum tamen, quemadmodum reges solent adulatoribus uti postquam mensæ accubitum est, ita populus urbanioribus istis et blandis oratoribus quasi animi causa uteretur, ad imperia autem sobrius et serio agens, austerrimum et cordatissimum civem vocaret, eum, qui unus aut omnium maxime voluntati cupiditatibusque multitudinis obsisteret. (2) Sane quum esset oraculum Delphis allatum, omnibus Atheniensibus idem sentientibus unum esse qui contra civitatem sentiret, progressus Phocio, Desinite, inquit, sollicite inquirere quisnam is sit vir: ego sum, de quo quæritur; soli enim mihi nihil eorum quæ aguntur probatur. Quum aliquando apud populum suam dicens sententiam videret ab universis eam accipi et se laudari, conversus ad amicos, Numnam, ait, mihi imprudenti pravum aliquod dictum excidit?

IX. Atheniensibus ad sacrificium quoddam stipem petentibus, multisque dantibus, quum sæpius ipse posceretur, A divitibus, inquit, ista petite; pudeat me si vobis largiar, et huic (Calliclem ostendebat fœneratorem) non reddam quod debeo. Quum clamandi finem et conviciandi nulium facerent, fabulam eis hanc narravit. Virum quendam timidum quum ad bellum exiret, corvorum audito clamore, positis armis quievisse; iterum deinde armis sumptis progressum, rursus iis crocitantibus substitisse, et ad extremum dixisse: Vos quantum libet et potestis clamabitis, me quidem non gustabitis. (2) Alio tempore imperantibus civibus, ut in hostem duceret, quumque id recusaret, timidum et ignavum vocantibus: Neque vos, inquit, me audacem, neque ego vos timidos potero efficere. Sed novimus nos inter nos. (3) Periculo gravi imminente magnos contra ipsum tumultus populo concitante, utque rationes gesti imperii ederet postulante: Servemini quæso, inquit, prius. (4) Quum in bello abjecti fuissent ac meticulosi Athenienses, facta autem pace ferocirent, Phocionemque victoriæ ipsorum obstitisse vociferarentur: Felices estis, ait, qui imperatorem vestrorum ingeniorum gnarum habeatis; alioqui jam pridem periissetis. (5) Quum de agro cum Bœotis non judicio, sed armis disceptare vellent, consuluit ut verbis potius quibus præstarent quam armis, quibus essent inferiores, decernerent. (6) Non admittentibus autem ipsius orationem, neque aures præbentibus: Potestis quidem[1], dicebat, me cogere ut faciam quod nollem, cogere ut dicam quod non sentio, non potestis. (7) Ex oratoribus

(7) Τῶν δὲ ἀντιπολιτευομένων αὐτῷ ῥητόρων Δημοσθέ- 746 νους μὲν εἰπόντος, « Ἀποκτενοῦσί σε Ἀθηναῖοι, Φωκίων, a ἂν μανῶσιν », εἶπε « Σὲ δέ, ἂν σωφρονῶσι. » (8) Πολύευκτον δὲ τὸν Σφήττιον ὁρῶν ἐν καύματι συμβουλεύοντα τοῖς Ἀθηναίοις πολεμεῖν πρὸς Φίλιππον, εἶτα ὑπ' ἄσθματος πολλοῦ καὶ ἱδρῶτος, ἅτε δὴ καὶ ὑπέρπαχυν ὄντα, πολλάκις ἐπιρροφοῦντα τοῦ ὕδατος, « Ἄξιον, ἔφη, τούτῳ πιστεύσαντας ὑμᾶς ψηφίσασθαι τὸν πόλεμον, ὃν τί οἴεσθε ποιήσειν ἐν τῷ θώρακι καὶ τῇ ἀσπίδι τῶν πολεμίων ἐγγὺς ὄντων, ὅτε λέγων πρὸς ὑμᾶς ἃ ἔσκεπται κινδυνεύει πνιγῆναι; » Τοῦ δὲ Λυκούργου πολλὰ βλάσφημα πρὸς αὐτὸν εἰπόντος ἐν ἐκκλησίᾳ καὶ πρὸς ἅπασιν, ὅτι δέκα τῶν πολιτῶν ἐξαιτοῦντος Ἀλεξάνδρου συνεβούλευεν ἐκδοῦναι, εἶπε· « Πολλὰ ἐγὼ συμβεβούλευκα b καλὰ καὶ συμφέροντα τούτοις, ἀλλ' οὐ πείθονταί μοι. »

X. Ἦν δέ τις Ἀρχιβιάδης ἐπικαλούμενος Λακωνιστής, πώγωνά τε καθειμένος ὑπερφυῆ μεγέθει καὶ τρίβωνα φορῶν ἀεὶ καὶ σκυθρωπάζων· τοῦτον ἐν βουλῇ θορυβούμενος ὁ Φωκίων ἐπεκαλεῖτο τῷ λόγῳ μάρτυν ἅμα καὶ βοηθόν· ὡς δὲ ἀναστὰς ἐκεῖνος ἃ πρὸς χάριν ἦν τοῖς Ἀθηναίοις συνεβούλευεν, ἁψάμενος αὐτοῦ τῶν γενείων, « Ὦ Ἀρχιβιάδη, εἶπε, τί οὖν οὐκ ἀπεκείρω; » (2) Ἀριστογείτονος δὲ τοῦ συκοφάντου πολεμικοῦ μὲν ὄντος ἐν ταῖς ἐκκλησίαις καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ c βακτηρίᾳ τὼ σκέλει καταδεδεμένῳ, πόρρωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων ἀνέκραγε, « Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. » (3) Ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. Ἔστι δέ, οἶμαι, χαλεπόν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον, καὶ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι, καθάπερ ἕτεροι πάλιν, φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. Καίτοι φασὶν Ὑπερείδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον, « Ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον; εἰ πικρός, ἀλλ' εἰ προῖκά d εἰμι πικρός· » ὥσπερ τῇ πλεονεξίᾳ μόνον ἐπαχθεῖς καὶ λυπηροὺς ὄντας, οὐχὶ μᾶλλον, ὅσοι πρὸς ὕβριν καὶ φθόνον ἢ ὀργὴν ἢ φιλονεικίαν τινὰ χρῶνται τῷ δύνασθαι, τούτους δεδιότων καὶ προβαλλομένων τῶν πολλῶν. (4) Φωκίων τοίνυν ἔχθρᾳ μὲν οὐδένα τῶν πολιτῶν κακῶς ἐποίησεν οὐδὲ ἐνόμιζεν ἐχθρόν, ἀλλ' ὅσον ἔδει μόνον τῶν ἐνισταμένων οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι τραχὺς ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις. e (5) Ἐγκαλούντων δὲ τῶν φίλων, ὅτι πονηρῷ τινι κρινομένῳ συνεῖπε, τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου μετὰ τὴν καταδίκην πέμψαντος καὶ δεηθέντος ἐλθεῖν πρὸς αὐτόν, ὑπακούσας ἐβάδιζεν εἰς τὸ δεσμωτήριον, οὐκ ἐώντων δὲ τῶν φίλων, « Ἐάσατε, εἶπεν, ὦ μακάριοι· ποῦ γὰρ ἄν τις ἥδιον Ἀριστογείτονι συμβάλοι; »

ipsi adversariis Demostheni dicenti, Occident te, o Phocion, Athenienses, ubi insanierint; Te vero, inquit, ubi sapuerint. (8) Polyeuctum Sphettium cernens æstu gravi Atheniensibus suadere uti bellum contra Philippum susciperent et ob sudorem multum anhelitumque difficilem (erat enim perobesus) identidem aquam potare: « Enimvero, inquit, cives, par est vos huic fidem habere et bellum decernere; quid enim existimatis eum in thorace et clypeo facturum, ubi prope hostes erit ventum, qui nunc dicens apud vos quæ est meditatus ante, periculum est ne suffocetur? » Lycurgo in concione multis in ipsum maledictis invecto et ad extremum exprobrante quod decem cives quos sibi dedi Alexander postulaverat, dedi consuluisset: Sane, inquit, multa ego utilia populo consului, sed non parent mihi.

X Erat quidam Archibiades, cui ab imitatione Spartanorum Laconistæ erat cognomen; ferebat longam ingentemque barbam palliolumque, et tristi semper vultu utebatur. Hunc in consilio conturbatus Phocion orationis suæ testem adjutoremque invocabat; quumque is exsurgens ea dixisset, quæ grata in vulgus sentiret, barbam ei tangens dixit: O Archibiade, cur ergo non tondebaris? (2) Quum Aristogiton sycophanta, qui in concionibus bellicosus erat et populum ad bellum excitaverat, in delectu cum baculo et crure obligato accederet, Phocio procul eum e tribunali conspicatus, exclamavit: Scribe Aristogitonem etiam claudum et nequam. (3) Ac mirari quidem possit non nemo, quomodo ita severus et durus nomen Boni invenerit. Sed arbitror ut difficile esse, ita tamen fieri posse, uti idem homo, sicut et vinum, dulcis simul et austerus sit; quemadmodum contra nonnulli, quum suaves videantur, acerbissimi sunt utentibus et plurimum nocent. Ferunt sane Hyperidem etiam aliquando ad populum ita locutum: Cogitate, o Athenienses, non modo an sim acerbus, sed etiam gratisne talis sim; innuens eos, qui avaritia molesti et odiosi sunt, a populo magis solere metui atque traduci, quam qui potentia sua in libidines, invidiam, iram aut contentiones abutuntur. (4) Equidem Phocion inimicitiæ causa nemini civium male fecit, ac ne inimicum quidem ullum putavit; quantum res ipsa postulavit, ut adversariis suorum quæ ob utilitatem pàtriæ iniisset consiliorum resisteret, asperum se pervicacem et implacabilem præbuit: privatim communem omnibusque benignum et mitem sese exhibuit, ita ut inimicis quoque infortunium passis auxilium tulerit, et in judicio periclitantium salutem defenderit. (5) Amicis reprehendentibus, quod mali cujusdam hominis causam in judicio defendisset, respondit: bonos eo auxilio non indigere. Quum Aristogito sycophanta damnatus eum vocaret, utque ad se veniret oraret, ad carcerem ire cœpit, amicisque prohibentibus: Missum, ait, facite me: quo enim loco mallem Aristogitonem convenire?

XI. Καὶ μὴν οἵ γε σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους ἑτέρου μὲν ἐκπλέοντος στρατηγοῦ πολεμίους νομίζοντες ἐφράγνυντο τείχη καὶ λιμένας ἀπεχώννυσαν καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πό- f λεις βοσκήματα καὶ ἀνδράποδα καὶ γυναῖκας καὶ παῖδας, εἰ δὲ Φωκίων ἡγοῖτο, πόῤῥω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι καὶ χαίροντες ὡς αὐτοὺς κατῆγον.

XII. Παραδυομένου δὲ εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου καὶ δύναμιν ἐκ Μακεδονίας διαβιβάζοντος καὶ τὰς πόλεις οἰκειουμένου διὰ τυράννων, Πλουτάρχου δὲ τοῦ 747 Ἐρετριέως καλοῦντος τοὺς Ἀθηναίους καὶ δεομένου τὴν a νῆσον ἐξελέσθαι καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων ἔχων δύναμιν οὐ πολλὴν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν. (2) Εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστὰ καὶ νοσοῦντα καὶ διορωρυγμένα δωροδοκίαις, εἰς κίνδυνον μέγαν κατέστη· καί τινα λόφον χαράδρᾳ βαθείᾳ τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον καταλαβὼν συνεῖχεν ἐν τούτῳ καὶ συνεκράτει τὸ μαχιμώτατον τῆς δυνάμεως. Τῶν δὲ ἀτάκτων καὶ λάλων καὶ πονηρῶν διαδιδρασκόντων ἐκ τοῦ στρατοπέδου καὶ ἀποχωρούντων ἐκέλευσεν ἀμελεῖν τοὺς ἡγεμόνας· καὶ γὰρ ἐνταῦθα δυσχρήστους ὑπὸ ἀταξίας ἔσεσθαι καὶ βλαβεροὺς τοῖς b μαχομένοις, κἀκεῖ τοιαῦτα συνειδότας αὑτοῖς ἧττον αὐτοῦ καταβοήσεσθαι καὶ μὴ πάνυ συκοφαντήσειν.

XIII. Ὡς δὲ ἐπῄεσαν οἱ πολέμιοι, κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν ἄχρι ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον ἢ δυσιερῶν ἢ βουλόμενος ἐγγυτέρω τοὺς πολεμίους ἐπισπάσασθαι. Διὸ πρῶτον μὲν ὁ Πλούταρχος οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον ἐξέδραμε μετὰ τῶν ξένων· ἔπειτα τοῦτον ἰδόντες οἱ ἱππεῖς οὐκ ἐκαρτέρησαν, ἀλλ' ἤλαυνον εὐθὺς εἰς τοὺς πολεμίους ἀσύντακτοι καὶ σποράδες ἐκ τοῦ στρατοπέδου προσφερόμενοι. Νικωμένων δὲ τῶν πρώτων ἅπαντες ἐσκεδάσθησαν καὶ c ὁ Πλούταρχος ἔφυγε· καὶ τῷ χάρακι προσμίξαντες ἔνιοι τῶν πολεμίων ἐκκόπτειν ἐπειρῶντο καὶ διασπᾶν ὡς ἁπάντων κεκρατηκότες. Ἐν τούτῳ δὲ τῶν ἱερῶν γενομένων, τοὺς μὲν εὐθὺς ἐκ τοῦ στρατοπέδου προσπεσόντες οἱ Ἀθηναῖοι τρέπουσι καὶ καταβάλλουσι τοὺς πλείστους περὶ τοῖς ἐρύμασι φεύγοντας, ὁ δὲ Φωκίων τὴν μὲν φάλαγγα προσέταξεν ἐφεδρεύειν ἀναλαμβάνουσαν ἅμα καὶ προσδεχομένην τοὺς ἐν τῇ φυγῇ πρότερον διασπαρέντας, αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων ἐνέβαλε τοῖς πολεμίοις. (2) Καὶ μάχης καρτερᾶς γενομένης πάντες μὲν ἐκθύμως ἠγωνίσαντο καὶ ἀφειδῶς, Θάλλος δὲ ὁ Κι- d νέου καὶ Γλαῦκος ὁ Πολυμήδους περὶ αὐτὸν τεταγμένοι τὸν στρατηγὸν ἠρίστευσαν. Οὐ μὴν ἀλλὰ καὶ Κλεοφάνης ἄξιον πλείστου παρέσχεν ἑαυτὸν ἐν ἐκείνῃ τῇ μάχῃ. Τοὺς γὰρ ἱππεῖς ἀνακαλούμενος ἐκ τῆς τροπῆς καὶ βοῶν καὶ διακελευόμενος κινδυνεύοντι τῷ στρατηγῷ βοηθεῖν ἐποίησεν ἀναστρέψαντας ἐπιῤῥῶσαι τὸ νίκημα τῶν ὁπλιτῶν. (3) Ἐκ τούτου τόν τε Πλούταρχον ἐξέβαλεν ἐκ τῆς Ἐρετρίας καὶ Ζάρητρα φρούριον ἑλὼν ἐπικαιρότατον, ᾗ μάλιστα συνελαύνεται τὸ πλάτος εἰς βραχὺ

XI. Socii quidem Atheniensium et insulares, quoties alius aliquis Athenis legatus aut dux missus veniret, hostis loco eum habentes, portas occludebant, portus aggeribus obstruebant, ab agro in urbes pecus, mancipia, uxores liberosque comportabant; sin Phocion classi præfuit, procul suis navibus coronati occurrebant, eumque læti ad se deducebant.

XII. Quum in Eubœam irrupisset Philippus militesque in eam ex Macedonia trajiceret, ac tyrannorum opera urbes sibi adjungeret, Athenienses Plutarcho Eretriense vocante, oranteque uti insulam a Macedonibus occupatam liberarent, Phocio cum parva manu missus est, quod spes erat insulares ei præsto adfuturos. (2) Quum vero in Eubœam advectus, omnia proditorum plena largitionumque corruptelis labefactata offendisset, magno constitutus in periculo, quod pugnæ aptissimum in exercitu erat, in colle quodam convalle profunda incluso in campis qui apud Tamynas sunt continuit. Ibi quum imperii impatientes ac nugaces pravique multi ex castris ad hostes transfugerent et discederent, tribunos militum cohortatus est, ne eam rem curarent; istos et hic ob inobedientiam inutiles et pugnantibus impedimento futuros fuisse, et istic, conscios sibi deserti imperatoris, eo minus calumniarum adversus ipsum dissipare ausuros.

XIII. Ingruentibus deinde hostibus, quiescere suis in armis mandato dum rem sacram peregisset, an quod non litasset, an quod propius ad castra pertrahere hostem cuperet, aliquantum temporis traxit. Itaque primo Plutarchus, præ timore eum cunctari ratus, cum mercenariis militibus excurrit; eo viso equites se non continuerunt, quin incomposito agmine, ut castris sese effundebant, in hostem impetum facerent. Jam et victi ab hostibus primi erant et dissipati ceteri, et fugiebat ipse Plutarchus et hostium nonnulli, victos prorsus adversarios rati, ipsa castra adorti exscindere et perrumpere conabantur; quum sacris perpetratis Athenienses e castris erumpentes subito magnam eorum partem apud munitiones fugientem occidunt. Phalangem Phocion continere se et eventum exspectare jussit, interimque ad se fuga prius dispersos recipere, ipse cum delecta militum manu in hostes impressionem fecit. (2) Acre id prœlium fuit, magnaque omnium Atheniensium alacritas, insignis audacia; apud ipsum imperatorem Thallus Cineæ et Glaucus Polymedis filius pugnando primam laudem meruerunt. Cleophanis quoque maximi fuit ea in pugna momenti opera, qui a fuga equites revocans, hortansque ut in periculo versanti imperatori succurrerent, effecit ut ii reversi peditum victoriam confirmarent. (3) Secundum hæc Eretria Plutarchum expulit et Zaretra castellum cepit opportunissime situm, quo loco maxime utroque mari sibi occurrente angustissimo insula quasi Isthmo coarctatur. Quot-

διάζωμα, τῆς νήσου σφιγγομένης ἑκατέρωθεν ταῖς θαλάσσαις, ὅσους ἔλαβεν αἰχμαλώτους Ἕλληνας ἀφῆκε e φοβηθεὶς τοὺς ῥήτορας τῶν Ἀθηναίων, μὴ πρὸς ὀργήν τι βιάσωνται τὸν δῆμον ἀγνωμονῆσαι περὶ αὐτούς.

XIV. Ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων, ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι τὴν χρηστότητα καὶ δικαιοσύνην αὐτοῦ, ταχὺ δὲ ἔγνωσαν οἱ Ἀθηναῖοι τὴν ἐμπειρίαν καὶ ῥώμην τοῦ ἀνδρός. Ὁ γὰρ μετ' ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς οὕτως ἐπολέμησεν, ὥστε καὶ ζῶν αὐτὸς ὑποχείριος γενέσθαι τοῖς πολεμίοις. (2) Ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περινοῶν ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθε μετὰ πάσης τῆς δυνάμεως, ὡς Χεῤῥόνησον ἐν ταὐτῷ καὶ Πέρινθον ἕξων καὶ f Βυζάντιον, ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν οἱ ῥήτορες ἠγωνίσαντο τὸν Χάρητα στρατηγὸν ἀποσταλῆναι, καὶ πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν οὐδὲ αἱ πόλεις ἐδέχοντο τὸν στόλον, ἀλλ' ὕποπτος ὢν πᾶσιν ἐπλανᾶτο χρηματιζόμενος ἀπὸ τῶν συμμάχων καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων, ὁ δὲ δῆμος ὑπὸ 748 τῶν ῥητόρων παροξυνόμενος ἠγανάκτει καὶ μετενόει a τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν, ἀναστὰς ὁ Φωκίων εἶπεν, ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν· « Οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς καὶ τοῖς χωρὶς ὑμῶν σώζεσθαι μὴ δυναμένοις. » Κινηθεὶς οὖν ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεσὼν ἐκέλευεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησε πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον. (3) Ἦν μὲν γὰρ ἤδη μεγάλη δόξα τοῦ Φωκίωνος· ἐπεὶ δὲ Λέων, ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν, οὐχ b εἴασαν ἔξω στρατοπεδεῦσαι βουλόμενον, ἀλλ' ἀνοίξαντες τὰς πύλας ἐδέξαντο καὶ κατέμιξαν ἑαυτοῖς τοὺς Ἀθηναίους, οὐ μόνον ἀνεγκλήτους ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτους ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένους. (4) Οὕτω μὲν ὁ Φίλιππος ἐξέπεσε τοῦ Ἑλλησπόντου τότε καὶ κατεφρονήθη δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος, ὁ δὲ Φωκίων καὶ ναῦς τινας εἷλεν αὐτοῦ καὶ φρουρουμένας πόλεις ἀνέλαβε καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιούμενος ἐπόρθει καὶ κατέτρεχε, μέχρι οὗ τραύματα λαβὼν ὑπὸ τῶν c προσβοηθούντων ἀπέπλευσε.

XV. Τῶν δὲ Μεγαρέων ἐπικαλουμένων κρύφα, φοβούμενος ὁ Φωκίων τοὺς Βοιωτούς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἕωθεν, καὶ προσαγγείλας τὰ παρὰ τῶν Μεγαρέων τοῖς Ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἦγεν αὐτοὺς τὰ ὅπλα λαβόντας. Δεξαμένων δὲ τῶν Μεγαρέων προθύμως τήν τε Νίσαιαν ἐτείχισε καὶ διὰ μέσου σκέλη δύο πρὸς τὸ ἐπίνειον ἀπὸ τοῦ ἄστεος ἐνέβαλε καὶ συνῆψε τῇ θαλάττῃ τὴν πόλιν, ὥστε τῶν κατὰ γῆν πολεμίων ὀλίγον ἤδη φροντίζουσαν d ἐξηρτῆσθαι τῶν Ἀθηναίων.

quot cepit Græcorum dimisit, metuens Atheniensium oratores, ne ii populum eo perducerent, ut ira commotus in eos aliquid durius statueret.

XIV. Postquam his confectis rebus domum rediit Phocion, statim socii bonitatem ejus et justitiam desideravere, statim etiam Athenienses de peritia ejus et fortitudine cognoverunt. Successor enim Molossus ita bellum gessit, ut vivus in manus hostium perveneril. (2) Deinde quum Philippus in Hellespontum universas copias duxisset, maxima quæque animo complexus, et sperans illico se Chersoneso, Perintho, Byzantioque potiturum; Atheniensibus suppetias ire cupientibus, oratores obtinuerunt ut eo cum classe Chares mitteretur. Is quum nihil copiis suis dignum egisset, neque classis acciperetur urbibus, sed suspectus omnibus vagaretur, a sociis pecuniam exigens et contemptus ab hostibus, irritatus oratorum sermonibus populus stomachabatur et consilium opitulandi Byzantiis damnabat. Tum in concione Phocio, Non debetis, inquit, fidem vobis non habentibus sociis, sed ducibus vestris irasci, quibus ii fidem habere nolunt; hi enim efficiunt ut metuamini ab iis etiam, qui nisi vestra opera ne salvi quidem esse possunt. Hoc sermone populus motus, priori sententia repudiata, Phocionem nova cum classe in Hellespontum ad ferendum confœderatis auxilium misit; quæ res ad servandum Byzantium plurimum conduxit. (3) Gloriam vero Phocionis jam tum magnam auxit magnopere, quod quum Leon Byzantiorum virtute primus, et pridem Phocione in Academia familiariter usus, fide sua pro eo apud cives obligata effecisset ut Byzantii eum extra urbem castra habere non paterentur, sed intra muros reciperent, Athenienseque suis permiscerent; miles ejus non modestam modo et inculpatam vitæ rationem tenuit, sed et ob fidem sibi habitam promptissimum se ad omnia certamina præbuit. (4) Itaque tum Philippus Hellesponto excidit, contemptuique est habitus, quum invictus ante videretur. Phocion autem quasdam naves ejus cepit, urbesque præsidio detentas occupavit, agrumque multis locis egressus e navibus incursionibus vastavit, tandem acceptis ab iis qui auxilio venerant regioni vulneribus, domum navigavit.

XV. Vocatus deinde occulte a Megarensibus, ac metuens ne Bœoti præsentientes mature eo accurrerent, prima luce populum in concionem advocavit, Megarensiumque postulata proposuit; quæ quum probata essent, signo tuba dato statim a concione armatos eduxit. Acceptus a Megarensibus studiose, Nisæam muro cinxit, duobusque longis muris ab urbe ad navale porrectis, urbem cum mari conjunxit, ita ut Megarenses parvi facientes hostes terra instantes, toti ab Atheniensibus penderent.

XVI. Ἤδη δὲ πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασι καὶ στρατηγῶν αὐτοῦ μὴ παρόντος ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς, δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἡλιαίαν καὶ συκοφαντεῖν καὶ εἰπόντος, « Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; » e « Ἔγωγε, εἶπε, καὶ ταῦτα εἰδώς, ὅτι πολέμου μὲν ὄντος ἐγὼ σοῦ, εἰρήνης δὲ γενομένης σὺ ἐμοῦ ἄρξεις. » Ὡς δὲ οὐκ ἔπειθεν, ἀλλ' ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς πορρωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους, « Ὦ τᾶν, ἔφη, μὴ ποῦ μαχώμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. Οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστι. » (2) Γενομένης δὲ τῆς ἥττης καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν τῶν ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ δεόμενοι καὶ δακρύοντες μόλις ἔπεισαν ἐπιτρέψαι f τῷ Φωκίωνι τὴν πόλιν. (3) Ὁ δὲ τὴν μὲν ἄλλην τοῦ Φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι· Δημάδου δὲ γράψαντος, ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, 749 οὐκ εἴα πρὸ τοῦ γνῶναι, τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλήνων ἀξιώσει· κρατηθεὶς δὲ τῇ γνώμῃ a διὰ τὸν καιρόν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους, ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς, « Ταῦτα, ἔφη, φοβούμενος ἠναντιούμην· ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν μηδὲ ἀθυμεῖν, μεμνημένους, ὅτι καὶ οἱ πρόγονοι ποτὲ μὲν ἄρχοντες, ποτὲ δὲ ἀρχόμενοι, καλῶς δὲ ἀμφότερα ταῦτα ποιοῦντες καὶ τὴν πόλιν ἔσωσαν καὶ τοὺς Ἕλληνας. » (4) Φιλίππου δὲ ἀποθανόντος εὐαγγέλια θύειν τὸν δῆμον οὐκ εἴα· καὶ γὰρ ἀγεννὲς ἐπιχαίρειν καὶ τὴν ἐν Χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν ἑνὶ σώματι μόνον ἐλάττω γενέσθαι.

XVII. Δημοσθένους δὲ λοιδοροῦντος τὸν Ἀλέξανδρον b ἤδη προσάγοντα ταῖς Θήβαις ἔφη·

« Σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα;

καὶ δόξης μεγάλης ὀρεγόμενον; Ἢ βούλει πυρκαϊᾶς τηλικαύτης οὔσης ἐγγὺς ῥιπίσαι τὴν πόλιν; Ἀλλ' ἡμεῖς οὐδὲ βουλομένοις ἀπολέσθαι τούτοις ἐπιτρέψομεν, οἱ διὰ τοῦτο στρατηγεῖν ὑπομένοντες. » (2) Ὡς δὲ ἀπολώλεισαν αἱ Θῆβαι καὶ ὁ Ἀλέξανδρος ἐξῃτεῖτο τοὺς περὶ Δημοσθένην καὶ Λυκοῦργον καὶ Ὑπερείδην καὶ Χαρίδημον, ἡ δὲ ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν, ὀνομαστὶ πολλάκις καλούμενος ἀνέστη, καὶ τῶν φίλων ἕνα παραστησάμενος, ᾧ μάλιστα χρώμενος διετέλει καὶ πι- c στεύων καὶ ἀγαπῶν· « Εἰς τὰ τοιαῦτα, ἔφη, τὴν πόλιν οὗτοι παραγηόχασιν, ὥστ' ἔγωγε κἂν Νικοκλέα τις τοῦτον ἐξαιτῇ, διδόναι κελεύσω. Τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἁπάντων ἀποθανεῖν εὐτυχίαν ἂν ἐμαυτοῦ

XVI. Quum jam aperte contra Philippum bellum suscepissent Athenienses et per absentiam Phocionis alios duces delegissent, Phocion ab insulis domum revectus populo sæpius frustra persuadere studebat, uti cum Philippo jam ad pacem inclinante periculumque præsens metuente certis conditionibus pacem jungerent. Hic quum quidam eorum quadruplatorum, qui circa Heliæam versabantur, diceret : Et tu, o Phocion, audes Athenienses arma jam manibus tenentes a bello dehortari? Maxime, inquit, idque sciens te bello durante in mea, pace facta me in tua futurum potestate. Quum nihil obtineret, sed Demosthenis sententia vinceret, qui quam longissime ab Attica prœlium conserere Athenienses jubebat, conversus in eum, Heus tu, inquit, non ubi pugnemus, sed ubi vincamus deliberandum est : nam si vicerimus, ita tum bellum a nobis procul removerimus, victis nobis omnia mala proxima erunt. (2) Cladem passis Atheniensibus, quum turbatores et novarum rerum affectatores Charidemum ad tribunal pertraherent eique summam rei deferrent, optimates metu correpti consilium Areopagitarum in populo detinentes multis precibus ac lacrimis ægre impetrarunt ut civitatis cura Phocioni committeretur. (3) Is tametsi humanitatem Philippi amplectendam et voluntati ejus obtemperandum suaderet, Demade tamen rogationem ferente, qua postulabatur ut Athenæ communis pacis Græciæ consiliique consessus participes fierent, non ante id petendum contendit, quam constaret quæ esset a reliquis Græcis Philippus exacturus. Victus tamen iniquitate temporum, quum statim Athenienses consilii ejus pœnitere videret (quippe et triremes cogebantur et equites Philippo dare) : Hæc, ait, ego metuens Demadis sententiam improbavi. Sed quando consensistis, non est quod iniquius sortem vestram feratis, graviusve doleatis; mementote majores etiam vestros modo imperando, modo parendo, quum utrumque horum recte facerent, et sibi et Græciæ salutem attulisse. (4) Philippo mortuo, quum ob tam lætum nuncium sacrificare populus vellet, Phocion obstitit; nam et ignobilis esse animi dicebat, morte alterius exsultare, et copias a quibus essent ipsi ad Chæroneam victi, unius tantum hominis jacturam fecisse.

XVII. Demostheni Alexandrum jam Thebis exercitum admoventem convicianti dixit :

Quid, vesane, virum vis irritare ferocem?

et ingenti gloriæ cupiditate ferventem? Visne vicino rogo tam magno urbem nostram inflammare? Nos quidem qui ob salutem civium magistratum gerimus, nunquam ne volentes quidem nostros interire patiemur. (2) Dirutis Thebis quum dedi sibi Demosthenem, Lycurgum, Hyperidem et Charidemum Alexander posceret, Phocion, quum in ipsum oculos intendisset concio et sæpe nominatim vocaret, surrexit, ac juxta se constituto Nicocle, quem singulari fiducia atque amore præ reliquis suis amicis colebat : Eo, inquit, infortunii urbem nostram isti perduxerunt, ut etiam si hunc Nicoclem meum dedi Alexander poscat, dedi jussurus sim. Et vero beatum me putaverim, si mihi pro vobis omnibus sit moriendum. Miseret me, Athenienses, etiam

θείμην. Ἐλεῶ δέ, εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς ἐκ Θηβῶν δεῦρο πεφευγότας. Ἀρκεῖ δὲ τὰς Θήβας κλαίειν τοῖς Ἕλλησι. Διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας ἢ μάχεσθαι.» (3) Τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται Ἀλέξανδρον, ὡς ἔλαβε, ῥῖψαι καὶ φυγεῖν ἀποστραφέντα τοὺς πρέσβεις· τὸ δὲ δεύτερον ἐδέξατο κομισθὲν ὑπὸ Φωκίωνος, τῶν πρεσβυτέρων ἀκούων, ὅτι καὶ Φίλιππος d ἐθαύμαζε τὸν ἄνδρα τοῦτον· καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ καὶ τὴν δέησιν, ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσε. Συνεβούλευε δ' ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον, εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τραπόμενον. Καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐστόχως εἰπὼν οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτόν, ὥστε εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς, εἴ τι γένοιτο περὶ αὐτόν, ἐκείνοις ἄρχειν προσῆκον. (4) Ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὑτοῦ φίλον καὶ ξένον εἰς τοσαύτην ἔθετο τιμήν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. e Ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι· τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. Τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

XVIII. Τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. Τούτων κομισθέντων εἰς Ἀθήνας ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε πολλῶν ὄντων Ἀθηναίων αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. Εἰπόντων δὲ ἐκείνων, «Ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν», «Οὐκοῦν, εἶπεν ὁ Φωκίων, ἐασάτω f με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον.» Ὡς δὲ ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ πολλὴν ἑώρων εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι 750 a μᾶλλον ἐνέκειντο καὶ ἠγανάκτουν δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως οὕτω διαιτήσεται πονηρῶς. Ἰδὼν οὖν ὁ Φωκίων πένητα πρεσβύτην ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον ἠρώτησεν, εἰ τούτου χείρονα νομίζουσιν αὐτόν. Εὐφημεῖν δὲ ἐκείνων δεομένων, «Καὶ μὴν οὗτος, εἶπεν, ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ καὶ ἀρκεῖται. Τὸ δὲ ὅλον, ἢ μὴ χρώμενος, ἔφη, μάτην ἕξω τοσοῦτον χρυσίον, ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν.» Οὕτω μὲν οὖν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν ἐπιδείξαντα τοῖς Ἕλλησι πλουσιώτερον τοῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον. (2) Ἐπεὶ δὲ Ἀλέξανδρος ἠγανάκτησε καὶ πάλιν ἔγραψε τῷ Φωκίωνι φίλους μὴ νομίζειν τοὺς b μηδὲν αὐτοῦ δεομένους, χρήματα μὲν οὐδ' ὣς Φωκίων ἔλαβεν, ἀφεθῆναι δὲ ἠξίωσε τὸν σοφιστὴν Ἐχεκρατίδην καὶ τὸν Ἴμβριον Ἀθηνόδωρον καὶ Ῥοδίους δύο, Δημάρατον καὶ Σπάρτωνα, συνειλημμένους ἐπ' αἰτίαις τισὶ καὶ καθειργμένους ἐν Σάρδεσι. Τούτους μὲν οὖν

eorum, qui Thebis huc confugerunt; sufficit tamen Græcis Thebas lugere. Itaque et pro nobis, et pro illis deprecari apud victorem quam pugnare præstat. (3) Alexandrum autem ferunt, quum primum decretum Atheniensium accepisset, abjecisse id et aversatum legatos fugisse; alterum a Phocione allatum accepit, quum ex majoribus natu audisset, Philippo quoque eum virum admirationi fuisse. Neque congressum modo precesque Phocionis sustinuit, sed et consulenti aures præbuit. Suadebat autem ut bellum, si quietem peteret, deponeret, sin gloriam, a Græcis in barbaros transferret. Locutusque multa Alexandri ingenio voluntatique convenienter, ita hominem emolliit ac flexit, ut is Athenienses jusserit rebus intentos esse, dignos, si quid ipsi humanitus accidisset, qui reliquis Græcis imperarent. (4) Privatim vero amicitiam hospitiumque cum Phocione coluit, tantoque in honore, quanto paucos familiarissimorum, habuit. Duris auctor est eum, quum jam victo Dario magnus esset, in epistolis suis nemini salutem ascripsisse, nisi si quas scripserit Phocioni: hunc unum pariter atque Antipatrum fuisse quos præmissa salute appellaret. Idem et Chares memoriæ prodidit.

XVIII. Quod subjungam, confessum et manifestum est: centum ei talenta dono misit Alexander. Hæc quum essent Athenas perlata, eos qui ferebant percontatus est Phocion: Ecquid in tanta Atheniensium multitudine sibi soli tantum munus daret Alexander? Respondentibus: Quod te solum de omnibus virum bonum judicat; Sinat ergo, ait, me talem perpetuo et videri et esse. Illi ubi eum domum suam prosecuti, insignem viderunt tenuitatem, uxorem ejus farinam subigentem, ipsum aquam de puteo haurire et pedes lavare, magis urgere ut acciperet intenderunt, indignam rem affirmantes, si regius amicus tam inopem vitam degeret. Tum Phocion pauperem senem conspectum, qui sordida lacerna tectus incedebat, eis ostendit, ac quæsivit, utrum se quam illum pejus habere putarent. Bona verba, respondentibus eis, Atqui, inquit, is minoribus reditibus vivit contentusque est. Omnino autem aurum hoc aut frustra possidebo, non utens, aut utens, regem ac me sinistris civium sermonibus objecero. Itaque ergo pecunia rursum Athenis avecta est, innotuitque Græcis tanti muneris recusatorem dante ditiorem esse. (2) Quum Alexander inique hoc factum tulisset Phocionique scripsisset, se amicos non putare, qui ipso non uterentur, ne tum quidem pecuniam accepit Phocion, Echecratidem sophistam, Athenodorum Imbrium, duosque Rhodios, Demaratum ac Spartonem, criminum quorundam causa in carcerem Sardibus compactos, missos fieri ab Alexandro

εὐθὺς ἀπέλυσεν ὁ Ἀλέξανδρος, Κράτερον δὲ ἀποστέλλων εἰς Μακεδονίαν ἐκέλευσε τεττάρων πόλεων ἐν Ἀσίᾳ, Κίου, Γεργήθου, Μυλάσων, Ἐλαίας, μίαν, ἣν ἂν αἱρῆται, παραδοῦναι τῷ Φωκίωνι, διατεινάμενος ἔτι μᾶλλον, ὡς χαλεπανεῖ μὴ λαβόντος. Ἀλλ' οὔτε Φωκίων ἔλαβεν ὅ τε Ἀλέξανδρος ταχέως ἀπέθανεν. Ἡ c
δὲ οἰκία τοῦ Φωκίωνος ἔτι νῦν ἐν Μελίτῃ δείκνυται χαλκαῖς λεπίσι κεκοσμημένη, τὰ δὲ ἄλλα λιτὴ καὶ ἀφελής.

XIX. Τῶν δὲ γυναικῶν, ἃς ἔγημε, περὶ τῆς προτέρας οὐθὲν ἱστορεῖται, πλὴν ὅτι Κηφισόδοτος ἦν ὁ πλάστης ἀδελφὸς αὐτῆς, τῆς δὲ δευτέρας οὐκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς Ἀθηναίοις ἢ Φωκίωνος ἐπὶ χρηστότητι. Καί ποτε θεωμένων καινοὺς τραγῳδοὺς Ἀθηναίων ὁ μὲν τραγῳδὸς εἰσιέναι μέλλων βασιλίδος πρόσωπον, ᾔτει κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδοὺς τὸν χορηγόν· καὶ μὴ παρέχοντος ἠγανάκτει καὶ κατεῖχε τὸ θέατρον οὐ βουλόμενος προελθεῖν. Ὁ δὲ χορηγὸς Μελάνθιος d
ὠθῶν αὐτὸν εἰς τὸ μέσον ἐβόα, « Τοῦ Φωκίωνος οὐχ ὁρᾷς γυναῖκα προϊοῦσαν ἀεὶ μετὰ μιᾶς θεραπαινίδος, ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν; » Ἐξακούστου δὲ τῆς φωνῆς γενομένης ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. Αὐτὴ δὲ ἡ γυνή, ξένης τινὸς Ἰωνικῆς ἐπιδειξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσμον ἐν πλοκίοις καὶ περιδεραίοις, « Ἐμοὶ δέ, ἔφη, κόσμος ἐστὶ Φωκίων εἰκοστὸν ἔτος ἤδη στρατηγῶν Ἀθηναίων. »

XX. Φώκῳ δὲ τῷ υἱῷ βουλομένῳ ἀγωνίσασθαι Παναθηναίοις ἀποβάτην ἐφῆκεν, οὐχὶ τῆς νίκης ὀρε- e
γόμενος, ἀλλ' ὅπως ἐπιμεληθεὶς καὶ ἀσκήσας τὸ σῶμα βελτίων ἔσοιτο· καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. Νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος ἑνὶ τὴν φιλοτιμίαν ταύτην συνεχώρησεν. Ὡς δὲ ἐλθὼν ἐπὶ τὸ δεῖπνον ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν καὶ ποδανιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱόν, « Οὐ παύσεις, ἔφη, τὸν ἑταῖρον, ὦ Φῶκε, διαφθείροντά σου τὴν νίκην; » (2) Βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειράκιον ἐκ τῆς διαίτης ἐκείνης, ἀπήγαγεν εἰς Λακεδαίμονα καὶ κατέμιξε τοῖς ἀγομένοις f
τὴν λεγομένην ἀγωγὴν νεανίσκοις. Καὶ τοῦτο τοὺς Ἀθηναίους ἐλύπησεν, ὡς ὑπερορῶντος καὶ ὑπερφρονοῦντος τὰ οἰκεῖα τοῦ Φωκίωνος. Εἰπόντος δὲ τοῦ Δημάδου πρὸς αὐτόν, « Τί οὐ πείθομεν, ὦ Φωκίων, Ἀθηναίους τὴν Λακωνικὴν προσδέξασθαι πολιτείαν;
751 ἐὰν γὰρ σὺ κελεύῃς, ἐγὼ γράφειν καὶ λέγειν ἕτοιμός a
εἰμι. » « Πάνυ γοῦν, ἔφη, πρέψειεν ἂν σοὶ μύρου τοσοῦτον ὄζοντι καὶ χλαμύδα τοιαύτην φοροῦντι συμβουλεύειν Ἀθηναίοις περὶ φιλιτίων καὶ τὸν Λυκοῦργον ἐπαινεῖν. »

XXI. Γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριήρων, ὅπως ἀποστείλωσιν αὐτῷ, καὶ τῶν ῥητόρων ἐνισταμέ-

postulavit, iique statim ab eo liberati sunt. Misso deinde in Macedoniam Cratero, Phocioni ex quattuor Asiæ urbibus, Cio, Gergetho, Mylasis et Elæa, optionem deligendi quam vellet dedit, impensius affirmans quam ante, indignaturum nisi unam earum accepisset. Sed neque accepit Phocion, et Alexander mox vita decessit. Domus Phocionis hodieque in Melita ostenditur, æreis ornata laminis, ceteroqui vilis et ornatus expers.

XIX. Duas habuit uxores, quarum de priore nihil traditum est memoriæ, nisi hoc, sororem eam Cephisodori fictoris fuisse, altera non minorem pudicitiæ et simplicitatis, quam maritus bonitatis laudem apud Athenienses habuit. Etenim quodam tempore quum novos histriones spectarent Athenienses, proditurus jam in scenam histrio partes reginæ agens multas splendide ornatas pedissequas choragum poposcit; eoque non præbente, indigne tulit, spectatoresque detinuit, progredi nolens. Tum Melanthius choragus in medium eum protrusit, vociferans : Non vides uxorem Phocionis una semper ancillula comitatam in publicum prodire? insolenter agis nimioque luxu gynæceum corrumpis. Hæc vox ad aures assidentium in theatro perlata ingentem applausum et strepitum excitavit. Ipsa uxor Phocionis, quum Ionica quædam hospita mundum ei suum, aurea et baccata gemmis monilia cincinnosque pretiosos ostenderet, Mihi, aiebat, ornatus loco est Phocion, vigesimum jam annum Atheniensium dux.

XX. Filio autem Phoco festivitate Panathenaica cupienti desultorio certamine contendere, Phocion obsecutus est non victoriæ cupiditate, sed ut cura in exercitationem corporis conversa, mores corrigeret, potator alioquin et dissolutus. Victoria potitum quum amici certatim ad convivium, quod victoriæ gratulandæ causa parari soleret, invitarent, reliquis repudiatis Phocion uni omnium concessit; quumque ipse ad cœnam veniens, luxuriose omnia apparata, pedesque etiam intrantium vino per aromata diffuso lavari cerneret, Phocum filium ad se vocavit et, Non, ait, prohibebis amicum tuum, ne luxu perdere tuam victoriam pergat? (2) Ut autem plane a vita delicata filium suum abstraheret, Spartam eum abduxit et in adolescentium qui certa disciplina formabantur, cœtum inseruit. Moleste id tulerunt Athenienses, quod contemni a Phocione et despici patrios mores putarent. Quum vero Demades diceret, Cur non, o Phocion, persuademus Atheniensibus, uti Laconico exemplo rempublicam instituant? si enim jusseris, ego ea de re promulgare rogationem et oratione populo suadere paratus sum; Nimirum vero, respondit, te unguenta olentem, et hujusmodi chlamyde amictum convenit Athenienses ad phiditia cohortari et Lycurgi leges laudare.

XXI. Scripserat Atheniensibus Alexander, ut triremes sibi mitterent. Id quum impugnarent oratores postulatum,

νων, τῆς δὲ βουλῆς τὸν Φωκίωνα λέγειν κελευούσης, « Λέγω τοίνυν ὑμῖν, εἶπεν, ἢ τοῖς ὅπλοις κρατεῖν ἢ τοῖς κρατοῦσι φίλους εἶναι. » (2) Πρὸς δὲ Πυθέαν ἀρχόμενον τότε πρῶτον ἐντυγχάνειν Ἀθηναίοις, ἤδη δὲ λάλον ὄντα καὶ θρασὺν, « Οὐ σιωπήσεις, ἔφη, καὶ ταῦτα νεώνητος ὢν τῷ δήμῳ; » (3) Ἐπεὶ δὲ Ἅρπαλος μετὰ χρημάτων πολλῶν ἀποδρὰς Ἀλέξανδρον ἐκ τῆς b Ἀσίας τῇ Ἀττικῇ προσέβαλε καὶ τῶν εἰωθότων ἀπὸ τοῦ βήματος χρηματίζεσθαι δρόμος ἦν καὶ ἅμιλλα φθειρομένων πρὸς αὐτὸν, τούτοις μὲν ἀπὸ πολλῶν μικρὰ δελεάζων προήκατο καὶ διέρριψε, τῷ δὲ Φωκίωνι προσέπεμψε διδοὺς ἑπτακόσια τάλαντα καὶ τἄλλα πάντα καὶ μετὰ πάντων ἑαυτὸν ἐπ' ἐκείνῳ μόνῳ παρακατατιθέμενος. Ἀποκριναμένου δὲ τραχέως τοῦ Φωκίωνος οἰμώξεσθαι τὸν Ἅρπαλον, εἰ μὴ παύσεται διαφθείρων τὴν πόλιν, τότε μὲν συσταλεὶς ἀπέστη, μετ' ὀλίγον δὲ βουλευομένων Ἀθηναίων ἑώρα τοὺς μὲν εἰληφότας τὰ χρήματα παρ' αὐτοῦ μεταβαλλομένους καὶ κατηγοροῦντας, c ἵνα μὴ φανεροὶ γένωνται, Φωκίωνα δὲ τὸν μηδὲν λαβόντα μετὰ τοῦ κοινοῦ συμφέροντος ἅμα καὶ τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον. Πάλιν οὖν ἐνεχθεὶς ἐπὶ τὸ θεραπεύειν ἐκεῖνον αὐτὸν μὲν ὡς ἔρυμα πανταχόθεν ἀνάλωτον ὑπὸ τοῦ χρυσίου περιοδεύων ἑώρα, Χαρικλέα δὲ τὸν γαμβρὸν αὐτοῦ ποιησάμενος συνήθη καὶ φίλον ἐνέπλησε δόξης πονηρᾶς πάντα πιστεύων καὶ πάντα χρώμενος ἐκείνῳ.

XXII. Καὶ δὴ καὶ Πυθονίκης τῆς ἑταίρας ἀποθανούσης, ἣν εἶχεν ὁ Ἅρπαλος ἐρῶν καὶ θυγατρίου πατὴρ ἐξ αὐτῆς ἐγεγόνει, μνημεῖον ἀπὸ χρημάτων πολλῶν d ἐπιτελέσαι θελήσας προσέταξε τῷ Χαρικλεῖ τὴν ἐπιμέλειαν. Οὖσαν δὲ τὴν ὑπουργίαν ταύτην ἀγεννῆ προσκατῄσχυνεν ὁ τάφος συντελεσθείς· διαμένει γὰρ ἔτι νῦν ἐν Ἑρμείῳ, ᾗ βαδίζομεν ἐξ ἄστεος εἰς Ἐλευσῖνα, μηδὲν ἔχων τῶν τριάκοντα ταλάντων ἄξιον, ὅσα τῷ Ἁρπάλῳ λογισθῆναί φασιν εἰς τὸ ἔργον ὑπὸ τοῦ Χαρικλέους. (2) Καὶ μέντοι καὶ τελευτήσαντος αὐτοῦ τὸ παιδάριον ὑπὸ τοῦ Χαρικλέους καὶ τοῦ Φωκίωνος ἀναληφθὲν ἐτύγχανε πάσης ἐπιμελείας. Κρινομένου μέντοι τοῦ Χαρικλέους ἐπὶ τοῖς Ἁρπαλείοις καὶ δεομένου βοηθεῖν αὐτῷ τὸν Φωκίωνα καὶ συνεισελθεῖν εἰς τὸ δικαστήριον e οὐκ ἠθέλησεν, εἰπὼν, « Ἐγώ σε, ὦ Χαρίκλεις, ἐπὶ πᾶσι τοῖς δικαίοις γαμβρὸν ἐποιησάμην. » (3) Πρώτου δὲ Ἀθηναίοις Ἀσκληπιάδου τοῦ Ἱππάρχου τεθνάναι προσαγγείλαντος Ἀλέξανδρον, ὁ μὲν Δημάδης ἐκέλευε μὴ προσέχειν, πάλαι γὰρ ἂν ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένην· ὁ δὲ Φωκίων ἐπηρμένον ὁρῶν πρὸς τὸ νεωτερίζειν τὸν δῆμον ἐπειρᾶτο παρηγορεῖν καὶ κατέχειν. Ἀναπηδώντων δὲ πολλῶν ἐπὶ τὸ βῆμα καὶ βοώντων ἀληθῆ τὸν Ἀσκληπιάδην ἀπαγγέλλειν καὶ τεθνάναι τὸν Ἀλέξανδρον, « Οὐκοῦν, εἶπεν, εἰ σήμερον τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην τεθνηκὼς, ὥστε ἡμᾶς ἐν ἡσυχίᾳ βουλεύσασθαι, μᾶλλον δὲ μετὰ f ἀσφαλείας. »

XXIII. Ὡς δὲ φέρων ἐνέσεισεν ὁ Λεωσθένης τὴν

a senatu dicere sententiam Phocion jussus, Jubeo, inquit, vos aut armis superare, aut amicitia superiorum uti. (2) Pytheam, qui quum primum verba ad populum facere inciperet, loquacem se et audaculum præberet, ita corripuit: Non tacebis tandem, idque quum nuper sis a populo emptus? (3) Harpalus quum magna cum pecunia ex Asia ab Alexandro profugus ad Atticam appulisset, ad eumque oratores certatim accurrerent, auro ipsius intenti, his quidem de magnis opibus exigua inescandi causa munuscula objecit, Phocioni autem missis nuntiis septingenta talenta obtulit, seque totum cum omnibus suis rebus fidei ejus commendavit. Phocion aspere legatis respondit: daturum pœnas Harpalum minitans, si corrumpere civitatem non desineret; quo responso ictus Harpalus sollicitare eum destitit. Paulo post Atheniensibus consultantibus quum videret eos qui pecuniam a se accepissent immutatos, ac ne facinoris manifesti fierent, ipsum accusarent, Phocionem autem qui dona repudiasset, salutis tamen ipsius, quantum ejus bono publico fieri posset, rationem habere, iterum se ad demerendum hunc contulit. Quem quum ambiens inexpugnabilem auro validæ arcis instar perstare videret, Chariclem generum ejus sibi conciliavit, omniaque ei credens inque omnibus rebus opera ejus utens, infamiam ei movit.

XXII. Pythonica meretrice mortua, Harpalus, qui eam amasset filiolamque ex ea sustulisset, Charicli negotium dedit ut sepulcrum ei magno sumptu exstrueret. Auxit hujus ministerii turpitudinem vilitas sepulcri, nihil dignum habentis triginta istis, quæ se impendisse in rationibus scripserat Charicles, talentis; exstat enim adhuc in Hermæ, qua ex urbe Eleusinam itur. (2) Filiola quidem mortuo Harpalo est a Charicle et Phocione omni cura educata. Ceterum Phocion Chariclem, quum is in jus ob munera ab Harpalo accepta vocatus patrocinium ipsius implorasset, repulit dicens se eum sibi generum omnibus honestis conditionibus ascivisse. (3) Asclepiades Hipparchi filius primus omnium Athenas nuntium de obitu Alexandri attulerat. Huic fidem adhibendam negabat Demades, Odor, inquiens, istius cadaveris jampridem per totum terrarum orbem dissipatus fuisset, si vera hic narraret. Phocion autem populum videns ad novas res consurgere, dehortari et detinere verbis conabatur, multisque ad tribunal accurrentibus, ac vera nuntiare Asclepiadem et mortuum esse Alexandrum vociferantibus: Ergo si hodie, inquit, vita caret, neque cras, neque perendie etiam vivet, licetque omnino tum nobis quiete et magis tuto consilia inire.

XXIII. Quum Leosthenes civitatem in bellum Græcum

πόλιν εἰς τὸν Ἑλληνικὸν πόλεμον καὶ τοῦ Φωκίωνος δυσχεραίνοντος ἠρώτα καταγελῶν, τί πεποίηκεν ἀγαθὸν τὴν πόλιν ἔτη τοσαῦτα στρατηγῶν, « Οὐ μικρὸν, ἔφη, τὸ τοὺς πολίτας ἐν τοῖς ἰδίοις μνήμασι θάπτε-
752 σθαι. » Πολλὰ δὲ θρασυνομένου καὶ κομπάζοντος ἐν a
τῷ δήμῳ τοῦ Λεωσθένους ὁ Φωκίων, « Οἱ λόγοι σου, εἶπεν, ὦ μειράκιον, ἐοίκασι κυπαρίττοις· μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ καρποὺς οὐ φέρουσιν. » (2) Ὡς δὲ ἐπαναστὰς ὁ Ὑπερείδης ἠρώτησε, « Πότε οὖν, ὦ Φωκίων, συμβουλεύεις πολεμεῖν Ἀθηναίοις »; « Ὅταν, εἶπε, τοὺς μὲν νέους ἴδω τὴν τάξιν βουλομένους φυλάττειν, τοὺς δὲ πλουσίους εἰσφέρειν, τοὺς δὲ ῥήτορας ἀπέχεσθαι τοῦ κλέπτειν τὰ δημόσια. » (3) Θαυμαζόντων δὲ πολλῶν τὴν ὑπὸ τοῦ Λεωσθένους συνηγμένην δύναμιν καὶ τοῦ Φωκίωνος πυνθανομένων, πῶς τι παρεσκευάσθαι δοκοῦσιν αὐτῷ, « Καλῶς, ἔφη, πρὸς τὸ στάδιον· τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, μήτε χρήματα τῆς πόλεως ἕτερα μήτε ναῦς μήτε ὁπλίτας b
ἐχούσης. » (4) Ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ ἔργα. Πρῶτον μὲν γὰρ Λεωσθένης λαμπρὸς ἤρθη ταῖς πράξεσι τῶν τε Βοιωτῶν μάχῃ κρατήσας καὶ τὸν Ἀντίπατρον εἰς Λαμίαν συνελάσας· ὅτε καί φασι τὴν μὲν πόλιν ἐλπίδος μεγάλης γενομένην ἑορτάζειν εὐαγγέλια συνεχῶς καὶ θύειν τοῖς θεοῖς, τὸν δὲ Φωκίωνα πρὸς τοὺς ἐλέγχειν αὐτὸν οἰομένους καὶ πυνθανομένους, εἰ ταῦτα οὐκ ἂν ἤθελεν αὐτῷ πεπρᾶχθαι, « Πάνυ μὲν οὖν, βεβουλεῦσθαι δὲ ἐκεῖνα· » καὶ πάλιν ἄλλων ἐπ' ἄλλοις εὐαγγελίων γραφομένων καὶ φερομένων ἀπὸ τοῦ στρατοπέδου, « Πότε ἄρα, φάναι, παυσόμεθα νικῶντες; » c

XXIV. Ἐπεὶ δὲ τοῦ Λεωσθένους ἀποθανόντος οἱ φοβούμενοι τὸν Φωκίωνα, μὴ στρατηγὸς ἐκπεμφθεὶς καταλύσῃ τὸν πόλεμον, ἄνθρωπόν τινα τῶν οὐκ ἐπιφανῶν ἐν ἐκκλησίᾳ παρεσκεύασαν ἀναστάντα λέγειν, ὅτι φίλος ὢν τοῦ Φωκίωνος καὶ συμπεφοιτηκὼς παραινεῖ φείδεσθαι τοῦ ἀνδρὸς καὶ φυλάσσειν, ὡς ἄλλον ὅμοιον οὐκ ἔχοντας, ἐκπέμπειν δὲ Ἀντίφιλον ἐπὶ τὸ στράτευμα, καὶ ταῦτα τοῖς Ἀθηναίοις συνεδόκει, παρελθὼν ὁ Φωκίων ἔλεγε μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ μήτε ἄλλως γεγονέναι γνώριμος ἢ συνήθης· « Ἀλλὰ νῦν, εἶπεν, ἀπὸ τῆς σήμερον ἡμέρας καὶ φί- d
λον σε ποιοῦμαι καὶ οἰκεῖον, ἃ γὰρ ἦν ἐμοὶ συμφέροντα συμβεβούλευκας. » (2) Ὡρμημένων δὲ τῶν Ἀθηναίων ἐπὶ τοὺς Βοιωτοὺς στρατεύειν πρῶτον μὲν ἀντεῖχε, καὶ τῶν φίλων λεγόντων, ὡς ἀποθανεῖται προσκρούων τοῖς Ἀθηναίοις, « Ἀδίκως, εἶπεν, ἂν ποιῶ τὸ συμφέρον, ἂν δὲ παραβαίνω, δικαίως. » Ἐπεὶ δὲ ὁρῶν οὐκ ἀνιέντας, ἀλλὰ βοῶντας, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, Ἀθηναίων τοὺς ἄχρι ἑξήκοντα ἐτῶν ἀφ' ἥβης πέντε ἡμερῶν σιτία λαβόντας εὐθὺς ἀκολουθεῖν ἀπὸ τῆς ἐκκλησίας, θορύβου δὲ πολλοῦ γενομένου καὶ τῶν πρεσβυτέρων βοώντων καὶ ἀναπηδώντων, « Οὐδὲν, ἔφη, e
δεινόν· ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος ἔσομαι μεθ' ὑμῶν. » Καὶ τότε μὲν οὕτως κατέπαυσεν αὐτοὺς καὶ μετέβαλε.

conjecisset, Phocion indigne id ferens quum per risum interrogaretur ab eo, quidnam utilitatis contulisset patriæ, gesto per tot annos imperio : Haud exiguum, inquit; effeci enim, uti cives suis in monumentis sepelirentur. Eidem multa apud populum audacter jactanti, Sermones, ait, tui, adolescens, cupressorum similes esse videntur, quæ proceræ quum sint et magnæ, fructum tamen nullum ferunt. (2) Hyperidi in concione assurgenti, et quærenti, Et quando tandem, o Phocion, censes Atheniensibus bellum gerendum? respondit, Quum videro juvenes velle ordinem tueri, divites pecuniam conferre et oratores peculandi finem facere. (3) Plerisque Leosthenis copias admirantibus et ex ipso quærentibus quomodo ei apparatæ viderentur : Bene, inquit, ad stadium currendum; sed ego ne in dolicho (*i. e. cursus prolixioris generis*) belli deficiamus metuo; nam neque pecunias alias, neque naves, neque milites habemus. (4) Res ipsa sermonem ejus comprobavit. Primum enim præclaris usus est successibus Leosthenes, superatis prœlio Bœotis, et compulso Lamiam Antipatro. Quum quidem Atheniensibus in magnam erectis spem, atque ob tam lætos nuntios festos dies agentibus continenterque sacrificantibus, Phocionem quidam redarguere aggressi interrogaverunt, an non rem ab se gestam vellet : Omnino, inquit, verum suasisse illa. Iterumque aliis super alios victoriæ allatis et ex castris perscriptis nuntiis, Ecquando tandem, dixit, vincendi finem faciemus?

XXIV. Mortuo autem Leosthene metuentes nonnulli, ne Phocion dux ad bellum missus pacem componeret, hominem quendam haud illustrem subornarunt, qui in concione surgens, se amicum Phocionis et qui eum ab habita studiorum magistrorumque communitate probe nosset, suadere populo diceret, uti ei tanto viro parcerent, caverentque ne eum, cujus similem non haberent alium, amitterent, Antiphilo bellum mandandum esse. Hoc quum approbassent Athenienses, progressus in medium Phocion : Ego, inquit, neque te ulla notitia attingo, neque disciplinæ ejusdem societate tecum usus sum, sed in posterum amicum te familiaremque meum accipio; consuluisti enim in rem meam. (2) Atheniensibus cupiditate bellum Bœotis inferendi flagrantibus primum adversatus est, amicisque interfectum iri offenso populo dicentibus, respondit : Immerito quidem, si utiliter ei ago; sin prævaricer, juste. Cernens autem non remittere eos quicquam, sed clamoribus urgere, edicere præconem jussit, ut quicumque intra sexagesimum ætatis annum essent, cum alimentis ad quinque dies statim soluta concione ipsum sequerentur; orto autem tumultu, senibusque rem indignam fieri vociferantibus et ex concione se proripientibus : Quid vero, inquit, mali est? quum ego dux vester octogenarius una sim futurus. Hoc modo in præsentia circumegit eos atque sedavit.

XXV. Πορθουμένης δὲ τῆς παραλίας ὑπὸ Μικίωνος συχνοῖς Μακεδόσι καὶ μισθοφόροις ἀποβεβηκότος εἰς Ῥαμνοῦντα καὶ κατατρέχοντος τὴν χώραν, ἐξήγαγε τοὺς Ἀθηναίους ἐπ' αὐτόν. Ὡς δὲ προστρέχοντες ἀλλαχόθεν ἄλλος διεστρατήγουν καὶ συνεβούλευον αὐτοῦ τὸν λόφον καταλαβεῖν, ἐκεῖ περιπέμψαι τοὺς ἱππέας, ἐνταῦθα παρεμβαλεῖν, « Ὦ Ἡράκλεις, εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγοὺς, ὀλίγους δὲ στρατιώτας. » (2) Ἐπεὶ δὲ παρατάξαντος αὐτοῦ τοὺς ὁπλίτας εἷς πολὺ f πρὸ τῶν ἄλλων προῆλθεν, εἶτα δείσας ἀντιστάντος ἀνδρὸς πολεμίου πάλιν εἰς τὴν τάξιν ἀνεχώρησεν, « Ὦ μειράκιον, εἶπεν, οὐκ αἰδῇ δύο τάξεις ἀπολελοιπὼς, ἣν ἐτάχθης ὑπὸ τοῦ στρατηγοῦ καὶ πάλιν ἐφ' ἣν σεαυτὸν ἔταξας; » Ἐμβαλὼν δὲ τοῖς πολεμίοις 753 καὶ κατὰ κράτος τρεψάμενος αὐτόν τε τὸν Μικίωνα καὶ a πολλοὺς ἄλλους ἀπέκτεινε. (3) Τὸ δὲ Ἑλληνικὸν ἐν Θετταλίᾳ στράτευμα, συμμίξαντος Ἀντιπάτρῳ Λεοννάτου καὶ τῶν ἐξ Ἀσίας Μακεδόνων, ἐνίκα μαχόμενον· καὶ Λεοννάτος ἔπεσεν, ἡγουμένου τῆς μὲν φάλαγγος Ἀντιφίλου, τῶν δὲ ἱππέων τοῦ Θεσσαλοῦ Μένωνος.

XXVI. Ὀλίγῳ δ' ὕστερον χρόνῳ Κρατέρου διαβάντος ἐξ Ἀσίας μετὰ πολλῆς δυνάμεως καὶ γενομένης πάλιν ἐν Κράννωνι παρατάξεως, ἡττήθησαν μὲν οἱ Ἕλληνες οὔτε μεγάλην ἧτταν οὔτε πολλῶν πεσόντων, ἀπειθείᾳ δὲ πρὸς τοὺς ἄρχοντας ἐπιεικεῖς καὶ νέους ὄντας καὶ ἅμα τὰς πόλεις αὐτῶν πειρῶντος Ἀντιπάτρου διαρρυέντες αἴσχιστα προήκαντο τὴν ἐλευθερίαν. (2) Εὐ- b θὺς οὖν ἐπὶ τὰς Ἀθήνας ἄγοντος τοῦ Ἀντιπάτρου τὴν δύναμιν, οἱ μὲν περὶ Δημοσθένην καὶ Ὑπερείδην ἀπηλλάγησαν ἐκ τῆς πόλεως, Δημάδης δὲ μηθὲν μέρος ὧν ὤφειλε χρημάτων ἐπὶ ταῖς καταδίκαις ἐκτῖσαι τῇ πόλει δυνάμενος (ἡλώκει γὰρ ἑπτὰ γραφὰς παρανόμων καὶ γεγονὼς ἄτιμος ἐξείργετο τοῦ λέγειν), ἄδειαν εὑρόμενος τότε γράφει ψήφισμα ἐκπέμπειν πρὸς Ἀντίπατρον ὑπὲρ εἰρήνης πρέσβεις αὐτοκράτορας. (3) Φοβουμένου δὲ τοῦ δήμου καὶ καλοῦντος Φωκίωνα καὶ μόνῳ πιστεύειν ἐκείνῳ λέγοντος, « Ἀλλ' εἴγε ἐπιστευόμην, εἶπεν, ἐγὼ συμβουλεύων ὑμῖν, οὐκ ἂν νῦν ἐβουλευόμεθα c περὶ πραγμάτων τοιούτων. » Οὕτω δὲ τοῦ ψηφίσματος ἐπικυρωθέντος ἀπεστάλη πρὸς Ἀντίπατρον ἐν τῇ Καδμείᾳ στρατοπεδεύοντα καὶ παρασκευαζόμενον εὐθὺς εἰς τὴν Ἀττικὴν βαδίζειν. (4) Καὶ τοῦτο πρῶτον ᾔτει, τὸ μένοντα κατὰ χώραν ποιήσασθαι τὰς διαλύσεις. Τοῦ δὲ Κρατέρου λέγοντος ὡς « Οὐ δίκαια πείθει Φωκίων ἡμᾶς, τὴν τῶν συμμάχων καὶ φίλων καθημένους χώραν κακῶς ποιεῖν δυναμένους ἐκ τῆς τῶν πολεμίων ὠφελεῖσθαι, » λαβόμενος αὐτοῦ τῆς δεξιᾶς ὁ Ἀντίπατρος, « Δοτέον, εἶπε, Φωκίωνι ταύτην τὴν χάριν. » Περὶ δὲ τῶν ἄλλων ἐκέλευεν αὐτοῖς ἐπιτρέπειν τοὺς d Ἀθηναίους, ὥσπερ ἐν Λαμίᾳ Λεωσθένης ἐκεῖνον.

XXVII. Ὡς οὖν ἐπανῆλθεν ὁ Φωκίων εἰς τὸ ἄστυ καὶ τοῖς Ἀθηναίοις ταῦτα ἔδοξεν ὑπ' ἀνάγκης, αὖθις εἰς Θήβας ἐβάδιζε μετὰ τῶν ἄλλων πρέσβεων, Ξενοκράτην τὸν φιλόσοφον τῶν Ἀθηναίων προσελομένων. Τοσοῦτον

XXV. Quum Micio Macedonum et mercenariorum militum manu exscensionem apud Rhamnuntem fecisset oramque Atticæ incursionibus vexaret, contra eum Athenienses eduxit. Ibi quum passim ad ipsum concurrerent, in officiumque imperatoris sese ingererent, alius illic collem occupare, alius equites eo emittere, alius hac parte invadere hostem præcipientes : Dii boni, inquit, quam ego multos duces, paucos milites video! (2) Aciem deinde instruens, quendam, qui procul ante alios processerat, deinde præ metu hostis sibi occurrentis se in ordinem receperat, ita corripuit : Non te pudet, adolescens, duos locos deserere, et eum quem tibi imperator dedit et eum quem ipse cepisti? Facto in hostes impetu, vicit, ipsumque cum multis aliis Micionem interfecit. (3) In Thessalia autem Antipater, tametsi se ad eum Leonnatus et ex Asia reversi Macedones aggregassent, victus est a Græcorum copiis, cæso etiam Leonnato; duxit autem phalangem Græcorum Antiphilus, equitatum Meno Thessalus.

XXVI. Paulo post quum ex Asia Craterus magno cum exercitu venisset, commisso apud Crannonem prœlio victi sunt Græci. Quæ tametsi clades haud magna fuit, paucique perierunt, tamen quod ducibus juvenibus et indulgentioribus dicto audientes non essent, simul etiam Antipatro civitates ad defectionem sollicitante dissipati, turpissime libertatem prodiderunt. (2) Antipatro statim Athenas versus ducente, Demosthenes et Hyperides urbe excesserunt; Demades autem tum veniam consecutus (etenim quod septies contra leges scripsisse damnatus nullam mulctæ partem solvere potuerat, ignominia notatus, dicendique privatus fuerat potestate) legem fert, legatos plena cum potestate ad Antipatrum de pace mitti. (3) Metuente sibi tum populo Phocionemque vocante, solique se ei fidem habere dicente, Enimvero, inquit Phocion, si meis consiliis fidem adhibere voluissetis, non nunc de hujusmodi rebus deliberandum esset. Perlata tamen lege, missus est ad Antipatrum castra in Cadmea habentem et in Atticam statim pergere paratum. (4) Ab eo primum omnium hoc quum peteret, ut ibi commorans pacificationem componeret, Cratero dicente, Phocion iniquum petit, ut in amicorum agro desideamus, eumque exhauriamus, quum ex hostili ali ac locupletari exercitum liceat; ejus manum apprehendens Antipater, Dandum est hoc, inquit, Phocioni: Athenienses autem jussi sunt arbitrio victoris sua omnia permittere; hanc enim Leosthenes etiam Antipatro conditionem Lamiæ obsesso tulerat.

XXVII. Itaque ut revertit Phocion in urbem et Athenienses necessitate compulsi conditionem acceperunt, rursus Thebas missus est cum reliquis legatis Phocion, inter quos Athenienses etiam Xenocratem philosophum constituerant,

γὰρ ἦν ἀξίωμα τῆς ἀρετῆς τοῦ Ξενοκράτους καὶ δόξα καὶ λόγος παρὰ πᾶσιν, ὥστε οἴεσθαι μήτε ὕβριν εἶναι μήτε ὠμότητα μήτε θυμὸν ἐν ἀνθρωπίνῃ ψυχῇ φυόμενον, ᾧ Ξενοκράτους μόνον ὀφθέντος οὐκ ἂν αἰδοῦς τι καὶ τιμῆς ἐγγένοιτο πρὸς αὐτόν. Ἀπέβη δὲ τοὐναντίον ἀγνωμοσύνῃ τινὶ καὶ μισαγαθίᾳ τοῦ Ἀντιπάτρου. (2) Πρῶτον μὲν γὰρ e οὐχ ἠσπάσατο τὸν Ξενοκράτην τοὺς ἄλλους δεξιωσάμενος· ἐφ' ᾧ φασιν εἰπεῖν ἐκεῖνον, ὡς Ἀντίπατρος καλῶς ποιεῖ μόνον αὐτὸν αἰσχυνόμενος ἐφ' οἷς ἀγνωμονεῖν μέλλει πρὸς τὴν πόλιν· ἔπειτα λέγειν ἀρξάμενον οὐχ ὑπομένων, ἀλλ' ἀντικρούων καὶ δυσχεραίνων ἐποίησεν ἀποσιωπῆσαι. Τῶν δὲ περὶ τὸν Φωκίωνα διαλεχθέντων ἀπεκρίνατο φιλίαν ἔσεσθαι τοῖς Ἀθηναίοις καὶ συμμαχίαν ἐκδοῦσι μὲν τοὺς περὶ Δημοσθένην καὶ Ὑπερείδην, πολιτευομένοις δὲ τὴν πάτριον ἀπὸ τιμήματος πολιτείαν, δεξαμένοις δὲ φρουρὰν εἰς τὴν Μουνυχίαν, ἔτι δὲ χρήματα τοῦ πολέμου καὶ ζημίαν προσεκτίσασιν. (3) Οἱ μὲν οὖν ἄλλοι πρέσβεις ἠγάπησαν ὡς φιλανθρώπους f τὰς διαλύσεις πλὴν τοῦ Ξενοκράτους· ἔφη γὰρ ὡς μὲν δούλοις μετρίως κεχρῆσθαι τὸν Ἀντίπατρον, ὡς δὲ ἐλευθέροις βαρέως. Τοῦ δὲ Φωκίωνος παραιτουμένου τὴν φρουρὰν καὶ δεομένου λέγεται τὸν Ἀντίπατρον εἰπεῖν· « Ὦ Φωκίων, ἡμεῖς πάντα σοι χαρίζεσθαι βουλόμεθα πλὴν τῶν καὶ σὲ ἀπολούντων καὶ ἡμᾶς. » (4) Οἱ 754 δὲ οὐχ οὕτως φασίν, ἀλλὰ ἐρωτῆσαι τὸν Ἀντίπατρον, εἰ a τὴν φρουρὰν ἀνέντος αὐτοῦ τοῖς Ἀθηναίοις ὁ Φωκίων ἐγγυᾶται τὴν πόλιν ἐμμενεῖν τῇ εἰρήνῃ καὶ μηθὲν πολυπραγμονήσειν· σιωπῶντος δὲ ἐκείνου καὶ διαμέλλοντος, ἀναπηδήσαντα Καλλιμέδοντα τὸν Κάραβον, ἄνδρα θρασὺν καὶ μισόδημον, εἰπεῖν· « Ἐὰν δὲ οὗτος, ὦ Ἀντίπατρε, φλυαρῇ, σὺ πιστεύσεις καὶ οὐ πράξεις ἃ ἔγνωκας; »

XXVIII. Οὕτω μὲν ἐδέξαντο φρουρὰν Μακεδόνων Ἀθηναῖοι καὶ Μένυλλον ἡγεμόνα, τῶν ἐπιεικῶν τινα καὶ τοῦ Φωκίωνος ἐπιτηδείων. Ἐφάνη δὲ ὑπερήφανον τὸ πρόσταγμα καὶ μᾶλλον ἐξουσίας ὕβρει χρωμένης ἐπίδειξις ἢ πραγμάτων ἕνεκα γιγνομένη κατάληψις. Οὐ μικρὸν δὲ τῷ πάθει προσέθηκεν ὁ καιρός. Εἰκάδι γὰρ b ἡ φρουρὰ Βοηδρομιῶνος εἰσήχθη μυστηρίων ὄντων ᾗ τὸν Ἴακχον ἐξ ἄστεος Ἐλευσῖνάδε πέμπουσιν, ὥστε τῆς τελετῆς συγχυθείσης ἀναλογίζεσθαι τοὺς πολλοὺς καὶ τὰ πρεσβύτερα τῶν θείων καὶ τὰ πρόσφατα. Πάλαι μὲν γὰρ ἐν τοῖς ἀρίστοις εὐτυχήμασι τὰς μυστικὰς ὄψεις καὶ φωνὰς παραγενέσθαι σὺν ἐκπλήξει καὶ θάμβει τῶν πολεμίων, νῦν δὲ τοῖς αὐτοῖς ἱεροῖς τὰ δυσχερέστατα πάθη τῆς Ἑλλάδος ἐπισκοπεῖν τοὺς θεοὺς καὶ καθυβρίζεσθαι τὸν ἁγιώτατον τοῦ χρόνου καὶ ἥδιστον αὐτοῖς ἐπώνυμον τῶν μεγίστων κακῶν γενόμενον. (2) Πρότερον μὲν οὖν ὀλίγοις ἔτεσι χρησμὸν ἐξήνεγκαν αἱ c Δωδωνίδες τῇ πόλει τὰ ἀκρωτήρια τῆς Ἀρτέμιδος φυλάσσειν, ὅπως ἄλλοι μὴ λάβωσι· τότε δὲ περὶ τὰς ἡμέρας ἐκείνας αἱ ταινίαι μέν, αἷς περιελίττουσι τὰς μυστικὰς κοίτας, βαπτόμεναι θάψινον ἀντὶ φοινικοῦ χρῶμα καὶ νεκρῶδες ἀνήνεγκαν· ὃ δὲ μεῖζον ἦν, τὰ παραβα-

cujus virtus tantæ apud omnes auctoritatis existimationisque erat, ut nemo hominum ita libidine, ira aut crudelitate videretur posse teneri, qui non Xenocratis visi saltem verecundia moveretur. Verum Atheniensibus hoc consilium secus cecidit, ob Antipatri in bonos odium, animique illiberalitatem. (2) Primum enim reliquis data dextra, solum Xenocratem non salutavit; et quidem Xenocrates dixisse tum fertur, recte Antipatrum fecisse, qui sui solum pudore moveretur, reputans quæ in urbem esset injuste statuturus; deinde dicere orsum non sustinuit, sed reclamando silentium ei adversandoque imposuit. Phocione locuto quæ vellet, pacem se cum Atheniensibus et societatem coire dixit, si Demosthenem et Hyperidem dedant, patrio more rempublicam æstimatione census delecto magistratu administrent, præsidium in Munychiam recipiant, et sumptus belli victori compensent, mulctamque persolvant. (3) Has conditiones quum ut benignas reliqui legati probarent, solus Xenocrates dixit : Antipatrum se Atheniensibus, si eos servos putet, moderatum, sin liberos, inhumanum præbuisse. Phocione autem præsidium deprecante, respondisse fertur Antipater : Nos quidem, o Phocion, quidvis in tui gratiam facere volumus, nisi id, quod tuo et nostro sit staturum exitio. (4) Alii ita narrant : Antipatrum quæsivisse ex Phocione, an spondere pro Atheniensibus vellet, eos præsidio liberatos pacem servaturos, nihilque novi tentaturos; tacente Phocione ac cunctante, prosiluisse Callimedontem Carabum, hominem petulantem Atheniensibusque infensum, ac dixisse Antipatro : Tu ergo, si hic nugetur, credes ei potius, quam agas quæ instituisti?

XXVIII. Ita præsidium Macedonicum Athenienses acceperunt, cui præfuit Menyllus, vir moderati ingenii et Phocionis amicus. Quod imperium superbum videbatur, magisque licentiæ contumeliosæ ostentandæ, quam utilitatis causa instituta occupatio. Auxit rei indignitatem tempus ipsum. Vigesimo enim Boedromionis mensis die præsidium est introductum, quum Mysteria celebrari solent et Iacchi pompa ex urbe Eleusinem deduci; qua tunc confusa ceremonia plerique reputaverunt in animis suis quæ priorum temporum fuerit rerum divinarum conditio et quæ recens. Quippe olim præclarissimis Atheniensium facinoribus visa vocesque mysticas affuisse, terroremque et stuporem hostibus incussisse, nunc deos eodem sacrificii tempore spectare afflictam gravissima calamitate Græciam, pollutumque sanctissimum tempus, aliquando diis gratissimum, nunc gravissimorum malorum testimonium. (2) Paucis ante annis Dodonæum oraculum Athenienses monuerat, ut extremas urbis partes Dianæ sacras custodirent, ne in hostium eæ potestatem venirent. Iis vero diebus quum fasciæ, quibus mysticæ cistæ involvuntur, tingerentur, pro purpureo colore pallidum ac qualis est mortuorum extulerunt, et quod maximum erat, reliquis quæ privatorum

πτόμενα τῶν ἰδιωτικῶν πάντα τὸ προσῆκον ἄνθος ἔσχε. Μύστην δὲ λούοντα χοιρίδιον ἐν Κανθάρῳ λιμένι κῆτος συνέλαβε καὶ τὰ κάτω μέρη τοῦ σώματος ἄχρι τῆς κοιλίας κατέπιε, προδεικνύντος αὐτοῖς τοῦ θεοῦ προφανῶς, ὅτι τῶν κάτω καὶ πρὸς θαλάσσῃ στερηθέντες τὴν ἄνω πόλιν διαφυλάξουσιν. (3) Ἡ μὲν οὖν φρουρὰ διὰ d Μένυλλον οὐδὲν ἠνίασε τοὺς ἀνθρώπους· τῶν δὲ ἀποψηφισθέντων τοῦ πολιτεύματος διὰ πενίαν ὑπὲρ μυρίους καὶ δισχιλίους γενομένων οἵ τε μένοντες ἐδόκουν σχέτλια καὶ ἄτιμα πάσχειν, οἵ τε διὰ τοῦτο τὴν πόλιν ἐκλιπόντες καὶ μεταστάντες εἰς Θρᾴκην, Ἀντιπάτρου γῆν καὶ πόλιν αὐτοῖς παρασχόντος, ἐκπεπολιορκημένοις ἐῴκεσαν.

XXIX. Ὁ δὲ Δημοσθένους ἐν Καλαυρίᾳ καὶ Ὑπερείδου πρὸς Κλεωναῖς θάνατος, περὶ ὧν ἐν ἄλλοις γέγραπται, μόνον οὐκ ἔρωτα καὶ πόθον Ἀθηναίοις Ἀλεξάνδρου καὶ Φιλίππου παρίστη. Καὶ τοῦτο, ὅπερ ὕστερον, ἀναιρεθέντος Ἀντιγόνου καὶ τῶν ἀνελόντων e ἐκεῖνον ἀρξαμένων βιάζεσθαι καὶ λυπεῖν τοὺς ἀνθρώπους, ἀνὴρ ἄγροικος ἐν Φρυγίᾳ χωρίον ὀρύττων πυθομένου τινὸς « Τί ποιεῖς; » στενάξας, « Ἀντίγονον, εἶπε, ζητῶ, » τότε πολλοῖς ἐπῄει λέγειν διαμνημονεύουσι τὸν ἐκείνων τῶν βασιλέων θυμόν, ὡς τὸ μέγα καὶ γενναῖον εὐπαραίτητον εἶχον, οὐχ ὥσπερ Ἀντίπατρος ἰδιώτου προσώπῳ καὶ φαυλότητι χλαμυδίου καὶ διαίτης εὐτελείᾳ κατειρωνευόμενος τὴν ἐξουσίαν ἐπαχθέστερος ἦν τοῖς πάσχουσι κακῶς δεσπότης καὶ τύραννος. (2) Ὅμως δ' οὖν ὁ Φωκίων καὶ φυγῆς ἀπήλλαξε πολλούς, δεηθεὶς τοῦ Ἀντιπάτρου καὶ φεύγουσι διεπράξατο, μὴ f καθάπερ οἱ λοιποὶ τῶν μεθισταμένων ὑπὲρ τὰ Κεραύνια ὄρη καὶ τὸν Ταίναρον ἐκπεσεῖν τῆς Ἑλλάδος, ἀλλὰ ἐν Πελοποννήσῳ κατοικεῖν, ὧν καὶ Ἁγνωνίδης ἦν ὁ συκοφάντης. (3) Ἐπιμελόμενος δὲ τῶν κατὰ τὴν πόλιν
755 πρᾴως καὶ νομίμως, τοὺς μὲν ἀστείους καὶ χαρίεντας a ἐν ταῖς ἀρχαῖς ἀεὶ συνεῖχε, τοὺς δὲ πολυπράγμονας καὶ νεωτεριστὰς αὐτῷ τῷ μὴ ἄρχειν μηδὲ θορυβεῖν ἀπομαραινομένους ἐδίδαξε φιλοχωρεῖν καὶ ἀγαπᾶν γεωργοῦντας. Ὁρῶν δὲ τὸν Ξενοκράτην τελοῦντα τὸ μετοίκιον ἐβούλετο γράψαι πολίτην· ὁ δὲ ἀπεῖπε φήσας οὐκ ἂν μετασχεῖν ταύτης τῆς πολιτείας, περὶ ἧς ἐπρέσβευεν, ἵνα μὴ γένηται.

XXX. Τοῦ δὲ Μενύλλου δωρεὰν αὐτῷ καὶ χρήματα διδόντος, ἀπεκρίνατο μήτ' ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι μήτε κρείττονα τὴν αἰτίαν ἐφ' ᾗ λήψεται νῦν ὁ τότε μὴ δεξάμενος. Ἀλλὰ Φώκῳ γε τῷ παιδὶ λαβεῖν δεομένου τοῦ Μενύλλου, « Φώκῳ δέ, εἶπεν, ἐὰν b μὲν σωφρονῇ μεταβαλόμενος, ἀρκέσει τὰ τοῦ πατρός· ὡς δ' ἔχει νῦν, οὐδὲν ἱκανόν ἐστιν. » Ἀντιπάτρῳ δὲ τραχύτερον ἀπεκρίνατο βουλομένῳ τι γενέσθαι δι' αὐτοῦ τῶν μὴ πρεπόντων· « Οὐ δύναται γάρ, εἶπεν, Ἀντίπατρος ἅμα μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι. » (2) Τὸν δὲ Ἀντίπατρον αὐτὸν εἰπεῖν λέγουσιν, ὡς δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, Φωκίωνος καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικε, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκε.

res hominum una inficiebantur, purpuræ colorem accipientibus. Mystam quoque, quum is in Cantharo portu porcellum ablueret, cetus arripuit et ad ventrem usque inferiores partes devoravit, deo ipsis haud obscure præmonstrante, privatos maritima et inferiori parte, superiorem urbem retenturos. (3) Menylli quidem modestia effecit ut præsidium nullam civibus inferret injuriam. Super duodecim millia hominum paupertatis causa exclusi republica sunt, quorum qui in urbe remanserunt, gravi ac miseranda affecti videbantur ignominia; qui Athenis ideo cesserunt, seque in Thraciam contulerunt, Antipatro urbem et agrum concedente, similes erant eorum qui urbe ipsorum bello capta atque eversa alio migrassent.

XXIX. Demosthenis autem in Calauria et Hyperidis apud Cleonas cædes, de quibus alio loco diximus, effecerunt ut Alexandrum ac Philippum tantum non desiderarent Athenienses. Et quod postea temporis Antigono cæso, quum ejus interfectores vim facere hominibus cœpissent, rusticus quidam in Phrygia agrum fodiens, quum interrogaretur quid ageret, ingemiscens quærere se Antigonum respondit, id tum multis subiit dicere, recordantibus istorum regum iram generosam ac placabilem fuisse; quum Antipater privati hominis persona et victus vestitusque tenuitate potestatem dissimulans, multo esset molestior adversa fortuna pressis dominus atque tyrannus. (2) Phocion tamen apud eum precibus agens, multos ab exsilio liberavit, impetravitque ne, quemadmodum reliqui, qui erant ultra Ceraunios montes et Tænarum pulsi, extorres Græciæ essent, sed in Peloponneso habitarent, inter quos etiam Hagnonides fuit sycophanta. (3) Mansuete porro et juste civitatis res procurans, bonos liberalesque viros semper ad magistratus evexit; inquietos et rerum novarum studiosos eo ipso, quod omnibus honoribus exempti essent, neque amplius turbas facere possent, marcescentes, docuit lubenter domi manere atque agros colere. Xenocratem tributum inquilinorum pendere videns, statuit civitate donare; sed is abnuit, negans se civem futurum in ea republica quæ ne constitueretur, ipse legatus esset deprecatus.

XXX. Phocion Menyllo dona et pecuniam offerenti respondit: Neque tu Alexandro melior es, neque ego accipiendi nunc causam habeo meliorem, quam tum recusandi. Oranti ut Phoco filio suo tamen ea accepta servaret: Meus, inquit, Phocus, si mutata vita temperantiæ studebit, paternis bonis erit contentus; sin pergit ut cœpit, nihil ei satis erit. Antipatro operam suam in re parum honesta requirenti, asperius respondit: Non poterit Antipater me simul et amico uti et adulatore. (2) Ipsum vero Antipatrum dixisse perhibent, se de duobus amicis, quos Athenis haberet, Phocione et Demade, alteri ut acciperet persuadere, alterum dando saturare nequivisse. Et vero paupertatem

Καὶ μέντοι Φωκίων μὲν ὡς ἀρετὴν ἐπεδείκνυτο τὴν πενίαν, ἐν ᾗ τοσαυτάκις Ἀθηναίων στρατηγήσας καὶ βασιλεῦσι φίλοις χρησάμενος ἐγκατεγήρασε, Δημάδης δὲ τῷ πλούτῳ καὶ παρανομῶν ἐκαλλωπίζετο. Νόμου c γὰρ ὄντος Ἀθήνησι τότε, μὴ χορεύειν ξένον ἢ χιλίας ἀποτίνειν τὸν χορηγόν, ἅπαντας εἰσαγαγὼν ξένους τοὺς χορεύοντας ἑκατὸν ὄντας ἅμα καὶ τὴν ζημίαν ἀνὰ χιλίας ὑπὲρ ἑκάστου εἰσήνεγκεν εἰς τὸ θέατρον. (3) Δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος, «Ἐμοῦ μέν, εἶπεν, ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος οὐδὲ ὁ γείτων ᾔσθετο, τοῖς δὲ σοῖς γάμοις καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν.» (4) Ἐνοχλούντων δὲ τῷ Φωκίωνι τῶν Ἀθηναίων, ὅπως ἀπαλλάξῃ τὴν φρουρὰν πείσας τὸν Ἀντίπατρον, εἴτε μὴ προσδοκῶν πείσειν εἴτε μᾶλλον ὁρῶν d σωφρονοῦντα τὸν δῆμον καὶ πολιτευόμενον εὐτάκτως διὰ τὸν φόβον, ἐκείνην μὲν ἀεὶ διωθεῖτο τὴν πρεσβείαν, τὰ δὲ χρήματα μὴ πράττειν, ἀλλὰ μέλλειν καὶ ἀναβάλλεσθαι τὸν Ἀντίπατρον ἔπεισε. Μεταβάντες οὖν Δημάδην παρεκάλουν. Ὁ δὲ προθύμως ὑπέστη καὶ τὸν υἱὸν ἔχων ἀπῆρεν εἰς Μακεδονίαν ὑπὸ δαίμονός τινος, ὡς ἔοικεν, εἰς τοῦτο καιροῦ κομισθείς, ἐν ᾧ κατείχετο μὲν Ἀντίπατρος ἤδη νόσῳ, Κάσανδρος δὲ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς εὗρεν ἐπιστολὴν Δημάδου γεγραμμένην πρὸς Ἀντίγονον εἰς Ἀσίαν παρακαλοῦντος αὐτὸν ἐπιφανῆναι τοῖς περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν e ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονος, τὸν Ἀντίπατρον οὕτω σκώψαντος. (5) Ὡς οὖν εἶδεν αὐτὸν ἀφιγμένον ὁ Κάσανδρος, συνέλαβε καὶ πρῶτα μὲν τὸν υἱὸν ἐγγὺς προσαγαγὼν ἔσφαξεν, ὥστε καταδέξασθαι τοῖς κόλποις τὸ αἷμα τὸν πατέρα καὶ καταπλησθῆναι τοῦ φόνου, μετὰ ταῦτα δὲ εἰς ἀχαριστίαν αὐτὸν καὶ προδοσίαν πολλὰ λοιδορήσας καὶ καθυβρίσας ἀπέκτεινεν.

XXXI. Ἐπεὶ δὲ Ἀντίπατρος ἀποδείξας Πολυσπέρχοντα στρατηγόν, Κάσανδρον δὲ χιλίαρχον ἐξέλιπεν, f εὐθὺς διαναστὰς ὁ Κάσανδρος καὶ προκαταλαμβάνων τὰ πράγματα πέμπει κατὰ τάχος Νικάνορα τῷ Μενύλλῳ διάδοχον τῆς φρουραρχίας, πρὶν ἔκδηλον τὸν Ἀντιπάτρου θάνατον γενέσθαι κελεύσας τὴν Μουνυχίαν παραλαβεῖν. (2) Γενομένου δὲ τούτου καὶ μεθ' ἡμέρας ὀλίγας πυθομένων τῶν Ἀθηναίων, ὅτι τέθνηκεν ὁ Ἀντίπατρος, ἐν αἰτίαις ὁ Φωκίων ἦν καὶ κακῶς ἤκουεν ὡς 756 a προαισθόμενος καὶ κατασιωπήσας χάριτι τοῦ Νικάνορος. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐντυγχάνων δὲ τῷ Νικάνορι καὶ διαλεγόμενος εἴς τε τἆλλα τοῖς Ἀθηναίοις πρᾶον αὐτὸν καὶ κεχαρισμένον παρεῖχε καὶ φιλοτιμίας τινὰς ἔπεισε καὶ δαπάνας ὑποστῆναι γενόμενον ἀγωνοθέτην.

XXXII. Ἐν τούτῳ δὲ καὶ Πολυσπέρχων τὴν τοῦ βασιλέως ἐπιμέλειαν ἔχων ὑφ' ἑαυτῷ καὶ καταπολιτευόμενος τὸν Κάσανδρον ἔπεμψεν ἐπιστολὴν τοῖς ἐν ἄστει γεγραμμένην, ὡς τοῦ βασιλέως ἀποδιδόντος αὐτοῖς τὴν δημοκρατίαν καὶ πολιτεύεσθαι κατὰ τὰ πάτρια πάντας Ἀθηναίους κελεύοντος. (2) Ἦν δὲ τοῦτο κατὰ τοῦ Φωκίωνος ἐπιβουλή. Συσκευαζόμενος γὰρ εἰς ἑαυτόν, b

veluti virtutem quandam ostentavit Phocion, in qua toties dux Atheniensium et regum amicus factus consenuit, Demades autem etiam contra leges agendo divitiis se jactabat. Quum enim lege tum esset cautum Athenis, ne quis peregrinus saltaret, aut si id accidisset, magister ludorum solveret mulctam decem minarum; Demades totum chorum ex peregrinis, numero centum, constituit, simulque in theatrum denas in singulos minas pro mulcta intulit. (3) Demeæ filio nuptias faciens, Me quidem, inquit, o fili, matrem tuàm ducente, ne vicinus quidem sensit, tuis nuptiis reges et principes suppeditant. (4) Porro autem Phocion, instantibus Atheniensibus ut de deducendo præsidio apud Antipatrum ageret, sive impetrare id diffidens, sive metu contentum populum honestius vivere et civitatem rectius temperari sentiens, eam legationem perpetuo detrectavit, persuasit tamen Antipatro, uti exactionem pecuniarum differret. (5) Populus ad Demadem se contulit, idemque ab eo postulavit. Is in se eo recepto libenter munere, una cum filio in Macedoniam abiit, et divina quadam, ut arbitror, fortuna incidit ejus profectio in id tempus, quo Antipatro jam adversa valetudine occupato, Casander summam rerum obtinens, epistolam Demadis reperit ad Antigonum in Asiam scriptam; qua eum adhortabatur, ut res Græciæ et Macedoniæ a vetere et putrido pendentes filo (sic Antipatrum notabat) invaderet. Itaque Casander, ut eum conspexit, capi, ac primo ejus filium prope adduci et trucidari jussit, ita ut cruorem sinu pater exceperit, eoque fuerit oppletus, deinde ipsum quoque, graviter prius et contumeliose ingratitudine proditioneque exprobrata, necavit.

XXXI. Ceterum Antipater Polysperchontem ducem, Casandrum tribunum militum renuntians, vita excessit; Casander statim exsurgens, et rebus præreptis, cito Nicanorem Menyllo præsidii Athenarum successorem misit, mandans ut, priusquam famam mortis Antipatri vulgaretur, Munychiam occuparet. (2) Quod ubi factum est et paucis post diebus de obitu Antipatri relatum est, Athenienses Phocioni obtrectavere, putantes eum rem sibi cognitam in gratiam Nicanoris silentio texisse. Sed Phocion, his calumniis spretis, Nicanorem adit, eumque quum aliis in rebus facilem et benignum Atheniensibus redegit, tum ut certaminum præses liberalitate suo populo gratificaretur effecit.

XXXII. Interim Polysperchon, cui procuratio regis erat commissa, ut Casandrum loco moveret, literas Athenas mittit, quibus affirmabat regem Atheniensibus populare in republica imperium reddere, patrioque more eam administrari, ab omnibusque teneri jussisse. (2) Erant hæ adversus Phocionem insidiæ: nam sibi ipsi urbem (id quod paullo

ὡς μικρὸν ὕστερον ἔδειξε τοῖς ἔργοις, ὁ Πολυσπέρχων τὴν πόλιν, οὐδὲν ἤλπιζε περαίνειν μὴ τοῦ Φωκίωνος ἐκπεσόντος· ἐκπεσεῖσθαι δὲ ἐκεῖνον ἅμα τῶν ἀπεψηφισμένων ἐπιχυθέντων τῇ πολιτείᾳ καὶ πάλιν τὸ βῆμα δημαγωγῶν κατασχόντων καὶ συκοφαντῶν. (3) Ὑποκινουμένων δὲ πρὸς ταῦτα τῶν Ἀθηναίων βουλόμενος ἐντυχεῖν αὐτοῖς ὁ Νικάνωρ, ἐν Πειραιεῖ βουλῆς γενομένης, παρῆλθε τῷ Φωκίωνι ἐμπιστεύσας τὸ σῶμα. Δερκύλλου δὲ τοῦ ἐπὶ τῆς χώρας στρατηγοῦ συλλαβεῖν αὐτὸν ἐπιχειρήσαντος, ἐκεῖνος μὲν προαισθόμενος ἐξεπήδησε καὶ φανερὸς ἦν εὐθὺς ἀμυνούμενος τὴν πόλιν, ὁ δὲ Φωκίων ἐπὶ τῷ προέσθαι τὸν ἄνδρα καὶ μὴ κατα- c σχεῖν ἐγκαλούμενος ἔφη πιστεύειν μὲν τῷ Νικάνορι καὶ μηδὲν ἀπ' αὐτοῦ προσδοκᾶν δεινόν, εἰ δὲ μή, μᾶλλον ἐθέλειν ἀδικούμενος ἢ ἀδικῶν φανερὸς γενέσθαι. (4) Τοῦτο δὲ ὑπὲρ αὐτοῦ μὲν ἄν τινι σκοποῦντι δοκοίη καλοκαγαθικῶς λελέχθαι καὶ γενναίως· ὁ δὲ εἰς πατρίδος ἀποκινδυνεύων σωτηρίαν καὶ ταῦτα στρατηγὸς καὶ ἄρχων, οὐκ οἶδα, μὴ μεῖζόν τι παραβαίνει καὶ πρεσβύτερον τὸ πρὸς τοὺς πολίτας δίκαιον. (5) Οὐδὲ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι φοβούμενος μὲν εἰς πόλεμον ἐμβαλεῖν τὴν πόλιν ὁ Φωκίων ἀπέσχετο τοῦ Νικάνορος, ἄλλως δὲ προὐβάλετο τὴν πίστιν καὶ τὸ δίκαιον, ὅπως αἰδού- d μενος ἐκεῖνος ἡσυχίαν ἄγῃ καὶ μηδὲν ἀδικῇ τοὺς Ἀθηναίους, ἀλλ' ὄντως ἔοικεν ἰσχυρά τις αὐτῷ περὶ τοῦ Νικάνορος ἐγγενέσθαι πίστις, ὅν γε πολλῶν προδιαβαλλόντων καὶ κατηγορούντων ἐπιτίθεσθαι τῷ Πειραιεῖ καὶ διαβιβάζειν εἰς Σαλαμῖνα ξένους καὶ διαφθείρειν τινὰς τῶν ἐν Πειραιεῖ κατοικούντων οὐ προσήκατο τὸν λόγον οὐδ' ἐπίστευσεν, ἀλλὰ καὶ Φιλομήλου τοῦ Λαμπτρέως ψήφισμα γράψαντος, Ἀθηναίους ἅπαντας ἐν τοῖς ὅπλοις εἶναι καὶ τῷ στρατηγῷ Φωκίωνι προσέχειν, ἠμέλησεν, ἄχρι οὗ προσάγων ὁ Νικάνωρ ἐκ τῆς Μουνυ- e χίας τὰ ὅπλα τὸν Πειραιᾶ περιετάφρευσε.

XXXIII. Πραττομένων δὲ τούτων ὁ μὲν Φωκίων ἐθορυβεῖτο καὶ κατεφρονεῖτο τοὺς Ἀθηναίους ἐξάγειν βουλόμενος, Ἀλέξανδρος δὲ ὁ Πολυσπέρχοντος υἱὸς ἧκε μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ τὸν Νικάνορα τοῖς ἐν ἄστει βοηθήσων, ἔργῳ δὲ τὴν πόλιν, εἰ δύναιτο, καταληψόμενος αὐτὴν ἑαυτῇ περιπετῆ γενομένην. Οἵ τε γὰρ φυγάδες αὐτῷ συνεισβαλόντες εὐθὺς ἦσαν ἐν ἄστει καὶ τῶν ξένων ἅμα καὶ τῶν ἀτίμων πρὸς αὐτοὺς εἰσδραμόντων ἐκκλησία παμμιγὴς ἠθροίσθη καὶ ἄτακτος, ἐν ᾗ τὸν Φωκίωνα τῆς ἀρχῆς ἀπολύσαντες ἑτέρους εἵλοντο στρατηγούς. Εἰ δὲ μὴ συνιὼν εἰς λόγους ὁ Ἀλέξανδρος f τῷ Νικάνορι μόνος παρὰ τὸ τεῖχος ὤφθη καὶ τοῦτο ποιοῦντες πολλάκις ὑποψίαν τοῖς Ἀθηναίοις παρέσχον, οὐκ ἂν ἡ πόλις διέφυγε τὸν κίνδυνον. (2) Ἐπεὶ δὲ Ἁγνωνίδης ὁ ῥήτωρ εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φω-
757 κίωνα καὶ κατηγόρει προδοσίας, οἱ μὲν περὶ Καλλιμέ- a δοντα καὶ Χαρικλέα φοβηθέντες ἀπῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ Φωκίων καὶ μετ' αὐτοῦ τῶν φίλων οἱ παραμείναντες ᾤχοντο πρὸς Πολυσπέρχοντα· καὶ συνεξῆλθον αὐτοῖς χάριτι τοῦ Φωκίωνος ὁ Πλαταιεὺς Σόλων καὶ

post re patuit) dolo adjungere cupiens, intelligebat nihil se nisi ejecto Phocione effecturum, ejectum autem iri exsulibus in rerum publicarum administrationem reductis, rursumque tribunali a popularis auræ captatoribus et calumniatoribus occupato. (3) Quum Polysperchontis literis populus esset concitatus, Nicanor colloquium petens, concilio in Piræeo coacto accessit, corpus suum Phocioni credens. Dercyllo autem, qui tum Atticæ prætor erat, comprehendere ipsum conante, præsentiens id proripuit sese, neque obscure tulit, se pœnas de urbe exacturum. Phocion autem, quod dimisisset eum, neque detinuisset incusatus, respondit: fidere se Nicanori, neque ab eo quicquam mali exspectare, sin falleret is, malle se acceptorem, quam auctorem injuriæ deprehendi. (4) Honeste hoc et præclare dictum videri poterat, si de ipso cogitare Phocion tum debuisset, sed profecto quod eo facto salutem patriæ in discrimen adduxit, idque dux et princeps, haud scio anne sanctius et antiquius jus, quo civitati obstringebatur, violaverit. (5) Neque enim dici potest Phocionem eo abstinuisse Nicanore, ne urbem in bellum conjiceret, ac deinde fidem datam atque jus prætexuisse, ut ejus reverentia Nicanor quiesceret, neque vim Atheniensibus intentaret. Sed plurimum omnino fidei habuisse Nicanori videtur, quum multis eum apud se deferentibus criminantibusque, atque Piræeo occupando intentum peregrinos milites in Salaminam transmittere, et quosdam Piræei habitatores corrupisse dicentibus, non admiserit crimina neque fidem eis habuerit; quin etiam quum Philomelus Lamptrensis legem tulisset, ut omnes Athenienses in armis essent, Phocionisque ducis mandata exsequerentur, eousque neglexit, dum a Munychia cum armatis profectus Nicanor Piræeum cœpit circumvallare.

XXXIII. Hæc ita quum agerentur, Phocion perturbatus est, quumque educturus esset Athenienses, ab iis contemptus. Adfuit et Alexander Polysperchontis filius cum exercitu, verbo quidem ut civibus contra Nicanorem opem ferret, re ipsa, ut urbem intestinis turbis ad perniciem ruentem, si qua posset, occuparet; quippe et exsules una cum eo profecti, statim in urbem pervenerant et concursus eodem peregrinorum ignominiaque affectorum erat. Concione promiscua turbulentaque congregata, Phocioni imperium abrogatum, aliique duces creati sunt. Quod nisi Alexander cum Nicanore solus colloqui apud murum sæpius esset conspectus, idque suspicionem rei movisset, actum profecto tum de Athenis fuisset. (2) Statim Hagnonides rhetor Phocionem ejusque amicos adortus proditionis accusavit. Itaque Callimedon et Charicles metuentes sibi urbe cesserunt, Phocion et amicorum qui manserant reliqui ad Polysperchontem profecti sunt; unaque cum his studio Phocionis

Δείναρχος ὁ Κορίνθιος, ἐπιτήδειοι τοῦ Πολυσπέρχοντος εἶναι δοκοῦντες καὶ συνήθεις. Ἀῤῥωστίᾳ δὲ χρησαμένου τοῦ Δεινάρχου συχνὰς ἡμέρας ἐν Ἐλατείᾳ διέτριψαν, ἐν αἷς Ἁγνωνίδου πείσαντος, Ἀρχεστράτου δὲ τὸ ψήφισμα γράψαντος, ἔπεμπε πρεσβείαν ὁ δῆμος κατηγορήσουσαν τοῦ Φωκίωνος. (3) Ἅμα δὲ καὶ συνέμιξαν ἀμφότεροι τῷ Πολυσπέρχοντι μετὰ τοῦ βασι- b λέως πορευομένῳ περὶ κώμην τινὰ τῆς Φωκίδος, Φαρύγας, κειμένην ὑπὸ τὸ Ἀκρούριον ὄρος, ὃ νῦν Γαλάτην καλοῦσιν. Ἐνταῦθα δὴ θεὶς ὁ Πολυσπέρχων τὸν χρυσοῦν οὐρανίσκον καὶ καθίσας ὑπ' αὐτῷ τὸν βασιλέα καὶ τοὺς φίλους τὸν μὲν Δείναρχον εὐθὺς ἐκ προόδου λαβεῖν ἐκέλευσε καὶ στρεβλώσαντας ἀποκτεῖναι, τοῖς δὲ Ἀθηναίοις ἀπέδωκε λόγον. (4) Ὡς δὲ θόρυβον καὶ κραυγὴν ἐποίουν ἀντικατηγοροῦντες ἀλλήλων ἐν τῷ συνεδρίῳ καὶ προσελθὼν ὁ Ἁγνωνίδης εἶπεν, « Ἅπαντας ἡμᾶς εἰς μίαν ἐμβαλόντες γαλεάγραν Ἀθηναίοις ἀναπέμψατε λόγον ὑφέξοντας, » ὁ μὲν βασιλεὺς ἐγέλασεν, c οἱ δὲ περιεστῶτες τῷ συνεδρίῳ Μακεδόνες καὶ ξένοι σχολὴν ἄγοντες ἐπεθύμουν ἀκούειν καὶ τοὺς πρέσβεις παρεκάλουν ἀπὸ νεύματος ἐνταῦθα ποιεῖσθαι τὴν κατηγορίαν. (5) Ἦν δὲ οὐδὲν ἴσον, ἀλλὰ τῷ μὲν Φωκίωνι πολλάκις ἀντέκρουσεν ὁ Πολυσπέρχων λέγοντι, μέχρι οὗ τῇ βακτηρίᾳ πατάξας τὴν γῆν ἀπέστη καὶ κατεσιώπησεν· Ἡγήμονος δὲ φήσαντος, ὅτι μάρτυς αὐτῷ τῆς πρὸς τὸν δῆμον εὐνοίας Πολυσπέρχων ἐστὶ, καὶ τοῦ Πολυσπέρχοντος ἀποκριναμένου πρὸς ὀργὴν, « Παῦσαί μου πρὸς τὸν βασιλέα καταψευδόμενος, » ἀναπηδήσας ὁ βασιλεὺς ὥρμησε λόγχῃ τὸν Ἡγήμονα d πατάξαι· ταχὺ δὲ τοῦ Πολυσπέρχοντος περιλαβόντος αὐτὸν, οὕτω διελύθη τὸ συνέδριον.

XXXIV. Τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ φυλακῆς περιεχούσης, ὅσοι τῶν ἑταίρων ἔτυχον οὐκ ἐγγὺς ἑστῶτες, ὡς τοῦτο εἶδον, ἐγκαλυψάμενοι καὶ διαφυγόντες ἐσώθησαν. Ἐκείνους δὲ Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε λόγῳ μὲν κριθησομένους, ἔργῳ δὲ ἀποθανεῖν κατακεκριμένους. (2) Καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρὸν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τοῦ Κεραμεικοῦ πρὸς τὸ θέατρον· ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν, ἄχρι οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες, οὐ δοῦλον, οὐ ξένον, οὐχ ἄτιμον ἀποκρίναντες, e ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες. (3) Ἐπεὶ δὲ ἥ τ' ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας, ἐκείνοις δὲ διδόναι τὴν κρίσιν ἐλευθέροις τε δὴ καὶ αὐτονόμοις οὖσι, καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν, οἱ μὲν βέλτιστοι τῶν πολιτῶν ὀφθέντος τοῦ Φωκίωνος ἐνεκαλύψαντο καὶ κάτω κύψαντες ἐδάκρυον, εἷς δὲ ἀναστὰς ἐτόλμησεν εἰπεῖν, ὅτι, τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. (4) Οὐκ ἀνασχομένων δὲ f τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φω-

Solon Platæensis et Dinarchus Corinthius, quibus uti familiarissime Polysperchon putabatur. Valetudo Dinarchi in causa fuit, ut per aliquot multos dies Elateæ commorarentur. Interim Hagnonidis suasu lex ab Archestrato lata est, qua mitti legati jubebantur, qui Phocionem accusarent. (3) Utrimque simul est ad Polysperchontem perventum apud Phocidis vicum Pharygas, sub Acrurio monte situm, qui hodie Galata dicitur, cum rege deambulantem. Ibi ergo Polysperchon posito aureo tabernaculo, considentibus subter eo rege et amicis, Dinarchum protinus ut progrediebatur corripi excruciatumque necari jussit, Atheniensibus dicendi potestatem fecit. (4) Quum tumultus exoriretur mutuo se magna vociferatione in concilio accusantium, progressus Hagnonides, Omnes, inquit, nos in unam caveam inclusos Athenas mittite, rationes ibi factorum edituros. Id dictum risum regi movit; qui astabant concilio Macedones et peregrini, otiosi tum, audire eos cupiebant, legatisque uti accusationem proferrent innuebant. (5) Sed inique erat comparatum certamen, quum dicenti Phocioni Polysperchon crebro obturbaret, donec is baculo terram feriens abiit et conticuit. Hegemon autem quum dixisset ipsum Polysperchontem sibi testem benevolentiæ erga populum esse, et Polysperchon iratus respondisset: Desine me apud regem mendaciis onerare; exsiluit ad hoc rex, lanceaque Hegemonem feriisset, nisi eum Polysperchon statim esset complexus. Ita concilium solutum est.

XXXIV. Ut autem Phocionem cum suis custodia cinctum socii procul stantes viderunt, velatis statim capitibus dilapsi, fuga sibi consuluerunt. Phocionem et reliquos captivos Clitus Athenas abduxit, verbo quidem ad cognitionem causæ, re, ut jam tum damnati ibi necarentur. (2) Perquam tristis fuit aspectus, quum vehiculis per Ceramicum ad theatrum perferrentur; ibi enim eos detinuit Clitus, dum concio a prætoribus convocaretur, a qua sane nemo servus, nemo peregrinus, nemo notatus ignominia excludebatur, sed omnibus theatrum et accessus ad tribunal patebat. (3) Recitata regis epistola, qua scribebat se quidem judicasse proditores istos esse, sed libero scilicet populo et sui juris facto judicium committere, introducti sunt a Clito rei. Conspecto tum Phocione, optimus quisque civium caput velavit et oculos in terram dejiciens flevit. Quidam etiam assurgens ausus est dicere: quando liberum et legitimum judicium a rege sit permissum populo, servos atque peregrinos concione amovendos esse. (4) Non ferente id multitudine, sed vociferante, populi osores et paucorum in republica dominationem cupientes saxis feriendos

χίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθείς, Πότερον, εἶπεν, ἀδίκως ἢ δικαίως ἀποκτεῖναι βούλεσθε ἡμᾶς; » Ἀποκριναμένων δέ τινων, ὅτι 758 δικαίως, « Καὶ τοῦτο, ἔφη, πῶς γνώσεσθε μὴ ἀκούσαντες; » a Ἐπεὶ δὲ οὐθὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθών, « Ἐγὼ μέν, εἶπεν, ἀδικεῖν ὁμολογῶ καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους δέ, ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε μηδὲν ἀδικοῦντας; » Ἀποκριναμένων δὲ πολλῶν, « Ὅτι σοὶ φίλοι εἰσίν, » ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν, ὁ δὲ Ἁγνωνίδης ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω, καθ' ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν, τοὺς δὲ ἄνδρας, ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν.

XXXV. Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν καὶ τοὺς ὑπηρέτας b καλεῖν προσέταττον. Ὁ δὲ Ἁγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος, « Ὅταν, ἔφη, Καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄνδρες Ἀθηναῖοι, στρεβλώσομεν· περὶ δὲ Φωκίωνος οὐδὲν ἐγὼ γράφω τοιοῦτον. » Ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν· « Ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν; » (2) Ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι κατεχειροτόνησαν αὐτῶν θάνατον. Ἦσαν δὲ σὺν τῷ Φωκίωνι Νικοκλῆς, Θούδιππος, c Ἡγήμων, Πυθοκλῆς· Δημητρίου δὲ τοῦ Φαληρέως καὶ Καλλιμέδοντος καὶ Χαρικλέους καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

XXXVI. Ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας, οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες ἐβάδιζον, τὸ δὲ Φωκίωνος πρόσωπον οἷον ὅτε στρατηγῶν ἀπ' ἐκκλησίας προὐπέμπετο βλέποντες ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός. Οἱ δὲ ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ καὶ προσέπτυσεν ἐξ ἐναντίας προσελθών. Ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς d ἄρχοντας εἰπεῖν· « Οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον; » (2) Ἐπεὶ δὲ Θούδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος καὶ τὸ κώνειον ὁρῶν τριβόμενον ἠγανάκτει καὶ κατέκλαιε τὴν συμφοράν, ὡς οὐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος, « Εἶτα οὐκ ἀγαπᾷς, εἶπεν, ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις; » Ἐρομένου δέ τινος τῶν φίλων, εἴ τι πρὸς Φῶκον λέγει τὸν υἱόν, « Πάνυ μὲν οὖν, ἔφη, λέγω μὴ μνησικακεῖν Ἀθηναίοις. » Τοῦ δὲ Νικοκλέους, ὃς ἦν αὐτῷ πιστότατος τῶν φίλων, παρακαλοῦντος, ὅπως αὐτὸν ἐάσῃ τὸ φάρμακον πιεῖν πρότερον, « Βαρὺ μέν, εἶπεν, ὦ Νικόκλεις, ἐμοὶ τὸ αἴ- e τημα καὶ λυπηρόν· ἐπεὶ δὲ οὐδὲ ἄλλο οὐδέποτέ σοι παρὰ τὸν βίον οὐδὲν ἠχαρίστησα, καὶ τοῦτο συγχωρῶ. »

esse, nemo præterea pro Phocione dicere quicquam est ausus. Ipsius vox præ tumultu ægre exaudiri potuit, quærentis, Jurene, an injuria occidere me vultis? Respondentibus quibusdam, Jure : Quomodo autem, inquit, hoc scietis non cognita causa ? Quum nihilo magis aures præberent, propius aggressus, Ego, ait, fateor me injuste egisse et morte dignam meam reipublicæ administrationem ; istos vero cur occidetis, qui nihil deliquerunt ? Respondere multi una voce : Quia amici sunt tui. Ita Phocion destitit et quievit. Hagnonides scriptum decretum recitavit, debere populum suffragia ferre, an sontes ii sint ; si damnaverit, morte mulctandos.

XXXV. Recitato decreto addendum quidam dixerunt, Phocionem excruciatum debere necari, jubebantque rotam ad tormenta paratam afferri, et lictores vocari. Hagnonides autem, qui et Clitum moleste id ferre, et rem esse barbaricam atque obscœnam videret : Quum Callimedontem, inquit, verberonem ceperimus, o cives, torquebimus; de Phocione nihil tale ego statuero. Huic ejus voci quidam vir haud malus subdidit : Recte tu quidem ; si enim Phocion tormentis adhibeatur, quid te fieri dignum erit? (2) Approbato edicto, quum sententiæ quærerentur, universi consurrexere, stantesque, et plerique etiam coronati morte reos damnaverunt. Erant cum Phocione Nicocles, Thudippus, Hegemon, Pythocles; Demetrius Phalereus, Callimedon, Charicles, quidamque alii absentes capitis damnati sunt.

XXXVI. Soluta concione, quum damnati ad carcerem ducerentur, et reliqui amicis ac necessariis circumfusis lamentarentur, admirationi fuit magnanimitas et constantia Phocionis, qui vultum haud alium, quam ubi imperator comitatus hominum caterva domum iret, gerebat. Inimici autem juxta currentes, maledicta ingerebant ; quidam etiam adversum se offerens conspuit ipsum; quum quidem fertur Phocion ad magistratus conversus dixisse : Nemone hujus impudicitiam compescet? (2) Thudippo, quum is in carcere teri jam cicutam videns calamitatem suam deploraret, quasi cum Phocione moriendum ei inique esset : Non satis tibi est, ait, quod cum Phocione moreris? Cuidam amico interroganti velletne aliquid filio suo Phoco mandare : Mando, ait, ei serio, ne injuriæ ab Atheniensibus acceptæ memoriam servet. Nicocli, quem fidissimum amicorum habuerat, oranti ut se prius bibere cicutam pateretur : Est omnino, inquit, tua hæc petitio gravis et molesta; sed quando nihil tibi unquam per totam vitam denegavi, concedam sane hoc quoque. Quum bibissent omnes, ac venenum deesset, et carnifex nisi acceptis duo-

(3) Πεπωκότων δὲ ἤδη πάντων τὸ φάρμακον ἐπέλιπε καὶ ὁ δημόσιος οὐκ ἔφη τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμὰς, ὅσου τὴν ὁλκὴν ὠνεῖται. Χρόνου δὲ γενομένου καὶ διατριβῆς ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπὼν, εἰ μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεάν ἐστιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον.

XXXVII. Ἦν δὲ ἡμέρα μηνὸς Μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα καὶ τῷ Διὶ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξῄεσαν· ὧν οἱ μὲν ἀφείλοντο τοὺς στεφάνους, οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. f Ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπ' ὀργῆς καὶ φθόνου τὴν ψυχὴν ἀνοσιώτατον γεγονέναι τὸ μηδ' ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην μηδὲ καθαρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορταζούσαν. (2) Οὐ μὴν ἀλλ' ὥσπερ ἐνδεέστερον ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τοῦ Φωκίωνος
759 ἐξορίσαι καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταφὴν a Ἀθηναίων. Διὸ φίλος μὲν οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος, Κωνωπίων δέ τις ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα μισθοῦ κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς ἔκαυσε. Ἡ δὲ Μεγαρικὴ γυνὴ παροῦσα μετὰ τῶν θεραπαινίδων ἔχωσε μὲν αὐτόθι χῶμα κενὸν καὶ κατέσπεισεν, ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀστᾶ καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν κατώρυξε παρὰ τὴν ἑστίαν εἰποῦσα, « Σοί, ὦ φίλη ἑστία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα· σὺ δὲ αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσι. »

XXXVIII. Καὶ μέντοι χρόνου βραχέος διαγενομένου καὶ τῶν πραγμάτων διδασκόντων, οἷον ἐπιστάτην b καὶ φύλακα σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέστησαν, ἔθαψαν δὲ δημοσίοις τέλεσι τὰ ὀστᾶ. Τῶν δὲ κατηγόρων Ἁγνωνίδην μὲν αὐτοὶ θάνατον καταχειροτονήσαντες ἀπέκτειναν, Ἐπίκουρον δὲ καὶ Δημόφιλον ἀποδράντας ἐκ τῆς πόλεως ἀνευρὼν ὁ τοῦ Φωκίωνος υἱὸς ἐτιμωρήσατο. (2) Τοῦτον οὔτε τἆλλα σπουδαῖον ἄνδρα γενέσθαι φασὶ καὶ παιδίσκης ἐρῶντα παρὰ πορνοβοσκῷ τρεφομένης κατὰ τύχην Θεοδώρῳ τῷ ἀθέῳ παραγενέσθαι λόγον ἐν Λυκείῳ διαλεγομένῳ τοιοῦτον· « Εἰ τὸ φίλον λύσασθαι μὴ αἰσχρόν ἐστιν, c οὐδὲ τὸ φίλην ὁμοίως· εἰ δὲ μὴ τὸ ἑταῖρον, οὐδὲ τὸ ἑταίραν· » θέμενον οὖν ἑαυτῷ πρὸς τὴν ἐπιθυμίαν τὸν λόγον ὡς εὖ ἔχοντα λύσασθαι τὴν ἑταίραν. Ἀλλὰ τὰ μὲν περὶ Φωκίωνα πραχθέντα τῶν περὶ Σωκράτην πάλιν ἀνέμνησε τοὺς Ἕλληνας, ὡς ὁμοιοτάτης ἐκείνης τῆς ἁμαρτίας ταύτης καὶ δυστυχίας τῇ πόλει γενομένης.

decim drachmis (tanti enim denarii pondus cicutæ venibat) aliud temperaturum se negaret, moramque id injiceret, quendam suorum amicorum vocavit, dicensque · Ne mori quidem Athenis nisi dato pretio licet? pecuniam numerare jussit.

XXXVII. Erat tum Munychionis mensis dies undevicesimus, Jovique pro more pompam ducentes equites partim coronas posuerunt, partim ad fores carceris lacrimantes respexerunt, omnibus autem, nisi iis quorum animi odio et ira prorsus erant perditi atque efferati, facile patuit, scelus grave esse commissum, quum ne festo quidem die abstinere a publica cæde potuerit populus. (2) Et vero inimici ejus hac victoria non satiati, decretum fecerunt, ut cadaver Phocionis extra Atticam deportaretur, neque ullus Atheniensium ejus sepeliendi causa ignem accenderet. Quare nemo amicorum ausus erat corpus ejus attingere. Conopion quidam tali ministerio pretio conductus operam locare assuetus ultra Eleusinem deportavit et igne ex æde mulieris Megaricæ sumpto cremavit. Et Megarica mulier cum ancillis adfuit, cenotaphium aggessit, et parentavit, ossa in sinum suum reposuit, noctuque domum portavit, et apud focum defodit, inquiens : Apud vos, dii penetrales, has viri boni reliquias depono; vos eas patrio busto reddetis, ubi Athenienses resipuerint.

XXXVIII. Paullo quidem post quum re ipsa appareret, qualem præceptorem custodemque temperantiæ et justitiæ amisisset populus, statuam Phocioni æream Athenienses posuerunt, reliquias publico sumptu sepeliverunt, et Hagnonidem damnatum capitis supplicio affecerunt; de ceteris accusatoribus Epicurum et Demophilum ex urbe fuga elapsos filius Phocionis consecutus interfecit. (2) Hunc quidem vitiosum plane hominem fuisse ferunt, et cum amore puellæ cujusdam apud lenonem degentis teneretur, ac fortuna Theodorum, qui Atheus dictus est, in Lyceo ita audisset disserere : Si non est turpe solvere amicum, ne amicam quidem solvere turpe erit; si socium, ergo et sociam liberare licet, hunc Phocus fertur sermonem suæ cupiditati accommodasse, tanquam probum, et puellam istam redemisse. Enimvero Phocionis cædes Socratis necem Græcis in memoriam revocavit; simillimus enim hic illius et error fuit et Athenarum detrimentum.

ΚΑΤΩΝ.

Κάτωνι δὲ τὸ μὲν γένος ἀρχὴν ἐπιφανείας ἔλαβε d καὶ δόξης ἀπὸ τοῦ προπάππου Κάτωνος, ἀνδρὸς ἐν δόξῃ καὶ δυνάμει μάλιστα Ῥωμαίων γενομένου δι' ἀρετὴν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· κατελείφθη δὲ γονέων ὀρφανὸς μετ' ἀδελφοῦ Καπίωνος καὶ Πορκίας ἀδελφῆς. Ἦν δὲ καὶ Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. Καὶ πάντες οὗτοι παρὰ Λιβίῳ Δρούσῳ τρο- e φὴν καὶ δίαιταν εἶχον, θείῳ μὲν ὄντι μητρὸς, ἄγοντι δὲ τὴν πολιτείαν τότε· καὶ γὰρ εἰπεῖν δεινότατος ἦν καὶ τἄλλα σώφρων ἀνὴρ ἐν τοῖς μάλιστα καὶ φρονήματος οὐδενὶ Ῥωμαίων ὑφιέμενος. (2) Λέγεται δὲ Κάτων εὐθὺς ἐκ παιδίου τῇ τε φωνῇ καὶ τῷ προσώπῳ καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς ἦθος ὑποφαίνειν ἄτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν. Ἰσχύν τε γὰρ εἶχον αὐτοῦ παρ' ἡλικίαν τελεσιουργὸν αἱ ὁρμαὶ καὶ τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. Ἦν δὲ καὶ πρὸς γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος σπανίως τῷ προσώπῳ διαχεόμενος καὶ πρὸς ὀργὴν οὐ ταχὺς οὐδὲ f ὀλισθηρὸς, ὀργισθεὶς δὲ δυσπαραίτητος. (3) Ὡς οὖν εἰς τὸ μανθάνειν ἧκε, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδὺς, ἀναλαβὼν δὲ κάτοχος καὶ μνημονικός. Ὃ δὴ καὶ πέφυκεν ἄλλως, τοὺς μὲν εὐφυεῖς ἀναμνηστικοὺς μᾶλλον εἶ- 760 ναι, μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας a παραδεχομένους· γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς τῶν μαθημάτων ἕκαστον. (4) Ἔοικε δὲ καὶ τὸ δύσπειστον τῷ Κάτωνι ποιεῖν ἐργωδεστέραν τὴν μάθησιν· πάσχειν γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἐστι καὶ τὸ πείθεσθαι ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκε. Διὸ πείθονται μᾶλλον νέοι γερόντων καὶ νοσοῦντες ὑγιαινόντων, καὶ ὅλως ἐν οἷς τὸ ἀποροῦν ἀσθενέστατόν ἐστι ῥᾷστον τὸ προστιθέμενον. Τῷ μέντοι παιδαγωγῷ τὸν Κάτωνα πείθεσθαι μὲν λέγουσι καὶ ποιεῖν ἅπαν τὸ προσταττόμενον, ἑκάστου δὲ τὴν αἰτίαν ἀπαιτεῖν καὶ τὸ διὰ τί πυνθάνεσθαι. Καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτοῦ καὶ λόγον ἔχων τοῦ κονδύ- b λου προχειρότερον, ὄνομα Σαρπηδών.

II. Ἔτι δὲ παιδὸς τοῦ Κάτωνος ὄντος, ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων, ὅπως μεθέξουσι τῆς ἐν Ῥώμῃ πολιτείας· καί τις Πομπαίδιος Σίλων, ἀνὴρ πολεμικὸς καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσε παρ' αὐτῷ πλείονας ἡμέρας, ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης, « Ἄγε, εἶπεν, ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου συναγωνίσασθαι περὶ τῆς πολιτείας. » Ὁ μὲν οὖν Καπίων διαμειδιάσας ἐπένευσε, τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου καὶ βλέποντος εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος, « Σὺ δὲ, εἶπεν, ἡμῖν, ὦ νεανία, τί λέγεις; Οὐχ c οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός; » Μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγε-

CATO MINOR.

Catonis genus incrementa debuit Catoni Majori, hujus proavo, propter virtutem ad summam inter Romanos, gloriam potentiamque evecto, uti in ejus Vita demonstravimus. Hic autem parentibus orbus una cum fratre Cæpione, sorore germana Porcia, et sorore uterina Servilia apud Livium Drusum avunculum maternum, qui vir summa præditus facundia, morumque cum primis probitate, et si quis alius Romanorum animi magnitudine, tum in republica, principatum obtinebat, educatus est. (2) Fertur autem Cato statim a puero voce, vultu, adeoque inter ludendum etiam ingenium rigidum atque immobile, constansque in omni re præ se tulisse. Nam et vis perficiendi ei, quæ instituisset, major quam pro ætate affuit, et adulatoribus difficilem se asperumque præbens, magis adhuc terrentibus obsistebat. Risus ita difficulter ei movebatur, ut perraro ad levem etiam risum vultum remitteret; haud facile ad iram prolabebatur, iratus placari ægre poterat (3) Quum se ad discendum contulisset, hebes fuit atque tardus ad percipiendum; quæ autem percepisset, ea firmiter memoria retinebat: quo modo videmus, qui bono sunt ingenio præditi, eos facile reminisci; qui autem non nisi cum magno sudore et labore discunt, eos memoriter quæ apprehenderunt tenere, eo quod singula quæ didicerunt, quasi inuruntur eorum animis. (4) Catoni porro ut difficilius disceret, in causa fuisse videtur etiam quod ægre sibi persuaderi pateretur. Nimirum enim discere est affectio quædam, afficiuntur autem celerius qui cedunt, quod iis evenit qui minus resistere possunt. Itaque juveni quam seni, et sano quam ægroto facilius aliquid persuaseris, atque omnino facillime assentiuntur, quibus dubitandi facultas minima est. Cato autem obtemperasse quidem pædagogo omnibusque in rebus præcepta ejus observasse dicitur, singulorum tamen causas ex eo quæsivisse. Habebat vero pædagogum Sarpedonem, verbis quam verberibus promptiorem, id quod est boni atque civilis pædagogi.

II. Puero adhuc Catone, Romanorum socii de jure civitatis impetrando agebant. De his unus Popedius Silo quidam, vir bello clarus, primæque inter suos dignitatis, quum Drusi amicus per aliquot dies ejus hospitio uteretur, factus pueris familiarior, petiit ab eis, ut pro se in civitate obtinenda apud avunculum intercederent. Ibi quum subridens Cæpio annuisset et Cato nihil respondisset, verum in hospites torvo immotoque vultu inspexisset, Popedius, Tu vero, nobis, ait, adolescentule, quid dicis? Non tu quoque, ut frater, pro hospitibus avunculum precaberis? Nihil respondentem, sed ipso silentio vultuque ostendentem se abnuere,

σθαι τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος ὡς ἀφήσων ὁμολογεῖν ἐκέλευεν ἢ ῥίψειν ἔφασκεν, ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος κραδαίνων. Ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεής, καταθέμενος αὐτὸν ὁ Πομπαίδιος ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν· « Οἷον εὐτύχημα τῆς Ἰταλίας ὅτι παῖς οὗτός ἐστιν· εἰ d δὲ ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γενέσθαι. » (2) Πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ δεῖπνον ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας ἔπαιζον αὐτοὶ καθ' ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι, τὸ δὲ παιζόμενον ἦν δίκαι καὶ κατηγορίαι καὶ ἀγωγαὶ τῶν ἁλισκομένων. Εἷς οὖν τῶν ἑαλωκότων παίδων εὐπρεπὴς τὴν ὄψιν ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι δωμάτιον καὶ εἰρχθεὶς ἐπεκαλεῖτο τὸν Κάτωνα. Ταχὺ δὴ τὸ γινόμενον συνεὶς ἧκεν ἐπὶ τὰς θύρας ὁ Κάτων καὶ διωσάμενος τοὺς προεστῶτας καὶ e διακωλύοντας ἐξήγαγε τὸν παῖδα καὶ μετ' ὀργῆς ἔχων ἀπῆλθεν οἴκαδε καὶ παῖδες ἕτεροι συνηκολούθησαν.

III. Οὕτω δ' ἦν περιβόητος, ὥστ', ἐπειδὴ Σύλλας τὴν παιδικὴν καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν, ἐπὶ θέᾳ διδάσκων καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας ἀπέδειξεν ἡγεμόνας δύο, τὸν μὲν ἕτερον οἱ παῖδες ἐδέξαντο διὰ τὴν μητέρα, Μετέλλης γὰρ ἦν υἱὸς τῆς Σύλλα γυναικός, τὸν δὲ ἕτερον, ἀδελφιδοῦν ὄντα f Πομπηίου, Σέξτον, οὐκ εἴων οὐδὲ ἐβούλοντο μελετᾶν οὐδὲ ἕπεσθαι· πυνθανομένου δὲ τοῦ Σύλλα, τίνα βούλοιντο, πάντες ἐβόησαν « Κάτωνα » καὶ ὁ Σέξτος αὐτὸς εἴξας παρῆκεν ὡς κρείττονι τὴν φιλοτιμίαν. (2) Ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς αὐτοῖς, καί ποτε καὶ προσηγάγετο καὶ προσωμίλησεν, ὀλίγοις πάνυ νέμων τὴν τοιαύτην φιλοφροσύνην διὰ βάρος καὶ ὄγκον ἧς εἶχεν ἀρχῆς καὶ δυνάμεως. Μέγα δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς τιμὴν ἅμα καὶ ἀσφάλειαν 761 ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς τὴν οἰκίαν a τοῦ Σύλλα μηδὲν τότε προσιδεῖν ἀσεβῶν χώρου διαφέρουσαν ὑπὸ πλήθους τῶν ἀγομένων καὶ στρεβλουμένων. Ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι τεσσαρεσκαιδέκατον· ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν λεγομένων ἐκκομιζομένας καὶ κρύφα τοὺς παρόντας ἐπιστένοντας ἠρώτησε τὸν παιδαγωγόν, ὅ τι δὴ τοῦτον τὸν ἄνθρωπον οὐδεὶς ἀποκτίννυσιν. Εἰπόντος δὲ ἐκείνου, « Φοβοῦνται γὰρ αὐτόν, ὦ παῖ, μᾶλλον ἢ μισοῦσι· » « Τί οὖν, εἶπεν, οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵνα αὐτὸν ἀνελὼν ἀπήλλαξα δουλείας τὴν πατρίδα; » Τοῦτον τὸν λόγον ἀκούσας ὁ Σαρπηδών, ἅμα δὲ καὶ τὸ βλέμμα καὶ τὸ πρόσωπον πιμπλάμενον αὐτοῦ ὀργῆς καὶ μένους κατιδών, b οὕτως ἔδεισεν, ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς καὶ παραφυλάττειν, μή τι τολμήσῃ παραβολώτερον. (3) Ἔτι μὲν οὖν παιδάριον ὢν μικρὸν ἀπεκρίνατο τοῖς ἐρωτῶσι, τίνα φιλεῖ μάλιστα, τὸν ἀδελφόν· τίνα δεύτερον, ὁμοίως τὸν ἀδελφόν· καὶ τρίτον, ἄχρι οὗ πολ-

tollens eum Popedius, quasi de fenestra eum præcipitaturus nisi assentiretur, dejecturum per eam minatus est, simulque et voce usus est asperiore et manibus elevatum Catonem supra fenestram sæpius vibravit. Quum puer diu imperterritus impavidusque perstitisset, deposito eo Popedius submissa voce ad amicos dixit: Quam bona Italiæ fortuna accidit hunc adhuc puerum esse! nam si vir esset, haud equidem opinor ullum nos in populo suffragium impetraturos. (2) Rursus Catone cum aliis pueris ad cœnam nataliciam cujusdam propinqui vocato, quum in parte quadam ædium seorsum luderent promiscue majores cum minoribus judicia per jocum celebrantes et invicem accusantes, convictosque in carcerem abducentes; quidam elegantis formæ puer damnatus et in conclave quoddam ab adultiore abductus inclususque Catonem invocavit. Isque re cognita statim ad fores accurrit, repulsisque astantibus et aditu eum prohibentibus puerum eripuit, iratusque domum secum abduxit, sequentibus etiam aliis.

III. Adeo autem nobilis tum erat, ut quum Sylla Trojam, ludum sacrum et equestrem, spectaculorum causa institueret, ad eumque conductis patriciis pueris duos duces designaret, filium Metellæ privignum suum et Sextum fratre Pompeii natum; illum quidem in honorem matris pueri probaverint, Sextum autem repudiaverint neque se cum illo exercere velle neque eum sequi dictitantes et interrogante Sylla, quem ergo vellent, omnes Catonem vocaverint, atque ei ipse Sextus, ut præstantiori, honore ultro cesserit. (2) Erat autem paternus Catonis amicus Sylla et aliquando eum (id quod perpaucis ob fastum et potentiæ suæ magnitudinem tribuebat) ad se vocabat, cumque eo colloquebatur. Id plurimum ad honorem et salutem pueri conducere ratus Sarpedon, crebro salutatum duxit Catonem ad Syllam, cujus tum domus ob multitudinem eorum qui illuc ducebantur atque cruciabantur, nihil plane aspectu a carnificina differebat. Annum tunc agebat Cato decimum quartum. Videns autem capita illustrium virorum efferri, ingemiscentibus occulte qui astabant, percontatus est pædagogum qui fieret quod nemo Syllam necaret. Quumque is responderet: Quia, mi puer, metuunt omnes magis eum quam oderunt; Cur ergo, inquit Cato, non mihi gladium dedisti, ut interfecto eo servitute patriam liberarem? Sarpedon hoc audito, simulque vultum ejus iracundiæ plenum conspiciens, in gravem pervenit metum atque in posterum summo studio curavit ne quid Cato audacius conaretur. (3) Puer adhuc admodum quem maxime diligeret interrogantibus, fratrem respondit, idemque iterum ac tertio, ac toties omnino retulit, dum alter interrogando

λάκις λέγοντος ἀπεῖπεν ὁ ἐρωτῶν. Γενόμενος δ' ἐν ἡλικίᾳ μᾶλλον ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. Ἔτη γὰρ εἴκοσι γεγονὼς χωρὶς Καπίωνος οὐκ ἐδείπνησεν, οὐκ ἀπεδήμησεν, εἰς ἀγορὰν οὐ προῆλθε. Μύρον δ' ἐκείνου λαμβάνοντος αὐτὸς παρῃτεῖτο· καὶ τἄλλα τὰ c περὶ τὴν δίαιταν ἦν ἀκριβὴς καὶ σύντονος. (4) Ὁ γοῦν Καπίων ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος ὡμολόγει τοιοῦτος εἶναι πρὸς τοὺς ἄλλους ἐξεταζόμενος, « Ἀλλ' ὅταν, ἔφη, παρὰ τὸν Κάτωνος βίον παραβάλω τὸν ἐμὸν, οὐδὲν ἐμαυτῷ φαίνομαι Σιππίου διαφέρειν, » τῶν ἐπὶ τρυφῇ τινα καὶ μαλακίᾳ περιβοήτων ὀνομάσας.

IV. Ὁ δὲ Κάτων ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβε τοῦ Ἀπόλλωνος μετοικήσας καὶ νειμάμενος μοῖραν τῶν πατρῴων ἑκατὸν εἴκοσι ταλάντων γενομένην τὴν μὲν δίαιταν ἔτι μᾶλλον συνέστειλεν, Ἀντίπατρον δὲ τὸν Τύριον τῶν ἀπὸ τῆς Στοᾶς φιλοσόφων προσεταιρισά- d μενος τοῖς ἠθικοῖς μάλιστα καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι, περὶ πᾶσαν μὲν ἀρετὴν ὥσπερ ἐπιπνοίᾳ τινὶ κατάσχετος γεγονὼς, διαφόρως δὲ τοῦ καλοῦ τὸ περὶ τὴν δικαιοσύνην ἀτενὲς καὶ ἄκαμπτον εἰς ἐπιείκειαν ἢ χάριν ὑπερηγαπηκώς. (2) Ἤσκει δὲ καὶ τὸν ὀργανικὸν εἰς πλήθη λόγον ἀξιῶν ὥσπερ ἐν πόλει μεγάλῃ τῇ πολιτικῇ φιλοσοφίᾳ καὶ μάχιμον εἶναί τι παρατρεφόμενον. Οὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς μελέτας οὐδ' ἠκροάσατο λέγοντος οὐδεὶς, ἀλλὰ καὶ πρός τινα τῶν ἑταίρων εἰπόντα, « Μέμφονταί σου, Κάτων, οἱ ἄνθρωποι τὴν σιωπήν, » « Μόνον, ἔφη, μὴ τὸν βίον. e Ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς. »

V. Ἡ δὲ καλουμένη Πορκία βασιλικὴ τιμητικὸν ἦν ἀνάθημα τοῦ παλαιοῦ Κάτωνος. Εἰωθότες οὖν ἐκεῖ χρηματίζειν οἱ δήμαρχοι καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δοκοῦντος ἔγνωσαν ὑφελεῖν αὐτὸν ἢ μεταστῆσαι. Τοῦτο Κάτωνα πρῶτον εἰς ἀγορὰν προήγαγεν. Ἀντέστη γὰρ αὐτοῖς καὶ πεῖραν ἅμα τοῦ λόγου καὶ τοῦ φρονήματος δοὺς ἐθαυμάσθη. (2) Καὶ γὰρ ὁ λόγος νεαρὸν μὲν οὐδὲν οὐδὲ κομψὸν εἶχεν, ἀλλ' ἦν ὄρθιος καὶ περιπληθὴς καὶ τραχύς. Οὐ μὴν ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς ἐπέτρεχε τῇ τραχύτητι τῶν νοημάτων καὶ τὸ ἦθος αὐτοῦ καταμιγνύμενον ἡδονήν f τινα καὶ μειδίαμα τῷ σεμνῷ παρεῖχεν οὐκ ἀπάνθρωπον. Ἡ δὲ φωνὴ μεγέθει μὲν ἀποχρῶσα καὶ διαρκὴς εἰς τοσοῦτον ἐξικέσθαι δῆμον, ἰσχὺν δὲ καὶ τόνον ἄρρηκτον εἶχε καὶ ἄτρυτον· ἡμέραν γὰρ ὅλην εἰπὼν πολλάκις οὐκ ἀπηγόρευσε. (3) Τότε δ' οὖν κρατήσας τῆς
762 δίκης πάλιν ἑαυτὸν εἰς τὴν σιωπὴν καὶ τὴν ἄσκησιν a συνέστειλε· καὶ διεπόνει τὸ σῶμα γυμνασίοις ἐνεργοῖς ἐθιζόμενον ἀνέχεσθαι καὶ καύματα καὶ νιφετὸν ἀκαλύπτῳ κεφαλῇ καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν ἄτερ ὀχήματος. Τῶν δὲ φίλων οἱ συνεκδημοῦντες ἵπποις ἐχρῶντο· καὶ πολλάκις ἑκάστῳ παρέβαλλεν ὁ Κάτων ἐν μέρει προσδιαλεγόμενος, περιπατῶν αὐτὸς ὀχουμένων. Θαυμαστῇ δὲ καὶ περὶ τὰς νόσους ὑπο-

fatigaretur. Quem suum erga fratrem amorem magis etiam adulta ætate confirmavit. Annos enim natus viginti, nunquam sine Cæpione cœnavit, nunquam peregrinatus est, nunquam in forum prodiit. Unguentum tamen illo sumente, respuit, quemadmodum tota etiam Catonis victus ratio accurata fuit et severa. (4) Cæpio quidem temperantiæ mediocritatisque causa quum laudaretur, fassus est se talem esse si cum aliis conferretur, sed si vitam suam cum Catonis compararet, nihil se sibi Sippio meliorem videri. Erat autem is Sippius ob luxum et mollitiem infamis.

IV. Cato flamen Apollinis creatus, divisa paterna hæreditate portionem centum ac viginti talentorum accepit et a fratre migravit. Exinde victus ratione ad majorem etiam pristina frugalitatem conversa, Antipatrum Tyrium a Stoica secta philosophum socium sibi ascivit, moralibus præsertim et civilibus placitis intentus. Quum autem ad omne virtutum genus quasi numine afflatus ferretur, eam tamen honesti partem, quæ in justitia conspicitur nullo æquitatis aut gratiæ respectu inflexa, præ reliquis sectatus est. (2) Instrumentum quoque orationis, quo ad populum uti posset, exercitatione sibi parabat; ut in civili sapientia tanquam magna urbe, quiddam etiam juxta aleretur, quod esset ad certamina utile. Neque tamen apud alios declamavit, aliisve dicentibus auscultavit, quin et sociorum cuidam dicenti, Reprehendunt, o Cato, tuum hominum silentium; modo ne vitam, respondit; incipiam autem dicere, quum potero loqui, quæ non præstiterit tacuisse.

V. Porciam Basilicam Cato major in censura dedicaverat. Ibi quum solerent tribuni plebis jus dicere et videretur columna quædam sellis ipsorum obstare, statuerunt auferre eam, vel amovere alio. Hæc primum res Catonem invitum in forum produxit. Impugnavit enim tribunorum propositum, admirationemque oratione sua et magnanimitate excitavit. (2) Erat enim in oratione nihil novi, nihil ad elegantiam compositi, sed recta omnia et plena atque aspera; gratia quoque animos auditorum concilians asperitati aderat, voluptatemque aliquam et risum civilem admixta morum ejus indicia et per orationem sparsa movebant. Vox autem ea erat, quæ satis exaudiri ab universo populo posset; ejus intentio erat visque inexhausta, ita ut sæpenumero totum diem perorans non defatigaretur. (3) Quum rem tunc obtinuisset, rursus se ipsum silentio et exercitationi dedit. Corpus quoque exercitationibus validis subigebat, assuefaciens se ad æstum et nivem nudo capite perferendam, iterque pedibus omni tempore anni faciendum, absque vehiculo, quum equis una irent amici peregrinationis socii; quibus ille inter eundum sæpe singulatim sese applicuit, estque collocutus. Ægroti etiam

μονῇ μετ' ἐγκρατείας ἐχρῆτο· πυρέττων γὰρ μόνος ἐφ' ἑαυτοῦ διημέρευε μηδένα προσιέμενος, ἄχρι οὗ βέβαιον αἴσθοιτο ῥαστώνην καὶ μεταβολὴν τοῦ νοσήματος.

VI. Ἐν δὲ τοῖς δείπνοις ἐκληροῦτο περὶ τῶν μερίδων· εἰ δὲ ἀπολάχοι, πρῶτον αἱρεῖν τῶν φίλων κελευόντων b ἔλεγε μὴ καλῶς ἔχειν ἀκούσης τῆς Ἀφροδίτης. Καὶ κατ' ἀρχὰς μὲν ἅπαξ ἐπιπιὼν τὸ δεῖπνον ἀνέλυε, προϊόντι δὲ τῷ χρόνῳ μάλιστα προσίετο πίνειν, ὥστε πολλάκις ἐν οἴνῳ διάγειν εἰς ὄρθρον. Αἰτίαν δὲ ἔλεγον οἱ φίλοι τούτου τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα, πρὸς οἷς ὅλας τὸν Κάτωνα τὰς ἡμέρας ὄντα καὶ κωλυόμενον φιλολογεῖν νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. Διὸ καὶ Μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος ὅλας τὸν Κάτωνα μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ Κικέρων, « Ἐκεῖνο δὲ οὐ λέγεις, εἶπεν, ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει; » (2) Καθόλου c δὲ τοῖς τότε βίοις καὶ τοῖς ἐπιτηδεύμασιν ὁ Κάτων τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς οὖσι φαύλοις καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ πορφύραν ἑώρα τὴν κατακόρως ἐρυθρὰν καὶ ὀξεῖαν ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. Πολλάκις δ' ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῄει μετ' ἄριστον, οὐ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος, ἀλλὰ ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις, τῶν δὲ ἄλλων ἀδόξων καταφρονεῖν. (3) Καὶ κληρονομίαν δὲ αὐτῷ προσγενομένην ἀνεψιοῦ Κάτωνος ἑκατὸν ταλάντων εἰς ἀργύριον συναγαγὼν παρεῖχεν ἄνευ τόκων χρῆσθαι τῷ δεομένῳ τῶν φίλων. Ἔνιοι δὲ καὶ χωρία καὶ θεράποντας d αὐτοῦ διδόντος καὶ βεβαιοῦντος ὑπέθεντο πρὸς τὸ δημόσιον.

VII. Ἐπεὶ δὲ ὥραν ᾤετο πρὸς γάμον ἔχειν οὐδεμιᾷ γυναικὶ συνεληλυθὼς ἡρμόσατο Λεπίδαν, πρότερον μὲν ἐγγυηθεῖσαν Σκηπίωνι Μετέλλῳ, τότε δὲ ἀπειπαμένου τοῦ Σκηπίωνος καὶ τῆς ἐγγύης λυθείσης σχολάζουσαν. Οὐ μὴν ἀλλὰ πρὸ τοῦ γάμου μεταμεληθεὶς πάλιν ὁ Σκηπίων καὶ πάντα ποιήσας ἔλαβε τὴν κόρην. (2) Ὁ δὲ Κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς ἐπεχείρησε μὲν ἐπεξελθεῖν διὰ δίκης, ὡς δὲ οἱ φίλοι τοῦτο ἐκώλυσαν, ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβους πολλὰ τὸν Σκηπίωνα καθύβρισε τῷ πικρῷ προσχρησάμενος e τοῦ Ἀρχιλόχου, τὸ δὲ ἀκόλαστον ἀφεὶς καὶ παιδαριῶδες. Ἔγημε δὲ Ἀτιλίαν Σωρανοῦ θυγατέρα, καὶ ταύτῃ πρώτῃ συνῆλθεν, οὐ μόνῃ δὲ, καθάπερ Λαίλιος ὁ Σκηπίωνος ἑταῖρος· ἀλλ' εὐτυχέστερος ἐκεῖνος, ἐν πολλοῖς οἷς ἐβίωσε χρόνοις μίαν ἣν ἔγημεν ἐξ ἀρχῆς γνοὺς γυναῖκα.

VIII. Τοῦ δὲ δουλικοῦ πολέμου συνεστῶτος, ὃν Σπαρτάκειον ἐκάλουν, Γέλλιος μὲν ἐστρατήγει, Κάτων δὲ τῆς στρατείας μετεῖχεν ἐθελοντὴς διὰ τὸν ἀδελφόν· ἐχιλιάρχει γὰρ ὁ ἀδελφὸς αὐτοῦ Καπίων. Καὶ χρήσασθαι f μὲν εἰς ὅσον ἐβούλετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς ἀρετῆς οὐχ ὑπῆρξεν αὐτῷ διὰ τὸ μὴ καλῶς στρατηγεῖσθαι τὸν πόλεμον, ἄλλως δὲ παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν ἐκεῖ στρατευομένων ἐπιδεικνύμε-

admirabilis fuit quum continentia, tum patientia; febricitans enim solus seorsum egit, neque ad se quenquam admisit nisi pulso morbo et sanitate recepta.

VI. In cœnis quum sorte partes dividerentur et ipsi sors non favisset, amicis nihilominus ei optionem deferentibus respondit: non convenire hoc, invita Venere. Et initio quidem semel tantum quum bibisset a mensa surrexit, postea temporis magis indulsit potui, ita ut sæpe usque ad auroram traheret potationem. Causam hanc afferunt amici ejus, quod interdiu republica atque publicis negotiis occupatus et a philosophia exclusus, per noctem saltem et inter pocula voluerit cum philosophis commentari. Itaque Memmio quodam aliquando in concione dicente, Catonem totas noctes ebrietati vacare; Cicero interpellans, Hoc autem, ait, non dicis, quod totos etiam dies talis ludit? (2) Omnino autem vitæ et studiorum rationem diversam sibi ab ea, quæ vulgo tum usurpata, prava ipsi et magnæ indiga mutationis videbatur, tenendam ratus, quum purpuram videret saturatam rubore et rutilantem ceteris probari, nigra ipse usus est. Sæpe etiam nudis pedibus et sine tunica post prandium in publicum prodiit, non quod gloriam ex hac novitate captaret, sed assuefaciens se ne cujus ipsum rei nisi turpis puderet, reliquas infamias contemneret. (3) A Catone sobrino hæreditatem oblatam centum talentorum, in pecuniam redegit, eamque amicis indigentibus absque fœnore locavit. Quidam etiam agros et servos ipso dante et contractum confirmante ærario publico oppignerarunt.

VII. Ut tempus uxorem ducendi venisse judicavit, quum prius nullius mulieris habuisset notitiam, Lepidam duxit, quæ ante Scipioni Metello pacta fuerat, sed rescissa ab eo pactione tum innupta erat. Verum priusquam nuptiæ fierent, Scipio mutato facto nihil sibi reliqui fecit dum Lepidam sibi matrimonio jungeret. (2) Graviter eo facto irritatus Cato, quum judicio disceptare statuisset, prohibitus ab amicis juvenili animi fervore ad scribendos iambos se contulit, Archilochique acerbitatem mutuatus, impudentia ejus et nugis omissis, Scipionem conviciis proscidit. Duxit autem Atiliam Sorani filiam, cumque ea prima, non tamen unica, congressus est, infelicior hac in parte Lælio Scipionis amico, qui quum diu vixerit, unam modo, eam quam primo duxit uxorem, cognovisset mulierem.

VIII. Commisso servili bello, quod et Spartacium dicitur, Gellio duci socium se Cato adjunxit ultro, propter fratrem Cæpionem, qui tribunus erat militum. Ac tametsi eo in bello, quod id male gereretur, non potuit alacritate sua virtuteque quantum vellet efficere, inter magnam tamen militum mollitiem atque luxuriam, modestiam suam

νος εὐταξίαν καὶ ἐγκράτειαν καὶ τὸ θαῤῥαλέον ἐν πᾶσι καὶ ξυνετὸν ἐδόκει μηθὲν ἀποδεῖν τοῦ παλαιοῦ Κάτω-
63νος. Ὁ δὲ Γέλλιος ἀριστεῖα καὶ τιμὰς αὐτῷ διαπρεπεῖς a ἔγραψεν, ἃς ἐκεῖνος οὐκ ἔλαβεν οὐδὲ προσήκατο φήσας ἄξιον μηθὲν εἰργάσθαι τιμῶν. (2) Ἔκ τε δὴ τούτων ἀλλόκοτος ἐδόκει, καὶ νόμου γραφέντος, ὅπως τοῖς παραγγέλλουσιν εἰς ἀρχὴν ὀνοματολόγοι μὴ παρῶσι, χιλιαρχίαν μετιὼν μόνος ἐπείθετο τῷ νόμῳ· καὶ δι' αὐτοῦ ποιησάμενος ἔργον ἀσπάζεσθαι καὶ προσαγορεύειν τοὺς ἐντυγχάνοντας οὐδὲ αὐτοῖς ἀνεπαχθὴς ἦν τοῖς ἐπαινοῦσιν, ὅσον μᾶλλον ἐνόουν τὸ καλὸν ὧν ἐπετήδευεν, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις.

IX. Ἀποδειχθεὶς δὲ χιλίαρχος εἰς Μακεδονίαν ἐπέμπετο πρὸς Ῥούβριον τὸν στρατηγόν. Ἔνθα δὴ b λέγεται, τῆς γυναικὸς ἀχθομένης καὶ δακρυούσης, ἕνα τῶν φίλων τοῦ Κάτωνος Μουνάτιον εἰπεῖν· « Ὦ Ἀτιλία, θάρσει· τοῦτον ἐγώ σοι φυλάξω. » « Πάνυ μὲν οὖν, » φάναι τὸν Κάτωνα, καὶ προελθόντων μιᾶς ἡμέρας ὁδὸν εὐθὺς εἰπεῖν μετὰ τὸ δεῖπνον· « Ἄγε, ὅπως, ὦ Μουνάτιε, τῇ Ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσῃς μήτε ἡμέρας ἐμοῦ μήτε νυκτὸς ἀφιστάμενος. » Ἐκ δὲ τούτου δύο κλίνας εἰς ταὐτὸ δωμάτιον ἐκέλευσε τίθεσθαι· καὶ τὸν Μουνάτιον οὕτως ἀεὶ καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ Κάτωνος. (2) Εἵποντο δὲ αὐτῷ πεντεκαίδεκα μὲν οἰκέται, δύο δὲ ἀπελεύθεροι, φίλοι δὲ τέσσαρες. Ὧν ὀχουμένων ἵπποις αὐτὸς ἀεὶ περι- c πατῶν ἑκάστῳ παρέβαλλεν ἐν μέρει προσδιαλεγόμενος. (3) Ἐπεὶ δὲ ἧκεν εἰς τὸ στρατόπεδον, πλειόνων ταγμάτων ὄντων, ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ τοῦ στρατηγοῦ τῆς μὲν ἰδίας ἀρετῆς, μιᾶς οὔσης, μικρὸν ἔργον ἡγεῖτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν, αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος οὐ τὸν φόβον ἀφεῖλε τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν λόγον· ᾧ πείθων περὶ ἑκάστου καὶ διδάσκων, ἑπομένης τιμῆς καὶ κολάσεως, χαλεπὸν ἦν εἰπεῖν, πότερον εἰρηνικοὺς μᾶλλον ἢ πολεμικούς, προθυμοτέρους ἢ δικαιοτέρους παρεσκεύασε τοὺς ἄνδρας· οὕτως ἐφαίνοντο φοβεροὶ μὲν τοῖς πολεμίοις, ἥμεροι δὲ τοῖς συμμάχοις, ἄτολμοι δὲ d πρὸς τὸ ἀδικεῖν, φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. (4) Οὗ δὲ ἥκιστα Κάτων ἐπεμελήθη, τοῦτο πλεῖστον ὑπῆρχεν αὐτῷ, καὶ δόξα καὶ χάρις καὶ ὑπερβάλλουσα τιμὴ καὶ φιλοφροσύνη παρὰ τῶν στρατιωτῶν. Ἃ γὰρ ἑτέροις ἐπέταττεν ἑκουσίως διαπονῶν καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις μᾶλλον ἢ τοῖς ἄρχουσιν ὁμοιούμενος, ἤθει δὲ καὶ φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας καὶ στρατηγοὺς προσαγορευομένους ἔλαθε διὰ τούτων ἅμα τὴν πρὸς αὐτὸν εὔνοιαν ἐργασάμενος τοῖς ἀνδράσιν. Ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος ἢ δι' ἄκρας τοῦ πα- e ραδιδόντος εὐνοίας καὶ τιμῆς· οἱ δὲ ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς αἰδοῦνται τὴν δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν οὐδὲ μιμοῦνται.

X. Πυθόμενος δὲ Ἀθηνόδωρον τὸν ἐπικαλούμενον Κορδυλίωνα μεγάλην ἕξιν ἐν τοῖς Στωϊκοῖς λόγοις ἔχοντα

et moderationem omnibusque in rebus audaciam prudentiæ conjunctam ostendendo ita se gessit, ut nihil concedere prisco Catoni videretur. Gellio autem honores ei præmiaque decernente, accipere detrectavit, quod nihil se iis dignum egisse diceret. (2) Hinc absurdus putatus est. Deinde quum lex esset lata, ne iis qui magistratum ambirent nomenclatores adessent, tribunatum militum petens solus ei legi obtemperavit et ipse civium salutandorum atque compellandorum suscepit negotium. Et vero iis etiam, qui ipsum laudabant, molestus nonnihil fuit; quo magis enim honestatem ejus institutorum intelligebant, eo iniquius ferebant se ea imitando æquare nequire.

IX. Tribunus militum factus, missus est in Macedoniam ad Rubrium prætorem. Memoriæ traditum est, quum Atilia uxor fleret maritique discessum deploraret, Munatium ei unum de Catonis familiaribus dixisse : Bono sis animo, Atilia mea, ego tibi Catonem tuum custodiam; tum Catonem : Utique ergo me custodies; quumque diei iter unius progressi essent, Agedum, Munati, dixisse, ut promissa Atiliæ perficias, neque interdiu neque noctu jam tibi a me discedendum erit; exindeque jussisse duos lectos in suo cubiculo poni, et Munatium ita semper juxta Catonem dormivisse, custoditum ab eo joci causa. (2) Comitabantur autem Catonem quindecim servi, duo liberti, et amici quattuor; quibus equitantibus ipse semper pedes incedens singulis sese applicabat, interque ambulandum colloquebatur. (3) Postquam in castra pervenit, uni legioni de multis præfectus, suam unius virtutem demonstrare non regii neque magni operis esse ratus, in id maxime incubuit ut sui similes subditos efficeret. Itaque non metum suæ potestatis eis ademit, sed oratione qua eos singulis de rebus vel doceret, vel persuaderet, simul etiam præmiis supplicioque adhibitis, difficile dictu est pacisne an belli artium scientiores, acrioresne an justiores redegerit; adeo et terribiles hostibus et sociis mansueti, ad peccandum timidi, ad laude dignos conatus suscipiendos prompti alacresque fuere. (4) Interim gloria, gratia, observantia, amorque militum summus Catonem sequebatur, quæ ille minime instituto suo quærebat. At enim quum ultro in his, quæ aliis imperasset, ipse elaboraret, habituque, victu et incessu militum quam ducum esset similior, moribus vero, animi magnitudine et facundia omnes qui imperatorum aut ducum nomen gerebant anteiret, magnam sibi occulte benevolentiam exercitus conciliavit. Nam comparatum est ita, ut germanum virtutis colendæ studium cogitari non possit, nisi eum, in quo ea conspicitur, summo amore atque honore prosequamur, qui vero bonum aliquem laudant, quum non ament, non virtutem ii ejus admirantur, neque imitari cupiunt, sed gloriam reverentur.

X. Quum inaudivisset de Athenodoro, cui Cordylioni cognomen fuit, virum eum Stoica disciplina præclare exerci-

διατρίβειν περὶ Πέργαμον ἤδη γηραιὸν ὄντα καὶ πάσαις ἐῤῥωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις καὶ φιλίαις διαμεμαχημένον, οὐδὲν ᾤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτὸν, ἀλλὰ ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν ἔπλευσεν εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα πιστεύων τοῖς f ἐν αὐτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. (2) Συγγενόμενος δὲ καὶ καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν ἧκεν ἄγων εἰς τὸ στρατόπεδον περιχαρὴς καὶ μεγαλοφρονῶν, ὥς τι κάλλιστον ᾑρηκὼς καὶ λαμπρότερον ὧν Πομπήιος τότε καὶ Λεύκουλλος ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιιόντες.

XI. Ἔτι δὲ αὐτοῦ περὶ τὴν στρατείαν ὄντος ὁ ἀδελφὸς εἰς τὴν Ἀσίαν βαδίζων ἐνόσησε περὶ Θρᾴκην ἐν 764 Αἴνῳ. Καὶ γράμματα μὲν εὐθὺς ἧκε πρὸς τὸν Κά- a τωνα· χειμῶνος δὲ πολλοῦ κατέχοντος τὴν θάλατταν καὶ νεὼς ἱκανῆς μεγέθει μὴ παρούσης εἰς μικρὰν ὁλκάδα μόνον δύο φίλους καὶ τρεῖς οἰκέτας ἀναλαβὼν ἐκ Θεσσαλονίκης ἀνήχθη· καὶ παρ' οὐδὲν ἐλθὼν καταποντωθῆναι τύχῃ τινὶ παραλόγῳ σωθεὶς, ἄρτι τεθνηκότος τοῦ Καπίωνος, ἐμπαθέστερον ἔδοξεν ἢ φιλοσοφώτερον ἐνεγκεῖν τὴν συμφορὰν, οὐ μόνον κλαυθμοῖς καὶ περιπτύξεσι τοῦ νεκροῦ καὶ βαρύτητι λύπης, ἀλλὰ καὶ δαπάνῃ περὶ τὴν ταφὴν καὶ πραγματείαις θυμιαμάτων καὶ ἱματίων πολυτελῶν συγκατακαέντων καὶ μνήματος ξεστοῦ λίθων Θασίων ἀπὸ ταλάντων ὀκτὼ κατα- b σκευασθέντος ἐν τῇ Αἰνίων ἀγορᾷ. (2) Ταῦτα γὰρ ἐσυκοφάντουν ἔνιοι πρὸς τὴν ἄλλην ἀτυφίαν τοῦ Κάτωνος οὐ καθορῶντες, ὅσον ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβους καὶ δεήσεις ἀναισχύντους ἀγνάμπτῳ καὶ στεῤῥῷ τοῦ ἀνδρὸς τὸ ἥμερον ἐνῆν καὶ φιλόστοργον. (3) Εἰς δὲ ταῦτα καὶ πόλεις αὐτῷ καὶ δυνάσται πολλὰ κατὰ τιμὴν τοῦ τεθνεῶτος ἔπεμπον, ὧν ἐκεῖνος χρήματα μὲν παρ' οὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ κόσμον ἐλάμβανε τιμὴν ἀποδιδοὺς τοῖς πέμπουσι. Τῆς δὲ κληρονομίας εἰς αὐτόν τε καὶ θυγάτριον τοῦ Καπίωνος ἡκούσης οὐθὲν ὧν ἀνήλωσε περὶ τὸν τάφον ἀπήτησεν ἐν τῇ c νεμήσει. (4) Καὶ ταῦτα πράξαντος αὐτοῦ καὶ πράττοντος ἦν ὁ γράψας, ὅτι κοσκίνῳ τὴν τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ διήθησε χρυσίον ζητῶν καταχεχαυμένον. Οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ γραφείῳ τὸ ἀνυπεύθυνον καὶ ἀνυπόδικον ἐπίστευσεν.

XII. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ Κάτωνι, προεπέμφθη, οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδ' ἐπαίνοις, ἀλλὰ δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις, ὑποτιθέντων τὰ ἱμάτια τοῖς ποσὶν ᾗ βαδίζοι καὶ καταφιλούντων τὰς χεῖρας, ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε Ῥωμαῖοι, βουληθεὶς δὲ πρὸ τοῦ πολιτείᾳ προσελθεῖν ἅμα μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς Ἀσίας d καὶ γενέσθαι θεατὴς ἠθῶν καὶ βίων καὶ δυνάμεως τῆς περὶ ἑκάστην ἐπαρχίαν, ἅμα δὲ τῷ Γαλάτῃ Δηιοτάρῳ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν μὴ ἀχαριστῆσαι, τοῦτον τὸν τρόπον ἐποιεῖτο τὴν

tatum, qui regum ac principum familiaritates summo studio subterfugisset, senem jam apud Pergamum degere; existimans se scribendo ad eum aut mittendis nuntiis nihil profecturum, quum lex ei duorum mensium profectionem concederet, ad eum in Asiam navigavit, suis fretus virtutibus non frustratum iri se præda speravit. (2) Congressus cum homine, pervicit, dejectumque de priori sententia in castra secum perduxit, magna elatus lætitia, seque majori et præstantiori præda, quam Lucullus Pompeiusque arma circumferendo gentesque subigendo parassent, potitum sentiens.

XI. Quum esset adhuc tribunus militum, frater ejus in Asiam proficiscens, Æni, Thraciæ urbe, in morbum incidit. Qua de re Cato quum esset statim certior per litteras factus et mare vehementi jactaretur tempestate, neque justæ molis navis esset in promptu, cum duobus amicis et tribus servis exiguam onerariam ingressus, Thessalonica solvit; et gravissimo submersionis periculo mirabili quadam fortuna ereptus, jam mortuo Cæpioni supervenit, gravius, quam philosopho conveniret, tulisse eum casum fertur, non fletum modo et cadaveris amplexus, luctusque magnitudinem considerantibus, sed et sumptum sepulturæ et odoramentorum vestiumque pretiosarum una crematarum impendia, et monumenti magnificentiam, quod ex Thasio lapide octo talentorum pretio confectum in foro Ænensium constituit. (2) Hæc enim nonnulli cum Catonis moribus alioquin ab omni fastu alienis conferentes calumniabantur, non perspicientes quantum mansuetudinis et amoris inesset viro rigido et qui se nulla voluptate, nullo metu, nullis inhonestis precibus percelli sineret. (3) Ad eam rem civitates quoque ei et principes ampla pro honore defuncti munera miserunt, de quibus ipse pecuniam quidem omnino repudiavit, odoramenta tantum et ornamenta persoluto pretio accepit. Quum vero ad ipsum et Cæpionis filiolam hæreditas devenisset, in divisione ejus nihil pro sumptibus sepulturæ poposcit. (4) Quæ quum ille egisset ageretque, inventus est tamen qui scriberet, cineres eum mortui cribrasse, aurum combustum quærentem. Tantam nimirum non gladiis modo, sed stilo etiam iste tribuit licentiam atque impunitatem.

XII. Defunctus tribunatu militum Cato, deductus a suis est, non votis tantum (est enim id usitatum) neque laudationibus, sed lacrimis et insatiabilibus amplexibus eum prosequentibus vestimentaque sua qua iret subjicientibus et manus deosculantibus, quod eo tempore vix paucis imperatoribus a Romanis datum est. Porro quum statuisset ante quam ad rempublicam accederet, Asiam pervagari atque perlustrare, regionum, morum, institutorum et quæ in singulis essent provinciis copiarum contemplandarum gratia, simul etiam gratificaturus Deiotaro Galatæ, qui ipsum amicitiæ hospitiique paterni nomine ad se uti veniret rogaverat,

ἀποδημίαν. (2) Προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν καὶ τὸν μάγειρον, ὅπου καταλύσειν ἔμελλεν. Οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος ἢ γνώριμος, ἐν πανδοχείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον ἐνοχλοῦντες οὐδενί· πανδοχείου δὲ μὴ e ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας τραπόμενοι ξενίαν ἐλάμβανον ἀγαπῶντες τὴν δοθεῖσαν. (3) Πολλάκις δὲ ἀπιστούμενοι καὶ περιορώμενοι διὰ τὸ μὴ θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράσσειν πρὸς τοὺς ἄρχοντας ὑπὸ τοῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον αὐτὸς ὀφθεὶς ὠλιγωρεῖτο καὶ παρεῖχεν ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ περιδεοῦς. Οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτοὺς εἰώθει λέγειν· « Ὦ μοχθηροί, μεταβάλεσθε ταύτης τῆς κακοξενίας. Οὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. Ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξουσίαν τῶν δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ f τυγχάνοντες. »

XIII. Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν. Βαδίζων γὰρ εἰς Ἀντιόχειαν εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων, ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι καὶ παῖδες ἑτέρωθι κοσμίως εἱστήκεσαν, ἐσθῆτας δὲ καθαρὰς 765 ἔνιοι καὶ στεφάνους εἶχον ἱερεῖς θεῶν ὄντες ἢ ἄρχον- a τες. Πάντων οὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὑτῷ τινα πράττεσθαι τιμὴν καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν, ἐκέλευσε δὲ καταβῆναι τοὺς φίλους καὶ πεζῇ προῄει μετ' αὐτῶν. (2) Ὡς δὲ ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ τὸν ὄχλον εἰς τάξιν καθιστάς, ἀνὴρ πρεσβύτερος ἤδη ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ Κάτωνι πρὸ τῶν ἄλλων καὶ μηδ' ἀσπασάμενος ἠρώτα, ποῦ Δημήτριον ἀπολελοίπασι καὶ πηνίκα παρέσται. Πομπηΐου δ' ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήϊον ἀποβλεπόντων b ἐθεραπεύετο παρ' ἀξίαν μέγα παρ' αὐτῷ δυνάμενος. Τοῖς μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστε ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο διὰ τοῦ πλήθους ἅμα βαδίζοντες, ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπείς, « Ὦ τῆς κακοδαίμονος, ἔφη, πόλεως, » ἄλλο δὲ οὐδὲν ἐφθέγξατο, χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ τούτῳ καὶ διηγούμενος καὶ μνημονεύων.

XIV. Οὐ μὴν ἀλλὰ Πομπήϊος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι' ἄγνοιαν. Ὡς γὰρ εἰς Ἔφεσον ἐλθὼν ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος πρεσβύτερον ὄντα καὶ δόξῃ πολὺ c προήκοντα καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήϊος οὐκ ἔμεινεν οὐδὲ εἴασε καθεζομένῳ προσελθεῖν, ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε καὶ τὴν δεξιὰν ἐνέβαλε. Καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα,

ita peregrinationem instituit. (2) Prima luce pistorem coquumque eo, ubi esset pernoctaturus, præmittebat. Hi composite admodum et tranquille urbem ingressi, si nullum paternum hospitem Catonis aut notum ibi offendissent, diversorium ei apud cauponem parabant, nemini molesti; quodsi ne caupona quidem esset, ibi tum magistratum adibant et diversorium petebant, datumque boni consulebant. (3) Sæpe etiam a magistratibus fides eis non est habita, contemptique quod nullo tumultu, nullis minis hæc agerent, re adhuc infecta, Catone eis superveniente, isque ipse apud clitellas tacitus sedens, majori despicatui materiam præbebat, pro abjecto et obnoxii animi homine habitus. Verumtamen vocato ad se magistratu solebat dicere: Corrigite, o pravi homines, perversam hanc hospitum excipiendorum rationem, et comitate vestra eorum qui venient (neque enim semper Catones ad vos venient) potentiam frangite, occasionem captantium ut vi vobis eripiant, quæ ultro dare nolueritis.

XIII. Ridiculum est quod ei in Syria usu venisse dicitur. Quum ad Antiochiam accessisset, ante portas urbis magnam hominum multitudinem ab utroque viæ latere effusam offendit; erant autem adolescentes seorsum chlamydibus induti, et pueri honeste ornati seorsum stabant, tum sacerdotes deûm, vel magistratus puris in vestibus coronati. Nihil aliud itaque ratus quam sui excipiendi gratia hunc honorem a civitate paratum, suis, quos præmiserat, succensuit, qui non prohibuissent, jussitque amicos ab equis descendere, peditesque secum incedere. (2) Ut proxime accesserunt, pompæ istius magister atque instructor, homo jam provectæ ætatis, manu baculum et coronam tenens Catoni ante alios occurrit, et ubi Demetrium reliquissent, ac quando is esset venturus, ne salutatum quidem interrogavit. Erat is Demetrius Pompeii libertus; omnibus autem tunc fere hominibus in Pompeium, apud quem magni erat ille ponderis, oculos conjicientibus, ultra quam dignum homine esset colebatur. Amicis itaque Catonis tantus est obortus risus, ut inhibere eum incedentes per turbam non possent, Cato autem tunc vehementer conturbatus, nihil aliud dixit, quam: Proh infelicem urbem! Postea temporis ipse quoque recordans aut recitans id factum, ridere est solitus.

XIV. Enimvero ipse Pompeius eos qui per ignorantiam ita Catonem neglexerant, suo exemplo erudiit. Quum enim Cato ipsius, ut senioris et gloria amplissimi, maximarumque tum copiarum ducis salutandi causa Ephesum venisset, conspicatus eum Pompeius non permisit, ut se sedentem adiret, sed tanquam ad præstantiorem, exsiliens de solio accurrit, dextramque injecit, multisque inter complexus ipsos et salutationem, pluribus etiam digressi virtutem præ-

πλείω δὲ ἔτι μεταστάντος ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς, ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ Κάτωνι θαυμάζειν ἐξ ὧν πρότερον κατεφρονεῖτο καὶ πρᾳότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. (2) Καὶ γὰρ ἡ Πομπηίου σπουδὴ περὶ αὐτὸν οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλλον ἢ φιλοῦντος, ἀλλ' ἔγνωσαν, ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δὲ ἀπερχομένῳ. d Τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχε καὶ ποθῶν αὐτῷ συνεῖναι, τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων ἐκείνου παρόντος ἐξέπεμψεν ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. (3) Ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων καὶ δεῖπνα καὶ κλήσεις, ἐν οἷς τοὺς φίλους ἐκέλευε προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν Κουρίωνος λόγον. Ὁ γὰρ Κουρίων ἀχθόμενος τῷ αὐστηρῷ τοῦ Κάτωνος, e φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν, εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς Ἀσίας θεατής. Τοῦ δὲ καὶ πάνυ φήσαντος, « Εὖ λέγεις, » εἶπεν ὁ Κουρίων, « ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν καὶ μᾶλλον ἥμερος, » οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος.

XV. Δηιόταρος δὲ ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα πρεσβύτερος ὢν ἤδη παραθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος καὶ τὸν οἶκον, ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπὰ καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον οὕτω παρώξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτε- f ρεύσαντα τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. (2) Προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ δώρων αὖθις αὐτὸν ὑπομένοντα καὶ γράμματα τοῦ Γαλάτου δεομένου λαβεῖν αὐτόν· εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι' ἐκεῖνον, οὐκ ὄντων δὲ 766 τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. (3) Ἀλλ' οὐδὲ a τούτοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν, ἀλλὰ φήσας ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν· οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηιόταρον. (4) Ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καπίωνος εἰς ἕτερον θέσθαι πλοῖον, εἰπὼν ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον ἢ τούτων, ἀνήχθη. Καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα περᾶσαι, τῶν ἄλλων μετρίως κομιζομένων.

XVI. Ἐπανελθὼν δὲ εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον κατ' οἶκον Ἀθηνοδώρῳ ἢ κατ' ἀγορὰν τοῖς φί- b λοις παριστάμενος διετέλεσεν. Ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν ἢ τούς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. (2) Ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ ταdicavit, ita ut conversi omnes intentique jam Catoni, quem prius sprevissent, ejus tum mansuetudinem animique magnitudinem cum admiratione considerarent. (2) Neque enim obscurum erat Pompeii erga ipsum studium, demerentis magis quam amantis; intelligebaturque eum Catonem præsentem admirari, discessu ejus lætari. Nam reliquos juvenes qui ad se venissent Pompeius magna cupiditate atque desiderio secum detinebat, a Catone nihil tale petebat, sed quasi eo præsente sua libere uti potestate nequiret, ita libenter dimittebat, soli fere ei omnium qui Romam navigarent liberos suos uxoremque commendans, alioquin etiam genere ipsi conjunctos. (3) Certatim exinde civitates Catoni operam dare, eum invitare, et convivia præbere. Qua in re Cato a sociis se observari jussit, ecquid imprudens dictum Curionis ipse confirmaret. Etenim Curio amicus et familiaris Catonis, austeritatem ejus iniquius ferens, percontatus fuerat, haberetne in animo exacta militia Asiam perlustrare. Quumque id affirmasset : Bene tu, responderat; jucundior enim inde et mansuetior redibis (hoc enim fere usus est verbo).

XV. Ceterum Dejotarus Galata, ætate jam provectior Catonem acciverat, ut ei liberos suos familiamque committeret, venientique quum varia munera offerret, utque ea acciperet omnibus modis sollicitaret, ita hominem irritavit, ut quum sub vesperam venisset, ibique pernoctasset, postridie tertia hora discederet. (2) Verum unius diei progressus iter, Pessinunte plura prioribus dona ipsum exspectantia offendit, cum literis Dejotari, precantis ut acciperet; sin abhorreret, at amicis eorum accipiendorum potestatem faceret, dignis utique quibus propter ipsum aliquid boni contingeret, quum quidem de suo ditare eos ipse non posset. (3) Sed ne tum quidem Cato concessit, quamvis videret nonnullos amicorum delinitos, ipsumque tacite incusare; verum inquiens omni munerum acceptioni prætextum aliquem inveniri posse, se cum amicis ea quæ honeste possideret communicaturum, dona ista ad Dejotarum remisit. (4) Trajecturo Brundusium amici suadebant ut reliquias Cæpionis in aliud navigium imponeret, quibus ille respondens : animum se potius quam istas relicturum, solvit periculosissime quidem fortuna, ut aiunt, quadam, quum reliqui satis commode navigassent.

XVI. Romam reversus aut Athenodoro, aut in foro amicis operam dedit. Quæsturam autem cujus petendæ tempus appetierat, non ante ambiit, quam leges quæstorias legisset, singula ex peritis esset procontatus et ejus magistratus jus summatim animo informasset. (2) Itaque simul atque quæstor est constitutus, ærarii statim administro-

μεῖον ὑπηρετῶν καὶ γραμματέων, οἳ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους ἄρχοντας παραλαμβάνοντες δι' ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλὰ ἦσαν ἄρχοντες c αὐτοί, μέχρι οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς οὐκ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ νοῦν καὶ φρόνημα καὶ λόγον ὑπηρέταις, ὅπερ ἦσαν, ἠξίου χρῆσθαι τοῖς γραμματεῦσι, τὰ μὲν ἐξελέγχων κακουργοῦντας αὐτούς, τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. (3) Ὡς δὲ ἦσαν ἰταμοὶ καὶ τοὺς ἄλλους ἐθώπευον ὑποτρέχοντες, ἐκείνῳ δὲ ἐπολέμουν, τὸν μὲν πρῶτον αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν ἀπήλασε τοῦ ταμείου, δευτέρῳ δέ τινι ῥᾳδιουργίας προύθηκε κρίσιν. (4) Ὧ Κάτλος Λουτάτιος ὁ τιμητὴς ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων ἀξίωμα, τὸ d δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων· ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον. Ὡς οὖν ἡττώμενος τοῖς δικαίοις ἐξῃτεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. Ἔτι δὲ μᾶλλον προσλιπαροῦντος, « Αἰσχρὸν, εἶπεν, ὦ Κάτλε, σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι. » Ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε μὲν αὐτὸν ὡς ἀμειψόμενος, εἶπε δὲ οὐδὲν, ἀλλ' εἴτε ὑπ' ὀργῆς εἴτε ὑπ' αἰσχύνης ἀπῆλθε σιωπῇ διηπο- e ρημένος. (5) Οὐ μὴν ἥλω γε ὁ ἄνθρωπος, ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλον αἱ καθαιροῦσαι καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τοῦ Κάτωνος, ὑπὸ ἀσθενείας ἀπελέλειπτο τῆς δίκης, πέμπει πρὸς τοῦτον ὁ Κάτλος δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν φορείῳ κομισθεὶς μετὰ τὴν δίκην ἔθετο τὴν ἀπολύουσαν. Οὐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ Κάτων οὐδὲ τὸν μισθὸν ἀπέδωκεν οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν.

XVII. Οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίους καὶ τοῖς πράγμασιν, ὡς αὐτὸς ἐβούλετο, χρώμενος ὀλίγῳ χρόνῳ τὸ ταμεῖον ἀπέδειξε f τοῦ βουλευτηρίου σεμνότερον, ὡς καὶ λέγειν καὶ φρονεῖν ἅπαντας, ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμείᾳ περιέθηκε. (2) Πρῶτον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλοὺς ὀφείλοντας καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην καὶ ἀδικοῦσαν, τοὺς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν, τοῖς δὲ
767 ταχέως ἀποδιδοὺς καὶ προθύμως, ὥστε τὸν δῆμον αἰ- a δεῖσθαι τοὺς μὲν οἰομένους ἀποστερήσειν ἐκτίνοντας ὁρῶντα, τοὺς δὲ ἃ μὴ προσεδόκων ἀπολαμβάνοντας. (3) Ἔπειτα γράμματα τῶν πολλῶν οὐ προσηκόντως ἀναφερόντων καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν πρότερον εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γενόμενον τοιοῦτον, ἀλλ' ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας, εἰ κύριον γέγονε, πολλῶν μαρτυρούντων οὐκ ἐπίστευσεν οὐδὲ κατέταξε πρότερον ἢ τοὺς ὑπάτους ἐπο-

rum et scribarum aliam instituit rationem. Hi enim quum hactenus publicas literas et leges suis in manibus habuissent, juvenibus subinde quæstoribus creatis ac quibus ob imperitiam et ignorationem opus esset præceptoribus aliis atque magistris, potestatem illis nequaquam concesserant, sed ipsi magistratum gesserant. Primus Cato novo modo non titulum tantum et honorem, sed et animum rationemque eo magistratu dignam attulit, scribisque (id quod erat) pro famulis usus est, partim eorum maleficia arguens, partim ignorantia peccantes erudiens. (3) Quum vero se proterve gererent, aliosque adulando dem rerentur, ipsi adversarentur, primum eorum fraudis in hæreditate commissæ compertum ab officio removit, alteri cuidam tabularum subjectarum dicam scripsit. (4) Hunc defendere aggressus est Lutatius Catulus censor, vir magnæ ob illum magistratum dignitatis, maximæ vero ob virtutem existimationis, quod justitia et temperantia omnes antecellere Romanos crederetur, laudator etiam Catonis, ejusque ob vitæ institutum familiaris. Huic quum se causa inferiorem cernens palam condonari sibi reum peteret, idque Catone prohibente magis instaret : Turpe est, inquit Cato, te, Catule, quum sis censor et de nostris factis judicare debeas, a lictoribus nostris de gradu dimoveri. Hæc locutum Catonem intuitus est quidem Catulus tanquam responsurus, dixit tamen nihil, sed sive ira sive verecundia conturbato animo tacitus abiit. (5) Non tamen damnatus est reus. Nam ut uno calculo plures damnantium quam absolventium lati sunt, Catulus ad M. Lollium (qui collegarum Catonis unus, tum ob valetudinem a judicio aberat) emisit, orans ut opitularetur reo; isque peracto jam judicio lectica allatus, suo eum suffragio absolvit. Attamen eum Cato neque pro scriba habuit neque ei mercedem persolvit, neque omnino Lollii sententiæ ullam habuit rationem.

XVII. Hoc modo repressis et cicuratis scribis, ipse rebus suo utens arbitrio, brevi tempore effecit ut major esset quæstorii quam Curiæ dignitas, utque omnes ita sentirent atque dicerent, Catonem quæsturæ consularem majestatem conciliasse. (2) Primum enim quum invenisset multos antiquitus ærario debere, vicissimque ex ærario deberi multis, eadem opera rempublicam et a ferenda et ab inferenda injuria liberavit, debitum severe et acriter exigens, nominibusque celeriter et prompte satisfaciens, quæ res verecundiam populo movit, quum et persolvere eos quos nihil reddituros putabant, et satisfieri iis qui desperaverant videret. (3) Deinde quum plerique tabulas ad ærarium contra quam fieri deberet afferrent, et superiores precibus et gratia falsa decreta recipere solerent, nihil horum Catonem fefellit, et quidem de uno aliquando dubitans genuinumne esset, multis testantibus fidem non habuit, neque prius inter cetera retulit, quam consules accessissent et jura-

μόσαι παραγενομένους. (4) Ὄντων δὲ πολλῶν, οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς γέρας ἔδωκεν ἀνὰ μυρίας δισχιλίας δραχμάς, ἅπαντες b μὲν αὐτοὺς ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνασθαι δὲ οὐδεὶς ἐτόλμα, Κάτων δὲ προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων. Οἱ δὲ τοῦτο παθόντες εὐθὺς ἦσαν ἔνοχοι φόνῳ καὶ τρόπον τινὰ προηλωκότες ἀπήγοντο πρὸς τοὺς δικαστὰς καὶ δίκας ἔτινον, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον.

XVIII. Ἥρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. Οὔτε γὰρ πρότερός c τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμιεῖον Κάτωνος οὔτε ὕστερος ἀπῆλθεν. Ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκε, δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν ἐπιψηφιζομένους. Ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. (2) Κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς ὕστερον ἠγαπᾶτο ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια μηδὲ d κρίνειν κακῶς ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν ἄκοντος Κάτωνος. (3) Τῶν δὲ ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων τῶν πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν ὅτι Μαρκέλλῳ πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένων. Ἦν δὲ ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ Κάτωνι καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις καὶ κατάντης πρὸς πᾶσαν χάριν. Εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας καὶ τὸν Μάρκελλον εὑρὼν e ἐκβεβιασμένον γράψαι τὴν δόσιν, ᾔτησε τὰς δέλτους καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ· καὶ τοῦτο πράξας κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου καὶ κατέστησεν εἰς οἶκον οὔτε τότε μεμψάμενον οὔτε ὕστερον, ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. (4) Οὐ μὴν οὐδ' ἀπαλλαγεὶς τῆς ταμιείας ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπεγραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος f πέντε ταλάντων ἀεὶ διὰ χειρὸς εἶχεν.

XIX. Εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος καὶ τελευταῖος ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ τὸ ἱμάτιον τοῦ βιβλίου προϊσχόμενος. Ἀπεδήμησε δὲ οὐδέποτε
768 βουλῆς γινομένης. Ἐπεὶ δὲ ὕστερον οἱ περὶ Πομπήιον a ἑώρων αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεί, διεμηχανῶντο φιλικαῖς τισι συν-

mento id confirmassent. (4) Porro quum multi essent, quibus iste Sylla in proscriptione ob cæsos proscriptos viritim quadragena octona sestertia præmium largitus fuerat, iique omnibus invisi et pro scelerosis pollutisque haberentur, ulcisci tamen eos auderet nemo; singulos eos Cato postulavit pecuniæ publicæ injuste possessæ, eamque exegit, iracunda interim oratione impias eis cædes exprobrans. Hi vero statim homicidii rei et præjudicio jam damnati, in jus rapiebantur atque pœnas dabant, gaudentibus omnibus existimantibusque una demum Syllanam tyrannidem exscindi, ipsumque se Syllam videre supplicio affici putantibus.

XVIII. Animos autem multitudinis assiduitas quoque ejus et indefatigata diligentia allexit. Nemo enim collegarum prior Catone ad ærarium accessit, aut posterior discessit. Idem omnibus conciliis, omni senatui interfuit, veritus et observans eos qui per gratiam debita aut vectigalia quibusvis condonare intendebant. Ita ærario sycophantis exclusis, eoque pecunia repleto, docuit licere civitati etiam absque injuria diviti esse. (2) Collegarum quoque nonnullorum, quibus invisus initio fuerat, animos eo sibi conciliavit, quod offensionum in quas cadebant eo quod pecuniam publicam non largiebantur neque injuste judicabant invidiam in se solus recipiebat, eamque sui excusandi adversus instantes et urgentes occasionem illis præbebat, quod dicerent se ipsis gratificari invito Catone nullo modo posse. (3) Postremo quæsturæ die quum esset ab universis prope civibus domum deductus, inaudivit Marcellum concursu amicorum atque potentum et precibus victum largitionem quandam, pecuniæ veluti debitæ perscripsisse. Erat autem is Marcellus a puero Catoni amicitia junctus, cumque eo magistratum optime gerebat, privatim autem facile ut precibus annueret pudore abducebatur et erat ad quamvis gratiam ineundam ingenio proclivi. Itaque statim reversus eo Cato, ut comperit vi adactum Marcellum scripsisse eam donationem, tabulas poposcit eamque delevit, tacito astante Marcello; atque hunc ab ærario secum domum abduxit, neque tum neque postmodo eo de facto querentem, sed ad extremum usque in familiaritate pristina perseverantem. (4) Jam ne defunctus quidem quæstura ærarium præsidio vacuum reliquit, sed aderant quotidie servi ipsius, qui, quæ agerentur conscriberent, et ipse libros in quibus descriptio publicæ dispensationis a Sylla ad sua usque tempora continebatur, quinque emptos talentis assiduo versabat.

XIX. Primus in senatum veniebat, discedebat ultimus; sæpe reliquis tardius convenientibus, libro togam prætendens tacite legebat. Nunquam peregre abfuit quum haberetur senatus. Postea etiam temporis, quum Pompeius eum injustis suis conatibus constantissime adversari, neque ab eo proposito detrahi ulla ratione posse videret, ideoque eum patrociniis amicorum, arbitriis, aliisque negotiis occupare,

ηγορίαις ἢ διαίταις ἢ πραγματείαις ἔξω περισπᾶν. Συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν ἀπεῖπε πᾶσι καὶ παρετάξατο βουλῆς ἀγομένης μηδὲν ἄλλο πράττειν. (2) Οὔτε γὰρ δόξης χάριν οὔτε πλεονεξίας οὔτε αὐτομάτως καὶ κατὰ τύχην, ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν προσέχειν τοῖς κοινοῖς ἢ τῷ κηρίῳ τὴν μέλιτταν, ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα καὶ δόγματα καὶ κρίσεις καὶ b πράξεις τὰς μεγίστας ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων καὶ φίλων πέμπεσθαι πρὸς αὐτόν. (3) Ἐνστὰς δέ ποτε Κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ ταράττοντι μεγάλων ἀρχὰς νεωτερισμῶν καὶ διαβάλλοντι πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία, Τερεντίας ἀδελφή, τῆς Κικέρωνος γυναικός, ἐκινδύνευσε, τὸν μὲν Κλώδιον αἰσχύνῃ περιβαλὼν ἠνάγκασεν ὑπεκστῆναι τῆς πόλεως, τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος. τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτόν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. (4) Ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν, ὥστε ῥήτορα μέν, δίκῃ τινὶ μαρτυρίας μιᾶς φερομένης, εἰπεῖν c πρὸς τοὺς δικαστάς, ὡς ἑνὶ μαρτυροῦντι προσέχειν οὐδὲ Κάτωνι καλῶς ἔχει, πολλοὺς δὲ ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων ὥσπερ ἐν παροιμίᾳ τινὶ λέγειν, ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος πιθανόν ἐστι. Μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν ἐπαναστὰς Ἀμναῖος, « Ὦ ἄνθρωπε, εἶπε, τίς ἀνέξεταί σου δειπνοῦντος μὲν ὡς Κράσσου, οἰκοδομοῦντος δὲ ὡς Λευκούλλου, δημηγοροῦντος δὲ ἡμῖν ὡς Κάτωνος; » Καὶ τῶν ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηροὺς χλευάζοντες d ἐκάλουν Κάτωνας.

XX. Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων οὐκ ᾤετο καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ φαρμάκου, δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι· καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων παραλαβὼν βιβλία καὶ φιλοσόφους ἐβάδιζεν εἰς Λευκανίαν, ἀγροὺς αὐτόθι κεκτημένος ἔχοντας οὐκ ἀνελευθέρους διατριβάς· εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ σκεύεσι καὶ ἀκολούθοις ἀπαντήσας καὶ πυθόμενος Νέπωτα Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη e σιωπῇ καὶ διαλιπὼν μικρὸν ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. (2) Τῶν δὲ φίλων θαυμασάντων, « Οὐκ ἴστε, εἶπεν, ὅτι καὶ καθ' αὑτὸν ὑπ' ἐμπληξίας φοβερός ἐστι Μέτελλος καὶ νῦν ἐκ τῆς Πομπηίου γνώμης ἀφιγμένος εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτοῦ πάντα πράγματα ταράττων; Οὐκ οὖν σχολῆς οὐδὲ ἀποδημίας καιρός, ἀλλὰ δεῖ κρατῆσαι τοῦ ἀνδρὸς ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον. » Ὅμως δὲ τῶν φίλων παραινεσάντων ἀφίκετο πρῶτον εἰς τὰ χωρία καὶ διέτριψεν οὐ πολὺν χρόνον, εἶτα ἐπανῆκεν εἰς πόλιν. (3) Ἑσπέρας δὲ ἐλθὼν εὐθὺς ἕωθεν

ne in senatum veniret, moliretur, insidiis deprehensis, omnia posthabuit totumque se in id dedit, ut convocato senatu ne quid aliud ageret. (2) Non enim gloriæ studio, non opum, neque fortuito casu, ut quidam alii, ad tractandas res publicas delatus, sed consilio, quod hoc boni viri esse officium putaret, intentiorem se reipublicæ, quam apem melli esse debere censuit; itaque operam etiam dedit ut ab amicis et hospitibus suis quos passim habebat, provinciarum administrationes, decreta, judicia et præcipua facta ad se perscriberentur. (3) Quodam tempore Clodio tribuno plebis resistens, qui gravia novarum rerum semina spargens, sacerdotibus utriusque sexus, in quibus etiam Fabia, Terentiæ Ciceronis uxoris soror, apud populum calumniando periculum crearet, ignominia circumfusum urbe excedere coegit; Ciceronem autem gratias sibi agentem, civitati acceptum hoc referre jussit; hujus enim causa se omnia agere. (4) Proinde in magna erat existimatione, adeo ut orator quidam unico teste in judicio allato judicibus diceret: Uni testi, ne si Cato quidem is esset, credendum esse; et vulgo jam de rebus incredibilibus veluti proverbium jactaretur: Ne Catone quidem affirmante hoc probabile est. Quum in senatu quidam pravis moribus ac luxuriosus verba de frugalitate et temperantia faceret, insurgens Amnæus, Quis, inquit, te ferat? qui quum Crassum cœnando, ædificando Lucullum æques, nobis ut Cato concionare. Alios quoque homines vitiosos et luxui deditos, verbis tamen gravitatem et austeritatem præferentes, subsannandi causa Catones vocabant.

XX. Porro autem multis hortantibus ut tribunatum plebis peteret, Cato vim magnæ potestatis istius veluti vehementis medicamenti non ratus negotiis levibus insumendam, solutus a republica acceptis libris et philosophis in Lucaniam profectus est; ibi enim prædia otio haud illiberali idonea possidebat. In itinere autem multis jumentis, vasis atque calonibus occurrens, quum intellexisset Metellum Nepotem tribunatus plebis petendi causa Romam reverti, tacitus constitit paululumque cunctatus, retro suos abire jussit. (2) Mirantibus hoc amicis, An ignoratis, dicebat, Metellum vel per se ob stoliditatem suam civitati metuendum esse, nunc vero adesse de sententia Pompeii atque fulminis in morem in rempublicam casurum atque omnia perturbaturum? Non igitur otii mihi aut peregrinationis tempus, sed aut inhibendus iste homo, aut præclaro certamine pro libertate oppetendum est. Tamen amicorum adhortationibus concedens prius in prædia sua venit ibique haud diu moratus, Romam rediit (3) Vesperi quum

εἰς ἀγορὰν κατέβαινε δημαρχίαν μετιὼν ὡς ἀντιταξόμενος f πρὸς τὸν Μέτελλον. Τὸ γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον ἢ πρὸς τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται, τοῦ μὴ θέλοντος μηδὲ ἐῶντος τὸ κράτος ἐστί.

XXI. Τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα 769 τῶν φίλων ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενο- a μένης ὀλίγου χρόνου πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ παρεκάλουν καὶ παρεθάῤῥυνον αὐτὸν, ὡς οὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν οὐ θελήσας, νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ πολιτείας ἀγωνιούμενος οὐκ ἀκινδύνως κάτεισι. Λέγεται δὲ, πολλῶν ὑπὸ σπουδῆς καὶ φιλοφροσύνης ὠθουμένων πρὸς αὐτὸν, ἐν κινδύνῳ γενόμενος μόλις ἐξικέσθαι διὰ πλῆθος εἰς τὴν ἀγοράν. (2) Ἀποδειχθεὶς δὲ δήμαρχος σὺν ἑτέροις καὶ τῷ Μετέλλῳ, τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίους οὔσας b ἐπετίμησε τῷ δήμῳ· καὶ καταπαύων τὸν λόγον ἐπώμοσε τοῦ δόντος ἀργύριον, ὅστις ἂν ᾖ, κατηγορήσειν, ἕνα Σιλανὸν ὑπεξελόμενος δι' οἰκειότητα· Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς εἶχε. Διὸ τοῦτον μὲν παρῆκε, Λεύκιον δὲ Μουῤῥήναν ἐδίωκεν ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. (3) Νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουῤῥήνα παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα μηδὲ ἀδίκως, ἀλλὰ γεν- c ναίως τε καὶ φιλανθρώπως ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥστε κατ' ἀγορὰν προσιὼν καὶ φοιτῶν ἐπὶ θύραις πυνθάνεσθαι τοῦ Κάτωνος, εἰ μέλλει τι σήμερον πραγματεύσασθαι τῶν περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύων ἀπῄει. (4) Τῆς δὲ δίκης λεγομένης ὁ Κικέρων, ὕπατος ὢν τότε καὶ τῷ Μουῤῥήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων γέλωτα παρεῖχε τοῖς δικασταῖς. Τὸν οὖν Κάτωνά φασι διαμειδιάσαντα πρὸς d τοὺς παρόντας εἰπεῖν· « Ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν. » (5) Ἀποφυγὼν δὲ ὁ Μουῤῥήνας οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα· καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ τῶν μεγίστων καὶ τἄλλα τιμῶν καὶ πιστεύων διετέλεσεν. Αἴτιος δὲ ἦν ὁ Κάτων αὐτὸς ἐπὶ τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων, εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.

XXII. Πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν αὐτοῦ καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις καὶ καλλίσταις γενομέναις τέλος ἐπέθηκεν. e Αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι καὶ στά-

venisset, statim mane in forum descendit tribunatum plebis petens, ut resistendi Metello facultatem haberet. Etenim ejus magistratus major est in impediendo vis, quam in agendo; et reliquis omnibus, uno excepto, quicquam decernentibus, unius illius prævalet sententia.

XXI. Principio pauci cum Catone amici fuerunt; verum ubi institutum ipsius innotuit, brevi tempore omnes boni notique cives ad eum confluxerunt, hortabanturque et confirmabant, non petere eum, sed dare beneficium patriæ optimisque civibus maximum asserentes, qui quum sæpe quiete eo magistratu defungi potuisset, nunc maluerit non sine suo periculo certaminis pro libertate et republica suscipiendi causa eum ambire. Fertur multis ad ipsum studii favorisque gratia certatim concurrentibus, pressus in turba haud sine discrimine difficulter admodum in forum evasisse. (2) Creatus tribunus plebis cum aliis et Metello, ut vidit comitia consularia venalia esse, increpuit ea de re populum acri oratione; cujus in fine juravit se eum, quicumque pecuniam dedisset populo, in jus tracturum, unicum Silanum ob necessitudinem excipiens, cujus uxor erat soror Catonis Servilia. Itaque hunc omisit. L. Murenam autem ambitus postulavit, qui largitione confecisset ut cum Silano consul designaretur. (3) Lex erat ut reus accusatori custodem daret, ne ipsum laterent quæ is accusationis causa colligeret aut pararet. Is ergo quem Murena Catoni adjunxerat, quum eum comitans passim et observans animadverteret nihil insidiose, nihil inique moliri, sed ingenue et humaniter simplicem justamque actionis formam componere; adeo admiratus est viri magnanimitatem et bonitatem, ut in foro aut domi ad eum accedens quæsierit tantum, essetne hodie aliquid eorum quæ ad accusationem pertinerent acturus, ac si negaret, fidem verbis ejus habens discesserit. (4) Quum causa ageretur, Cicero tum consul Murenæ patrocinatus est, multaque in Stoicos, propter Catonem, et illorum paradoxa ista quæ vocantur jocatus, risum judicibus movit, feruntque ipsum Catonem leniter subridentem dixisse iis qui astabant : Quam ridiculum habemus consulem! (5) Absolutus autem Murena non ut perversorum est mos stolidorumque hominum se erga Catonem gessit, sed in consulatu suo eum de maximis rebus consuluit atque in honore et existimatione perpetuo habuit. Cujus rei causa in ipso fuit Catone, qui juris defendendi causa in foro et curia quum se terribilem et durum præberet, alias humanum se omnibus et benevolum exhibebat.

XXII. Priusquam tribunatum plebis iniret, Ciceronis consulatum quum multis aliis certaminibus firmavit, tum eo inprimis, quod Catilinariæ ejus actioni amplissimæ et pulcherrimæ finem imposuit. Nam Catilina quum pestiferam totius Romanæ reipublicæ mutationem moliretur, bel-

σεις ὁμοῦ καὶ πολέμους ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος ἐξέπεσε τῆς πόλεως· Λέντλος δὲ καὶ Κέθηγος καὶ μετ' αὐτῶν ἕτεροι συχνοὶ δεξάμενοι τὴν συνωμοσίαν καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. (2) Φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέν- f των ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας· οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολούθησαν ἄχρι Καίσαρος. (3) Καῖσαρ δὲ ἀναστὰς, ἅτε δὴ καὶ δεινὸς εἰπεῖν καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος αὔξειν μᾶλλον ἢ σβεννυμένην 770 περιορᾶν, ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς a ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ εἴα τοὺς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν· οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θάνατον, ἀλλὰ εἱργμὸν, ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.

XXIII. Γενομένης δὲ τοιαύτης τῆς τροπῆς καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος καὶ δεδιττομένου τὴν βουλὴν ἐφ' οἷς αὐ- b τὸν ἔδει δεδιέναι καὶ ἀγαπᾶν εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους καὶ τὴν παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύνων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες. (2) Τοῦτον μόνον ὧν Κάτων εἶπε διασώζεσθαί φασι τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος ἐν μικροῖς c καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. Οὔπω γὰρ ἤσκουν οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν. Ἐκράτησε δ' οὖν ὁ Κάτων καὶ μετέστησε τὰς γνώμας, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

XXIV. Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσ- d κομισθῆναι τῷ Καίσαρι. Τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντος ἀναγινώσκειν τὰ γε-

laque simul et seditiones turbaret, deprehensus convictusque a Cicerone, urbe exciderat; Lentulus vero et Cethegus, cumque his alii complures conjurationis socii Catilinæ timiditatem et conatuum humilitatem incusantes, ipsi urbem incendio delere, et defectionibus populorum bellisque exteris imperium evertere statuerant. (2) Quorum quum innotuissent consilia (sicuti in Vita Ciceronis scriptum est) et in senatu quid de eis statuendum esset sententiæ proponerentur, primus omnium Silanus extremo supplicio afficiendos pronuntiavit, eique deinceps usque ad Cæsarem omnes assenserunt. (3) Cæsar, ut erat disertus, ac qui omnem in urbe mutationem motumque (quippe materiam eorum quæ jam tum animo agitabat) augeri quam exstingui mallet, surgens et multa gratiosa et humanitatis speciem habentia locutus, indemnatos eos necari non decere censuit, in carcere tamen asservandos. Ita verò, senatu populum metuente, reliquorum sententias mutavit, ut Silanus suam quoque retractaret affirmaretque non morte se eos damnasse, sed carcere; hoc enim ultimum esse civi Romano supplicium.

XXIII. Hac mutatione facta et omnibus in leniorem atque humaniorem partem inclinantibus, Cato illi sententiæ contradicturus, initio statim iram suam animique commotionem non dissimulavit, Silani inconstantiam reprehendens Cæsaremque dictis incessens, qui prætextu populari clementique in speciem oratione rempublicam subrueret, perterreretque senatum, ea in causa, in qua sibi ipse metuere debuisset et arbitrari præclare secum agi, qui suspicionem et supplicium eorum quæ acta essent evaderet, quum quidem ita palam et proterve publicos hostes eripere intenderet, seque tantæ tamque illustris patriæ sortem, cui præsens impenderet exitium, fateretur non miserari; sed eos quos ne natos quidem oportuisset, deploraret, quod ii sua morte civitatem magnis cædibus atque periculis essent liberaturi. (2) Hanc unam de omnibus Catonis orationibus exstare ferunt, per omnia curiæ loca sparsim a Cicerone dispositis ad eam excipiendam scribendi celeritate præstantibus ministris, quos ante docuerat certas notas, quæ brevibus et exiguis figuris multarum literarum vim in se haberent. Nondum enim exercebant, neque habebant eos, quos notarios appellamus; sed tunc primum vestigium ejus rei deprehensum ferunt. Enimvero obtinuit Cato et reliquos in suam sententiam traduxit, ita ut morte illi damnarentur.

XXIV. Traditum est (nam quia imaginem veluti quandam animi Catonis depingimus, ne minima quidem nobis prætermittenda videntur), quum acriter adversus Catonem tum Cæsar contenderet, in eosque intenti senatores essent, parvam tabellam Cæsari extrinsecus allatam. Quam rem quum in suspicionem traheret Cato et in sinistram partem interpretaretur, motos aliquos postulasse ut quod scriptum

γραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. Τὸν δὲ ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένον ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ προσρῖψαί τε τῷ Καίσαρι καὶ εἰπεῖν, « Κράτει, μέθυσε, » καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. (2) Φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. Αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς e ἤκουσε· τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκούλλῳ γὰρ γαμηθεῖσα, πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρί, καὶ τεκοῦσα παιδίον ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. Τὸ δὲ αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλά, καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

XXV. Εἶτα ἔγημε θυγατέρα Φιλίππου Μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα, περὶ ἧς ὁ πλεῖστος λόγος. Καὶ καθάπερ ἐν δράματι τῷ βίῳ τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον· ἐπράχθη f δὲ τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας εἰς Μουνάτιον, ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτήν, ἀναφέρων τὴν πίστιν. (2) Ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ καὶ τὸν τρόπον ἐπιεικής. Ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης εἶναι μηδὲ ἑταῖρος 771 μόνον, ἀλλ' ἁμωσγέπως εἰς οἰκειότητα καταμῖξαι καὶ a κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα Πορκίαν Βύβλῳ συνοικοῦσαν καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ. Δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικόν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον, κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι τήν τε ἀρετὴν ἄφθονον ποιεῖν καὶ πολύχυτον τοῖς γένεσι καὶ τὴν πόλιν αὐτὴν πρὸς αὑτὴν ἀνακεραννύναι ταῖς b οἰκειότησιν. Εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν οἰκειότερος αὐτῷ τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος. (3) Ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὁρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δὲ ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν τὴν αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ταῦτα ἔπραττεν εἰδὼς οὐ προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτωνα· κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. Ὁ δ' οὖν Κάτων ὁρῶν τὴν τοῦ Ὁρτησίου σπουδὴν καὶ προθυμίαν c οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ τῆς Μαρκίας. Ὡς οὖν ὁ Φίλιππος ἐντευ-

in ea esset recitaret. Tum Cæsarem Catoni prope astanti tabellam porrexisse; fuisse autem Serviliæ, sororis Catonis, epistolam impudicam ad Cæsarem, cujus amore erat corrupta. Catonem lectam eam Cæsari rursum objecisse ac dixisse : Accipe, temulente, et sic reliquum orationis persecutum. (2) Omnino autem apparet gynæceum Catoni infortunatum fuisse. Quippe ex duabus Serviliis sororibus ejus hæc ob Cæsarem erat infamis, alterius major etiam turpitudo, quæ Lucullo primum inter Romanos gloriæ gradum obtinenti nupta, quum eum prolis unius patrem reddidisset, ob impudicitiam domo est ejecta. Et quod erat summum, ipsa etiam Atilia Catonis uxor ejus criminis pura non fuit, ita ut eam, quamvis binos ex ea sustulisset liberos, coactus sit ob vitæ inhonestatem repudiare.

XXV. Duxit deinde Marciam Philippi filiam egregiam mulierem, de qua multi sunt variique sermones. Atque in vita Catonis, quemadmodum in fabula, hæc pars omnium maxime ambigua est, difficilesque habet explicatus. Thraseas rem ita, ut sequitur, actam scribit, auctorem hujus historiæ Munatium Catonis amicum et contubernalem nominans. (2) Inter multos amatores admiratoresque Catonis, quorum alii studium suum aliis apertius præ se ferebant, etiam Q. Hortensius fuit, vir magna existimatione probatisque moribus. Hic non contentus se socium esse Catonis et familiarem, necessitate insuper aliqua et communitate totam familiam suam cum Catoniana permiscere animum induxit. Itaque conatus est persuadere Catoni, ut is sibi filiam Porciam, quæ Bibulo nupta erat, bisque jam eum patrem fecerat, traderet, uti ex ipsa, tanquam bonæ frugis fertili, liberos susciperet. Hominum quidem opinione absurdum hoc videri, re ipsa præclarum esse et civile, ut mulier integra ætate florens neque neglecta virtutem sobolis dandæ perdat, neque plures quam requirantur liberos pariendo gravet, atque ad pauperiem redigat maritum nihil porro prolis indigentem, sed communem dignis viris liberûm suscipiendorum facultatem præbeat, virtutemque multiplicet et in multa genera diffundat, quibus necessitatibus ipsa deinde inter se civitas quasi commisceatur. Quodsi omnino uxor Bibulo cordi sit, se eam ipsi, simulatque ex se peperisset, redditurum, arctius hac liberûm communitate Bibulo ipsi et Catoni conjunctum. (3) Quum ad hæc responderet Cato, probari quidem sibi Hortensium affinem, sed de filiæ jam traditæ alteri nuptiis abs re sermonem fieri, mutata oratione Hortensius haud dubitavit animo suo detecto ipsam Catonis uxorem petere, ætate adhuc ad pariendum habilem, quum satis jam liberorum esset Catoni Neque vero id prætendere potuit, eam a marito negligi, nam gravida tum quoque fertur fuisse. Cato, animadverso Hortensii studio atque desiderio, non adversatus est, Marciæ tantum patris Philippi consensum requiri dixit; atque is

σεις ὁμοῦ καὶ πολέμους ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος ἐξέπεσε τῆς πόλεως· Λέντλος δὲ καὶ Κέθηγος καὶ μετ' αὐτῶν ἕτεροι συχνοὶ δεξάμενοι τὴν συνωμοσίαν καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. (2) Φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέν- f
των ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας· οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολούθησαν ἄχρι Καίσαρος. (3) Καῖσαρ δὲ ἀναστάς, ἅτε δὴ καὶ δεινὸς εἰπεῖν καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος αὔξειν μᾶλλον ἢ σβεννυμένην
770 περιορᾶν, ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς a
ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ εἴα τοὺς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν· οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θάνατον, ἀλλὰ εἱργμόν, ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.

XXIII. Γενομένης δὲ τοιαύτης τῆς τροπῆς καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους τόν τε Σιλανὸν καχίζων τῆς μεταβολῆς καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος καὶ δεδιττομένου τὴν βουλὴν ἐφ' οἷς αὐ- b
τὸν ἔδει δεδιέναι καὶ ἀγαπᾶν εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους καὶ τὴν παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύνων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες. (2) Τοῦτον μόνον ὧν Κάτων εἶπε διασῴζεσθαί φασι τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος ἐν μικροῖς c
καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. Οὔπω γὰρ ἤσκουν οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν. Ἐκράτησε δ' οὖν ὁ Κάτων καὶ μετέστησε τὰς γνώμας, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

XXIV. Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσ- d
κομισθῆναι τῷ Καίσαρι. Τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντος ἀναγινώσκειν τὰ γε-

laque simul et seditiones turbaret, deprehensus convictusque a Cicerone, urbe exciderat; Lentulus vero et Cethegus, cumque his alii complures conjurationis socii Catilinæ timiditatem et conatuum humilitatem incusantes, ipsi urbem incendio delere, et defectionibus populorum bellisque exteris imperium evertere statuerant. (2) Quorum quum innotuissent consilia (sicuti in Vita Ciceronis scriptum est) et in senatu quid de eis statuendum esset sententiæ proponerentur, primus omnium Silanus extremo supplicio afficiendos pronuntiavit, eique deinceps usque ad Cæsarem omnes assenserunt. (3) Cæsar, ut erat disertus, ac qui omnem in urbe mutationem motumque (quippe materiam eorum quæ jam tum animo agitabat) augeri quam exstingui mallet, surgens et multa gratiosa et humanitatis speciem habentia locutus, indemnatos eos necari non decere censuit, in carcere tamen asservandos. Ita verò, senatu populum metuente, reliquorum sententias mutavit, ut Silanus suam quoque retractaret affirmaretque non morte se eos damnasse, sed carcere; hoc enim ultimum esse civi Romano supplicium.

XXIII. Hac mutatione facta et omnibus in leniorem atque humaniorem partem inclinantibus, Cato illi sententiæ contradicturus, initio statim iram suam animique commotionem non dissimulavit, Silani inconstantiam reprehendens Cæsaremque dictis incessens, qui prætextu populari clementique in speciem oratione rempublicam subrueret, perterreretque senatum, ea in causa, in qua sibi ipse metuere debuisset et arbitrari præclare secum agi, qui suspicionem et supplicium eorum quæ acta essent evaderet, quum quidem ita palam et proterve publicos hostes eripere intenderet, seque tantæ tamque illustris patriæ sortem, cui præsens impenderet exitium, fateretur non miserari; sed eos quos ne natos quidem oportuisset, deploraret, quod ii sua morte civitatem magnis cædibus atque periculis essent liberaturi. (2) Hanc unam de omnibus Catonis orationibus exstare ferunt, per omnia curiæ loca sparsim a Cicerone dispositis ad eam excipiendam scribendi celeritate præstantibus ministris, quos ante docuerat certas notas, quæ brevibus et exiguis figuris multarum literarum vim in se haberent. Nondum enim exercebant, neque habebant eos, quos notarios appellamus; sed tunc primum vestigium ejus rei deprehensum ferunt. Enimvero obtinuit Cato et reliquos in suam sententiam traduxit, ita ut morte illi damnarentur.

XXIV. Traditum est (nam quia imaginem veluti quamdam animi Catonis depingimus, ne minima quidem nobis prætermittenda videntur), quum acriter adversus Catonem tum Cæsar contenderet, in eosque intenti senatores essent, parvam tabellam Cæsari extrinsecus allatam. Quam [illegible] quum in suspicionem traheret Cato et in sinistram [illegible] interpretaretur, motos aliquos postulasse ut quod [illegible]

γραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. Τὸν δὲ ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένον ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ προσρῖψαί τε τῷ Καίσαρι καὶ εἰπεῖν, « Κράτει, μέθυσε, » καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. (2) Φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. Αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς e ἤκουσε· τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκούλλῳ γὰρ γαμηθεῖσα, πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρί, καὶ τεκοῦσα παιδίον ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. Τὸ δὲ αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλά, καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

XXV. Εἶτα ἔγημε θυγατέρα Φιλίππου Μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα, περὶ ἧς ὁ πλεῖστος λόγος. Καὶ καθάπερ ἐν δράματι τῷ βίῳ τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον· ἐπράχθη f δὲ τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας εἰς Μουνάτιον, ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτήν, ἀναφέρων τὴν πίστιν. (2) Ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ καὶ τὸν τρόπον ἐπιεικής. Ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης εἶναι μηδὲ ἑταῖρος
771 μόνον, ἀλλ' ἁμωσγέπως εἰς οἰκειότητα καταμῖξαι καὶ a κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα Πορκίαν Βύβλῳ συνοικοῦσαν καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ. Δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικόν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον, κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι τήν τε ἀρετὴν ἄφθονον ποιεῖν καὶ πολύχυτον τοῖς γένεσι καὶ τὴν πόλιν αὐτὴν πρὸς αὐτὴν ἀνακεραννύναι ταῖς b οἰκειότησιν. Εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν οἰκειότερος [illegible] τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος. (3) Ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὁρτήσιον [illegible] ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, [illegible] ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς [illegible] δεδομένης, μεταβαλὼν ἐκεῖνος οὐκ ὤκνησεν [illegible] ψάμενος αἰτεῖν τὴν αὐτοῦ γυναῖκα Κάτωνος, [illegible] οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος [illegible] χρῶσαν διαδοχήν. Καὶ οὐκ ἔστιν εἰπεῖν [illegible] ἔπραττεν εἰδὼς οὐ προσέχοντ[illegible] κύουσαν γὰρ αὐτὴν τότε τυ[illegible] Κάτων ὁρῶν τὴν τοῦ Ὁρτη[illegible] οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη δεῖν [illegible] τῷ πατρὶ τῆς Μαρκίας. [illegible]

in ea esset recitaret. Tum Cæsarem Catoni [illegible] tabellam porrexisse; fuisse autem Serviliæ, [illegible] epistolam impudicam ad Cæsarem, cujus [illegible] rupta. Catonem lectam eam Cæsari rursum [illegible] dixisse : Accipe, temulente, et sic reliquum [illegible] cutum. (2) Omnino autem apparet [illegible] fortunatum fuisse. Quippe ex duabus Ser[illegible] ejus hæc ob Cæsarem erat infamis, [illegible] turpitudo, quæ Lucullo primum inter [illegible] dum obtinenti nupta, quum eum prolem [illegible] didisset, ob impudicitiam domo est ejecta. [illegible] summum, ipsa etiam Atilia Catonis [illegible] non fuit, ita ut eam, quamvis [illegible] ros, coactus sit ob vitæ [illegible]

XXV. Duxit deinde [illegible] mulierem, de qua [illegible] vita Catonis, [illegible] maxime ambigua est. [illegible] seas rem ita, ut [illegible] historiæ Munatium [illegible] minans. (2) Inter [illegible] quorum alii [illegible] etiam Q. Hortens[illegible] que moribus. [illegible] familiarem, [illegible] tam [illegible] induxit. [illegible] filiam [illegible] patrem [illegible] ferti[illegible] [illegible] tis [illegible] lem [illegible] ro- [illegible] ha- [illegible] ressus [illegible] tionis [illegible] horri- [illegible] per- [illegible], uni- [illegible] disjectis [illegible] con- [illegible] quoquo [illegible] omnes.

ἀποδημίαν. (2) Προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν καὶ τὸν μάγειρον, ὅπου καταλύσειν ἔμελλεν. Οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος ἢ γνώριμος, ἐν πανδοχείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον ἐνοχλοῦντες οὐδενί· πανδοχείου δὲ μὴ e ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας τραπόμενοι ξενίαν ἐλάμβανον ἀγαπῶντες τὴν δοθεῖσαν. (3) Πολλάκις δὲ ἀπιστούμενοι καὶ περιορώμενοι διὰ τὸ μὴ θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράσσειν πρὸς τοὺς ἄρχοντας ὑπὸ τοῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον αὐτὸς ὀφθεὶς ὠλιγωρεῖτο καὶ παρεῖχεν ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ περιδεοῦς. Οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτοὺς εἰώθει λέγειν· « Ὦ μοχθηροί, μεταβάλεσθε ταύτης τῆς κακοξενίας. Οὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. Ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξουσίαν τῶν δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ f τυγχάνοντες. »

XIII. Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν. Βαδίζων γὰρ εἰς Ἀντιόχειαν εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων, ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι καὶ παῖδες ἑτέρωθι κοσμίως εἱστήκεσαν, ἐσθῆτας δὲ καθαρὰς
765 ἔνιοι καὶ στεφάνους εἶχον ἱερεῖς θεῶν ὄντες ἢ ἄρχον- a
τες. Πάντων οὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὐτῷ τινα πράττεσθαι τιμὴν καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν, ἐκέλευσε δὲ καταβῆναι τοὺς φίλους καὶ πεζῇ προῄει μετ' αὐτῶν. (2) Ὡς δὲ ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ τὸν ὄχλον εἰς τάξιν καθιστάς, ἀνὴρ πρεσβύτερος ἤδη ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ Κάτωνι πρὸ τῶν ἄλλων καὶ μηδ' ἀσπασάμενος ἠρώτα, ποῦ Δημήτριον ἀπολελοίπασι καὶ πηνίκα παρέσται. Πομπηίου δ' ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήιον ἀποβλεπόντων b ἐθεραπεύετο παρ' ἀξίαν μέγα παρ' αὐτῷ δυνάμενος. Τοῖς μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστε ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο διὰ τοῦ πλήθους ἅμα βαδίζοντες, ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπείς, « Ὦ τῆς κακοδαίμονος, ἔφη, πόλεως, » ἄλλο δὲ οὐδὲν ἐφθέγξατο, χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ τούτῳ καὶ διηγούμενος καὶ μνημονεύων.

XIV. Οὐ μὴν ἀλλὰ Πομπήιος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι' ἄγνοιαν. Ὡς γὰρ εἰς Ἔφεσον ἐλθὼν ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος πρεσβύτερον ὄντα καὶ δόξῃ πολὺ c προήκοντα καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήιος οὐκ ἔμεινεν οὐδὲ εἴασε καθεζομένῳ προσελθεῖν, ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε καὶ τὴν δεξιὰν ἐνέβαλε. Καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα,

ita peregrinationem instituit. (2) Prima luce pistorem coquumque eo, ubi esset pernoctaturus, præmittebat. Hi composite admodum et tranquille urbem ingressi, si nullum paternum hospitem Catonis aut notum ibi offendissent, diversorium ei apud cauponem parabant, nemini molesti; quodsi ne caupona quidem esset, ibi tum magistratum adibant et diversorium petebant, datumque boni consulebant. (3) Sæpe etiam a magistratibus fides eis non est habita, contemptique quod nullo tumultu, nullis minis hæc agerent, re adhuc infecta, Catone eis superveniente, isque ipse apud clitellas tacitus sedens, majori despicatui materiam præbebat, pro abjecto et obnoxii animi homine habitus. Verumtamen vocato ad se magistratu solebat dicere : Corrigite, o pravi homines, perversam hanc hospitum excipiendorum rationem, et comitate vestra eorum qui venient (neque enim semper Catones ad vos venient) potentiam frangite, occasionem captantium ut vi vobis eripiant, quæ ultro dare nolueritis.

XIII. Ridiculum est quod ei in Syria usu venisse dicitur. Quum ad Antiochiam accessisset, ante portas urbis magnam hominum multitudinem ab utroque viæ latere effusam offendit; erant autem adolescentes seorsum chlamydibus induti, et pueri honeste ornati seorsum stabant, tum sacerdotes deûm, vel magistratus puris in vestibus coronati. Nihil aliud itaque ratus quam sui excipiendi gratia hunc honorem a civitate paratum, suis, quos præmiserat, succensuit, qui non prohibuissent, jussitque amicos ab equis descendere, peditesque secum incedere. (2) Ut proxime accesserunt, pompæ istius magister atque instructor, homo jam provectæ ætatis, manu baculum et coronam tenens Catoni ante alios occurrit, et ubi Demetrium reliquissent, ac quando is esset venturus, ne salutatum quidem interrogavit. Erat is Demetrius Pompeii libertus; omnibus autem tunc fere hominibus in Pompeium, apud quem magni erat ille ponderis, oculos conjicientibus, ultra quam dignum homine esset colebatur. Amicis itaque Catonis tantus est obortus risus, ut inhibere eum incedentes per turbam non possent, Cato autem tunc vehementer conturbatus, nihil aliud dixit, quam : Proh infelicem urbem! Postea temporis ipse quoque recordans aut recitans id factum, ridere est solitus.

XIV. Enimvero ipse Pompeius eos qui per ignorantiam ita Catonem neglexerant, suo exemplo erudiit. Quum enim Cato ipsius, ut senioris et gloria amplissimi, maximarumque tum copiarum ducis salutandi causa Ephesum venisset, conspicatus eum Pompeius non permisit, ut se sedentem adiret, sed tanquam ad præstantiorem, exsiliens de solio accurrit, dextramque injecit, multisque inter complexus ipsos et salutationem, pluribus etiam digressi virtutem præ-

πλείω δὲ ἔτι μεταστάντος ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς, ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ Κάτωνι θαυμάζειν ἐξ ὧν πρότερον κατεφρονεῖτο καὶ πρᾳότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. (2) Καὶ γὰρ ἡ Πομπηίου σπουδὴ περὶ αὐτὸν οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλλον ἢ φιλοῦντος, ἀλλ' ἔγνωσαν, ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δὲ ἀπερχομένῳ. d
Τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχε καὶ ποθῶν αὐτῷ συνεῖναι, τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων ἐκείνου παρόντος ἐξέπεμψεν ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. (3) Ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων καὶ δεῖπνα καὶ κλήσεις, ἐν οἷς τοὺς φίλους ἐκέλευε προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν Κουρίωνος λόγον. Ὁ γὰρ Κουρίων ἀχθόμενος τῷ αὐστηρῷ τοῦ Κάτωνος, e
φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν, εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς Ἀσίας θεατής. Τοῦ δὲ καὶ πάνυ φήσαντος, « Εὖ λέγεις, » εἶπεν ὁ Κουρίων, « ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν καὶ μᾶλλον ἥμερος, » οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος.

XV. Δηιόταρος δὲ ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα πρεσβύτερος ὢν ἤδη παραθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος καὶ τὸν οἶκον, ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπὰ καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον οὕτω παρώξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτε- f
ρεύσαντα τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. (2) Προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ δώρων αὖθις αὐτὸν ὑπομένοντα καὶ γράμματα τοῦ Γαλάτου δεομένου λαβεῖν αὐτόν· εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι' ἐκεῖνον, οὐκ ὄντων δὲ
766 τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. (3) Ἀλλ' οὐδὲ a
τούτοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν, ἀλλὰ φήσας ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν· οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηιόταρον. (4) Ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καπίωνος εἰς ἕτερον θέσθαι πλοῖον, εἰπὼν ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον ἢ τούτων, ἀνήχθη. Καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα περᾶσαι, τῶν ἄλλων μετρίως κομιζομένων.

XVI. Ἐπανελθὼν δὲ εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον κατ' οἶκον Ἀθηνοδώρῳ ἢ κατ' ἀγορὰν τοῖς φί- b
λοις παριστάμενος διετέλεσεν. Ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν ἢ τούς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. (2) Ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ τα-

dicavit, ita ut conversi omnes intentique jam Catoni, quem prius sprevissent, ejus tum mansuetudinem animique magnitudinem cum admiratione considerarent. (2) Neque enim obscurum erat Pompeii erga ipsum studium, demerentis magis quam amantis; intelligebaturque eum Catonem præsentem admirari, discessu ejus lætari. Nam reliquos juvenes qui ad se venissent Pompeius magna cupiditate atque desiderio secum detinebat, a Catone nihil tale petebat, sed quasi eo præsente sua libere uti potestate nequiret, ita libenter dimittebat, soli fere ei omnium qui Romam navigarent liberos suos uxoremque commendans, alioquin etiam genere ipsi conjunctos. (3) Certatim exinde civitates Catoni operam dare, eum invitare, et convivia præbere. Qua in re Cato a sociis se observari jussit, ecquid imprudens dictum Curionis ipse confirmaret. Etenim Curio amicus et familiaris Catonis, austeritatem ejus iniquius ferens, percontatus fuerat, haberetne in animo exacta militia Asiam perlustrare. Quumque id affirmasset : Bene tu, responderat; jucundior enim inde et mansuetior redibis (hoc enim fere usus est verbo).

XV. Ceterum Dejotarus Galata, ætate jam provectior Catonem acciverat, ut ei liberos suos familiamque committeret, venientique quum varia munera offerret, utque ea acciperet omnibus modis sollicitaret, ita hominem irritavit, ut quum sub vesperam venisset, ibique pernoctasset, postridie tertia hora discederet. (2) Verum unius diei progressus iter, Pessinunte plura prioribus dona ipsum exspectantia offendit, cum literis Dejotari, precantis ut acciperet; sin abhorreret, at amicis eorum accipiendorum potestatem faceret, dignis utique quibus propter ipsum aliquid boni contingeret, quum quidem de suo ditare eos ipse non posset. (3) Sed ne tum quidem Cato concessit, quamvis videret nonnullos amicorum delinitos, ipsumque tacite incusare; verum inquiens omni munerum acceptioni prætextum aliquem inveniri posse, se cum amicis ea quæ honeste possideret communicaturum, dona ista ad Dejotarum remisit. (4) Trajecturo Brundusium amici suadebant ut reliquias Cæpionis in aliud navigium imponeret, quibus ille respondens : animum se potius quam istas relicturum, solvit periculosissime quidem fortuna, ut aiunt, quadam, quum reliqui satis commode navigassent.

XVI. Romam reversus aut Athenodoro, aut in foro amicis operam dedit. Quæsturam autem cujus petendæ tempus appetierat, non ante ambiit, quam leges quæstorias legisset, singula ex peritis esset procontatus et ejus magistratus jus summatim animo informasset. (2) Itaque simul atque quæstor est constitutus, ærarii statim administro-

μεῖον ὑπηρετῶν καὶ γραμματέων, οἱ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους ἄρχοντας παραλαμβάνοντες δι' ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλὰ ἦσαν ἄρχοντες c αὐτοί, μέχρι οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς οὐχ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ νοῦν καὶ φρόνημα καὶ λόγον ὑπηρέταις, ὅπερ ἦσαν, ἠξίου χρῆσθαι τοῖς γραμματεῦσι, τὰ μὲν ἐξελέγχων κακουργοῦντας αὐτούς, τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. (3) Ὡς δὲ ἦσαν ἰταμοὶ καὶ τοὺς ἄλλους ἐθώπευον ὑποτρέχοντες, ἐκείνῳ δὲ ἐπολέμουν, τὸν μὲν πρῶτον αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν ἀπήλασε τοῦ ταμείου, δευτέρῳ δέ τινι ῥᾳδιουργίας προὔθηκε κρίσιν. (4) Ὧ Κάτλος Λουτάτιος ὁ τιμητὴς ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων ἀξίωμα, τὸ d δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων· ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον. Ὡς οὖν ἡττώμενος τοῖς δικαίοις ἐξῃτεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. Ἔτι δὲ μᾶλλον προσλιπαροῦντος, « Αἰσχρόν, εἶπεν, ὦ Κάτλε, σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι. » Ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε μὲν αὐτὸν ὡς ἀμειψόμενος, εἶπε δὲ οὐδέν, ἀλλ' εἴτε ὑπ' ὀργῆς εἴτε ὑπ' αἰσχύνης ἀπῆλθε σιωπῇ διηπο- e ρημένος. (5) Οὐ μὴν ἥλω γε ὁ ἄνθρωπος, ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλον αἱ καθαιροῦσαι καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τοῦ Κάτωνος, ὑπὸ ἀσθενείας ἀπελέλειπτο τῆς δίκης, πέμπει πρὸς τοῦτον ὁ Κάτλος δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν φορείῳ κομισθεὶς μετὰ τὴν δίκην ἔθετο τὴν ἀπολύουσαν. Οὐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ Κάτων οὐδὲ τὸν μισθὸν ἀπέδωκεν οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν.

XVII. Οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίους καὶ τοῖς πράγμασιν, ὡς αὐτὸς ἐβούλετο, χρώμενος ὀλίγῳ χρόνῳ τὸ ταμεῖον ἀπέδειξε f τοῦ βουλευτηρίου σεμνότερον, ὥς καὶ λέγειν καὶ φρονεῖν ἅπαντας, ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ περιέθηκε. (2) Πρῶτον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλοὺς ὀφείλοντας καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην καὶ ἀδικοῦσαν, τοὺς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν, τοῖς δὲ 767 ταχέως ἀποδιδοὺς καὶ προθύμως, ὥστε τὸν δῆμον αἰ- a δεῖσθαι τοὺς μὲν οἰομένους ἀποστερήσειν ἐκτίνοντας ὁρῶντα, τοὺς δὲ ἃ μὴ προσεδόκων ἀπολαμβάνοντας. (3) Ἔπειτα γράμματα τῶν πολλῶν οὐ προσηκόντως ἀναφερόντων καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν πρότερον εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γενόμενον τοιοῦτον, ἀλλ' ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας, εἰ κύριον γέγονε, πολλῶν μαρτυρούντων οὐκ ἐπίστευσεν οὐδὲ κατέταξε πρότερον ἢ τοὺς ὑπάτους ἐπο-

rum et scribarum aliam instituit rationem. Hi enim quum hactenus publicas literas et leges suis in manibus habuissent, juvenibus subinde quæstoribus creatis ac quibus ob imperitiam et ignorationem opus esset præceptoribus aliis atque magistris, potestatem illis nequaquam concesserant, sed ipsi magistratum gesserant. Primus Cato novo modo non titulum tantum et honorem, sed et animum rationemque eo magistratu dignam attulit, scribisque (id quod erat) pro famulis usus est, partim eorum maleficia arguens, partim ignorantia peccantes erudiens. (3) Quum vero se proterve gererent, alioseque adulando dem rerentur, ipsi adversarentur, primum eorum fraudis in hæreditate commissæ compertum ab officio removit, alteri cuidam tabularum subjectarum dicam scripsit. (4) Hunc defendere aggressus est Lutatius Catulus censor, vir magnæ ob illum magistratum dignitatis, maximæ vero ob virtutem existimationis, quod justitia et temperantia omnes antecellere Romanos crederetur, laudator etiam Catonis, ejusque ob vitæ institutum familiaris. Huic quum se causa inferiorem cernens palam condonari sibi reum peteret, idque Catone prohibente magis instaret : Turpe est, inquit Cato, te, Catule, quum sis censor et de nostris factis judicare debeas, a lictoribus nostris de gradu dimoveri. Hæc locutum Catonem intuitus est quidem Catulus tanquam responsurus, dixit tamen nihil, sed sive ira sive verecundia conturbato animo tacitus abiit. (5) Non tamen damnatus est reus. Nam ut uno calculo plures damnantium quam absolventium lati sunt, Catulus ad M. Lollium (qui collegarum Catonis unus, tum ob valetudinem a judicio aberat) emisit, orans ut opitularetur reo; isque peracto jam judicio lectica allatus, suo eum suffragio absolvit. Attamen eum Cato neque pro scriba habuit neque ei mercedem persolvit, neque omnino Lollii sententiæ ullam habuit rationem.

XVII. Hoc modo repressis et cicuratis scribis, ipse rebus suo utens arbitrio, brevi tempore effecit ut major esset quæstorii quam Curiæ dignitas, utque omnes ita sentirent atque dicerent, Catonem quæsturæ consularem majestatem conciliasse. (2) Primum enim quum invenisset multos antiquitus ærario debere, vicissimque ex ærario deberi multis, eadem opera rempublicam et a ferenda et ab inferenda injuria liberavit, debitum severe et acriter exigens, nominibusque celeriter et prompte satisfaciens, quæ res verecundiam populo movit, quum et persolvere eos quos nihil reddituros putabant, et satisfieri iis qui desperaverant videret. (3) Deinde quum plerique tabulas ad ærarium contra quam fieri deberet afferrent, et superiores precibus et gratia falsa decreta recipere solerent, nihil horum Catonem fefellit, et quidem de uno aliquando dubitans genuinumne esset, multis testantibus fidem non habuit, neque prius inter cetera retulit, quam consules accessissent et jura-

μόσαι παραγενομένους. (4) Ὄντων δὲ πολλῶν, οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς γέρας ἔδωκεν ἀνὰ μυρίας δισχιλίας δραχμάς, ἅπαντες b μὲν αὐτοὺς ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνασθαι δὲ οὐδεὶς ἐτόλμα, Κάτων δὲ προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων. Οἱ δὲ τοῦτο παθόντες εὐθὺς ἦσαν ἔνοχοι φόνῳ καὶ τρόπον τινὰ προηλωκότες ἀπήγοντο πρὸς τοὺς δικαστὰς καὶ δίκας ἔτινον, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον.

XVIII. Ἥρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. Οὔτε γὰρ πρότερός c τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμεῖον Κάτωνος οὔτε ὕστερος ἀπῆλθεν. Ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκε, δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν ἐπιψηφιζομένους. Ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. (2) Κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς ὕστερον ἠγαπᾶτο ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια μηδὲ d κρίνειν κακῶς ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν ἄκοντος Κάτωνος. (3) Τῶν δὲ ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων τῶν πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν ὅτι Μαρκέλλῳ πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένων. Ἦν δὲ ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ Κάτωνι καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις καὶ κατάντης πρὸς πᾶσαν χάριν. Εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας καὶ τὸν Μάρκελλον εὑρὼν e ἐκβεβιασμένον γράψαι τὴν δόσιν, ᾔτησε τὰς δέλτους καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ· καὶ τοῦτο πράξας κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου καὶ κατέστησεν εἰς οἶκον οὔτε τότε μεμψάμενον οὔτε ὕστερον, ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. (4) Οὐ μὴν οὐδ' ἀπαλλαγεὶς τῆς ταμιείας ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος f πέντε ταλάντων ἀεὶ διὰ χειρὸς εἶχεν.

XIX. Εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος καὶ τελευταῖος ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ τὸ ἱμάτιον τοῦ βιβλίου προϊσχόμενος. Ἀπεδήμησε δὲ οὐδέποτε 768 βουλῆς γινομένης. Ἐπεὶ δὲ ὕστερον οἱ περὶ Πομπήιον a ἑώρων αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεί, διεμηχανῶντο φιλικαῖς τισι συν-

mento id confirmassent. (4) Porro quum multi essent, quibus iste Sylla in proscriptione ob cæsos proscriptos viritim quadragena octona sestertia præmium largitus fuerat, iique omnibus invisi et pro scelerosis pollutisque haberentur, ulcisci tamen eos auderet nemo; singulos eos Cato postulavit pecuniæ publicæ injuste possessæ, eamque exegit, iracunda interim oratione impias eis cædes exprobrans. Hi vero statim homicidii rei et præjudicio jam damnati, in jus rapiebantur atque pœnas dabant, gaudentibus omnibus existimantibusque una demum Syllanam tyrannidem exscindi, ipsumque se Syllam videre supplicio affici putantibus.

XVIII. Animos autem multitudinis assiduitas quoque ejus et indefatigata diligentia allexit. Nemo enim collegarum prior Catone ad ærarium accessit, aut posterior discessit. Idem omnibus conciliis, omni senatui interfuit, veritus et observans eos qui per gratiam debita aut vectigalia quibusvis condonare intendebant. Ita ærario sycophantis exclusis, eoque pecunia repleto, docuit licere civitati etiam absque injuria diviti esse. (2) Collegarum quoque nonnullorum, quibus invisus initio fuerat, animos eo sibi conciliavit, quod offensionum in quas cadebant eo quod pecuniam publicam non largiebantur neque injuste judicabant invidiam in se solus recipiebat, eamque sui excusandi adversus instantes et urgentes occasionem illis præbebat, quod dicerent se ipsis gratificari invito Catone nullo modo posse. (3) Postremo quæsturæ die quum esset ab universis prope civibus domum deductus, inaudivit Marcellum concursu amicorum atque potentum et precibus victum largitionem quandam, pecuniæ veluti debitæ perscripsisse. Erat autem is Marcellus a puero Catoni amicitia junctus, cumque eo magistratum optime gerebat, privatim autem facile ut precibus annueret pudore abducebatur et erat ad quamvis gratiam ineundam ingenio proclivi. Itaque statim reversus eo Cato, ut comperit vi adactum Marcellum scripsisse eam donationem, tabulas poposcit eamque delevit, tacito astante Marcello; atque hunc ab ærario secum domum abduxit, neque tum neque postmodo eo de facto querentem, sed ad extremum usque in familiaritate pristina perseverantem. (4) Jam ne defunctus quidem quæstura ærarium præsidio vacuum reliquit, sed aderant quotidie servi ipsius, qui, quæ agerentur conscriberent, et ipse libros in quibus descriptio publicæ dispensationis a Sylla ad sua usque tempora continebatur, quinque emptos talentis assiduo versabat.

XIX. Primus in senatum veniebat, discedebat ultimus; sæpe reliquis tardius convenientibus, libro togam prætendens tacite legebat. Nunquam peregre abfuit quum haberetur senatus. Postea etiam temporis, quum Pompeius eum injustis suis conatibus constantissime adversari, neque ab eo proposito detrahi ulla ratione posse videret, ideoque eum patrociniis amicorum, arbitriis, aliisque negotiis occupare,

ηγορίαις ἢ διαίταις ἢ πραγματείαις ἔξω περισπᾶν. Συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν ἀπεῖπε πᾶσι καὶ παρετάξατο βουλῆς ἀγομένης μηδὲν ἄλλο πράττειν. (2) Οὔτε γὰρ δόξης χάριν οὔτε πλεονεξίας οὔτε αὐτομάτως καὶ κατὰ τύχην, ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν προσέχειν τοῖς κοινοῖς ἢ τῷ κηρίῳ τὴν μέλιτταν, ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα καὶ δόγματα καὶ κρίσεις καὶ b πράξεις τὰς μεγίστας ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων καὶ φίλων πέμπεσθαι πρὸς αὐτόν. (3) Ἐνστὰς δέ ποτε Κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ ταράττοντι μεγάλων ἀρχὰς νεωτερισμῶν καὶ διαβάλλοντι πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία, Τερεντίας ἀδελφή, τῆς Κικέρωνος γυναικός, ἐκινδύνευσε, τὸν μὲν Κλώδιον αἰσχύνη περιβαλὼν ἠνάγκασεν ὑπεκστῆναι τῆς πόλεως, τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος, τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτόν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. (4) Ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν, ὥστε ῥήτορα μέν, δίκῃ τινὶ μαρτυρίας μιᾶς φερομένης, εἰπεῖν c πρὸς τοὺς δικαστάς, ὡς ἑνὶ μαρτυροῦντι προσέχειν οὐδὲ Κάτωνι καλῶς ἔχει, πολλοὺς δὲ ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων ὥσπερ ἐν παροιμίᾳ τινὶ λέγειν, ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος πιθανόν ἐστι. Μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν ἐπαναστὰς Ἀμναῖος, « Ὦ ἄνθρωπε, εἶπε, τίς ἀνέξεταί σου δειπνοῦντος μὲν ὡς Κράσσου, οἰκοδομοῦντος δὲ ὡς Λευκούλλου, δημηγοροῦντος δὲ ἡμῖν ὡς Κάτωνος; » Καὶ τῶν ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηροὺς χλευάζοντες d ἐκάλουν Κάτωνας.

XX. Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων οὐκ ᾤετο καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ φαρμάκου, δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι· καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων παραλαβὼν βιβλία καὶ φιλοσόφους ἐβάδιζεν εἰς Λευκανίαν, ἀγροὺς αὐτόθι κεκτημένος ἔχοντας οὐκ ἀνελευθέρους διατριβάς· εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ σκεύεσι καὶ ἀκολούθοις ἀπαντήσας καὶ πυθόμενος Νέπωτα Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη e σιωπῇ καὶ διαλιπὼν μικρὸν ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. (2) Τῶν δὲ φίλων θαυμασάντων, « Οὐκ ἴστε, εἶπεν, ὅτι καὶ καθ' αὑτὸν ὑπ' ἐμπληξίας φοβερός ἐστι Μέτελλος καὶ νῦν ἐκ τῆς Πομπηίου γνώμης ἀφιγμένος εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτοῦ πάντα πράγματα ταράττων; Οὐκ οὖν σχολῆς οὐδὲ ἀποδημίας καιρός, ἀλλὰ δεῖ κρατῆσαι τοῦ ἀνδρὸς ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον. » Ὅμως δὲ τῶν φίλων παραινεσάντων ἀφίκετο πρῶτον εἰς τὰ χωρία καὶ διέτριψεν οὐ πολὺν χρόνον, εἶτα ἐπανῆκεν εἰς πόλιν. (3) Ἑσπέρας δὲ ἐλθὼν εὐθὺς ἕωθεν

ne in senatum veniret, moliretur, insidiis deprehensis, omnia posthabuit totumque se in id dedit, ut convocato senatu ne quid aliud ageret. (2) Non enim gloriæ studio, non opum, neque fortuito casu, ut quidam alii, ad tractandas res publicas delatus, sed consilio, quod hoc boni viri esse officium putaret, intentiorem se reipublicæ, quam apem melli esse debere censuit; itaque operam etiam dedit ut ab amicis et hospitibus suis quos passim habebat, provinciarum administrationes, decreta, judicia et præcipua facta ad se perscriberentur. (3) Quodam tempore Clodio tribuno plebis resistens, qui gravia novarum rerum semina spargens, sacerdotibus utriusque sexus, in quibus etiam Fabia, Terentiæ Ciceronis uxoris soror, apud populum calumniando periculum crearet, ignominia circumfusum urbe excedere coegit; Ciceronem autem gratias sibi agentem, civitati acceptum hoc referre jussit; hujus enim causa se omnia agere. (4) Proinde in magna erat existimatione, adeo ut orator quidam unico teste in judicio allato judicibus diceret: Uni testi, ne si Cato quidem is esset, credendum esse; et vulgo jam de rebus incredibilibus veluti proverbium jactaretur: Ne Catone quidem affirmante hoc probabile est. Quum in senatu quidam pravis moribus ac luxuriosus verba de frugalitate et temperantia faceret, insurgens Amnæus, Quis, inquit, te ferat? qui quum Crassum cœnando, ædificando Lucullum æques, nobis ut Cato concionare. Alios quoque homines vitiosos et luxui deditos, verbis tamen gravitatem et austeritatem præferentes, subsannandi causa Catones vocabant.

XX. Porro autem multis hortantibus ut tribunatum plebis peteret, Cato vim magnæ potestatis istius veluti vehementis medicamenti non ratus negotiis levibus insumendam, solutus a republica acceptis libris et philosophis in Lucaniam profectus est; ibi enim prædia otio haud illiberali idonea possidebat. In itinere autem multis jumentis, vasis atque calonibus occurrens, quum intellexisset Metellum Nepotem tribunatus plebis petendi causa Romam reverti, tacitus constitit paululumque cunctatus, retro suos abire jussit. (2) Mirantibus hoc amicis, An ignoratis, dicebat, Metellum vel per se ob stoliditatem suam civitati metuendum esse, nunc vero adesse de sententia Pompeii atque fulminis in morem in rempublicam casurum atque omnia perturbaturum? Non igitur otii mihi aut peregrinationis tempus, sed aut inhibendus iste homo, aut præclaro certamine pro libertate oppetendum est. Tamen amicorum adhortationibus concedens prius in prædia sua venit ibique haud diu moratus, Romam rediit (3) Vesperi quum

εἰς ἀγορὰν κατέβαινε δημαρχίαν μετιὼν ὡς ἀντιταξόμενος πρὸς τὸν Μέτελλον. Τὸ γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον ἢ πρὸς τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται, τοῦ μὴ θέλοντος μηδὲ ἐῶντος τὸ κράτος ἐστί. f

XXI. Τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα 769 τῶν φίλων ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενο- a μένης ὀλίγου χρόνου πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ παρεκάλουν καὶ παρεθάῤῥυνον αὐτὸν, ὡς οὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν οὐ θελήσας, νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ πολιτείας ἀγωνιούμενος οὐκ ἀκινδύνως κάτεισι. Λέγεται δὲ, πολλῶν ὑπὸ σπουδῆς καὶ φιλοφροσύνης ὠθουμένων πρὸς αὐτὸν, ἐν κινδύνῳ γενόμενος μόλις ἐξικέσθαι διὰ πλῆθος εἰς τὴν ἀγοράν. (2) Ἀποδειχθεὶς δὲ δήμαρχος σὺν ἑτέροις καὶ τῷ Μετέλλῳ, τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίους οὔσας b ἐπετίμησε τῷ δήμῳ· καὶ καταπαύων τὸν λόγον ἐπώμοσε τοῦ δόντος ἀργύριον, ὅστις ἂν ᾖ, κατηγορήσειν, ἕνα Σιλανὸν ὑπεξελόμενος δι' οἰκειότητα· Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς εἶχε. Διὸ τοῦτον μὲν παρῆκε, Λεύκιον δὲ Μουῤῥήναν ἐδίωκεν ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. (3) Νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουῤῥήνα παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα μηδὲ ἀδίκως, ἀλλὰ γεν- c ναίως τε καὶ φιλανθρώπως ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥστε κατ' ἀγορὰν προσιὼν καὶ φοιτῶν ἐπὶ θύραις πυνθάνεσθαι τοῦ Κάτωνος, εἰ μέλλει τι σήμερον πραγματεύσασθαι τῶν περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύων ἀπῄει. (4) Τῆς δὲ δίκης λεγομένης ὁ Κικέρων, ὕπατος ὢν τότε καὶ τῷ Μουῤῥήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων γέλωτα παρεῖχε τοῖς δικασταῖς. Τὸν οὖν Κάτωνά φασι διαμειδιάσαντα πρὸς d τοὺς παρόντας εἰπεῖν· « Ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν. » (5) Ἀποφυγὼν δὲ ὁ Μουῤῥήνας οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα· καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ τῶν μεγίστων καὶ τἄλλα τιμῶν καὶ πιστεύων διετέλεσεν. Αἴτιος δὲ ἦν ὁ Κάτων αὐτὸς ἐπὶ τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων, εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.

XXII. Πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν αὐτοῦ καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις καὶ καλλίσταις γενομέναις τέλος ἐπέθηκεν. e Αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι καὶ στά-

venisset, statim mane in forum descendit tribunatum plebis petens, ut resistendi Metello facultatem haberet. Etenim ejus magistratus major est in impediendo vis, quam in agendo; et reliquis omnibus, uno excepto, quicquam decernentibus, unius illius prævalet sententia.

XXI. Principio pauci cum Catone amici fuerunt; verum ubi institutum ipsius innotuit, brevi tempore omnes boni notique cives ad eum confluxerunt, hortabanturque et confirmabant, non petere eum, sed dare beneficium patriæ optimisque civibus maximum asserentes, qui quum sæpe quiete eo magistratu defungi potuisset, nunc maluerit non sine suo periculo certaminis pro libertate et republica suscipiendi causa eum ambire. Fertur multis ad ipsum studii favorisque gratia certatim concurrentibus, pressus in turba haud sine discrimine difficulter admodum in forum evasisse. (2) Creatus tribunus plebis cum aliis et Metello, ut vidit comitia consularia venalia esse, increpuit ea de re populum acri oratione; cujus in fine juravit se eum, quicumque pecuniam dedisset populo, in jus tracturum, unicum Silanum ob necessitudinem excipiens, cujus uxor erat soror Catonis Servilia. Itaque hunc omisit. L. Murenam autem ambitus postulavit, qui largitione confecisset ut cum Silano consul designaretur. (3) Lex erat ut reus accusatori custodem daret, ne ipsum laterent quæ is accusationis causa colligeret aut pararet. Is ergo quem Murena Catoni adjunxerat, quum eum comitans passim et observans animadverteret nihil insidiose, nihil inique moliri, sed ingenue et humaniter simplicem justamque actionis formam componere; adeo admiratus est viri magnanimitatem et bonitatem, ut in foro aut domi ad eum accedens quæsierit tantum, essetne hodie aliquid eorum quæ ad accusationem pertinerent acturus, ac si negaret, fidem verbis ejus habens discesserit. (4) Quum causa ageretur, Cicero tum consul Murenæ patrocinatus est, multaque in Stoicos, propter Catonem, et illorum paradoxa ista quæ vocantur jocatus, risum judicibus movit, feruntque ipsum Catonem leniter subridentem dixisse iis qui astabant : Quam ridiculum habemus consulem! (5) Absolutus autem Murena non ut perversorum est mos stolidorumque hominum se erga Catonem gessit, sed in consulatu suo eum de maximis rebus consuluit atque in honore et existimatione perpetuo habuit. Cujus rei causa in ipso fuit Catone, qui juris defendendi causa in foro et curia quum se terribilem et durum præberet, alias humanum se omnibus et benevolum exhibebat.

XXII. Priusquam tribunatum plebis iniret, Ciceronis consulatum quum multis aliis certaminibus firmavit, tum eo inprimis, quod Catilinariæ ejus actioni amplissimæ et pulcherrimæ finem imposuit. Nam Catilina quum pestiferam totius Romanæ reipublicæ mutationem moliretur, bel-

σεις ὁμοῦ καὶ πολέμους ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος ἐξέπεσε τῆς πόλεως· Λέντλος δὲ καὶ Κέθηγος καὶ μετ' αὐτῶν ἕτεροι συχνοὶ δεξάμενοι τὴν συνωμοσίαν καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. (2) Φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς
περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέν- f
των ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας· οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολούθησαν ἄχρι Καίσαρος. (3) Καῖσαρ δὲ ἀναστάς, ἅτε δὴ καὶ δεινὸς εἰπεῖν καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος αὔξειν μᾶλλον ἢ σβεννυμένην
770 περιορᾶν, ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς a
ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ εἴα τοὺς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν· οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θάνατον, ἀλλὰ εἱργμόν, ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.

XXIII. Γενομένης δὲ τοιαύτης τῆς τροπῆς καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν
ἀνατρέποντος καὶ δεδιττομένου τὴν βουλὴν ἐφ' οἷς αὐ- b
τὸν ἔδει δεδιέναι καὶ ἀγαπᾶν εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους καὶ τὴν παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύνων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες. (2) Τοῦτον μόνον ὧν Κάτων εἶπε διασώζεσθαί φασι τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας
ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος ἐν μικροῖς c
καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. Οὔπω γὰρ ἤσκουν οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν. Ἐκράτησε δ' οὖν ὁ Κάτων καὶ μετέστησε τὰς γνώμας, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

XXIV. Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος καὶ τῆς βουλῆς εἰς
ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσ- d
κομισθῆναι τῷ Καίσαρι. Τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος εἶναί τινας τοὺς κινουμένους, καὶ κελευόντων ἀναγινώσκειν τὰ γε-

laque simul et seditiones turbaret, deprehensus convictusque a Cicerone, urbe exciderat; Lentulus vero et Cethegus, cumque his alii complures conjurationis socii Catilinæ timiditatem et conatuum humilitatem incusantes, ipsi urbem incendio delere, et defectionibus populorum bellisque exteris imperium evertere statuerant. (2) Quorum quum innotuissent consilia (sicuti in Vita Ciceronis scriptum est) et in senatu quid de eis statuendum esset sententiæ proponerentur, primus omnium Silanus extremo supplicio afficiendos pronuntiavit, eique deinceps usque ad Cæsarem omnes assenserunt. (3) Cæsar, ut erat disertus, ac qui omnem in urbe mutationem motumque (quippe materiam eorum quæ jam tum animo agitabat) augeri quam exstingui mallet, surgens et multa gratiosa et humanitatis speciem habentia locutus, indemnatos eos necari non decere censuit, in carcere tamen asservandos. Ita verò, senatu populum metuente, reliquorum sententias mutavit, ut Silanus suam quoque retractaret affirmaretque non morte se eos damnasse, sed carcere; hoc enim ultimum esse civi Romano supplicium.

XXIII. Hac mutatione facta et omnibus in leniorem atque humaniorem partem inclinantibus, Cato illi sententiæ contradicturus, initio statim iram suam animique commotionem non dissimulavit, Silani inconstantiam reprehendens Cæsaremque dictis incessens, qui prætextu populari clementique in speciem oratione rempublicam subrueret, perterreretque senatum, ea in causa, in qua sibi ipse metuere debuisset et arbitrari præclare secum agi, qui suspicionem et supplicium eorum quæ acta essent evaderet, quum quidem ita palam et proterve publicos hostes eripere intenderet, seque tantæ tamque illustris patriæ sortem, cui præsens impenderet exitium, fateretur non miserari; sed eos quos ne natos quidem oportuisset, deploraret, quod ii sua morte civitatem magnis cædibus atque periculis essent liberaturi. (2) Hanc unam de omnibus Catonis orationibus exstare ferunt, per omnia curiæ loca sparsim a Cicerone dispositis ad eam excipiendam scribendi celeritate præstantibus ministris, quos ante docuerat certas notas, quæ brevibus et exiguis figuris multarum literarum vim in se haberent. Nondum enim exercebant, neque habebant eos, quos notarios appellamus; sed tunc primum vestigium ejus rei deprehensum ferunt. Enimvero obtinuit Cato et reliquos in suam sententiam traduxit, ita ut morte illi damnarentur.

XXIV. Traditum est (nam quia imaginem veluti quandam animi Catonis depingimus, ne minima quidem nobis prætermittenda videntur), quum acriter adversus Catonem tum Cæsar contenderet, in eosque intenti senatores essent, parvam tabellam Cæsari extrinsecus allatam. Quam rem quum in suspicionem traheret Cato et in sinistram partem interpretaretur, motos aliquos postulasse ut quod scriptum

γραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. Τὸν δὲ ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένον ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ προσρῖψαί τε τῷ Καίσαρι καὶ εἰπεῖν, « Κράτει, μέθυσε, » καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. (2) Φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. Αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς e ἤκουσε· τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκούλλῳ γὰρ γαμηθεῖσα, πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρί, καὶ τεκοῦσα παιδίον ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. Τὸ δὲ αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλά, καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

XXV. Εἶτα ἔγημε θυγατέρα Φιλίππου Μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα, περὶ ἧς ὁ πλεῖστος λόγος. Καὶ καθάπερ ἐν δράματι τῷ βίῳ τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον· ἐπράχθη f δὲ τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας εἰς Μουνάτιον, ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτήν, ἀναφέρων τὴν πίστιν. (2) Ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ καὶ τὸν τρόπον ἐπιεικής. Ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης εἶναι μηδὲ ἑταῖρος
771 μόνον, ἀλλ' ἁμωσγέπως εἰς οἰκειότητα καταμῖξαι καὶ a
κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα Πορκίαν Βύβλῳ συνοικοῦσαν καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ. Δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικόν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον, κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι τήν τε ἀρετὴν ἄφθονον ποιεῖν καὶ πολύχυτον τοῖς γένεσι καὶ τὴν πόλιν αὐτὴν πρὸς αὑτὴν ἀνακεραννύναι ταῖς b οἰκειότησιν. Εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν οἰκειότερος αὐτῷ τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος. (3) Ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὁρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δὲ ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν τὴν αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ταῦτα ἔπραττεν εἰδὼς οὐ προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτωνα· κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. Ὁ δ' οὖν Κάτων ὁρῶν τὴν τοῦ Ὁρτησίου σπουδὴν καὶ προθυμίαν c οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ τῆς Μαρκίας. Ὡς οὖν ὁ Φίλιππος ἐντευ-

in ea esset recitaret. Tum Cæsarem Catoni prope astanti tabellam porrexisse; fuisse autem Serviliæ, sororis Catonis, epistolam impudicam ad Cæsarem, cujus amore erat corrupta. Catonem lectam eam Cæsari rursum objecisse ac dixisse : Accipe, temulente, et sic reliquum orationis persecutum. (2) Omnino autem apparet gynæceum Catoni infortunatum fuisse. Quippe ex duabus Serviliis sororibus ejus hæc ob Cæsarem erat infamis, alterius major etiam turpitudo, quæ Lucullo primum inter Romanos gloriæ gradum obtinenti nupta, quum eum prolis unius patrem reddidisset, ob impudicitiam domo est ejecta. Et quod erat summum, ipsa etiam Atilia Catonis uxor ejus criminis pura non fuit, ita ut eam, quamvis binos ex ea sustulisset liberos, coactus sit ob vitæ inhonestatem repudiare.

XXV. Duxit deinde Marciam Philippi filiam egregiam mulierem, de qua multi sunt variique sermones. Atque in vita Catonis, quemadmodum in fabula, hæc pars omnium maxime ambigua est, difficilesque habet explicatus. Thraseas rem ita, ut sequitur, actam scribit, auctorem hujus historiæ Munatium Catonis amicum et contubernalem nominans. (2) Inter multos amatores admiratoresque Catonis, quorum alii studium suum aliis apertius præ se ferebant, etiam Q. Hortensius fuit, vir magna existimatione probatisque moribus. Hic non contentus se socium esse Catonis et familiarem, necessitate insuper aliqua et communitate totam familiam suam cum Catoniana permiscere animum induxit. Itaque conatus est persuadere Catoni, ut is sibi filiam Porciam, quæ Bibulo nupta erat, bisque jam eum patrem fecerat, traderet, uti ex ipsa, tanquam bonæ frugis fertili, liberos susciperet. Hominum quidem opinione absurdum hoc videri, re ipsa præclarum esse et civile, ut mulier integra ætate florens neque neglecta virtutem sobolis dandæ perdat, neque plures quam requirantur liberos pariendo gravet, atque ad pauperiem redigat maritum nihil porro prolis indigentem, sed communem dignis viris liberûm suscipiendorum facultatem præbeat, virtutemque multiplicet et in multa genera diffundat, quibus necessitatibus ipsa deinde inter se civitas quasi commisceatur. Quodsi omnino uxor Bibulo cordi sit, se eam ipsi, simulatque ex se peperisset, redditurum, arctius hac liberûm communitate Bibulo ipsi et Catoni conjunctum. (3) Quum ad hæc responderet Cato, probari quidem sibi Hortensium affinem, sed de filiæ jam traditæ alteri nuptiis abs re sermonem fieri, mutata oratione Hortensius haud dubitavit animo suo detecto ipsam Catonis uxorem petere, ætate adhuc ad pariendum habilem, quum satis jam liberorum esset Catoni Neque vero id prætendere potuit, eam a marito negligi, nam gravida tum quoque fertur fuisse. Cato, animadverso Hortensii studio atque desiderio, non adversatus est, Marciæ tantum patris Philippi consensum requiri dixit; atque is

χθεὶς ἔγνω τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν ἢ παρόντος τοῦ Κάτωνος αὐτοῦ καὶ συνεγγυῶντος. Ταῦτα μὲν οὖν, εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι μοι τὸ τῶν γυναικῶν προλαβεῖν ἔδοξε.

XXVI. Τῶν δὲ περὶ τὸν Λέντλον ἀναιρεθέντων καὶ τοῦ Καίσαρος περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον εἰς τὸν δῆμον καταφυγόντος καὶ τὰ πολλὰ νοσοῦντα καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ συνάγοντος πρὸς αὐτὸν, ὁ Κάτων φοβηθεὶς d ἔπεισε τὴν βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον ὄχλον εἰς τὸ σιτηρέσιον, ἀναλώματος μὲν ὄντος ἐνιαυσίου χιλίων καὶ διακοσίων καὶ πεντήκοντα ταλάντων, περιφανῶς δὲ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι τῆς ἀπειλῆς ἐκείνης διαλυθείσης. (2) Ἐντεῦθεν εἰς τὴν δημαρχίαν ἐμπεσὼν ὁ Μέτελλος ἐκκλησίας τε θορυβώδεις συνῆγε καὶ νόμον ἔγραψε Πομπήιον Μάγνον ἰέναι κατὰ τάχος μετὰ τῶν δυνάμεων εἰς Ἰταλίαν καὶ παραλαβόντα σώζειν τὴν πόλιν ὡς ὑπὸ Κατιλίνα κινδυνεύουσαν. Ἦν δὲ τοῦτο λόγος εὐπρεπὴς, ἔργον δὲ τοῦ νόμου καὶ τέλος e ἐγχειρίσαι τὰ πράγματα Πομπηίῳ καὶ παραδοῦναι τὴν ἡγεμονίαν. (3) Γενομένης δὲ βουλῆς καὶ τοῦ Κάτωνος οὐχ, ὥσπερ εἰώθει, τῷ Μετέλλῳ σφοδρῶς ἐμπεσόντος, ἀλλ' ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος, τέλος δὲ καὶ πρὸς δεήσεις τραπομένου καὶ τὴν Μετέλλων οἰκίαν ἀεὶ γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς καὶ καταφρονήσας ὁ Μέτελλος ὡς ἐνδιδόντος αὐτοῦ καὶ πτήσσοντος εἰς ὑπερηφάνους ἀπειλὰς καὶ λόγους θρασεῖς ἐξέπεσεν, ὡς βίᾳ πάντα τῆς βουλῆς διαπραξόμενος. (4) Οὕτω δὴ μεταβαλὼν ὁ Κάτων καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον, f ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως, ὅτι ζῶντος αὐτοῦ Πομπήιος οὐ παρέσται μεθ' ὅπλων εἰς τὴν πόλιν, ἐκεῖνο τῇ βουλῇ παρέστησεν, ὡς οὐδέτερος μὲν καθέστηκεν οὐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν, ἔστι δὲ ἡ μὲν Μετέλλου πολιτεία μανία δι' ὑπερβολὴν κακίας φερο- 772 μένη πρὸς ὄλεθρον καὶ σύγχυσιν ἁπάντων, ἡ δὲ Κάτω- a νος ἀρετῆς ἐνθουσιασμὸς ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀγωνιζομένης.

XXVII. Ἐπεὶ δὲ τὴν ψῆφον ὑπὲρ τοῦ νόμου φέρειν ὁ δῆμος ἔμελλε καὶ Μετέλλῳ μὲν ὅπλα καὶ ξένοι καὶ μονομάχοι καὶ θεράποντες ἐπὶ τὴν ἀγορὰν τεταγμένοι παρῆσαν καὶ τὸ ποθοῦν μεταβολῆς ἐλπίδι Πομπήιον ὑπῆρχε τοῦ δήμου μέρος οὐκ ὀλίγον, ἦν δὲ μεγάλη καὶ ἀπὸ Καίσαρος ῥώμη στρατηγοῦντος τότε, Κάτωνι δὲ οἱ πρῶτοι τῶν πολιτῶν συνηγανάκτουν καὶ συνηδικοῦντο μᾶλλον ἢ συνηγωνίζοντο, πολλὴ δὲ τὴν οἰκίαν αὐτοῦ κατήφεια καὶ φόβος εἶχεν, ὥστε τῶν φίλων ἐνίους ἀσίτους διαγρυπνῆσαι μετ' ἀλλήλων ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτοῦ λογισμοῖς καὶ γυναῖκα καὶ ἀδελφὰς ποτνιωμένας b καὶ δακρυούσας, αὐτὸς ἀδεῶς καὶ τεθαρρηκότως ἐντυχὼν πᾶσι καὶ παρηγορήσας καὶ γενόμενος περὶ δεῖπνον, ὥσπερ εἰώθει, καὶ νυκτερεύσας ὑφ' ἑνὸς τῶν συναρχόντων Μινυκίου Θέρμου βαθέως καθεύδων ἐπηγέρθη· καὶ

compellatus facilem se præbuit, neque aliter, quam ipso Catone præsente et una despondente Marciam Hortensio collocavit. Hæc mihi, quum in mulierum mentionem incidissem, hoc loco visa sunt commemoranda, licet posteriora essent tempore.

XXVI. Ceterum Lentulo cum sociis necato, quum Cæsar apud senatum accusatus ad populum confugisset civitatisque vitiosas et corruptas partes conturbaret sibique asisceret; Cato reipublicæ timens senatui auctor fuit frumentaria largitione egenam et agro carentem turbam placandi, cujus quidem annuæ impensæ fuerunt trecenties sestertiûm, atque hoc beneficio periculum præsens perspicue est aversum. (2) Exinde Metellus tribunatum plebis adeptus conciones habuit tumultuosas legemque promulgavit, ut Pompeius Magnus quamprimum cum exercitu in Italiam veniret, urbemque a Catilina in periculum conjectam servaret. Erat hic prætextus speciosus; id autem agebatur ut principatus ac respublica in manus Pompeio traderentur. (3) Habito ejus rei causa senatu, quum non, ut alias, aspere Metello adversaretur Cato, sed moderate eum de multis rebus ac placide moneret et ad extremum preces quoque adderet Metellique familiam, quod semper optumatum partes fovisset, collaudaret; eo magis elatus animo Metellus, Catonemque veluti trepidantem et concedentem aspernatus, multa superbe minari dictisque ferocire instituit, tanquam omnia invito etiam senatu confecturus. (4) Ibi Cato vultu, voce et oratione mutata, in fine disertis verbis testatus est, se vivo Pompeium nunquam cum armis urbem intraturum. Subiitque tum senatui cogitare, neque Metellum neque Catonem mentis suæ compotem esse aut sanis uti consiliis, sed Metelli institutum, insaniam esse, qua præ nimia malitia ad exitium publicum rueret, Catonis autem virtutem, divinam esse quandam animi commotionem, pro honestate et jure propugnantem.

XXVII. Quum esset suffragia laturus ea de lege populus, Metello arma, hospites, gladiatores, servique per forum dispositi adfuerunt, magnaque pars populi, ob spes in Pompeio collocatas mutationem rerum expetentes; Cæsar quoque tum prætor multum virium suppeditavit. Sed cum Catone primus quisque civium dolorem magis et injuriam, quam certamen commune sufferebat, magna domum ejus mœstitia, magnus timor tenebat, adeo ut nonnulli amicorum incœnati una pervigilarent, graviter pro ipso solliciti, mulieresque et sorores quiritarentur atque plorarent, ipse intrepide et confidenti animo compellans singulos atque consolans, cœnatus more suo somno noctem exegit, expergefactusque (dormiebat enim altius) a Minucio

κατέβησαν εἰς ἀγορὰν, ὀλίγων μὲν αὐτοὺς προπεμπόντων, πολλῶν δὲ ἀπαντώντων καὶ φυλάττεσθαι διακελευομένων. (2) Ὡς οὖν ἐπιστὰς ὁ Κάτων κατεῖδε τὸν νεὼν τῶν Διοσκούρων ὅπλοις περιεχόμενον καὶ τὰς ἀναβάσεις φρουρουμένας ὑπὸ μονομάχων, αὐτὸν δὲ καθήμενον ἄνω μετὰ Καίσαρος τὸν Μέτελλον, ἐπιστρέψας πρὸς τοὺς φίλους, « Ὦ θρασέος, εἶπεν, ἀνθρώπου καὶ c δειλοῦ, ὃς καθ' ἑνὸς ἀνόπλου καὶ γυμνοῦ τοσούτους ἐστρατολόγησεν. » Ἅμα δ' εὐθὺς ἐβάδιζε μετὰ τοῦ Θέρμου. Καὶ διέστησαν αὐτοῖς ἐκεῖνοι οἱ τὰς ἀναβάσεις κατέχοντες, ἄλλον δὲ οὐδένα παρῆκαν, ἢ μόλις ἐπισπάσας τῆς χειρὸς ὁ Κάτων τὸν Μουνάτιον ἀνήγαγε· καὶ βαδίζων εὐθὺς, ὡς εἶχε, καθίζει μέσον ἐμβαλὼν ἑαυτὸν τοῦ Μετέλλου καὶ τοῦ Καίσαρος, ὥστε διακόψαι τὴν κοινολογίαν. (3) Κἀκεῖνοι μὲν διηπόρησαν, οἱ δὲ χαρίεντες θεασάμενοι καὶ θαυμάσαντες τὸ πρόσωπον καὶ τὸ φρόνημα καὶ τὸ θάρσος τοῦ Κάτωνος ἐγγυτέρω προσῆλθον καὶ βοῇ διεκελεύσαντο τῷ μὲν Κάτωνι d θαῤῥεῖν, μένειν δὲ ἀλλήλοις καὶ συστρέφεσθαι καὶ μὴ προδιδόναι τὴν ἐλευθερίαν καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον.

XXVIII. Ἔνθα δὴ τοῦ ὑπηρέτου τὸν νόμον προχειρισαμένου, τοῦ δὲ Κάτωνος οὐκ ἐῶντος ἀναγινώσκειν, τοῦ δὲ Μετέλλου παραλαβόντος αὐτὸν καὶ ἀναγινώσκοντος, ὁ μὲν Κάτων ἐξήρπασε τὸ βιβλίον, ὁ δὲ Θέρμος ἀπὸ στόματος τοῦ Μετέλλου τὸν νόμον ἐπισταμένου καὶ λέγοντος ἐπέσχε τῇ χειρὶ τὸ στόμα καὶ τὴν φωνὴν ἀπέκλεισεν, ἄχρι οὗ ἄμαχον ὁρῶν ἀγῶνα τοὺς ἄνδρας ὁ Μέτελλος ἀγωνιζομένους καὶ τὸν δῆμον ἡττώμενον πρὸς τὸ συμφέρον καὶ τρεπόμενον ἐκέλευσεν e οἴκοθεν ὁπλίτας μετὰ φόβου καὶ κραυγῆς ἐπιτρέχειν. (2) Γενομένου δὲ τούτου καὶ πάντων διασκεδασθέντων, ὑποστάντα μόνον τὸν Κάτωνα καὶ βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν οὐ περιεῖδε Μουῤῥήνας ὁ τὴν δίκην φυγὼν ὑπ' αὐτοῦ καὶ κατηγορηθεὶς, ἀλλὰ τὴν τήβεννον προϊσχόμενος καὶ βοῶν ἀνασχεῖν τοῖς βάλλουσι καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ περιπτύσσων εἰς τὸν νεὼν τῶν Διοσκούρων ἀπήγαγεν. (3) Ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα καὶ φυγὴν δι' ἀγορᾶς τῶν ἐναντιουμένων, παντάπασι πεισθεὶς κρατεῖν ἐκέλευσεν ἀπεῖναι πάλιν τοὺς ὁπλοφόρους καὶ προσελθὼν κοσμίως αὐτὸς ἐπεχείρει πράττειν τὰ περὶ f τὸν νόμον. Οἱ δὲ ἐναντίοι ταχέως ἀναλαβόντες ἑαυτοὺς ἐκ τῆς τροπῆς ἐπῄεσαν αὖθις ἐμβοήσαντες μέγα καὶ θαῤῥαλέον, ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν ταραχὴν καὶ δέος οἰομένοις ὅπλων ποθὲν εὐπορήσαντας αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηθένα μένειν, ἀλλὰ φεύγειν ἅπαντας ἀπὸ τοῦ βήματος. (4) Οὕτω δὴ σκεδασθέντων ἐκείνων, τοῦ δὲ Κάτωνος προελθόντος καὶ τὰ μὲν ἐπαινέσαντος, τὰ δ' ἐπιῤῥώσαντος τὸν δῆμον, οἵ τε
73 πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέ- a
τελλον, ἥ τε σύγκλητος ἀθροισθεῖσα παρήγγειλεν ἀρχῆθεν βοηθεῖν τῷ Κάτωνι καὶ διαμάχεσθαι πρὸς τὸν

Thermo collega, in forum descendit, paucis sane comitantibus, multis vero occurrentibus, utque sibi caveret monentibus. (2) Postquam forum ingressus ædem Castoris circumdatam armatis vidit, gradusque a gladiatoribus custodiri, ipsum supra Metellum cum Cæsare assidentem, conversus ad amicos: Proh ferocem, inquit, juxta et timidum hominem, qui adversus unum, eumque nudum hominem tantum exercitum coegerit. Simul recta cum Thermo ad eos perrexit, eisque graduum custodes cesserunt, neque tamen quenquam alium admiserunt, ipsumque Munatium manu injecta ægre attraxit Cato; ita progressus, medium sese inter Metellum et Cæsarem collocavit, eorumque colloquium dissipavit. (3) His hæsitantibus, magno spectatores perfusi gaudio, miratique vultum, spiritus audaciamque Catonis, propius accesserunt et alta voce ipsum ut pergeret ita, se autem mutuo, uti manerent neve libertatem et defensorem ejus proderent, cohortati sunt.

XXVIII. Quum apparitor legis tabulam promeret, Cato legere eum non est passus; Metello etiam eam sumenti et recitare incipienti, de manibus eripuit, eidem verbis suis legem referre absque tabula conanti manibus ori injectis vocem interclusit Thermus. Proinde videns Metellus istorum pervicacia populum quoque, quantum ad suum commodum, devinci et averti, domo sua evocatos armatos magno cum clamore in forum irruere, et adversariis terrorem incutere jussit. (2) Quo facto quum dissipati essent omnes, Catonem solum subsistentem, ac desuper saxis et lignis impetitum haud neglexit Murena, is qui pridem ab eo in jus fuerat tractus, sed togam ei suam prætendens, vociferandoque jacientes ut cessarent monens, vix tandem monitis suis concedentem Catonem veste sua involvit inque ædem Castoris abduxit. (3) Metellus quum solitudinem apud rostra, fugam adversæ partis e foro cerneret, pro certo habens se vicisse, discedere armatos jussit, ipseque progressus placide, legem perferre intendit. Interim adversæ factionis homines a fuga iterum congregati in forum magno et horribili cum clamore irruperunt; quo Metelli sectatores perterriti, qui eos arma alicubi nactos irruere putarent, universi a tribunali fuga dilapsi sunt. (4) His ita disjectis Cato progressus populum partim collaudando, partim confirmando effecit ut et multitudo se ad evertendum quoquo modo Metellum pararet, et senatus denuo edixit, ut omnes

νόμον, ὡς στάσιν ἐπεισάγοντα τῇ Ῥώμῃ καὶ πόλεμον ἐμφύλιον.

XXIX. Ὁ δὲ Μέτελλος αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς ἔτι, ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ τὸν Κάτωνα καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον, αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγοράν, καὶ συναγαγὼν τὸν δῆμον ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθε καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου καὶ τὴν κατὰ Πομπηίου συνωμοσίαν, ἐφ' ᾗ μετανοήσειν ταχὺ τὴν πόλιν ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς Ἀσίαν ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. b (2) Ἦν οὖν δόξα μεγάλη τοῦ Κάτωνος ἄχθος οὐ μικρὸν ἀπεσκευασμένου τῆς δημαρχίας καὶ τρόπον τινὰ τὴν Πομπηίου δύναμιν ἐν Μετέλλῳ καθῃρηκότος. Ἔτι δὲ μᾶλλον εὐδοκίμησε τὴν σύγκλητον ὡρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι τὸν Μέτελλον οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ παραιτησάμενος. Οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο καὶ μετριότητος τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ μηδὲ ἐνυβρίσαι κατὰ κράτος περιγενόμενον, τοῖς τε φρονίμοις ὀρθῶς ἐφαίνετο καὶ συμφερόντως μὴ παροξῦναι Πομπήιον. (3) Ἐκ τούτου Λεύκουλλος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς ἔδοξε τὸ c τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήιος, εἰς κίνδυνον ἦλθε τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου καταστασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ καὶ δίκας ἐπάγοντος εἰς τὴν Πομπηίου χάριν μᾶλλον ἢ κατ' ἔχθος ἴδιον. Ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκουλλον αὐτῷ γεγενημένης ἔχοντος Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ καὶ πολλὰς ὑπέμεινε διαβολὰς καὶ κατηγορίας. Τέλος δὲ τῆς ἀρχῆς ἐκβαλλόμενος ὡς τυραννίδος τοσοῦτον ἐκράτησεν, ὥστε τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι τῶν δικῶν ἀποστῆναι καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκουλλος μὲν οὖν θριαμβεύσας ἔτι μᾶλλον ἐνεφύετο τῇ φιλίᾳ τοῦ d Κάτωνος ἔχων ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηίου δύναμιν.

XXX. Πομπήιος δὲ μέγας ἀπὸ τῆς στρατείας ἐπανιὼν καὶ τῇ λαμπρότητι καὶ προθυμίᾳ τῆς ὑποδοχῆς πεποιθὼς οὐδὲν ἂν δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν, προὔπεμψεν ἀξιῶν τὰς ὑπατικὰς ἀρχαιρεσίας ἀναβαλέσθαι τὴν σύγκλητον, ὡς ἂν αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Τῶν δὲ πλείστων ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος, ἀλλὰ τὴν πεῖραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηίου βουλόμενος, ἀντεῖπε καὶ μετέστησε τὴν βουλήν, ὥστε e ἀποψηφίσασθαι. (2) Τοῦτο τὸν Πομπήιον οὐχ ἡσυχῇ διετάραξε· καὶ νομίζων οὐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ φίλῳ γενομένῳ μετεπέμψατο Μουνάτιον ἑταῖρον αὐτοῦ· καὶ δύο τοῦ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμους ἔχοντος ᾔτει τὴν μὲν πρεσβυτέραν ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν τῷ υἱῷ. Τινὲς δέ φασιν, οὐ τῶν ἀδελφιδῶν, ἀλλὰ τῶν θυγατέρων τὴν μνηστείαν γενέσθαι. (3) Τοῦ δὲ Μουνατίου ταῦτα πρὸς τὸν Κά-

Catoni suppetias ferrent, legemque qua seditio et civile bellum Romæ induceretur, impugnarent

XXIX. Ergo Metellus, tametsi ipse adhuc ferox et imperterritus, ut suos vidit Catonem summopere formidare eumque pro insuperabili habere, subito in forum se proripuit, convocatoque populo multa ad faciendam Catoni invidiam locutus, ad extremum fugere se Catonis tyrannidem et conjurationem adversus Pompeium dicens, ac brevi fore ut Romam ejus pœniteret, quæ tantum virum ignominia afficeret, in Asiam abiit quasi de his rebus apud Pompeium questurus. (2) Magnæ id Catoni gloriæ fuit, qui tanto onere tribuniciæ licentiæ urbem levasset et Pompeii potentiam quodammodo in Metello fregisset. Majorem laudem reperit, quum senatum dedecore afficere Metellum eique magistratum abrogare volentem inhibuit eumque precibus placavit; nam et vulgus humanitati hoc et animi moderationi imputabat, quod insultare inimico dejecto noluisset, et cordatis videbatur prudenter et utiliter ab irritando Pompeio abstinuisse. (3) Secundum hæc Lucullus a bello reversus, cujus ei finem et gloriam præripuisse Pompeius censebatur, de triumpho etiam in discrimen venit, C. Memmio factiones apud populum contra eum excitante ac crimina intentante, magis id in Pompeii gratiam quam privatis ducto odiis. At Cato, cujus soror Servilia Luculli esset uxor, alioquin etiam rei indignitate motus, Memmio se opposuit; qua in re quum multas calumnias pertulisset, tandemque magistratu veluti tyrannide esset amotus, tantum tamen effecit, ut Memmius ultro accusationes Luculli omittere opus haberet. Itaque Lucullus acto triumpho arctius exinde amicitiæ Catonis inhæsit, validum eum adversus potentiam Pompeii præsidium habens.

XXX. Pompeius vero rebus militiæ gestis clarus domum revertens, adventusque sui gratia et splendore ita fretus, ut nihil se frustra petiturum a civibus putaret, præmisit qui a senatu peterent, uti comitia consularia differrentur tantisper, dum ipse præsens ea in gratiam Pisonis (is enim ambiebat consulatum) obire posset. Hic plerisque concedentibus, Cato non in dilatione comitiorum tantum esse situm, quam in conatu Pompeii et spe frustranda existimans, reclamavit, utque senatus hoc denegaret obtinuit. (2) Haud leviter eo facto perturbatus Pompeius, quum animadverteret se, nisi Catonem sibi amicitia conjunxisset, maximis in rebus offensurum, accito ad se Munatio Catonis socio, de duabus Catonis ex fratre aut sorore neptibus jam nuptiis maturis altera sibi, filio minorem in matrimonium postulavit; quidam non neptes, sed ipsius Catonis filias ab eo petitas fuisse ferunt. (3) Quum hac de re Munatius Cato-

τωνα καὶ τὴν γυναῖκα καὶ τὰς ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὁ δὲ Κάτων οὔτ' ἐπισχὼν οὔτε βουλευσάμενος, ἀλλὰ πληγεὶς εὐθὺς εἶπε· « Βάδιζε, Μουνάτιε, βάδιζε καὶ λέγε πρὸς Πομπήιον, ὡς Κάτων οὐκ ἔστι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος, ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ καὶ τὰ δίκαια ποιοῦντι φιλίαν 74παρέξει πάσης πιστοτέραν οἰκειότητος, ὅμηρα δὲ οὐ προήσεται τῇ Πομπηίου δόξῃ κατὰ τῆς πατρίδος. » (4) Ἐπὶ τούτοις ἤχθοντο μὲν αἱ γυναῖκες, ᾐτιῶντο δὲ οἱ φίλοι τοῦ Κάτωνος ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν ἀπόκρισιν. Εἶτα μέντοι πράττων τινὶ τῶν φίλων ὑπατείαν ὁ Πομπήιος ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπε καὶ περιβόητος ὁ δεκασμὸς ἦν, ἐν κήποις ἐκείνου τῶν χρημάτων ἀριθμουμένων. Εἰπόντος οὖν τοῦ Κάτωνος πρὸς τὰς γυναῖκας, ὅτι τοιούτων ἦν κοινωνεῖν καὶ ἀναπίμπλασθαι πραγμάτων ἀνάγκη Πομπηίῳ συναφθέντα δι' οἰκειότητος, ὡμολόγουν ἐκεῖναι κάλλιον αὐτὸν βεβουλεῦσθαι διακρουσάμενον. (5) Εἰ δὲ δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τοῦ παντὸς ἔοικεν ὁ Κάτων ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ' ἐάσας πρὸς Καίσαρα τραπέσθαι καὶ γῆμαι γάμον, ὃς τὴν Πομπηίου δύναμιν καὶ Καίσαρος εἰς ταὐτὸ συνενεγκὼν ὀλίγου τὰ μὲν Ῥωμαίων ἀνέτρεψε πράγματα, τὴν δὲ πολιτείαν ἀνεῖλεν, ὧν οὐθὲν ἂν ἴσως συνέπεσεν, εἰ μὴ Κάτων τὰ μικρὰ τοῦ Πομπηίου φοβηθεὶς ἁμαρτήματα τὸ μέγιστον περιεῖδεν, αὐτὸν ἑτέρῳ δύναμιν προσγενόμενον.

XXXI. Ταῦτα μὲν οὖν ἔμελλεν ἔτι. Λευκούλλου δὲ περὶ τῶν ἐν Πόντῳ διατάξεων στασιάσαντος πρὸς Πομπήιον, ἠξίουν γὰρ ἰσχύειν ἑκάτερος τὰ ὑφ' αὑτοῦ γενόμενα, καὶ Λευκούλλῳ Κάτωνος ἀδικουμένῳ περιφανῶς προσαμύνοντος, ἐλαττούμενος ὁ Πομπήιος ἐν συγκλήτῳ καὶ δημαγωγῶν ἐπὶ νομὴν χώρας ἐκάλει τὸ στρατιωτικόν. Ὡς δὲ κἀνταῦθα Κάτων ἐνιστάμενος ἐξέκρουσε τὸν νόμον, οὕτω Κλωδίου τε περιείχετο τοῦ τότε θρασυτάτου τῶν δημαγωγῶν καὶ Καίσαρα προσήγετο, τρόπον τινὰ Κάτωνος αὐτοῦ παρασχόντος ἀρχήν. (2) Ὁ γὰρ Καῖσαρ ἀπὸ τῆς ἐν Ἰβηρίᾳ στρατηγίας ἐπανήκων ἅμα μὲν ὑπατείαν ἐβούλετο παραγγέλλειν, ἅμα δὲ ᾔτει θρίαμβον. Ἐπεὶ δὲ κατὰ νόμον ἔδει τοὺς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τοὺς δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον ἔξω τείχους ὑπομένειν, ἠξίου παρὰ τῆς βουλῆς αὐτῷ δοθῆναι δι' ἑτέρων αἰτεῖσθαι τὴν ἀρχήν. Βουλομένων δὲ πολλῶν ἀντέλεγεν ὁ Κάτων· ὡς δὲ ᾔσθετο χαριζομένους τῷ Καίσαρι, λέγων ὅλην κατανάλωσε τὴν ἡμέραν καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε. Χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ Καῖσαρ εἰσελθὼν εὐθὺς εἴχετο Πομπηίου καὶ τῆς ὑπατείας. (3) Ἀποδειχθεὶς δὲ ὕπατος τήν τε Ἰουλίαν ἐνεγγύησεν αὐτῷ καὶ συστάντες ἤδη μετ' ἀλλήλων ἐπὶ τὴν πόλιν, ὁ μὲν εἰσέφερε νόμους τοῖς πένησι κληρουχίαν καὶ νομὴν χώρας διδόντας, ὁ δὲ παρῆν τοῖς νόμοις βοηθῶν. Οἱ δὲ περὶ Λεύκολλον καὶ Κικέρωνα Βύβλῳ τῷ ἑτέρῳ τῶν

nem uxoremque ejus et sorores docuisset, istæque affinitatem magnopere acceptam haberent ob potentiam et dignitatem Pompeii; f Cato nulla mora aut deliberatione interposita, perculsus statim respondit: Vade, Munati, vade et dic Pompeio, Catonem per mulieres capi non posse, sed tamen benevolentiam ejus gratam habere, eique juste agenti amicitiam omni firmiorem necessitudine cum ipso a futuram, obsides autem Pompeii gloriæ adversus patriam ipsum nunquam daturum. (4) Moleste hoc mulieres tulerunt, et vero amici quoque Catonis id responsum ut inurbanum et superbum reprehenderunt. Paulo post Pompeius cuidam amicorum consulatum ambiens pecuniam in tribus divisit; eratque hæc largitio in omnium ore quod in hortis suis eam numeravit. Itaque Cato mulieribus dixit: necesse fuisse hujusmodi quoque infamiæ actionum societatem inire, si affinitatem cum Pompeio contraxisset. Itaque ipsæ etiam fassæ sunt, rectius ipsum statuisse, eum repudiando. (5) Enimvero si judicandum ex eventis est, apparet b Catonem gravissime errasse, qui Pompeii conjunctionem respuens, passus est eum ad Cæsarem ire et nuptias ejusmodi coire, quæ, Pompeii et Cæsaris in unum confusa potentia, prope everterunt imperium Romanum, rempublicam quidem perdiderunt; quorum nihil fortasse evenisset, nisi Cato metuens vilia Pompeii peccata in maximo connivisset, quod alius (Cæsaris) potestatem conjunctione sua auxit.

XXXI. Verum hæc inferiorum sunt temporum. Lucullo autem et Pompeio de Ponticis constitutionibus inter se certantibus (uterque enim a se constituta confirmari volebat), c et Catone Lucullum haud obscure injuria affectum adjuvante, victus in senatu Pompeius, ut animos multitudinis sibi devinciret, militibus spem agri dividendi fecit. Hic quoque Catone resistente et legem istam abolente, ita demum ad Clodium se contulit, eorum qui tunc temporis popularem favorem sectabantur audacissimum, et ipsum Cæsarem, præbente quodammodo ansam ipso Catone, sibi adjunxit. (2) Cæsar enim a bello Hispanico rediens, simul et consulatum petere et triumphare cupiebat. Et quum lex esset ut petitio per præsentes fieret, qui autem esset triumphum ducturus, is tantisper extra pomœrium maneret, petebat a senatu, ut sibi aliorum opera ambire consulatum d liceret. Id quum multi concederent, Cato repugnavit, sentiensque Cæsari plerosque cupere, diem totum dicendo exegit, atque ita senatusconsultum impediit. Quare Cæsar, omisso triumpho, statim in urbem venit, Pompeiumque amicitia amplexus, consulatum petiit. (3) Eo impetrato, huic Juliam filiam suam nuptum dedit, factaque adversus rempublicam conspiratione, Cæsar leges de dividendo egenis agro tulit, Pompeius eas defendit. Lucullus autem et

ὑπάτων συντάξαντες ἑαυτοὺς ἀντέπραττον, μάλιστα δὲ Κάτων, ἤδη μὲν ὑφορώμενος τὴν Καίσαρος καὶ Πομπηίου φιλίαν καὶ σύστασιν ἐπ' οὐδενὶ δικαίῳ γεγενημένην, φοβεῖσθαι δὲ φάσκων οὐ τὴν νομὴν τῆς χώρας, ἀλλ' ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι μισθὸν οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος.

XXXII. Ὡς δὲ ταῦτα λέγων τήν τε βουλὴν ὁμόψηφον εἶχε καὶ τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρίσταντο δυσχεραίνοντες τὴν ἀτοπίαν τοῦ Καίσαρος· ἃ γὰρ οἱ θρασύτατοι δήμαρχοι καὶ ὀλιγωρότατοι πρὸς χάριν ἐπολιτεύοντο τῶν πολλῶν, ταῦτα ἀπ' ἐξουσίας ὑπατικῆς αἰσχρῶς καὶ ταπεινῶς ὑποδυόμενος τὸν δῆμον ἔπραττε· φοβηθέντες οὖν ἐχώρουν διὰ βίας, καὶ πρῶτον μὲν αὐτῷ τῷ Βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος, ἔπειτα τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ κατέκλασαν τὰς ῥάβδους· τέλος δὲ καὶ βελῶν φερομένων καὶ πολλῶν συντιτρωσκομένων ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν οἱ λοιποὶ πάντες, ἔσχατος δὲ Κάτων ἀπῄει βάδην μεταστρεφόμενος καὶ μαρτυρόμενος τοὺς πολίτας. (2) Οὐ μόνον οὖν τὴν διανομὴν ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι πᾶσαν, ἦ μὴν ἐπιβεβαιώσειν τὸν νόμον καὶ βοηθήσειν, ἄν τις τἀναντία πράττῃ, μεγάλα τάξαντες ἐπιτίμια κατὰ τῶν μὴ ὀμοσάντων. Ὤμνυσαν οὖν ἅπαντες ἐξ ἀνάγκης τὸ Μετέλλου τοῦ παλαιοῦ πάθος ἐν νῷ λαμβάνοντες, ὃν εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος ἐκπεσόντα φυγῇ τῆς Ἰταλίας. (3) Διὸ καὶ τὸν Κάτωνα πολλὰ μὲν αἱ γυναῖκες οἴκοι δακρύουσαι καθικέτευον εἶξαι καὶ ὀμόσαι, πολλὰ δὲ οἱ φίλοι καὶ συνήθεις. Ὁ δὲ μάλιστα συμπείσας καὶ ἀγαγὼν ἐπὶ τὸν ὅρκον ἦν Κικέρων ὁ ῥήτωρ παραινῶν καὶ διδάσκων, ὡς τάχα μὲν οὐδὲ δίκαιόν ἐστι τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι δεῖν ἀπειθεῖν, ἐν δὲ ἀδυνάτῳ τῷ μεταστῆσαί τι τῶν γεγονότων ἀφειδεῖν ἑαυτοῦ παντάπασιν ἀνόητον καὶ μανικόν· ἔσχατον δὲ κακῶν, εἰ δι' ἣν ἅπαντα πράττει πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν ὥσπερ ἄσμενος ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων· καὶ γὰρ, εἰ μὴ Κάτων τῆς Ῥώμης, ἀλλ' ἡ Ῥώμη δεῖται Κάτωνος, δέονται δὲ καὶ οἱ φίλοι πάντες· ὧν αὐτὸν εἶναι πρῶτον ὁ Κικέρων ἔλεγεν ἐπιβουλευόμενον ὑπὸ Κλωδίου διὰ δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος. Ὑπὸ τούτων φασὶ καὶ τοιούτων τὸν Κάτωνα λόγων καὶ δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν ἐκβιασθῆναι μόλις καὶ προσελθεῖν πρὸς τὸν ὅρκον ἔσχατον ἁπάντων πλὴν ἑνὸς Φαωνίου τῶν φίλων καὶ συνήθων.

XXXIII. Ἐπαρθεὶς οὖν ὁ Καῖσαρ ἄλλον εἰσέφερε νόμον τὴν Καμπανίαν σχεδὸν ὅλην προσκατανέμοντα τοῖς ἀπόροις καὶ πένησιν. Ἀντέλεγε δὲ οὐδεὶς πλὴν τοῦ Κάτωνος. Καὶ τοῦτον ἀπὸ τοῦ βήματος ὁ Καῖσαρ εἷλκεν εἰς δεσμωτήριον οὐδέν τι μᾶλλον ὑφιέμενον τῆς παῤῥησίας, ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τοῦ νόμου διαλεγόμενον καὶ παραινοῦντα παύσασθαι τοιαῦτα πολιτευομένους. (2) Ἐπηκολούθει δὲ ἡ βουλὴ μετὰ κα-

Cicero collegæ ejus Bibulo se conjungentes, repugnabant, atque inprimis Cato, jam tum suspicans Cæsaris et Pompeii societatem nullum ob justum finem coaluisse, dicensque non se divisionem agri metuere, sed præmium quod ii essent pro ea a populo, quem hoc inescarent et demererentur munere, exacturi.

XXXII. Hæc illi dicenti quum senatus astipulabatur, tum aliorum quoque haud pauci se adjungebant Cæsaris perversitati infensi; nam quæ tribunus plebis ferocissimus quisque et vilissimus in gratiam multitudinis ageret, hæc ille turpiter et abjecte in favorem se populi insinuans consulari potestate moliebatur. Ergo Cæsar et qui ab ejus erant factione, metuentes suo proposito, ad vim confugerunt. Primum Bibulo ipsi in forum degredienti corbis stercore plenus superfusus est, deinde in lictores ejus factus impetus, eorumque confracti fasces, denique telis conjectis multisque consauciatis e foro diffugère cursu reliqui. Cato ultimus pedetentim discessit, subinde ad cives conversus eosque obtestatus. (2) Ita non solum perlata est lex agraria, sed insuper scitum, ut senatores singuli juramento promitterent, se eam legem ratam habituros et contra adversantes ei auxilium laturos, gravi denuntiata iis qui non jurassent pœna. Juravere autem omnes, victi necessitate, Metellique prisci casum memoria recolentes, quem jurare in similem legem recusantem Italia extorrem agi passus fuerat populus. (3) Quapropter Catonem multis lacrimis, multis precibus domi mulieres obtestatæ sunt, uti flecteret animum, et juraret, multis etiam amici hoc cum eo egerunt. Qui vero præcipue persuasit homini et ad jurandum pertraxit, Cicero fuit, monens eum docensque: fortasse ne justum quidem esse, unum ipsum illis quæ essent communi consensu decreta reluctari, in apertum vero se conjicere periculum ejus rei causa, quæ rescindi nullo modo jam possit, id vero vecordis plane esse et insanientis; jam id omnium malorum gravissimum, si civitate, cujus gratia agat omnia, destituta et quasi prodita insidiatoribus excidat ipse, quasi gaudens se certaminibus pro ea susceptis liberatum; etenim si non Roma Catoni, at Romæ Catone opus esse, eodemque amicos omnes indigere, ac se præ reliquis, insidiis Clodii tribunatum affectantis palam jam impetitum. His similibusque sermonibus ferunt emollitum domi atque in foro Catonem tandemque victum, postremum omnium, excepto familiari suo Favonio, ad jurandum accessisse.

XXXIII. Elatus eo successu Cæsar aliam legem promulgavit, qua tota prope Campania pauperibus distribuebatur. Huic præter Catonem nemo contradixit, quem a tribunali Cæsar ad carcerem abduci jussit, nihilo secius sua utentem dicendi libertate, sed in eundum ea de lege disserentem, civesque hortantem, uti hujusmodi leges ferendi finem facerent. (2) Sequebatur eum senatus mœstus et

τηφείας καὶ τοῦ δήμου τὸ βέλτιστον ἀγανακτοῦν σιωπῇ d καὶ ἀχθόμενον, ὥστε τὸν Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας, ἀλλὰ φιλονεικῶν καὶ περιμένων ὑπὸ τοῦ Κάτωνος ἐπίκλησιν γενέσθαι καὶ δέησιν προῆγεν. Ἐπεὶ δὲ ἐκεῖνος ἦν δῆλος οὐδὲ μελλήσων τι ποιεῖν, ἡττηθεὶς ὑπὸ αἰσχύνης καὶ ἀδοξίας ὁ Καῖσαρ αὐτός τινα τῶν δημάρχων ὑφῆκε πείσας ἐξελέσθαι τὸν Κάτωνα. (3) Τοῖς μέντοι νόμοις ἐκείνοις καὶ ταῖς χάρισι τιθασεύσαντες τὸν ὄχλον ἐψηφίσαντο Καίσαρι μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἀρχὴν ἁπάσης καὶ τέσσαρα τάγματα στρατιᾶς εἰς πενταετίαν, προλέγοντος Κάτωνος, e ὡς εἰς ἀκρόπολιν τὸν τύραννον αὐτοὶ ταῖς ἑαυτῶν ψήφοις ἱδρύουσι, Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων εἰς δημοτικοὺς παρανόμως μεταστήσαντες ἀπέδειξαν δήμαρχον ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει πάντα πρὸς χάριν ἐκείνοις πολιτευόμενον, ὑπάτους δὲ Πείσωνά τε Καλπούρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικὸς, καὶ Γαβίνιον Αὖλον, ἐκ τῶν Πομπηίου κόλπων ἄνθρωπον, ὥς φασιν οἱ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον εἰδότες.

XXXIV. Ἀλλὰ καίπερ οὕτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς καὶ τὸ μὲν χάριτι τῆς πόλεως, τὸ δὲ φόβῳ μέρος ὑφ' ἑαυτοὺς ἔχοντες, ὅμως ἐφοβοῦντο τὸν Κάτωνα. Καὶ γὰρ ἐν οις περιῆσαν αὐτοῦ τό γε χα- f λεπῶς καὶ μετὰ πόνων καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ' ἐλεγχομένους βιάζεσθαι μόλις ἀνιαρὸν ἦν καὶ πρόσαντες. (2) Ὁ δὲ Κλώδιος οὐδὲ Κικέρωνα καταλύσειν ἤλπιζε Κάτωνος παρόντος, ἀλλὰ τοῦτο διαμηχανώμενος πρῶτον, ὡς εἰς ἀρχὴν κατέστη, μετεπέμψατο τὸν Κάτωνα καὶ λόγους αὐτῷ προσήνεγκεν, ὡς πάντων a ἐκεῖνον ἡγούμενος ἄνδρα Ῥωμαίων καθαρώτατον ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστι· πολλῶν γὰρ αἰτουμένων τὴν ἐπὶ Κύπρον καὶ Πτολεμαῖον ἀρχὴν καὶ δεομένων ἀποσταλῆναι μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι καὶ διδόναι τὴν χάριν ἡδέως. (3) Ἀνακραγόντος δὲ τοῦ Κάτωνος, ὡς ἐνέδρα τὸ πρᾶγμα καὶ προπηλακισμὸς, οὐ χάρις ἐστὶν, ὑπερηφάνως ὁ Κλώδιος καὶ ὀλιγώρως, « Οὐκοῦν, εἶπεν, εἰ μὴ χάριν ἔχεις, ἀνιώμενος πλεύσῃ· » καὶ προελθὼν εὐθὺς εἰς τὸν δῆμον ἐκύρωσε νόμῳ τὴν ἔκπεμψιν τοῦ Κάτωνος. Ἐξιόντι δὲ οὐ ναῦν, οὐ στρατιώτην, οὐχ ὑπηρέτην ἔδωκε πλὴν ἢ δύο γραμματεῖς μόνον, ὧν ὁ μὲν κλέπτης καὶ παμπόνηρος, ἅτερος δὲ Κλωδίου πελάτης. Ὡς δὲ μικρὸν ἔργον αὐτῷ Κύπρον b καὶ Πτολεμαῖον ἀναθεὶς, ἔτι καὶ Βυζαντίων φυγάδας κατάγειν προσέταξε, βουλόμενος ὅτι πλεῖστον χρόνον ἐκποδὼν ἄρχοντος αὐτοῦ γενέσθαι τὸν Κάτωνα.

XXXV. Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ Κικέρωνι μὲν ἐλαυνομένῳ παρῄνεσε μὴ στασιάσαι μηδὲ εἰς ὅπλα καὶ φόνους τὴν πόλιν ἐμβαλεῖν, ἀλλ' ὑπεκστάντα τῷ καιρῷ πάλιν γενέσθαι σωτῆρα τῆς πατρίδος, Κανίδιον δέ τινα τῶν φίλων προπέμψας εἰς Κύπρον ἔπειθε τὸν Πτολεμαῖον ἄνευ μάχης εἴκειν, ὡς οὔτε χρημάτων οὔτε τιμῆς ἐνδεᾶ βιωσόμενον· ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ θεοῦ δώσειν τὸν δῆμον. Αὐτὸς δὲ διέτριβεν c

de populo optimus quisque tacite indignans. Neque fefellit Cæsarem, inique id suum factum a civibus ferri, pergebat tamen pervicaci contentionis studio, fore sperans ut Cato tribunos appellaret aut deprecaretur. Sed ubi satis apparuit nihil eum tale facturum, victus pudore et infamia rei Cæsar ipse tribunum quendam plebis subornavit, qui Catonem liberaret. (3) Sane his legibus et muneribus cicurato et subjugato populo, Cæsari Illyricum et universa Gallia cum quattuor legionibus ad quinquennium est decreta, prædicente Catone, populum suis ipsius suffragiis tyrannum in arce collocare, P. quoque Clodium contra leges de patriciis in plebeios traductum tribunum plebis constituerunt, ea mercede ut Cicero in exsilium pelleretur, omnia in gratiam ipsorum agentem. Consules creaverunt Pisonem Calpurnium, socerum Cæsaris, et A. Gabinium, hominem ex sinu Pompeii natum, ut affirmant ii quibus mores ejus et vita est cognita.

XXXIV. At enim tametsi tam valide essent rerum potiti Cæsariani civitatemque partim favore partim metu sibi subjecissent, Catonem tamen adhuc timebant. Molestum enim ipsis erat et difficile, se ea quæ obtinuissent, non potuisse tamen nisi magno cum labore neque citra turpitudinem, ab eo coargutos vi consequi. (2) Et vero Clodius desperans se Catone præsente Ciceronem opprimere posse, simul atque tribunatum plebis occepit, id agens ut illum ab urbe dimoveret, ad se vocavit atque ita compellavit : se eum omnium Romanorum integerrimum judicare, itaque nunc re ipsa testatum reddere statuisse; multis enim administrationem Cypri et Ptolemæi dominatum ambientibus, se ipsum ea dignissimum arbitrari, ideoque libenter eam ipsi facere gratiam. (3) Exclamante Catone, non hanc gratiam, sed insidias esse et injuriam; superbe admodum Clodius : Ergo, inquit, quando gratum tibi hoc non est, invitus eo navigabis; statimque ad populum progressus, legem de Catonis legatione pertulit. Proficiscenti Catoni neque navim neque milites neque famulos dedit, præter duos scribas, quorum alter fur erat et homo nequissimus, alter Clodii cliens. Porro tanquam in Cypro constituenda et Ptolemæi negotio parum laboris esset futurum, injunxit ei præterea ut Byzantiorum exsules reduceret, id agens, ut se tribunatum plebis gerente, quam diutissime ab Urbe abesset Cato.

XXXV. Hac constrictus Cato necessitate, Ciceroni jam tum a Clodio impetito consilium dedit, ne factionibus aut armis cædibusque urbem propter se agitari vellet, sed tempori concedens abiret, atque ita patriæ denuo salutem afferret; ipse, uno suorum amicorum Canidio in Cyprum præmisso, Ptolemæum monuit uti citra pugnam cederet, victurus vitam neque opum neque honorum indigam; nam ei populum sacerdotium Veneris Paphiæ concessu-

ἐν Ῥόδῳ παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων. (2) Ἐν δὲ τούτῳ Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ὑπ' ὀργῆς τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας ἀπολελοιπὼς μὲν Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηίου καὶ Καίσαρος αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν τῷ Κάτωνι βουληθεὶς προσέπεμψεν, ἐλπίζων ἐκεῖνον ὡς αὐτὸν ἥξειν. Ὁ δὲ Κάτων ἐτύγχανε μὲν ὢν τότε περὶ κοιλίας κάθαρσιν, ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο, κελεύσας πρὸς αὐτόν, ὡς δὲ ἦλθεν, οὔτε ἀπαντήσας οὔτε ὑπεξαναστάς, ἀλλ' ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος καὶ καθίσαι d κελεύσας, πρῶτον αὐτοῖς τούτοις διετάραξε θαυμάζοντα πρὸς τὸ δημοτικὸν καὶ λιτὸν αὐτοῦ τῆς κατασκευῆς τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. (3) Ἐπεὶ δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ' αὐτὸν ἀρξάμενος ἠκροάσατο λόγων νοῦν πολὺν ἐχόντων καὶ παῤῥησίαν, ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος καὶ διδάσκοντος, ὅσην εὐδαιμονίαν ἀπολιπὼν ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις καὶ πόνοις καὶ δωροδοκίαις καὶ πλεονεξίαις τῶν ἐν Ῥώμῃ δυνατῶν, οὓς μόλις ἐξαργυρισθεῖσαν ἐμπλήσειν Αἴγυπτον, συμβουλεύοντος δὲ πλεῖν ὀπίσω καὶ διαλλάττεσθαι τοῖς πολίταις, αὐτοῦ δὲ καὶ συμπλεῖν e καὶ συνδιαλλάττειν ἑτοίμως ἔχοντος, οἷον ἐκ μανίας τινὸς ἢ παρακοπῆς ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος καὶ κατανοῶν τὴν ἀλήθειαν καὶ τὴν σύνεσιν τοῦ ἀνδρός, ὥρμησε μὲν χρῆσθαι τοῖς ἐκείνου λογισμοῖς, ἀνατραπεὶς δὲ ὑπὸ τῶν φίλων αὖθις ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι καὶ θύραις ἑνὸς ἄρχοντος προσελθεῖν ἔστενε τὴν αὐτοῦ κακοβουλίαν, ὡς οὐκ ἀνδρὸς ἀγαθοῦ λόγων, θεοῦ δὲ μαντείας καταφρονήσας.

XXXVI. Ὁ δὲ ἐν Κύπρῳ Πτολεμαῖος εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. Πολ- f λῶν δὲ χρημάτων ἀπολελεῖφθαι λεγομένων, αὐτὸς μὲν ἔγνω πλεῖν εἰς Βυζαντίους, πρὸς δὲ τὴν Κύπρον ἐξέπεμψε τὸν ἀδελφιδοῦν Βροῦτον οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. Τοὺς δὲ φυγάδας διαλλάξας καὶ καταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον οὕτως εἰς Κύπρον ἔπλευσεν. (2) Οὔσης δὲ πολλῆς καὶ βασιλικῆς ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις καὶ πορφύραις κατα-
777 σκευῆς, ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι, πάντα a βουλόμενος ἐξακριβοῦν καὶ πάντα κατατείνειν εἰς ἄκραν τιμὴν καὶ πᾶσιν αὐτὸς παρεῖναι καὶ προσάγειν τὸν ἔσχατον ἐκλογισμὸν οὐδὲ τοῖς ἔθεσι τῆς ἀγορᾶς ἐπίστευεν, ἀλλ' ὑπονοῶν ὁμοῦ πάντας, ὑπηρέτας, κήρυκας, ὠνητάς, φίλους, τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνουμένοις διαλεγόμενος καὶ προσβιβάζων ἕκαστον οὕτω τὰ πλεῖστα τῶν ἀγορασμάτων ἐπώλει. (3) Διὸ τοῖς τε ἄλλοις φίλοις ὡς ἀπιστῶν προσέκρουσε καὶ τὸν συνηθέστατον ἁπάντων Μουνάτιον εἰς ὀργὴν ὀλίγου δεῖν ἀνήκεστον γενομένην ἐνέβαλεν, ὥστε καὶ Καίσαρι γράφοντι λόγον κατὰ τοῦ Κάτωνος πικροτάτην τοῦτο b τὸ μέρος τῆς κατηγορίας διατριβὴν παρασχεῖν.

XXXVII. Ὁ μέντοι Μουνάτιος οὐκ ἀπιστίᾳ τοῦ Κάτωνος, ἀλλ' ἐκείνου μὲν ὀλιγωρίᾳ πρὸς αὐτόν, αὐ-

rum. Interim Rhodi ad negotium tractandum se comparans, responsa exspectabat. (2) Venit eo tum temporis Ptolemæus Ægypti rex, qui civium ira et dissensione compulsus Alexandria abierat, Romamque navigabat impetratum, ut a Cæsare et Pompeio armata manu restitueretur. Is cum Catone colloqui cupiens, ad eum misit, sperans eum ad se venturum. Cato qui tum forte ventrem medicamento purgaret, Ptolemæum, si quid vellet, ad se venire jussit, venientique neque est progressus obviam neque intranti assurrexit, sed tanquam quemvis alium salutavit, ac sedere jussit. (3) Hæc primum perturbaverunt Ptolemæum, qui hominem tam vulgari ac vili habitu in tanto morum fastu et insolentia non satis mirari potuit. Orsus deinde de suis rebus colloqui sermonem sapientem liberumque Catonis audiit, increpantis ipsum et ostendentis, quanta relicta felicitate se ipsum tantos in labores conjecisset, cui demerenda nunc muneribusque concilianda esset Romanorum principum avaritia, quam vix tota in pecuniam redacta Ægyptus explere posset; monentis porro, ut retro ad suos navigaret, cumque iis gratiam reconciliaret, ad eamque rem suum comitatum et operam pollicentis, ibi tum rex, quasi ex insania aut delirio ad animum reversus, intellecta veritate et sapienti Catonis consilio, statuit quidem ei obtemperare, sed rursum ab amicis retractus a proposito, ut primum Romam venit et ad fores unius principum accessit, deploravit suam imprudentiam, qui non egregii viri sermones, sed dei oraculum sprevisset.

XXXVI. At Ptolemæus Cyprius bona quadam Catonis fortuna veneno sese necavit. Cujus morte quum magnæ relictæ ferrentur divitiæ, Cato ipse Byzantium navigare statuens, Brutum sororis filium in Cyprum præmisit, non satis fidens Canidio. Reductis exsulibus et redintegrata Byzantiis concordia, in Cyprum navigavit. (2) Quum vero esset amplissima supellex regia poculorum, mensarum, lapidum, purpurarum, eaque omnia vendendo in pecuniam essent commutanda, cupiens omnia ad summum pretium adducere, ipseque omnibus interesse, et exacte de singulis subducere rationes, neque consuetudini fori satis credidit et suspectos habens omnes, famulos, præcones, venditores, amicos, ac extremum cum auctoribus seorsum colloquendo et pretia incendendo, pleraque ita merces divendidit. (3) Quæ res quum alios ejus amicos, quod parum iis habere fidei videretur, offendit, tum Munatium omnium familiarissimum ira prope implacabili accendit, ita quidem, ut in Anticatone Cæsar huic loco acerbissime exagitando immoratus sit.

XXXVII. Verum ipse Munatius non Catonis diffidentia, sed neglectione sui et adversus Canidium æmulatione

του δέ τινι ζηλοτυπίᾳ πρὸς τὸν Κανίδιον ἱστορεῖ γενέσθαι τὴν ὀργήν. Καὶ γὰρ αὐτὸς σύγγραμμα περὶ τοῦ Κάτωνος ἐξέδωκεν, ᾧ μάλιστα Θρασέας ἐπηκολούθησε. (2) Λέγει δὲ ὕστερος μὲν εἰς Κύπρον ἀφικέσθαι καὶ λαβεῖν παρημελημένην ξενίαν· ἐλθὼν δὲ ἐπὶ θύρας ἀπωσθῆναι, σκευωρουμένου τι τοῦ Κάτωνος οἴκοι σὺν τῷ Κανιδίῳ, μεμψάμενος δὲ μετρίως οὐ μετρίας τυχεῖν ἀποκρίσεως, ὅτι κινδυνεύει τὸ λίαν φιλεῖν (ὥς φησι Θεόφραστος) αἴτιον τοῦ μισεῖν γίνεσθαι πολλάκις· « Ἐπεὶ καὶ σὺ, φάναι, τῷ μάλιστα φιλεῖν ἧττον c οἰόμενος ᾗ προσήκει τιμᾶσθαι χαλεπαίνεις. Κανιδίῳ δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι καὶ διὰ πίστιν ἑτέρων μᾶλλον, ἐξ ἀρχῆς μὲν ἀφιγμένῳ, καθαρῷ δὲ φαινομένῳ. » (3) Ταῦτα μέντοι μόνον αὐτῷ μόνῳ διαλεχθέντα τὸν Κάτωνα πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. Αἰσθόμενος οὖν αὐτὸς οὔτε ἐπὶ δεῖπνον ἔτι φοιτᾶν οὔτε σύμβουλος ὑπακούειν καλούμενος. Ἀπειλοῦντος δὲ τοῦ Κάτωνος, ὥσπερ εἰώθασι τῶν ἀπειθούντων, ἐνέχυρα λήψεσθαι, μηδὲν φροντίσας ἐκπλεῦσαι καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν· εἶτα τῆς Μαρκίας d (ἔτι γὰρ συνῴκει τῷ Κάτωνι) διαλεχθείσης, τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένους ἐπὶ δεῖπνον, εἰσελθόντα δὲ ὕστερον τὸν Κάτωνα, τῶν ἄλλων κατακειμένων, ἐρωτᾶν, ὅπου κατακλιθείη. Τοῦ δὲ Βάρκα κελεύσαντος, ὅπου βούλεται, περιβλεψάμενον εἰπεῖν, ὅτι παρὰ Μουνάτιον, καὶ περιελθόντα πλησίον αὐτοῦ κατακλιθῆναι, πλέον δὲ μηθὲν φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. (4) Ἀλλὰ πάλιν τῆς Μαρκίας δεομένης τὸν μὲν Κάτωνα γράψαι πρὸς αὐτὸν, ὡς ἐντυχεῖν τι βουλόμενον, αὐτὸν δὲ ἥκειν ἕωθεν εἰς τὴν οἰκίαν καὶ ὑπὸ τῆς Μαρκίας κατασχεθῆναι, μέχρι πάντες ἀπηλλάγησαν, οὕτω δὲ εἰσελθόντα τὸν Κάτωνα καὶ e περιβαλόντα τὰς χεῖρας ἀμφοτέρας ἀσπάσασθαι καὶ φιλοφρονεῖσθαι. Ταῦτα μὲν οὖν οὐχ ἧττον οἰόμενοι τῶν ὑπαίθρων καὶ μεγάλων πράξεων πρὸς ἔνδειξιν ἤθους καὶ κατανόησιν ἔχειν τινὰ σαφήνειαν ἐπὶ πλέον διήλθομεν

XXXVIII. Τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀργυρίου τάλαντα μικρὸν ἑπτακισχιλίων ἀποδέοντα, δεδιὼς δὲ τοῦ πλοῦ τὸ μῆκος ἀγγεῖα πολλὰ κατασκευάσας, ὧν ἕκαστον ἐχώρει δύο τάλαντα καὶ δραχμὰς πεντακοσίας, καλώδιον ἑκάστῳ μακρὸν προσήρτησεν, οὗ τῇ ἀρχῇ προσείχετο φελλὸς εὐμεγέθης, ὅπως, εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ βυθοῦ τὸ ἄρτημα σημαίνοι τὸν τόπον. (2) Τὰ μὲν οὖν χρήματα πλὴν ὀλίγων τινῶν f ἀσφαλῶς διεκομίσθη, λόγους δὲ πάντων ὧν διῴκησε γεγραμμένους ἐπιμελῶς ἔχων ἐν δυσὶ βιβλίοις οὐδέτερον ἔσωσεν, ἀλλὰ τὸ μὲν ἀπελεύθερος αὐτοῦ κομίζων ὄνομα Φιλάργυρος ἐκ Κεγχρεῶν ἀναχθεὶς ἀνετράπη 778 καὶ συναπώλεσε τοῖς φορτίοις, τὸ δὲ αὐτὸς ἄχρι Κερ- a κύρας φυλάξας ἐν ἀγορᾷ κατεσκήνωσε, τῶν δὲ ναυτῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς νυκτὸς ἥφθησαν αἱ σκηναὶ καὶ τὸ βιβλίον ἠφανίσθη. Τοὺς μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομιεῖν ἤμελλον οἱ

sua iram eam exstitisse narrat. Edidit enim librum de Catone, quem Thraseas præcipue secutus est. (2) Ita autem refert : se posteriorem in Cyprum appulisse, ibique hospitium ei ab aliis spretum et neglectum obtigisse; quum vero ad Catonis fores venisset, non fuisse admissum, eo intus aliquid cum Canidio tractante. Quo nomine quum incusasset modeste Catonem, asperius justo sibi ab eo fuisse responsum : Equidem apparet, Munati, id quod est a Theophrasto dictum, nimium amando effici ut eum quem amamus, odisse incipiamus; quando tu etiam vehementissime nos amans, eo indignaris, quod minori te quam conveniat in honore esse putas. Ego autem Canidio quum ob peritiam utor præ reliquis, tum ob fidem, quod et initio venit, et integre se gessit. (3) Hæc ait Catonem cum ipso remotis arbitris locutum, deinde ad Canidium extulisse. Itaque se re comperta neque ad cœnam porro ventitasse, neque si ad consilium vocaretur, paruisse; quumque minaretur Cato se eum pignore (ita enim solet agi cum contumacibus) coacturum, nihil ista curasse, sed e Cypro solvisse, diuque in ira permansisse. Postea Marcia (nam adhuc cum Catone vivebat) cum marito ea de re collocuta, forte utrumque a Barca fuisse ad cœnam vocatum, Catonemque quum reliqui omnes jam accubuissent ingressum, quæsivisse ubi accumberet, et Barca optionem ei dante circumspicientem dixisse, juxta Munatium velle se accumbere, sibique assedisse, neque tamen ea in cœna amice quicquam præterea secum egisse. (4) Rursum Marcia deprecante, Catonem epistola se vocasse ad colloquium, se prima luce ad domum ejus venisse, detentumque a Marcia, donec ceteri omnes discessissent; ibi demum Catonem ingressum complexum sibi tulisse ac consalutasse. Hæc est Munatii narratio, quam fusius retuli, existimans hujusmodi historias ad mores et ingenia hominum demonstranda non minus, quam magna et publica facinora, perspicuitatis afferre.

XXXVIII. Coegit autem Cato argenti talenta prope septies mille. Porro longam navigationem metuens, vasa multa paravit, quorum singula duorum talentorum et quingentarum drachmarum essent capacia, horum unicuique longum funem appendit, cujus capiti suber magnum esset annexum, ut fracta navi indicia essent, ubi locorum demersa pecunia jaceret. (2) Et pecuniæ quidem paucis demptis omnes salvæ Romam allatæ sunt, rationes vero suæ administrationis accurate duobus in libris conscripserat, quorum uterque intercidit : nam quum alterum libertus ejus Philargyrus ferret, is a Cenchreis solvens, eversa navi una quum sarcinis periit, alterum quum ipse ad Corcyram usque pertulisset, ipso in foro sub tabernaculo dormiente, nautæ propter frigus magnos ignes noctu fecerunt, ita ut corriperentur flammis tentoria, cumque his una liber periret. Aderant quidem ei administri regii, quorum opera inimicis et calumniatoribus facile ora obturaret; mordebat

βασιλικοὶ διοικηταὶ παρόντες, ἄλλως δὲ τῷ Κάτωνι τὸ πρᾶγμα δηγμὸν ἤνεγκεν. Οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὐτοῦ τοὺς λόγους, ἀλλὰ παράδειγμα τοῖς ἄλλοις ἀκριβείας ἐξενεγκεῖν φιλοτιμούμενος ἐνεμεσήθη.

XXXIX. Περαιωθεὶς δὲ ταῖς ναυσὶν οὐκ ἔλαθε τοὺς Ῥωμαίους, ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς, πᾶσα δὲ ἡ βουλή, πολὺ δὲ τοῦ δήμου μέρος ἀπήντων πρὸς τὸν ποταμόν, ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι καὶ θριάμβου μηδὲν ὄψει καὶ φιλοτιμίᾳ λείπεσθαι τὸν b ἀνάπλουν αὐτοῦ. Καίτοι σκαιὸν ἐνίοις τοῦτο ἐφαίνετο καὶ αὔθαδες, ὅτι τῶν ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων οὔτε ἀπέβη πρὸς αὐτοὺς οὔτ' ἐπέσχε τὸν πλοῦν, ἀλλὰ ῥοθίῳ τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρους βασιλικῆς οὐκ ἀνῆκε πρότερον ἢ καθορμίσαι τὸν στόλον εἰς τὸ νεώριον. (2) Οὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων δι' ἀγορᾶς ὅ τε δῆμος ἐθαύμαζε τὸ πλῆθος ἥ τε βουλὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν ἐξαίρετον δοθῆναι καὶ τὰς θέας αὐτὸν ἐν ἐσθῆτι περιπορφύρῳ θεάσασθαι. Ταῦτα μὲν οὖν ὁ Κάτων παρῃτήσατο, c Νικίαν δὲ τὸν οἰκονόμον τῶν βασιλικῶν ἐλεύθερον ἔπεισε τὴν βουλὴν ἀφεῖναι μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. Ὑπάτευε δὲ Φίλιππος ὁ πατὴρ τῆς Μαρκίας, καὶ τρόπον τινὰ τὸ ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις εἰς Κάτωνα περιῆλθεν, οὐκ ἐλάττονα τοῦ συνάρχοντος δι' ἀρετὴν ἢ δι' οἰκειότητα τοῦ Φιλίππου τῷ Κάτωνι τιμὴν προστιθέντος.

XL. Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς, ἣν ἔφυγεν ὑπὸ Κλωδίου, κατελθὼν καὶ δυνάμενος μέγα τὰς δημαρχικὰς δέλτους, ἃς ὁ Κλώδιος ἔθηκεν ἀναγράψας εἰς τὸ Καπιτώλιον, ἀπέσπασε βίᾳ καὶ καθεῖλε τοῦ Κλω- d δίου μὴ παρόντος, ἐπὶ τούτοις δὲ βουλῆς ἀθροισθείσης καὶ τοῦ Κλωδίου κατηγοροῦντος ἔλεγε, παρανόμως τῷ Κλωδίῳ τῆς δημαρχίας γενομένης ἀτελῆ καὶ ἄκυρα δεῖν εἶναι τὰ τότε πραχθέντα καὶ γραφέντα, προσέκρουσεν ὁ Κάτων αὐτῷ λέγοντι καὶ τέλος ἀναστὰς ἔφη, « τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς μηδὲ χρηστὸν ὅλως νομίζειν, εἰ δὲ ἀναιρεῖ τις ὅσα δημαρχῶν ἔπραξεν, ἀναιρεῖσθαι πᾶσαν αὐτοῦ τὴν περὶ Κύπρον πραγματείαν καὶ μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον ἄρχοντος παρανόμου ψηφισαμένου· παρανόμως μὲν οὐ δήμαρχον αἱρεθῆναι τὸν Κλώδιον ἐκ πατρικίων με- e ταστάντα νόμου διδόντος εἰς δημοτικὸν οἶκον, εἰ δὲ μοχθηρός, ὥσπερ ἄλλοι, γέγονεν ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν τὴν συναδικηθεῖσαν ἀρχὴν εἶναι προσῆκον. » Ἐκ τούτου δι' ὀργῆς ὁ Κικέρων ἔσχε τὸν Κάτωνα καὶ φίλῳ χρώμενος ἐπαύσατο χρόνον πολύν· εἶτα μέντοι διηλλάγησαν.

XLI. Ἐκ τούτου Πομπήιος καὶ Κράσσος ὑπερβαλόντι τὰς Ἄλπεις Καίσαρι συγγενόμενοι γνώμην ἐποιήσαντο κοινῇ δευτέραν ὑπατείαν μετιέναι καὶ καταστάντες εἰς αὐτὴν Καίσαρι μὲν τῆς ἀρχῆς ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον, αὑτοῖς δὲ τῶν ἐπαρχιῶν τὰς μεγίστας καὶ χρήματα καὶ στρατιωτικὰς δυνάμεις. f

tamen ea librorum jactura Catonem, quod eos non tam pro suarum rationum confirmatione, quam ut essent reliquis diligentiæ exemplum afferre studuerat, nisi huic ejus conatui invidia fortunæ obstitisset.

XXXIX. Quum Tiberi ad urbem subveheretur, non latuit ejus adventus cives, sed omnes magistratus, omnes sacerdotes, universus senatus, ac magna populi pars obvii utramque ripam multitudine sua texerunt, ita ut conspectus navigationis istius et comitantium studium triumpho nihil concederet. Tametsi novum illud quibusdam videbatur et superbum, quod consulibus et prætoribus præsentibus, neque egressus navi ad illos est, neque navigationem inhibuit, sed regia navi quæ sex ordinibus remorum agebatur littus citato cursu legens non ante cessavit, quam in navali classem constituit. (2) Verum enimvero pecuniis per forum translatis et populus earum admiratus est multitudinem et senatus frequens præter ceteras meritas laudes Catoni præturam extraordinariam decrevit, utque ludos veste purpura prætexta spectaret. Verum Cato his repudiatis senatui persuasit ut Niciam regium dispensatorem libertate donaret, diligentiæ ei ac fidei testimonium præbens. Erat tum consul Philippus Marciæ pater et ejus magistratus auctoritas atque potentia ad Catonem redibat, quum non majorem Philippus ob affinitatem, quam ejus collega ob virtutem Catoni honorem tribueret.

XL. Quum Cicero ab exsilio revocatus, recuperata potentia sua tribunicias tabulas a Clodio (is Ciceronem patria expulerat) in Capitolio positas absente Clodio vi dijiceret, deinde ejus rei causa congregato senatu et accusante factum Clodio, diceret præter leges Clodio tribunatum plebis datum, itaque rescindi et irrita haberi debere ea quæ sub eo acta aut scripta essent, Cato eam orationem interpellavit et ad extremum surgens ita verba fecit : « sibi quidem neque rectum neque utile Clodii capessendæ reipublicæ institutum videri; si tamen rescindi oporteat ea quæ in tribunatu ejus acta sint, omnem quoque suam Cypriam actionem rescissum iri, neque justam fuisse suam amandationem, cujus auctor is fuisset, qui contra leges magistratum gereret. Enimvero nequaquam contra leges Clodio tribunatum plebis commissum, quod lex patricium adoptari a plebeio et sic transire ad plebem permittat : quodsi vero injuste magistratum, ut et alii, administrarit, ipsum eo nomine in jus rapi debere, neque deberi una etiam magistratus, cui injuria sit ab ipso facta, auctoritatem everti. » Ob hæc Cicero Catoni iratus, aliquamdiu ejus amicitia uti omisit, redintegrata est tamen postea inter eos gratia.

XLI. Secundum hæc Pompeius et Crassus cum Cæsare Alpes transgresso congressi rem ita composuerunt, ut ipsi consulatum secundum peterent eumque adepti Cæsari imperium in aliud quinquennium prorogarent, sibi provincias amplissimas, pecuniam exercitusque decernerent. Erat

Ὅπερ ἦν ἐπὶ νεμήσει τῆς ἡγεμονίας καὶ καταλύσει τῆς πολιτείας συνωμοσία. (2) Πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν τότε παρασκευαζομένων τοὺς μὲν ἄλλους ὀφθέντες ἐν ταῖς παραγγελίαις ἀπέτρεψαν, μόνον δὲ Λεύκιον Δομίτιον, Πορκίᾳ συνοικοῦντα τῇ ἀδελφῇ, Κάτων ἔπεισε μὴ ἐκστῆναι μηδὲ ὑφίεσθαι, 779 τοῦ ἀγῶνος οὐ περὶ ἀρχῆς ὄντος, ἀλλὰ περὶ τῆς Ῥω- a μαίων ἐλευθερίας. Καὶ μέντοι καὶ λόγος ἐχώρει διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους, ὡς οὐ περιοπτέον, εἰς ταὐτὸ τῆς Κράσσου καὶ Πομπηΐου δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον καὶ βαρεῖαν τὴν ἀρχὴν γενομένην, ἀλλ' ἀφαιρετέον αὐτῆς τὸν ἕτερον. Καὶ συνίσταντο πρὸς τὸν Δομίτιον παρορμῶντες καὶ παραθαῤῥύνοντες ἀντιλαμβάνεσθαι· πολλοὺς γὰρ αὐτῷ καὶ τῶν σιωπώντων διὰ δέος ἐν ταῖς ψήφοις ὑπάρξειν. (3) Τοῦτο δὴ δείσαντες οἱ περὶ τὸν Πομπήϊον ὑφεῖσαν ἐνέδραν τῷ Δομιτίῳ καταβαίνοντι τὸ ὄρθριον ὑπὸ λαμπάδων εἰς τὸ πεδίον. Καὶ πρῶτος μὲν ὁ προφαίνων ἐπιστὰς τῷ Δομιτίῳ πληγεὶς καὶ b πεσὼν ἀπέθανε· μετὰ δὲ τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων ἐγίνετο φυγὴ πλὴν Κάτωνος καὶ Δομιτίου. Κατεῖχε γὰρ αὐτὸν ὁ Κάτων, καίπερ αὐτὸς εἰς τὸν βραχίονα τετρωμένος, καὶ παρεκελεύετο μένειν καὶ μὴ προλιπεῖν, ἕως ἐμπνέωσι, τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους· οἵ, τίνα τρόπον χρήσονται τῇ ἀρχῇ, δηλοῦσι διὰ τηλικούτων ἀδικημάτων ἐπ' αὐτὴν βαδίζοντες.

XLII. Οὐχ ὑποστάντος δὲ τοῦ Δομιτίου τὸ δεινόν, ἀλλ' εἰς τὴν οἰκίαν καταφυγόντος, ᾑρέθησαν μὲν ὕπατοι Πομπήϊος καὶ Κράσσος, οὐκ ἀπέκαμε δὲ ὁ Κάτων, ἀλλ' αὐτὸς προελθὼν στρατηγίαν μετῄει βουλόμενος ὁρμη- c τήριον ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων καὶ πρὸς ἄρχοντας ἀντικαθίστασθαι μὴ ἰδιώτης. (2) Οἱ δὲ καὶ τοῦτο δείσαντες, ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης καὶ τῶν πολλῶν ἀγνοούντων, βουλὴν συναγαγόντες ἐψηφίσαντο τοὺς αἱρεθέντας στρατηγοὺς εὐθὺς ἄρχειν καὶ μὴ διαλιπόντας τὸν νόμιμον χρόνον, ἐν ᾧ δίκαι τοῖς δεκάσασι τὸν δῆμον ἦσαν. Ἔπειτα διὰ τοῦ ψηφίσματος τὸ διδόναι ἀνυπεύθυνον κατασκευάσαντες ὑπηρέτας αὐτῶν καὶ φίλους ἐπὶ τὴν στρατηγίαν προῆγον, αὐτοὶ μὲν διδόντες ἀργύριον, αὐτοὶ δὲ ταῖς ψήφοις d φερομέναις ἐφεστῶτες. (3) Ὡς δὲ καὶ τούτων ἡ Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν, ὑπ' αἰδοῦς τῶν πολλῶν ἐν δεινῷ πολλῷ τιθεμένων ἀποδόσθαι Κάτωνα ταῖς ψήφοις, ὃν καλῶς εἶχε πρίασθαι τῇ πόλει στρατηγόν, ἥ τε πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης ὁ Πομπήϊος βροντῆς ἀκηκοέναι ψευσάμενος αἴσχιστα διέλυσε τὴν ἐκκλησίαν, εἰθισμένων ἀφοσιοῦσθαι τὰ τοιαῦτα καὶ μηδὲν ἐπικυροῦν διοσημείας γενομένης. Αὖθις δὲ πολλῷ χρησάμενοι τῷ δεκασμῷ τοὺς βελτίστους ὤσαντες ἐκ τοῦ πεδίου βίᾳ διεπράξαντο Βατίνιον e ἀντὶ Κάτωνος αἱρεθῆναι στρατηγόν. (4) Ἔνθα δὴ λέγεται τοὺς μὲν οὕτω παρανόμως καὶ ἀδίκως θεμένους

hæc de dividendo imperio et evertenda republica conjuratio. (2) Erant multi tum ac præclari viri, qui petere consulatum intendissent, sed eos Pompeius ac Crassus inter competitores conspecti statim deterruerunt, soli L. Domitio Porciæ sororis suæ marito persuasit Cato, ne cederet, neve remitteret, quod non de eo honore, sed de libertate populi Romani dimicaretur. Nam et rumor per optimos quosque civium editus erat non esse concedendum ut Pompeii ac Crassi potentia in unum compacta consularis magistratus nimia vis atque potestas redderetur, sed eum alterutri præripiendum, conjungebantque se Domitio multi, adhortantes eum et confirmantes, ac multos esse promittentes qui nunc metus causa tacentes suffragiis suis ipsum essent electuri. (3) Id metuens Pompeius Domitio mane præluceatibus facibus in campum descendenti insidias collocavit; ac primus qui facem ante ipsum Domitium gestabat, ictus cecidit exspiravitque, deinde reliquis etiam consauciatis, diffugere omnes præter Catonem ac Domitium, quem Cato, tametsi ipse quoque brachium vulneratus, retinebat hortabaturque ut secum maneret, neque dum spirarent, certamine absisterent pro libertate patriæ adversus tyrannos suscepto; qui ut essent usuri magistratu, jam nunc satis ostenderent, tantis sibi flagitiis aditus ad eum parantes.

XLII. Domitio tamen periculum subterfugiente et se domum subducente, Pompeius et Crassus consules sunt creati. Ne sic quidem defatigatus Cato, præturam statim petiit, cupiens ex hac quasi arce adversus illos pugnare, neque privatus ipse cum magistratibus decertare. (2) At consules designati hoc quoque metuentes, ne prætura per Catonem nancisceretur potestatem consulari non admodum inferiorem, primum subito et plerisque ignorantibus senatum convocarunt, ac decreverunt ut qui prætores essent electi, ii statim magistratum inirent, non interposito solito tempore; quo iis qui populum largitionibus corrupissent, dies dicebatur. Deinde quum plebiscito effecissent ut largitiones impune fierent, clientes et amicos ad præturam subvexerunt, ipsi pecuniam dantes, ipsique suffragiis ferendis assistentes. (3) Hoc quoque consilium virtus et gloria Catonis irritum fecit, turpe plerisque et indignum existimantibus, suffragiis Catonem vendi, qui emendus civitati prætor esset, itaque et prima tribuum ad suffragium vocata, Catonem nominavit, tum Pompeius subito mentitus se tonitru audisse, turpissime comitia solvit; id enim abominari solent neque quicquam, si de cœlo est servatum, ratum habere. Iterum multa usus largitione, optimisque campo expulsis, vi obtinuerunt ut pro Catone Vatinius prætor crearetur. (4) Ibi ferunt eos qui ita injuste et inique suffragia dedissent, sta-

τὴν ψῆφον εὐθὺς ὥσπερ ἀποδράντας οἴχεσθαι, τοῖς δὲ ἄλλοις συνισταμένοις καὶ ἀγανακτοῦσι δημάρχου τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν καταστάντα τὸν Κάτωνα ἅπαντα μὲν ὥσπερ ἐκ θεῶν ἐπίπνουν τὰ μέλλοντα τῇ πόλει προειπεῖν, παρορμῆσαι δὲ τοὺς πολίτας ἐπὶ Πομπήϊον καὶ Κράσσον ὡς τοιαῦτα συνειδότας αὑτοῖς, καὶ τοιαύτης ἁπτομένους πολιτείας, δι' ἣν ἔδεισαν Κάτωνα, μὴ στρατηγὸς αὐτῶν περιγένηται. Τέλος δὲ ἀπιόντος εἰς τὴν οἰκίαν, προὔπεμψε πλῆθος τοσοῦ- f τον, ὅσον οὐδὲ σύμπαντας ἅμα τοὺς ἀποδεδειγμένους στρατηγούς.

XLIII. Γαΐου δὲ Τρεβωνίου γράψαντος νόμον ὑπὲρ νομῆς ἐπαρχιῶν τοῖς ὑπάτοις, ὥστε τὸν μὲν Ἰβηρίαν ἔχοντα καὶ Λιβύην ὑφ' αὑτῷ, τὸν δὲ Συρίαν καὶ Αἴγυπτον οἷς βούλοιντο πολεμεῖν καὶ καταστρέφεσθαι ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι τὴν ἀντίπραξιν καὶ κώλυσιν ἀπεγνωκότες ἐξέλιπον καὶ τὸ ἀντειπεῖν, Κάτωνι δὲ ἀναβάντι πρὸ τῆς ψηφοφορίας 780 ἐπὶ τὸ βῆμα καὶ βουλομένῳ λέγειν μόλις ὡρῶν δυεῖν a λόγον ἔδωκαν. (2) Ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων καὶ προθεσπίζων κατανάλωσε τὸν χρόνον, οὐκέτι λέγειν αὐτὸν εἴων, ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. Ὡς δὲ καὶ κάτωθεν ἱστάμενος ἐβόα καὶ τοὺς ἀκούοντας καὶ συναγανακτοῦντας εἶχε, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ ἀγαγὼν αὐτὸν ἔξω τῆς ἀγορᾶς κατέστησε. Καὶ οὐκ ἔφθη πρῶτον ἀφεθεὶς καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ βῆμα μετὰ κραυγῆς ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν. Πολλάκις δὲ τούτου γενομένου περιπαθῶν ὁ Τρεβώνιος ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι· καὶ πλῆθος ἐπηκο- b λούθει λέγοντος ἅμα σὺν τῷ βαδίζειν ἀκροώμενον, ὥστε δείσαντα τὸν Τρεβώνιον ἀφεῖναι. (3) Κἀκείνην μὲν οὕτω τὴν ἡμέραν ὁ Κάτων κατανάλωσε· ταῖς δ' ἐφεξῆς οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις, ἕνα δὲ τῶν δημάρχων Ἀκύλλιον ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προσελθεῖν, αὐτὸν δὲ τὸν Κάτωνα βροντὴν γεγονέναι βοῶντα τῆς ἀγορᾶς ἐκβαλόντες, οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν, ὥστε πολλοὺς συστραφέντας ὀργῇ τοὺς Πομπηΐου βάλλειν ἀνδριάντας. (4) Ἀλλὰ τοῦτο μὲν ἐπελθὼν ὁ Κάτων διεκώλυσε· τῷ δὲ Καίσαρι πάλιν νόμου γρα- c φομένου περὶ τῶν ἐπαρχιῶν καὶ τῶν στρατοπέδων οὐκέτι πρὸς τὸν δῆμον ὁ Κάτων, ἀλλὰ πρὸς αὐτὸν τραπόμενος Πομπήϊον ἐμαρτύρατο καὶ προὔλεγεν, ὡς ἐπὶ τὸν αὑτοῦ τράχηλον ἀναλαμβάνων Καίσαρα νῦν μὲν οὐκ οἶδεν, ὅταν δὲ ἄρχηται βαρύνεσθαι καὶ κρατεῖσθαι μήτε ἀποθέσθαι δυνάμενος μήτε φέρειν ὑπομένων εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ καὶ μεμνήσεται τότε τῶν Κάτωνος παραινέσεων, ὡς οὐδὲν ἧττον ἐν αὐταῖς τὸ Πομπηΐου συμφέρον ἐνῆν ἢ τὸ καλὸν καὶ δίκαιον. Ταῦτα πολλάκις ἀκούων ὁ Πομπήϊος ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ τῆς Καίσαρος μεταβολῆς διὰ πίστιν d εὐτυχίας τῆς ἑαυτοῦ καὶ δυνάμεως.

tim se a pontibus quasi fuga proripuisse, reliquos coitionem fecisse gravi indignatione concitos, dataque iis statim a quodam tribuno plebis concione, Catonem progressum quasi divino quodam afflatum furore omnia quæ futura essent civitati vaticinatum esse, civesque adversus Pompeium et Crassum instigasse, qui scilicet hujusmodi sibi consiliorum essent conscii, atque rempublicam tali modo administrare intenderent, ut metuerent Catonem, ne prætor factus ipsos vinceret. Denique domum abeuntem tanta multitudo prosecuta est, ut ne universis quidem tum designatis prætoribus tantus fuerit comitatus.

XLIII. Præterea quum C. Trebonius legem de consularibus provinciis tulisset, ut alter Hispaniam et Africam obtineret, alter Ægyptum et Syriam et copiis terrestribus navalibusque oppugnarent ac subigerent quos vellent; reliqui desperato se quicquam posse reluctando efficere, etiam contradicendo supersederunt. Cato autem, antequam suffragia populus iniret, conscenso tribunali quum verba facere cuperet, vix impetravit ut sibi per duas horas dicere liceret. (2) Quas ut multa commemorans, docens prædicensque consumpsit, non amplius dicendi ei copia est concessa, sed manentem in tribunali apparitor aggressus detraxit. Quum inferiori loco stans clamaret adhuc, neque deessent qui ei aures præberent, et vim ei factam inique ferrent, rursus eum apparitor arreptum foro eduxit. Dimissus illico ad tribunal iterum contendit, vociferando civium auxilium implorans. Quod quum aliquoties exturbatus foro fecisset, tandem Trebonius ira commotus abduci eum in carcerem jussit; sequebatur autem multitudo, auscultabatque eo interim dum abduceretur clamitante, ita ut Trebonius in metum veniret, eumque dimitti juberet. (3) Sic illa dies a Catone est extracta. Quæ insecutæ deinceps sunt, iis partim perterrito populo, partim beneficiis et largitionibus devincto, Aquilio etiam tribuno plebis armis adita e curia in forum intercluso, ipsoque Catone, quum tonuisse vociferaretur, foro exturbato, compluribus sauciatis, quibusdam etiam cæsis, vi demum legem pertulerunt, qua re indignatione multi concitata coitionem fecerunt et statuas Pompeii dejicere cœperunt; (4) sed eos Cato superveniens inhibuit. Quum deinde alia lege Cæsari provinciæ et exercitus decernerentur, Cato non, ut ante, ad populum, sed ad ipsum jam conversus Pompeium, testatus est prædixitque: eum Cæsarem jam ultro in suas cervices imponere imprudentem, fore autem ut, quum gravari eo onere et premi inciperet, neque deponere neque sustinere valeret, tunc una cum eo in civitatem concideret: atque tum eum Catonis monita recordaturum, intellecturumque non minus ea ad Pompeii utilitatem quam ad honestatem fuisse et justitiam accommodata. Hæc sæpius audiens Pompeius plane contempsit, quod sua fretus felicitate et potentia mutatum iri Cæsaris animum nullo modo crederet.

XLIV. Εἰς δὲ τὸ ἑξῆς ἔτος αἱρεθεὶς ὁ Κάτων στρατηγὸς οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν καὶ καταισχύνειν ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ βῆμα προερχόμενος καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν οὕτω βραβεύων. Ἔνιοι δέ φασι καὶ μετ' ἄριστον οἶνον πεπωκότα χρηματίζειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς λέγεται. (2) Διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις ὑπὸ τῶν φιλαρχούντων καὶ χρωμένων τῷ δεκάζεσθαι καθάπερ ἐργασίᾳ συνήθει τῶν πολλῶν, βουλόμενος ἐκκόψαι παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως, e ἔπεισε δόγμα θέσθαι τὴν σύγκλητον, ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς ἔνορκον δικαστήριον εὐθύνας διδῶσιν. (3) Ἐπὶ τούτῳ χαλεπῶς μὲν ἔσχον οἱ μετιόντες ἀρχάς, ἔτι δὲ χαλεπώτερον ὁ μισθαρνῶν ὄχλος. Ἕωθεν οὖν ἐπὶ τὸ βῆμα τοῦ Κάτωνος προελθόντος ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν, ἔβαλλον, ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας, αὐτὸν δὲ ἐκεῖνον ἐξωσθέντα τῷ πλήθει καὶ παραφερόμενον μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. Ἐνταῦθα καταστὰς τῷ μὲν ἰταμῷ καὶ θαρροῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε τοῦ f θορύβου καὶ τὴν κραυγὴν ἔπαυσεν, εἰπὼν δὲ τὰ πρέποντα καὶ μεθ' ἡσυχίας ἀκουσθεὶς παντάπασι διέλυσε τὴν ταραχήν. Ἐπαινούσης δὲ τῆς βουλῆς αὐτόν, « Ἐγὼ δέ, εἶπεν, ὑμᾶς οὐκ ἐπαινῶ κινδυνεύοντα στρατηγὸν ἐγκαταλιπόντας καὶ μὴ προσαμύναντας. » (4) Τῶν δὲ μετιόντων ἀρχὴν ἕκαστος ἀπόρῳ πάθει συν-
781 είχετο, φοβούμενος μὲν αὐτὸς δεκάζειν, φοβούμενος a δὲ ἑτέρου τοῦτο πράξαντος ἐκπεσεῖν τῆς ἀρχῆς. Ἔδοξεν οὖν αὐτοῖς εἰς ταὐτὸ συνελθοῦσι παραβαλέσθαι δραχμῶν ἕκαστον ἀργυρίου δεκαδύο ἥμισυ μυριάδας, εἶτα μετιέναι τὴν ἀρχὴν πάντας ὀρθῶς καὶ δικαίως· τὸν δὲ παραβάντα καὶ χρησάμενον δεκασμῷ στέρεσθαι τοῦ ἀργυρίου. Ταῦτα ὁμολογήσαντες αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν Κάτωνα καὶ χρήματα φέροντες ἐκείνῳ παρετίθεντο καὶ τὰς συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον ἀντὶ τῶν χρημάτων ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. (5) Ὡς δὲ ἧκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ Κάτων τῷ βραβεύοντι δημάρχῳ b καὶ παραφυλάξας τὴν ψῆφον, ἕνα τῶν παραβαλομένων ἀπέφηνε κακουργοῦντα καὶ προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. Ἀλλ' ἐκεῖνοι μὲν ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες ἀνεῖλον τὸ πρόστιμον ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ τοῦ ἀδικήσαντος· τοὺς δὲ ἄλλους ἐλύπησεν ὁ Κάτων καὶ φθόνον ἔσχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ δικαστηρίου καὶ ἀρχόντων δύναμιν αὐτῷ περιποιησάμενος. (6) Οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ μᾶλλον ἢ τῆς δικαιοσύνης, ὅτι καὶ δύναμις αὐτῇ καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. Οὐ γὰρ τιμῶσι μόνον, ὡς τοὺς ἀνδρείους, οὐδὲ θαυμάζουσιν, ὡς τοὺς φρονίμους, ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους c καὶ θαρροῦσιν αὐτοῖς καὶ πιστεύουσιν. Ἐκείνων δὲ

XLIV. In annum insequentem prætor factus Cato, non tantum præclare a se gesto magistratui majestatis addidit, quantum videretur de ejus dignitate detraxisse, qui sæpe absque tunica et calceis ad tribunal veniret ac de capitalibus causis illustrium virorum ita cognosceret. Quidam eum etiam a prandio potum jus dixisse, sed falso tamen ii affirmant. (2) In ea prætura cernens populum ambitiosorum hominum plane corruptum largitionibus eumque jam esse multorum veluti certum quæstum, ut illum civitatis morbum penitus exscinderet, senatui persuasit uti S. C. faceret, quo designati magistratus si a nemine ambitus postularentur, cogerentur ipsi jurato in judicio comparere, suæque petitionis rationes edere. (3) Offendit et candidatos ea res et magis adhuc turbam addicere pretio suffragium solitam. Itaque prima luce ad tribunal descendente Catone conferto agmine irruerunt, vociferantes, maledicentes, jacientes, adeo ut plerique diffugerent a tribunali, et ipsa turba hominum pressus atque contrusus vix rostra apprehenderit. Inde assurgens tumultum ipsa statim vultus gravitate et ferocia compescuit clamoremque sedavit, locutusque de re quæ essent consentanea auditusque quiete, omnem motum composuit. Laudatus ob hoc a senatu, At ego, inquit, vos nequaquam laudo, qui in periculo constitutum prætorem destitueritis. (4) In magna autem difficultate unusquilibet eorum qui magistratum peterent, erat constitutus; nam et largitione suffragia mercari ipse non audebat, et metuebat ne si hoc aliquis competitorum fecisset, sibi magistratus præriperetur. Itaque inter eos sic est conventum, ut singuli quingena sestertia deponerent, ac proinde legitime magistratum ambirent; qui vero secus fecisset, aut muneribus suffragia captasset, is pecuniam depositam amitteret. Hoc pacti, Catonem custodem, testem judicemque delegerunt, atque literas apud eum deposuerunt, sponsores loco pecuniæ accipientem. (5) Ut venit dies comitiorum, adstans Cato tribuno plebis qui comitiis præerat et suffragiorum lationem observans, unum ex iis mala fide agere deprehendit, jussitque cum pecuniam competitoribus numerare. Sed illi Catonis justitiam admirati, mulctam damnato remiserunt, satis jam tum hac damnatione supplicii dedisse censentes. Invisus autem eam ob rem Cato reliquis fuit, quasi senatus et judicii et magistratuum potestatem sibi vindicans. (6) Nullius enim virtutis gloria et auctoritas magis obnoxia est invidiæ, quam justitiæ, eo, quod summa etiam ejus potentia, summa fides est apud multitudinem. Non enim honorant tantum justos vulgo, ut fortes, neque admirantur modo, ut prudentes, sed et diligunt et in iis fiduciam

τοὺς μὲν φοβοῦνται, τοῖς δὲ ἀπιστοῦσι· πρὸς δὲ τούτοις ἐκείνους μὲν οἴονται φύσει μᾶλλον ἢ τῷ βούλεσθαι, διαφέρειν, ἀνδρείαν καὶ φρόνησιν, τὴν μὲν ὀξύτητά τινα, τὴν δ' εὐρωστίαν ψυχῆς τιθέμενοι, δικαίῳ δὲ ὑπάρχοντος εὐθὺς εἶναι τῷ βουλομένῳ μάλιστα τὴν ἀδικίαν ὡς κακίαν ἀπροφάσιστον αἰσχύνονται.

XLV. Διὸ καὶ τῷ Κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν ὡς ἐλεγχόμενοι· Πομπήιος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ δυνάμεως τὴν ἐκείνου δόξαν ἡγούμενος ἀεί τινας προσέβαλλεν αὐτῷ λοιδορησομένους, ὧν καὶ d Κλώδιος ἦν ὁ δημαγωγὸς αὖθις εἰς Πομπήιον ὑπορρυεὶς καὶ καταβοῶν τοῦ Κάτωνος, ὡς πολλὰ μὲν ἐκ Κύπρου χρήματα νοσφισαμένου, Πομπηίῳ δὲ πολεμοῦντος ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. (2) Ὁ δὲ Κάτων ἔλεγεν, ὅτι χρήματα μὲν ἐκ Κύπρου τοσαῦτα τῇ πόλει συναγάγοι μήτε ἵππον ἕνα μήτε στρατιώτην λαβών, ὅσα Πομπήιος ἐκ πολέμων τοσούτων καὶ θριάμβων τὴν οἰκουμένην κυκήσας οὐκ ἀνήνεγκε, κηδεστὴν δὲ μηδέποτε προελέσθαι Πομπήιον οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ' ὁρῶν τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. « Αὐτὸς μὲν e γάρ, ἔφη, διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας ἀπέστην, οὗτος δὲ τὰς μὲν ἔχει λαβών, τὰς δὲ δίδωσιν ἑτέροις, νυνὶ δὲ καὶ τέλος [ἑξακισχιλίων ὁπλιτῶν δύναμιν] Καίσαρι κέχρηκεν εἰς Γαλατίαν, ἃ οὔτ' ἐκεῖνος ᾔτησε παρ' ὑμῶν οὔτε οὗτος ἔδωκε μεθ' ὑμῶν, ἀλλὰ δυνάμεις τηλικαῦται καὶ ὅπλα καὶ ἵπποι χάριτές εἰσιν ἰδιωτῶν καὶ ἀντιδόσεις. Καλούμενος δὲ αὐτοκράτωρ καὶ στρατηγὸς ἄλλοις τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας παραδέδωκεν, αὐτὸς δὲ τῇ πόλει παρακάθηται στάσεις ἀγωνοθετῶν ἐν ταῖς παραγγελίαις καὶ θορύβους μηχανώμενος, ἐξ ὧν οὐ λέληθε δι' ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος. »

XLVI. Οὕτως μὲν ἠμύνατο τὸν Πομπήιον. Ἦν δὲ f Μάρκος Φαώνιος ἑταῖρος αὐτοῦ καὶ ζηλωτής, οἷος ὁ Φαληρεὺς Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι τὸν παλαιόν, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον, οὐ σχέδην οὐδὲ πρᾴως, ἀλλ' ἄκρατον αὐτοῦ καθαψάμενον ὥσπερ οἶνον καὶ μανικώτερον. (2) Οὗτος ἀγορανομίαν μετιὼν ἡττᾶτο, συμπαρὼν δὲ ὁ Κάτων 782 προσέσχε ταῖς δέλτοις μιᾷ χειρὶ γεγραμμέναις· καὶ a τὴν κακουργίαν ἐξελέγξας τότε μὲν ἐπικλήσει δημάρχων ἔλυσε τὴν ἀνάδειξιν, ὕστερον δὲ τοῦ Φαωνίου κατασταθέντος ἀγορανόμου τά τε ἄλλα τῆς ἀρχῆς ἐπεμελεῖτο καὶ τὰς θέας διεῖπεν ἐν τῷ θεάτρῳ, διδοὺς καὶ τοῖς θυμελικοῖς στεφάνους μὲν οὐ χρυσοῦς, ἀλλ' ὥσπερ ἐν Ὀλυμπίᾳ, κοτίνων, δῶρα δὲ ἀντὶ τῶν πολυτελῶν τοῖς μὲν Ἕλλησι τεῦτλα καὶ θρίδακας καὶ ῥαφανῖδας καὶ ἀπίους, τοῖς δὲ Ῥωμαίοις οἴνου κεράμια καὶ κρέα ὕεια καὶ σῦκα καὶ σικύους καὶ ξύλων ἀγκαλίδας, ὧν τὴν εὐτέλειαν οἱ μὲν ἐγέλων, οἱ δὲ ἡδοῦντο τοῦ Κάτωνος τὸ αὐστηρὸν καὶ κατεστυμμένον ὁρῶντες ἡσυχῇ μεταβάλλον εἰς διάχυσιν. Τέλος δὲ ὁ Φαώνιος εἰς τὸν b ὄχλον ἐμβαλὼν ἑαυτὸν καὶ καθεζόμενος ἐν τοῖς θεαταῖς ἐκρότει τὸν Κάτωνα καὶ διδόναι τοῖς εὐημεροῦσι

collocant, quum illos partim metuant, partim iis diffidant. Ad hoc istos putant natura magis quam voluntate præstare, prudentiam pro celeritate quadam mentis, fortitudinem pro animi robore habentes. At quum statim justus esse possit qui velit, injustitiæ, utpote vitii inexcusabilis, maxime pudet homines.

XLV. Quæ causa fuit ut Catoni omnes proceres, veluti ab eo reprehensi, adversarentur. Et vero Pompeius suam potentiam ipsius subrui gloria judicans, semper aliquos submisit, qui convicia in eum jacerent, inter quos et Clodius fuit ille demagogus, qui quum rursus ad Pompeii amicitiam arrepsisset, Catonem multa de pecunia Cypria intervertisse et Pompeium, quod is filiam ejus ducere abnuisset, insectari vociferabatur. (2) Adversum hæc Cato dicebat: se nullo neque equo neque milite usum, pecuniæ tamen tantum e Cypro in ærarium intulisse, quantum toto terrarum orbe exagitato Pompeius tot bellis triumphisque non advexisset. Pompeii autem se affinitatem nunquam probasse, non quod eum indignum judicaret, sed quod dissimilitudinem institutæ in republica rationis cerneret. Se enim datam sibi ex prætura provinciam omisisse, illum alias arripere sibi, alias aliis largiri, nuper etiam legionem Cæsari in Galliam utendam misisse, quam neque Cæsar a populo petiisset, neque Pompeius de populi sententia ei concessisset, sed hujusmodi exercitus, arma equosque munera esse, quæ privati invicem darent. Eundem Pompeium imperatoris et ducis nomine insignem, aliis exercitus et provincias tradidisse, ipsum ad urbem desidere factiosorum certaminum quasi præsidem tumultusque concitantem, idque haud obscure molientem ut magistratibus abolitis summam rerum occupet.

XLVI. Hoc modo Pompeium ultus est Cato. Erat quidam M. Favonius Catonis amicus et æmulus (quemadmodum Apollodorus fertur Phalereus Socratis prisci fuisse imitator), homo animi perquam violenti et a ratione modoque abhorrentis, qui non paulatim et placide res ageret suas, sed quasi mero obrutus et furibundus. (2) Is in petitione ædilitatis repulsam ferebat; Cato autem, qui tum una aderat, tabellas animadvertit una omnes manu conscriptas, eaque fraude detecta, tribunis plebis appellatis comitia in præsenti dissolvit. Post ædilitatem consecuto Favonio, diligenter eum in eo officio adjuvit, inque theatro spectacula adornavit, scenicisque operis coronas distribuit non aureas, sed ut Olympiæ fiebat, ex oleastro; dona quoque pro sumptuosis istis dedit, Græcis quidem betas, lactucas, radiculas, pira, Romanis vero testas vini, carnes suillas, ficus, cucumeres, fasciculos lignorum. Horum quidam donorum utilitatem ridebant, alii videntes austeritatem morositatemque Catonis sensim ad hilaritatem se inclinantem venerabantur. Tandem Favonius turbæ se immiscens interque spectatores assidens, plausum Catoni dedit, jussitque cum præmia victoribus tribuere, spectatoresque ut

καὶ τιμᾶν ἐβόα καὶ συμπαρεκάλει τοὺς θεατὰς, ὡς ἐκείνῳ τὴν ἐξουσίαν παραδεδωκώς. (3) Ἐν δὲ τῷ ἑτέρῳ θεάτρῳ Κουρίων ὁ Φαωνίου συνάρχων ἐχορήγει πολυτελῶς· ἀλλ' ἐκεῖνον ἀπολείποντες οἱ ἄνθρωποι μετέβαινον ἐνταῦθα καὶ συνέπαιζον προθύμως ὑποκρινομένῳ τῷ Φαωνίῳ τὸν ἰδιώτην καὶ τῷ Κάτωνι τὸν ἀγωνοθέτην. Ἔπραττε δὲ ταῦτα διασύρων τὸ πρᾶγμα καὶ διδάσκων, ὅτι παίζοντι δεῖ τῇ παιδιᾷ χρῆσθαι καὶ χάριτι παραπέμπειν ἀτύφῳ μᾶλλον ἢ παρασκευαῖς καὶ πολυτελείαις c εἰς τὰ μηδενὸς ἄξια φροντίδας μεγάλας καὶ σπουδὰς κατατιθέμενον.

XLVII. Ἐπεὶ δὲ, Σκηπίωνος καὶ Ὑψαίου καὶ Μίλωνος ὑπατείαν μετερχομένων, οὐ μόνον ἐκείνοις τοῖς συντρόφοις ἤδη καὶ συμπολιτευομένοις ἀδικήμασι, δωροδοκίαις καὶ δεκασμοῖς, ἀλλ' ἄντικρυς δι' ὅπλων καὶ φόνων εἰς ἐμφύλιον πόλεμον ὠθουμένων τόλμῃ καὶ ἀπονοίᾳ, Πομπήιόν τινες ἠξίουν ἐπιστῆναι ταῖς ἀρχαιρεσίαις, τὸ μὲν πρῶτον ἀντεῖπεν ὁ Κάτων, οὐ τοῖς νόμοις ἐκ Πομπηίου φάμενος, ἀλλ' ἐκ τῶν νόμων Πομπηίῳ δεῖν ὑπάρχειν τὴν ἀσφάλειαν, ὡς δὲ, πολὺν χρόνον ἀναρχίας οὔσης καὶ τριῶν στρατοπέδων τὴν ἀγορὰν ὁσημέραι d περιεχόντων, ὀλίγον ἀπέλιπεν ἀνεπίσχετον γεγονέναι τὸ κακὸν, ἔγνω τὰ πράγματα πρὸ τῆς ἐσχάτης ἀνάγκης εἰς Πομπήιον ἑκουσίῳ χάριτι τῆς βουλῆς περιστῆσαι καὶ τῷ μετριωτάτῳ τῶν παρανομημάτων χρησάμενος ἰάματι τῆς τῶν μεγίστων καταστάσεως τὴν μοναρχίαν ἐπαγαγέσθαι μᾶλλον ἢ περιιδεῖν τὴν στάσιν εἰς μοναρχίαν τελευτῶσαν. (2) Εἶπεν οὖν ἐν τῇ βουλῇ γνώμην Βύβλος οἰκεῖος ὢν Κάτωνος, ὡς χρὴ μόνον ἑλέσθαι Πομπήιον ὕπατον· ἢ γὰρ ἕξειν καλῶς τὰ πράγματα ἐκείνου καταστήσαντος ἢ τῷ κρατίστῳ δουλεύσειν τὴν πόλιν. Ἀναστὰς δὲ ὁ Κάτων οὐδενὸς ἂν προσδοκήσαντος e ἐπῄνεσε τὴν γνώμην καὶ συνεβούλευσε πᾶσαν ἀρχὴν ὡς ἀναρχίας κρείττονα, Πομπήιον δὲ καὶ προσδοκᾶν ἄριστα τοῖς παροῦσι χρήσεσθαι πράγμασι καὶ φυλάξειν διαπιστευθέντα τὴν πόλιν.

XLVIII. Οὕτω δ' ἀποδειχθεὶς ὕπατος ὁ Πομπήιος ἐδεήθη τοῦ Κάτωνος ἐλθεῖν πρὸς αὐτὸν εἰς τὸ προάστειον. Ἐλθόντα δὲ δεξάμενος φιλοφρόνως ἀσπασμοῖς καὶ δεξιώσεσι καὶ χάριν ὁμολογήσας παρεκάλει σύμβουλον αὐτῷ καὶ πάρεδρον εἶναι τῆς ἀρχῆς. Ὁ δὲ Κάτων ἀπεκρίνατο μήτε τὰ πρῶτα πρὸς ἀπέχθειαν εἰπεῖν Πομπηίου μήτε ταῦτα πρὸς χάριν, ἀλλ' ἐπὶ συμφέροντι πάντα τῆς πόλεως· ἰδίᾳ μὲν οὖν αὐτῷ παρακα- f λοῦντι σύμβουλος ἔσεσθαι, δημοσίᾳ δὲ, κἂν μὴ παρακαλῆται, πάντως ἐρεῖν τὸ φαινόμενον. Καὶ ταῦτα ἔπραττεν ὡς εἶπε. (2) Πρῶτον μὲν γὰρ ἐπὶ τοὺς δεκάσαντας ἤδη τὸν δῆμον ἐπιτίμια καινὰ καὶ δίκας μεγάλας τοῦ Πομπηίου νομοθετοῦντος, ἀμελεῖν ἐκέλευσε τῶν γεγονότων καὶ προσέχειν τοῖς μέλλουσιν· οὔτε γὰρ ὅπου στήσεται τὸ τὰ προημαρτημένα ζητεῖν ὁρίσαι ῥᾴδιον,
783 ἐάν τε νεώτερα γράφηται τῶν ἀδικημάτων ἐπιτίμια, a δεινὰ πείσεσθαι τοὺς, ὃν οὐ παρέβαινον, ὅτ' ἠδίκουν, νόμον, κατὰ τοῦτον κολαζομένους. (3) Ἔπειτα πολ-

applauderent Catoni, cui ipse eam potestatem concessisset, hortabatur. (3) Altero in theatro Favonii collega Curio magnificos ludos edebat, sed homines eo relicto in Favonii theatrum transibant, cum eoque ludebant personam privati, Catone ædilis agente. Id autem Cato faciebat, ut irrideret consuetudinem istam, atque ostenderet res ludicras per jocum tractandas magisque jucunditate simplici celebrandas, quam magnos sumptus atque apparatus et curam operamque in res nullius momenti conferenda.

XLVII. Scipione, Hypsæo et Milone consulatum petentibus, ac non usitatis modo istis et consuetis facinoribus largiendo et suffragia corrumpendo, sed palam armis cædibusque grassando bellum civile summa audacia atque ferocia conturbantibus, non defuerunt qui Pompeium præfici comitiis juberent. Reclamabat initio Cato, non legibus a Pompeio, sed huic a legibus securitatem præstandam dicens. Verum ut aliquanto jam tempore sine constitutis magistratibus tracto, ac tribus quotidie exercitibus forum circumstantibus, haud multum abfuit quin malo mederi plane non posset, statuit priusquam ultima urgeret necessitas gratuito senatus beneficio summam rerum ad Pompeium devolvere et quam maxime tolerabili legum violatione ad summam reipublicæ salutem constituendam uti, potiusque uni omnem potestatem concedere, quam eundem tandem seditionum finem præstolari. (2) Dixit in senatu tum Bibulus familiaris Catonis sententiam, Pompeium absque collega esse creandum consulem : aut enim ab eo rempublicam constitutum iri, aut præstantissimo saltem servituram urbem. Hanc sententiam Cato, id quod insperantibus omnibus cecidit, approbavit, docuitque quum quemvis magistratum nullo potiorem esse, tum se sperare Pompeium optime res administraturum civitatemque fidei suæ creditam conservaturum.

XLVIII. Ita consul factus Pompeius Catonem ut ad se veniret in suburbium rogavit. Venientemque amice et comiter complexus gratiis actis oravit, ut sibi consiliarius eo in magistratu atque auctoritate sua præsto esse vellet. Respondit Cato, se neque priora odio Pompeii, neque ista studio ejus dixisse, sed in commodum omnia civitatis : itaque se ei privatim vocanti libenter consilium daturum, publice etiam injussu ejus sententiam suam pronuntiaturum. Atque ita plane egit. (2) Primo Pompeium novas gravesque pœnas adversum eos qui largitionibus populum corrumperent constituere intendentem, missa facere præterita jussit et futuris consulere; nam neque finem inquirendi in ante peccata constituere facile esse, et si nova eorum decernantur supplicia, injuriam passuros qui alia lege punirentur quam ea quam violassent. (3) Deinde quum multi nobiles viri,

λῶν κρινομένων ἐπιφανῶν ἀνδρῶν, ἐνίων δὲ καὶ φίλων τοῦ Πομπηΐου καὶ οἰκείων, ὁρῶν αὐτὸν ἐνδιδόντα ἐν πολλοῖς καὶ καμπτόμενον ἐπετίμα σφοδρῶς καὶ διήγειρεν. Ἐπεὶ δὲ νόμῳ τοὺς εἰωθότας λέγεσθαι περὶ τῶν κρινομένων ἐπαίνους αὐτὸς ἀφελὼν Μουνατίῳ Πλάγκῳ συγγράψας ἔπαινον ἐπὶ τῆς δίκης ἔδωκεν, ἐπισχόμενος ὁ Κάτων τὰ ὦτα ταῖς χερσίν (ἔτυχε γὰρ δικάζων) ἐκώλυεν ἀναγινώσκεσθαι τὴν μαρτυρίαν. Ὁ δὲ Πλάγκος ἀπέλεξεν αὐτὸν ἐκ τῶν δικαστῶν μετὰ τοὺς λόγους, καὶ οὐδὲν ἧττον ἥλω. (4) Καὶ ὅλως ἄπορον ἦν πρᾶγμα καὶ δυσμεταχείριστον ὁ Κάτων τοῖς φεύγουσι μήτε b βουλομένοις αὐτὸν ἀπολιπεῖν δικαστὴν μήτε ἀπολέγειν τολμῶσιν. Ἥλωσαν γὰρ οὐκ ὀλίγοι τῷ Κάτωνα φεύγειν δόξαντες οὐ θαῤῥεῖν τοῖς δικαίοις· ἐνίοις δὲ καὶ προὔφερον οἱ λοιδοροῦντες ὡς ὄνειδος μέγα τὸ μὴ δέξασθαι κριτὴν Κάτωνα προτεινόμενον.

XLIX. Ἐπεὶ δὲ, Καίσαρος αὐτοῦ μὲν ἐμπεφυκότος τοῖς στρατεύμασιν ἐν Γαλατίᾳ καὶ τῶν ὅπλων ἐχομένου, δώροις δὲ καὶ χρήμασι καὶ φίλοις μάλιστα πρὸς τὴν ἐν τῇ πόλει χρωμένου δύναμιν, ἤδη μὲν αἱ Κάτωνος προαγορεύσεις ἀνέφερον τὸν Πομπήϊον ἐκ c πολλῆς ἤδη τῆς πρόσθεν ἀπιστίας ὀνειροπολοῦντα τὸ δεινὸν, ἔτι δὲ ἦν ὄκνου καὶ μελλήσεως ἀτόλμου πρὸς τὸ κωλύειν καὶ ἐπιχειρεῖν ὑπόπλεως, ὥρμησεν ὁ Κάτων ὑπατείαν παραγγέλλειν ὡς ἀφαιρησόμενος εὐθὺς τὰ ὅπλα τοῦ Καίσαρος ἢ τὴν ἐπιβουλὴν ἐξελέγξων. (2) Οἱ δ' ἀντιπαραγγέλλοντες αὐτῷ χαρίεντες μὲν ἦσαν ἀμφότεροι, Σουλπίκιος δὲ καὶ πολλὰ τῆς τοῦ Κάτωνος ἐν τῇ πόλει δόξης τε καὶ δυνάμεως ἀπολελαυκώς· οὐ μέτριον οὖν ἐδόκει πρᾶγμα ποιεῖν οὐδ' εὐχάριστον· οὐ μὴν ὅ γε Κάτων ἐνεκάλει· Τί γὰρ, ἔφη, θαυμαστὸν, εἰ ὅ τις νομίζει τῶν ἀγαθῶν μέγιστον ἑτέρῳ μὴ παρίησι; » d Πείσας δὲ τὴν βουλὴν ψηφίσασθαι τοὺς μετιόντας τὴν ἀρχὴν αὐτοὺς δεξιοῦσθαι τὸν δῆμον, δι' ἑτέρου δὲ μὴ δεῖσθαι μηδὲ ἐντυγχάνειν ὑπὲρ αὐτῶν περιιόντος, ἔτι μᾶλλον ἐξηγρίανε τοὺς ἀνθρώπους, εἰ μὴ μόνον τὸ λαβεῖν μισθὸν, ἀλλὰ καὶ τὸ διδόναι χάριν αὐτοὺς ἀφῃρημένος ἄπορον καὶ ἄτιμον ὁμοῦ τὸν δῆμον πεποίηκε. (3) Πρὸς δὲ τούτῳ μήτε αὐτὸς ἐντυχεῖν ὑπὲρ αὑτοῦ πιθανὸς ὤν, ἀλλ' ἐν ἤθει τὸ τοῦ βίου μᾶλλον ἀξίωμα βουλόμενος φυλάσσειν ἢ προσλαβεῖν τὸ τῆς ἀρχῆς ποιούμενος τὰς δεξιώσεις, μήτε τοὺς φίλους ἐάσας οἷς ὄχλος ἁλίσκεται καὶ θεραπεύεται ποιεῖν, ἀπέτυχε τῆς ἀρχῆς.

L. Φέροντος δὲ τοῦ πράγματος οὐκ αὐτοῖς μόνοις e τοῖς ἀποτυχοῦσιν, ἀλλὰ καὶ φίλοις αὐτῶν καὶ οἰκείοις σὺν αἰσχύνῃ τινὶ κατήφειαν καὶ πένθος ἐφ' ἡμέρας πολλὰς, οὕτως ἤνεγκε ῥαθύμως τὸ συμβεβηκὸς, ὥστε ἀλειψάμενος μὲν ἐν τῷ πεδίῳ σφαιρίσαι, μετ' ἄριστον δὲ πάλιν, ὥσπερ εἴθιστο, καταβὰς εἰς ἀγορὰν ἀνυπόδητος καὶ ἀχίτων περιπατῆσαι μετὰ τῶν συνήθων. (2) Αἰτιᾶται δὲ Κικέρων, ὅτι, τῶν πραγμάτων ἄρχοντος τοιούτου δεομένων, οὐκ ἐποιήσατο σπουδὴν οὐδὲ ὑπῆλθεν ὁμιλίᾳ φιλανθρώπῳ τὸν δῆμον, ἀλλὰ καὶ πρὸς τὸ f λοιπὸν ἐξέκαμε καὶ ἀπηγόρευσε, καίτοι τὴν στρατηγίαν

nonnulli etiam amici Pompeii atque domestici rei agerentur, videns ipsum sæpe inflecti ad gratiam et a justitia declinare, graviter reprehensum correxit. Porro lege lata Pompeius laudationes quas pro reis dicere solebant quum sustulisset, atque ipse tamen Munatio Planco unam scripsisset inque judicio dedisset; Cato tunc inter judices assidens manibus aures texit, recitarique eam vetuit, et quamvis eum Plancus ex judicum numero rejiceret post oratam causam, nihilominus tamen est damnatus. (4) Omnino autem maximas difficultates Cato reis exhibebat, quod eum neque judicem esse vellent, neque rejicere auderent. Multi enim eo damnabantur, quod Catonem recusantes judicem male sibi conscii viderentur, et multis id tanquam grave opprobrium objiciebatur quod Catonem judicem iis oblatum ferre non potuissent.

XLIX. Quum Cæsar in Gallia apud exercitus commoraretur, muneribus autem amicorumque opera suam Romæ potentiam confirmaret, jam Catonis prædictiones Pompeium nonnihil excitabant, post longam incredulitatem veluti per insomnium animo periculum jam imaginantem, quumque præterea trepidationis et cunctationis plenus, admodum segniter Cæsari obstare eumque reprimere conaretur, statuit ipse consulatum petere; quo impetrato aut statim adimeret arma Cæsari, aut insidias detegeret. (2) Uterque competitorum ejus gratiosus erat, Sulpicius autem, qui amplissimos Catonis auctoritatis et potentiæ fructus in civitate tulisset, videbatur injuste agere malamque gratiam referre, neque tamen id ei vitio dabat Cato: non esse mirum inquiens, si quod quis omnium bonorum maximum esse putaret, id alteri non concederet. Ceterum Catonis suasu senatus decrevit ut, qui magistratum ambirent, ii ipsi prehensarent nec per alium rogarent vel compellarent quemquam, qui pro ipsis circumiret. Hoc populi animos magis etiam exasperavit, quum non modo mercedem accipere, sed ne gratificari quidem jam quibus vellent ipsis liceret, simulque et damnum et ignominia ipsis inferretur. (3) Sed et Cato ipse minime gratiosus in compellandis civibus, ut qui moribus suis partam auctoritatem conservare, quam augere eam magistratus dignitate mallet, ipse cives prensans, neque amicos ea agere sinens, quibus demereri animos hominum solent, in petitione repulsam tulit.

L. Eam qui paterentur, solebant per aliquot dies pudore et mœrore teneri, neque ipsi modo, sed amici etiam ac domestici. Sed Cato ita contempsit eum casum, ut unctus in campo pila luderet et a prandio sine tunica et calceis in foro pro more suo deambularet cum amicis. (2) Culpat eum Cicero, quod rebus tum maxime talem consulem desiderantibus, non ad eum magistratum consequendum studio et comi hominum compellatione incubuisset, sed in posterum quoque veluti defatigatus desperasset, tametsi præ-

αὖθις ἐξ ὑπαρχῆς μετελθών. Ἔλεγεν οὖν ὁ Κάτων, ὅτι τῆς μὲν στρατηγίας οὐ κατὰ γνώμην ἐξέπεσε τῶν πολλῶν, ἀλλὰ βιασθέντων ἢ διαφθαρέντων, ἐν δὲ ταῖς ὑπατικαῖς ψήφοις μηδεμιᾶς κακουργίας γενομένης ἔγνω καὶ τῷ δήμῳ προσκεκρουκὼς διὰ τὸν αὑτοῦ
784 τρόπον, ὃν οὔτε μεταθέσθαι πρὸς ἑτέρων χάριν οὔτε a
χρώμενον ὁμοίῳ πάλιν ὅμοια παθεῖν νοῦν ἔχοντος ἀνδρός ἐστι.

LI. Τοῦ δὲ Καίσαρος ἐμβαλόντος εἰς ἔθνη μάχιμα καὶ παραβόλως κρατήσαντος, Γερμανοῖς δὲ καὶ σπονδῶν γενομένων δοκοῦντος ἐπιθέσθαι καὶ καταβαλεῖν τριάκοντα μυριάδας, οἱ μὲν ἄλλοι τὸν δῆμον ἠξίουν εὐαγγέλια θύειν, ὁ δὲ Κάτων ἐκέλευεν ἐκδιδόναι τὸν Καίσαρα τοῖς παρανομηθεῖσι καὶ μὴ τρέπειν εἰς αὑτοὺς μηδὲ ἀναδέχεσθαι τὸ ἄγος εἰς τὴν πόλιν. « Οὐ μὴν ἀλλὰ καὶ τοῖς θεοῖς, ἔφη, θύωμεν, ὅτι τῆς τοῦ στρατηγοῦ μανίας καὶ ἀπονοίας τὴν δίκην εἰς τοὺς στρατιώτας οὐ τρέπουσιν, ἀλλὰ φείδονται τῆς πόλεως. » (2) Ἐκ b
τούτου Καῖσαρ ἐπιστολὴν γράψας ἀπέστειλεν εἰς τὴν σύγκλητον· ὡς δ' ἀνεγνώσθη βλασφημίας πολλὰς ἔχουσα καὶ κατηγορίας τοῦ Κάτωνος, ἀναστὰς ἐκεῖνος οὐχ ὑπ' ὀργῆς οὐδὲ φιλονεικίας, ἀλλ' ὥσπερ ἐκ λογισμοῦ καὶ παρασκευῆς τὰ μὲν εἰς ἑαυτὸν ἐγκλήματα λοιδορίαις καὶ σκώμμασιν ὅμοια καὶ παιδιάν τινα καὶ βωμολοχίαν τοῦ Καίσαρος ἀπέδειξεν, ἀψάμενος δὲ τῶν ἐκείνου βουλευμάτων ἀπ' ἀρχῆς καὶ πᾶσαν αὐτοῦ τὴν διάνοιαν, ὥσπερ οὐκ ἐχθρὸς, ἀλλὰ συνωμότης καὶ κοινωνὸς ἐκκαλύψας καὶ διδάξας, ὡς οὐ Γερμανῶν οὐδὲ Κελτῶν παῖδας, ἀλλ' ἐκεῖνον αὐτὸν, εἰ σωφρονοῦσι, φοβητέον ἐστὶν αὐτοῖς, οὕτως ἐπέστρεψε καὶ παρώξυνεν, ὡς τοὺς c
φίλους τοῦ Καίσαρος μετανοεῖν, ὅτι τὴν ἐπιστολὴν ἀναγνόντες ἐν τῇ βουλῇ καιρὸν τῷ Κάτωνι λόγων δικαίων καὶ κατηγοριῶν ἀληθῶν παρέσχον. (3) Ἐκυρώθη μὲν οὖν οὐδὲν, ἀλλ' ἐλέχθη μόνον, ὅτι καλῶς ἔχει διάδοχον Καίσαρι δοθῆναι. Τῶν δὲ φίλων ἀξιούντων καὶ Πομπήιον ἐξ ἴσου τὰ ὅπλα καταθέσθαι καὶ ἀποδοῦναι τὰς ἐπαρχίας ἢ μηδὲ Καίσαρα, νῦν ἐκεῖνα βοῶν ὁ Κάτων, ἃ προὔλεγεν αὐτοῖς, ἥκειν καὶ βιάζεσθαι τὸν ἄνθρωπον ἀναφανδὸν ἤδη τῇ δυνάμει χρώμενον, ἣν ἔσχεν ἐξαπατῶν καὶ φενακίζων τὴν πόλιν, ἔξω μὲν οὐδὲν ἐπέραινε, τοῦ δήμου θέλοντος ἀεὶ τὸν Καίσαρα μέγιστον εἶναι, d
τὴν δὲ σύγκλητον εἶχε πειθομένην καὶ φοβουμένην τὸν δῆμον.

LII. Ὡς δὲ Ἀρίμινον κατείληπτο καὶ Καῖσαρ κατηγγέλλετο μετὰ στρατιᾶς ἐλαύνειν ἐπὶ τὴν πόλιν, ἐνταῦθα δὴ πάντες ἐπ' ἐκεῖνον ἀφεώρων, οἵ τε πολλοὶ καὶ Πομπήιος, ὡς μόνον μὲν ἐξ ἀρχῆς προαισθόμενον, πρῶτον δὲ φανερῶς προειπόντα τὴν Καίσαρος γνώμην. Εἶπεν οὖν ὁ Κάτων· « Ἀλλ' εἴ γε οἷς ἐγὼ προὔλεγον ἀεὶ καὶ συνεβούλευον ἐπείσθη τις ὑμῶν, ἄνδρες, οὔτ' ἂν ἕνα ἐφοβεῖσθε νῦν οὔτε ἐν ἑνὶ τὰς ἐλπίδας εἴχετε. » Πομπηίου δὲ εἰπόντος μαντικώτερα μὲν εἰρῆσθαι Κάτωνι, e
φιλικώτερα δὲ αὐτῷ πεπρᾶχθαι, συνεβούλευεν ὁ Κάτων ἑνὶ Πομπηίῳ τὰ πράγματα τὴν σύγκλητον ἐγχειρίσαι·

turam denuo ambivit. Hæc ita excusat Cato : præturam sibi non volente populo, sed vel coacto vel corrupto denegatam, in consulatus petitione quia citra fraudem essent suffragia lata, expertum se quod esset etiam multitudini invisus, ob mores nimirum suos, quos neque mutare ob captandam aliorum gratiam, neque eos obtinentem rursus eandem subire fortunam dignum homine cordato existimaret.

LI. Quum Cæsar facta in bellicosas nationes impressione victoriam audacia sua parasset, et Germanos induciarum adortus tempore trecenta millia occidisse diceretur, reliquis ob tam lætum nuntium jubentibus populum sacrificare, Cato dedendum iis, quibus esset injuria præter fœdus facta, Cæsarem affirmabat, neque ei piaculo cives urbemque obstringendam. Agedum, inquiebat, sacrificemus diis gratias agentes, quod infamiam ducis non militum pernicie puniverunt, sed civitati pepercere. (2) Secundum hæc literæ Cæsaris ad senatum allatæ sunt, multis in Catonem criminationibus, multis conviciis refertæ. Quibus recitatis Cato non ira aut contentionis studio, sed ratione consilioque impulsus ita verba in senatu fecit, ut reprehensiones Cæsaris jurgii et dicteriorum, puerilium que nugarum et scurrilium facetiarum similes esse demonstraret; orsus deinde omnia ipsius facta et conatus a capite recensere, omnes ejus cogitationes et consilia non ut inimicus, sed tanquam conjuratus et particeps detegens, ostendit Romanis, si saperent, non Germanos aut Celtas, sed ipsum esse timendum Cæsarem; atque ita animos senatorum circumegit et irritavit, ut recitatam epistolam Cæsaris amicos pœniteret, quod eo facto Catoni justæ orationis, verorumque objiciendorum criminum occasionem præbuissent. (3) Nullum tum factum est S. C.; id modo dictum fuit, debere successorem Cæsari mitti. Ejus vero amicis postulantibus, ut Pompeius quoque itidem arma et provincias traderet, aut ne Cæsari quidem ea adimerentur, jam nunc Cato ea instare vociferabatur, quæ esset vaticinatus : venire jam Cæsarem et vim intentare, palamque abuti sua potentia, quam decipiendo urbem ac fallaciis circumveniendo occupasset. Hæc ille dictans apud populum nihil efficiebat, qui semper Cæsarem ad summum evehere studebat, senatum quidem assentientem et a populo sibi timentem habuit.

LII. Arimino occupato quum nuntiaretur Cæsarem exercitum Romam versus ducere, ibi omnes in Catonem intueri, et populus atque ipse adeo Pompeius : hunc solum ab initio præsensisse Cæsaris consilia, hunc primum manifeste prædixisse ferentes. Ad ea Cato : Si vos consiliis meis atque prædictionibus obtemperassetis, non jam et unum hominem metueretis et in uno omnem spem repositam haberetis. Pompeio etiam dicente Catonem rectius de futuris prædixisse, se amicius egisse, Cato senatui auctor fuit summam rerum Pompeio permittendi; ejusdem esse

τῶν γὰρ αὐτῶν εἶναι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. (2) Ὁ μὲν οὖν Πομπήιος οὔτε δύναμιν ἔχων ἑτοίμην οὔτε οὓς κατέλεγε τότε προθύμους ὁρῶν ἐξέλιπε τὴν Ῥώμην. Ὁ δὲ Κάτων ἕπεσθαι καὶ συμφεύγειν ἐγνωκὼς τὸν μὲν νεώτερον υἱὸν εἰς Βρεττίους ὑπεξέθετο πρὸς Μουνάτιον, τὸν δὲ πρεσβύτερον εἶχε σὺν ἑαυτῷ. Τῆς δὲ οἰκίας καὶ τῶν θυγατέρων κηδεμόνος δεομένων ἀνέλαβε πάλιν τὴν Μαρκίαν χηρεύουσαν ἐπὶ χρήμασι πολλοῖς. Ὁ γὰρ Ὁρτήσιος θνήσκων ἐκείνην ἀπέλιπε κληρονόμον. (3) Εἰς ὃ δὴ μάλιστα λοιδορούμενος ὁ Καῖσαρ τῷ Κάτωνι φιλοπλουτίαν προφέρει καὶ μισθαρνίαν ἐπὶ τῷ γάμῳ. Τί γὰρ ἔδει παραχωρεῖν δεόμενον γυναικὸς ἢ τί μὴ δεόμενον αὖθις ἀναλαμβάνειν, εἰ μὴ δέλεαρ ἐξ ἀρχῆς ὑφείθη τὸ γύναιον Ὁρτησίῳ καὶ νέαν ἔχρησεν, ἵνα πλουσίαν ἀπολάβῃ; Πρὸς μὲν οὖν ταῦτα μετρίως ἔχει τὸ Εὐριπίδειον ἐκεῖνο·

785 Πρῶτον μὲν οὖν τἄρρητ'· ἐν ἀρρήτοισι γὰρ
τὴν σὴν νομίζω δειλίαν, ὦ Ἡράκλεις.

Ὅμοιον γάρ ἐστι τῷ Ἡρακλεῖ μαλακίαν ὀνειδίζειν καὶ κατηγορεῖν αἰσχροκέρδειαν Κάτωνος. Εἰ δὲ ἄλλῃ πῃ μὴ καλῶς πέπρακται τὰ περὶ τὸν γάμον, ἐπισκεπτέον. Ἐγγυησάμενος γὰρ τὴν Μαρκίαν ὁ Κάτων καὶ τὸν οἶκον ἐπιτρέψας ἐκείνῃ καὶ τὰς θυγατέρας, αὐτὸς ἐδίωκε Πομπήιον.

LIII. Ἀπ' ἐκείνης δὲ λέγεται τῆς ἡμέρας μήτε κεφαλὴν ἔτι κείρασθαι μήτε γένεια μήτε στέφανον ἐπιθέσθαι, πένθους δὲ καὶ κατηφείας καὶ βαρύτητος ἐπὶ ταῖς συμφοραῖς τῆς πατρίδος ἓν σχῆμα νικώντων ὁμοίως καὶ νικωμένων ἄχρι τελευτῆς διαφυλάξαι. Τότε δὲ κλήρῳ λαχὼν Σικελίαν διέβη μὲν εἰς Συρακούσας, πυθόμενος δὲ Ἀσίνιον Πολλίωνα παρὰ τῶν πολεμίων ἀφῖχθαι μετὰ δυνάμεως εἰς Μεσσήνην, ἔπεμψε λόγον ἀπαιτῶν παρ' αὐτοῦ τῆς διαβάσεως. Ἀνταπαιτηθεὶς δὲ λόγον ὑπ' ἐκείνου τῆς τῶν πραγμάτων μεταβολῆς καὶ Πομπήιον ἀκούσας ἐκλελοιπότα παντελῶς Ἰταλίαν ἐν Δυρραχίῳ στρατοπεδεύειν, πολὺν ἔφη περὶ τὰ θεῖα πλάνον εἶναι καὶ ἀσάφειαν, εἰ Πομπήιον ἐν οἷς ὑγιὲς οὐδὲν οὐδὲ δίκαιον ἔπραττεν ἀήττητον γενόμενον νῦν, ὅτε τὴν πατρίδα βούλεται σώζειν καὶ τῆς ἐλευθερίας ὑπερμάχεται, προλέλοιπε τὸ εὐτυχεῖν. Ἀσίνιον μὲν οὖν ἔφη δυνατὸς εἶναι Σικελίας ἐκβαλεῖν, ἄλλης δὲ μείζονος ἐπερχομένης δυνάμεως οὐ βούλεσθαι τὴν νῆσον ἐμπολεμῶν ἀπολέσθαι, χωρεῖν δὲ πρὸς τὸ κρατοῦν καὶ σώζεσθαι παραινέσας Συρακοσίοις ἐξέπλευσεν. (2) Ἀφικόμενος δὲ πρὸς Πομπήιον ἀεὶ μὲν εἴχετο μιᾶς γνώμης, χρονοτριβεῖν τὸν πόλεμον ἐλπίζων διαλύσεις καὶ μὴ βουλόμενος ἐν ἀγῶνι χείρω γενομένην τὴν πόλιν αὐτὴν ὑφ' αὑτῆς παθεῖν τὰ ἔσχατα σιδήρῳ διακριθεῖσαν. Ἀλλὰ δὲ τούτων ἀδελφὰ Πομπήιον ἔπεισε καὶ τοὺς συνέδρους ψηφίσασθαι, μήτε πόλιν ὑπήκοον Ῥωμαίων διαρπάζειν μήτε ἄνδρα Ῥωμαῖον ἔξω παρατάξεως ἀναιρεῖν· ὃ καὶ δόξαν ἤνεγκε καὶ προσηγάγετο πολλοὺς τῇ Πομπηίου μερίδι τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὸ ἥμερον ἀσπασαμένους.

dicens magna mala inferre et depellere. (2) Et Pompeius quidem quum neque in promptu esset exercitus, neque satis animi iis qui scribebantur, Romam reliquit. Cato comitem se fugæ præbere quum statuisset, majore filio secum accepto, minorem in Bruttios ad Munatium misit; domo autem et filiabus procuratoris indigentibus, Marciam iterum ad se recepit, viduam tum et valde pecuniosam. Etenim Hortensius moriens eam hæredem instituerat. (3) Id quod
f maxime ei exprobrat Cæsar, avaritiam exagitans et conjugii commercio quæstum paratum. Quid enim, inquit, attinebat uxorem concedere alteri, qua ipse opus habebat, quidve eam recipere, quum non esset usui, si non inescandi causa Hortensio Marcia tradita est juvenis, ut ditata reciperetur? Ad hæc commode Euripideum illud responderi potest, ut arbitror :

a Primum refellam infanda; namque infandum id est,
formido si qua objicitur, Hercules, tibi.

Est enim perinde ac si Herculi animi mollitiem exprobres, Catoni turpis lucri cupiditatem tribuere. Id quidem videndum, ne alias istæ nuptiæ habeant quod culpari possit. Ducta enim denuo Marcia, eique tradita familia et filiabus, ipse Pompeium secutus est.

LIII. Ab illa fertur die neque capillum totondisse, neque barbam, neque coronam sumpsisse unumque lugentis et ob patriæ calamitates gravi mœstitia affecti sive secundis sive adversis rebus vultum usque ad mortem retinuisse.
b Sorte tum nactus Siciliam provinciam, Syracusas venit; ibi quum accepisset Asinium Pollionem cum exercitu missum ab hoste Messanam appulisse, misit qui eum sibi rationem juberent aditæ provinciæ reddere. Sed contra ab eo jussus rerum commutatarum causas edere, simulque Pompeium audiens Italia prorsus excessisse et Dyrrhachii castra habere : magnam esse dixit rerum divinarum inconstantiam atque obscuritatem, quando Pompeium, qui malas et injustas res agens semper obtinuisset, nunc pro salute et libertate patriæ propugnantem fortuna destituisset.
c Itaque etsi videbatur sibi posse Asinium insula depellere, tamen quod ei majores aliæ copiæ submittebantur, nolens belli calamitatibus insulam affligere, Syracusanis monitis ut victori se adjungerent, suæque saluti consulerent, (2) ad Pompeium se contulit. Unam autem hanc sententiam perpetuo tuebatur, trahendum esse bellum, sperans exstituram pacificationem, nolensque ut commisso prœlio civitas Romana sese extremis cladibus conficeret. Multa quoque hujus sententiæ consimilia decernendi auctor Pompeio ejusque consiliariis fuit veluti : Ne qua urbs Romanis sub-
d dita diriperetur, ne quis Romanus extra aciem cæderetur; quibus rebus Pompeio gloriam favoremque paravit, ut multi æquitatem ejus et humanitatem amplecterentur, seque ei adjungerent.

LIV. Ἐκπεμφθεὶς δὲ εἰς Ἀσίαν, ὡς τοῖς ἐκεῖ συνάγουσι πλοῖα καὶ στρατιὰν ὠφέλιμος γένοιτο, Σερβιλίαν ἐπηγάγετο τὴν ἀδελφὴν καὶ τὸ Λευκούλλου παιδίον ἐξ ἐκείνης γεγονός. Ἠκολούθησε γὰρ αὐτῷ χηρεύουσα καὶ πολὺ τῶν εἰς τὸ ἀκόλαστον αὐτῆς διαβολῶν ἀφεῖλεν ὑποδῦσα τὴν ὑπὸ Κάτωνι φρουρὰν καὶ πλάνην καὶ δίαιταν ἑκουσίως. Ἀλλ' ὅ γε Καῖσαρ οὐδὲ τῶν ἐπ' ἐκείνῃ e βλασφημιῶν τοῦ Κάτωνος ἐφείσατο. Πρὸς μὲν οὖν τἆλλα τοῦ Κάτωνος οὐδέν, ὡς ἔοικεν, ἐδεήθησαν οἱ Πομπηίου στρατηγοί, Ῥοδίους δὲ πειθοῖ προσαγαγόμενος καὶ τὴν Σερβιλίαν αὐτόθι καὶ τὸ παιδίον ἀπολιπὼν ἐπανῆλθε πρὸς Πομπήιον, ἤδη πεζικῆς τε λαμπρᾶς καὶ ναυτικῆς δυνάμεως περὶ αὐτὸν οὔσης. (2) Ἔνθα δὴ καὶ μάλιστα τῆς γνώμης κατάφωρος ἔδοξε γεγονέναι Πομπήιος. Ὥρμησε μὲν γὰρ ἐγχειρίσαι τῷ Κάτωνι τὴν τῶν νεῶν ἡγεμονίαν· ἦσαν δὲ πεντακοσίων μὲν οὐκ ἐλάττους αἱ μάχιμοι, λιβυρνικὰ δὲ καὶ κατασκοπικὰ καὶ ἄφρακτα παμπληθῆ· ταχὺ δὲ ἐννοήσας ἢ διδαχθεὶς ὑπὸ τῶν φίλων, ὡς ἕν ἐστι κεφάλαιον Κάτωνι πάσης πολιτείας ἐλευθερῶσαι τὴν πατρίδα, f κἂν γένηται κύριος τηλικαύτης δυνάμεως, ἧς ἂν ἡμέρας καταγωνίσωνται Καίσαρα, τῆς αὐτῆς ἐκείνης ἀξιώσει καὶ Πομπήιον τὰ ὅπλα καταθέσθαι καὶ τοῖς νόμοις ἕπεσθαι, μετέγνω, καίπερ ἤδη διειλεγμένος αὐτῷ, καὶ Βύβλον ἀπέδειξε ναύαρχον. (3) Οὐ μὴν ᾔσθετό γε παρὰ τοῦτο τῆς προθυμίας τοῦ Κάτωνος ἀμβλυτέρας· ἀλλὰ καὶ λέγεται 786 a πρός τινα μάχην πρὸ τοῦ Δυρραχίου τοῦ τε Πομπηίου παρορμῶντος τὴν δύναμιν καὶ τῶν ἄλλων ἕκαστον ἡγεμόνων εἰπεῖν τι καὶ προτρέψασθαι κελεύοντος ἀργῶς καὶ σιωπῇ τοὺς στρατιώτας ἀκούειν, Κάτωνος δὲ μετὰ πάντας ὅσα καιρὸν εἶχε τῶν ἀπὸ φιλοσοφίας ἀκούειν λεγομένων περὶ ἐλευθερίας καὶ ἀρετῆς καὶ θανάτου καὶ δόξης διελθόντος αὐτοπαθῶς καὶ τελευτῶντα τρέψαντος τὸν λόγον εἰς θεῶν ἀνάκλησιν, ὡς παρόντων καὶ ἐφορώντων τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, τηλικοῦτον ἀλαλαγμὸν γενέσθαι καὶ τοσοῦτον κίνημα τῆς στρατιᾶς ἐπαρθείσης, ὥστε πάντας ἐλπίδων μεστοὺς ἐπὶ τὸν κίνδυνον ὁρμῆσαι τοὺς ἡγεμόνας. (4) Τρεψαμένων δὲ καὶ κρατησάντων b ἀφείλετο τὴν παντελῆ νίκην ὁ Καίσαρος δαίμων τῇ τοῦ Πομπηίου χρησάμενος εὐλαβείᾳ καὶ ἀπιστίᾳ περὶ τὸ εὐτύχημα. Ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Πομπηίου γέγραπται. Χαιρόντων δὲ πάντων καὶ μεγαλυνόντων τὸ ἔργον ὁ Κάτων ἀπεδάκρυε τὴν πατρίδα καὶ τὴν ὀλέθριον καὶ κακοδαίμονα φιλαρχίαν ὠδύρετο πολλοὺς καὶ ἀγαθοὺς ὁρῶν πολίτας ὑπ' ἀλλήλων πεπτωκότας.

LV. Ἐπεὶ δὲ Καίσαρα διώκων Πομπήιος εἰς Θεσσαλίαν ἀνεζεύγνυε πολλὰ καταλιπὼν περὶ Δυρράχιον ὅπλα καὶ χρήματα καὶ σώματα συγγενῆ καὶ οἰκεῖα, πάντων ἀπέδειξεν ἡγεμόνα καὶ φύλακα τὸν Κάτωνα πεντεκαίδεκα σπείρας ἔχοντα στρατιωτῶν διὰ πίστιν ἅμα καὶ φόβον τοῦ ἀνδρός. c Ἡττωμένῳ μὲν γὰρ πάντων εἶναι βεβαιότατον ἐνόμιζεν, εἰ δὲ νικῴη, μὴ ἐπιτρέψειν παρόντα χρήσασθαι τοῖς πράγμασιν ὡς

LIV. Missus deinde in Asiam ut eos qui naves ibi et milites conducebant adjuvaret, Serviliam sororem suam et puerum quem Lucullo pepererat, secum abduxit. Nam ea tum vidua fratrem sequebatur et multa impudicitiæ crimina eo diluebat, quod ultro cum Catone vagari, ejusque cu stodiam et victus rationem perferre sustinuisset. Quanquam Cæsar sororis quoque ejus nomine obtrectare Catoni non pepercit. Videtur autem Pompeianis ducibus nihil opus fuisse Catonis præsentia; itaque Rhodiis persuadendo in suam partem pertractis, ibi Servilia cum puero deposita, ad Pompeium rediit, qui jam et pedestres et navales copias amplas paraverat. (2) Quo quidem tempore Pompeius quid in animo haberet, videtur haud obscure prodidisse. Quum enim statuisset Catoni navales tradere copias (erant autem naves ad pugnam factæ haud pauciores quingentis, tum liburnæ, speculatoria et alia non tecta navigia amplissimo numero), mox vel ipse sentiens, vel ab amicis monitus, hoc unum esse Catoni in rebus publicis regundis, patriam e servitute in libertatem vindicare propositum, et si tanto cum imperio sit futurus quo die Cæsarem vicissent, eo Pompeium quoque ut arma deponeret et legibus pareret coacturum: mutata sententia, licet ea de re jam esset cum eo locutus, Bibulum classi præfecit. (3) Neque tamen id factum Catonis studium languidius reddidit. Quin et hoc memoriæ traditum est, Pompeium ad pugnam apud Dyrrhachium suos cohortatum et reliquos etiam duces ut verba ad milites facerent jussisse, milites tacitos et animo minime alacri audivisse; quum autem postremo loco Cato ea quæ tempestive ibi recitari possent de philosophia depromens, de libertate, virtute, morte, et gloria orationem habuisset vehementi cum animi commotione, in eaque extrema deos, ut præsentes et suscepti pro patria certaminis inspectores compellasset, tantum exstitisse clamorem, atque ita excitatos militum animos, ut bonæ spei pleni omnes duci se in hostem postularent. (4) Vincentibus autem et pellentibus hostes fortuna Cæsaris plenam victoriam ademit, cautione ad hoc ejus et successus diffidentia abusa, ut in Vita Pompeii scripsimus. Gaudentibus autem omnibus Pompeianis et rem præclare gestam prædicantibus, Cato videns multos ac bonos cives a se mutuo cæsos, patriæ calamitatem, pestiferamque hominum et infelicem ambitionem deploravit.

LV. Pompeius vero Cæsarem in Thessaliam persequens, multis apud Dyrrhachium armis, pecuniis multisque hominum propinquorum et necessariorum relictis, universis ducem custodemque præfecit Catonem cum quindecim cohortibus militum, quod eum virum et metueret, neque satis fideret ei. Censebat enim eum sibi victo omnium fidissimum fore, victorem autem uti rebus eo quo constituisset modo nequaquam passurum. Multi etiam alii illustres viri

προήρηται. Πολλοὶ δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἀπερρίφησαν ἐν Δυῤῥαχίῳ μετὰ Κάτωνος. (2) Γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης οὕτως ἔστη τοῖς λογισμοῖς ὁ Κάτων, ὡς, εἰ μὲν τεθνήκοι Πομπήιος, εἰς Ἰταλίαν τοὺς σὺν αὑτῷ περαιώσων, αὐτὸς δὲ προσωτάτω τῆς τυραννίδος ἐπὶ φυγῇ βιωσόμενος· εἰ δὲ σῴζοιτο, πάντως ἐκείνῳ διαφυλάξων τὴν δύναμιν. Οὕτω δὴ διαβαλὼν εἰς Κέρκυραν, ὅπου τὸ ναυτικὸν ἦν, ἐξίστατο μὲν Κικέρωνι τῆς ἀρχῆς ὡς ὑπατικῷ στρατηγικός, d οὐ δεξαμένου δὲ Κικέρωνος, ἀλλ' ἀπάραντος εἰς Ἰταλίαν, ἰδὼν τὸν Πομπήιον ὑπ' αὐθαδείας καὶ φρονήματος ἀκαίρου βουλόμενον κολάζειν τοὺς ἀποπλέοντας, πρώτῳ δὲ μέλλοντα τῷ Κικέρωνι προσφέρειν τὰς χεῖρας, ἐνουθέτησεν ἰδίᾳ καὶ κατεπράϋνεν· ὥστε τὸν Κικέρωνα περισῶσαι σαφῶς ἐκ θανάτου καὶ τοῖς ἄλλοις ἄδειαν παρασχεῖν.

LVI. Τεκμαιρόμενος δὲ Πομπήιον Μάγνον εἰς Αἴγυπτον ἢ Λιβύην διεκπεσεῖσθαι καὶ σπεύδων πρὸς ἐκεῖνον ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ πρῶτον ἀπιέναι e διδοὺς καὶ ὑπολείπεσθαι τοὺς οὐ προθύμως συστρατευομένους. Ἁψάμενος δὲ Λιβύης καὶ παραπλέων ἐντυγχάνει Σέξτῳ τῷ νεωτέρῳ τῶν Πομπηίου παίδων ἀγγέλλοντι τὴν ἐπ' Αἰγύπτου τοῦ πατρὸς τελευτήν. (2) Πάντες μὲν οὖν βαρέως ἤνεγκαν, οὐδεὶς δὲ μετὰ Πομπήιον ἠξίου Κάτωνος παρόντος, οὐδὲ ἀκούειν ἄλλον ἡγεμόνα. Διὸ καὶ Κάτων αἰδούμενος καὶ οἰκτείρων ἄνδρας ἀγαθοὺς καὶ πίστεως δεδωκότας πεῖραν ἐπὶ ξένης ἐρήμους καὶ ἀπόρους ἀπολιπεῖν, ὑπέστη τε τὴν ἀρχὴν καὶ παρῆλθεν εἰς Κυρήνην· ἐδέξαντο γὰρ ἐκεῖνον ὀλίγαις ἡμέραις ἔμπροσθεν ἀποκλείσαντες Λαβιηνόν. (3) Ἐνταῦθα πυνθανόμενος Σκηπίωνα τὸν Πομπηίου f πενθερὸν ὑπὸ Ἰόβα τοῦ βασιλέως ἀνειλῆφθαι καὶ Οὔαρον Ἄττιον, ὃς ἦν ὑπὸ Πομπηίου Λιβύης ἀποδεδειγμένος ἡγεμών, εἶναι σὺν αὐτοῖς μετὰ δυνάμεως, ἐξώρμησε πεζῇ χειμῶνος ὥρᾳ, πολλοὺς μὲν ὄνους ὕδωρ 787 κομίζοντας συναγαγών, πολλὴν δὲ λείαν ἐλαύνων, ἔτι a δὲ ἅρματα καὶ τοὺς καλουμένους Ψύλλους ἐπαγόμενος, οἳ τά τε δήγματα τῶν θηρίων ἰῶνται τοῖς στόμασιν ἕλκοντες τὸν ἰόν, αὐτά τε τὰ θηρία κατεπᾴδοντες ἀμβλύνουσι καὶ κηλοῦσιν. Ἡμέρας δὲ συνεχῶς ἑπτὰ τῆς πορείας γενομένης πρῶτος ἡγήσατο μήτε ἵππῳ μήτε ὑποζυγίῳ χρησάμενος. Ἐδείπνει δὲ καθήμενος ἀφ' ἧς ἡμέρας τὴν κατὰ Φάρσαλον ἧτταν ἔγνω· καὶ τοῦτο τῷ λοιπῷ προσέθηκε πένθει, τὸ μὴ κατακλιθῆναι πλὴν καθεύδων. Ἐν δὲ Λιβύῃ διαγαγὼν τοῦ χειμῶνος ἐξήγαγε τὴν στρατιάν· ἦσαν δὲ μυρίων ὀλίγον ἀποδέοντες.

LVII. Τὰ δὲ πράγματα κακῶς εἶχε τοῖς περὶ Σκηπίωνα καὶ Οὔαρον ἐκ διαφορᾶς καὶ στάσεως ὑποδυομένοις καὶ θεραπεύουσι τὸν Ἰόβαν, οὐκ ἀνεκτὸν ὄντα βαρύτητι b φρονήματος καὶ ὄγκῳ διὰ πλοῦτον καὶ δύναμιν· ὅς γε Κάτωνι πρῶτον ἐντυγχάνειν μέλλων μέσον ἔθηκε τὸν ἑαυτοῦ θρόνον τοῦ Σκηπίωνος καὶ τοῦ Κάτωνος. Ὁ μέντοι Κάτων ὡς εἶδεν, ἄρας τὸν ἑαυτοῦ μετέθηκεν ἐπὶ θάτερα μέσον λαμβάνων τὸν Σκηπίωνα, καίπερ ἐχθρὸν

una cum Catone tum ibi apud Dyrrhachium a Pompeio abjecti atque relicti sunt. (2) Accepta deinde apud Pharsalum clade, ita secum statuit Cato : si quidem periisset Pompeius, suos in Italiam transmittere, ipse autem in exsilio quam longissime a tyrannide vitam exigere; sin is superesset, omnino ei quas habebat copias servare. Eo animo Corcyram ad classem trajecit, et Ciceroni imperium, ut prætorius consulari, concessit. Detrectante eo et in Italiam tendente, cernens Pompeium *filium* intempestivo quodam fastu ac pervicacia impulsum punire abeuntes intendisse ac primo omnium Ciceroni manus illaturum, privatim compellatum mitigavit, atque saniore consilio instruxit; eaque re haud dubie Ciceronem neci eripuit, reliquisque securitatem confecit.

LVI. Conjiciens porro Pompeium Magnum in Ægyptum aut Africam aufugisse, ad eumque contendens, cum universo exercitu solvit; neque tamen prius perrexit, quam iis qui gravatim sequerentur retro al eundi vel ibi manendi largitus est potestatem. Oram Africæ legens in Sex. Pompeium incidit, Magni filium natu minorem : is ei patrem in Ægypto necatum refert. (2) Gravissimo omnibus dolore perculsis, nemo tamen post Pompeium nominari alium ducem quam Catonem sustinuit. Itaque et Cato ipse motus verecundia miseratusque viros egregios et qui jam fidei suæ documentum dedissent, ne ii in peregrina regione rerum omnium ducisque orbi desererentur, imperium accepit. Profectus Cyrenen, receptus eo est, quum paucis ante diebus Labienus inde esset exclusus. (3) Hic quum inaudisset Scipionem Pompeii socerum a Juba rege susceptum, et una esse Attium Varum cum copiis quem Pompeius Africæ præfecerat, hieme durante ad eos terrestri itinere contendit, conductis multis qui aquam portarent asinis, multamque secum prædam, multos currus agens, ac Psyllos etiam; hi morsos a bestiis sanant, ore venenum exsugentes, ipsasque bestias incantationibus demulcent. Septem continentibus diebus iter factum est, quum ipse agmen pedes duceret, neque unquam equo aut jumento uteretur. Cœnabat etiam sedens; nam post Pharsalicam calamitatem priori id luctui addiderat, ut nunquam nisi dormiendi causa accumberet. Exacta in Africa hieme, milites eduxit, haud multo pauciores decem millibus.

LVII. Erant autem res Scipionis et Vari pessimo statu, quum ipsi inter se dissidentes Jubam adularentur et observarent ob divitias et potentiam fastu intolerabili tumentem; quando et primum cum Catone collocuturus iste, suam sellam in medio Catonis et Scipionis collocavit. Sed Cato hoc videns, ipse suam sellam in alteram partem transtulit, mediumque assumpsit Scipionem, quamvis inimicum et

ὄντα καί τι καὶ βιβλίον ἐκδεδωκότα βλασφημίας ἔχον τοῦ Κάτωνος. Εἶτα τοῦτο μὲν εἰς οὐδένα τίθενται λόγον, εἰ δὲ Φιλόστρατον ἐν Σικελίᾳ μέσον εἶχε περιπατῶν ἐπὶ τιμῇ φιλοσοφίας, ἐγκαλοῦσι. (2) Τότε δ' οὖν c καὶ τὸν Ἰόβαν ἔπαυσε μονονουχὶ σατράπας πεποιημένον ἑαυτοῦ τοὺς περὶ τὸν Σκηπίωνα κἀκείνους διήλλαξεν. Ἀξιούντων δὲ πάντων ἄρχειν αὐτὸν καὶ πρώτων τῶν περὶ Σκηπίωνα καὶ Οὔαρον ἐξισταμένων καὶ παραδιδόντων τὴν ἡγεμονίαν, οὐκ ἔφη καταλύσειν τοὺς νόμους, περὶ ὧν τῷ καταλύοντι πολεμοῦσιν, οὐδὲ ἑαυτὸν ἀντιστράτηγον ὄντα παρόντος ἀνθυπάτου προτάξειν. Ἀνθύπατος γὰρ ὁ Σκηπίων ἀπεδέδεικτο καὶ θάρσος εἶχον οἱ πολλοὶ διὰ τοὔνομα κατορθώσειν, ἄρχοντος ἐν Λιβύῃ Σκηπίωνος.

LVIII. Ἐπεὶ μέντοι τὴν ἀρχὴν ὁ Σκηπίων παρα- d λαβὼν εὐθὺς ἐβούλετο Ἰόβᾳ χαριζόμενος Ἰτυκαίους ἡβηδὸν ἀποκτεῖναι καὶ κατασκάψαι τὴν πόλιν ὡς τὰ Καίσαρος φρονοῦσαν, οὐχ ὑπέμεινεν ὁ Κάτων, ἀλλὰ μαρτυρόμενος καὶ κεκραγὼς ἐν τῷ συνεδρίῳ καὶ θεοκλυτῶν μόλις ἐξείλετο τῆς ὠμότητος αὐτῶν τοὺς ἀνθρώπους· καὶ τὰ μὲν αὐτῶν δεηθέντων, τὰ δὲ τοῦ Σκηπίωνος ἀξιοῦντος ἀνεδέξατο φρουρήσειν τὴν πόλιν, ὡς μήτε ἑκοῦσα μήτε ἄκουσα Καίσαρι προσγένοιτο. (2) Καὶ γὰρ ἦν εἰς ἅπαντα τὸ χωρίον ὠφέλιμον καὶ διαρ- e κὲς τοῖς ἔχουσιν· ἔτι δὲ μᾶλλον ὑπὸ τοῦ Κάτωνος ἐρρώσθη. Καὶ γὰρ σῖτον εἰσήγαγεν ὑπερβάλλοντα πλήθει καὶ κατεσκεύαζε τὰ τείχη πύργους ἐπαιρόμενος καὶ τάφρους ὀχυρὰς καὶ χαρακώματα πρὸ τῆς πόλεως βαλλόμενος. Ἰτυκαίων δὲ τοὺς μὲν ἡβῶντας ἐν τοῖς χαρακώμασιν ἔταξεν οἰκεῖν τὰ ὅπλα παραδόντας αὐτῷ, τοὺς δὲ ἄλλους ἐν τῇ πόλει συνεῖχεν ἰσχυρῶς ἐπιμελόμενος μὴ ἀδικεῖσθαι μηδὲ πάσχειν κακῶς ὑπὸ τῶν Ῥωμαίων. Ὅπλα δὲ πολλὰ καὶ χρήματα καὶ σῖτον ἐξέπεμψε τοῖς ἐπὶ στρατοπέδου καὶ ὅλως εἶχε τοῦ πολέμου τὴν πόλιν ταμιεῖον. (3) Ἃ δὲ Πομπηΐῳ συνεβούλευε πρότερον καὶ τότε Σκηπίωνι, μὴ μάχεσθαι πρὸς f ἄνδρα πολεμιστὴν καὶ δεινὸν, ἀλλὰ τῷ χρόνῳ χρῆσθαι πᾶσαν ἀκμὴν, ᾗ τυραννὶς ἰσχύει, μαραίνοντι, τούτων ὁ Σκηπίων ὑπὸ αὐθαδείας κατεφρόνει· καί ποτε τῷ Κάτωνι δειλίαν ὀνειδίζων ἔγραψεν, εἰ μὴ μόνον αὐτὸς ἀγαπᾷ καθήμενος ἐν πόλει καὶ τείχεσιν, ἀλλὰ μηδὲ ἑτέρους ἐᾷ πρὸς τὸν καιρὸν εὐθαρσῶς χρῆσθαι τοῖς λογισμοῖς. Πρὸς ταῦτα ὁ Κάτων ἀντέγραψεν, ὡς ἕτοιμός ἐστιν οὓς ἤγαγεν αὐτὸς εἰς Λιβύην ὁπλίτας καὶ ἱππεῖς παραλαβὼν εἰς Ἰταλίαν περαιοῦν καὶ Καίσαρα μεθιστάναι καὶ τρέπειν ἀπ' ἐκείνων πρὸς αὐτόν. (4) Ὡς a 788 δὲ καὶ τούτων ὁ Σκηπίων κατεγέλα, πάνυ δῆλος ἦν ἀχθόμενος ὁ Κάτων τῇ παραχωρήσει τῆς ἀρχῆς, ὡς οὔτε τῷ πολέμῳ καλῶς τὸν Σκηπίωνα χρησόμενον οὔτε ἂν παραλόγως εὐτυχήσῃ μέτριον ἐν τῷ κρατεῖν πρὸς τοὺς πολίτας ἐσόμενον. Διὸ καὶ γνώμην εἶχεν ὁ Κάτων καὶ πρὸς τοὺς συνήθεις ἔλεγεν, οὐ χρηστὰς μὲν ἐλπίδας ἔχειν ὑπὲρ τοῦ πολέμου δι' ἀπειρίαν καὶ θρασύτητα τῶν ἡγεμόνων, εἰ δ' οὖν εὐτυχία τις γένοιτο καὶ κατα-

qui edito libro Catonem esset calumniatus. Et tamen invenias, qui hoc Catonis factum pro nihilo ducant, eique interim vitio vertant, quod in honorem philosophiæ Philostratum inter deambulandum in medium receperit. (2) Tum quidem Cato Varum cum Scipione in gratiam reduxit, et insolentiam Jubæ repressit, qui eos tantum non satraparum loco habuerat. Porro universis ipsi imperium deferentibus, idque primis omnium Varo et Scipione ultro concedentibus, nunquam se leges, contra quarum eversorem belligeraret, violaturum, neque se proprætorem præsente proconsule primo in loco collocaturum respondit. Nam Scipio erat proconsul, et plerique nomine ejus in spem victoriæ erigebantur, Scipione in Africa duce.

LVIII. Sed postquam Scipio munere ducis in se recepto statim in gratiam Jubæ Uticenses a maximo ad minimum omnes interficere et urbem, ut Cæsaris partibus faventem, diruere intendit, Cato indignitatem rei non ferens, deos hominesque obtestando vociferatusque in senatu ægre tandem crudelitati eorum Uticenses eripuit, et partim ipsis orantibus, partim Scipione postulante, custodiendam urbem, ut neque volens neque coacta ad Cæsarem desciscere- ret, in se recepit. (2) Erat urbs eo situ, ut plurimum iis qui eam obtinerent utilitatis ad quascunque res præberet, munitiorem tamen Cato reddidit. Nam et ingentem frumenti vim importavit et muros erectis turribus, fossis ductis, vallisque actis roboravit, de Uticensibus qui essent militari ætate, eos sibi traditis armis in vallo jussit habitare, reliquos in urbe continuit, sedulo curans ne qua afficerentur a Romanis injuria. Multa autem arma, pecunias, commeatum suis ab urbe in castra mittebat, atque omnino ea urbe pro penore belli utebatur. (3) Quod vero ante Pompeio, idem tum Scipioni consulebat, ne pugnam cum homine acri et bellicoso committeret, sed tempus traheret, quo omnis vigor tyrannidis soleret elanguescere. Hæc Scipio superbia cæcatus contemnebat, et aliquando scribens ad Catonem, timiditatem ei exprobravit, qui non contentus eo, quod ipse in urbe et intra muros desideret, ne reliquos quidem patiatur oblata occasione fortibus uti consiliis. Ad hæc Cato rescripsit, paratum se esse suos pedites equitesque, quos in Africam secum adduxisset, assumere, cumque his in Italiam trajicere, Cæsaremque ab ipsis eo contra se avertere. (4) Quum hoc quoque irrideret Scipio, haud obscure Cato tulit sibi dolere, quod imperium ei concessisset, quem neque bellum recte administraturum videret, neque victoria (si quidem eam præter opinionem tamen suam et rationem obtinuisset) moderate erga cives usurum. Itaque in hanc venit sententiam, quam et apud familiares extulit, de eventu belli se nihil boni sperare, imperitia et temeritate ducum considerata; quodsi tamen bona quadam fortuna

λυθείη Καῖσαρ, οὐ μενεῖν ἐν Ῥώμῃ, φεύξεσθαι δὲ τὴν χαλεπότητα καὶ πικρίαν τοῦ Σκηπίωνος ἤδη τότε δεινὰς καὶ ὑπερηφάνους ποιουμένου κατὰ πολλῶν ἀπειλάς. (5) Ἀπέβη δὲ μᾶλλον ἢ προσεδόκα· καὶ περὶ ἑσπέραν b βαθεῖαν ἧκέ τις ἀπὸ στρατοπέδου τριταῖος ἀγγέλλων, ὅτι μάχης μεγάλης πρὸς Θάψῳ γενομένης διέφθαρται παντάπασι τὰ πράγματα καὶ κρατεῖ Καῖσαρ τῶν στρατοπέδων, Σκηπίων δὲ καὶ Ἰόβας σὺν ὀλίγοις ἐκπεφεύγασιν, ἡ δὲ ἄλλη δύναμις ἀπόλωλε.

LIX. Τούτων προσπεσόντων ἡ μὲν πόλις, οἷον εἰκὸς ἐν νυκτὶ καὶ πολέμῳ, πρὸς τοιοῦτον ἄγγελμα μικροῦ δεῖν ἔκφρων γενομένη μόλις ἑαυτὴν ἐντὸς τειχῶν κατεῖχεν, ὁ δὲ Κάτων προελθὼν τότε μέν, ὡς ἑκάστοις ἀπήντα διαθέουσι καὶ βοῶσιν, ἐπιλαμβανόμενος καὶ παραμυθούμενος ἀφῄρει τοῦ δέους τὸ περιθαμβὲς καὶ ταραχῶδες, c ὡς οὐ τηλικούτων ἴσως γεγονότων, ἀλλὰ ἐπὶ μεῖζον αἰρομένων τῷ λόγῳ, καὶ κατέστησε τὸν θόρυβον. (2) Ἅμα δ' ἡμέρᾳ τοὺς τριακοσίους, οἷς ἐχρῆτο βουλῇ, Ῥωμαίους μὲν ὄντας, ἐν δὲ Λιβύῃ πραγματευομένους ἀπὸ ἐμπορίας καὶ δανεισμῶν, εἰς ἱερὸν Διὸς ἐκήρυττε συνιέναι καὶ ὅσοι παρῆσαν ἀπὸ συγκλήτου καὶ παῖδας αὐτῶν. Ἔτι δὲ συλλεγομένων ἐκείνων προσελθὼν ἀθορύβως καὶ μετὰ εὐσταθείας, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, βιβλίον ἔχων ἐν ταῖς χερσὶν ἀνεγίνωσκεν. Ἦν δὲ ἀναγραφὴ τῶν πρὸς τὸν πόλεμον ὀργάνων, ὅπλων, σίτου, τόξων, ὁπλιτῶν. (3) Ἐπεὶ δὲ συνῆλθον, ἀρξάμενος ἀπὸ d τῶν τριακοσίων καὶ διελθὼν πολὺν ἔπαινον τῆς προθυμίας αὐτῶν καὶ τῆς πίστεως, ἣν ἐπεδείξαντο καὶ χρήμασι καὶ σώμασι καὶ βουλαῖς ὠφελιμώτατοι γενόμενοι, παρεκάλει μὴ διαλυθῆναι ταῖς ἐλπίσιν ἕκαστον αὐτῶν φυγὴν ἰδίαν ἢ ἀπόδρασίν τινα ποριζόμενον. Ἂν γὰρ ἐν ταὐτῷ συμμένωσι, καὶ πολεμούντων ἧττον καταφρονήσειν Καίσαρα καὶ φείσεσθαι μᾶλλον δεομένων. Βουλεύεσθαι δ' ἐκέλευεν αὐτοὺς ὑπὲρ αὑτῶν, οὐδέτερα μεμψόμενος, ἀλλ' εἰ μὲν τρέποιντο τῇ γνώμῃ πρὸς τὴν τύχην, τῆς ἀνάγκης θησόμενος τὴν μεταβολήν· ἱσταμέ- e νων δὲ πρὸς τὰ δεινὰ καὶ δεχομένων τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, οὐκ ἐπαινεσόμενος μόνον, ἀλλὰ καὶ θαυμασόμενος τὴν ἀρετὴν καὶ παρέξων ἑαυτὸν ἄρχοντα καὶ συναγωνιζόμενον, ἄχρι οὗ τὴν ἐσχάτην τύχην τῆς πατρίδος ἐξελέγξωσιν, ἣν οὐκ Ἰτύκην οὐδὲ Ἀδρούμητον οὖσαν, ἀλλὰ Ῥώμην, πολλάκις ἐκ χαλεπωτέρων σφαλμάτων ὑπὸ μεγέθους ἀναφέρεσθαι. (4) Πολλῶν δ' αὐτοῖς εἰς σωτηρίαν καὶ ἀσφάλειαν ὑποκειμένων καὶ μεγίστου πρὸς ἄνδρα πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον, Ἰβηρίας τε πρὸς Πομπήιον ἀφεστώσης τὸν νέον αὐτῆς τε τῆς Ῥώμης οὔπω δι' ἀήθειαν παντά- f πασι δεδεγμένης τὸν χαλινόν, ἀλλ' ἀναξιοπαθούσης καὶ συνεξανισταμένης πρὸς πᾶσαν μεταβολήν, οὐδὲ τὸν κίνδυνον εἶναι φευκτέον, ἀλλὰ ἔχειν διδάσκαλον τὸν πολέμιον ἀφειδοῦντα τῆς ψυχῆς ἐπὶ ταῖς μεγίσταις ἀδικίαις, οὐχ ὥσπερ ἑαυτοῖς εἰς τὸν εὐτυχέστατον βίον κατορθοῦσιν ἢ πταίουσιν εἰς τὸν εὐκλεέστατον θάνατον τὴν ἀδηλότητα τοῦ πολέμου τελευτᾶν. Οὐ μὴν ἀλλ' ἐκεί-

eveniret, ut Cæsar opprimeretur, se quidem Romæ non mansurum, sed fuga se Scipionis subtracturum sævitiæ, qui jam nunc superbe multis et atrociter minaretur. (5) Eventus autem exspectationem ejus vicit. Nam tenebris jam noctis obortis, quidam ad ipsum pervenit tertia quam a castris discesserat die, annuntians magno apud Thapsum conserto prœlio eversas esse res sociorum, potitum castris Cæsarem, Scipionem et Jubam cum paucis effugisse, reliquum exercitum periisse.

LIX. Hunc nuntium quum et noctis et belli terror augeret, tanta per totam urbem excipit consternatio, ut quasi de potestate mentis exiissent homines, vix sese muris continuerint. Tum Cato progressus, ut occurrisset singulis discurrentibus et vociferantibus, inhibere eos, consolari, rem inflatius quam gesta esset nuntiatam dicere, nimium terrorem et trepidationem eximere, denique tumultum sedare. (2) Prima luce trecentis (erant hi Romani per Africam negotiantes et fœnerantes, eosque pro senatu Cato legerat) in fanum Jovis convenire jussis, tum quotquot aderant senatorii viri et eorum una liberi, interimque dum ii convenirent, constanti et sedato vultu ad eos progressus, tanquam si nihil novi accidisset, librum in quo instrumentorum bellicorum, armorum, frumenti, arcuum, militum recensio erat descripta, manibus tenens legit. (3) Congregatis omnibus, initium dicendi de trecentis istis senatoribus fecit, quorum magnopere collaudata voluntate ac fide, quam summam ostendissent, pecuniam, corpora, et consilia ad publicam maximam utilitatem suppeditando; cohortatus est deinde, ne abjecta omni spe a se invicem dissipari, aut unusquisque pro se privatim diffugere intenderent. Si enim una mansissent, fore ut et bellantes minus a Cæsare contemnerentur et veniam orantes facilius impetrarent. Proinde eos monuit, ut ipsi de rebus suis consilia inirent, de neutro consilio se ipsos reprehensurum, verum se necessitati inscripturum, si fortunæ succubuissent; ac si sufferre res adversas et certamen pro libertate sustinere maluissent, non laudaturum modo, sed admiraturum etiam virtutem ipsorum, seque eis ducem commilitonemque præbiturum, donec ultimam patriæ fortunam experirentur; quæ quidem patria non Utica sit, aut Adrumetum, sed Roma, quæ sæpe ex gravioribus periculis sua se magnitudine emersisset. (4) Ipsis autem tam multas salutis spes esse propositas et securitatis, quarum hæc maxima, quod bellum contra eum sit virum, qui variis occupationibus distineatur, quum et Hispaniæ ad Pompeii filium defecerint et Roma ob rei insolentiam nondum plane frænum acceperit, sed indigne dominum ferens, ad quascunque res novas una excitetur. Proinde subterfugiendum præsens periculum non esse, sed caperent ab ipso hoste exemplum, qui propositis maximis flagitiis se in aperta vitæ discrimina mitteret, minime id propositum habens, quod ipsi tenerent, ut vel beatissimam vitæ conditionem victoria, vel pulcherrimam mortem adversa fortuna consequantur. Verum hæc ipsos ait debere deliberare, hoc

789 νους γε δεῖν ἔφη βουλεύεσθαι καθ' ἑαυτοὺς συνευχόμενος a ἀντὶ τῆς πρόσθεν ἀρετῆς καὶ προθυμίας αὐτοῖς τὰ δόξαντα συνενεγκεῖν.

LX. Τοιαῦτα τοῦ Κάτωνος εἰπόντος, ἦσαν μὲν οἱ καὶ τοῖς λόγοις ἀγόμενοι πρὸς τὸ θαῤῥεῖν, οἱ δὲ πλεῖστοι πρὸς τὸ ἀδεὲς καὶ γενναῖον αὐτοῦ καὶ φιλάνθρωπον ὀλίγου δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τοῦτον ἀήττητον ἡγεμόνα καὶ πάσης κρείττονα τύχης, ἐδέοντο χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασι καὶ ὅπλοις, ὅπως αὐτὸς ἔγνωκε· κρεῖττον γὰρ ἐκείνῳ πειθομένους ἀποθανεῖν ἢ σώζεσθαι, προδόντας ἀρετὴν τοσαύτην. (2) Εἰπόντος δέ τινος, ὡς χρὴ ψηφίσασθαι δούλοις ἐλευθερίαν, καὶ τῶν πλείστων συνεπαινεσάντων, b οὐκ ἔφη τοῦτο ποιήσειν ὁ Κάτων· οὐ γὰρ εἶναι νόμιμον οὐδὲ δίκαιον, αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων, τοὺς ἐν ἡλικίᾳ δέχεσθαι. Γενομένων δὲ πολλῶν ὑποσχέσεων κελεύσας ἀπογράφεσθαι τὸν βουλόμενον ἀπηλλάττετο. (3) Καὶ μετὰ μικρὸν ἧκεν αὐτῷ γράμματα παρὰ Ἰόβα καὶ Σκηπίωνος, Ἰόβα μὲν ἐν ὄρει κεκρυμμένου μετ' ὀλίγων ἐρωτῶντος, ὅ τι πράττειν δέδοκται τῷ Κάτωνι· καὶ γὰρ περιμένειν Ἰτύκην ἐκλιπόντα καὶ πολιορκουμένῳ μετὰ στρατιᾶς ἐπιβοηθήσειν, Σκηπίωνος δὲ πρὸς ἄκρᾳ τινὶ ναυλοχοῦντος οὐ πόῤῥω τῆς Ἰτύ- c κης ἐπὶ τοῖς αὐτοῖς καραδοκοῦντος.

LXI. Ἔδοξεν οὖν τῷ Κάτωνι τοὺς γραμματοφόρους ἐπισχεῖν, ἄχρι οὗ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. Οἱ μὲν γὰρ ἀπὸ βουλῆς ἦσαν πρόθυμοι καὶ τοὺς οἰκέτας εὐθὺς ἀφιέντες ἐλευθέρους ὥπλιζον. Τῶν δὲ τριακοσίων, ἅτε δὴ πλωτικῶν καὶ δανειστικῶν ἀνθρώπων καὶ τὸ πλεῖστον ἐν τοῖς οἰκέταις τῆς οὐσίας ἐχόντων, οὐ πολὺν οἱ Κάτωνος λόγοι χρόνον ἐμμείναντες ἐξεῤῥύησαν. (2) Καθάπερ γὰρ τῶν σωμάτων τὰ μανὰ δέχεται ῥᾳδίως τὴν θερμότητα καὶ πάλιν μεθίησι τοῦ πυρὸς ἀπαχθέντος d ψυχόμενα, παραπλησίως ἐκείνους ὁ μὲν Κάτων ὁρώμενος ἀνεζωπύρει καὶ διεθέρμαινεν, αὐτοὺς δὲ ἑαυτοῖς λόγον διδόντας ὁ Καίσαρος φόβος ἐξέκρουσε τῆς πρὸς Κάτωνα καὶ τὸ καλὸν αἰδοῦς. « Τίνες γάρ, ἔφασαν, ὄντες, καὶ τίνι τὸ προστασσόμενον ποιεῖν ἀπαξιοῦμεν; Οὐχὶ Καῖσαρ μὲν οὗτος, εἰς ὃν ἡ Ῥωμαίων ἅπασα περιέστηκεν ἰσχύς; ἡμῶν δὲ Σκηπίων οὐδεὶς οὐδὲ Πομπήιος οὐδὲ Κάτων. Ἀλλὰ ἐν οἷς καιροῖς πάντες ἄνθρωποι ταπεινότερα τῶν προσηκόντων διὰ φόβον φρονοῦσιν, ἐν τούτοις ἡμεῖς ὑπερμαχοῦντες τῆς Ῥωμαίων ἐλευθερίας πολεμοῦμεν ἐξ Ἰτύκης, ᾧ Κάτων μετὰ e Πομπηίου Μάγνου φεύγων ὑφεῖτο τῆς Ἰταλίας, καὶ δούλους ἐλευθεροῦμεν κατὰ Καίσαρος, οἷς αὐτοῖς ἐλευθερίας ὅσον ἂν ἐκεῖνος θέλῃ μέτεστιν; Ἀλλ' ἔτι νῦν, ὦ μοχθηροί, γνόντες ἑαυτοὺς παραιτώμεθα τὸν κρατοῦντα καὶ πέμψωμεν τοὺς δεησομένους. » (3) Ταῦτα οἱ μετριώτατοι τῶν τριακοσίων παρῄνουν· οἱ δὲ πλεῖστοι τοῖς συγκλητικοῖς ἐπεβούλευον, ὡς, εἰ τούτους συλλάβοιεν, ἱλασόμενοι τὴν πρὸς αὐτοὺς ὀργὴν τοῦ Καίσαρος.

LXII. Ὁ δὲ Κάτων ὑπονοῶν τὴν μεταβολὴν οὐκ ἐξήλεγξε. Τῷ μέντοι Σκηπίωνι καὶ τῷ Ἰόβᾳ γράψας

addito voto, ut dii dignos ipsis pristina virtute studioque in patriam successus eorum quæ statuissent largiantur.

LX. Hac oratione Catonis redditus est nonnullis animus, sed plerique metus vacuitatem, animi magnitudinem et humanitatem ejus reputantes, eoque pæne præsentium obliti periculorum, ipsum ut qui solus omnium ducum invictus omnique esset superior fortuna, oraverunt, ut corporibus ipsorum, opibus, armisque suo uteretur arbitratu; præstare enim sibi, parendo huic duci occumbere, quam prodita tam insigni ejus virtute superesse. (2) Quum quidam censuisset, servis libertatem esse decernendam et adstipularentur plerique, Cato id se facturum negavit, quod neque legitimum neque justum foret, eos quidem accepturum se, quos ætate ad militiam commoda ipsi domini manumisissent. Multis ibi multa promittentibus, annotari quæ quis promisisset jussit et ex consilio abiit. (3) Paullo post literæ ipsi a Juba et Scipione allatæ sunt. Juba in monte cum paucis occultatus, quid agere Cato statuisset, percontabatur; se enim vel exspectaturum eum, si Utica excedere vellet, vel si ibi obsideretur, cum exercitu opitulaturum; Scipio in promontorio quodam haud procul ab Utica cum classe stationem habebat, eundemque in finem præstolabatur.

LXI. Visum est itaque Catoni ex re esse, tabellarios tantisper detinere, dum trecenti ea repræsentarent, quæ erant polliciti. Nam qui senatorii erant ordinis, prompte satis faciebant, servosque statim suos libertate donabant et armabant. Ac trecentis illis quippe navigando et fœnerando assuetis hominibus et quibus magna suarum facultatum pars in mancipiis esset, mox Catonis oratio ex animis effluxit. (2) Nam quemadmodum corpora rara et tenuia facile quidem incalescunt, sed simul atque ignis abiit, statim refrigerantur, ita illos Cato quidem conspectus exsuscitabat atque calefaciebat, sed secum ipsis rem putantibus, metus Cæsaris verecundiam honestatis et Catonis excutiebat. Nos (dicebant) qui sumus, aut cujus tandem imperia detrectamus? Nonne Cæsaris, ad quem unum omnis Romanorum devoluta est potentia? nostrûm vero nemo Scipio est, aut Pompeius, aut Cato. Et tamen quo tempore omnes alii homines ob metum abjectiore quam deceat animo esse solent, nos pro Romanorum propugnantes libertate ex Utica bellum ei facimus, cui Cato cum Pompeio fugiens totam Italiam concessit, donamusque libertate servos nostros contra Cæsarem, in cujus manu nostra ipsorum est libertas. O miseros nos! vel tandem cognoscamus nostras vires et missis ad victorem deprecatoribus, veniam imploremus (3) Hæc erat modestissimorum de trecentis oratio. Nam plerique senatoriis insidiabantur, iis captis sperantes se Cæsaris iram placaturos.

LXII. Cato tametsi animadverteret animos eorum mutatos, dissimulavit tamen, Jubæ et Scipioni rescribens, ut

ἀπέχεσθαι τῆς Ἰτύκης ἀπιστίᾳ τῶν τριακοσίων ἐξέπεμψε τοὺς γραμματοφόρους. Τῶν δὲ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς οὐκ εὐκαταφρόνητος, προσελάσαντες τῇ Ἰτύκῃ πέμπουσι πρὸς τὸν Κάτωνα τρεῖς ἄνδρας οὐ τὴν αὐτὴν γνώμην ἀπὸ πάντων ἔχοντας. Οἱ μὲν γὰρ ἀπιέναι πρὸς Ἰόβαν, οἱ δὲ τῷ Κάτωνι προσχωρεῖν ὥρμηντο, τοὺς δὲ καὶ δέος εἶχεν εἰς Ἰτύκην παριέναι. (2) Ταῦτα ὁ Κάτων ἀκούσας τοῖς μὲν τρια-
790 κοσίοις ἐκέλευσε προσέχειν Μάρκον Ῥούβριον ἀτρέμα τὰς ἀπογραφὰς τῶν ἐλευθερούντων δεχόμενον καὶ μὴ προσβιαζόμενον· αὐτὸς δὲ τοὺς συγκλητικοὺς ἀναλαβὼν προῆλθεν ἔξω τῆς Ἰτύκης καὶ τοῖς ἱππάρχοις ἐνέτυχε δεόμενος μὴ προέσθαι Ῥωμαίων ἄνδρας ἀπὸ βουλῆς τοσούτους μηδὲ Ἰόβαν ἑλέσθαι στρατηγὸν ἀντὶ Κάτωνος, ἀλλὰ σώζεσθαι κοινῇ καὶ σώζειν παρελθόντας εἰς πόλιν οὔτε κατὰ κράτος ἁλώσιμον εἰς ἔτη τε πάμπολλα σῖτον καὶ τὴν ἄλλην παρασκευὴν ἔχουσαν. Ταῦτα δὲ καὶ τῶν συγκλητικῶν δεομένων καὶ δακρυόντων, οἱ μὲν ἵππαρχοι διελέγοντο τοῖς ἱππεῦσιν, ὁ δὲ Κάτων ἐπὶ χώματός τινος καθίσας μετὰ τῶν συγκλητικῶν ἀνέμεινε τὰς ἀποκρίσεις.

LXIII. Ἐν δὲ τούτῳ παρῆν ὁ Ῥούβριος σὺν ὀργῇ κατηγορῶν τῶν τριακοσίων ἀκοσμίαν πολλὴν καὶ θόρυβον, ὡς ἀφισταμένων καὶ διαταραττόντων τὴν πόλιν. Ἐφ' οἷς οἱ μὲν ἄλλοι παντάπασιν ἀπογνόντες ἑαυτῶν εἰς δάκρυα καὶ ὀδυρμοὺς ἐξέπεσον, ὁ δὲ Κάτων ἐκείνους τε θαρσύνειν ἐπειρᾶτο καὶ πρὸς τοὺς τριακοσίους ἔπεμψεν ἀναμεῖναι κελεύων. Οἱ δὲ ἀπὸ τῶν ἱππέων ἧκον οὐ μέτρια προστάττοντες· ἔφασαν γὰρ οὔτε Ἰόβα δεῖσθαι μισθοδοτοῦντος οὔτε Καίσαρα φοβεῖσθαι Κάτωνος αὐτῶν ἄρχοντος, Ἰτυκαίοις δὲ, Φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις, συγκαθείργνυσθαι δεινὸν εἶναι· καὶ γὰρ εἰ νῦν ἀτρεμοῦσιν, ὅταν Καῖσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. Εἴπερ οὖν δεῖταί τις αὐτῶν συμπολεμούντων καὶ συμπαρόντων, ἐκβαλὼν ἅπαντας Ἰτυκαίους ἢ διαφθείρας, οὕτως εἰς πόλιν καθαρὰν πολεμίων καὶ βαρβάρων καλείτω. (2) Ταῦτα ὁ Κάτων ἄγρια μὲν δεινῶς ἡγεῖτο καὶ βάρβαρα, πρᾴως δὲ ἀπεκρίνατο βουλεύσεσθαι μετὰ τῶν τριακοσίων. Καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν ἐνετύγχανε τοῖς ἀνδράσιν οὐκέτι σκήψεις οὐδὲ παραγωγὰς πλασσομένοις ὑπ' αἰδοῦς πρὸς αὐτὸν, ἄντικρυς δὲ χαλεπαίνουσιν, εἴ τις αὐτοὺς βιάζοιτο πολεμεῖν Καίσαρι μὴ δυναμένους μηδὲ βουλομένους. Ἔνιοι δὲ καὶ παρεφθέγγοντο περὶ τῶν συγκλητικῶν, ὡς καθεκτέον ἐν τῇ πόλει, Καίσαρος παρόντος. (3) Ἀλλὰ τοῦτο μὲν ὡς οὐκ ἀκούσας ὁ Κάτων παρῆκε· καὶ γὰρ ἦν ὑποκωφότερος· ὡς δέ τις αὐτῷ προσελθὼν ἀπήγγειλε τοὺς μὲν ἱππεῖς ἀπιέναι, φοβηθεὶς μὴ παντάπασιν οἱ τριακόσιοι κατὰ τῶν συγκλητικῶν ἀπονοηθῶσιν, ἐβάδιζε μετὰ τῶν φίλων ἐξαναστὰς, καὶ θεασάμενος ἤδη προκεχωρηκότας ἵππον λαβὼν ἐδίωκε πρὸς αὐτούς. Οἱ δὲ ἰδόντες ἄσμενοι προσελαύνοντα καὶ ἐδέξαντο καὶ παρεκάλουν σώζεσθαι μετ' αὐτῶν. Τότε καὶ δακρῦσαι τὸν Κάτωνά φασιν ὑπὲρ τῶν συγκλητικῶν

f ob infidelitatem trecentorum Utica se abstinerent, tabellarios ablegavit. Ceterum equitum cladi elapsorum haud contemnendus numerus ad Uticam venit, præmissique sunt ab iis ad Catonem tres viri, non eandem omnium sententiam denuntiantes. Quidam enim ad Jubam discedere, quidam Catoni se conjungere cupiebant, nonnullis etiam periculosum videbatur Uticam intrare. (2) His co-
a gnitis Cato M. Rubrio imperavit ut trecentos observaret et paulatim ab iis nomina belli causa manumissorum acciperet, neque tamen quenquam cogeret. Ipse cum senatoriis extra urbem ad equitum ductores progressus, oravit ne destituere tot Romanos senatores, neve Jubam pro Catone vellent deligere, sed salutem dare simul atque accipere, intrando in eam urbem, quæ neque vi expugnari posset et in multos annos alimentis omnique apparatu esset instructa. Hæc eadem senatoribus etiam orantibus lacrimasque effundentibus, magistri equitum ea de re communicavere cum equitibus, Catone cum suis in aggere quodam sedente et responsum operiente.

b LXIII. Interim Rubrius ad eum iratus venit, tumultuari trecentos et deficere urbemque perturbare conquerens. Quo audito ceteri omnes desperata sua salute ad lacrimas et lamentationes conversi sunt; Cato autem et hos consolari aggressus est, et ad trecentos misit, qui eos exspectare juberet. Responsum autem equitum ei nequaquam moderatum est allatum; neque Jubæ se pro mercede militaturos dicebant, neque metuere Cæsarem, Catone duce, una autem cum Uticensibus, hominibus Punicis et levibus, includi, id sibi periculosum oppido videri; nam ut nunc ii quiescant,
c at Cæsaris sub adventum insidiaturos ipsis et prodituros. Ergo qui præsentia ipsorum auxilioque indigeret, is ejectis prius aut occisis omnibus Uticensibus, ita in urbem barbaris hostibusque vacuam ipsos vocaret. (2) Hæc Cato tametsi immania plane et barbarica judicabat, placide tamen respondit, se ea de re cum trecentis deliberaturum. Hos in urbem reversus offendit non jam prætextus aut circuitiones quærentes, verecundia ipsius, sed palam indignantes, quod bellum contra Cæsarem gerere cogerentur,
d ad quod et voluntas ipsis et vires deessent. Quidam obiter de senatoriis mussabant, eos in urbe detinendos Cæsare adventante. (3) Verum hoc Cato, veluti non exaudiisset, transmisit; erat enim nonnihil surdaster. Sed ubi quidam accessit et ei indicavit, discedere jam equites, metuens ne trecenti omnino crudelius aliquid in senatorios statuerent, surrexit cum amicis illosque est secutus; quumque videret progressos jam aliquantum, equo sumpto insecutus est. Illi lætis animis videre ad se accurrentem, hortatique sunt ut una saluti suæ consulens abiret. Lacrimasse tum Ca-
e tonem ferunt pro senatoriis deprecantem manusque

δεόμενον καὶ προτείνοντα τὰς χεῖρας, ἐνίων δὲ καὶ τοὺς ἵππους ἀναστρέφοντα καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον, μέχρι οὗ κατειργάσατο τὴν γοῦν ἡμέραν ἐκείνην ἐπιμείναντας ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν παρασχεῖν.

LXIV. Ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας κατέστησε, τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρέδωκεν, ἔδεισαν οἱ τριακόσιοι, μὴ δίκην δῶσι τῆς μεταβολῆς· καὶ πρὸς τὸν Κάτωνα πέμποντες ἐδέοντο πάντως ἀφικέσθαι πρὸς αὐτούς. Οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ εἴων οὐδὲ ἔφασαν προήσεσθαι τὸν κηδεμόνα καὶ σωτῆρα τοῖς ἀπίστοις καὶ προδόταις. (2) Σαφεστάτη γάρ, ὡς ἔοικεν, αἴσθησις τότε παρέστη καὶ f πόθος καὶ θαῦμα τῆς τοῦ Κάτωνος ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ Ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον οὐδὲ ἀπατηλὸν ἐμέμικτο τοῖς πραττομένοις ὑπ' αὐτοῦ. Πάλαι δὲ ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν δεινοὺς πόνους ἐπόνει καὶ φροντίδας καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων, ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλά-
791 ξαιτο τοῦ ζῆν. Οὐ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον a αὐτοῦ φορά, καίπερ οὐ φάσκοντος. (3) Ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις παραμυθησάμενος τοὺς συγκλητικούς· καὶ μόνος ἧκε πρὸς αὐτοὺς χάριν ἔχειν ὁμολογοῦντας καὶ δεομένους τὰ μὲν ἄλλα χρῆσθαι καὶ πιστεύειν, εἰ δὲ Κάτωνες οὐκ εἰσὶν οὐδὲ τὸ Κάτωνος φρόνημα χωροῦσιν, οἰκτείρειν τὴν ἀσθένειαν αὐτῶν· ἐγνωκότες δ' οὖν Καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς αὐτὸν ὑπὲρ ἐκείνου μάλιστα καὶ πρώτου ποιήσεσθαι δέησιν· εἰ δὲ μὴ πείθοιεν, οὐδ' αὐτοῖς διδομένην δέξεσθαι τὴν χάριν, ἀλλ' ἄχρι ἂν ἐμπνέωσι πολεμήσειν ὑπὲρ ἐκείνου. (4) Πρὸς ταῦτα ὁ Κάτων ἐπαινέσας τὴν b εὔνοιαν ἔφη χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος, ὑπὲρ αὐτοῦ δὲ μὴ δεῖσθαι· κεκρατημένων γὰρ εἶναι δέησιν καὶ ἀδικούντων παραίτησιν· αὐτὸς δὲ οὐ μόνον ἀήττητος γεγονέναι παρὰ πάντα τὸν βίον, ἀλλὰ καὶ νικᾶν ἐφ' ὅσον ἐβούλετο καὶ κρατεῖν Καίσαρος τοῖς καλοῖς καὶ δικαίοις, ἐκεῖνον δ' εἶναι τὸν ἑαλωκότα καὶ νενικημένον· ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι, νῦν ἐξηλέγχθαι καὶ πεφωρᾶσθαι.

LXV. Ταῦτα διαλεχθεὶς τοῖς τριακοσίοις ἀπηλλάττετο καὶ πυθόμενος Καίσαρα πᾶσαν ἄγοντα τὴν στρατιὰν ἤδη καθ' ὁδὸν εἶναι, « Παπαί, εἶπεν, ὡς ἐπ' ἄν- c δρας ἡμᾶς ἐκεῖνος. » Καὶ τραπόμενος πρὸς τοὺς συγκλητικοὺς ἐκέλευε μὴ μέλλειν, ἀλλ' ἕως παραμένουσιν οἱ ἱππεῖς σώζεσθαι. Καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας, μιᾷ δὲ τῇ πρὸς θάλασσαν φερούσῃ τά τε πλοῖα τοῖς ὑφ' ἑαυτὸν διένειμε καὶ τάξεως ἐπεμελεῖτο παύων τὰς ἀδικίας καὶ διαλύων τοὺς θορύβους καὶ τοὺς ἀπόρως ἔχοντας ἐφοδιάζων. (2) Ἐπεὶ δὲ Μάρκος Ὀκτάβιος ἄγων δύο τάγματα πλησίον κατεστρατοπέδευσε καὶ πέμπων ἠξίου τὸν Κάτωνα περὶ ἀρχῆς διορίσασθαι πρὸς αὐτόν, ἐκείνῳ μὲν οὐθὲν ἀπεκρίνατο, πρὸς δὲ τοὺς φίλους εἶπεν, « Εἶτα θαυμάζομεν, ὅπως ἀπόλωλε τὰ d πράγματα, τὴν φιλαρχίαν ὁρῶντες ἡμῖν ἐν αὐτῷ τῷ ὀλέθρῳ βεβηκόσι παραμένουσαν; » (3) Ἐν τούτῳ δὲ

protendisse, nonnullorum etiam equos retro egisse et arma corripuisse, dum exoraret ut istum saltem diem apud Uticam commorantes, tutam senatoriis fugam præstarent.

LXIV. Ut equites secum Uticam reduxit et aliis portas, aliis arcem custodiendam tradidit, metuentes sibi trecenti, ne defectionis pœnam solvere cogerentur, miserunt ad Catonem, summopere orantes ut ad se veniret. At vero senatorii circumfusi id prohibere, neque se suum servatorem hominibus infidis et proditoribus credituros dicere. (2) Evidentissima enim tunc omnibus Uticæ degentibus Catonis virtus, ejusque desiderium et admiratio exstitit, in cujus factis atque consiliis nihil omnino fucatum, nihil falsum inesset. Nam quum jam pridem decrevisset sibi mortem consciscere, incredibilibus tamen curis se et laboribus defatigabat, dum suis omnibus in tuto collocatis, ipse vita abiret. Neque vero latebat quantumvis dissimularet moriendi ejus cupiditas. (3) Morem itaque tum trecentorum petitioni gessit, confirmatis senatorum animis, et solus ad eos venit. Tum illi gratiam ei agere, et orare ut omni ipsorum opera uteretur, neque de fide sua dubitaret; quod autem Catones non essent, neque tanta ut in Catonem in ipsos competeret animi magnitudo, huic eorum imbecillitati ignosceret. Statuisse se ad Cæsarem mittere, veniam petitum et quidem maxime pro ipso atque primo Catone; cui si non impetrassent, ne sibi quidem data usuros, sed pro ipso ad extremum usque anhelitum propugnaturos. (4) Ad hæc Cato collaudato ipsorum studio, suæ ipsorum salutis causa ut quamprimum deprecatorem mitterent, monuit, pro se autem intercedi prohibuit: victi enim esse veniæ petitionem et deprecationem ei, qui injuriam intulerit, convenire; se non invictum modo universo vitæ tempore fuisse, sed et justitia atque honestate, quibus rebus certaverit, superiorem Cæsare esse, illum convictum esse, atque superatum: quæ enim contra patriam moliens jam pridem infitiando texerit, ea nunc aperta esse et deprehensa.

LXV. His dictis trecentos reliquit. Audiens vero Cæsarem cum omnibus copiis jam contra se in itinere esse, Papæ, inquit, ut ille adversus nos, tanquam viros! Conversus inde ad senatorios, properare et dum adhuc adessent equites, saluti suæ prospicere jussit. Ac reliquis portis clausis, per unam eam quæ ad mare est eos eduxit, naves inter eos distribuit et ita ordinavit, ut citra tumultum, vim ac trepidationem abirent, dato etiam indigentibus viatico. (2) Quum autem M. Octavius duas ducens legiones prope Uticam castra fecisset, missisque ad Catonem nuntiis postulasset ut de finibus provinciæ secum constitueret, Cato eum responso non dignatus, amicis dixit: Miremur vero quomodo res nostræ perierint, quum videamus imperandi cupiditatem præsente jam exitio in nobis manere? (3) In-

τοὺς ἱππεῖς ἀκούσας ἀπιόντας ἤδη φέρειν καὶ ἄγειν τὰ τῶν Ἰτυκαίων ὥσπερ λάφυρα δρόμῳ συνέτεινε πρὸς αὐτοὺς καὶ τοῖς πρώτοις ἐντυχὼν ἀφῃρεῖτο, τῶν δὲ ἄλλων ἕκαστος ἔφθανε ῥίπτων καὶ κατατιθέμενος, πάντες δὲ ὑπ' αἰσχύνης σιωπῇ καὶ κάτω βλέποντες ἀπῄεσαν. Ὁ δὲ Κάτων εἰς τὴν πόλιν τοὺς Ἰτυκαίους συναγαγὼν ἐδεῖτο περὶ τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν, ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. Εἶτα πάλιν τραπόμενος πρὸς τὴν θάλατταν ἐπεσκόπει τοὺς ἐμβαίνοντας καὶ τῶν φίλων καὶ ξένων ὅσους ἔπεισεν ἠσπάζετο καὶ προὔπεμψε. Τὸν e δὲ υἱὸν οὐκ ἔπεισε λαβεῖν πλοῖον οὐδὲ ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον τοῦ πατρός. (4) Ἦν δέ τις Στατύλλιος, ἀνὴρ τῇ μὲν ἡλικίᾳ νέος, ἰσχυρὸς δὲ τῇ γνώμῃ βουλόμενος εἶναι καὶ τοῦ Κάτωνος ἀπομιμεῖσθαι τὴν ἀπάθειαν. Τοῦτον ἠξίου πλεῖν· καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ· ὡς δὲ οὐκ ἤθελεν, Ἀπολλωνίδῃ τῷ Στωϊκῷ καὶ Δημητρίῳ τῷ Περιπατητικῷ προσβλέψας ὁ Κάτων, « Ὑμέτερον, εἶπεν, ἔργον οἰδοῦντα τοῦτον μαλάξαι καὶ καταρτίσαι πρὸς τὸ συμφέρον. » Αὐτὸς δὲ τοὺς λοιποὺς συνεκπέμπων καὶ χρηματίζων τοῖς δεομένοις τήν τε νύκτα διέτριβε περὶ ταῦτα καὶ τὰς ἐπιούσης f ἡμέρας τὸ πλεῖστον μέρος.

LXVI. Ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνου, μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν Κάτωνα λόγον αὐτῷ συνυποθέσθαι πιθανὸν, ᾧ χρήσεται περὶ ἐκείνων, « ὑπὲρ σοῦ μὲν γὰρ αὐτοῦ καὶ χειρῶν ἐμοὶ καλὸν ἅψασθαι καὶ 792 γόνασι προσπεσεῖν Καίσαρος, » οὐκ εἴα ταῦτα ποιεῖν a ὁ Κάτων αὐτόν. « Ἐμοὶ γὰρ, εἶπεν, εἰ σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην, αὐτῷ βαδιστέον ἦν πρὸς ἐκεῖνον μόνον. Οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν ἔχειν ὑπὲρ ὧν παρανομεῖ. Παρανομεῖ δὲ σώζων ὡς κύριος ὧν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. Ὅπως μέντοι παραιτήσῃ τοὺς τριακοσίους, κοινῇ σκοπῶμεν, εἰ βούλει. » (2) Γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λευκίου, τὸν υἱὸν αὐτῷ συνέστησε καὶ τοὺς ἑταίρους ἀπιόντι· καὶ προπέμψας ἐκεῖνον καὶ δεξιωσάμενος ἐπανῆλθεν οἴκαδε καὶ τὸν υἱὸν καὶ τοὺς φίλους συναγαγὼν ἄλλα τε πολλὰ διελέχθη καὶ πολιτείας ἀπεῖπεν ἅψασθαι τῷ μειρακίῳ· τὸ μὲν γὰρ ἀξίως Κάτωνος b οὐκέτι τὰ πράγματα δέξασθαι· τὸ δὲ ἄλλως αἰσχρὸν εἶναι. (3) Καὶ περὶ ἑσπέραν ἤδη τρέπεται πρὸς τὸ βαλανεῖον. Ἐν δὲ τῷ λούεσθαι τοῦ Στατυλλίου μνησθεὶς καὶ μέγα φθεγξάμενος, « Ἐξέπεμψας, εἶπεν, ὦ Ἀπολλωνίδη, τὸν Στατύλλιον ἀπὸ τοῦ φρονήματος ἐκείνου καθελών; καὶ πέπλευκεν ὁ ἀνὴρ μηδὲ ἀσπασάμενος ἡμᾶς; » « Πόθεν; » εἶπεν ὁ Ἀπολλωνίδης· καίτοι πολλὰ διελέχθημεν· ἀλλὰ ὑψηλός ἐστι καὶ ἄτρεπτος καὶ μένειν φησὶ καὶ πράττειν ὅ τι ἂν σὺ πράττῃς. » Πρὸς ταῦτά φασι τὸν Κάτωνα μειδιάσαι καὶ εἰπεῖν· « Ἀλλὰ τοῦτο μὲν αὐτίκα φανεῖται. »

LXVII. Λουσάμενος δὲ μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ εἰώθει μετὰ τὴν μάχην· οὐ γὰρ κα- c

terim audito equites jam abire et res Uticensium hostiliter diripere, celeriter accurrit, primisque obviam factus, prædam eripuit, ceteri abjicientes ultro atque deponentes, omnes verecundia moti dejectis in terram oculis taciti abierunt. Convocatis deinde in urbem Uticensibus, petiit pro trecentis, ut ne contra illos Cæsarem irritarent, sed communem utrique salutem quærerent. Regressus deinde ad mare, videbat quomodo sui conscenderent naves, et amicos hospitesque, quibus ut una abirent persuaserat, salutavit atque deduxit. Filio ut navim intraret persuadere non potuit, neque eum putavit a colendo patre depellendum esse. (4) Erat quidam ibi Statilius, juvenili adhuc ætate, sed qui constantiæ animi studeret et immobilitatem Catonis imitaretur. Hunc, quod odii in Cæsarem manifestus esset, navigare cum reliquis jubebat, quumque repugnaret, in Apollonidem Stoicum et Demetrium Peripateticum intuens, Vestrum est, inquit, tumentem hunc animo mitigare et ad commodi sui rationes habendas perducere. Ipse reliquos deducens et iis qui opus haberent consilia dans, noctem eam et maximam diei quæ insecuta est partem ita exegit.

LXVI. Quum L. Cæsar, qui C. Cæsaris domesticus pro trecentis ad eum erat legatus iturus, Catonem accederet postularetque ut se in oratione ad persuadendum apposita, qua pro iis uteretur, componenda adjuvaret; nam propter ipsum libenter se et manus Cæsaris tacturum et ad pedes ejus se abjecturum : vetuit id Cato ei. Mihi enim, inquit, si salutem requirerem a Cæsaris misericordia, ipsi ad eum soli accedendum erat, ego vero gratiam habere tyranno nolo eam ob rem, quam contra leges facit. Id enim facta vi legibus habet, ut servare possit tanquam dominus eos, quibus nullo jure dominatur. Quomodo autem eum trecentis istis places, id, si lubet, communi consilio videamus. (2) Atque ea de re cum L. Cæsare commentatus, abeunti filium et socios commendavit; amiceque eum comitatus, postquam domum rediit, convocatis ad se filio et amicis, multa disseruit, interque cætera filium hortatus est, ne ad rempublicam accederet; neque statum jam hunc esse, ut in ea versari posset sicut Catonem deceret, neque absque turpitudine aliter eum posse dicens. (3) Vesperi ad balneum se contulit, interque lavandum Statilii recordatus, magna voce ad Apollonidem, Emisisti, ait, Statilium animi ejus altitudine nonnihil depressa? isque nobis insalutatis abiit? Minime vero, inquit ille, nam se longo nostro colloquio plane immobilem præbuit mansurumque et idem, quod tu, facturum confirmavit. Ad hoc subrisisse nonnihil Catonem ferunt et dixisse, id quidem mox verumne sit appariturum.

LXVII. Lotus cum multis cœnavit, sedens ut consueverat post prœlium; neque enim nisi somni causa, decum-

τεκλίθη πλὴν καθεύδων· συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι καὶ τῶν Ἰτυκαίων οἱ ἄρχοντες. Καὶ μετὰ τὸ δεῖπνον ὁ πότος ἔσχε μοῦσαν πολλὴν καὶ χάριν, ἄλλων ἐπ' ἄλλοις λόγων φιλοσόφων κυκλούντων, ἄχρι οὗ περιῆλθεν ἡ ζήτησις εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν Στωϊκῶν, τὸ μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον, δούλους δὲ τοὺς φαύλους ἅπαντας. Ἐνταῦθα δὴ, ὡς εἰκὸς, ἀντιβάντος τοῦ Περιπατητικοῦ, σφοδρὸς ἐμπεσὼν ὁ Κάτων καὶ τόνον προσθεὶς καὶ τραχύτητα φωνῆς ἀπέτεινε πορρωτάτω τὸν λόγον ἀγῶνι θαυμαστῷ χρησάμενος, ὥστε μηδένα λαθεῖν, ὅτι τῷ βίῳ πέρας ἔγνω- d κεν ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. (2) Διὸ καὶ μετὰ τὸν λόγον σιωπῆς καὶ κατηφείας γενομένης ἐν πᾶσιν ἀναλαμβάνων αὐτοὺς καὶ ἀπάγων τῆς ὑποψίας ὁ Κάτων αὖθις ὑπὲρ τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα καὶ φροντίδας, ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων, δεδιὼς δὲ ὑπὲρ τῶν ὁδευόντων ἐρημίαν ἄνυδρον καὶ βάρβαρον.

LXVIII. Οὕτω δὲ διαλύσας τὸ σύνδειπνον καὶ περιπατήσας μετὰ τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον καὶ τοῖς ἄρχουσι τῶν φυλάκων ἃ καιρὸς ἦν προστάξας, ἀπιὼν εἰς τὸ δωμάτιον ἤδη τόν τε παῖδα καὶ τῶν φίλων ἕκαστον μᾶλλον ἢ πρότερον e εἰώθει προσαγαγόμενος καὶ φιλοφρονηθεὶς πάλιν ὑποψίαν παρέσχε τοῦ μέλλοντος. (2) Εἰσελθὼν δὲ καὶ κατακλιθεὶς ἔλαβεν εἰς χεῖρας τῶν Πλάτωνος διαλόγων τὸν περὶ ψυχῆς· καὶ διελθὼν τοῦ βιβλίου τὸ πλεῖστον καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς, ὡς οὐκ εἶδε κρεμάμενον τὸ ξίφος (ὑφῄρητο γὰρ ὁ παῖς ἔτι δειπνοῦντος αὐτοῦ), καλέσας οἰκέτην ἠρώτησεν, ὅστις λάβοι τὸ ἐγχειρίδιον. Σιωπῶντος δὲ ἐκείνου πάλιν ἦν πρὸς τὸ βιβλίον· καὶ μικρὸν διαλιπὼν, ὥσπερ οὐ σπεύδων οὐδὲ ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε κομίσαι. Διατριβῆς δὲ γινομένης καὶ μηδενὸς κομίζοντος, ἐξανα- f γνοὺς τὸ βιβλίον αὖθις ἐκάλει καθ' ἕνα τῶν οἰκετῶν καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν τὸ ξίφος ἀπαιτῶν· ἑνὸς δὲ καὶ πὺξ τὸ στόμα πατάξας ᾕμαξε τὴν αὑτοῦ χεῖρα χαλεπαίνων καὶ βοῶν ἤδη μέγα παραδίδοσθαι τῷ πολεμίῳ γυμνὸς ὑπὸ τοῦ παιδὸς αὐτοῦ καὶ τῶν οἰκετῶν, ἄχρι οὗ κλαίων ὁ υἱὸς εἰσέδραμε μετὰ τῶν φίλων καὶ 793 περιπεσὼν ὠδύρετο καὶ καθικέτευεν. (3) Ὁ δὲ Κάτων a ἐξαναστὰς ἐνέβλεψέ τε δεινὸν καὶ, Πότε, εἶπεν, ἐγὼ καὶ ποῦ λέληθα παρανοίας ἡλωκὼς, ὅτι διδάσκει μὲν οὐδεὶς οὐδὲ μεταπείθει περὶ ὧν δοκῶ κακῶς βεβουλεῦσθαι, κωλύομαι δὲ χρῆσθαι τοῖς ἐμαυτοῦ λογισμοῖς καὶ παροπλίζομαι; Τί δ' οὐχὶ καὶ συνδεῖς, ὦ γενναῖε, τὸν πατέρα καὶ τὰς χεῖρας ἀποστρέφεις, μέχρι ἂν ἐλθὼν Καῖσαρ εὕρῃ με μηδὲ ἀμύνασθαι δυνάμενον; Οὐ γὰρ ἐπ' ἐμαυτόν γε δέομαι ξίφους, ὅπου καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα καὶ τὴν κεφαλὴν ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον ἀποθανεῖν ἔνεστι. »

LXIX. Ταῦτα λέγοντος αὐτοῦ τὸ μὲν μειράκιον ἐξῆλθε μετὰ κλαυθμοῦ καὶ πάντες οἱ λοιποί· τῷ δὲ b Δημητρίῳ καὶ τῷ Ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι

bebat. Aderant ea in cœna omnes socii et Uticensium principes. Post cœnam compotatio perelegans atque erudita fuit, uno post alterum philosophicas quæstiones ordine proponentibus, donec ad Stoicorum admirabilia illa, quæ paradoxa vocantur, disputatio est devoluta, quale est : Solum bonum virum esse libertate præditum, malos omnes esse servos. Hic quum more suo Peripateticus repugnaret, acriter et aspera voce ingressus orationem Cato prolixe disputavit, magna utens et miranda contentione, ut nemo non animadvertere posset, statuisse eum vitam finire, atque sic præsenti conditione defungi. (2) Itaque finito ejus sermone quum mœsti omnes obticuissent, recreandi causa et suspicionem abolendi alias de præsentibus rebus quæstiones movit, sollicitudinesque suas exposuit de navigantium sociorum periculis, deque iis qui terrestri itinere solitudinem siccam et barbaram peragrarent.

LXVIII. Soluto sic convivio, factis aliquot deambulando spatiis, ut solebat, cum amicis, postquam vigilum præfectis, quæ tempus requirebat, mandata dedisset, domum se recepit. Ibi filium et amicorum singulos familiarius quam pro more suo allocutus, rursus suspicionem sui instituti præbuit. (2) Ingressus deinde in cubiculum decubuit ac Platonis dialogum de Anima in manus sumpsit, magnaque ejus parte perlecta sursum supra caput respiciens, ut abesse gladium vidit (nam filius eum cœnante adhuc patre subtraxerat), vocato servo sciscitatus est, quis sustulisset. Tacente illo, rursus legere perrexit, parvaque interposita mora tanquam non serio urgeret, sed fortuito gladium requireret, ferri eum sibi jussit. Aliquanto temporis interjecto quum nemo gladium afferret, libro perlecto rursus singulatim servos vocavit, atque contentiori voce gladium poposcit; unius etiam os pugno feriens, manum cruentavit, sæviens jam et alta voce clamans, nudum se hostibus a filio et servis tradi. Tandem plorans filius una cum amicis intro accurrit, patremque amplexus ejulavit et deprecatus est. (3) Cato autem assurgens torvoque intuitus in eos vultu, « Ecquid, inquit, imprudens atque non sentiens de « potestate animi ego exii? quando nemo docet me saniora, « neque ea quæ male decrevi refellit, sed vi impedior, ne « ea quæ statui exsequar, et dearmor. Quin tu, præclare « fili, non vinculis etiam constringis patrem et manus ejus in « tergum retorques, donec Cæsar veniens me defendendi « spoliatum facultate inveniat? Nam mihi contra me gladio « nihil est opus, cum liceat vel spiritu aliquantisper retento, « vel capite semel in parietem impacto mori. »

LXIX. Hæc illo dicente, filius omnesque alii flentes foras egressi sunt, solis Apollonide et Demetrio intus manentibus. Quos placidius jam alloquens, « Num vos

πρᾳότερον ἤδη λαλῶν, « Ἦ που καὶ ὑμῖν, ἔφη, δέδοκται βίᾳ κατέχειν ἄνδρα τοσοῦτον ἡλικίας ἐν τῷ βίῳ καὶ καθημένους αὐτοῦ σιωπῇ παραφυλάσσειν, ἢ λόγον ἥκετε κομίζοντες, ὡς οὐ δεινὸν οὐδὲ αἰσχρόν ἐστιν ἀποροῦντα σωτηρίας ἑτέρας Κάτωνα τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν; Τί οὖν οὐ λέγετε πείθοντες ἡμᾶς ταῦτα καὶ μεταδιδάσκοντες, ἵνα τὰς προτέρας δόξας ἐκείνας καὶ λόγους, οἷς συμβεβιώκαμεν, ἐκβαλόντες καὶ γενόμενοι διὰ Καίσαρα σοφώτεροι μείζονα χάριν εἰδῶμεν αὐτῷ; Καίτοι βεβούλευμαι μὲν οὐθὲν ἔγωγε περὶ ἐμαυ- c τοῦ· δεῖ δέ με βουλευσάμενον εἶναι κύριον οἷς ἔγνωκα χρῆσθαι. Βουλεύσομαι δὲ τρόπον τινὰ μεθ' ὑμῶν βουλευόμενος μετὰ τῶν λόγων, οἷς καὶ ὑμεῖς φιλοσοφοῦντες χρῆσθε. Θαῤῥοῦντες οὖν ἄπιτε καὶ κελεύετε τὸν υἱὸν ἃ μὴ δύναται τὸν πατέρα πείθειν μὴ βιάζεσθαι. »

LXX. Πρὸς ταῦτα μηθὲν ἀντειπόντες οἱ περὶ τὸν Δημήτριον, ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. Εἰσπέμπεται δὲ διὰ παιδίου μικροῦ τὸ ἐγχειρίδιον, καὶ λαβὼν d ἐσπάσατο καὶ κατενόησεν. Ὡς δὲ εἶδεν ἑστῶτα τὴν ἀθέρα καὶ τὴν ἀκμὴν διαμένουσαν, εἰπών, « Νῦν ἐμός εἰμι, » τὸ μὲν ξίφος ἔθηκε, τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε καὶ λέγεται δὶς ὅλον διεξελθεῖν. Εἶτα κοιμηθεὶς ὕπνον βαθὺν, ὥστε τοὺς ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων Κλεάνθην τὸν ἰατρὸν καὶ Βούταν, ᾧ μάλιστα πρὸς τὰς πολιτικὰς πράξεις ἐχρῆτο. (2) Καὶ τοῦτον μὲν ἐπὶ θάλατταν ἔπεμψεν, ὅπως σκεψάμενος, εἰ πάντες ἀνηγμένοι τυγχάνουσι, φράσῃ πρὸς αὐτόν· τῷ δὲ ἰατρῷ τὴν χεῖρα φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς, ἣν ἔπληξε τὸν οἰκέτην, ἐπιδῆσαι παρέσχε. Καὶ τοῦτ' ἐποίησεν ἡδίους ἅπαντας, ὡς ζωτικῶς ἔχοντος αὐτοῦ. Μετ' ὀλίγον δὲ παρῆν ὁ Βούτας ἀπαγγέλλων τοὺς μὲν ἄλλους ἀνῆχθαι, Κράσσον δὲ e λείπεσθαι ὑπὸ ἀσχολίας τινὸς, ὅσον δὲ οὔπω καὶ τοῦτον ἐμβαίνειν, πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν θάλατταν. Τοῦτο ἀκούσας ὁ Κάτων ἐστέναξεν οἴκτῳ τῶν πλεόντων καὶ πάλιν ἔπεμψε τὸν Βούταν ἐπὶ θάλατταν, εἴ τις ἄρα παλινδρομήσας δέοιτό τινος τῶν ἀναγκαίων, ἀπαγγελοῦντα πρὸς αὐτόν. (3) Ἤδη δὲ ὄρνιθες ᾖδον καὶ μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. Ἐπανελθόντος δὲ τοῦ Βούτα καὶ φράσαντος πολλὴν ἡσυχίαν περὶ τοὺς λιμένας εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι καὶ καθῆκεν ἑαυτὸν εἰς τὸ κλινίδιον ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς ἀναπαυσόμενος. Ἐξελθόν- f τος δὲ τοῦ Βούτα σπασάμενος τὸ ξίφος ὦσε μὲν ὑπὸ τὸ στῆθος, τῇ δὲ χειρὶ κουφότερον διὰ τὴν φλεγμονὴν χρησάμενος οὐκ εὐθὺς ἀπήλλαξεν ἑαυτὸν, ἀλλὰ δυσθανατῶν ἐξέπεσε τῆς κλίνης καὶ ψόφον ἐποίησε καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν παρακείμενον, ὥστε τοὺς θεράποντας αἰσθομένους ἀναβοῆσαι καὶ τὸν υἱὸν
99 αὐτίκα καὶ τοὺς φίλους ἐπεισελθεῖν. (4) Ἰδόντες δὲ a πεφυρμένον αἵματι καὶ τῶν ἐντέρων τὰ πολλὰ προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι καὶ βλέποντα, δεινῶς μὲν ἅπαντες ἔσχον, ὁ δὲ ἰατρὸς προσελθὼν ἐπειρᾶτο τῶν ἐντέρων ἀτρώτων διαμεινάντων ταῦτά τε καθιστάναι

« quoque, inquit, decrevistis virum eo ætatis provectum « vi in vita detinere, atque hic taciti assidentes eum observare? An vero argumenta affertis, quibus ostendatis « turpe indignumque non esse, Catonem, quum non aliam « videat salutis rationem, eam ab hoste exspectare? Quin « ergo profertis ea nobisque persuadetis et pristinam nos « illam in qua ætatem trivimus philosophiam dedocetis, ut « factus propter Cæsarem sapientior, tanto majores ei gra- « tias agam. Et quidem nihildum statui, quod autem « statuero, id ut exsequar, integrum mihi esse debet. De- « liberabo autem etiam vobiscum, si prius rationes habuero « cum iis libris et doctrinis, quibus etiam vos, quum philo- « sophamini, uti soletis. Bono itaque animo abite, et filio « meo jubete ut quæ persuadere patri non possit, ad ea « ipsum ne cogat. »

LXX. Nihil ad hæc respondentes, Demetrius et Apollonides lacrimis effusis exiverunt. Tum gladium parvulus puer Catoni intro affert, quem ille acceptum strinxit et exploravit, vidensque mucronem firmum atque integrum, Nunc, inquiens, mei sum juris; gladio deposito librum resumpsit, bisque totum perlegisse fertur. Deinde altissime quum dormivisset, ita ut etiam qui extra cubiculum erant sternentem exaudirent, circa mediam noctem de libertis suis Cleanthem medicum et Butan vocavit, cujus opera in negotiis civilibus maxime usus fuerat. (2) Atque hunc misit ad mare, ut videret essentne omnes avecti, idque sibi renuntiaret. Medico autem manum, quæ ex ictu servo illato intumuerat, ligandam dedit, idque omnes consolatum est, existimantes eum de vita cogitare. Paullo post Butas venit, nuntians omnes avectos esse præter Crassum, qui negotio quodam impeditus jamjam esset et ipse soluturus, magna autem tempestate et vento valido mare agitari. Hoc audiens Cato miseratione navigantium ingemuit, rursusque Butan misit speculatum, si quis forte ad littus relatus cujusquam rei indigeret. (3) Jam galli cantare incipiebant, quum Cato rursus leniter obdormiit. Tum reverso Buta et omnia apud portus esse tranquilla indicanti mandavit ut ostium occluderet, seque in lectulum dimisit, tanquam reliquum noctis somno daturus. Egresso autem Buta, gladium strinxit eoque se infra pectus feriit; quod autem ictus fuerat ob manum tumore debilitatam imbecillior, non statim est mortuus, sed vita cum morte luctante lecto sese devolvit, et abacum quendam geometricum juxta positum evertit, ita ut strepitu audito famuli statim clamorem sustulerint filiusque et amici intro accurrerint. (4) Qui quum cernerent eum sanguine respersum et intestina pleraque prolapsa, ipsum tamen adhuc vivere et videre, graviter sunt omnes perturbati. At medicus propius accedens, intestina, quia sauciata non erant, reponere et

καὶ τὸ τραῦμα διαῤῥάπτειν. Ὡς οὖν ἀνήνεγκεν ὁ Κάτων καὶ συνεφρόνησε, τὸν μὲν ἰατρὸν ἀπεώσατο, ταῖς χερσὶ δὲ τὰ ἔντερα σπαράξας καὶ τὸ τραῦμα ἐπαναῤῥήξας ἀπέθανεν.

LXXI. Ἐν ᾧ δὲ οὐκ ἄν τις ᾤετο χρόνῳ τοὺς κατὰ τὴν οἰκίαν πάντας ᾐσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν οἱ τριακόσιοι, καὶ μικρὸν ὕστερον ὁ δῆμος ἤθροιστο τῶν Ἰτυκαίων μιᾷ φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα καὶ b μόνον ἐλεύθερον καὶ μόνον ἀήττητον καλούντων. (2) Καὶ ταῦτα ἔπραττον ἀγγελλομένου προσιέναι Καίσαρος· ἀλλ' οὔτε φόβος αὐτοὺς οὔτε κολακεία τοῦ κρατοῦντος οὔτε ἡ πρὸς ἀλλήλους διαφορὰ καὶ στάσις ἀμβλυτέρους ἐποίησε τῆς πρὸς Κάτωνα τιμῆς. Κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς καὶ πομπὴν ἐπιφανῆ παρασχόντες καὶ θάψαντες παρὰ τὴν θάλασσαν, οὗ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης, οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν.

LXXII. Καῖσαρ δὲ πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων ὑπομένειν ἐν Ἰτύκῃ τὸν Κάτωνα μηδὲ φεύγειν, ἀλλὰ τοὺς ἄλλους προπέμπειν, αὐτὸν δὲ καὶ τοὺς ἑταίρους καὶ τὸν υἱὸν ἀδεῶς ἀναστρέφεσθαι, δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ ἀνδρὸς, ἅτε δὲ τὸν c πλεῖστον λόγον ἔχων ἐκείνου προσῆγε μετὰ τῆς δυνάμεως ἐπειγόμενος. (2) Ὡς δὲ ἤκουσε τὸν θάνατον αὐτοῦ, λέγεται τοσοῦτον εἰπεῖν· « Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας ἐφθόνησας. » Τῷ γὰρ ὄντι σωθῆναι Κάτων ἀνασχόμενος ὑπὸ Καίσαρος οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὑτοῦ δόξαν, ὡς κοσμῆσαι τὴν ἐκείνου. Τὸ δὲ πραχθὲν ἂν ἄδηλον· εἰκάζεται δὲ τὰ χρηστότερα περὶ Καίσαρος.

LXXIII. Ἐτελεύτησε δὲ Κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα βεβιωκώς. Ὁ δὲ υἱὸς ὑπὸ Καίσαρος μὲν οὐδὲν ἠδικήθη· λέγεται δὲ ῥᾴθυμος γενέσθαι καὶ περὶ d γυναῖκας οὐκ ἀνεπίληπτος. Ἐν δὲ Καππαδοκίᾳ ξένῳ τινὶ χρησάμενος Μαρφαδάτῃ τῶν βασιλικῶν ἔχοντι γύναιον εὐπρεπὲς καὶ πλείονα παρ' αὐτοῖς ἢ καλῶς εἶχε διατρίβων χρόνον ἐσκώπτετο τοιαῦτα γραφόντων εἰς αὐτόν·

> Αὔριον Κάτων βαδίζει μετὰ τριάκονθ' ἡμέρας.

Καὶ,

> Πόρκιος καὶ Μαρφαδάτης δύο φίλοι, ψυχὴ μία.

Ψυχὴ γὰρ ἐκαλεῖτο τοῦ Μαρφαδάτου τὸ γύναιον. Καὶ ἔτι·

> Εὐγενὴς καὶ λαμπρὸς ὁ Κάτων· βασιλικὴν ψυχὴν ἔχει.

(2) Ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην ἐξήλειψε καὶ ἠφάνισε τῷ θανάτῳ δύσκλειαν. Ἀγωνιζόμενος γὰρ ἐν Φιλίπποις πρὸς Καίσαρα καὶ Ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας e καὶ κλινομένης τῆς φάλαγγος, οὔτε φυγεῖν οὔτε λαθεῖν ἀξιώσας, ἀλλὰ προκαλούμενος τοὺς πολεμίους ἔμπροσθεν ἑαυτὸν ἐμφανίζων καὶ συνεξορμῶν τοὺς συμμένοντας ἔπεσε θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρα-

vulnus consuere aggressus est. Sed Cato ut paulisper ad se rediit, idque sensit, medico repulso, manibus intestina discerpsit vulnusque lacerando patefaciens mortem obiit.

LXXI. Nondum de obitu ejus per totam familiam cognosci potuisse aliquis putasset, quum trecenti isti ad fores astiterunt, statimque etiam populus Uticensis, una voce parentem suum et servatorem, unumque hominem invictum et liberum invocantes. (2) Idque agebant, quum Cæsarem jam appropinquare urbi nuntiaretur, sed neque metus eos, neque studium adulandi victorem, neque mutuæ dissensiones segniores ad tribuendum Catoni honorem reddiderunt. Itaque splendide ornatum ejus corpus, insigni ducto funere, apud mare sepeliverunt, ubi nunc statua ejus gladium tenens conspicitur, atque ita demum ad salutem sibi urbique parandam conversi sunt.

LXXII. Cæsar quum de iis qui Utica ad se veniebant percepisset, Catonem reliquos a se dimittere, ipsum Uticæ manere, neque de fuga cogitare, sed ipsum, socios ac filium securos ibi agere, difficulter posse deprehendi consilium ejus viri censuit. Quare quum ejus maximam haberet rationem, quamprimum exercitum eo adduxit. (2) Audita vero ejus morte, tantum fertur dixisse: Invideo tibi, o Cato, mortem tuam; nam et tu tuam mihi salutem invidisti. Etenim ita res habet: Catonem, si a Cæsare donari salute sustinuisset, non tam suam dedecoraturum fuisse gloriam, quam illius ornaturum. Quid autem acturus hic cum eo fuisset, non liquet, tamen conjectura est humaniter eo fuisse usurum.

LXXIII. Mortuus est Cato annos natus duodequinquaginta. Filius ejus nihil mali est a Cæsare passus, fertur autem ingenio socordi et mulierosus fuisse. Et in Cappadocia hospitio Marphadatis cujusdam regii familiaris utens, cui formosa uxor esset, ac diutius quam conveniret apud eos commorans, hujusmodi scriptis vexabatur:

> Cras abit Cato, diebus post triginta scilicet.

Et:

> Porcius atque Marphadates sunt duo amici unaque anima.

Nam uxor Marphadatis nominabatur Psyche, id est anima. Item:

> Generosus Cato et præclarus, atque regiam animam habet.

(2) Verum omnem hanc ille infamiam abolevit gloriosa morte. Nam apud Philippos adversus Octavianum Cæsarem et Antonium pro libertate dimicans, inclinata acie neque fugere neque latere sustinens, hostes provocavit, quis esset declarans, unaque cum his qui ipsi aderant impetu dato, quum admirandam suam virtutem hostibus ostendisset,

σχών. (3) Ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τοῦ Κάτωνος οὔτε σωφροσύνης οὔτε ἀνδρείας ἀπολειφθεῖσα (Βρούτῳ γὰρ συνῴκει τῷ κτείναντι Καίσαρα), αὐτῆς τε τῆς συνωμοσίας μετέσχε καὶ προήκατο τὸν βίον ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς, ὡς ἐν τοῖς περὶ Βρούτου γέγραπται. (4) Στατύλλιος δὲ φήσας μιμεῖσθαι Κάτωνα τότε μὲν ὑπὸ τῶν φιλοσόφων ἐκωλύθη βουλόμενος ἑαυτὸν f ἀνελεῖν, ὕστερον δὲ τῷ Βρούτῳ πιστότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον ἐν Φιλίπποις ἀπέθανεν.

occubuit. (3) Multo minus filia Catoni pudicitia et fortitudine cessit (uxor erat Bruti ejus, qui Cæsarem necavit): nam et conspirationis conscia fuit, et vitam generi ac virtuti suæ convenienter projecit, ut in Bruti Vita scripsimus. (4) Statilius vero, qui se factum Catonis imitaturum dixerat, quum sibi manus afferre tum vellet, est a philosophis prohibitus. Post hæc autem quum se Bruto fidelissimum commodissimumque præbuisset, apud Philippos periit.

ΑΓΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΗΣ.

ΑΓΙΣ.

795 Οὐκ ἀτόπως τινὲς οὐδὲ φαύλως συγκεῖσθαι πρὸς τοὺς b φιλοδόξους ὑπονοοῦσι τὸν ἐπὶ τῷ Ἰξίονι μῦθον, ὡς δὴ λαβόντι τὴν νεφέλην ἀντὶ τῆς Ἥρας καὶ τῶν Κενταύρων οὕτως γενομένων. (2) Καὶ γὰρ οὗτοι τῆς ἀρετῆς ὥσπερ εἰδώλῳ τινὶ τῇ δόξῃ συνόντες οὐδὲν εἰλικρινὲς οὐδ' ὡμολογημένον, ἀλλὰ νόθα καὶ μικτὰ πολλὰ πράττουσιν, c ἄλλοτε ἄλλας φορὰς φερόμενοι, ζήλοις καὶ πάθεσιν ἐπακολουθοῦντες, ὅπερ οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν·

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

Ὅπερ ἀληθῶς οἱ πρὸς ἐπιθυμίας ὄχλων καὶ ὁρμὰς πολιτευόμενοι πάσχουσι δουλεύοντες καὶ ἀκολουθοῦντες, ἵνα δημαγωγοὶ καὶ ἄρχοντες ὀνομάζωνται. Καθάπερ γὰρ οἱ πρωρεῖς τὰ ἔμπροσθεν προορώμενοι τῶν d κυβερνητῶν ἀφορῶσι πρὸς ἐκείνους καὶ τὸ προστασσόμενον ὑπ' ἐκείνων ποιοῦσιν, οὕτως οἱ πολιτευόμενοι καὶ πρὸς δόξαν ὁρῶντες ὑπηρέται μὲν τῶν πολλῶν εἰσιν, ὄνομα δ' ἀρχόντων ἔχουσιν.

II. Ὁ μὲν γὰρ ἀπηκριβωμένος καὶ τελείως ἀγαθὸς οὐδ' ἂν ὅλως δόξης δέοιτο, πλὴν ὅση πάροδον ἐπὶ τὰς πράξεις καὶ διὰ τοῦ πιστεύεσθαι δίδωσι· νέῳ δὲ ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίσασθαι καὶ κομπάσαι. (2) Φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι τό e τε κατορθούμενον, ὥς φησι Θεόφραστος, ἐκβεβαιοῦνται τοῖς ἐπαίνοις καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. (3) Τὸ δὲ ἄγαν πανταχοῦ μὲν ἐπισφαλές, ἐν δὲ ταῖς πολιτικαῖς φιλοτιμίαις ὀλέθριον. Ἐκφέρει γὰρ εἰς μανίαν καὶ παραφροσύνην ὕπαιθρον ἐξουσίας μεγάλης ἐπιλαβομένους, ὅταν μὴ τὸ καλὸν ἔνδοξον εἶναι θέλωσιν, ἀλλ' ἀγαθὸν ἡγῶνται τὸ ἔνδοξον εἶναι. (4) Ὥσπερ οὖν Φωκίων πρὸς Ἀντίπατρον ἀξιοῦντά τι παρ' αὐτοῦ τῶν μὴ καλῶν, « Οὐ δύνασαι, εἶπεν, ἅμα καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι, » τοῦτο λεκτέον ἢ ὅμοιόν τι τούτῳ πρὸς τοὺς πολλούς· « Οὐ δύνασθε τὸν αὐτὸν ἔχειν καὶ ἄρχοντα καὶ ἀκό- f

AGIS ET CLEOMENES.

AGIS.

Haud ab re quidam existimant Ixionis fabulam adversus inanis gloriæ sectatores excogitatam, qui cum nebula concubuisse pro Junone atque ita Centauros procreasse dicitur. (2) Nam et isti gloriam, veluti umbram virtutis quandam, amplexi, nullum sincerum aut laude constanti dignum, sed adulterina pleraque et mixta facinora edunt, aliis alias æmulationum et cupiditatum impetibus acti. Nam quod illi apud Sophoclem pastores de gregibus suis dicunt:

Servimus his, domini simus licet, tamen
et hos, taceant quamvis, audire cogimur,

id re vera his accidit, qui in republica versantes cupiditatibus multitudinis obsequuntur atque serviunt, ut popularium et principum civitatis titulum consequantur. Ut enim proretæ, postquam ea quæ ante gubernatores sunt prospexere, ad illos respiciunt et eorum jussa perficiunt, sic illi qui rempublicam gubernant et gloriam concupiscunt, multitudinis ministri sunt, quum principum nomen gerant.

II. Etenim qui omnibus numeris absolutus est bonus vir, ei gloria opus omnino non est, nisi quæ ei fidem conciliet, aditumque ad res gerendas faciat: juveni et honorum cupido concedendum est ut præclaris factis et gloria nonnihil superbiat seque efferat. (2) Virtutes enim, quæ in hujusmodi enascuntur et germinant ingeniis, laudatione, ut ait Theophrastus, confirmantur, augescuntque animis simul sese efferentibus. (3) Verum ut ubique id quod modum excedit damnosum est, ita in ambitione civili exitium affert. Magnam enim ea potentiam adeptos ad vecordiam manifestamque effert insaniam, quum non honestas actiones gloriosas haberi volunt, sed quod est gloriosum idem bonum ducunt. (4) Quemadmodum igitur Phocion Antipatro a se aliquid inhonestum petenti respondit, se non posse ei simul et amicum esse et adulatorem, ita aut simili modo multitudini dicendum est: non posse eam

λουθον.» (5) Ἐπεὶ συμβαίνει γε καὶ οὕτως τὸ τοῦ δράκοντος, οὗ φησιν ὁ μῦθος τὴν οὐρὰν τῇ κεφαλῇ στα-
796 σιάσασαν ἀξιοῦν ἡγεῖσθαι παρὰ μέρος καὶ μὴ διὰ a
παντὸς ἀκολουθεῖν ἐκείνῃ, λαβοῦσαν δὲ τὴν ἡγεμονίαν αὐτήν τε κακῶς ἀπαλλάττειν ἀνοίᾳ πορευομένην καὶ τὴν κεφαλὴν καταξαίνειν τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι. (6) Τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πεπολιτευμένων ὁρῶμεν πεπονθότας. Ἐξαρτήσαντες γὰρ αὑτοὺς ὄχλων εἰκῇ φερομένων οὔτ' ἀναλαβεῖν ὕστερον οὔτ' ἐπιστῆσαι τὴν ἀταξίαν ἐδυνήθησαν. (7) Ταῦτα δὲ ἡμῖν εἰς τὴν παρὰ τῶν πολλῶν δόξαν ἐπῆλθεν εἰπεῖν, ἐννοήσασιν ἡλίκην ἔχει δύναμιν, ἐκ τῶν Τιβερίῳ καὶ Γαΐῳ τοῖς Γράγχοις συμπεσόντων, οὓς κάλλιστα μὲν φύντας, κάλλιστα δὲ τραφέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας ἀπώλεσεν οὐχ οὕτως ἐπιθυμία δόξης ἄμετρος, b
ὡς φόβος ἀδοξίας ἐκ προφάσεως οὐκ ἀγεννοῦς πεφυκώς. (8) Μεγάλην γὰρ εὔνοιαν προειληφότες παρὰ τῶν πολιτῶν ᾐσχύνθησαν ἐγκαταλιπεῖν ὥσπερ χρέος· ἁμιλλώμενοι δ' ἀεὶ πολιτεύμασι χρηστοῖς τὰς τιμὰς ὑπερβάλλεσθαι καὶ τιμώμενοι μᾶλλον ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως καὶ τοῦτον τὸν τρόπον ἴσῃ φιλοτιμίᾳ πρός τε τὸν δῆμον ἑαυτοὺς καὶ τὸν δῆμον πρὸς ἑαυτοὺς ἐκκαύσαντες, ἔλαθον ἁψάμενοι πραγμάτων, ἐν οἷς οὐκέτ' ἦν τὸ ἐπιμεῖναι καλόν, αἰσχρὸν δ' ἤδη τὸ παύσασθαι. (9) Ταῦτα μὲν οὖν ἐπικρινεῖς αὐτὸς ἐκ τῆς διηγήσεως. c
Παραβάλωμεν δὲ αὐτοῖς Λακωνικὸν ζεῦγος δημαγωγῶν, Ἆγιν καὶ Κλεομένην τοὺς βασιλεῖς. Καὶ γὰρ οὗτοι τὸν δῆμον αὔξοντες, ὥσπερ ἐκεῖνοι, καὶ πολιτείαν καλὴν καὶ δικαίαν ἐκλελοιπυῖαν πολὺν χρόνον ἀναλαμβάνοντες, ὁμοίως ἀπηχθάνοντο τοῖς δυνατοῖς μὴ βουλομένοις ἀφεῖναι τὴν συνήθη πλεονεξίαν. (10) Ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν ἀλλήλων οἱ Λάκωνες, συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας ἀρχὴν τοιαύτην λαβόντες.

III. Ἐπεὶ παρεισέδυ πρῶτον εἰς τὴν πόλιν ἀργύρου καὶ χρυσοῦ ζῆλος καὶ συνηκολούθησε τοῦ πλούτου τῇ μὲν κτήσει πλεονεξία καὶ μικρολογία, τῇ δὲ χρήσει d
καὶ ἀπολαύσει τρυφὴ καὶ μαλακία καὶ πολυτέλεια, τῶν πλείστων ἐξέπεσεν ἡ Σπάρτη καλῶν καὶ ταπεινὰ πράττουσα παρ' ἀξίαν διετέλει μέχρι τῶν χρόνων ἐκείνων, ἐν οἷς Ἆγις καὶ Λεωνίδας ἐβασίλευον. (2) Ἆγις μὲν Εὐρυπωντίδης καὶ Εὐδαμίδα παῖς, ἕκτος ἀπὸ Ἀγησιλάου τοῦ διαβάντος εἰς τὴν Ἀσίαν καὶ μέγιστον Ἑλλήνων δυνηθέντος· ἦν γὰρ Ἀγησιλάου μὲν Ἀρχίδαμος ὁ περὶ Μανδόνιον τῆς Ἰταλίας ὑπὸ Μεσσαπίων ἀποθανών· Ἀρχιδάμου δὲ πρεσβύτερος μὲν υἱὸς Ἆγις, Εὐδαμίδας δὲ νεώτερος, ὃς Ἄγιδος ὑπ' Ἀντιπάτρου περὶ Μεγάλην πόλιν ἀναιρεθέντος ἀτέκνου τὴν βασιλείαν ἔσχε· τούτου δὲ Ἀρχίδαμος, Ἀρχιδάμου δὲ ἕτερος e
Εὐδαμίδας, Εὐδαμίδα δὲ Ἆγις, περὶ οὗ τάδε γέγραπται. (3) Λεωνίδας δὲ ὁ Κλεωνύμου τῆς μὲν ἑτέρας οἰκίας ἦν Ἀγιάδης, ὄγδοος δὲ ἀπὸ Παυσανίου τοῦ νικήσαντος ἐν Πλαταιαῖς μάχῃ Μαρδόνιον. Παυσανίας γὰρ υἱὸν ἔσχε Πλειστώνακτα, Πλειστῶναξ δὲ

eodem et duce et assecla uti. (5) Quandoquidem evenit etiam sic idem quod draconi; cujus refert fabula caudam in dissensione quadam a capite postulasse, uti non semper sequi cogeretur, sed alternis ipsa quoque præiret, sortitamque ducendi munus et ipsam male afflictam utpote quum ambularet improvide, et caput contra naturam coactum cæcis surdisque partibus obsequi gravissime laceratum fuisse. (6) Quod videmus multis eorum, qui ad gratiam populi omnia in republica agunt, obtigisse; quippe quum se multitudini temerariis impetibus citatæ abripiendos dedissent, non corrigere postea neque inhibere confusionem eam valuerunt. (7) Hæc nobis contra popularis auræ studium dicere subiit, apud animum reputantibus, quam ea Tiberii et Caii Gracchorum casibus essent confirmata, quos honestissimo loco natos, optime educatos, tractandæque reipublicæ pulcherrimum propositum secutos, non tam nimia gloriæ cupiditas, quam infamiæ metus a causa non illiberali natus perdidit. (8) Magnum enim civium favorem ante acceptum turpe existimaverunt quasi æs alienum non compensatum relinquere, atque in id incubuerunt ut gratis populo decretis confectis honores sibi habitos superarent, ob quæ majori rursus honore affecti, quum ambitionis contentione populum adversum ipsos et se adversus populum accendissent, imprudentes ad eas res tentandas delati sunt, in quibus licet perstare non amplius honestum, turpe jam esset desistere. (9) Hæc tu ipsa ex narratione probabis aut improbabis. Comparabimus autem iis par regum popularium Spartanorum, Agidem et Cleomenem. Nam et hi vires populi augentes quemadmodum illi justamque et pulchram reipublicæ administrationem longo tempore intermissam instaurantes, eodem modo in odia potentum incurrerunt, potentiam suam ac priores partes mordicus retinentium. (10) Fratres hi Lacones non fuerunt, sed cognatis successionibus regnum ad eos devolutum est consiliisque in eo gerendo usi germanis sunt; quorum occasiones quas habuerint, exponam.

III. Ut primum argenti aurique amor Spartam se insinuavit, ac divitiarum parandarum possidendarumque studium avaritia et illiberalitas, usum vero et fructum luxus, splendor, mollitiesque comitata sunt; plerisque suis bonis urbs ea excidit, indigneque jacuit usque ad id tempus, quo Agis et Leonidas regnaverunt. (2) Agis genere Eurypontides fuit, Eudamidæ filius, sextus ab Agesilao, qui in Asiam expeditionem fecit, et inter Græcos potentissimus fuit. Natus enim Agesilao Archidamus est, quem apud Mandonium (Mandurium) Italiæ urbem Messapii occiderunt. Huic duo fuerunt filii, quorum senior Agis, Eudamidas junior dictus; hic, quum Agis ab Antipatro apud Megalopolin interfectus absque liberis decessisset, regnum obtinuit. Filius ejus Archidamus, hujus Eudamidas alter fuit, pater ejus, de quo scribimus, Agidis. (3) Leonidas Cleonymi filius ex altera regum familia, qui Agiadæ appellantur, octavus a Pausania fuit eo qui apud Platæas Mardonium superavit. Pausanias enim filium Plistonactem habuit;

Παυσανίαν, οὗ φυγόντος εις Τεγέαν ἐκ Λακεδαίμονος ὅ τε πρεσβύτερος υἱὸς Ἀγησίπολις ἐβασίλευσε καὶ τούτου τελευτήσαντος ἀτέκνου Κλεόμβροτος ὁ νεώτερος. (4) Ἐκ δὲ Κλεομβρότου πάλιν ἄλλος Ἀγησίπολις ἦν καὶ Κλεομένης, ὧν Ἀγησίπολις μὲν οὔτε ἦρξε πολὺν χρόνον οὔτε παῖδας ἔσχε, Κλεομένης δὲ βασιλεύσας f μετὰ Ἀγησίπολιν τὸν μὲν πρεσβύτερον τῶν υἱῶν Ἀκρότατον ἔτι ζῶν ἀπέβαλε, νεώτερον δὲ Κλεώνυμον κατέλιπεν, ὃς οὐκ ἐβασίλευσεν, ἀλλ' Ἄρευς υἱωνὸς ὢν Κλεομένους, Ἀκροτάτου δ' υἱός· Ἄρεως δὲ πεσόντος περὶ Κόρινθον υἱὸς ὢν Ἀκρότατος τὴν βασιλείαν κα-797τέσχεν. Ἀπέθανε δὲ καὶ οὗτος ἡττηθεὶς μάχῃ περὶ a Μεγάλην πόλιν ὑπὸ Ἀριστοδήμου τοῦ τυράννου, καταλιπὼν ἐγκύμονα τὴν γυναῖκα. (5) Παιδίου δὲ ἄῤῥενος γενομένου Λεωνίδας ὁ Κλεωνύμου τὴν ἐπιτροπὴν ἔσχεν, εἶτα πρὶν ἐν ἡλικίᾳ γενέσθαι τελευτήσαντος, οὕτως εἰς αὐτὸν ἡ βασιλεία περιῆλθεν οὐ πάνυ τοῖς πολίταις εὐάρμοστον ὄντα. (6) Καίπερ γὰρ ἐγκεκλικότων ἤδη τῇ διαφθορᾷ τοῦ πολιτεύματος ὁμαλῶς ἁπάντων, ἦν τις ἐς τῷ Λεωνίδᾳ τῶν πατρῴων ἐπιφανὴς ἐκδιαίτησις, ἅτε δὴ χρόνον εἰλινδημένῳ πολὺν ἐν αὐλαῖς σατραπικαῖς καὶ τεθεραπευκότι Σέλευκον, εἶτα τὸν ἐκεῖθεν ὄγκον εἰς Ἑλληνικὰ πράγματα καὶ νόμιμον ἀρχὴν οὐκ ἐμμελῶς μεταφέροντι. b

IV. Ὁ δ' Ἆγις οὕτω πολὺ παρήλλαττεν εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς οὐ μόνον τοῦτον, ἀλλὰ σχεδὸν ἅπαντας, ὅσοι μετ' Ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν, ὥστε μηδέπω γεγονὼς εἰκοστὸν ἔτος, ἐντεθραμμένος δὲ πλούτοις καὶ τρυφαῖς γυναικῶν, τῆς τε μητρὸς Ἀγησιστράτας καὶ τῆς μάμμης Ἀρχιδαμίας, αἳ πλεῖστα χρήματα Λακεδαιμονίων ἐκέκτηντο, πρός τε τὰς ἡδονὰς εὐθὺς ἀπισχυρίσασθαι καὶ τὸν ἐπιπρέψαι μάλιστα τῇ χάριτι τῆς μορφῆς ὡραϊσμὸν δοκοῦντα περισπάσας τοῦ σώματος καὶ πᾶσαν ἐκδὺς καὶ διαφυγὼν πολυτέλειαν ἐγκαλλωπίζεσθαι τῷ τριβωνίῳ καὶ δεῖπνα καὶ c λουτρὰ καὶ διαίτας Λακωνικὰς ζητεῖν καὶ λέγειν, ὡς οὐδὲν δέοιτο τῆς βασιλείας, εἰ μὴ δι' αὐτὴν ἀναλήψοιτο τοὺς νόμους καὶ τὴν πάτριον ἀγωγήν.

V. Ἀρχὴν μὲν οὖν διαφθορᾶς καὶ τοῦ νοσεῖν ἔσχε τὰ πράγματα τῶν Λακεδαιμονίων σχεδὸν ἀφ' οὗ τὴν Ἀθηναίων καταλύσαντες ἡγεμονίαν χρυσίου τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς. Οὐ μὴν ἀλλὰ καὶ τὸν οἴκων ὃν ὁ Λυκοῦργος ὥρισε φυλαττόντων ἀριθμὸν ἐν ταῖς διαδοχαῖς καὶ πατρὸς παιδὶ τὸν κλῆρον ἀπολείποντος ἁμωσγέπως ἡ τάξις αὕτη καὶ ἰσότης διαμένουσα τὴν πόλιν ἐκ τῶν ἄλλων ἀνέφερεν ἁμαρτημάτων. (2) Ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ d χαλεπὸς τὸν τρόπον, Ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς, ῥήτραν ἔγραψεν, ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον ᾧ τις ἐθέλοι καὶ ζῶντα δοῦναι καὶ καταλιπεῖν διατιθέμενον. (3) Οὗτος μὲν οὖν αὐτοῦ τινα θυμὸν ἀποπιμπλὰς ἴδιον εἰσήνεγκε τὸν νόμον· οἱ δὲ ἄλλοι πλεονεξίας ἕνεκα δεξάμενοι καὶ κυρώσαντες ἀπώλεσαν τὴν ἀρίστην κατάστασιν. Ἐκτῶντο

Plistonax Pausaniam, quo ex Lacedæmone Tegeam in exsilium profecto, Agesipolis filius natu major et hoc absque prole defuncto Cleombrotus minor regnavit. (4) Cleombrotus rursus alium Agesipolin et Cleomenem edidit, ex quibus Agesipolis neque regnum diu tenuit et liberos nullos reliquit, Cleomenes post Agesipolin rex factus, vivus filium priorem Acrotatum amisit. Cleonymus natu minor, patri superstes fuit neque tamen regno potitus est, sed Acrotati filius Areus, nepos Cleomonis; Areo autem in pugna ad Corinthum cæso, filius Acrotatus alter successit. Atque ipse deinde prœlio ab Aristodemo tyranno apud Megalopolin superatus periit, uxore gravida relicta. (5) Hæc quum marem peperisset, Leonidas Cleonymi filius tutelam ejus gessit, atque ad hunc, pupillo priusquam adolesceret mortuo, ita regnum rediit, non plane civibus suis commodum. (6) Nam tametsi corrupta jamjam reipublicæ forma mores præcipites ire cœpissent, in Leonida tamen illustris erat a consuetudine majorum discessio, quippe diu in aulis satraparum versatus, Seleucumque assecla comitatus, fastum illum ad res Græcas et legitimum regnum parum recte transferebat.

IV. Agis vero ingenii bonitate animique magnitudine tantum præstabat non huic modo, sed omnibus fere quotquot post Agesilaum istum Magnum regnaverunt, ut annos nondum viginti natus educatusque inter summas opes luxumque muliebrem Agesistratæ matris et Archidamiæ aviæ (quæ inter Lacedæmonios pecuniosissimæ erant), ab initio statim adversus voluptates sese obfirmaverit, ac qui potissimum formæ gratia nitere videbatur, ille detracto fuco vultuque exuto et rejecto omni splendore in palliolo sese ostentaverit, cœnasque, lavacra et omnino vitæ rationem Laconicam amplexus sit. Aiebat enim : nihil se regnum desiderare, nisi per id leges et mores antiquos restituere posset.

V. Sane initium perniciei et morborum fuit, quod Lacedæmonii Atheniensium principatu everso auro sese et argento expleverant. Verum quum et familiarum numerus, quem Lycurgus definiverat, in hæreditatibus retineretur et pater filio hæreditatem relinqueret, utcumque manens adhuc ille ordo et æqualitas ceteris reipublicæ vitiis medebatur. (2) Ceterum quidam homo potens, arrogans et importunus, Epitades nomine, Ephorus factus, controversia ei cum filio coorta, legem tulit : licere unicuique hæreditatem suam et sortem cuicumque vellet vel donare dum viveret, vel testamento legare. (3) Atque hic quidem iræ suæ saturandæ causa hanc legem tulit, quam reliqui avaritia ducti quum juberent, optimum reipublicæ statum perdiderunt. Exinde enim potentiores, pulsis qui

γὰρ ἀφειδῶς ἤδη ταρωθοῦντες οἱ δυνατοὶ τοὺς προσήκοντας ἐκ τῶν διαδοχῶν· καὶ ταχὺ τῆς εὐπορίας εἰς ὀλίγους συῤῥυείσης, πενία τὴν πόλιν κατέσχεν, ἀσχολίαν e τῶν καλῶν καὶ ἀνελευθερίαν ἐπιφέρουσα μετὰ φθόνου καὶ δυσμενείας πρὸς τοὺς ἔχοντας. (4) Ἀπελείφθησαν οὖν ἑπτακοσίων οὐ πλείονες Σπαρτιᾶται, καὶ τούτων ἴσως ἑκατὸν ἦσαν οἱ γῆν κεκτημένοι καὶ κλῆρον· ὁ δ' ἄλλος ὄχλος ἄπορος καὶ ἄτιμος ἐν τῇ πόλει παρεκάθητο, τοὺς μὲν ἔξωθεν πολέμους ἀργῶς καὶ ἀπροθύμως ἀμυνόμενος, ἀεὶ δέ τινα καιρὸν ἐπιτηρῶν μεταβολῆς καὶ μεταστάσεως τῶν παρόντων.

VI. Διὰ ταῦτα δὴ καλὸν ὁ Ἆγις, ὥσπερ ἦν, ποιούμενος ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν ἐπειρᾶτο τῶν ἀνθρώπων. Οἱ μὲν οὖν νέοι ταχὺ καὶ παρ' ἐλπί- f δας ὑπήκουσαν αὐτῷ καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετὴν ὥσπερ ἐσθῆτα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. (2) Τῶν δὲ πρεσβυτέρων, ἅτε δὴ πόῤῥω διαφθορᾶς γεγονότων, συνέβαινε τοῖς πλείστοις ὥσπερ ἐπὶ δεσπότην ἀγομένους ἐκ δρασμοῦ δεδιέναι καὶ τρέμειν τὸν Λυκοῦργον, καὶ καθήπτοντο τοῦ Ἄγι-
798 δος ὀδυρομένου τὰ παρόντα πράγματα καὶ τὸ παλαιὸν a ἀξίωμα τῆς Σπάρτης ἐπιποθοῦντος. (3) Λύσανδρος δὲ ὁ Λίβυος καὶ Μανδροκλείδας ὁ Ἐκφάνους, ἔτι δὲ Ἀγησίλαος ἀπεδέξαντο καὶ συμπαρώρμησαν αὐτοῦ τὴν φιλοτιμίαν. Ἦν δὲ Λύσανδρος μὲν ἐν δόξῃ μάλιστα τῶν πολιτῶν, Μανδροκλείδας δὲ δεινότατος Ἑλλήνων πράγματα συσκευάσασθαι καὶ τὸ συνετὸν τοῦτο καὶ δολερὸν τόλμῃ μεμιγμένον ἔχων. (4) Ἀγησίλαον δὲ θεῖον ὄντα τοῦ βασιλέως καὶ δυνατὸν εἰπεῖν, ἄλλως δὲ μαλακὸν καὶ φιλοχρήματον, ἐμφανῶς μὲν ὁ υἱὸς Ἱππομέδων ἐκίνει καὶ παρεθάῤῥυνεν, εὐδόκιμος ἐν πολλοῖς πολέμοις ἀνὴρ καὶ μέγα δι' εὔνοιαν τῶν νέων δυνάμενος, ἡ δὲ b ἀληθῶς ἀναπείσασα τὸν Ἀγησίλαον αἰτία τῶν πραττομένων μετασχεῖν ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι μεταβάλλων τὴν πολιτείαν. (5) Ὡς οὖν τάχιστα προσηγάγετο τοῦτον ὁ Ἆγις, εὐθὺς ἐπιχειρεῖ μετ' αὐτοῦ τὴν μητέρα πείθειν, ἀδελφὴν οὖσαν τοῦ Ἀγησιλάου, πλήθει δὲ πελατῶν καὶ φίλων καὶ χρεωστῶν μέγα δυναμένην ἐν τῇ πόλει καὶ πολλὰ τῶν κοινῶν διαπραττομένην.

VII. Ἡ δὲ ἀκούσασα τὸ μὲν πρῶτον ἐξεπλάγη καὶ κατέπαυε τὸ μειράκιον ὡς οὔτε δυνατῶν οὔτε λυσιτελῶν ἐφιέμενον. Ἐπεὶ δὲ ταῦτα μὲν ὁ Ἀγησίλαος ἐδίδασκεν ὡς καλῶς ἕξει καὶ πραχθήσεται συμφερόντως, αὐτὸς δὲ ὁ βασιλεὺς ἐδεῖτο τῆς μητρὸς ἐπιδοῦναι πρὸς c δόξαν αὐτῷ καὶ φιλοτιμίαν τὸν πλοῦτον, ὡς χρήμασι μὲν οὐ δυνάμενος πρὸς τοὺς ἄλλους βασιλεῖς ἐξισωθῆναι (σατραπῶν γὰρ οἰκέτας καὶ δούλους ἐπιτρόπων Πτολεμαίου καὶ Σελεύκου κεκτῆσθαι πλείονα συμπάντων ὁμοῦ τῶν ἐν Σπάρτῃ βασιλέων), ἐὰν δὲ σωφροσύνῃ καὶ λιτότητι καὶ μεγαλοψυχίᾳ τὰς ἐκείνων ὑπερβαλλόμενος τρυφὰς, ἰσότητα καὶ κοινωνίαν καταστήσῃ τοῖς πολίταις, ὄνομα καὶ δόξαν ὡς ἀληθῶς βασιλέως μεγάλου κτησόμενος· (2) οὕτω μετέπεσον ταῖς γνώμαις αἱ

successione hæredes essent, possessiones ad se rapiebant, statimque divitiis in paucorum redactis potestatem, paupertas civitatem occupavit, quæ honestis et liberalibus studiis procul amotis, illiberalitatem quoque invidiamque et odia adversus divites secum trahebat. (4) Superaverunt ergó haud plures septingentis Spartani; ex his centum circiter agros et patrimonium possidebant, ceteri opum honorumque vacui in urbe desidebant, bella, si quæ foris inferrentur, segniter animoque invito propulsantes, semper mutationis rerum occasionem aliquam captantes.

VI. Hæc Agidi causæ fuerunt, ut æquare et complere civitatem (quam rem, ut erat, præclaram putabat) conaretur. Juvenes quidem statim et præter spem etiam morigeros habuit, ad virtutem una cum eo sese accingentes, libertatisque causa vitæ rationem, quasi vestem, mutantes. (2) At majorum natu plerisque, apud quos inveteratæ jam corruptelæ erant, accidit ut timerent et expavescerent ad Lycurgum velut ad dominum e fuga reducti, Agidemque præsentem rerum statum deplorantem pristinamque Spartæ dignitatem desiderantem incusabant. (3) Lysander tamen Libyis filius et Mandroclidas Ecphanis atque Agesilaus conatum ejus probaverunt, utque pergeret hortati sunt. Erat Lysander summa inter cives existimatione, Mandroclidas omnium Græcorum negotiorum struendorum peritissimus, calliditateque simul et audacia præditus. (4) Agesilaum regis avunculum, eloqnio valentem, cetera mollem et avarum, ut quidem præ se ferebat, filius Hippomedon concitabat, vir multis bellis clarus et magna ob juvenum benevolentiam potentia; vera autem cur Agidis institutum amplecteretur causa Agesilao erat magnitudo æris alieni, quo se mutato reipublicæ statu liberatum iri sperabat. (5) Agis eo causæ suæ adjuncto, una cum eo statim matri suæ, Agesilai sorori, idem persuadere intendit, mulieri quæ clientium, amicorum debitorumque copiis plurimum in civitate valebat, multaque negotia publica conficiebat.

VII. Hæc re audita primum perterrita dehortari adolescentem cœpit ab instituto ut eo quod perfici neque posset neque expediret. Verum ut Agesilaus docuit rem et recte habituram et utiliter confectum iri, ipse rex matrem oravit ut sibi ad gloriam consequendam divitias concederet; neque enim se reges ceteros pecunia æquare posse, qui satraparum famuli ac servi procuratorum Ptolemæi et Seleuci plura possideant, quam omnes in universum Spartanorum reges; quodsi illorum luxum temperantia, frugalitate et magnanimitate vincens, æqualitatem et communitatem inter cives constitueret, nomen se et gloriam vere magni regis adepturum. (2) His rationibus ita mulierum animi mutati

γυναῖκες ὑπὸ τῆς φιλοτιμίας ἐπαρθεῖσαι τοῦ νεανίσκου καὶ τοσαύτῃ κατεσχέθησαν οἷον ἐπιπνοίᾳ πρὸς τὸ καλὸν, ὥστε τὸν μὲν Ἆγιν συνεξορμᾶν καὶ συνεπιταχύνειν, d μεταπεμπομένας δὲ τοὺς φίλους παρακαλεῖν καὶ ταῖς ἄλλαις διαλέγεσθαι γυναιξὶν, ἅτε δὴ τοὺς Λακεδαιμονίους ἐπισταμένας κατηκόους ὄντας ἀεὶ τῶν γυναικῶν καὶ πλεῖον ἐκείναις τῶν δημοσίων ἢ τῶν ἰδίων αὐτοῖς πολυπραγμονεῖν διδόντας. (3) Ἦν δὲ τότε τῶν Λακωνικῶν πλούτων ἐν ταῖς γυναιξὶ τὸ πλεῖστον, καὶ τοῦτο τὴν πρᾶξιν τῷ Ἄγιδι δύσεργον καὶ χαλεπὴν ἐποίησεν. Ἀντέστησαν γὰρ αἱ γυναῖκες οὐ μόνον τρυφῆς ἐκπίπτουσαι δι' ἀπειροκαλίαν εὐδαιμονιζομένης, ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν, ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο, περικοπτομένην αὐτῶν ὁρῶσαι. (4) Καὶ e πρὸς τὸν Λεωνίδαν τραπόμεναι παρεκάλουν ὄντα πρεσβύτερον ἐπιλαμβάνεσθαι τοῦ Ἄγιδος καὶ τὰ πραττόμενα διακωλύειν. Ἐβούλετο μὲν οὖν ὁ Λεωνίδας τοῖς πλουσίοις βοηθεῖν, δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς οὐδὲν ἀντέπραττε φανερῶς, λάθρα δὲ τὴν πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν ἐντυγχάνων τοῖς ἄρχουσι καὶ διαβάλλων τὸν Ἆγιν ὡς τυραννίδος μισθὸν τοῖς πένησι τὰ τῶν πλουσίων προτείνοντα καὶ γῆς μεταδόσεσι καὶ χρεῶν ἀφέσεσι πολλοὺς ὠνούμενον ἑαυτῷ δορυφόρους, οὐ τῇ Σπάρτῃ πολίτας.

VIII. Οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἆγις ἔφορον f γενέσθαι τὸν Λύσανδρον εὐθὺς εἰσέφερε δι' αὐτοῦ ῥήτραν εἰς τοὺς γέροντας, ἧς ἦν κεφάλαια, « χρεῶν μὲν ἀφεθῆναι τοὺς ὀφείλοντας, τῆς δὲ γῆς ἀναδασθείσης τὴν μὲν ἀπὸ τοῦ κατὰ Πελλήνην χαράδρου πρὸς τὸ Ταΰγετον καὶ Μαλέαν καὶ Σελασίαν κλήρους γενέσθαι τετρακισχιλίους πεντακοσίους, τὴν δ' ἔξω μυρίους
799 πεντακισχιλίους· καὶ ταύτην μὲν τοῖς ὅπλα φέρειν δυ- a ναμένοις τῶν περιοίκων μερισθῆναι, τὴν δὲ ἐντὸς αὐτοῖς Σπαρτιάταις, ἀναπληρωθῆναι δὲ τούτους ἔκ τε περιοίκων καὶ ξένων, ὅσοι τροφῆς μετεσχηκότες ἐλευθερίου καὶ χαρίεντες ἄλλως τοῖς σώμασι καὶ καθ' ἡλικίαν ἀκμάζοντες εἶεν· σύνταξιν δὲ τούτων εἰς πεντεκαίδεκα γενέσθαι φιδίτια κατὰ τετρακοσίους καὶ διακοσίους, καὶ δίαιταν ἣν εἶχον οἱ πρόγονοι διαιτᾶσθαι. »

IX. Γραφείσης δὲ τῆς ῥήτρας καὶ τῶν γερόντων εἰς ταὐτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ Λύσανδρος αὐτός τε διελέχθη τοῖς πολίταις b καὶ Μανδροκλείδας καὶ Ἀγησίλαος ἐδέοντο, μὴ δι' ὀλίγους ἐντρυφῶντας αὐτοῖς περιιδεῖν ἐῤῥιμμένον τὸ ἀξίωμα τῆς Σπάρτης, ἀλλὰ τῶν τε προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρημοσύνην ὡς ὀλέθριον τῇ Σπάρτῃ φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας κεκομισμένων αὐτοῖς. (2) Ἱερὸν δὲ Πασιφάας καὶ μαντεῖον ἦν ἐν Θαλάμαις τιμώμενον, ἥν τινὲς μὲν ἱστοροῦσι τῶν Ἀτλαντίδων μίαν οὖσαν ἐκ Διὸς τὸν Ἄμμωνα τεκεῖν, τινὲς δὲ Κασάνδραν τὴν Πριάμου τελευτήσασαν ἐνταῦθα καὶ διὰ τὸ πᾶσι φαίνειν τὰ μαντεῖα Πασιφάαν προσαγορευθεῖσαν. Ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα, Δάφνην τοὔνομα, φησὶν ὑποφεύγου- c

sunt, adolescentis gloriæ studio excitatæ, et veluti afflatu ad honestatis amorem impulsæ, ut ultro Agidem cohortarentur et stimularent, accitosque amicos commoverent atque rem ceteris etiam matronis proponerent. Sciebant enim Lacedæmonios consuevisse mulieribus obtemperare, patique ut curiosius etiam de publicis quam suis rebus inquirant. (3) Ceterum eo tempore maxima pars divitiarum Laconicarum penes mulieres erat, quæ res Agidi inceptum difficilius et laboriosius reddidit. Quippe mulieres quum non modo luxum, in quo felicitatem vitæ honestatis ignoratione ponebant, tolli, sed et honores potentiamque, quos ipsæ divitiarum fructus capiebant, imminui viderent, (4) ad Leonidam se contulerunt, hortantes ut prior ipse ætate Agidem inhiberet, ejusque consilia impediret. Leonidas opitulari quidem divitibus cupiebat, metu tamen populi mutationem expetentis aperte nihil contra Agidem egit, verum clam moliebatur cœpta labefactare et convellere, monendo magistratus et Agidem calumniando, eum pro tyrannidis mercede pauperibus bona divitum promittere agrorumque communicatione et tabulis novis multos emere sibi satellites, non Spartæ cives.

VIII. Enimvero Agis hoc consecutus, ut Lysander ephorus crearetur, legem statim per eum ad senatum retulit, cujus hæc erant capita: « obæratis æs alienum remittendum, « agros dividendos, ita ut a convalle apud Pellenen usque « ad Taygetum, Maleam et Selasiam sortes essent quater « mille ac quingentæ, extra quindecies mille, quarum hæc « vicinis, qui arma ferre possent, quæ intra illos terminos « sint ipsis Spartanis tribuerentur; Spartanorum numerum « complendum assumptis vicinis et peregrinis, qui liberali« ter educati corporis habitu liberali essent, vigerentque « ætate; hos in quindecim Phiditia distribuendos, quadrin« genos partim, partim ducenos in singula, victusque eam « rationem tenendam, quæ esset instituta a majoribus. »

IX. Hac lege promulgata quum variarent senatorum sententiæ, Lysander populo ad concionem vocato et ipse cum civibus disseruit et Mandroclidas et Agesilaus verba ad populum fecerunt, orantes ne paucis quibusdam, qui superbe civibus insultarent, gratificantes, paterentur jacere proculcatam Spartæ dignitatem, antiquorum potius oraculorum memoriam repeterent, quæ vitari studium pecuniæ, ut Spartæ pestiferum, juberent, illorumque recentium e Pasiphaes fano allatorum. (2) Fuit Pasiphaes fanum et oraculum Thalamis cultum, quam nonnulli unam Atlantidum fuisse perhibent, atque ex Jove edidisse Ammonem, alii Casandram Priami filiam ibi mortuam et quod omnibus efferret oracula (Græce id πᾶσι φαίνειν dicitur) Pasiphaam cognominatam. Phylarchus Daphnen, Amyclæ filiam,

σαν Ἀπόλλωνα βουλόμενον αὐτῇ μιγῆναι καὶ μεταβαλοῦσαν εἰς τὸ φυτὸν ἐν τιμῇ τοῦ θεοῦ γενέσθαι καὶ μαντικὴν λαβεῖν δύναμιν. Ἔφασαν οὖν καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς Σπαρτιάταις ἴσους γενέσθαι πάντας καθ' ὃν ὁ Λυκοῦργος ἐξ ἀρχῆς ἔταξε νόμον. (3) Ἐπὶ πᾶσι δὲ βασιλεὺς Ἆγις εἰς μέσον παρελθὼν καὶ βραχέα διαλεχθεὶς ἔφη συμβολὰς διδόναι τῇ πολιτείᾳ μεγίστας, ἣν καθίστησι· τὴν γὰρ αὑτοῦ πρῶτον οὐσίαν εἰς μέσον τιθέναι, πολλὴν μὲν οὖσαν ἐν τοῖς γεωργουμένοις καὶ νεμομένοις, ἄνευ δὲ τούτων ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν· τὸ δὲ αὐτὸ καὶ d τὰς μητέρας ποιεῖν καὶ τοὺς φίλους καὶ οἰκείους πλουσιωτάτους ὄντας Σπαρτιατῶν.

X. Ὁ μὲν οὖν δῆμος ἐξεπλάγη τὴν μεγαλοψυχίαν τοῦ νεανίσκου καὶ περιχαρὴς ἦν, ὡς δι' ἐτῶν ὁμοῦ τριακοσίων πεφηνότος ἀξίου τῆς Σπάρτης βασιλέως· ὁ δὲ Λεωνίδας τότε δὴ μάλιστα πρὸς τοὐναντίον ἐφιλονείκησε. Λογιζόμενος γὰρ ὅτι ταὐτὰ μὲν ἀναγκασθήσεται ποιεῖν, οὐ τὴν αὐτὴν δὲ χάριν ἕξει παρὰ τοῖς πολίταις, ἀλλὰ πάντων ὁμοίως ἃ κέκτηνται κατατιθεμένων μόνῳ τῷ ἀρξαμένῳ προσθήσουσι τὴν τιμήν, ἠρώτα τὸν Ἆγιν, εἰ δίκαιον ἄνδρα καὶ σπουδαῖον ἡγεῖται γεγονέναι Λυκοῦργον. (2) Ὁμολογήσαντος δ' ἐκείνου, e « Ποῦ τοίνυν, ἔφη, Λυκοῦργος ἢ χρεῶν ἀποκοπὰς ἔδωκεν ἢ ξένους κατέταξεν εἰς τὴν πολιτείαν, ὅς οὐδὲ ὅλως ἐνόμιζεν ὑγιαίνειν τὴν πόλιν μὴ χρωμένην ξενηλασίαις; » Ὁ δὲ Ἆγις ἀπεκρίνατο μὴ θαυμάζειν τὸν Λεωνίδαν, εἰ τεθραμμένος ἐν ξένῃ καὶ πεπαιδοποιημένος ἐκ γάμων σατραπικῶν ἀγνοεῖ τὸν Λυκοῦργον, ὅτι τὸ μὲν ὀφείλειν καὶ δανείζειν ἅμα τῷ νομίσματι συνεξέβαλεν ἐκ τῆς πόλεως, τῶν δ' ἐν ταῖς πόλεσι ξένων τοὺς τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ἀσυμφύλους μᾶλλον ἐδυσχέραινε· (3) καὶ γὰρ ἐκείνους ἤλαυνεν οὐ τοῖς σώμασι πολεμῶν, ἀλλὰ τοὺς βίους αὐτῶν καὶ τοὺς f τρόπους δεδιώς, μὴ συναναχρωννύμενοι τοῖς πολίταις τρυφῆς καὶ μαλακίας καὶ πλεονεξίας ἐντέκωσι ζῆλον· ἐπεὶ Τέρπανδρόν τε καὶ Θάλητα καὶ Φερεκύδην ξένους ὄντας, ὅτι τὰ αὐτὰ τῷ Λυκούργῳ διετέλουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν Σπάρτῃ τιμηθῆναι διαφερόντως. (4) « Σὺ δὲ Ἐκπρέπη μέν, ἔφησεν, ἐπαινεῖς, ὃς ἐφορεύων Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν
800 ἐννέα χορδῶν ἐξέτεμε, καὶ τοὺς ἐπὶ Τιμοθέῳ πάλιν τὸ a αὐτὸ τοῦτο πράξαντας, ἡμᾶς δὲ μέμφῃ τρυφὴν καὶ πολυτέλειαν καὶ ἀλαζονείαν ἐκ τῆς Σπάρτης ἀναιροῦντας, ὥσπερ οὐχὶ κἀκείνων τὸ ἐν μουσικῇ σοβαρὸν καὶ περιττόν, ὅπως ἐνταῦθα μὴ προέλθῃ, φυλαττομένων, ὅπου γενομένων βίων καὶ τρόπων ἀμετρία καὶ πλημμέλεια τὴν πόλιν ἀσύμφωνον καὶ ἀνάρμοστον ἑαυτῇ πεποίηκεν. »

XI. Ἐκ τούτου τῷ μὲν Ἄγιδι τὸ πλῆθος ἐπηκολούθησεν, οἱ δὲ πλούσιοι τόν τε Λεωνίδαν παρεκάλουν μὴ σφᾶς προέσθαι, καὶ τοὺς γέροντας, οἷς τὸ κράτος ἦν ἐν τῷ προβουλεύειν, δεόμενοι καὶ πείθοντες ἴσχυσαν, ὅσον ἑνὶ πλείονας γενέσθαι τοὺς ἀποψηφισαμένους τὴν ῥήτραν. b

ait, quum Apollinem concumbere sibi cupientem fugisset, in laurum conversam, eique honorem a deo habitum vaticinandique facultatem concessam. Hujus ergo vaticinationes aiebant mandare Spartanis, ut secundum priscam Lycurgi legem æqualitatem inter universos instituerent. (3) Ad extremum rex Agis in medium progressus, oratione brevi habita affirmavit se ad eam quam conderet rempublicam stipem conferre amplissimam; nam se primum omnium omnes suas facultates in medium conferre, non agros modo et pascua, quæ possidebat latissima, sed præterea numismatis sexcenta talenta; idem matrem quoque et aviam facere, et amicos necessariosque omnium Spartanorum ditissimos.

X. Magnitudine animi juvenis populus obstupuit, summoque est perfusus gaudio, dignum Sparta regem trecentesimo post anno exstitisse censens. At Leonidas tunc vel maxime reluctatus est. Intelligens enim se quidem omnino ut idem faceret coactum iri, non eandem autem civium gratiam sibi conciliaturum, sed omnibus ex æquo sua bona reipublicæ largientibus, omnem honorem in rei ejus auctorem redundaturum, Agidem interrogavit: ecquid Lycurgum justum fuisse bonumque virum existimaret? (2) Affirmante id Agide, « Ubi vero, inquit, Lycurgus novas tabulas « permisit, aut peregrinos civitate donavit, qui sane omni- « no salvam fore urbem nisi ejectis peregrinis non putavit? » Ad hæc Agis: « mirum sibi non videri, a Leonida, qui et « peregre educatus sit et ex nuptiis satrapicis liberos genue- « rit, ignorare Lycurgum simul cum numo debita omnia et « æs alienum Sparta exterminasse, majore autem odio pro- « sequutum fuisse eos, qui a studiis et vitæ ratione a se « instituta abhorrerent, quam in urbibus degentes peregri- « nos; (3) neque enim horum corporibus eum hostem fuisse, « sed eos non aliam ob causam ab ipso ejectos, quam quod « metueret ne vita eorum et mores cives inficientes atque « contaminantes apud eos studium luxus, mollitiei et ava- « ritiæ excitarent. Itaque Terpandrum, Thaletem et « Pherecydem peregrinos, quod Lycurgi institutis consen- « tanea cantabant atque commentabantur, a Spartanis maxi- « mo in honore habitos. (4) Ac tu quidem, aiebat, Leo- « nida, Ecprepem laudas, qui quum esset Ephorus, Phryni- « dis musici duas de novem chordis ascia præcidit, et qui « Timotheo idem fecerunt probas, nos autem culpas, qui « delicias, luxuriam et superbiam Sparta arcemus, quasi « vero non illi quoque cavissent nimiam musicæ lascivita- « tem propterea, ne eo procederet, quo postquam vitæ et « mores nostri pervenerunt, intemperies et inconcinnitas « civitatem dissonam et incongruam sibi fecit. »

XI. His ita dictis, Agidem multitudo secuta est; divites autem quum Leonidam hortati sunt ne se destitueret, tum senatores, qui eo quod auctores fieri eorum de quibus deliberaretur legibus jubentur, plurimum valebant, deprecando et suadendo effecerunt ut unius suffragii numero

(2) Ὁ δὲ Λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων ὥρμησε τὸν Λεωνίδαν διώκειν κατὰ δή τινα νόμον παλαιόν, ὃς οὐκ ἐᾷ τὸν Ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι, τὸν δὲ ἀπελθόντα τῆς Σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους ἀποθνήσκειν κελεύει. Ταῦτα κατὰ τοῦ Λεωνίδα λέγειν ἑτέρους διδάξας αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. (3) Ἔστι δὲ τοιόνδε· δι' ἐτῶν ἐννέα λαβόντες οἱ ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον σιωπῇ καθέζονται πρὸς οὐρανὸν ἀποβλέποντες. Ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας c καὶ καταπαύουσι τῆς ἀρχῆς, μέχρι ἂν ἐκ Δελφῶν ἢ Ὀλυμπίας χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. (4) Τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ Λύσανδρος κρίσιν τῷ Λεωνίδᾳ προὔθηκε καὶ μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς Ἀσιανῆς, ἣν τῶν Σελεύκου τινὸς ἱππάρχων αὐτῷ συνοικίσαντος ἔσχε, τεκνώσαιτο δύο παιδία· δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικὸς ἐπανέλθοι παρὰ γνώμην οἴκαδε καὶ διαδοχῆς ἔρημον ἀνέλοιτο τὸ βασίλειον. Ἅμα δὲ τῇ δίκῃ Κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι γαμβρὸν ὄντα τοῦ Λεωνίδα, γένους δὲ τοῦ βασιλικοῦ. (5) Φοβηθεὶς οὖν ὁ Λεωνίδας ἱκέτης γίνεται τῆς Χαλ- d κιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρί, τὸν Κλεόμβροτον ἀπολιποῦσα. Καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ καὶ μὴ καταβαίνοντος, ἐκεῖνον ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ Κλεομβρότῳ παρέδωκαν.

XII. Ἐν τούτῳ δὲ τῆς ἀρχῆς ὁ Λύσανδρος ἀπηλλάγη τοῦ χρόνου διελθόντος. Οἱ δὲ κατασταθέντες ἔφοροι τὸν μὲν Λεωνίδαν ἀνέστησαν ἱκετεύοντα, τῷ δὲ Λυσάνδρῳ καὶ τῷ Μανδροκλείδᾳ δίκην ἐπῆγον ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. (2) Κινδυνεύοντες οὖν ἐκεῖνοι πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους χαίρειν ἐᾶν τὰ τῶν ἐφό- e ρων βουλεύματα· τοῦτο γὰρ τὸ ἀρχεῖον ἰσχύειν ἐκ διαφορᾶς τῶν βασιλέων τῷ τὰ βελτίονα λέγοντι προστιθέμενον τὴν ψῆφον, ὅταν ἅτερος ἐρίζῃ πρὸς τὸ συμφέρον· ἀμφοῖν δὲ ταὐτὰ βουλευομένων ἄλυτον εἶναι τὴν ἐξουσίαν καὶ παρανόμως μάχεσθαι πρὸς τοὺς βασιλεῖς, ὧν μαχομένων διαιτᾶν καὶ βραβεύειν αὐτοῖς εἶναι προσῆκον, οὐχὶ πολυπραγμονεῖν ὁμοφρονούντων. (3) Οὕτω δὴ πεισθέντες ἀμφότεροι καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες ἀνέστησαν μὲν ἐκ τῶν δίφρων τοὺς ἐφόρους, ἄλλους δ' ἀντ' αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν Ἀγησίλαος. Ὁπλίσαντες δὲ τῶν νέων πολλοὺς καὶ λύσαντες τοὺς f δεδεμένους ἐγένοντο φοβεροὶ τοῖς ὑπεναντίοις, ὡς πολλοὺς ἀποκτενοῦντες. Ἀπέθανε δὲ οὐδεὶς ὑπ' αὐτῶν, ἀλλὰ καὶ Λεωνίδαν εἰς Τεγέαν ὑπεξιόντα βουληθέντος διαφθεῖραι τοῦ Ἀγησιλάου καὶ πέμψαντος ἐπ' αὐτὸν εἰς τὴν ὁδὸν ἄνδρας πυθόμενος ὁ Ἆγις ἑτέρους ἀπέστειλε πιστούς, οἳ τὸν Λεωνίδαν περισχόντες ἀσφαλῶς εἰς Τεγέαν κατέστησαν.

801 XIII. Οὕτω δὲ τῆς πράξεως αὐτοῖς ὁδῷ βαδιζούσης a καὶ μηδενὸς ἐνισταμένου μηδὲ διακωλύοντος, εἷς ἀνήρ,

excellerent qui antiquabant legem. (2) Ceterum Lysander magistratu nondum abdicato actionem Leonidæ intentavit, ex lege scilicet prisca, qua interdicitur, ne quis Heraclidarum ex peregrina muliere liberos suscipiat, et ut qui Sparta alio habitandi gratia commigrasset, morte plecteretur. Hæc qui adversus Leonidam proferrent, submisit, ipse signum cum collegis observavit. (3) Id hujusce modi est: nono quoque anno ephori noctem serenam et lunaris luminis vacuam observant, eamque nacti, taciti consident atque in cœlum intuentur. Quodsi tum ab una parte in alteram stella trajicere videretur, reges aliquid adversum deos peccasse judicant regnumque eis abrogant, tantisper dum Delphis aut Olympia oraculum afferatur, quod damnatis regibus opituletur. (4) Hoc ergo signum sibi apparuisse dicens Lysander Leonidam in judicium vocavit, testesque produxit, qui eum ex Asiatica muliere, quam ei quidam Seleuci præfectus equitum nuptum dederat, geminam prolem sustulisse perhiberent, odioque ab uxore habitum contra animi sententiam domum rediisse ac regnum successore vacuum arripuisse. Simul etiam Cleombroto, genero Leonidæ et regio genere nato, persuasit ut is regnum sibi vindicaret. (5) Ergo Leonidas periculi metu supplex in Chalciœcum, ædem Minervæ, confugit, cui se, marito Cleombroto relicto, filia comitem addidit. Vocato in judicium atque eo non venienti regnum abrogatum et Cleombroto mandatum est.

XII. Interim Lysander circumacto legitimo tempore ephorus esse desiit. Qui autem subsecuti eum sunt ephori, ii Leonidam supplicem decedere templo jusserunt, Lysandro autem et Mandroclidæ dicam scripserunt, quod contra leges de novis tabulis et agris dividundis legem promulgassent. (2) Hi quum viderent quo in periculo versarentur, regibus persuaserunt ut concordia inita et conjunctis viribus, ephororum decreta valere juberent; eum magistratum dissensione regum vires sumere, atque ei qui meliora suadeat solere astipulari, altero de utilitate contendente; quodsi uterque rex idem statueret, regum potentiam dissolvi nullo modo posse, contraque leges facturos ephoros, si regibus repugnarent; non enim eorum esse officii, in regum consentientium consilia sese ingerere, sed iis inter se dissidentibus, arbitrium penes ephoros esse. (3) In hanc sententiam pertracti reges cum amicis in forum descenderunt et ephoros de sellis amoverunt, aliosque in eorum locum constituêre, inter quos etiam Agesilaus fuit. Armata deinde juvenum multitudine captivos liberarunt, metumque adversariis injecerunt magna quasi civium imminente internecione. Trucidatus tamen est nemo; quin etiam Agis quum audivisset Leonidam Sparta profugum Tegeam petere, Agesilaum autem vitæ ejus insidiari et in viam percussores misisse, alios ipse de suis fidelibus emisit, qui eum comitarentur, tutoque Tegeam abducerent.

XIII. Quum hoc modo negotium iis recte procederet ac nemo obstaret, nemo impediret, unus homo evertit perdi-

Ἀγησίλαος, ἀνέτρεψε πάντα καὶ διελυμήνατο, κάλλιστον διανόημα καὶ Λακωνικώτατον αἰσχίστῳ νοσήματι τῇ φιλοπλουτίᾳ διαφθείρας. (2) Ἐπειδὴ γὰρ ἐκέκτητο μὲν ἐν τοῖς μάλιστα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ πάμπολλα, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα μήτε τὴν χώραν προέσθαι βουλόμενος, ἔπεισε τὸν Ἆγιν, ὡς ἀμφοτέρων μὲν ἅμα πραττομένων μέγας ἔσοιτο περὶ τὴν πόλιν ὁ νεωτερισμός, εἰ δὲ τῇ τῶν χρεῶν ἀφέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καθ' ἡσυχίαν ὕστερον ἐνδεξομένων τὸν ἀναδασμόν. b (3) Ταῦτα δὲ καὶ τοῖς περὶ τὸν Λύσανδρον ἐδόκει συνεξαπατωμένοις ὑπὸ τοῦ Ἀγησιλάου. Καὶ τὰ παρὰ τῶν χρεωστῶν γραμματεῖα συνενέγκαντες εἰς ἀγοράν, ἃ κλάρια καλοῦσι, καὶ πάντα συνθέντες εἰς ἓν συνέπρησαν. Ἀρθείσης δὲ φλογὸς οἱ μὲν πλούσιοι καὶ δανειστικοὶ περιπαθοῦντες ἀπῆλθον, ὁ δὲ Ἀγησίλαος ὥσπερ ἐφυβρίζων οὐκ ἔφη λαμπρότερον ἑωρακέναι φῶς οὐδὲ πῦρ ἐκείνου καθαρώτερον. (4) Ἀξιούντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς νέμεσθαι καὶ τῶν βασιλέων οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβάλλων ὁ Ἀγησίλαος ἀεὶ καὶ προφάσεις λέγων παρῆγε τὸν χρόνον, ἄχρι οὗ στρατεία c συνέβη τῷ Ἄγιδι, μεταπεμπομένων τῶν Ἀχαιῶν συμμάχων ὄντων βοήθειαν ἐκ Λακεδαίμονος. Αἰτωλοὶ γὰρ ἦσαν ἐπίδοξοι διὰ τῆς Μεγαρικῆς ἐμβαλοῦντες εἰς Πελοπόννησον· καὶ τοῦτο κωλύσων Ἄρατος ὁ τῶν Ἀχαιῶν στρατηγὸς ἤθροιζε δύναμιν καὶ τοῖς ἐφόροις ἔγραφεν.

XIV. Οἱ δὲ τὸν Ἆγιν εὐθὺς ἐξέπεμπον ἐπηρμένον τῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ τῶν συστρατευομένων. Νέοι γὰρ ὄντες οἱ πλεῖστοι καὶ πένητες καὶ τὴν μὲν ἀπὸ τῶν χρεῶν ἄδειαν ἔχοντες ἤδη καὶ λελυμένοι, τοὺς δὲ ἀγροὺς ἐλπίζοντες, ἂν ἐπανέλθωσιν ἐκ τῆς στρατείας, νεμηθήσεσθαι, θαυμαστοὺς τῷ Ἄγιδι παρεῖχον ἑαυτούς· (2) καὶ d θέαμα ταῖς πόλεσιν ἦσαν, ἀβλαβῶς καὶ πρᾴως καὶ μονονοὺκ ἀψοφητὶ διαπορευόμενοι τὴν Πελοπόννησον, ὥστε θαυμάζειν καὶ διαλογίζεσθαι τοὺς Ἕλληνας, οἷος ἦν ἄρα κόσμος Λακωνικοῦ στρατεύματος Ἀγησίλαον ἔχοντος ἢ Λύσανδρον ἐκεῖνον ἢ Λεωνίδαν τὸν παλαιὸν ἡγούμενον, ὅπου πρὸς μειράκιον ὀλίγου δεῖν νεώτατον ἁπάντων αἰδὼς τοσαύτη καὶ φόβος ἐστὶ τῶν στρατευομένων. (3) Καὶ μέντοι καὶ αὐτὸς ὁ νεανίσκος εὐτελείᾳ καὶ φιλοπονίᾳ καὶ τῷ μηδὲν ἰδιώτου λαμπρότερον ἠμφιέσθαι καὶ ὡπλίσθαι σεμνυνόμενος ἀξιοθέατος ἦν καὶ ζηλωτὸς ὑπὸ τῶν πολλῶν· ἐπεὶ τοῖς γε πλουσίοις οὐκ e ἤρεσκεν ὁ νεωτερισμὸς αὐτοῦ, δεδιόσι μὴ κίνημα καὶ παράδειγμα τοῖς πανταχόσε δήμοις γένηται.

XV. Συμμίξας δὲ τῷ Ἀράτῳ περὶ Κόρινθον ὁ Ἆγις ἔτι βουλευομένῳ περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους ἐπεδείξατο καὶ προθυμίαν πολλὴν καὶ τόλμαν οὐ μανικὴν οὐδὲ ἀλόγιστον. Ἔφη γὰρ αὐτῷ μὲν δοκεῖν διαμάχεσθαι καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω τὰς πύλας τῆς Πελοποννήσου προεμένους, ποιήσειν δὲ τὸ δοκοῦν Ἀράτῳ· καὶ γὰρ πρεσβύτερόν τε εἶναι καὶ στρατηγεῖν Ἀχαιῶν, οἷς οὐχὶ προστάξων οὐδὲ ἡγησόμενος,

ditque omnia Agesilaus, pulcherrimum et Laconum rebus convenientissimum consilium turpissimo avaritiæ morbo corrumpens. (2) Nam quum plurimum agri præstantissimi possideret, haberetque etiam æs alienum maximum, quum neque huic solvendo esset, neque agrum dimittere vellet, Agidi persuasit, si novæ tabulæ simul et agrorum divisio instituerentur, novis rebus civitatem graviter agitatum iri; quodsi in præsentia novis tabulis animi fundorum possessorum demulcerentur, eos facile postea temporis nulloque tumultu in divisionem agrorum consensuros. (3) Idem etiam Lysandro videbatur, itidem ab Agesilao in fraudem inducto. Ergo debitorum tabulas in forum quæ Claria dicuntur comportantes, in unum acervum compositas cremaverunt. Edita flamma quum divites et fœneratores tristes admodum discederent, Agesilaus tanquam insultans eis, nullum se eo igne splendidiorem purioremque unquam vidisse dixit. (4) Postulante autem populo agrorum divisionem statim fieri, idemque regibus jubentibus, semper aliquid occupationum injiciens, excusationemque aliquam identidem afferens, eo usque tempus traxit, dum Agis in bellum proficisci cogeretur, Achæis, qui tum erant Spartanis confœderati, auxilium Lacedæmone requirentibus. Nam Ætoli per Megaricam in Peloponnesum irrupturi ferebantur, et Achæorum dux Aratus ejus rei prohibendæ causa exercitum cogebat, ab ephorisque suppetias missis literis flagitabat.

XIV. Atque hi statim Agidem miserunt, studio et alacritate suorum militum animo elatum. Major quippe eorum pars juvenes erant et inopes, nuperque debitis liberati et soluti, atque ubi ex bello rediissent divisionem agrorum futuram sperantes, mirifice Agidem observabant, spectaculumque Græcis jucundum præbebant, placide et absque omni maleficio ac prope sine omni strepitu Peloponnesum peragrantes. Itaque miraculo rei moti homines inter se quærebant, quemnam ordinem et ornatum Laconici exercitus fuisse quispiam putare deberet, Agesilao ducente, aut Lysandro illo, vel antiquo Leonida, quando jam milites adolescentem, ac prope omnium qui in exercitu quidem erant natu minimum, tam verecunde et sollicite colerent. (3) Et vero ipse ille juvenis frugalitate et alacritate ad labores, vestitusque et armorum habitu nihil privati cujusvis conditionem superante se ostentans, gratissimum et admirandum præferebat hominum multitudini exemplum; nam divitibus nova hæc ipsius ratio minime probabatur, metuentibus ne ad sui imitationem omnes populos permoveret.

XV. Apud Corinthum cum Arato congressus, deliberante adhuc prœlione cum hoste decerneret, magnam alacritatem audaciamque nequaquam immodicam aut consilii expertem ostendit. Dicebat enim, videri sibi decertandum pugna, neque hostem intra portas Peloponnesi admittendum, facturum tamen id, quod Arato placuisset, ætate majori et duci Achæorum, quibus non imperaturus aut dux futurus, sed commilitatum et opitulatum ipse advenisset.

ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. (2) Ὁ δὲ f Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαί φησι τὸν Ἆγιν Ἀράτου κελεύοντος, οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος, ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. Ἐπεὶ δ' οὖν Ἄρατος ἀπέγνω μάχεσθαι καὶ τοὺς συμμάχους ἐπαινέ-
802σας διαφῆκε, θαυμασθεὶς ὁ Ἆγις ἀνεζεύγνυεν, ἤδη τῶν a ἔνδον ἐν Σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν.

XVI. Ὁ γὰρ Ἀγησίλαος ἐφορεύων ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι καὶ παρέπραττε. (2) Δεδιὼς δὲ τοὺς ἀδικουμένους καὶ μισούμενος ὑπὸ πάντων, ἔτρεφε μαχαιροφόρους καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. Καὶ τῶν βασιλέων τοῦ μὲν ὅλως καταφρονεῖν, τὸν δὲ Ἆγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον ἢ διὰ τὴν βασιλείαν ἔν τινι b τιμῇ τίθεσθαι. Διέδωκε δὲ λόγον ὡς καὶ αὖθις ἐφορεύσων. Διὸ καὶ θᾶσσον ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ καὶ συστάντες ἐκ Τεγέας ἀναφανδὸν τὸν Λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον, ἡδέως καὶ τῶν πολλῶν θεασαμένων· ὠργίζοντο γὰρ πεφενακισμένοι τῆς χώρας μὴ νεμηθείσης. (3) Τὸν μὲν οὖν Ἀγησίλαον ὁ υἱὸς Ἱππομέδων δεόμενος τῶν πολιτῶν καὶ πᾶσι προσφιλὴς ὢν δι' ἀνδραγαθίαν ὑπεξήγαγε καὶ διέσωσε. Τῶν δὲ βασιλέων ὁ μὲν Ἆγις ἐπὶ τὴν Χαλκίοικον κατέφυγεν, ὁ δὲ Κλεόμβροτος εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι. Καὶ παρεὶς τὸν Ἆγιν, ἐπὶ τοῦτον ἀνέβη στρατιώτας c ἔχων· καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ, καὶ τὴν βασιλείαν ἀφείλετο καὶ συνεξέβαλε τῆς πατρίδος.

XVII. Ὁ μὲν οὖν Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χιλωνίς, ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο, καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε, καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει, τότε δὲ αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα d μετὰ τοῦ ἀνδρὸς ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα τὰς χεῖρας ἐκείνῳ καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν ὑφ' αὑτὴν ἔχουσα. (2) Θαυμαζόντων δὲ πάντων καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικός, ἁψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων, « Τοῦτο, εἶπεν, ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν οὐχ ὁ Κλεομβρότου περιτέθεικεν ἔλεος, ἀλλ' ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. (3) Πότερον οὖν δεῖ με σοῦ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς ἢ λαβεῖν

(2) Bato Sinopensis Agidem pugnam detrectasse scribit, jubente pugnare Arato; non legerat nimirum ea, quæ ipse Aratus scripsit, quum omissam pugnam excusans ait, consultius sibi visum fuisse transitum hostibus concedere, fructibus jam prope omnibus ex agris collectis, quam summam rerum in discrimen Martis adducere. Postquam ergo Aratus consilio dimicandi improbato socios collaudatos dimisit, Agis sui excitata admiratione discessit, jam rebus Spartæ majorem in modum conturbatis atque immutatis.

XVI. Etenim Agesilaus ephorus tunc liberatusque eo metu, ob quem prius abjecta conditione vixerat, nullo facinore, quod quidem quæstuosum esset, abstinebat, atque adeo decimum tertium mensem, annorum circuitu tum id non postulante et contra legibus definitam temporum ordinationem vectigalibus intercalavit, tributaque contra jus fasque exegit. (2) Odio autem omnibus quum esset metueretque eos quos injuriis afficiebat, sicarios alebat, neque in curiam nisi stipatus iis descendit. Volebat autem videri regum alterum plane contemnere, Agidem magis necessitudinis quam magistratus causa aliquo in honore haberi. Spargebat etiam rumorem, iterum se ephorum futurum. Eapropter adversarii mature occurrendum adeundumque discrimen intelligentes, facta coitione, Leonidam Tegea palam ad regnum reduxerunt, libenter hoc etiam vulgo vidente, cujus animos irritaverat, quod promissa agrorum divisione fraudati erant. (3) Agesilaum quidem filius Hippomedon, omnibus ob virtutem gratus, deprecando apud cives morti eripuit, Spartaque eduxit. Reges autem, Agis ad Chalciœcum confugit, Cleombrotus in fano Neptuni supplex consedit; huic enim infensior videbatur Leonidas, omissoque Agide cum militibus hunc petebat, graviter ei exprobrans, iratoque animo, quod gener sibi insidias fecisset, regnoque et patria ejicientibus adfuisset.

XVII. Cleombrotus quum quod responderet haberet nihil, anxius animi tacitusque sedebat, filia autem Leonidæ Chilonis, quæ prius injuriam patris ad se quoque pertinere rata, Cleombroto marito, qui regnum socero deturbato susceperat, relicto, patrem calamitate ictum coluerat, supplicantique adfuerat et in exsilium profecta in luctu ipsa Cleombrotique odio perseveraverat, rursus tum fortunæ mutationem secuta, supplicanti viro assidebat, manibus eum suis amplectens et liberos ab utroque latere singulos sub se habens. (2) Admirantibus universis et ob bonitatem amoremque in virum mulieris ejus ad fletum conversis, vittam crinesque incomptos manu tangens, « Hunc, inquit, o pater, vultum, hunc habitum, non « Cleombroti misericordia mihi circumposuit, sed a tuo « exsilio ac calamitate in hunc usque diem luctus mihi « perpetuus comes fuit usuque familiaris factus permansit. « (3) Utrum igitur nunc te victore et Spartæ regnante vivendum mihi porro in his est miseriis, an vero vestis mihi « splendida et regalis sumenda est, videnti maritum, cui

ἐσθῆτα λαμπρὰν καὶ βασιλικήν, ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν e παρθένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν ἢ σὺ βούλει δίκην ὑφέξει τῆς κακοβουλίας ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. (4) Τίνι γὰρ ἐμὲ δεῖ ζῆν παῤῥησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ᾗ μήτε παρ' ἀνδρὸς δεομένῃ μήτε παρὰ πατρὸς ἔλεός ἐστιν; ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. (5) Τούτῳ μὲν οὖν εἰ καί τις ἦν λόγος εὐπρεπής, ἐγὼ τοῦτον ἀφειλόμην τότε σοὶ συνεξετασθεῖσα καὶ καταμαρτυρήσασα τῶν ὑπὸ τούτου f γενομένων· σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον. »

XVIII. Ἡ μὲν Χιλωνὶς τοιαῦτα ποτνιωμένη τό τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ Κλεομβρότου καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιήνεγκεν εἰς τοὺς παρόντας. Ὁ δὲ Λεωνίδας δια-
803 λεχθεὶς τοῖς φίλοις τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν a ἀναστάντα φεύγειν, τῆς δὲ παιδὸς μένειν ἐδεῖτο καὶ μὴ καταλιπεῖν ἑαυτὸν οὕτω φιλοῦντα καὶ δεδωκότα χάριν τὴν τοῦ ἀνδρὸς αὐτῇ σωτηρίαν. (2) Οὐ μὴν ἔπεισεν, ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δ' ἀναλαβοῦσα καὶ προσκυνήσασα τὸν βωμὸν τοῦ θεοῦ συνεξῆλθεν· ὥστε, εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐτύχημ' ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ τὴν γυναῖκα. (3) Μεταστησάμενος δὲ τὸν Κλεόμβροτον ὁ Λεωνίδας καὶ τοὺς πρώτους ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ Ἄγιδι. Καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι b καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν· συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ Ἀγησιλάου νέον ὄντα καὶ φιλότιμον. Ἐκείνου δὲ ὑφορωμένου καὶ κατὰ χώραν μένοντος, αὐτὸς μὲν ἐπαύσατο φεναχίζων καὶ κατειρωνευόμενος, Ἀμφάρης δὲ καὶ Δαμοχάρης καὶ Ἀρκεσίλαος ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι· καί ποτε καὶ παραλαβόντες ἐπὶ λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον καὶ λουσάμενον πάλιν εἰς τὸ ἱερὸν κατέστησαν. (4) Καὶ ἦσαν πάντες μὲν αὐτῷ συνήθεις, ὁ δὲ Ἀμφάρης καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς Ἀγησιστράτας c ἐπεβούλευε διὰ ταῦτα τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν ὡς ἀποστερήσων. Καὶ μάλιστά γε αὐτὸς ὑπακοῦσαι τῷ Λεωνίδᾳ λέγεται καὶ παροξῦναι τοὺς ἐφόρους, ὧν καὶ αὐτὸς εἷς ἦν.

XIX. Ἐπεὶ δὲ ὁ Ἄγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν ὅτε τύχοι πρὸς τὸ λουτρὸν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. Καὶ παραφυλάξαντες λελουμένον ἀπήντησαν καὶ ἠσπάσαντο καὶ συμπροῆγον ἅμα διαλεγόμενοι καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον. Ἐκτροπῆν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον ἐχούσης,

« virgo nupsi, a te jugulari? Qui quidem si uxoris et liberorum lacrimis te non exorat, graviores etiam quam tu ipse velles pœnas suæ imprudentiæ dabit, videns me, quam sibi habet carissimam, ante se mori. (4) Qua enim fronte erga ceteras mulieres vitam tolerabo, quam deprecantem neque maritus est neque pater miseratus? sed et filia et uxor communem cum meis calamitatem et ignominiam subire cogor. (5) Quodsi quid honestæ accusationis maritus meus habuit, ego id omne refelli eo tempore, quum te secuta, testimonium adversus eum tuli : tu vero ipse ostendis facinus ejus facile excusari posse, qui regnum tanti faciendum, omnique conatu expetendum ostendas adeo, ut ejus causa et generos necare et propriorum liberorum nullam habere rationem justum esse innuas. »

XVIII. Hunc Chilonis ad modum quiritata, faciem Cleombroti capiti imposuit, vultumque luctu confectum in astantes intuens circumegit. Leonidas autem cum amicis deliberata re, Cleombrotum templo abire, et solum vertere jussit, filiam autem oravit uti secum maneret, neque patrem desereret sui ita amantem, ut salutem etiam mariti ei donaret. (2) Neque vero persuasit, sed Chilonis surgenti marito alterum natorum tradens, alterum ipsa recipiens, adorato dei altari, una cum marito abiit, ut Cleombrotus profecto, nisi inanis gloriæ studio plane fuisset perditus, debuerit propter talem uxorem exsilium sibi quam regnum meliori obtigisse fortuna credere. (3) Pulso Cleombroto Leonidas, primisque ephoris magistratu privatis, et constitutis aliis, confestim Agidi insidias struxit. Ac primo quidem hortatus eum est ut templo discederet, collegamque se ei in regno, ut ante, adjungeret : ignovisse enim ipsi populum, quod homo juvenis laudisque cupidus ab Agesilao cum aliis esset deceptus. Deinde suspicante insidias Agide, et intra templum se continente, ipse quidem fraude tentandi simulandique finem fecit. Amphares autem, Damochares et Arcesilaus accedere ad eum, et colloqui solebant; aliquando etiam a templo ad balneum quoddam deducere, lotumque rursus in templum reducere. (4) Erant hi tres Agidis familiares, Amphares autem nuper etiam vestes et pretiosa pocula ab Agesistrata mutuo sumpserat, eorumque retinendorum causa regi regiisque matronis insidiabatur. Et vero hic omnium maxime obsecutus Leonidæ fuisse et ephoros, de quorum erat collegio, adversus Agidem concitasse fertur.

XIX. Itaque quum Agis perpetuo in templo degeret, nisi quum per occasionem ad lavandum descenderet, statuerunt eum, quum extra templum in via ad lavacrum esset, capere, observatoque tempore quum lotus fanum repeteret, occurrerunt, salutaverunt, colloquentesque et ludentes tanquam cum familiari suo juvene deduxerunt ad eum usque locum, ubi obliquum a via ad carcerem est diverticulum. Ibi de-

ὡς ἐγένοντο κατ' αὐτὸ [illegible], ὁ μὲν Ἀμφάρης d [illegible] τὸ ἔργον [illegible] τοῦ Ἄγιδος, « Ἄγω σε, εἶπεν, ἐπὶ τοὺς ἐφόρους, ὦ Ἆγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων. » ὁ δὲ Δημοχάρης, εὔρωστος ὢν καὶ μέγας, τὸ ἱμάτιον περιβαλὼν κατὰ τοῦ τραχήλου εἷλκεν· ἄλλων δὲ ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς, οὐδενὸς βοηθοῦντος, ἀλλ' ἐρημίας οὔσης, ἐμβάλλουσιν αὐτὸν εἰς τὸ δεσμωτήριον. (2) Ἦλθε δὲ ταχὺ ὁ μὲν Λεωνίδας μισθοφόρους ἔχων πολλοὺς καὶ τὸ οἴκημα περιίστη ἔξωθεν, οἱ δὲ ἔφοροι πρὸς τὸν Ἆγιν εἰσῆλθον καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταὐτὰ φρονοῦντας, ὡς δὴ κρίσεως αὐτῷ γενομένης, ἐκέλευον e ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. Γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν Ἀμφάρης οἰμώξεσθαι ἐκέλευε καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος· ἕτερος δὲ τῶν ἐφόρων, ὥσπερ ἐνδιδοὺς τῷ Ἄγιδι καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν, εἰ ταῦτα ἔπραξεν ὑπὸ Λυσάνδρου καὶ Ἀγησιλάου βιασθείς. (3) Ἀποκριναμένου δὲ τοῦ Ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ' οὐδενὸς, ζηλῶν δὲ καὶ μιμούμενος τὸν Λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν, πάλιν ὁ αὐτὸς ἠρώτησεν, εἰ μετανοεῖ τοῖς πεπραγμένοις. Φήσαντος δὲ τοῦ νεανίσκου μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ f ἔσχατα πεισόμενον αὐτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἄγειν εἰς τὴν καλουμένην Δεχάδα. Τοῦτο δέ ἐστιν οἴκημα τῆς εἱρκτῆς, ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. (4) Ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ Δημοχάρης οὐ τολμῶντας ἅψασθαι τοῦ Ἄγιδος, ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας 804 τὸ ἔργον, ὡς οὐ θεμιτὸν οὐδὲ νενομισμένον βασιλέως a σώματι τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς καὶ λοιδορηθεὶς εἷλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν Ἆγιν. Ἤδη γὰρ ᾔσθηντο πολλοὶ τὴν σύλληψιν, καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις καὶ φῶτα πολλὰ, καὶ παρῆσαν ἥ τε μήτηρ τοῦ Ἄγιδος καὶ ἡ μάμμη βοῶσαι καὶ δεόμεναι τὸν βασιλέα τῶν Σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. Διὸ καὶ μάλιστα κατήπειξαν τὴν ἀναίρεσιν, ὡς ἐξαρπαγησομένου νυκτὸς, ἂν πλείονες ἐπέλθωσιν.

XX. Ὁ μὲν οὖν Ἆγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα, « Παῦσαί με, εἶπεν, ὦ ἄνθρωπε, κλαίων· καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύ- b μενος κρείττων εἰμὶ τῶν ἀναιρούντων· » καὶ ταῦτ' εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. (2) Ὁ δὲ Ἀμφάρης προελθὼν ἐπὶ τὰς θύρας καὶ τὴν Ἀγησιστράταν προσπεσοῦσαν αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν ἀναστήσας οὐδὲν ἔφη περὶ τὸν Ἆγιν ἔσεσθαι βίαιον οὐδὲ ἀνήκεστον· ἐκέλευε δὲ κἀκείνην, εἰ βούλοιτο, πρὸς τὸν υἱὸν εἰσελθεῖν. Ἐκείνης δὲ καὶ τὴν μητέρα μετ' αὐτῆς παρεῖναι δεομένης οὐδὲν ἔφη κωλύειν ὁ Ἀμφάρης· (3) καὶ δεξάμενος ἀμφοτέρας καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας προτέραν μὲν τὴν

cum Amphares, auctoritate muneris sui Agidi manum injiciens, Duco, ait, te, o Agi, ad ephoros, ut administratae reipublicae rationem reddas; tum Damochares, homo validus et magnus, veste collo injecta eum traxit, reliquique a tergo ex composito impellentibus, nemine succurrente, quod solitudo eo loci erat, ita Agis in carcerem conjicitur. (2) Illico Leonidas supervenit, carceremque multis stipendiariis militibus cinxit. Ephori autem ad Agidem ingressi sunt, et de senatoribus eos, quos secum sentire noverant, eodem vocaverunt, quasi de causa cogituri, Agidemque factorum suorum causas edere jusserunt. Qui quum simulationem eorum rideret, Ejulabis, inquit Amphares, pœnasque tuæ dabis protervitatis. Alius autem quidem ex ephoris, veluti rationem effugiendæ damnationis Agidi significans, quæsivit utrum ista a Lysandro et Agesilao coactus egisset. (3) Respondente Agide, a nemine se coactum, sed æmulatione Lycurgi hanc reipublicæ mutationem aggressum, idem rursus interrogavit: Mutaretne factum. Quum respondisset, nequaquam se pœnitere optimorum suorum consiliorum, etiamsi extrema sibi ferenda supplicia sciret, morte eum damnaverunt, lictoribusque mandaverunt, ut eum in Dechadem quam dicunt abducerent. Locus est in carcere ubi damnatos suffocant. (4) Damochares lictores cernens non audere attingere Agidem, ac milites quoque qui astabant, opus illud subterfugere et aversari, quod injustum nefasque putarent manus regis corpori afferre, multa iis minatus atque conviciatus, ipse eo Agidem pertraxit. Jam enim multi inaudiverant eum comprehensum esse, tumultusque ad fores carceris erat et multa lumina, aderatque mater et avia Agidis, vociferantes orantesque ut de causa regis Spartanorum populum cognoscere sinerent. Quo magis illi necem ejus accelerabant, ne noctu pluribus supervenientibus e carcere eriperetur.

XX. Et Agis quidem ad strangulationem vadens, quum videret ministrorum unum graviter dolere ac flere: Desine, inquit, mi homo, me deplorare; nam qui ita injuste necor, auctoribus meæ cædis præsto; atque hæc locutus, ultro collum laqueo præbuit. (2) Amphares autem ad fores progressus Agesistratam, quæ ei ad pedes acciderat familiaritate freta, erigens, nihil gravius aut capitale statutum iri de Agide affirmavit, ac si vellet, intro ad filium ire jussit, et quum oraret, ut mater quoque una admitteretur, nihil se impedire dixit. (3) Ita utraque recepta, januam carceris rursum claudi præcepit, prioremque Archidamiam necandam

Ἀρχιδάμιαν παρέδωκεν, ἤδη σφόδρα πρεσβῦτιν οὖσαν καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολιτίδων, c ἀποθανούσης δὲ ἐκείνης ἐκέλευσε τὴν Ἀγησιστράταν ἔσω βαδίζειν. (4) Ὡς δὲ εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμενον καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε καὶ παρεκτείνασα τῷ Ἄγιδι τὸ σῶμα περιέστειλε καὶ κατεκάλυψε· τῷ δὲ υἱῷ προσπεσοῦσα καὶ φιλήσασα τὸ πρόσωπον, « Ἡ πολλή σε, εἶπεν, ὦ παῖ, εὐλάβεια καὶ τὸ πρᾷον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ' ἡμῶν. » (5) Ὁ δὲ Ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γινόμενα καὶ τὰς φωνὰς ἀκούων ἐπεισῆλθε καὶ πρὸς d τὴν Ἀγησιστράταν μετ' ὀργῆς εἶπεν· « Εἰ τοίνυν, ἔφη, ταὐτὰ ἐδοκίμαζες τῷ υἱῷ, ταὐτὰ καὶ πείσῃ. » Καὶ ἡ Ἀγησιστράτα πρὸς τὸν βρόχον ἀνισταμένη, « Μόνον, ἔφη, συνενέγκαι ταῦτα τῇ Σπάρτῃ. »

XXI. Τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων οὐχ ἦν ὁ φόβος οὕτω μέγας, ὥστε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας ἀλγοῦντας μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν Λεωνίδαν καὶ τὸν Ἀμφάρην μηδὲν δεινότερον μηδὲ ἀνοσιώτερον ἐξ οὗ Δωριεῖς Πελοπόννησον οἰκοῦσιν οἰομένους ἐν Σπάρτῃ πεπρᾶχθαι. (2) Βασιλεῖ γάρ, e ὡς ἔοικε, Λακεδαιμονίων οὐδὲ οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες προσέφερον τὰς χεῖρας, ἀλλ' ἀπετρέποντο δεδιότες καὶ σεβόμενοι τὸ ἀξίωμα. Διὸ καὶ πολλῶν γεγονότων Λακεδαιμονίοις ἀγώνων πρὸς Ἕλληνας εἷς μόνος ἀνῃρέθη πρὸ τῶν Φιλιππικῶν δόρατι πληγεὶς περὶ Λεῦκτρα Κλεόμβροτος· Μεσσηνίων δὲ καὶ Θεόπομπον ὑπ' Ἀριστομένους πεσεῖν λεγόντων οὔ φασι Λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. (3) Ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιλογίας. Ἐν δὲ Λακεδαίμονι πρῶτος Ἆγις βασιλεύων ὑπὸ ἐφόρων ἀπέθανε, καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ Σπάρτῃ προελόμενος, f ἡλικίᾳ δὲ γεγονώς, ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι συγγνώμης τυγχάνουσι, μεμφθεὶς δὲ ὑπὸ τῶν φίλων δικαιότερον ἢ τῶν ἐχθρῶν, ὅτι καὶ Λεωνίδαν περιέσωσε καὶ τοῖς ἄλλοις ἐπίστευσεν, ἡμερώτατος καὶ πρᾳότατος γενόμενος.

tradidit, maximo jam natu mulierem, et quæ in summa inter cives dignitate consenuerat. Hac mortua, intro Agesistratam vocavit. (4) Quæ quum ingressa filium humi jacere mortuum, matremque exanimatam a fune pendere vidit, in hac quidem deponenda carnifices adjuvit, corpusque ejus juxta Agidem extendit, et texit; in filii vero cadaver incumbens, faciemque deosculata : Nimia, ait, o fili, te accuratio et cautio, tum mansuetudo, et humanitas nobiscum perdiderunt. (5) Amphares quum foribus assistens illa cerneret, vocemque exaudiret, ingressus est, Agesistratæque iratus dixit : Quando ergo idem quod filius sensisti, eodem afficieris supplicio. Tum Agesistrata ad laqueum se erigens, Modo, inquit, Spartæ hoc prosit.

XXI. Re vero per urbem divulgata, et tribus his cadaveribus elatis non tantus fuit metus civium, ut non palam dolere sibi hoc factum, odio se Leonidæ et Ampharis correptos præ se ferrent; existimabant enim ab eo tempore, quo primum inhabitare Peloponnesum Dorienses cœperunt, ad eum usque diem nihil crudelius Spartæ aut scelestius actum fuisse. (2) Et vero Lacedæmoniorum regi ne hostis quidem in pugna occurrens manus temere attuli se videtur, sed dignitatis verecundia abstinuisse. Itaque in tam multis adversus Græcos certaminibus Spartanorum, unicus ante Philippi Macedonis ætatem Cleombrotus apud Leuctra prœlio cæsus est, et quod affirmant Messenii Theopompum ab Aristomene interfectum, id Lacedæmonii negant, ictumque modo fuisse fatentur. (3) Sed ea nonnihil habent ambigui. Lacedæmone quidem primus regum Agis ab ephoris necatus est, quum præclaras Spartaque dignas res conatus esset, idque ea ætate qua peccantibus hominibus ignosci solet; ab amicis autem quam inimicis reprehendi potuit rectius, quod et Leonidam servasset, et, homo videlicet mansuetissimus, ceteris credidisset.

ΚΛΕΟΜΕΝΗΣ.

805 Ἀποθανόντος δὲ αὐτοῦ τὸν μὲν ἀδελφὸν Ἀρχίδαμον a οὐκ ἔφθη συλλαβεῖν ὁ Λεωνίδας εὐθὺς ἐκφυγόντα· τὴν δὲ γυναῖκα παιδίον ἔχουσαν νεογνὸν ἐκ τῆς οἰκίας ἀπαγαγὼν βίᾳ Κλεομένει τῷ υἱῷ συνῴκισεν οὐ πάνυ γάμων ὥραν ἔχοντι, τὴν δὲ ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. (2) Ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ Ἀγιᾶτις Γυλίππου τοῦ πατρὸς, ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν Ἑλληνίδων διαφέρουσα καὶ τὸν τρόπον ἐπιεικής. Διὸ πολλὰ μὲν ἐποίησεν, ὥς φασι, μὴ βιασθῆναι δεομένη, συνελθοῦσα δὲ εἰς ταὐτὸ τῷ Κλεομένει τὸν μὲν Λεωνίδαν ἐμίσει, περὶ δὲ αὐτὸν τὸν νεανίσκον ἦν ἀγαθὴ γυνὴ καὶ φιλόστοργος ἐρωτικῶς ἅμα τῷ λα- b βεῖν πρὸς αὐτὴν διατεθέντα καί τινα τρόπον συμπαθοῦντα τῇ πρὸς τὸν Ἆγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικὸς, ὥστε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονότων καὶ προσέχειν ἐπιμελῶς διηγουμένης ἣν ὁ Ἆγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. (3) Ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ Κλεομένης καὶ πρὸς ἐγκράτειαν καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ Ἄγιδος εὖ πεφυκὼς, τὸ δὲ εὐλαβὲς ἄγαν ἐκεῖνο καὶ πρᾶον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο καὶ μετὰ σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. Ἐφαίνετο δὲ κάλλιστον μὲν αὐτῷ κρατεῖν ἑκόντων, c καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι πρὸς τὸ βέλτιον ἐκβιαζόμενον.

II. Οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν, ἀπραγμοσύνῃ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾶν βουλόμενον, ἀμελουμένων δὲ τῶν κοινῶν, κατ' οἰκίαν ἑκάστου πρὸς αὐτὸν ἕλκοντος τὸ κερδαλέον. Ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος οὐδ' ἀσφαλὲς ἦν τούτων τῶν περὶ Ἆγιν ἀπολωλότων μνημονεύειν. (2) Λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένη μετασχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβάλλοντος εἰς τὴν d Λακεδαίμονα καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν, καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. (3) Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν· « Ἀγαθὸς νέων ψυχὰς κακκανῆν. » Ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν. Ὁ δὲ Στωϊκὸς λόγος ἔχει τι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παράβο- e λον, βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.

III. Ἐπεὶ δὲ τελευτήσαντος τοῦ Λεωνίδου τὴν βα-

CLEOMENES.

Mortui Agidis fratrem Archidamum arripere Leonidas non potuit; fugam enim ex urbe is occupaverat. Uxorem Agidis Agiatidem, quæ prolem recens natam habebat, domo adductam vi nuptum filio suo Cleomeni dedit, non plane nuptiis maturo, verum eam alii nubere non volebat, (2) quod et a Gylippo ea patre amplissimam hæreditatem exspectabat ætatisque et formæ flore longe omnes Græcas mulieres superabat et moribus erat admodum commodis prædita. Itaque etiam multa fertur ultro fecisse, non passa se cogi. Postquam igitur Cleomeni conjuncta fuit, tametsi Leonidam odisset, tamen adolescentem hunc omni amore et officio conjugali colebat, statim in ipsis nuptiis amore sui correptum et quodammodo desiderium memoriamque Agidis, qua eum uxor prosequebatur, miserantem, adeo quidem, ut sæpe historiam rerum ejus recitari sibi jusserit, narrantique consilia et propositum ejus attente animum adverterit. (3) Erat enim Cleomenes ingenio laudis cupido excelsoque præditus animo, et ad continentiam simplicitatemque non minus, quam Agis, natura aptus; magnam autem illam cautionem et mansuetudinem non habebat, sed innatum quendam animi stimulum, ut vehementi impetu ad id quod quoque tempore pulchrum ei videretur, incitaretur. Existimabat vero pulcherrimum esse, volentibus imperare, pulchrum autem hoc etiam, non obtemperantes cogere et ad officium faciendum vi compellere.

II. Proinde statum reipublicæ præsentem minime probabat. Etenim cives otio et voluptatibus deliniti quiescebant, rex omnibus negotiis valere jussis satis sibi beatus videbatur, si luxuriantem genioque in omnium rerum abundantia indulgentem nemo interturbaret; negligebatur autem commodum publicum propterea, quod pro se unusquisque quantum poterat in rem suam vertebat. Mentionem autem exercitationis et temperantiæ adolescentum, tolerantiæque et æqualitatis facere periculosum erat, Agide, quod conatus ea fuisset in urbem reducere, interfecto. (2) Fertur Cleomenes adolescentulus adhuc philosophiam attigisse, quum Sphærus Borysthenites Lacedæmonem venisset, adolescentesque et pueros non indiligenter institueret. Is Sphærus inter primos fuit Zenonis Citiei discipulos, videturque ingenium Cleomenis ad fortitudinem accommodatum amplexus, animi ejus magnitudinem doctrina sua excitasse. (3) Nam Leonidas quidem ille priscus interrogatus qualem poetam judicaret Tyrtæum, respondit, videri sibi aptum qui juvenum animos ad vitam pro patria profundendam accendat (repleti enim a carminibus ejus quasi furore quodam divino, in prœliis se vitamque suam reipublicæ condonabant); Stoica vero disciplina, si magna ei vehementia ingenia imbuantur, prompti ad pericula subeunda et audaces adeoque temerarii fiunt homines, sin ea sedato et placido ingenio committatur, ejus temperamento quasi diluta in bona ipsi propria excrescit.

III. Quum morte Leonidæ ad Cleomenem redisset regnum,

σιλείαν παρέλαβε καὶ τοὺς πολίτας τότε δὴ παντάπασιν ἐκλελυμένους ἑώρα, τῶν μὲν πλουσίων καθ' ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινά, τῶν δὲ πολλῶν διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων, αὐτοῦ δὲ ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δὲ ἀρχὴ πᾶσα τῶν ἐφόρων, εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. Ὄντος δὲ f αὐτῷ φίλου Ξενάρους, ἐραστοῦ γεγονότος (τοῦτο δὲ ἐμπνεῖσθαι Λακεδαιμόνιοι καλοῦσιν), ἀπεπειρᾶτο τούτου διαπυνθανόμενος τὸν Ἆγιν, ὁποῖος γένοιτο βασιλεὺς καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. (2) Ὁ δὲ Ξενάρης τὸ μὲν πρῶτον οὐκ ἀηδῶς
806 ἐμέμνητο τῶν πραγμάτων ἐκείνων, ὡς ἐπράχθη a καθ' ἕκαστα μυθολογῶν καὶ διηγούμενος· ὡς δ' ἦν καταφανὴς ὁ Κλεομένης ἐμπαθέστερον προσέχων καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ Ἄγιδος καὶ ταὐτὰ πολλάκις ἀκούειν βουλόμενος, ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ Ξενάρης ὡς οὐχ ὑγιαίνοντι, καὶ τέλος ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾶν πρὸς αὐτόν, οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ' αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. (3) Οὕτω δὲ τοῦ Ξενάρους ἀντικρούσαντος ὁ Κλεομένης καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος, αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. Οἰόμενος δ' ἂν ἐν πολέμῳ μᾶλλον ἢ κατ' εἰρήνην μεταστῆσαι τὰ παρόντα συνέκρουσε πρὸς τοὺς Ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προ- b φάσεις. (4) Ὁ γὰρ Ἄρατος ἰσχύων μέγιστον ἐν τοῖς Ἀχαιοῖς ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν ἀγαγεῖν Πελοποννησίους, καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος, ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις. Ἐπεὶ δέ, τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο Λακεδαιμόνιοι καὶ Ἠλεῖοι καὶ ὅσοι Λακεδαιμονίοις Ἀρκάδων προσεῖχον, ἅμα τῷ τὸν Λεωνίδαν ἀποθανεῖν παρηνώχλει τοῖς Ἀρκάσι καὶ περιέκοπτεν αὐτῶν μάλιστα τοὺς τοῖς Ἀχαιοῖς ὁμοροῦντας ἀποπειρώμενος τῶν Λακεδαιμονίων καὶ τοῦ Κλεομένους ὡς νέου καὶ ἀπείρου c καταφρονῶν.

IV. Ἐκ τούτου Κλεομένη πρῶτον οἱ ἔφοροι πέμπουσι καταληψόμενον τὸ περὶ τὴν Βέλβιναν Ἀθήναιον. Ἐμβολὴ δὲ τῆς Λακωνικῆς τὸ χωρίον ἐστί, καὶ τότε πρὸς τοὺς Μεγαλοπολίτας ἦν ἐπίδικον. (2) Καταλαβόντος δὲ τοῦτο καὶ τειχίσαντος τοῦ Κλεομένους ὁ Ἄρατος οὐθὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐκστρατεύσας ἐπεχείρησε Τεγεάταις καὶ Ὀρχομενίοις. Τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν Ἄρατος ἀνεχώρησε λεληθέναι νομίζων, ὁ δὲ Κλεομένης ἔγραψε πρὸς αὐτόν, ὡς δὴ παρὰ φίλου πυνθανόμενος, ποῦ τῆς νυκτὸς ἐξέλθοι. Τοῦ δὲ ἀντιγράψαντος, ὡς ἐκεῖνον Βέλβιναν μέλλειν d τειχίζειν ἀκούσας καταβαίη τοῦτο κωλύσων, πάλιν ὁ Κλεομένης ἀποστείλας τοῦτο μὲν οὕτως ἔχειν ἔφη πεπεῖσθαι· « τοὺς δὲ φανοὺς καὶ τὰς κλίμακας, εἶπεν,

videretque cives plane dissolutos, quod et divites suis cupiditatibus voluptatibusque intenti rempublicam negligebant, et vulgus rebus domesticis laborantibus neque ad bella alacritatem neque laudis studium ad disciplinam quotidianam afferebat, se quoque videbat titulum regis habere, omnem potestatem penes ephoros esse : statim in animum induxit præsentis rerum status mutationem. Amicus ei erat Xenares, amator quondam ejus (Lacedæmonii ἐμπνεῖσθαι dicunt quasi *inspirari* Latine diceres), hujus primum animum tentavit, percontando qualisnam ei rex fuisse Agis videretur et quomodo, quibus auxiliis ea quæ egerat confecisset. (2) Et primo quidem Xenares haud illibenter historiam eam commemorabat, singula ut acta essent narrans. Ut vero non fefellit Cleomenes majore animi affectu auscultans, novisque Agidis rebus mirifice commotus eademque sæpius recitari sibi postulans, iratus eum Xenares objurgavit ut non satis sanum, et ad extremum omnino congressu colloquioque ejus abstinuit, causam tamen dissidii non aperuit, Cleomenem eam cognitam habere dicens. (3) Xenare ad hunc modum refragante, alios perinde affectos arbitrans Cleomenes, ipse consilia secum agitavit. Existimans autem facilius in bello quam pace mutari rempublicam posse, Spartanos cum Achæis commisit occasiones querelarum ultro offerentes. (4) Aratus enim potentissimus Achæorum, quum statuisset omnes Peloponnesios in unum corpus redigere (hic enim finis diuturnis ejus actionibus multisque expeditionibus erat propositus, hoc uno pacto existimantis Græcos ab exteris hostibus tutos fore), ceterisque prope omnibus civitatibus ei se conjungentibus, soli restarent Lacedæmonii, Elei et Arcades quotquot eorum Lacedæmoniis parerent; statim post mortem Leonidæ adortus est Arcades eosque potissimum infestavit, qui Achæis erant finitimi, Lacedæmoniorum animos tentans, et Cleomenem ut juvenem et imperitum contemnens.

IV. Itaque ephori Cleomenem primum ad occupandum Minervæ fanum, quod apud Belbinam erat, mittunt. Castellum est in finibus Laconicæ ad fauces positum, ac tum de eo cum Megalopolitanis disceptabatur. (2) Quum id esset a Cleomene occupatum et muro cinctum, Aratus nulla prius expostulatione interposita noctu exercitum ad Tegeam et Orchomenum opprimendas duxit. Proditoribus autem præ metu quod promiserant non præstantibus, retro abiit, latuisse se putans. Cleomenes vero jocose ad eum scripsit, tanquam amicum interrogans, quonam noctu exercitum duxisset. Et quum responderet, audivisse se eum Belbinam munire velle et ad id prohibendum contendise : Hoc quidem se ita esse credere, cupere tamen, nisi molestum sit

εἰ μή τί σοι διαφέρει, γράψον ἡμῖν, ἐπὶ τί σοι παρηκολούθουν.» (3) Τοῦ δὲ Ἀράτου πρὸς τὸ σκῶμμα γελάσαντος καὶ πυνθανομένου, ποῖός τις ὁ νεανίσκος εἴη, Δαμοχράτης ὁ Λακεδαιμόνιος φυγάς, «Εἴ τι πράττεις, ἔφη, πρὸς Λακεδαιμονίους, ὥρα σοι ταχύνειν πρὸ τοῦ κέντρα φῦσαι τοῦτον τὸν νεοσσόν.» Ἐκ τούτου Κλεομένει μεθ' ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ στρατοπεδευομένῳ προσέταξαν ἀνα- e χωρεῖν οἱ ἔφοροι φοβούμενοι τὸν πόλεμον. Ἐπεὶ δὲ ἀναχωρήσαντος αὐτοῦ Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένην. Λαβόντος δὲ αὐτοῦ Μεθύδριον καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοὶ δισμυρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν Ἀριστομάχου στρατηγοῦντος. (4) Ἀπαντήσαντος δὲ περὶ Παλλάντιον Κλεομένους καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγόν, ἀλλ' ἀπῆλθε, λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. Μέγας οὖν τῷ φρονήματι γεγονὼς f ὁ Κλεομένης ἐθρασύνετο πρὸς τοὺς πολίτας καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων εἰπόντος, ὅτι μάτην Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων, οὐ πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν.

V. Ἐπεὶ δὲ τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας καὶ περὶ τὸ Λύκαιον ἀπιοῦσιν ἤδη
807 τοῖς Ἀχαιοῖς ἐπιβαλὼν ἅπαν μὲν ἐτρέψατο καὶ διε- a πτόησεν αὐτῶν τὸ στράτευμα, συχνοὺς δὲ ἀνεῖλε καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος, ὁ μὲν Ἄρατος ἄριστα τῷ καιρῷ χρησάμενος ἐκ τῆς τροπῆς ἐκείνης εὐθὺς ἐπὶ Μαντίνειαν ἦλθε, καὶ μηδενὸς ἂν προσδοκήσαντος εἷλε τὴν πόλιν καὶ κατέσχε. (2) Τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων καὶ τῷ Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν Ἀρχίδαμον ἐκ Μεσσήνης, ᾧ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον, οἰόμενος ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι τῆς b βασιλείας ἰσορρόπου καὶ ὁλοκλήρου γενομένης. (3) Οἱ δὲ ἀνῃρηκότες πρότερον τὸν Ἆγιν αἰσθόμενοι τοῦτο, καὶ φοβηθέντες μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα καὶ συγκατῆγον, εὐθὺς δὲ ἀπέκτειναν, εἴτε ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς· τῆς γὰρ αἰτίας τὸ πλεῖστον ἐπ' ἐκείνους ἦλθε βεβιάσθαι τὸν Κλεομένην δοκοῦντας.

VI. Οὐ μὴν ἀλλὰ κινεῖν εὐθὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται στρατείαν. Ἐθεράπευσε δὲ καὶ τῶν ἄλλων c συχνοὺς διὰ τῆς μητρὸς Κρατησικλείας ἀφειδῶς συγχορηγούσης καὶ συμφιλοτιμουμένης, ἥ γε καὶ γάμου μὴ δεομένη λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. (2) Ἐξαγαγὼν δὲ τὴν

ipsi, scire ex eo, quam ob rem faces et scalas secum tulisset (3) Ibi quum Aratus ad facetias hominis subrisisset et quæreret, qualisnam ille esset adolescens, Damocrates Lacedæmonius exul, Si quid, ait, adversus Lacedæmonios moliris, Arate, properandum est tibi, antequam pullo huic calcaria nascantur. Secundum hæc Cleomenem in Arcadia cum paucis equitibus et trecentis peditibus castrametatum ephori metu belli revocarunt. Sed ubi eo digresso Caphyas Aratus cepit, rursus ab iis emissus, Methydrium occupavit et Argolicam incursionibus vexavit. Contra eum viginti peditum millia, mille equites ab Achæis missi sunt duce Aristomacho. (4) Qui quum apud Pallantium Cleomeni occurrissent, isque ad pugnandum esset paratus, perterritus ejus audacia Aratus committere prœlium ducem non est passus, sed discessit et ob id conviciis Achæorum exagitatus, derisus contemptuique habitus est a Lacedæmoniis, quorum in exercitu ne quinque quidem integra millia fuerant. His rebus Cleomenes audacia auctus jactare se apud cives cœpit, admonuitque prisci cujusdam regis, qui dixerat: frustra interrogare Lacedæmonios, non quot, sed ubi hostes sint.

V. Inde Eleis ab Achæis bello infestatis opem ferens, apud Lycæum discedentes jam Achæos adortus, universum eorum exercitum fudit fugavitque, permultos occidit et cepit, ita ut Aratum quoque periisse rumor apud Græcos vagaretur. Aratus vero occasione præclare usus, statim ab ea fuga Mantineam venit, nemine id opinante, urbemque eam cepit atque obtinuit. (2) Cleomenes, quum ob hæc Lacedæmoniorum animi fracti essent, sibique bellum gerere volenti repugnarent, statuit Archidamum Agidis fratrem, quem ex altera familia regem esse leges jubebant, Messena Spartam evocare, regno integritati suæ atque æqualitati restituto censens ephororum potentiam minorem futuram. (3) At qui Agidem interfecerant quum hoc sensissent agi, timerentque ne Archidamo reverso pœnæ ab ipsis factorum exigerentur, receperunt quidem eum in urbem clam ingressum reducendique socios se præbuerunt, statim autem occiderunt, sive, ut Phylarchus putat, invito Cleomene, sive ab amicis ad prodendum hominem verbis adducto: nam in eos præcipue culpa collata est, quod ad necem Archidami adegisse Cleomenem existimabantur.

VI. Enimvero Cleomenes statim præsentem reipublicæ statum mutare cupiens, ephoros pecunia corrupit, ut expeditionem sibi decernerent. Reliquorum etiam permultos demeritus est, matre Cratesiclea affatim sumptus præbente conatusque filii adjuvante; hæc quidem, quum conjugium nihil desideraret, filii causa primo gloria et potentia civium nupsisse traditur. (2) Educens igitur expeditionem Cleo-

στρατείαν καταλαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον Λεῦκτρα· καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηθείας, Ἀράτου στρατηγοῦντος, ὑπὸ τὴν πόλιν αὐτὴν παραταξάμενος ἡττήθη μέρει τινὶ τοῦ στρατεύματος. Ἐπεὶ δὲ χαράδραν τινὰ βαθεῖαν οὐκ εἴασε διαβῆναι τοὺς Ἀχαιοὺς ὁ Ἄρατος, ἀλλ' ἐπέστησε τὴν δίωξιν, ἀγανα- d κτῶν δὲ Λυδιάδας ὁ Μεγαλοπολίτης συνεξώρμησε τοὺς περὶ αὐτὸν ἱππεῖς καὶ διώκων εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τειχῶν μεστὸν, ἐνσείσας καὶ διασπασθεὶς περὶ ταῦτα κακῶς ἀπήλλαττε, κατιδὼν ὁ Κλεομένης ἀνῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτὸν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος εὐρώστως ἔπεσε. (3) Πρὸς τοῦτο θαῤῥήσαντες οἱ Λακεδαιμόνιοι μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. Ἀποθανόντων δὲ συχνῶν τοὺς μὲν ἄλλους ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδου νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας, κοσμήσας πορφυ- e ρίδι καὶ στέφανον ἐπιθεὶς πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. Οὗτος ἦν Λυδιάδας ὁ καταθέμενος τὴν τυραννίδα καὶ τοῖς πολίταις ἀποδοὺς τὴν ἐλευθερίαν καὶ τὴν πόλιν προσκομίσας Ἀχαιοῖς.

VII. Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη καὶ πεπεισμένος, ἂν ὡς βούλεται τοῖς πράγμασι χρώμενος πολεμῇ πρὸς τοὺς Ἀχαιοὺς, ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα Μεγιστόνουν, ὡς χρὴ τῶν ἐφόρων ἀπαλλαγέντας εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις καὶ τὴν Σπάρτην ἴσην γενομένην ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Πεισθέν- f τος δ' ἐκείνου δύο τῶν ἄλλων φίλων ἢ τρεῖς προσέλαβε. (2) Συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας καὶ τῶν ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας ὄναρ ἰδεῖν θαυμαστόν. Ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς ἐφόροις ἔθος ἐστὶ καθεζομένοις χρηματίζειν ἕνα δίφρον κεῖσθαι, τοὺς δὲ τέτταρας ἀνῃρῆσθαι καὶ θαυμάζοντος αὐτοῦ φωνὴν ἐκ τοῦ ἱεροῦ γενέσθαι φράζουσαν, ὡς τοῦτο τῇ Σπάρτῃ λῷόν ἐστι. (3) Ταύτην τὴν ὄψιν διηγουμένου τοῦ ἐφόρου πρὸς τὸν 808 Κλεομένη, τὸ μὲν πρῶτον διεταράχθη καθ' ὑποψίαν a τινὰ πειράζεσθαι δοκῶν· ὡς δὲ ἐπείσθη μὴ ψεύδεσθαι τὸν διηγούμενον, ἐθάῤῥησε. Καὶ λαβὼν ὅσους ὑπώπτευε μάλιστα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν, Ἡραίαν καὶ Ἀλσαίαν τὰς πόλεις ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς εἷλε, καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις καὶ Μαντινείᾳ παρεστρατοπέδευσε, καὶ ὅλως ἄνω καὶ κάτω μακραῖς πορείαις ἀποτρύσας τοὺς Λακεδαιμονίους ἀπέλιπεν αὐτῶν δεηθέντων τοὺς πολλοὺς ἐν Ἀρκαδίᾳ, τοὺς δὲ μισθοφόρους ἔχων αὐτὸς ἐπὶ τὴν Σπάρτην ἐχώρει. Καὶ καθ' ὁδὸν οἷς ἐπίστευε μάλιστα καλῶς πρὸς αὐτὸν ἔχειν ἀνεκοινοῦτο τὴν γνώμην, καὶ προῄει σχέδην, ὡς περὶ τὸ δεῖπνον οὖσι τοῖς ἐφόροις ἐπιπέσοι. b

VIII. Γενόμενος δὲ τῆς πόλεως ἐγγὺς Εὐρυκλείδαν μὲν εἰς τὸ τῶν ἐφόρων συσσίτιον ἀπέστειλεν, ὥς τινα παρ' αὐτοῦ λόγον ἀπὸ στρατιᾶς κομίζοντα, Θηρυκίων δὲ καὶ Φοῖβις καὶ δύο τῶν συντρόφων τοῦ Κλεομένους, οὓς μόθακας καλοῦσιν, ἐπηκολούθουν στρατιώτας ὀλίγους

menes oppidum quoddam Megalopolitarum occupat, Leuctra nomine; quumque eo celeriter Achæi duce Arato defendendorum suorum causa accurrissent, commissa ad ipsam urbem pugna pars quædam exercitus Spartani victa est. Quum autem Achæos Aratus apud profundam quandam convallem a persecutione inhiberet, indigne id ferens Lydiadas Megalopolita suos equites incitavit, hostique fugienti instans in locum vineis, fossis et ruderibus repletum invectus est, ibique dissipatis suis, eximere se inde et expedire non potuit. Quod cernens Cleomenes Tarentinos et Cretenses milites ei immisit, ab iisque Lydiadas fortiter pugnans cæsus est. (3) Lacedæmonii autem animis receptis cum clamore in Achæos irruerunt, totumque exercitum pulerunt, multis occisis. Cadavera omnia ex pacto reddidit Cleomenes, præter Lydiadæ; id enim ad se afferri jussit, purpuraque ornatum et serto, ad portas Megalopolis misit. Hic est ille Lydiadas, qui tyrannide se abdicavit, civibusque libertate reddita, eos Achaico fœderi adjunxit.

VII. Hinc Cleomenes altos jam spiritus ducens certoque sibi persuadens, se, si suo arbitratu bellum gereret adversus Achæos, facile victoria potiturum, Megistonum vitricum docuit, debere spretis ephoris cives in commune bona sua conferre, æqualitateque instituta Spartam erigere et ad imperium in universam Græciam evehere. Quum hoc ei persuasisset, duos aut tres alios ex amicis ad eandem causam sibi adjunxit. (2) Accidit iis diebus, ut quidam ex ephoris in fano Pasiphaæ dormiens, per somnum sibi videretur eo in loco, ubi jus dare ephori solebant, cernere unicam tantum sellam, reliquis quattuor sublatis, positam, sibique admiranti vocem ex templo auditam, quæ hoc ita Spartæ expedire diceret. (3) Hoc insomnium Cleomenes quum narrare sibi audiret ephorum, initio perturbatus est, tentari se propter suspicionem aliquam putans; ut vero persuasum est vera eum dicere, animo confirmatus, quos maxime civium instituto suo refragaturos censebat, iis abductis Heræam et Asæam urbes Achæis subditas cepit, Orchomenum frumentum importavit, ad Mantineam castra posuit, omninoque longis hac illac expeditionibus Lacedæmonios ita defatigavit, ut plerosque eorum ita flagitantes in Arcadia relinqueret; ipse cum mercenariis militibus Spartam petiit, inque itinere consilium suum iis, quorum erga se benevolentiæ maxime fidebat, exposuit, sensimque progressus est, ut ephoros in cœna deprehenderet.

VIII. Quum prope urbem esset ventum, Euryclidam in ephororum syssitium præmisit, veluti per eum aliquid ab exercitu nuntians, Therycion autem et Phœbis, et duo alii qui cum Cleomene fuerant educati, quos Mothacas appellabant, cum paucis militibus eum subsequebantur.

ἔχοντες. Ἔτι δὲ τοῦ Εὐρυκλείδα διαλεγομένου τοῖς ἐφόροις ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις ἔπαιον αὐτούς. (2) Ὁ μὲν οὖν πρῶτος Ἀγύλαιος, ὡς ἐπλήγη, πεσὼν καὶ τεθνάναι δόξας ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τοῦ οἰκήματος ἔλαθεν εἴς τι δωμάτιον εἰσερπύσας μικρόν, ὃ Φόβου μὲν ἦν ἱερόν, ἄλλως δὲ κεκλεισμένον ἀεί, τότε δὲ ἐκ τύχης ἀνεῳγμένον c ἐτύγχανεν. Εἰς τοῦτο συνεισενεγκὼν ἑαυτὸν ἀπέκλεισε τὸ θύριον. Οἱ δὲ τέσσαρες ἀνῃρέθησαν καὶ τῶν ἐπιβοηθούντων αὐτοῖς οὐ πλείονες ἢ δέκα. Τοὺς γὰρ ἡσυχίαν ἄγοντας οὐκ ἔκτειναν οὐδὲ τοὺς ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. Ἐφείσαντο δὲ καὶ τοῦ Ἀγυλαίου μεθ' ἡμέραν ἐκ τοῦ ἱεροῦ προελθόντος.

IX. Ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. Τιμῶσι δὲ τὸν Φόβον οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας ἡγούμενοι βλαβερόν, ἀλλὰ τὴν d πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες. Διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησί, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος, οἶμαι, προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. (2) Καὶ τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν. Οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους θαρραλεώτατοι πρὸς τοὺς πολεμίους εἰσί· καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν οἱ μάλιστα φοβούμενοι τὸ κακῶς ἀκοῦσαι. Διὸ καὶ καλῶς e ὁ εἰπών·

— ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς·

καὶ Ὅμηρος·

Αἰδοῖός τέ μοι ἐσσί, φίλε ἑκυρέ, δεινός τε·

καί·

Σιγῇ δειδιότες σημάντορας.

Τὸ γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει πρὸς οὓς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. Διὸ καὶ παρὰ τὸ τῶν ἐφόρων συσσίτιον τὸν Φόβον ἵδρυνται Λακεδαιμόνιοι μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον.

X. Ὁ δ' οὖν Κλεομένης ἡμέρας γενομένης προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, οὓς ἔδει μεταστῆναι, καὶ τοὺς δίφρους ἀνεῖλε τῶν ἐφόρων πλὴν ἑνός, ἐν ᾧ καθήμενος ἔμελλεν αὐτὸς χρηματίζειν. Ἐκκλησίαν δὲ ποιήσας ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. (2) Ἔφη γὰρ ὑπὸ τοῦ Λυκούργου τοῖς βασιλεῦσι συμμιχθῆναι f τοὺς γέροντας καὶ πολὺν χρόνον οὕτω διοικεῖσθαι τὴν πόλιν οὐδὲν ἑτέρας ἀρχῆς δεομένην, ὕστερον δὲ τοῦ πρὸς Μεσσηνίους πολέμου μακροῦ γενομένου τοὺς βασιλεῖς διὰ τὰς στρατείας ἀσχόλους ὄντας αὐτοὺς πρὸς τὸ κρίνειν αἱρεῖσθαί τινας ἐκ τῶν φίλων καὶ ἀπολείπειν τοῖς
809 πολίταις ἀνθ' ἑαυτῶν ἐφόρους προσαγορευθέντας, καὶ a
διατελεῖν τούτους τὸ πρῶτον ὑπηρέτας τῶν βασιλέων ὄντας, εἶτα κατὰ μικρὸν εἰς ἑαυτοὺς τὴν ἐξουσίαν ἐπιστρέφοντας οὕτως λαθεῖν ἴδιον ἀρχεῖον κατασκευασαμέ-

Euryclida adhuc cum ephoris colloquente, strictis in eos gladiis milites irruerunt. (2) Primus Agylæus quum ictus concidisset videreturque mortuus, sensim sese colligens et ex ædibus istis subducens, nemine observante, in parvam ædem irrepsit, quæ Metui sacra, quum alias semper fuisset clausa, tunc fortuito patebat. In hanc ut se contulit, ostium occlusit. Ceteri quattuor obtruncati sunt, et non plures quam decem qui auxilium tulissent. Nemini enim quiescenti manus illatæ sunt, neque urbe exeuntem quisquam prohibuit. Agylæo etiam postridie ex templo discedenti pepercerunt.

IX. Lacedæmone non Metus tantum, sed Mortis etiam et Risus, aliorumque id generis affectuum fana sunt. Colunt autem Metum, non eo modo, quo noxios quosdam genios abominantur, sed quod metu maxime contineri rempublicam arbitrantur. Ideo etiam ephori quum magistratum ineunt, civibus edicunt, ut refert Aristoteles, ut mystacem radant, ac legibus animum advertant, ne eæ ipsis sint difficiles, de barba ut opinor eo præcipientes, ut in minimis quoque rebus dicto audientes esse juvenes assuefacerent. (2) Et quidem fortitudinem mihi videntur non vacuitatem a metu, sed metum reprehensionis et ignominiæ antiqui judicasse. Qui enim maxime leges timent, ii adversus hostem sunt audacissimi; minimeque dolorem formidant, qui male audire maxime timent. Ideo recte dictum est :

Namque verecundus metui comes est pudor...

atque Homerus etiam præclare :

Care socer, reverende mihi semperque timende ;

et alio loco,

Ductorumque metu taciti.

Nam plerique eos maxime reverentur, quos timent. Itaque Lacedæmonii etiam juxta ephororum syssitium Metus fanum dedicant, quum eorum magistratus proxime regiam esset potentiam.

X. Facta die Cleomenes octoginta cives proscripsit, quibus solum vertendum esset sellisque ephororum remotis unam modo reliquit, qua sedens ipse jus dicturus erat. (2) Advocato deinde ad concionem populo, ut factorum suorum rationem redderet, hujusmodi orationem habuit. « Lycurgus regibus, inquit, senatum adjunxit, diuque eo « modo respublica Spartana absque ullo alio magistratu « administrata fuit. Postea temporis quum bellum adversus Messenios traheretur, reges, quod ipsi expeditionibus « occuparentur, quosdam suorum amicorum delegerunt « qui judicia obirent, eosque et suos vicarios populo reliquerunt ephoros dictos. Hi quum primum nihil aliud « quam administri regum essent, paulatim deinde potestatem sibi ipsis arrogarunt, magistratumque proprium

νους. (3) Σημεῖον δὲ τούτου τὸ μέχρι νῦν μεταπεμπομένων τὸν βασιλέα τῶν ἐφόρων τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον, τὸ δὲ τρίτον καλούντων ἀναστάντα βαδίζειν πρὸς αὐτούς· καὶ τὸν πρῶτον ἐπισφοδρύναντα τὴν ἀρχὴν καὶ ἀνατεινάμενον Ἀστέρωπον ἡλικίαις ὕστερον πολλαῖς ἔφορον γενέσθαι. Μετριάζοντας μὲν οὖν αὐτοὺς (ἔφη) κρεῖττον ἦν ὑπομένειν, ἐξουσίᾳ δὲ ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχὴν, ὥστε τῶν βασιλέων τοὺς μὲν ἐξελαύνειν, τοὺς δὲ ἀποκτιννύειν ἀκρίτους, ἀπειλεῖν δὲ τοῖς ποθοῦσιν αὖθις ἐπιδεῖν τὴν καλλίστην b καὶ θειοτάτην ἐν Σπάρτῃ κατάστασιν, οὐκ ἀνεκτόν. (4) Εἰ μὲν οὖν δυνατὸν ἦν ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτους τῆς Λακεδαίμονος κῆρας, τρυφὰς καὶ πολυτελείας καὶ χρέα καὶ δανεισμοὺς καὶ τὰ πρεσβύτερα τούτων κακὰ, πενίαν καὶ πλοῦτον, εὐτυχέστατον ἂν ἡγεῖσθαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα· νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν Λυκοῦργον, ὃς οὔτε βασιλεὺς ὢν οὔτ' ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν ἐν τοῖς ὅπλοις προῆλθεν εἰς ἀγορὰν, ὥστε δείσαντα τὸν βασιλέα Χάριλλον ἐπὶ βωμὸν καταφυγεῖν. Ἀλλ' ἐκεῖνον μὲν, ὄντα c χρηστὸν καὶ φιλόπατριν, ταχὺ τῷ Λυκούργῳ τῶν πραττομένων μετασχεῖν καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας, (5) ἔργῳ δὲ μαρτυρῆσαι τὸν Λυκοῦργον, ὅτι πολιτείαν μεταβαλεῖν ἄνευ βίας καὶ φόβου χαλεπόν ἐστιν, οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι τοὺς ἐνισταμένους τῇ σωτηρίᾳ τῆς Λακεδαίμονος ἐκποδὼν ποιησάμενον. Τοῖς δὲ ἄλλοις ἔφη πᾶσι τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι καὶ χρεῶν τοὺς ὀφείλοντας ἀπαλλάττειν καὶ τῶν ξένων κρίσιν ποιεῖν καὶ δοκιμασίαν, ὅπως οἱ κράτιστοι γενόμενοι Σπαρτιᾶται σώζωσι τὴν πόλιν d τοῖς ὅπλοις καὶ παυσώμεθα τὴν Λακωνικὴν Αἰτωλῶν καὶ Ἰλλυριῶν λείαν οὖσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες.

XI. Ἐκ τούτου πρῶτον μὲν αὐτὸς εἰς μέσον τὴν οὐσίαν ἔθηκε, καὶ Μεγιστόνους ὁ πατρῳὸς αὐτοῦ καὶ τῶν ἄλλων φίλων ἕκαστος, ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. Κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων φυγάδων ἀπένειμεν ἑκάστῳ καὶ κατάξειν ἅπαντας ὡμολόγησε τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. (2) Ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων, ὁπλίτας τετρακισχιλίους ἐποίησε, καὶ διδάξας αὐτοὺς ἀντὶ δόρατος χρῆσθαι σαρίσῃ e δι' ἀμφοτέρων καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ διὰ πόρπακος, ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη καὶ τὴν λεγομένην ἀγωγὴν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανόντων καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐτελῆ καὶ Λακωνικὴν δίαιταν. Ὅμως δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα τὸν ἀδελφὸν Εὐκλείδαν. Καὶ τότε μόνον Σπαρτιάταις ἐκ μιᾶς οἰκίας f συνέβη δύο σχεῖν βασιλέας.

« animadvertente nemine constituerunt. (3) Cujus rei exstat quod in hanc diem observatur signum, ut rex ab ephoris arcessitus semel atque iterum abnuat, tertio demum vocatus surgat et ad eos accedat; tum hoc, quod Asteropus, qui primus eum magistratum auxerit, multis post ætatibus ephorus fuit. Ac poterant quidem utcunque ferri in republica ephori, si quidem moderate se gessissent; qui autem potentia asserta avitum regnum opprimebant, adeo ut regum alios in exilium agerent, alios indicta causa necarent, periculumque omnibus priscam ac pulcherrimam reipublicæ formam videre desiderantibus denuntiarent, tolerari nequaquam debuerunt. (4) Quodsi absque cæde exscindi pestes Lacedæmoni invectæ potuissent, luxus, luxuria, debita, fœnerationes, malaque his antiquiora pauperies et divitiæ, omnium ego me regum beatissimum judicarem, veluti eum medicum, qui absque ullo dolore patriam sanasset. Nunc necessitati veniam deberi Lycurgus ostendit, qui privatus et neque regia neque alia ulla potestate præditus, regnum tamen adiens armatus in forum processit ita quidem, ut Charillus rex perterritus ad aram confugeret. Sed is quidem, vir bonus et patriæ amans, statim Lycurgo socium se immutandæ constituendæque reipublicæ adjunxit; (5) ostendit tamen re ipsa Lycurgus, difficulter citra vim et terrorem mutari rempublicam posse. Atque his quidem ego moderatissime usus sum, sublatis e medio iis qui saluti Spartæ impedimento erant. Ceteris omnibus agros in commune dividendos tribuo, debitores alieno ære libero, peregrinorum delectum propono, ut eorum optimi in civitatem nostram assumpti, armis urbem tutentur, ut desinamus Laconicam penuria defensorum prædationibus Ætolorum et Illyriorum expositam videre. »

XI. His dictis, primus omnibus bona sua in publicum contulit, idemque et Megistonus vitricus et amicorum unusquisque fecerunt, ac cives universi imitati sunt. Agri deinde divisi sunt, assignavitque Cleomenes iis quoque suas partes, quos solum vertere jusserat, ac promisit rebus ad tranquillum statum reductis universos se reducturum. (2) Civium deinde numerum lecto de finitimis præstantissimo quoque supplevit, ac quattuor millia arma ferentium instituit, docuitque eos loco hastilium sarissis uti, quas utraque manu tenerent, et scutum ferre non loro appensum, sed armilla. Ad adolescentum inde conversus institutionem adjutorem in plerisque habuit Sphærum, recipiebatur autem ab iis statim exercitationum et syssitiorum ordo atque frugalitas, paucis vi ad ea compulsis, plerisque ultro simplicem illam et Laconicam vivendi rationem amplectentibus. Interim Cleomenes, quasi quoddam invidioso monarchiæ nomini remedium fratrem Euclidam regni socium ascivit, et tunc solum Spartanis duo ex eadem familia reges fuerunt.

ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. (2) Ὁ δὲ f Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαί φησι τὸν Ἆγιν Ἀράτου κελεύοντος, οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος, ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. Ἐπεὶ δ' οὖν Ἄρατος ἀπέγνω μάχεσθαι καὶ τοὺς συμμάχους ἐπαινέ-
802 σας διαφῆκε, θαυμασθεὶς ὁ Ἆγις ἀνεζεύγνυεν, ἤδη τῶν a
ἔνδον ἐν Σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν.

XVI. Ὁ γὰρ Ἀγησίλαος ἐφορεύων ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι καὶ παρέπραττε. (2) Δεδιὼς δὲ τοὺς ἀδικουμένους καὶ μισούμενος ὑπὸ πάντων, ἔτρεφε μαχαιροφόρους καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. Καὶ τῶν βασιλέων τοῦ μὲν ὅλως καταφρονεῖν, τὸν δὲ Ἆγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον ἢ διὰ τὴν βασιλείαν ἔν τινι b τιμῇ τίθεσθαι. Διέδωκε δὲ λόγον ὡς καὶ αὖθις ἐφορεύσων. Διὸ καὶ θᾶσσον ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ καὶ συστάντες ἐκ Τεγέας ἀναφανδὸν τὸν Λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον, ἡδέως καὶ τῶν πολλῶν θεασαμένων· ὠργίζοντο γὰρ πεφενακισμένοι τῆς χώρας μὴ νεμηθείσης. (3) Τὸν μὲν οὖν Ἀγησίλαον ὁ υἱὸς Ἱππομέδων δεόμενος τῶν πολιτῶν καὶ πᾶσι προσφιλὴς ὢν δι' ἀνδραγαθίαν ὑπεξήγαγε καὶ διέσωσε. Τῶν δὲ βασιλέων ὁ μὲν Ἆγις ἐπὶ τὴν Χαλκίοικον κατέφυγεν, ὁ δὲ Κλεόμβροτος εἰς τὸ τοῦ Ποσειδῶνος ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι. Καὶ παρεὶς τὸν Ἆγιν, ἐπὶ τοῦτον ἀνέβη στρατιώτας c ἔχων· καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ, καὶ τὴν βασιλείαν ἀφείλετο καὶ συνεξέβαλε τῆς πατρίδος.

XVII. Ὁ μὲν οὖν Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χιλωνίς, ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο, καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε, καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει, τότε δὲ αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα d μετὰ τοῦ ἀνδρὸς ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα τὰς χεῖρας ἐκείνῳ καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δ' ἔνθεν ὑφ' αὑτὴν ἔχουσα. (2) Θαυμαζόντων δὲ πάντων καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικός, ἁψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων, « Τοῦτο, εἶπεν, ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν οὐχ ὁ Κλεομβρότου περιτέθεικεν ἔλεος, ἀλλ' ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. (3) Πότερον οὖν δεῖ με σοῦ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς ἢ λαβεῖν

(2) Bato Sinopensis Agidem pugnam detrectasse scribit, jubente pugnare Arato; non legerat nimirum ea, quæ ipse Aratus scripsit, quum omissam pugnam excusans ait, consultius sibi visum fuisse transitum hostibus concedere, fructibus jam prope omnibus ex agris collectis, quam summam rerum in discrimen Martis adducere. Postquam ergo Aratus consilio dimicandi improbato socios collaudatos dimisit, Agis sui excitata admiratione discessit, jam rebus Spartæ majorem in modum conturbatis atque immutatis.

XVI. Etenim Agesilaus ephorus tunc liberatusque eo metu, ob quem prius abjecta conditione vixerat, nullo facinore, quod quidem quæstuosum esset, abstinebat, atque adeo decimum tertium mensem, annorum circuitu tum id non postulante et contra legibus definitam temporum ordinationem vectigalibus intercalavit, tributaque contra jus fasque exegit. (2) Odio autem omnibus quum esset metueretque eos quos injuriis afficiebat, sicarios alebat, neque in curiam nisi stipatus iis descendit. Volebat autem videri regum alterum plane contemnere, Agidem magis necessitudinis quam magistratus causa aliquo in honore haberi. Spargebat etiam rumorem, iterum se ephorum futurum. Eapropter adversarii mature occurrendum adeundumque discrimen intelligentes, facta coitione, Leonidam Tegea palam ad regnum reduxerunt, libenter hoc etiam vulgo vidente, cujus animos irritaverat, quod promissa agrorum divisione fraudati erant. (3) Agesilaum quidem filius Hippomedon, omnibus ob virtutem gratus, deprecando apud cives morti eripuit, Spartaque eduxit. Reges autem, Agis ad Chalciœcum confugit, Cleombrotus in fano Neptuni supplex consedit; huic enim infensior videbatur Leonidas, omissoque Agide cum militibus hunc petebat, graviter ei exprobrans, iratoque animo, quod gener sibi insidias fecisset, regnoque et patria ejicientibus adfuisset.

XVII. Cleombrotus quum quod responderet haberet nihil, anxius animi tacitusque sedebat, filia autem Leonidæ Chilonis, quæ prius injuriam patris ad se quoque pertinere rata, Cleombroto marito, qui regnum socero deturbato susceperat, relicto, patrem calamitate ictum coluerat, supplicantique adfuerat et in exsilium profecta in luctu ipsa Cleombrotique odio perseveraverat, rursus tum fortunæ mutationem secuta, supplicanti viro assidebat, manibus eum suis amplectens et liberos ab utroque latere singulos sub se habens. (2) Admirantibus universis et ob bonitatem amoremque in virum mulieris ejus ad fletum conversis, vittam crinesque incomptos manu tangens, « Hunc, inquit, o pater, vultum, hunc habitum, non « Cleombroti misericordia mihi circumposuit, sed a te « exsilio ac calamitate in hunc usque diem luctus mihi « perpetuus comes fuit usuque familiaris factus permansit. « (3) Utrum igitur nunc te victore et Spartæ regnante vivendum mihi porro in his est miseriis, an vero vestis mihi « splendida et regalis sumenda est, videnti maritum, cui

ἐσθῆτα λαμπρὰν καὶ βασιλικήν, ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν e παρθένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν ἢ σὺ βούλει δίκην ὑφέξει τῆς κακοβουλίας ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. (4) Τίνι γὰρ ἐμὲ δεῖ ζῆν παῤῥησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ᾗ μήτε παρ' ἀνδρὸς δεομένῃ μήτε παρὰ πατρὸς ἔλεός ἐστιν; ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. (5) Τούτῳ μὲν οὖν εἰ καί τις ἦν λόγος εὐπρεπής, ἐγὼ τοῦτον ἀφειλόμην τότε σοὶ συνεξετασθεῖσα καὶ καταμαρτυρήσασα τῶν ὑπὸ τούτου f γενομένων· σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον. »

XVIII. Ἡ μὲν Χιλωνὶς τοιαῦτα ποτνιωμένη τό τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ Κλεομβρότου καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιήνεγκεν εἰς τοὺς παρόντας. Ὁ δὲ Λεωνίδας δια-
803 λεχθεὶς τοῖς φίλοις τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν a ἀναστάντα φεύγειν, τῆς δὲ παιδὸς μένειν ἐδεῖτο καὶ μὴ καταλιπεῖν ἑαυτὸν οὕτω φιλοῦντα καὶ δεδωκότα χάριν τὴν τοῦ ἀνδρὸς αὐτῇ σωτηρίαν. (2) Οὐ μὴν ἔπεισεν, ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δ' ἀναλαβοῦσα καὶ προσκυνήσασα τὸν βωμὸν τοῦ θεοῦ συνεξῆλθεν· ὥστε, εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐτύχημ' ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ τὴν γυναῖκα. (3) Μεταστησάμενος δὲ τὸν Κλεόμβροτον ὁ Λεωνίδας καὶ τοὺς πρώτους ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ Ἄγιδι. Καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι b καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν· συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ Ἀγησιλάου νέον ὄντα καὶ φιλότιμον. Ἐκείνου δὲ ὑφορωμένου καὶ κατὰ χώραν μένοντος, αὐτὸς μὲν ἐπαύσατο φενακίζων καὶ κατειρωνευόμενος, Ἀμφάρης δὲ καὶ Δαμοχάρης καὶ Ἀρκεσίλαος ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι· καί ποτε καὶ παραλαβόντες ἐπὶ λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον καὶ λουσάμενον πάλιν εἰς τὸ ἱερὸν κατέστησαν. (4) Καὶ ἦσαν πάντες μὲν αὐτῷ συνήθεις, ὁ δὲ Ἀμφάρης καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς Ἀγησιστράτας c ἐπεβούλευε διὰ ταῦτα τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν ὡς ἀποστερήσων. Καὶ μάλιστά γε αὐτὸς ὑπακοῦσαι τῷ Λεωνίδᾳ λέγεται καὶ παροξῦναι τοὺς ἐφόρους, ὧν καὶ αὐτὸς εἷς ἦν.

XIX. Ἐπεὶ δὲ ὁ Ἆγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν ὅτε τύχοι πρὸς τὸ λουτρόν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. Καὶ παραφυλάξαντες λελουμένον ἀπήντησαν καὶ ἠσπάσαντο καὶ συμπροῆγον ἅμα διαλεγόμενοι καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον. Ἐκτροπὴν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον ἐχούσης,

« virgo nupsi, a te jugulari? Qui quidem si uxoris et liberorum lacrimis te non exorat, graviores etiam quam tu ipse velles pœnas suæ imprudentiæ dabit, videns me, quam sibi habet carissimam, ante se mori. (4) Qua enim fronte erga ceteras mulieres vitam tolerabo, quam deprecantem neque maritus est neque pater miseratus? sed et filia et uxor communem cum meis calamitatem et ignominiam subire cogor. (5) Quodsi quid honestæ accusationis maritus meus habuit, ego id omne refelli eo tempore, quum te secuta, testimonium adversus eum tuli : tu vero ipse ostendis facinus ejus facile excusari posse, qui regnum tanti faciendum, omnique conatu expetendum ostendas adeo, ut ejus causa et generos necare et propriorum liberorum nullam habere rationem justum esse innuas. »

XVIII. Hunc Chilonis ad modum quiritata, faciem Cleombroti capiti imposuit, vultumque luctu confectum in astantes intuens circumegit. Leonidas autem cum amicis deliberata re, Cleombrotum templo abire, et solum vertere jussit, filiam autem oravit uti secum maneret, neque patrem desereret sui ita amantem, ut salutem etiam mariti ei donaret. (2) Neque vero persuasit, sed Chilonis surgenti marito alterum natorum tradens, alterum ipsa recipiens, adorato dei altari, una cum marito abiit, ut Cleombrotus profecto, nisi inanis gloriæ studio plane fuisset perditus, debuerit propter talem uxorem exsilium sibi quam regnum meliori obtigisse fortuna credere. (3) Pulso Cleombroto Leonidas, primisque ephoris magistratu privatis, et constitutis aliis, confestim Agidi insidias struxit. Ac primo quidem hortatus eum est ut templo discederet, collegamque se ei in regno, ut ante, adjungeret : ignovisse enim ipsi populum, quod homo juvenis laudisque cupidus ab Agesilao cum aliis esset deceptus. Deinde suspicante insidias Agide, et intra templum se continente, ipse quidem fraude tentandi simulandique finem fecit. Amphares autem, Damochares et Arcesilaus accedere ad eum, et colloqui solebant; aliquando etiam a templo ad balneum quoddam deducere, lotumque rursus in templum reducere. (4) Erant hi tres Agidis familiares, Amphares autem nuper etiam vestes et pretiosa pocula ab Agesistrata mutuo sumpserat, eorumque retinendorum causa regi regiisque matronis insidiabatur. Et vero hic omnium maxime obsecutus Leonidæ fuisse et ephoros, de quorum erat collegio, adversus Agidem concitasse fertur.

XIX. Itaque quum Agis perpetuo in templo degeret, nisi quum per occasionem ad lavandum descenderet, statuerunt eum, quum extra templum in via ad lavacrum esset, capere, observatoque tempore quum lotus fanum repeteret, occurrerunt, salutaverunt, colloquentesque et ludentes tanquam cum familiari suo juvene deduxerunt ad eum usque locum, ubi obliquum a via ad carcerem est diverticulum. Ibi de-

ὡς ἐγένοντο κατ' αὐτὴν βαδίζοντες, ὁ μὲν Ἀμφάρης d διὰ τὸ ἄρχειν ἀψάμενος τοῦ Ἄγιδος, « Ἄγω σε, εἶπεν, ἐπὶ τοὺς ἐφόρους, ὦ Ἆγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων· » ὁ δὲ Δαμοχάρης, εὔρωστος ὢν καὶ μέγας, τὸ ἱμάτιον περιβαλὼν περὶ τὸν τράχηλον εἷλκεν· ἄλλων δὲ ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς, οὐδενὸς βοηθοῦντος, ἀλλ' ἐρημίας οὔσης, ἐμβάλλουσιν αὐτὸν εἰς τὸ δεσμωτήριον. (2) Εὐθὺς δὲ παρῆν ὁ μὲν Λεωνίδας μισθοφόρους ἔχων πολλοὺς καὶ τὸ οἴκημα περιέσχεν ἔξωθεν, οἱ δὲ ἔφοροι πρὸς τὸν Ἆγιν εἰσῆλθον καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταὐτὰ βουλομένους, ὡς δὴ κρίσεως αὐτῷ γινομένης, ἐκέλευον e ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. Γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν Ἀμφάρης οἰμωξόμενον ἐκάλει καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος· ἄλλος δὲ τῶν ἐφόρων, οἷον ἐνδιδοὺς τῷ Ἄγιδι καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν, εἰ ταῦτα ἔπραξεν ὑπὸ Λυσάνδρου καὶ Ἀγησιλάου βιασθείς. (3) Ἀποκριναμένου δὲ τοῦ Ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ' οὐδενὸς, ζηλῶν δὲ καὶ μιμούμενος τὸν Λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν, πάλιν ὁ αὐτὸς ἠρώτησεν, εἰ μετανοεῖ τοῖς πεπραγμένοις. Φήσαντος δὲ τοῦ νεανίσκου μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ ἔσχατα πεισόμενον αὐτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο f καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἄγειν εἰς τὴν καλουμένην Δεχάδα. Τοῦτο δέ ἐστιν οἴκημα τῆς εἱρκτῆς, ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. (4) Ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ Δαμοχάρης οὐ τολμῶντας ἅψασθαι τοῦ Ἄγιδος, ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας 804 τὸ ἔργον, ὡς οὐ θεμιτὸν οὐδὲ νενομισμένον βασιλέως a σώματι τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς καὶ λοιδορηθεὶς εἷλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν Ἆγιν. Ἤδη γὰρ ᾔσθηντο πολλοὶ τὴν σύλληψιν, καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις καὶ φῶτα πολλὰ, καὶ παρῆσαν ἥ τε μήτηρ τοῦ Ἄγιδος καὶ, ἡ μάμμη βοῶσαι καὶ δεόμεναι τὸν βασιλέα τῶν Σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. Διὸ καὶ μάλιστα κατήπειξαν τὴν ἀναίρεσιν, ὡς ἐξαρπαγησομένου νυκτὸς, ἂν πλείονες ἐπέλθωσιν.

XX. Ὁ μὲν οὖν Ἆγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα, « Παῦσαί με, εἶπεν, ὦ ἄνθρωπε, κλαίων· καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύμενος b κρείττων εἰμὶ τῶν ἀναιρούντων· » καὶ ταῦτ' εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. (2) Ὁ δὲ Ἀμφάρης προελθὼν ἐπὶ τὰς θύρας καὶ τὴν Ἀγησιστράταν προσπεσοῦσαν αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν ἀναστήσας οὐδὲν ἔφη περὶ τὸν Ἆγιν ἔσεσθαι βίαιον οὐδὲ ἀνήκεστον· ἐκέλευε δὲ κἀκείνην, εἰ βούλοιτο, πρὸς τὸν υἱὸν εἰσελθεῖν. Ἐκείνης δὲ καὶ τὴν μητέρα μετ' αὐτῆς παρεῖναι δεομένης οὐδὲν ἔφη κωλύειν ὁ Ἀμφάρης· (3) καὶ δεξάμενος ἀμφοτέρας καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας προτέραν μὲν τὴν

mum Amphares, auctoritate muneris sui Agidi manum injiciens, Duco, ait, te, o Agi, ad ephoros, ut administratæ reipublicæ rationem reddas; tum Damochares, homo validus et magnus, veste collo injecta eum traxit, reliquisque a tergo ex composito impellentibus, nemine succurrente, quod solitudo eo loci erat, ita Agis in carcerem conjicitur. (2) Illico Leonidas supervenit, carceremque multis stipendiariis militibus cinxit. Ephori autem ad Agidem ingressi sunt, et de senatoribus eos, quos secum sentire noverant, eodem vocaverunt, quasi de causa cogituri, Agidemque factorum suorum causas edere jusserunt. Qui quum simulationem eorum rideret, Ejulabis, inquit Amphares, pœnasque tuæ dabis protervitatis. Alius autem quidam ex ephoris, veluti rationem effugiendæ damnationis Agidi significans, quæsivit utrum ista a Lysandro et Agesilao coactus egisset. (3) Respondente Agide, a nemine se coactum, sed æmulatione Lycurgi hanc reipublicæ mutationem aggressum, idem rursus interrogavit: Mutaretne factum. Quum respondisset, nequaquam se pœnitere optimorum suorum consiliorum, etiamsi extrema sibi ferenda supplicia sciret, morte eum damnaverunt, lictoribusque mandaverunt, ut eum in Dechadem quam dicunt abducerent. Locus est in carcere ubi damnatos suffocant. (4) Damochares lictores cernens non audere attingere Agidem, ac milites quoque qui astabant, opus illud subterfugere et aversari, quod injustum nefasque putarent manus regis corpori afferre, multa iis minatus atque conviciatus, ipse eo Agidem pertraxit. Jam enim multi inaudiverant eum comprehensum esse, tumultusque ad fores carceris erat et multa lumina, aderatque mater et avia Agidis, vociferantes orantesque ut de causa regis Spartanorum populum cognoscere sinerent. Quo magis illi necem ejus accelerabant, ne noctu pluribus supervenientibus e carcere eriperetur.

XX. Et Agis quidem ad strangulationem vadens, quum videret ministrorum unum graviter dolere ac flere: Desine, inquit, mi homo, me deplorare; nam qui ita injuste necor, auctoribus meæ cædis præsto; atque hæc locutus, ultro collum laqueo præbuit. (2) Amphares autem ad fores progressus Agesistratam, quæ ei ad pedes acciderat familiaritate freta, erigens, nihil gravius aut capitale statutum iri de Agide affirmavit, ac si vellet, intro ad filium ire jussit, et quum oraret, ut mater quoque una admitteretur, nihil se impedire dixit. (3) Ita utraque recepta, januam carceris rursum claudi præcepit, prioremque Archidamiam necandam

Ἀρχιδάμιαν παρέδωκεν, ἤδη σφόδρα πρεσβῦτιν οὖσαν καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολι- c τίδων, ἀποθανούσης δὲ ἐκείνης ἐκέλευσε τὴν Ἀγησιστράταν ἔσω βαδίζειν. (4) Ὡς δὲ εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμενον καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε καὶ παρεκτείνασα τῷ Ἄγιδι τὸ σῶμα περιέστειλε καὶ κατεκάλυψε· τῷ δὲ υἱῷ προσπεσοῦσα καὶ φιλήσασα τὸ πρόσωπον, « Ἡ πολλή σε, εἶπεν, ὦ παῖ, εὐλάβεια καὶ τὸ πρᾷον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ' ἡμῶν. » (5) Ὁ δὲ Ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γινόμενα καὶ τὰς φωνὰς ἀκούων ἐπεισῆλθε καὶ πρὸς d τὴν Ἀγησιστράταν μετ' ὀργῆς εἶπεν· « Εἰ τοίνυν, ἔφη, ταὐτὰ ἐδοκίμαζες τῷ υἱῷ, ταὐτὰ καὶ πείσῃ. » Καὶ ἡ Ἀγησιστράτα πρὸς τὸν βρόχον ἀνισταμένη, « Μόνον, ἔφη, συνενέγκαι ταῦτα τῇ Σπάρτῃ. »

XXI. Τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων οὐχ ἦν ὁ φόβος οὕτω μέγας, ὥστε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας ἀλγοῦντας μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν Λεωνίδαν καὶ τὸν Ἀμφάρην μηδὲν δεινότερον μηδὲ ἀνοσιώτερον ἐξ οὗ Δωριεῖς Πελοπόννησον οἰκοῦσιν οἰομένους ἐν Σπάρτῃ πεπρᾶχθαι. (2) Βασιλεῖ γάρ, e ὡς ἔοικε, Λακεδαιμονίων οὐδὲ οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες προσέφερον τὰς χεῖρας, ἀλλ' ἀπετρέποντο δεδιότες καὶ σεβόμενοι τὸ ἀξίωμα. Διὸ καὶ πολλῶν γεγονότων Λακεδαιμονίοις ἀγώνων πρὸς Ἕλληνας εἷς μόνος ἀνῃρέθη πρὸ τῶν Φιλιππικῶν δόρατι πληγεὶς περὶ Λεῦκτρα Κλεόμβροτος· Μεσσηνίων δὲ καὶ Θεόπομπον ὑπ' Ἀριστομένους πεσεῖν λεγόντων οὔ φασι Λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. (3) Ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιλογίας. Ἐν δὲ Λακεδαίμονι πρῶτος Ἄγις βασιλεύων ὑπὸ ἐφόρων ἀπέθανε, καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ Σπάρτῃ προελόμενος, f ἡλικίᾳ δὲ γεγονώς, ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι συγγνώμης τυγχάνουσι, μεμφθεὶς δὲ ὑπὸ τῶν φίλων δικαιότερον ἢ τῶν ἐχθρῶν, ὅτι καὶ Λεωνίδαν περιέσωσε καὶ τοῖς ἄλλοις ἐπίστευσεν, ἡμερώτατος καὶ πρᾳότατος γενόμενος.

tradidit, maximo jam natu mulierem, et quæ in summa inter cives dignitate consenuerat. Hac mortua, intro Agesistratam vocavit. (4) Quæ quum ingressa filium humi jacere mortuum, matremque exanimatam a fune pendere vidit, in hac quidem deponenda carnifices adjuvit, corpusque ejus juxta Agidem extendit, et texit; in filii vero cadaver incumbens, faciemque deosculata : Nimia, ait, o fili, te accuratio et cautio, tum mansuetudo, et humanitas nobiscum perdiderunt. (5) Amphares quum foribus assistens illa cerneret, vocemque exaudiret, ingressus est, Agesistrataeque iratus dixit : Quando ergo idem quod filius sensisti, eodem afficieris supplicio. Tum Agesistrata ad laqueum se erigens, Modo, inquit, Spartæ hoc prosit.

XXI. Re vero per urbem divulgata, et tribus his cadaveribus elatis non tantus fuit metus civium, ut non palam dolere sibi hoc factum, odio se Leonidæ et Ampharis correptos præ se ferrent; existimabant enim ab eo tempore, quo primum inhabitare Peloponnesum Dorienses cœperunt, ad eum usque diem nihil crudelius Spartæ aut scelestius actum fuisse. (2) Et vero Lacedæmoniorum regi ne hostis quidem in pugna occurrens manus temere attuli se videtur, sed dignitatis verecundia abstinuisse. Itaque in tam multis adversus Græcos certaminibus Spartanorum, unicus ante Philippi Macedonis ætatem Cleombrotus apud Leuctra prœlio cæsus est, et quod affirmant Messenii Theopompum ab Aristomene interfectum, id Lacedæmonii negant, ictumque modo fuisse fatentur. (3) Sed ea nonnihil habent ambigui. Lacedæmone quidem primus regum Agis ab ephoris necatus est, quum præclaras Spartaque dignas res conatus esset, idque ea ætate qua peccantibus hominibus ignosci solet; ab amicis autem quam inimicis reprehendi potuit rectius, quod et Leonidam servasset, et, homo videlicet mansuetissimus, ceteris credidisset.

ΚΛΕΟΜΕΝΗΣ.

805 a Ἀποθανόντος δὲ αὐτοῦ τὸν μὲν ἀδελφὸν Ἀρχίδαμον οὐκ ἔφθη συλλαβεῖν ὁ Λεωνίδας εὐθὺς ἐκφυγόντα· τὴν δὲ γυναῖκα παιδίον ἔχουσαν νεογνὸν ἐκ τῆς οἰκίας ἀπαγαγὼν βίᾳ Κλεομένει τῷ υἱῷ συνῴκισεν οὐ πάνυ γάμων ὥραν ἔχοντι, τὴν δὲ ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. (2) Ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ Ἀγιᾶτις Γυλίππου τοῦ πατρὸς, ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν Ἑλληνίδων διαφέρουσα καὶ τὸν τρόπον ἐπιεικής. Διὸ πολλὰ μὲν ἐποίησεν, ὥς φασι, μὴ βιασθῆναι δεομένη, συνελθοῦσα δὲ εἰς ταὐτὸ τῷ Κλεομένει τὸν μὲν Λεωνίδαν ἐμίσει, περὶ δὲ αὐτὸν τὸν νεανίσκον ἦν ἀγαθὴ γυνὴ καὶ φιλόστοργος ἐρωτικῶς ἅμα τῷ λα- b βεῖν πρὸς αὐτὴν διατεθέντα καί τινα τρόπον συμπαθοῦντα τῇ πρὸς τὸν Ἆγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικὸς, ὥστε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονότων καὶ προσέχειν ἐπιμελῶς διηγουμένης ἣν ὁ Ἆγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. (3) Ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ Κλεομένης καὶ πρὸς ἐγκράτειαν καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ Ἄγιδος εὖ πεφυκὼς, τὸ δὲ εὐλαβὲς ἄγαν ἐκεῖνο καὶ πρᾷον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο καὶ μετὰ σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. Ἐφαίνετο δὲ κάλλιστον μὲν αὐτῷ κρατεῖν ἑκόντων, c καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι πρὸς τὸ βέλτιον ἐκβιαζόμενον.

II. Οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν, ἀπραγμοσύνῃ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾶν βουλόμενον, ἀμελουμένων δὲ τῶν κοινῶν, κατ' οἰκίαν ἑκάστου πρὸς αὑτὸν ἕλκοντος τὸ κερδαλέον. Ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος οὐδ' ἀσφαλὲς ἦν τούτων τῶν περὶ Ἆγιν ἀπολωλότων μνημονεύειν. (2) Λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένη μετασχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβάλλοντος εἰς τὴν d Λακεδαίμονα καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν, καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. (3) Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν· « Ἀγαθὸς νέων ψυχὰς κακκανῆν. » Ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν. Ὁ δὲ Στωϊκὸς λόγος ἔχει τι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παράβο- e λον, βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.

III. Ἐπεὶ δὲ τελευτήσαντος τοῦ Λεωνίδου τὴν βα-

CLEOMENES.

Mortui Agidis fratrem Archidamum arripere Leonidas non potuit; fugam enim ex urbe is occupaverat. Uxorem Agidis Agiatidem, quæ prolem recens natam habebat, domo adductam vi nuptum filio suo Cleomeni dedit, non plane nuptiis maturo, verum eam alii nubere non volebat, (2) quod et a Gylippo ea patre amplissimam hæreditatem exspectabat ætatisque et formæ flore longe omnes Græcas mulieres superabat et moribus erat admodum commodis prædita. Itaque etiam multa fertur ultro fecisse, non passa se cogi. Postquam igitur Cleomeni conjuncta fuit, tametsi Leonidam odisset, tamen adolescentem hunc omni amore et officio conjugali colebat, statim in ipsis nuptiis amore sui correptum et quodammodo desiderium memoriamque Agidis, qua eum uxor prosequebatur, miserantem, adeo quidem, ut sæpe historiam rerum ejus recitari sibi jusserit, narrantique consilia et propositum ejus attente animum adverterit. (3) Erat enim Cleomenes ingenio laudis cupido excelsoque præditus animo, et ad continentiam simplicitatemque non minus, quam Agis, natura aptus; magnam autem illam cautionem et mansuetudinem non habebat, sed innatum quendam animi stimulum, ut vehementi impetu ad id quod quoque tempore pulchrum ei videretur, incitaretur. Existimabat vero pulcherrimum esse, volentibus imperare, pulchrum autem hoc etiam, non obtemperantes cogere et ad officium faciendum vi compellere.

II. Proinde statum reipublicæ præsentem minime probabat. Etenim cives otio et voluptatibus deliniti quiescebant, rex omnibus negotiis valere jussis satis sibi beatus videbatur, si luxuriantem genioque in omnium rerum abundantia indulgentem nemo interturbaret; negligebatur autem commodum publicum propterea, quod pro se unusquisque quantum poterat in rem suam vertebat. Mentionem autem exercitationis et temperantiæ adolescentum, tolerantiæque et æqualitatis facere periculosum erat, Agide, quod conatus ea fuisset in urbem reducere, interfecto. (2) Fertur Cleomenes adolescentulus adhuc philosophiam attigisse, quum Sphærus Borysthenites Lacedæmonem venisset, adolescentesque et pueros non indiligenter institueret. Is Sphærus inter primos fuit Zenonis Citiei discipulos, videturque ingenium Cleomenis ad fortitudinem accommodatum amplexus, animi ejus magnitudinem doctrina sua excitasse. (3) Nam Leonidas quidem ille priscus interrogatus qualem poetam judicaret Tyrtæum, respondit, videri sibi aptum qui juvenum animos ad vitam pro patria profundendam accendat (repleti enim a carminibus ejus quasi furore quodam divino, in prœliis se vitamque suam reipublicæ condonabant); Stoica vero disciplina, si magna et vehementia ingenia imbuantur, prompti ad pericula subeunda et audaces adeoque temerarii fiunt homines, sin ea sedato et placido ingenio committatur, ejus temperamento quasi diluta in bona ipsi propria excrescit.

III. Quum morte Leonidæ ad Cleomenem redisset regnum,

σιλείαν παρέλαβε καὶ τοὺς πολίτας τότε δὴ παντάπασιν ἐκλελυμένους ἑώρα, τῶν μὲν πλουσίων καθ' ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινὰ, τῶν δὲ πολλῶν διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων, αὐτοῦ δὲ ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δὲ ἀρχὴ πᾶσα τῶν ἐφόρων, εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. Ὄντος δὲ f
αὐτῷ φίλου Ξενάρους, ἐραστοῦ γεγονότος (τοῦτο δὲ ἐμπνεῖσθαι Λακεδαιμόνιοι καλοῦσιν), ἀπεπειρᾶτο τούτου διαπυνθανόμενος τὸν Ἆγιν, ὁποῖος γένοιτο βασιλεὺς καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. (2) Ὁ δὲ Ξενάρης τὸ μὲν πρῶτον οὐκ ἀηδῶς
806 ἐμέμνητο τῶν πραγμάτων ἐκείνων, ὡς ἐπράχθη a
καθ' ἕκαστα μυθολογῶν καὶ διηγούμενος· ὡς δ' ἦν καταφανὴς ὁ Κλεομένης ἐμπαθέστερον προσέχων καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ Ἄγιδος καὶ ταὐτὰ πολλάκις ἀκούειν βουλόμενος, ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ Ξενάρης ὡς οὐχ ὑγιαίνοντι, καὶ τέλος ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾶν πρὸς αὐτὸν, οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ' αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. (3) Οὕτω δὲ τοῦ Ξενάρους ἀντικρούσαντος ὁ Κλεομένης καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος, αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. Οἰόμενος δ' ἂν ἐν πολέμῳ μᾶλλον ἢ κατ' εἰρήνην μεταστῆσαι τὰ παρόντα συνέκρουσε πρὸς τοὺς Ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προ- b
φάσεις. (4) Ὁ γὰρ Ἄρατος ἰσχύων μέγιστον ἐν τοῖς Ἀχαιοῖς ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν ἀγαγεῖν Πελοποννησίους, καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος, ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις. Ἐπεὶ δὲ, τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο Λακεδαιμόνιοι καὶ Ἠλεῖοι καὶ ὅσοι Λακεδαιμονίοις Ἀρκάδων προσεῖχον, ἅμα τῷ τὸν Λεωνίδαν ἀποθανεῖν παρηνώχλει τοῖς Ἀρκάσι καὶ περιέκοπτεν αὐτῶν μάλιστα τοὺς τοῖς Ἀχαιοῖς ὁμοροῦντας ἀποπειρώμενος τῶν Λακεδαιμονίων καὶ τοῦ Κλεομένους ὡς νέου καὶ ἀπείρου c
καταφρονῶν.

IV. Ἐκ τούτου Κλεομένη πρῶτον οἱ ἔφοροι πέμπουσι καταληψόμενον τὸ περὶ τὴν Βέλβιναν Ἀθήναιον. Ἐμβολὴ δὲ τῆς Λακωνικῆς τὸ χωρίον ἐστὶ, καὶ τότε πρὸς τοὺς Μεγαλοπολίτας ἦν ἐπίδικον. (2) Καταλαβόντος δὲ τοῦτο καὶ τειχίσαντος τοῦ Κλεομένους ὁ Ἄρατος οὐθὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐκστρατεύσας ἐπεχείρησε Τεγεάταις καὶ Ὀρχομενίοις. Τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν Ἄρατος ἀνεχώρησε λεληθέναι νομίζων, ὁ δὲ Κλεομένης ἔγραψε πρὸς αὐτὸν, ὡς δὴ παρὰ φίλου πυνθανόμενος, ποῦ τῆς νυκτὸς ἐξέλθοι. Τοῦ δὲ ἀντιγράψαντος, ὡς ἐκεῖνον Βέλβιναν μέλλειν d
τειχίζειν ἀκούσας καταβαίη τοῦτο κωλύσων, πάλιν ὁ Κλεομένης ἀποστείλας τοῦτο μὲν οὕτως ἔχειν ἔφη πεπεῖσθαι· « τοὺς δὲ φανοὺς καὶ τὰς κλίμακας, εἶπεν,

videretque cives plane dissolutos, quod et divites suis cupiditatibus voluptatibusque intenti rempublicam negligebant, et vulgus rebus domesticis laborantibus neque ad bella alacritatem neque laudis studium ad disciplinam quotidianam afferebat, se quoque videbat titulum regis habere, omnem potestatem penes ephoros esse : statim in animum induxit præsentis rerum status mutationem. Amicus ei erat Xenares, amator quondam ejus (Lacedæmonii ἐμπνεῖσθαι dicunt quasi *inspirari* Latine diceres), hujus primum animum tentavit, percontando qualisnam ei rex fuisse Agis videretur et quomodo, quibus auxiliis ea quæ egerat confecisset. (2) Et primo quidem Xenares haud illibenter historiam eam commemorabat, singula ut acta essent narrans. Ut vero non fefellit Cleomenes majore animi affectu auscultans, novisque Agidis rebus mirifice commotus eademque sæpius recitari sibi postulans, iratus eum Xenares objurgavit ut non satis sanum, et ad extremum omnino congressu colloquioque ejus abstinuit, causam tamen dissidii non aperuit, Cleomenem eam cognitam habere dicens. (3) Xenare ad hunc modum refragante, alios perinde affectos arbitrans Cleomenes, ipse consilia secum agitavit. Existimans autem facilius in bello quam pace mutari rempublicam posse, Spartanos cum Achæis commisit occasiones querelarum ultro offerentes. (4) Aratus enim potentissimus Achæorum, quum statuisset omnes Peloponnesios in unum corpus redigere (hic enim finis diuturnis ejus actionibus multisque expeditionibus erat propositus, hoc uno pacto existimantis Græcos ab exteris hostibus tutos fore), ceterisque prope omnibus civitatibus ei se conjungentibus, soli restarent Lacedæmonii, Elei et Arcades quotquot eorum Lacedæmoniis parcerent; statim post mortem Leonidæ adortus est Arcades eosque potissimum infestavit, qui Achæis erant finitimi, Lacedæmoniorum animos tentans, et Cleomenem ut juvenem et imperitum contemnens.

IV. Itaque ephori Cleomenem primum ad occupandum Minervæ fanum, quod apud Belbinam erat, mittunt. Castellum est in finibus Laconicæ ad fauces positum, ac tum de eo cum Megalopolitanis disceptabatur. (2) Quum id esset a Cleomene occupatum et muro cinctum, Aratus nulla prius expostulatione interposita noctu exercitum ad Tegeam et Orchomenum opprimendas duxit. Proditoribus autem præ metu quod promiserant non præstantibus, retro abiit, latuisse se putans. Cleomenes vero jocose ad eum scripsit, tanquam amicum interrogans, quonam noctu exercitum duxisset. Et quum responderet, audivisse se eum Belbinam munire velle et ad id prohibendum contendise : Hoc quidem se ita esse credere, cupere tamen, nisi molestum sit

εἰ μή τί σοι διαφέρει, γράψον ἡμῖν, ἐπὶ τί σοι παρηκολούθουν.» (3) Τοῦ δὲ Ἀράτου πρὸς τὸ σκῶμμα γελάσαντος καὶ πυνθανομένου, ποῖός τις ὁ νεανίσκος εἴη, Δαμοκράτης ὁ Λακεδαιμόνιος φυγάς, «Εἴ τι πράττεις, ἔφη, πρὸς Λακεδαιμονίους, ὥρα σοι ταχύνειν πρὸ τοῦ κέντρα φῦσαι τοῦτον τὸν νεοσσόν.» Ἐκ τούτου Κλεομένει μεθ' ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ στρατοπεδευομένῳ προσέταξαν ἀναχωρεῖν e οἱ ἔφοροι φοβούμενοι τὸν πόλεμον. Ἐπεὶ δὲ ἀναχωρήσαντος αὐτοῦ Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένην. Λαβόντος δὲ αὐτοῦ Μεθύδριον καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοὶ δισμυρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν Ἀριστομάχου στρατηγοῦντος. (4) Ἀπαντήσαντος δὲ περὶ Παλλάντιον Κλεομένους καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγόν, ἀλλ' ἀπῆλθε, λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. Μέγας οὖν τῷ φρονήματι γεγονὼς f ὁ Κλεομένης ἐθρασύνετο πρὸς τοὺς πολίτας καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων εἰπόντος, ὅτι μάτην Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων, οὐ πόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσιν.

V. Ἐπεὶ δὲ τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας καὶ περὶ τὸ Λύκαιον ἀπιοῦσιν ἤδη 807 τοῖς Ἀχαιοῖς ἐπιβαλὼν ἅπαν μὲν ἐτρέψατο καὶ διεπτόησεν a αὐτῶν τὸ στράτευμα, συχνοὺς δὲ ἀνεῖλε καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος, ὁ μὲν Ἄρατος ἄριστα τῷ καιρῷ χρησάμενος ἐκ τῆς τροπῆς ἐκείνης εὐθὺς ἐπὶ Μαντίνειαν ἦλθε, καὶ μηδενὸς ἂν προσδοκήσαντος εἷλε τὴν πόλιν καὶ κατέσχε. (2) Τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων καὶ τῷ Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν Ἀρχίδαμον ἐκ Μεσσήνης, ᾧ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον, οἰόμενος ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι τῆς b βασιλείας ἰσορρόπου καὶ ὁλοκλήρου γενομένης. (3) Οἱ δὲ ἀνῃρηκότες πρότερον τὸν Ἆγιν αἰσθόμενοι τοῦτο, καὶ φοβηθέντες μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα καὶ συγκατῆγον, εὐθὺς δὲ ἀπέκτειναν, εἴτε ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς· τῆς γὰρ αἰτίας τὸ πλεῖστον ἐπ' ἐκείνους ἦλθε βεβιάσθαι τὸν Κλεομένην δοκοῦντας.

VI. Οὐ μὴν ἀλλὰ κινεῖν εὐθὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται στρατείαν. Ἐθεράπευσε δὲ καὶ τῶν ἄλλων c συχνοὺς διὰ τῆς μητρὸς Κρατησικλείας ἀφειδῶς συγχορηγούσης καὶ συμφιλοτιμουμένης, ἥ γε καὶ γάμου μὴ δεομένη λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. (2) Ἐξαγαγὼν δὲ τὴν

ipsi, scire ex eo, quam ob rem faces et scalas secum tulisset (3) Ibi quum Aratus ad facetias hominis subrisisset et quæreret, qualisnam ille esset adolescens, Democrates Lacedæmonius exul, Si quid, ait, adversus Lacedæmonios moliris, Arate, properandum est tibi, antequam pullo huic calcaria nascantur. Secundum hæc Cleomenem in Arcadia cum paucis equitibus et trecentis peditibus castrametatum ephori metu belli revocarunt. Sed ubi eo digresso Caphyas Aratus cepit, rursus ab iis emissus, Methydrium occupavit et Argolicam incursionibus vexavit. Contra eum viginti peditum millia, mille equites ab Achæis missi sunt duce Aristomacho. (4) Qui quum apud Pallantium Cleomeni occurrissent, isque ad pugnandum esset paratus, perterritus ejus audacia Aratus committere prœlium ducem non est passus, sed discessit et ob id conviciis Achæorum exagitatus, derisus contemptuique habitus est a Lacedæmoniis, quorum in exercitu ne quinque quidem integra millia fuerant. His rebus Cleomenes audacia auctus jactare se apud cives cœpit, admonuitque prisci cujusdam regis, qui dixerat : frustra interrogare Lacedæmonios, non quot, sed ubi hostes sint.

V. Inde Eleis ab Achæis bello infestatis opem ferens, apud Lycæum discedentes jam Achæos adortus, universum eorum exercitum fudit fugavitque, permultos occidit et cepit, ita ut Aratum quoque periisse rumor apud Græcos vagaretur. Aratus vero occasione præclare usus, statim ab ea fuga Mantineam venit, nemine id opinante, urbemque eam cepit atque obtinuit. (2) Cleomenes, quum ob hæc Lacedæmoniorum animi fracti essent, sibique bellum gerere volenti repugnarent, statuit Archidamum Agidis fratrem, quem ex altera familia regem esse leges jubebant, Messena Spartam evocare, regno integritati suæ atque æqualitati restituto censens ephororum potentiam minorem futuram. (3) At qui Agidem interfecerant quum hoc sensissent agi, timerentque ne Archidamo reverso pœnæ ab ipsis factorum exigerentur, receperunt quidem eum in urbem clam ingressum reducendique socios se præbuerunt, statim autem occiderunt, sive, ut Phylarchus putat, invito Cleomene, sive ab amicis ad prodendum hominem verbis adducto : nam in eos præcipue culpa collata est, quod ad necem Archidami adegisse Cleomenem existimabantur.

VI. Enimvero Cleomenes statim præsentem reipublicæ statum mutare cupiens, ephoros pecunia corrupit, ut expeditionem sibi decernerent. Reliquorum etiam permultos demeritus est, matre Cratesiclea affatim sumptus præbente conatusque filii adjuvante; hæc quidem, quum conjugium nihil desideraret, filii causa primo gloria et potentia civium nupsisse traditur. (2) Educens igitur expeditionem Cleo-

στρατείαν καταλαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον Λεῦκτρα· καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηθείας, Ἀράτου στρατηγοῦντος, ὑπὸ τὴν πόλιν αὐτὴν παραταξάμενος ἡττήθη μέρει τινὶ τοῦ στρατεύματος. Ἐπεὶ δὲ χαράδραν τινὰ βαθεῖαν οὐκ εἴασε διαβῆναι τοὺς Ἀχαιοὺς ὁ Ἄρατος, ἀλλ' ἐπέστησε τὴν δίωξιν, ἀγανα- d κτῶν δὲ Λυδιάδας ὁ Μεγαλοπολίτης συνεξώρμησε τοὺς περὶ αὐτὸν ἱππεῖς καὶ διώκων εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τειχῶν μεστὸν, ἐνσείσας καὶ διασπασθεὶς περὶ ταῦτα κακῶς ἀπήλλαττε, κατιδὼν ὁ Κλεομένης ἀνῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτὸν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος εὐρώστως ἔπεσε. (3) Πρὸς τοῦτο θαῤῥήσαντες οἱ Λακεδαιμόνιοι μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. Ἀποθανόντων δὲ συχνῶν τοὺς μὲν ἄλλους ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδου νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας, κοσμήσας πορφυ- e ρίδι καὶ στέφανον ἐπιθεὶς πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. Οὗτος ἦν Λυδιάδας ὁ καταθέμενος τὴν τυραννίδα καὶ τοῖς πολίταις ἀποδοὺς τὴν ἐλευθερίαν καὶ τὴν πόλιν προσκομίσας Ἀχαιοῖς.

VII. Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη καὶ πεπεισμένος, ἂν ὡς βούλεται τοῖς πράγμασι χρώμενος πολεμῇ πρὸς τοὺς Ἀχαιοὺς, ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα Μεγιστόνουν, ὡς χρὴ τῶν ἐφόρων ἀπαλλαγέντας εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις καὶ τὴν Σπάρτην ἴσην γενομένην ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Πεισθέν- f τος δ' ἐκείνου δύο τῶν ἄλλων φίλων ἢ τρεῖς προσέλαβε. (2) Συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας καὶ τῶν ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας ὄναρ ἰδεῖν θαυμαστόν. Ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς ἐφόροις ἔθος ἐστὶ καθεζομένοις χρηματίζειν ἕνα δίφρον κεῖσθαι, τοὺς δὲ τέτταρας ἀνῃρῆσθαι καὶ θαυμάζοντος αὐτοῦ φωνὴν ἐκ τοῦ ἱεροῦ γενέσθαι φράζουσαν, ὡς τοῦτο τῇ Σπάρτῃ λῷόν ἐστι. (3) Ταύτην τὴν ὄψιν διηγουμένου τοῦ ἐφόρου πρὸς τὸν 808 Κλεομένη, τὸ μὲν πρῶτον διεταράχθη καθ' ὑποψίαν a τινὰ πειράζεσθαι δοκῶν· ὡς δὲ ἐπείσθη μὴ ψεύδεσθαι τὸν διηγούμενον, ἐθάῤῥησε. Καὶ λαβὼν ὅσους ὑπώπτευε μάλιστα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν, Ἡραίαν καὶ Ἀλσαίαν τὰς πόλεις ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς εἷλε, καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις καὶ Μαντινείᾳ παρεστρατοπέδευσε, καὶ ὅλως ἄνω καὶ κάτω μακραῖς πορείαις ἀποτρύσας τοὺς Λακεδαιμονίους ἀπέλιπεν αὐτῶν δεηθέντων τοὺς πολλοὺς ἐν Ἀρκαδίᾳ, τοὺς δὲ μισθοφόρους ἔχων αὐτὸς ἐπὶ τὴν Σπάρτην ἐχώρει. Καὶ καθ' ὁδὸν οἷς ἐπίστευε μάλιστα καλῶς πρὸς αὐτὸν ἔχειν ἀνεκοινοῦτο τὴν γνώμην, καὶ προῄει σχέδην, ὡς περὶ τὸ δεῖπνον οὖσι τοῖς ἐφόροις ἐπιπέσοι. b

VIII. Γενόμενος δὲ τῆς πόλεως ἐγγὺς Εὐρυκλείδαν μὲν εἰς τὸ τῶν ἐφόρων συσσίτιον ἀπέστειλεν, ὥς τινα παρ' αὐτοῦ λόγον ἀπὸ στρατιᾶς κομίζοντα, Θηρυκίων δὲ καὶ Φοῖβις καὶ δύο τῶν συντρόφων τοῦ Κλεομένους, οὓς μόθακας καλοῦσιν, ἐπηκολούθουν στρατιώτας ὀλίγους

menes oppidum quoddam Megalopolitarum occupat, Leuctra nomine; quumque eo celeriter Achæi duce Arato defendendorum suorum causa accurrissent, commissa ad ipsam urbem pugna pars quædam exercitus Spartani victa est. Quum autem Achæos Aratus apud profundam quandam convallem a persecutione inhiberet, indigne id ferens Lydiadas Megalopolita suos equites incitavit, hostique fugienti instans in locum vineis, fossis et ruderibus repletum invectus est, ibique dissipatis suis, eximere se inde et expedire non potuit. Quod cernens Cleomenes Tarentinos et Cretenses milites ei immisit, ab iisque Lydiadas fortiter pugnans cæsus est. (3) Lacedæmonii autem animis receptis cum clamore in Achæos irruerunt, totumque exercitum pulerunt, multis occisis. Cadavera omnia ex pacto reddidit Cleomenes, præter Lydiadæ; id enim ad se afferri jussit, purpuraque ornatum et serto, ad portas Megalopolis misit. Hic est ille Lydiadas, qui tyrannide se abdicavit, civibusque libertate reddita, eos Achaico fœderi adjunxit.

VII. Hinc Cleomenes altos jam spiritus ducens certoque sibi persuadens, se, si suo arbitratu bellum gereret adversus Achæos, facile victoria potiturum, Megistonum vitricum docuit, debere spretis ephoris cives in commune bona sua conferre, æqualitateque instituta Spartam erigere et ad imperium in universam Græciam evehere. Quum hoc ei persuasisset, duos aut tres alios ex amicis ad eandem causam sibi adjunxit. (2) Accidit iis diebus, ut quidam ex ephoris in fano Pasiphaæ dormiens, per somnum sibi videretur eo in loco, ubi jus dare ephori solebant, cernere unicam tantum sellam, reliquis quattuor sublatis, positam, sibique admiranti vocem ex templo auditam, quæ hoc ita Spartæ expedire diceret. (3) Hoc insomnium Cleomenes quum narrare sibi audiret ephorum, initio perturbatus est, tentari se propter suspicionem aliquam putans; ut vero persuasum est vera eum dicere, animo confirmatus, quos maxime civium instituto suo refragaturos censebat, iis abductis Heræam et Asæam urbes Achæis subditas cepit, Orchomenum frumentum importavit, ad Mantineam castra posuit, omninoque longis hac illac expeditionibus Lacedæmonios ita defatigavit, ut pleroque eorum ita flagitantes in Arcadia relinqueret; ipse cum mercenariis militibus Spartam petiit, inque itinere consilium suum iis, quorum erga se benevolentiæ maxime fidebat, exposuit, sensimque progressus est, ut ephoros in cœna deprehenderet.

VIII. Quum prope urbem esset ventum, Euryclidam in ephororum syssitium præmisit, veluti per eum aliquid ab exercitu nuntians, Therycion autem et Phœbis, et duo alii qui cum Cleomene fuerant educati, quos Mothacas appellabant, cum paucis militibus eum subsequebantur.

ἔχοντες. Ἔτι δὲ τοῦ Εὐρυκλείδα διαλεγομένου τοῖς ἐφόροις ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις ἔπαιον αὐτούς. (2) Ὁ μὲν οὖν πρῶτος Ἀγύλαιος, ὡς ἐπλήγη, πεσὼν καὶ τεθνάναι δόξας ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τοῦ οἰκήματος ἔλαθεν εἴς τι δωμάτιον εἰσερπύσας μικρὸν, ὃ Φόβου μὲν ἦν ἱερὸν, ἄλλως δὲ κεκλεισμένον ἀεὶ, τότε δὲ ἐκ τύχης ἀνεῳγμένον c ἐτύγχανεν. Εἰς τοῦτο συνεισενεγκὼν ἑαυτὸν ἀπέκλεισε τὸ θύριον. Οἱ δὲ τέσσαρες ἀνῃρέθησαν καὶ τῶν ἐπιβοηθούντων αὐτοῖς οὐ πλείονες ἢ δέκα. Τοὺς γὰρ ἡσυχίαν ἄγοντας οὐκ ἔκτειναν οὐδὲ τοὺς ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. Ἐφείσαντο δὲ καὶ τοῦ Ἀγυλαίου μεθ' ἡμέραν ἐκ τοῦ ἱεροῦ προελθόντος.

IX. Ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. Τιμῶσι δὲ τὸν Φόβον οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας ἡγούμενοι βλαβερὸν, ἀλλὰ τὴν d πολιτείαν μάλιστα συνέχεσθαι φόβῳ νομίζοντες. Διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησὶ, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος, οἶμαι, προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. (2) Καὶ τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν. Οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους θαρραλεώτατοι πρὸς τοὺς πολεμίους εἰσί· καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν οἱ μάλιστα φοβούμενοι τὸ κακῶς ἀκοῦσαι. Διὸ καὶ καλῶς e ὁ εἰπών·

—— ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς·

καὶ Ὅμηρος·

Αἰδοῖός τέ μοι ἐσσὶ, φίλε ἑκυρὲ, δεινός τε·

καί·

Σιγῇ δειδιότες σημάντορας.

Τὸ γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει πρὸς οὓς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. Διὸ καὶ παρὰ τὸ τῶν ἐφόρων συσσίτιον τὸν Φόβον ἵδρυνται Λακεδαιμόνιοι μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον.

X. Ὁ δ' οὖν Κλεομένης ἡμέρας γενομένης προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, οὓς ἔδει μεταστῆναι, καὶ τοὺς δίφρους ἀνεῖλε τῶν ἐφόρων πλὴν ἑνὸς, ἐν ᾧ καθήμενος ἔμελλεν αὐτὸς χρηματίζειν. Ἐκκλησίαν δὲ ποιήσας ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. (2) Ἔφη γὰρ ὑπὸ τοῦ Λυκούργου τοῖς βασιλεῦσι συμμιχθῆναι f τοὺς γέροντας καὶ πολὺν χρόνον οὕτω διοικεῖσθαι τὴν πόλιν οὐδὲν ἑτέρας ἀρχῆς δεομένην, ὕστερον δὲ τοῦ πρὸς Μεσσηνίους πολέμου μακροῦ γενομένου τοὺς βασιλεῖς διὰ τὰς στρατείας ἀσχόλους ὄντας αὐτοὺς πρὸς τὸ κρίνειν αἱρεῖσθαί τινας ἐκ τῶν φίλων καὶ ἀπολείπειν τοῖς 809 πολίταις ἀνθ' ἑαυτῶν ἐφόρους προσαγορευθέντας, καὶ a διατελεῖν τούτους τὸ πρῶτον ὑπηρέτας τῶν βασιλέων ὄντας, εἶτα κατὰ μικρὸν εἰς ἑαυτοὺς τὴν ἐξουσίαν ἐπιστρέφοντας οὕτως λαθεῖν ἴδιον ἀρχεῖον κατασκευασαμέ-

Eurycida adhuc cum ephoris colloquente, strictis in eos gladiis milites irruerunt. (2) Primus Agylæus quum ictus concidisset videreturque mortuus, sensim sese colligens et ex ædibus istis subducens, nemine observante, in parvam ædem irrepsit, quæ Metui sacra, quum alias semper fuisset clausa, tunc fortuito patebat. In hanc ut se contulit, ostium occlusit. Ceteri quattuor obtruncati sunt, et non plures quam decem qui auxilium tulissent. Nemini enim quiescenti manus illatæ sunt, neque urbe exeuntem quisquam prohibuit. Agylæo etiam postridie ex templo discedenti pepercerunt.

IX. Lacedæmone non Metus tantum, sed Mortis etiam et Risus, aliorumque id generis affectuum fana sunt. Colunt autem Metum, non eo modo, quo noxios quosdam genios abominantur, sed quod metu maxime contineri rempublicam arbitrantur. Ideo etiam ephori quum magistratum ineunt, civibus edicunt, ut refert Aristoteles, ut mystacem radant, ac legibus animum advertant, ne eæ ipsis sint difficiles, de barba ut opinor eo præcipientes, ut in minimis quoque rebus dicto audientes esse juvenes assuefacerent. (2) Et quidem fortitudinem mihi videntur non vacuitatem a metu, sed metum reprehensionis et ignominiæ antiqui judicasse. Qui enim maxime leges timent, ii adversus hostem sunt audacissimi; minimeque dolorem formidant, qui male audire maxime timent. Ideo recte dictum est:

Namque verecundus metui comes est pudor...

atque Homerus etiam præclare:

Care socer, reverende mihi semperque timende;

et alio loco,

Ductorumque metu taciti.

Nam plerique eos maxime reverentur, quos timent. Itaque Lacedæmonii etiam juxta ephororum syssitium Metus fanum dedicant, quum eorum magistratus proxime regiam esset potentiam.

X. Facta die Cleomenes octoginta cives proscripsit, quibus solum vertendum esset sellisque ephororum remotis unam modo reliquit, qua sedens ipse jus dicturus erat. (2) Advocato deinde ad concionem populo, ut factorum suorum rationem redderet, hujusmodi orationem habuit. « Lycurgus regibus, inquit, senatum adjunxit, diuque eo « modo respublica Spartana absque ullo alio magistratu « administrata fuit. Postea temporis quum bellum adver- « sus Messenios traheretur, reges, quod ipsi expeditionibus « occuparentur, quosdam suorum amicorum delegerunt « qui judicia obirent, eosque et suos vicarios populo reli- « querunt ephoros dictos. Hi quum primum nihil aliud « quam administri regum essent, paulatim deinde potesta- « tem sibi ipsis arrogarunt, magistratumque proprium

νους. (3) Σημεῖον δὲ τούτου τὸ μέχρι νῦν μεταπεμπομένων τὸν βασιλέα τῶν ἐφόρων τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον, τὸ δὲ τρίτον καλούντων ἀναστάντα βαδίζειν πρὸς αὐτούς· καὶ τὸν πρῶτον ἐπισφοδρύναντα τὴν ἀρχὴν καὶ ἀνατεινάμενον Ἀστέρωπον ἡλικίαις ὕστερον πολλαῖς ἔφορον γενέσθαι. Μετριάζοντας μὲν οὖν αὐτοὺς (ἔφη) κρεῖττον ἦν ὑπομένειν, ἐξουσίᾳ δὲ ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχὴν, ὥστε τῶν βασιλέων τοὺς μὲν ἐξελαύνειν, τοὺς δὲ ἀποκτιννύειν ἀκρίτους, ἀπειλεῖν δὲ τοῖς ποθοῦσιν αὖθις ἐπιδεῖν τὴν καλλίστην b καὶ θειοτάτην ἐν Σπάρτῃ κατάστασιν, οὐκ ἀνεκτόν. (4) Εἰ μὲν οὖν δυνατὸν ἦν ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτους τῆς Λακεδαίμονος κῆρας, τρυφὰς καὶ πολυτελείας καὶ χρέα καὶ δανεισμοὺς καὶ τὰ πρεσβύτερα τούτων κακὰ, πενίαν καὶ πλοῦτον, εὐτυχέστατον ἂν ἡγεῖσθαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα· νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν Λυκοῦργον, ὃς οὔτε βασιλεὺς ὢν οὔτ' ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν ἐν τοῖς ὅπλοις προῆλθεν εἰς ἀγορὰν, ὥστε δείσαντα τὸν βασιλέα Χάριλλον ἐπὶ βωμὸν καταφυγεῖν. Ἀλλ' ἐκεῖνον μὲν, ὄντα c χρηστὸν καὶ φιλόπατριν, ταχὺ τῷ Λυκούργῳ τῶν πραττομένων μετασχεῖν καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας, (5) ἔργῳ δὲ μαρτυρῆσαι τὸν Λυκοῦργον, ὅτι πολιτείαν μεταβαλεῖν ἄνευ βίας καὶ φόβου χαλεπόν ἐστιν, οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι τοὺς ἐνισταμένους τῇ σωτηρίᾳ τῆς Λακεδαίμονος ἐκποδὼν ποιησάμενον. Τοῖς δὲ ἄλλοις ἔφη πᾶσι τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι καὶ χρεῶν τοὺς ὀφείλοντας ἀπαλλάττειν καὶ τῶν ξένων κρίσιν ποιεῖν καὶ δοκιμασίαν, ὅπως οἱ κράτιστοι γενόμενοι Σπαρτιᾶται σώζωσι τὴν πόλιν d τοῖς ὅπλοις καὶ παυσώμεθα τὴν Λακωνικὴν Αἰτωλῶν καὶ Ἰλλυριῶν λείαν οὖσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες.

XI. Ἐκ τούτου πρῶτον μὲν αὐτὸς εἰς μέσον τὴν οὐσίαν ἔθηκε, καὶ Μεγιστόνους ὁ πατρῷος αὐτοῦ καὶ τῶν ἄλλων φίλων ἕκαστος, ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. Κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων φυγάδων ἀπένειμεν ἑκάστῳ καὶ κατάξειν ἅπαντας ὡμολόγησε τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. (2) Ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων, ὁπλίτας τετρακισχιλίους ἐποίησε, καὶ διδάξας αὐτοὺς ἀντὶ δόρατος χρῆσθαι σαρίσσῃ e δι' ἀμφοτέρων καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ διὰ πόρπακος, ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη καὶ τὴν λεγομένην ἀγωγὴν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανόντων καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐτελῆ καὶ Λακωνικὴν δίαιταν. Ὅμως δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα τὸν ἀδελφὸν Εὐκλείδαν. Καὶ τότε μόνον Σπαρτιάταις ἐκ μιᾶς οἰκίας f συνέβη δύο σχεῖν βασιλέας.

« animadvertente nemine constituerunt. (3) Cujus rei exstat quod in hanc diem observatur signum, ut rex ab ephoris arcessitus semel atque iterum abnuat, tertio demum vocatus surgat et ad eos accedat; tum hoc, quod Asteropus, qui primus eum magistratum auxerit, multis post ætatibus ephorus fuit. Ac poterant quidem utcunque ferri in republica ephori, si quidem moderate se gessissent; qui autem potentia asserta avitum regnum opprimebant, adeo ut regum alios in exilium agerent, alios indicta causa necarent, periculumque omnibus priscam ac pulcherrimam reipublicæ formam videre desiderantibus denuntiarent, tolerari nequaquam debuerunt. (4) Quodsi absque cæde exscindi pestes Lacedæmoni invectæ potuissent, luxus, luxuria, debita, fœnerationes, malaque his antiquiora pauperies et divitiæ, omnium ego me regum beatissimum judicarem, veluti eum medicum, qui absque ullo dolore patriam sanasset. Nunc necessitati veniam deberi Lycurgus ostendit, qui privatus et neque regia neque alia ulla potestate præditus, regnum tamen adiens armatus in forum processit ita quidem, ut Charillus rex perterritus ad aram confugeret. Sed is quidem, vir bonus et patriæ amans, statim Lycurgo socium se immutandæ constituendæque reipublicæ adjunxit; (5) ostendit tamen re ipsa Lycurgus, difficulter citra vim et terrorem mutari rempublicam posse. Atque his quidem ego moderatissime usus sum, sublatis e medio iis qui saluti Spartæ impedimento erant. Ceteris omnibus agros in commune dividendos tribuo, debitores alieno ære libero, peregrinorum delectum propono, ut eorum optimi in civitatem nostram assumpti, armis urbem tutentur, ut desinamus Laconicam penuria defensorum prædationibus Ætolorum et Illyriorum expositam videre. »

XI. His dictis, primus omnibus bona sua in publicum contulit, idemque et Megistonus vitricus et amicorum unusquisque fecerunt, ac cives universi imitati sunt. Agri deinde divisi sunt, assignavitque Cleomenes iis quoque suas partes, quos solum vertere jusserat, ac promisit rebus ad tranquillum statum reductis universos se reducturum. (2) Civium deinde numerum lecto de finitimis præstantissimo quoque supplevit, ac quattuor millia arma ferentium instituit, docuitque eos loco hastilium sarissis uti, quas utraque manu tenerent, et scutum ferre non loro appensum, sed armilla. Ad adolescentum inde conversus institutionem adjutorem in plerisque habuit Sphærum, recipiebatur autem ab iis statim exercitationum et syssitiorum ordo atque frugalitas, paucis vi ad ea compulsis, plerisque ultro simplicem illam et Laconicam vivendi rationem amplectentibus. Interim Cleomenes, quasi quoddam invidioso monarchiæ nomini remedium fratrem Euclidam regni socium ascivit, et tunc solum Spartanis duo ex eadem familia reges fuerunt.

XII. Αἰσθόμενος δὲ τοὺς Ἀχαιοὺς καὶ τὸν Ἄρατον, ὡς ἐπισφαλῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων διὰ τὸν νεωτερισμὸν, οὐκ ἂν οἰομένους προελθεῖν ἔξω τῆς Λακεδαίμονος οὐδὲ ἀπολιπεῖν μετέωρον ἐν κινήματι τηλικούτῳ τὴν πόλιν, οὐκ ἀγεννὲς οὐδὲ ἄχρηστον ἡγήσατο τὴν προθυμίαν τοῦ στρατεύματος ἐπιδεῖξαι τοῖς πολεμίοις. (2) Ἐμβαλὼν οὖν εἰς τὴν Μεγαλοπολιτικὴν
810 ὠφελείας τε μεγάλας ἤθροισε καὶ φθορὰν πολλὴν ἀπειρ- a γάσατο τῆς χώρας. Τέλος δὲ τοὺς περὶ τὸν Διόνυσον τεχνίτας ἐκ Μεσσήνης διαπορευομένους λαβὼν καὶ πηξάμενος θέατρον ἐν τῇ πολεμίᾳ καὶ προθεὶς ἀπὸ τετταράκοντα μνῶν ἀγῶνα μίαν ἡμέραν ἐθεᾶτο καθήμενος, οὐ δεόμενος θέας, ἀλλ' οἷον ἐντρυφῶν τοῖς πολεμίοις καὶ περιουσίαν τινὰ τοῦ κρατεῖν πολὺ τῷ καταφρονεῖν ἐπιδεικνύμενος. (3) Ἐπεὶ ἄλλως γε τῶν Ἑλληνικῶν καὶ βασιλικῶν στρατευμάτων ἐκεῖνο μόνον οὐ μίμους παρακολουθοῦντας εἶχεν, οὐ θαυματοποιοὺς, οὐκ ὀρχηστρίδας, οὐ ψαλτρίας, ἀλλὰ πάσης ἀκολασίας καὶ βωμολοχίας καὶ πανηγυρισμοῦ καθαρὸν ἦν, τὰ μὲν πολλὰ b μελετώντων τῶν νέων καὶ τῶν πρεσβυτέρων διδασκόντων, τὰς δὲ παιδιὰς, ὁπότε σχολάζοιεν, ταῖς συνήθεσιν εὐτραπελίαις καὶ τῷ λέγειν τι χάριεν καὶ Λακωνικὸν πρὸς ἀλλήλους διατιθεμένων. Ἣν δὲ ἔχει τὸ τοιοῦτον τῆς παιδιᾶς εἶδος ὠφέλειαν, ἐν τῷ Λυκούργου βίῳ γέγραπται.

XIII. Πάντων δ' αὐτὸς ἐγένετο διδάσκαλος, εὐτελῆ καὶ ἀφελῆ καὶ φορτικὸν οὐδὲν οὐδὲ ὑπὲρ τοὺς πολλοὺς ἔχοντα, τὸν ἑαυτοῦ βίον ὥσπερ παράδειγμα σωφροσύνης ἐν μέσῳ θέμενος, ὃ καὶ πρὸς τὰς Ἑλληνικὰς πράξεις ῥοπήν τινα παρέσχεν αὐτῷ. (2) Τοῖς μὲν γὰρ ἄλλοις ἐντυγχάνοντες οἱ ἄνθρωποι βασιλεῦσιν οὐχ οὕτω κατε- c πλήττοντο τοὺς πλούτους καὶ τὰς πολυτελείας, ὡς ἐβδελύττοντο τὴν ὑπεροψίαν αὐτῶν καὶ τὸν ὄγκον, ἐπαχθῶς καὶ τραχέως προσφερομένων τοῖς ἐντυγχάνουσι· πρὸς δὲ Κλεομένη βαδίζοντες, ὄντα τε δὴ βασιλέα καὶ καλούμενον, εἶτα ὁρῶντες οὐ πορφύρας τινὰς οὐ χλαίνας περὶ αὐτὸν οὐδὲ κλινιδίων καὶ φορείων κατασκευὰς, οὐδ' ὑπ' ἀγγέλων ὄχλου καὶ θυρωρῶν ἢ διὰ γραμματείων χρηματίζοντα χαλεπῶς καὶ μόλις, ἀλλ' αὐτὸν ἐν ἱματίῳ τῷ τυχόντι πρὸς τὰς δεξιώσεις ἀπαντῶντα καὶ διαλεγόμενον καὶ σχολάζοντα τοῖς χρῄζουσιν ἱλαρῶς καὶ φιλανθρώπως, ἐκηλοῦντο καὶ κατεδημαγωγοῦντο καὶ μόνον ἀφ' Ἡρακλέους ἐκεῖνον ἔφασαν γεγο- d νέναι. (3) Τῶν δὲ δείπνων αὐτοῦ τὸ μὲν καθημερινὸν ἦν ἐν τρικλίνῳ σφόδρα συνεσταλμένον καὶ Λακωνικόν· εἰ δὲ πρέσβεις ἢ ξένους δέχοιτο, δύο μὲν ἄλλαι προσπαρεβάλλοντο κλῖναι, μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον, οὐ καρυκείαις τισὶν οὐδὲ πέμμασιν, ἀλλ' ὥστε ἀφθονωτέρας εἶναι τὰς παραθέσεις καὶ φιλανθρωπότερον τὸν οἶνον. (4) Καὶ γὰρ ἐπετίμησέ τινι τῶν φίλων ἀκούσας, ὅτι ξένους ἑστιῶν ζωμὸν αὐτοῖς μέλανα καὶ μᾶζαν, ὥσπερ ἔθος ἦν ἐν τοῖς φιδιτίοις, παρέθηκεν· οὐ γὰρ ἔφη δεῖν ἐν τούτοις οὐδὲ πρὸς e τοὺς ξένους λίαν ἀκριβῶς λακωνίζειν. Ἀπαρθείσης δὲ

XII. Porro sentiens Achæos et Aratum judicaturos ipsum rebus ob mutationem fluctuantibus non ausurum exire Sparta, urbemque tantis motibus agitatam deserere, ostendere hostibus alacritatem sui exercitus judicavit neque indecorum fore neque inutile. (2) Itaque in fines Megalopolitanorum ingressus, maximam prædam egit plurimumque agri vastavit. Ad extremum histriones Messena proficiscentes nactus, erexit in hostico theatrum, editisque sumtu quadraginta minarum in unum diem ludis, spectavit ipse assidens, non quod spectacula tanti faceret, sed insultans veluti hostibus, eorumque comtemptu demonstrans, quanto ipsis esset superior. (3) Alioquin omnium regiorum et Græcorum exercituum soli Laconici neque mimos, neque circulatores, neque saltatrices, neque psaltrias secum trahebant, omnique plane scurrilitate, lascivia et pompa vacabant; sed plerumque pueri senioribus docentibus discebant exercitabantque aliquid, animique causa, si suppeditaret otium, jocis consuetis atque facetiis Laconicisque dicteriis indulgebant. Quod genus jocandi quid attulerit utilitatis, in Vita Lycurgi demonstravimus.

XIII. Ceterum ipse omnia docebat suos Cleomenes, vitam suam simplicem, frugalem omnisque fastus expertem, neque præter ceteros quicquam habentem, veluti exemplum temperantiæ proponens, quod quidem ei ad res Græcas momentum videtur aliquod attulisse. (2) Etenim homines, quum ad alios accederent reges, non tam admiratione splendoris eorum luxusque percellebantur, quam fastum eorum et superbiam abominabantur, moleste et aspere respondentium. Ad Cleomenem vero venientes et re scilicet et nomine regem, quum circa ipsum nullas lænas aut purpuras, nullum lectorum lecticarumque apparatum, nullam nuntiorum janitorumque turbam conspicerent, neque is per libellos tarde ægreque responsa daret, sed plebeio amiculo indutus convenientibus occurreret, familiariterque eos exciperet, hilarique vultu humaniter colloqueretur, demulcebantur et eum solum ab Hercule natum dicebant. (3) Cœna ipsius quotidiana in triclinio erat frugalis admodum et Laconica; sin legatos aut hospites acciperet, duo alii apponebantur lecti, ac splendidius aliquanto mensam famuli adornabant, non quidem opipare conditis cibis aut placentis, sed ut largius apponerentur fercula et vinum esset liberalius. (4) Quin et objurgavit aliquando quendam suorum, quum audivisset eum in convivio hospitibus jus nigrum et mazam, ut in phiditiis, apposuisse; nam in his, dicebat, et apud peregrinos præsertim, non esse nimis accurate Laconicum morem tenendum. Remota mensa tripos inferebatur,

τῆς τραπέζης εἰσεκομίζετο τρίπους κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν καὶ φιάλας ἀργυρᾶς διχοτύλους δύο καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος, ἄκοντι δὲ οὐδεὶς ποτήριον προσέφερεν. (5) Ἀκρόαμα δὲ οὔτ' ἦν οὔτ' ἐπεζητεῖτο· ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ τὸν πότον, τὰ μὲν ἐρωτῶν, τὰ δὲ διηγούμενος, οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων τήν τε παιδιὰν ἐπίχαριν καὶ ἀσόλοικον ἐχόντων. Ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο χρήμασι καὶ δωρεαῖς δελεάζοντες αὐτοὺς καὶ f
διαφθείροντες, ἀτέχνους καὶ ἀδίκους ἐνόμιζεν εἶναι· τὸ δὲ ὁμιλίᾳ καὶ λόγῳ χάριν ἔχοντι καὶ πίστιν οἰκειοῦσθαι καὶ προσάγεσθαι τοὺς ἐντυγχάνοντας ἐφαίνετο κάλλιστον αὐτῷ καὶ βασιλικώτατον, ὡς οὐδενὶ φίλου διαφέροντα μισθωτὸν ἢ τῷ τὸν μὲν ἤθει καὶ λόγῳ, τὸν δὲ ὑπὸ χρημάτων ἁλίσκεσθαι.

XIV. Πρῶτον μὲν οὖν οἱ Μαντινεῖς αὐτὸν ἐπηγά-
811 γοντο καὶ νύκτωρ εἰς τὴν πόλιν παρεισπεσόντι τὴν a
φρουρὰν τὴν Ἀχαιῶν συνεκβαλόντες ἐνεχείρισαν αὐτούς. Ὁ δὲ καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πολιτείαν ἀποδοὺς αὐθημερὸν ἀπῆλθεν εἰς Τεγέαν. Ὀλίγῳ δ' ὕστερον ἐκπεριελθὼν δι' Ἀρκαδίας κατέβαινεν ἐπὶ τὰς Ἀχαϊκὰς Φεράς, βουλόμενος ἢ μάχην θέσθαι πρὸς τοὺς Ἀχαιοὺς ἢ διαβάλλειν τὸν Ἄρατον ὡς ἀποδιδράσκοντα καὶ προϊέμενον αὐτῷ τὴν χώραν. Ἐστρατήγει μὲν γὰρ Ὑπερβατᾶς τότε, τοῦ δὲ Ἀράτου τὸ πᾶν ἦν κράτος ἐν τοῖς Ἀχαιοῖς. (2) Ἐξελθόντων δὲ πανδημεὶ τῶν Ἀχαιῶν καὶ στρατοπεδευσαμένων ἐν Δύμαις περὶ τὸ Ἑκατόμβαιον, ἐπελθὼν ὁ Κλεομένης ἔδοξε μὲν οὐ καλῶς ἐν μέσῳ τῆς τε Δυμαίων πόλεως, πολεμίας οὔσης, καὶ τοῦ b
στρατεύματος τῶν Ἀχαιῶν αὐλίσασθαι· τολμηρῶς δὲ προκαλούμενος τοὺς Ἀχαιοὺς ἠνάγκασε συμβαλεῖν, καὶ νικήσας κατὰ κράτος καὶ τρεψάμενος τὴν φάλαγγα, πολλοὺς μὲν ἐν τῇ μάχῃ διέφθειρεν αὐτῶν, πολλῶν δὲ καὶ ζώντων ἐκυρίευσεν· ἐπελθὼν δὲ καὶ Λάγγωνι καὶ τῶν Ἀχαιῶν τοὺς φρουροῦντας ἐξελάσας ἀπέδωκεν Ἠλείοις τὴν πόλιν.

XV. Οὕτω δὲ συντετριμμένοις τοῖς Ἀχαιοῖς ὁ μὲν Ἄρατος, εἰωθὼς παρ' ἐνιαυτὸν ἀεὶ στρατηγεῖν, ἀπείπατο τὴν ἀρχὴν καὶ παρῃτήσατο, καλούντων καὶ δεομένων· οὐ καλῶς, οἷον ἐν χειμῶνι πραγμάτων μείζονι, c
μεθεὶς ἑτέρῳ τὸν οἴακα καὶ προέμενος τὴν ἐξουσίαν. (2) Ὁ δὲ Κλεομένης πρῶτον μὲν μέτρια τοῖς Ἀχαιοῖς ἐδόκει πρέσβεσιν ἐπιτάττειν, ἑτέρους δὲ πέμπων ἐκέλευεν αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν, ὡς τἆλλα μὴ διοισόμενος πρὸς αὐτούς, ἀλλὰ καὶ τοὺς αἰχμαλώτους εὐθὺς ἀποδώσων καὶ τὰ χωρία. (3) Βουλομένων δὲ τῶν Ἀχαιῶν ἐπὶ τούτοις δέχεσθαι τὰς διαλύσεις καὶ τὸν Κλεομένη καλούντων εἰς Λέρναν, ὅπου τὴν ἐκκλησίαν ἔμελλον ἔχειν, ἔτυχε τὸν Κλεομένη συντόνως ὁδεύσαντα καὶ χρησάμενον παρὰ καιρὸν ὑδροποσίᾳ αἵματος πλῆθος ἀνενεγκεῖν καὶ τὴν φωνὴν ἀποκοπῆναι. Διὸ τῶν d
μὲν αἰχμαλώτων ἀπέπεμψε τοῖς Ἀχαιοῖς τοὺς ἐπιφανε-

cum æneo cratere vini pleno et pateris argenteis duabus, quarum utraque duas cotylas caperet, et poculis argenteis perpaucis; inde bibebat qui vellet, nolenti nemo porrigebat. (5) Aurium oblectatio neque adhibebatur ulla, neque desiderabatur; nam convivium ipse suo sermone jucundum reddebat, modo quærens, modo narrans, oratione ita temperata, ut et quæ serio dicebantur, non injucunda, et facetiæ elegantes non inurbanæque essent. Quibus enim rationibus ceteri reges hominum benevolentiam venantur, pecuniæ scilicet et munerum corruptela, eas et injustas et artis vacuas censebat; pulcherrimum autem et maxime regium judicabat, eos quibuscum ageret oratione ac consuetudine grata et fide digna sibi devincire, idque unum inter amicum et mercenarium interesse, quod ille moribus et sermone, hic pecunia paratur.

XIV. Primi eum Mantinenses ad se vocarunt noctuque in urbem ex improviso irrumpentem in ejiciendo Achæorum præsidio adjuverunt, seque in fidem ejus tradiderunt. Quibus ille quum leges ac rempublicam reddidisset, eadem die Tegeam profectus est. Paullo post peragrata Arcadia ad Pheras Achaiæ urbem accessit, ut vel cum Achæis prœlio decertaret, vel Aratum calumniis objiceret, qui pugnam subterfugiens Cleomeni regionem proderet. Prætor tum Achæorum erat Hyperbatas; sed omnium rerum potestas penes Aratum. (2) Achæis cum omni exercitu egressis, prope Dymas apud Hecatombæum castra metatis, Cleomenes supervenit, quumque videretur male sibi consuluisse qui intra Dymas urbem hostilem et castra Achæorum consedisset, hostes audacter provocavit, pugnareque coactos vicit, fusaque eorum phalange multos interfecit, multos cepit. Inde ad Langonem profectus, ejecto Achæorum præsidio, urbem Eleis reddidit.

XV. Ita attritis Achæis Aratus, qui solebat alternis annis præturam gerere, tum magistratum recusavit, vocatus quidem et ut eum susciperet, oratus; non recte id agens, qui in tam periculosa tempestate clavum dimitteret, aliique traderet. (2) Cleomenes quum hactenus visus esset legatis Achæorum tolerabiles proponere conditiones, tum alios misit postulatum, ut sibi imperium traderent: de ceteris facile sibi cum ipsis conventurum, seque statim ipsis captivos et quæ in bello ademisset oppida redditurum. (3) Quum Achæi his conditionibus pacem componere statuissent, Cleomenemque Lernam vocarent, quo loco conventum instituerant, casu evenit ut Cleomenes continenter profectus et aquæ potu intempestive usus, multum sanguinis ejiceret, voxque ei intercluderetur. Itaque captivorum

στάτους, τὸν δὲ σύλλογον ὑπερθέμενος ἀνεχώρησεν εἰς Λακεδαίμονα.

XVI. Τοῦτο διελυμήνατο τὰ πράγματα τῆς Ἑλλάδος, ἁμωσγέπως ἐκ τῶν παρόντων ἀναλαβεῖν αὑτὴν ἔτι καὶ διαφυγεῖν τὴν Μακεδόνων ὕβριν καὶ πλεονεξίαν δυναμένην. (2) Ὁ γὰρ Ἄρατος εἴτε ἀπιστίᾳ καὶ φόβῳ τοῦ Κλεομένους, εἴτε φθονῶν εὐτυχοῦντι παρ' ἐλπίδα καὶ νομίζων, ἔτη τρία καὶ τριάκοντα πρωτεύοντος αὐτοῦ, δεινὸν εἶναι τὴν δόξαν ἅμα καὶ τὴν δύναμιν ἐπιφύντα νέον ἄνδρα καθελεῖν καὶ παραλαβεῖν πραγμάτων e ηὐξημένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων χρόνον τοσοῦτον ἀρχὴν, πρῶτον μὲν ἐπειρᾶτο τοὺς Ἀχαιοὺς παραβιάζεσθαι καὶ διακωλύειν· ὡς δὲ οὐ προσεῖχον αὐτῷ τοῦ Κλεομένους ἐκπεπληγμένοι τὸ θράσος, ἀλλὰ καὶ δικαίαν ἐποιοῦντο τὴν ἀξίωσιν τῶν Λακεδαιμονίων εἰς τὸ πάτριον σχῆμα κοσμούντων τὴν Πελοπόννησον, τρέπεται πρὸς ἔργον οὐδενὶ μὲν τῶν Ἑλλήνων προσῆκον, αἴσχιστον δ' ἐκείνῳ καὶ τῶν πεπραγμένων ὑπ' αὐτοῦ καὶ πεπολιτευμένων ἀναξιώτατον, Ἀντίγονον ἐπὶ τὴν Ἑλλάδα καλεῖν καὶ Μακεδόνων ἐμπιπλάναι τὴν Πελοπόννησον, οὓς αὐτὸς ἐκ Πελοποννήσου μειράκιον ὢν ἐξήλασεν ἐλευθερώσας τὸν Ἀκροκόρινθον καὶ πᾶσι μὲν τοῖς βασι- f λεῦσιν ὕποπτος καὶ διάφορος γενόμενος, τουτονὶ δὲ αὐτὸν Ἀντίγονον εἰρηκὼς κακὰ μυρία δι' ὧν ἀπολέλοιπεν ὑπομνημάτων. (3) Καίτοι πολλὰ παθεῖν καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ Ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρουρᾶς καὶ Μακεδόνων· εἶτα τούτους ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑστίαν τὴν ἑαυτοῦ μεθ' ὅπλων εἰσήγαγεν ἄχρι τῆς γυναικωνίτιδος· τὸν δὲ ἀφ' Ἡρακλέους
812 γεγονότα καὶ βασιλεύοντα Σπαρτιατῶν καὶ τὴν πάτριον a πολιτείαν, ὥσπερ ἁρμονίαν ἐκλελυμένην, ἀνακρουόμενον αὖθις ἐπὶ τὸν σώφρονα καὶ Δώριον ἐκεῖνον τοῦ Λυκούργου νόμον καὶ βίον, οὐκ ἠξίου Σικυωνίων ἡγεμόνα καὶ Τριταιέων γράφεσθαι, (4) φεύγων δὲ τὴν μᾶζαν καὶ τὸν τρίβωνα καὶ, τὸ δεινότατον ὧν κατηγόρει Κλεομένους, ἀναίρεσιν πλούτου καὶ πενίας ἐπανόρθωσιν, διαδήματι καὶ πορφύρᾳ καὶ Μακεδονικοῖς καὶ σατραπικοῖς προστάγμασιν ὑπέρριψε μετὰ τῆς Ἀχαΐας αὑτὸν, ἵνα μὴ Κλεομένει ποιεῖν δοκῇ τὸ προσταττόμενον, Ἀντιγόνεια θύων καὶ παιᾶνας ᾄδων αὐτὸς ἐστεφανωμένος εἰς ἄνθρωπον ὑπὸ φθόης κατασηπόμενον. Ἀλλὰ ταῦτα b μὲν οὐκ Ἀράτου βουλόμενοι κατηγορεῖν γράφομεν (ἐν πολλοῖς γὰρ ὁ ἀνὴρ οὗτος Ἑλληνικὸς γέγονε καὶ μέγας), οἰκτείροντες δὲ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, εἰ μηδὲ ἐν ἤθεσιν οὕτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον.

XVII. Ἐλθόντων δὲ Ἀχαιῶν εἰς Ἄργος αὖθις ἐπὶ τὸν σύλλογον καὶ τοῦ Κλεομένους ἐκ Τεγέας καταβεβηκότος ἐλπὶς ἦν πολλὴ τῶν ἀνθρώπων ἔσεσθαι τὴν διάλυσιν. Ὁ δὲ Ἄρατος, ἤδη διωμολογημένων αὐτῷ πρὸς τὸν Ἀντίγονον τῶν μεγίστων, φοβούμενος τὸν Κλεομένην, μὴ πάντα διαπράξηται καθομιλήσας τὸ πλῆθος c ἢ καὶ βιασάμενος, ἠξίου λαβόντα τριακοσίους ὁμήρους

præcipuis ad Achæos remissis, dilato consilio Lacedæmonem rediit.

XVI. Hic casus res Græciæ perdidit, quæ quodammodo videbatur se recolligere, Macedonumque superbiam et avaritiam effugere posse. (2) Aratus enim sive quod Cleomeni fidem non haberet eumque metueret, sive invidens insperatis ejus successibus indignumque judicans sibi, qui per triginta tres annos primas partes tenuisset, juvenem subito exortum cum gloria simul potentiam eripere imperiumque ab ipso auctum et tam longo tempore obtentum evertere; primo statuit Achæos, ne pacificationem istam probarent, vi prohibere; deinde quum Cleomenis audacia territi dicta ipsius spernerent, atque etiam justam esse Lacedæmoniorum petitionem dicerent, qui antiquam formam Peloponnesi reducere conarentur, rem aggressus est, nemini Græcorum convenientem, omnium autem maxime ipsi turpem et rebus ante actis indignissimam, nimirum ut Antigonum in Græciam vocaret Macedonibusque impleret Peloponnesum, quos ipse adolescens liberato Acrocorintho ex Peloponneso ejecerat, et quidem omnibus regibus suspectus ac cum omnibus simultates exercens Aratus Antigono huic mille suorum commentariorum locis obtrectat. (3) Jam qui multa se passum, multa conatum propter Athenienses ait, dum urbem eorum præsidio Macedonico liberaret, is Macedones armatos in patriam penatesque suos usque ad gynæceum adducit; genus vero ab Hercule trahentem Spartanorum regem et qui avitam reipublicæ formam veluti concentum obsoletum nitebatur revocare ad severam illam Lycurgi legem et vitam Doricam, Sicyoniorum ac Tritæensium ducem scribi indignum putat, (4) mazamque fugiens et pallium, et (quod gravissimum Cleomeni impingebat crimen) divitiarum sublationem paupertatisque correctionem, diademati, purpuræ, Macedonicisque et satrapicis mandatis se Achaiamque subjicit, ac ne videatur imperata a Cleomene facere, Antigonia sacrificat coronatusque pæanas canit in honorem hominis pulmonum vitio contabescentis. Neque nos hæc Arati accusandi causa scribimus, viri qui in multis rebus Græciæ utilis præstansque fuit, sed humanæ imbecillitatis deplorandæ gratia, quando nec in tam nobilibus et insigniter ad virtutem aptis ingeniis bonum absque ullo nævo exsistere potest.

XVII. Achæis Argos ad concilium venientibus et Cleomene Tegea eodem profecto, maxima apud omnes spes pacis exstiterat. Aratus vero, qui jam cum Antigono de maximis rebus pactus erat, metuens ne Cleomenes omnia consequeretur, populo Achæorum persuasit, aut quidem vi eo adegit, ut juberent Cleomenem acceptis triginta obsidibus solum

μόνον εἰσιέναι πρὸς αὐτοὺς ἢ κατὰ γυμνάσιον ἔξωθεν τὸ Κυλλαράβιον προσελθόντα μετὰ τῆς δυνάμεως διαλέγεσθαι. (2) Ταῦτ' ἀκούσας ὁ Κλεομένης ἄδικα πάσχειν ἔφασκε· δεῖν γὰρ εὐθὺς αὐτῷ τότε προειπεῖν, οὐ νῦν, ἥκοντος ἐπὶ τὰς θύρας τὰς ἐκείνων, ἀπιστεῖν καὶ ἀπελαύνειν. Γράψας δὲ περὶ τούτων ἐπιστολὴν πρὸς τοὺς Ἀχαιούς, ἧς ἦν τὸ πλεῖστον κατηγορία Ἀράτου, πολλὰ δὲ καὶ τοῦ Ἀράτου λοιδορήσαντος αὐτὸν πρὸς τὸ πλῆθος, ἀνέζευξε διὰ ταχέων καὶ κήρυκα πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς ἔπεμψεν, οὐκ εἰς Ἄργος, ἀλλ' εἰς d Αἴγιον, ὥς φησιν Ἄρατος, ὅπως φθάσῃ τὴν παρασκευὴν αὐτῶν. (3) Ἐγεγόνει δὲ κίνημα τῶν Ἀχαιῶν καὶ πρὸς ἀπόστασιν ὥρμησαν αἱ πόλεις, τῶν μὲν δήμων νομήν τε χώρας καὶ χρεῶν ἀποκοπὰς ἐλπισάντων, τῶν δὲ πρώτων πολλαχοῦ βαρυνομένων τὸν Ἄρατον, ἐνίων δὲ καὶ δι' ὀργῆς ἐχόντων ὡς ἐπάγοντα τῇ Πελοποννήσῳ Μακεδόνας. Διὸ τούτοις ἐπαρθεὶς ὁ Κλεομένης εἰς Ἀχαΐαν ἐνέβαλε· καὶ πρῶτον μὲν εἷλε Πελλήνην ἐξαπίνης ἐπιπεσὼν καὶ τοὺς φρουροῦντας ἐξέβαλε μετὰ τῶν Ἀχαιῶν· μετὰ δὲ ταῦτα Φενεὸν προσηγάγετο καὶ Πεντέλειον. (4) Ἐπεὶ δὲ φοβηθέντες οἱ Ἀχαιοὶ προδοσίαν τινὰ πρατ- e τομένην ἐν Κορίνθῳ καὶ Σικυῶνι τοὺς ἱππεῖς καὶ τοὺς ξένους ἀπέστειλαν ἐξ Ἄργους ἐκεῖ παραφυλάξοντας, αὐτοὶ δὲ τὰ Νέμεια καταβάντες εἰς Ἄργος ἦγον, ἐλπίσας, ὅπερ ἦν, ὁ Κλεομένης ὄχλου πανηγυρικοῦ καὶ θεατῶν τὴν πόλιν γέμουσαν ἀπροσδοκήτως ἐπελθὼν μᾶλλον ταράξειν, νυκτὸς ἦγε πρὸς τὰ τείχη τὸ στράτευμα καὶ τὸν περὶ τὴν Ἀσπίδα τόπον καταλαβὼν ὑπὲρ τοῦ θεάτρου χαλεπὸν ὄντα καὶ δυσπρόσοδον, οὕτως τοὺς ἀνθρώπους ἐξέπληξεν, ὥστε μηδένα τραπέσθαι πρὸς ἀλκήν, ἀλλὰ καὶ φρουρὰν λαβεῖν καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους εἴκοσι καὶ γενέσθαι συμμάχους Λακεδαιμονίων, ἔχοντος f ἐκείνου τὴν ἡγεμονίαν.

XVIII. Οὐ μικρὸν οὖν τοῦτο καὶ πρὸς δόξαν αὐτῷ καὶ δύναμιν ὑπῆρχεν. Οὔτε γὰρ οἱ πάλαι βασιλεῖς Λακεδαιμονίων πολλὰ πραγματευσάμενοι προσαγαγέσθαι τὸ Ἄργος βεβαίως ἠδυνήθησαν, ὅ τε δεινότατος τῶν στρατηγῶν Πύῤῥος εἰσελθὼν καὶ βιασάμενος οὐ κατέσχε τὴν πόλιν, ἀλλ' ἀπέθανε καὶ πολὺ συνδιεφθάρη μέρος
813 αὐτῷ τῆς δυνάμεως. (2) Ὅθεν ἐθαύμαζον τὴν ὀξύτητα a
καὶ διάνοιαν τοῦ Κλεομένους καὶ οἱ πρότερον αὐτοῦ τὸν Σόλωνα καὶ τὸν Λυκοῦργον ἀπομιμήσασθαι φάσκοντος ἐν τῇ τῶν χρεῶν ἀφέσει καὶ τῇ τῶν κτημάτων ἐξισώσει καταγελῶντες, τότε παντελῶς ἐπείθοντο τοῦτον αἴτιον γεγονέναι τῆς περὶ τοὺς Σπαρτιάτας μεταβολῆς. Οὕτω γὰρ ἔπραττον τὸ πρὶν ταπεινὰ καὶ βοηθεῖν αὑτοῖς ἀδυνάτως εἶχον, ὥστε πέντε μυριάδας ἀνδραπόδων ἐμβαλόντας εἰς τὴν Λακωνικὴν Αἰτωλοὺς ἀπαγαγεῖν· ὅτε φασὶν εἰπεῖν τινα τῶν πρεσβυτέρων Σπαρτιατῶν, ὡς ὤνησαν οἱ πολέμιοι τὴν Λακωνικὴν ἀποκουφίσαντες. (3) Ὀλίγου δὲ χρόνου διελθόντος ἁψάμενοι μόνον τῶν πατρίων ἐθῶν καὶ καταστάντες εἰς ἴχνος ἐκείνης τῆς ἀγωγῆς ὥσπερ παρόντι καὶ συμπολιτευομένῳ τῷ Λυκούργῳ πολλὴν ἐπίδειξιν ἀνδρείας ἐποιοῦντο καὶ πειθαρχίας,

ad ipsos venire, aut si cum copiis accederet, extra urbem apud gymnasium Cyllarabium colloqui. (2) Hæc audiens Cleomenes injuriam sibi fieri dixit; prædicendum enim sibi hoc fuisse, non jam ad fores accedenti fidem solvendam seque repellendum. Epistolam quoque ea de re ad Achæos scripsit, cujus major pars in Arato criminando consumebatur, quumque apud multitudinem vicissim Aratus multis eum verbis traduxisset, celeriter discessit, præconem qui bellum Achæis indiceret, non Argos, sed Ægium, ut ait Aratus, præveniendi eorum apparatus causa misit. (3) Tumultum ea res apud Achæos excitavit et ad defectionem civitates spectare cœperunt; nam et populi agrorum divisionem novasque tabulas sperabant, et principes varias Arato molestias exhibebant, multisque odio erat, quod Macedones in Peloponnesum induceret. Ergo Cleomenes hac occasione aucta fiducia in Achaiam irrupit, ac primum Pellenen cepit, ejecitque Achæorum ope præsidium; deinde Pheneum et Pentelêum in potestatem redegit. (4) Quum vero Achæi, proditionem quandam, quæ Corinthi et Sicyone conflabatur, metuentes, mercenarios milites et equitatum Argis eo custodiæ causa misissent, ipsique Argos profecti dum Nemea ibi celebrarent, sperans Cleomenes (id quod res erat) se, si urbem hominibus festivitati et spectaculis deditis repletam subito adortus esset, magnas turbas daturum, noctu ad muros exercitum adduxit, locoque circum Aspidem occupato, qui supra theatrum situs aditus difficiles habet, tantum terrorem hominibus incussit, ut nemo ad defendendam urbem sese converteret, verum et præsidium acciperent cives, et viginta obsides darent et Lacedæmoniorum fœderi, cujus dux erat Cleomenes, se adjungerent.

XVIII. Hæc res magnum ei et ad potentiam et ad gloriam momentum attulit. Nam neque priores Spartanorum reges Argos firmiter sibi adjungere, quantumvis multa ejus rei causa machinati, potuerunt, et imperatorum summus Pyrrhus quum vi intrasset, non obtinuit urbem, sed et ipse et una magna exercitus pars periit. Itaque celeritatem et prudentiam Cleomenis admirabantur homines; (2) et qui prius eum, quum in abrogandis æris alieni contractibus Solonem se et Lycurgum imitari diceret, deriserant, tum omnino assensi sunt, eum mutationis in melius rerum Spartanarum auctorem causamque fuisse. Quippe ita antehac abjecti vixerant, adeoque se ipsos tueri nequiverant Lacedæmonii, ut Ætoli in regionem eorum impressione facta, quinquaginta mancipiorum millia abegerint; quum quidem ferunt quendam de senioribus Spartanis dixisse: beneficio Laconicam ab hostibus affectam, qui eam ita exoneraverint. (3) Non multo post tempore quum gustassent modo patrios mores et priscæ illius disciplinæ institissent vestigiis veluti præsente et gubernante Lycurgo, multa fortitudinis dederunt documenta atque obedientiæ, prin-

τὴν τῆς Ἑλλάδος ἀναλαμβάνοντες ἡγεμονίαν τῇ Λακεδαίμονι καὶ ἀνακτώμενοι τὴν Πελοπόννησον.

XIX. Ἑαλωκότος δὲ Ἄργους καὶ κατόπιν εὐθὺς προσθεμένων τῷ Κλεομένει Κλεωνῶν καὶ Φλιοῦντος, ἐτύγχανε μὲν ὁ Ἄρατος ἐν Κορίνθῳ ποιούμενός τινα τῶν λεγομένων λακωνίζειν ἐξέτασιν· ἀγγελίας δὲ περὶ τούτων προσπεσούσης διαταραχθεὶς καὶ τὴν πόλιν ἀποκλίνουσαν αἰσθόμενος πρὸς τὸν Κλεομένη καὶ τῶν c Ἀχαιῶν ἀπαλλαγῆναι βουλομένην, ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς πολίτας, ἔλαθε δὲ διολισθὼν ἄχρι τῆς πύλης. Ἐκεῖ δὲ, τοῦ ἵππου προσαχθέντος, ἀναβὰς ἔφυγεν εἰς Σικυῶνα. (2) Τῶν δὲ Κορινθίων ἁμιλλωμένων εἰς Ἄργος πρὸς τὸν Κλεομένη φησὶν ὁ Ἄρατος τοὺς ἵππους πάντας ῥαγῆναι· τὸν δὲ Κλεομένη μέμφεσθαι τοὺς Κορινθίους μὴ συλλαβόντας αὐτὸν, ἀλλ' ἐάσαντας διαφυγεῖν· οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν Μεγιστόνουν παρὰ τοῦ Κλεομένους δεομένου παραλαβεῖν τὸν Ἀκροκόρινθον (εἶχε γὰρ φρουρὰν Ἀχαιῶν) καὶ πολλὰ χρήματα διδόντος· ἀποκρίνασθαι δὲ αὐτὸν, ὡς d οὐκ ἔχει τὰ πράγματα, μᾶλλον δὲ ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται. Ταῦτα μὲν ὁ Ἄρατος γέγραφεν. (3) Ὁ δὲ Κλεομένης ἐκ τοῦ Ἄργους ἐπελθὼν καὶ προσαγαγόμενος Τροιζηνίους, Ἐπιδαυρίους, Ἑρμιονέας, ἧκεν εἰς Κόρινθον· καὶ τὴν μὲν ἄκραν περιεχαράκωσε, τῶν Ἀχαιῶν οὐ βουλομένων ἐκλιπεῖν, τοῦ δὲ Ἀράτου τοὺς φίλους καὶ τοὺς ἐπιτρόπους μεταπεμψάμενος ἐκέλευσε τὴν οἰκίαν καὶ τὰ χρήματα λαβόντας φυλάττειν καὶ διοικεῖν. Τριτύμαλλον δὲ πάλιν τὸν Μεσσήνιον ἀπέστειλε πρὸς αὐτὸν ἀξιῶν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν e Λακεδαιμονίων ὁμοῦ φυλάττεσθαι τὸν Ἀκροκόρινθον, ἰδίᾳ δὲ τῷ Ἀράτῳ διπλῆν ἐπαγγελλόμενος τὴν σύνταξιν, ἧς ἐλάμβανε παρὰ Πτολεμαίου τοῦ βασιλέως. (4) Ἐπεὶ δὲ ὁ Ἄρατος οὐχ ὑπήκουσεν, ἀλλὰ τόν τε υἱὸν ἔπεμψε πρὸς τὸν Ἀντίγονον μετὰ τῶν ἄλλων ὁμήρων καὶ ψηφίσασθαι τοὺς Ἀχαιοὺς ἔπεισεν Ἀντιγόνῳ παραδιδόναι τὸν Ἀκροκόρινθον, οὕτως ὁ Κλεομένης τήν τε Σικυωνίαν ἐμβαλὼν ἐπόρθησε καὶ τὰ χρήματα τοῦ Ἀράτου, τῶν Κορινθίων αὐτῷ ψηφισαμένων, δωρεὰν ἔλαβε.

XX. Τοῦ δὲ Ἀντιγόνου μετὰ πολλῆς δυνάμεως τὴν Γεράνειαν ὑπερβάλλοντος οὐκ ᾤετο δεῖν τὸν Ἰσθμὸν, ἀλλὰ τὰ Ὄνεια χαρακώσας καὶ τειχίσας φυλάττειν f καὶ τοπομαχῶν ἀποτρίβεσθαι τοὺς Μακεδόνας μᾶλλον ἢ συμπλέκεσθαι πρὸς φάλαγγα συνησκημένην. Καὶ τούτοις χρώμενος τοῖς λογισμοῖς εἰς ἀπορίαν καθίστη τὸν Ἀντίγονον. (2) Οὔτε γὰρ σῖτον εἶχεν ἐκ παρασκευῆς ἱκανὸν οὔτε βιάσασθαι τὴν πάροδον, καθημένου τοῦ Κλεομένους, ἦν ῥᾴδιον· ἐπιχειρήσας δὲ παραδύεσθαι διὰ τοῦ Λεχαίου νυκτὸς ἐξέπεσε καί τινας ἀπέβαλε τῶν στρατιωτῶν, ὥστε παντάπασι θαρρῆσαι τὸν Κλεομένη 814 καὶ τοὺς περὶ αὐτὸν ἐπηρμένους τῇ νίκῃ τραπέσθαι πρὸς a τὸ δεῖπνον, ἀθυμεῖν δὲ τὸν Ἀντίγονον εἰς οὐκ εὐπόρους κατακλειόμενον ὑπὸ τῆς ἀνάγκης λογισμούς. (3) Ἐβουλεύετο γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνύναι τὸ Ἡραῖον,

cipatum Græciæ Lacedæmoni recuperantes et Peloponnesum sibi restituentes.

XIX. Argis captis quum statim etiam Cleonæ et Phlius Cleomeni se adjunxissent, Aratus, qui tum Corinthi in quosdam, qui ferebantur Laconum partibus studere, inquirebat, nuntio rei allato perturbatus, quum civitatem eam sentiret ad Cleomenem inclinare ac cupere Achæorum principatu liberari, civibus in concilium advocatis, ipse occulte ad portas elapsus est, ibique equum adductum conscendit ac Sicyonem confugit. (2) Idem scribit, Corinthiorum certatim Argos ad Cleomenem contendentium tantam fuisse festinationem, ut equi eorum omnes rupti fuerint, increpatosque eos a Cleomene, quod se non comprehendissent, sed effugere passi fuissent. Venisse tamen ad se Megistonum a Cleomene missum, orasseque ut accepta, quam promittebat ingentem, pecunia Acrocorinthum Achæorum præsidio deducto traderet, seque ei respondisse: non habere se res in sua potestate, sed ab iis haberi. (3) Cleomenes Argis profectus, Trœzeniis, Epidauriis et Hermionensibus sibi adjunctis Corinthum venit, arcemque munitionibus inclusit, Achæis decedere nolentibus. Arati quoque amicos et procuratores ad se vocavit, jussitque facultates ejus tenere ac tueri, rursumque Tritymallum Messenium ad Aratum misit, petens ab eo, ut Acrocorinthum communi Achæorum Lacedæmoniorumque præsidio teneri pateretur, privatimque Arato duplum annuæ pensionis, quam ab rege is Ptolomæo accipiebat, daturum se promisit. (4) Arato non obtemperante, sed et filium cum reliquis obsidibus ad Antigonum mittente et Achæos eo adducente, ut tradendum Antigono Acrocorinthum decernerent, ita demum in Sicyonium agrum impressionem fecit, eumque populatus est et decreto Corinthiorum bona Arati dono sibi data accepit.

XX. Quum Antigonus jam in eo esset ut magno cum exercitu Geraniam transcenderet, existimavit non Isthmum sibi, sed montes tantum eos, qui Onei dicuntur, vallo intercipiendos custodiendosque Cleomenes, locique opportunitate potius aggeribusque repellendos Macedonas, quam cum phalange probe instructa et exercitata pugnandum. (2) Atque his quidem usus consiliis, in maximas Antigonum difficultates conjecit, cui neque satis frumenti comparatum, neque obsesso a Cleomene transitu facile erat vi pergere, et quum noctu conatus esset per Lechæum furtim elabi, spe frustratus nonnullos milites amisit, ita ut Cleomenes cum suis elati victoria audaciaque repleti ad cœnam se contulerint, Antigonus autem animi anxius, necessitate ad consilia difficilia et impedita adactus fuerit. (3) Cogitabat enim castra ad promontorium, quod a fano Junonis Heræum

κἀκεῖθεν εἰς Σικυῶνα πλοίοις περαιῶσαι τὴν δύναμιν· ὃ καὶ χρόνου πολλοῦ καὶ παρασκευῆς ἦν οὐ τῆς τυχούσης. Ἤδη δὲ πρὸς ἑσπέραν ἧκον ἐξ Ἄργους κατὰ θάλατταν ἄνδρες Ἀράτου φίλοι καλοῦντες αὐτὸν, ὡς ἀφισταμένων τῶν Ἀργείων τοῦ Κλεομένους. Ὁ δὲ πράττων ἦν τὴν ἀπόστασιν Ἀριστοτέλης· καὶ τὸ πλῆθος οὐ χαλεπῶς ἔπεισεν, ἀγανακτοῦν ὅτι χρεῶν ἀποκοπὰς οὐκ ἐποίησεν αὐτοῖς ὁ Κλεομένης ἐλπίσασι. (4) Λαβὼν b οὖν ὁ Ἄρατος παρ' Ἀντιγόνου στρατιώτας χιλίους καὶ πεντακοσίους παρέπλευσεν εἰς Ἐπίδαυρον. Ὁ δὲ Ἀριστοτέλης ἐκεῖνον οὐ περιέμεινεν, ἀλλὰ τοὺς πολίτας παραλαβὼν προσεμάχετο τοῖς φρουροῦσι τὴν ἀκρόπολιν, καὶ παρῆν αὐτῷ Τιμόξενος μετὰ τῶν Ἀχαιῶν ἐκ Σικυῶνος βοηθῶν.

XXI. Ταῦτα περὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἀκούσας ὁ Κλεομένης μετεπέμψατο Μεγιστόνουν καὶ πρὸς ὀργὴν ἐκέλευσεν εὐθὺς εἰς Ἄργος βοηθεῖν· ὁ γὰρ ὑπὲρ τῶν Ἀργείων μάλιστα καταπιστωσάμενος πρὸς αὐτὸν ἐκεῖνος ἦν, καὶ διεκώλυσεν ἐκβαλεῖν τοὺς ὑπόπτους. Ἀπολύσας οὖν τὸν Μεγιστόνουν μετὰ δισχιλίων c στρατιωτῶν, αὐτὸς προσεῖχε τῷ Ἀντιγόνῳ καὶ τοὺς Κορινθίους παρεθάῤῥυνεν, ὡς οὐδενὸς μεγάλου περὶ τὸ Ἄργος, ἀλλὰ ταραχῆς τινος ἀπ' ἀνθρώπων ὀλίγων γεγενημένης. (2) Ἐπεὶ δὲ ὁ Μεγιστόνους τε παρεισπεσὼν εἰς τὸ Ἄργος ἀνῃρέθη μαχόμενος καὶ μόγις ἀντεῖχον οἱ φρουροὶ καὶ διεπέμποντο συχνοὺς πρὸς τὸν Κλεομένη, φοβηθεὶς μὴ τοῦ Ἄργους οἱ πολέμιοι κρατήσαντες καὶ τὰς παρόδους ἀποκλείσαντες αὐτοὶ πορθῶσιν ἀδεῶς τὴν Λακωνικὴν καὶ πολιορκῶσι τὴν Σπάρτην ἔρημον οὖσαν, ἀπῆγεν ἐκ Κορίνθου τὸ στράτευμα. (3) Καὶ ταύτης μὲν εὐθὺς ἐστέρητο τῆς πόλεως εἰσελθόντος Ἀντιγόνου καὶ φρουρὰν καταστήσαντος· d ἐπιβαλὼν δὲ τῷ Ἄργει κατὰ τὸ τεῖχος ἐπεχείρησε μὲν εἰσαλέσθαι καὶ συνέστρεψεν ἐκ τῆς πορείας τὴν δύναμιν, ἐκκόψας δὲ τὰς ὑπὸ τὴν Ἀσπίδα ψαλίδας ἀνέβη καὶ συνέμιξε τοῖς ἔνδον ἔτι πρὸς τοὺς Ἀχαιοὺς ἀντέχουσι, καὶ τῶν ἐντὸς ἔνια κλίμακας προσθεὶς κατέλαβε καὶ τοὺς στενωποὺς ἐρήμους πολεμίων ἐποίησε τοῖς βέλεσι χρήσασθαι προστάξας τοὺς Κρῆτας. (4) Ὡς δὲ κατεῖδε τὸν Ἀντίγονον ἀπὸ τῶν ἄκρων εἰς τὸ πεδίον καταβαίνοντα μετὰ τῆς φάλαγγος, τοὺς δὲ ἱππεῖς ἤδη ῥύδην ἐλαύνοντας εἰς τὴν πόλιν, ἀπέγνω κρατήσειν, καὶ συναγαγὼν ἅπαντας πρὸς αὐτὸν ἀσφαλῶς κατέβη καὶ παρὰ τὸ τεῖχος ἀπηλλάττετο, μεγίστων μὲν ἐν ἐλαχίστῳ χρόνῳ πραγμάτων ἐπικρατήσας, καὶ μετὰ μικρὸν ὅλης ὁμοῦ τι μιᾷ περιόδῳ Πελοποννήσου κύριος γενέσθαι δεήσας, ταχὺ δ' αὖθις ἐκπεσὼν ἁπάντων. Οἱ e μὲν γὰρ εὐθὺς ἀπεχώρησαν αὐτοῦ τῶν στρατευομένων, οἱ δὲ ὀλίγον ὕστερον τῷ Ἀντιγόνῳ τὰς πόλεις παρέδωκαν.

XXII. Οὕτω δ' αὐτῷ πεπραχότι κατὰ τὴν στρατείαν καὶ ἀπαγαγόντι τὴν δύναμιν ἑσπέρας ἤδη περὶ Τεγέαν ἀφίκοντό τινες ἐκ Λακεδαίμονος οὐκ ἐλάττονα τῆς ἐν χερσὶ δυστυχίαν ἀπαγγέλλοντες, τεθνάναι τὴν

dicitur, referre, atque inde exercitum navibus Sicyonem trajicere; quæ res et multum temporis et apparatum haud mediocrem desiderabat. Jam sub vesperam Argis ad eum mari advehuntur quidam Arati amici, defectionem a Cleomene moliri Argivos nuntiantes ipsumque eo vocantes. Auctor ejus defectionis fuit Aristoteles, ac populum haud difficulter in suam sententiam pertrahebat, indignantem quod speratas ab ipsis novas tabulas non dedisset Cleomenes. (4) Proinde Aratus mille quingentis militibus ab Antigono acceptis, Epidaurum navigavit. Aristoteles autem adventu ejus non exspectato, ipse cum civibus oppugnat præsidium Cleomenis, eique præsto fuit cum Achæis Sicyone ad subsidium adductis Timoxenus.

XXI. Hæc quum circiter secundam noctis custodiam cognovisset Cleomenes, Megistonum (qui maxime pro Argivis fidem suam interposuerat, prohibueratque ne suspectos sibi ejiceret urbe Cleomenes) iratus ad se vocavit et cum duobus militum millibus statim ad retinendos Argos misit; ipse in Antigonum intendit, et Corinthios confirmavit, quod nihil periculi ab Argis esse, verum paucos quosdam homines tumultum ibi concitasse diceret. (2) Sed postquam Megistonus Argos ingressus in pugna occisus fuit, præsidiumque Spartanum ægre vim hostium sustinens crebros ad ipsum misit nuntios, metuens ne captis Argis hostes transitus intercluderent, Laconicamque inde tuto popularentur et Spartam oppugnarent defensorum vacuam, exercitum Corintho abduxit. (3) Hanc urbem statim amisit, Antigono in eam intrante præsidiumque imponente. Muros autem Argorum aggressus et intro se proripere conatus est, ex itinere conversis ad oppugnationem copiis, excisisque sub Aspide fornicibus ad suos pervenit Achæis etiamnum resistentes, ac partes nonnullas urbis interiores admotis scalis occupavit, vicosque hostibus vacuavit, Cretensibus sagittis uti jussis. (4) Ut vero Antigonum vidit a fastigiis in planitiem cum phalange descendere et equites magno impetu ad urbem contendere, spe victoriæ abjecta suos ad se conduxit, cauteque præter murum abduxit, quum quidem brevissimo temporis spatio maximas res confecisset ac propemodum totam Peloponnesum unica expeditione in suam potestatem redegisset. Quæ quidem omnia continuo rursum amisit, quum partim milites statim ab ipso discederent, partim paullo post Antigono urbes traderent.

XXII. Hoc successu expeditionis usum copiasque retro abducentem, quum jam advesperasceret, quidam Lacedæmone profecti apud Tegeam conveniunt, haud minorem præsenti calamitatem nuntiantes, mortem nimirum uxo-

γυναῖκα, δι' ἣν οὐδὲ ταῖς πάνυ κατορθουμέναις ἐκεῖνος f ἐνεκαρτέρει στρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς Σπάρτην, ἐρῶν τῆς Ἀγιάτιδος καὶ περὶ πλείστου ποιούμενος ἐκείνην. (2) Ἐπλήγη μὲν οὖν καὶ ἤλγησεν, ὡς εἰκὸς ἦν νέον ἄνδρα καλλίστης καὶ σωφρονεστάτης ἀφῃρημένον γυναικὸς, οὐ μὴν κατήσχυνεν οὐδὲ προήκατο τῷ πάθει τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς, ἀλλὰ καὶ φωνὴν καὶ σχῆμα καὶ μορφὴν ἐν ᾧ πρότερον εἶχεν ἤθει διαφυλάττων τά τε προστάγματα τοῖς ἡγε-815μόσιν ἐδίδου καὶ περὶ τῆς ἀσφαλείας τῶν Τεγεατῶν a ἐφρόντιζεν. (3) Ἅμα δὲ ἡμέρᾳ κατέβαινεν εἰς Λακεδαίμονα, καὶ μετὰ τῆς μητρὸς οἴκοι καὶ τῶν παίδων ἀπαλγήσας τὸ πένθος εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. Ἐπεὶ δὲ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπαγγελλόμενος αὐτῷ βοήθειαν ἠξίου λαβεῖν ὅμηρα τοὺς παῖδας καὶ τὴν μητέρα, χρόνον μὲν συχνὸν ᾐσχύνετο φράσαι τῇ μητρὶ καὶ πολλάκις εἰσελθὼν καὶ πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ κατεσιώπησεν, ὥστε κἀκείνην ὑπονοεῖν καὶ παρὰ τῶν φίλων αὐτοῦ διαπυνθάνεσθαι, μή τι κατοκνεῖ βουλόμενος ἐντυχεῖν αὐτῇ. (4) Τέλος δὲ τοῦ Κλεομένους ἀποτολμήσαντος εἰπεῖν, ἐξεγέλασέ τε μέγα καὶ, « Τοῦτο ἦν, εἶπεν, ὃ πολλάκις b ὁρμήσας λέγειν ἀπεδειλίασας; Οὐ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποστελεῖς, ὅπου ποτὲ τῇ Σπάρτῃ νομίζεις τοῦτο τὸ σῶμα χρησιμώτατον ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτοῦ καθήμενον διαλυθῆναι; » (5) Πάντων οὖν ἑτοίμων γενομένων ἀφίκοντο μὲν εἰς Ταίναρον πεζῇ καὶ προὔπεμψεν ἡ δύναμις αὐτοὺς ἐν τοῖς ὅπλοις· μέλλουσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ Κρατησίκλεια τὸν Κλεομένη μόνον εἰς τὸν νεὼν τοῦ Ποσειδῶνος ἀπήγαγε καὶ περιβαλοῦσα καὶ κατασπασαμένη διαλγοῦντα καὶ συντεταραγμένον, « Ἄγε, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ὅπως, ἐπὰν ἔξω γενώμεθα, μηδεὶς ἴδῃ δακρύοντας c ἡμᾶς μηδὲ ἀνάξιόν τι τῆς Σπάρτης ποιοῦντας. Τοῦτο γὰρ ἐφ' ἡμῖν μόνον· αἱ τύχαι δὲ, ὅπως ἂν ὁ δαίμων διδῷ, πάρεισι. » (6) Ταῦτα δ' εἰποῦσα καὶ καταστήσασα τὸ πρόσωπον ἐπὶ τὴν ναῦν ἐχώρει τὸ παιδίον ἔχουσα καὶ διὰ τάχους ἐκέλευσεν ἀπαίρειν τὸν κυβερνήτην. Ἐπεὶ δὲ εἰς Αἴγυπτον ἀφίκετο καὶ τὸν Πτολεμαῖον ἐπύθετο λόγους παρ' Ἀντιγόνου καὶ πρεσβείας δεχόμενον, περὶ δὲ τοῦ Κλεομένους ἤκουσεν, ὅτι, τῶν Ἀχαιῶν προκαλουμένων αὐτὸν εἰς διαλύσεις, φοβοῖτο δι' ἐκείνην ἄνευ Πτολεμαίου καταθέσθαι τὸν πόλεμον, ἐπέστειλεν αὐτῷ τὰ τῇ Σπάρτῃ πρέποντα καὶ συμφέ- d ροντα πράττειν καὶ μὴ διὰ μίαν γραῦν καὶ παιδάριον ἀεὶ δεδιέναι Πτολεμαῖον. Αὕτη μὲν οὖν παρὰ τὰς τύχας τοιαύτη λέγεται γεγενῆσθαι.

XXIII. Τοῦ δὲ Ἀντιγόνου Τεγέαν μὲν παραλαβόντος, Ὀρχομενὸν δὲ καὶ Μαντίνειαν διαρπάσαντος, εἰς αὐτὴν τὴν Λακωνικὴν συνεσταλμένος ὁ Κλεομένης τῶν μὲν εἱλώτων τοὺς πέντε μνᾶς Ἀττικὰς καταβαλόντας ἐλευθέρους ἐποίει καὶ τάλαντα πεντακόσια συνέλεξε, δισχιλίους δὲ προσκαθοπλίσας μακεδονικῶς ἀντίταγμα τοῖς παρ' Ἀντιγόνου λευκάσπισιν ἔργον ἐπὶ νοῦν βάλλε-

ris ejus, propter quam ne felicissimis quidem in bellis diutius permanebat, sed amore Agiatidis, quam faciebat plurimi, crebro Spartam recurrebat. (2) Perculsus vero est et dolore correptus, ut par est juvenem pulcherrima pudicissimaque orbatum uxore, nihil tamen de animi magnitudine dimisit, nihil se indignum egit, sed voce, habitu vultuque eodem servato, mandata ducibus dedit, ac de incolumitate Tegeatarum rationes iniit. (3) Postridie prima luce Lacedæmonem descendit, luctuque domi cum matre et liberis peracto, statim de summa rerum deliberationem instituit. Quum autem Ptolemæus rex Ægypti auxilium ei promittens, obsidum loco liberos ejus matremque sibi dari posceret, diu admodum veritus est hoc matri indicare, ac sæpe ad eam ingressus jamque dicturus obmutuit, adeo ut ipsa suspicata hoc sit et ex amicis ejus percontata, ecquid cunctaretur ipsam aliqua de re compellare. (4) Tandem Cleomene rem aperire auso, cachinnum sustulit mater, et, « Hoc ergo, inquit, erat, quod sæpe aggressus nobis dicere, formidine detentus intermisisti? non tu potius statim nos in navim impones mittesque eo, ubi corpus hoc Spartæ quam utilissimum fore judicas, priusquam hic desidens a senectute conficiatur? » (5) Omnibus rebus apparatis, pedites Tænarum descenderunt, armato exercitu eos deducente. Jam vero ingressura in navim Cratesiclea in fanum Neptuni Cleomenem solum abduxit; ibi amplexu ejus et osculis saturata, gravissime dolentis animoque perturbati, « Agedum, ait, o rex Spartanorum, operam demus, ne nos hinc egressos quisquam lacrimantes, aut indignum aliquid Lacedæmone in nos admittentes conspiciat. Hoc enim præstare unum possumus: fortuna ea utemur, quæ divinitus obtinget. » (6) Hæc locuta composito ad serenitatem vultu cum nepote navim conscendit, celeriterque solvere rectorem navis jussit. Delata in Ægyptum, quum Ptolemæum audiret legatos Antigoni atque oratores admittere, Cleomenem vero ab Achæis ad pacificationem invitatum, matris causa non audere injussu Ptolemæi bellum desinere, per epistolam monuit, ut id, quod Spartæ dignitas commodumque juberent, ageret, neque semper vetulæ mulieris et pueruli causa Ptolemæum metueret. Hanc sese Cratesiclea rebus adversis gessisse fertur.

XXIII. Cæterum Cleomenes in ipsam Laconicam conclusus, quum Antigonus Tegeam cepisset, Orchomenumque et Mantineam diripuisset, helotum quotquot quinque minas Atticas contulissent, libertate donavit, eoque modo quingentis talentis coactis, duo millia hominum Macedonico more armavit, quos militibus Antigoni opponeret (qui ab albis, quæ gestant, scutis Leucaspides dicuntur). Magnam inde rem et præter omnium exspectationem aggres-

ται μέγα καὶ πᾶσιν ἀπροσδόκητον. (2) Ἡ Μεγάλη πόλις ἦν μὲν τότε καὶ καθ' ἑαυτὴν οὐδέν τι μείων οὐδὲ [e] ἀσθενεστέρα τῆς Λακεδαίμονος· εἶχε δὲ τὴν ἀπὸ τῶν Ἀχαιῶν καὶ τοῦ Ἀντιγόνου βοήθειαν ἐν πλευραῖς καθεζομένου καὶ δοκοῦντος ὑπὸ τῶν Ἀχαιῶν ἐπικεκλῆσθαι μάλιστα τῶν Μεγαλοπολιτῶν σπουδασάντων. Ταύτην διαρπάσαι διανοηθεὶς ὁ Κλεομένης (οὐ γάρ ἐστιν ᾧ μᾶλλον ἔοικε τὸ ταχὺ καὶ ἀπροσδόκητον ἐκείνης τῆς πράξεως) ἡμερῶν πέντε σιτία λαβεῖν κελεύσας ἐξῆγε τὴν δύναμιν ἐπὶ τὴν Σελασίαν, ὡς τὴν Ἀργολικὴν κακουργήσων· (3) ἐκεῖθεν δὲ καταβὰς ἐπὶ τὴν Μεγαλοπολιτικὴν καὶ δειπνοποιησάμενος περὶ τὸ Ῥοίτειον εὐθὺς ἐπορεύετο τὴν δι' Ἑλικοῦντος ἐπὶ τὴν πόλιν, ἀποσχὼν [f] δ' οὐ πολὺ Παντέα μὲν ἔχοντα δύο τάγματα τῶν Λακεδαιμονίων ἀπέστειλε καταλαβέσθαι κελεύσας μεσοπύργιον, ὃ τῶν τειχῶν ἐρημότατον εἶναι τοῖς Μεγαλοπολίταις ἐπυνθάνετο, τῇ δὲ ἄλλῃ δυνάμει σχολαίως ἐπηκολούθει. (4) Τοῦ δὲ Παντέως οὐ μόνον ἐκεῖνον τὸν τόπον, ἀλλὰ καὶ πολὺ μέρος τοῦ τείχους ἀφύλακτον εὑρόντος καὶ τὰ μὲν καθαιροῦντος εὐθὺς, τὰ δὲ διασκάπτοντος, τῶν δὲ φρουρῶν οἷς ἐνέτυχε πάντας [816] ἀποκτείναντος, ἔφθασε προσμίξας ὁ Κλεομένης, καὶ [a] πρὶν αἰσθέσθαι τοὺς Μεγαλοπολίτας, ἔνδον ἦν μετὰ τῆς δυνάμεως.

XXIV. Φανεροῦ δὲ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν εὐθὺς ἐξέπιπτον ὅσα τυγχάνοι τῶν χρημάτων λαμβάνοντες, οἱ δὲ συνεστρέφοντο μετὰ τῶν ὅπλων καὶ τοῖς πολεμίοις ἐνιστάμενοι καὶ προσβάλλοντες ἐκείνους μὲν οὐκ ἴσχυσαν ἐκκροῦσαι, τοῖς δὲ φεύγουσι τῶν πολιτῶν ἀσφαλῶς ἀπελθεῖν παρέσχον, ὥστε μὴ πλείονα τῶν χιλίων ἐγκαταληφθῆναι σώματα, τοὺς δὲ ἄλλους ἅπαντας ὁμοῦ μετὰ τέκνων καὶ γυναικῶν φθάσαι διαφυγόντας εἰς Μεσσήνην. (2) Ἐσώθη δὲ [b] καὶ τῶν προσβοηθούντων καὶ μαχομένων τὸ πλῆθος· ὀλίγοι δὲ παντάπασιν ἥλωσαν, ὧν ἦν Λυσανδρίδας τε καὶ Θεαρίδας, ἄνδρες ἔνδοξοι καὶ δυνατοὶ μάλιστα τῶν Μεγαλοπολιτῶν. Διὸ καὶ λαβόντες αὐτοὺς εὐθὺς οἱ στρατιῶται τῷ Κλεομένει προσῆγον. Ὁ δὲ Λυσανδρίδας ὡς εἶδε τὸν Κλεομένη πόῤῥωθεν, ἀναβοήσας, « Ἔξεστί σοι νῦν, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ἔργον ἀποδειξαμένῳ τοῦ πεπραγμένου κάλλιον καὶ βασιλικώτατον ἐνδοξοτάτῳ γενέσθαι. » (3) Ὁ Κλεομένης δὲ ὑποτοπήσας αὐτοῦ τὴν ἔντευξιν, « Τί δὲ, εἶπεν, ὦ Λυσανδρίδα, λέγεις; Οὐ γὰρ δή πού με τὴν πόλιν ὑμῖν ἀποδοῦναι κελεύεις; » Καὶ ὁ Λυσανδρίδας « Αὐτὸ μὲν οὖν, ἔφη, λέγω καὶ συμβουλεύω μὴ διαφθεῖραι [c] πόλιν τηλικαύτην, ἀλλ' ἐμπλῆσαι φίλων καὶ συμμάχων πιστῶν καὶ βεβαίων ἀποδόντα Μεγαλοπολίταις τὴν πατρίδα καὶ σωτῆρα δήμου τοσούτου γενόμενον. » Μικρὸν οὖν ὁ Κλεομένης διασιωπήσας, « Χαλεπὸν, ἔφη, ταῦτά τῳ πιστεῦσαι, νικάτω δὲ τὸ πρὸς δόξαν ἀεὶ μᾶλλον ἢ τὸ λυσιτελὲς παρ' ἡμῖν. » Καὶ ταῦτα εἰπὼν ἀπέστειλε τοὺς ἄνδρας εἰς Μεσσήνην καὶ κήρυκα παρ' ἑαυτοῦ τοῖς Μεγαλοπολίταις ἀποδιδοὺς τὴν πόλιν ἐπὶ

sus est. (2) Megalopolis urbs erat per se nequaquam Lacedæmone minor, neque imbecillior; tum vero Achæorum etiam et Antigoni auxilio nitebatur, castra ad latus habentis, ut qui maxime Megalopolitanorum opera videretur ad ferendam Achæis opem adductus. Hanc urbem diripere intendens Cleomenes, (nullum enim alium finem subita et inopinata ejus hæc actio habuisse propositum videtur,) milites quinque dierum cibaria secum ferre jussos ad Sellasiam duxit, veluti in Argolicam impressionem facturus. (3) Inde in agrum Megalopolitanum profectus, quum apud Rhœteum corpora militum cœna refecisset, recta per Helicuntem ad ipsam urbem contendit. Quum haud procul abesset, Panteum cum duabus Lacedæmoniorum cohortibus præmisit, qui turrium quoddam interstitium, quo loco audierat maxime desertos esse muros, caperet; ipse cum reliquis copiis paulatim subsecutus est. (4) Panteus non illum modo locum, sed magnam præterea illius muri partem custodibus vacuam offendit, ac statim qua dejecit, qua subruit, occisis quotquot occurrissent custodibus, ac mature superveniens Cleomenes, priusquam Megalopolitani animadverterent, cum copiis intra muros constitit.

XXIV. Vix tandem calamitate per urbem innotescente, cives alii arreptis quæ poterant bonis effugerunt, alii arma rapientes facto agmine in hostem pugnaverunt; quem quum profligare nequirent, tutum tamen civibus urbe exeuntibus discessum præstiterunt, ita ut non ultra mille homines in urbe deprehensi sint; reliqui omnes cum uxoribus et liberis Messenam profugerunt. (2) Illa quoque multitudo, quæ pugnam cum hostibus conseruerat, evasit, paucis admodum captis. Fuerunt inter captivos Lysandridas etiam et Thearidas, viri nobiles et qui largiter apud Megalopolitanos poterant. Itaque eos statim ad Cleomenem adduxerunt milites. Lysandridas, quum eminus Cleomenem conspiceret, alta voce, Nunc, inquit, tibi, o rex Lacedæmoniorum, licet præclariori, quam id quod confectum est, maximeque regio facinore summam consequi gloriam. (3) Tum Cleomenes, suspicatus quid esset quod dicturus erat: Quid ergo, ait, o Lysandrida, sentis? non enim, puto, urbem me jubebis vobis reddere. Hoc ipsum est, respondit ille, quod suadeo tibi, ne urbem tantam pessumdes, sed patriam Megalopolitanis reddens, bonis fidelibusque porro sociis eam impleas, tantamque conserves multitudinem. Ad hæc rex quum paululum tacuisset: Credere, inquit, hoc cuiquam difficile est, sed tamen apud nos gloriosa semper utilibus præferantur. Atque ita fatus, viros istos Messenam misit, una cum suo præcone, ea conditione Megalopolitanis se patriam reddere promittens,

τῷ συμμάχους εἶναι καὶ φίλους ἀποστάντας Ἀχαιῶν. (4) Οὕτω δὲ τοῦ Κλεομένους εὐγνώμονα καὶ φιλάνθρωπα d προτείναντος οὐκ εἴασε τοὺς Μεγαλοπολίτας ὁ Φιλοποίμην ἐγκαταλιπεῖν τὴν πρὸς τοὺς Ἀχαιοὺς πίστιν, ἀλλὰ κατηγορῶν τοῦ Κλεομένους, ὡς οὐ ζητοῦντος ἀποδοῦναι τὴν πόλιν, ἀλλὰ προσλαβεῖν τοὺς πολίτας, ἐξέβαλε τὸν Θεαρίδαν καὶ τὸν Λυσανδρίδαν ἐκ τῆς Μεσσήνης. Οὗτος ἦν Φιλοποίμην ὁ πρωτεύσας ὕστερον Ἀχαιῶν καὶ μεγίστην κτησάμενος ἐν τοῖς Ἕλλησι δόξαν, ὡς ἰδίᾳ περὶ αὐτοῦ γέγραπται.

XXV. Τούτων δὲ ἀπαγγελθέντων τῷ Κλεομένει, τετηρηκὼς τὴν πόλιν ἄθικτον καὶ ἀκέραιον, ὥστε μηδένα λαθεῖν μηδὲ τοὐλάχιστον λαβόντα, τότε παντάπασι τραχυνθεὶς καὶ ἀγανακτήσας τὰ μὲν χρήματα e διήρπασεν, ἀνδριάντας δὲ καὶ γραφὰς ἀπέστειλεν εἰς Σπάρτην, τῆς δὲ πόλεως τὰ πλεῖστα καὶ μέγιστα μέρη κατασκάψας καὶ διαφθείρας ἀνέζευξεν ἐπ' οἴκου, φοβούμενος τὸν Ἀντίγονον καὶ τοὺς Ἀχαιούς. Ἐπράχθη δὲ οὐδὲν ἀπ' αὐτῶν. (2) Ἐτύγχανον μὲν γὰρ ἐν Αἰγίῳ βουλὴν ἔχοντες· ἐπεὶ δὲ Ἄρατος ἀναβὰς ἐπὶ τὸ βῆμα πολὺν μὲν χρόνον ἔκλαιε τὴν χλαμύδα θέμενος πρὸ τοῦ προσώπου, θαυμαζόντων δὲ καὶ λέγειν κελευόντων, εἶπεν ὅτι Μεγάλη πόλις ἀπόλωλεν ὑπὸ Κλεομένους, ἡ μὲν σύνοδος εὐθὺς διελύθη τῶν Ἀχαιῶν καταπλαγέντων τὴν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πάθους, ὁ δὲ Ἀντίγονος ἐπιχειρήσας βοηθεῖν, εἶτα βραδέως αὐτῷ f τῆς δυνάμεως ἐκ τῶν χειμαδίων ἀνισταμένης, ταύτην μὲν αὖθις ἐκέλευσε κατὰ χώραν μένειν, αὐτὸς δὲ παρῆλθεν εἰς Ἄργος οὐ πολλοὺς ἔχων στρατιώτας μεθ' ἑαυτοῦ. (3) Διὸ καὶ τὸ δεύτερον ἐγχείρημα τοῦ Κλεομένους ἔδοξε μὲν τετολμῆσθαι παραβόλως καὶ μανικῶς, ἐπράχθη δὲ μετὰ πολλῆς προνοίας, ὥς φησι Πολύβιος. Εἰδὼς γὰρ εἰς τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν,
817 ὥς φησι, τοὺς Μακεδόνας καὶ τὸν Ἀντίγονον οὐ πολ- a λοὺς ἔχοντα μισθοφόρους ἐν Ἄργει διαχειμάζοντα μετὰ τῶν φίλων, ἐνέβαλεν εἰς τὴν Ἀργείαν, λογιζόμενος ἢ δι' αἰσχύνην τοῦ Ἀντιγόνου παροξυνθέντος ἐπικρατήσειν ἢ μὴ τολμήσαντα μάχεσθαι διαβαλεῖν πρὸς τοὺς Ἀργείους. Ὃ καὶ συνέβη. (4) Διαφθειρομένης γὰρ τῆς χώρας ὑπ' αὐτοῦ καὶ πάντων ἀγομένων καὶ φερομένων, οἱ μὲν Ἀργεῖοι δυσανασχετοῦντες ἐπὶ τὰς θύρας συνεστρέφοντο τοῦ βασιλέως καὶ κατεβόων μάχεσθαι κελεύοντες ἢ τοῖς κρείττοσιν ἐξίστασθαι τῆς ἡγεμονίας· ὁ δὲ Ἀντίγονος, ὡς ἔδει στρατηγὸν ἔμφρονα, τὸ κινδυνεῦσαι παραλόγως καὶ προέσθαι τὴν ἀσφάλειαν αἰσχρὸν, b οὐ τὸ κακῶς ἀκοῦσαι παρὰ τοῖς ἐκτὸς ἡγούμενος, οὐ προῆλθεν, ἀλλ' ἐνέμεινε τοῖς αὑτοῦ λογισμοῖς. Ὁ δὲ Κλεομένης ἄχρι τῶν τειχῶν τῷ στρατῷ προσελθὼν καὶ καθυβρίσας καὶ διαλυμηνάμενος ἀδεῶς ἀνεχώρησεν.

XXVI. Ὀλίγῳ δὲ ὕστερον αὖθις εἰς Τεγέαν ἀκούσας προϊέναι τὸν Ἀντίγονον, ὡς ἐκεῖθεν εἰς τὴν Λακωνικὴν ἐμβαλοῦντα, ταχὺ τοὺς στρατιώτας ἀναλαβὼν καὶ καθ' ἑτέρας ὁδοὺς παραλλάξας ἅμ' ἡμέρᾳ πρὸς τῇ πόλει τῶν

ut ab Achæis deficiant et secum fœdus ineant. (4) At Philopœmen Megalopolitanos datam Achæis fidem ob tam benignas Cleomenis pollicitationes solvere passus non est, sed criminans eum, qui non urbem reddere, sed cives porro etiam in suam ditionem redigere cuperet, Thearidamque et Lysandridam Messena exegit. Hic est Philopœmen ille, cujus prima postea apud Achæos potestas interque Græcos gloria fuit, quemadmodum in Vita ejus demonstravimus.

XXV. Cleomenes autem, qui hactenus urbem intactam illæsamque conservarat, ita ut ne levissimum quidem quicquam ab ullo etiam furtim auferretur, accepto ejus rei nuntio protinus exasperatus atque iratus, bona diripuit, statuas et tabulas Spartam misit, urbisque maximis et plurimis partibus dirutis, domum se cum suis recepit, ab Antigono sibi et Achæis metuens. Verum hi tum Ægii concilium habentes, nihil rei gerebant. (2) Quo in concilio cum Aratus conscenso suggestu aliquamdiu chlamyde faciei prætenta flevisset, mirantibusque ceteris et dicere jubentibus, Megalopolim a Cleomene perditam retulisset, statim concilium dimissum est, Achæis celeritate et magnitudine mali perculsis. Antigonus autem quum opem sociis ferre intenderet, militibus tarde ex hibernis convenientibus, rursus manere suo loco jussit, ipseque cum militibus haud multis Argos se contulit. (3) Ideo secundus etiam Cleomenis conatus, quum ab insana quadam videretur susceptus temeritate, magnæ prudentiæ debuit imputari, quod et Polybius testatur. Nam, ut is refert, sciens Cleomenes omnes in suam quemque urbem dilapsos esse, Antigonumque secum non multos Argis (ibi enim cum amicis hiemabat) habere mercenarios milites, in Argolicam irrupit, existimans aut se de Antigono præ pudore ad pugnam excitato victoriam reportaturum, aut pugnare non ausum eum calumniis Argivorum objecturum. Atque ita evenit. (4) Quum enim regionem vastaret et bona Argivorum ageret ferretque, graviter ii id ferentes, ad fores regis frequentes commeabant, magnisque clamoribus pugnare eum, aut principatum præstantioribus concedere jubebant. Verum Antigonus, quod est prudentis imperatoris officium, non male audire apud alios, sed temere se in discrimen mittere ac quæ tuta essent dimittere turpe existimans, progressus ad prœlium nequaquam est, sed consiliis suis institit. Cleomenes quum usque ad muros Argivos exercitum adduxisset tutoque agros populatus bestibus insultasset, domum rediit.

XXVI. Paullo post quum audivisset Antigonum Tegeam profectum, ut inde in Laconicam invaderet, celeriter militibus ad se conductis, alia via ingressus, prima luce ad

Ἀργείων ἀνεφάνη πορθῶν τὸ πεδίον καὶ τὸν σῖτον οὐ κείρων, ὥσπερ οἱ λοιποὶ, δρεπάναις καὶ μαχαίραις, ἀλλὰ κόπτων ξύλοις μεγάλοις εἰς σχῆμα ῥομφαίας c ἀπειργασμένοις, ὡς ἐπὶ παιδιᾷ χρωμένους ἐν τῷ πορεύεσθαι σὺν μηδενὶ πόνῳ πάντα συγκαταῤῥῖψαι καὶ διαφθεῖραι τὸν καρπόν. (2) Ὡς μέντοι κατὰ τὴν Κυλλάραβιν γενόμενοι τὸ γυμνάσιον ἐπεχείρουν προσφέρειν πῦρ, ἐκώλυσεν, ὡς καὶ τῶν περὶ Μεγάλην πόλιν ὑπ' ὀργῆς μᾶλλον ἢ καλῶς αὐτῷ πεπραγμένων. Τοῦ δὲ Ἀντιγόνου πρῶτον μὲν εὐθὺς εἰς Ἄργος ἀναχωρήσαντος, ἔπειτα τὰ ὄρη καὶ τὰς ὑπερβολὰς πάσας φυλακαῖς καταλαβόντος, ἀμελεῖν καὶ καταφρονεῖν προσποιούμενος ἔπεμψε κήρυκας τὰς κλεῖς ἀξιῶν τοῦ Ἡραίου λαβεῖν, ὅπως ἀπαλλάττοιτο τῇ θεῷ θύσας. Οὕτω δὲ παίξας καὶ d κατειρωνευσάμενος καὶ τῇ θεῷ θύσας ὑπὸ τὸν νεὼν κεκλεισμένον ἀπήγαγεν εἰς Φλιοῦντα τὸν στρατόν· ἐκεῖθεν δὲ τοὺς φρουροῦντας τὸν Ὀλίγυρτον ἐξελάσας κατέβη παρὰ τὸν Ὀρχομενὸν οὐ μόνον τοῖς πολίταις φρόνημα καὶ θάρσος ἐμπεποιηκὼς, ἀλλὰ καὶ τοῖς πολεμίοις ἀνὴρ ἡγεμονικὸς δοκῶν εἶναι καὶ πραγμάτων μεγάλων ἄξιος. (3) Τὸ γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενον ὁμοῦ τῇ Μακεδόνων δυνάμει καὶ Πελοποννησίοις ἅπασι καὶ χορηγίᾳ βασιλικῇ πολεμεῖν καὶ μὴ μόνον ἄθικτον διαφυλάττοντα τὴν Λακωνικὴν, ἀλλὰ καὶ χώραν κακῶς ποιοῦντα τὴν ἐκείνων καὶ πόλεις αἱροῦντα τηλικαύτας, οὐ τῆς τυχού- e σης ἐδόκει δεινότητος εἶναι καὶ μεγαλοφροσύνης.

XXVII. Ἀλλ' ὁ πρῶτος τὰ χρήματα νεῦρα τῶν πραγμάτων προσειπὼν εἰς τὰ τοῦ πολέμου πράγματα μάλιστα βλέψας τοῦτ' εἰπεῖν ἔοικε. Καὶ Δημάδης, τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ' οὐκ ἐχόντων, « Πρότερόν ἐστιν, ἔφη, τοῦ πρωρατεῦσαι τὸ φυρᾶσαι. » (2) Λέγεται δὲ καὶ Ἀρχίδαμος ὁ παλαιὸς ὑπὸ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου, κελευόντων εἰσφορὰς τάξαι τῶν συμμάχων αὐτὸν, εἰπεῖν, ὡς ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. Καθάπερ γὰρ οἱ σεσωμασκηκότες ἀθληταὶ f τῷ χρόνῳ καταβαροῦσι καὶ καταγωνίζονται τοὺς εὐρύθμους καὶ τεχνίτας, οὕτως καὶ ὁ Ἀντίγονος ἐκ πολλῆς ἀναφέρων δυνάμεως πρὸς τὸν πόλεμον ἐξεπόνει καὶ κατήθλει τὸν Κλεομένη γλίσχρως καὶ μόλις πορίζοντα τοῖς ξένοις μισθὸν καὶ τροφὴν τοῖς πολίταις. (3) Ἐπεὶ τἆλλα γε πρὸς τοῦ Κλεομένους ὁ χρόνος ἦν, τῶν οἴκοι πραγμάτων ἀνιστάντων τὸν Ἀντίγονον. Βάρβαροι γὰρ περιέκοπτον ἀπόντος καὶ κατέτρεχον τὴν Μακεδο- 818 νίαν, καὶ τότε δὴ πολὺς ἄνωθεν Ἰλλυριῶν ἐμβεβλήκει a στρατὸς, ὑφ' οὗ πορθούμενοι μετεπέμποντο τὸν Ἀντίγονον οἱ Μακεδόνες. Καὶ παρ' ὀλίγον πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ γράμματα κομισθῆναι πρὸς αὐτόν· ὧν κομισθέντων εὐθὺς ἂν ἀπῆλθε μακρὰ χαίρειν φράσας Ἀχαιοῖς. (4) Ἀλλ' ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνουσα τῷ παρὰ μικρὸν τύχη τηλικαύτην ἀπεδείξατο ῥοπὴν καιροῦ καὶ δύναμιν, ὥστε, τῆς μάχης ἐν Σελασίᾳ γενομένης καὶ τοῦ Κλεομένους ἀποβεβληκότος τὴν δύναμιν καὶ τὴν πόλιν, εὐθὺς παρεῖναι τοὺς καλοῦντας

Argos conspectus est, agros vastans, fructusque, non, ut alii, falcibus et cultris demetens, sed magnis lignis in romphææ figuram fabricatis decutiens, ut nullo negotio inter ambulandum joci causa videretur totas segetes perdere. (2) Sed ubi ad Cyllarabin gymnasium perventum est, ignem injicere suos volentes inhibuit, quod Megalopolin ira magis quam recta ratione ductus perdidisse sibi videretur. Quum vero Antigonus statim Argos reversus, mox montes et transitus omnes præsidiis occupasset, simulans se nihil ea re moveri Cleomenes, præcones misit, qui fani Junonis claves peterent, quod rex sacrificio deæ peracto discedere vellet. Hoc modo quum illusisset hostibus eosque cavillatus esset atque ad occlusum templum sacris esset operatus, Phliuntem copias abduxit, atque inde profectus ad Orchomenum, in itinere Oligyrto præsidium expulit, quum quidem non civium modo animos confirmasset audaciaque implevisset, sed ab ipsis etiam hostibus egregius dux dignusque magnis rebus esset judicatus. (3) Etenim videbatur haud vulgaris esse peritiæ atque magnanimitatis, unius urbis opibus fretum Macedonum viribus regiisque divitiis cum totius Peloponnesi viribus conjunctis bello posse resistere, et non modo intactam servare Laconicam, sed et hostilem infestare regionem, et tantas capere urbes.

XXVII. Enimvero qui primus pecuniam esse nervos rerum dixit, is præcipue ad bellum videtur respexisse. Ac Demades Atheniensibus deducere naves et instruere classem jubentibus, Prius, inquit, panis pinsendus est, quam naves adornandæ. (2) Fertur et Archidamus ille sub initium belli Peloponnesiaci, quum socii juberent certum eum pensionis modum definire, dixisse: Bellum non pascitur certo et certæ mensuræ astricto sumptu. Etenim quemadmodum exercitatione robur membrorum adepti athletæ spatio temporis opprimunt atque superant agiles artificiososque, ita Antigonus magnis opibus instructus, iisque bellum reficiens, defatigavit tandem superavitque Cleomenem, vix habentem unde tenuiter militibus mercedem, civibus alimenta suppeditaret. (3) Alioqui pro Cleomene mora et temporis diuturnitas faciebat. Nam barbari absente Antigono incursionibus Macedoniam vexabant, magnusque tum superne Illyriorum irruperat exercitus, a quo infestati Macedones Antigonum domum accersebant, ac paullum abfuit quin ante pugnam eæ litteræ ei redderentur, quas si ante accepisset, profecto statim valere jussis Achæis domum abiturus fuerat. (4) Sed quæ levi momento solet res maximas decernere fortuna, tantum ostendit in opportunitate temporis positum esse momentum atque vim, ut quum statim post pugnam ad Sellasiam, qua victus Cleomenes exercitum patriamque amisit, adfuerint qui Antigonum avocarent,

τὸν Ἀντίγονον. (4) Ὃ καὶ μάλιστα τὴν δυστυχίαν τοῦ b Κλεομένους οἰκτροτέραν ἐποίησεν. Εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε καὶ παρήγαγε φυγομαχῶν, οὐκ ἂν ἐδέησεν αὐτῷ μάχης, ἀλλ' ἐφ' οἷς ἐβούλετο διηλλάγη πρὸς τοὺς Ἀχαιούς, ἀπελθόντων τῶν Μακεδόνων· νῦν δέ, ὥσπερ εἴρηται, διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος ἠναγκάσθη δισμυρίοις, ὡς Πολύβιός φησι, πρὸς τρισμυρίους ἀντιπαρατάξασθαι.

tanto miserabilior etiam Cleomenis calamitas videretur. Qui si biduum adhuc se a pugna abstinuisset, nihil opus erat ei futurum pugna, sed discedentibus Macedonibus potuisset quibus ipse voluisset conditionibus pacem cum Achæis componere; nunc penuria pecuniæ, ut dictum est, omnem in armis spem collocare coactus, eo compulsus est ut cum viginti millibus hominum, quod ipsum Polybius scribit, adversus triginta millia decertaret.

XXVIII. Καὶ θαυμαστὸν μὲν ἐν τῷ κινδύνῳ παρασχὼν ἑαυτὸν στρατηγόν, ἐκθύμοις δὲ χρησάμενος τοῖς πολίταις, οὐ μὴν οὐδὲ τῶν ξένων μεμπτῶς ἀγωνισαμένων, τῷ τρόπῳ τῆς ὁπλίσεως καὶ τῷ βάρει τῆς ὁπλιτικῆς c φάλαγγος ἐξεθλίβη. Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ Κλεομένει τὰ πράγματα διεργασαμένην. Τοῦ γὰρ Ἀντιγόνου τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἀκαρνᾶνας ἐκπεριελθεῖν κρύφα κελεύσαντος καὶ κυκλώσασθαι θάτερον κέρας, ἐφ' οὗ τεταγμένος ἦν Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφός, εἶτα τὴν ἄλλην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος, ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη μή πρός τι τοιοῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται. (2) Καλέσας δὲ Δα- d μοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾶν ἐκέλευσε καὶ ζητεῖν, ὅπως ἔχει τὰ κατὰ νώτου καὶ κύκλῳ τῆς παρατάξεως. Τοῦ δὲ Δαμοτέλους (ἦν γάρ, ὡς λέγεται, πρότερον χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος) ἀμελεῖν ἐκείνων εἰπόντος ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτουσιν ἐξ ἐναντίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει καὶ τῇ ῥύμῃ τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων ἐπὶ πέντε που σταδίους ὑποχωρούντων ἐκβιαζόμενος καὶ κρατῶν ἠκολούθησεν. (3) Εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέντων ἐπιστὰς καὶ κατιδὼν τὸν κίνδυνον, « Οἴχῃ μοι, φίλτατε ἀδελφέ, εἶπεν, οἴχῃ, γενναῖος ὢν καὶ παισὶ ζηλωτὸς Σπαρτια- e τῶν καὶ γυναιξὶν ἀοίδιμος. » Οὕτω δὲ τῶν περὶ τὸν Εὐκλείδαν ἀναιρεθέντων καὶ τῶν ἐκεῖθεν, ὡς ἐκράτουν, ἐπιφερομένων ταραττομένους ὁρῶν τοὺς στρατιώτας καὶ μένειν οὐκέτι τολμῶντας ἔσωζεν ἑαυτόν. Ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλοὺς λέγουσι καὶ Λακεδαιμονίους ἅπαντας πλὴν διακοσίων ἑξακισχιλίους ὄντας.

XXVIII. Quo in prœlio quum præclari ducis munus obivisset et tum civium promptissima, tum mercenariorum non aspernanda opera usus esset, armaturæ tamen modo phalangisque gravitate elisus est. Phylarchus etiam proditionem intervenisse tradit, quæ maxime res Cleomenis perdiderit. Quum enim Antigonus Illyrios et Acarnanes occulte circumire et alterum hostium cornu claudere jussisset, cui Euclidas Cleomenis frater præerat, ceteras deinde copias ad pugnam instrueret, Cleomenes ex specula id contemplans, quum nusquam arma Illyriorum Acarnanumque cerneret, veritus ad hujusmodi rem iis Antigonum usum, Damotelem, qui insidiis præfectus erat, ad se vocavit, videre jubens et quærere, ut se res a tergo aciei et circum eam haberent. (2) Damotele autem (erat enim, ut fertur, prius ab Antigono pecunia corruptus) non debere ea de re sollicitum esse dicente (omnia enim probe esse curata) idque potius agendum, ut hostes a fronte ingruentes propulsaret, fidem ei habens in Antigonum suos duxit, impetuque Spartanorum, quos secum agebat, phalangem Macedonicam pulit, cedentemque ad quinque circiter stadia insecutus est, urgens atque prævalens. (3) Ut vero ab altera parte circumventum cum suis Euclidam vidit ac quo in discrimine res versaretur, subsistens, Periisti, inquit, carissime frater, periisti, quum te præclare gesseris, imitandusque pueris Spartanorum sis et mulieribus canendus. Euclida cum suis cæso hostibusque victoribus ad se tendentibus, ut vidit milites animis cecidisse hostiumque congressum non subsistere, suæ ipsius consuluit saluti. Ferunt et mercenariorum militum multos ea in pugna occubuisse et de sex Spartanorum millibus ducentos tantum superfuisse.

XXIX. Ἐπεὶ δὲ εἰς τὴν πόλιν ἀφίκετο, τοῖς μὲν ἀπαντήσασι τῶν πολιτῶν παρῄνει δέχεσθαι τὸν Ἀντίγονον, αὐτὸς δὲ εἶπεν εἴτε ζῶν εἴτε ἀποθανών, ὃ μέλλοι τῇ Σπάρτῃ συνοίσειν, τοῦτο πράξειν. Ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ' αὐτοῦ πεφευγόσι προστρεχούσας καὶ f δεχομένας τὰ ὅπλα καὶ ποτὸν προσφερούσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, τῆς δὲ παιδίσκης, ἣν εἶχεν, ἐλευθέραν οὖσαν ἐκ Μεγάλης πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτήν, ὡς εἴθιστο, προσιούσης καὶ βουλομένης ἀπὸ στρατείας ἥκοντα θεραπεύειν, οὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν οὔτε καθίσαι 819 κεκμηκώς, ἀλλ', ὥσπερ ἐτύγχανε, τεθωρακισμένος a τῶν κιόνων τινὶ τὴν χεῖρα προσβαλὼν πλαγίαν καὶ τὸ

XXIX. Ut Spartam pervenit Cleomenes, civibus obviam factis jussit Antigonum recipere, seque dixit, utrum ex usu patriæ sit futurum, aut victurum aut moriturum. Quum videret mulieres ad eos qui una effugerant accurrere, armisque ipsos levare et potum afferre, ipse in suam quoque domum intravit; sed quum puella quam Megalopoli abductam liberam post uxoris mortem secum habebat, more suo accederet venientemque e bello curare vellet, neque bibere sustinuit, quanquam siti confectus, neque defatigata membra sedendo reficere; sed ut erat thorace indutus, manum obliquam columnæ cuidam injiciens, caputque cubito im-

πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθεὶς καὶ χρόνον οὐ πολὺν οὕτω διαναπαύσας τὸ σῶμα καὶ τῇ διανοίᾳ περιδραμὼν ἅπαντας τοὺς λογισμοὺς, ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ Γύθιον. Κἀκεῖθεν ἐπιβάντες ἐπ' αὐτὸ τοῦτο παρεσκευασμένων πλοίων ἀνήχθησαν.

XXX. Ὁ δὲ Ἀντίγονος ἐξ ἐφόδου παραλαβὼν τὴν πόλιν καὶ χρησάμενος τοῖς Λακεδαιμονίοις φιλανθρώπως καὶ τὸ ἀξίωμα τῆς Σπάρτης οὐ προπηλακίσας οὐδ' ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς καὶ τοῖς θεοῖς θύσας ἀνεχώρησεν ἡμέρᾳ τρίτῃ, πυθόμενος ἐν b Μακεδονίᾳ πολὺν πόλεμον εἶναι καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν βαρβάρων. Ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν καὶ κατάῤῥουν σύντονον. (2) Οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστιν καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς « Ὦ καλῆς ἡμέρας » πλῆθος αἵματος ἀνήγαγε καὶ πυρέξας συντόνως ἐτελεύτησε. Ταῦτα μὲν c τὰ περὶ Ἀντίγονον.

XXXI. Κλεομένης δὲ πλέων ἀπὸ Κυθήρων εἰς νῆσον ἑτέραν, Αἰγιαλίαν, κατέσχεν. Ὅθεν εἰς Κυρήνην περαιοῦσθαι μέλλοντος αὐτοῦ τῶν φίλων εἷς ὄνομα Θηρυκίων, ἀνὴρ πρός τε τὰς πράξεις φρονήματι κεχρημένος μεγάλῳ καὶ τοῖς λόγοις γεγονώς τις ὑψηλὸς ἀεὶ καὶ μεγάλαυχος, ἐντυχὼν αὐτῷ κατ' ἰδίαν, « Τὸν μὲν κάλλιστον, εἶπεν, ὦ βασιλεῦ, θάνατον ἐν τῇ μάχῃ προηκάμεθα· καίτοι πάντες ἤκουσαν ἡμῶν λεγόντων, ὡς οὐχ ὑπερβήσεται τὸν βασιλέα τῶν Σπαρτιατῶν Ἀντίγονος, εἰ μὴ νεκρόν. Ὁ δὲ δεύτερος δόξῃ καὶ ἀρετῇ νῦν ἔτι πάρεστιν ἡμῖν. (2) Ποῖ πλέομεν ἀλογίστως d ἀποφεύγοντες ἐγγὺς ὂν κακὸν καὶ μακρὰν διώκοντες; Εἰ γὰρ οὐκ αἰσχρόν ἐστι δουλεύειν τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου τοὺς ἀφ' Ἡρακλέους, πλοῦν πολὺν κερδανοῦμεν Ἀντιγόνῳ παραδόντες ἑαυτοὺς, ὃν εἰκός ἐστι Πτολεμαίου διαφέρειν ὅσον Αἰγυπτίων Μακεδόνας. Εἰ δὲ ὑφ' ὧν κεκρατήμεθα τοῖς ὅπλοις οὐκ ἀξιοῦμεν ἄρχεσθαι, τί τὸν μὴ νενικηκότα δεσπότην ποιοῦμεν αὑτῶν, ἵν' ἀνθ' ἑνὸς δυεῖν κακίους φανῶμεν, Ἀντίγονον μὲν φεύγοντες, Πτολεμαῖον δὲ κολακεύοντες; (3) Ἢ διὰ τὴν μητέρα φήσομεν εἰς Αἴγυπτον ἥκειν; Καλὸν μεντἂν αὐτῇ θέαμα γένοιο καὶ ζηλωτὸν ἐπιδεικνυμένη e ταῖς Πτολεμαίου γυναιξὶν αἰχμάλωτον ἐκ βασιλέως καὶ φυγάδα τὸν υἱόν. Οὐχ ἕως ἔτι τῶν ἰδίων ξιφῶν ἄρχομεν καὶ τὴν Λακωνικὴν ἀφορῶμεν, ἐνταῦθα τῆς τύχης ἀπαλλάξαντες ἑαυτοὺς ἀπολογησόμεθα τοῖς ἐν Σελασίᾳ κειμένοις ὑπὲρ τῆς Σπάρτης, ἀλλ' ἐν Αἰγύπτῳ καθεδούμεθα πυνθανόμενοι, τίνα τῆς Λακεδαίμονος σατράπην Ἀντίγονος ἀπολέλοιπε; » (4) Τοιαῦτα τοῦ Θηρυκίωνος εἰπόντος ὁ Κλεομένης ἀπεκρίνατο· « Τῶν ἀνθρωπίνων τὸ ῥᾷστον, ὦ πονηρὲ, καὶ πᾶσιν ἐν ἑτοίμῳ διώκων, ἀποθανεῖν, ἀνδρεῖος εἶναι δοκεῖς φεύγων αἰ-

ponens, paululum sic quiete corpus recreavit, omniaque sua consilia animo percurrens, cum amicis ad Gythium contendit. Ibi naves ad id paratas conscenderunt, atque avecti sunt.

XXX. Antigonus vero quum, simulatque signa admoverat, Lacedæmone esset potitus, humaniter cives tractavit, dignitatemque Spartæ nullo modo conculcavit aut ludibrio habuit, sed leges rempublicamque Spartanis reddidit, peractisque sacris discessit tertio quam venerat die, quod Macedoniam bello ardere atque a barbaris vastari inaudivisset. Jam et morbus ipsum occupaverat, in phthisin vehementem vergens, defluxumque humoris ex capite continentem. (2) Non tamen ei succubuit, sed ita in certamine pro regno suo perduravit, ut maxima parta victoria ingentique barbarorum cæde peracta, majori cum gloria mortem obiret. Phylarchus scribit, eum in ipso prœlio vociferatione corpus perrupisse; quod vero non est dissimile. In eruditorum vero conversationibus post prœlium clamans præ gaudio, O pulchrum diem! multum sanguinis inde exspuisse acutaque febri decessisse ferebatur. Hactenus de Antigono.

XXXI. Interim Cleomenes Cytheris avectus ad aliam insulam Ægialiam appulit. Hinc Cyrenam trajecturum amicorum quidam Therycio nomine, vir et in rebus gerendis magni animi et oratione semper usus elata atque arroganti, seorsum compellavit et, « Pulcherrimam, ait, o rex, moriendi in ipso prœlio occasionem dimisimus; tametsi audientibus universis dixeramus, nunquam fore ut Antigonus regem Spartanum nisi mortuum superet. Nunc quæ virtute et gloria proxima illi est nobis adhuc adest. (2) Quo navigamus? quid propinquum fugientes malum, inconsulto quærimus longe remotum? Nam si Herculis ortos genere indecorum non est Philippi Alexandrique servire successoribus, longa navigatione supersedere possumus, nosque Antigono dedere, quem tantum præstare Ptolemæo quantum Ægyptiis Macedones convenit. Sin eos qui armis nos vicerunt, imperare nobis indignum putamus, cur eum, qui non superavit nos, dominum nobis paramus? scilicet ut non uno, sed duobus deteriores videamur, quum et Antigonum fugimus et Ptolemæum adulamur. (3) An matris tuæ causa venire nos in Ægyptum dicemus? nimirum præclaro et optabili spectaculo futuri, quum ea Ptolemæi mulieribus ostendet filium de rege captivum et exsulem factum. Non potius, dum adhuc nostri in nostra potestate sunt gladii Laconicamque prospicimus, hic nos fortunæ subducimus et his qui apud Sellasiam pro Sparta oppetierunt, nos excusamus, quam in Ægypto sedeamus, audientes quem Antigonus Lacedæmone satrapam reliquerit? » (4) His Therycionis verbis ita Cleomenes respondit: « Tu vero, improbe, fortis tibi videris, mortem appetens, qua nihil omnium humanarum rerum omnibus magis in promptu est situm, quum multo turpiorem priore

σχίονα φυγὴν τῆς πρότερον; Πολεμίοις μὲν γὰρ ἐνέδωκαν ἤδη καὶ κρείττονες ἡμῶν ἢ τύχῃ σφαλέντες ἢ βιασθέντες f ὑπὸ πλήθους· ὁ δὲ πρὸς πόνους καὶ ταλαιπωρίας ἢ δόξας καὶ ψόγους ἀνθρώπων ἀπαγορεύων ἡττᾶται τῆς αὑτοῦ μαλακίας. Δεῖ γὰρ τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι πράξεων, ἀλλὰ πρᾶξιν. (5) Αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν· ἐφ' ὃ νῦν σὺ παρακαλεῖς
820 ἡμᾶς σπεύδων ἀπαλλαγῆναι τῶν παρόντων, καλὸν δὲ a οὐδὲν οὐδὲ χρήσιμον ἄλλο διαπραττόμενος. Ἐγὼ δὲ καὶ σὲ καὶ ἐμαυτὸν οἴομαι δεῖν τὰς ὑπὲρ τῆς πατρίδος ἐλπίδας μὴ καταλιπεῖν· ὅπου δ' ἂν ἡμᾶς ἐκεῖναι καταλίπωσι, ῥᾷστα βουλομένοις ἀποθανεῖν ὑπάρξει. » Πρὸς ταῦτα Θηρυκίων οὐδὲν ἀντειπὼν, ὅτε πρῶτον ἔσχε καιρὸν ἀποστῆναι τοῦ Κλεομένους, ἐκτραπόμενος παρὰ τὸν αἰγιαλὸν ἔσφαξεν ἑαυτόν.

XXXII. Ὁ δὲ Κλεομένης ἀπὸ τῶν Αἰγιαλῶν ἀναχθεὶς τῇ Λιβύῃ προσέβαλε καὶ διὰ τῶν βασιλικῶν παραπεμπόμενος ἧκεν εἰς Ἀλεξάνδρειαν. Ὀφθεὶς δὲ τῷ b Πτολεμαίῳ κατ' ἀρχὰς μὲν ἐτύγχανε κοινῶς φιλανθρώπου καὶ μετρίου πρὸς αὐτόν· ἐπεὶ δὲ γνώμης διδοὺς πεῖραν ἀνὴρ ἔμφρων ἐφαίνετο, καὶ τῆς καθ' ἡμέραν ὁμιλίας αὐτοῦ τὸ Λακωνικὸν καὶ ἀφελὲς τὴν χάριν ἐλευθέριον εἶχε, καὶ τὴν εὐγένειαν οὐδαμῇ καταισχύνων οὐδὲ καμπτόμενος ὑπὸ τῆς τύχης, τῶν πρὸς ἡδονὴν καὶ κολακείαν διαλεγομένων πιθανώτερος ἐφαίνετο, πολλὴ μὲν αἰδὼς καὶ μετάνοια τὸν Πτολεμαῖον εἶχεν ἀνδρὸς ἀμελήσαντα τοιούτου καὶ προέμενον τῷ Ἀντιγόνῳ, δόξαν ἅμα κεκτημένῳ τηλικαύτην καὶ δύναμιν. (2) Ἀναλαμβάνων δὲ τιμαῖς καὶ φιλοφροσύναις τὸν Κλεομένη c παρεθάῤῥυνεν, ὡς μετὰ νεῶν καὶ χρημάτων ἀποστελῶν αὐτὸν εἰς τὴν Ἑλλάδα καὶ καταστήσων εἰς τὴν βασιλείαν. Ἐδίδου δὲ καὶ σύνταξιν αὐτῷ τέσσαρα καὶ εἴκοσι τάλαντα καθ' ἕκαστον ἐνιαυτόν. Ἀφ' ὧν ἐκεῖνος αὑτὸν καὶ τοὺς φίλους εὐτελῶς καὶ σωφρόνως διοικῶν τὰ πλεῖστα κατανήλισκεν εἰς φιλανθρωπίας καὶ μεταδόσεις τῶν ἀπὸ τῆς Ἑλλάδος εἰς Αἴγυπτον ἐκπεπτωκότων.

XXXIII. Ὁ μὲν οὖν πρεσβύτερος Πτολεμαῖος πρὶν ἐκτελέσαι τῷ Κλεομένει τὴν ἔκπεμψιν ἐτελεύτησε· τῆς δὲ βασιλείας εὐθὺς εἰς πολλὴν ἀσέλγειαν καὶ παροινίαν καὶ γυναικοκρασίαν ἐμπεσούσης ἠμελεῖτο καὶ τὰ τοῦ Κλεομένους. Ὁ μὲν γὰρ βασιλεὺς αὐτὸς οὕτω διέ- d φθαρτο τὴν ψυχὴν ὑπὸ γυναικῶν καὶ πότων, ὥστε, ὁπότε νήφοι μάλιστα καὶ σπουδαιότατος αὑτοῦ γένοιτο, τελετὰς τελεῖν καὶ τύμπανον ἔχων ἐν τοῖς βασιλείοις ἀγείρειν, τὰ δὲ μέγιστα τῆς ἀρχῆς πράγματα διοικεῖν Ἀγαθόκλειαν τὴν ἐρωμένην τοῦ βασιλέως καὶ τὴν ταύτης μητέρα καὶ πορνοβοσκὸν Οἰνάνθην. (2) Ὅμως δ' οὖν ἔδοξέ τις ἐν ἀρχῇ καὶ τοῦ Κλεομένους χρεία γεγονέναι. Δεδιὼς γὰρ Μάγαν τὸν ἀδελφὸν Πτολεμαῖος, ὡς ἰσχύοντα διὰ τῆς μητρὸς ἐν τῷ στρατιωτικῷ, τὸν Κλεομένη προσελάμβανε καὶ μετεδίδου τῶν ἀποῤῥήτων συνεδρίων, βουλευόμενος ἀνελεῖν τὸν ἀδελφόν. Ὁ δὲ, καίπερ e ἁπάντων τοῦτο πράττειν κελευόντων, μόνος ἀπηγόρευσεν, εἰπὼν ὡς μᾶλλον, εἰ δυνατὸν ἦν, ἔδει φῦσαι τῷ

consciscas fugam? Hostibus quidem etiam alii nobis præstantiores concesserunt, aut fortuna adversante, aut multitudine oppressi. Qui vero ob labores et miserias, aut reprehensiones opinionemque hominum animum despondet, is a sua ipsius vincitur mollitie. Mors enim spontanea, non fuga actionum, sed actio esse debet. (5) Turpe vero est nos nobis ipsis tantum vivere ac mori; ad quod nunc tu nos hortaris, properans præsentem rerum statum effugere, nulla alia re bona vel utili confecta. Ego autem censeo et me et te non decere spes patriæ salutares dimittere; eæ ubi nos deserent, facillimum erit mori volentibus. » Ad hæc Therycion nihil respondit, sed ubi primum a Cleomene digrediendi occasionem nactus est, ad littus abiit, ac sibi mortem conscivit.

XXXII. Cleomenes autem avectus ex Ægialis in Africam perlatus est, ac deducentibus regiis Alexandriam venit. Primo congressu Ptolemæus ei se vulgari modo humanum moderatumque præbuit, sed postquam animum ejus exploravit, deprehenditque virum esse cordatum, cujus etiam in quotidiana consuetudine Laconica simplicitas non illiberalem haberet gratiam, neque in ea quidquam nobilitate ipsius indignum admitteretur, ac non fractus a fortuna in colloquio plus fidei quam assentatores mereretur; pudere ipsum ac pœnitere cœpit, qui tantum virum destituisset, Antigonumque passus esset eo victo tantum gloriæ et potentiæ parare. (2) Itaque honoribus et benevolentiæ testificationibus devinciens sibi Cleomenem et concilians, promisit se eum cum navibus et pecunia in Græciam missurum, inque regnum restituturum. Viginti etiam ac quattuor talenta in singulos annos stipendii nomine constituit. Qua ex pecunia ille se et amicos frugaliter sobrieque sustentans, magnam partem largiendo in Græcos, qui in Ægyptum confugerant, insumebat.

XXXIII. Verum Ptolemæus senior priusquam promissum repræsentaret, vitam cum morte commutavit. Cujus morte quum statim regnum in multam lasciviam, temulentiam et mulierum dominationem incidisset, negligi etiam Cleomenes cœpit. Regis enim novi animus ita fuit vino reque muliebri perditus, ut quum maxime sobrius esse ac seria agere sibi videbatur, tympanum tenens in regia orgia celebraret, maximas autem regni res administraret amasia regia Agathoclea materque ejus et lena Œnanthe. (2) Initio tamen videbatur aliquis Cleomenis esse usus. Nam Ptolemæus Magam fratrem timens, ut propter matrem multum apud milites habentem gratiæ, Cleomenem ascivit, arcanaque sua cum eo communicavit consilia, fratrem interficere intendens. Id quod Cleomenes unus omnium (nam ceteri hoc suadebant) improbavit, dicens, regi potius securitatis

βασιλεῖ πλείονας ἀδελφοὺς πρὸς ἀσφάλειαν καὶ διαμονὴν τῶν πραγμάτων. Σωσιβίου δὲ τοῦ πλεῖστον ἐν τοῖς φίλοις δυναμένου φήσαντος οὐκ εἶναι τὰ τῶν μισθοφόρων αὐτοῖς βέβαια, τοῦ Μάγα ζῶντος, ἀμελεῖν ἐκέλευσεν ὁ Κλεομένης ἕνεκά γε τούτου· πλείους γὰρ ἢ τρισχιλίους τῶν ξένων εἶναι Πελοποννησίους προσέχοντας αὐτῷ κἂν μόνον νεύσῃ προθύμως μετὰ τῶν ὅπλων παρεσομένους. (3) Οὗτος ὁ λόγος τότε μὲν οὐ μικρὰν f τῷ Κλεομένει καὶ πίστιν εὐνοίας καὶ δόκησιν ἰσχύος προσέθηκεν, ὕστερον δέ, τοῦ Πτολεμαίου τῆς ἀσθενείας ἐπιτεινούσης τὴν δειλίαν καί, καθάπερ εἴωθεν ἐν τῷ μηδὲν φρονεῖν, τοῦ πάντα δεδοικέναι καὶ πᾶσιν ἀπιστεῖν ἀσφαλεστάτου δοκοῦντος εἶναι, φοβερὸν ἐποίει τὸν Κλεομένη τοῖς αὐλικοῖς, ὡς ἰσχύοντα παρὰ τοῖς ξένοις, καὶ πολλῶν ἦν ἀκούειν λεγόντων ὅτι « Οὗτος ὁ λέων ἐν τούτοις τοῖς προβάτοις ἀναστρέφεται. » Τῷ 821 a γὰρ ὄντι τοιοῦτον διέφαινεν ἦθος ἐν τοῖς βασιλικοῖς ὑποβλέπων ἀτρέμα καὶ παρεπισκοπῶν τὰ πραττόμενα.

XXXIV. Ναῦς μὲν οὖν αἰτῶν καὶ στρατιὰν ἀπεῖπε· πυνθανόμενος δὲ τεθνάναι τὸν Ἀντίγονον, Αἰτωλικῷ δὲ πολέμῳ συμπεπλέχθαι τοὺς Ἀχαιούς, τὰ δὲ πράγματα ποθεῖν αὐτὸν καὶ παρακαλεῖν ἐκεῖ, ἐν ταραχῇ καὶ διασπασμῷ τῆς Πελοποννήσου γεγενημένης, ἠξίου μὲν μόνος ἀποσταλῆναι μετὰ τῶν φίλων, ἔπειθε δὲ οὐδένα, τοῦ μὲν βασιλέως οὐκ εἰσακούοντος, ἀλλ' ἐν γυναιξὶ καὶ θιάσοις καὶ κώμοις συνέχοντος ἑαυτόν, (2) ὁ δὲ τῶν ὅλων προεστηκὼς καὶ προβουλεύων Σωσίβιος μένοντα b μὲν τὸν Κλεομένη παρὰ γνώμην ἡγεῖτο δυσμεταχείριστον εἶναι καὶ φοβερόν, ἀφεθέντα δὲ τολμηρὸν ἄνδρα καὶ μεγαλοπράγμονα καὶ τῆς βασιλείας νοσούσης θεατὴν γεγενημένον. (3) Οὐδὲ γὰρ αἱ δωρεαὶ κατεπράϋνον αὐτόν, ἀλλ' ὥσπερ τὸν Ἆπιν ἐν ἀφθόνοις διαιτώμενον καὶ τρυφᾶν δοκοῦντα τοῦ κατὰ φύσιν βίου καὶ δρόμων ἀφέτων καὶ σκιρτήσεων ἵμερος ἔχει καὶ δῆλός ἐστι δυσανασχετῶν τὴν ἐν ταῖς χερσὶ τῶν ἱερέων διατριβήν, οὕτως ἐκεῖνον οὐδὲν ἤρεσκε τῶν μαλθακῶν·

ἀλλὰ φθινύθεσκε φίλον κῆρ,

ὥσπερ Ἀχιλλεύς,

αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

XXXV. Τοιούτων δὲ τῶν κατ' αὐτὸν ὄντων πρα- c γμάτων ἀφικνεῖται Νικαγόρας ὁ Μεσσήνιος εἰς Ἀλεξάνδρειαν, ἀνὴρ μισῶν μὲν τὸν Κλεομένη, προσποιούμενος δὲ φίλος εἶναι· χωρίον δέ ποτε καλὸν αὐτῷ πεπρακὼς [διὰ πονηρίαν, ὡς οἶμαι] καὶ δι' ἀσχολίαν, ὡς ἔοικε, καὶ διὰ πολέμους οὐκ ἀπειληφὼς τὸ ἀργύριον. (2) Τοῦτον οὖν ἐκβαίνοντα τότε τῆς ὁλκάδος ἰδὼν ὁ Κλεομένης (ἔτυχε γὰρ ἐν τῇ κρηπῖδι τοῦ λιμένος περιπατῶν) ἠσπάζετο προθύμως καί, τίς αὐτὸν εἰς Αἴγυπτον ἄγοι πρόφασις, ἠρώτα. Τοῦ δὲ Νικαγόρου φιλοφρόνως ἀντασπαζομένου καὶ φήσαντος ἵππους ἄγειν τῷ βασιλεῖ καλοὺς τῶν πολεμιστηρίων, γελάσας ὁ Κλεομένης, d « Ἐβουλόμην ἄν, ἔφη, σε μᾶλλον ἥκειν ἄγοντα σαμβυκιστρίας καὶ κιναίδους· ταῦτα γὰρ νῦν μάλιστα κα-

et diuturnitatis regni causa alios multos fratres parandos esse, si qua id ratione fieri posset. Quum vero Sosibius, primus potentia inter amicos regios, diceret, vivente Maga nunquam mercenariis militibus tuto fidi posse, Cleomenes eum hujus rei causa animo otioso esse jussit, inquiens, eorum militum plures tribus millibus ex Peloponneso esse, atque ita a se pendere, ut ubi primum annuerit, ad se transire cum armis sint parati. (3) Id verbum tunc quidem Cleomeni haud levem benevolentiæ potentiæque opinionem paravit; post vero, quum Ptolemæi imbecillitas timiditatem augeret, et is (quod fieri consuevit apud homines imprudentes) tutissimum putaret omnia metuere, ac nemini confidere, terrori esse Cleomenes aulicis cœpit, quod apud milites largiter posset, ac multi palam dicebant, leonem hunc inter oves versari. Et re vera hujusmodi ingenium ejus apparebat, sensim in regia circumspicientis et secum in propinquo quæ agerentur pensitantis.

XXXIV. Ac naves quidem et exercitum tamdiu frustra petiit, ut desperaret ad extremum. Ut vero Antigonum mortuum, Achæos Ætolico bello implicitos esse, rerumque statum perturbata et divulsa Peloponneso præsentiam suam ibi desiderare audivit, solum se cum amicis dimitti postulavit, sed qui animum ei adverteret, fuit nemo. Nam rex mulieribus, thiasis et vino continenter deditus, aures non præbebat, Sosibius autem, qui summæ rerum consilioque præerat, existimabat Cleomenem, si invitus detineretur, intractabilem fore et terribilem, dimissum vero, pro sua audacia magnas res moliturum, præsertim qui vitia regni laborantis coram inspexisset. (3) Non enim muneribus animus ejus demulcebatur, sed quemadmodum Apis in omnium rerum copia degens, quum maxime luxuriare videtur, vitam tamen naturæ suæ convenientem, liberosque cursus saltationesque desiderat, palamque indigne fert se intra manus sacerdotum ali; ita Cleomenem nihil molle aut blandum delectabat, sed quod de Achille Homerus scribit,

Tabescebat ei cor inerti in pace sedenti
et desiderium belli armorumque tenebat.

XXXV. In hoc tempore Nicagoras Messenius Alexandriam venit, inimicus Cleomeni, quod ab eo, quum prædium ei pulchrum aliquando vendidisset [ob penuriam, opinor] vel per occupationes vel bellis impeditus pretium non receperat, verum amicitiam tum simulans. (2) Hunc navi oneraria egredientem Cleomenes, ut tum forte in portus crepidine deambulabat, amice excepit, et cujusnam rei causa in Ægyptum appulisset quæsivit. Nicagora comiter eum vicissim salutante, seque bonos ad bellum equos regi advehere dicente, ridens, Mallem, ait, mulierculas musicas et cinædos attulisses; his enim nunc maxime opus habet rex

τεπείγει τὸν βασιλέα.» (3) Καὶ ὁ Νικαγόρας τότε μὲν ἐμειδίασεν· ἡμέραις δὲ ὕστερον ὀλίγαις ὑπομνήσας τοῦ χωρίου τὸν Κλεομένη νῦν γοῦν ἐδεῖτο τὴν τιμὴν ἀπολαβεῖν, ὡς οὐκ ἂν ἐνοχλήσας, εἰ μὴ περὶ τὴν τῶν φορτίων διάθεσιν μετρίως ἐζημιοῦτο. Τοῦ δὲ Κλεομένους φήσαντος οὐδὲν αὐτῷ περιεῖναι τῶν δεδομένων, λυπηθεὶς ὁ Νικαγόρας ἐκφέρει τῷ Σωσιβίῳ τὸ σκῶμμα τοῦ Κλεομένους. Ὁ δὲ καὶ τοῦτο μὲν ἀσμένως ἔλαβεν, ἐκ δὲ μείζονος αἰτίας τὸν βασιλέα παροξῦναι ζητῶν ἔπεισε τὸν Νικαγόραν ἐπιστολὴν γράψαντα κατὰ τοῦ Κλεομένους ἀπολιπεῖν, ὡς ἐγνωκότος, εἰ λάβοι τριήρεις e καὶ στρατιώτας παρ' αὐτοῦ, Κυρήνην κατασχεῖν. (4) Ὁ μὲν οὖν Νικαγόρας ταῦτα γράψας ἀπέπλευσε· τοῦ δὲ Σωσιβίου μετὰ τέσσαρας ἡμέρας τὴν ἐπιστολὴν πρὸς τὸν Πτολεμαῖον ἀνενεγκόντος ὡς ἀρτίως αὐτῷ δεδομένην καὶ παροξύναντος τὸ μειράκιον, ἔδοξεν εἰς οἰκίαν μεγάλην εἰσαγαγεῖν τὸν Κλεομένη καὶ τὴν ἄλλην ὁμοίως παρέχοντας δίαιταν ἐξόδων εἴργειν.

XXXVI. Ἦν μὲν οὖν καὶ ταῦτα λυπηρὰ τῷ Κλεομένει, μοχθηροτέρας δὲ τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας ἔσχεν ἐκ τοιαύτης συντυχίας. Πτολεμαῖος ὁ Χρυσέρμου f φίλος ὢν τοῦ βασιλέως πάντα τὸν χρόνον ἐπιεικῶς διείλεκτο τῷ Κλεομένει, καὶ συνήθειά τις ὑπῆρχεν αὐτοῖς καὶ παρρησία πρὸς ἀλλήλους. (2) Οὗτος οὖν τότε, τοῦ Κλεομένους δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ἦλθε μὲν καὶ διελέχθη μέτρια τὸ ὕποπτον ἐξαιρῶν καὶ περὶ τοῦ βασιλέως ἀπολογούμενος· ἀπιὼν δὲ πάλιν ἐκ τῆς οἰκίας καὶ μὴ προνοήσας ἐξόπισθεν ἄχρι τῶν θυρῶν ἐπακολουθοῦντα τὸν Κλεομένη πικρῶς ἐπετίμησε τοῖς φύλαξιν, 822 ὡς δὴ μέγα θηρίον καὶ δυστήρητον ἀμελῶς φυλάττουσι a καὶ ῥαθύμως. (3) Τούτων ὁ Κλεομένης αὐτήκοος γενόμενος καὶ πρὶν αἰσθέσθαι τὸν Πτολεμαῖον ἀναχωρήσας ἔφρασε τοῖς φίλοις. Εὐθὺς οὖν πάντες ἃς πρότερον εἶχον ἐλπίδας ἐκβαλόντες πρὸς ὀργὴν ἐβουλεύσαντο τοῦ Πτολεμαίου τὴν ἀδικίαν ἀμυνάμενοι καὶ τὴν ὕβριν ἀξίως τῆς Σπάρτης ἀποθανεῖν καὶ μὴ περιμένειν ὥσπερ ἱερεῖα πιανθέντας κατακοπῆναι· δεινὸν γὰρ, εἰ τὰς πρὸς Ἀντίγονον, ἄνδρα πολεμιστὴν καὶ δραστήριον, διαλύσεις ὑπεριδὼν Κλεομένης κάθηται μητραγύρτου βασιλέως σχολὴν ἀναμένων, ὅταν πρῶτον ἀπόθηται τὸ τύμπανον καὶ καταπαύσῃ τὸν θίασον, ἀποκτενοῦντος αὐ- b τόν.

XXXVII. Ἐπεὶ δὲ ἔδοξε ταῦτα καὶ κατὰ τύχην ὁ Πτολεμαῖος εἰς Κάνωβον ἐξώρμησε, πρῶτον μὲν διέδωκαν λόγον, ὡς παραλύοιτο τῆς φυλακῆς ὑπὸ τοῦ βασιλέως· ἔπειτα, ἔκ τινος ἔθους βασιλικοῦ τοῖς μέλλουσιν ἐξ εἱρκτῆς ἀπολύεσθαι δείπνου τε πεμπομένου καὶ ξενίων, οἱ φίλοι πολλὰ τοιαῦτα τῷ Κλεομένει παρασκευάσαντες ἔξωθεν εἰσέπεμψαν ἐξαπατῶντες τοὺς φύλακας οἰομένους ὑπὸ τοῦ βασιλέως ἀπεστάλθαι. Καὶ γὰρ ἔθυε καὶ μετεδίδου τούτων ἀφθόνως αὐτοῖς ἐπιτιθεὶς στεφάνους καὶ κατακλιθεὶς εἱστιᾶτο μετὰ τῶν φίλων. (2) Λέγεται δὲ τάχιον ἢ διεγνώκει πρὸς τὴν πρᾶξιν ὁρ- c μῆσαι συναισθόμενος οἰκέτην, ἕνα τῶν συνειδότων τὴν

noster. (3) Nicagoras quum tum subrisisset; paucis post diebus Cleomenem de pretio prædii admonuit, ac nunc tandem sibi persolvi petiit, dicens se ei molestum non fuisse futurum, nisi satis magnam jacturam mercatura sua fecisset, et quum Cleomenes responderet, nihil sibi eorum quæ accepisset superesse, irritatus Sosibio Cleomenis in regem scomma aperuit. Pergratum id Sosibio fuit; ut tamen majorem regis in Cleomenem exasperandi causam haberet, Nicagoræ persuasit ut discedens epistolam ad se de Cleomene scriptam relinqueret, qua indicaretur eum, si classem et milites a rege accepisset, statuisset Cyrenen occupare. (4) Et Nicagoras quidem, his ita scriptis, ex Ægypto avectus est; Sosibius post quatriduum litteras, quasi recens sibi datas, coram rege recitavit, itaque adolescentem irritavit, ut decretum faceret, Cleomenem in magnam domum concludendum, eademque alias qua prius erat usus vitæ ratione concessa, exitu omnino prohibendum.

XXXVI. Grave hoc Cleomeni fuit, sed deteriora etiam porro exspectabat, hujusmodi casu motus. Ptolemæus Chrysermi filius inter regis consiliarios antehac semper familiariter cum Cleomene collocutus fuerat, quædamque inter eos consuetudo jam libere sermones cædendi intercesserat. (2) Is tum a Cleomene vocatus venit colloquioque satis amico habito, quum suspicionem verbis diluisset regemque excusasset abiit, quumque non animadvertisset Cleomenem se a tergo usque ad fores sequi, acerbe objurgavit custodes, qui ingentem feram servatuque difficilem tam negligenter et socorditer servarent. (3) Id quum Cleomenes ipse suis auribus audivisset et priusquam sentiret Ptolemæus, regressus suis amicis indicasset, omnes abjecta quam ante conceperant spe statuerunt irato animo, injurias Ptolemæi superbiamque ulcisci et ut patria dignum erat mori, neque exspectare, dum veluti victimæ saginati mactarentur; indignum enim esse, Cleomenem qui pacem cum Antigono viro strenuo et bellicoso jungere dedignatus fuerit, sedere hic exspectantem, dum eum rex Magnæ matris sacris deditus otium nactus, deposito semel tympano finitisque choreis juguìet.

XXXVII. Hoc ubi decretum fuit et Ptolemæus forte fortuna Canopum abiit, initio rumorem sparserat, liberatum custodia iri a rege Cleomenem; deinde quum mos esset regi, ut quos dimittere e carcere statuisset, iis cœnam et xenia mitteret, amici multa talia apparata foris intro miserunt, decipientes custodes, qui ea abs rege mitti existimabant. Sacrificabat enim Cleomenes et epulas affatim custodibus largiebatur coronasque quas sibi imponerent, misit et accumbens cum amicis convivabatur. (2) Fertur celerius quam statuerat rem aggressus fuisse, quod animadvertisset quendam famulorum propositi conscium foris cum amasia quadam rem habuisse, ideoque indicium timeret. Itaque

πρᾶξιν, ἔξω παρὰ γυναικὶ κεκοιμημένον, ἧς ἤρα. Καὶ φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν καὶ τοὺς φύλακας ᾔσθετο καθεύδοντας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτῶνα καὶ τὴν ῥαφὴν ἐκ τοῦ δεξιοῦ παραλυσάμενος ὤμου γυμνῷ τῷ ξίφει μετὰ τῶν φίλων ἐξεπήδησεν ἐνεσκευασμένων ὁμοίως, δεκατριῶν ὄντων. (3) Ἱππίτας δὲ χωλὸς ὢν τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως, ὡς δὲ ἑώρα σχολαίτερον πορευομένους δι' αὐτόν, ἐκέλευσεν ἀνελεῖν καὶ μὴ διαφθείρειν τὴν πρᾶξιν d ἄχρηστον ἄνθρωπον περιμένοντας. Ἔτυχε δὲ τῶν Ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ τὰς θύρας· τοῦτον ἀφελόμενοι καὶ τὸν Ἱππίταν ἀναβαλόντες ἐφέροντο δρόμῳ διὰ τῶν στενωπῶν καὶ παρεκάλουν τὸν ὄχλον ἐπὶ τὴν ἐλευθερίαν. (4) Τοῖς δὲ τοσοῦτον, ὡς ἔοικεν, ἀλκῆς μετῆν, ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ Κλεομένους τόλμαν, ἀκολουθεῖν δὲ καὶ βοηθεῖν οὐδεὶς ἐθάρρει. Τὸν μὲν οὖν τοῦ Χρυσέρμου Πτολεμαῖον ἐκ τῆς αὐλῆς ἐξιόντα τρεῖς εὐθὺς προσπεσόντες ἀπέκτειναν· ἑτέρου δὲ Πτολεμαίου τοῦ φυλάσσοντος τὴν πόλιν ἐλαύνοντος ἅρματι πρὸς αὐτούς, ὁρμήσαντες ἐναντίοι τοὺς μὲν ὑπη- e ρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατασπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. Εἶτα πρὸς τὴν ἄκραν ἐχώρουν ἀναρρῆξαι διανοούμενοι τὸ δεσμωτήριον καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. (5) Ἔφθασαν δὲ φραξάμενοι καλῶς οἱ φύλακες, ὥστε καὶ ταύτης ἀποκρουσθέντα τῆς πείρας τὸν Κλεομένη διαφέρεσθαι καὶ πλανᾶσθαι κατὰ τὴν πόλιν, οὐδενὸς αὐτῷ προσχωροῦντος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. Οὕτως οὖν ἀποστὰς καὶ πρὸς τοὺς φίλους εἰπών, « Οὐδὲν ἦν ἄρα θαυμαστὸν ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων τὴν ἐλευθερίαν, » παρεκάλεσε πάντας ἀξίως αὐτοῦ f καὶ τῶν πεπραγμένων τελευτᾶν. (6) Καὶ πρῶτος μὲν Ἱππίτας ὑπὸ τῶν νεωτέρων τινὸς ἐπλήγη δεηθείς, ἔπειτα τῶν ἄλλων ἕκαστος εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀποσφάττει, πλὴν Παντέως τοῦ πρώτου Μεγάλην πόλιν καταλαβόντος. Τοῦτον δὲ κάλλιστον ὥρᾳ καὶ πρὸς τὴν ἀγωγὴν εὐφυέστατον τῶν νέων γενόμενον ἐρώμενον ἐσχηκὼς ὁ βασιλεὺς ἐκέλευσεν, ὅταν αὐτόν τε καὶ τοὺς
823 ἄλλους ἴδῃ πεπτωκότας, οὕτω τελευτᾶν. Ἤδη δὲ κει- a μένων ἁπάντων ἐπιπορευόμενος ὁ Παντεὺς καὶ τῷ ξιφιδίῳ παραπτόμενος καθ' ἕκαστον ἀπεπειρᾶτο, μή τις διαλανθάνοι ζῶν. Ἐπεὶ δὲ καὶ τὸν Κλεομένη νύξας παρὰ τὸ σφυρὸν εἶδε συστρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτόν, εἶτα παρεκάθισε· καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν τὸν νεκρὸν ἑαυτὸν ἐπικατέσφαξε.

XXXVIII. Κλεομένης μὲν οὖν ἑκκαίδεκα τῆς Σπάρτης βασιλεύσας ἔτη καὶ τοιοῦτος ἀνὴρ γενόμενος οὕτω κατέστρεψε. Τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδασθείσης, ἡ μὲν Κρατησίκλεια, καίπερ οὖσα γενναία γυνή, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς μέγεθος καὶ περιβαλοῦσα τὰ παιδία τοῦ Κλεομένους ὠλοφύρετο. Τῶν δὲ παιδίων τὸ πρεσβύτερον ἀποπηδῆσαν, b οὐδενὸς ἂν προσδοκήσαντος, ἀπὸ τοῦ τέγους ἐπὶ κεφα-

circa meridiem, quum ebrietatem custodes somno obruisse sensisset, tunicam indutus, ita ut per suturam a dextro humero apertam brachium manusque stricto cum gladio exsereretur, cum amicis tredecim eodem habitu præditis domo exsiliit. (3) Hippitas autem claudus quum alacriter una se proripuisset, videretque suos propter ipsum segnius incedere, ut se occideret jussit, neque exspectando hominem inutilem negotio obessent. Forte tum Alexandrinus quidam equum præter fores adducebat; hunc abstulerunt, impositoque Hippita cursu per vicos ruentes, ad libertatem populum vocarunt. (4) Tantum modo animi Alexandrinis fuit, ut laudarent mirarenturque Cleomenis audaciam, sequi et opem ferre ausus est nemo. Chrysermi filium Ptolemæum egredientem statim tres facto impetu obtruncarunt; alteri vero Ptolemæo urbis præfecto curru adversum se ferenti occurrentes, ministros ejus et stipatores dissiparunt ipsumque de curru detractum necarunt. Inde ad arcem contenderunt, ut effracto carcere multitudine captivorum uterentur. (5) Sed mature arcem custodes muniverant atque occluserant. Itaque a cœpto desistens Cleomenes, quum vagaretur per urbem, nemine se ei adjungente, sed omnibus fugientibus atque timentibus, tandem re desperata ad amicos dicens : mirum jam non esse, si hominibus libertatem fugientibus mulieres imperarent; jussit omnes ut rege et rebus gestis dignum esset mori. (6) Primus omnium Hippitas juniorum quendam exoravit, ut ab eo cæderetur, ceteri deinde sua singuli manu intrepide et facile mortem sibi consciverunt, Panteo excepto. Is est qui primus Megalopolin cepit, eumque forma præstantem omnibus et ad disciplinam juvenum aptissimum, rex amasii loco habuerat, ac tum jussit ita demum mori, ubi se et reliquos defunctos videret. Ergo jam omnibus jacentibus circumiens Panteus pugione singulos attigit, explorans an quis forte lateret vivens. Quum Cleomenes prope talum ab eo ictus vultum obvertisset, osculatus eum juxta assedit, jamque exanimatum amplexus, se ipsum jugulavit.

XXXVIII. Ad hunc modum periit Cleomenes, quum sedecim annos Spartæ rex fuisset talemque se præstitisset virum. Fama rei per universam urbem divulgata, Cratesiclea, quanquam generoso prædita ingenio mulier, victa tamen magnitudine calamitatis, animi magnitudinem inflexit, liberosque amplexa Cleomenis, lamentata est. At filiolorum alter major natu, quum se nemine metuente proripuisset,

λὴν ἔῤῥιψεν ἑαυτό· καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν ἀπέθανεν, ἀλλ' ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ διακωλύεσθαι τελευτᾶν. (2) Ὁ δὲ Πτολεμαῖος, ὡς ἔγνω ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ Κλεομένους κρεμάσαι καταβυρσώσαντας, ἀποκτεῖναι δὲ τὰ παιδία καὶ τὴν μητέρα καὶ τὰς περὶ αὐτὴν γυναῖκας. Ἐν δὲ ταύταις ἦν καὶ Παντέως γυνὴ καλλίστη καὶ γενναιοτάτη τὸ εἶδος. Ἔτι δὲ αὐτοῖς νεογάμοις οὖσιν ἐν ἀκμαῖς ἐρώτων αἱ τύχαι συνέβησαν. Εὐθὺς μὲν οὖν συνεκπλεῦσαι τῷ Παντεῖ βουλομένην αὐτὴν οὐκ εἴασαν οἱ γονεῖς, c ἀλλὰ βίᾳ κατακλείσαντες ἐφύλαττον· ὀλίγῳ δὲ ὕστερον ἵππον ἑαυτῇ παρασκευάσασα καὶ χρυσίδιον οὐ πολὺ νυκτὸς ἀπέδρα καὶ διώξασα συντόνως ἐπὶ Ταίναρον, ἐκεῖθεν ἐπέβη νεὼς εἰς Αἴγυπτον πλεούσης· καὶ διεκομίσθη πρὸς τὸν ἄνδρα καὶ συνδιήνεγκεν αὐτῷ τὸν ἐπὶ ξένης βίον ἀλύπως καὶ ἱλαρῶς. (3) Αὕτη τότε τὴν Κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην ἐχειραγώγει τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαῤῥεῖν παρακαλοῦσα μηδέν τι μηδ' αὐτὴν ἐκπεπληγμένην τὸν θάνατον, ἀλλ' ἓν μόνον αἰτουμένην, πρὸ τῶν παιδίων ἀποθανεῖν. Ἐπεὶ δὲ ἦλθον εἰς τὸν τόπον, ἐφ' ᾧ ταῦτα δρᾶν εἰώθεσαν οἱ ὑπηρέται, πρῶτον μὲν τὰ παιδία, τῆς Κρατησικλείας ὁρώσης, ἔσφαττον, εἶτα d ἐκείνην, ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην πάθεσιν, «Ὦ τέκνα, ποῖ ἐμόλετε;» (4) Ἡ δὲ τοῦ Παντέως γυνὴ περιζωσαμένη τὸ ἱμάτιον εὔρωστος οὖσα καὶ μεγάλη τῶν ἀποθνησκουσῶν ἑκάστην σιωπῇ καὶ μεθ' ἡσυχίας ἐθεράπευε καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. Τέλος δὲ μετὰ πάσας ἑαυτὴν κοσμήσασα καὶ καταγαγοῦσα τὴν περιβολὴν καὶ μηδένα προσελθεῖν ἐάσασα μηδὲ ἰδεῖν ἄλλον ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον ἡρωϊκῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περικαλύπτοντος μετὰ τὴν τελευτήν. Οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς καὶ διεφύλαξεν ἣν e ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν.

XXXIX. Ἡ μὲν οὖν Λακεδαίμων ἐφαμίλλως ἀγωνισαμένη τῷ γυναικείῳ δράματι πρὸς τὸ ἀνδρεῖον ἐν τοῖς ἐσχάτοις καιροῖς ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δυναμένην ὑπὸ τῆς τύχης. Ὀλίγαις δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. Ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος ἄλλων f καθαρμῶν ταῖς γυναιξὶν ἀρχὴν παρασχών, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς καὶ κρείττονος τὴν φύσιν. (2) Οἱ δὲ Ἀλεξανδρεῖς καὶ προσετρέποντο φοιτῶντες ἐπὶ τὸν τόπον, ἥρωα τὸν Κλεομένη καὶ θεῶν παῖδα προσαγορεύοντες, ἄχρι οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι δι-
827 δόντες λόγον, ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι a
κατασαπέντες ἐξανθοῦσι, κάνθαροι δὲ ὄνων τὸ αὐτὸ παθόντων ζῳογονοῦνται· τὰ δὲ ἀνθρώπινα σώματα, τῶν περὶ τὸν μυελὸν ἰχώρων συῤῥοήν τινα καὶ σύστασιν ἐν

a tecto in caput præcipitavit, neque tamen mortuus est, sed male afflictus, sublatus est vociferans indigneque ferens se prohibitum mori. (2) Ptolemæus re cognita præcepit ut Cleomenis corpus corio contectum in sublime suspenderetur, liberique ejus et mater necarentur, quæque ei aderant mulieres. In his erat etiam Pantei uxor, pulcherrima forma, et recenti adhuc connubio eorum, amore etiamnunc maxime vigente hæc eos fortuna excepit. Ea, quum una cum marito navigare volentem parentes retinuissent, inclusamque vi asservassent, paullo post equum sibi ipsa et non multum auri paraverat, noctuque profugiens Tænarum celeriter contenderat, ibique navi in Ægyptum eunte conscensa ad maritum pervecta absque dolore hilarem cum eo vitam in exsilio egerat. (3) Hæc tum Cratesicleam a militibus eductam manu injecta comitabatur, peplum ejus attollens animumque confirmans, ne ipsius quidem mortem formidantis, sed id unum postulantis, ut ante nepotes occideretur. Ut ad locum perventum est ubi supplicia sumi de damnatis solent, primum pueros, inspiciente Cratesiclea, jugularunt carnifices, deinde ipsam, hoc unum tantis in calamitatibus affatam: O liberi, quo abiistis? (4) Pantei autem uxor quum se veste sua præcinxisset, robusta mulier atque magna, singula occisarum cadavera tacita et absque tumultu composuit et quantum in præsentia poterat texit. Post omnes quum se ipsam composuisset vestemque deduxisset, neminem passa alium adire aut spectare, nisi eum qui ad inferendam cædem erat constitutus, heroice mortem obiit, neque ei quoquam usus fuit qui mortuæ corpus componeret aut velaret. Adeo animi modestia etiam exitui ejus adfuit, eumque corporis habitum, quo se vivens muniverat, conservavit.

XXXIX. Ita Lacedæmon extremo tempore exempla mulierum cum viris incerta victoria de honestate certantium veluti in scena proponens, ostendit virtutem a fortuna violari turpitudineve affici non posse. Post dies haud multos ii qui in crucem actum corpus Cleomenis custodiebant, ingentem draconem viderunt caput ejus circumplicasse faciemque operuisse, ita ut nulla carnivora avis advolaret. Id superstitionem regi injecit, metusque expiationum novarum causam mulieribus præbuit, quod vir diis carus et præstantioris humanæ naturæ interfectus videbatur. (2) Alexandrini etiam frequentes ad eum locum commeantes, heroem Cleomenem et deorum filium appellaverunt tantisper, dum eum errorem doctiores minuerunt, docentes putrefacto bovis cadavere apes, equi vespas, asini scarabæos generari, in humano autem corpore, confluente sanie quæ est circa medullam et in unum coalescente, an-

ἑαυτοῖς λαβόντων, ὄφεις ἀναδίδωσι. Καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ μάλιστα τῶν ζῴων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

gues nasci. Id quod intelligentes antiqui, ex omnibus animantibus draconem potissimum heroibus consecraverunt.

ΤΙΒΕΡΙΟΣ ΚΑΙ ΓΑΙΟΣ ΓΡΑΓΧΟΙ.

Ἡμεῖς δὲ τὴν πρώτην ἱστορίαν ἀποδεδωκότες ἔχομεν οὐκ ἐλάττονα πάθη τούτων ἐν τῇ Ῥωμαϊκῇ συζυγίᾳ θεωρῆσαι τὸν Τιβερίου καὶ Γαΐου βίον ἀντιπαραβάλλοντες. Οὗτοι Τιβερίου Γράγχου παῖδες ἦσαν, ᾧ τιμητῇ τε Ῥωμαίων γενομένῳ καὶ δὶς ὑπατεύσαντι καὶ θριάμβους δύο καταγαγόντι λαμπρότερον ἦν τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. Διὸ καὶ τὴν Σκηπίωνος τοῦ καταπολεμή- c σαντος Ἀννίβαν θυγατέρα Κορνηλίαν οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονὼς λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτήν. (2) Λέγεται δέ ποτε συλλαβεῖν αὐτὸν ἐπὶ τῆς κλίνης ζεῦγος δρακόντων, τοὺς δὲ μάντεις σκεψαμένους τὸ τέρας ἄμφω μὲν οὐκ ἐᾶν ἀνελεῖν οὐδὲ ἀφεῖναι, περὶ δὲ θατέρου διαιρεῖν, ὡς ὁ μὲν ἄῤῥην τῷ Τιβερίῳ φέροι θάνατον ἀναιρεθείς, ἡ δὲ θήλεια τῇ Κορνηλίᾳ. Τὸν οὖν Τιβέριον καὶ φιλοῦντα τὴν d γυναῖκα καὶ μᾶλλον αὐτῷ προσήκειν, ὄντι πρεσβυτέρῳ, τελευτᾶν ἡγούμενον, ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄῤῥενα κτεῖναι τῶν δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν· εἶτα ὕστερον οὐ πολλῷ χρόνῳ τελευτῆσαι, δεκαδύο παῖδας ἐκ τῆς Κορνηλίας αὐτῷ γεγονότας καταλιπόντα. (3) Κορνηλία δὲ ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον, οὕτω σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὑτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν Τιβέριον ἀντὶ τοιαύτης γυναικὸς ἀποθανεῖν ἑλόμενον, ἥ γε καὶ Πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάδημα καὶ μνωμένου τὸν γάμον αὐτῆς ἠρνήσατο, καὶ χηρεύουσα τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας, μίαν δὲ τῶν θυγατέρων, ἣ Σκηπίωνι τῷ νεωτέρῳ συνῴκησε, καὶ δύο υἱούς, περὶ ὧν τάδε γέγραπται, Τιβέριον καὶ Γάϊον, διαγενομένους οὕτω φιλοτίμως ἐξέθρεψεν, e ὥστε πάντων εὐφυεστάτους Ῥωμαίων ὁμολογουμένως γεγονότας πεπαιδεῦσθαι δοκεῖν βέλτιον ἢ πεφυκέναι πρὸς ἀρετήν.

II. Ἐπεὶ δέ, ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων Διοσκούρων ὁμοιότης ἔχει τινὰ τοῦ πυκτικοῦ πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφοράν, οὕτω τῶν νεανίσκων ἐκείνων ἐν πολλῇ τῇ πρὸς ἀνδρείαν καὶ σωφροσύνην, ἔτι δὲ ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξήνθησαν καὶ διεφάνησαν ἀνομοιότητες, οὐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. (2) Πρῶτον μὲν οὖν ἰδέᾳ προσώπου καὶ βλέμματι καὶ f κινήματι πρᾶος καὶ καταστηματικὸς ἦν ὁ Τιβέριος,

TIBERIUS ET CAIUS GRACCHI.

Par Romanorum, explicatâ jam duorum Græcorum, quibuscum ii conferri debeant, historia, ad contemplandum propositi, Tiberium videlicet et Caium Gracchos, haud leviores hactenus explicatis casus deprehendemus. Patre hi eodem nati sunt Tiberio Graccho, cui quum censura, duo consulatus, totidemque acti triumphi magnam attulerint gloriam; splendidiorem tamen virtus dignitatem conciliavit. Itaque etiam Scipionis ejus, qui Hannibalem superavit, filiam Corneliam non amicus quidem, sed in republica adversatus, post mortem ejus qui in matrimonio haberet dignus est judicatus. (2) Ferunt eum, quum aliquando in lecto par anguium reperisset, et barioli eo prodigio considerato jussissent neque interficere utrumque neque dimittere, sed de alterutro asseverassent, marem cæsum Tiberio, feminam necatam Corneliæ mortem afferre: amore uxoris adductum et quod se oppetere exacta jam ætate æquius esse putaret, quam Corneliam adhuc juvenem, marem dimissa femina necasse; neque diu post vita abiisse, Cornelia cum duodecim ex eo susceptis liberis relicta. (3) Cornelia domo et liberis receptis, tantum pudicitiæ, amoris in liberos, magnanimitatisque adhibuit, ut non male statuisse maritus ejus judicaretur, qui pro tali uxore mori voluerit. Quippe et regis Ptolemæi nuptias, ambientis eam et ad regni societatem vocantis, repudiavit, et quum vidua ceteros liberos amisisset, unam filiam, quæ deinde Scipionis Africani minoris uxor fuit, ac Tiberium et Caium filios, de quibus hæc scribimus, tanto studio educavit, ut, quum in confesso sit neminem Romanorum iis bonitate ingenii præstitisse, melius tamen instituti quam nati ad virtutem existimentur.

II. Sed quoniam veluti Castorum qui pinguntur aut finguntur similitudo quandam in se habet differentiam formæ, ut alter ad pugillationem, ad cursum alter magis videatur aptus; ita illi adolescentes quum fortitudinis, temperantiæ, liberalitatis, prudentiæ magnanimitatisque studio admodum essent similes, maximæ tamen in actionibus eorum et reipublicæ administratione veluti eruperunt apparueruntque dissimilitudines, quas initio statim exponere operæ pretium videtur. (2) Primum vultu, aspectu gestuque placidus erat ac compositus Tiberius, acer Caius et ve-

ἔντονος δὲ καὶ σφοδρὸς ὁ Γάϊος, ὥστε καὶ δημηγορεῖν τὸν μὲν ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως, τὸν δὲ Ῥωμαίων πρῶτον ἐπὶ τοῦ βήματος περιπάτῳ τε χρήσασθαι καὶ περισπάσαι τὴν τήβεννον ἐξ ὤμου λέγοντα, 825 καθάπερ Κλέωνα τὸν Ἀθηναῖον ἱστόρηται περισπάσαι a τε τὴν περιβολὴν καὶ τὸν μηρὸν πατάξαι πρῶτον τῶν δημογορούντων. Ἔπειτα ὁ λόγος τοῦ μὲν Γαΐου φοβερὸς καὶ περιπαθὴς εἰς δείνωσιν, ἡδίων δὲ ὁ τοῦ Τιβερίου καὶ μᾶλλον ἐπαγωγὸς οἴκτου· τῇ δὲ λέξει καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος, ὁ δὲ Γαΐου πιθανὸς καὶ γεγανωμένος. (3) Οὕτω δὲ καὶ περὶ τὴν δίαιταν καὶ τράπεζαν εὐτελὴς καὶ ἀφελὴς ὁ Τιβέριος, ὁ δὲ Γάϊος τοῖς μὲν ἄλλοις παραβαλεῖν σώφρων καὶ αὐστηρός, τῇ δὲ πρὸς τὸν ἀδελφὸν διαφορᾷ νεοπρεπὴς καὶ περίεργος, ὡς οἱ περὶ Δροῦσον ἤλεγχον, ὅτι δέλφικας ἀργυροῦς ἐπρίατο τιμῆς εἰς ἑκάστην λίτραν δραχμῶν χιλίων b καὶ διακοσίων πεντήκοντα. (4) Τῷ δὲ ἤθει κατὰ τὴν τοῦ λόγου διαφορὰν ὁ μὲν ἐπιεικὴς καὶ πρᾶος, ὁ δὲ τραχὺς καὶ θυμοειδής, ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐκφερόμενον πολλάκις ὑπ' ὀργῆς τήν τε φωνὴν ἀποξύνειν καὶ βλασφημεῖν καὶ συνταράττειν τὸν λόγον. Ὅθεν καὶ βοήθημα τῆς ἐκτροπῆς ταύτης ἐποιήσατο τὸν Λικίννιον, οἰκέτην οὐκ ἀνόητον, ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν, ὄπισθεν ἑστὼς τοῦ Γαΐου λέγοντος, ὁπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραρρηγνύμενον δι' ὀργήν, ἐνεδίδου τόνον c μαλακόν, ᾧ τὸ σφοδρὸν εὐθὺς ἐκεῖνος ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς ἐπραΰνετο καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον.

III. Αἱ μὲν οὖν διαφοραὶ τοιαῦταί τινες ἦσαν αὐτῶν, ἀνδραγαθία δὲ πρὸς τοὺς πολεμίους καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια, ἀπαράλλακτος. Ἦν δὲ πρεσβύτερος ἐνιαυτοῖς ἐννέα Τιβέριος· καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε καὶ τὰς πράξεις οὐχ ἥκιστα διελυμήνατο, μὴ συνακμασάντων μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν, μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρβλητον γενομένην. Λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου καὶ περὶ τοῦ πρεσβυτέρου d πρότερον.

IV. Ἐκεῖνος τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος οὕτως ἦν περιβόητος, ὥστε τῆς τῶν Αὐγούρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι' ἀρετὴν μᾶλλον ἢ διὰ τὴν εὐγένειαν. Ἐδήλωσε δὲ Ἄππιος Κλαύδιος, ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ' ἀξίωμα τῆς Ῥωμαίων βουλῆς καὶ πολὺ φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων. Ἑστιωμένων γὰρ ἐν ταὐτῷ τῶν ἱερέων προσαγορεύσας τὸν Τιβέριον καὶ φιλοφρονηθεὶς αὐτὸς ἐμνᾶτο τῇ θυγατρὶ νυμφίον. Δεξαμένου δὲ ἀσμένως ἐκείνου καὶ τῆς καταινέσεως οὕτω γενομένης εἰσιὼν ὁ Ἄππιος e οἴκαδε πρὸς αὐτὸν ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα, μεγάλῃ τῇ φωνῇ βοῶν, « Ὦ Ἀντιστία, τὴν Κλαυδίαν ἡμῶν ἀνδρὶ καθωμολόγηκα. » Κἀκείνη θαυμάσασα, « Τίς, εἶπεν, ἡ σπουδὴ ἢ τί τὸ τάχος; εἰ δὲ

hemens; itaque ille ad populum orationem habens eodem se in loco modeste continebat, hic primus Romanorum in suggesto obambulavit, interque dicendum vestem ab humero deduxit, quemadmodum Cleonem traditum est primum Atheniensium oratorum veste corpus nudasse, femurque percussisse. Deinde oratio Caii terribilis erat et affectibus exaggerata, Tiberii suavior magisque ad miserationem movendam apta; idemque verbis puris exquisitisque utebatur, alter persuadendi causa splendorem adhibebat in dicendo. (3) Pari modo in victus ratione atque mensa frugalis erat et simplex Tiberius, Caium cum aliis collatum, temperantem et austerum, cum fratre autem delicatum atque nimium diceres; quod etiam Drusus ei objecit, emisse eum Delphicas mensas argenteas quinis in singulas libras nummorum millibus. (4) Proinde mores itidem, ut oratio, Tiberio mansueti compositique erant, Caio asperi et ad iram propensi. Itaque hic quum in dicendo sæpenumero ira efferretur, ita ut et vocem intenderet et ad maledicendum prolaberetur, itaque orationem conturbaret, Licinium servum, hominem minime stupidum, ut ei malo mederetur, adhibuit, qui cum instrumento phonascico, quo sonos deprimunt, a tergo astans concionanti, quum exasperare vocem et intendere ob iram sentiret, mollem sonitum ederet, quo ille monitus simul et animi et vocis contentionem remittebat, seque facile revocari patiebatur.

III. Hæc iis erant dissimilia; alioquin eadem in bello fortitudine, adversus subditos justitia, in magistratu obeundo diligentia, et a voluptatibus abstinentia usus est uterque. Novem annis major natu Tiberius fuit, quod et conatus fratrum temporibus divisit et actionibus eorum non leve damnum dedit, quum non eodem tempore florerent, neque in unum suam conferrent potentiam, quæ conjuncta erat maxima et insuperabilis futura. Dicendum ergo de utroque est, et prius quidem de majore.

IV. Is ut primum ex ephebis excessit, ita laudatus clarusque fuit, ut ob virtutem magis quam generis nobilitatem in collegium augurum cooptaretur. Ostendit etiam hoc Appius Claudius, vir consularis et censorius, princepsque senatus ob dignitatem lectus, animique altitudine longe æqualibus præstans. Quum enim una cœnarent sacerdotes, amice Tiberium compellavit et nuptias ei filiæ suæ obtulit. Quas quum ille animo lubenti accepisset, facta sponsione domum revertens Appius, ab ipsa janua uxorem vocavit magnaque voce: O Antistia, ait, Claudiam nostram viro despondi. Et illa mirata, Quæ, inquit, hujus tantæ festi-

Τιβέριον αὐτῇ Γράγχον εὑρίσκεις νυμφίον; » Οὐκ ἀγνοῶ δὲ ὅτι τοῦτό τινες ἐπὶ τὸν πατέρα τῶν Γράγχων Τιβέριον καὶ Σκηπίωνα τὸν Ἀφρικανὸν ἀναφέρουσιν, ἀλλ' οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσι, καὶ Πολύβιος μετὰ τὴν Σκηπίωνος τοῦ Ἀφρικανοῦ τελευτὴν τοὺς οἰκείους φησὶν ἐκ πάντων προκρίναντας τὸν Τιβέριον δοῦναι τὴν Κορνηλίαν, ὡς ὑπὸ τοῦ πατρὸς ἀνέκδοτον καὶ f ἀνέγγυον ἀπολειφθεῖσαν. (2) Ὁ δ' οὖν νεώτερος Τιβέριος στρατευόμενος ἐν Λιβύῃ μετὰ τοῦ δευτέρου Σκηπίωνος ἔχοντος αὐτοῦ τὴν ἀδελφὴν ὁμοῦ συνδιαιτώμενος ὑπὸ σκηνὴν τῷ στρατηγῷ ταχὺ μὲν αὐτοῦ τὴν φύσιν κατέμαθε πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρουσαν, ταχὺ δὲ τῶν νέων πάντων ἐπρώτευεν εὐταξίᾳ καὶ ἀνδρείᾳ· καὶ τοῦ γε τείχους ἐπέβη
826 τῶν πολεμίων πρῶτος, ὥς φησι Φάννιος, λέγων καὶ a
αὐτὸς τῷ Τιβερίῳ συνεπιβῆναι καὶ συμμετασχεῖν ἐκείνης τῆς ἀριστείας. Πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ καὶ πόθον ἀπαλλαττόμενος αὐτοῦ κατέλιπεν.

V. Μετὰ δὲ τὴν στρατείαν ἐκείνην αἱρεθεὶς ταμίας ἔλαχε τῶν ὑπάτων Γαΐῳ Μαγκίνῳ συστρατεύειν ἐπὶ Νομαντίνους, ἀνθρώπῳ μὲν οὐ πονηρῷ, βαρυποτμωτάτῳ δὲ Ῥωμαίων στρατηγῷ. Διὸ καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις τοῦ Τιβερίου διέλαμψεν οὐ μόνον τὸ συνετὸν καὶ ἀνδρεῖον, ἀλλ', ὃ θαυμάσιον ἦν, αἰδώς τε πολλὴ καὶ τιμὴ τοῦ ἄρχοντος ὑπὸ τῶν κακῶν οὐδ' ἑαυτόν, εἰ στρατηγός ἐστιν, ἐπιγινώσκοντος. (2) Ἡττηθεὶς γὰρ μάχαις μεγάλαις ἐπεχείρησε μὲν ἀναζευγνύναι b νυκτὸς ἐκλιπὼν τὸ στρατόπεδον· αἰσθομένων δὲ τῶν Νομαντίνων καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων, τοῖς δὲ ἀνθρώποις ἐπιπεσόντων φεύγουσι καὶ τοὺς ἐσχάτους φονευόντων, τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα καὶ συνωθούντων εἰς τόπους χαλεποὺς καὶ διάφευξιν οὐκ ἔχοντας, ἀπογνοὺς τὴν ἐκ τοῦ βιάζεσθαι σωτηρίαν ὁ Μαγκῖνος ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεων πρὸς αὐτούς· οἱ δὲ πιστεύειν ἔφασαν οὐδενὶ πλὴν μόνῳ Τιβερίῳ, καὶ τοῦτον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτούς. (3) Ἐπεπόνθεσαν δὲ τοῦτο καὶ δι' αὐτὸν τὸν νεανίσκον c (ἦν γὰρ αὐτοῦ πλεῖστος λόγος ἐπὶ στρατιᾶς) καὶ μεμνημένοι τοῦ πατρὸς Τιβερίου, ὃς πολεμήσας Ἴβηρσι καὶ πολλοὺς καταστρεψάμενος εἰρήνην ἔθετο πρὸς τοὺς Νομαντίνους καὶ ταύτην ἐμπεδοῦντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρέσχεν. Οὕτω δὴ πεμφθεὶς ὁ Τιβέριος καὶ συγγενόμενος τοῖς ἀνδράσι καὶ τὰ μὲν πείσας, τὰ δὲ δεξάμενος ἐσπείσατο καὶ δισμυρίους ἔσωσε περιφανῶς Ῥωμαίων πολίτας ἄνευ θεραπείας καὶ τῶν ἔξω τάξεως ἑπομένων.

VI. Τὰ δὲ ἐν τῷ χάρακι ληφθέντα χρήματα πάντα κατέσχον οἱ Νομαντῖνοι καὶ διεπόρθησαν. Ἐν δὲ τούτοις καὶ πινακίδες ἦσαν τοῦ Τιβερίου γράμματα καὶ d λόγους ἔχουσαι τῆς ταμιευτικῆς ἀρχῆς, ἃς περὶ πολλοῦ ποιούμενος ἀπολαβεῖν, ἤδη τοῦ στρατοῦ προκεχωρηκότος, ἀνέστρεψε πρὸς τὴν πόλιν ἔχων μεθ' ἑαυτοῦ τρεῖς ἢ τέτταρας ἑταίρους. Ἐκκαλέσας δὲ τῶν Νομαντίνων

nationis causa est? an Tiberium Gracchum ei sponsum invenisti? Neque me fugit, quosdam hoc ad Gracchorum patrem et Scipionem Africanum referre, sed et plerique ita narrant, ut nos scripsimus, et Polybius auctor est, post mortem demum Scipionis necessarios ejus Tib. Sempronio ex omnibus delecto, Corneliam a patre nulli elocatam vel pactam relictam nuptum dedisse. (2) Minor, de quo agimus, Tiberius cum Scipione posteriore, qui sororem ejus in matrimonio habebat, in Africa militans, in eodemque degens tabernaculo, statim naturam ejus perspexit, multa et magna ad æmulationem virtutis imitationemque in actionibus efferentem, statim etiam inter juvenes primam modestiæ et fortitudinis laudem meruit. Fannius eum primum in muros hostium evasisse scribit, seque ei eo in facinore socium affuisse. Magnam et præsens in castris benevolentiam, et discedens desiderium sui excitavit.

V. Secundum eam militiam quæstor sorte C. Mancino adversus Numantinos obtigit, viro non malo, sed omnium Romanorum ducum infortunatissimo: quo magis in adversis rebus casibusque insperatis Tiberii eluxit non prudentia modo et fortitudo, (sed quod mirum erat) multa erga ducem verecundia atque observantia, qui in tot malis versans ne ducem quidem se esse cognoscebat. (2) Etenim victus magnis pugnis Mancinus noctu relictis castris discedere conatus fuerat. Quod quum sensissent Numantini, et castra statim ceperunt et fugientes adorti, postremos trucidarunt, totumque agmen circumvenerunt, inque loca difficilia et fugæ interclusa compulerunt. Unde quum vi se evadere posse Mancinus desperasset, missoque præcone hostem pacem ac fœdus poposcisset, nemini se quam Tiberio fidem habituros Numantini responderunt, eumque ad se mitti jusserunt. (3) Quod non desiderio modo ejus adolescentis faciebant, cujus nobilis erat etiam apud ipsos fama, sed patris quoque ejus memoriam recolentes, qui bellum adversus Hispanos gerens, multis devictis, cum Numantinis fœdus icerat, utque id populus inviolatum servaret, semper effecerat. Ita missus Tiberius, partim persuadendo iis, partim oblatas conditiones accipiendo fœdus iniit ac viginti civium millia haud dubie servavit, absque calonibus et iis qui extra militiæ ordinem sequebantur.

VI. Quidquid in castris deprehensum fuit, id omne Numantini prædæ habuerunt. Erant inter ea etiam tabulæ, quibus quæsturæ suæ rationes Gracchus inscripserat; is itaque quum nihil sibi iis recuperandis antiquius putaret, exercitu jam progresso, ad urbem Numantiam rediit, tribus aut quattuor sociis comitantibus. Proceribus eorum evocatis

τοὺς ἄρχοντας ἠξίου κομίσασθαι τὰς δέλτους, ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν οὐκ ἔχων ἀπολογίσασθαι περὶ τῶν ᾠκονομημένων. (2) Ἡσθέντες οὖν οἱ Νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν· ὡς δὲ εἱστήκει βουλευόμενος, ἐγγὺς προσελθόντες ἐνεφύοντο ταῖς χερσὶ καὶ λιπαρεῖς ἦσαν δεόμενοι μηκέτι νομίζειν αὐτοὺς πολεμίους, ἀλλ' ὡς e φίλοις χρῆσθαι καὶ πιστεύειν. Ἔδοξεν οὖν τῷ Τιβερίῳ ταῦτα ποιεῖν τῶν τε δέλτων περιεχομένῳ καὶ δεδοικότι παροξύνειν ὡς ἀπιστουμένους τοὺς Νομαντίνους. (3) Εἰσελθόντι δὲ εἰς τὴν πόλιν πρῶτον μὲν ἄριστον παρέθεσαν καὶ πᾶσαν ἐποιήσαντο δέησιν ἐμφαγεῖν τι κοινῇ μετ' αὐτῶν καθήμενον· ἔπειτα τὰς δέλτους ἀπέδοσαν καὶ τῶν ἄλλων ἃ βούλοιτο χρημάτων λαβεῖν ἐκέλευον. Ὁ δ' οὐδὲν ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν ἀπῆλθεν ἀσπασάμενος καὶ φιλοφρονηθεὶς τοὺς ἄνδρας.

VII. Ἐπεὶ δὲ εἰς Ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη f πρᾶξις ὡς δεινὴ καὶ καταισχύνουσα τὴν Ῥώμην αἰτίαν εἶχε καὶ κατηγορίαν· οἱ δὲ τῶν στρατιωτῶν οἰκεῖοι καὶ φίλοι μέγα μέρος ὄντες τοῦ δήμου συνέτρεχον πρὸς τὸν Τιβέριον, τὰ μὲν αἰσχρὰ τῶν γεγονότων ἀναφέροντες εἰς τὸν ἄρχοντα, δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. (2) Οἱ μέντοι δυσχεραίνοντες τὰ 827 πεπραγμένα μιμεῖσθαι τοὺς προγόνους ἐκέλευον· καὶ γὰρ a ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ Σαυνιτῶν ἀφεθῆναι στρατηγοὺς αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσέῤῥιψαν καὶ τοὺς ἐφαψαμένους καὶ μετασχόντας τῶν σπονδῶν, οἷον ταμίας καὶ χιλιάρχους, ὁμοίως προὔβαλον, εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. (3) Ἔνθα δὴ καὶ μάλιστα τὴν πρὸς τὸν Τιβέριον εὔνοιαν καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. Τὸν μὲν γὰρ ὕπατον ἐψηφίσαντο γυμνὸν καὶ δεδεμένον παραδοῦναι τοῖς Νομαντίνοις, τῶν δὲ ἄλλων ἐφείσαντο πάντων διὰ Τιβέριον. (4) Δοκεῖ δὲ καὶ Σκηπίων βοηθῆσαι μέγιστος ὢν τότε καὶ πλεῖστον δυνάμενος Ῥωμαίων· ἀλλ' οὐδὲν ἧττον ἐν αἰτίαις ἦν ὅτι τὸν Μαγκῖνον b οὐ περιέσωσεν οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς Νομαντίνοις ἐσπούδασε δι' ἀνδρὸς οἰκείου καὶ φίλου τοῦ Τιβερίου γενομένας. Τὸ δὲ πλεῖστον ἔοικεν ἐκ φιλοτιμίας καὶ τῶν ἐπαιρόντων τὸν Τιβέριον φίλων καὶ σοφιστῶν ἐκγενέσθαι τὰ τῆς διαφορᾶς. Ἀλλ' αὕτη γε πρὸς οὐδὲν ἀνήκεστον οὐδὲ φαῦλον ἐξέπεσε. Δοκεῖ δ' ἄν μοι μηδαμῶς περιπεσεῖν ὁ Τιβέριος οἷς ἔπαθεν, εἰ παρῆν αὐτοῦ τοῖς πολιτεύμασι Σκηπίων ὁ Ἀφρικανός· νῦν δὲ ἐκείνου περὶ Νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰ- c τίας.

VIII. Ῥωμαῖοι τῆς τῶν ἀστυγειτόνων χώρας ὅσην ἀπετέμοντο πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν ἐδίδοσαν νέμεσθαι τοῖς ἀκτήμοσι καὶ ἀπόροις τῶν πολιτῶν ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. Ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφορὰς καὶ τοὺς πένητας ἐξελαυνόντων,

petiit ut tabulæ sibi redderentur, ne inimicis calumniandi occasionem præberet, quum administrationis suæ rationes edere nequiret. (2) Numantini vero gavisi opportunitatem operæ suæ implorandæ accidisse, hortati sunt ut in urbem intraret, dubitantique propius accedentes manus injecerunt, orantes ut iret, neque se jam hostium loco haberet, sed ut amicis uteretur atque crederet. Statuit hoc facere Tiberius, tabularum cupidus, metuensque ne fidem non habendo Numantinos irritaret. (3) Ingresso in urbem statim est appositum prandium, majoremque in modum oratus, ut assideret et publice comederet; tabulæ deinde redditæ, et si quid præterea vellet de præda accipere permissum. Gracchus nulla re, nisi tabulis et thure, quo ad publica sacrificia uteretur, accepto, amice salutatis Numantinis discessit.

VII. Ut Romam revertit, tota quidem illa pacificatio ut indigna et Romæ dedecus afferens, culpata est; amici vero et necessarii militum, magna nimirum populi pars, ad Tiberium concurrebant, turpitudinem facti omnem Mancino imputantes, a Graccho autem servatos tot cives dicentes. (2) Sed qui factum illud iniquius ferebant, ii majorum exemplo utendum dicebant; nam ab iis quoque duces, qui cum Samnitibus turpe fœdus ut dimitterentur pepigerant, una cum iis, qui in eo feriendo adfuerant, ut quæstoribus et tribunis militum, nudi hostibus dediti, perjuriumque in eos et conventorum violatio derivata fuerat. (3) Hic vero maxime benevolentia et studium populi erga Tiberium effulsit. Decrevit enim ut consul nudus vinctusque Numantinis dederetur, reliquis autem omnibus Gracchi causa ignovit. (4) Ac videtur quidem etiam Scipio ipsum adjuvisse, cujus tum summa apud cives erat potentia; nihilominus tamen is culpabatur, quo l Mancinum non servasset, neque effecisset ut fœdus opera amici necessariique sui Gracchi cum Numantinis factum ratum haberetur. Ceterum maxime ambitio Tiberium attollentium ac prædicantium quum amicorum tum sophistarum simultatibus, quæ intercedebant inter Gracchum atque Scipionem, causam videtur præbuisse. Neque tamen eas quicquam gravius secutum est, quin imo nunquam mihi in eas, in quas incidit, deventurus fuisse calamitates videtur, si in republica versanti Scipio Africanus adfuisset; nunc eo jam ad Numantiam profecto ibique bellum gerente, legum lationem aggressus est. Ejus rei quam habuerit causam, explicabo.

VIII. Romani agrum quem finitimis bello eripuerant, partim vendebant, partim publicum faciebant, colendumque egenis ac pauperibus civibus haud magna mercede locabant. Quum vero divites inciperent plus pendere, atque ita agris pauperes detruderentur, lata est lex, ne quis

ἐγράφη νόμος οὐκ ἐῶν πλέθρα γῆς ἔχειν πλείονα πεντακοσίων. (2) Καὶ βραχὺν μὲν χρόνον ἐπέσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο καὶ τοῖς πένησιν ἐβοήθησε κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων καὶ νεμομένων ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. Ὕστερον δὲ τῶν (d) γειτνιώντων πλουσίων ὑποβλήτοις προσώποις μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτούς, τέλος δὲ φανερῶς ἤδη δι' ἑαυτῶν τὰ πλεῖστα κατεχόντων, ἐξωσθέντες οἱ πένητες οὔτε ταῖς στρατείαις ἔτι προθύμους παρεῖχον ἑαυτοὺς ἠμέλουν τε παίδων ἀνατροφῆς, ὡς ταχὺ τὴν Ἰταλίαν ἅπασαν ὀλιγανδρίας ἐλευθέρων αἰσθέσθαι, δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι' ὧν ἐγεώργουν οἱ πλούσιοι τὰ χωρία, τοὺς πολίτας ἐξελάσαντες. (3) Ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει Γάϊος Λαίλιος ὁ Σκηπίωνος ἑταῖρος, ἀντικρουσάντων δὲ τῶν δυνατῶν φοβηθεὶς τὸν θόρυβον καὶ παυσάμενος ἐπεκλήθη σοφὸς (e) ἢ φρόνιμος· ἑκάτερον γὰρ ἐδόκει σημαίνειν ὁ σάπιενς. Ὁ Τιβέριος δὲ δήμαρχος ἀποδειχθεὶς εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Διοφάνους τοῦ ῥήτορος καὶ Βλοσσίου τοῦ φιλοσόφου παρορμησάντων αὐτόν, ὧν ὁ μὲν Διοφάνης φυγὰς ἦν Μιτυληναῖος, ὁ δὲ αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρου τοῦ Ταρσέως γεγονὼς ἐν ἄστει συνήθης καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσόφων. (4) Ἔνιοι δὲ καὶ Κορνηλίαν συνεπαιτιῶνται τὴν μητέρα πολλάκις τοὺς υἱοὺς ὀνειδίζουσαν, ὅτι Ῥωμαῖοι Σκηπίωνος αὐτὴν ἔτι πενθερὰν, οὔπω δὲ μητέρα Γράγχων (f) προσαγορεύουσιν. Ἄλλοι δὲ Σπόριόν τινα Ποστούμιον αἴτιον γενέσθαι λέγουσιν, ἡλικιώτην τοῦ Τιβερίου καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας, ὅν, ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατιᾶς, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαχότα καὶ θαυμαζόμενον, ἠθέλησεν, ὡς ἔοικεν, ὑπερβαλέσθαι πολιτεύματος παραβόλου καὶ μεγάλην προσδοκίαν ἔχοντος ἁψάμενος.

528 (5) Ὁ δ' ἀδελφὸς αὐτοῦ Γάϊος ἔν τινι βιβλίῳ γέγραφεν εἰς (a) Νομαντίαν πορευόμενον διὰ τῆς Τυῤῥηνίας τὸν Τιβέριον καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα καὶ τοὺς γεωργοῦντας ἢ νέμοντας οἰκέτας ἐπεισάκτους καὶ βαρβάρους τότε πρῶτον ἐπὶ νοῦν βαλέσθαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. Τὴν δὲ πλείστην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε προκαλούμενος διὰ γραμμάτων αὐτὸν ἐν στοαῖς καὶ τοίχοις καὶ μνήμασι καταγραφομένων ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν.

IX. Οὐ μὴν ἐφ' αὑτοῦ γε συνέθηκε τὸν νόμον, τοῖς δὲ πρωτεύουσιν ἀρετῇ καὶ δόξῃ τῶν πολιτῶν συμβούλοις χρησάμενος· ὧν καὶ Κράσσος ἦν ὁ ἀρχιερεὺς καὶ Μούκιος Σκαιβόλας ὁ νομοδείκτης ὑπατεύων τότε καὶ Κλαύ- (b) διος Ἄππιος ὁ κηδεστὴς τοῦ Τιβερίου. Καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην μηδέποτε πρᾳότερος γραφῆναι καὶ μαλακώτερος. Οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθείας δοῦναι καὶ μετὰ ζημίας ἣν παρὰ τοὺς νόμους ἐκαρποῦντο χώραν ἀφεῖναι, τούτους ἐκέλευσε τιμὴν προσλαμβάνοντας ἐκβαίνειν ὧν ἀδίκως

plus quingentis jugeribus agri possideret. (2) Ea aliquamdiu avaritiam compescuit opemque pauperibus tulit, dicto pretio agros suos colentibus sorteque, quam quisque ab initio acceperat, fruentibus. Mox divites vicini, submissis certis hominibus, locationes agrorum ad se transferre cœperunt, et ad extremum palam ipsi plerosque conduxerunt; quo factum est ut, quum agris exclusi pauperes jam neque ad militiam se alacres præberent et liberos educare negligerent, statim per totam Italiam paucitas liberorum hominum exsisteret, barbaricisque ea ergastulis repleretur, mancipiorum opera agros colentibus divitibus, quibus cives suos depulerant. (3) Aggressus est hujus mali correctionem C. Lælius Scipionis socius, sed reluctantibus potentibus, quum metu tumultûs ab incepto destitisset, Sapientis cognomentum reperit. Tib. autem Gracchus, ut primum est tribunus plebis creatus, ad eandem rem se contulit, incitatus (ut maxima scriptorum pars asserit) a Diophane rhetore et Blossio philosopho, quorum ille exsul erat Mitylenæus, hic Cumis Italiæ oriundus, Antipatrum Tarsensem Romæ audiverat, ab eoque inscriptione librorum philosophicorum honoratus fuerat. (4) Quidam matrem quoque Corneliam in causa fuisse tradunt, quæ filiis sæpenumero exprobraverit, se a Romanis adhuc socrum Scipionis, nondum matrem Gracchorum appellari. Alii Sp. quendam Postumium, æqualem Tiberii inque defendendis reis æmulum; quem is ab exercitu revertens quum gloria magnopere auctum videret in oculis hominum esse, visus est voluisse audaci et magnam hominibus exspectationem afferente actione superare. (5) C. Gracchus, hujus frater, quodam in libro scripsit, Tiberium fratrem per Etruriam ad Numantiam proficiscentem, quum videret in agris solitudinem cultoresque et pastores peregrinos omnes et barbaros, tum primum ad funestam ipsis actionem et mille malorum causam animum appulisse. Præcipue autem studium ejus cupiditatemque gloriæ ipse populus accendit, provocans eum per literas in porticibus et parietibus et monumentis scriptas, uti agrum publicum pauperibus recuperet.

IX. Neque vero solus legem eam composuit, verum usus est consilio præstantissimorum virtute auctoritateque civium, inque his Crasso pontifice maximo, Mucio Scævola jurisconsulto, qui tum consulatum gerebat, et Claudio socero suo. Videtur quidem nulla unquam lex adversus tantam injustitiam et avaritiam mansuetior molliorque lata fuisse. Qui enim debebant legum violatarum pœnas dare et agris contra eas usurpatis mulctati detrudi, hos jussit accepto pretio cedere bonis injuste possessis et admittere

ἐκέκτηντο καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. (2) Ἀλλά, καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα παρεὶς τὰ γεγενημένα παύσασθαι τὸ λοιπὸν ἀδικούμενος, οἱ δὲ πλούσιοι καὶ κτηματικοὶ πλεονεξίᾳ μὲν τὸν νόμον, ὀργῇ c δὲ καὶ φιλονεικίᾳ τὸν νομοθέτην δι' ἔχθους ἔχοντες ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, ὡς γῆς ἀναδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ Τιβερίου καὶ πάντα πράγματα κινοῦντος. (3) Ἀλλ' οὐδὲν ἐπέραινον· ὁ γὰρ Τιβέριος πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ καὶ φαυλότερα κοσμῆσαι δυναμένῳ πράγματα δεινὸς ἦν καὶ ἄμαχος, ὁπότε, τοῦ δήμου τῷ βήματι περικεχυμένου, καταστὰς λέγοι περὶ τῶν πενήτων, ὡς τὰ μὲν θηρία τὰ τὴν Ἰταλίαν νεμόμενα καὶ φωλεὸν ἔχει καὶ κοιταῖόν ἐστιν αὐτῶν ἑκάστῳ καὶ κατα- d δύσεις, τοῖς δ' ὑπὲρ τῆς Ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν ἀέρος καὶ φωτός, ἄλλου δὲ οὐδενὸς μέτεστιν, ἀλλ' ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν, οἱ δὲ αὐτοκράτορες ψεύδονται τοὺς στρατιώτας ἐν ταῖς μάχαις παρακαλοῦντες ὑπὲρ τάφων καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους οὐδενὶ γάρ ἐστιν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων Ῥωμαίων, ἀλλ' ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου πολεμοῦσι καὶ ἀποθνήσκουσι κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες.

X. Τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους e ἀληθινοῦ τοὺς λόγους κατατείνοντας εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξανιστάμενον οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. Ἐάσαντες οὖν τὸ ἀντιλέγειν ἐπὶ Μάρκον Ὀκτάβιον τρέπονται τῶν δημάρχων ἕνα, νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ Τιβερίου καὶ συνήθη. Διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο· πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων ὥσπερ ἐκβιασθεὶς ἀντικαθίστατο τῷ Τιβερίῳ καὶ διεκρούετο τὸν νόμον. (2) Ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος· οὐδὲν γὰρ οἱ πολλοὶ κελεύοντες περαίνουσιν ἑνὸς ἐνισταμένου. Πρὸς τοῦτο παρο- f ξυνθεὶς ὁ Τιβέριος τὸν μὲν φιλάνθρωπον ἐπανείλετο νόμον, τὸν δὲ ἡδίω τε τοῖς πολλοῖς καὶ σφοδρότερον ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν, ἤδη κελεύων ἐξίστασθαι τῆς χώρας, ἣν ἐκέκτηντο παρὰ τοὺς προτέρους νόμους. (3) Ἦσαν οὖν ὁμοῦ τι καθ' ἑκάστην ἡμέραν ἀγῶνες
829 αὐτῷ πρὸς τὸν Ὀκτάβιον ἐπὶ τοῦ βήματος, ἐν οἷς, a καίπερ ἐξ ἄκρας σπουδῆς καὶ φιλονεικίας ἀντερείδοντες, οὐδὲν εἰπεῖν λέγονται περὶ ἀλλήλων φαῦλον οὐδὲ ῥῆμα προπεσεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀνεπιτήδειον. Οὐ γὰρ μόνον ἐν βακχεύμασιν, ὡς ἔοικεν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς τὸ πεφυκέναι καλῶς καὶ πεπαιδεῦσθαι σωφρόνως ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν. (4) Ἐπεὶ δὲ ἑώρα τὸν Ὀκτάβιον ἐνεχόμενον τῷ νόμῳ κατέχοντα τῆς δημοσίας χώρας συχνὴν ὁ Τιβέριος, ἐδεῖτο παρεῖναι τὴν φιλονεικίαν, ὑφιστάμενος αὐτῷ τὴν τιμὴν ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ b λαμπρῶν ὄντων. (5) Οὐκ ἀνασχομένου δὲ τοῦ Ὀκταβίου

opis indigentes cives. (2) Sed quanquam ita lenis erat ea correctio, tamen populus satis habuit, condonatis prioribus injuriis, in posterum ab iis tutus esse; divites vero et opulenti homines, ob avaritiam legi, ob iram et contentionis studium auctori ejus infensi, conati sunt ab ea perferenda deterrere populum, divisionem agrorum confundendæ reipublicæ omniumque rerum mutandarum causa inferri a Graccho ferentes. (3) Verum nihil proficiebatur. Gracchus enim honestam justamque rem ea defendens oratione, qua etiam mala causa exornari potuisset, eloquentissimus erat atque inexpugnabilis quoties plebe suggesto circumfusa de pauperibus verba faciens, « Feræ quidem, inquiebat, per Italiam degentes, foveas habent suas et cubilia in quæ se conferant: iis vero, qui pro Italia propugnant vitamque deponunt, hominibus nullius rei nisi aeris et lucis est communitas, domibusque et mansionibus privati cum uxoribus et liberis vagantur. Mentiuntur vero imperatores in prœliis milites adhortantes, ut pro fanis ac sepulcris adversus hostes pugnent: quum in tanta multitudine plebis Romanæ nulli neque ara sit paterna, neque monumentum majorum; pro luxu ii alieno et divitiis pugnant atque moriuntur, et quum orbis terrarum domini dicantur, ne unam quidem glebam terræ possident.

X. Hæc illo magno animo affectuque non simulato ad populum dictitante, et veluti afflatu quodam numinis excitato, nemo adversariorum ausus est subsistere certamen. Itaque omisso contradicendi studio, ad unum ex tribunis M. Octavium se conferunt, amicumque ejus et familiarem, juvenem gravibus et modestis præditum moribus. Is quum initio verecundia collegæ ductus tergiversaretur, precibus tandem et hortationibus potentium compulsus, Graccho se opposuit, legemque impediit. (2) Nam tribunorum plebis vis maxime in prohibendo est, frustraque ceteri aliquid jubent, uno repugnante. Irritatus eo facto Gracchus legem suam mansuetiorem antiquavit, aliamque vehementiorem et populo gratiorem promulgavit, diserte jam agris contra superiores leges occupatis injustos possessores cedere jubentem. (3) Erant ergo quotidiana prope certamina ejus cum Octavio in suggesto, quæ licet summo studio animique contentione essent suscepta, neutri tamen ullum improbum dictum indecorumve adversus alterum per iram excidisse fertur. Non enim tantum in bacchanalibus, verum etiam in contentionibus et ira bonum honesteque institutum ingenium mentem componit decorumque tuetur. (4) Videns autem Gracchus Octavium quoque ea lege teneri, quod multum agri publici possidebat, oravit eum Tiberius ut a certamine desisteret, promittens se ei agrorum pretium de suo persoluturum, quanquam non admodum amplo patrimonio præditus. (5) Octavio autem aversante conditionem,

διαγράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρηματίζειν, ἄχρι ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆφος· τῷ δὲ τοῦ Κρόνου ναῷ σφραγῖδας ἰδίας ἐπέβαλεν, ὅπως οἱ ταμίαι μηδὲν ἐξ αὐτοῦ λαμβάνοιεν μηδ' εἰσφέροιεν, καὶ τοῖς ἀπειθήσασι τῶν στρατηγῶν ζημίαν ἐπεκήρυξεν, ὥστε πάντας ὑποδείσαντας ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν. (6) Ἐντεῦθεν οἱ κτηματικοὶ τὰς μὲν ἐσθῆτας μετέβαλον καὶ περιῄεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγοράν, ἐπεβούλευον δὲ τῷ Τιβερίῳ κρύφα καὶ συνίστασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας, ὥστε κἀκεῖνον, οὐδενὸς ἀγνοοῦντος, ὑποζώννυσθαι ξιφί- c διον ληστρικόν, ὃ δόλωνα καλοῦσιν.

XI. Ἐνστάσης δὲ τῆς ἡμέρας καὶ τὸν δῆμον αὐτοῦ καλοῦντος ἐπὶ τὴν ψῆφον, ἡρπάσθησαν ὑπὸ τῶν πλουσίων αἱ ὑδρίαι καὶ τὰ γινόμενα πολλὴν εἶχε σύγχυσιν. Οὐ μὴν ἀλλὰ τῶν περὶ τὸν Τιβέριον πλήθει βιάσασθαι δυναμένων καὶ συστρεφομένων ἐπὶ τοῦτο, Μάλλιος καὶ Φούλβιος, ἄνδρες ὑπατικοί, προσπεσόντες τῷ Τιβερίῳ καὶ χειρῶν ἁπτόμενοι καὶ δακρύοντες ἐδέοντο παύσασθαι. Τοῦ δὲ καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφρονοῦντος καὶ δι' αἰδῶ τῶν ἀνδρῶν πυθομένου, τί κελεύουσι πράττειν αὐτόν, οὐκ ἔφασαν ἀξιόχρεῳ εἶναι πρὸς τηλικαύτην συμβουλίαν, ἐπιτρέψαι δὲ τῇ βουλῇ d κελεύοντες καὶ δεόμενοι συνέπεισαν. (2) Ὡς δὲ οὐδὲν ἐπέραινεν ἡ βουλὴ συνελθοῦσα διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον οὐδὲ ἐπιεικές, ἀφελέσθαι τῆς ἀρχῆς τὸν Ὀκτάβιον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον. Καὶ πρῶτον μὲν ἐδεῖτο φανερῶς αὐτοῦ λόγους τε προσφέρων φιλανθρώπους καὶ χειρῶν ἁπτόμενος ἐνδοῦναι καὶ χαρίσασθαι τῷ δήμῳ δίκαια μὲν ἀξιοῦντι, μικρὰ δὲ ἀντὶ μεγάλων πόνων καὶ κινδύνων ληψομένῳ. Διωθουμένου δὲ τοῦ Ὀκταβίου τὴν ἔντευξιν ὑπειπὼν ὁ Τιβέριος, ὡς οὐκ ἔστιν ἄρχοντας ἀμφοτέρους καὶ περὶ πραγμάτων e μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους ἄνευ πολέμου διελθεῖν τὸν χρόνον, ἓν ἴαμα τούτου μόνον ὁρᾶν ἔφη τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. Καὶ περὶ αὐτοῦ γε προτέρου τὸν Ὀκτάβιον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι· καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμενος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις. Τοῦ δὲ Ὀκταβίου μὴ θέλοντος, αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀναδώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος.

XII. Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν. Τῇ δ' ὑστεραίᾳ τοῦ δήμου συνελθόντος ἀναβὰς ἐπὶ τὸ βῆμα πάλιν ἐπειρᾶτο πείθειν τὸν Ὀκτάβιον· ὡς δὲ ἦν f ἀμετάπειστος, εἰσήνεγκε νόμον ἀφαιρούμενον αὐτοῦ τὴν δημαρχίαν καὶ τοὺς πολίτας εὐθὺς ἐκάλει τὴν ψῆφον ἐπιφέροντας. Οὐσῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαεπτὰ τὴν ψῆφον ἐπενηνόχεισαν καὶ μιᾶς ἔτι προσγενομένης ἔδει τὸν Ὀκτάβιον ἰδιώτην γενέσθαι, κελεύσας ἐπισχεῖν αὖθις ἐδεῖτο τοῦ Ὀκταβίου καὶ περιέβαλλεν αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ κατησπάζετο
830 λιπαρῶν καὶ δεόμενος μήθ' ἑαυτὸν ἄτιμον περιιδεῖν a γενόμενον μήτ' ἐκείνῳ βαρέος οὕτω καὶ σκυθρωποῦ πο-

edicto justitium impetravit, dum lex perferretur, privatimque suo sigillo Saturni ædem clausam muniit, ne quid inferre aut efferre quæstores possent, ac reliquis etiam magistratibus, qui contra edictum jus reddidissent, mulctam dixit. Quo factum ut omnes perterriti sui muneris administrationem intermitterent. (6) Proinde opulenti mutatis vestibus miserabili habitu in foro obambularunt, Gracchoque occulte insidiati sunt, submissis etiam percussoribus: itaque ipse etiam palam sicam gestavit, quem dolonem Latini vocant.

XI. Quum dies venisset legi perferendæ dictus, populusque ad suffragia ferenda vocaretur, sitellæ a divitibus raptæ sunt, magnaque exstitit confusio. Enimvero quum Gracchi factio multitudine hominum vim adhibere posset atque ea mente se conglobaret, Manlius et Fulvius consulares viri eum accesserunt, manibusque apprehensis lacrimantes oraverunt, ut proposito desisteret. Quos ille jam et prævidens animo imminentem sibi calamitatem, et verecundia eorum motus, interrogavit, quidnam se facere juberent, et respondentibus, se ad consilium de tanta re dandum non sufficere, hortantibus et orantibus ut rem senatui permitteret, concessit. (2) Verum ubi in senatu ob potentiam divitum in eo dominantium nihil peractum est, rem neque legibus neque æquitati consentaneam aggressus est, ut Octavio tribuniciam potestatem abrogaret, nullum aliam legis suæ perferendæ inveniens viam. Ac primum quidem aperte oravit, amice eum compellans, manusque ejus attingens, uti concederet, populoque gratificaretur justa postulanti, ac pro magnis laboribus atque periculis exiguam mercedem recepturo. Octavio deprecationem hanc aspernanti dicens intelligere se utroque tribuno plebis manente ipsisque magnis de rebus inter se decertantibus, fretis pari potestate, annum citra bellum non exiturum, ei vero malo se unum hoc invenire remedium, ut alter magistratu eo abeat: mittendi in suffragia populi potestatem Octavio prior obtulit, velletne Gracchum tribunatu plebis deponi, promittens se, si ita civibus placuisset, statim magistratu se abdicaturum, privatumque futurum. Quum id quoque Octavius negaret, se de eo suffragia propositurum, nisi consilium mutasset, affirmavit.

XII. Atque ita tum concionem dimisit. Postridie quum rursus convenisset populus, conscensis rostris iterum Octavii animum sollicitavit, quumque eum ab instituto dimovere nequiret, legem tulit, qua ei tribunatus abrogabatur, populumque confestim ad ferenda suffragia vocavit. Quum de triginta quinque tribubus septemdecim jam suffragium tulissent, et futurum esset ut, si decima octava accederet, abdicare se magistratu Octavius cogeretur, ea inhibita Gracchus rursus hominem deprecatus est, amplexus eum in conspectu totius populi, blandissimisque verbis oravit, ne sese ultro ignominiæ objiceret, ac tam gravis et austeri

λιτεύματος αἰτίαν προσάψαι. (2) Τούτων τῶν δεήσεων οὐ παντελῶς ἄτεγκτον οὐδ' ἀτενῆ λέγουσιν ἀκροᾶσθαι τὸν Ὀκτάβιον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλασθαι τὰ ὄμματα καὶ σιωπᾶν ἐπὶ πολὺν χρόνον. Ὡς μέντοι πρὸς τοὺς πλουσίους καὶ τοὺς κτηματικοὺς συνεστῶτας ἀπέβλεψεν, αἰδεσθεὶς δοκεῖ καὶ φοβηθεὶς τὴν παρ' ἐκείνοις ἀδοξίαν ὑποστῆναι πᾶν δεινὸν οὐκ ἀγεννῶς καὶ κελεῦσαι πράττειν ὃ βούλεται τὸν Τιβέριον. (3) Οὕτω δὴ τοῦ νόμου κυρωθέντος, ὁ μὲν Τιβέριος τῶν ἀπελευθέρων b τινὶ προσέταξεν ἀπὸ τοῦ βήματος ἑλκύσαι τὸν Ὀκτάβιον· ἐχρῆτο δὲ ὑπηρέταις ἀπελευθέροις ἰδίοις, καὶ τοῦτο τὴν ὄψιν οἰκτροτέραν τοῦ Ὀκταβίου παρέσχεν ἑ κομένου πρὸς ὕβριν. Ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ, καὶ τῶν πλουσίων συνδραμόντων καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν Ὀκτάβιος ἐσώθη μόλις ἐξαρπαγεὶς καὶ διαφυγὼν τὸν ὄχλον, οἰκέτην δὲ αὐτοῦ πιστὸν ἔμπροσθεν ἑστῶτα καὶ προτεταγμένον ἐξετύφλωσαν, ἄκοντος τοῦ Τιβερίου καὶ πρὸς τὸν θόρυβον, ὡς ᾔσθετο τὰ γινόμενα, πολλῇ σπουδῇ καταδραμόντος.

XIII. Ἐκ τούτου κυροῦται μὲν ὁ περὶ τῆς χώρας νόμος, αἱροῦνται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ c διανομήν, αὐτὸς Τιβέριος καὶ Κλαύδιος Ἄππιος ὁ πενθερὸς καὶ Γάϊος Γράγχος ὁ ἀδελφὸς, οὐ παρὼν οὗτος, ἀλλ' ὑπὸ Σκηπίωνι πρὸς Νομαντίαν στρατευόμενος. (2) Ταῦτα τοῦ Τιβερίου διαπραξαμένου καθ' ἡσυχίαν μηδενὸς ἐνισταμένου, καὶ πρὸς τούτοις δήμαρχον ἀντικαταστήσαντος οὐδένα τῶν ἐπιφανῶν, ἀλλὰ Μούκιόν τινα, πελάτην αὐτοῦ, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοὶ καὶ φοβούμενοι τοῦ Τιβερίου τὴν αὔξησιν ἐν τῇ βουλῇ προεπηλάκιζον αὐτὸν, αἰτουμένῳ μὲν, ὡς ἔθος ἐστὶν, ἐκ δημοσίου σκηνὴν, ὅπως ἔχοι διανέμων τὴν d χώραν, οὐ δόντες, ἑτέρων ἐπ' ἐλάττοσι χρείαις πολλάκις λαβόντων, ἀνάλωμα δὲ εἰς ἑκάστην ἡμέραν ἐννέα ὀβολοὺς τάξαντες, εἰσηγουμένου ταῦτα Ποπλίου Νασικᾶ καὶ δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς· πλείστην γὰρ ἐκέκτητο γῆν δημοσίαν καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτῆς ἀναγκαζόμενος. (3) Ὁ δὲ δῆμος ἔτι μᾶλλον ἐξεκάετο· καὶ φίλου τινὸς τῷ Τιβερίῳ τελευτήσαντος αἰφνιδίως καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων βοῶντες ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τὴν ἐκφορὰν συνέδραμον καὶ τὸ λέχος ἤραντο καὶ θαπτομένῳ παρέστησαν, οὐ φαύλως ὑπονοῆσαι e τὴν φαρμακείαν δόξαντες. Ἐρράγη γὰρ ὁ νεκρὸς καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν, ὥστε ἀποσβέσαι τὴν φλόγα· καὶ φερόντων ἄλλην αὖθις οὐκ ἐκάετο πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι, καὶ πολλὰ πραγματευσαμένων μόλις ἥψατο τὸ πῦρ αὐτοῦ. Πρὸς ταῦτα τοὺς πολλοὺς ἔτι μᾶλλον ὁ Τιβέριος παροξύνων μετέβαλε τὴν ἐσθῆτα καὶ τοὺς παῖδας προαγαγὼν ἐδεῖτο τοῦ δήμου τούτων κήδεσθαι καὶ τῆς μητρὸς ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν.

XIV. Ἐπεὶ δὲ, τοῦ Φιλομήτορος Ἀττάλου τελευ- f τήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ Ῥωμαίων

facti culpam collegæ impingeret. (2) Ferunt non plane immoto animo Octavium eas preces audivisse, sed et oculos ei lacrimis repletos fuisse, et aliquamdiu eum tacuisse. Ut vero ad opulentorum agmen respexit, videtur pudore metuque infamiæ, quam sibi erat apud eos excitaturus, omnia acerba non ingenerose subisse ac Gracchum jussisse peragere quod vellet (3) Lege ergo perlata, Gracchus liberto cuidam suo (nam libertis suis pro lictoribus utebatur) mandavit ut Octavium de rostris detraheret. Fuit eo miserabilius id spectaculum, quod contumeliose Octavius traheretur. Et quum populus impetum in eum faceret, concurrentibus divitibus manusque prætendentibus, vix populi vi evitata aufugit Octavius; servum autem ejus fidelem domino ac pro eo stantem, invito Gracchο, et celeriter ubi hoc agi sensit ad tumultum accurrente, multitudo excæcavit.

XIII. Legem deinde agrariam populus jussit, et ad discernendos dividendosque agros triumviri delecti sunt Tib. ipse Gracchus, App. Claudius socer ejus, et frater Caius, absens, qui sub Scipione ad Numantiam militabat. (2) Hæc quum Gracchus nullo negotio confecisset, repugnante nemine, tribunumque plebis in Octavii locum nullum ex illustribus viris, sed Mucium quendam clientem suum suffecisset, omnia ista indigne ferentes optimates, incrementaque ejus timentes, in senatu contumeliose ipsum tractarunt. Nam et tabernaculum ex publico pro more poscenti, quo in divisione agrorum uteretur, abnegarunt, quum quidem sæpe ad leviora ministeria id concessissent, et in singulos dies novenos tantum obolos sumptuum nomine ei decreverunt. Auctor hujusmodi decretorum fuit P. Scipio Nasica, qui inimicum se Gracchο acerrimum palam gerebat, iratus ob amissionem agri publici, quo plurimo hactenus a se possesso tum exturbabatur. (3) Eo magis animi multitudinis accendebantur. Et quum quidam Tiberii amicus subito esset mortuus, signaque in ejus cadavere mala apparerent, vulgus eum veneno necatum clamantes ad funus efferendum humandumque corpus concurrerunt. Videbantur autem haud abs re suspicati veneficio eum exstinctum fuisse. Cadaver enim rogo impositum dissiluit, tantaque multitudo corrupti humoris erupit, ut flammam exstingueret, aliaque allata, non prius tamen cremari quivit, quam in alium locum deferretur, magnoque labore vix tandem ignis accendi potuit. Gracchus autem ut concitatos animos plebis magis adhuc irritaret, lugubrem vestem sumpsit, liberosque in publicum produxit, ac quasi ipse de suis rebus desperasset, eorum matrisque salutem populo commendavit.

XIV. Postquam Attalo Philometore defuncto Eudemus Pergamenus testamentum ejus Romam attulit, in quo P. R. hæres regis scriptus erat, statim Gracchus populi gratiam

δῆμος, εὐθὺς ὁ Τιβέριος δημαγωγῶν εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα τοῖς τὴν χώραν διαλαγχάνουσι τῶν πολιτῶν ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν. Περὶ δὲ τῶν πόλεων, ὅσαι τῆς Ἀττάλου βασιλείας ἦσαν, οὐδὲν ἔφη τῇ συγκλήτῳ βουλεύεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν. (2) Ἐκ τούτου μάλιστα προσέκρουσε τῇ
831 βουλῇ· καὶ Πομπήιος μὲν ἀναστὰς ἔφη γειτνιᾶν τῷ a
Τιβερίῳ καὶ διὰ τοῦτο γινώσκειν Εὔδημον αὐτῷ τὸν Περγαμηνὸν τῶν βασιλικῶν διάδημα δεδωκότα καὶ πορφύραν, ὡς μέλλοντι βασιλεύειν ἐν Ῥώμῃ, Κόϊντος δὲ Μέτελλος ὠνείδισε τὸν Τιβέριον, ὅτι τοῦ μὲν πατρὸς αὐτοῦ τιμητεύοντος, ὁσάκις ἀναλύοι μετὰ δεῖπνον οἴκαδε, τὰ φῶτα κατεσβέννυσαν οἱ πολῖται, φοβούμενοι μὴ πορρωτέρω τοῦ μετρίου δόξωσιν ἐν συνουσίαις εἶναι καὶ πότοις, τούτῳ δὲ παραφαίνουσι νυκτὸς οἱ θρασύτατοι καὶ ἀπορώτατοι τῶν δημοτῶν· (3) Τίτος δ' Ἄννιος, οὐκ ἐπιεικὴς μὲν οὐδὲ σώφρων ἄνθρωπος, ἐν δὲ λόγοις πρὸς τὰς ἐρωτήσεις καὶ τὰς ἀπο- b
κρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν τινα προὐκαλεῖτο τὸν Τιβέριον, ἦ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων ἠτιμωκέναι τὸν συνάρχοντα. Θορυβούντων δὲ πολλῶν ἐκπηδήσας ὁ Τιβέριος τόν τε δῆμον συνεκάλει καὶ τὸν Ἄννιον ἀχθῆναι κελεύσας ἐβούλετο κατηγορεῖν. (4) Ὁ δὲ καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ πολὺ λειπόμενος, εἰς τὴν ἑαυτοῦ δεινότητα κατεδύετο καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν Τιβέριον. Συγχωροῦντες δὲ ἐρωτᾶν ἐκείνου καὶ σιωπῆς γενομένης, εἶπεν ὁ Ἄννιος, « Ἂν σὺ μὲν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων, ὁ δὲ ἀναβῇ βοηθήσων, σὺ δὲ ὀργισθῇς, c
ἆρά γε αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ; » Πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν Τιβέριον, ὥστε πάντων ὄντα καὶ τὸ λέγειν ἑτοιμότατον καὶ τὸ θαρρεῖν ἰταμώτατον ἀποσιωπῆσαι.

XV. Τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν· αἰσθανόμενος δὲ τῶν πολιτευμάτων τὸ περὶ τὸν Ὀκτάβιον οὐ τοῖς δυνατοῖς μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς ἐκπαθέστερον (μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον ἀνῃρῆσθαι καὶ καθυβρίσθαι), λόγον ἐν τῷ δήμῳ διεξῆλθεν, οὗ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων οὐκ ἄτοπον ἦν, ὥστε ὑπονοηθῆναι τὴν πιθανότητα καὶ d
πυκνότητα τοῦ ἀνδρός. (2) Ἔφη γὰρ ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον, ὅτι τῷ δήμῳ καθωσίωται καὶ τοῦ δήμου προέστηκεν. Ἂν οὖν μεταβαλόμενος τὸν δῆμον ἀδικῇ καὶ τὴν ἰσχὺν κολούῃ καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεστέρηκε τῆς τιμῆς ἐφ' οἷς ἔλαβεν οὐ ποιῶν· ἐπεὶ καὶ τὸ Καπετώλιον κατασκάπτοντα καὶ τὸ νεώριον ἐμπιπράντα δήμαρχον ἐᾶν δεήσει. (3) Καὶ ταῦτα μὲν ποιῶν δήμαρχός ἐστι πονηρός· ἐὰν δὲ καταλύῃ τὸν δῆμον, οὐ δήμαρχός ἐστι. Πῶς οὖν οὐ δεινὸν, εἰ τὸν μὲν ὕπατον ὁ δήμαρχος ἄξει, τὸν δὲ δήμαρχον οὐκ ἀφαιρήσεται τὴν ἐξουσίαν ὁ δῆμος,

captans legem tulit, ut pecuniæ regiæ allatæ inter cives agros sortitos dividerentur, quibus ii ad paranda ea quæ ad agriculturam pertinent uterentur. De urbibus quoque iis quæ Attali fuissent, nihil esse cur senatus decerneret dixit, se de iis ad populum relaturum. (2) Hoc maxime offendit senatum. Et Pompeius surgens sibi propter vicinitatem Gracchi notum esse dixit, diadema ei regium et purpuram ab Eudemo datam, utpote Romæ regnaturo. Q. autem Metellus exprobravit ei, quod quum patre ejus, quo tempore censuram gerebat, a cœna domum redeunte cives lucernas exstinguere consuevissent, ne ab eo diutius quam conveniret convivari aut potare viderentur, nunc huic noctu ferocissimi et pauperrimi civium prælucerent; (3) T. vero Annius, homo neque probus neque temperans, sed qui interrogando respondendoque in disputationibus invictus videretur, Gracchum ad sponsionem provocavit, ni sacrosancto legibus collegæ contumeliam intulisset. Tumultuante multitudine prosiliens Gracchus populum ad concionem vocavit, Anniumque adduci jussit, et accusare instituit. (4) Ibi Annius, multo et facundia et auctoritate inferior, ad suas artes confugit, petiitque a Graccho, ut antequam causæ dicerentur, de paucis quibusdam sibi responderet. Quum annuisset essetque factum silentium; Si tu, inquit Annius, me infamem reddere et ignominia afficere volueris, et ego unum de collegis tuis appellavero, is vero opitulatum mihi veniat, ac tu irascaris, numnam eum magistratu dejicies? Gracchum perhibent hac interrogatione ita perculsum fuisse, ut, quanquam et lingua promptissimus esset et ad audendum inverecundissimus, obmutuerit.

XV. Itaque tum concionem solvit. Sentiens autem omnium suarum actionum eam maxime, qua Octavium tribunatu amoverat, non potentibus modo, sed etiam plebi vehementiorem affectum movisse (videbatur enim eo facto magna illa et pulchra tribunorum potestas, eo usque conservata, tum primum contumeliose circumscripta atque sublata), orationem ad populum habuit, de qua haud absurdum videtur quædam argumenta proponere, ut inde hominis ad persuadendum facultas et copia æstimari possit. (2) Tribunum plebis dicebat eo sacrosanctum esse et inviolabilem, quia consecratus sit populo, eique præsit. Ergo eum, si immutatus populum injuria afficiat, vim ejus imminuat, suffragii ferendi jus adimat, se ipsum suo se honore privare, ea non præstantem, ob quæ ei honor ille tributus est: nisi forte permittendum sit ut aliquis Capitolium subruens, aut navale incendens, tribunus plebis habeatur. (3) Et talia facientem malum quidem tribunum posse dici; eum qui populi potestatem dissolvat, tribunum non esse. Indignum porro fore, quum abducere in carcerem possit consulem tribunus plebis, populum non

ὅταν αὐτῇ κατὰ τοῦ δεδωκότος χρῆται; καὶ γὰρ ὕπατον καὶ δήμαρχον ὁμοίως δῆμος αἱρεῖται. Καὶ μὴν ἥ γε βασιλεία πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβοῦσα καὶ ταῖς μεγίσταις ἱερουργίαις καθωσίωται πρὸς τὸ θεῖον· ἀλλὰ Ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικοῦντα καὶ δι' ἑνὸς ἀνδρὸς ὕβριν ἡ πάτριος ἀρχὴ καὶ κτίσασα τὴν Ῥώμην κατελύθη. (4) Τί δὲ οὕτως ἅγιον ἐν Ῥώμῃ καὶ σεμνόν, ὡς αἱ περιέπουσαι παρθένοι καὶ φυλάττουσαι τὸ ἄφθιτον πῦρ; ἀλλ' εἴ τις ἂν ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται· τὸ γὰρ ἄσυλον οὐ φυλάττουσιν ἀσεβοῦσαι εἰς τοὺς θεούς, ὃ διὰ τοὺς θεοὺς ἔχουσιν. Οὔκουν οὐδὲ δήμαρχος ἀδικῶν δῆμον ἔχειν f τὴν διὰ τὸν δῆμον ἀσυλίαν δίκαιός ἐστιν· ᾗ γὰρ ἰσχύει δυνάμει, ταύτην ἀναιρεῖ. Καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν, τῶν πλείστων φυλῶν ψηφισαμένων, πῶς οὐχὶ κἂν ἀφαιρεθείη δικαιότερον, πασῶν ἀποψηφισα-832μένων; (5) Ἱερὸν δὲ καὶ ἄσυλον οὐδὲν οὕτως ἐστίν, ὡς a τὰ τῶν θεῶν ἀναθήματα· χρῆσθαι δὲ τούτοις καὶ κινεῖν καὶ μεταφέρειν, ὡς βούλεται, τὸν δῆμον οὐδεὶς κεκώλυκεν. Ἐξῆν οὖν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. Ὅτι δὲ οὐχ ἄσυλον οὐδὲ ἀναφαίρετον ἡ ἀρχή, δῆλόν ἐστι τῷ πολλάκις ἔχοντας ἀρχήν τινας ἐξόμνυσθαι καὶ παραιτεῖσθαι δι' αὐτῶν.

XVI. Τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τοῦ Τιβερίου δικαιολογίας. Ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς καὶ τὴν σύστασιν ᾤοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλοις νόμοις ἀνελάμβανε τὸ πλῆθος τούς τε χρόνους τῶν στρατειῶν ἀφαιρῶν b καὶ διδοὺς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαστῶν καὶ τοῖς κρίνουσι τότε, συγκλητικοῖς οὖσι, καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν καὶ πάντα τρόπον ἤδη τῆς βουλῆς τὴν ἰσχὺν κολούων πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον ἢ τὸν τοῦ δικαίου καὶ συμφέροντος λογισμόν. (2) Ἐπεὶ δὲ τῆς ψήφου φερομένης ᾔσθοντο τοὺς ἐναντίους κρατοῦντας (οὐ γὰρ παρῆν ἅπας ὁ δῆμος), πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συναρχόντων εἷλκον τὸν χρόνον· ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν εἰς τὴν ὑστεραίαν ἀπαντᾶν κελεύσαντες. Καὶ πρῶτον c μὲν εἰς τὴν ἀγορὰν καταβὰς ὁ Τιβέριος ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς καὶ δεδακρυμένος, ἔπειτα δεδοικέναι φήσας, μὴ νυκτὸς ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ καὶ διαφθείρωσιν αὐτόν, οὕτω τοὺς ἀνθρώπους διέθηκεν, ὥστε περὶ τὴν οἰκίαν αὐτοῦ παμπόλλους τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας.

XVII. Ἅμα δ' ἡμέρᾳ παρῆν ὁ τὰς ὄρνιθας, αἷς διαμαντεύονται, κομίζων καὶ προέβαλλε τροφὴν αὐταῖς. Αἱ δ' οὐ προῆλθον, εἰ μὴ μία μόνη, διασείσαντος εὖ μάλα τοῦ ἀνθρώπου τὸ ἀγγεῖον· οὐδὲ αὐτή γε τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπάρασα τὴν ἀριστερὰν πτέρυγα καὶ παρατείνασα τὸ σκέλος πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. d Τοῦτο καὶ τοῦ προτέρου σημείου τὸν Τιβέριον ἀνέμνησεν. Ἦν γὰρ αὐτῷ κράνος, ᾧ πρὸς τὰς μάχας ἐχρῆτο, κεκοσμημένον ἐκπρεπῶς καὶ διάσημον· εἰς τοῦτο καταδύντες ὄφεις ἔλαθον ἐντεκόντες ᾠά, καὶ ταῦτα ἐξεγλύ-

e posse eripere tribuniciam potestatem ei, qui ea contra hunc utatur, a quo acceperit, quum et tribunos plebis et consules populus creet. Porro regnum non modo omne imperium in se continere, sed etiam maximis deorum cultibus ac sacrificiis esse consecratum, et tamen Tarquinium ob injustitiam urbe ejectum esse, atque ob unius libidinem patrium magistratum urbis auctorem fuisse abrogatum. (4) Quid vero ita sanctum Romæ aut venerandum sit, atque Vestales virgines quæ sacro igni præsident custodes? Et nihilominus si qua delinquat, vivam eam defodi; nam immunitatem suam istas non servare, quam a diis habent, quum adversus eos peccent. Ergo ne id quidem æquum esse, ut tribunus plebis populo injuriam inferens, porro sacrosanctus, id quod a populo acceperat juris, habeatur: ipsum enim eam potentiam, ob quam inviolabilis erat, dissolvisse. Tum qui recte tribunatum adeptus dicatur, plerisque tribubus eum ipsi decernentibus, hunc haud dubie rectius jam amittere eundem, omnibus tribubus abrogantibus. (5) Nihil ita esse sacrosanctum, ut deorum donaria; neminem tamen prohibere quominus populus iis utatur, ea moveat, atque pro suo arbitrio transferat. Ergo licere eidem tribunatum quoque, ut rem deo consecratam, transferre. Atque eum magistratum non talem esse, ut adimi omnino non possit, vel hinc patere, quod eum multi ultro ejuraverint atque deprecati sint.

XVI. Hæc erant capita excusationis, qua Tib. Gracchus usus est. Porro quum amici adversæ factionis, minas et coitionem sentientes, existimarent opus ei fore alio in proximum annum plebis tribunatu, rursus aliis legibus animos sibi multitudinis devinxit, tempus militiæ remittens et provocationem a judicibus ad populum concedens et judicibus ipsis, qui erant de senatorio ordine, parem numerum Equitum admiscens, omninoque modis omnibus potentiam senatus imminuens, idque adeo magis ira et contentionis studio, quam justitiæ aut utilitatis alicujus rationibus adductus. (2) Quum jam suffragia ferrentur, sentiens adversam partem prævalere, quod non universus aderat populus, primum ipse et socii tempus calumniandis collegis traxerunt; deinde rejecta in crastinum re, concionem dimiserunt. Ac primum in forum degressus Gracchus demissus ploransque homines precabatur, deinde metuere se dicens, ne noctu sibi inimici fores effringerent, seque necarent, ita animos eorum commovit, ut ingens multitudo apud ædes ejus custodiæ causa pernoctaverit.

XVII. Prima luce adfuit pullarius et augurii captandi causa avibus escam projecit. Sed una tantum exiit, quamvis homo prope admodum vas concussisset; neque ea cibum attigit, sed lævam attollens alam et pedem extendens, rursum in vas confugit. Id prius oblati signi Tiberium admonuit. In galeam enim ipsius, qua in bello utebatur insigni pulchreque ornata, angues irrepserant, ovaque intus pepererant, et jam excluserant. Quo magis eum aves

ψαντο. Διὸ καὶ μᾶλλον ὁ Τιβέριος τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. (2) Προῄει δὲ ὅμως ἄνω τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπετώλιον πυνθανόμενος· καὶ πρὶν ἐξελθεῖν προσέπταισε πρὸς τὸν οὐδὸν, σφοδρᾶς οὕτω πληγῆς γενομένης, ὥστε τὸν μὲν ὄνυχα τοῦ μεγάλου δακτύλου ῥαγῆναι, τὸ δὲ αἷμα διὰ τοῦ ὑποδήματος ἔξω φέρεσθαι. Μικρὸν δὲ αὐτοῦ προελθόντος ὤφθησαν [e] ὑπὲρ κεράμου μαχόμενοι κόρακες ἐν ἀριστερᾷ· καὶ πολλῶν, ὡς εἰκὸς, ἀνθρώπων παρερχομένων κατ' αὐτὸν τὸν Τιβέριον λίθος ἀπωσθεὶς ὑπὸ θατέρου τῶν κοράκων ἔπεσε παρὰ τὸν πόδα. (3) Τοῦτο καὶ τοὺς θρασυτάτους τῶν περὶ αὐτὸν ἐπέστησεν· ἀλλὰ Βλόσσιος ὁ Κυμαῖος παρὼν αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος, Γράγχου μὲν υἱὸς, Ἀφρικανοῦ δὲ Σκηπίωνος θυγατριδοῦς, προστάτης δὲ τοῦ Ῥωμαίων δήμου, κόρακα δείσας οὐχ ὑπακούσειε τοῖς πολίταις καλοῦσι· τοῦτο μέντοι τὸ αἰσχρὸν οὐκ ἐν γέλωτι θήσεσθαι τοὺς ἐχθροὺς, ἀλλ' ὡς τυραννοῦντος καὶ τρυφῶντος ἤδη [f] καταβοήσεσθαι πρὸς τὸν δῆμον. (4) Ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ παρὰ τῶν ἐν Καπετωλίῳ φίλων ἐπείγεσθαι κελεύοντες, ὡς τῶν ἐκεῖ καλῶς ἐχόντων. Καὶ τά γε πρῶτα λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ, φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον, ἀναβαίνοντα δὲ προθύμως δεχομένων καὶ περὶ αὐτὸν, ὡς μηδεὶς πελάσειεν ἀγνὼς, ταττομένων.

XVIII. Ἀρξαμένου δὲ πάλιν τοῦ Μουκίου τὰς φυλὰς
833 ἀναγορεύειν, οὐδὲν ἐπεραίνετο τῶν εἰωθότων διὰ τὸν [a] ἀπὸ τῶν ἐσχάτων θόρυβον ὠθουμένων καὶ ὠθούντων τοὺς ἐναντίους εἰσβιαζομένους καὶ ἀναμιγνυμένους. (2) Ἐν δὲ τούτῳ Φλάβιος Φλάκκος ἀπὸ βουλῆς ἀνὴρ εἰς ἐμφανὲς καταστὰς, ὡς οὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμηνε τῇ χειρὶ φράσαι τι βουλόμενον αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. Καὶ κελεύσαντος ἐκείνου διασχεῖν τὸ πλῆθος, ἀναβὰς μόλις καὶ προσελθὼν ἀπήγγειλεν, ὅτι τῆς βουλῆς συγκαθεζομένης οἱ πλούσιοι τὸν ὕπατον μὴ πείθοντες αὐτοὶ διανοοῦνται καθ' αὑτοὺς ἀποκτιννύναι τὸν Τιβέριον, πολλοὺς ἐπὶ τοῦτο δούλους καὶ φίλους [b] ὡπλισμένους ἔχοντες.

XIX. Ὡς οὖν ταῦτα τοῖς περὶ αὐτὸν ἐξήγγειλεν ὁ Τιβέριος, οὗτοι μὲν εὐθὺς τάς τε τηβέννους περιεζώννυντο καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες, οἷς ἀνείργουσι τὸν ὄχλον, διελάμβανον ὡς ἀμυνούμενοι τοῖς κλάσμασι τοὺς ἐπερχομένους. Τῶν δὲ ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα καὶ πυνθανομένων, ὁ Τιβέριος ἥψατο τῇ χειρὶ τῆς κεφαλῆς ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς οὐκ ἐπήκουον. Οἱ δὲ ἐναντίοι τοῦτο ἰδόντες ἔθεον πρὸς τὴν βουλὴν ἀπαγγέλλοντες αἰτεῖν διάδημα τὸν Τιβέριον καὶ τούτου σημεῖον εἶναι τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. (2) Πάντες μὲν οὖν [c] ἐθορυβήθησαν· ὁ δὲ Νασικᾶς ἠξίου τὸν ὕπατον τῇ πόλει βοηθεῖν καὶ καταλύειν τὸν τύραννον. Ἀποκριναμένου δὲ πρᾴως ἐκείνου βίας μὲν οὐδεμιᾶς ὑπάρξειν οὐδὲ ἀναιρήσειν οὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέντοι ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τοῦ Τιβερίου

tum terrebant. (2) Ascendit tamen in Capitolium, audito populum ibi convenisse. Antequam exiret domo, ita pedem ad limen offendit, ut maximi digiti unguis rumperetur, et sanguis infra per calceum efflueret. Paululum progresso eo, ad lævam supra tectum pugnantes corvi conspecti sunt, et quum multi homines, quod facile intelligi potest, præter ipsum Gracchum ambularent, lapis ab altero corvorum dejectus ad pedem ejus accidit. (3) Id etiam audacissimos eorum quos secum habebat, repressit ostentum. Sed Blossius Cumanus præsens magnum esse dedecus aiebat magnamque animi imbecillitatem, si Tiberii Gracchi filius, filiaque natus Africani Scipionis, ac populi Romani princeps a corvo territus civibus vocantibus non obtemperaret : atque eam quidem turpitudinem inimicos non risui habituros, sed eum jam nunc apud populum magnis clamoribus criminaturos, ut tyrannum et cives ludibrio ducentem. (4) Simul et accurrebant multi amicorum, qui apud Capitolium convenerant, properare eum jubentes, et res ibi bono esse loco narrantes. Ac primum quidem præclare succedere visa res est, quum et veniens amica exciperetur acclamatione, et alacriter se ei homines circumfunderent, ne quis ignotus accederet.

XVIII. Quum rursus tribus citare Mucius inciperet, nihil eorum quæ hactenus fieri consueverant efficere potuit propter tumultum, qui ab extremis ortus erat, adversarios vi se intrudentes expellentibus. (2) Interim Flavius Flaccus senator in loco conspicuo consistens, quum exaudiri se non posse sentiret, manu innuit velle se privatim quiddam Graccho dicere, quumque is jussisset turbam ei locum ad se veniendi dare, vix per eam ad Gracchum aggressus, renuntiavit divites, quum in senatu consuli non persuasissent, ipsos statuisse Tiberium interficere et ad hæc multos habere servos amicosque armatos.

XIX. Hæc quum Gracchus suis retulisset; qui propius astabant illico togis succinctis hastilia lictorum, quibus turbam arcere solebant, confregerunt, frustaque arripuerunt, ut iis vim propulsarent. Iis vero qui longius aberant, mirantibus et quidnam rei ageretur quærentibus, Gracchus, quia vox exaudiri non poterat, gestu periculum in quo versaretur, indicaturus, manu caput suum tetigit. Hoc videntes adversarii ad senatum accurrerunt, poscere diadema Gracchum; idque eum manu capiti admota significasse nuntiantes. (2) Omnibus tumultuantibus, Nasica consulem rogavit, uti reipublicæ succurreret, ac tyrannum tolleret. Ac quum is placide respondisset : se vi agendi auctorem non fore, neque ullum civem indicta causa necaturum, si tamen populus injustum aliquid

πεισθεὶς ἢ βιασθεὶς, τοῦτο κύριον μὴ φυλάξειν, ἀνα-
πηδήσας ὁ Νασικᾶς, « Ἐπεὶ τοίνυν, ἔφη, προδίδωσιν
ὁ ἄρχων τὴν πόλιν, οἱ βουλόμενοι τοῖς νόμοις βοηθεῖν
ἀκολουθεῖτε. » Καὶ ταῦτα λέγων ἅμα καὶ τὸ κράσπεδον
τοῦ ἱματίου θέμενος ἐπὶ τῆς κεφαλῆς ἐχώρει πρὸς τὸ
Καπετώλιον. Ἕκαστος δὲ τῶν ἑπομένων αὐτῷ τῇ d
χειρὶ τὴν τήβεννον περιελίξας ἐώθει τοὺς ἐμποδὼν, οὐ-
δενὸς ἐνισταμένου πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἀλλὰ
φευγόντων καὶ πατούντων ἀλλήλους. Οἱ μὲν οὖν περὶ
αὐτοὺς ῥόπαλα καὶ σκυτάλας ἐκόμιζον οἴκοθεν· αὐτοὶ
δὲ τῶν δίφρων καταγνυμένων ὑπὸ τοῦ φεύγοντος ὄχλου
τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες ἀνέβαινον
ἐπὶ τὸν Τιβέριον, ἅμα παίοντες τοὺς προτεταγμένους.
(3) Καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος· αὐτοῦ δὲ
τοῦ Τιβερίου φεύγοντος ἀντελάβετό τις τῶν ἱματίων.
Ὁ δὲ τὴν τήβεννον ἀφεὶς καὶ φεύγων ἐν τοῖς χιτῶσιν
ἐσφάλη καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πε-
πτωκότας. Ἀνιστάμενον δὲ αὐτὸν ὁ μὲν ἐμφανῶς καὶ e
πρῶτος εἰς τὴν κεφαλὴν πατάξας ποδὶ δίφρου Πόπλιος
ἦν Σατυρήιος, εἷς τῶν συναρχόντων· τῆς δὲ δευτέρας
ἀντεποιεῖτο πληγῆς Λεύκιος Ῥοῦφος ὡς ἐπὶ καλῷ τινι
σεμνυνόμενος. Τῶν δὲ ἄλλων ἀπέθανον ὑπὲρ τρια-
κοσίους ξύλοις καὶ λίθοις συγκοπέντες, σιδήρῳ δὲ
οὐδείς.

XX. Ταύτην πρώτην ἱστοροῦσιν ἐν Ῥώμῃ στάσιν,
ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ
πολιτῶν διακριθῆναι· τὰς δὲ ἄλλας οὔτε μικρὰς οὔτε
περὶ μικρῶν γενομένας ἀνθυπείκοντες ἀλλήλοις, φόβῳ
μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν
ὁ δῆμος, ἔπαυον. (2) Ἐδόκει δὲ καὶ τότε μὴ χαλεπῶς f
ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ Τιβέριος, ἔτι δὲ ῥᾷον εἶξαι
δίχα φόνου καὶ τραυμάτων ἐπιοῦσιν· οὐ γὰρ πλείονες ἢ
τρισχίλιοι περὶ αὐτὸν ἦσαν. Ἀλλ' ἔοικεν ὀργῇ τῶν
πλουσίων καὶ μίσει πλέον ἢ δι' ἃς ἐσκήπτοντο προφά-
σεις ἡ σύστασις ἐπ' αὐτὸν γενέσθαι· καὶ τούτου μέγα
τεκμήριον ὠμῶς καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός.
834 Οὐ γὰρ ἐπέτρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεο- a
μένῳ καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν
εἰς τὸν ποταμὸν ἔρριψαν. (3) Καὶ τοῦτο πέρας οὐκ
ἦν, ἀλλὰ καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἐξεκήρυττον
ἀκρίτους, τοὺς δὲ συλλαμβάνοντες ἀπεκτίννυσαν· ἐν οἷς
καὶ Διοφάνης ὁ ῥήτωρ ἀπώλετο. Γάϊον δέ τινα Βίλλιον
εἰς ἀγγεῖον καθείρξαντες καὶ συνεμβαλόντες ἐχίδνας καὶ
δράκοντας οὕτω διέφθειραν. (4) Ὁ δὲ Κυμαῖος Βλόσ-
σιος ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους, ἐρωτώμενος δὲ περὶ
τῶν γεγονότων ὡμολόγει πεποιηκέναι πάντα Τιβερίου
κελεύοντος. Εἰπόντος δὲ τοῦ Νασικᾶ πρὸς αὐτὸν, « Τί
οὖν, εἴ σε Τιβέριος ἐκέλευσεν ἐμπρῆσαι τὸ Καπετώ- b
λιον; » τὸ μὲν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τι-
βερίου κελεύσαντος· πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ
πυνθανομένων, « Ἀλλ' ἐκείνου γε προστάσσοντος, ἔφη,
κἀμοὶ τοῦτο πρᾶξαι καλῶς εἶχεν· οὐ γὰρ ἂν Τιβέριος
τοῦτο προσέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν. » Οὗτος
μὲν οὖν διαφυγὼν ὕστερον ᾤχετο πρὸς Ἀριστόνικον εἰς

Graccho vel persuadente vel cogente sciverit, se id ratum non habiturum; prosiliens Nasica, Quando, inquit, rempublicam prodit consul, qui leges salvas volunt, me sequantur. Hæc fatus, fimbria togæ capiti imposita ad Capitolium contendit. Sequebantur reliqui, circumvolutis brachio togis, et per obvios ruebant. Dignitas autem virorum efficiebat ut nemo iis resisteret, sed fugerent omnes, seque mutuo calcarent. Comites senatorum clavas secum et scuticas domo attulerant: ipsi senatores fragmenta et pedes subselliorum a fugiente turba fractorum arripientes in Gracchum ibant, obvios et stantes ab eo ferientes. (3) Quidam in fugam convertuntur et trucidantur, ipsius quoque Gracchi fugientis togam quidam apprehendit; qua ille dimissa quum tunicatus fugeret, pede lapsus inter cadavera eorum qui ante ipsum ceciderant corruit. Qui haud dubie primus subsellii pede caput assurgentis feriit, is P. fuit Satureius, unus collegarum; alterum ictum se ei ingessisse L. Rufus affirmavit, tanquam præclaro facinore se jactans. Reliquorum ultra trecentos lignis et lapidibus, nullus ferro, cæsi sunt.

XX. Hanc primum post ejectos reges seditionem sanguine et cæde civium tinctam esse narrant; reliquæ, neque parvæ eæ neque de rebus levibus ortæ, senatu plebi ob metum vicissimque reverentia dignitatis populo senatui concedente, pacatæ sunt. (2) Videbatur autem tum quoque Gracchus oratus uti a proposito discederet, haud gravate obsecundaturus fuisse, multoque magis cessurus, si non vi et cæde petitus fuisset; nam haud plures tribus millibus homines a sua parte stantes habebat. Sed ira magis divitum odioque, quam ob eas quas prætexebant causas, hanc adversus Gracchum coitionem effectam apparet; cui rei validissimo argumento est crudelitas injuriarum cadaveri ejus illatarum. Fratri enim oranti non concesserunt ut id sublatum noctu sepeliret, sed cum reliquis in Tiberim projecerunt. (3) Neque hic finis fuit; verum etiam amicos ejus partim indemnatos solum vertere jusserunt, partim deprehensos occiderunt, inter quos etiam Diophanes rhetor periit. C. vero Villium quendam in vas quoddam cum anguibus et viperis inclusum necaverunt. (4) At Blossius Cumanus ad consules adductus, ab iisque de rebus, ut gestæ essent, examinatus, confessus est se omnia quæ jussisset Gracchus fecisse, ac quærente Nasica, quid facturus fuisset, si ab eo mandatum ipsi fuisset ut Capitolium incenderet, initio Gracchum id jussurum fuisse pernegavit; a multis autem et sæpius de eodem rogatus, Nimirum, inquit, eo jubente, mihi quoque id exsequi honori duxissem; non enim erat mandaturus, nisi ita e re populi foret. Atque is quidem Blossius tunc evasit, ac

Ἀσίαν καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων ἑαυτὸν ἀνεῖλεν.

XXI. Ἡ δὲ βουλὴ θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας ἠναντιοῦτο καὶ ἀντὶ τοῦ Τιβερίου προὔθηκε τοῖς πολλοῖς c
ὁριστὴν ἑλέσθαι. Λαβόντες δὲ τὰς ψήφους εἵλοντο Πόπλιον Κράσσον, οἰκεῖον ὄντα Γράγχῳ· θυγάτηρ γὰρ αὐτοῦ Λικιννία Γαΐῳ Γράγχῳ συνῴκει. Καίτοι Νέπως ὁ Κορνήλιός φησιν οὐ Κράσσου, Βρούτου δὲ τοῦ θριαμβεύσαντος ἀπὸ Λυσιτανῶν θυγατέρα γῆμαι Γαΐον· ἀλλὰ οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσιν. (2) Ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ Τιβερίου καὶ φανερὸς ἦν ἀμύνης περιμένων καιρὸν, ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προσανεσείοντο, δείσασα περὶ τοῦ ἀνδρὸς ἡ βουλὴ ψηφίζεται μηδὲν δεομένη πέμπειν αὐτὸν εἰς Ἀσίαν. Οὐ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ' ἐξηγριαίνοντο d
καὶ κατεβόων, ὅπου προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ τὸ ἁγιώτατον καὶ φρικωδέστατον ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλοῦντες. Οὕτω μὲν ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος ταῖς μεγίσταις ἱερουργίαις· ἦν γὰρ ὁ μέγιστος καὶ πρῶτος τῶν ἱερέων. Ἔξω δὲ ἀλύων καὶ πλανώμενος ἀδόξως οὐ μετὰ πολὺν χρόνον κατέστρεψε περὶ Πέργαμον. (3) Οὐ δεῖ δὲ θαυμάζειν, εἰ Νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος, ὅπου καὶ Σκηπίων ὁ Ἀφρικανὸς, οὗ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν e
καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν,

Ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅ τις τοιαῦτά γε ῥέζοι·

ἔπειτα τῶν περὶ Γαΐον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων, τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. Ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι μηδέπω τουτὶ ποιήσας πρότερον, αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. Περὶ μὲν τούτων ἐν τῷ Σκηπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

post ad Aristonicum in Asiam abiit, rebusque ejus perditis se ipsum interfecit.

XXI. Senatus autem, ut animos populi in tali tempore placaret, ne agrorum quidem divisionem porro negavit, concessitque ut in Tib. Gracchi locum alius, qui præesset ei negotio, deligeretur. Populi suffragiis P. Crassus Gracchi propinquus est constitutus; nam filiam Liciniam ejus C. Gracchus in matrimonio habebat. Cornelius quidem Nepos non Crassi, sed Bruti, ejus qui de Lusitanis triumphavit, filiam C. Gracchi uxorem fuisse scribit; verum nos plures nostræ sententiæ auctores habemus. (2) Quum autem populus Tib. Gracchi mortem inique ferret, neque dissimularet se ejus ulciscendæ occasionem præstolari, quumque jam accusationes Nasicæ minarentur; senatus ei viro metuens, nulla requirente necessitate, legationem ei in Asiam decernit. Odium enim ejus haud occultum gerebant, sed ubicumque occurrisset, iracundia incensi, hominem sceleratissimum et tyrannum qui sanctissimum, cujusque religio maxime terrori esse deberet, templum cæde hominis sacrosancti contaminasset, cum clamore vocabant. Itaque Nasica, tametsi maximis obstrictus sacrificiis (erat enim pontifex maximus), ex Italia abiit, forisque vagans et sine honore oberrans, haud multo post apud Pergamum obiit. (3) Neque mirari quisquam odia hominum in Nasicam debet, quando Scipio etiam Africanus, quo neminem neque justiore neque majore amore prosecutus est populus, paullum abfuit quin gratia ejus excideret. Causa fuit quum quod apud Numantiam audito Tib. Gracchi interitu versum Homericum pronuntiavit,

Sic pereat quisquis patrabit talia facta;

tum quod in concione a C. Graccho et Fulvio interrogatus, quid de morte Tiberii sentiret, ita respondit, ut improbare se ejus actiones ostenderet. Itaque populus, quod nunquam ante fecerat, dicenti obstrepuit, et ipse ut convicium populo faceret, commotus fuit. Qua de re est a nobis in Vita Scipionis singulatim scriptum.

Γ. ΓΡΑΓΧΟΣ.

Γάϊος δὲ Γράγχος ἐν ἀρχῇ μὲν ἢ δεδιὼς τοὺς ἐχθροὺς ἢ φθόνον συνάγων ἐπ᾽ αὐτοὺς ὑπεξέστη τε τῆς ἀγορᾶς καὶ καθ᾽ ἑαυτὸν ἡσυχίαν ἔχων διέτριβεν, ὡς ἄν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων καὶ τὸ λοιπὸν οὕτως 835 ἀπραγμόνως βιωσόμενος, ὥστε καὶ λόγον τισὶ καθ᾽ a αὐτοῦ παρασχεῖν ὡς δυσχεραίνοντος καὶ προβεβλημένου τὴν τοῦ Τιβερίου πολιτείαν. Ἦν δὲ καὶ μειράκιον παντάπασιν· ἐννέα γὰρ ἐνιαυτοῖς ἐλείπετο τἀδελφοῦ καθ᾽ ἡλικίαν, ἐκεῖνος δὲ οὔπω τριάκοντα γεγονὼς ἀπέθανεν. (2) Ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου τόν τε τρόπον ἡσυχῇ διέφαινεν ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν ἀλλότριον ὄντα καὶ τὸν λόγον ὥσπερ ὠκύπτερα κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν δῆλος ἦν οὐκ ἠρεμήσων, δίκην τε τινὶ τῶν φίλων φεύγοντι Βεττίῳ συνειπὼν, τοῦ δήμου συνενθουσιῶντος ὑφ᾽ ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τοὺς ἄλλους b ῥήτορας παίδων μηδὲν διαφέροντας, εἰς φόβον αὖθις οἱ δυνατοὶ καθίσταντο καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος, ὡς οὐκ ἐάσουσιν ἐπὶ δημαρχίαν τὸν Γάϊον προελθεῖν. (3) Συντυγχάνει δὲ ἀπὸ ταὐτομάτου λαχεῖν αὐτὸν εἰς Σαρδὼ ταμίαν Ὀρέστῃ τῷ ὑπάτῳ· καὶ τοῦτο τοῖς μὲν ἐχθροῖς καθ᾽ ἡδονὴν ἐγεγόνει, τὸν δὲ Γάϊον οὐκ ἐλύπησεν. Ἅτε γὰρ ὢν πολεμικὸς καὶ χεῖρον οὐδὲν πρὸς στρατείας ἠσκημένος ἢ δίκας, ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων, ἀντέχειν δὲ καλοῦντι τῷ δήμῳ καὶ τοῖς φίλοις οὐ δυνάμενος παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησε. (4) Καίτοι κρατεῖ δόξα πολλὴ τοῦτον ἄκρατον c γενέσθαι δημαγωγὸν καὶ πολὺ τοῦ Τιβερίου λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. Οὐκ ἔχει δὲ οὕτω τὸ ἀληθές· ἀλλ᾽ ἔοικεν ὑπ᾽ ἀνάγκης τινὸς μᾶλλον οὗτος ἢ προαιρέσεως ἐμπεσεῖν εἰς τὴν πολιτείαν. Ἱστορεῖ δὲ καὶ Κικέρων ὁ ῥήτωρ, ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ Γαΐῳ καὶ μεθ᾽ ἡσυχίας ᾑρημένῳ ζῆν ὁ ἀδελφὸς ὄναρ φανεὶς καὶ προσαγορεύσας, « Τί δῆτα, φαίη, Γάϊε, βραδύνεις; Οὐκ ἔστιν ἀπόδρασις, ἀλλ᾽ εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος ὑπὲρ τοῦ δήμου πολιτευομένοις πέπρωται. »

II. Γενόμενος οὖν ὁ Γάϊος ἐν Σαρδόνι πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδου καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν d τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσι καὶ ἐν τοῖς πρὸς τοὺς ὑπηκόους δικαίοις καὶ ἐν τῇ πρὸς τὸν στρατηγὸν εὐνοίᾳ καὶ τιμῇ, σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ παρήλλαττε καὶ τοὺς πρεσβυτέρους. (2) Ἰσχυροῦ δὲ καὶ νοσώδους ἅμα χειμῶνος ἐν Σαρδόνι γενομένου καὶ τοῦ στρατηγοῦ τὰς πόλεις ἐσθῆτα τοῖς στρατιώταις αἰτοῦντος, ἔπεμψαν εἰς Ῥώμην παραιτούμενοι. Δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν καὶ τὸν στρατηγὸν ἄλλοθεν ἀμφιάζειν τοὺς στρατιώτας κελευούσης, ἀποροῦντος δὲ ἐκείνου καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ Γάϊος αὐτοὺς ἀφ᾽ e

C. GRACCHUS.

C. vero Gracchus post mortem fratris seu inimicorum metu, seu invidiæ illis conflandæ gratia, a foro se abstinens in otio vixit, ita ut in præsentia abjectæ conditionis homo, et in posterum negotiis omissis victurus videretur; itaque et sermonibus materiam præbuit, improbare eum et projecisse fratris instituta dicentium. Erat autem adhuc juvenis admodum, fratre annis novem minor, qui nondum triginta natus annos periit. (2) Ut vero progressu temporis et vitam suam ostendit ab otio, mollitie, vinolentia atque pecuniæ studio alienam, et eloquentiam sibi veluti alas quibus in republica uteretur parans, visus est nequaquam in otio victurus, et rei cujusdam amici Vettii causam agens, populo præ incredibili lætitia gestiente ac veluti bacchante, pueris nihil præstare alios oratores demonstravit; rursum potentioribus metus incidit, multisque inter se agebant, quomodo impedirent hominem, ne tribunus plebis crearetur. (3) Forte fortuna evenit ut quæstor Orestæ consuli in Sardiniam forte mitteretur C. Gracchus, quod et inimicis ejus gratissimum, neque ipsi molestum fuit. Bellicosus enim natura et non deterius ad militiam, quam ad agendas causas eruditus, rempublicamque et rostra adhuc formidans, populo tamen et amicis vocantibus eo resistere non valens, lubentissime eam peregrinationem amplectebatur. (4) Fama tenet, crebra quidem, sed falsa, addictissimum eum populi causæ fuisse multoque majore ad captandam auram popularem incubuisse studio, quam Tiberium fratrem: sed res non ita se habet. Imo apparet necessitate magis compulsum, quam sua voluntate ad rempublicam se contulisse. Narrat Cicero orator, fugienti omnem magistratum, vitamque otiosam degere expetenti, Tiberium fratrem in somnis visum, itaque compellasse: Quid cunctaris, Cai? effugere non datur: eadem nobis ambobus vita, eadem mors populi partes in republica tuentibus fato destinata est.

II. In Sardinia porro nullum non virtutis specimen edens, quum alacritatis in certaminibus adversus hostes, tum justitiæ erga subditos ergaque ducem studii et observantiæ laude longo post se omnes juvenes reliquit intervallo, temperantia autem, frugalitate laborumque tolerantia etiam majores natu su[illegible]vit. (2) Quum vehemens et pestifera hiems in Sardinia esset, consulque vestimenta militibus ab civitatibus postularet, eæ vero Romam missis legatis id deprecatæ essent, ac senatus precibus earum probatis consuli mandasset ut aliunde vestes militibus procuraret; consule ut eam rem explicaret non inveniente, militibus autem gravi incommodo laborantibus, profectus ad civitates Græ-

ἑαυτῶν ἐποίησε ἐσθῆτα πέμψαι καὶ βοηθῆσαι τοῖς Ῥωμαίοις. (3) Ταῦτα πάλιν εἰς Ῥώμην ἀπαγγελλόμενα καὶ δοκοῦντα δημαγωγίας προάγωνες εἶναι διετάραττε τὴν βουλήν. Καὶ πρῶτον μὲν ἐκ Λιβύης παρὰ Μικιψᾶ τοῦ βασιλέως πρέσβεις παραγενομένους καὶ λέγοντας, ὡς ὁ βασιλεὺς χάριτι Γαΐου Γράγχου πέμψειεν εἰς Σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες ἐξέβαλον· ἔπειτα δόγμα ποιοῦνται, τοῖς μὲν στρατιώταις διαδοχὴν ἀποσταλῆναι, τὸν δὲ Ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ Γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. (4) Ὁ δὲ, τούτων f αὐτῷ προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς ὀργὴν καὶ φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἀλλόκοτον ἐδόκει τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος. (5) Οὐ μὴν ἀλλὰ κατηγορίας αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λόγον οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων, ὡς ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. Ἐστρατεῦσθαι μὲν γὰρ ἔφη δώδεκα ἔτη, τῶν ἄλλων 836 δέκα στρατευομένων ἐξ ἀνάγκης, ταμιεύων δὲ τῷ a στρατηγῷ παραμεμενηκέναι τριετίαν, τοῦ νόμου μετ' ἐνιαυτὸν ἐπανελθεῖν διδόντος· μόνος δὲ τῶν στρατευσαμένων πλήρες τὸ βαλάντιον εἰσενηνοχὼς κενὸν ἐξενηνοχέναι, τοὺς δὲ ἄλλους ἐκπιόντας ὃν εἰσήνεγκαν οἶνον ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦρο τοὺς ἀμφορεῖς ἥκειν κομίζοντας.

III. Ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ δίκας ἐπῆγον ὡς τοὺς συμμάχους ἀφιστάντι καὶ κεκοινωνηκότι τῆς περὶ Φρέγελλαν ἐνδειχθείσης συνωμοσίας. Ὁ δὲ πᾶσαν ὑποψίαν ἀπολυσάμενος καὶ φανεὶς καθαρὸς εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε, τῶν μὲν γνωρίμων ἀνδρῶν ὁμαλῶς ἁπάντων ἐναντιουμένων πρὸς αὐτὸν, ὄχλου δὲ τοσούτου συῤῥέοντος εἰς τὴν πόλιν ἐκ τῆς Ἰταλίας καὶ συναρχαιρεσιάζοντος, ὡς πολλοῖς μὲν b οἰκήσεις ἐπιλιπεῖν, τοῦ δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος ἀπὸ τῶν τεγῶν καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν. (2) Τοσοῦτον δ' οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ καὶ τῆς ἐλπίδος τοῦ Γαΐου καθεῖλον, ὅσον οὐχ, ὡς προσεδόκησε, πρῶτον, ἀλλὰ τέταρτον ἀναγορευθῆναι. Παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς ἦν ἁπάντων πρῶτος, ἰσχύων τε τῷ λέγειν, ὡς ἄλλος οὐδεὶς, καὶ τοῦ πάθους αὐτῷ παῤῥησίαν πολλὴν διδόντος ἀνακλαιομένῳ τὸν ἀδελφόν. (3) Ἐνταῦθα γὰρ ἐξ ἁπάσης προφάσεως περιῆγε τὸν δῆμον ἀναμιμνήσκων τῶν γεγονότων καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ Φα- c λίσκοις ἐπολέμησαν ὑπὲρ Γενυκίου τινὸς δημάρχου λοιδορηθέντος καὶ Γαΐου Βετουρίου θάνατον κατέγνωσαν, ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς οὐχ ὑπεξέστη μόνος· « Ὑμῶν δὲ δρώντων, ἔφη, Τιβέριον ξύλοις συνέκοπτον οὗτοι καὶ διὰ μέσης τῆς πόλεως ἐσύρετο νεκρὸς ἐκ Καπετωλίου ῥιφησόμενος εἰς τὸν ποταμόν· οἱ δὲ ἁλισκόμενοι τῶν φίλων ἀπέθνησκον ἄκριτοι. Καίτοι πάτριόν ἐστιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακούει, τούτου πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν ἀνακαλεῖσθαι τῇ σάλπιγγι καὶ μὴ πρότερον

chus effecit ut ultro mitterent vestimenta, Romanorumque necessitati subvenirent. (3) Hæc Romam renuntiata quum exordium captandæ popularis gratiæ viderentur, senatorum animos perturbarunt. Itaque primum legatos a Micipsa rege Romam venientes et referentes, regem in C. Gracchi gratiam frumentum consuli in Sardiniam misisse, indignati ejecerunt. Deinde S. C. fecerunt, ut militibus in Sardiniam successores mitterentur, Orestes autem ibi maneret, Gracchum quoque ibi ratione officii mansurum putantes. (4) Verum hic istis forte cognitis statim iratus ex insula navigavit, Romamque præter opinionem omnium reversus, non inimicorum modo criminationes est expertus, sed vulgo quoque novo exemplo fecisse judicatus, qui quæstor ante suum proconsulem ex provincia decessisset. (5) Verumtamen accusatus ideo apud censores, impetrata dicendi potestate, ita animos auditorum circumegit, ut maximis affectus injuriis creditus discesserit. Militasse annos se duodecim ostendit, quum necessitate postulante alii decem modo militarent; quæstorem se Orestæ per triennium adfuisse, quum anno exacto redire legibus sit permissum, solum se eorum qui in militiam profecti essent zonam pecuniæ plenam domo extulisse, inanem retulisse, quum reliqui epoto quod advexissent vino, argento et auro repletas domum reportent amphoras.

III. Alia deinde crimina ei objecta, in judiciumque vocatus est, quasi ad defectionem socios pertraxisset et Fregellanæ conjurationis particeps fuisset. Qua ille suspicione penitus diluta quum se innocentem demonstrasset, statim tribunatum plebis petiit. Omnes nobiles atque illustres viri petitioni ejus repugnarunt, sed multitudo hominum comitia ejus obeuntium tanta confluxit Romam ex Italia, ut multis domus non suppeditarent, Campoque tantam multitudinem non capiente, a tectis et fastigiis ædificiorum voces resonarent suffragantium. (2) Id modo obtinuerunt contra populum optimates et spem Gracchi in eam partem destituerunt, ut is non primus, quod fore putarat, sed quartus designaretur. Ut primum iniit magistratum, statim principem locum obtinuit, quum et eloquentia parem haberet neminem, et calamitas libertatem ei dicendi pararet fratremque deplorandi. (3) Huc enim quacunque arrepta occasione populum deducebat, memoriam ejus facti renovans et exempla superiorum temporum cum eo comparans. Majores, aiebat, nostri Faliscis bellum intulerunt ob factum ab iis Genucio cuidam tribuno plebis convicium, et Caium Veturium morte damnaverunt, quod solus tribuno plebis per forum ambulanti non assurrexisset. Vobis inspectantibus Tiberius frater meus baculis occisus est, cadaverque ejus a Capitolio per mediam urbem tractum et in Tiberim conjectum; amici quoque ejus qui capi potuerunt, indicta causa necati. Atqui hunc a majoribus morem accepimus, ut qui capitalis rei postulatus in judicio non compareret, de eo non ante sententiam judices ferrent,

ἐπιφέρειν ψῆφον αὐτῷ τοὺς δικαστάς. Οὕτως εὐλαβεῖς d καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν. »

IV. Τοιούτοις λόγοις προανασείσας τὸν δῆμον (ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν) δύο νόμους εἰσέφερε, τὸν μὲν, εἴ τινος ἄρχοντος ἀφῄρητο τὴν ἀρχὴν ὁ δῆμος, οὐκ ἐῶντα τούτῳ δευτέρας ἀρχῆς μετουσίαν εἶναι· τὸν δὲ, εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατ' αὐτοῦ διδόντα κρίσιν τῷ δήμῳ. Τούτων τῶν νόμων ἄντικρυς ὁ μὲν Μάρκον Ὀκτάβιον ἠτίμου τὸν ὑπὸ Τιβερίου τῆς δημαρχίας ἐκπεσόντα, τῷ δ' ἐνείχετο Ποπίλλιος· οὗτος γὰρ στρατηγῶν τοὺς τοῦ Τιβερίου φίλους ἐξεκήρυξε. Καὶ Ποπίλ- e λιος μὲν οὐχ ὑποστὰς τὴν κρίσιν ἔφυγεν ἐξ Ἰταλίας· τὸν δὲ ἕτερον νόμον Γάϊος αὐτὸς ἐπανείλετο φήσας τῇ μητρὶ Κορνηλίᾳ δεηθείσῃ χαρίζεσθαι τὸν Ὀκτάβιον. Καὶ ὁ δῆμος ἠγάσθη καὶ συνεχώρησε τιμῶν τὴν Κορνηλίαν οὐδὲν ἧττον ἀπὸ τῶν παίδων ἢ τοῦ πατρὸς, ἧς γε καὶ χαλκῆν εἰκόνα στήσας ὕστερον ἐπέγραψε Κορνηλίαν μητέρα Γράγχων. (2) Ἀπομνημονεύεται δὲ καὶ τοῦ Γαΐου πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν. « Σὺ γὰρ, ἔφη, Κορνηλίαν λοιδορεῖς τὴν Τιβέριον τεκοῦσαν; » Ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθεὶς, f « Τίνα δὲ, εἶπεν, ἔχων παῤῥησίαν συγκρίνεις Κορνηλίᾳ σεαυτόν; Ἔτεκες γὰρ, ὡς ἐκείνη; Καὶ μὴν πάντες ἴσασι Ῥωμαῖοι πλείω χρόνον ἐκείνην ἀπ' ἀνδρὸς οὖσαν ἢ σὲ τὸν ἄνδρα. » Τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτοῦ, καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἐστὶν ὅμοια.

837 V. Τῶν δὲ νόμων, οὓς εἰσέφερε τῷ δήμῳ χαριζόμε- a νος καὶ καταλύων τὴν σύγκλητον, ὁ μὲν ἦν κληρουχικὸς ἅμα νέμων τοῖς πένησι τὴν δημοσίαν, ὁ δὲ στρατιωτικὸς ἐσθῆτά τε κελεύων δημοσίᾳ χορηγεῖσθαι καὶ μηδὲν εἰς τοῦτο τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν στρατευομένων καὶ νεώτερον ἐτῶν ἑπτακαίδεκα μὴ καταλέγεσθαι στρατιώτην· ὁ δὲ συμμαχικὸς ἰσοψήφους ποιῶν τοῖς πολίταις τοὺς Ἰταλιώτας, ὁ δὲ σιτικὸς ἐπευωνίζων τοῖς πένησι τὴν ἀγορὰν, ὁ δὲ δικαστικὸς, ᾧ τὸ πλεῖστον ἀπέκοψε τῆς τῶν συγκλητικῶν δυνάμεως. (2) Μόνοι γὰρ ἔκρινον τὰς δίκας καὶ διὰ τοῦτο φοβεροὶ τῷ τε b δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν, ὁ δὲ τριακοσίους τῶν ἱππέων προσκατέλεξεν αὐτοῖς οὖσι τριακοσίοις καὶ τὰς κρίσεις κοινὰς τῶν ἑξακοσίων ἐποίησε. (2) Τοῦτον τὸν νόμον εἰσφέρων τά τε ἄλλα λέγεται σπουδάσαι διαφερόντως, καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτος τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορῆσαι, καὶ τὸ λοιπὸν οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας εἰς τὴν δημοκρατίαν, ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας. c

VI. Ἐπεὶ δ' οὐ μόνον ἐδέξατο τὸν νόμον τοῦτον ὁ δῆμος, ἀλλὰ κἀκείνῳ τοὺς κρίνοντας ἐκ τῶν ἱππέων

quam mane ad fores ejus tubicen accessisset, eumque tuba evocasset. Adeo cauti isti in judicando accuratique erant.

IV. His ille sermonibus (maxima autem voce optimisque lateribus in dicendo utebatur) concitato populo, duas leges tulit: unam, ut cuicunque magistratum populus abrogasset, ei nullus alius in posterum concederetur; alteram, ut qui magistratum gerens civem indemnatum solum vertere jussisset, de eo judicium populus facere posset. Harum legum prior haud dubie ignominia afficiebat M. Octavium, quem Tib. Gracchus tribunatu dejecerat, posterior Popillium reum faciebat, qui prætor amicos ejus in exsilium egerat. Et hic quidem metu judicii ex Italia profugit, alteram legem ipse Gracchus sustulit, in matris gratiam, deprecantis, ut aiebat, pro Octavio. Pergratum hoc fuit populo, et annuit, Corneliam honorans non minus propter liberos, quam parentis causa; statuam æneam quoque postea temporis ei posuit, cum inscriptione hac: Cornelia mater Gracchorum. (2) Memorantur etiam quædam oratorie et forensi modo ab eo pro matre in quendam inimicum dicta. Tu vero, inquit, Corneliæ obloqueris, quæ Tib. Gracchum peperit? Quia vero mollitiei notabatur conviciator: Quanam, inquit, petulantia te cum Cornelia confers? certe omnibus Romanis constat, eam mulierem diutius a viris abstinuisse, quam te virum. Hujusmodi inerat dictis ejus acrimonia, quæ multa colligi ex scriptis possunt.

V. Legum autem quas in gratiam populi et adversus senatum tulit, una fuit de coloniis deducendis, simulque agro publico pauperibus distribuendo; alia militaris, vestem militi publice suppeditari jubens, neque ejus nomine quicquam de stipendio detrahi, ac ne quis minor decem et septem annis miles scriberetur; alia de sociis, quæ jus suffragii Italis cum civibus Romanis æquabat; alia frumentaria, de leviori annonæ pretio pauperibus constituendo; alia de judiciis, quæ plurimum de potentia senatorum diminuebat, qui tum soli judicia obibant atque ideo populo et ordini equestri terribiles erant. Ea vero lex trecentis senatoribus totidem Equites addebat, judiciaque his trecentis communia redigebat. (2) In hac lege suadenda quum alia summo egisse studio dicitur, tum id, quod, quum ante ipsum quicunque concionabantur, ad senatum et Comitium respicere consuevissent, tunc primus ipse foras ad forum converso ore verba fecit, eumque in posterum quoque morem tenuit levi inclinatione mutationeque vultus rem magnam movens, ac rempublicam quodammodo ab optimatibus ad populum transferens, innuensque concionantes non ad senatum, sed ad populum se debere accommodare.

VI. Quum populus non probasset modo legem, sed et ipsum deligere judices ex Equitibus jussisset, dictatoria jam qua-

ἔδωκε καταλέξαι, μοναρχική τις ἰσχὺς ἐγεγόνει περὶ αὐτόν, ὥστε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβουλεύοντος αὐτοῦ. Συνεβούλευε δὲ ἀεί τι τῶν ἐκείνῃ πρεπόντων εἰσηγούμενος· οἷον ἦν καὶ τὸ περὶ τοῦ σίτου δόγμα μετριώτατον καὶ κάλλιστον, ὃν ἔπεμψε μὲν ἐξ Ἰβηρίας Φάβιος ἀντιστράτηγος, ἐκεῖνος δ' ἔπεισε τὴν βουλὴν ἀποδομένην τὸν σῖτον ἀναπέμψαι ταῖς πόλεσι τὸ ἀργύριον καὶ προσεπαιτιάσασθαι τὸν Φάβιον ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιοῦντα τὴν ἀρχὴν τοῖς ἀνθρώ- d ποις· ἐφ' ᾧ μεγάλην ἔσχε δόξαν μετὰ εὐνοίας ἐν ταῖς ἐπαρχίαις. (2) Ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι καὶ τὰς ὁδοὺς ποιεῖσθαι καὶ κατασκευάζεσθαι σιτοβόλια, τούτοις ἅπασι πραττομένοις αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἐφιστὰς καὶ πρὸς οὐδὲν ἀποτρυόμενος τῶν τοσούτων καὶ τηλικούτων, ἀλλὰ καὶ θαυμαστῷ τινι τάχει καὶ πόνῳ τῶν γινομένων ὡς μόνον ἕκαστον ἐξεργαζόμενος, ὥστε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. (3) Οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν e αὐτὴν ἐθαύμαζον ἐξηρτημένον ὁρῶντες αὐτοῦ πλῆθος ἐργολάβων, τεχνιτῶν, πρεσβευτῶν, ἀρχόντων, στρατιωτῶν, φιλολόγων, οἷς πᾶσιν ἐντυγχάνων μετὰ εὐκολίας καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ χαλεποὺς ἀπεδείκνυε συκοφάντας τοὺς φοβερὸν αὐτὸν ἢ φορτικὸν ὅλως ἢ βίαιον ἀποκαλοῦντας. Οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις δημαγωγός.

VII. Ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιίαν τῆς τε χρείας ἅμα καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς. Εὐθεῖαι γὰρ ἤγοντο διὰ τῶν χωρίων ἀτρεμεῖς· f καὶ τὸ μὲν ἐστόρνυτο πέτρᾳ ξεστῇ, τὸ δὲ ἄμμου χώμασι ναχτῆς ἐπυκνοῦτο. Πιμπλαμένων δὲ τῶν κοίλων καὶ ζευγνυμένων γεφύραις, ὅσα χείμαρροι διέκοπτον ἢ φάραγγες, ὕψος τε τῶν ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν καὶ καλὴν ὄψιν 838 εἶχε δι' ὅλου τὸ ἔργον. Πρὸς δὲ τούτοις διαμετρήσας a κατὰ μίλιον ὁδὸν πᾶσαν (τὸ δὲ μίλιον ὀκτὼ σταδίων ὀλίγον ἀποδεῖ) κίονας λιθίνους σημεῖα τοῦ μέτρου κατέστησεν. Ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκατέρωθεν τῆς ὁδοῦ διέθηκεν, ὡς εἴη ῥᾳδίως τοῖς ἵππους ἔχουσιν ἐπιβαίνειν ἀπ' αὐτῶν ἀναβολέως μὴ δεομένοις.

VIII. Ἐπὶ τούτοις τοῦ δήμου μεγαλύνοντος αὐτὸν καὶ πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν, ἣν λαβὼν μὲν ἀντὶ παντὸς ἕξειν, εἰ δὲ ἀποτύχοι, μηδὲν ἐκείνοις μεμψιμοιρήσειν. Τοῦτο ῥηθὲν ἔδοξεν αἴτησις ὑπατείας εἶναι, καὶ προσδοκίαν πᾶσιν ὡς ἅμα μὲν ὑπατείαν, ἅμα δὲ δημαρχίαν μετιὼν παρέσχεν. (2) Ἐνστάντων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν καὶ b μετεώρων ὄντων ἁπάντων ὤφθη Γάϊον Φάννιον κατάγων εἰς τὸ πεδίον καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. Τοῦτο ῥοπὴν ἤνεγκε τῷ Φαννίῳ μεγάλην.

dam præditus potestate Gracchus videbatur, ita ut senatus quoque consilia ejus admitteret. Consulebat autem semper aliquid, quod ornamento senatui esset; quale fuit etiam ejus de frumento consilium pulcherrimum atque moderatissimum. Miserat hoc Fabius proprætor ex Hispania; persuasit senatui Gracchus, ut id divenderetur, pecuniaque iis civitatibus, a quibus acceptum fuerat, remitteretur, insuperque Fabius culparetur, qui imperium Romanorum molestum et invisum hominibus faceret. Magnam hoc in provinciis Graccho gloriam benevolentiamque peperit. (2) Leges etiam tulit de coloniis deducendis, viis reficiendis et horreis parandis, omnibusque iis administrandis et perficiendis ipse præfuit, nulli succumbens tot tantorumque laborum molestiæ, verum omnia mirabili celeritate atque opera, tanquam unum modo aliquod opus, absolvens, ut etiam qui metu ejus odioque flagrabant, efficacitatem tamen ejus in omnibus rebus industriamque stuperent. (3) Plerisque autem miraculo fuit spectaculum multitudinis conductorum, artificum, legatorum, magistratuum, militum, literatorum, ab ipso pendentium, quibuscum ipse comiter colloquens gravitatemque suam in facilitate conservans, atque unicuique pro dignitate suum tribuens, morosos ostendit esse calumniatores eos, qui terribilem ipsum aut omnino importunum violentumque dicebant. Adeo magis quotidiano colloquio et actionibus, quam concionibus suis populum sibi conciliabat.

VII. In viarum autem refectione præcipuam adhibuit sollertiam, quum utilitatis tum pulchritudinis venustatisque rationem habens. Ducebantur eæ rectæ per regiones, et partim lapide ad hoc cæso et dolato, partim arenarum cumulis insternebantur, cavitates implebantur, qua convallibus aut torrentibus interrumperentur, pontibus jungebantur, et ab utraque parte eandem nactæ altitudinem, spectatu admodum pulchræ erant. Porro singula militaria dimensa (capit autem paullo minus octo stadia miliare) diligenter lapideis columnis distinxit. Alios quoque lapides utrinque ad viam haud procul a se invicem disposuit, quorum in conscendendis equis usus vicem servi in equum attollentis præstaret.

VIII. Quum ob hæc eum populus prædicaret, et gratificari se ei quacunque in re paratum ostenderet, quadam in concione dixit, petiturum se ab eis beneficium, quo impetrato, omnia se adeptum esset judicaturus; negato, nihil de ipsis questurus. Eo dicto videbatur consulatum flagitare, omnesque fore putabant ut tribunatum simul plebis et consulatum peteret. (2) Ut consulibus creandis comitia facta sunt, suspensis exspectatione omnium animis, C. Fannium Gracchus in campum deduxit, eumque in petitione consulatus cum amicis sublevavit. Id ad petitionem Fannii tantum attulit momenti, ut is consul designaretur.

Κἀκεῖνος μὲν ὕπατος, Γάιος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον, οὐ παραγγέλλων οὐδὲ μετιών, ἀλλὰ τοῦ δήμου σπουδάσαντος. (3) Ἐπεὶ δὲ ἑώρα τὴν μὲν σύγκλητον ἐχθρὰν ἄντικρυς, ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν Φάννιον, αὖθις ἑτέροις νόμοις ἀνήρτησε τὸ πλῆθος, ἀποικίας μὲν εἰς Τάραντα καὶ Καπύην πέμπεσθαι γράφων, καλῶν δὲ ἐπὶ κοινωνίᾳ πολιτείας τοὺς Λατίνους. Ἡ δὲ βουλή, δείσασα μὴ παντάπασιν ἄμαχος c γένηται, καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπῆγε τοῖς πολλοῖς ἀποτροπῆς ἀντιδημαγωγοῦσα καὶ χαριζομένη παρὰ τὸ βέλτιστον. (4) Ἦν γὰρ εἷς τῶν τοῦ Γαΐου συναρχόντων Λίβιος Δροῦσος, ἀνὴρ οὔτε γεγονὼς τινος Ῥωμαίων οὔτε τεθραμμένος χεῖρον, ἤθει δὲ καὶ λόγῳ καὶ πλούτῳ τοῖς μάλιστα τιμωμένοις καὶ δυναμένοις ἀπὸ τούτων ἐνάμιλλος. Ἐπὶ τοῦτον μὲν οὖν οἱ γνωριμώτατοι τρέπονται καὶ παρακαλοῦσιν αὐτὸν ἅψασθαι τοῦ Γαΐου καὶ μετ' αὐτῶν ἐπὶ τὸν ἄνδρα συστῆναι μὴ βιαζόμενον μηδὲ ἀντικρούοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς ἡδονὴν ἄρχοντα καὶ χαριζόμενον ὑπὲρ ὧν καὶ ἀπεχθάνεσθαι d καλῶς εἶχεν.

Gracchus vero tribunus plebis iterum creatus est, non petens id aut ambiens, sed studio et favore populi obtinentem accipiens. (3) Cernens autem senatum aperte sibi infensum, Fannii vero erga se langere studium, novis legibus animos sibi devincire aggressus est, de coloniis Tarentum Capuamque deducendis, et communicando cum Latinis jure civium. Hic senatus metuens ne plane insuperabilis Gracchus fieret, novo et inaudito modo animos multitudinis ab eo abalienare conatus est, contra assentando largiendoque eam, neglecto reipublicæ commodo, demerens. (4) Erat inter collegas Gracchi Livius Drusus, neque natalibus neque educatione cuiquam Romanorum, ingenio autem et facundia, divitiis etiam, his qui rebus iis plurimum pollebant, non inferior. Ad hunc principes se contulerunt, eique persuaserunt, ut se in opprimendo Graccho juvaret, non vi aut offendendo multitudinem, sed ea largiendo ei et gratificando, propter quæ vel odia antea æquo animo sustinebant.

IX. Ἐπιδοὺς οὖν ὁ Λίβιος εἰς ταῦτα τῇ βουλῇ τὴν ἑαυτοῦ δημαρχίαν, νόμους ἔγραψεν οὔτε τῶν καλῶν τινος οὔτε τῶν λυσιτελῶν ἐχομένους, ἀλλ' ἓν μόνον, ὑπερβαλέσθαι τὸν Γάιον ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ, σπεύδων καὶ διαμιλλώμενος. (2) Ὧ καὶ καταφανεστάτην ἐποίησεν ἑαυτὴν ἡ σύγκλητος οὐ δυσχεραίνουσαν τοῖς τοῦ Γαΐου πολιτεύμασιν, ἀλλ' αὐτὸν ἐκεῖνον ἀνελεῖν ἢ ταπεινῶσαι παντάπασι βουλομένην. Τὸν μὲν γὰρ ἀποικίας δύο γράψαντα καὶ τοὺς χαριεστάτους τῶν πολιτῶν εἰσάγοντα δημοκοπεῖν e ᾐτιῶντο, Λιβίῳ δὲ δώδεκα κατοικίζοντι καὶ τρισχιλίους εἰς ἑκάστην ἀποστέλλοντι τῶν ἀπόρων συνελαμβάνοντο. Κἀκείνῳ μὲν, ὅτι χώραν διένειμε τοῖς πένησι προστάξας ἑκάστῳ τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τοὺς πολλοὺς ἀπηχθάνοντο, Λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην τῶν νειμαμένων ἀφαιρῶν ἤρεσκεν αὐτοῖς. Ἔτι δὲ ὁ μὲν τοῖς Λατίνοις ἰσοψηφίαν διδοὺς ἐλύπει, τοῦ δὲ, ὅπως μηδὲ ἐπὶ στρατείας ἐξῇ τινα Λατίνων ῥάβδοις αἰκίσασθαι, γράψαντος ἐβοήθουν τῷ νόμῳ. (3) Καὶ μέντοι καὶ αὐτὸς ὁ Λίβιος ἀεὶ δημηγορῶν ἔλεγεν, ὡς γράφοι ταῦτα τῇ f βουλῇ δοκοῦντα κηδομένῃ τῶν πολλῶν· ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτοῦ χρήσιμον ὑπῆρχεν. Ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βουλὴν ὁ δῆμος· καὶ τοὺς γνωριμωτάτους αὐτοῦ πρότερον ὑφορωμένου καὶ μισοῦντος ἐξέλυσε καὶ κατεπράϋνε τὴν μνησικακίαν 830 καὶ χαλεπότητα ταύτην ὁ Λίβιος, ὡς ἐκ τῆς ἐκείνων a ὁρμώμενος γνώμης ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς.

IX. Livius ad eam rem tribunatum plebis suum accommodans leges tulit neque honestis neque utilibus de rebus, unum id, veluti in comœdia, agens ut in delectanda multitudine ejusque gratia captanda Gracchum superaret. (2) Qua re testatissimum fecit senatus, non Gracchi se actionibus infensum esse, sed ipsum hominem de medio tollere aut deprimere cupere. Eum enim auram captare popularem criminabatur, quod duas colonias decerneret et honestissimos in eas scriberet cives; at Livio duodecim colonias instituenti et tria pauperum civium millia in singulas deduci jubenti, astipulabatur. Gracchum, quod agrum pauperibus dividebat, ita quidem ut hi tributum ærario penderent, tanquam plebem adulantem insectabantur; Livius placebat, qui id quoque tributum tollebat. Ad hæc indigne ferebant illum jus suffragii Latinis tribuere; hujus legem, quæ ne militiæ quidem virgis cædi Latinum permittebat, defendebant. (3) Et quidem Livius ipse identidem in concionibus dixit, has se leges senatus plebi cupientis auctoritate promulgare; quod sane in actionibus ejus unum exstitit utile. Multitudinis enim animos nonnihil senatui reconciliavit, qui quum optimates ante suspectos et invisos habuisset, hanc injuriarum memoriam atque odia plebis Livius abolebat, jam jussu eum senatûs populi gratiam captare ac sibi largiri putantis.

X. Μεγίστη δὲ τῷ Δρούσῳ πίστις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης τὸ μηδὲν αὑτῷ μηδ' ὑπὲρ ἑαυτοῦ φαίνεσθαι γράφοντα. Καὶ γὰρ οἰκιστὰς ἑτέρους ἐξέπεμπε τῶν πόλεων καὶ διοικήσεσι χρημάτων οὐ προσῄει, τοῦ Γαΐου τὰ πλεῖστα καὶ μέγιστα τῶν

X. Maxime autem opinionem ei benevolentiæ et justitiæ apud populum paravit, quod eum non sibi neque in suam rem leges scribere appareret. Nam et alios constituit qui colonias deducerent, et pecuniarum administrationem a se removit, quum Gracchus pleraque et maxima sibi ispe su-

τοιούτων αὐτῷ προστιθέντος. (2) Ἐπεὶ δὲ, Ῥουβρίου τῶν συναρχόντων ἑνὸς οἰκίζεσθαι Καρχηδόνα γράψαντος ἀνῃρημένην ὑπὸ Σκηπίωνος, κλήρῳ λαχὼν ὁ Γάϊος ἐξέπλευσεν εἰς Λιβύην ἐπὶ τὸν κατοικισμὸν, ἔτι μᾶλλον ἐπιβὰς ὁ Δροῦσος ἀπόντος αὐτοῦ τὸν δῆμον ὑπελάμβανε b καὶ προσήγετο μάλιστα ταῖς κατὰ τοῦ Φουλβίου διαβολαῖς. (3) Ὁ δὲ Φούλβιος οὗτος ἦν τοῦ Γαΐου φίλος καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ᾑρημένος· ἦν δὲ θορυβώδης καὶ μισούμενος μὲν ὑπὸ τῆς βουλῆς ἄντικρυς, ὕποπτος δὲ καὶ τοῖς ἄλλοις ὡς τὰ συμμαχικὰ διακινῶν καὶ παροξύνων κρύφα τοὺς Ἰταλιώτας πρὸς ἀπόστασιν. Οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις αὐτὸς προσετίθει πίστιν ὁ Φούλβιος οὐχ ὑγιαινούσης οὐδὲ εἰρηνικῆς ὢν προαιρέσεως. (4) Τοῦτο μάλιστα κατέλυε τὸν Γάϊον ἀπολαύοντα τοῦ μίσους. Καὶ ὅτε Σκηπίων Ἀφρικανὸς c ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκηπίωνι λελοιδορημένον· ἥψατο δὲ καὶ τοῦ Γαΐου ἡ ὑπόνοια. Καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθὲν οὐκ ἔτυχε δίκης οὐδὲ εἰς ἔλεγχον προῆλθεν· ἐνέστησαν γὰρ οἱ πολλοὶ καὶ κατέλυσαν τὴν κρίσιν ὑπὲρ τοῦ Γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται. Ταῦτα μὲν οὖν ἐγεγόνει πρότερον. d

XI. Ἐν δὲ τῇ Λιβύῃ περὶ τὸν τῆς Καρχηδόνος κατοικισμὸν, ἣν ὁ Γάϊος Ἰουνωνίαν, ὅπερ ἐστὶν Ἡραίαν, ὠνόμασε, πολλὰ κωλύματα γενέσθαι παρὰ τοῦ δαιμονίου λέγουσιν. Ἥ τε γὰρ πρώτη σημαία, πνεύματος ἀφαρπάζοντος αὐτὴν, τοῦ δὲ φέροντος ἐγκρατῶς ἀντεχομένου, συνετρίβη, καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα διεσκέδασεν ἀνέμου θύελλα καὶ διέρριψεν ὑπὲρ τοὺς ὅρους τῆς γεγενημένης ὑπογραφῆς, αὐτοὺς δὲ τοὺς ὅρους ἀνέσπασαν ἐπελθόντες λύκοι καὶ μακρὰν ᾤχοντο φέροντες. Οὐ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ Γάϊος ἡμέραις ἑβδομήκοντα ταῖς πάσαις ἐπανῆλθεν e εἰς Ῥώμην πιέζεσθαι τὸν Φούλβιον ὑπὸ τοῦ Δρούσου πυνθανόμενος καὶ τῶν πραγμάτων τῆς αὐτοῦ παρουσίας δεομένων. (2) Λεύκιος γὰρ Ὀπίμιος, ἀνὴρ ὀλιγαρχικὸς καὶ δυνατὸς ἐν τῇ βουλῇ, πρότερον μὲν ἐξέπεσεν ὑπατείαν παραγγέλλων, τοῦ Γαΐου τὸν Φάννιον προαγαγόντος, ἐκεῖνον δὲ καταρχαιρεσιάσαντος· τότε δὲ πολλῶν βοηθούντων ἐπίδοξος ἦν ὑπατεύσειν, ὑπατεύων δὲ καταλύσειν τὸν Γάϊον, ἤδη τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαραινομένης καὶ τοῦ δήμου μεστοῦ γεγονότος τῶν τοιούτων πολιτευμάτων διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι καὶ τὴν βουλὴν f ὑπείκειν ἑκοῦσαν.

XII. Ἐπανελθὼν δὲ πρῶτον μὲν ἐκ τοῦ Παλατίου μετῴκησεν εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον ὡς δημοτικώτερον, ὅπου πλείστους τῶν ταπεινῶν καὶ πενήτων

meret. (2) Quum Rubrius eorum collega legem tulisset de colonia Carthaginem a Scipione eversam deducenda, et sorte lectus Gracchus ad eam rem in Africam navigasset, absentem Drusus acrius adortus, populum sibi magis obstrinxit, maxime calumniando Fulvio. (3) Is Gracchi amicus, collegaque ad divisionem agrorum delectus, homo erat turbulentus, palamque invisus senatui, suspectus etiam reliquis erat, quasi socios concitaret Italosque in occulto ad defectionem compelleret; et quanquam hæc nullo certo indicio ferebantur, tamen ipse fidem faciebat Fulvius, parum sana pacique adversa agitans consilia. (4) Ejus ergo invidia in Gracchum redundavit, multumque de potentia ipsius detraxit. Accessit huc suspicio de cæde Scipionis, quem subito, nulla præcedente mortis quæ appareret causa, defunctum, inque ejus corpore signa visa, quæ vi et verberibus cæsum indicare crederentur, in Vita ejus demonstravimus. Hujus interitus culpa maxime in Fulvium conferebatur, inimicum, et qui eo die pro rostris hominem conviciis lacerasset. Attigit autem Gracchum quoque suspicio ea. Ac de tam atroci facinore, quo præstantissimus amplissimusque Romanorum sublatus erat, neque inquisitum est, neque judicium institutum, plebis opera iis impeditis, quæ Graccho metuebat, ne is re diligentius examinata reus cædis istius comperiretur. Verum hoc paullo ante evenerat.

XI. Tunc vero in Africa Carthaginem condenti Graccho, quam Junoniam appellabat, multa divinitus impedimenta accidisse ferunt. Nam et primum signum vento id rapiente et eo qui gestabat fortiter retinente, contritum est, et sacra altari imposita venti procella dissipavit atque extra fines descriptæ urbis projecit, et ipsos terminos lupi revellerunt longeque detulerunt. Omnibus tamen constitutis atque peractis, Romam rediit septuagesimo quam discesserat die, quum et premi a Livio Fulvium, et res suam præsentiam desiderare audivisset. (2) L. enim Opimius, homo paucorum in republica dominationis studiosus, potensque in senatu, consulatum superiore anno petens repulsam passus erat, Graccho ipsum oppugnante et Fannium evehente; tunc autem multorum auxiliis fretus, certo videbatur consul futurus, inque suo consulatu Gracchum oppressurus; nam hujus potentia jam marcescebat quodammodo, satietate popularium legum jam aborto populo, quod et multi erant qui populari gratiæ inserviebant et senatus ultro concedebat.

XII. Reversus Romam Gracchus primum a Palatio in locum qui sub foro est commigravit, ut eo popularior videretur; ibidem enim plurimi pauperum et humilium ci-

συνέβαινεν οἰκεῖν· ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. Ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον Φάννιον ἐκβαλεῖν τοὺς ἄλλους πλὴν Ῥωμαίων ἅπαν- 840 τας. Γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλλοκότου, a μηδένα τῶν συμμάχων μηδὲ τῶν φίλων ἐν Ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἀντεξέθηκεν ὁ Γαΐος διάγραμμα κατηγορῶν τοῦ ὑπάτου καὶ τοῖς συμμάχοις, ἂν μένωσι, βοηθήσειν ἐπαγγελλόμενος. (2) Οὐ μὴν ἐβοήθησεν, ἀλλ' ὁρῶν ἕνα τῶν ξένων αὑτοῦ καὶ συνήθων ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν τῶν τοῦ Φαννίου, παρῆλθε καὶ οὐ προσήμυνεν, εἴτε τὴν ἰσχὺν ἐπιλείπουσαν ἤδη δεδιὼς ἐλέγχειν, εἴτε μὴ βουλόμενος, ὡς ἔλεγεν, ἀψιμαχίας αὐτὸς καὶ συμπλοκῆς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς παρασχεῖν. (3) Συνέτυχε δὲ αὐτῷ καὶ πρὸς τοὺς συνάρχοντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. b Ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ, καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι θεωρητήρια κύκλῳ κατασκευάσαντες ἐξεμίσθουν. Ταῦτα ὁ Γαΐος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται. Μηδενὸς δὲ προσέχοντος, ἀναμείνας τὴν πρὸ τῆς θέας νύκτα καὶ τῶν τεχνιτῶν ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ παραλαβὼν τὰ θεωρητήρια καθεῖλε καὶ τῷ δήμῳ σχολάζοντα μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον, ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶναι, τοὺς δὲ συνάρχοντας ὡς ἰταμὸς καὶ βίαιος ἐλύπησεν. (4) Ἐκ τούτου καὶ τὴν τρίτην ἔδοξε δημαρχίαν ἀφαιρεῖσθαι, ψήφων μὲν αὐτῷ πλείστων γενομένων, c ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. Ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. Ἤνεγκε δὲ οὐ μετρίως ἀποτυχών, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπεγγελῶντας αὐτῷ λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς Σαρδώνιον γέλωτα γελῶσιν, οὐ γιγνώσκοντες ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων.

XIII. Ἐπεὶ δὲ καὶ τὸν Ὀπίμιον καταστήσαντες ὕπατον τῶν νόμων πολλοὺς διέγραφον καὶ τὴν Καρχηδόνος ἐκίνουν διάταξιν ἐρεθίζοντες τὸν Γαΐον, d ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει, τῶν δὲ φίλων καὶ μάλιστα τοῦ Φουλβίου παροξύνοντος ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. Ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς Ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς· ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ἠνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. Ἕτεροι δὲ καὶ πάνυ τῆς Κορνηλίας δυσχεραινούσης ταῦτα πράττεσθαι λέγουσιν. (2) Ἧ δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύσειν οἱ περὶ τὸν Ὀπίμιον, κατείληπτο μὲν ὑπὸ ἀμφοτέρων ἕωθεν εὐθὺς τὸ Καπετώλιον, e θύσαντος δὲ τοῦ ὑπάτου, τῶν ὑπηρετῶν τις αὐτοῦ Κόϊντος Ἀντύλλιος διαφέρων ἑτέρωσε τὰ σπλάγχνα πρὸς τοὺς περὶ τὸν Φούλβιον εἶπε, « Δότε τόπον ἀγαθοῖς, κακοὶ πολῖται. » Τινὲς δέ φασιν ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν

vium habitabant. Deinde reliquas leges promulgavit, ut eas populus juberet. Coeunte autem ad eum magna undique hominum turba, senatus Fannio consuli persuasit, ut quicunque Romani non essent, eos urbe ejiceret. Ergo edicto proposito novo et absurdo, ne quis sociorum vel amicorum P. R. per eos dies Romæ esset, Gracchus contra edicto consulem accusavit, sociisque si in urbe manerent auxilium promisit. (2) Neque vero opem iis tulit, sed quum quendam hospitem suum et familiarem a Fannii lictore videret trahi, præteriit eumque neglexit, sive potentiam suam jam collabentem non ausus periclitari, sive quod nollet (id enim ipse dicere solebat) captantibus occasionem inimicis ansam dimicandi præbere. (3) Accidit ut collegæ quoque ei irascerentur. Causa hæc fuit : quum esset populus gladiatores in foro spectaturus, plerique magistratuum pulpita ad spectandum circa forum exstruxerant, eaque mercede locabant. Hæc eos amoliri Gracchus jussit, ut pauperes ex illis locis nulla data mercede spectare possent. Ac quum nihil dicta ejus curarent, nocte ea, quæ diem spectaculis dictum præcedebat, operariis quotquot sub se habebat assumptis ea dejecit, factaque luce vacuum forum civibus ostendit. Vulgus ob hoc factum virum eum esse indicavit, collegas autem impudens visus et violentus offendit. (4) Atque hæc ei causa videtur fuisse tertii tribunatus non impetrandi, quum quidem suffragia plurima habens fraude et injustitia collegarum designatus non fuit. Sed hæc non extra dubitationem posita sunt. Repulsam vero eam tulit haud mediocriter, et fertur inimicis eum deridentibus, ferocius quam conveniebat dixisse : Risum eos ridere Sardonium, non intelligentes quantas eis tenebras actionibus suis offuderit.

XIII. Postquam illi Opimio creato consule multas Gracchi leges abrogarunt et Carthaginiensem administrationem incesserunt, hominis irritandi causa, ut occasionem eis irascendi suppeditans interficeretur; initio sese continuit, post, amicis, ac Fulvio inprimis, instigantibus, factionem rursus adversus consulem contrahere intendit. Matrem quoque tum ei opitulatam perhibent, ac peregrinos occulte homines mercede conduxisse, qui Romam sub messorum specie intrarent. Hæc enim per ambages scripta in epistolis Corneliæ ad filium fuisse. Alii invita omnino Cornelia Gracchum ista egisse tradunt. (2) Qua die leges Gracchianas consul Opimius rescissurus erat, summo mane ab utriusque partis studiosis Capitolium repletum fuit. Ibi quum rem sacram consul faceret, lictorum unus Q. Antyllius exta ab una parte ad alteram perferens, iis qui Fulvio aderant, Date, inquit, locum bonis, mali cives. Addunt quidam,

βραχίονα γυμνὸν οἷον ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. Ἀποθνήσκει γοῦν εὐθὺς ὁ Ἀντύλλιος ἐκεῖ μεγάλοις γραφείοις κεντούμενος ἐπ' αὐτῷ τούτῳ πεποιῆσθαι λεγομένοις. (3) Καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον, ἐναντία δὲ τοὺς ἡγεμόνας ἔσχε διάθεσις. Ὁ μὲν γὰρ Γάϊος ἤχθετο καὶ κακῶς ἔλεγε τοὺς περὶ αὐτὸν ὡς αἰτίαν δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς f ἐχθροῖς δεδωκότας, ὁ δὲ Ὀπίμιος ὥσπερ ἐνδόσιμον λαβὼν ἐπῆρτο καὶ παρώξυνε τὸν δῆμον ἐπὶ τὴν ἄμυναν.

XIV. Καὶ τότε μὲν ὄμβρου γενομένου διελύθησαν· ἅμα δὲ ἡμέρᾳ τὴν μὲν βουλὴν ὁ ὕπατος συναγαγὼν ἔνδον ἐχρημάτιζεν, ἕτεροι δὲ τὸ τοῦ Ἀντυλλίου σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι δι' ἀγορᾶς παρὰ τὸ βουλευτήριον ἐπίτηδες παρεκόμιζον οἰμωγῇ χρώμενοι καὶ 841 θρήνῳ, γιγνώσκοντος μὲν τοῦ Ὀπιμίου τὰ πραττό- a μενα, προσποιουμένου δὲ θαυμάζειν, ὥστε καὶ τοὺς βουλευτὰς προελθεῖν. Κατατεθείσης δὲ τῆς κλίνης εἰς μέσον οἱ μὲν ἐσχετλίαζον ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει, τοῖς δὲ πολλοῖς ἐπῄει μισεῖν καὶ προβάλλεσθαι τοὺς ὀλιγαρχικούς, ὡς Τιβέριον μὲν Γράγχον ἐν Καπετωλίῳ φονεύσαντες αὐτοὶ δήμαρχον ὄντα καὶ τὸν νεκρὸν προσεξέβαλον, ὁ δ' ὑπηρέτης Ἀντύλλιος, οὐ δίκαια μὲν ἴσως πεπονθώς, τὴν δὲ πλείστην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παρασχών, ἐν ἀγορᾷ πρόκειται καὶ περιέστηκεν ἡ Ῥωμαίων βουλὴ θρηνοῦσα καὶ συνεκκομίζουσα μισθωτὸν ἄνθρωπον ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τοῦ δήμου κηδομένων. (2) Ἐκ τούτου b πάλιν εἰς τὸ βουλευτήριον ἀπελθόντες ἐψηφίσαντο καὶ προσέταξαν Ὀπιμίῳ τῷ ὑπάτῳ σώζειν τὴν πόλιν, ὅπως δύναιτο, καὶ καταλύειν τοὺς τυράννους. Ἐκείνου δὲ προειπόντος ἐπὶ τὰ ὅπλα χωρεῖν τοὺς συγκλητικοὺς καὶ τῶν ἱππέων ἑκάστῳ παράγγελμα δόντος ἄγειν ἕωθεν οἰκέτας δύο καθωπλισμένους, ὁ μὲν Φούλβιος ἀντιπαρεσκευάζετο καὶ συνῆγεν ὄχλον, ὁ δὲ Γάϊος ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος ἔστη κατὰ τὸν τοῦ πατρὸς ἀνδριάντα καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτὸν οὐδὲν ἐφθέγξατο, δακρύσας δὲ καὶ στενάξας ἀπῄει. (3) Τοῦτο πολλοῖς τῶν ἰδόντων οἰκτεῖραι τὸν Γάϊον ἐπῆλθε· καὶ κακίσαντες αὑτοὺς ὡς ἐγκαταλείποντες c τὸν ἄνδρα καὶ προδιδόντες ἧκον ἐπὶ τὴν οἰκίαν καὶ παρενυκτέρευον ἐπὶ τῶν θυρῶν οὐχ ὁμοίως τοῖς τὸν Φούλβιον φυλάττουσιν. Ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες καὶ θρασυνόμενοι διετέλεσαν, αὐτοῦ τοῦ Φουλβίου πρώτου μεθυσκομένου καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένου καὶ πράττοντος· οἱ δὲ περὶ τὸν Γάϊον ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες καὶ περισκοπούμενοι τὸ μέλλον ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

XV. Ἅμα δὲ ἡμέρᾳ τὸν μὲν Φούλβιον ἐκ τοῦ πότου καθεύδοντα μόλις ἐπεγείραντες ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν αὐτοῦ λαφύροις, ἃ Γαλάτας νενικηκώς, ὅτε ὑπά- d τευεν, εἰλήφει καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς ἐχώρουν καταληψόμενοι τὸν Ἀβεντῖνον λόφον. Ὁ δὲ Γάϊος ὁπλίσασθαι μὲν οὐκ ἠθέλησεν, ἀλλ' ὥσπερ εἰς

eum inter hæc verba nudum quoque brachium gestu ad illudendum composito circumtulisse. Illico ibi Antyllius magnis compunctus stylis, factis ut aiunt ad eam rem, periit. (3) Populum cædes ea perturbavit, duces autem factionum diverso modo affecit. Nam Gracchus indigne rem tulit, suosque increpavit, qui causam aliquam adversus se diu quærentibus inimicis ultro occasionem præbuissent. Opimius autem hac arrepta ansa proruit et ad vim ulciscendam populum cohortatus est.

XIV. Ac tum quidem pluvia dirempti sunt. Postridie prima luce senatum consul in curiam advocat. Dum vero intus consultatur, quidam nudum Antyllii cadaver in feretro positum dedita opera per forum præter curiam cum ejulatu et lamentatione pertulerunt. Opimio quid ageretur conscio, sed mirari se quid rei esset simulante, eoque etiam senatores ut prodirent visum movente. Proposito in medium feretro, fuerunt qui rem indignam atque gravem clamitarent, ac quiritarentur; majori autem parti populi optimatum odium incessit vituperareque eos subiit, quod quum Tib. Gracchum tribunum plebis in Capitolio ipsi occidissent necatique cadaver projecissent, Antyllius vero lictor immerito fortassis cæsus, sed sua tamen potissimum culpa hoc passus, in foro proponeretur et senatus populi Romani circumsisteret lugens hominisque mercenarii exsequias comitaretur, ut interficere eum posset, qui unus adhuc populi patronus restaret. (2) Senatores in curiam regressi, senatusconsultum faciunt, ut Opimius videat ne quid respublica detrimenti capiat, utque tyrannos exscindat. Quum is senatores arma capere jussisset et Equitibus mandasset, uti singuli duos servos armatos prima luce adducerent, Fulvius quoque contra se paravit turbamque hominum conduxit; Gracchus autem foro abiens, ad patris statuam astitit, tacitusque in eam aliquamdiu intuens, gemitu edito lacrimisque effusis discessit. (3) Multis qui id viderunt miserari eum subiit, seque ipsos culpantes, qui talem virum destituerent atque proderent, ad domum ejus accesserunt et ante fores pernoctarunt. Longe aliter a Fulvianis actum: ii enim noctem potando, plaudendo et exsultando duxerunt, ipso primo omnibus Fulvio se inebriante, multaque præter ætatem insolenter dicente atque faciente. Gracchani, tanquam in communi patriæ clade, quieti de eventu rei cogitabant, alternisque dormiebant et excubias peragebant.

XV. Facta die, Fulvius crapulam edormiens, vix tandem a suis excitatus, eos spoliis, quæ consul victoria adversus Gallos parta ceperat, armavit; inde multo cum clamore ac minis ad Aventinum occupandum contenderunt. Gracchus neque armari voluit et togatus tanquam ad concionem pro-

ἀγορὰν ἐν τηβέννῳ προῄει μικρὸν ὑπεζωσμένος ἐγχειρίδιον, ἐξιόντι δὲ αὐτῷ περὶ τὰς θύρας ἡ γυνὴ προσπεσοῦσα καὶ περιπτύξασα τῶν χειρῶν τῇ μὲν αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον, « Οὐχ ἐπὶ τὸ βῆμά σε, εἶπεν, ὦ Γάϊε, προπέμπω δήμαρχον, ὡς πρότερον, καὶ νομοθέτην, οὐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθών τι τῶν κοινῶν ἀπολίπῃς τιμώμενον γοῦν πένθος, ἀλλὰ τοῖς Τιβερίου φονεῦσιν ὑποβάλλεις ἑαυτὸν, ἄνοπλον e μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον ἢ δράσῃς, πρὸς οὐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. Κεκράτηκεν ἤδη τὰ χείρω· βίᾳ καὶ σιδήρῳ τὰς δίκας πράττουσιν. Εἰ περὶ Νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός· νῦν δὲ ἴσως κἀγὼ ποταμοῦ τινος ἢ θαλάττης ἱκέτις ἔσομαι φῆναί ποτε τὸ σὸν σῶμα φρουρούμενον. Τί γὰρ ἢ νόμοις ἔτι πιστὸν ἢ θεοῖς μετὰ τὸν Τιβερίου φόνον; » (2) Τοιαῦτα τῆς Λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ Γάϊος ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. Ἡ δὲ τοῦ ἱματίου λαβέσθαι γλιχομένη καταῤῥυεῖσα πρὸς f τοὔδαφος ἔκειτο πολὺν χρόνον ἄναυδος, ἄχρι οὗ λειποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι πρὸς Κράσσον ᾤχοντο τὸν ἀδελφὸν κομίζοντες.

XVI. Ὁ δὲ Φούλβιος, ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τοῦ Γαΐου πέμπει τῶν υἱῶν τὸν νεώτερον
842 ἔχοντα κηρύκειον εἰς ἀγοράν. Ἦν δὲ κάλλιστος a
ὁ νεανίσκος ὀφθῆναι· καὶ τότε καταστὰς κοσμίως καὶ μετ' αἰδοῦς δεδακρυμένος ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. Οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον· ὁ δὲ Ὀπίμιος οὐ δι' ἀγγέλων ἔφη χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας ὡς ὑπευθύνους πολίτας ἐπὶ κρίσιν καὶ παραδόντας αὑτοὺς οὕτως παραιτεῖσθαι τὴν ὀργήν· τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις κατιέναι πάλιν ἢ μὴ κατιέναι. (2) Γάϊος μὲν οὖν, ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον, οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος, αὖθις ἔπεμψεν ὁ Φούλβιος τὸν παῖδα διαλεξόμενον b ὑπὲρ αὐτῶν ὅμοια τοῖς προτέροις. Ὁ δὲ Ὀπίμιος σπεύδων μάχην συνάψαι, τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε καὶ παρέδωκεν εἰς φυλακὴν, τοῖς δὲ περὶ τὸν Φούλβιον ἐπῄει μετὰ πολλῶν ὁπλιτῶν καὶ τοξοτῶν Κρητῶν, οἳ μάλιστα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες συνετάραξαν. (3) Γενομένης δὲ τῆς τροπῆς, ὁ μὲν Φούλβιος εἴς τι βαλανεῖον ἠμελημένον καταφυγὼν καὶ μετὰ μικρὸν ἀνευρεθεὶς κατεσφάγη μετὰ τοῦ πρεσβυτέρου παιδὸς, ὁ δὲ Γάϊος ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος, ἀλλὰ δυσανασχετῶν τοῖς γινομένοις ἀνεχώρησεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν ὑπὸ τῶν πιστοτάτων ἑταίρων ἐκωλύθη Πομπω- c νίου καὶ Λικιννίου· παρόντες γὰρ οὗτοι τό τε ξίφος ἀφείλοντο καὶ πάλιν φεύγειν ἐπῆραν αὐτόν. Ἔνθα δὴ λέγεται καθεσθεὶς εἰς γόνυ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν θεὸν ἐπεύξασθαι τὸν Ῥωμαίων δῆμον ἀντὶ τῆς ἀχαριστίας ἐκείνης καὶ προδοσίας μηδέποτε παύ-

diit, toga amictus et parvo modo accinctus pugione. Foribus egredientem uxor apprehendit, manuque altera maritum, altera parvum puerum tenens : « Non ad tribunal, inquit, euntem te, marite, tribunumque, ut ante, plebis et legum latorem prosequor, neque ad bellum gloriosum, ut si tibi quid humanitus obtigisset, luctum saltem honestum mihi relinqueres, sed Tiberii fratris tui interfectoribus objicis te inermem; hoc quidem recte, ut patiaris potius quam agas, sed tuum exitium nulla cum utilitate publica conjunctum est. Vicerunt jam deteriora; vi et ferro de jure disceptatur. Si apud Numantiam frater tuus oppetiisset, corpus saltem ex pacto nobis redditum fuisset. Nunc, ut apparet, supplex fluvium aliquem aut mare precabor, ut mihi cadaver tuum quo loco teneatur ostendat. Quid enim post fratris tui cædem vel legibus porro credendum est, vel diis? » (2) Hæc ita lamentante Licinia, sensim se amplexibus ejus extricans Gracchus, tacitus cum amicis ire perrexit. Illa vero togam ejus apprehendere cupiens, in terram corruit, diuque suppressa voce tacuit, donec desertam ab animo famuli sustulerunt et ad fratrem Crassum pertulerunt.

XVI. Fulvius autem, omnibus in unum congregatis, suasu Gracchi filiorum natu minorem in forum cum caduceo mittit, pulcherrimum forma adolescentulum; is in publico decore consistens, modesteque lacrimans, de pace consulem et senatum appellavit. Quum plerisque animus ad pacificationem inclinaret, Opimius consul non per nuntios debere pacem a senatu impetrari respondit, sed ipsos venire atque judicio se populi sistere, seque ita ei permittentes iram ejus deprecari; edixitque adolescenti ne, nisi id facturi essent, rediret. (2) Voluisse ad senatum descendere pacis petendæ causa Gracchum ferunt, sed a suis prohibitum fuisse. Fulvius ergo filium ejusdem petendæ rei gratia iterum mittit. At vero Opimius committendæ pugnæ avidus adolescentem statim duci in carcerem jussit et adversus Fulvium magna cum armatorum et Cretensium sagittariorum manu contendit, qui potissimum telis petentes adversarios consauciantesque fugaverunt eos. Fulvius in obsoletum quoddam balneum profugit, paulloque post inventus, una cum majore filio jugulatus est. (3) Gracchum nemo vidit pugnantem, sed ea quæ agebantur iniquissime ferens, in fanum Dianæ discessit; ibi mortem sibi afferre cupientem Pomponius et Licinius fidissimi amicorum impediverunt, gladium eripientes et ut rursus fugam capesseret cohortantes. Quum quidem fertur flexis genibus manibusque in signum deæ intentis precatus esse, ut populo Romano ingrati animi proditionisque ergo perpetua ob-

σασθαι δουλεύοντα· φανερῶς γὰρ οἱ πλεῖστοι μετεβάλοντο κηρύγματι δοθείσης ἀδείας.

XVII. Φεύγοντι γοῦν τῷ Γαΐῳ τῶν ἐχθρῶν ἐπιφερομένων καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν, οἱ μὲν δύο φίλοι προχωρεῖν ἐκεῖνον κελεύσαντες αὐτοὶ τοὺς διώκοντας ὑπέστησαν καὶ μαχόμενοι πρὸ τῆς γεφύρας οὐδένα παρῆκαν, ἕως ἀπέθανον. Τῷ δὲ d
Γαΐῳ συνέφευγεν εἷς οἰκέτης ὄνομα Φιλοκράτης, πάντων μὲν, ὥσπερ ἐν ἁμίλλῃ, παρακελευομένων, οὐδενὸς δὲ βοηθοῦντος οὐδὲ ἵππον αἰτουμένῳ παρασχεῖν ἐθελήσαντος· ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. (2) Ὁ δὲ φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος Ἐριννύων καταφυγὼν κἀκεῖ διαφθείρεται, τοῦ Φιλοκράτους ἀνελόντος ἐκεῖνον, εἶτα ἑαυτὸν ἐπισφάξαντος. Ὡς δὲ ἔνιοί φασιν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελήφθησαν ζῶντες, τοῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος οὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον ἢ τοῦτον ὑπὸ πολλῶν παιόμενον ἀναιρεθῆναι. (3) Τὴν δὲ κεφαλὴν τοῦ Γαΐου λέγουσιν ἄλλον μὲν ἀποκόψαι καὶ κομίζειν, ἀφε- e
λέσθαι δὲ τούτου φίλον Ὀπιμίου τινὰ, Σεπτουμουλήιον· ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης ἰσοστάσιον χρυσίον τοῖς ἀνενεγκοῦσι τὴν Γαΐου καὶ Φουλβίου κεφαλήν. Ἀνηνέχθη δὲ ὑπὸ τοῦ Σεπτουμουληίου περιπεπαρμένη δόρατι πρὸς τὸν Ὀπίμιον, καὶ ζυγοῦ κομισθέντος ἐντεθεῖσα λίτρας ἑπτακαίδεκα καὶ δίμοιρον εἵλκυσε, τοῦ Σεπτουμουληίου καὶ περὶ τοῦτο μιαροῦ γενομένου καὶ κακουργήσαντος· ἐξελὼν γὰρ τὸν ἐγκέφαλον ἐνέτηξε μόλυβδον. Οἱ δὲ τοῦ Φουλβίου τὴν κεφαλὴν κομίσαντες (ἦσαν γὰρ τῶν ἀσημοτέρων) οὐδὲν ἔλαβον. (4) Τὰ δὲ σώματα καὶ τούτων f
καὶ τῶν ἄλλων εἰς τὸν ποταμὸν ἐρρίφη, τρισχιλίων ἀναιρεθέντων· καὶ τὰς οὐσίας αὐτῶν ἀπέδοντο πρὸς τὸ δημόσιον. Ἀπεῖπαν δὲ πενθεῖν ταῖς γυναιξὶ, τὴν δὲ
843 Γαΐου Λικιννίαν καὶ τῆς προικὸς ἀπεστέρησαν. Ὠμό- a
τατα δὲ προσειργάσαντο τοῦ Φουλβίου τὸν νεώτερον υἱὸν, οὔτε χεῖρας ἀνταράμενον οὔτ' ἐν τοῖς μαχομένοις γενόμενον, ἀλλὰ ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες καὶ μετὰ τὴν μάχην ἀνελόντες. Οὐ μὴν ἀλλὰ καὶ τούτου καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τοὺς πολλοὺς τὸ κατασκευασθὲν Ὁμονοίας ἱερὸν ὑπὸ τοῦ Ὀπιμίου· σεμνύνεσθαι γὰρ ἐδόκει καὶ μέγα φρονεῖν καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσούτοις πολιτῶν. Διὸ καὶ νυκτὸς ὑπὸ τὴν ἐπιγραφὴν τοῦ νεὼ παρενέγραψάν τινες τὸν στίχον τοῦτον·

Ἔργον ἀπονοίας ναὸν Ὁμονοίας ποιεῖ.

XVIII. Οὗτος μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος b
ἐν ὑπατείᾳ χρησάμενος καὶ κατακτείνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις Γάϊον Γράγχον καὶ Φούλβιον Φλάκκον, ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικὸς, ὁ δὲ τῆς καθ' αὑτὸν ἡλικίας ἀρετῇ καὶ δόξῃ πεπρωτευκὼς, οὐκ ἀπέσχετο κλοπῆς, ἀλλὰ πεμφθεὶς ὡς Ἰουγούρθαν τὸν Νομάδα πρεσβευτὴς διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ· καὶ δίκην ὀφλὼν αἰσχίστην δωροδοκίας ἐν ἀτιμίᾳ κα-

tingeret servitus. Palam enim plerique ab eo desciscebant impunitate per præconem promissa.

XVII. Fugiente Graccho hostibusque instantibus et apud pontem sublicium assequentibus, duo ejus amici pergere ipsum jusserunt, atque sese ipsi ingruentibus hostibus objecerunt pugnantesque neminem dum viverent transire passi sunt. Cum Graccho unus servus Philocrates profugit, ceteris quidem omnibus certatim hortantibus, auxilium tamen ferente aut equum poscenti tradere volente nemine. (2) Quum jam instarent qui eum prosequebantur, in lucum quendam parvum Furiarum confugit, ibique eum Philocrates et se insuper interfecit. Quidam vivos in hostium manus pervenisse affirmant, servumque domino se circumplicasse, neque nisi multis vulneribus cæso Philocrate Gracchum feriri potuisse. (3) Caput ejus ab alio amputatum arripuisse traditur amicus Opimii Septimuleius; erat enim initio pugnæ edictum, qui Fulvii Gracchive caput attulisset, ei æquali pondere aurum redditum iri. Attulit infixum hastæ sublime Septimuleius ad Opimium, allatæque libræ impositum, libras septemdecim cum besse appendit; nam in ea quoque re sceleste improbeque egerat Septimuleius et cerebro extracto plumbum liquatum infuderat. Iis qui Fulvii caput attulerunt (erant autem obscurioris sortis homines) nihil est datum. (4) Cadavera et horum et reliquorum (interfecti sunt tria millia) in Tiberim projecta sunt, bona publicata, mulieribus luctu interdictum. Liciniam Caii dote etiam privaverunt. Crudelissimum omnium facinus fuit, quod minorem natu filium Fulvii insuper necaverunt, qui neque manum adversus quenquam sustulerat, neque inter pugnantes, sed ante pugnam missus pacis petendæ causa captus fuerat. Verum Concordiæ templum ab Opimio exstructum majorem quam hæc omnia molestiam populo exhibuit. Videbatur enim jactare se et exsultare ac triumphare quodammodo de tot civibus cæsis. Itaque noctu infra inscriptionem templi quidam hunc versum adscripserunt:

Vecors facinus Concordiæ fanum facit.

XVIII. Hic tamen, quum primus omnium dictatoria potestate in consulatu usus, indemnatos M. Fulvium consularem triumphalemque virum et C. Gracchum inter æquales virtute et gloria principem una cum tribus civium millibus necasset, non abstinuit se a furto, sed missus ad Jugurtham Numidiæ regem legatus, ab eo corrumpi se pecunia est passus, turpissimoque de acceptis muneribus et corruptela judicio damnatus, in ignominia consenuit, odio contume-

τεγήρασε μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δὲ ὕστερον ἐκφήναντος ὅσον εἶχεν ἱμέρου καὶ πόθου τῶν Γράγχων. Εἰκόνας c τε γὰρ αὐτῶν ἀναδείξαντες ἐν φανερῷ προὐτίθεντο καὶ τοὺς τόπους, ἐν οἷς ἐφονεύθησαν, ἀφιερώσαντες ἀπήρχοντο μὲν ὧν ὧραι φέρουσι πάντων, ἔθυον δὲ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες.

XIX. Καὶ μέντοι καὶ ἡ Κορνηλία λέγεται τά τε ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν καὶ περὶ τῶν ἱερῶν, ἐν οἷς ἀνῃρέθησαν, εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. (2) Αὕτη δὲ περὶ τοὺς καλουμένους Μισηνοὺς διέτριβεν οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. Ἦν δὲ καὶ πολύφιλος καὶ διὰ φιλοξενίαν εὐτράπεζος, ἀεὶ μὲν Ἑλλήνων καὶ d φιλολόγων περὶ αὐτὴν ὄντων, ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομένων παρ' αὐτῆς δῶρα καὶ πεμπόντων. Ἡδίστη μὲν οὖν ἦν αὕτη τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τὸν τοῦ πατρὸς Ἀφρικανοῦ βίον καὶ δίαιταν, θαυμασιωτάτη δὲ τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα καὶ πάθη καὶ πράξεις αὐτῶν, ὥσπερ ἀρχαίων τινῶν, ἐξηγουμένη τοῖς πυνθανομένοις. (3) Ὅθεν ἔδοξεν ἐνίοις ἔκνους ὑπὸ γήρως ἢ μεγέθους κακῶν γεγονέναι καὶ τῶν ἀτυχημάτων ἀναίσθητος, αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας καὶ τοῦ γεγονέναι καὶ τεθράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς e ἡ τύχη φυλαττομένης μὲν τὰ κακὰ πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι τὸ φέρειν εὐλογίστως οὐ παραιρεῖται.

liisque populi agitatus. Etenim plebs Gracchanæ factionis exitio oppressa quum in præsentia animos demisisset, non multo post demonstravit, quanto Gracchorum teneretur desiderio. Nam et statuas eorum in propatulo posuerunt, locisque iis, ubi occisi fuerant, consecratis, primitias ibi omnium frugum quovis anni tempore offerebant, frequentesque sacrificabant quotidie, veluti deorum delubra colentes.

XIX. Sane et Cornelia, ut memoriæ proditum est, quum alias magno generosoque animo calamitatem tulit, tum de fanis, in quibus filii cæsi fuerant, dixit, digna eis sepulcra obtigisse. (2) Apud Misenum ipsa reliquum ætatis exegit, nihil immutata vivendi usitata ratione. Abundabat amicis et propter hospitalitatem splendidius instruebatur ejus mensa; habebat enim semper circum se Græcos et literarum bonarum studiosos, omnes autem reges dona ab ea accipiebant, vicissimque mittebant. Suavissima erat visentibus ipsam et familiaribus oratio ejus patris Africani vitam disciplinamque domesticam commemorantis; maximam vero sui admirationem movebat absque lacrimis et luctu filiorum suorum actiones casusque veluti priscorum hominum referens. (3) Itaque et nonnulli eam propter senium vel magnitudinem calamitatum a mente desertam sensuque malorum privatam putaverunt: stupidi profecto ipsi, qui non sentirent, quantum bona indoles, rectaque educatio hominibus ad vacuitatem dolorum conferat momenti, et quod in vitandis quidem malis sæpenumero fortuna virtutem superat, in ipsis vero calamitatibus casus nostros moderate ferendi facultatem ei non adimit.

ΑΓΙΔΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΟΥΣ
ΚΑΙ
ΓΡΑΓΧΩΝ ΣΥΓΚΡΙΣΙΣ.

Ἡμῖν δὲ καὶ ταύτης πέρας ἐχούσης τῆς διηγήσεως ὑπολείπεται λαβεῖν ἐκ παραλλήλου τῶν βίων τὴν ἀποθεώρησιν. Τοὺς μὲν οὖν Γράγχους οὐδ' οἱ πάνυ τἄλλα κακῶς λέγοντες καὶ μισοῦντες ἐτόλμησαν εἰπεῖν, ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο Ῥωμαίων ἁπάν- f των καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον· ἡ δὲ Ἄγιδος καὶ Κλεομένους φύσις ἐρρωμενεστέρα φαίνεται τῆς ἐκείνων γενομένη, παρ' ὅσον οὔτε παιδείας μεταλαβόντες ὀρθῆς ἔθεσί τε καὶ διαίταις ἐντραφέντες,
844 ὑφ' ὧν οἱ πρεσβύτεροι πάλαι διεφθόρεισαν, αὐτοὺς a ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. (2) Ἔτι δὲ οἱ μέν, ὅτε λαμπρότατον εἶχεν ἡ Ῥώμη καὶ μέγιστον ἀξίωμα, καλῶν ἔργων ζῆλον ὥσπερ διαδοχὴν ἀρετῆς πατρῴας καὶ προγονικῆς ᾐσχύνθησαν ἐγκαταλιπεῖν· οἱ δὲ καὶ πατέρων τἀναντία προῃρημένων γε-

AGIDIS ET CLEOMENIS
CUM
GRACCHIS COMPARATIO.

Restat ut vitas hactenus expositas inter se comparemus. Gracchos quidem nemo, ne eorum quidem qui acerrime eis obtrectarunt, ausus fuit negare, omnium Romanorum optime ad virtutem fuisse natos, educationemque eorum et institutionem fuisse eximiam. Agidis et Cleomenis ingenium tanto validius quam illorum fuisse videtur, quod neque educati recte, et in iis moribus vitæque rationibus enutriti, quibus majores jampridem corrupti fuerant, ipsi sese duces frugalitatis temperantiæque præbuerunt. (2) Præterea illi, quo tempore Roma splendidissima et maxima dignitate fuit, studium virtutis veluti hæreditatem paternæ avitæque gloriæ deserere turpe judicarunt; hi parentibus diversum ab ipsis

γονότες καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες οὐδέν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπήμβλυναν ὁρμήν. (3) Καὶ μὴν τῆς γε Γράγχων ἀφιλοχρηματίας καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς· Ἆγις δὲ κἂν διηγανάκτησεν ἐπὶ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος, ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις b ἐπέδωκεν ἄνευ τῶν ἄλλων κτημάτων ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. Πηλίκον οὖν ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως ὁ καὶ δικαίως πλέον ἔχειν ἑτέρου πλεονεξίαν ἡγούμενος;

II. Ἥ γε μὴν ἐπιβουλὴ καὶ τόλμα τῶν καινοτομουμένων πολὺ τῷ μεγέθει παρήλλαττεν. Ἐπολιτεύοντο γὰρ ὁ μὲν ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις· καὶ τὸ πάντων νεανικώτατον ἦν Τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγρούς, Γαΐῳ δὲ μῖξαι τὰ δικαστήρια προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους· ὁ δὲ Ἄγιδος καὶ Κλεομένους νεωτερισμὸς τὸ μικρὰ καὶ κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν c ὕδραν τινὰ τέμνοντος, ὥς φησιν ὁ Πλάτων, ἡγησάμενος εἶναι τὴν ἅμα πάντα ἀπαλλάξαι κακὰ καὶ κατασκευάσαι δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασιν. Ἀληθέστερον δ' ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν ἀπάγων καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. (2) Ἐπεὶ καὶ τοῦτο ἄν τις εἴποι, τῇ μὲν Γράγχων πολιτείᾳ τοὺς μεγίστους ἐνίστασθαι Ῥωμαίων, οἷς δὲ Ἆγις ἐνεχείρησε, Κλεομένης δὲ τὸ ἔργον ἐπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι περὶ σωφροσύνης καὶ ἰσότητος, ὧν τούτοις μὲν ὁ Λυκοῦργος, ἐκείνοις δὲ ὁ Πύθιος βεβαιωτής. d Ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν εἰς οὐδὲν ἡ Ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων, ἐκ δὲ ὧν ὁ Κλεομένης ἔπραξεν ὀλίγου χρόνου τὴν Σπάρτην τῆς Πελοποννήσου κρατοῦσαν ἡ Ἑλλὰς ἐπεῖδε καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας, οὗ τέλος ἦν ἀπαλλαγεῖσαν Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν τὴν Ἑλλάδα κοσμεῖσθαι πάλιν ὑφ' Ἡρακλείδαις.

III. Οἶμαι δὲ καὶ τὰς τελευτὰς τῶν ἀνδρῶν ἐμφαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. Ἐκεῖνοι μὲν γὰρ μαχόμενοι πρὸς τοὺς πολίτας, εἶτα φεύγοντες ἐτελεύτησαν· e τούτων δὲ Ἆγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν ὀλίγου δεῖν ἑκὼν ἀπέθανε, Κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος, αὑτὸν εὐτόλμως ἀνεῖλε. (2) Πάλιν δὲ τἀναντία σκοποῦσιν Ἆγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προανῃρέθη, ταῖς δὲ Κλεομένους νίκαις πολλαῖς καὶ καλαῖς γενομέναις παραβαλεῖν ἐστι Τιβερίου τὴν ἐν Καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον, καὶ τὰς ἐν Νομαντίᾳ σπονδάς, αἷς δισμυρίους στρατιώτας Ῥωμαίων οὐκ f ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας περιεποίησε· καὶ Γάϊος

sentientibus orti, patriamque male affectam et statu rerum parum prospero utentem nacti, nihil tamen passi sunt ob ista de suo honestatis studio diminui. (3) In contemptu pecuniæ Gracchorum et abstinentia a cupiditate opum id maximum est, quod a quæstu injusto puros sese in republica et magistratibus gesserunt : Agis vero stomachatus fuisset utique, si quis ipsum hoc nomine laudasset, quod nihil alienum sibi vindicasset, qui facultates suas civibus largitus est, præter cetera bona nomismatis sexcenta talenta continentes, ut facile intelligi possit quantopere injustum lucrum detestatus sit, qui etiam justo titulo plus aliis possidere avaritiæ duceret.

II. Jam conatus in rebus novis machinandis magnitudine multum differunt. C. enim Gracchus itinerum refectiones et urbium instaurationes moliebatur, omniumque actionum audacissimum, quod Gracchorum major publicos agros dividere populo, minor trecentos ex Equitibus judices patriciis admiscere aggressus est. Agidis vero et Cleomenis institutum novandarum rerum tale fuit, ut exiguis singulisque mederi morbis eosque exscindere, nihil aliud esse quam Hydram secare, ut est apud Platonem, putantes, eam quæ simul omnia tolleret et immutaret mala, reipublicæ invexerunt mutationem, aut verius, quæ reducta in pristinam formam republica mutationem, quæ omnium malorum causa fuerat, civitate ejiceret. (2) Quin et hoc dici potest, Gracchorum instituto principes Romanorum repugnasse, quæ vero Agis instituit, Cleomenes perficere conatus est, imitatione pulcherrimæ et magnificentissimæ rei, patriarum scilicet legum de temperantia et æqualitate, facta sunt, quarum his Lycurgus, illis Apollo Pythius auctor fuit. Quod vero maximum est, Roma Gracchorum actionibus nihil aucta est, Cleomenis actiones hoc consecutum est, ut brevi temporis spatio exacto imperantem Peloponneso Spartam et de principatu cum potentissimis ea tempestate dimicantem cerneret Græcia, idque in eum finem, ut Græcia Illyricis aliquando Gallicisque exonerata armis rursum ab Heraclidis gubernaretur.

III. Arbitror et exitus horum virorum virtutis quoddam discrimen ostendere. Gracchi enim pugnantes adversus cives suos, in fuga perierunt; Agis ne quem civium interficeret, voluntaria prope morte decessit, Cleomenes injuriis contumeliisque affectus, quum ulcisci aggressus occasione perficiendi quod intenderat destitueretur, animose mortem sibi conscivit. (2) Rursus si ex altera parte hos viros examinemus, Agis priusquam bello rem gereret, mortuus est, Cleomenis autem multis atque præclaris victoriis conferri potest egregium Tib. Gracchi facinus, quod muros Carthaginis occupavit; tum Numantinum fœdus, quo viginti Romanorum militum millia, nullam aliam salutis spem habentium, servavit. C. quoque Gracchus multa et ibi et in

δὲ πολλὴν μὲν αὐτόθι, πολλὴν δὲ ἐν Σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν, ὥστε τοῖς πρώτοις ἂν ἐναμίλλους Ῥωμαίων γενέσθαι στρατηγοῖς, εἰ μὴ προανῃρέθησαν.

IV. Τῆς δὲ πολιτείας ὁ μὲν Ἆγις ἔοικεν ἅψασθαι 845 μαλακώτερον, ἐκκρουσθεὶς ὑπὸ Ἀγησιλάου καὶ ψευσάμενος a τὸν ἀναδασμὸν τοῖς πολίταις, καὶ ὅλως ἐλλιπὴς καὶ ἀτελὴς ὧν προείλετο καὶ κατήγγειλεν ὑπὸ ἀτολμίας διὰ τὴν ἡλικίαν γενόμενος· ὁ δὲ Κλεομένης τοὐναντίον θρασύτερον καὶ βιαιότερον ἐπὶ τὴν μεταβολὴν ἦλθε τῆς πολιτείας, ἀποκτείνας τοὺς ἐφόρους παρανόμως, οὓς καὶ προσαγαγέσθαι τοῖς ὅπλοις κρατοῦντα καὶ μεταστῆσαι ῥᾴδιον ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετέστησεν ἐκ τῆς πόλεως. Τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον οὔτε ἰατρικὸν οὔτε πολιτικὸν, ἀλλ' ἀτεχνίας μὲν ἀμφότερα, τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ' ὠμότητος πρόσεστι. (2) Τῶν δὲ Γράγχων οὐδέτερος μὲν ἦρξατο σφαγῆς ἐμφυλίου, Γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος b ὁρμῆσαι πρὸς ἄμυναν, ἀλλὰ λαμπρότατος ὢν ἐν τοῖς πολεμικοῖς ἀργότατος ἐν τῇ στάσει γενέσθαι. Καὶ γὰρ προῆλθεν ἄοπλος καὶ μαχομένων ἀνεχώρησε καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρόνοιαν ἢ τοῦ μὴ παθεῖν ἔχων ἑωρᾶτο. Διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ' εὐλαβείας ποιητέον. Ἔδει γὰρ ὑπεῖξαι τοῖς ἐπιφερομένοις ἢ μένοντας ὑπὲρ τοῦ μὴ παθεῖν τῷ δρᾶν ἀμύνασθαι.

V. Τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε καὶ δευτέραν αὐτὸς αὑτῷ δημαρχίαν μετῄει· Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως οὐδὲ ἀληθῶς c προσετρίβοντο· διεφθάρη γὰρ ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δὲ, ἵνα τὰς σφαγὰς τῶν ἐφόρων ἐάσωμεν, ἠλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας, ἐβασίλευσε δὲ τῷ μὲν ἔργῳ μόνος, τῷ δὲ ὀνόματι δεύτερος, Εὐκλείδαν τὸν ἀδελφὸν ἐκ μιᾶς οἰκίας αὑτῷ προσελόμενος, Ἀρχίδαμον δὲ ᾧ προσῆκον ἦν ἀπὸ τῆς ἑτέρας οἰκίας ὄντι συμβασιλεύειν, ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν, ἀποθανόντος δὲ τὸν φόνον οὐκ ἐπεξελθὼν ἐβεβαίωσε τὴν αἰτίαν καθ' αὑτοῦ τῆς ἀναιρέσεως. (2) Καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ Χαρίλλῳ, φοβούμενος δὲ μὴ, κἂν ἄλλως ἀποθάνῃ τὸ μειράκιον d, αἰτία τις ἐπ' αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς οὐ πρότερον ἐπανῆλθεν ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι διάδοχον τῆς ἀρχῆς. Ἀλλὰ Λυκούργῳ μὲν οὐδ' ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. (3) Ὅτι δὲ τοῖς Κλεομένους πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. Καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες τούτοις μὲν ἐξ ἀρχῆς τυραννικὸν καὶ πολεμοποιὸν αἰτιῶνται γενέσθαι, τῇ δ' ἐκείνων φύσει φιλοτιμίας ἀμετρίαν, ἄλλο δὲ οὐδὲν οἱ φθονοῦντες ἐπικαλεῖν εἶχον· ἐκριπισθέντας δὲ τῷ πρὸς τοὺς ἐνισταμένους ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν e φύσιν ὥσπερ πνοαῖς ἐφεῖναι περὶ τὰ ἔσχατα τὴν πολι-

Sardinia fortitudinis documenta edidit, ut videantur cum summis Romanorum ducibus pares futuri fuisse, si diutius vixissent.

IV. Rempublicam mollius Agis, quam par erat, administravit, ab Agesilao se decipi sinens, agrorumque divisione cives lactans; omninoque manca ejus consilia et imperfectæ actiones fuerunt, dimittentis propter ætatem quod instituerat. Contra Cleomenes in mutando reipublicæ statu nimiam audaciam violentiamque adhibuit, injuste occidendis ephoris, quos vel ad suam partem adjungere armis superior, vel, ut multos alios, in exilium mittere poterat. Ferrum enim neque rempublicam gerens neque medicus adhibere, nisi extrema postulante necessitate, debet; utrumque enim imperitiæ est et in republica injustitia ad eam et crudelitas accedunt. (2) Gracchorum neuter cædium intestinarum auctor fuit; et quidem Caius fertur ne quum telis quidem peteretur, ad defendendum se contulisse, sed quum in bello strenuissimus fuisset, in seditione segnissimum se præbuisse, quippe et progressus est inermis et ex pugna se subduxit, et omnino malorum ne quid faceret, quam ne quid pateretur, majorem curam adhibuit. Itaque fugam quoque ejus non timiditatis, sed cautionis signum debemus interpretari. Cedendum enim erat ingruentibus, aut, ubi manerent, ne quid paterentur, agendo prævertendum.

V. Quæ objiciuntur Tiberio crimina eorum maximum est, quod collegam tribunatu dejecit et alterum ipse sibi ambivit. Caio injuste ac falso Antyllii cædes imputatur, quum is invito ipso indigneque ferente sit interfectus. Cleomenes, ut necem ephororum taceam, omnes servos liberavit, regnavitque, si rem spectes, solus, verbo collegam ex eadem familia Euclidam fratrem habens, Archidamum vero, in quem, utpote ex altera familia ortum, regni societas cadebat, Messena domum evocavit, interfectique cædem non ulciscens, confirmavit suspicionem, se ut occideretur causam præbuisse. (2) Et vero Lycurgus, quem se imitari simulabat, ultro regnum fratris filio Charilao reddiderat, ac metuens ne, si vel alio casu decessisset adolescens, ipse necis ejus insimularetur, diu extra patriam vagatus, non ante domum rediit, quam hæredem regni natum Charilao cognovit. Sed Lycurgo ne alius quidem Græcorum ullus comparari meretur. (3) In Cleomenis actionibus civilibus majores mutationes et plus injustitiæ inesse, demonstratum est. Præterea qui mores eorum culpant, hos ab initio statim tyrannidis appetentes bellorumque conturbatores fuisse dicunt; in Gracchis invidi nihil præter nimium gloriæ studium reprehendere potuerunt, fassique sunt eos irritatos præter suam naturam ab adversariis vehementia animi et contentionis tanquam ventis incitatos in extremum discrimen rempublicam adduxisse.

τείαν ὡμολόγουν. Ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως τί κάλλιον ἢ δικαιότερον ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναστείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν νόμον οἱ πλούσιοι περιέστησαν ἀμφοτέροις ἀγῶνας, τῷ μὲν φοβουμένῳ περὶ αὑτοῦ, τῷ δὲ ἐκδικοῦντι τὸν ἀδελφὸν ἄνευ δίκης καὶ δόγματος οὐδὲ ὑπ' ἄρχοντος ἀναιρεθέντα; (4) Συνορᾷς μὲν οὖν καὶ αὐτὸς ἐκ τῶν εἰρημένων τὴν διαφοράν· εἰ δὲ δεῖ καὶ καθ' ἕκαστον ἀποφήνασθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων, ἐλάχιστα δὲ ἡμαρτηκέναι τὸ μειράκιον Ἆγιν, πράξει δὲ καὶ τόλμῃ Γάϊον οὐκ ὀλίγῳ Κλεομένους ὕστερον γεγονέναι.

Nam quid potuit primo ipsorum proposito pulchrius justiusve excogitari, nisi divites vi et potentia sua conati legem eam abrogare, in certamen eos pertraxissent, alterum saluti suæ metuentem, alterum cædem fratris ulciscentem, indicta causa et ne exstante quidem ullo ejus rei decreto interfecti? (4) Ergo quæ sint inter istos differentiæ, ipse ex his, quæ dixi, conspicis. Quodsi etiam de singulis ferenda sit sententia, primam ex omnibus virtutis laudem Tiberio tribuerim, minime omnium adolescentem peccasse Agidem censuerim, efficacitate et audacia Caium Cleomene haud paullo inferiorem fuisse judicaverim.

ΔΗΜΟΣΘΕΝΗΣ.

846 Ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπίασιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος, εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὰν πόλιν εὐδόκιμον· ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν ἡγοῦμαι ἀδόξου καὶ ταπεινῆς πατρίδος ἢ μητρὸς ἀμόρφου καὶ μικρᾶς γενέσθαι. c Γελοῖον γάρ, εἴ τις οἴοιτο τὴν Ἰουλίδα, μέρος μικρὸν οὖσαν οὐ μεγάλης νήσου τῆς Κέω, καὶ τὴν Αἴγιναν, ἣν τῶν Ἀττικῶν τις ἐκέλευεν ὡς λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς, ὑποκριτὰς μὲν ἀγαθοὺς τρέφειν καὶ ποιητάς, ἄνδρα δ' οὐκ ἄν ποτε δύνασθαι δίκαιον καὶ αὐτάρκη καὶ νοῦν ἔχοντα καὶ μεγαλόψυχον προενεγκεῖν. (2) Τὰς γὰρ ἄλλας τέχνας εἰκός ἐστι πρὸς ἐργασίαν ἢ δόξαν συνισταμένας ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραίνεσθαι, τὴν δ' ἀρετήν, ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτόν, ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. Ὅθεν οὐδ' ἡμεῖς, εἴ τι τοῦ φρονεῖν ὡς δεῖ καὶ βιοῦν ἐλλείπομεν, d τοῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως ἀναθήσομεν.

II. Τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ καὶ ἱστορίαν ἐξ οὐ προχείρων οὐδ' οἰκείων, ἀλλὰ ξένων τε τῶν πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνιοῦσαν ἀναγνωσμάτων τῷ ὄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιστα τὴν πόλιν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυάνθρωπον, ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχων καὶ ὅσα τοὺς γράφοντας διαφεύγοντα σωτηρίᾳ μνήμης ἐπιφανεστέραν εἴληφε πίστιν ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος μὴ πολλῶν μηδ' ἀναγκαίων ἐνδεὲς ἀποδιδοίη τὸ ἔργον. (2) Ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν καί, ἵνα μὴ μικροτέρα e γένηται, φιλοχωροῦντες, ἐν δὲ Ῥώμῃ καὶ ταῖς περὶ τὴν Ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν Ῥωμαϊκὴν διάλεκτον ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἠρξάμεθα Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. (3) Καὶ πρᾶγμα θαυμαστὸν μέν, ἀλλ' ἀληθὲς ἐπάσχομεν. Οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνωρίζειν συνέβαινεν ἡμῖν, ὡς ἐκ τῶν πραγμάτων, ὧν ἁμωσγέπως εἴχομεν ἐμπειρίας, ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. Κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας καὶ τῶν ἄλλων, οἷς ὁ λόγος ἀγάλλεται, χαρίεν f μὲν ἡγούμεθα καὶ οὐκ ἀτερπές· ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις οὐκ εὐχερής, ἀλλ' οἷστισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας.

847 III. Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ, τῶν a

DEMOSTHENES.

Qui Alcibiadem Olympiæ equorum certamine victorem scripto laudavit, Sossi, sive is, ut plerique aiunt, Euripides, sive alius quispiam fuit, ad felicitatem primo loco requiri patriam nobilem asserit. Ego vero ei qui veram sit felicitatem consecuturus, cujus in moribus et animi affectionibus major pars consistit, non magis existimo ignobilem et obscuram patriam obesse, quam matre deformi vel pusilla esse natum. Ridiculus enim fuerit, qui censeat Iulidem, quæ exigua pars est Cei non magnæ insulæ, vel Æginam, quam Atticorum quidam jussit veluti gramiam detrahere Piræeo, histriones posse et poetas bonos producere, virum autem justum, et sibi ipsi sufficientem et prudentem ac magnanimum proferre non posse. (2) Etenim consentaneum est alias artes quæ ad rem faciendam comparandamve gloriam pertinent, in humilibus et obscuris urbibus elanguescere, virtutem autem, ut validam vegetamve plantam, quovis in loco radices agere, ubicunque bonam indolem et animum laboris tolerantem apprehenderit. Itaque ne nos quidem, si minus recte quam par est, vel sentimus, vel vivimus, patriæ id nostræ humilitati, sed nobis ipsis merito imputaverimus.

II. Ei vero, qui historiam scribendam susceperit, non ex iis quæ domestica aut in promptu posita, sed peregrinis majori sui parte et aliorum in libris hinc inde dispersis constantem narrationibus, re vera primo omnium opus est urbe nobili, rerum honestarum studiosa, hominumque multitudine affluente, ut et in omnis generis librorum copia versans et res gestas, quæ non scripto consignatæ, sed memoriæ beneficio conservatæ, manifestiorem habent fidem, perrontando audiendoque percipiens, ita suum opus absolveret, ut ne multa aut necessaria in eo desiderari non possent. (2) Nos autem et parvam habitamus urbem, in eaque, ne minor etiam fiat, libenter hæremus, Romæ vero et in aliis Italiæ agentibus partibus otium exercendi nos in Romano sermone civiles occupationes, et ii qui philosophandi causa, nos conveniebant, non permiserunt; ita sero tandem, et provecta jam ætate, Romanas literas attigimus. (3) Quo in studio mira nobis, vera tamen res accidit: ut nimirum non tam ex vocabulis rerum ipsarum notitiam consequeremur, quam ex rebus, quarum quodammodo habebamus notiones usu comparatas, verba etiam ipsa addisceremus intelligere. Pulchritudinem autem Romani eloquii et volubilitatem sentire, et translationes nominum concinnitatemque, et alia quibus oratio exornatur, existimamus quidem rem esse elegantem et non injucundam, exercitatio autem quæ ad eam requiritur, studiumque majoris est operæ et eorum, quibus et otium amplius est et ætas adhuc ad ea studia suppetit.

III. Itaque etiam in hoc quinto Vitarum parallelarum libro,

παραλλήλων βίων ὄντι πέμπτῳ, περὶ Δημοσθένους καὶ Κικέρωνος ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα· τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. Κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία, ἣν ὁ περιττὸς ἐν ἅπασι Κεκίλιος ἀγνοήσας ἐνεανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. Ἀλλὰ γὰρ ἴσως, εἰ παντὸς ἦν τὸ Γνῶθι σεαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. (2) Δημοσθένην γὰρ καὶ Κικέρωνα τὸν αὐτὸν ἔοικε b πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους ἄτολμον, πολλὰ δ' ἀναμῖξαι καὶ τῶν τυχηρῶν. Δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους, προσκρούσαντας δὲ βασιλεῦσι καὶ τυράννοις, θυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς, ἀποδράντας δ' αὖθις καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων, ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας· ὥστε, εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ c καθάπερ τεχνίταις ἅμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι, πότερον αὕτη τοῖς τρόποις ἢ τοῖς πράγμασιν ἐκείνη τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασται. Λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον.

IV. Δημοσθένης ὁ πατὴρ Δημοσθένους ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος, ἐπεκαλεῖτο δὲ μαχαιροποιός, ἐργαστήριον ἔχων μέγα καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. Ἃ δ' Αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρός, ὡς ἐκ Γύλωνός τινος ἐπ' αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος γεγόνοι καὶ βαρβάρου γυναικός, οὐκ ἔχομεν εἰπεῖν εἴτ' ἀληθῶς d εἴρηκεν εἴτε βλασφημῶν καὶ καταψευδόμενος. (2) Ἀπολειφθεὶς δ' ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων), ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ' ἀμελησάντων, ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. Διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. (3) Ἦν γὰρ ἐξ e ἀρχῆς κάτισχνος καὶ νοσώδης, διὸ καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν, τὸν Βάταλον, εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. Ἦν δὲ ὁ Βάταλος, ὡς μὲν ἔνιοί φασιν, αὐλητὴς τῶν κατεαγότων, καὶ δραμάτιον εἰς τοῦτο κωμῳδῶν αὐτὸν Ἀντιφάνης πεποίηκεν. Ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ Βατάλου μέμνηνται. Δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. Ὁ δ' Ἄρ-

de Cicerone et Demosthene scripturi, ex actionibus eorum et reipublicæ administratione naturas moresque ipsorum inter se contendemus; orationes autem eorum conferre et pronuntiare uter altero suavior aut majori in dicendo vi præditus fuerit, supersedebimus. Nam ibi etiam in me conveniat id, quod Ion dixit,

Delphini in continente vis.

Quod non animadvertens Cæcilius, homo nimis omni in re curiosus, temere ausus est Ciceronis cum Demosthene comparationem edere. Enimvero si cuivis in promptu esset nosse se ipsum, non divinitus id præceptum fuisse creditum esset. (2) Demosthenem quidem et Ciceronem idem videtur ab initio effinxisse deus, et naturæ ipsorum multas insevisse similitudines, ut fuerunt, honoris et libertatis in republica studium, timiditas in periculis bellisve adeundis, multa etiam fortuita admiscuisse. Non enim duos alios existimo inveniri posse oratores, qui de obscuris et abjectis magni clarique facti sint, reges et tyrannos offenderint, filias amiserint, in exsilium acti rursus in patriam splendide redierint, tandemque rursus aufugerint, et in hostium manus inciderint, et una cum publica libertate perierint. Itaque si naturæ et fortunæ, veluti opificibus, contentio incideret, difficile judicatu sit futurum, moribusne altera, an vero altera actionibus similiores eos inter se effinxerit. Dicendum autem prius de antiquiore est.

IV. Demosthenis pater, Demosthenes, unus de optimatibus fuit, si Theopompo credimus. Gladiorum autem faber cognominabatur, quod officinam habebat magnam, multosque servos qui gladios cuderent. Quæ de matre nostri Demosthenis Æschines dixit, filiam eam fuisse Gylonis, ejus qui proditionis accusatus Athenis profugit, et barbaræ cujusdam mulieris, verumne id, an confictum calumniandi causa objecerit, dicere non habeo. (2) Septem annorum pupillus a patre relictus Demosthenes, ampla re familiari (nam universarum ejus facultatum pretium æstimatum est haud multo minus quindecim talentis), a tutoribus injuriis affectus est, bona ipsius partim subripientibus, partim negligentibus, adeo ut præceptores quoque ejus mercede defraudarent. Quæ et ipsa causa fuit, cur elegantioris et puero ingenuo dignæ disciplinæ artiumque expers fuit; quo accessit corporis imbecillitas et mollities, ob quam mater eum a laboribus abstinebat, neque ad eos pædagogi urgebant. (3) Quippe fuit prima ab infantia gracilis et incommoda valetudine; unde a pueris corporis ejus debilitatem incessentibus probrosum Batali ei cognomen factum dicitur. Fuit autem, ut perhibent quidam, Batalus tibicen luxuria enervatus, eumque traducens Antiphanes comœdiam in eam rem scripsit. Alii Batali ut lascivi poetæ et qui carmina temulentis apta scripserit, meminerunt. Videtur etiam pars quædam corporis, quæ honeste nominari nequit, Batalus tum Attice appellata. Argas vero

γας (καὶ τοῦτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον, ὡς θηριώδη καὶ πικρὸν, f ἐτέθη· τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἀργᾶν ὀνομάζουσιν· ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους· καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. Καὶ ταῦτα μὲν ταύτῃ [κατὰ Πλάτωνα].

V. Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιστράτου τοῦ ῥήτορος 848 ἀγωνίζεσθαι τὴν περὶ Ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλλοντος a ἦν προσδοκία τῆς δίκης μεγάλη διά τε τὴν τοῦ ῥήτορος δύναμιν ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. Ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. Ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. (2) Εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν ὁρῶν προπεμπόμενον ὑπὸ τῶν b πολλῶν καὶ μακαριζόμενον, τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε καὶ κατενόησε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασεύειν πεφυκότος. Ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα καὶ τὰς παιδικὰς διατριβὰς αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς ἂν τῶν λεγόντων ἐσόμενος καὶ αὐτός. (3) Ἐχρήσατο δὲ Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε, ὥς τινες λέγουσι, τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν, εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον ὡς δραστήριον καὶ πανοῦργον ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. (4) Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο τὸν Δημοσθένην συνεσχολακέναι Πλά- c τωνι καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελῆσθαι, Κτησιβίου δὲ μέμνηται λέγοντος παρὰ Καλλίου τοῦ Συρακουσίου καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένην καταμαθεῖν.

VI. Ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι καὶ λογογραφεῖν ἐπ' αὐτοὺς πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος κατὰ τὸν Θουκυδίδην ταῖς μελέταις οὐκ ἀκινδύνως οὐδ' ἀργῶς κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων, τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν καὶ γευσάμενος τῆς d περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως ἐπεχείρησεν εἰς μέσον παριέναι καὶ τὰ κοινὰ πράττειν. (2) Καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι τῶν ἰατρῶν κελευσάντων, εἶθ' οὕτως διαπονήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων, οὕτως τῷ Δημοσθένει συνέβη τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀπο-

(nam et hoc cognomen Demosthenis fertur) vel ob morum feritatem et acerbitatem dictus est; quidam enim poetarum Argam serpentem nominant; vel quod oratio ejus audientibus esset molesta; Argas enim quidam poeta carmina scripsit maligna et mordacia. Verum hæc hactenus.

V. Ut animum ad eloquentiæ studium appelleret, hanc ei fuisse ansam tradunt. Callistratus rhetor causam Oropiam acturus ferebatur et magna exspectatio ejus erat judicii, quum ob facundiam rhetoris, cujus tunc maxime florebat gloria, tum ob causæ ipsius nobilitatem. Demosthenes itaque quum audiret præceptores et pædagogos inter se de audienda illa disceptatione agere, a pædagogo suo precibus instandoque impetravit, ut ad audiendum ipse quoque adduceretur. Isque familiares sibi habens apparitores, qui curiam aperiunt, locum obtinuit ab iis, in quo sedens puer occulte audiret orationes. (2) Quum vero causam Callistratus præclare egisset, magnamque sui admirationem dicendo excitasset, videns eum Demosthenes deduci a multitudine et felicem prædicari, gloriæ hominis æmulari cœpit: magis tamen facundiæ vim admiratus est atque consideravit omnium animos ad se convertere et subigere valentis. Itaque ceteris relictis disciplinis studiisque puerilibus, ipse se ipsum declamitando exercitabat atque ita afficiebat, ut futurus aliquando etiam ipse orator. (3) Præceptore dicendi usus est Isæo, quanquam Isocrate tum docente, sive quod propter orbitatem mercedem huic (decem enim a singulis discipulis exigebat minas) persolvere non posset, sive quod illius orationem, ut vehementem callidamque, usus causa præferret. (4) Hermippus scribit, incidisse se in auctoris incerti commentarios, in quibus scriptum sit Demosthenem Platonis fuisse auditorem, plurimumque inde ad eloquentiam adjumenti accepisse. Atque idem Ctesibium refert affirmare, Demosthenem artis præcepta, quibus Isocrates et Alcidamas utebantur, occulte a Callia Syracusano et aliis quibusdam accepisse atque perdidicisse.

VI. Adultus statim in jus tutores suos vocavit orationesque adversum eos composuit, quanquam illi varie subterfugere et latas sententias rescindere conabantur, assiduitate tamen studii, ut Thucydidis verbis utar, non sine magno labore et periculo exercitatus, eos devicit. Ac quamvis ne minimam quidem paternorum bonorum partem ab iis eo extorquere posset, audaciam tamen ad dicendum consuetudinemque consecutus, percepto jam gustu gloriæ atque potentiæ forensium certaminum, in medium prodire et res tractare publicas aggressus est. (2) Et quemadmodum Laomedontem Orchomenium memorant, ut vitio cuidam splenis mederetur, consilio medicorum longis usum cursibus, eo inde habitu conservato certamina publica adiisse et cursorem inter præstantissimos numeratum: sic Demosthenes quum primum causa recuperandi bona paterna orare cœpisset, atque ea re peritiam vimque sibi parasset, inde in publicis

δύντι πρὸς τὸ λέγειν, ἐκ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. (3) Καίτοι τό γε πρῶτον ἐντυγχάνων e τῷ δήμῳ θορύβοις περιέπιπτε καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. Ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς ἀσθένεια καὶ γλώττης ἀσάφεια καὶ πνεύματος κολοβότης ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδους. (4) Τέλος δ' ἀποστάντα τοῦ δήμου καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὔνομος ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλους ὑφι- f στάμενος εὐθαρσῶς οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

VII. Πάλιν δέ ποτέ φασιν ἐκπεσόντος αὐτοῦ καὶ 849a ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος, ἐπακολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν ἐπιτήδειον ὄντα καὶ συνελθεῖν. Ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτὸς, « Ἀληθῆ λέγεις, ὦ Δημόσθενες, » φάναι τὸν Σάτυρον, « ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος. » Εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν b Σάτυρον οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. Πεισθέντα δ', ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. (2) Ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς, ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας κατιόντα πλάττειν τὴν ὑπόκρισιν καὶ διαπονεῖν τὴν φωνὴν, πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν c ἐνδέχεσθαι δι' αἰσχύνην.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. Ἀπαλλαγεὶς γὰρ αὐτῶν τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν εἰς γνώμας ἀνῆγε καὶ περιόδους, ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρου πρὸς ἑαυτὸν ἢ ὑφ' αὑτοῦ πάλιν πρὸς ἄλλον. Ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ d εὐφυὴς ὤν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ

causis, veluti in coronæ præmio proposito commissis certaminibus versans, omnes de tribunali perorantes cives superavit. (3) Sane primum ad populum verba faciens tumultibus excipiebatur atque irrisui fuit propter insolentiam orationis, quæ confusis circuitibus et contortis fastidiose nimis atque aspere argumentis videbatur constare. Accedebant eo vocis quædam, ut aiunt, imbecillitas, linguæ obscuritas, et spiritus defectio, quæ divulsis inter se connexionibus verborum, sensum eorum quæ dicerentur perturbabant. (4) Tandem eum relicto populo ob ægritudinem animi in Piræeo oberrantem, Eunomus Thriasius oppido senex conspicatus objurgavit, quod orationem Pericleæ simillimam nactus, præ timiditate se ipsum et mollitie proderet, neque tumultus populi præsenti animo sustinens, neque corpus ad contentionem parans, sed id luxu emarcescere sinens.

VII. Rursus deinde explosum ferunt, et quum obvoluto capite graviter casum suum ferens domum rediret, Satyrum histrionem familiarem ipsius subsecutum et congressum. Ibi quum Demosthenes deploraret, se, qui omnium oratorum plurimum elaboraret, ac prope omnem corporis vigorem in eam rem impendisset, non esse tamen acceptum populo, seque neglecto, audiri et occupare suggestum ebriosos homines, nautas bonarumque rudes disciplinarum; respondisse Satyrum : Vera quidem tu dicis, verum ego statim causæ medebor, si mihi Euripidis aliquot aut Sophoclis carmina recitare velis. Recitante Demosthene, Satyrum quæ ille retulisset repetentem, tamque decenti vultu et apta actione eadem extulisse, ut omnino diversa Demostheni viderentur. Itaque eum doctum quantum ornatus gratiæque orationi actio conciliaret, exercitationem pro nullius momenti re habuisse, ubi pronuntiationis negligeretur ratio. (2) Proinde locum in quo orationes suas meditaretur subterraneum ædificasse, quæ caverna nostra etiam ætate superstes fuit. Huc eum omnino singulis diebus descendisse actionis formandæ vocisque componendæ gratia; sæpe etiam duos aut tres menses continuos egisse ibi, altera capitis parte, ut ne si vellet quidem, egredi inde præ verecundia posset.

VIII. Quin et congressus cum aliis et colloquia et occupationes pro argumento et occasione elaborandi arripuit. Quum enim ab iis ad otium esset rursum solutus, statim in conclave illud suum descendens, actiones, earumque allatas rationes secum repetebat, tum quas audiverat orationes, iisque in sententias singulas et continuationes digestis, eorum quæ ipse ad alium, aut ad se alius esset locutus varias emendationes comminiscebatur, alioque dicendi modo eadem efferre meditabatur. Inde factum est ut non naturali, sed labore parta facundia viquc dicendi præditus

δυνάμει χρώμενος. (2) Ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. Εἰς τοῦτο δὲ ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτόν, καὶ Πυθέας ἐπισκώπτων ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης· « Οὐ ταὐτὰ γάρ, εἶπεν, ἐμοὶ καὶ σοί, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε. » Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψαι e οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. (3) Καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν, τὸ δ', ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον, ἀφροντιστεῖν ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

IX. Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων ἀναστὰς μόνος ἀντεῖπεν f, ἢ Λαμάχου τοῦ Μυριναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώ-
850 σκοντος Ὀλυμπίασι, παραναστὰς καὶ διεξελθὼν μεθ' a ἱστορίας καὶ ἀποδείξεως, ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν, ὅσων αἴτιοι γεγόνασι κακῶν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως; (2) Ἀλλ' ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν οὐδ' ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. (3) Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ b λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίῳ τῷ Φαληρεῖ καὶ τοῖς κωμικοῖς. Ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα·

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν, ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ φησὶν οὕτως·

Ἀπέλαβεν, ὥσπερ ἔλαβεν. B. Ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης·

ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἀλονήσου λόγον c

crederetur. (2) Cui rei argumento esse videbatur, quod non facile quisquam Demosthenem ex tempore verba facientem audiebat, atque adeo sæpe in concione assidens nominatimque a populo vocatus ad dicendum non nisi præmeditatus paratusque surgebat. Ob id quum alii oratores eum subsannabant, tum Pytheas argumenta ejus redolere lucernam cavillandi causa dicebat. Atque huic quidem acerbe respondit, non earundem rerum sibi atque illi lucernam consciam esse dicens. Apud reliquos non plane infitiabatur, neque de scripto, neque omnino tamen non scripta dicere fatebatur. (3) Et quidem eum, qui orationem præmeditaretur, popularem esse pronuntiabat; meditando enim homines se ad captandam populi gratiam comparare, negligere vero quomodo multitudo esset orationem exceptura, id hominis esse ad paucorum omnia potestatem revocantis, ac cogendis magis quam persuadendis hominibus intenti. Id quoque signum adducunt, Demosthenem ex tempore dicere non ausum, quod Demades sæpe ei tumultibus populi perculso subito assurgens astipulatus sit, ipse autem Demadi nunquam.

IX. Unde ergo, inquies, Æschines incredibili eum ad dicendum audacia præditum fuisse dicit? quomodo Pythoni Byzantio efferenti se et Athenienses acriter invehenti, solus ipse ad dicendum progressus restitit? aut qui Lamacho Myrinæo laudationem Alexandri et Philippi regum recitante, in qua multis maledictis Thebanos et Olynthios proscindebat, contra assurgens et quæ Thebani ac Chalcidenses bona Græciæ fecissent fide digna narratione demonstrans, tum quantorum malorum causa ii qui Macedones adularentur fuissent, ita commovit auditores, ut rhetor ille tumultu perterritus, se ex conventu subduceret? (2) Enimvero videtur Demosthenes ceteras quidem Periclis artes nihil ad se attinere existimans, gestum modo ejus et compositionem corporis, idque nec celeriter neque quavis de re ex tempore dicere, imitatus esse, quod iis rebus eum magnum evasisse judicaret; itaque neque plane dimisisse perorandi re non prius meditata gloriam, neque tamen libenter sæpius fortunæ facultatem dicendi suam credidisse. (3) Plus enim audaciæ atque confidentiæ dictæ ejus quam scriptæ orationes habuerunt, si quidem Eratostheni, Demetrio Phalereo, et Comicis credimus. Eratosthenes enim sæpe eum ait inter dicendum furore abreptum. Demetrius eum veluti divinitus percitum, juramentum illud numeris comprehensum jurasse ad populum :

Adjuro terram, fontes, latices, flumina.

Comicorum quidam eum Rhopoperperethram appellat, quasi dicas inanis et futilis loquacitatis hominem. Alius eum ob usum antithetorum cavillans ait :

Recepit ita, ut accepit. B. Perlubens quidem
vocem istanc arripuisset sibi Demosthenes.

Nisi forte in orationem de Haloneso hoc lusit etiam Anti-

ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευσε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου.

X. Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον ἀνίκητον εἶναι καὶ παραφέρειν αὐτοσχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. (2) Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. Ἐρωτηθέντα γάρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν· « Ἄξιος τῆς πόλεως· » ὁποῖος δὲ Δημάδης· « Ὑπὲρ τὴν πόλιν. » Ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, d ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένην, δυνατώτατον δὲ εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. (3) Καὶ μέντοι καὶ τὸν Δημοσθένην φασὶν αὐτόν, ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις· « Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται. » Τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

XI. Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ λέγων e αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι διαλεγόμενον καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. (2) Λέγεται δ', ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας καὶ διεξιόντος, ὡς ὑπό του λάβοι πληγάς, « Ἀλλὰ σύ γε, φάναι τὸν Δημοσθένην, f τούτων ὧν λέγεις οὐδὲν πέπονθας. » Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος, « Ἐγώ, Δημόσθενες, οὐδὲν πέπονθα; » « Νὴ Δία, φάναι, νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. » Οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν
85. τῶν λεγόντων. (3) Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος a ἤρεσκε θαυμαστῶς, οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακόν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν. Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους, ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. (4) Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις, ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν ἐχρῆτο καὶ τῷ γελοίῳ. b Δημάδου μὲν γὰρ εἰπόντος, » « Ἐμὲ Δημοσθένης, ἡ ὗς τὴν Ἀθηνᾶν· » « Αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ

phanes, quam Atheniensibus suasit ille non accipere, sed recipere a Philippo.

X. Ceterum in confesso apud omnes erat, Demadem natura sua utentem, invictum esse et ex tempore dicentem, meditatas et præparatas Demosthenis orationes superare. (2) Aristo Chius præterea Theophrasti quandam de oratoribus sententiam refert. Interrogatum scilicet eum, qualis orator ei videretur Demosthenes, respondisse: Dignus urbe; qualis Demades: Præstantior urbe. Idem philosophus Polyeuctum narrat Sphettium, unum ex iis qui tum Athenis in republica versabantur, pronuntiasse: maximum oratorem esse Demosthenem, sed Phocionis summam esse in dicendo vim; nam hunc paucissimis verbis plurimum sententiæ exprimere. (3) Sane ipsum quoque Demosthenem traditum est, quoties Phocionem sibi contradicendi causa suggestum conscendere videret, familiaribus dicere solitum: Assurgit ensis, qui mea verba dissecet. Neque constat, ad orationem viri, an ad mores et existimationem Phocionis respexerit, verbum unum et nutum viri auctoritate præditi plus valere multis et longis verborum continuationibus intelligens.

XI. Corporis autem vitiis ut mederetur, hujusmodi usus est exercitatione, ut quidem Demetrius Phalereus ex ipso se jam sene audivisse perhibet. Assumptis in os calculis, verba simul aliquot recitans, hæsitantiam et balbutiem linguæ correxit. Vocem inter currendum exercuit, interque ascendendum per acclivia locutus est, simulque increbrescente spiritu versus aliquot aut sententias protulit. Domi habuit magnum speculum, ex adverso ejus stans declamare solitus. (2) Ferunt eum homini cuidam ad se venienti, patrociniumque petenti, quod vapulasse a quodam se diceret, respondisse: At tu quidem nihil eorum quæ narras passus es. Intendente eo deinde vocem et clamante: Ego vero, o Demosthenes, nihil passus sum? dixisse: Jam profecto hominis injuria affecti vocem audio. Adeo multum conducere ad fidem faciendam vocis contentionem gestusque putabat. (3) Multitudini porro actio ipsius mirum in modum placuit; politiores humilem eam et indignam mollemque judicabant, inter quos Demetrius etiam Phalereus est. Æsionem refert Hermippus de suæ ætatis et antiquis oratoribus sententiam interrogatum, respondisse: admiratum sane fuisse, qui hos audivisset, ita decore et magnifice ad populum loquentes, scriptas autem Demosthenis orationes longe plus apparatus habere atque virium. (4) Jam orationes ejus scriptas nemo negat quin multum habeant austeritatis atque mordacitatis. Facetiis tamen idem ex tempore in congressibus usus est. Ut quum dicenti Demadi: Demosthenes me, sus Minervam: Hæc, inquit, Minerva

πόρνη ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη.» Πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν, «Οἶδα, εἶπεν, ὅτι σε λυπῶ λύχνον καίων. Ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γινομένας κλοπάς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν.» Ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα· τὸν δ' ἄλλον αὐτοῦ τρόπον καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

XII. Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ c
τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τέ φησι καὶ λαβεῖν ἔστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. Αἱ μὲν γὰρ ἤδη διαπεπραγμένων ἐκείνων γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἔγγιστα πραγμάτων ἅπτονται. Δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. Ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν·

Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,

ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. Ὁρῶν δ' οὐ d
φαῦλον οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. Αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. (2) Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παῤῥησίας, ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον
δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγω- e
γούντων, ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι. Καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερείδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

XIII. Ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπῳ λέγειν, αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι καὶ μήτε πράγμασι μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γάρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον
ἐπὶ τῷ μὴ μεταβαλέσθαι προέμενος. (2) Οὐ γάρ, ὡς f
Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν, αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε, καὶ Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος εἰώθει λέγειν πρὸς τὸν δῆ-
852 μον, «Ὁ μὲν ἀνὴρ ἐχθρός, τὸ δὲ τῆς πόλεως νικάτω

nuper in Collyto est in adulterio deprehensa. Ad furem qui Æris cognomento insignis erat, ausum adversus vigilias ipsius et lucubrationes aliquid dicere: Scio, ait, me lucerna utendo tibi molestum esse. Sed vos, o cives, desinite mirari furta, quæ fiunt, quum fures æreos habeamus, parietes luteos. Verum de his, etiamsi non desunt plura, dicendi finem faciamus, ceteros ipsius mores et ingenium ex actionibus et reipublicæ administratione spectare convenit.

XII. Accessit autem ad rempublicam Phocico jam bello conflato, quod et ipse affirmat, et colligi ex Philippicis potest, quarum aliæ confecto jam eo bello scriptæ sunt, primæ autem res ætati illi proximas attingunt. Manifestum est etiam eum se ad Midiæ accusationem parasse annos natum triginta duos, nondum parta in civitate potentia et auctoritate. Qua maxime causa motum arbitror accepta pecunia litem composuisse. Atque

Non equidem placidi vir cordis, sive benigni,

sed vehemens erat et in persequendis injuriis acer. Sed quum videret non vile neque suarum virium esse negotium, Midiam, hominem opibus, facundia et amicis bene munitum, dejicere, pro eo deprecantibus concessit. Nam ipsæ per se triginta minæ non videntur mihi acerbitatem Demosthenis leniturae fuisse, si certam victoriæ spem concepisset. (2) Occasionem porro tractandæ reipublicæ præclaram adeptus, Græcorum adversus Philippum defensionem et ea in re præclare se exercens, statim gloriam sibi paravit et ob eloquentiam libertatemque in dicendo ita claruit, ut et apud Græcos omnes in admiratione esset, et a Persarum rege coleretur, neque ipso quenquam oratorum magis curaret Philippus, et ipsi adversarii faterentur, rem sibi cum glorioso esse homine: hoc enim et Æschines et Hyperides de eo in accusationibus suis dixerunt.

XIII. Quare non video quid in mentem venerit Theopompo, ut eum levitatis accusaret, diceretque neque rebus neque hominibus diu iisdem uti potuisse. Apparet enim eum, quam initio factionem et quas partes in republica sibi sumpsisset, eas ad finem usque tenuisse, et non modo non mutasse in vita sua institutum, sed et vitam, ne se inflecteret, dimisisse. (2) Demades quidem excusans suam inconstantiam, sibi ipsi sæpe contraria se dixisse aiebat, civitati nunquam, et Melanopus Callistrato repugnans, quum ab eo sæpe pecunia corruptus sententiam mutaret, solebat ad populum dicere: Callistratus quidem inimicus est, sed vincat utili-

συμφέρον, » Νικόδημος δ' ὁ Μεσσήνιος Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν, ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων· οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἀφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. (3) Παναίτιος δ' ὁ φιλόσοφος καὶ τῶν λόγων αὐτοῦ φησιν οὕτω γεγράφθαι τοὺς πλείστους, ὡς μόνου τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατὰ Ἀρι- b στοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς· ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾷστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος· ὡς, εἴγε τῇ περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιστήριος καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ Μοιροκλέα καὶ Πολύευκτον καὶ Ὑπερείδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος καὶ Θουκυδίδου καὶ Περικλέους ἄξιος ἦν τίθεσθαι.

XIV. Τῶν γοῦν κατ' αὐτὸν ὁ Φωκίων οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακε- c δονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμῇ χείρων ἔδοξεν Ἐφιάλτου καὶ Ἀριστείδου καὶ Κίμωνος ἀνὴρ γενέσθαι. Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ Μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλά, μιμήσασθαι δὲ οὐχ ὅμοιος. (2) Ἐπεὶ τούς γε καθ' αὐτὸν ῥήτορας (ἔξω δὲ λόγου τίθεμαι Φωκίωνα) καὶ τῷ βίῳ παρῆλθε. Φαίνεται δὲ καὶ μετὰ παρρησίας μάλιστα τῷ δήμῳ διαλεγόμε- d νος καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἔστιν. Ἱστορεῖ δὲ καὶ Θεόπομπος, ὅτι, τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων, ἀναστὰς εἶπεν· « Ὑμεῖς ἐμοί, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μέν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δὲ οὐδέ, ἂν θέλητε. » (3) Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν παρήγαγε καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος ἤλεγξεν e ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε. Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

XV. Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἷλε τὸν

tas publica; et Nicodemus Messenius, quum prius Casandri partes prætulisset, deinde rursum Demetrii causam ageret: non se contraria dicere ferebat, semper enim ex usu esse, potentiori obedire. Tale Demostheni nihil objici potest, quasi vel voce vel agendo ab instituto divertisset, aliove deflexisset, sed veluti unum tantum atque immutabilem in republica administranda percutiens nervum, eundem omnibus in actionibus suis sonum ad extremum usque conservavit. (3) Panætius philosophus orationum quoque ejus plerasque ita ait scriptas esse, ut solam per se expetendam honestatem censuisse appareat, veluti de Corona, in Aristocratem, de Immunitatibus, Philippicas, in quibus omnibus non ad id quod facillimum aut jucundissimum esset, aut commodissimum, cives ducit, sed sæpenumero jubet honesto et decoro securitatem salutemque postponere. Atque adeo si argumentorum quæ tractavit præstantiam et orationum nobilitatem, fortitudinem etiam bellicam, inque agendo integritatem adjunxisset, non in numero oratorum æqualium Mœrocli, Polyeucto et Hyperidi oratorum classe censeri, sed superiore loco cum Cimone, Thucydide et Pericle numerari merebatur.

XIV. Quando ex illis, qui ejus ætate vixerunt, Phocion non laudabile admodum in republica consilium sequens, ut qui ad Macedonas videretur inclinare, propter fortitudinem tamen et justitiam nequaquam Ephialtæ, Aristidi aut Cimoni concedere de virtutis laude visus est. Demosthenes autem neque in armis satis laudatus, ut Demetrii verbis utar, neque adversus corruptelas munerum satis undique munitus, qui quum a Philippo et Macedonibus pecunia expugnari non posset, auro Susis et Ecbatanis allato capi et obrui se pateretur, præclarus quidem laudator virtutum quibus majores claruissent erat, sed imitando eas nihil valebat. (2) Alioquin æquales oratores (Phocionem excipio) vitæ etiam laude vicit. Ex orationibus quidem ipsius apparet, liberrime omnium ad populum verba fecisse, cupiditatibus multitudinis reluctatum fuisse et peccata ejus increpasse. Narrat Theopompus eum, quum ad accusandum quendam delectus ab Atheniensibus renueret, ideoque tumultuaretur populus, surrexisse et ita locutum: Vos quidem, o Athenienses, me consultorem vel inviti habebitis, calumniatorem autem nunquam, utcumque cupiatis. (3) Vehementer optimatium partium studiosum fuisse in republica, eo cum primis facto ostendit, quod Antiphontem in concione populi absolutum arripuit et in Areopagum pertraxit, parum de indignatione populi sollicitus, ibique convicit eum Philippo promisisse navalium incendium, atque tum morte damnatus ille capite pœnas luit. Theorida etiam sacerdotem accusavit, quod et ipsa crimen falsi sæpe commisisset et servos imposturæ artem docuisset: effecitque ut ea damnata morte plecteretur.

XV. Aiunt etiam orationem contra Timotheum ducem, qua usus Apollodorus eum reum peregit debitæ ærario pe-

ἄνδρα τοῦ ὀφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ' οἷς εἰκότως ἠδόξησε. Καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, f ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγχειρίδια πωλοῦντος αὐτοῦ τοῖς ἀντιδίκοις. Τῶν δὲ δημοσίων ὁ μὲν κατ' Ἀνδροτίωνος καὶ Τιμοκράτους καὶ Ἀριστοκράτους ἑτέροις ἐγράφησαν, οὔπω 853 τῇ πολιτείᾳ προσεληλυθότος· δοκεῖ γὰρ δυεῖν ἢ τριῶν a δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους· τὸν δὲ κατ' Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο καὶ τὸν περὶ τῶν ἀτελειῶν διὰ τὸν Χαβρίου παῖδα Κτήσιππον, ὥς φησιν αὐτὸς, ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. Οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς Περὶ συνωνύμων. (2) Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας ἄδηλον εἰ λέλεκται· καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. Ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθὲς, εἰ δεῖ τοῖς περὶ στεφάνου γεγραμμένοις ἑκα- b τέρων λόγοις τεκμαίρεσθαι. Μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος ὡς ἄχρι δίκης προελθόντος. Ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

XVI. Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. Διὸ καὶ παρὰ Φιλίππῳ πλεῖστος ἦν λόγος αὐτοῦ· καὶ ὅτε πρεσβεύων δέκατος ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλο- c φροσύναις ὅμοιον αὑτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. Ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον καὶ κάλλιστον ὀφθῆναι καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικὸς, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

XVII. Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔρρεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθη- d ναίους καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις, πείσας τὸν δῆμον ἀφέντα τὴν ἔχθραν καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. (2) Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι καὶ παροξύνων συνέστησε πλὴν ὀλίγων ἅπαντας ἐπὶ

cuniæ, a Demosthene actori conscriptam fuisse, sicut et in Phormionem et Stephanum; quam ob rem haud injuria male audivit. Quippe et Phormio contra Apollodorum in judicio contendens oratione a Demosthene scripta usus est, veluti ex una gladiorum officina adversariis pugiones, quibus dimicarent, vendente. De publicis autem rebus orationes, quæ in Androtionem, Timocratem et Aristocratem sunt, aliis scriptæ sunt a Demosthene, nondum ad rempublicam aggresso; existimatur enim eas duos vel tresdetriginta annos natus edidisse. Scriptam in Aristogitonem ipse peroravit, sicut et eam quæ est de Immunitatibus, propter Ctesippum Chabriæ filium, ut ipse dicit; quidam Ctesippi matrem ab eo ambitam dicunt. Non duxit quidem eam, sed Samiam quandam in matrimonio habuit, ut in Synonymis Demetrius Magnes scribit. (2) Oratio contra Æschinem de falsa legatione recitatane sit necne, incertum est; quanquam Idomeneus per triginta solum suffragia stetisse dicit, quominus Æschines absolveretur. Rem non ita habere existimo, si licet conjecturis uti de utriusque oratione de Corona sumptis. Neuter enim aperte vel perspicue illius controversiæ tanquam in judicium deductæ meminit. Verum hæc aliis dijudicanda sunt.

XVI. Ceterum Demosthenis in tractanda republica institutum durante etiamnum pace manifestum fuit, nihil eorum quæ a Philippo agerentur non reprehendentis, sed ad singula Athenienses turbantis et adversus eum irritantis. Itaque et Philippus plurimam ejus habebat rationem, et quum legatus novem aliis adjunctis venisset in Macedoniam, omnibus auditis, accuratissime Demostheni respondit. Honore autem et humanitate eum, qua ceteros, non eadem est prosecutus, Æschinem et Philocratem magis amplexus. Quamobrem iis Philippum laudantibus, quod et facundissimus esset et formosissimus et optimus potator, invidiæ succumbens ad irridendas eas laudes se contulit. Nullam regiam laudem hic esse dicens, sed primum rhetoris, alterum mulieris, tertium spongiæ convenire.

XVII. Rebus jam ad bellum spectantibus, quod neque uti quiete Philippus nosset, et Athenienses a Demosthene excitarentur, primum ad expeditionem in Eubœam faciendam cives stimulavit, quam tyranni insulam Philippo subjugaverant; eoque trajicientes illi, lege a Demosthene lata, Macedones ejecerunt. Deinde Byzantiis Perinthiisque bello a Macedone infestatis, populo persuasit ut omissa inimicitiarum et eorum quæ utrique bello sociali adversus Athenienses peccassent memoria, auxilium illis mitterent, atque id salutem istis urbibus attulit. (2) Præterea legatus Græciam obiens, colloquendo et instigando paucis exceptis

τὸν Φίλιππον, ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ e τῶν πολιτικῶν δυνάμεων, χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. Ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρωβύλον τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος. (3) Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ χώραν τε σύνορον τῆς Ἀττικῆς καὶ δύναμιν ἐναγώνιον ἔχοντας καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. Ἦν δ' οὐ ῥᾴδιον ἐπὶ f προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

854 XVIII. Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος ὑπὸ τῆς περὶ a τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα μηδὲ ἔχοντος ὅ τι χρὴ λέγειν, ἀλλ' ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι καὶ τἆλλα παραθαρρύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσιν ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. Ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας φησὶν, Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ Θεσσαλὸν καὶ Θρασυδαῖον ἀντεροῦντας. (2) Τὸ μὲν οὖν συμφέρον οὐ διέφευγε τοὺς b τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων· ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥστε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. (3) Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι συν- c εξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας, διοικεῖσθαί τε τὰς ἐκκλησίας ἁπάσας οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος οὐκ ἀδίκως οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

XIX. Τύχη δέ τις ἔοικε δαιμόνιος ἐν περιφορᾷ πραγμάτων εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος ἐναντιοῦσθαι τοῖς πραττομένοις καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία d

omnes populos ad conspirandum adversus Philippum permovit, ita ut præter urbanas copias conflaretur Atheniensibus exercitus quindecim peditum, duobus equitum millibus constans, et stipendia ad alendos stipendiarios milites prompte conferrentur. Quum quidem, ut auctor est Theophrastus, sociis postulantibus ut tributum certo numero definiretur, Crobylus oratorum unus dixit : bellum non certo ali dimenso. (3) Sublatis exspectatione eventus Græcorum animis et in fœdus populis urbibusque coeuntibus, Eubœa, Achæis, Corinthiis, Megarensibus, Leucadiis, Corcyræis, maximum supererat Demostheni certamen Thebanos in id fœdus pertrahendi, qui et vicinam Atticæ regionem colebant, et copias armorum usu nobiles habebant, et inter Græcos belli gloria principes erant. Neque vero facile erat Thebanos, recentibus bello Phocico beneficiis devinctos Philippo, ad defectionem pertrahere, præsertim quum ob contiguos limites perpetuis controversiis bellicæ dissensiones Thebanorum et Atheniensium recrudescerent.

XVIII. Verum ut Philippus parta ad Amphissam victoria elatus, subito in Elateam facto impetu Phocidem occupavit, perterritis Atheniensibus, ac nemine audente suggestum conscendere neque, quid diceret, habente, omnibus hæsitantibus atque tacentibus, unus in medium progressus Demosthenes, consilium coeundæ cum Thebanis societatis dedit; confirmatisque et excitatis bona spe multitudinis animis, legatus Thebas cum nonnullis aliis missus est. Marsyas etiam Amyntam et Clearchum Macedonas, tum Daochum Thessalum et Thrasydæum missos a Philippo, qui contra Demosthenem agerent, affirmat. (2) Non fallebant sane utilitatis rationes Thebanos, quum unusquisque ante oculos proposita belli mala haberet, recenti adhuc Phocicarum calamitatum memoria. Sed eloquentia, ut ait Theopompus, oratoris, animos eorum exsuscitans, inflammansque honestæ laudis cupiditatem, tenebras reliquis omnibus cogitationibus offudit, excussoque animis metu, consilio et gratia quasi divino quodam furore ad honestatis studium impulit. (3) Id quidem Demosthenis factum ita magnum atque splendidum est visum, ut et Philippus statim missis caduceatoribus pacem petierit, et universa Græcia eventus exspectatione fuerit excitata, neque duces modo Demosthenis imperata fecerint, eique operam navarint, sed et Bœotorum principes, neque Thebanorum minus, quam Atheniensium conciones ab eo rectæ sint, utrisque hominem diligentibus eoque uno summam rerum obtinente, non, quod Theopompus ait, injuste aut præter quam dignum esset, sed convenienter admodum.

XIX. Verum enimvero fatum quoddam in conversione rerum ad id tempus finem libertati Græcorum statuens, videtur consiliis ejus adversatum fuisse multaque futuri

δεινὰ προὔφαινε μαντεύματα καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων·

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει ὁ νικηθείς, ὁ δὲ νικήσας ἀπόλωλε.

(2) Τὸν δὲ Θερμώδοντά φασιν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον. Ἡμεῖς δὲ νῦν μὲν οὐδὲν οὕτω τῶν ῥευμάτων ἴσμεν ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμονα Θερμώδοντα λέγεσθαι τότε· καὶ γὰρ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα e καὶ νεκρῶν τὸν ποταμὸν ταύτην διαλλάξαι τὴν προσηγορίαν. Ὁ δὲ Δοῦρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ' ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέροντα τετρωμένην. Ἐπὶ δὲ τούτῳ χρησμὸν ἄλλον ᾄδεσθαι λέγοντα,

Τήνδ' ἐπὶ Θερμώδοντι μάχην μένε, παμμέλαν ὄρνι.
Τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώπεια.

XX. Ταῦτα μὲν οὖν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν. f Ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς καὶ λαμπρὸς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους αἰρόμενος οὔτε χρησμοῖς ἐᾷν προσέχειν οὔτε μαντείας ἀκούειν, ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους καὶ 855 Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας a ἡγούμενοι προφάσεις ἐχρῶντο τοῖς λογισμοῖς. (2) Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ᾤχετο λιπὼν τὴν τάξιν ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψας οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθείς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς· Ἀγαθῇ τύχῃ. (3) Παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων·

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν. b

Ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ. (4) Διῖκτο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως· κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις ἐπὶ θάλασσαν γράμματα, χρήματα Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. Ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος ἐν Σάρδεσιν ἐπιστολάς τινας c ἀνευρὼν τοῦ Δημοσθένους καὶ γράμματα τῶν βασιλέως

signa edidisse, inter quæ et Pythia oracula cecinit horrenda et antiqua vaticinatio Sibyllana hæc cantabatur:

Thermodontiaco procul a certamine in auras
o utinam, utque Jovis per nubila subvehar ales!
Tum lacrimas victi fundent, victore perempto.

(2) Thermodontem perhibent apud nos juxta Chæroneam rivum esse, qui in Cephisum influat. Nos quidem nostra ætate nullum rivum hoc nomine insignem comperimus, existimamus autem eum, qui Hæmon dicitur, eo tempore Thermodontem fuisse appellatum; nam is fanum Herculis præterfluit, quo loco castra Græci habuerunt et conjicimus post pugnam ei amni, sanguine cadaveribus oppleto, nomen in Hæmona mutatum. Duris non fluvium fuisse Thermodontem, sed quosdam locum tabernaculo erigendo fodientes, parvam lapideam statuam reperisse tradit, literis quibusdam inscriptis declarantem, quod esset Thermodon in ulnis gestans vulneratam Amazonem. Aliud porro referunt oraculum de eadem re cantatum:

Thermodontiacum, niger ales, vise duellum:
quo multa humanæ carnis saturabere præda.

XX. Verum hæc quomodo se habeant, judicatu est difficile. Demosthenes quidem, ut memoriæ proditum est, armis Græcorum fretus, atque ob robur et alacritatem tantæ virorum multitudinis hostem provocantis animo elatus, neque oraculis animum advertere suos neque audire vatum responsa passus est, sed vel Pythiam cum Philippo colludere suspicionem injecit; simul et Thebanos Epaminondæ et Periclis Athenienses admonebat, qui hos timiditatis esse prætextus judicantes sua potius consilia essent secuti. (2) Atque hactenus quidem virum se gessit. In pugna autem nullo honesto aut verbis suis consentiente facinore edito, turpissime deserto ordine et projectis armis fugit, ne inscriptionem quidem, ut ait Pytheas, scuti reveritus, in quo aureis literis exaratum erat: Quod felix faustumque sit. (3) Philippus autem statim post partam victoriam immodico gaudio elatus, ebrius ad cadavera veluti comessatum ivit, principiumque legis Demosthenis cecinit in pedes digestum, simul mensuram pulsu exprimens:

Demosthenes Demosthenis Pæaniensis censuit.

Discussa vero crapula quum magnitudinem superati certaminis secum reputaret, horruit eloquentiam et vim oratoris, qui exigua diei particula id confecisset, ut de regno ac vita discrimen adire ipse coactus esset. (4) Gloria quidem ejus usque ad Persarum regem pervenerat, isque satrapis per literas ad mare delatas mandavit, ut pecunias Demostheni darent, eumque de omnibus Græcis potissimum observarent, nimirum Græcis tumultibus occupare et detinere a bello Persis inferendo Macedonem scientem. Id quod postea temporis Alexander Sardibus comperit, inventis Demo-

στρατηγῶν δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

XXI. Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γεγενημένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες ἐπεμβαίνοντες τῷ Δημοσθένει κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει καὶ προσκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων καὶ θαπτομένων τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ d συμβεβηκός, ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. (2) Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ' ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάῤῥησε Φιλίππου τελευτήσαντος. Ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας. Καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι·

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.

XXII. Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης, προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς, ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν· καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. Εὐθὺς οὖν ἔθυον εὐαγγέλια καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς ὁ Αἰσχίνης φησὶ λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ f φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δὲ ἀλύπως φέρειν ταῦτα καὶ πρᾴως ἀπεδοκίμαζεν. (2) Ἐγὼ δ', ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς στεφανηφορεῖν καλῶς εἶχε καὶ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾶν καὶ
856 ποιεῖσθαι πολίτην, πεσόντος δ' ὑφ' ἑτέρου μὴ φέρειν τὴν a χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας· ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων, οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. (3) Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν b ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις

sthenis quibusdam epistolis et literis regiorum ducum, quibus in literis numerus datæ Demostheni pecuniæ continebatur.

XXI. Tum vero in ista Græciæ calamitate oratores adversarii Demostheni insultantes, dicas ei scribebant, rationesque actorum postulabant; sed populus non modo criminibus eum iis absolvit, verum et constanter in honore habuit, et ad rempublicam ut benevolum ac honeste suis cupientem civem revocavit, ossibus etiam Chæronea allatis et terræ mandatis, funebrem ei laudationem defunctorum injunxit, non (quod tragice hoc loco ascribit Theopompus) turpiter aut abjecto animo ferens acceptam cladem, sed consiliarium suum et auctorem rei actæ ornando honorandoque ostendens, non se pœnitere consiliorum. (2) Orationem quidem habuit Demosthenes, decretis autem non suum, sed amicorum singula singulis subscripsit nomina, quasi genium fortunamque suam abominans, donec animum recepit Philippo mortuo. Periit autem Philippus non diu post Chæronensem victoriam; quod videtur postremus oraculi versus præmonstrasse:

Tum lacrimas victi fundent, victore perempto.

XXII. Demosthenes quum de ejus obitu occulte cognovisset, ut animos Atheniensium injecta bona futurorum spe præoccuparet, læto vultu in senatum prodiit, somnium se vidisse ferens, quod magnam aliquam populo felicitatem portenderet. Paullo post adfuere qui Philippum vita excessisse annuntiarent. Ob tam lætum nuntium statim sacrificatum a populo, et Pausaniæ corona decreta. Progressus est etiam in publicum Demosthenes splendide vestitus ac coronatus, septimo a morte filiæ suæ die, quod Æschines exprobrandi causa refert, inhumanitatem ei erga liberos objiciens, mollis ipse et degeneris animi, si luctum et ejulatus mansueti animi et suorum amantis signa censuit, moderate autem et æquo animo casus hujusmodi ferre in vitio posuit. (2) Equidem Atheniensibus decorum fuisse, ob mortem regis qui tam clementem victis se eis præbuerat coronas ferre, atque etiam sacrificare, nequaquam affirmo; nam præterquam quod invidiosum hoc est, indignum etiam ingenuis hominibus erat, quem viventem honoribus affecissent ac civitate donassent, interfecto ab alio immoderato exsultare gaudio, defunctoque insultare, et quasi rem ipsi bene gessissent, triumphum canere. Quod autem domesticam calamitatem deflendam mulieribus reliquit Demosthenes, ipse ea quæ e republica esse crederet agenda suscipiens, id laudo, profectumque a forti animo civilique judicio, cujus officium est semper reipublicæ intentum esse, eique res casusque domesticos postponere, semperque dignitatem suam tueri, multo magis quam in scenis histriones faciunt regis aut tyranni personam agentes, quos ipsos videmus non ut ipsis libitum est vel ridere vel plorare, sed ut ratio propositi ad agendum argumenti requirit. (3) Ad hæc si ictus aliquis infortunio non est negligendus adeo ut omnis expers consolationis mœrore se suo

χρῆσθαι κουφίζουσι καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες, πόθεν ἄν τις ἐπαγάγοιτο βελτίω παρηγορίαν ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; Ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς c οἶκτον.

XXIII. Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναρριπίζοντος αὐτάς, συνίσταντο. Καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς συμπαρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. Καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ Μαργίτην ἀποκαλῶν αὐτόν. Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέ- d κοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων καὶ ὁ Δημοσθένης ἀπεσβήκει, Θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων ἠγωνίσαντο καθ' αὐτοὺς καὶ τὴν πόλιν ἀπέβαλον. (2) Θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης αἱρεθεὶς μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω καὶ τὴν πρεσβείαν ἀφῆκεν. Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξῄτει πέμπων τῶν δημαγωγῶν δέκα μέν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν, ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα, Δήμωνα, Καλλισθένην, Χαρίδημον. e (3) Ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὡς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα μονόλυκον προσηγόρευσεν. Ἔτι δ', « Ὡς, ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες. » Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασσανδρεὺς ἱστόρηκε. (4) Βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν f ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν, εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν, μεστὸν εὑρήσειν ὥσπερ λέοντα φόνου κεκορεσμένον. Ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

857 XXIV. Ἀπελθόντος δ' Ἀλεξάνδρου, μεγάλοι μὲν a ἦσαν οὗτοι, ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. Κινουμένῳ δὲ Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος καὶ τῶν Λακεδαιμονίων συντριβέντων. (2) Εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ

conficiat, sed et levandus verbis ejus dolor est, et abducendus ad rerum lætiorum cogitationem animus: quomodo ex oculis laborantes a contuitu rerum splendidarum suoque fulgore eos ferientium deflectere aspectum in virides et molles colores jubemus: quod tandem patriæ lugenti melius consolandi genus adhibeat aliquis, quam si republica prospere agente domesticas calamitates ex iis quæ civitati contingunt temperans, melioribus deteriora obscuret? Atque hæc ut dicerem, Æschinis me impulit oratio, qua video multos frangi et ad commiserationem emolliri.

XXIII. Ceterum civitates, rursum eas Demosthene inflammante, fœdus renovarunt. Ac Thebani quidem, armis a Demosthene inter alios instructi, præsidium Macedonum adorti sunt, multosque interfecerunt. Athenienses autem se, tanquam auxilium eis laturi, bello parabant, regnumque suum in concionibus Demosthenes obtinens, ad regis in Asia duces scribebat, eos ad bellum Alexandro, quem puerum et Margiten nominabat, faciendum instigans. Sed ubi rebus Macedoniæ compositis Alexander cum exercitu in Bœotiam venit, simul et Atheniensium ferocia concidit et ardor Demosthenis refrixit, Thebani autem ab his proditi, quum suo Marte cum Alexandro conflixissent, urbem amiserunt. (2) Magna apud Athenienses coorta trepidatione, missus cum nonnullis aliis legatis ad Alexandrum Demosthenes, iram regis metuens a Cithærone omissa legatione retro abiit. Statim vero Alexander Athenas misit, qui decem, ut Idomeneus et Duris tradiderunt, sibi oratores dedi juberent; plerique et probatissimi scriptores octo tantum numerant, hos nimirum, Demosthenem, Polyeuctum, Ephialtem, Lycurgum, Mœroclem, Damonem, Callisthenem, Charidemum. (3) Quum quidem fabulam de ovibus canes lupis dedentibus referens Demosthenes, se et reliquos oratores canibus pro populo propugnantibus comparavit, Alexandrum autem Macedonem lupum solitarium appellavit. Addidit etiam hoc: Quemadmodum videmus mercatores in patella speciem tritici circumferentes, paucis granis universum vendere; sic vos non intelligitis paucis nobis dedendis vos omnes dedere. Hæc ita narrat Aristobulus Cassandrensis. (4) Consultantibus Atheniensibus et hæsitantibus, Demades ab iis qui ad dedendum postulabantur acceptis quinque talentis pactus est se legatum ad regem iturum, pro eisque deprecaturum, sive amicitia regis fretus, sive sperans se eum veluti leonem cædis jam saturum repperturum. Et quidem impetravit veniam illis, urbique regem reconciliavit.

XXIV. Digresso in Asiam Alexandro, floruere oratores adversarii, Demosthenes jacuit. Agide Spartano ad novas res consurgente, ipse quoque nonnihil excitatus, mox submisit se, quum neque Athenienses una se commovissent et Agis cecidisset, Lacedæmoniorumque res attritæ essent. (2) Per idem tempus actio de corona adversus Ctesiphontem

στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος μικρὸν ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ, ὡς οὐδεμία τῶν δημοσίων, περιβόητος διά τε τὴν δόξαν τῶν λεγόντων καὶ τὴν τῶν δικαζόντων εὐγένειαν, οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένην τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν οὐ προήκαντο τὴν b κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. Ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιὼν καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων κατεβίωσε.

XXV. Μετ' οὐ πολὺ δ' Ἅρπαλος ἧκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας ἀποδρὰς Ἀλέξανδρον, αὑτῷ τε τὰ πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. Καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὑτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον ἐβοήθουν καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. c Ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον καὶ φυλάττεσθαι, μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευσε διαβαστάσαντα τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. Θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος καὶ πυθομένου, πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος, « Ἄξει σοι, φησὶν, εἴκοσι τάλαντα. » Καὶ γενομένης τάχιστα d τῆς νυκτὸς ἔπεμψεν αὐτῷ τὴν κύλικα μετὰ τῶν εἴκοσι ταλάντων. Ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς ὄψει καὶ διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. Οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας ὥσπερ παραδεδεγμένος φρουρὰν προσκεχωρήκει τῷ Ἁρπάλῳ. (2) Καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου καθελιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν διένευεν, ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. Οἱ δ' εὐφυεῖς χλευάζοντες οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ὑπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. e Ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν καὶ βουλόμενον ἀπολογεῖσθαι καὶ πείθειν οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν εἰπών· « Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος; » Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον, δεδιότες δὲ, μὴ λόγον ἀπαιτῶνται χρημάτων ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων πλὴν τῆς Καλλικλέους τοῦ Ἀῤῥενίδου· μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς f ἱστορεῖ Θεόπομπος.

XXVI. Ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν εἰσήνεγκε ψήφισμα τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ

in judicium deducta est, scripta quidem Chæronda prætore paullo ante Chæronensem cladem, prætore autem Aristophonte, decennio post quam scripta fuit, dijudicata. Nulla unquam publica causa nobilior fuit, quum ob oratorum gloriam, tum ob judicum generositatem, qui Demosthenem exagitantibus potentissimis tum et a Macedone pendentibus nequaquam suffragia ad damnandum Demosthenem gratificati sunt, sed eum ita gloriose absolverunt, ut ne quintam quidem suffragiorum partem Æschines tulerit. Et Æschines quidem statim Athenis discessit, artemque rhetoricam docendo Rhodi et in Ionia ætatem exegit.

XXV. Paullo post Harpalus ab Alexandro profugus ex Asia Athenas venit, quum et rerum suarum per luxuriam perditarum sibi conscius esset, et illum jam amicis gravem metueret. Quum ergo ad populum confugisset, seque una cum opibus et navibus suis ei dederet, reliqui oratores statim pecuniæ ejus inhiantes, patrocinari homini civesque hortari, ut acciperent servarentque supplicem. At Demosthenes primum suadere ut repellerent Harpalum, caverentque ne non necessaria injustaque de causa urbem in bellum conjicerent. Paucis post diebus quum opes Harpali inspicerentur, isque Demosthenem animadverteret regio poculo delectari, ejusque cælaturam et formam contemplari, jussit tollere et auri pondus æstimare. Miranti Demostheni gravitatem et sciscitanti quantum pondus ferret, leniter arridens, Tibi, inquit, viginti feret talenta; et simulatque nox advenit, poculum id cum viginti talentis Demostheni misit. Callebat nimirum Harpalus artem, auri amorem in homine latentem ex vultu deprehendendi, ingeniumque ex oculorum motu et conversionibus cognoscendi. Victus enim eo munere Demosthenes, perculsusque perinde ac si præsidium sibi esset impositum, Harpali partibus se adjunxit. (2) Postridie collo lana et fasciis accurate involuto in concionem prodiit, jussusque ad dicendum surgere, vocem sibi intercidisse innuit. Urbaniores autem homines cavillabantur, non angina, sed argentangina noctu correptum oratorem dicentes. Post quum universus populus de acceptis ab eo donis rescivisset, eique defendere se conanti audientiam non faceret, sed iratus obstreperet, surgens quidam his verbis eum pupugit: Non audietis ergo, viri Athenienses, eum qui calicem habet? Tunc igitur Harpalus Athenis amandatus est. Metuentes autem cives, ne ratio pecuniarum ab oratoribus direptarum ab ipsis reposceretur, acrem instituerunt inquisitionem earum, singulas domos perscrutando. Solius Calliclis Arrhenidæ domus ab ea inquisitione immunis fuit, quod is recens peractis nuptiis sponsam intus habebat, ut narrat Theopompus.

XXVI. Demosthenes autem huic se opponens rei, legem tulit, ut de ista pecunia Areopagitæ quæstionem instituerent.

πρᾶγμα καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν δοῦναι δίκην. Ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὀφλὼν δὲ πεντήκοντα ταλάντων δίκην καὶ παραδοθεὶς εἰς τὸ δεσμω-
858 τήριον, αἰσχύνῃ τῆς αἰτίας φασὶ καὶ δι' ἀσθένειαν τοῦ a σώματος οὐ δυναμένου φέρειν τὸν εἱργμὸν ἀποδρᾶναι, τοὺς μὲν λαθόντα, τῶν δὲ λαθεῖν ἐξουσίαν δόντων. (2) Λέγεται γοῦν, ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας καὶ βούλοιτο μὲν αὑτὸν ἀποκρύπτειν, ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τοὔνομα καὶ προσελθόντες ἐγγὺς ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες ἀργύριον οἴκοθεν καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτὸν, ἅμα δὲ θαῤῥεῖν παρεκάλουν καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκὸς, ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένην καὶ εἰπεῖν· « Πῶς δ' οὐ μέλλω φέρειν βαρέως ἀπολιπὼν b πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν; » (3) Ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλὰ καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. Λέγεται γὰρ ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν· « Ὦ δέσποινα Πολιὰς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ; » (4) Τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας c λέγων ὡς, εἰ, δυεῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους καὶ φθόνους καὶ διαβολὰς καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

XXVII. Ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνίσταντο πάλιν, Λεωσθένους ἀνδραγαθοῦντος καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκούμενον. Πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ Καλλιμέδων ὁ Κάραβος ἐξ Ἀθηνῶν φεύγοντες Ἀντιπάτρῳ προσεγένοντο καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιιόντες d οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις· Δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν ἠγωνίζετο καὶ συνέπραττεν, ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. (2) Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος ἐν ἐκκλησίᾳ, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. Λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ e πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένην στρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγιείᾳ καὶ τοὺς

et qui ab iis damnarentur, ii pœnas darent. Ceterum inter primos ipse ab eo senatu damnatus venit in judicium; ibi ei quinquaginta talentorum mulcta constituta, in carcerem datus est. Quem quum, ut perhibent, ob turpitudinem causæ et imbecillitatem corporis non ferret, deceptis partim, partim etiam latendi facultatem præbentibus custodibus aufugit. (2) Quum haud procul ab urbe processisset, sensit quosdam inimicos suos cives se insequi: et quum abscondere se vellet, nominatim eum illi invocantes, propiusque accedentes, oraverunt uti viatica a se, quæ attulissent secum ipsumque propterea insecuti essent, acciperet, simul et hortati sunt, ut bono animo esset, casumque suum moderate ferret. Tum illacrimans ille vehementius: Ego vero (dixisse fertur) non graviter doleam cogi me ea excedere urbe, in qua tales habeo inimicos, quales amicos alibi haud facile invenero? (3) Tulit sane exsilium illud parum viriliter Æginæ et Trœzene plerumque desidens, oculosque lacrimis oppletos in Atticam identidem intendens. Et memorantur etiam voces ejus parum decoræ, nihilque iis quæ in republica jactaverat consentientes. Ex urbe enim discedens, manibus adversus arcem porrectis dixisse traditur: O Minerva, deâ urbis tutelaris, qui tandem tribus pessimis gaudes belluis, noctua, dracone et populo? (4) Adolescentes etiam qui ad se conveniebant et consuetudine ipsius utebantur a republica dehortabatur, dicens, se, si ab initio duæ propositæ fuissent viæ, altera ad suggestum et concionem, altera ad certum exitium ducens, ac si præscivisset mala quæ in republica, versantibus incumbunt, terrores, invidias, calumnias, contentiones, utique eam ingressurum fuisse, qua recta ad interitum isset.

XXVII. Enimvero adhuc eo in exsilio degente, Alexander obiit, rursusque Græcæ res coalescere cœperunt, Leosthene præclara facinora edente et Antipatrum Lamiæ conclusum munitionibus circumveniente. Ac Pytheas quidem orator et Callimedon cognomine Carabus Athenis profugi ad Antipatrum se contulerant, cumque ejus amicis et legatis circumeuntes Græcos a defectione et adjungendis ad Atheniensium civitatem rebus dehortabantur. Demosthenes autem Atheniensibus se legatis addens socium, opem eis tulit in commovendis civitatibus, ut una Macedones adortæ Græcia eos ejicerent. (2) Philarchus narrat in Arcadia Pytheam et Demosthenem in concione convitia mutuo fecisse, altero Macedonum, altero Græcorum causam agente. Et Pytheam quidem dixisse, quemadmodum crederetur domus in quam lac asininum infertur, omnino aliquo malo laborare, ita urbem quoque necessario vitiosam esse, in quam Atheniensis legatio adveniret; eam similitudinem ita a Demosthene inversam, ut et lac asininum sanitatis restituendæ causa importari solere, et Athenienses propter salutem male habentium venire consuevisse dice-

Ἀθηναίους ἐπὶ σωτηρίᾳ παραγίνεσθαι τῶν νοσούντων. (3) Ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος ψηφίζεται τῷ Δημοσθένει κάθοδον. Τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν Δημοσθένους, εἰσήνεγκεν· ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. Ἐκ δὲ Πειραιῶς ἀνέβαινεν οὔτε ἄρχοντος οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. Ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς f χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὑτὸν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα· πεπεισμένους γὰρ, οὐ βεβιασμένους, ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. (4) Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι 859 λῦσαι καταδίκην) ἐσοφίσαντο πρὸς τὸν νόμον. Εἰωθό- a τες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅσον ἦν τίμημα τῆς καταδίκης.

XXVIII. Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. (2) Ὡς Ἀντίπατρος καὶ Κράτερος ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένην φθάσαντες ὑπεξῆλθον ἐκ τῆς b πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημάδου γράψαντος. Ἄλλων δὲ ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας ὁ κληθεὶς Φυγαδοθήρας. (3) Τοῦτον δὲ Θούριον ὄντα τῷ γένει λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. Οὗτος οὖν ὁ Ἀρχίας Ὑπερείδην μὲν τὸν ῥήτορα καὶ Ἀριστόνικον c τὸν Μαραθώνιον καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον ἀποσπάσας ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν, Ὑπερείδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι.

XXIX. Τὸν δὲ Δημοσθένην πυθόμενος ἱκέτην ἐν Καλαυρίᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον ὡς δυσχερὲς πεισόμενον οὐδέν. (2) Ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους d ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. Ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος, εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. Διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος ἀναβλέψας πρὸς αὐτὸν, ὥσπερ ἐτύγχανε καθήμενος, « Ὦ Ἀρχία, εἶπεν, οὔτε ὑποκρινόμε-

ret. (3) His delectatus Atheniensis populus, reditum Demostheni decernit. Legem Damon Pæaniensis tulit, consobrinus Demosthenis. Missa est quæ accerseret eum triremis Æginam. Ex Piræeo in urbem ascendit, omnibus et magistratibus et sacerdotibus præsentibus, universis etiam reliquis civibus obviam euntibus, et magno studio excipientibus. Tum quidem Demetrius Magnes scribit eum sublatis manibus sese beatum ejus diei causa prædicasse, quod reditus sibi quam Alcibiadi præclarior obtigisset : non enim coactis se, sed persuasis civibus redire. (4) Mulcta autem pecuniaria, quæ ei irrogata fuerat, manente (non enim licebat eam condonare), legem hujusmodi commento eluserunt. Quum more antiquo solerent, quoties Jovi Servatori sacrificaretur, iis qui altare adornarent debitoque apparatu instruerent, pecuniam persolvere, Demostheni ejus rei administrationem quinquaginta talentis quæ erat mulctæ summa locaverunt.

XXVIII. Neque tamen reverso ei patria diu frui concessum fuit, sed continuo Græcorum rebus perditis, Metagitnione mense ad Cranonem pugnatum est, Boedromione præsidium Munychiæ impositum, Pyanepsione interiit Demosthenes. Id sic accidit. (2) Quum Antipatrum et Craterum annuntiatum esset adducere ad Athenas exercitum, Demosthenes et qui ejusdem erant factionis, mature se ex urbe subduxerunt, eosque populus ex Demadis rogatione capitis damnavit. Aliis alio dilapsis, Antipater circummisit qui eos caperent, principe inquisitorum Archia, eo qui Phygadotheras (i. e. *fugitivorum indagator*) cognominatus fuit. (3) Hunc Thurium natione aliquando histrionem fuisse tragicum perhibent, et Polum Æginetam, qui eo artificio neminem habuit parem, hujus discipulum fuisse. Hermippus Archiam inter Lacriti oratoris discipulos numerat, Demetrius Anaximenis auditorem fuisse tradit. Is igitur Archias Hyperidem rhetorem et Aristonicum Marathonium, et Demetrii Phalerei fratrem Himeræum Æginæ ex templo Ajacis, quo confugerant, abreptos, ad Antipatrum Cleonas misit atque ibi necati sunt. Hyperidis etiam linguam exsectam ferunt.

XXIX. Demosthenem vero quum audivisset supplicem in fano Neptuni in Calauria insula sedere, eo navigiis actuariis una cum Thracibus stipatoribus trajecit, suasitque ei, ut digressus a fano secum ad Antipatrum iret, promittens nihil eum mali passurum. (2) Demosthenes autem ea forte nocte per somnum imaginatus erat se cum Archia contendere tragœdia agenda; quumque sibi præclare succederet res, spectatoribusque probaretur omnibus, penuria apparatus et sumptuum vinci. Itaque Archia multa blande dicente, oculos in eum conjiciens, ut tum forte ipse assederat : O Archia, inquit, neque ante personatus, neque

νός με ἔπεισας πώποτε οὔτε νῦν πείσεις ἐπαγγελλόμενος. » Ἀρξαμένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς, « Νῦν, ἔφη, λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δ' ὑπεκρίνου. Μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. » (3) Καὶ ταῦτ' εἰπὼν ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον ὡς γράφειν μέλλων, προσ- e ήνεγκε τῷ στόματι τὸν κάλαμον καὶ δακών, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. (4) Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον, ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. Ἤδη δὲ συνῃσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος ἐξεκαλύψατο, καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν, « Οὐκ ἂν φθάνοις, εἶπεν, ἤδη τὸν f ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. Ἐγὼ δ', ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. » Ταῦτ' εἰπὼν καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

860 XXX. Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλά- a μου λαβεῖν φησιν αὐτόν, ὡς εἴρηται· Πάππος δέ τις, οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησὶ, πεσόντος αὐτοῦ παρὰ τὸν βωμόν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, « Δημοσθένης Ἀντιπάτρῳ, » καὶ μηδὲν ἄλλο· θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον· ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀρχίαν, φαίη πολὺν εἶναι χρόνον, ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ b αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν, τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. (2) Τῶν δ' ἄλλων, ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δέ εἰσι, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρης ὁ τοῦ Δημοσθένους οἰκεῖος οἴεσθαί φησιν αὐτὸν οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι συντόμως καταστρέψαντα καὶ ἀλύπως. (3) Κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνός, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν Θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες. Τούτῳ μὲν ὀλίγον c ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν εἰκόνα τε χαλκῆν ἀνέστησε καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. Καὶ τὸ ἐπίγραμμα τὸ θρυλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

nunc promissis me movebis. Archia autem irato et minitari incipiente, Nunc, ait, ex Macedonico tripode loqueris, hactenus simulabas; sed exspecta parumper dum meis nonnihil mandem. (3) Hæc locutus intra templum se recepit, sumptoque libello, tanquam si scripturus esset, calamum ori admovit, quod facere inter cogitandum scribendumque solebat, aliquamdiu ita calamum tenuit mordens, deinde caput obvelatum demisit. (4) Quum stipatores, qui foribus astabant, deriderent eum ut timidum, mollemque et effeminatum vocarent, Archias autem accedens ut surgeret hortaretur, repetensque priorem sermonem, iterum se eum cum Antipatro in gratiam repositurum polliceretur: sentiens jam Demosthenes venenum vim suam in corpus exercere, retecto capite Archiam intuitus, Num nam, inquit, statim tragicum Creontem ages, corpusque meum inhumatum projicies. Ego quidem, mi Neptune, vivus adhuc tuo fano exeo; Antipatro et Macedonibus ne ædes quidem tua inviolata relicta est. Hæc fatus, quum se jam trementem et titubantem excipi jussisset, progrediens, dum præter altare transiret, concidit, editoque gemitu exspiravit.

XXX. Venenum eum ex calamo hausisse, ut diximus, Aristo narrat. Pappus autem quidam, cujus historiam Hermippus repetiit, tradit, eo apud aram collapso, in libello epistolæ scriptum initium inventum, « Demosthenes Antipatro; » neque præterea ullum verbum. Celeritatem vero mortis admirantibus, Thraces qui foribus astiterant narrasse, venenum eum ex quodam panniculo in manum sumpsisse, atque ita admotum ori deglutiisse; se putasse aurum esse id, quod deglutiret; ancillam vero, quæ ipsi ministrabat, interroganti Archiæ respondisse, multo jam tempore Demosthenem hoc alligatum vestimento amuleti loco circumtulisse. Eratosthenes ipse quoque in armilla cava, quæ brachium clauderet, gestatum ab eo venenum ait. (2) Reliquorum, qui ea de re scripserunt permulti, dissensiones referre nihil attinet; unum commemorabo, Democharem Demosthenis necessarium referre, existimare se eum non veneno, sed deûm clementia et providentia celeri et leni morte crudelitati Macedonum subtractum. (3) Mortuus est die mensis Pyanepsionis decimo sexto, quam diem Thesmophoriorum mulieres tristissimam agentes Cereris in honorem cibo omni abstinent. Neque multo post populus Atheniensis Demostheni dignos reddidit honores, ærea posita statua, factoque decreto, ut qui ex stirpe ejus natu esset maximus, publice in Prytaneo aleretur. Basi etiam statuæ ejus tritum illud ascriptum est epigramma:

Si tibi vis animo, Demosthenes, æqua fuisset,
non Macetûm ferret Græcia victa jugum.

Οἱ γὰρ αὐτὸν τὸν Δημοσθένην τοῦτο ποιῆσαι λέγοντες ἐν Καλαυρίᾳ μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαροῦσι.

XXXI. Μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε λέγεταί τι τοιοῦτον συμβῆναι. Στρατιώτης d ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος ὅσον εἶχε χρυσίδιον εἰς τὰς χεῖρας ἀνέθηκε τοῦ ἀνδριάντος. Ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος. Ἀπὸ ταύτης πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὕτως ὁ θεὶς ἐκάλυψε, περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. Ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους διημιλλῶντο τοῖς ἐπιγράμμασι. (2) Δημάδην δὲ χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης ἡ Δημοσθένους δίκη e κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως, ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. Γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ καὶ σώζειν τοὺς Ἕλληνας ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος (λέγων τὸν Ἀντίπατρον) ἠρτημένους. Ἐφ' οἷς Δεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος παροξυνθεὶς ὁ Κάσσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱόν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν, ὃ πολλάκις Δημοσθένους προαγορεύοντος οὐκ ἐπίστευσε. Τὸν μὲν οὖν Δημοσθένους ἀπέχεις, Σόσσιε, f βίον ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

Nimis enim inepti sunt, qui hoc ab ipso Demosthene in Calauria venenum sumpturo compositum nugantur.

XXXI. Paullo ante, quam nos Athenas venimus, tale quiddam evenisse ferunt. Miles quidam ad dicendam causam a duce vocatus, quidquid habebat auri in digitos Demosthenis statuæ (nam consertis inter se digitis facta erat) reposuit. Juxta fuit haud magna platanus : hujus folia, sive ventus casu fortuito ea decusserat, sive miles ipse aurum depositum sic occultaverat, circumjacentia et circumfusa haud parvo tempore aurum occuluerunt. Quod ubi reversus eo miles salvum invenit, ejusque rei rumor dissipatus est, multi eorum, qui ingenio valebant, eo argumento usi ad Demosthenis in repudiandis muneribus continentiam laudandam, epigrammatis scribendis inter se decertaverunt. (2) Demadem vero, quum is non diuturnum sane nascentis suæ gloriæ fructum sensisset, fatum Demosthenis necem ulciscens in Macedoniam pertraxit; ibi ab his, quos adulatus turpiter fuerat, justa morte affectus periit, quum et ante molestus iis esset et tunc criminis, quod nulla excusatione dilui posset, convinceretur. Interceptæ enim fuerunt literæ ejus, quibus hortabatur Perdiccam, ut Macedoniam invaderet et Græcos servaret, a putri et vetusto filo (sic Antipatrum appellabat) pendentes. Propter hoc Dinarcho Corinthio accusante eum irritatus Casander filium ejus in sinu patris jugulavit, atque ipsum tandem etiam necari jussit, experientem tum summa in calamitate, proditores primos omnium se ipsos vendere, quod sæpe prædicenti Demostheni fidem non habuerat. Habes, Sossi, Demosthenis vitam ex iis quæ vel lectione vel auditione accepimus conscriptam.

ΚΙΚΕΡΩΝ.

861 Κικέρωνος δὲ τὴν μὲν μητέρα λέγουσιν Ἑλβίαν καὶ a γεγονέναι καλῶς καὶ βεβιωκέναι, περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. Οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν· οἱ δ' εἰς Τύλλον Ἄττιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, b βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις καὶ πολεμήσαντα Ῥωμαίοις οὐκ ἀδυνάτως. Ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς ἄξιος λόγου δοκεῖ γενέσθαι· διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέρριψαν οἱ μετ' αὐτόν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. Κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι· κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινὸς διαστολήν, ὡς ἔοικεν, ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυήν, ἀφ' ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν. (2) Αὐτός γε μὴν Κικέρων, ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα c καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κάτλων

CICERO.

Matrem Ciceronis Helviam et honesto loco natam et honestam egisse vitam perhibent. De patre nihil mediocre fatentur. Quidam in officina fullonis et natum fuisse et educatum ferunt, alii genus ejus a Tullio Attio repetunt, qui in Volscis gloriose regnavit et adversus Romanos haud exiguis viribus bellum gessit. Qui primus ejus familiæ Ciceronis cognomentum tulit, videtur vir haud contemnendus fuisse; itaque ne posteri quidem eam appellationem repudiarunt, sed amplexi sunt, quanquam vulgo rideretur : a cicere enim trahitur. Et primus Cicero ita cognominatus fuit, quod, ut fertur, in extremo naso fissuram obscuram, qualis est in cicere, haberet. (2) Ipse autem Cicero, de quo hic scribimus, quum primum ad rempublicam se contulisset et magistratum ambiret, suadentibus amicis ut cognomentum illud fugeret atque mutaret, fertur jactantius dixisse : contenturum se, ut nomen Ciceronis quam esset Scaurorum

ἐνδοξότερον ἀποδεῖξαι. Ταμιεύων δ' ἐν Σικελίᾳ καὶ τοῖς θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν, τὰ μὲν πρῶτα δύο τῶν ὀνομάτων ἐπέγραψε, τόν τε Μάρκον καὶ τὸν Τύλλιον, ἀντὶ δὲ τοῦ τρίτου σκώπτων ἐρέβινθον ἐκέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. Ταῦτα μὲν οὖν περὶ τοῦ ὀνόματος ἱστόρηται.

II. Τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρᾳ τρίτῃ τῶν νέων Καλανδῶν, ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ d θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. Τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέσθαι καὶ προειπεῖν ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ. Ταῦτα δὲ ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι' εὐφυΐαν ἐκλάμψας καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισὶν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾶν τοῖς διδασκαλείοις ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι, τοὺς δ' ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ e λαμβάνοντας. (2) Γενόμενος δ', ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐῤῥύη πως προθυμότερον ἐπὶ ποιητικήν. Καί τι καὶ ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον. Προϊὼν δὲ τῷ χρόνῳ καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα μούσης ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. Ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας, τὴν δὲ ποιητικὴν f αὐτοῦ, πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔῤῥειν συμβέβηκεν.

III. Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν καὶ διὰ τὸν τρόπον ἠγάπησαν. Ἅμα δὲ τοῖς περὶ Μούκιον ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς 862 βουλῆς, εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο· καί τινα χρόνον a καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλα περὶ τὸν Μαρσικὸν πόλεμον. Εἶθ' ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἐλθὼν βίον Ἕλλησι συνῆν φιλολόγοις καὶ προσεῖχε τοῖς μαθήμασιν, ἄχρι οὗ Σύλλας ἐκράτησε καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις. (2) Ἐν δὲ τῷ χρόνῳ τούτῳ Χρυσόγονος ἀπελεύθερος Σύλλα προσαγγείλας τινὸς οὐσίαν ὡς ἐκ προγραφῆς ἀνῃρεθέντος αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν. Ἐπεὶ δὲ Ῥώσκιος ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος ἠγανάκτει καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅ τε b Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ' οὐδεὶς, ἀλλ' ἀπετρέποντο τοῦ Σύλλα τὴν

et Catulorum gloriosius efficeret. Et quæstor in Sicilia, quum donum argenteum diis dedicaret, M. Tullium inscripsit, jussitque loco cognominis cicer a fabro insculpi. Hæc de nomine eo tradita sunt.

II. Natum ferunt Ciceronem tertio nonas Januarias, quo die nunc pro salute Imperatoris a magistratibus sacrificatur et vota nuncupantur, et in partu ejus matrem nullum dolorem passam. Nutrici quoque ejus spectrum apparuisse, atque prædixisse, puerum quem aleret, magnæ Romanis utilitati fore. Hæc quum somnium et nugæ viderentur, ipse statim demonstravit veram fuisse vaticinationem, ut primum per ætatem discere bonas artes licuit; ita enim ingenium ejus eluxit, tantumque ei nominis et gloriæ inter pueros peperit, ut patres eorum ad ludum literarium venirent, videre cupientes Ciceronem, celebratamque ejus in discendo celeritatem et sollertiam cognoscere; et inurbaniores nonnulli filiis suis irascebantur, quum honoris causa Ciceronem ab iis inter eundum in medium recipi viderent. (2) Quum autem ingenio ad omnes disciplinas ferretur (id quod in nato ad discendas bonas artes et philosophiæ studium homine Plato requirit), neque quidquam literarum eruditionisve aspernaretur, ad poeticam tamen quodammodo propensior fuit. Exstat adhuc carmen ab eo puero versibus tetrametris scriptum, quod inscribitur Pontius Glaucus. Progressu temporis quum in eo genere accuratius elaborasset, non orator modo, sed poeta etiam Romanorum optimus habitus est. Verum oratoria gloria adhuc ipsi integra permanet, quanquam haud parum mutata eloquentiæ ratione, poetica plane obscurata est et evanuit, multis post eum præstantissimis poetis exsistentibus.

III. Puerilibus studiis relictis, Philonem audivit Academicum, quem unum de sectatoribus Clitomachi Romani et propter doctrinam in admiratione summa habuerunt et morum causa magnopere dilexerunt. Simul et Mucii, viri in republica et senatu principis, consuetudine utens, peritiam legum assecutus est. Militavit etiam aliquamdiu sub Sulla, bello Marsico. Videns deinde seditiones in republica ortas, atque ex his ad effrenem dominationem rem rediisse, otio se dans literario cum Græcis philosophis vitam duxit, inque studia bonarum artium incubuit, donec Sulla rerum potitus ac reipublicæ status quodammodo constare visus est. (2) Eo tempore Chrysogonus Sullæ libertus bona cujusdam, qui ex proscriptione cæsus fingebatur, hastæ subjecta octo millibus nummûm emit. Id quum Sex. Roscius filius et hæres defuncti indigne ferret, ostenderetque bona ea sexagies fuisse, reprehendi se Sulla moleste tulit, atque opera Chrysogoni effecit ut Roscius parricidii, quod patrem necasset, postularetur. Quum nemo patrocinium Roscii suscipere vellet, omnesque indignationem et sævitiam Sullæ

χαλεπότητα δεδοικότες, οὕτω δὴ δι' ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος, οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖθις ἀρχὴν πρὸς δόξαν ἑτέραν οὐδὲ καλλίω γενησομένην. (3) Ἀναδεξάμενος οὖν τὴν συνηγορίαν καὶ κατορθώσας ἐθαυμάσθη· δεδιὼς δὲ τὸν Σύλλαν ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα, διασπείρας λόγον, ὡς τοῦ σώματος αὐτῷ θεραπείας δεομένου. Καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, c ἀρρωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος· ἡ δὲ φωνὴ πολλὴ μὲν καὶ ἀγαθή, σκληρὰ δὲ καὶ ἄπλαστος, ὑπὸ δὲ τοῦ λόγου σφοδρότητα καὶ πάθος ἔχοντος ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

IV. Ἀφικόμενος δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. Ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημίας ὁ Ἀντίοχος καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ d τῶν αἰσθήσεων, εἴτε, ὥς φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις τὸν Στωικὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. Ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν. (2) Ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναρρωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν ἥ τε φωνὴ λαμβάνουσα πλάσιν ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλή, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, e πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξήρτυε τὸν ῥητορικὸν λόγον καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν αὑτόν τε ταῖς μελέταις διαπονῶν καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. Ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ καὶ Διονυσίῳ τῷ Μάγνητι καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν, ἐν δὲ Ῥόδῳ ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνος, φιλοσόφῳ δὲ Ποσειδωνίῳ. f (3) Λέγεται δὲ τὸν Ἀπολλώνιον οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ' ὑπακοῦσαι προθύμως, οἰόμενον οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν· ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις, τὸν δ' Ἀπολλώνιον οὔτ' ἀκροώμενον αὐτοῦ διαχυθῆναι καὶ παυσαμένου σύννουν καθέζεσθαι
863 πολὺν χρόνον, ἀχθομένου δὲ τοῦ Κικέρωνος εἰπεῖν· a
« Σὲ μέν, ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δὲ Ἑλλάδος οἰκτείρω τὴν τύχην ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σοῦ προσγενόμενα, παιδείαν καὶ λόγον. »

V. Ὁ γοῦν Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολι-

timerent, destitutus adolescens ad Ciceronem confugit. Suscepit causam ejus Cicero, amicis hortantibus monentibusque haud temere aliam parandæ gloriæ ita commodam occasionem oblatum iri, victorque admirationem sui excitavit. (3) Metu tamen Sullæ in Græciam abiit, sparso rumore, se curandi corporis causa profectum. Eratque sane gracili et minime carnoso corpore, quum ob imbecillitatem stomachi pauco uteretur ac tenui victu, idque sero et jam imminente nocte. Voce præditus erat copiosa et bona, sed aspera et rudi, et quæ ob orationis vehementiam et commotionem semper ad altos contenta tonos periculum corpori videretur denuntiare.

IV. Ut Athenas venit, Antiochum Ascalonitam audivit, facundia ejus et elegantia delectatus, novitatem autem doctrinæ non probans. Jam enim a nova quam dicunt Academia et Carneadis factione desciscebat Antiochus, sive, ut nonnulli censent, evidentia rei et sensuum victus, sive ut alii putant, æmulatione adversus Clitomachi et Philonis sectatores, ac plerisque in rebus Stoicas opiniones sequebatur. His studiis delectatus Cicero magnopere intendebat animum, atque id secum cogitabat, sibi, si plane a republica arceretur, a foro et negotiis publicis in otio philosophico vitam exigendam esse. (2) Postquam de morte Sullæ annuntiatum est, amicis Romam crebro per literas revocantibus, atque Antiocho etiam ad capessendam rempublicam adhortante, quum jam et corporis vires exercitationibus confirmasset, habitumque valetudinis bonæ parasset, et vocem ita formasset ut et suavis ac copiosa in aures auditorum influeret, et corporis statui satis congrueret, eloquentiam rursus, tanquam instrumentum negotia publica cum dignitate tractandi, arripuit, ac quum ipse se declamando exercebat, tum nobiles oratores adibat. Ejus rei causa in Asiam et Rhodum navigavit, ac de rhetoribus Asianis Xenocli Adramytteno, Dionysio Magneti ac Menippo Cari vacavit; Rhodi oratore Apollonio Molonis filio, philosopho Posidonio usus est. (3) Traditum est memoriæ, Apollonium Romani sermonis ignarum, petiisse ab eo ut Græce declamaret, idque Ciceronem libenter annuisse, sperantem eo melius corrigi se ab Apollonio posse. Declamatione autem ipsius ceteros, qui audivissent, omnes obstupefactos certatim eum laudibus ornasse, Apollonium neque inter audiendum hilari fuisse vultu, et finita oratione diu secum cogitabundum tacitumque sedisse, ac quum id iniquius ferret Cicero, in hæc verba prorupisse: Te quidem, o Cicero, et laudo et admiror, Græciæ autem fortunam miseror, cernens te ea, quæ sola nobis relicta erant, ornamenta etiam Romanis addere, doctrinam et facundiam.

V Cicero autem quum bona spe plenus ad rempublicam

τείαν φερόμενος ὑπὸ χρησμοῦ τινος ἀπημβλύνθη τὴν ὁρμήν. Ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν, ὅπως ἂν ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. (2) Καὶ τόν γε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει καὶ παρημελεῖτο, ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς καὶ b σχολαστικὸς ἀκούων. Ἐπεὶ δὲ φύσει φιλότιμος ὢν καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐχ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. (3) Λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν Ῥωσκίῳ τῷ κωμῳδῷ, τοῦτο δ' Αἰσώπῳ τῷ τραγῳδῷ προσέχειν ἐπιμελῶς. Τὸν δ' Αἴσωπον τοῦτον ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ Θυέστου βουλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω c τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. (4) Οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ Κικέρωνι. Καὶ τούς γε τῷ βοᾶν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὥσπερ χωλοὺς ἐφ' ἵππον πηδᾶν. Ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρὸν, χρώμενος δ' αὐτῇ κατακόρως πολλοὺς ἐλύπει καὶ κακοηθείας ἐλάμβανε δόξαν.

VI. Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ καὶ λαχὼν d Σικελίαν ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ σῖτον εἰς Ῥώμην ἀποστέλλειν ἀναγκαζομένοις· ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος αὐτοῦ πεῖραν λαμβάνοντες ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. Ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς αἰτίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλεμον ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς καὶ περιεποίησεν. (2) Ἐπὶ τούτοις οὖν μέγα φρονῶν εἰς Ῥώμην βαδίζων γελοῖόν τι παθεῖν φησι. Συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν φίλῳ δοκοῦντι περὶ Καμπα- e νίαν ἐρέσθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι Ῥωμαῖοι καὶ τί φρονοῦσιν, ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς· τὸν δ' εἰπεῖν· « Ποῦ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τοῦτον; » Τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν· ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριστον πρᾶγμα τὴν δόξαν ἁμιλλώμενος καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. Οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον διαφερόντως καὶ πρὸς δόξαν f ἐμπαθέστερον ἔχειν ἄχρι παντὸς αὐτῷ παρέμεινε καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

VII. Ἁπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰ-

se conferret, impetum ejus oraculum quoddam retudit. Delphis enim deum consulenti, quonam modo ad summam pervenire gloriam posset, responderat Pythia, ut ne hominum de se existimationem, sed suam ipsius naturam ducem sibi vitæ constitueret. (2) Primum tempus Romæ caute admodum trivit, segniterque ad magistratus petendos accessit, negligebaturque, ac Græcus literarioque otio deditus, quæ nomina imperitis sordidisque hominibus in usu fere sunt, vulgo appellabatur. Postquam vero et innata laudis cupiditate, et patris amicorumque adhortationibus compulsus, causis agendis se dedit: non jam paulatim ad principem locum progressus est, sed gloria ejus statim effulsit, longoque post se intervallo ceteros reliquit oratores. (3) Annotatum est eum, quum non minus quam Demosthenes actionis vitio laboraret, in eo emendando quum Roscii comœdi, tum Æsopi tragœdi opera usum. Hunc Æsopum dicunt, quum aliquando in theatro personam Atrei de ulciscendo Thyesta deliberantis ageret, famulum quendam, qui subito prætercurrisset, ob animi commotionem mente captum inflicto sceptro interfecisse. (4) Sane actio Ciceroni haud leve momentum ad persuadendum contulit; idemque magna vociferatione utentes oratores irridens, ob imbecillitatem ad clamorem, veluti claudos ad equum, confugere dicebat. Verum hæ ejus facetiæ atque dicacitas, quum elegans quiddam et judiciis accommodatum videretur, ad satietatem usque ab eo usurpata multis molesta fuit, ac malignitatis opinionem auctori conciliavit.

VI. Quæstori facto in caritate annonæ quum obtigisset Sicilia, offendit homines, frumentum eos Romam mittere cogendo, postea autem, quum suam iis diligentiam, justitiam mansuetudinemque probasset, majoribus est ab iis, quam ullus unquam præfectus, honoribus ornatus. Et quum multi nobiles juvenes Romani ad prætorem Siciliæ rei ablegarentur, quod in bello molliter se gessisse et contra disciplinam militarem dicerentur, magna cum laude eos Cicero defendit atque servavit. (2) Ob hæc quum altos spiritus duceret, Romam revertenti sibi rem evenisse ridiculam scribit: se, quum in Campania in illustrem quendam virum, quem pro amico suo habebat, incurrisset, quæsivisse ex eo, ecquid de rebus a se in provincia gestis Romani sentirent atque dicerent, quod existimaret suarum actionum gloria et fama Romam repletam; tum illum respondisse: Ubi enim, o Cicero, tu interea temporis fuisti? Itaque se tum animo prorsus concidisse, quod fama ipsius ita in urbem, tanquam immensum aliquod pelagus, incidisset, neque ad gloriam quicquam contulisset. At postea quidem rationes secum subducens, multum de ambitione remisit, animadvertens se ad rem infinitam et quæ terminum, ad quem perveniri posset, nullum haberet, gloriam nimirum, contendere. Verum quod laudari se mirum in modum gauderet, gloriæque esset aliquantum cupidior, id ut in eo ad extremum usque resedit, ita multa ejus præclara consilia sæpe conturbavit.

VII. Quum ergo majori studio ad rempublicam se contu-

σχρὸν ἡγεῖτο, τοὺς μὲν βαναύσους ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις μηδενὸς ἀγνοεῖν ὄνομα μηδὲ χώ- 864 ραν ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀν- a θρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥαθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτῶν γνῶσιν. Ὅθεν οὐ μόνον τῶν ὀνομάτων εἴθιζε μνημονεύειν αὐτὸν, ἀλλὰ καὶ τὸν τόπον ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον οὗ κέκτηται, καὶ φίλους, οἷστισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. (2) Οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος ἐθαυμάζετο μήτε μισθοὺς μήτε δῶρα προσιέμενος ἀπὸ τῆς συνηγορίας, μάλιστα δ', ὅτε τὴν κατὰ Βέῤῥου δίκην ἀνέλαβε. Τοῦτον γὰρ στρατηγὸν γεγονότα τῆς b Σικελίας καὶ πολλὰ πεπονηρευμένον τῶν Σικελιωτῶν διωκόντων εἷλεν, οὐκ εἰπὼν, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. Τῶν γὰρ στρατηγῶν τῷ Βέῤῥῃ χαριζομένων καὶ τὴν δίκην ὑπερθέσεσι καὶ διακρούσεσι πολλαῖς εἰς τὴν ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον, ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ Κικέρων ἔφη μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας καὶ ἐπικρίνας ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς. (3) Ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. Βέῤῥην γὰρ οἱ Ῥωμαῖοι τὸν c ἐκτετμημένον χοῖρον καλοῦσιν. Ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος ἔνοχος τῷ ἰουδαΐζειν ὄνομα Κεκίλιος ἐβούλετο παρωσάμενος τοὺς Σικελιώτας κατηγορεῖν τοῦ Βέῤῥου, « Τί Ἰουδαίῳ πρὸς χοῖρον; » ἔφη Κικέρων. (4) Ἦν δὲ τῷ Βέῤῥῃ ἀντίπαις υἱὸς οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. Λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ Βέῤῥου, « Τοῖς υἱοῖς, εἶπεν, ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι. » (5) Τοῦ δὲ ῥήτορος Ὀρτησίου τὴν μὲν εὐθεῖαν τῷ Βέῤῥῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι καὶ λαβόντος ἐλεφαντίνην Σφίγγα μισθὸν, εἶπέ τι πλα- d γίως ὁ Κικέρων πρὸς αὐτόν· τοῦ δὲ φήσαντος αἰνιγμάτων λύσεων ἀπείρως ἔχειν· « Καὶ μὴν ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις. »

VIII. Οὕτω δὲ τοῦ Βέῤῥου καταδικασθέντος, ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ Κικέρων διαβολὴν ἔσχεν, ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. Οὐ μὴν ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομοῦντος αὐτοῦ, πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἧκον· ὧν οὐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. (2) Ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρποις, καὶ περὶ Νέαν πόλιν ἦν ἀγρὸς καὶ e περὶ Πομπηίους ἕτερος, οὐ μεγάλοι· φερνή τε Τερεντίας τῆς γυναικὸς προσεγένετο μυριάδων δέκα καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. Ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε μετὰ τῶν συμβιούντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολόγων, σπά-

lisset, turpe esse existimans, si, quum opifices instrumentorum suorum inanimatorum nomina, loca et vim cognitam habeant, in republica versans aliquis, cui hominum opera in expediendis publicis negotiis utendum est, cognitionem civilium rerum personarumque negligeret : non nomina modo eorum, cum quibus sibi res esset, sed et habitationes eorum, possessiones, amicos vicinosque ut sciret, assuefecit; itaque per Italiam quacumque via incedenti facile erat amicorum agros et prædia demonstrare. (2) In admiratione etiam fuit, quod, quum modicas facultates, sed ex quibus tamen sumptus necessarii suppeditarent, possideret, patrocinii causa neque mercedem neque dona a quoquam acceperit, maxime, quum Verrinam actionem suscepit. Eum, quod prætor Siciliam plurimis flagitiis vexasset, oratu Siculorum Cicero accusavit, reumque peregit, non tam dicendo, quam eo ipso fere, quod non dixit. Quum enim designati magistratus faverent Verri, multisque dilationibus atque moris judicium in ultimum diem extraherent, Cicero, quum appareret diei spatium orationibus suis non suffecturum, neque judicium perfectum iri, surgens, nihil opus esse verbis dixit, testesque productos dijudicavit et judices suffragia jussit ferre. (3) Verumtamen multa ejus facete dicta eo in judicio feruntur. Verres Romanis porcus castratus dicitur. Erat autem quidam libertinus Cæcilius, Judaicæ superstitioni obnoxius, qui quum invitis Siculis Verrem accusare vellet, Cicero, Quid, inquit, Judæo cum verre est rei? (4) Erat Verri filius jam pubescens, qui teneræ ætatis pudicitiam parum liberaliter custodivisse credebatur. Itaque Cicero, quum a Verre ei mollities objiceretur : Filiis, inquit, domi vitia exprobranda sunt. (5) Quum orator Hortensius non ausus palam defendere Verrem, in æstimatione tamen mulctæ adesset, sphingis eburneæ dono adductus, et Cicerone obliquius quippiam dicente, se dissolvendorum ænigmatum peritum esse negaret : Atqui, ait Cicero, Sphingem domi habes.

VIII. Damnato Verre, quum litem ei tricies HS. æstimasset, calumniis nonnullorum impetitus est, quasi accepta pecunia mulctam diminuisset. Siculi tamen ut gratiam ei referrent, ædilitatem gerenti multa ex insula advexerunt atque attulerunt, quorum ille nihil in suam rem vertit, sed studio eorum usus est eo, ut rerum in foro venalium pretia minuerentur. (2) Villam Arpini pulchram et apud Pompeios aliam, itemque apud Neapolim, haud magnas possedit; accessit eo dos Terentiæ uxoris, quæ erant quadringenta octoginta sestertia et hæreditas quædam nonaginta denariorum millia efficiens. His opibus liberaliter simul et sobrie vivebat, convictoribus utens Græcis Romanisque,

νιον, εἴ ποτε, πρὸ δυσμῶν ἡλίου κατακλινόμενος, οὐχ
οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μο-
χθηρῶς διακείμενον. Ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα
θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥστε καὶ τρίψεσι καὶ
περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. Τοῦτον τὸν
τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν ἄνοσον καὶ διαρκῆ πρὸς f
πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν.
(2) Οἰκίαν δὲ τὴν μὲν πατρῴαν τῷ ἀδελφῷ παρεχώρη-
σεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον ὑπὲρ τοῦ μὴ μα-
κρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν.
Ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες οὐκ
868 ἐλάττονες ἢ Κράσσον ἐπὶ πλούτῳ καὶ Πομπήιον διὰ τὴν a
ἐν τοῖς στρατεύμασι δύναμιν θαυμαζομένους μάλιστα
Ῥωμαίων καὶ μεγίστους ὄντας. Κικέρωνα δὲ καὶ Πομ-
πήιος ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ
δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία.

IX. Στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν
καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη· καὶ τὰς κρί-
σεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. Λέγεται δὲ
καὶ Λικίνιος Μάκερ, ἀνὴρ καὶ καθ' αὑτὸν ἰσχύων ἐν τῇ
πόλει μέγα καὶ Κράσσῳ χρώμενος βοηθῷ, κρινόμενος
κλοπῆς ὑπ' αὐτοῦ, τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς,
ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴ-
καδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος καὶ καθαρὸν
ἱμάτιον ὡς νενικηκὼς λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι· b
τοῦ δὲ Κράσσου περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ
καὶ φράσαντος, ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀνα-
στρέψας καὶ κατακλινεὶς ἀποθανεῖν. Τὸ δὲ πρᾶγμα τῷ
Κικέρωνι δόξαν ἤνεγκεν ὡς ἐπιμελῶς βραβεύσαντι τὸ
δικαστήριον. (2) Ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ
καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις,
χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ᾐτεῖτό τι κατα-
στὰς παρὰ τοῦ Κικέρωνος καὶ μὴ διδόντος, ἀλλὰ βου-
λευομένου πολὺν χρόνον, εἶπεν ὡς οὐκ ἂν αὐτὸς διστά-
σειε περὶ τούτου στρατηγῶν, ἐπιστραφεὶς ὁ Κικέρων, c
« Ἀλλ' ἐγὼ, εἶπεν, οὐκ ἔχω τηλικοῦτον τράχηλον. »
(3) Ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ
προσήγαγέ τις Μανίλιον εὐθύνων κλοπῆς. Ὁ δὲ Μανί-
λιος οὗτος εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου δο-
κῶν ἐλαύνεσθαι διὰ Πομπήιον· ἐκείνου γὰρ ἦν φίλος.
Αἰτουμένου δ' ἡμέρας αὐτοῦ μίαν ὁ Κικέρων μόνην τὴν
ἐπιοῦσαν ἔδωκε· καὶ ὁ δῆμος ἠγανάκτησεν, εἰθισμένων
τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς
κινδυνεύουσι. (4) Τῶν δὲ δημάρχων αὐτὸν διαγαγόν-
των ἐπὶ τὸ βῆμα καὶ κατηγορούντων, ἀκουσθῆναι δεη-
θεὶς εἶπεν, ὅτι τοῖς κινδυνεύουσιν ἀεὶ, καθ' ὅσον οἱ νό- d
μοι παρείχουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως
δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα μὴ παρασχεῖν· ἧς οὖν
ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτη-
δες ὁρίσαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβα-
λεῖν οὐκ εἶναι βουλομένου βοηθεῖν. (5) Ταῦτα λεχθέντα
θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ
κατευφημοῦντες αὐτὸν ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου
συνηγορίαν ἀναλαβεῖν. Ὁ δ' ὑπέστη προθύμως, οὐχ

qui in liberalibus studiis una versabantur, raroque ante occasum solis accumbebat cœnandi causa, idque non tam propter occupationes, quam propter valetudinem stomachi imbecillitatis causa. In corpore alioquin etiam curando multum posuit diligentiæ, ita ut fricationibus etiam, certoque numero definitis ambulationibus uteretur. Atque hoc modo corporis habitum ita firmavit, ut id ad multos ac magnos labores satis virium haberet atque perduraret citra valetudinem. (2) Domum paternam fratri concessit; ipse juxta palatium habitavit, ne qui eum colebant, longe venire coacti gravarentur. Colebant autem eum et quotidie ad fores ejus ventitabant haud pauciores, quam ad Crassi aut Pompeii, quorum ille divitiis, hic bellica gloria Romanorum primi inque summa erant admiratione. Ciceronem Pompeius quoque coluit, ejusque actionibus plurimum est ad potentiam gloriamque parandam adjutus.

IX. Quum in petitione præturæ multos haberet et illustres competitores, primus omnium designatus est, creditusque est judicia præclare et probe exercuisse. Fertur etiam Licinius Macer, vir et ipse multum in civitate potens, et Crassi utens auxilio, quum repetundarum reus Cicerone judice esset factus, potentia sua et studio amicorum fretus, judicibus adhuc sententias ferentibus domum abiisse, statimque caput totondisse, puramque vestem veluti absolutus induisse, atque ita in forum prodiisse; Crasso autem apud vestibulum occurrente, et universis damnatum suffragiis nuntiante, reversus accubuisse et vivendi finem fecisse. Hæc res Ciceroni multam diligentiæ in judiciis moderandis famam attulit. (2) Quum Vatinius, homo in patrociniis asper et magistratuum quodammodo contemptor, isque strumis collum oppletus, a Cicerone aliquid astans peteret, eoque non annuente et aliquamdiu deliberante, diceret : se, si prætor esset, nihil hac de re dubitaturum, conversus Cicero : Atqui ego, inquit, tantum collum non habeo. (3) Quum adhuc præturæ ejus duo vel tres dies superessent, Manilium quidam repetundarum apud eum postulavit. Favit autem huic Manilio populus, quod Pompeii causa, cujus erat amicus, fatigari credebatur. Itaque quum diem unum peteret, Cicero unicum eum qui insequebatur ei concessit; indigne id ferente populo, quum prætores solerent decem, minimum, dies reis largiri. (4) Itaque a tribunis plebis in concionem pertractus, ibique accusatus, quum impetrasset ut sibi dicendi potestas fieret : se ostendit, qui semper reis benignum se, quantum per leges licuisset, humanumque præbuisset, inique facturum censuisse, si eundem se Manilio non exhiberet; itaque ei diem, qui unus sibi in prætura reliquus esset, consulto se constituisse : non esse enim ejus qui prodesse reo velit, judicium ad alium magistratum rejicere. (5) His dictis animos populi mirifice circumegit, ita ut acclamationibus eum secundis excipientes orarent, uti patrocinium Manilii susciperet. Quod ipse haud gravatim fecit, in gratiam præser-

ἥκιστα διὰ Πομπήιον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς ἐδημηγόρησε νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ e
τῷ Πομπηίῳ φθονούντων καθαπτόμενος.

X. Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. Τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες ἰδίων ἕνεκα πλεονεξιῶν οὐ πρὸς τὸ βέλτιστον, Πομπηίου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρ- f
μενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. (2) Οὗτοι κορυφαῖον εἶχον ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν, ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρί, κτεῖναι δ' ἀδελφὸν αὐ-
866 τοῦ· καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος ἔπεισε Σύλλαν ὡς a
ἔτι ζῶντα τὸν ἄνθρωπον ἐν τοῖς ἀποθανουμένοις προγράψαι. Τοῦτον οὖν προστάτην οἱ πονηροὶ λαβόντες ἄλλας τε πίστεις ἀλλήλοις ἔδοσαν καὶ καταθύσαντες ἄνθρωπον ἐγεύσαντο τῶν σαρκῶν. (3) Διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότους καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. Ἐπῆρτο δ' ἥ τε Τυρρηνία πρὸς ἀπόστασιν ὅλη καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιστα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπει- b
νοὺς συνερρυηκότων ἀνθρώπους, ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα καὶ παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι τὴν πολιτείαν αὐτὴν ὑφ' αὑτῆς νοσοῦσαν.

XI. Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον ὑπατείαν μετῄει· καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν οὔτε πρὸς τὸ βέλτιον οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ, προσθήκῃ δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένῳ. Ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν· καὶ τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν c
Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ᾑρέθησαν· καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρός, οὐ βουλευτοῦ, γεγονώς.

XII. Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τοὺς πολλοὺς λανθάνοντα, προάγωνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο. Τοῦτο μὲν γὰρ οἱ κεκωλυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες οὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγουν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν οὐδὲ σὺν καιρῷ κινοῦντες, τοῦτο δὲ νόμους εἰσῆγον οἱ δή-

tim Pompeii absentis, denuoque habita oratione, acriter in eos qui rempublicam in potestate paucorum esse cupiebant, invidebantque Pompeio, invectus est.

X. Ad consulatum vero non minus ab optimatibus quam a multitudine provectus est. Ut faverent petitioni Ciceronis, reipublicæ gratia hujuscemodi ex causa factum est. Quum instituta a L. Sulla reipublicæ forma initio quidem absurda visa esset, successu tamen temporis et consuetudine confirmata, tolerabilis status rerum ac non incommodus populo videretur: exstiterunt qui optimo publico suis cupiditatibus postposito concutere eum mutareque conarentur, eo etiam freti, quod Pompeio adhuc bellum adversus reges in Armenia et Ponto gerente, Romæ nullus exercitus novarum rerum machinatoribus opprimendis sufficiens exstabat. (2) Horum dux princepsque fuit L. Catilina, audax homo et magnarum rerum appetens, varioque præditus ingenio, qui præter cetera flagitia filiæ suæ virginitatem imminuisse ferebatur, fratremque ipse suum occidisse, ac ne parricidii ejus postularetur, Sullam exorasse, ut ille tanquam vivus adhuc inter necandos proscriberetur. Hunc improbi homines nacti antesignanum, quum aliis sese sacramentis obstrinxerunt, tum mactati hominis carnibus gustatis. (3) Corrupit autem Catilina magnam urbanæ juventutis partem voluptatibus variis, compotationibus et mulierculārum amoribus singulos illiciens, ad eamque rem effuse sumptus suppeditans. Ad defectionem tota Etruria et pleræque Cisalpinæ Galliæ partes spectabant. Urbi autem gravissimum a mutatione impendebat periculum, propter inæqualitatem facultatum inter cives. Nam et quorum summa erat gloria atque animorum elatio, ii theatris, epulis, ambitu et ædificando rem familiarem comminuerant, et divitiæ ad ignobiles et abjectos homines redierant, ut levi momento respublica impelli et prope a quovis everti posse videretur, ipsa suis vitiis laborans.

XI. Verum enimvero Catilina ut validam aliquam arcem præoccuparet, consulatum ambiebat, magnaque in spe erat, se cum C. Antonio consulem designatum iri, viro qui se ipse neutram in partem ducem præberet, sed ducem nactus, facile sequeretur ejusque potentiam augeret. Hæc quum præstantissimi civium præsensissent, Ciceronem ad consulatum petendum produxerunt; isque a populo magno favore exceptus est et repulso Catilina cum C. Antonio consul designatus, quanquam solus inter competitores non patricio, sed equestri patre natus esset.

XII. Latuerunt adhuc plerosque Catilinæ consilia; magna autem certaminum exordia in Ciceronis consulatus initium inciderunt. Primum enim ii, quibus Sullanis legibus interdictum erat magistratuum petitione, neque pauci numero, neque viribus destituti, populum concitabant, multa, et quidem non vana, de Sullæ tyrannide conquerentes, sed alieno tempore rempublicam concutientes. Deinde tribuni plebis leges eodem pertinentes promulgabant de constituen-

μαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν, οἷς ἐφεῖτο πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας καὶ ὅσα διὰ Πομπηίου νεωστὶ προσώριστο κυρίους ὄντας πωλεῖν τὰ δημόσια, κρίνειν οὓς δοκοίη, φυγάδας ἐκβάλλειν, συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμείου, στρατιώτας τρέφειν καὶ καταλέγειν, ὁπόσων δέοιντο. (2) Διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν καὶ πρῶτος Ἀντώνιος ὁ τοῦ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. Ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων· ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. (3) Καὶ τοῦτο πρῶτον e θεραπεύων ὁ Κικέρων ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρῃτήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον ὥσπερ ὑποκριτὴν ἔμμισθον αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. Ὡς δ' οὗτος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαῤῥῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. Ἐν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διατιθέμενος οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. Ἐπεὶ δ' αὖθις ἐπεχείρουν καὶ παρεσκευασμένοι προεκαλοῦντο f τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας καὶ προελθὼν, οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ.

867 XIII. Μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις, a ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται, καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. Δεῖγμα δὲ αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. (2) Τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς καὶ μετὰ τοῦ δήμου θεωμένων, ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχουσι. Τοῦτο πρὸς ἀτιμίας ὁ δῆμος ἔλαβε, καὶ b φανέντος ἐν θεάτρῳ τοῦ Ὄθωνος ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. Αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμὸν, εἶτ' ἐκεῖνοι τὸν κρότον. Ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶντο λοιδορίαις καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. Ἐπεὶ δ' ὁ Κικέρων ἧκε πυθόμενος καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐνυοῦς ἱερὸν ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς καὶ πρὸς τοὺς ἱππέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

XIV. Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν αὖθις ἀνεθάῤῥει καὶ συνῆ- c γον ἀλλήλους καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων πρὶν ἐπανελθεῖν Πομπήιον ἤδη λεγό-

dis decem viris cum plena potestate, qui totam Italiam et Syriam et quascumque regiones nuper Pompeius Romano imperio adjecerat, sub se habentes, publica bona venderent, damnarent quos vellent et in exsilium agerent, urbes conderent, pecunias ex ærario sumerent, exercitus quantos videretur scriberent atque alerent. (2) Quare huic legi quum alii primarii viri, tum princeps Antonius Ciceronis collega favebat, sperans se unum ex decem istis futurum. Idemque videbatur Catilinæ institutum, quum sciret, non ægre tamen ferre, propter alieni æris multitudinem; et optimatibus hoc maximum injiciebat metum. (3) Itaque hunc primo omnium sibi devinciendum Cicero ratus, provinciam ei Macedoniam decrevit, sibique destinatam Galliam dimisit; quo officio Antonium ita obstrinxit, ut quasi mercede conductus histrio, in summa republica secundas sibi ageret partes. Eo subacto et quasi mansuefacto fiducia auctus, novarum rerum machinatores aggressus est, atque in senatu habita in legem istam oratione, ita ejus auctores perterruit, ut quod contradicerent non haberent. Quum rursus eam ferre conarentur consulesque ad populum vocarent, nihil perterritus, senatu se sequi jusso in concionem prodiit, ac non legem modo eam sustulit, sed etiam oratione sua tribunos plebis ita fregit, ut de reliquis etiam, quæ moliebantur, desperarent.

XIII. Is enim præsertim vir ostendit Romanis, quantum suavitatis eloquentia rebus honestis conciliet atque, quod justum est, si recte oratione exprimatur, invictum sit; tum eum qui in republica versari præclare velit, debere semper re quidem id quod rectum est ei quod aduletur multitudini præferre, oratione autem eximere ejus quod conducat acerbitatem. Exemplum quo quanta fuerit in dicendo præditus gratia appareat, est etiam actio de spectandis ludis ipso consule habita. (2) Quum enim ante in theatro Equites permixti plebi spectassent, primus M. Otho præturam tum gerens honoris causa eos a ceteris civibus separavit, locumque peculiarem assignavit, quo etiamnum utuntur. Hoc ad ignominiam suam spectare sentiens populus, visum in theatro Othonem exsibilavit, Equites eum plausu exceperunt, rursumque sibilos populo, plausum Equitibus tollentibus, ita inter se commissi maledictis se mutuo vexarunt atque magna exstitit inde in theatro confusio. His auditis, Cicero in theatrum venit populumque in Bellonæ ædem evocavit; ibi ab eo dictis castigati quum in theatrum revertissent, plausum Roscio alacrem dederunt, in eoque honorando et laudando vinci se ab Equitibus passi nequaquam sunt.

XIV. Interim conjurati Catilinæ quum initio metu concidissent, animis receptis conventus agere et mutuo se ad rem audacius aggrediendam ante reditum Pompeii, qui jam cum exercitu reverti ferebatur, cohortari cœperunt Catili-

μενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. Μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφυκότες μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυῤῥηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων ὀνειροπολοῦντες. Οὗτοι γὰρ ἡγεμόνα Μάλλιον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλᾳ στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. Ὑπατείαν γὰρ αὖθις μετῄει βεβουλευ- [d] μένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον. (2) Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν. Αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. Διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. Ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος ἀπεκρίνατο τῷ Κικέρωνι [e] μανικὴν ἀπόκρισιν· « Τί γάρ, ἔφη, πράττω δεινόν, εἰ, δυεῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλήν, τοῦ δ' ἀκεφάλου μέν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι; » (3) Τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ᾐνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον. Τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυ- [f] νον. Οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον καὶ Μουρήναν.

XV. Οὐ πολλῷ δ' ὕστερον τούτων ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυῤῥηνίᾳ συνερχομένων καὶ καταλοχιζομένων καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς [868] οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύ- [a] κτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος καὶ Μάρκος Μάρκελλος καὶ Σκηπίων Μέτελλος· κόψαντες δὲ τὰς θύρας καὶ καλέσαντες τὸν θυρωρὸν ἐκέλευον ἐπεγεῖραι καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν. (2) Ἦν δὲ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρός, ὑπὸ δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον. Ἣν μόνην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, [b] ἀλλ' ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τοῦ δεινοῦ καί τι τῆς αἰτίας ἀπολυόμενος, ἣν ἔσχε διὰ φιλίαν τοῦ Κατιλίνα. (3) Βουλευσάμενος οὖν ὁ Κικέρων ἅμ' ἡμέρᾳ βουλὴν συνήγαγε καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. Πᾶσαι δ' ἦσαν ὁμοίως ἐπιβουλὴν φράζουσαι.

nam Syllani maxime milites excitabant, qui toti quidem Italiæ firmiter inhærebant, sed maxima et validissima eorum pars per Etruriæ urbes dispersa prædas rursum et direptiones bonorum alienorum animo agitabant. Hi ducem nacti Manlium, qui sub Sulla præclare militaverat, Catilinæ se conjunxerunt Romamque venerunt, ut comitia ejus obirent. Rursus enim petebat consulatum, ac decreverat ipso in tumultu comitiorum Ciceronem interficere. (2) Videbantur quidem ea quæ agebantur divinitus terræ motibus, fulminibus, spectris indicari. Indicia vero ab hominibus delata erant quidem ea vera, sed quæ tamen contra ita nobilem atque potentem virum non sufficerent. Itaque Cicero, dilato comitiorum die, in senatum vocat Catilinam, ac de iis, quæ allata erant, interrogat. Ibi Catilina, quod et multos esse in senatu rerum novarum cupidos putaret et simul conjuratis ostentare se vellet, insane Ciceroni respondit : Quid tandem, inquit, mali facio, si, quum duo sint corpora, alterum capite præditum, sed gracile et tabe confectum, alterum validum et magnum, sed capite carens, huic ego caput impono? (3) His ambagibus senatum ab eo populumque notari sentiens, magis etiam sibi metuit Cicero, eumque thoracibus induti primores urbis universi et multi juvenes in Campum deduxerunt. Atque ipse de industria togam ab humero aliquantum demittens, thoracem quem gestabat ostentavit, periculum in quo constitutus erat significans spectantibus. Itaque multi eum stipaverunt indignitate rei moti. Tandem populo in suffragia misso rursum repulsam passus est Catilina, designatique consules Silanus et Murena.

XV. Haud multo post quum jam Catilinarii milites in Etruria convenissent et centuriati essent, diesque facinori destinata appropinquaret, media nocte ad domum Ciceronis veniunt primi potentissimique Romanorum, M. Crassus, M. Marcellus et Scipio Metellus; hi quum ostium pulsassent, evocato janitore, ut excitaret Ciceronem seque adesse indicaret, jubent. (2) Res ea erat. Crasso secundum cœnam litteras reddiderat janitor ab ignoto quodam homine allatas, alias aliis inscriptas, unas vero ipsi Crasso incerto auctore, quas unas quum legisset Crassus, eæque ostenderent a Catilina magnas in urbe cædes editum iri, juberentque urbe ipsum excedere, reliquas non solvit, sed statim ad Ciceronem contulit, quum periculi atrocitate perculsus, tum ut suspicionem de se ob amicitiam Catilinæ conceptam purgaret. (3) Cicero, re deliberata, prima luce senatum convocavit, allatisque eo epistolis singulis ut erant inscriptæ distribuit, jussitque palam recitare. Omnes idem indicabant,

Ἐπεὶ δὲ καὶ Κόιντος Ἄῤῥιος, ἀνὴρ στρατηγικός, ἀπήγγελλε τοὺς ἐν Τυῤῥηνίᾳ καταλοχισμοὺς καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκᾶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς παρακατατίθεσθαι τοῖς ὑπάτοις c τὰ πράγματα, δεξαμένους δ' ἐκείνους ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. Τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

XVI. Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε, τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμποντας, οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα, Μάρκιον δὲ καὶ Κέθηγον ἐκέλευσε d ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν ὡς ἀσπασομένους τὸν Κικέρωνα καὶ διαχρήσασθαι προσπεσόντας. Τοῦτο Φουλβία, γυνὴ τῶν ἐπιφανῶν, ἐξαγγέλλει τῷ Κικέρωνι νυκτὸς ἐλθοῦσα καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. Οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ καὶ κωλυθέντες εἰσελθεῖν ἠγανάκτουν καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. (2) Προελθὼν δ' ὁ Κικέρων ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερόν, ὃν Στάτωρα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων. Ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος e ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. Ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀναστὰς ὁ Κικέρων προσέταξεν αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γάρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος. (3) Ὁ μὲν οὖν Κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων καὶ περιστησάμενος αὑτῷ ῥαβδουχίας ὡς ἄρχοντι καὶ πελέκεις καὶ σημαίας ἐπαράμενος πρὸς τὸν Μάλλιον ἐχώρει· καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων ἐπῄει f τὰς πόλεις ἀναπείθων καὶ ἀφιστάς, ὥστε τοῦ πολέμου φανεροῦ γεγονότος τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

XVII. Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάῤῥυνε Κορνήλιος Λέντλος Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον, τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις 869 τὸ βουλευτικὸν ἀξίωμα. (2) Λέγεται δὲ καὶ τὴν ἐπί- a κλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐξ αἰτίας τοιαύτης. Ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν. Ἀγανακτοῦντος δὲ τοῦ Σύλλα καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην, ὥσπερ εἰώθεισαν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρ-

nempe insidias. Ad hæc Q. Arrius, prætorius vir, milites in Etruria occulte cogi indicavit. Relatum etiam est, Manlium cum magna manu circum illas urbes hærere et semper novum aliquid ex urbe operiri. Itaque fit senatusconsultum, ut respublica committeretur consulibus iisque, hac potestate accepta, pro arbitrio administrarent et servarent rempublicam. Fieri hoc non frequenter, sed in magno periculi metu a senatu solebat.

XVI. Hac sibi potestate data Cicero res extra urbem Q. Metello commisit, urbem ipse gubernandam sumpsit, ac quotidie in publicum tanta hominum multitudine stipatus prodiit, ut ab iis magna fori pars occuparetur. Quapropter moram porro non ferens Catilina statuit ex urbe se ad exercitum Manlianum proripere, Marcium autem et Cethegum jussit gladiis succinctos ad domum Ciceronis quasi salutandi causa ire, itaque admissos eum occidere. Hæc Fulvia nobilis mulier Ciceronem noctu conveniens aperit, monetque ut sibi a Cethego et Marcio caveat. Ita hi quum summo mane venissent atque aditu prohibiti essent, moleste id ferentes atque ante fores vociferantes, suspicionem auxerunt. (2) Tum Cicero senatu in ædem Jovis Statoris (quæ est in summa Sacra via, qua ascenditur ad Palatium) convocat. Eo quum Catilina etiam sociique venissent purgandi causa, nemo senator assidere eis sustinuit, sed universi de sedilibus cesserunt. Catilina autem loqui orsus, perturbatus est. Tandem surrexit Cicero, urbeque eum exire jussit; nam inter se, qui verbis, et eum qui armis rempublicam gerere vellet, debere murum esse interpositum. (3) Catilina statim cum trecentis armatis urbe exivit, fascibusque et lictoribus perinde ac si magistratum gereret assumptis, signisque sublatis ad Manlium contendit, jamque ad viginti hominum millia coactis, urbes obiens ad defectionem sollicitabat. Itaque quum jam haud dubie bellum immineret, missus est consul Antonius qui eum debellaret.

XVII. Qui in urbe relicti erant cives a Catilina corrupti, eos continebat atque confirmabat Cornelius Lentulus, Sura cognomento, illustri natus familia, sed vitæ inhoneste actæ, et qui ob libidines senatu ante ejectus, tunc (qui mos est recuperantibus senatoriam dignitatem) iterum præturam gerebat. (2) Fertur cognomentum Suræ hoc modo adeptus. Quum sub Sulla quæstor multum publicæ pecuniæ intervertisset, idque Sulla indigne ferret inque senatu rationem ab eo exigeret: progressus contemptim atque incuriose plane, rationem se redditurum negavit, suram autem præbiturum, id quod pueri solent quum in lusione pilæ erraverunt. Inde

τωσιν. Ἐκ τούτου Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. (3) Πάλιν δὲ δίκην ἔχων καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. (4) Τοῦτον ὄντα τῇ φύσει τοιοῦ- b τον κεκινημένον ὑπὸ τοῦ Κατιλίνα προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων προδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους, ὧν δύο μὲν ἤδη πεπληρωκέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα καὶ δεῖν πάντως δέχεσθαι καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιροὺς, ὥσπερ Κατιλίνας.

XVIII. Οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ Λέντλος ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο, τὴν πόλιν δ' αὐτὴν c καταπιμπράναι φείδεσθαί τε μηδενὸς ἢ τῶν Πομπηίου τέκνων· ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς καὶ φυλάττειν ὅμηρα τῶν πρὸς Πομπήιον διαλύσεων· ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας. (2) Καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων, ξίφη δὲ καὶ στυππεῖα καὶ θεῖον εἰς τὴν Κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν. Ἄνδρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς Ῥώμης ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν ἁψάντων φλέγοιτο πανταχόθεν ἡ πόλις. Ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες d ἀποσφάττειν τοὺς ὑδρευομένους. (3) Πραττομένων δὲ τούτων ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος καὶ βαρυνομένου τὴν ἡγεμονίαν. Τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν ἐποιήσαντο συνωμότας. Καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλὴν, γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Συναπέστελλον δὲ μετ' αὐτῶν πρὸς τὸν Κατιλίναν Τίτον τινὰ Κροτω- e νιάτην κομίζοντα τὰς ἐπιστολάς. (4) Οἷα δ' ἀνθρώπων ἀσταθμήτων καὶ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων βουλεύματα πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀδήλως τῶν Ἀλλοβρίγων.

XIX. Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν ἐξανέγνω τὰ γράμματα καὶ τῶν μηνυ- f τῶν διήκουσεν. Ἔφη δὲ καὶ Σιλανὸς Ἰούνιος ἀκηκοέναι τινὰς Κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ

Sura dictus est. (3) Alio tempore quum reus esset, ac corruptis pecunia quibusdam judicibus, suffragiis duobus absolveretur: inutiles se sumptus in altero judicum corrumpendo fecisse dixit, satisque fuisse, si una sententia absolveretur. (4) Hunc tali ingenio præditum et a Catilina excitatum, insuper vana spe et confictis vaticinationibus impostores quidam et præstigiatores perdebant, oracula ementita pro Sibyllinis versibus cantantes, quibus indicaretur in fatis esse, uti tres Cornelii Romæ omnium domini essent, ex his duos Cinnam et Sullam explevisse jam fatum, tertio illi, qui superesset, Cornelio divinitus dominationem offerri; modo acciperet, neque cunctando, ut Catilina, occasiones perderet.

XVIII. Ob id nihil jam humile, nihil vile Lentulus cogitabat. Statuerunt ergo senatum universum trucidare et quotquot præterea possent cives, urbem ipsam incendere, nemini omnino parcere, præterquam Pompeii liberis; hos rapere et detinere obsidum loco, per quos transigere cum Pompeio possent; jam enim constans rumor tenebat, eum magno profligato bello adventare. (2) Nox ad rem istam peragendam definita fuit una Saturnalium; gladii, stuppa, et sulphur clam in Cethegi domum comportata, centum viri ad singulas urbis partes singuli destinati, ut certis intervallis simul accensa urbs undique conflagraret. Alii ordinati, qui aquæ ductus obturarent et aquam petentes necarent. (3) Dum hæc parantur, forte Romæ erant duo legati Allobrogum, quæ gens tunc maxime affligebatur Romanorumque dominationem ægre tolerabat. Hos Lentulus existimans utiles sibi fore ad concitandam Galliam conjurationis socios effecit, literasque eis ad senatum Allobrogicum et Catilinam dedit, libertatem illi promittens, hunc hortans ut servis libertate donatis statim Romam peteret. Missus una cum iis ad Catilinam qui literas perferret T. quidam Crotoniata. (4) Hæc hominum futilium et qui plerumque inter pocula et scorta colloquerentur consilia Cicero vigili sobrioque animo et summo studio sollertiaque indagans, multosque habens, qui in speculandis extrinsecus eorum conatibus se adjuvarent, cum multis quoque eorum, qui socii conjurationis videbantur, occulte colloquens, eorumque indiciis credens, de re cum Allobrogibus communicata certior est redditus, noctuque adjuvantibus occulte etiam Allobrogibus, Crotoniensem illum cum literis per insidias intercepit.

XIX. Orto primum sole in templum Concordiæ senatum convocavit, ibique et literas recitavit, et indicia deferentibus audientiam fecit. Retulit etiam Junius Silanus, esse qui audierint Cethegum dicentem, tres consules et quattuor

στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι. Τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικὸς, εἰσήγγειλε. Γάϊος
870 δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμ- a
φθεὶς τοῦ Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε νεοθήκτους ἁπάσας. Τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχὴν (στρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. (2) Ἤδη δ' ἑσπέρας οὔσης καὶ τοῦ δήμου περιμένοντος ἀθρόου, προελθὼν ὁ Κικέρων καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις καὶ προπεμφθεὶς παρῆλθεν εἰς οἰκίαν φίλου b
γειτνιῶντος, ἐπεὶ τὴν ἐκείνου γυναῖκες κατεῖχον ἱεροῖς ἀποῤῥήτοις ὀργιάζουσαι θεὸν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθὴν, Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσι. Θύεται δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν Ἑστιάδων παρθένων παρουσῶν. (3) Εἰσελθὼν οὖν ὁ Κικέρων καθ' αὑτὸν, ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν ὅπως χρήσαιτο τοῖς ἀνδράσι. Τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξευλαβεῖτο καὶ κατώκνει δι' ἐπιείκειαν ἤθους ἅμα καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· c
μαλακώτερόν τε χρησάμενος ὠῤῥώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. Οὐ γὰρ ἀγαπήσειν μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναῤῥαγήσεσθαι τόλμης τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακὸς οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

XX. Ταῦτα τοῦ Κικέρωνος διαποροῦντος γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. Ὁ γὰρ βωμὸς, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ d
λαμπρὰν, ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τοῦ Κικέρωνος γυναῖκα Τερεντίαν ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. (2) Ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις οὐδ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων ἢ μεταδιδοῦσα τῶν οἰκιακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας· ὁμοίως δὲ καὶ Κόϊντος ὁ ἀδελφὸς καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ e
τὰς πολιτικὰς ἐχρῆτο πράξεις. (3) Τῇ δ' ὑστεραίᾳ γενομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς εἶπε τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν ἀχθέντας εἰς τὸ δεσμωτήριον. Καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς μέχρι Γαΐου

prætores interfectum iri; et his germana Piso vir consularis. C. autem Sulpicius prætor in domum Cethegi missus, multa ibi jacula et arma, plurimos gladios sicasque recens acutas reperit. Tandem Crotoniata accepta publica fide in senatu omnem rem exposuit. Ita convictus Lentulus præturam ejuravit, depositaque in senatu prætexta, vestem fortunæ suæ convenientem sumpsit, isque et socii ejus in liberam custodiam prætoribus traditi sunt. (2) Quum jam advesperasset populusque frequens exspectaret, progressus Cicero civibus rem narravit, ab iisque in domum amici cujusdam vicini deductus est; suam enim mulieres obtinebant, arcana Bonæ Deæ, quam Græci dicunt Γυναικείαν (i. e. *Muliebrem*), sacra celebrantes. Fit hoc quotannis in domo consulis et sacrificium præsentibus Vestalibus a matre vel uxore consulis peragitur. (3) Ingressus eam in domum Cicero, paucis admodum præsentibus, secum quomodo agendum cum deprehensis esset deliberabat. Nam et ab extremo et tali facinore digno supplicio abhorrebat, quum ob innatam humanitatem, tum quod verebatur ne potestate sua luxuriare insolentiusque insultare videretur viris nobilissimis et amicos potentes in urbe habentibus; et si clementius eos tractasset, imminens ab iis periculum reformidabat. Videbat enim non quieturos eos leviore quam capitali affectos pœna, sed accedente ad veterem nequitiam nova ira quidvis ausuros; tum se, qui alioquin parum animosus haberetur, mollem timidumque vulgo judicatum iri.

XX. His illo curis distracto, mulieribus sacrificantibus ostentum est factum. Ara enim, quum jam sopitus putaretur ignis, ex cinere et crematis corticibus flammam copiosam splendidamque edidit; ob hanc reliquis metu diffugientibus, Vestales Terentiam Ciceronis uxorem celerrime ad maritum accedere, et quæ pro salute patriæ cogitaret agere libere, hortatæ sunt: flammam enim a dea editam multum illi ad salutem et gloriam momenti polliceri. (2) Terentia autem, mulier minime demissi aut timidi ingenii, sed animo elato prædita et quæ, ut ait Cicero, magis a marito partem publicarum curarum acciperet, quam domesticarum in eum conferret; hæc ei indicavit et adversum reos incitavit. Idem fecerunt Q. frater et P. Nigidius, quem Cicero in studiis philosophiæ socium habebat, eoque inter reipublicæ negotia plurimum utebatur. (3) Postridie quum in senatu de supplicio conjuratorum sententiæ dicerentur, Silanus, qui primus interrogatus erat, censuit abductos in carcerem ultimo supplicio esse afficiendos. Huic suffragati sunt

Καίσαρος τοῦ μετὰ ταῦτα δικτάτωρος γενομένου. Τότε δὲ νέος ὢν ἔτι καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχάς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκώς, ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' οὐδεμίαν εἰς f ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι διεκφύγοι τὸν ἄνδρα. Τινὲς δέ φασι παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον, ὅτι μᾶλλον ἂν ἐκεῖνοι γένοιντο 871 προσθήκη Καίσαρι σωτηρίας ἢ Καῖσαρ ἐκείνοις κολάσεως. a

XXI. Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτόν, ἀναστὰς ἀπεφήνατο μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας ἃς ἂν δοκῇ Κικέρωνι τηρεῖσθαι δεδεμένους ἄχρι ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. Οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. Αὐτός τε γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον, τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών, οἵ τε φίλοι πάντες οἰόμενοι τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας), ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, b ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι καὶ λέγειν ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον. (2) Εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος· εἶτα δεξάμενος Κάτων καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. Περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης c ἐκβαλόντας ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. Βιαζομένων δὲ πολλῶν ἐπεκαλεῖτο τοὺς δημάρχους. Οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

XXII. Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. Οὐχ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα καὶ παριόντος σιωπῇ, μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς d τινος ἐξουσίας τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων. (2) Διελθὼν δὲ τὴν ἀγορὰν καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ παρέδωκε τὸν Λέντλον τῷ δημίῳ καὶ προσέταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν. Ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρ-

omnes usque ad C. Cæsarem, qui deinde dictator factus est. Juvenis tunc erat et tum primum fundamenta suorum jaciens incrementorum, jamque eam in spem et viam ingressus, qua res Romanas in suam unius potestatem posterioribus temporibus redegit, quum lateret reliquos, Ciceroni multas movit suspiciones, nullum tamen ad convincendum sufficiens indicium consequi potuit; neque desunt qui tantum non ab eo deprehensum Cæsarem subterfugisse dicant. Alii affirmant, Ciceronem, amicos Cæsaris et potentiam metuentem, consulto eum præteriisse et delata neglexisse indicia, quod in promptu erat omnibus videre, potius fore ut conjurati propter Cæsarem salute donarentur, quam is propter eos supplicio afficeretur.

XXI. Is igitur Cæsar jussus sententiam ferre, pronuntiavit: non esse necandos, sed bona eorum publicanda, ipsos in custodiam per Italiæ urbes, quascumque ad eam rem Cicero delegisset, vinctos tradendos tantisper dum Catilina debellaretur. Huic sententiæ, quum et clemens esset et ab homine summa vi dicendi prædito dicta, haud parum momenti Cicero addidit, quum ipse quoque surgens in utramque partem modo priori modo Cæsaris astipulans sententiæ disputasset et omnes amici Cæsaris sententiam Ciceronis utiliorem esse rati (minus enim calumniis eum obnoxium fore, si illi non necarentur), in alteram sententiam discesserunt. Quo factum adeo est ut Silanus quoque mutatus sententiam suam retractaret, seque non de nece censuisse diceret, verum carcere, quod ultimum posset Romano irrogari supplicium. (2) Hanc sententiam primus omnium impugnavit Catulus Lutatius, deinde sermonem ejus excipiens Cato et oratione vehementer ad suspectum conjurationis faciendum Cæsarem tendens, excitavit animavitque senatum, ita ut morte damnaret reos. Tum publicationi bonorum Cæsar reclamavit, indignum esse affirmans, suæ sententiæ humanioribus capitibus repudiatis, id unum quod esset durissimum arripi. Multis urgentibus contra, ad tribunos plebis provocavit. Sed ii non sunt assensi; ipse Cicero cessit et sententiam de publicatione bonorum remisit.

XXII. Assumpto deinde senatu, damnatos adiit, quos diversis in locis apud prætores asservatos fuisse dictum est. Et primum a Palatio Lentulum per Sacram viam deduxit mediumque forum, principum virorum caterva cinctus atque stipatus, populo autem tacito prætereunte atque horrente eorum quæ agebantur metu, juvenibus præsertim, qui videbantur quasi sacrificium quoddam avitum potentiæ optimatium cum timore et stupore obire. (2) Quum per forum transilsset atque ad carcerem venisset, carnifici Lentulum tradidit et necare jussit; deinde Cethegum et reliquos unum post alium eodem abduxit et occidi mandavit. Videns autem multos conjurationis socios confertim in foro astare, qui ignorantes quid esset actum, noctem exspectabant,

πασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτούς, « Ἔζησαν » e εἶπεν. Οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τεθνάναι σημαίνουσιν. (3) Ἤδη δ' ἦν ἑσπέρα καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν, οὐκέτι σιωπῇ τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτόν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων καθ' οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωπούς, λαμπάδια καὶ δᾷδας ἱστώντων ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι πολέμους τε κατειργασμένοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες καὶ προσκεκτημένοι γῆν καὶ θάλατ- f ταν οὐκ ὀλίγην ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον. (4) Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα πρά- 872 γματα καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστόν, a ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτὸν ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον.

XXIII. Οὐ μὴν ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς, ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἱ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν b αὐτόν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες οὐ παρίεσαν οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον, εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσαντα καταβαίνειν. Κἀκεῖνος ἐπὶ τούτοις ὡς ὀμόσων προῆλθε· καὶ γενομένης αὐτῷ σιωπῆς ὤμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν σεσωκέναι τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. (2) Ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε δήμαρχοι χαλεπαίνοντες ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο καλεῖν Πομπήιον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν c ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων καὶ τοῖς ἐκείνων πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος. Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι καὶ προσαγορεῦσαι πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

vivere adhuc illos et eripi posse putantes : magna ad eos voce : Vixerunt, inquit; eo enim verbo infaustum mortis nomen evitare consueverunt. (3) Vesperi per forum domum se contulit, non jam tacitis civibus, aut ordine eum comitantibus, sed quocumque pervenisset cum clamore et plausu excipientibus, servatoremque patriæ et conditorem invocantibus. Passim lucebant angiportus, lampadibus et facibus ante fores ubique constitutis. Mulieres etiam de tectis prospiciebant, honorandi spectandique ejus viri causa, qui tam splendido præstantissimorum virorum comitatu domum repeteret. Quorum plerique maximis gestis bellis, triumphis ductis, et terra marique auctis Romani imperii finibus insignes inter eundum mutuo colloquio utebantur, multis quidem ducibus ejus ætatis deberi a populo Romano divitias, spolia et potentiam accepta ferri, securitatem autem et salutem uni Ciceroni, qui tale tantumque avertisset periculum. (4) Neque enim tam mirabile id videbatur, quod conatum istum perditorum hominum repressérat et sontes punïverat, quam quod maximum omnium qui unquam exstiterunt motum minimis malis et absque seditione ac tumultu sedaverat. Etenim plerique eorum, qui ad Catilinam confluxerant, ut de Lentuli et Cethegi exitu cognitum fuit, deserto eo diffugerunt; cum reliquis ipse adversus Antonium commisso prœlio, cæsus est cum exercitu.

XXIII. Neque vero defuerunt qui ob hæc Ciceronem maledictis injuriisque vexare parati essent, duces nacti eos qui insequenti anno magistratus essent gesturi, Cæsarem prætorem, Metellum et Bestiam tribunos plebis. Hi quum paucis ante finem consulatus Ciceroniani diebus magistratum occepissent, concionem eum habere passi non sunt, sed in rostris subsellia collocantes, conscendere eum et verba ad populum facere vetuerunt, jusseruntque ut, si ei videretur, magistratum ejuraret statimque descenderet. Progressus ergo jurandi causa Cicero, silentio facto, non patrium, sed suum quoddam novum jusjurandum dixit; se utique patriæ salutem attulisse, et imperium conservasse, idemque universus populus juravit. (2) Qua re magis etiam Cæsar et tribuni plebis irritati, quum alia quibus conturbarent Ciceronem moliti sunt, tum legem de vocando cum exercitu ad Ciceronis potentiam dissolvendam Pompeio tulerunt. Verum eo tempore tribunus plebis M. Cato plurimum et Ciceroni et toti civitati profuit, qui illorum conatibus pari potestate, majore autem fretus gloria se opponebat. Is et reliqua facile solvit et pro concione consulatum Ciceronis iis laudibus tulit, ut et honores ei omnium, qui Romano alicui unquam obtigissent, maximos decerneret, et patrem patriæ appellaret. Primus omnium hoc nomen tulisse videtur Cicero, ita a Catone apud populum salutatus.

XXIV. Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου d πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. Οὔτε γὰρ βουλὴν οὔτε δῆμον οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλούμενον ἀκοῦσαι καὶ Λέντλον. Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων· καὶ τὸν λόγον ἥδιστον ὄντα καὶ χάριν ἔχοντα πλείστην ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης παρούσης. (2) Ὅμως δέ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνών, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὐτὸν e ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἐστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος, καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διός, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. Τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν Δημοσθένην· τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ f χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων τοὺς κατ' Ἀντωνίου Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι. (3) Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδεὶς, ὃν οὐκ ἐποίησεν ἐνδοξότερον ἢ λέγων ἢ γράφων εὐμενῶς περὶ
873 ἑκάστου. Κρατίππῳ δὲ τῷ Περιπατητικῷ διεπράξατο a μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι καὶ δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις ὡς κοσμοῦντα τὴν πόλιν. (4) Ἐπιστολαὶ δὲ παρὰ τοῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην, ἕτεραι δὲ πρὸς τὸν υἱὸν ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥήτορα αἰτιώμενος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον ἀπελαύνει τῆς συνουσίας αὐτοῦ. Καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον ἐν ὀργῇ τινι γέγραπται, τὸν μὲν Γοργίαν αὐτοῦ προσηκόντως ἐπικόπτοντος, b εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ἧπερ ἐδόκει, πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι.

XXV. Ταῦτά τε δὴ φιλότιμα καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι. Μουνατίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτοῦ Σαβῖνον, οὕτω λέγεται προπεσεῖν ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν· « Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σαυτὸν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος; » (2) Μᾶρκον δὲ Κράσσον ἐγκωμιάζων c

XXIV. Quum autem plurimum eo tempore in republica valeret, multis se ipsum invisum reddidit, nullo quidem malo facinore, sed quod se ipsum identidem laudaret atque jactaret, eo multos offendens. Nam neque senatus neque populus convenire, neque judices poterant, quin Catilinæ et Lentuli inculcaretur mentio. Denique libros etiam suos et scripta laudibus suis replevit, orationemque suam suavissimam alioquin et gratiosissimam auditoribus odiosam atque molestam effecit importunitate hac veluti peste quadam assiduo infectam. (2) Enimvero quanquam ita immodica tenebatur arrogantia, fuit tamen ab invidia vacuus, et, quemadmodum e scriptis ejus apparet, quum priores, tum æquales liberalissime laudavit. Multa quoque ejusmodi feruntur dicta ejus. Aristotelem aureum eloquentiæ flumen dixit, de dialogis Platonis affirmavit, Jovem, si locuturus fuisset, eo sermone usurum. Theophrastum delicias suas appellare solebat. De orationibus Demosthenis interrogatus quam earum pulcherrimam putaret: Longissimam, respondit. Et tamen inveniuntur qui quum se Demostheni favere præ se ferant, dictum quoddam Ciceronis invadunt, quod is in epistola quadam ad amicum scripserit, Demosthenem alicubi in orationibus suis dormitare; obliti interim magnarum et admirabilium laudationum, quibus eum passim evehit, et quod is imitatione Demosthenis orationes suas in Antonium, in quas plurimum studii contulerat, Philippicas inscripserit. (3) Qui eodem tempore doctrinæ et sapientiæ nomine illustres fuerunt, horum nemo est, cujus non Cicero vel loquens de eo vel scribens amice, gloriam auxerit. A Cæsare jam rerum potito jus civitatis Cratippo Peripatetico impetravit; effecit etiam ut Areopagitæ decreto facto a Cratippo postularent ut, tanquam ornamentum urbis, Athenis maneret, ibique juventutem philosophicis studiis informaret. (4) Sunt et epistolæ Ciceronis ad Herodem, et ad filium aliæ, quibus eum in studio philosophiæ Cratippum sequi jubet. Gorgiam autem rhetorem incusans, quod filium ad voluptates et compotationes illexisset, a consuetudine ejus prohibet. Hæc una fere Græcarum Ciceronis epistolarum, et alia ad Pelopem Byzantium, objurgatoriæ sunt. Ac Gorgiam quidem haud immerito corripuit, si quidem ita pravus, ut videbatur, et luxuriosus fuit. Cum Pelope autem minus liberaliter et morose expostulat, neglectum ejus culpa querens, ne sibi a Byzantiis honores quidam publice decernerentur.

XXV. Arrogantiæ quidem hæc sunt imputanda, sicut et illud, quod sæpe orationis vehementia elatus decorum prodidit. Quum Munatium in judicio defendisset, isque absolutus socium ipsius Sabinum accusaret, ita fertur ira evectus Cicero fuisse, ut in hæc verba prorumperet: « Nimirum tua opera, Munati, damnationem effugisti, non « mea, me multas tenebras in luce judicibus offundente? » (2) M. Crassum pro concione laudans, placuerat. Eundem

ἀπὸ τοῦ βήματος εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτὸν, ὡς ἐκεῖνος εἶπεν, « Οὐ γὰρ ἐνταῦθα πρῴην αὐτὸς ἐπῄνεις »; « Ναὶ, φησὶ, μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν. » Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσων ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου καὶ λέγοντος, « Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον »; « Ἤδεις, ἔφη, Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ' ἐδημαγώγεις. » Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωικοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, « Ὅρα, μὴ μᾶλλον, εἶπεν, ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι. » Διεβάλλετο [d] δ' εἰς φιλαργυρίαν ὁ Κράσσος. Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν εὐδοκίμησε λόγον ἐν βουλῇ διελθὼν, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται, « Ἄξιος, εἶπε, Κράσσου. »

XXVI. Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως. Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ [e] ἐχθρός), « Οὐ δήπου καὶ Βατίνιος, εἶπε, δειπνῆσαι παρ' ἐμοὶ βούλεται; « Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος. (2) Αὐτὸν δὲ τὸν Βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην οἰδοῦντα ῥήτορα προσεῖπεν. Ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς, ὅτι ζῇ· « Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος. » (3) Ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, Λεύκιος δὲ Γέλλιος ὁμοῦ τι πρεσβύτατος ὢν εἶπεν ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ, « Περιμείνωμεν, εἶπεν ὁ Κικέρων, μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. » (4) Ἦν δέ τις Ὀκτα- [f] ούιος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν, « Καὶ μὴν οὐκ ἔχεις, εἶπε, τὸ οὖς ἀτρύπητον. « Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν ἢ συνηγορῶν σέσωκεν, « Ὁμολογῶ γὰρ, ἔφη, πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι. » (5) Νεανίσκου δέ τινος αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον [874 a] τῷ πατρὶ δεδωκέναι θρασυνομένου καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, « Τοῦτο, ἔφη, παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα. » (6) Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν ἤδη τῆς ψήφου φερομένης, « Χρῶ σήμερον, ἔφη, τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι. » (7) Πόπλιον δὲ Κώνσταν νομικὸν εἶναι βουλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, « Ἴσως, ἔφη,

quum paucis post diebus verbis proscinderet, isque diceret, Nonne de hoc loco nuper me laudasti? Vero, inquit, exercitationis causa de vili materia declamans. Quumque idem aliquando publice dixisset, nullum Crassum Romæ ultra sexagesimum annum vixisse, idque deinde negaret ac diceret : Quanam ego id de causa locutus essem? respondit Cicero : Sciebas Romanos id libenter audituros, itaque iis verbis gratiam eorum captasti. Eidem probari sibi Stoicorum sententiam ferenti, qua virum bonum aiunt esse divitem : Vide, inquit, ne id tibi magis arrideat, quod omnia dicunt sapientis esse. Nam avaritiæ crimine Crassus notabatur. Alter filiorum Crassi Axio cuidam erat forma similis, ideoque mater ejus in turpem incidit suspicionem. Ejus quum quidam sermo senatu placuisset, interrogatus Cicero quid videretur, respondit : Ἄξιος Κράσσου (Axius Crassi *sive* Dignus Crasso est).

XXVI. Abiturus in Syriam Crassus, malensque amicum quam inimicum relinquere Ciceronem, blande eum compellavit et velle se cum eo cœnare dixit, atque eum Cicero comiter accepit. Paucis post diebus de Vatinio, inimico et ipso, amici ad Ciceronem retulerunt reconciliari eum et in gratiam amicitiamque redire velle : tum Cicero, Numnam, inquit, Vatinius quoque apud nos vult cœnare? Ac Crassum quidem ad hunc modum tractavit. (2) Eundem Vatinium causam agentem, tumidum vocavit oratorem, quod collum strumosum haberet. Quum eum mortuum esse audivisset, et mox certo cognovisset eum vivere : Male, inquit, pereat, qui male mentitus est. (3) Cæsare legem ferente de agro Campano militibus dividendo, quum multi in senatu id ægre ferrent, L. quidam Gellius decrepitæ jam ætatis dixit : nunquam id se vivente futurum, tum Cicero : Exspectemus, ait; non enim longam dilationem petit Gellius. (4) Erat quidam Octavius, qui Afer domo putabatur; huic quodam in judicio Cicero, eum a se exaudiri neganti, Atqui, inquit, auris tua foramine non caret. Metello Nepoti objicienti, plures eum testimonio dicendo perdidisse, quam patrocinando servasse, fassus est ita rem habere : plus enim sibi fidei quam facundiæ esse. (5) Adolescenti cuidam, qui in placenta venenum dedisse patri ferebatur, minanti se convicium ipsi facturum, Cicero : Id malim, inquit, quam placentam. (6) Quum P. Sestio advocatus in judicium cum aliis nonnullis venisset, Sestiusque neminem pro se quicquam dicere pateretur, sed ipse omnia vellet, quum eum jam absolutum iri a judicibus appareret et sententiæ ita ferrentur : Utere hodie, inquit, Sesti, tempore, cras enim privatus eris. (7) P. Constam, hominem indoctum et hebetem, sed qui jurisperitus videri vellet, in quadam causa testem citaverat. Is quum nihil se scire diceret : Fortassis, ait Cicero, de legibus et jure te interrogari putas. (8) Me-

δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι. » (8) Μετέλλου δὲ b Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος, « Τίς σοῦ πατήρ ἐστιν; » ὁ Κικέρων, « Σοὶ ταύτην, ἔφη, τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. » Ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. Καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω πρὸς Πομπήιον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. Θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. Καὶ ὁ Κικέρων, « Τοῦτ', ἔφη, σοφώτερον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν. » (9) Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν c ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν, « Εἶθ' οὕτως, ἔφη, σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλος παρασχεῖν; »

XXVII. Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι, τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα. Μάρκον Ἀκυίνιον ἔχοντα δύο γαμβροὺς φυγάδας Ἄδραστον ἐκάλει. Λευκίου δὲ Κόττα τιμητικὴν ἔχοντος ἀρχὴν, φιλοινοτάτου δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, « Ὀρθῶς φοβεῖσθε, εἶπε, μή μοι γένοιτο χαλεπὸς ὁ τι- d μητὴς, ὅτι ὕδωρ πίνω. » Βωκωνίῳ δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο·

« Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα. »

(2) Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, « Μὴ θαυμάζετε, εἶπε, καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων. » Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέ- e γραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν ἢ τὴν πατρῴαν.

XXVIII. Ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος ἐρῶν Πομπηίας τῆς Καίσαρος γυναικὸς εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηίαν μετὰ τῶν γυναικῶν. Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων· καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας θεραπαινὶς τῆς f Καίσαρος μητρὸς ἤτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου καὶ φήσαντος ἀκόλουθον Πομπηίας ζητεῖν, Ἅβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν

tello Nepoti in contentione quadam sæpenumero quærenti, Quis est tuus pater? Ad talem, inquit Cicero, interrogationem ut tibi sit quam mihi respondere difficilius, mater tua fecit. Mater enim Metelli impudica existimabatur. Ipse autem Nepos homo erat levis, ut qui aliquando tribunatu plebis subito deserto ad Pompeium in Syriam navigarit, ab eoque inconsultius redierit: sepeliens autem Philagrum præceptorem suum studiose, corvum lapideum monumento ejus imposuit. Hoc, Cicero ait, prudentius fecisti, magis enim volare te quam loqui docuit. (9) M. Appio in actione cujusdam causæ præfante, oratum se ab amico, uti diligentiam, facundiam fidemque adhiberet: Adeone tu, inquit Cicero, ferreus es, qui ne unum quidem istorum, quæ amicus petiit, adhibueris?

XXVII. Enimvero inimicos aut adversarios acerbioribus insectari dicteriis, oratorium videtur, proximum vero quemque risus captandi gratia offendendo, multorum in se odia concitavit. Cujus generis etiam pauca ascribam. M. Aquinium, quod is duos generos exsules haberet, Adrastum vocabat. L. Cotta, homine vinosissimo, censuram gerente consulatum petebat Cicero, sitiensque quum bibisset, amicis circumstantibus, Recte, inquit, metuitis enim ne mihi quod aquam bibam, censor irascatur. Voconio obviam factus, tres insigniter deformes filias ducenti secum, versum hunc pronuntiavit,

Phœbo haud sinente hic seminavit liberos.

(2) M. Gellio, qui videbatur non ingenuis parentibus ortus, magna et clara voce literas senatui recitante: Ne miremini, ait, ipse quoque unus est eorum qui proclamarunt. Quum Faustus Sulla, magni illius dictatoris Sullæ filius, magnam bonorum partem decoxisset et ære alieno pressus bonorum auctionem publicasset: hanc sibi melius placere, quam paternam proscriptionem dixit.

XXVIII. Hac dicacitate multos sibi inimicos paravit, Clodiusque cum aliis adversus eum conspiravit, nactus hujusmodi occasionem. Erat Clodius patricio genere natus, juvenis audax et insolens. Is quum Pompeiam Cæsaris amaret uxorem, inque hujus domo mulieres sacra Bonæ Deæ (quæ viris adiri spectarive nefas) peragerent, vestitu et habitu psaltriæ sumpto occulte se ingessit, sperans se quod adhuc imberbis esset latere posse et ita per mulieres ad Pompeiam venire. Ceterum noctu in tam amplam ingressus domum, quum transituum esset ignarus, hinc atque hinc oberrans ab ancilla Aureliæ (mater hæc erat Cæsaris) conspectus est, jussusque nomen edere et loqui coactus, quærere se Auram Pompeiæ pedissequam dixit. Ancilla

οὖσαν ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερευνώμεναι λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γενο-
87 μένου, Καῖσάρ τε τὴν Πομπηΐαν ἀφῆκε καὶ ** δίκην a
ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

XXIX. Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος· ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα τῷ μηδὲ γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς ποῤῥωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὑτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος. Ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν b ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ Κικέρωνος ἄρχουσα παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. (2) Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Λεύκουλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν c ὁ Κλώδιος, ὅτε Λευκούλλῳ συνῴκει. Πολλὴ δ' ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερτίαν μὲν Μάρκιος Ῥῆξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν, ἣν Κουαδρανταρίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον ὡς ἀργύριον εἰσέπεμψε· τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν. Ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος. (3) Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιταττομένου φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. d Ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν. Ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς, « Ὑμεῖς, εἶπεν, ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακήν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον. » Κικέρων δὲ τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος, ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς, « Ἀλλ' ἐμοὶ μέν, εἶπεν, οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο· σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευσαν· e οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον. » Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός, ἀφεικέναι δ' αὐτήν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι.

voce maris cognita exclamavit ac mulieres convocavit, atque illæ foribus clausis omnia loca perscrutatæ, Clodium deprehenderunt, qui in cubiculum ancillæ, quacum ingressus fuerat, confugerat. Hac re divulgata Cæsar nuntium uxori remisit et Clodium pollutorum sacrorum postulavit.

XXIX. Erat sane amicus Clodii Cicero ejusque in negotio Catilinario promptissima opera et custodia corporis usus fuerat. Verum tunc eo crimen ita depellente, ut affirmaret se tempore sacrorum istorum longissime ab urbe abfuisse, testimonium Cicero contra tulit, Clodium tum ad se domum suam venisse, ac de quibusdam rebus collocutum affirmans. Erat quidem hoc verum, sed Cicero videtur non tam veritatis studio, quam ut se uxori Terentiæ purgaret, testimonium dixisse. Infensa enim Clodio Terentia erat propter sororem ejus Clodiam, quam Ciceroni nubere cupere suspicabatur, idque agere per Tullium quendam, qui Ciceronis socius atque familiaris conjunctissimus crebro ad Clodiam in propinquo habitantem commeabat. Itaque uxor morosa et marito imperans, perpulit eum ut Clodium simul aggrederetur atque testimonio premeret. (2) Multi etiam alii præstantissimi viri Clodium peierasse, falsum commisisse, ambitus sontem esse, ac mulieres ab eo corruptas testati sunt. Lucullus etiam ancillas ad quæstionem præbuit, quæ eum cum sorore natu minima, dum ea uxor sua fuit, rem habuisse dicebant. Tenebat fama ceteris etiam duabus sororibus corpus eum miscuisse, Tertiæ nimirum, quæ Marcio Regi, et Clodiæ, quæ Metello Celeri nupta fuit, quam et Quadrantariam appellabant, quod amator quidam ipsi quadrantes (æreum nomisma est, omnium minimum) in loculis pro argento miserat. Propter hanc præsertim male audiebat Clodius. (3) Verum populo se testibus illis et adversariis opponente, judices sibi metuentes præsidio se cinxerunt, plerique etiam tabulas confusas literis intulerunt. Pluribus tamen visus est absolvi Clodius suffragiis. Largitione autem corrupti ferebantur. Itaque Catulus judicibus istis obviam factus, Vere, inquit, securitatis causa præsidium petiistis; metuebatis enim ne quis vobis nummos eriperet. Cicero quum ei Clodius objiceret testimonio ipsius fidem a judicibus non habitam, At vero, ait, mihi viginti quinque judices crediderunt; tot enim te damnaverunt; tibi triginta non crediderunt, qui te nisi prius accepta pecunia non absolverunt. Cæsar quidem vocatus testimonium adversus Clodium non dixit, seque uxorem pro adultera habere negavit, repudiasse autem eam, quod Cæsaris conjugium non facto modo turpi, sed etiam fama sinistra vacare debeat.

XXX. Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος καὶ δήμαρχος αἱρεθεὶς εὐθὺς εἴχετο τοῦ Κικέρωνος πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. Τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν, πολλοὺς δὲ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολίτευμα καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. f (2) Τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηίου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα
876 φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε a πρεσβευτὴς αὐτῷ συστρατεύειν. (3) Δεξαμένου δὲ τοῦ Καίσαρος ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα προσεποιεῖτο συμβατικῶς ἔχειν καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ καὶ λόγους εὐγνώμονας ἐνδιδούς, ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικά, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν, ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. (4) Ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ τόν τε Κλώδιον ἐπέρρωσε καὶ Πομπήιον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ b Λέντλον καὶ Κέθηγον. Αὕτη γὰρ ἦν ἡ κατηγορία καὶ ἐπὶ τοῦθ' ὁ Κικέρων ἐκαλεῖτο. Κινδυνεύων οὖν καὶ διωκόμενος ἐσθῆτα μετήλλαξε καὶ κόμης ἀνάπλεως περιιὼν ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες ἐνίσταντο ταῖς ἱκεσίαις.

XXXI. Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκο- c λούθουν κομῶντες καὶ συνικετεύοντες· ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταρρηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. Ὡς δ' ἦν οὔτ' οἶκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν ἢ βίᾳ καὶ σιδήρῳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηίου βοηθεῖν ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἀλβανόν. d (2) Καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη. Πυθόμενος δ' ὁ Πομπήιος οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον,

XXX. Absolutus Clodius, ac tribunus plebis creatus, statim Ciceronem insectari cœpit et contra eum omnes res, omnes homines concitare. Itaque plebem sibi legibus gratis devincire, consulibus magnas provincias, nempe Pisoni Macedoniam, Gabinio Syriam decernere, multorum inopum manum contrahere, quorum opera propositum conficeret, servos armatos secum habere. (2) Summa tum potentia Crassus, Pompeius ac Cæsar valebant. Ex his Crassus Ciceronem palam impugnabat, Pompeius fastidiebat utrumque, simulate eum ludificabatur, Cæsar cum exercitu in Galliam iturus erat. Hunc quanquam non amicum, sed ob Catilinariam rem suspectum, Cicero subiit, oravitque ut se legatum in bellum secum duceret. (3) Annuente Cæsare, Clodius videns Ciceronem ex tribunatu suo elapsurum, simulavit se cupere cum eo in gratiam redire, Terentiæ majorem culpæ partem imputans Ciceronisque mentionem honestam identidem faciens ac præ se ferens, non odisse eum se, aut male ei velle, sed esse de quibus cum ipso amice et leviter queratur. Hac arte effecit ut omni excusso metu Cicero legationem Cæsarianam detrectaret, rursusque ad rempublicam se conferret. (4) Ea re irritatus Cæsar Clodium confirmavit, Pompeium a Cicerone plane abalienavit, atque ipse apud populum testatus est: videri sibi contra leges Lentulum et Cethegum reliquosque indicta causa necatos. Hujus enim rei causa Cicero postulabatur. Is itaque tum reus factus et periclitans, vestem mutavit, comaque profluente obambulans populo supplicabat. At Clodius hominum petulantium et temerariorum caterva stipatus undique in angiportibus ei occurrebat, qui contumeliose mutatum Ciceronis habitum exagitantes, sæpe etiam luto et lapidibus jacientes supplicationes ejus impediebant.

XXXI. Enimvero Ciceroni primum universus fere equestris ordo vestem una mutans, et haud pauciores viginti millibus juvenes promissis crinibus ei in deprecando aderant. Deinde quum senatus convenisset, ut populum veluti in publico luctu squalidum amictum sumere senatusconsulto juberet, eique rei consules repugnarent, Clodius autem cum armatis ante curiam oberraret: haud pauci senatores foras excurrerunt, vestes dilacerantes suas et vociferantes. Qui aspectus quum nullam misericordiam, nullam verecundiam moveret, Cicero quum aut exsulandum sibi, aut rem vi et ferro decernendam sentiret, coactus est Pompeii implorare auxilium, qui tum dedita ad hoc opera se in agros apud Albanum subduxerat. (2) Ad hunc primo Pisonem generum suum misit, deinde ipse adiit. Pompeius ut de adventu ejus cognovit, in conspectum venire non sustinuit, verecundia ejus viri perculsus, qui pro ipso gravia sustinuisset certamina et in ipsius gratiam multa egisset, sed

ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν ἀπεδίδρασκε τὴν ἔντευξιν. (3) Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ καὶ γεγονὼς ἔρημος ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεὶ, Πείσων δὲ διελέχθη πρᾳότερον αὐτῷ παραινῶν ἐκστῆναι καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγ- e κεῖν καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. (4) Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας « Ἀθηνᾷ Ῥώμης φύλακι, » πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν f περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο λαβέσθαι Σικελίας βουλόμενος.

XXXII. Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος καὶ διάγραμμα προὔθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας.
877 Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος a τούτου λόγος αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐίβιος, Σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονὼς ὑπατεύοντος αὐτοῦ τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο, καὶ Γάϊος Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγὸς ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. (2) Ἐφ' οἷς ἀθυμήσας ὥρμησεν ἐπὶ Βρεντέσιον κἀκεῖθεν εἰς Δυῤῥάχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου, μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖ- b θις ἀνήχθη. Λέγεται δὲ καὶ καταπλεύσαντος εἰς Δυῤῥάχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. Ἀφ' ὧν συνέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. (3) Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὰς ταῖς πρεσβείαις, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα c παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. (4) Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. Ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον ὥσπερ βαφὴν ἀποκλύσαι τῆς ψυχῆς καὶ τὰ τῶν πολλῶν ἐνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολι-

tum Cæsare socero ita volente prodito officio referendæ gratiæ eum destituit, ac per aliud ostium elapsus congressum ejus evitavit. (3) Ita proditus desertusque Cicero ad consules confugit, quorum Gabinius semper se difficilem præbuit, Piso autem humanius collocutus, suasit ut cederet impetuique Clodiano se subduceret, mutationem temporum æquo animo ferret, rursusque patriam seditionibus et malis ipsius causa objectam servaret. Hoc responso accepto, cum amicis deliberavit; ex his Lucullus manere jubebat, ut victoria potiturum; alii fugere, mox enim populum furore et vecordia Clodii saturatum, desiderio ipsius captum iri. (4) Horum sententia approbata, Cicero signum Minervæ, quod diu domi dedicatum habuerat atque coluerat, in Capitolium portavit, ibique dedicavit, hac inscriptione, MINERVÆ URBIS CUSTODI. Deinde comitibus ab amicis acceptis, circa mediam noctem urbe exiit ac per Lucaniam pedestri itinere contendit, Siciliam petens.

XXXII. Postquam fugisse eum innotuit, Clodius de exsilio ejus legem fert edictumque proponit, quo aqua et igni ei interdiceretur, neque tecto eum recipere intra quingentesimum ab Italia miliare licitum esset. Nemo fere id edictum curavit, reverentibus omnibus Ciceronem, omnique officio prosequentibus. Hipponii, quæ urbs est Lucaniæ, et nunc Vibo dicitur, Vibius homo Siculus, qui et alios multos fructus amicitiæ Ciceronis perceperat, et ab eo consule præfectus fabrûm factus fuerat, venientem domo non recepit, pollicitus tamen est se ei locum in agro perscripturum; C. autem Vergilius Siciliæ prætor, qui plurimum Cicerone usus erat, missis literis ei Sicilia interdixit. (2) Debilitato eam ob rem animo, Brundusium perrexit, atque inde vento secundo Dyrrhachium vectus, quum ventus ab alto contrarius incidisset, postero die retro unde venerat avectus est, deinde rursus trajecit. Ferunt, quum jam littus apud Dyrrhachium attigisset essetque in terram egressurus, simul et motum terræ exstitisse et mare æstu retro absorptum, indeque collegisse divinos homines, haud diu eum exsulaturum, quod ista signa essent mutationis. (3) Quanquam autem multi ad eum benevoli viri convenirent, Græciæque urbes certatim per legatos officiis prosequerentur, mœstus tamen et in summo dolore vivebat, crebro ad Italiam, ut infeliciter amantes ad amasias, respiciens, animo calamitate plane dejecto, quod de viro ita in optimis studiis diu multumque versato nemo exspectasset. (4) Atqui frequenter ipse ab amicis postulabat, ut non oratorem se, verum philosophum appellarent; nam se philosophiam, ut rem, sibi proposuisse, arte oratoria tanquam instrumento in rebus publicis tractandis uti. Sed profecto ea vis est gloriæ cupiditatis, ut eorum qui in republica versantur ex animis doctrinam veluti tincturam aliquam eluere possit, affectusque multitudinis ob longum usum et

τευομένοις, ἂν μη τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

XXXIII. Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα d κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος ἐπεχείρει τῷ Πομπηίῳ τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. Ἐφ' οἷς ὁ Πομπήιος ἀδοξῶν ἐκάκιζεν αὐτὸς αὑτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. Ἐνισταμένου δὲ τοῦ e Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. (2) Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίων, καὶ Πομπηίῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. Μεθ' ὧν προελθὼν καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. Καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. Ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει,
878 τέλεσι δημοσίοις ἀνασταθῆναι. (3) Κατῄει δὲ Κικέρων a ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον ἐνδεέστερον εἶναι τῆς ἀληθείας. Ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. Ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

XXXIV. Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ καὶ τὰς δημαρχικὰς δέλτους, ἐν b αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. Ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις, δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι καὶ τὴν

consuetudinem in iis effingere, nisi si quis admodum cautus ita cum hominibus agat, ut rerum, non affectionum quæ eas sequuntur, particeps esse studeat.

XXXIII. Clodius ejecti Ciceronis villas et domum incendit, inque ea area ædem Libertatis ædificavit, reliqua bona ejus venditavit, quotidie præcone ea proclamante. Sed nemo quicquam emebat. Terrori exinde optimatibus esse cœpit, populumque, cujus libidini et temeritati habenas laxarat, secum trahens, ipsum etiam Pompeium adortus est, quædam ab eo dum bella gereret constituta rescindens. Quapropter Pompeius infamia laborans, incusare se ipsum, qui Ciceronem projecisset, mutatoque consilio in omnes se partes vertere, et reditum ei amicorum opera machinari. Quum intercederet Clodius, S. C. factum est, ne qua de re publica statueretur, nisi Ciceroni reditu decreto. (2) Lentulo consule, quum augesceret seditio, ita ut et in foro vulnerarentur tribuni plebis, et Quintus Ciceronis frater inter cadavera veluti mortuus lateret, animi populi mutari cœperunt, ac primus tribunorum plebis Annius Milo ausus est Clodium de vi reum facere. Pompeio etiam se multi ex populo et vicinis urbibus adjunxerunt, cum quibus ille in forum progressus, pulso Clodio ad suffragia cives vocavit. Nihil unquam tanto populi consensu decretum ferunt. Senatus ne a populo hac in parte vinceretur, decrevit ut gratiæ agerentur urbibus, quæ in exsilio Ciceronem fovissent, utque villæ ejus et domus, quas Clodius perdiderat, publicis sumptibus instaurarentur. (3) Rediit Cicero decimo sexto quam fugerat mense. Tanto autem gaudio civitates, tanto studio homines obviam ei contenderunt, ut quod ipse postea Cicero dixit, minus quam ipsa rei veritas fuerit, se humeris Italiæ Romam reportatum. Quando Crassus etiam, inimicus ejus ante exsilium, revertenti studiose obviam ivit atque in gratiam rediit, gratificatus, ut aiebat, filio suo Publio, Ciceronis studioso.

XXXIV. Parvo interjecto tempore, quum Clodium peregre abiisse deprehenderet Cicero, multis comitantibus in Capitolium ascendit et tabulas, quibus res a Clodio in tribunatu plebis gestæ inscriptæ erant, deturbavit atque perdidit. Quam rem quum ei Clodius objiceret et ipse diceret, Clodium contra leges a patriciis ad plebeios transivisse, neque eorum quæ egisset quicquam ratum esse: Cato moleste id tulit ac contradixit, non quod Clodium probaret, cujus actiones admodum oderat, sed quod iniquum et violentum fore censebat, si tot decreta et actiones senatus rescinderet,

ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ c χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνου Κικέρωνα παρεστήσατο συνήγορον. Ἡ δὲ βουλὴ φοβηθεῖσα, μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. (2) Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, d ἄχρι οὗ συνίασιν οἱ κριταὶ καὶ πληροῦται τὸ δικαστήριον. Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσής, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ κατάστασιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτός, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς ἐνδεέστερος αὑτοῦ φανῆναι. (3) Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν e Πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς Αὔγουρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου μετὰ τὴν f ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα
879 Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους a κατεπράϋνεν ἡμέρως ἄρχων. (2) Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν· αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενός, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίας προσ-

inter quæ et sua erat negotii Cyprii et Byzantii administratio. Ea res fecit ut simultas inter Ciceronem et Catonem exsisteret, quæ tamen non in apertas inimicitias erupit, sed usum tantum familiaritatis imminuit.

XXXV. Post hæc Clodium obtruncat Milo, eaque de cæde postulatus, patronum sumpsit Ciceronem. Senatus autem metuens ne illustri et animoso viro Milone in judicio periclitante tumultus in urbe exsisteret, Pompeium huic et reliquis quæstionibus præfecit, ea lege, ut is urbem et judicia tuta præstaret. (2) Pompeius ante diem summa fori militibus cinxit. Milo itaque metuens ne insolens conspectus armatorum Ciceronem pertubaret, isque eo deterius certaret in agenda causa, consuluit ei ut lectica in forum delatus, in ea se contineret, dum convenissent et frequentes adessent judices. Cicero autem erat, ut apparet, non in armis modo timidus, sed et ad dicendum trepide accedebat, vixque titubandi et tremendi finem faciebat plerisque in certaminibus, provecta jam oratione et augescente, idemque Licinium Murenam a Catone accusatum defensurus, quum Hortensium superare contenderet florentem tunc laude eloquentiæ, nullam noctis partem conquievit, ita ut nimiis curis vigiliisque læsus, deterior se ipso visus fuerit. (3) Tum ergo ex lectica ad dicendam pro Milone causam progressus, quum sublimi loco Pompeium tanquam in castris sedere, arma circumjecta foro splendere conspexit, conturbatus ægre tandem dicendi initium fecit, corpore ante toto tremente, ac voce suppressa, quum quidem ipse Milo fortiter sane constantique animo astaret, dedignatus etiam comam alere, aut sordidam vestem induere; quod quidem haud parum fecisse ad damnationem ejus videtur. Verum hoc tamen judicio factum est ut magis amicorum studiosus quam timidus crederetur Cicero.

XXXVI. Augur in locum Crassi junioris apud Parthos interfecti creatus est. Sortitus deinde provinciam Ciliciam et exercitum duodecim peditum millia, equites bis mille sexcentos continentem, Roma navigavit. Mandatum ei erat ut Cappadociam regi Ariobarzani benevolam et obedientem redderet. Non hæc modo ita absque bello confecit, ut reprehendi a nemine posset, sed et Cilices ob Parthicam Romanorum cladem et res novas in Syria ad seditionem inclinantes mansueta provinciæ gubernatione continuit. (2) Munera regibus offerentibus repudiavit, cœnas provincialibus remisit, quotidie autem ipse urbaniores ex illis convivio non sumptuoso quidem, sed liberali tamen adhibebat. Domus ipsius nullo janitore tenebatur, neque ipsum cubantem conspexit quisquam, sed prima luce ante domum suam stans aut obambulans salutantes excipiebat. Ferunt eum neque virgis cecidisse quenquam, neque vestes ullius deripuisse, neque convicium per iram fecisse cuiquam, neminem etiam contumeliose mulctasse.

βαλεῖν μεθ' ὕβρεων. Ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα τάς τε πόλεις εὐπόρους ἐποίησε καὶ b τοὺς ἀποτίνοντας οὐδὲν τούτου πλεῖον παθόντας ἐπιτίμους διεφύλαξεν. (3) Ἥψατο δὲ καὶ πολέμου λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Κεκιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. (4) Πλέων δὲ ἀπὸ τῆς ἐπαρχίας τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώ- c τοις ἀπὸ παιδείας συγγενόμενος καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων· ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηίου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα καὶ Καίσαρος ἐπερχομένου Πομ- d πήιος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. (2) Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. Γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηίου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σῴζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. (3) Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπι- e στολὴν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι.

XXXVIII. Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήιον ἔπλευσε. Καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηίῳ προσθέμενον· αὐτῷ μὲν γὰρ f οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. (2) Οὗτοί τε δὴ τοῦ Κικέρωνος

Quum invenisset multos peculatus per provinciam factos, quum iis quæ surrepta erant restituendis urbes ditavit, tum iis qui ablata redderent nullo præterea supplicio affectis integram famam conservavit. (3) Bellum quoque attigit, latronibus qui Amanum montem insederant profligatis; ejusque rei causa Imperator a militibus est appellatus. Cælio autem oratori petenti, ut sibi ad ludos quosdam pantheras Romam mitteret, ostentans res a se gestas ita rescripsit: non esse pantheras in Cilicia, sed omnes diffugisse in Cariam, quod ægre ferrent omnibus aliis pacatis se unas bello infestari. (4) E provincia decedens Rhodum appulit. Athenis autem desiderio actæ olim ibi vitæ aliquantisper commoratus, cum doctissimisque viris collocutus, salutatis, quos tunc ibi habebat, amicis et familiaribus dignisque honoribus a Græcis acceptis, Romam revertit, jam republica velut ex inflammatione quadam in bellum erumpente civile.

XXXVII. Ibi quum in senatu de triumpho ei decernendo agerent, jucundius sibi fore dixit compositis discordiis Cæsaris triumphantis currum sequi. Privatim quoque et Cæsarem per literas et ipsum Pompeium coram deprecans, auctor pacis fuit, mitigare utrumque et placare tentans. Postquam insanabile malum esse vidit, et Cæsare adventante Pompeius non substitit, sed cum multis et bonis viris Roma cessit, in hac quidem fuga Cicero non fugit, adeoque Cæsari visus est accedere. (2) Et vero constat diu eum consilii incertum fuisse, gravique sollicitudine in utramque partem distractum. Scribit enim in epistolis dubitare se, utram in partem se vertat, quum Pompeius quidem gloriosam et honestam belli causam habeat, Cæsar autem rem melius gerat, magisque suæ et amicorum saluti consulat. Itaque se habere quem fugiat, non autem ad quem confugiat. (3) Quum Trebatii, unius de amicis Cæsaris, epistolam accepisset, quæ ostendebat Cæsaris eam esse sententiam, debere Ciceronem omnino sibi se adjungere, eandemque spem sequi, si tamen ob senectutem a bello abhorreret, in Græciam proficisci, et ab utraque parte remotum ibi quietem agere, miratus Cæsarem ipsum nihil scripsisse, cum stomacho respondit: nihil se suis rebus gestis indignum commissurum. Ejusmodi sunt quæ in epistolis produntur.

XXXVIII. Ceterum profecto in Hispaniam Cæsare, statim ad Pompeium navigavit. Adventus ejus gratus omnibus aliis fuit: Cato autem privatim eum graviter objurgavit, qui se Pompeio adjunxisset. Se quidem dicebat honeste non potuisse eam, quam ad initio delegisset, reipublicæ constitutionem deserere, Ciceronem autem, qui et patriæ et amicis utilior fuisse potuerit, si Romæ manens neutram partem secutus ad eventum se accommodasset, inconsulte et nulla necessitate hostem Cæsaris factum ad tanti periculi societatem venisse. (2) Quum hoc Ciceronem ut consilii

ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ c χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνου Κικέρωνα παρεστήσατο συνήγορον. Ἡ δὲ βουλὴ φοβηθεῖσα, μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. (2) Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυ- d χάζειν, ἄχρι οὗ συνίασιν οἱ κριταὶ καὶ πληροῦται τὸ δικαστήριον. Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσής, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ κατάστασιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς ἐνδεέστερος αὑτοῦ φανῆναι. (3) Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν e Πομπήιον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς Αὔγουρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου μετὰ τὴν f ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα 879 Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους a κατεπράϋνεν ἡμέρως ἄρχων. (2) Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν· αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενὸς, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίας προσ-

inter quæ et sua erat negotii Cyprii et Byzantii administratio. Ea res fecit ut simultas inter Ciceronem et Catonem exsisteret, quæ tamen non in apertas inimicitias erupit, sed usum tantum familiaritatis imminuit.

XXXV. Post hæc Clodium obtruncat Milo, eaque de cæde postulatus, patronum sumpsit Ciceronem. Senatus autem metuens ne illustri et animoso viro Milone in judicio periclitante tumultus in urbe exsisteret, Pompeium huic et reliquis quæstionibus præfecit, ea lege, ut is urbem et judicia tuta præstaret. (2) Pompeius ante diem summa fori militibus cinxit. Milo itaque metuens ne insolens conspectus armatorum Ciceronem pertubaret, isque eo deterius certaret in agenda causa, consuluit ei ut lectica in forum delatus, in ea se contineret, dum convenissent et frequentes adessent judices. Cicero autem erat, ut apparet, non in armis modo timidus, sed et ad dicendum trepide accedebat, vixque titubandi et tremendi finem faciebat plerisque in certaminibus, provecta jam oratione et augescente, idemque Licinium Murenam a Catone accusatum defensurus, quum Hortensium superare contenderet florentem tunc laude eloquentiæ, nullam noctis partem conquievit, ita ut nimiis curis vigiliisque læsus, deterior se ipso visus fuerit. (3) Tum ergo ex lectica ad dicendam pro Milone causam progressus, quum sublimi loco Pompeium tanquam in castris sedere, arma circumjecta foro splendere conspexit, conturbatus ægre tandem dicendi initium fecit, corpore ante toto tremente, ac voce suppressa, quum quidem ipse Milo fortiter sane constantique animo astaret, dedignatus etiam comam alere, aut sordidam vestem induere; quod quidem haud parum fecisse ad damnationem ejus videtur. Verum hoc tamen judicio factum est ut magis amicorum studiosus quam timidus crederetur Cicero.

XXXVI. Augur in locum Crassi junioris apud Parthos interfecti creatus est. Sortitus deinde provinciam Ciliciam et exercitum duodecim peditum millia, equites bis mille sexcentos continentem, Roma navigavit. Mandatum ei erat ut Cappadociam regi Ariobarzani benevolam et obedientem redderet. Non hæc modo ita absque bello confecit, ut reprehendi a nemine posset, sed et Cilices ob Parthicam Romanorum cladem et res novas in Syria ad seditionem inclinantes mansueta provinciæ gubernatione continuit. (2) Munera regibus offerentibus repudiavit, cœnas provincialibus remisit, quotidie autem ipse urbaniores ex illis convivio non sumptuoso quidem, sed liberali tamen adhibebat. Domus ipsius nullo janitore tenebatur, neque ipsum cubantem conspexit quisquam, sed prima luce ante domum suam stans aut obambulans salutantes excipiebat. Ferunt eum neque virgis cecidisse quemquam, neque vestes ullius deripuisse, neque convicium per iram fecisse cuiquam, neminem etiam contumeliose mulctasse.

6αλεῖν μεθ' ὕβρεων. Ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα τάς τε πόλεις εὐπόρους ἐποίησε καὶ b τοὺς ἀποτίνοντας οὐδὲν τούτου πλεῖον παθόντας ἐπιτίμους διεφύλαξεν. (3) Ἥψατο δὲ καὶ πολέμου λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Κεκιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. (4) Πλέων δὲ ἀπὸ τῆς ἐπαρχίας τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώ- c τοις ἀπὸ παιδείας συγγενόμενος καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων· ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηίου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα καὶ Καίσαρος ἐπερχομένου Πομ- d πήιος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. (2) Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. Γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηίου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σῴζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. (3) Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπι- e στολήν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργήν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι.

XXXVIII. Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήιον ἔπλευσε. Καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηίῳ προσθέμενον· αὐτ[illegible] γὰρ f οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρ[illegible] πολιτείας τάξιν, ἐκεῖνον δὲ [illegible] τρίδι καὶ τοῖς φίλοις, εἰ [illegible] βαῖνον ἡρμόζετο, κατ' [illegible] πολέμιον γεγονέναι Κα[illegible] κινδύνου [illegible]

Quum invenisset multos peculatus per provinciam factos, b quum iis quæ surrepta erant restituendis urbes ditavit, tum iis qui ablata redderent nullo præterea supplicio affectis integram famam conservavit. (3) Bellum quoque attigit, latronibus qui Amanum montem insederant profligatis; ejusque rei causa Imperator a militibus est appellatus. Cælio autem oratori petenti, ut sibi ad ludos quasdam pantheras Romam mitteret, ostentans res a se gestas ita rescripsit : non esse pantheras in Cilicia, sed omnes diffugisse in Cariam, quod ægre ferrent omnibus aliis pacatis se unas bello infestari. (4) E provincia decedens Rhodum appulit. Athenis autem desiderio [illegible] vitæ ali- c quantisper commoratus, cum doctissimisque viris collocutus, salutatis, quos tunc ibi habebat, amicis et familiaribus dignisque honoribus a Græcis acceptis, Romam revertit, jam republica velut ex inflammatione quadam in bellum erumpente civile.

XXXVII. Ibi quum in senatu de triumpho ei decernendo agerent, jucundius sibi fore dixit compositis discordiis Cæsaris triumphantis currum sequi. Privatim quoque et Cæsarem per literas et ipsum Pompeium coram deprecans, auctor pacis fuit, mitigare utrumque et placare tentans. d Postquam insanabile malum esse vidit, et Cæsare adventante Pompeius non substitit, sed cum multis et bonis viris Roma cessit, in hac quidem fuga Cicero non fugit, adeoque Cæsari visus est accedere. (2) Et vero constat diu eum consilii incertum fuisse, gravique sollicitudine in utramque partem distractum. Scribit enim in epistolis dubitare se, utram in partem se vertat, quum Pom[illegible] peius quidem gloriosam et honestam belli causam habe[illegible] Cæsar autem [illegible] magisque suæ et [illegible] corum saluti consul[illegible]. Itaque se habere quem [illegible] non autem ad quem confugiat. (3) Quum Trebati[illegible] se e de amicis Cæsaris [illegible] acceperit, quæ [illegible] Cæsaris [illegible], debere Ciceronem [illegible] sibi se [illegible] spem sequi, [illegible] senectutem [illegible], in Græciam [illegible] et ab [illegible] Cæsarem [illegible] nihil [illegible] [illegible] Cæsa-

XXXVIII. [illegible] f [illegible] tum est, [illegible] operi de [illegible] tionesque [illegible] privatisque [illegible] ditus est, [illegible] præbuisse. [illegible] tempore [illegible] ario viatico

ἀπὸ τοῦ βήματος εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτὸν, ὡς ἐκεῖνος εἶπεν, « Οὐ γὰρ ἐνταῦθα πρῴην αὐτὸς ἐπῄνεις »; « Ναὶ, φησὶ, μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν. » Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσων ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου καὶ λέγοντος, « Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον »; « Ἤδεις, ἔφη, Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ' ἐδημαγώγεις. » Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωικοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, « Ὅρα, μὴ μᾶλλον, εἶπεν, ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι. » Διεβάλλετο d δ' εἰς φιλαργυρίαν ὁ Κράσσος. Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν εὐδοκίμησε λόγον ἐν βουλῇ διελθὼν, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται, « Ἄξιος, εἶπε, Κράσσου. »

XXVI. Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως. Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ e ἐχθρός), « Οὐ δήπου καὶ Βατίνιος, εἶπε, δειπνῆσαι παρ' ἐμοὶ βούλεται; « Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος. (2) Αὐτὸν δὲ τὸν Βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην οἰδοῦντα ῥήτορα προσεῖπεν. Ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς, ὅτι ζῇ· « Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος. » (3) Ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, Λεύκιος δὲ Γέλλιος ὁμοῦ τι πρεσβύτατος ὢν εἶπεν ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ, « Περιμείνωμεν, εἶπεν ὁ Κικέρων, μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. » (4) Ἦν δέ τις Ὀκτα- f ούιος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν, « Καὶ μὴν οὐκ ἔχεις, εἶπε, τὸ οὖς ἀτρύπητον. « Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν ἢ συνηγορῶν σέσωκεν, « Ὁμολογῶ γὰρ, ἔφη, πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι. » (5) Νεανίσκου δέ τινος αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον
8·4 τῷ πατρὶ δεδωκέναι θρασυνομένου καὶ λέγοντος ὅτι a
λοιδορήσει τὸν Κικέρωνα, « Τοῦτο, ἔφη, παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα. » (6) Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν ἤδη τῆς ψήφου φερομένης, « Χρῶ σήμερον, ἔφη, τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι. » (7) Πόπλιον δὲ Κώσταν νομικὸν εἶναι βουλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, « Ἴσως, ἔφη,

quum paucis post diebus verbis proscinderet, isque diceret, Nonne de hoc loco nuper me laudasti? Vero, inquit, exercitationis causa de vili materia declamans. Quumque idem aliquando publice dixisset, nullum Crassum Romæ ultra sexagesimum annum vixisse, idque deinde negaret ac diceret: Quanam ego id de causa locutus essem? respondit Cicero: Sciebas Romanos id libenter audituros, itaque iis verbis gratiam eorum captasti. Eidem probari sibi Stoicorum sententiam ferenti, qua virum bonum aiunt esse divitem: Vide, inquit, ne id tibi magis arrideat, quod omnia dicunt sapientis esse. Nam avaritiæ crimine Crassus notabatur. Alter filiorum Crassi Axio cuidam erat forma similis, ideoque mater ejus in turpem incidit suspicionem. Ejus quum quidam sermo senatu placuisset, interrogatus Cicero quid videretur, respondit: Ἄξιος Κράσσου (Axius Crassi *sive* Dignus Crasso est).

XXVI. Abiturus in Syriam Crassus, malensque amicum quam inimicum relinquere Ciceronem, blande eum compellavit et velle se cum eo cœnare dixit, atque eum Cicero comiter accepit. Paucis post diebus de Vatinio, inimico et ipso, amici ad Ciceronem retulerunt reconciliari eum et in gratiam amicitiamque redire velle: tum Cicero, Numnam, inquit, Vatinius quoque apud nos vult cœnare? Ac Crassum quidem ad hunc modum tractavit. (2) Eundem Vatinium causam agentem, tumidum vocavit oratorem, quod collum strumosum haberet. Quum eum mortuum esse audivisset, et mox certo cognovisset eum vivere: Male, inquit, pereat, qui male mentitus est. (3) Cæsare legem ferente de agro Campano militibus dividendo, quum multi in senatu id ægre ferrent, L. quidam Gellius decrepitæ jam ætatis dixit: nunquam id se vivente futurum, tum Cicero: Exspectemus, ait; non enim longam dilationem petit Gellius. (4) Erat quidam Octavius, qui Afer domo putabatur; huic quodam in judicio Cicero, eum a se exaudiri neganti, Atqui, inquit, auris tua foramine non caret. Metello Nepoti objicienti, plures eum testimonio dicendo perdidisse, quam patrocinando servasse, fassus est ita rem habere: plus enim sibi fidei quam facundiæ esse. (5) Adolescenti cuidam, qui in placenta venenum dedisse patri ferebatur, minanti se convicium ipsi facturum, Cicero: Id malim, inquit, quam placentam. (6) Quum P. Sestio advocatus in judicium cum aliis nonnullis venisset, Sestiusque neminem pro se quicquam dicere pateretur, sed ipse omnia vellet, quum eum jam absolutum iri a judicibus appareret et sententiæ ita ferrentur: Utere hodie, inquit, Sesti, tempore, cras enim privatus eris. (7) P. Constam, hominem indoctum et hebetem, sed qui jurisperitus videri vellet, in quadam causa testem citaverat. Is quum nihil se scire diceret: Fortassis, ait Cicero, de legibus et jure te interrogari putas. (8) Me-

δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι. » (8) Μετέλλου δὲ b Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος, « Τίς σοῦ πατήρ ἐστιν; » ὁ Κικέρων, « Σοὶ ταύτην, ἔφη, τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. » Ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. Καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω πρὸς Πομπήιον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. Θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. Καὶ ὁ Κικέρων, « Τοῦτ', ἔφη, σοφώτερον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν. » (9) Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν c ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν, « Εἶθ' οὕτως, ἔφη, σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλος παρασχεῖν; »

XXVII. Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι, τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα. Μάρκον Ἀκυίνιον ἔχοντα δύο γαμβροὺς φυγάδας Ἄδραστον ἐκάλει. Λευκίου δὲ Κόττα τιμητικὴν ἔχοντος ἀρχήν, φιλοινοτάτου δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, « Ὀρθῶς φοβεῖσθε, εἶπε, μή μοι γένοιτο χαλεπὸς ὁ τι- d μητής, ὅτι ὕδωρ πίνω. » Βωκωνίῳ δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο·

« Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα. »

(2) Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, « Μὴ θαυμάζετε, εἶπε, καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων. » Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέ- e γραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν ἢ τὴν πατρῴαν.

XXVIII. Ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενής, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος ἐρῶν Πομπηίας τῆς Καίσαρος γυναικὸς εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηίαν μετὰ τῶν γυναικῶν. Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων· f καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας θεραπαινὶς τῆς Καίσαρος μητρὸς ᾔτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου καὶ φήσαντος ἀκόλουθον Πομπηίας ζητεῖν, Ἅβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν

tello Nepoti in contentione quadam sæpenumero quærenti, Quis est tuus pater? Ad talem, inquit Cicero, interrogationem ut tibi sit quam mihi respondere difficilius, mater tua fecit. Mater enim Metelli impudica existimabatur. Ipse autem Nepos homo erat levis, ut qui aliquando tribunatu plebis subito deserto ad Pompeium in Syriam navigarit, ab eoque inconsultius redierit: sepeliens autem Philagrum præceptorem suum studiose, corvum lapideum monumento ejus imposuit. Hoc, Cicero ait, prudentius fecisti, magis enim volare te quam loqui docuit. (9) M. Appio in actione cujusdam causæ præfante, oratum se ab amico, uti diligentiam, facundiam fidemque adhiberet: Adeone tu, inquit Cicero, ferreus es, qui ne unum quidem istorum, quæ amicus petiit, adhibueris?

XXVII. Enimvero inimicos aut adversarios acerbioribus insectari dicteriis, oratorium videtur, proximum vero quemque risus captandi gratia offendendo, multorum in se odia concitavit. Cujus generis etiam pauca ascribam. M. Aquinium, quod is duos generos exsules haberet, Adrastum vocabat. L. Cotta, homine vinosissimo, censuram gerente consulatum petebat Cicero, sitiensque quum bibisset, amicis circumstantibus, Recte, inquit, metuitis enim ne mihi quod aquam bibam, censor irascatur. Voconio obviam factus, tres insigniter deformes filias ducenti secum, versum hunc pronuntiavit,

Phœbo haud sinente hic seminavit liberos.

(2) M. Gellio, qui videbatur non ingenuis parentibus ortus, magna et clara voce literas senatui recitante: Ne miremini, ait, ipse quoque unus est eorum qui proclamarunt. Quum Faustus Sulla, magni illius dictatoris Sullæ filius, magnam bonorum partem decoxisset et ære alieno pressus bonorum auctionem publicasset: hanc sibi melius placere, quam paternam proscriptionem dixit.

XXVIII. Hac dicacitate multos sibi inimicos paravit, Clodiusque cum aliis adversus eum conspiravit, nactus hujusmodi occasionem. Erat Clodius patricio genere natus, juvenis audax et insolens. Is quum Pompeiam Cæsaris amaret uxorem, inque hujus domo mulieres sacra Bonæ Deæ (quæ viris adiri spectarive nefas) peragerent, vestitu et habitu psaltriæ sumpto occulte se ingessit, sperans se quod adhuc imberbis esset latere posse et ita per mulieres ad Pompeiam venire. Ceterum noctu in tam amplam ingressus domum, quum transituum esset ignarus, hinc atque hinc oberrans ab ancilla Aureliæ (mater hæc erat Cæsaris) conspectus est, jussusque nomen edere et loqui coactus, quærere se Auram Pompeiæ pedissequam dixit. Ancilla

οὖσαν ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερευνώμεναι λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γενο- 875 μένου, Καῖσάρ τε τὴν Πομπηίαν ἀφῆκε καὶ ** δίκην a ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

XXIX. Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος· ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα τῷ μηδὲ γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς ποῤῥωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος. Ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν b ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ Κικέρωνος ἄρχουσα παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. (2) Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Λεύκουλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν c ὁ Κλώδιος, ὅτε Λευκούλλῳ συνῴκει. Πολλὴ δ' ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερτίαν μὲν Μάρκιος Ῥὴξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν, ἣν Κουαδρανταρίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον ὡς ἀργύριον εἰσέπεμψε· τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν. Ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος. (3) Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιταττομένου φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. d Ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν. Ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς, « Ὑμεῖς, εἶπεν, ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακὴν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον. » Κικέρων δὲ τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος, ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς, « Ἀλλ' ἐμοὶ μὲν, εἶπεν, οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο· σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευ- e σαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον. » Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικὸς, ἀφεικέναι δ' αὐτὴν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι.

voce maris cognita exclamavit ac mulieres convocavit, atque illæ foribus clausis omnia loca perscrutatæ, Clodium deprehenderunt, qui in cubiculum ancillæ, quacum ingressus fuerat, confugerat. Hac re divulgata Cæsar nuntium uxori remisit et Clodium pollutorum sacrorum postulavit.

XXIX. Erat sane amicus Clodii Cicero ejusque in negotio Catilinario promptissima opera et custodia corporis usus fuerat. Verum tunc eo crimen ita depellente, ut affirmaret se tempore sacrorum istorum longissime ab urbe abfuisse, testimonium Cicero contra tulit, Clodium tum ad se domum suam venisse, ac de quibusdam rebus collocutum affirmans. Erat quidem hoc verum, sed Cicero videtur non tam veritatis studio, quam ut se uxori Terentiæ purgaret, testimonium dixisse. Infensa enim Clodio Terentia erat propter sororem ejus Clodiam, quam Ciceroni nubere cupere suspicabatur, idque agere per Tullium quendam, qui Ciceronis socius atque familiaris conjunctissimus crebro ad Clodiam in propinquo habitantem commeabat. Itaque uxor morosa et marito imperans, perpulit eum ut Clodium simul aggrederetur atque testimonio premeret. (2) Multi etiam alii præstantissimi viri Clodium peierasse, falsum commisisse, ambitus sontem esse, ac mulieres ab eo corruptas testati sunt. Lucullus etiam ancillas ad quæstionem præbuit, quæ eum cum sorore natu minima, dum ea uxor sua fuit, rem habuisse dicebant. Tenebat fama ceteris etiam duabus sororibus corpus eum miscuisse, Tertiæ nimirum, quæ Marcio Regi, et Clodiæ, quæ Metello Celeri nupta fuit, quam et Quadrantariam appellabant, quod amator quidam ipsi quadrantes (æreum nomisma est, omnium minimum) in loculis pro argento miserat. Propter hanc præsertim male audiebat Clodius. (3) Verum populo se testibus illis et adversariis opponente, judices sibi metuentes præsidio se cinxerunt, plerique etiam tabulas confusas literis intulerunt. Pluribus tamen visus est absolvi Clodius suffragiis. Largitione autem corrupti ferebantur. Itaque Catulus judicibus istis obviam factus, Vere, inquit, securitatis causa præsidium petiistis; metuebatis enim ne quis vobis nummos eriperet. Cicero quum ei Clodius objiceret testimonio ipsius fidem a judicibus non habitam, At vero, ait, mihi viginti quinque judices crediderunt; tot enim te damnaverunt; tibi triginta non crediderunt, qui te nisi prius accepta pecunia non absolverunt. Cæsar quidem vocatus testimonium adversus Clodium non dixit, seque uxorem pro adultera habere negavit, repudiasse autem eam, quod Cæsaris conjugium non facto modo turpi, sed etiam fama sinistra vacare debeat.

XXX. Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος καὶ δήμαρχος αἱρεθεὶς εὐθὺς εἴχετο τοῦ Κικέρωνος πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. Τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ f δὲ Συρίαν, πολλοὺς δὲ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολίτευμα καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. (2) Τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηίου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα 876 φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε a πρεσβευτὴς αὐτῷ συστρατεύειν. (3) Δεξαμένου δὲ τοῦ Καίσαρος ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα προσεποιεῖτο συμβατικῶς ἔχειν καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ καὶ λόγους εὐγνώμονας ἐνδιδούς, ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικά, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν, ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. (4) Ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ τόν τε Κλώδιον ἐπέῤῥωσε καὶ Πομπήιον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ b Λέντλον καὶ Κέθηγον. Αὕτη γὰρ ἦν ἡ κατηγορία καὶ ἐπὶ τοῦθ' ὁ Κικέρων ἐκαλεῖτο. Κινδυνεύων οὖν καὶ διωκόμενος ἐσθῆτα μετήλλαξε καὶ κόμης ἀνάπλεως περιιὼν ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες ἐνίσταντο ταῖς ἱκεσίαις.

XXXI. Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν c κομῶντες καὶ συνικετεύοντες· ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταῤῥηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. Ὡς δ' ἦν οὔτ' οἶκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν ἢ βίᾳ καὶ σιδήρῳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηίου βοηθεῖν ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἀλβανόν. (2) Καὶ d πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη. Πυθόμενος δ' ὁ Πομπήιος οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον,

XXX. Absolutus Clodius, ac tribunus plebis creatus, statim Ciceronem insectari cœpit et contra eum omnes res, omnes homines concitare. Itaque plebem sibi legibus gratis devincire, consulibus magnas provincias, nempe Pisoni Macedoniam, Gabinio Syriam decernere, multorum inopum manum contrahere, quorum opera propositum conficeret, servos armatos secum habere. (2) Summa tum potentia Crassus, Pompeius ac Cæsar valebant. Ex his Crassus Ciceronem palam impugnabat, Pompeius fastidiebat utrumque, simulate eum ludificabatur, Cæsar cum exercitu in Galliam iturus erat. Hunc quanquam non amicum, sed ob Catilinariam rem suspectum, Cicero subiit, oravitque ut se legatum in bellum secum duceret. (3) Annuente Cæsare, Clodius videns Ciceronem ex tribunatu suo elapsurum, simulavit se cupere cum eo in gratiam redire, Terentiæ majorem culpæ partem imputans Cicerонisque mentionem honestam identidem faciens ac præ se ferens, non odisse eum se, aut male ei velle, sed esse de quibus cum ipso amice et leviter queratur. Hac arte effec't ut omni excusso metu Cicero legationem Cæsarianam detrectaret, rursusque ad rempublicam se conferret. (4) Ea re irritatus Cæsar Clodium confirmavit, Pompeium a Cicerone plane abalienavit, atque ipse apud populum testatus est: videri sibi contra leges Lentulum et Cethegum reliquosque indicta causa necatos. Hujus enim rei causa Cicero postulabatur. Is itaque tum reus factus et periclitans, vestem mutavit, comaque profluente obambulans populo supplicabat. At Clodius hominum petulantium et temerariorum caterva stipatus undique in angiportibus ei occurrebat, qui contumeliose mutatum Ciceronis habitum exagitantes, sæpe etiam luto et lapidibus jacientes supplicationes ejus impediebant.

XXXI. Enimvero Ciceroni primum universus fere equestris ordo vestem una mutans, et haud pauciores viginti millibus juvenes promissis crinibus ei in deprecando aderant. Deinde quum senatus convenisset, ut populum veluti in publico luctu squalidum amictum sumere senatusconsulto juberet, eique rei consules repugnarent, Clodius autem cum armatis ante curiam oberraret: haud pauci senatores foras excurrerunt, vestes dilacerantes suas et vociferantes. Qui aspectus quum nullam misericordiam, nullam verecundiam moveret, Cicero quum aut exsulandum sibi, aut rem vi et ferro decernendam sentiret, coactus est Pompeii implorare auxilium, qui tum dedita ad hoc opera se in agros apud Albanum subduxerat. (2) Ad hunc primo Pisonem generum suum misit, deinde ipse adiit. Pompeius ut de adventu ejus cognovit, in conspectum venire non sustinuit, verecundia ejus viri perculsus, qui pro ipso gravia sustinuisset certamina et in ipsius gratiam multa egisset, sed

ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν ἀπεδίδρασκε τὴν ἔντευξιν. (3) Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ καὶ γεγονὼς ἔρημος ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί, Πείσων δὲ διελέχθη πρᾳότερον αὐτῷ παραινῶν ἐκστῆναι καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγ- e κεῖν καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. (4) Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας « Ἀθηνᾷ Ῥώμης φύλακι, » πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν f περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο λαβέσθαι Σικελίας βουλόμενος.

XXXII. Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος καὶ διάγραμμα προύθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας.
877 Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος a τούτου λόγος αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐίβιος, Σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονὼς ὑπατεύοντος αὐτοῦ τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο, καὶ Γάϊος Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγὸς ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. (2) Ἐφ' οἷς ἀθυμήσας ὥρμησεν ἐπὶ Βρεντέσιον κἀκεῖθεν εἰς Δυῤῥάχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου, μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖ- b θις ἀνήχθη. Λέγεται δὲ καὶ καταπλεύσαντος εἰς Δυῤῥάχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. Ἀφ' ὧν συνέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. (3) Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὰς ταῖς πρεσβείαις, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα c παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. (4) Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. Ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον ὥσπερ βαφὴν ἀποκλύσαι τῆς ψυχῆς καὶ τὰ τῶν πολλῶν ἐνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολι-

tum Cæsare socero ita volente prodito officio referendæ gratiæ eum destituit, ac per aliud ostium elapsus congressum ejus evitavit. (3) Ita proditus desertusque Cicero ad consules confugit, quorum Gabinius semper se difficilem præbuit, Piso autem humanius collocutus, suasit ut cederet impetuique Clodiano se subduceret, mutationem temporum æquo animo ferret, rursusque patriam seditionibus et malis ipsius causa objectam servaret. Hoc responso accepto, cum amicis deliberavit; ex his Lucullus manere jubebat, ut victoria potiturum; alii fugere, mox enim populum furore et vecordia Clodii saturatum, desiderio ipsius captum iri. (4) Horum sententia approbata, Cicero signum Minervæ, quod diu domi dedicatum habuerat atque coluerat, in Capitolium portavit, ibique dedicavit, hac inscriptione, MINERVÆ URBIS CUSTODI. Deinde comitibus ab amicis acceptis, circa mediam noctem urbe exiit ac per Lucaniam pedestri itinere contendit, Siciliam petens.

XXXII. Postquam fugisse eum innotuit, Clodius de exsilio ejus legem fert edictumque proponit, quo aqua et igni ei interdiceretur, neque tecto eum recipere intra quingentesimum ab Italia miliare licitum esset. Nemo fere id edictum curavit, reverentibus omnibus Ciceronem, omnique officio prosequentibus. Hipponii, quæ urbs est Lucaniæ, et nunc Vibo dicitur, Vibius homo Siculus, qui et alios multos fructus amicitiæ Ciceronis perceperat, et ab eo consule præfectus fabrûm factus fuerat, venientem domo non recepit, pollicitus tamen est se ei locum in agro perscripturum; C. autem Vergilius Siciliæ prætor, qui plurimum Cicerone usus erat, missis literis ei Sicilia interdixit. (2) Debilitato eam ob rem animo, Brundusium perrexit, atque inde vento secundo Dyrrhachium vectus, quum ventus ab alto contrarius incidisset, postero die retro unde venerat avectus est, deinde rursus trajecit. Ferunt, quum jam littus apud Dyrrhachium attigisset essetque in terram egressurus, simul et motum terræ exstitisse et mare æstu retro absorptum, indeque collegisse divinos homines, haud diu eum exsulaturum, quod ista signa essent mutationis. (3) Quanquam autem multi ad eum benevoli viri convenirent, Græciæque urbes certatim per legatos officiis prosequerentur, mœstus tamen et in summo dolore vivebat, crebro ad Italiam, ut infeliciter amantes ad amasias, respiciens, animo calamitate plane dejecto, quod de viro ita in optimis studiis diu multumque versato nemo exspectasset. (4) Atqui frequenter ipse ab amicis postulabat, ut non oratorem se, verum philosophum appellarent; nam se philosophiam, ut rem, sibi proposuisse, arte oratoria tanquam instrumento in rebus publicis tractandis uti. Sed profecto ea vis est gloriæ cupidinis, ut eorum qui in republica versantur ex animis doctrinam veluti tincturam aliquam eluere possit, affectusque multitudinis ob longum usum et

τευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

XXXIII. Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα d κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος ἐπεχείρει τῷ Πομπηΐῳ τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. Ἐφ' οἷς ὁ Πομπήιος ἀδοξῶν ἐκάκιζεν αὑτὸς αὑτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. Ἐνισταμένου δὲ τοῦ e Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. (2) Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίων, καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. Μεθ' ὧν προελθὼν καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. Καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. Ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει, 878 τέλεσι δημοσίοις ἀνασταθῆναι. (3) Κατῄει δὲ Κικέρων a ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον ἐνδεέστερον εἶναι τῆς ἀληθείας. Ἔφη γὰρ αὑτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. Ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

XXXIV. Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ καὶ τὰς δημαρχικὰς δέλτους, ἐν b αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. Ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις, δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι καὶ τὴν

consuetudinem in iis effingere, nisi si quis admodum cautus ita cum hominibus agat, ut rerum, non affectionum quæ eas sequuntur, particeps esse studeat.

XXXIII. Clodius ejecti Ciceronis villas et domum incendit, inque ea area ædem Libertatis ædificavit, reliqua bona ejus venditavit, quotidie præcone ea proclamante. Sed nemo quicquam emebat. Terrori exinde optimatibus esse cœpit, populumque, cujus libidini et temeritati habenas laxarat, secum trahens, ipsum etiam Pompeium adortus est, quædam ab eo dum bella gereret constituta rescindens. Quapropter Pompeius infamia laborans, incusare se ipsum, qui Ciceronem projecisset, mutatoque consilio in omnes se partes vertere, et reditum ei amicorum opera machinari. Quum intercederet Clodius, S. C. factum est, ne qua de re publica statueretur, nisi Ciceroni reditu decreto. (2) Lentulo consule, quum augesceret seditio, ita ut et in foro vulnerarentur tribuni plebis, et Quintus Ciceronis frater inter cadavera veluti mortuus lateret, animi populi mutari cœperunt, ac primus tribunorum plebis Annius Milo ansus est Clodium de vi reum facere. Pompeio etiam se multi ex populo et vicinis urbibus adjunxerunt, cum quibus ille in forum progressus, pulso Clodio ad suffragia cives vocavit. Nihil unquam tanto populi consensu decretum ferunt. Senatus ne a populo hac in parte vinceretur, decrevit ut gratiæ agerentur urbibus, quæ in exsilio Ciceronem fovissent, utque villæ ejus et domus, quas Clodius perdiderat, publicis sumptibus instaurarentur. (3) Rediit Cicero decimo sexto quam fugerat mense. Tanto autem gaudio civitates, tanto studio homines obviam ei contenderunt, ut quod ipse postea Cicero dixit, minus quam ipsa rei veritas fuerit, se humeris Italiæ Romam reportatum. Quando Crassus etiam, inimicus ejus ante exsilium, revertenti studiose obviam ivit atque in gratiam rediit, gratificatus, ut aiebat, filio suo Publio, Ciceronis studioso.

XXXIV. Parvo interjecto tempore, quum Clodium peregre abiisse deprehenderet Cicero, multis comitantibus in Capitolium ascendit et tabulas, quibus res a Clodio in tribunatu plebis gestæ inscriptæ erant, deturbavit atque perdidit. Quam rem quum ei Clodius objiceret et ipse diceret, Clodium contra leges a patriciis ad plebeios transivisse, neque eorum quæ egisset quicquam ratum esse: Cato moleste id tulit ac contradixit, non quod Clodium probaret, cujus actiones admodum oderat, sed quod iniquum et violentum fore censebat, si tot decreta et actiones senatus rescinderet,

ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ c χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

XXXV. Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνου Κικέρωνα παρεστήσατο συνήγορον. Ἡ δὲ βουλὴ φοβηθεῖσα, μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. (2) Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυ- d χάζειν, ἄχρι οὗ συνίασιν οἱ κριταὶ καὶ πληροῦται τὸ δικαστήριον. Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσής, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ κατάστασιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς ἐνδεέστερος αὑτοῦ φανῆναι. (3) Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν e Πομπήιον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

XXXVI. Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς Αὔγουρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου μετὰ τὴν f ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα
879 Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους a κατεπράϋνεν ἡμέρως ἄρχων. (2) Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν· αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία θυρωρὸν οὐκ εἶχεν οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενὸς, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίας προσ-

inter quæ et sua erat negotii Cyprii et Byzantii administratio. Ea res fecit ut simultas inter Ciceronem et Catonem exsisteret, quæ tamen non in apertas inimicitias erupit, sed usum tantum familiaritatis imminuit.

XXXV. Post hæc Clodium obtruncat Milo, eaque de cæde postulatus, patronum sumpsit Ciceronem. Senatus autem metuens ne illustri et animoso viro Milone in judicio periclitante tumultus in urbe exsisteret, Pompeium huic et reliquis quæstionibus præfecit, ea lege, ut is urbem et judicia tuta præstaret. (2) Pompeius ante diem summa fori militibus cinxit. Milo itaque metuens ne insolens conspectus armatorum Ciceronem pertubaret, isque eo deterius certaret in agenda causa, consuluit ei ut lectica in forum delatus, in ea se contineret, dum convenissent et frequentes adessent judices. Cicero autem erat, ut apparet, non in armis modo timidus, sed et ad dicendum trepide accedebat, vixque titubandi et tremendi finem faciebat plerisque in certaminibus, provecta jam oratione et augescente, idemque Licinium Murenam a Catone accusatum defensurus, quum Hortensium superare contenderet florentem tunc laude eloquentiæ, nullam noctis partem conquievit, ita ut nimiis curis vigiliisque læsus, deterior se ipso visus fuerit. (3) Tum ergo ex lectica ad dicendam pro Milone causam progressus, quum sublimi loco Pompeium tanquam in castris sedere, arma circumjecta foro splendere conspexit, conturbatus ægre tandem dicendi initium fecit, corpore ante toto tremente, ac voce suppressa, quum quidem ipse Milo fortiter sane constantique animo astaret, dedignatus etiam comam alere, aut sordidam vestem induere; quod quidem haud parum fecisse ad damnationem ejus videtur. Verum hoc tamen judicio factum est ut magis amicorum studiosus quam timidus crederetur Cicero.

XXXVI. Augur in locum Crassi junioris apud Parthos interfecti creatus est. Sortitus deinde provinciam Ciliciam et exercitum duodecim peditum millia, equites bis mille sexcentos continentem, Roma navigavit. Mandatum ei erat ut Cappadociam regi Ariobarzani benevolam et obedientem redderet. Non hæc modo ita absque bello confecit, ut reprehendi a nemine posset, sed et Cilices ob Parthicam Romanorum cladem et res novas in Syria ad seditionem inclinantes mansueta provinciæ gubernatione continuit. (2) Munera regibus offerentibus repudiavit, cœnas provincialibus remisit, quotidie autem ipse urbaniores ex illis convivio non sumptuoso quidem, sed liberali tamen adhibebat. Domus ipsius nullo janitore tenebatur, neque ipsum cubantem conspexit quisquam, sed prima luce ante domum suam stans aut obambulans salutantes excipiebat. Ferunt eum neque virgis cecidisse quenquam, neque vestes ullius deripuisse, neque convicium per iram fecisse cuiquam, neminem etiam contumeliose mulctasse.

βαλεῖν μεθ' ὕβρεων. Ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα τάς τε πόλεις εὐπόρους ἐποίησε καὶ b τοὺς ἀποτίνοντας οὐδὲν τούτου πλεῖον παθόντας ἐπιτίμους διεφύλαξεν. (3) Ἥψατο δὲ καὶ πολέμου λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Κεκιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. (4) Πλέων δὲ ἀπὸ τῆς ἐπαρχίας τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώ- c τοις ἀπὸ παιδείας συγγενόμενος καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον.

Quum invenisset multos peculatus per provinciam factos, quum iis quæ surrepta erant restituendis urbes ditavit, tum iis qui ablata redderent nullo præterea supplicio affectis integram famam conservavit. (3) Bellum quoque attigit, latronibus qui Amanum montem insederant profligatis; ejusque rei causa Imperator a militibus est appellatus. Cælio autem oratori petenti, ut sibi ad ludos quosdam pantheras Romam mitteret, ostentans res a se gestas ita rescripsit: non esse pantheras in Cilicia, sed omnes diffugisse in Cariam, quod ægre ferrent omnibus aliis pacatis se unas bello infestari. (4) E provincia decedens Rhodum appulit. Athenis autem desiderio actæ olim ibi vitæ aliquantisper commoratus, cum doctissimisque viris collocutus, salutatis, quos tunc ibi habebat, amicis et familiaribus dignisque honoribus a Græcis acceptis, Romam revertit, jam republica velut ex inflammatione quadam in bellum erumpente civile.

XXXVII. Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων· ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηίου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα καὶ Καίσαρος ἐπερχομένου Πομ- d πήιος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. (2) Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. Γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηίου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. (3) Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπι- e στολήν, ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων, ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργήν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι.

XXXVII. Ibi quum in senatu de triumpho ei decernendo agerent, jucundius sibi fore dixit compositis discordiis Cæsaris triumphantis currum sequi. Privatim quoque et Cæsarem per literas et ipsum Pompeium coram deprecans, auctor pacis fuit, mitigare utrumque et placare tentans. Postquam insanabile malum esse vidit, et Cæsare adventante Pompeius non substitit, sed cum multis et bonis viris Roma cessit, in hac quidem fuga Cicero non fugit, adeoque Cæsari visus est accedere. (2) Et vero constat diu eum consilii incertum fuisse, gravique sollicitudine in utramque partem distractum. Scribit enim in epistolis dubitare se, utram in partem se vertat, quum Pompeius quidem gloriosam et honestam belli causam habeat, Cæsar autem rem melius gerat, magisque suæ et amicorum saluti consulat. Itaque se habere quem fugiat, non autem ad quem confugiat. (3) Quum Trebatii, unius de amicis Cæsaris, epistolam accepisset, quæ ostendebat Cæsaris eam esse sententiam, debere Ciceronem omnino sibi se adjungere, eandemque spem sequi, si tamen ob senectutem a bello abhorreret, in Græciam proficisci, et ab utraque parte remotum ibi quietem agere, miratus Cæsarem ipsum nihil scripsisse, cum stomacho respondit: nihil se suis rebus gestis indignum commissurum. Ejusmodi sunt quæ in epistolis produntur.

XXXVIII. Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήιον ἔπλευσε. Καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηίῳ προσθέμενον· αὐτῷ μὲν γὰρ f οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. (2) Οὗτοί τε δὴ τοῦ Κικέρωνος

XXXVIII. Ceterum profecto in Hispaniam Cæsare, statim ad Pompeium navigavit. Adventus ejus gratus omnibus aliis fuit: Cato autem privatim eum graviter objurgavit, qui se Pompeio adjunxisset. Se quidem dicebat honeste non potuisse eam, quam ad initio delegisset, reipublicæ constitutionem deserere, Ciceronem autem, qui et patriæ et amicis utilior fuisse potuerit, si Romæ manens neutram partem secutus ad eventum se accommodasset, inconsulte et nulla necessitate hostem Cæsaris factum ad tanti periculi societatem venisse. (2) Quum hoc Ciceronem ut consilii

880 ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην καὶ τὸ μέγα μηδὲν a αὐτῷ χρῆσθαι Πομπήιον. Αἴτιος δ' ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι, φλαυρίζων δὲ τοῦ Πομπηίου τὴν παρασκευὴν καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χάριεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος, ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιιὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπὸς, ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι. (3) Δομιτίου τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν καὶ λέγοντος, ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, « Τί οὖν, εἶπεν, οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις; » Ἐπαινούντων δέ τινων Θεο- b φάνην τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας, « Ἡλίκον, εἶπεν, ἀγαθόν ἐστι τὸ Γραικὸν ἔχειν ἔπαρχον. » (4) Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτοὺς, Λέντλῳ μὲν εἰπόντι πυνθάνεσθαι στυγνοὺς εἶναι τοὺς Καίσαρος φίλους ἀπεκρίνατο· « Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι. » Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ καὶ λέγοντος ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν, ὡς πολιορκοῖτο Πομπήιος, « Εἶτ' ἐξέπλευσας, εἶπεν, ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος; » (5) Μετὰ δὲ τὴν ἧτταν c Νοννίου μὲν εἰπόντος, ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηίου λελεῖφθαι, « Καλῶς ἂν, ἔφη, παρῄνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν. » Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου καὶ λέγοντος, ὡς δεῖ περιγενέσθαι Πομπήιον, « Οὐκοῦν, ἔφη, στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον. »

XXXIX. Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς οὐ μετέσχε δι' ἀῤῥωστίαν, καὶ Πομπηίου φυγόντος, ὁ μὲν Κάτων καὶ στράτευμα συχνὸν ἐν Δυῤῥαχίῳ καὶ στόλον ἔχων μέγαν ἐκεῖνον ἠξίου στρατηγεῖν κατὰ νόμον καὶ τὸ τῆς ὑπατείας ἀξίωμα προὔχοντα. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων καὶ ὅλως d φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηίου τοῦ νέου καὶ τῶν φίλων προδότην ἀποκαλούντων καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς μόλις ἀφείλετο καὶ διῆκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου. (2) Κατασχὼν δ' εἰς Βρεντέσιον ἐνταῦθα διέτριβε Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο καὶ πεζῇ περιιὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. Οὐ e μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν. Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάσατο καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν. Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράφων τόν τε λόγον αὐτοῦ καὶ

pœniteret effecit, tum quod nulla magna in re opera ejus Pompeius utebatur, in causa fuit ipse Cicero, non negans se pœnitere facti sui, et apparatum Pompeii exagitans, occulteque consilia ejus improbans, et a facetiis dicteriisque in socios non abstinens, ac quum ipse austero vultu in castris circumiret atque tristis, subinde aliis ridendi occasionem intempestive objiciens. Non abs re est, quædam ejus generis narrare. (3) Domitio hominem belli imperitum militari imperio præficere volenti ejusque morum probitatem et temperantiam laudanti, Cur ergo, inquit, non eum liberis tuis tutorem servas? Laudantibus quibusdam Theophanem Lesbium fabrûm in castris præfectum, quod Rhodios de amissa classe pulchre esset consolatus; Magnum vero, inquit, bonum est, Græcum habere præfectum. (4) Quum Cæsari pleraque succederent, et is Pompeianos quasi in obsidione haberet, Lentulo dicenti audisse se amicos Cæsaris tristes esse, Ais, inquit, eos Cæsarem odisse. Marcio cuidam, qui recens ex Italia quum venisset, rumorem Romæ esse ferebat Pompeium obsideri : Ergo, inquit, propterea huc navigasti, ut coram ipse spectans crederes. (5) Post acceptam cladem quum Nonius ad bene sperandum hortaretur, superesse enim septem aquilas in castris Pompeii : præclare eum dicere respondit, si quidem adversus graculos bellum gereretur. Labieno ex vaticinationibus quibusdam asseverante, omnino victoriam Pompeii fore : Nunc ergo, inquit, quod amisimus castra nostra, id dolo quodam bellico a nobis factum est.

XXXIX. Enimvero pugna apud Pharsalum facta, cui Cicero ob malam valetudinem non interfuit, et fugato Pompeio, Cato qui Dyrrhachii magnas copias et numerosam classem habebat, Ciceroni, nimirum legibus et ob dignitatem consularem se præstantiori, imperium detulit. Quod quum recusaret Cicero, et omnino cum illis amplius militare subterfugeret, Pompeius junior et amici proditorem eum vocantes et gladios stringentes occidissent, nisi Cato obsistens eum cædi eripuisset et per castra deduxisset. (2) Cicero Brundusium appulit, ibique Cæsarem præstolatus est, ob negotia Asiatica et Ægyptiaca morantem. Qui ut nuntiatus est Tarentum applicuisse, atque inde terrestri itinere Brundusium proficisci, occurrere ei statuit, non quidem admodum diffidens, sed veritus tamen nonnihil in tot hominum conspectu victoris hostis animum experiri. Verum nihil opus fuit ei vel facere vel dicere præter dignitatem suam. Cæsar enim ut eum longe ante alios occurrere sibi vidit, ex equo descendit, hominemque salutavit, cumque eo solo colloquens per multa stadia processit. Exinde constanter eum honore et benevolentia prosecutus est, adeo, ut laudationi quoque Catonis ab eo scriptæ respondens, vitam

τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος Κάτων, ὁ δὲ Καίσαρος Ἀντικάτων ἐπιγέγραπται. (3) Λέγεται δὲ καὶ Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καί- f σαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· « Τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι κέκριται πονηρὸς ὁ ἀνὴρ καὶ πολέμιος; » Ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει καὶ
881 προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμα- a στὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι, τέλος δὲ τῶν κατὰ Φάρσαλον ἁψαμένου τοῦ ῥήτορος ἀγώνων ἐκπαθῆ γενόμενον τιναχθῆναι τῷ σώματι καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια τῶν γραμματίων. Τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

XL. Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. Αὐτῷ δ' ἔργον b μὲν ἦν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον· ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν συγκατάθεσιν καὶ τὴν ἐποχὴν καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερές, τὸ κενόν, ἄλλα τε πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα μηχανησάμενος· τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γάρ, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. c (2) Τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὑτοῦ διάγων ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν, εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀθυμῶν τοῖς καθεστῶσι. Σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι· καὶ ἀνεστάθησαν. Ἔφη γὰρ ὁ Κικέρων, ὅτι ταύτῃ τῇ d φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὑτοῦ πήγνυσιν ἀνδριάντας.

XLI. Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ τὰ πλεῖστα συμβῆναι. (2) Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι καὶ μηδ'

et orationem Ciceronis ut Periclis maxime et Theramenis similia laudaret. Oratio Ciceronis Cato, Cæsaris Anticato inscribitur. (3) Q. etiam Ligario accusato, quod in hostium Cæsaris numero fuisset, ac Cicerone eum defendere aggresso, Cæsarem dixisse ferunt : Quid obstat quominus Ciceronem aliquamdiu a nobis non auditum audiamus orantem, quando Ligarius jam pridem malus homo et hostis est judicatus? Ut vero orsus dicere Cicero mirifice animos movit, et oratio quum varietate affectuum tum venustate mirabili crevit, varios in Cæsaris vultu colores apparuisse, neque fefellisse eum animum varias in partes versantem, et tandem quum ad Pharsalici prœlii mentionem orator pervenisset, victum animi perturbationibus contremuisse corpore, et quasdam schedas manibus ei excidisse. Ligarium quidem vi ejus orationis expugnatus absolvit.

XL. Porro reipublicæ et forma mutata et omnibus in potestatem unius redactis, Cicero, publicorum negotiorum dimissa cura, adolescentibus philosophiæ studiosis vacavit, eorumque fere consuetudine (erant enim nobilissimi et primarii) iterum in urbe plurimum valuit. Ipse autem operam suam in scribendis philosophicis dialogis vel convertendis et vocabulis dialecticorum ac physicorum in Latinum sermonem transferendis. Hic enim est, ut perhibent, qui de Græcis nominibus visa, assensionem, assensionis retentionem, perceptionemque, tum individuum, simplex corpus, vacuum, et multa horum similia aut primus expressit, aut maxime omnium Romanorum usitata et nota reddidit, pro Græcis vocibus Latinas commodis translationibus aut aliis proprietatibus effingens. Sua in scribendo carmine facilitate animi causa utebatur; fertur enim quoties ad eam rem se dedisset, una nocte quingentos versus fecisse. (2) Ejus temporis majorem partem in prædio suo apud Tusculum exigens, amicis scribebat, Laertæ vitam se vivere, sive ita jocabatur, sive omnino præ ambitione immodico reipublicæ desiderio ardens, præsentem rerum statum inique ferebat. Raro autem in urbem veniebat, idque colendi Cæsaris causa, princepsque erat eorum, qui honores ei decernerent, novique aliquid in laudem ejus et rerum ab eo gestarum dicere studerent. Cujus generis est quod de Pompeii statuis, quæ quum ab aliis dejectæ essent, jussu Cæsaris restitutæ erant, dixit: ea humanitate sua Cæsarem Pompeii statuas erexisse, suas vero fixisse.

XLI. Quum autem animum induxisset, ut traditum est, Romanam historiam conscribere, multaque ei operi de Græcis rebus immiscere omninoque fabulas narrationesque quas sibi collegerat, inserere, multis publicis privatisque occupationibus ingratis et calamitatibus impeditus est, quorum tamen majori parti causam ipse videtur præbuisse. (2) Primum cum Terentia divortium fecit, quod tempore belli ab ea ita neglectus fuisset, ut et necessario viatico

e ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν τυχεῖν εὐγνώμονος. Αὐτὴ μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον, ἐρχομένῃ δὲ τῇ θυγατρὶ, παιδίσκῃ νέᾳ, τοσαύτην ὁδὸν οὐ πομπὴν πρέπουσαν, οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. (3) Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις. Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς f δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. Ὀφείλων δὲ πολλὰς μυριάδας ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν καὶ τοὺς δανειστὰς
882 ἀπαλλάξαι τοῖς ἐκείνης χρησάμενον. a Ἀντώνιος δὲ τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς ἐκβαλεῖν αὐτόν φησι γυναῖκα, παρ' ᾗ γεγήρακε, χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος. (4) Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ πρότερον ἀνδρὸς τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκὸς, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας.

XLII. Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. Τῆς δ' ἐπὶ Καίσαρα συνισταμένης πράξεως οὐ b μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. Ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν ὡς ἐνδεᾶ τόλμης τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. (2) Ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον καὶ τῶν Καίσαρος φίλων συνισταμένων ἐπὶ τοὺς ἄνδρας αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν, Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως c διελθὼν ἔπεισε τὴν σύγκλητον Ἀθηναίους μιμησαμένην ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βροῦτον ἐπαρχίας. (3) Ἔσχε δὲ τούτων τέλος οὐδέν. Ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ' ὀργῆς ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον ὡς ὑφάψοντες. Οἱ δὲ τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ d μεγάλους προσδοκῶντες ἐξέλιπον τὴν πόλιν.

destitutus dimitteretur, neque revertens in Italiam sui curam gerentem reperiret, nam neque Brundusium ipsa venit, quum diu ibi Cicero moraretur, et filiæ eo proficiscenti adolescentulæ ad tam longum iter neque comitatum, neque sumptus, ut par erat, præbuit, quin et domum Ciceronis inanem omnium rerum vacuamque redegit, multis insuper nominibus factis, gravique ære alieno conflato. (3) Hæ sunt quæ honestissimæ feruntur ejus divortii causæ, quas ipsas neganti veras esse Terentiæ, defensionis ille ipse argumentum præbuit, ducta non multo post virgine. Id amore formæ factum Terentia spargebat rumorem; Tiro, libertus Ciceronis, ut esset qui æs alienum dissolveret. Erat enim puella dives admodum, ejusque bona fidei suæ commissa Cicero hæres ab ea scriptus servabat, et quum magnam pecuniæ summam deberet, persuasum ei ab amicis est, ut eam præter ætatem duceret, ipsiusque pecunia creditoribus satisfaceret. Antonius in Philippicarum refutatione nuptiarum earum mentionem faciens, ejecisse eum mulierem ait, apud quam consenuisset, eleganter Ciceronem notans, quod a negotiis et bello otiosus domi semper hæsisset. (4) Paullo post nuptias filia Ciceronis in partu apud Lentulum periit, cui post Pisonis mariti prioris mortem nupserat. Ad consolandum vero Ciceronem undique philosophi convenerunt. Nam nimis quam graviter eum casum ferebat, adeo ut uxorem quoque repudiarit, quod morte Tulliæ voluptatem cepisse videbatur.

XLII. Hoc modo res domesticæ Ciceronis habebant. Conjurationis autem in Cæsarem particeps non fuit, quanquam summus Bruti amicus esset, neque eo quisquam præsentem statum iniquius ferret pristinamve rempublicam magis desideraret. Verum illi quum ingenium Ciceronis metuebant, natura timidum, tum ætatem, qua etiam fortissimorum hominum audacia deficit. (2) Interfecto Cæsare a Bruto et Cassio, et amicis cæsi adversus hos viros coeuntibus, quum periculum esset ne civitas denuo bello intestino concuteretur, Antonius consul senatu convocato de concordia paucis verbis dixit. Cicero autem copiosam et tempori illi congruentem orationem habuit, persuasitque senatui, ut Atheniensium exemplo oblivionem eorum, quæ de Cæsare acta essent, sancirent, Brutoque et Cassio ac sociis eorum provincias decernerent. (3) Sed horum nihil perfectum fuit. Nam populus quum ultro ad miserationem Cæsaris trucidati duceretur, ut funus efferri per forum vidit, Antonio insuper vestem ejus cruore oppletam et plurimis vulneribus discissam ostentante, ira ad furorem concitatus per forum percussores Cæsaris quæsivit, arreptoque igne ad domos eorum accurrit, easque inflammare conatus est. Illi hoc evitato periculo, quod præviderant et se contra munierant, quum multa alia et magna imminere viderunt, urbe cesserunt.

XLIII. Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο καὶ πᾶσι μὲν ἦν φοβερὸς ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. Ἀναῤῥωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδὼς ἤχθετο παρόντι. Καί πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. Ταῦτα δείσας ὁ Κικέρων πρῶτον μὲν ὥρμησε Δολοβέλλᾳ συνεκπλεῦσαι πρεσβευτὴς εἰς Συρίαν· ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, e ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον ἐκείνου παρόντος, ὁ δ' οὔτ' ἀπιστῶν παντάπασιν οὔτε πιστεύων Δολοβέλλαν μὲν εἴασε χαίρειν, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχήν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε. (2) Γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς καὶ λόγων ἀπὸ Ῥώμης, οἷα φιλεῖ, καινῶν προσπεσόντων, μεταβεβλῆσθαι μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας f τὰ πράγματα μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν, καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν ἀνέστρεφεν αὖθις εἰς Ῥώμην. Καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος ἀνθρώπων ὑπὸ χαρᾶς καὶ πόθου πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι. (3) Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου καὶ 883 καλοῦντος αὐτὸν οὐχ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς a ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. Ἐδόκει δὲ τἀληθὲς ἐπιβουλῆς εἶναι φόβος ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας, ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. Καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι διετέλουν, ἄχρι οὗ Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος τόν τε κλῆρον ἀνεδέξατο τοῦ Καίσαρος ἐκείνου καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων, ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, b εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

XLIV. Ἐκ δὲ τούτου Φίλιππος ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων καὶ Μάρκελλος ὁ τὴν ἀδελφὴν ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα συνέθεντο, Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τὴν ἀπὸ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. Ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὑτὸν εἶχε τὸ μειράκιον. (2) Ἐδόκει δὲ καὶ μείζων τις αἰτία γεγονέναι τοῦ τὸν Κικέρωνα δέξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. Ἔτι γάρ, ὡς ἔοικε, Πομπηίου ζῶντος καὶ Καίσαρος ἔδοξε κατὰ τοὺς ὕπνους ὁ Κικέ- c

XLIII. Statim vero Antonius elatus, omnibus terrori fuit, tanquam omnia in se unum tracturus, maxime autem omnium Ciceroni, cujus quum redintegratam in civitate potentiam videret, Brutique amicum esse nosset, præsentiam ejus moleste ferebat. Augebant suspicionem simultates jam ante ob vitæ et morum dissimilitudinem obortæ. Hæc metuens Cicero statuit cum Dolabella in Syriam legatus proficisci. Quum autem consules post Antonium designati Hirtius et Pansa, boni viri et Ciceronis imitatores, orarent ne ipsos desereret, promitterentque se præsente eo Antonium oppressuros, neque fidens eis plane, neque diffidens, jusso valere Dolabella, cum Hirtio et Pansa pactus se æstatem Athenis acturum, quumque ipsi consulatum occepissent, rediturum, solus navigavit. (2) Mora autem navigationi injecta, quum, ut fieri assolet, novi Roma afferrentur nuntii, Antonium mirifice mutatum esse et omnia secundum voluntatem senatus agere; id modo ad optimum reipublicæ statum deesse, quod ipse Roma abesset, se ipsum propter nimiam culpans timiditatem, Romam revertit. Prima spes non sane eum fefellit. Tanta enim multitudo præ gaudio et desiderio ei obviam effusa est, ut totus fere dies excipiendo eum dextrasque jungendo apud portas et ingressum ejus exactus sit. (3) Postridie ab Antonio senatus convocatus est, atque ipse etiam vocatus, sed non venit, prætexens se male affecto ob navigationem corpore decumbere. Re ipsa autem id metu insidiarum faciebat, quas sibi structas suspicabatur ex indicio ad se in via delato. Antonius graviter ea contumelia irritatus, militibus missis adduci eum, aut domum incendi jussit; multis tamen obstantibus deprecantibus, pignoribus ab eo acceptis quievit. Reliquum tempus paulatim sibi alter ab altero caventes mutuoque vitantes exegerunt, donec Cæsar junior Apollonia advenit, hæreditatemque Cæsaris interfecti crevit, et propter millies sestertiûm, quod Antonius de bonis Cæsaris detinebat, cum eo litem contraxit.

XLIV. Eo tempore Philippus, qui matrem adolescentis in matrimonio habebat, et Marcellus, sororis maritus, adolescentem Cæsarem ad Ciceronem adduxerunt, pactique sunt ut ei Cicero suam in dicendo et republica potentiam in senatu et apud populum accommodaret, vicissimque Cæsar opibus eum suis et armis (multos enim jam tum adolescens milites Cæsarianos secum habebat) tutum præstaret. (2) Videbatur autem major quædam causa fuisse cur tam cupide Cicero amicitiam Cæsaris amplexus sit. Nam Pompeio adhuc et Julio viventibus per quietem imaginatus esse fertur,

ρων καλεῖν τινα τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας ἵστασθαι περὶ τὸν νεὼν καὶ τοὺς παῖδας ἐν ταῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. Ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν καθ' ἕνα τῶν παίδων ἀνισταμένων κύκλῳ περὶ τὸν θεὸν παραπορεύεσθαι, τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένους. Ὡς δ' οὗτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν καὶ εἰπεῖν, « Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος ἡγεμὼν γενόμενος. » (3) Τοιοῦτόν φασιν d ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δ' οὐκ ἐπίστασθαι. Μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ πυνθάνεσθαι, τίνων εἴη γονέων. Ἦν δὲ πατρὸς Ὀκταουίου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρὸς, ἀδελφιδῆς Καίσαρος. Ὅθεν Καῖσαρ αὐτῷ παῖδας οὐκ ἔχων ἰδίους τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντή- e σεις ἐντυγχάνειν ἐπιμελῶς κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας· καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει Κικέρωνος ὑπατεύοντος.

XLV. Αὗται μὲν οὖν προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις ἥττων οὖσα τῆς τιμῆς προσεποίησε Καίσαρι νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. Οὕτω γὰρ ὑπῄει τὸ μειράκιον αὐτὸν, ὥστε καὶ πατέρα προσαγορεύειν. Ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου θεραπεύων τὸν Καίσαρα δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὑτῷ μνώμενος. Οὐ μὴν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις ἀναλαβὼν ἔσχεν ἐφ' ἡγεμονίας καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. (2) Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν ὅσων ἐβούλετο τὸν
884 μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε καὶ πολεμή- a σοντας αὐτῷ τοὺς δύο ὑπάτους, Ἵρτιον καὶ Πάνσαν, ἐξέπεμψε, Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. (3) Ἐπεὶ δ' Ἀντώνιος μὲν ἥττητο, τῶν δ' ὑπάτων ἀμφοτέρων ἀποθανόντων ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα δ' ἡ βουλὴ νέον ἄνδρα καὶ τύχῃ λαμπρᾷ κεχρημένον ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα καὶ περισπᾶν τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος, οὕτως ὁ Καῖσαρ φοβηθεὶς ὑπέπεμπε τῷ Κικέρωνι τοὺς b δεομένους καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνωκε

vocare quendam patricios pueros in Capitolium, ex quibus Juppiter unum ducem Romæ deligeret, accurrisse autem cives certatim et templum circumstetisse, puerosque prætextatos tacite assedisse. Tum subito foribus apertis pueros surrexisse, et in orbem circum deum obivisse, eumque omnes inspexisse, ægreque ferentes dimisisse. Ut vero accessit Octavius, tum deum manum ad eum protendisse, ac dixisse: Hic, o Romani, dux vester factus finem civilibus bellis imponet. (3) Ex hac somnii specie pueri ejus effigiem animo comprehensam fertur retinuisse Cicero, quum ipsum non nosset. Postridie quum in campum Martium escendisset, ac pueri jam ab exercitationibus discederent, primum omnium eum Ciceroni visum eadem qua in somnis forma, itaque eum admiratione perculsum, quæsivisse quinam parentes ejus essent. Erat autem filius Octavii, viri non plane illustris, et Attiæ sorore Cæsaris natæ. Itaque Cæsar eum, quod liberos non habebat, testamento hæredem instituit et sibi filium adoptavit. Atque exinde Ciceronem aiunt, quoties occurrisset Octavio puero, accurate cum eo collocutum et puerum hoc ejus studium amice probasse; ita autem fortuna tulerat, ut Cicerone consule nasceretur.

XLV. Hæ igitur Ciceronis cum Cæsare conjunctionis occasiones ferebantur. Enimvero Ciceronem odium in Antonium primo, deinde ambitiosum ingenium Cæsari conjunxit, sperantem se ejus potentia auctum eo majorem in republica fore. Nam adolescens ita ei se submittebat, ut patrem quoque eum suum appellaret. Quod indignissime ferens Brutus, in epistolis ad Atticum Ciceronem culpat, qui metu Antonii Cæsarem colens, palam ostendat se non libertatem reipublicæ quærere, sed dominum sibi ipsi benignum. Filium tamen Ciceronis Brutus Athenis apud philosophos degentem ad se recepit, eoque usus legato multas res feliciter gessit. (2) Maxime tunc Romæ potentia Ciceronis vigebat, ita ut quidquid vellet obtinens Antonium factione sua victum urbe ejiceret, duosque consules Hirtium et Pansam ad bellum ei faciendum mitteret; effecit etiam ut senatus Cæsari, tanquam pro patria bellum gerenti, lictores honoresque prætorios decerneret. (3) Victo Antonio et utroque consule mortuo, quum post pugnam ad Cæsarem copiæ confluerent, senatus sibi a juvene fortuna ita secunda uso metuens, donis et honoribus ab eo avocare copias viresque distrahere intendit, non indigere se propugnatoribus dicens, Antonio jam profligato. Qua re Cæsar perterritus submisit ad Ciceronem qui ei persuaderent, ut sibi Cæsarique consulatum adipisceretur res autem omnes suo arbitrio ad-

παραλαμβάνοντα τὴν ἀρχὴν καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. Ὡμολόγει δὲ καὶ Καῖσαρ αὐτός, ὡς δεδιὼς κατάλυσιν καὶ κινδυνεύων ἔρημος γενέσθαι χρήσαιτο τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ, προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος.

XLVI. Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων καὶ φενακισθεὶς καὶ συναρχαιρεσιάσας καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον εὐθὺς μὲν ὑπὸ τῶν c φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕστερον αὑτὸν ἀπολωλεκὼς ᾔσθετο καὶ τοῦ δήμου προέμενος τὴν ἐλευθερίαν. Αὐξηθεὶς γὰρ ὁ νεανίας καὶ τὴν ὑπατείαν λαβὼν Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκὼν ὥσπερ ἄλλο τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. Καὶ κατεγράφησαν ἄνδρες, οὓς ἔδει θνήσκειν, ὑπὲρ διακοσίους. (2) Πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν, Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι, Λεπίδου δ' Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ d πρὸς ἀμφοτέρους ἀντέχοντος. Ἐγίνοντο δ' αἱ σύνοδοι μόνοις ἀπόρρητοι περὶ πόλιν Βονωνίαν ἐφ' ἡμέρας τρεῖς, καὶ συνῄεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων ποταμῷ περιρρεόμενον. Λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ καὶ προέσθαι τὸν ἄνδρα. Τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν· ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλου δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. Οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δ' ἀπέδειξαν, ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν e ἀγριώτερον ἐξουσίαν πάθει προσλαβόντος.

XLVII. Πραττομένων δὲ τούτων ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον ἔχων τὸν ἀδελφὸν μεθ' αὑτοῦ· πυθόμενοι δὲ τὰς προγραφὰς ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον παράλιον τοῦ Κικέρωνος, ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον· ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. Ἐκομίζοντο δ' ἐν φορείοις ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι καὶ τὰ φορεῖα παραβάλλοντες ἀλλήλοις προσωλοφύροντο. Μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας· οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν, ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν f ἐφόδιον· ἄμεινον οὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν οἴκοθεν συσκευασάμενον. Ταῦτ' ἔδοξε· καὶ περιλαβόντες ἀλλήλους καὶ ἀνακλαυσάμενοι διελύθησαν. Ὁ μὲν οὖν Κόϊντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν ἀνῃρέθη μετὰ τοῦ παιδός. (2) Ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθεὶς καὶ πλοῖον εὑρὼν εὐθὺς
885 ἐνέβη καὶ παρέπλευσεν ἄχρι Κιρκαίου πνεύματι χρώ- a
μενος. Ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν εἴτ' οὔπω παντάπασι τὴν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη καὶ παρῆλθε

ministraret et adolescentem Cæsarem gloriæ honorisque cupidum ipse regeret. Ac fassus est quidem ipse Cæsar, se, quum periculum esset ne opprimeretur et destitueretur, Ciceronis ambitione tempestive usum fuisse, eoque adjuvante consulatum petiisse.

XLVI. Cicero sane tum senex a juvene inductus deceptusque, in petitione consulatus eum juvit senatusque ei voluntatem conciliavit; quam ob rem statim ab amicis culpatus, paullo post et se perditum, et libertatem populi a se proditam sensit. Cæsar enim consulatum potentiamque adeptus, jusso valere Cicerone, cum Antonio et Lepido amicitiam contraxit, collataque in unum omni potentia, imperii Romani quasi prædii alicujus divisio inter eos facta est, proscriptique, qui necarentur, viri plures quam ducenti. (2) Maxima inter eos contentione de proscriptione Ciceronis certatum est, quum Antonius nisi necato Cicerone pacem se accepturum negaret, Lepidusque ei astipularetur, Cæsar autem utrique repugnaret. Convenerunt soli tres isti occulte apud Bononiam, in loco aqua circumfluo procul a castris, totoque triduo inter se collocuti sunt. Tertia die Cæsar fertur, quum biduum pro Ciceronis salute certasset, cessisse eumque destituisse. Fuit autem permutatio ita instituta, ut Cæsar Ciceronem, Lepidus Paulum fratrem, L. Cæsarem avunculum Antonius proscribi permitterent. Adeo ira eis et rabies omnes humanas cogitationes excusserant, imo autem illi demonstraverunt, nullam esse belluam sæviorem homine potestate ad exsequendum quod perturbato animo decrevit armato.

XLVII. Erat tunc in Tusculano Cicero, una cum fratre. Ut de proscriptione renuntiatum est, statuerunt Asturam descendere, prædium Ciceronis maritimum, atque inde ad Brutum in Macedoniam navigare, quem obtinere jam istas regiones rumor ferebat. Ferebantur autem lecticis, mœrore confecti, et sæpe in itinere subsistebant, junctisque lecticis sortem suam deplorabant. Magis tamen Q. Cicero mœrebat, penuriæ recordatione motus, quod neque ipse quicquam secum domo abstulisset, et fratri quoque viaticum erat perexiguum; itaque præstare dicebat ut M. Cicero fugam occuparet, ipse propere sequeretur, quum necessaria domo accepisset. Hoc consilio probato, mutuo se complexi, facta salutatione digressi sunt. Et Quintus quidem paucis post diebus a servis proditus, et percussoribus traditus, una cum filio necatus est. (2) Cicero autem Asturam perrexit, inventoque ibi navigio, statim solvit, et usque ad Circæum vento perlatus est. Inde quum recta navigaturi essent gubernatores, sive maris metu, sive quod nondum omnino de fide Cæsaris desperasset, in terram exiit, pedestrique

πεζῇ σταδίους ἑκατὸν ὡς εἰς Ῥώμην πορευόμενος. Αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν εἰς Ἄστυρα. Κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν, ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν. (3) Ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων· καὶ τἄλλα ταραχώδη καὶ παλίντροπα βουλεύματα τῆς γνώμης μεταλαμβάνων b παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καιήτην κατὰ πλοῦν κομίζειν ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. Ἔχει δ' ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. Ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς· καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. (4) Ἀπέβη δ' οὖν ὁ Κικέρων καὶ παρελθὼν c εἰς τὴν ἔπαυλιν ὡς ἀναπαυσόμενος κατεκλίθη. Τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες, εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον ἐγκεκαλυμμένου τοῦ Κικέρωνος ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. Οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες καὶ κακίσαντες ἑαυτούς, εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι, τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

XLVIII. Ἐν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἑρέννιος καὶ Ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων, ἔχοντες d ὑπηρέτας. Ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ Κικέρωνος οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου τοῦ ἀδελφοῦ, Φιλόλογον τοὔνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. (2) Ὁ μὲν οὖν χιλίαρχος ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ περιέθει πρὸς τὴν ἔξοδον. Τοῦ δ' Ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. Αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ e ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος ἀτενὲς ἐνεώρα τοῖς σφαγεῦσιν αὐχμοῦ καὶ κόμης ἀνάπλεως καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον, ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι τοῦ Ἑρεννίου σφάζοντος αὐτόν. Ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας, ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. Τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὰς χεῖρας Ἀντωνίου κελεύσαντος, αἷς τοὺς Φιλιππικοὺς ἔγραψεν. Αὐτός τε γὰρ ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλοῦνται.

XLIX. Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομισθέν- f

itinere ad centum stadia Romam versus profectus est. Rursus deinde animo æstuans, mutata sententia itinere ad mare flexo Asturam repetiit, ibique pernoctavit, incertus animi et varia atque gravia consilia agitans; nam id etiam cogitabat, occulte in domum Cæsaris intrare; seque apud lares ejus jugulare, eoque diras in eum ultrices concitare. (3) A quo consilio metu tormentorum depulsus, aliisque rursum tumultuosis et contrariis cogitationibus ductus, famulis se devehendum mari commisit, ad prædia juxta Caietam. Habebat enim ibi prædia, et commodum tempore æstivo refugium, quum suavissimi sunt Etesiarum flatus. Erat et parva ibi Apollinis ædes supra mare. Ex ea corvi confertim advolantes cum clangore navim Ciceronis terræ accedentem petierunt et utrimque insessis antennis partim crocitarunt, partim rudentum capita rostris momorderunt; idque ab omnibus pro infausto signo est acceptum. (4) Egressus tamen est Cicero, et villam intravit, ibique quietis captandæ causa accubuit. Corvi autem ad fenestram assidentes, clamorem importunum ediderunt, unusque eorum ad lectum advolans, Ciceronis vestem, qua se velaverat, paulatim rostro a facie detraxit. Hæc videntes servi, suamque ipsorum ignaviam damnantes, quod inspicere heri cædem sustinerent, et non defenderent potius eum, cujus pro salute indigna fortuna utentis etiam bruta animantia sollicita essent, partim exoratum, partim invitum in lectica ad mare detulerunt.

XLVIII. Interim percussores superveniunt, Herennius centurio et Popillius tribunus militum, quem olim de paterna cæde postulatum defenderat Cicero, cum ministris. Quum autem fores clausas invenirent, iisque effractis neque intus reperiretur Cicero, et scire se ubi esset reliqui negarent, ferunt adolescentem quendam Philologum nomine, libertum Quinti, et a Cicerone in bonis literis educatum, Popillio indicasse, lecticam per silvestres et umbrosas ambulationes ad mare deferri. (2) Is ergo paucis comitatus ad exitum accurrit. Herennio cursim per ambulationes properante, sensit rem Cicero, famulosque deponere lecticam jussit. Ipse more suo læva mentum tangens, immoto vultu in percussores intuitus est, squalore oppletus et coma profusa, facie ob sollicitudines confecta, ita ut plerique necante eum Herennio ora velaverint sua. Jugulatus est autem, collum ex lectica protendens, annum ætatis agens sexagesimum et quartum. Caput ejus et manus, quibus orationes in Antonium Philippicas scripserat, jussu hujus amputavit Herennius. Etenim orationes in Antonium habitas ipse Cicero Philippicas inscripsit, quemadmodum etiam nunc appellantur.

XLIX. Quæ quum essent Romam allata, Antonius, qui

των ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδὼν ἀνεβόησεν, ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. Τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτὸν, οὐ τὸ Κικέρωνος ὁρᾶν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. Πλὴν
886 ἕν γέ τι φρονήσας μέτριον ἐν τούτοις, Πομπωνίᾳ τῇ a
Κοΐντου γυναικὶ τὸν Φιλόλογον παρέδωκεν. Ἡ δὲ κυρία γενομένη τοῦ σώματος ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὑτοῦ κατὰ μικρὸν ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν. Οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν· ὁ δ' αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος Τίρων τοπαράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας. (2) Πυνθάνομαι δὲ Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα των θυγατριδῶν· τὸν δὲ βιβλίον ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου, πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ φάναι· « Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις. » (3) Ἐπεὶ μέντοι τάχιστα b
κατεπολέμησεν Ἀντώνιον, ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ' οὗ τάς τ' εἰκόνας ἡ βουλὴ καθεῖλεν Ἀντωνίου καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς, καὶ προσεψηφίσατο μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. Οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως.

tum forte comitia habebat, audita re et visis membris, exclamavit: finitas jam esse proscriptiones, ac pro rostris poni manus caputque Ciceronis jussit, horrendum Romanis spectaculum: non enim Ciceronis se videre faciem, sed imaginem animi Antonii putabant. Unum tamen id Antonii factum inter ista æquum videtur, quod Philologum Pomponiæ Q. Ciceronis uxori dedidit, quæ eum quum aliis gravibus cruciatibus ulta est, tum ut suas ipse carnes paulatim abscinderet, assaret atque comederet, coegit. Sic enim nonnulli scriptores tradiderunt, quum Tiro libertus Ciceronis ne verbum quidem de proditione Philologi scripserit. (2) Audio Cæsarem longo post tempore ad sobrinum quendam ingressum, eumque Ciceronis librum quendam in manibus habuisse, perterritumque veste eum involvisse, Cæsarem autem, quum id animadvertisset, librum arripuisse, ac stantem magnam ejus partem perlegisse, tum adolescenti reddidisse, atque ita fatum: Doctus hic vir fuit, fili, doctus et patriæ amans. (3) Sane ut primum debellavit Antonium, consul creatus collegam assumpsit Ciceronis filium, quibus consulibus et Antonii statuas senatus dejecit, et honores ei antea decretos rescidit, decrevitque ne quis unquam Antoniæ gentis Marci prænomen ferret. Ita fatum finem pœnarum, quas Antonius luit, in Ciceronis domum intulit.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΙ ΚΙΚΕΡΩΝΟΣ ΣΥΓΚΡΙΣΙΣ.

Ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται c
γνῶσιν, ταῦτ' ἐστίν. Ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄῤῥητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλόμενος ἐναργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικοὺς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς· Κικέρων δὲ καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον, οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς d
ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδείκνυσθαι βουλόμενος. (2) Ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις. Ὁ μὲν γὰρ Δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος οὐκ ἐλ-

COMPARATIO CICERONIS CUM DEMOSTHENE.

Retulimus quæcumque memoratu digna de Cicerone et Demosthene cognovimus. Omissa autem facundiæ eorum comparatione, id tamen videor non recte præteriturus fuisse, quod Demosthenes quicquid eruditionis et ingenio consecutus est et exercitatione, id omne ad dicendum contulit, et evidentia atque vi dicendi eos qui causas judiciales tractant et forensia certamina obeunt, magnificentia et fastu orationis eos qui demonstrativo causarum genere facundiam ostentant suam, accuratione et arte rhetores superavit. Cicero autem quum ad orationes magnam doctrinæ scientiæque varietatem contulisset, liberos tamen præterea multos de philosophia Academicorum more composuit, atque etiam in orationibus quas de controversiis judicialibus scripsit, haud obscure peritiam suam literarum doctrinamque ostentat. (2) Jam ex orationibus utriusque ingenium quale fuerit perspici potest. Demosthenis enim oratio absque

λυχνίων ὄζωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος· Κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες ἠφείδει τοῦ πρέποντος, ὥσπερ ἐν τῇ Κελίου συνηγορίᾳ, μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ e πολυτελείᾳ καὶ τρυφῇ ταῖς ἡδοναῖς χρώμενον· τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα ἐν ἡδονῇ τὸ εὐδαιμον τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων. Λέγεται δὲ, Κάτωνος Μουρήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωικὴν αἵρεσιν ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστὰς, ἡσυχῇ διαμειδιάσας ὁ Κάτων πρὸς τοὺς καθημένους εἰπεῖν· « Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον. » (3) Δοκεῖ δὲ καὶ f γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι καὶ φιλοσκώπτης, τό τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχε. Τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ καὶ τὸ πεφροντικὸς τοῦτο καὶ σύννουν οὐ ῥᾳδίως ἀπέλιπεν· ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτός φησιν, ἀπεκάλουν.

887 II. Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασι κατιδεῖν ἔστι a τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἁπτόμενον ἐγκωμίων, ὅτε τούτου δεήσαι πρὸς ἕτερόν τι μεῖζον, τἆλλα δ' εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν βοῶντος, ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην. Τελευτῶν δ' οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑφ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἰσοκράτει καὶ Ἀναξιμένει τοῖς σοφισταῖς διαμειρακιευόμενος, οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν b ἀξιῶν καὶ ὀρθοῦν,

Βριθὺν, ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις.

Ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾶν δ' ἀγεννὲς καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. Ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστατος ὁ Δημοσθένης, τὴν μὲν αὐτοῦ δύναμιν ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους, ὥσπερ εἰσὶ, τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡγούμενος.

III. Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι, Δημοσθένους μὲν Χάρητα καὶ Διοπείθην καὶ Λεωσθένην, Κικέ- c ρωνος δὲ Πομπήιον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν. (2) Ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχὴ πᾶν πάθος κινοῦσα καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, Δημοσθένει μὲν οὐχ ὑπῆρξεν οὐδ' ἔδωκε τοιαύτην

omni fuco et joco ad gravitatem seriam contracta, non lucernam, ut cavillabatur Pytheas, olebat, sed aquæ potum, curas et morum ejus amarorem, qui ferebatur, austeritatemque. Cicero facetiis ad scurrilitatem sæpenumero prolapsus, resque serias risu et joco utilitatis suæ causa in judiciis agitans, decorum negligebat, ut quum in Cœlii causa diceret : non absurdum esse, eum in tanta magnificentia hominum luxuque voluptatibus studere; insani enim esse, non uti iis quæ concessa sint, præsertim quum nobilissimi philosophi summum bonum in voluptate collocent. Ferunt etiam eum, quum consul accusatum a Catone Murenam defenderet, multis verbis Stoicam, a qua erat Cato, et eorum quæ vocant paradoxa exagitasse. Quam ob rem quum risus in corona obortus ad judices usque pervaderet, Catonem leniter subrisisse et assidentibus dixisse : Quam ridiculum habemus consulem! (3) Videtur omnino risu et facetiis natura delectatus Cicero, et vultus ejus adeo placidus atque subridens erat. Demosthenes autem austerus semper, cogitabundusque videbatur, unde factum ut ab inimicis, ut ipse refert, morosus difficilibusque præditus moribus diceretur.

II. Quin et ex scriptis utriusque hoc apparet, Demosthenem circumspecte et modeste ad se ipsum laudandum accessisse, quum ita res majoris utilitatis causa postularet, alioquin cautum fuisse et moderatum; in Ciceronis autem scriptis immodica illa sui ipsius prædicatio, notam ei inussit intemperantis arrogantiæ, qua ductus exclamavit,

Cedant arma togæ, concedat laurea linguæ.

atque ad extremum non jam facta modo sua et actiones, sed orationes etiam habitas a se aut scriptas prædicavit, quasi si cum Anaximene aut Isocrate sophistis certaret, non populum Romanum ducere se et erigere jactaret,

Marte prementem hostes et debellare peritum.

Equidem eum qui in republica potentia præstare velit, eam eloquentia sibi parare necesse est, contentum autem esse gloria facundiæ, eamque quasi sitire, non est ingenuum. Qua in re gravior est magnificentiorque Demosthenes, qui suam facundiam peritiam esse quandam multæ auditorum benevolentiæ indigentem professus, qui ejus causa superbirent, illiberales et sordidos, ut sunt, pronuntiabat.

III. In republica et concionibus par utriusque vis fuit, ita ut ii etiam, qui arma exercitusque sua in potestate habebant, eorum opem requirerent, ut Chares, Diopithes, Leosthenes Demosthenis, Ciceronis, Pompeius et Cæsar Octavianus, quod hic ipse in commentariis ad Mæcenatem et Agrippam testatur. (2) Id autem, quod maxime omnium mores hominis et ingenium declarat atque probat, nempe magistratus alicujus administratio et potestas, quæ omnes

διάπειραν ἑαυτοῦ μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, ὃς οὐδὲ τῆς ὑφ' αὑτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ ταμίας εἰς Σικελίαν d καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλεὶς, ἐν ᾧ καιρῷ, τῆς φιλοπλουτίας ἀκμαζούσης καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο, πολλὴν μὲν ἐπίδειξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. Ἐν αὐτῇ δὲ τῇ Ῥώμῃ, λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ δικτάτωρος ἐπὶ τοὺς περὶ Κατιλίναν, ἐμαρτύρησεν ἅμα τῷ Πλάτωνι μαντευομένῳ παῦλαν ἕξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης e χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης. (3) Χρηματίσασθαι τοίνυν ἀπὸ τῶν λόγων Δημοσθένης μὲν ἐπιψόγως λέγεται λογογραφῶν κρύφα τοῖς περὶ Φορμίωνα καὶ Ἀπολλόδωρον ἀντιδίκοις καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὀφλὼν δὲ τῶν Ἁρπαλείων. Εἰ δὲ ταῦτα τοὺς γράφοντας (οὐκ ὀλίγοι δ' εἰσὶν οὗτοι) ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας ἀντιβλέψαι Δημοσθένης οὐκ ἂν ἐτόλμησεν οὐδ' ἦν τοῦτο ἔργον ἀνθρώπου δανείζοντος ἐπὶ ναυτικοῖς, ἀμήχανον ἀντειπεῖν· περὶ δὲ Κικέρωνος, f ὅτι καὶ Σικελιωτῶν ἀγορανομοῦντι καὶ βασιλέως τοῦ Καππαδοκῶν ἀνθυπατεύοντι καὶ τῶν ἐν Ῥώμῃ φίλων, ὅτ' ἐξέπιπτε τῆς πόλεως, δωρουμένων πολλὰ καὶ δεομένων λαβεῖν ἀντέσχεν, εἴρηται.

IV. Καὶ μὴν ἥ γε φυγὴ τῷ μὲν αἰσχρὰ κλοπῆς ἁλόντι συνέπεσε, τῷ δὲ, κάλλιστον ἔργον, ἀνθρώπους ἀλιτηρίους ἐκκόψαντι τῆς πατρίδος. 888 a Διὸ τοῦ μὲν οὐδεὶς λόγος ἐκπίπτοντος, ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλαξε καὶ πένθος ἔσχε καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον ἢ Κικέρωνι κάθοδον ψηφίσασθαι. (2) Τὴν μέντοι φυγὴν ἀργῶς ὁ Κικέρων διήνεγκεν ἐν Μακεδονίᾳ καθήμενος, τῷ δὲ Δημοσθένει καὶ ἡ φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. Συναγωνιζόμενος γὰρ, ὥσπερ εἴρηται, τοῖς Ἕλλησι καὶ τοὺς Μακεδόνων πρέσβεις ἐξελαύνων ἐπήρχετο τὰς πόλεις πολὺ βελτίων Θεμιστοκλέους καὶ Ἀλκιβιάδου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης· καὶ μέντοι κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν αὐτὴν ταύτην πολιτείαν καὶ διετέλει πολεμῶν πρὸς Ἀντίπατρον καὶ Μακεδόνας. Κικέρωνα b δ' ὠνείδισεν ἐν τῇ βουλῇ Λαίλιος αἰτουμένου Καίσαρος ὑπατείαν μετιέναι παρὰ νόμον οὔπω γενειῶντος σιωπῇ καθήμενον. Ἔγραφε δὲ καὶ Βροῦτος ἐγκαλῶν ὡς μείζονα καὶ βαρυτέραν πεπαιδοτριβηκότι τυραννίδα τῆς ὑφ' αὑτοῦ καταλυθείσης.

V. Ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς τὸν μὲν οἰκτεῖραι τις ἄν, ἄνδρα πρεσβύτην δι' ἀγέννειαν ὑπ' οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ περιφεύγοντα τὸν θάνατον καὶ ἀποκρυπτόμενον τοὺς οὐ πολὺ πρὸ τῆς φύσεως ἥκοντας ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα· τοῦ δ', εἰ καὶ μικρὰ

animi affectus excitat omneque detegit vitium, Demostheni defuit, neque exhibuit de se specimen aliquod; nullum enim insignem magistratum gessit, ac ne eas quidem, quas adversus Philippum collegerat copias, duxit; Cicero autem quæstor in Siciliam, proconsul in Ciliciam et Cappadociam missus eo tempore, quo maxime avaritia vigebat, et magistratibus, qui in provincias mittebantur, ad rapinas (quod furari nimis sordidum putarent) conversis, non iniquus qui accipiebat videbatur, sed qui modice raperet, diligebatur: præclara contemptionis pecuniæ exhibuit documenta, benignitatemque et humanitatem demonstravit. Romæ autem verbo quidem consul, re ipsa dictator adversus Catilinariam factionem creatus, Platoni testimonium tulit, qui finem malorum in republica fore dixerat, quum divina quadam fortuna potentia magna et prudentia cum justitia in unum convenissent. (3) Quæstum orationibus suis fecisse Demosthenes fertur, ita ut reprehendi merito potuerit, qui occulte orationes Phormioni et Apollodoro adversariis scripserit, propter regias pecunias infamia aspersus sit et ob Harpaleas damnatus. Quæ si ficta ab iis qui hæc scripserint (sunt autem non pauci) largiamur, id quidem negari nullo modo potest, adversus munera regum per gratiam et honoris causa missa oculos attollere Demosthenem ausum non fuisse, neque præstari tale quidquam ab eo homine potuisse, qui re nautica fœneraretur; Ciceronem autem et ædilem a Siculis et proconsulem a rege Cappadociæ, et in exsilium proficiscentem ab amicis oblata dona, rogatum etiam ut acciperet, respuisse ostendimus.

IV. Exsilii vero calamitas turpis Demostheni accidit, damnato furti, Ciceroni vero propter pulcherrimum facinus, quod sceleratos homines ex republica excidisset. Itaque illius ejecti nulla ratio habita, ob hujus casum senatus vestem mutavit et luxit, neque statuere quicquam ulla de re, nisi decreto Ciceroni reditu, voluit. (2) Exsilium Cicero otiose pertulit in Macedonia desidens, Demosthenis exsilium magnam rerum ab eo gestarum partem complectitur. Nam, ut dictum est, Græcis auxilium ferens, et Macedonum legatos expellens, circum urbes proficiscebatur, eaque in re longe meliorem se quam Themistocles et Alcibiades pari temporum ratione civem gessit. Sane etiam post reditum rursus antiquam reipublicæ administrandæ rationem iniit, inque oppugnando Antipatro et Macedonibus perseveravit. Ciceronem in senatu reprehendit Lælius, quod tacitus assideret, Cæsare imberbi adhuc consulatum contra leges petente. Accusavit etiam missis litteris Brutus, quod ad majorem ea, quam ipse destruxisset, gravioremque puerum Cæsarem provexisset tyrannidem.

V. Denique mortem hujus miserari subeat alicui, quod homo senex a servis ob timiditatem hac illac circumferretur mortem subterfugiens, eosque latens, qui non multum ante constitutum a natura terminum ad vitam ei eripiendam venerant, deinde decollaretur: Demosthenes autem, etiamsi

πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις, ἀγαστὴ δ' ἡ χρῆσις· ὅτι, C τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν ἐκ τῶν ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο τῆς Ἀντιπάτρου καταγελάσας ὠμότητος.

nonnihil ad deprecandum animum inflexit, magnam tamen admirationem meretur, quod venenum præparatum penes se custodiit, magnam etiam usu ejus, quum deo tutum et sacrosanctum non præstante, veluti ad sanctiorem et potentiorem confugiens aram, armis et satellitibus regiis sese eripuit, Antipatri quasi subsannans crudelitatem.

ΔΗΜΗΤΡΙΟΣ.

Οἱ πρῶτοι τὰς τέχνας ἐοικέναι ταῖς αἰσθήσεσιν ὑπολαβόντες οὐχ ἥκιστά μοι δοκοῦσι τὴν περὶ τὰς κρίσεις αὐτῶν κατανοῆσαι δύναμιν, ᾗ τῶν ἐναντίων ὁμοίως ἑκατέρῳ γένει πεφύκαμεν ἀντιλαμβάνεσθαι. Τοῦτο γὰρ αὐταῖς κοινόν ἐστι· τῇ δὲ πρὸς τὰ τέλη τῶν κρινομένων ἀναφορᾷ διαλλάττουσιν. Ἡ μὲν γὰρ αἴσθησις οὐδέν c τι μᾶλλον ἐπὶ λευκῶν ἢ μελάνων διαγνώσει γέγονεν, οὐδὲ γλυκέων ἢ πικρῶν, οὐδὲ μαλακῶν καὶ εἰκόντων ἢ σκληρῶν καὶ ἀντιτύπων, ἀλλ' ἔργον αὐτῆς ἑκάστοις ἐντυγχάνουσαν ὑπὸ πάντων τε κινεῖσθαι καὶ κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν, ὡς πέπονθεν. Αἱ δὲ τέχναι μετὰ λόγου συνεστῶσαι πρὸς αἵρεσιν καὶ λῆψιν οἰκείου τινὸς, φυγὴν δὲ καὶ διάκρουσιν ἀλλοτρίου, τὰ μὲν ἀφ' αὐτῶν καὶ προηγουμένως, τὰ δὲ ὑπὲρ τοῦ φυλάξασθαι κατὰ συμβεβηκὸς ἐπιθεωροῦσι· καὶ γὰρ ἰατρικῇ τὸ νοσερὸν καὶ ἁρμονικῇ τὸ ἐκμελὲς, f ὅπως ἔχει, σκοπεῖν συμβέβηκε πρὸς τὴν τῶν ἐναντίων ἀπεργασίαν, αἵ τε πασῶν τελειόταται τεχνῶν, σωφροσύνη καὶ δικαιοσύνη καὶ φρόνησις, οὐ καλῶν μόνον 889 καὶ δικαίων καὶ ὠφελίμων, ἀλλὰ καὶ βλαβερῶν καὶ αἰ- a σχρῶν καὶ ἀδίκων κρίσεις οὖσαι, τὴν ἀπειρίᾳ τῶν κακῶν καλλωπιζομένην ἀκακίαν οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτηρίαν ἡγοῦνται καὶ ἄγνοιαν ὧν μάλιστα γινώσκειν προσήκει τοὺς ὀρθῶς βιωσομένους. (2) Οἱ μὲν οὖν παλαιοὶ Σπαρτιᾶται τοὺς Εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον εἰσῆγον εἰς τὰ συμπόσια τοῖς νέοις οἷόν ἐστι τὸ μεθύειν ἐπιδεικνύντες· ἡμεῖς δὲ τὴν μὲν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν οὐ πάνυ φιλάνθρωπον οὐδὲ πολιτικὴν ἡγούμεθα, τῶν δὲ κεχρημένων ἀσκεπτότερον αὐτοῖς καὶ γεγονότων ἐν ἐξουσίαις καὶ πράγμασι μεγάλοις ἐπιφανῶν εἰς κακίαν οὐ χεῖρον ἴσως b ἐστὶ συζυγίαν μίαν ἢ δύο παρεμβαλεῖν εἰς τὰ παραδείγματα τῶν βίων, οὐκ ἐφ' ἡδονῇ, μὰ Δία, καὶ διαγωγῇ τῶν ἐντυγχανόντων ποικίλλοντας τὴν γραφὴν, ἀλλ' ὥσπερ Ἰσμηνίας ὁ Θηβαῖος ἐπιδεικνύμενος τοῖς μαθηταῖς καὶ τοὺς εὖ καὶ τοὺς κακῶς αὐλοῦντας εἰώθει λέγειν « Οὕτως αὐλεῖν δεῖ » καὶ πάλιν « Οὕτως αὐλεῖν οὐ δεῖ, » ὁ δ' Ἀντιγενίδας καὶ ἥδιον ᾤετο τῶν ἀγαθῶν ἀκροᾶσθαι τοὺς νέους αὐλητῶν, ἐάν τινα καὶ τῶν φαύλων πεῖραν λαμβάνωσιν, οὕτω μοι δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μηδὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως c ἔχοιμεν. (3) Περιέξει δὴ τοῦτο τὸ βιβλίον τὸν Δημητρίου τοῦ Πολιορκητοῦ βίον καὶ Ἀντωνίου τοῦ αὐτοκράτορος, ἀνδρῶν μάλιστα δὴ τῷ Πλάτωνι μαρτυρησάντων, ὅτι καὶ κακίας μεγάλας, ὥσπερ ἀρετὰς, αἱ μεγάλαι φύσεις ἐκφέρουσι. Γενόμενοι δ' ὁμοίως ἐρωτικοὶ, ποτικοὶ, στρατιωτικοὶ, μεγαλόδωροι, πολυτελεῖς, ὑβρισταὶ καὶ τὰς κατὰ τύχην ὁμοιότητας ἀκολούθους ἔσχον. Οὐ γὰρ μόνον ἐν τῷ λοιπῷ βίῳ μεγάλα μὲν κατορθοῦν-

DEMETRIUS.

Qui primum artes sensuum similes esse censuerunt, ad utrorumque in judicando vim præcipue mihi videntur respexisse, qua consuevimus pariter in utroque genere apprehendere contraria. Id quidem sensibus cum artibus commune est; in eorum autem quæ discernuntur accommodatione ad finem inter se differunt. Sensus enim quum in percipiendo alba ac nigra, dulcia atque amara, mollia et cedentia et dura et renitentia æque occupetur, agit id maxime, ut, utrisque dum se applicat, omnibus moveatur et commotus referat ea ita ut percepta sunt ad judicium. At vero artes cum ratione ad delectum et eorum, quæ ipsis conveniant, apprehensionem rejectionemque alienorum accedentes, consulto ea quæ ipsis commoda et utilia sunt, obiter autem et ut cognita vitare possent, contraria contemplantur. Accidit enim medicinæ, ut morbi; musicæ, ut dissonantiæ naturam consideret, nimirum ut diversa horum rectius possint efficere. Et quidem omnium artium perfectissima, temperantia, justitia et prudentia, non honesta modo, justa et utilia, sed et turpia, injusta atque noxia dijudicantes, eam vitiorum vacuitatem, quæ imperitia malarum rerum se venditat, minime laudant, quin imo fatuitatem et ignorationem nominant eorum, quæ recte victuris cognitu sint apprime necessaria. (2) Prisci sane Spartam in solemnibus servos suos multum meri bibere coactos in convivia introduxerunt, ut junioribus ostenderent quid rei esset ebrietas; nos autem, tametsi eam correctionem hominum, quæ aliorum vitiis commemorandis fit, non admodum humanam atque civilem judicamus, nihilominus haud male nos facturos putamus, si unum atque alterum par eorum, qui summa potentia amplissimisque rebus impudentius usi, illustria vitiorum documenta præbuissent, in hæc vitarum exempla insereremus, non mehercule eo, ut varietate operis lectorem oblectemus, sed quod ita demum attentiores præstantium exemplorum spectatores imitatoresque futuros existimamus, si ne mala quidem atque vituperata incognita habeant, quo modo Ismenias Thebanus discipulis suis et bene et male canentes tibia ostendens dicere solebat : Ita canendum est, Ita non canendum est; et Antigenidas eo suavius audituros bonum tibicinem adolescentes existimabat, si malum quoque experti fuissent. (3) Itaque hic liber Demetrii Poliorcetæ et Antonii imperatoris vitam complectetur, qui Platoni a magnis ingeniis ut magnas virtutes, ita vitia etiam magna proficisci dicenti præclarum ferunt testimonium. Nam quemadmodum uterque perinde amator, ebriosus, bellicosus, in donando nimius, luxuriosus, libidinosus fuit, ita fortuna quoque consequenter simili usi sunt. Non enim solum per totam reliquam vitam magnas res prospere confecerunt,

τες, μεγάλα δὲ σφαλλόμενοι, πλείστων δὲ ἐπικρατοῦντες, πλεῖστα δὲ ἀποβάλλοντες, ἀπροσδοκήτως δὲ πταίοντες, ἀνελπίστως δὲ πάλιν ἀναφέροντες διετέλεσαν, ἀλλὰ καὶ κατέστρεψαν, ὁ μὲν ἁλοὺς ὑπὸ τῶν πολεμίων, ὁ δὲ ἐγ- d γιστα τοῦ παθεῖν τοῦτο γενόμενος.

II. Ἀντιγόνῳ τοίνυν δυοῖν υἱῶν ἐκ Στρατονίκης τῆς Κοῤῥάγου γενομένων τὸν μὲν ἐπὶ τἀδελφῷ Δημήτριον, τὸν δ' ἐπὶ τῷ πατρὶ Φίλιππον ὠνόμασεν. Οὗτός ἐστιν ὁ τῶν πλείστων λόγος. Ἔνιοι δὲ τὸν Δημήτριον οὐχ υἱὸν, ἀλλ' ἀδελφιδοῦν γενέσθαι τοῦ Ἀντιγόνου λέγουσιν· ἐπὶ νηπίῳ γὰρ αὐτῷ παντάπασι τοῦ πατρὸς τελευτήσαντος, εἶτα τῆς μητρὸς εὐθὺς τῷ Ἀντιγόνῳ γαμηθείσης, υἱὸν ἐκείνου νομισθῆναι. Τὸν μὲν οὖν Φίλιππον οὐ πολλοῖς ἔτεσι τοῦ Δημητρίου νεώτερον ὄντα συνέβη τελευτῆσαι. (2) Δημήτριος δὲ μεγέθει μὲν ἦν τοῦ πατρὸς e ἐλάττων, καίπερ ὢν μέγας, ἰδέᾳ δὲ καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηθένα τῆς ὁμοιότητος ἐφικέσθαι. Τὸ γὰρ αὐτὸ χάριν καὶ βάρος καὶ φόβον καὶ ὥραν εἶχε καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ δυσμίμητος ἡρωική τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. Οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν. Ἥδιστος γὰρ ὢν συγγενέσθαι σχολάζων τε περὶ πότους καὶ τρυφὰς καὶ διαίτας ἁβροβιώτατος βασιλέων, ἐνεργότατον αὖ πάλιν καὶ σφοδρότατον τὸ περὶ τὰς πράξεις ἐνδελεχὲς εἶχε καὶ δραστήριον· ᾗ καὶ μά- f λιστα τῶν θεῶν ἐζήλου τὸν Διόνυσον, ὡς πολέμῳ τε χρῆσθαι δεινότατον εἰρήνην τε αὖθις ἐκ πολέμων τρέψαι πρὸς εὐφροσύνην καὶ χάριν ἐμμελέστατον.

III. Ἦν μὲν οὖν καὶ φιλοπάτωρ διαφερόντως. Τῇ
890 δὲ περὶ τὴν μητέρα σπουδῇ καὶ τὸν πατέρα τιμῶν ἐφαί- a νετο δι' εὔνοιαν ἀληθινὴν μᾶλλον ἢ θεραπείαν τῆς δυνάμεως. Καί ποτε πρεσβείᾳ τινὶ τοῦ Ἀντιγόνου σχολάζοντος, ἀπὸ θήρας ὁ Δημήτριος ἐπέστη· καὶ προσελθὼν τῷ πατρὶ καὶ φιλήσας, ὥσπερ εἶχε τὰς βολίδας, ἐκάθισε παρ' αὐτόν. Ὁ δὲ Ἀντίγονος ἀπιόντας ἤδη τοὺς πρέσβεις ἔχοντας τὰς ἀποκρίσεις μεγάλῃ φωνῇ προσαγορεύσας, « Καὶ τοῦτο, εἶπεν, ὦ ἄνδρες, ἀπαγγέλλετε περὶ ἡμῶν, ὅτι πρὸς ἀλλήλους οὕτως ἔχομεν, » ὡς ἰσχύν τινα πραγμάτων βασιλικῶν καὶ δυνάμεως ἐπίδειξιν οὖσαν τὴν πρὸς υἱὸν ὁμόνοιαν καὶ πίστιν. (2) Οὕτως ἄρα πάντῃ δυσκοινώνητον ἡ ἀρχὴ καὶ μεστὸν ἀπιστίας καὶ δυσνοίας, ὥστε ἀγάλλεσθαι τὸν μέγιστον τῶν Ἀλεξάν- b δρου διαδόχων καὶ πρεσβύτατον, ὅτι μὴ φοβεῖται τὸν υἱὸν, ἀλλὰ προσίεται τὴν λόγχην ἔχοντα τοῦ σώματος πλησίον. Οὐ μὴν ἀλλὰ καὶ μόνος, ὡς εἰπεῖν, ὁ οἶκος οὗτος ἐπὶ πλείστας διαδοχὰς τῶν τοιούτων κακῶν ἐκαθάρευσε, μᾶλλον δὲ εἷς μόνος τῶν ἀπ' Ἀντιγόνου Φίλιππος ἀνεῖλεν υἱόν. Αἱ δὲ ἄλλαι σχεδὸν ἅπασαι διαδοχαὶ πολλῶν μὲν ἔχουσι παίδων, πολλῶν δὲ μητέρων φόνους καὶ γυναικῶν· τὸ μὲν γὰρ ἀδελφοὺς ἀναιρεῖν, ὥσπερ οἱ γεωμέτραι τὰ αἰτήματα λαμβάνουσιν, οὕτω συνεχωρεῖτο κοινόν τι νομιζόμενον αἴτημα καὶ βασιλικὸν c ὑπὲρ ἀσφαλείας.

magnis exciderunt, plurimis potiti, plurima amiserunt, improviso rebus fractis, præter omnium spem rursum emerserunt, sed et mortui sunt simili fere modo, alter ab hostibus captus, alter proxime eandem fortunam constitutus.

II. Antigono ex Stratonica Corragi filia duo fuerunt filii, quorum alterum a fratre Demetrium, alterum a patre Philippum nominavit. Ita enim plerique sentiunt. Quidam non Antigoni, sed fratris ipsius filium Demetrium fuisse tradunt, cujus pater quum ipso adhuc infante decessisset, mater autem statim Antigono nupsisset, factum ut hujus filius crederetur. Philippus paucis annis Demetrio minor, mature obiit. (2) Demetrius statura patre fuit inferior, tametsi magnus, figura autem et pulchritudine faciei ita insigni et eximia, ut ea fingendo pingendove assequi nemo potuerit. Nam una cum venustate et elegantia, gravitas terrorque in vultu inerat, et heroica quædam ac regia majestas juvenili alacritati admixta. Sic ingenium quoque erat et ad perterrendos homines, et ad conciliandam sibi eorum gratiam aptum. Nam ut suavissimum se familiaribus præbebat, atque inter pocula, in deliciis victusque ratione omnium regum mollissimum, ita in rebus gerendis strenuissima utebatur assiduitate. Quo maxime imitatus est de diis Liberum patrem, qui et bello acerrimus esset, et confecto bello pacis ad jucunditatem et delicias accommodandæ scientissimus.

III. Mirifico patrem suum amore prosequebatur; sed propter observantiam, qua matrem suam colebat, videbatur magis ex animo quam potentiæ demerendæ causa patri etiam studere. Quum aliquando legatis audiendis vacaret Antigonus, Demetrius a venatione supervenit, utque jacula manu tenebat, ad patrem adiit, eumque osculatus juxta consedit. Tum Antigonus accepto responso jam discedentibus legatis alta voce, Hoc quoque, inquit, de nobis renuntiate, ita nos invicem affectos esse nimirum; ostendens concordiam cum filio fidelem robur esse regni et potentiæ documentum. (2) Adeo impatiens consortis est imperium, infidelitatisque et malevolentiæ plenum, ut gloriaretur potentia et ætate maximus successorum Alexandri, quod non metueret sibi a filio, sed eum ad se cum hasta venientem admitteret. Et sane sola, prope dixerim, hæc familia per plurimas successiones ab hujusmodi malis pura fuit, solusque ex omni Antigoni posteritate Philippus filium suum necavit. Reliquæ Alexandri successorum familiæ fere omnes multis liberorum, matrum uxorumque cædibus sunt contaminatæ; nam qualia apud geometras sunt postulata, tale postulatum regibus commune est et quasi concessum fratres securitatis causa necare.

IV. Τοῦ μέντοι καὶ φιλάνθρωπον φύσει καὶ φιλεταῖρον γεγονέναι τὸν Δημήτριον ἐν ἀρχῇ παράδειγμα τοιοῦτόν ἐστιν εἰπεῖν. Μιθριδάτης ὁ Ἀριοβαρζάνου παῖς ἑταῖρος ἦν αὐτοῦ καθ' ἡλικίαν καὶ συνήθης, ἐθεράπευε δὲ Ἀντίγονον οὔτε ὢν οὔτε δοκῶν πονηρός· ἐκ δὲ ἐνυπνίου τινὸς ὑποψίαν Ἀντιγόνῳ παρέσχεν. Ἐδόκει γὰρ μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ Ἀντίγονος ψήγματι χρυσίου κατασπείρειν· ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι θέρος χρυσοῦν, ὀλίγῳ δ' ὕστερον ἐπανελθὼν οὐδὲν ἰδεῖν, ἀλλ' ἢ τετμημένην καλάμην. Λυπούμενος δὲ καὶ περιπαθῶν ἀκοῦσαί τινων λεγόντων, ὡς ἄρα Μιθριδάτης d εἰς Πόντον Εὔξεινον οἴχεται τὸ χρυσοῦν θέρος ἐξαμησάμενος. Ἐκ τούτου ταραχθεὶς καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρωπον ἐκποδὼν ποιεῖσθαι καὶ διαφθείρειν ἔγνωκεν. (2) Ἀκούσας δὲ ὁ Δημήτριος ἠχθέσθη σφόδρα καὶ τοῦ νεανίσκου, καθάπερ εἰώθει, γενομένου παρ' αὐτῷ καὶ συνόντος ἐπὶ σχολῆς, φθέγξασθαι μὲν οὐκ ἐτόλμησεν οὐδὲ τῇ φωνῇ κατειπεῖν διὰ τὸν ὅρκον, ὑπαγαγὼν δὲ κατὰ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεισαν μόνοι καθ' αὑτούς, τῷ στύρακι τῆς λόγχης κατέγραφεν εἰς τὴν γῆν ὁρῶντος αὐτοῦ « Φεῦγε, Μιθριδάτα. » Συνεὶς δὲ ἐκεῖνος ἀπέδρα νυκτὸς εἰς Καππαδοκίαν. Καὶ e ταχὺ τὴν Ἀντιγόνῳ γενομένην ὄψιν ὑπὲρ αὐτοῦ συνετέλει τὸ χρεών. Πολλῆς γὰρ καὶ ἀγαθῆς ἐκράτησε χώρας καὶ τὸ τῶν Ποντικῶν βασιλέων γένος ὀγδόῃ που διαδοχῇ παυσάμενον ὑπὸ Ῥωμαίων ἐκεῖνος παρέσχε. Ταῦτα μὲν οὖν εὐφυΐας δείγματα τοῦ Δημητρίου πρὸς ἐπιείκειαν καὶ δικαιοσύνην.

V. Ἐπεὶ δὲ ὥσπερ ἐν τοῖς Ἐμπεδοκλέους στοιχείοις διὰ τὸ νεῖκος καὶ τὴν φιλίαν ἔνεστι διαφορὰ πρὸς ἄλληλα καὶ πόλεμος, μᾶλλον δὲ τοῖς ἀλλήλων ἁπτομένοις καὶ πελάζουσιν, οὕτω τὸν πᾶσι τοῖς Ἀλεξάνδρου διαδόχοις πρὸς ἀλλήλους ὄντα συνεχῆ πόλεμον αἱ τῶν πραγμάτων f καὶ τῶν τόπων συνάφειαι πρὸς ἐνίους ἐποίουν ἐπιφανέστερον καὶ μᾶλλον ἐξέκαον, ὥσπερ Ἀντιγόνῳ τότε πρὸς Πτολεμαῖον, αὐτὸς μὲν Ἀντίγονος ἐν Φρυγίᾳ διέτριβε, Πτολεμαῖον δ' ἀκούσας ἐκ Κύπρου διαβάντα πορθεῖν
891 Συρίαν καὶ τὰς πόλεις ἀπάγειν καὶ βιάζεσθαι, κατέπεμψε a τὸν υἱὸν Δημήτριον, δύο καὶ εἴκοσιν ἐτῶν ὄντα καὶ στρατείας τότε πρῶτον αὐτοτελῶς ἐπὶ πράγμασι μεγάλοις ἁπτόμενον. (2) Οἷα δὲ νέος καὶ ἄπειρος ἀνδρὶ συμπεσὼν ἐκ τῆς Ἀλεξάνδρου παλαίστρας ἠθληκότι πολλοὺς καὶ μεγάλους καθ' αὑτὸν ἀγῶνας, ἐσφάλη περὶ πόλιν Γάζαν ἡττηθείς, ὀκτακισχιλίων ἁλόντων καὶ πεντακισχιλίων ἀποθανόντων. Ἀπέβαλε δὲ καὶ σκηνὴν καὶ χρήματα καὶ ὅλως σύμπασαν τὴν περὶ τὸ σῶμα θεραπείαν. Ἀλλὰ ταῦτα μὲν αὐτῷ Πτολεμαῖος ἀπέπεμψε μετὰ τῶν φίλων εὐγνώμονα καὶ φιλάνθρωπον ἀνειπὼν λόγον, ὡς οὐ περὶ πάντων ἅμα, περὶ δόξης δὲ καὶ ἀρχῆς πολεμητέον ἐστὶν αὐτοῖς. (3) Δημήτριος b δὲ δεξάμενος ηὔξατο τοῖς θεοῖς μὴ πολὺν χρόνον ὀφειλέτην γενέσθαι Πτολεμαίῳ χάριτος, ἀλλὰ ταχέως ἀμείψασθαι διὰ τῶν ὁμοίων. Καὶ πάθος οὐ μειρακίου πα-

IV. Humanum fuisse initio Demetrium, et amicorum studiosum, hoc exemplo intelligi potest. Mithridates Ariobarzanis filius propter ætatem socius atque æqualis erat, et observabat Antigonum, homo neque re neque aliorum opinione malus. De eo sinistra suspicio incidit Antigono propter insomnium. Nam secundum quietem visus erat sibi spatiosum campum auri ramentis conserere, inde auream primum succrescere segetem, paullo post se quum revertisset eo nihil præter stipulas offendere, et quum gravissime doleret, quorumdam vocem audire, qui Mithridatem aurea demessa segete in Pontum Euxinum abiisse diceret. Perturbatus id visum filio ad silentii prius juramentum adacto aperit, idque etiam, se statuisse quoquo modo Mithridatem interficere. (2) Graviter doluit hac re cognita Demetrius, quumque adolescens ille pro more suo otiosus ad ipsum accessisset, ob juramenti religionem verbis eum monere non ausus, sensim ab amicis eum abduxit, quumque soli essent, in terram inversa hasta cernente eo scripsit: Fuge, Mithridates; isque re intellecta, noctu in Cappadociam aufugit. Insomnium autem Antigoni mox fatum comprobavit. Amplam enim et bonam regionem occupavit Mithridates, regnique Pontici, quod in octavo circiter rege Romani everterunt, auctor fuit Hæc ingenii in Demetrio humani et justi sunt indicia.

V. Enimvero propter contentionem et amicitiam, veluti in elementis Empedoclis, dissidia inter homines et bella exsistunt, vicinos præsertim et conterminos, quomodo etiam bellum quod omnibus inter se Alexandri successoribus fuit continens, rerum et locorum contiguitas inter quosdam illud illustrius fecit magisque inflammavit; id quod tum Antigono et Ptolemæo usu venit. Agebat in Phrygia Antigonus, et Ptolemæum audiens ex Cypro transmittere Syriamque vastare, ac vi urbes occupare, Demetrium filium annos natum viginti duo ac tum primum cum plena potestate magnis rebus præfectum cum exercitu contra eum misit. (2) Sed juvenis imperitus cum eo viro congressus, qui in Alexandri palæstra exercitatus multa ac magna suo ductu certamina obierat, apud Gazam urbem victus est, cæsis de ejus exercitu quinque hominum et captis octo millibus; amisit etiam tentorium et pecunias et omnia quæ ad cultum corporis pertinent. Verum hæc ei cum amicis remisit Ptolemæus, prudenter et humaniter addens: non de omnibus simul rebus, sed de gloria et imperio sibi adversus eum certamen esse. (3) His Demetrius receptis comprecatus est deos, ut ne diu se Ptolemæo hoc beneficium debere paterentur, sed occasionem ejus simili modo persolvendi quamprimum darent. Neque vero ita, ut juvenem initio rerum gerendarum subversum par

θῶν ἐν ἀρχῇ πράξεων ἀνατραπέντος, ἀλλ' ἐμβριθοῦς στρατηγοῦ κεχρημένου πραγμάτων μεταβολαῖς, ἀνδρῶν τε συλλογῆς καὶ κατασκευῆς ὅπλων ἐπεμελεῖτο καὶ τὰς πόλεις διὰ χειρὸς εἶχε καὶ τοὺς ἀθροιζομένους ἐγύμναζεν.

VI. Ἀντίγονος δὲ τὴν μάχην πυθόμενος Πτολεμαῖον μὲν ἀγενείους νενικηκότα ἔφη νῦν αὖθις διαγωνιεῖσθαι πρὸς ἄνδρας, τοῦ δὲ υἱοῦ τὸ φρόνημα καθελεῖν καὶ κολοῦσαι μὴ βουλόμενος οὐκ ἐνέστη πάλιν αἰτουμένῳ μάχεσθαι c καθ' αὑτὸν, ἀλλ' ἀφῆκε. (2) Καὶ μετ' οὐ πολὺν χρόνον ἀφῖκτο Κίλλης, Πτολεμαίου στρατηγὸς, μετὰ λαμπρᾶς δυνάμεως, ὡς ἐξελάσων Συρίας Δημήτριον ἁπάσης τῷ προηττῆσθαι καταφρονούμενον. Ὁ δ' ἐξαίφνης ἐπιπεσὼν οὐ προαισθομένῳ καὶ φοβήσας ἔλαβεν αὐτῷ στρατηγῷ τὸ στρατόπεδον· καὶ στρατιώτας μὲν ἑπτακισχιλίους ζῶντας εἷλε, χρημάτων δὲ παμπόλλων ἐκυρίευσεν. (3) Ἔχαιρε δὲ νικήσας οὐχ οἷς ἕξειν, ἀλλ' οἷς ἀποδώσειν ἔμελλε, καὶ τῆς νίκης οὐ τὸν πλοῦτον οὕτως οὐδὲ τὴν δόξαν, ὡς τὴν διάλυσιν τοῦ φιλανθρωπεύματος d ἐκείνου καὶ τὴν χάριν ἠγάπησεν. Οὐ μὴν αὐτογνωμόνως ταῦτ' ἔπραξεν, ἀλλ' ἔγραψε τῷ πατρί. Δόντος δ' ἐκείνου καὶ κελεύσαντος ὃν βούλεται πᾶσι χρήσασθαι τρόπον, αὐτόν τε τὸν Κίλλην καὶ τοὺς φίλους αὐτῷ δωρησάμενος ἀφθόνως ἀπέπεμψε. Τοῦτο τὸ πάθος Συρίας ἐξήλασε Πτολεμαῖον, Ἀντίγονον δὲ κατήγαγεν ἐκ Κελαινῶν χαίροντα τῇ νίκῃ καὶ ποθοῦντα θεάσασθαι τὸν υἱόν.

VII. Ἐκ τούτου δὲ τῶν Ἀράβων τοὺς καλουμένους Ναβαταίους ὑπαγαγέσθαι πεμφθεὶς ὁ Δημήτριος ἐκινδύνευσε μὲν εἰς τόπους ἀνύδρους ἐμπεσὼν, τῷ δὲ μὴ διαταραχθῆναι μηδ' ἐκπλαγῆναι καταπληξάμενος τοὺς βαρβάρους λείαν τε λαβὼν πολλὴν καὶ καμήλους ἑπτακοσίας e παρ' αὐτῶν ἀνεχώρησεν. (2) Ἐπεὶ δὲ Σέλευκος ἐκπεσὼν μὲν ὑπὸ Ἀντιγόνου τῆς Βαβυλωνίας πρότερον, ὕστερον δὲ ἀναλαβὼν τὴν ἀρχὴν δι' αὑτοῦ καὶ κρατῶν ἀνέβη μετὰ δυνάμεως τὰ συνοροῦντα τοῖς Ἰνδοῖς ἔθνη καὶ τὰς περὶ τὸν Καύκασον ἐπαρχίας προσαξόμενος, ἐλπίζων Δημήτριος ἔρημον εὑρήσειν τὴν Μεσοποταμίαν καὶ περάσας ἄφνω τὸν Εὐφράτην εἰς τὴν Βαβυλωνίαν παρεισπεσὼν ἔφθη, καὶ τῆς ἑτέρας ἄκρας (δύο γὰρ ἦσαν) ἐκκρούσας τὴν τοῦ Σελεύκου φρουρὰν καὶ κρατήσας ἰδίους ἐγκατέστησεν ἑπτακισχιλίους ἄνδρας. Ἐκ δὲ τῆς f χώρας ὅσα φέρειν ἢ ἄγειν ἠδύναντο τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ λαμβάνειν κελεύσας ἐπανῆλθεν ἐπὶ θάλασσαν, βεβαιοτέραν Σελεύκῳ τὴν ἀρχὴν ἀπολιπών· ἐξίστασθαι γὰρ ἐδόκει τῷ κακοῦν ὡς μηκέτι προσήκουσαν αὐτοῖς. Πτολεμαίου μέντοι πολιορκοῦντος Ἁλικαρνασσὸν ὀξέως βοηθήσας ἐξήρπασε τὴν πόλιν.

VIII. Ἐνδόξου δὲ τῆς φιλοτιμίας ταύτης γενομένης,
892 ὁρμὴ παρέστη θαυμάσιος αὐτοῖς ἐλευθεροῦν τὴν Ἑλ- a
λάδα πᾶσαν ὑπὸ Κασάνδρου καὶ Πτολεμαίου καταδεδουλωμένην. Τούτου πόλεμον οὐδεὶς ἐπολέμησε τῶν βασιλέων κάλλιω καὶ δικαιότερον· ἃς γὰρ ἅμα τοὺς βαρβάρους ταπεινοῦντες εὐπορίας συνήγαγον, εἰς τοὺς Ἕλληνας ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἀνήλισκον. (2) Ὡς

fuit, cladem eam tulit, sed ut gravis imperator qui vices rerum expertus esset, conscribendo exercitui, armis parandis, urbibus in fide retinendis, collectis militibus exercendis curam impendit.

VI. Antigonus autem audita suorum clade Ptolemæo, qui nunc impubes vicisset, mox cum viris decertandum fore dixit, tamen ne filii spiritus exstingueret aut reprimeret, iterum sibi potestatem pugnæ conserendæ dari cupientem non prohibuit, sed remisit (2) Paullo post Cilles Ptolemæi legatus venit magnis cum copiis, ut Demetrium ob amissam prius victoriam spretum Syria penitus expelleret. Hunc subito adortus necopinantem Demetrius ita perterruit, ut castra simul ducemque, et septem millia militum in suam potestatem vivos redegerit cum ingenti præda. (3) Neque tam iis quæ adeptus erat, quam quæ redditurus, gaudebat, neque tam partas victoria divitias et gloriam amplexus est, quam occasionem compensati beneficii redditæque gratiæ. Non suo tamen arbitrio egit, sed ad patrem ea de re scripsit. Qui quum annuisset et ipsius judicio omnia permisisset, et ipsum Cillam amicosque ejus liberaliter donatos dimisit. Hic casus Syria ejecit Ptolemæum, Antigonum autem a Celænis reduxit, gaudentem victoria et filii conspectum desiderantem.

VII. Secundum hæc missus ad Arabes Nabatæos subigendos Demetrius haud citra discrimen in loca aquis carentia incidit, audacia tamen sua et confidentia barbaros perterrefecit, magnamque inde prædam et camelos septingentos abduxit. (2) Quum vero Seleucus recuperato regno et sub potestate sua retento (etenim ante ab Antigono fuerat Babylonia exturbatus) cum copiis ad subjugandas Indiæ finitimas et circa Caucasum sitas provincias ivisset, Demetrius vacuam se inventurum Mesopotamiam sperans, subito transmisso Euphrate in Babyloniam irruit, alteraque arcium (duæ enim sunt) præsidium Seleuci depulit, ac septem virorum millia de suis imposuit, militibusque permisso ut quantam possent ex agris prædam agerent, ad mare revertit. Quo quidem facto confirmavit Seleuco regnum, quod tanquam alienum infestans videbatur ipsi concedere. Ptolemæo Halicarnassum oppugnante, celeriter opem urbi ferens obsidionem discussit.

VIII. Nobilis quidem hic conatus fuit. Mirificus deinde ardor iis incessit universam Græciam liberandi, a Casandro et Ptolemæo servitute oppressam. Nemo regum eo bello pulchrius aliud aut justius gessit; quas enim opes quondam una paraverant oppressis barbaris, eas gloriæ atque honoris causa in Græciam impenderunt. (2) Ut primum navigandum esse

δὲ πρῶτον ἐδόκει πλεῖν ἐπὶ τὰς Ἀθήνας, τῶν φίλων εἰπόντος τινὸς πρὸς τὸν Ἀντίγονον, ὅτι δεῖ ταύτην τὴν πόλιν, ἂν ἕλωσι, κατέχειν δι' αὑτῶν, ἐπιβάθραν τῆς Ἑλλάδος οὖσαν, οὐ προσέσχεν ὁ Ἀντίγονος, ἀλλ' ἐπιβάθραν μὲν ἔφη καλὴν καὶ ἀσάλευτον εἶναι τὴν εὔνοιαν, τὰς δὲ Ἀθήνας, ὥσπερ σκοπὸν τῆς οἰκουμένης, ταχὺ τῇ δόξῃ διαπυρσεύσειν εἰς ἅπαντας ἀνθρώπους τὰς πράξεις. b (3) Ἔπλει δὲ Δημήτριος ἔχων ἀργυρίου πεντακισχίλια τάλαντα καὶ στόλον νεῶν πεντήκοντα καὶ διακοσίων ἐπὶ τὰς Ἀθήνας, τὸ μὲν ἄστυ Δημητρίου τοῦ Φαληρέως Κασάνδρῳ διοικοῦντος, ἐν δὲ τῇ Μουνυχίᾳ φρουρᾶς καθεστώσης. Εὐτυχίᾳ δὲ ἅμα καὶ προνοίᾳ χρησάμενος ἐπεφαίνετο τῷ Πειραιεῖ πέμπτῃ φθίνοντος Θαργηλιῶνος, προαισθομένου μὲν οὐδενός· ἐπεὶ δὲ ὤφθη πλησίον ὁ στόλος, ἁπάντων ὡς Πτολεμαϊκὰς τὰς ναῦς ὑποδέχεσθαι παρασκευαζομένων, ὀψὲ συμφρονήσαντες ἐβοήθουν οἱ στρατηγοὶ καὶ θόρυβος ἦν, οἷον εἰκὸς ἐν ἀπροσδοκήτῳ c πολεμίους ἀποβαίνοντας ἀναγκαζομένων ἀμύνεσθαι. (4) Τοῖς γὰρ στόμασι τῶν λιμένων ἀκλείστοις ἐπιτυχὼν ὁ Δημήτριος καὶ διεξελάσας ἐντὸς ἦν ἤδη καταφανὴς πᾶσι καὶ διεσήμηνεν ἀπὸ τῆς νεὼς αἴτησιν ἡσυχίας καὶ σιωπῆς. Γενομένου δὲ τούτου, κήρυκα παραστησάμενος ἀνεῖπεν ὅτι πέμψειεν αὐτὸν ὁ πατὴρ ἀγαθῇ τύχῃ Ἀθηναίους ἐλευθερώσοντα καὶ τὴν φρουρὰν ἐκβαλοῦντα καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πάτριον ἀποδώσοντα πολιτείαν.

IX. Ἀναρρηθέντων δὲ τούτων, οἱ μὲν πολλοὶ παραχρῆμα τὰς ἀσπίδας θέμενοι πρὸ τῶν ποδῶν ἀνεκρότησαν d καὶ βοῶντες ἐκέλευον ἀποβαίνειν τὸν Δημήτριον εὐεργέτην καὶ σωτῆρα προσαγορεύοντες, οἱ δὲ περὶ τὸν Φαληρέα πάντως μὲν ᾤοντο δεῖν δέχεσθαι τὸν κρατοῦντα, κἂν μηδὲν ὧν ἐπαγγέλλεται μέλλῃ βεβαιοῦν· ὅμως δὲ πρέσβεις δεομένους ἀπέστειλαν, οἷς ὁ Δημήτριος ἐντυχὼν φιλανθρώπως συνέπεμψε παρ' ἑαυτοῦ τῶν πατρῴων φίλων τὸν Μιλήσιον Ἀριστόδημον. (2) Τοῦ δὲ Φαληρέως διὰ τὴν μεταβολὴν τῆς πολιτείας μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδοικότος, οὐκ ἠμέλησεν ὁ Δημήτριος, ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς εἰς Θήβας αὐτόν, ὥσπερ ἐβούλετο, e μετὰ ἀσφαλείας συνεξέπεμψεν. Αὐτὸς δὲ τὴν μὲν πόλιν οὐκ ἂν ἔφη, καίπερ ἐπιθυμῶν, ἰδεῖν πρότερον ἢ παντάπασι ἐλευθερῶσαι τῆς φρουρᾶς ἀπαλλάξας· τῇ δὲ Μουνυχίᾳ χαράκωμα καὶ τάφρον περιβαλὼν διὰ μέσου Μεγάροις ἐπέπλευσεν ὑπὸ Κασάνδρου φρουρουμένοις. (3) Πυθόμενος δὲ τὴν Ἀλεξάνδρου τοῦ Πολυπέρχοντος γενομένην γυναῖκα Κρατησίπολιν ἐν Πάτραις διατρίβουσαν οὐκ ἂν ἀηδῶς γενέσθαι μετ' αὐτοῦ, περιβόητον οὖσαν ἐπὶ κάλλει, καταλιπὼν τὴν δύναμιν ἐν τῇ Μεγαρικῇ προῆλθεν εὐζώνους τινὰς ἔχων σὺν αὐτῷ. Καὶ τούτων πάλιν ἀποστρέψας ἀπεσκήνωσε χωρὶς ὑπὲρ τοῦ f λαθεῖν τὴν γυναῖκα συνελθοῦσαν αὐτῷ. Τοῦτό τινες αἰσθόμενοι τῶν πολεμίων ἐξαίφνης κατέδραμον ἐπ' αὐτόν. Ὁ δὲ φοβηθεὶς καὶ λαβὼν χλαμύδιον εὐτελὲς δρόμῳ φεύγων ἐξέφυγεν, ὀλίγου δεήσας αἰσχίστην ἅλωσιν ἐξ

Athenas placuit, Antigonus amico cuidam dicenti, debere ipsos hanc urbem, si cepissent, in sua potestate retinere, ex qua aditus in totam Græciam pateret, repudiato eo consilio: Benevolentia, inquit, egregium et certum gradum nobis in Græciam aperiet, ab Athenis autem, tanquam specula orbis terrarum, celeriter fama omnium actionum indicia ad quoscumque homines dissipabit. (3) Navigavit ad Athenas Demetrius classe ducentarum quinquaginta navium, talentorum argenti quinque millibus instructus. Urbem tum Casandro Demetrius Phalereus asservabat, Munychia præsidio tenebatur. Demetrius tamen prudentia sua fortunam subsecutus, vicesimo sexto die mensis Thargelionis ad Piræeum appulit, nemine præsentiente, et quum classis prope jam adesse cerneretur, omnibus se ad eam excipiendam (a Ptolemæo enim missas naves putabant) parantibus. Sero duces re intellecta ad auxilia accurrerunt, tumultuatumque est, ut fieri par fuit ab iis qui hostem improviso in terram egredi conantem prohibere cogerentur. (4) Demetrius quum portuum fauces apertas offendisset, introque navigasset, omnibus jam conspicuus signo a navi dato silentium postulavit: quo facto, per præconem edixit, se missum a patre, ut, quod felix faustumque sit, ejecto præsidio Atheniensibus libertatem et suas leges suamque rempublicam restitueret.

IX. His dictis plerique scuta ante pedes suos proponentes, plausum dederunt, Demetriumque servatoris et benefactoris nomine vocantes, egredi in terram jusserunt. Phalereus autem cum suis, tametsi utique accipiendum potentiorem censerent, etiamsi nihil eorum quæ pollicebatur esset facturus, legatos tamen deprecatum miserunt, quibuscum benigne collocutus Demetrius Aristodemum Milesium paternum suum amicum adjunxit. (2) Phalereum autem sentiens ea rerum mutatione magis a civibus sibi quam hostibus metuere, gloriam viri et virtutem veneratus, Thebas eum, uti petierat, addito comitatu tuto deduxit. Urbem, quanquam ejus contemplandæ desiderio tenebatur, prius tamen visurum se quam eam ejecto præsidio prorsus liberasset, negavit. Munychiam vallo et fossa quum cinxisset, interim Megaram, quam Casander præsidio tenebat, classe petiit. (3) Hic cognito Cratesipolin, quæ Alexandri Polysperchontis filii uxor fuerat, nobilis formæ mulierem Patris commorari, et congressum ipsius expetere, relictis in agro Megarico copiis, cum paucis expeditis militibus eo profectus est et seorsum ab his ipsis tabernaculum posuit, ut mulier ad ipsum ingrediens non conspiceretur. Id quum quidam hostium animadvertissent, subito in eum impetum fecerunt; ibi perterritus arrepto vili amiculo cursu effugit, paullumque abfuit quin ob incontinentiam turpissime ca-

ἀκρασίας ἁλῶναι. Τὴν δὲ σκηνὴν μετὰ τῶν χρημάτων ᾤχοντο λαβόντες οἱ πολέμιοι. (4) Τῶν δὲ Μεγάρων
893 ἁλόντων καὶ τῶν στρατιωτῶν ἐφ' ἁρπαγὴν τραπομένων, a
Ἀθηναῖοι παρῃτήσαντο πολλῇ δεήσει τοὺς Μεγαρεῖς· καὶ τὴν φρουρὰν ὁ Δημήτριος ἐκβαλὼν ἠλευθέρωσε τὴν πόλιν. Ἔτι δὲ τοῦτο πράττων τοῦ φιλοσόφου Στίλπωνος ἐμνήσθη, δόξαν ἔχοντος ἀνδρὸς ᾑρημένου πως ἐν ἡσυχίᾳ καταβιῶναι. Μεταπεμψάμενος οὖν αὐτὸν ἠρώτα, μή τις εἴληφέ τι τῶν ἐκείνου. Καὶ ὁ Στίλπων, « Οὐδείς, εἶπεν· οὐδένα γὰρ εἶδον ἐπιστάμαν ἀποφέροντα.» Τῶν δὲ θεραπόντων σχεδὸν ἁπάντων διακλαπέντων, ἐπεὶ πάλιν αὐτὸν ὁ Δημήτριος ἐφιλοφρονεῖτο καὶ τέλος ἀπαλλαττόμενος εἶπεν, « Ἐλευθέραν ὑμῶν, ὦ Στίλπων, ἀπολείπω τὴν πόλιν », « Ὀρθῶς, ἔφη, λέγεις· οὐδένα b
γὰρ ἁμῶν δοῦλον ἀπολέλοιπας. »

X. Ἐπεὶ δὲ πάλιν ἐπανελθὼν πρὸς τὴν Μουνυχίαν καὶ στρατοπεδεύσας ἐξέκοψε τὴν φρουρὰν καὶ κατέσκαψε τὸ φρούριον, οὕτως ἤδη τῶν Ἀθηναίων δεχομένων καὶ καλούντων παρελθὼν εἰς τὸ ἄστυ καὶ συναγαγὼν τὸν δῆμον ἀπέδωκε τὴν πάτριον πολιτείαν· καὶ προσυπέσχετο παρὰ τοῦ πατρὸς αὐτοῖς ἀφίξεσθαι σίτου πεντεκαίδεκα μυριάδας μεδίμνων καὶ ξύλων ναυπηγησίμων πλῆθος εἰς ἑκατὸν τριήρεις. Ἀθηναῖοι δὲ ἀπολαβόντες τὴν δημοκρατίαν ἔτει πεντεκαιδεκάτῳ, τὸν δὲ μέσον χρόνον ἀπὸ τῶν Λαμιακῶν καὶ τῆς περὶ Κρανῶνα μά- c
χης λόγῳ μὲν ὀλιγαρχικῆς, ἔργῳ δὲ μοναρχικῆς καταστάσεως γενομένης διὰ τὴν τοῦ Φαληρέως δύναμιν, οὕτω λαμπρὸν ἐν ταῖς εὐεργεσίαις καὶ μέγαν φανέντα τὸν Δημήτριον ἐπαχθῆ καὶ βαρὺν ἐποίησαν τῶν τιμῶν ταῖς ἀμετρίαις, ἃς ἐψηφίσαντο. (2) Πρῶτοι μὲν γὰρ ἀνθρώπων ἁπάντων τὸν Δημήτριον καὶ Ἀντίγονον βασιλεῖς ἀνηγόρευσαν ἄλλως ἀφοσιουμένους τοὔνομα, ὡς τοῦτο δὴ μόνον τῶν βασιλικῶν ἔτι τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου περιεῖναι δοκοῦν ἄθικτον ἑτέροις καὶ d
ἀκοινώνητον· μόνοι δὲ σωτῆρας ἀνέγραψαν θεοὺς καὶ τὸν ἐπώνυμον καὶ πάτριον ἄρχοντα καταπαύσαντες ἱερέα σωτήρων ἐχειροτόνουν καθ' ἕκαστον ἐνιαυτὸν καὶ τοῦτον ἐπὶ τῶν ψηφισμάτων καὶ τῶν συμβολαίων προέγραφον. Ἐνυφαίνεσθαι δὲ τῷ πέπλῳ μετὰ τῶν θεῶν αὐτοὺς ἐψηφίσαντο· καὶ τὸν τόπον, ὅπου πρῶτον ἀπέβη τοῦ ἅρματος, καθιερώσαντες καὶ βωμὸν ἐπιθέντες Δημητρίου Καταιβάτου προσηγόρευσαν, ταῖς δὲ φυλαῖς δύο προσέθεσαν, Δημητριάδα καὶ Ἀντιγονίδα, καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρῶτον ἑξακοσίων ἐποίησαν, ἅτε δὴ φυλῆς ἑκάστης πεντήκοντα βουλευτὰς παρεχομένης.

XI. Τὸ δὲ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατο- e
κλέους, οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων, ἔγραψεν, ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ καὶ Ὀλυμπίαζε τὰς πατρίους θυσίας ὑπὲρ τῶν πόλεων ἀπάγοντες ἐν ταῖς Ἑλληνικαῖς ἑορταῖς. (2) Ἦν δὲ καὶ τἄλλα παράτολμος ὁ Στρατοκλῆς καὶ βεβιωκὼς ἀσελγῶς

peretur. Tentorio quidem et opibus potiti hostes discesserunt. (4) Megara capta, quum milites ad direptionem se conferrent, multis precibus Megarensibus salutem Athenienses impetrarunt, urbemque eam exturbato præsidio liberam esse jussit Demetrius. Dum hæc ageret, Stilponis etiam philosophi recordatus est, qui eo nomine celebratur, quod fere otiosam vitam instituisset ducere. Hunc igitur accitum percontatus est : num ipsi quoque ademptum aliquid a militibus esset, respondit Stilpo : nihil omnino, neque se vidisse quenquam qui scientiam auferret. Quum vero servi Megarensium prope omnes essent furtim subducti et Demetrius eum ipsum benigne alloqueretur et tandem digrediens diceret : Liberam vobis, o Stilpo, civitatem relinquo ; Recte, inquit, dicis, nullum enim nobis servum reliquisti.

X. Reversus inde ad Munychiam et castra metatus quum præsidium duxisset, castellumque diruisset, ita demum, Atheniensibus eum invitantibus, urbem intravit, advocatisque in concionem civibus rempublicam restituit, pollicitusque est a patre ipsis frumenti medimnorum centum quinquaginta millia et ligna quæ centum triremibus fabricandis sufficerent. Athenienses autem quum popularem civitatis statum anno decimoquinto recepissent, medioque inter Lamiacam et quæ apud Cranonem commissa fuit pugnam tempore verbo quidem in paucorum, re ipsa in unius potestate fuissent ob Demetrii Phalerei potentiam, tantis beneficiis in ipsos insignem Demetrium immodicos honores decernendo invisum molestumque reddiderunt. (2) Nam omnium primi Antigono et Demetrio regium nomen decreverunt, quod alias abominabantur illi, quum id quidem solum earum rerum, quas Philippus et Alexander post se reliquerant, intactum hactenus et a nemine vindicatum esset. Soli etiam eos deos servatores nuncupaverunt, et eponymo magistratu sublato, statuerunt ut quotannis sacerdos servatorum crearetur, cujus nomen edictis et contractuum formulis inscriberetur. Ipsos quoque cum diis intexi peplo edicto jusserunt ; locum ubi primum a curru descendisset ipse, consecrarunt aramque ibi Demetrii Catæbatæ (id est *desultoris* seu *descendentis*) posuerunt. Duas etiam tribubus addiderunt prioribus, Demetriadem et Antigonidem, et senatum quingentorum, tum primum sexcentorum virorum constituerunt; singulæ enim tribus quinquaginta senatores dabant.

XI. Insolentissimum fuit Stratoclis (is enim scitarum istarum et subtilium auctor blanditiarum) commentum, qui legem promulgavit, ut si qui publico edicto ad Antigonum vel Demetrium mitterentur, ii non legati, sed Theori nominarentur; quod nomen eorum est, qui Pythiæ aut Olympiæ a majoribus tradita sacrificia pro civitatibus in solemni Græcorum conventu peragebant. (2) Erat is Stratocles alioquin etiam homo temerarius et impurus, et qui

καὶ τῇ τοῦ παλαιοῦ Κλέωνος ἀπομιμεῖσθαι δοκῶν βωμολοχίᾳ καὶ βδελυρίᾳ τὴν πρὸς τὸν δῆμον εὐχέρειαν. Ἔσχε δὲ τὴν ἑταίραν Φυλάκιον ἀνειληφώς· καί ποτε αὐτῷ πρὸς δεῖπνον ἐξ ἀγορᾶς πριαμένης ἐγκεφάλους καὶ f τραχήλους, « Παπαὶ, εἶπε, τοιαῦτά γε ὠψώνηκας, οἷς σφαιρίζομεν οἱ πολιτευόμενοι. » (3) Τῆς δὲ περὶ Ἀμοργὸν ἥττης τῶν νεῶν συμβάσης τοῖς Ἀθηναίοις, φθάσας τοὺς ἀπαγγέλλοντας εἰσήλασεν ἐστεφανωμένος διὰ τοῦ Κεραμεικοῦ καὶ προσαγγείλας ὅτι νενικήκασιν, εὐαγγέλια θύειν ἔγραψε καὶ κρεωδαισίαν τινὰ κατὰ φυλὴν
894 ἐποίησεν. Ὀλίγῳ δ' ὕστερον τῶν τὰ ναυάγια κομιζόντων a ἀπὸ τῆς μάχης παραγενομένων καὶ τοῦ δήμου πρὸς ὀργὴν καλοῦντος αὐτὸν, ἰταμῶς ὑποστὰς τὸν θόρυβον, « Εἶτα, ἔφη, τί πεπόνθατε δεινὸν, εἰ δύο ἡμέρας ἡδέως γεγόνατε; » Τοιαύτη μὲν ἡ τοῦ Στρατοκλέους θρασύτης.

XII. Ἦν δὲ ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν Ἀριστοφάνη. Γράφει γάρ τις ἄλλος ὑπερβαλλόμενος ἀνελευθερίᾳ τὸν Στρατοκλέα δέχεσθαι Δημήτριον, ὁσάκις ἂν ἀφίκηται, τοῖς Δήμητρος καὶ Διονύσου ξενισμοῖς, τῷ δ' ὑπερβαλλομένῳ λαμπρότητι καὶ πολυτελείᾳ τὴν ὑποδοχὴν ἀργύριον εἰς ἀνάθημα δημοσίᾳ δίδοσθαι. Τέλος δὲ τῶν τε μηνῶν τὸν Μουνυχιῶνα Δημητριῶνα καὶ b τῶν ἡμερῶν τὴν ἕνην καὶ νέαν Δημητριάδα προσηγόρευσαν καὶ τῶν ἑορτῶν τὰ Διονύσια μετωνόμασαν Δημήτρια. (2) Ἐπεσήμηνε δὲ τοῖς πλείστοις τὸ θεῖον. Ὁ μὲν γὰρ πέπλος, ᾧπερ ἐψηφίσαντο μετὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς προσενυφῆναι Δημήτριον καὶ Ἀντίγονον, πεμπόμενος διὰ τοῦ Κεραμεικοῦ μέσος ἐῤῥάγη θυέλλης ἐμπεσούσης· περὶ δὲ τοὺς βωμοὺς τοὺς ἐκείνων ἐξήνθησεν ἡ γῆ κύκλῳ πολὺ κώνειον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον. Τῇ δὲ ἡμέρᾳ, ᾗ τὰ τῶν Διονυσίων ἐγίνετο, τὴν πομπὴν κατέλυσαν ἰσχυρῶν πάγων γενομένων παρ' ὥραν καὶ πάχνης βαθείας ἐπιπεσούσης οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψῦχος, ἀλλὰ καὶ τοῦ σίτου τὸν πλεῖστον κατέφθειρεν c ἐν χλόῃ. Διὸ καὶ Φιλιππίδης ἐχθρὸς ὢν τοῦ Στρατοκλέους ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταῦτα·

Δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους,
δι' ὃν ἀσεβοῦνθ' ὁ πέπλος ἐῤῥάγη μέσος,
τὰς τῶν θεῶν τιμὰς ποιοῦντ' ἀνθρωπίνας.
Ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

(3) Ἦν δὲ ὁ Φιλιππίδης Λυσιμάχου φίλος καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθε παρὰ τοῦ βασιλέως. Ἐδόκει δὲ καὶ πρὸς πρᾶξιν αὐτῷ καὶ πρὸς στρατείαν εὐσύμβολος ἀπαντήσας εἶναι καὶ ὀφθείς. Ἄλλως δὲ καὶ διὰ d τὸ ἦθος εὐδοκίμει μηθὲν ἐνοχλῶν μηδ' αὐλικῆς περιεργίας ἀναπιμπλάμενος. Φιλοφρονουμένου δέ ποτε τοῦ Λυσιμάχου πρὸς αὐτὸν καὶ εἰπόντος, « Ὦ Φιλιππίδη, τίνος σοι τῶν ἐμῶν μεταδῶ; » « Μόνον, ἔφη, βασιλεῦ, μὴ τῶν ἀποῤῥήτων. » Τοῦτον μὲν οὖν ἐπίτηδες ἐκείνῳ παρεθήκαμεν, τῷ ἀπὸ τοῦ βήματος τὸν ἀπὸ τῆς θυμέλης.

XIII. Ὃ δὲ μάλιστα τῶν τιμῶν ὑπερφυὲς ἦν καὶ

prisci illius Cleonis æmulus, scurrili impudentia vanitatem suam populo venditare videretur. Scortum nomine Phylacium ad se receperat; quæ quum ei aliquando ad cœnam cerebra et colla de foro empta apportaret: Papæ, aiebat, hæc tu nobis obsonata es, quæ nos rerum publicarum gubernatores ludimus pila. (3) Idem victa ad Amorgum classe Atheniensium nuntios prævertens, coronatus per Ceramicum in forum prorupit, victoriamque annuntians legem tulit, uti sacra gratulatoria fierent et caro tributim divideretur. Paullo post quum advenissent, qui fractas a prœlio naves adducebant, populusque eum iratus vocaret, proterve tumultum subsistens: Itane tandem, ait, male vobiscum actum est, quod biduum læti exegistis? Hujusmodi erat Stratoclis audacia.

XII. Enimvero, ut ait Aristophanes, erant et alia quædam ipso igne calidiora. Quippe inventus est quidam Stratocle impudentior, qui Demetrium, quoties Athenas veniret, eo modo excipi, quo Ceres et Liber pater excipiuntur, et ei, qui splendore hospitii ei præbiti ceteros magnificentiaque superasset, publice argentum ad sacrum donarium dedicandum dari lege lata juberet. Denique et mensem Munychionem Demetrionis et mensis uniuscujusque ultimum diem Demetriadis nomine ornarunt et Bacchanalibus Demetria appellationem fecerunt. (2) Horum pleraque prodigiis divinitus sinistris sunt reprehensa. Peplus enim, cui præter Jovem et Minervam Demetrium et Antigonum intexi statuerant, quum per Ceramicum deferretur, turbine venti correptus, mediusque ruptus est. Circum aras eorum multum cicutæ suppullulavit, quæ alioqui ea in regione haud frequens nascitur. Quo die Bacchanalia agebantur, ingenti gelu, quod præter anni tempus obortum fuit, coacti sunt pompam intermittere, et densæ quæ inciderat pruinæ frigus non vites modo et ficus, sed et segetem prope omnem in herba adussit. Itaque Philippides, Stratoclis inimicus, sic eum quadam in comœdia insectatur:

Hunc propter exussit pruina vineas,
hunc propter impium medius rupta 'st peplus,
deorum honores qui tribueret hominibus.
Hæc sunt pernicies populi, non comœdia.

(3) Fuit is Philippides Lysimachi amicus, ac propter ipsum multa populus a rege accepit beneficia. Hujus occursus et conspectus bonum omen ei ad res gerendas et militiam suppeditare videbatur; probis alioquin moribus, nihil interturbabat, neque aulica curiositate laborabat. Amice aliquando secum confabulanti Lysimacho et dicenti: Quid vis, o Philippide, mearum rerum tecum communicem? Quidvis, respondit, o rex, modo ne arcanum. Data autem opera hunc poetam scenicum cum illo concionali homine contuli.

XIII. Omnium honorum insolentissimus et absurdissimus

ἀλλόκοτον· ἔγραψε Δρομοκλείδης ὁ Σφήττιος ὑπὲρ τῆς τῶν ἀσπίδων ἀναθέσεως εἰς Δελφοὺς παρὰ Δημητρίου λαβεῖν χρησμόν. Αὐτὴν δὲ παραγράψω τὴν λέξιν ἐκ τοῦ ψηφίσματος οὕτως ἔχουσαν· « Ἀγαθῇ τύχῃ· δεδόχθαι τῷ δήμῳ χειροτονῆσαι τὸν δῆμον ἕνα ἄνδρα ἐξ Ἀθηναίων, e ὅστις ἀφικόμενος πρὸς τὸν Σωτῆρα καλλιερησάμενος ἐπερωτήσει τὸν Σωτῆρα, πῶς εὐσεβέστατα καὶ κάλλιστα καὶ τὴν ταχίστην ὁ δῆμος τὴν ἀποκατάστασιν ποιήσαιτο τῶν ἀναθημάτων· ὅ τι δ' ἂν χρήσῃ, ταῦτα πράττειν τὸν δῆμον. » Οὕτω καταμωκώμενοι τοῦ ἀνθρώπου προσδιέφθειραν αὐτὸν οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν.

XIV. Ἀλλ' ἔν γε ταῖς Ἀθήναις τότε σχολάζων ἠγάγετο χηρεύουσαν Εὐρυδίκην, ἣ Μιλτιάδου μὲν ἦν ἀπόγονος τοῦ παλαιοῦ, συνοικήσασα δὲ Ὀφέλτᾳ τῷ Κυρήνης ἄρξαντι, μετὰ τὴν ἐκείνου τελευτὴν ἀφίκετο πάλιν εἰς f τὰς Ἀθήνας. Οἱ μὲν οὖν Ἀθηναῖοι τὸν γάμον τοῦτον εἰς χάριν ἔθεντο καὶ τιμὴν τῆς πόλεως. (2) Ἄλλως δὲ ὁ Δημήτριος εὐχερής τις ἦν περὶ γάμους καὶ πολλαῖς ἅμα συνῆν γυναιξὶν, ὧν ἀξίωμα μέγιστον εἶχε καὶ τι-
895 μὴν Φίλα δι' Ἀντίπατρον τὸν πατέρα καὶ διὰ τὸ προσυνῳκηκέναι Κρατέρῳ, a τῷ πλείστην εὔνοιαν αὐτοῦ παρὰ Μακεδόσι τῶν Ἀλεξάνδρου διαδόχων ἀπολιπόντι. Ταύτην, ὡς ἔοικε, κομιδῇ νέον ὄντα τὸν Δημήτριον ἔπειθεν ὁ πατὴρ οὐκ οὖσαν αὐτῷ καθ' ὥραν ἀλλὰ πρεσβυτέραν λαβεῖν, ἀπροθύμως δ' ἔχοντι λέγεται πρὸς τὸ οὖς τὸ Εὐριπίδειον εἰπεῖν·

Ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον.

ὁμοιόπτωτόν τι τῷ « δουλευτέον » εὐθυρρημονήσας. (3) Τοιαύτη μὲν οὖν τις ἦν ἡ τοῦ Δημητρίου τιμὴ πρός τε Φίλαν καὶ τὰς ἄλλας γαμετὰς, ὥστε πολλαῖς μὲν ἀνέδην ἑταίραις, πολλαῖς δὲ ἐλευθέραις συνεῖναι γυναιξὶ, b καὶ μάλιστα δὴ περὶ τὴν ἡδονὴν ταύτην κακῶς ἀκοῦσαι τῶν τότε βασιλέων.

XV. Ἐπεὶ δὲ ὁ πατὴρ αὐτὸν ἐκάλει Πτολεμαίῳ περὶ Κύπρον πολεμήσοντα, πείθεσθαι μὲν ἦν ἀναγκαῖον, ἀχθόμενος δὲ ὅτι τὸν ὑπὲρ τῆς Ἑλλάδος πόλεμον ὄντα καλλίω καὶ λαμπρότερον ἀπολείπει, προσέπεμψε Κλεωνίδῃ τῷ Πτολεμαίου στρατηγῷ φρουροῦντι Σικυῶνα καὶ Κόρινθον χρήματα προτείνων, ὥστε ἐλευθέρας ἀφεῖναι τὰς πόλεις. Οὐ προσδεξαμένου δὲ ἐκείνου, διὰ ταχέων ἀναχθεὶς καὶ προσλαβὼν δύναμιν ἐπέπλευσε Κύπρῳ. (2) Καὶ Μενέλαον μὲν, ἀδελφὸν Πτολεμαίου, μάχην συνάψας εὐθὺς ἐνίκησεν· αὐτοῦ δὲ Πτολεμαίου μετὰ δυνάμεως πεζικῆς ἅμα καὶ ναυτικῆς μεγάλης c ἐπιφανέντος, ἐγένοντο μὲν ἀπειλαί τινες καὶ διάλογοι κομπώδεις, τοῦ μὲν ἀποπλεῖν Δημήτριον κελεύοντος πρὶν ὑπὸ τῆς δυνάμεως πάσης ἀθροισθείσης καταπατηθῆναι, Δημητρίου δὲ ἐκεῖνον ἀφεῖναι φάσκοντος, ἂν ὁμολογήσῃ Σικυῶνα καὶ Κόρινθον ἀπαλλάξειν τῆς φρουρᾶς. Ὁ δὲ ἀγὼν οὐ μόνον αὐτοῖς ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι δυνάσταις πολλὴν εἶχε προσοχὴν τῆς ἐπικρεμαμένης ἀδηλότητος, ὡς οὐ Κύπρον οὐδὲ Συρίαν, ἀλλὰ τὸ μέγιστον εὐθὺς εἶναι πάντων τῷ κρατοῦντι τῆς νίκης προστιθείσης. d

fuit, quem ei Dromoclides Sphettius detulit, peti oraculum ab ipso de scutorum dedicatione Delphica jubens. Ipsa adeo verba ejus rogationis ascribam : « Quod felix faustumque sit, velit jubeat populus Atheniensis deligi unum Atheniensem, qui ad Servatorem eat et litato Servatorem interroget, quo modo piissime, optime et celerrime populus donaria dedicare possit, ac quod is jusserit, id ita faciat populus. » Demetrium alioquin haud sana mente præditum deridentes corruperunt.

XIV. Proinde Athenis tum otiosus Eurydicen duxit viduam, quæ ab antiquo illo Miltiade genus ducebat, et uxor Opheltæ Cyrenes principis, eo defuncto Athenas redierat. Eas Athenienses nuptias tanquam honorem et beneficium urbi suæ factum interpretabantur. (2) Alioquin autem Demetrius ad contrahendas nuptias facilis erat, multasque simul uxores habebat, inter quas auctoritate et honore excellebat Phila propter Antipatrum patrem, et quia ante Craterus eam in matrimonio habuisset, quo nemo successorum Alexandri majus Macedonum sui desiderium reliquit. Hanc Demetrius admodum juvenis ætate jam provectiorem suasu patris duxit, quumque invitus hoc faceret, Antigonus in aurem ei insusurrasse fertur ex Euripide imitatum versiculum,

Fac ob lucrum contra naturam nuptias;

similiter enim hoc cadit vero Euripidis versui,

Fac ob lucrum contra naturam servias.

(3) Eo quidem in honore Philam reliquasque uxores duxit Demetrius, ut palam cum multis scortis, multis etiam ingenuis rem haberet, atque ob eam incontinentiam inter omnes suæ ætatis reges pessime audivit.

XV. Quum pater eum evocaret, ut de Cypro adversus Ptolemæum belligeraretur, necesse quidem habuit obedire, graviter tamen dolens se a bello pro Græcia suscepto, honestiore eo et splendidiore, abstrahi, misit ad Cleonidam Ptolemæi ducem (is Sicyonem Corinthumque præsidio tenebat), qui ei pacta pecunia persuaderent ut urbes liberas dimitteret. Eo conditionem repudiante, celeriter solvit, auctisque copiis, Cyprum appulit, ac Menelaum statim Ptolemæi fratrem prœlio commisso vicit. (2) Ipso autem Ptolemæo magnis cum terrestribus navalibusque copiis adveniente, minis quidem inter ipsos colloquiisque superbis actum est. Nam Demetrium Ptolemæus abire jubebat cum classe, ne collectis universis copiis conculcaretur; Demetrius contra missum se eum facere dicebat, si Sicyone et Corintho præsidia se deducturum pacisceretur : ad certaminis vero eventum suspensi ancipiti cura animi non ipsorum modo, sed et ceterorum omnium principum erant; non enim Cyprum aut Syriam, sed summum principatum victoria ei qui superior discessisset, tributura videbatur.

XVI. Αὐτὸς μὲν οὖν ὁ Πτολεμαῖος ἐπέπλει πεντήκοντα καὶ ἑκατὸν ναῦς ἔχων, ἐκ δὲ Σαλαμῖνος ἐκέλευσε Μενέλαον ἑξήκοντα ναυσὶν, ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ, προσφερόμενον τὰς Δημητρίου κόπτειν ἐξόπισθεν καὶ διαταράττειν τὴν τάξιν. Δημήτριος δὲ ταῖς μὲν ἑξήκοντα ταύταις ἀντέταξε δέκα ναῦς (τοσαῦται γὰρ ἤρκουν στενὸν ὄντα τοῦ λιμένος ἐμφράξαι τὸν ἔκπλουν), αὐτὸς δὲ τὸ πεζὸν ἐκτάξας καὶ τοῖς ἀνατείνουσιν εἰς τὴν θάλασσαν ἀκρωτηρίοις περιχεάμενος, οὕτως ἀνήχθη ναυσὶν ἑκατὸν ὀγδοήκοντα· (2) προσμίξας δὲ ῥώμῃ καὶ βίᾳ πολλῇ κατὰ κράτος e ἐτρέψατο τὸν Πτολεμαῖον, αὐτὸν μὲν, ὡς ἐνικήθη, διὰ ταχέων φυγόντα ναυσὶν ὀκτὼ μόναις (τοσαῦται γὰρ ἐκ πασῶν περιεσώθησαν, τῶν δὲ ἄλλων αἱ μὲν ἐν τῇ ναυμαχίᾳ διεφθάρησαν, ἑβδομήκοντα δὲ ἥλωσαν αὔτανδροι), τοῦ δὲ ἐν ὁλκάσι παρορμοῦντος ὄχλου θεραπόντων καὶ φίλων καὶ γυναικῶν, ἔτι δὲ ὅπλων καὶ χρημάτων καὶ μηχανημάτων ἁπλῶς οὐδὲν ἐξέφυγε τὸν Δημήτριον, ἀλλ' ἔλαβε πάντα καὶ κατήγαγεν εἰς τὸ στρατόπεδον. Ἐν δὲ τούτοις ἡ περιβόητος ἦν Λαμία, τὴν μὲν ἀρχὴν σπουδασθεῖσα διὰ τὴν τέχνην (ἐδόκει γὰρ αὐλεῖν οὐκ εὐκαταφρονήτως), ὕστερον δὲ καὶ τοῖς ἐρωτικοῖς λαμπρὰ f γενομένη. Τότε γοῦν ἤδη λήγουσα τῆς ὥρας καὶ πολὺ νεώτερον ἑαυτῆς λαβοῦσα τὸν Δημήτριον ἐκράτησε τῇ χάριτι καὶ κατέσχεν, ὥστε ἐκείνης εἶναι μόνης ἐραστὴν, τῶν δ' ἄλλων ἐρώμενον γυναικῶν. (3) Μετὰ δὲ τὴν ναυμαχίαν οὐδὲ ὁ Μενέλαος ἀντέσχεν, ἀλλὰ τήν τε Σαλαμῖνα παρέδωκε τῷ Δημητρίῳ καὶ τὰς ναῦς καὶ τὸ 986 πεζὸν, ἱππεῖς τε χιλίους καὶ διακοσίους καὶ μυρίους a δισχιλίους ὁπλίτας.

XVII. Οὕτω δὲ λαμπρὰν καὶ καλὴν τὴν νίκην γενομένην ἔτι μᾶλλον ἐπικοσμῶν ὁ Δημήτριος εὐγνωμοσύνῃ καὶ φιλανθρωπίᾳ τοὺς νεκροὺς τῶν πολεμίων ἔθαψε μεγαλοπρεπῶς καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν, Ἀθηναίοις δὲ χιλίας καὶ διακοσίας ἀπὸ τῶν λαφύρων ἐδωρήσατο πανοπλίας. Αὐτάγγελον δὲ τῆς νίκης τῷ πατρὶ τὸν Μιλήσιον Ἀριστόδημον ἔπεμψε πρωτεύοντα κολακείᾳ τῶν αὐλικῶν ἁπάντων καὶ τότε παρεσκευασμένον, ὡς ἔοικε, τῶν κολακευμάτων τὸ μέγιστον ἐπενεγκεῖν τοῖς πράγμασιν. (2) Ὡς γὰρ ἐπέρασεν ἀπὸ τῆς Κύπρου, προσέχειν μὲν οὐκ εἴασε τῇ γῇ τὸ πλοῖον, ἀγκύρας b δ' ἀφεῖναι κελεύσας καὶ κατὰ ναῦν ἔχειν ἀτρέμα πάντας, αὐτὸς ἐμβὰς εἰς τὸ ἐφόλκιον ἐξῆλθε μόνος καὶ πρὸς τὸν Ἀντίγονον ἀνέβαινε μετέωρον ὄντα τῇ προσδοκίᾳ τῆς μάχης καὶ διακείμενον ὡς εἰκός ἐστι διακεῖσθαι τοὺς περὶ πραγμάτων τηλικούτων ἀγωνιῶντας. Τότε γε μὴν ἀκούσας ἐκεῖνον ἥκειν ἔτι μᾶλλον ἢ πρότερον ἔσχε ταραχωδῶς, καὶ μόλις μὲν αὐτὸν οἴκοι κατεῖχεν, ἄλλους δ' ἐπ' ἄλλοις ἔπεμπεν ὑπηρέτας καὶ φίλους πευσομένους τοῦ Ἀριστοδήμου περὶ τῶν γεγονότων. (3) Ἀποκριναμένου δὲ μηδὲν αὐτοῦ μηδενὶ, βάδην δὲ καὶ συνεστῶτι τῷ προσώπῳ μετὰ πολλῆς σιωπῆς προσιόντος, c ἐκπλαγεὶς κομιδῇ καὶ μηκέτι καρτερῶν ὁ Ἀντίγονος ἐπὶ τὰς θύρας ἀπήντησε, πολλοῦ παραπέμποντος ἤδη

XVI. Ptolemæus ad pugnam provehebatur centum quinquaginta navibus, Menelao autem mandaverat, ut is a Salamina cum sexaginta navibus, fervente maxime prœlio, a tergo in Demetrii classem impressionem faceret, ordinesque disturbaret. His sexaginta Demetrius decem naves opposuit (tot enim sufficiebant ad angustias portus obtinendas), peditatum per promontoria in mare procurrentia sparsim instruxit, atque sic navibus centum octoginta pugnam inivit. (2) Magno autem robore atque violentia impetum faciens Ptolemæum repulit, isque simul atque victum se vidit, cum solis octo navibus fugam celeravit (plures enim de tota ejus classe non evaserunt, ceteris in naumachia proditis, et septuaginta cum ipsis viris captis). Quæ vero in onerariis navibus stationem tenebat famulorum, amicorum, mulierum multitudo, tum armorum, pecuniæ, machinarum copia, horum nihil manus Demetrii effugit, sed omnibus potitus in castra sua abduxit. Capta tunc est etiam nobilis illa Lamia, quæ initio artis nomine (præclare enim canere tibia videbatur) in aliquo pretio habita, post meretriciis etiam artibus celebris fuit. Hæc tum neque ætate neque forma integra, longe minorem natu Demetrium ita suis blanditiis cepit, ut ceterarum mulierum amasius, solius ejus amator esset. (3) Secundum navalem pugnam ne Menelaus quidem restitit, sed Salaminam Demetrio navesque et terrestres copias, equites nimirum mille ducentos, peditum duodecim millia, tradidit.

XVII. Hanc tam illustrem victoriam æquitate animi et humanitate sua ornatiorem Demetrius reddidit, magnifice hostium cadaveribus humatis, captivisque dimissis; Atheniensibus autem mille ac ducentas ex spoliis dono misit armaturas. Porro Aristodemum Milesium ad patrem nuntium victoriæ misit spontaneum, facile omnium aulicorum assentatorum principem et tunc haud dubie ita paratum, ut summam rei gestæ adulationem adhiberet. (2) Quum enim a Cypro trajecisset, navem terræ adverti prohibuit, sed ancoris jactis, in navi reliquis manere jussis, solus annexam scapham conscendit et ad Antigonum contendit. Is tum exspectatione eventus ejus pugnæ suspensus, itaque animo affectus, ut consentaneum erat de tantis rebus periclitantem, quum de adventu Aristodemi cognovisset, magis etiam atque antea perturbatus, vix se ipsum domi continuit, alios autem supra alios famulos amicosque misit, qui ex Aristodemo, quid rei gestum esset, perquirerent. (3) Aristodemus nemini quicquam respondens, sensim altoque cum silentio immoto vultu ad regem accessit, ita ut perterritus Antigonus, neque præterea cunctationem ferens ultro se ei ad fores ob-

τὸν Ἀριστόδημον ὄχλου καὶ συντρέχοντος ἐπὶ τὸ βασίλειον. Ὡς οὖν ἐγγὺς ἦλθεν, ἐκτείνας τὴν δεξιὰν ἀνεβόησε μεγάλῃ τῇ φωνῇ· « Χαῖρε, βασιλεῦ Ἀντίγονε, νικῶμεν Πτολεμαῖον ναυμαχίᾳ, καὶ Κύπρον ἔχομεν καὶ στρατιώτας αἰχμαλώτους μυρίους ἑξακισχιλίους ὀκτακοσίους. » Ὁ δὲ Ἀντίγονος, « Καὶ σὺ νὴ Δία χαῖρε, εἶπεν, οὕτω δὲ ἡμᾶς βασανίσας δίκην ὑφέξεις· βράδιον γὰρ ἀπολήψῃ τὸ εὐαγγέλιον. »

XVIII. Ἐκ τούτου πρῶτον ἀνεφώνησε τὸ πλῆθος Ἀντίγονον καὶ Δημήτριον βασιλέας. Ἀντίγονον μὲν οὖν d εὐθὺς ἀνέδησαν οἱ φίλοι, Δημητρίῳ δὲ ὁ πατὴρ ἔπεμψε διάδημα καὶ γράφων ἐπιστολὴν βασιλέα προσεῖπεν. Οἱ δ' ἐν Αἰγύπτῳ τούτων ἀπαγγελλομένων καὶ αὐτοὶ βασιλέα τὸν Πτολεμαῖον ἀνηγόρευσαν, ὡς μὴ δοκεῖν τοῦ φρονήματος ὑφίεσθαι διὰ τὴν ἧτταν. Ἐπενείματο δὲ οὕτως τὸ πρᾶγμα τῷ ζήλῳ τοὺς διαδόχους. Καὶ γὰρ Λυσίμαχος ἤρξατο φορεῖν διάδημα καὶ Σέλευκος ἐντυγχάνων τοῖς Ἕλλησιν, ἐπεὶ τοῖς γε βαρβάροις πρότερον οὗτος ὡς βασιλεὺς ἐχρημάτιζε. Κάσανδρος δέ, τῶν ἄλλων αὐτὸν βασιλέα καὶ γραφόντων καὶ κα- e λούντων, αὐτός, ὥσπερ πρότερον εἰώθει, τὰς ἐπιστολὰς ἔγραφε. (2) Τοῦτο δὲ οὐ προσθήκην ὀνόματος καὶ σχήματος ἐξαλλαγὴν εἶχε μόνον, ἀλλὰ καὶ τὰ φρονήματα τῶν ἀνδρῶν ἐκίνησε καὶ τὰς γνώμας ἐπῆρε καὶ τοῖς βίοις καὶ ταῖς ὁμιλίαις αὐτῶν ὄγκον ἐνεποίησε καὶ βαρύτητα, καθάπερ τραγικῶν ὑποκριτῶν ἅμα τῇ σκευῇ συμμεταβαλλόντων καὶ βάδισμα καὶ φωνὴν καὶ κατάκλισιν καὶ προσαγόρευσιν. Ἐκ δὲ τούτων ἐγένοντο καὶ περὶ τὰς δικαιώσεις βιαιότεροι τὴν εἰς πολλὰ παρέχουσαν αὐτοὺς ἐλαφροτέρους καὶ μαλακωτέρους τοῖς ὑπηκόοις πρότερον εἰρωνείαν τῆς ἐξουσίας ἀφελόντες. Τοσοῦτον ἴσχυσε κόλακος φωνὴ μία καὶ τοσαύτης ἐνέ- f πλησε τὴν οἰκουμένην μεταβολῆς.

XIX. Ἀντίγονος δὲ τοῖς πεπραγμένοις ὑπὸ Δημητρίου περὶ Κύπρον ἐπαρθεὶς εὐθὺς ἐστράτευσεν ἐπὶ Πτολεμαῖον, αὐτὸς μὲν ἄγων πεζῇ τὴν δύναμιν, Δημητρίου δὲ μεγάλῳ στόλῳ συμπαραπλέοντος. Ὃν δὲ τρόπον ἔμελλε κρίνεσθαι τὰ πράγματα Μήδιος, Ἀντιγόνου φίλος, ὄψιν
897 εἶδε κατὰ τοὺς ὕπνους. Ἐδόκει γὰρ αὐτὸν Ἀντίγονον a ἀγωνίζεσθαι μετὰ τῆς στρατιᾶς ἁπάσης δίαυλον εὐρώστως καὶ ταχὺ τὸ πρῶτον, εἶτα κατὰ μικρὸν ἐνδιδόναι τὴν δύναμιν αὐτῷ· καὶ τέλος, ὡς ἔκαμψεν, ἀσθενῆ γενόμενον καὶ μεστὸν ἄσθματος οὐ ῥᾳδίως ἀναφέρειν. Αὐτός τε οὖν ἐντυχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις καὶ Δημητρίου χειμῶνι μεγάλῳ καὶ κλύδωνι κινδυνεύσαντος εἰς τόπους ἀλιμένους καὶ χαλεποὺς ἐκριφῆναι, πολλὰς δὲ τῶν νεῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος. (2) Ἦν δὲ τότε μικρὸν ἀπολείποντα γεγονὼς ἔτη τῶν ὀγδοήκοντα, μεγέθει δὲ καὶ βαρύτητι σώματος μᾶλλον ἢ διὰ τὸ γῆρας ἐπὶ τὰς στρατείας γεγονὼς δυσπαρακόμιστος b ἐχρῆτο τῷ παιδὶ καὶ δι' εὐτυχίαν καὶ δι' ἐμπειρίαν ἤδη τὰ μέγιστα καλῶς διοικοῦντι, τρυφὰς δὲ καὶ πολυτελείας καὶ πότους αὐτοῦ μὴ βαρυνόμενος. Εἰρήνης γὰρ οὔσης ἀφύβριζεν εἰς ταῦτα καὶ σχολάζων ἐχρῆτο πρὸς τὰς ἡδο-

viam proriperet, multa jam Aristodemum turba comitante et ad regiam concurrente. Ille ut prope regem pervenit, dextram protendens, Salve, inquit, rex Antigone, vicimus Ptolemæum navali prœlio; Cyprum tenemus ac militum captivorum millia sedecim et octingentos. Ad hæc Antigonus: Tu quoque, ait, profecto salvus sis, sed quod ita nos torseris, pœnas lues; tardius enim præmium allati nuntii accipies.

XVIII. Tunc primum Antigonum et Demetrium magno clamore multitudo reges appellavit et Antigonum statim diademate amici redimiverunt. Demetrio pater diadema misit, et in litteris regem salutavit. In Ægypto autem, ea re audita, Ptolemæus quoque a suis rex est nominatus, ne cecidisse animis ob acceptam cladem putarentur. Ejus rei æmulatio reliquos etiam Alexandri successores pervagata est. Nam et Lysimachus ferre diadema cœpit et Seleucus cum Græcis agens; jam ante enim hic barbaris ut rex colloquebatur. Casander, reliquis eum et voce et scripto regem appellantibus, ipse, ut olim, porro quoque epistolas suas inscripsit. (2) Atque hæc quidem res non tantum nominis et habitus mutationem habuit, sed et spiritus eorum excitavit et animos erexit, vitæque eorum rationi et conversationi majestatem addidit, quomodo tragœdiarum actores una cum habitu incessum etiam, vocem, accubitum et alloquia mutant. Quin in imperiis et postulatis severiores ex eo evaserunt, sublata suæ potentiæ cavillandæ occasione, ob quam prius se faciliores frequenter et leniores subditis præbuerant. Tantum unius vox adulatoris potuit, tantamque in orbem terrarum introduxit mutationem.

XIX. Porro Antigonus Cypria quam Demetrius reportavit elatus victoria, statim expeditionem contra Ptolemæum suscepit, ipse terra copias ducens, Demetrio magna cum classe juxta navigante. De fine expeditionis Medius Antigoni amicus per insomnium est admonitus. Imaginatus enim fuit ipsum Antigonum universumque exercitum diauli cursu certare, valide initio et celeriter, sensim deinde vires ejus remittere, tandemque, ut flexit cursum, spiritum graviter ducere eum, vixque se sustinere. Itaque ergo ipse in terrestri itinere multas difficultates expertus, Demetrio ita tempestatum vi atque fluctibus jactato, ut periculum fuerit ne in loca importuosa et iniqua compelleretur multasque amitteret naves, infecta re domum rediit. (2) Erat tum prope octogenarius, quumque ipse non tam propter senectutem quam molem et pondus corporis ad obeunda imperatoris munera inutilis esset, filii opera utebatur, cujus jam ea et peritia et fortuna erat, ut maximas res probe gereret. Luxum autem, luxuriam, compotationesque ejus non inique ferebat, quibus ille in pace et otio ad satietatem

νὰς ἀνειμένως αὐτῷ καὶ κατακόρως, ἐν δὲ τοῖς πολέμοις, ὡς οἱ φύσει σώφρονες, ἔνηφε. (3) Λέγεται δὲ, τῆς Λαμίας ἀναφανδὸν ἤδη κρατούσης, τὸν Ἀντίγονον ὑπὸ τοῦ Δημητρίου καταφιλούμενον ἥκοντος ἀπὸ ξένης εἰπεῖν ἅμα γελῶντα· « Δοκεῖς Λαμίαν, ὦ παῖ, καταφιλεῖν. » Πάλιν δέ ποτε πλείονας ἡμέρας ἐν πότοις γενομένου καὶ πρόφασιν λέγοντος, ὡς ῥεῦμα διοχλήσειεν αὐτὸν, « Ἐπυθόμην, » φάναι τὸν Ἀντίγονον, « ἀλλὰ πότερον c Θάσιον ἢ Χῖον ἦν τὸ ῥεῦμα; » Πυθόμενος δὲ αὖθις ἀσθενῶς ἔχειν αὐτὸν ἐβάδιζεν ὀψόμενος καὶ τῶν καλῶν τινι περὶ θύρας ἀπήντησεν, εἰσελθὼν δὲ καὶ καθίσας παρ' αὐτῷ ἥψατο τῆς χειρός· ἐκείνου δὲ εἰπόντος, ὅτι νῦν ὁ πυρετὸς ἀποκεχώρηκεν, « Ἀμέλει παιδίον, ἔφη, καὶ ἐμοὶ νῦν ἐπὶ θύρας ἀπιὼν ἀπήντηκε. » Ταῦτα δὲ οὕτω πρᾴως ἔφερε τοῦ Δημητρίου διὰ τὴν ἄλλην πρᾶξιν. (4) Οἱ μὲν γὰρ Σκύθαι πίνοντες καὶ μεθυσκόμενοι παραψάλλουσι τὰς νευρὰς τῶν τόξων, οἷον ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμὸν, ἐκεῖνος δὲ τὰ μὲν ἡδονῇ διδοὺς ἁπλῶς ἑαυτὸν, τὰ δὲ σπουδῇ, καὶ d θάτερα τῶν ἑτέρων ἄκρατα μεταχειριζόμενος, οὐχ ἧττον ἦν δεινὸς ἐν ταῖς τοῦ πολέμου παρασκευαῖς.

XX. Ἀλλὰ καὶ παρασκευάσασθαι δύναμιν ἢ χρήσασθαι βελτίων ἐδόκει στρατηγὸς εἶναι, πάντα μὲν ἐκ περιουσίας ὑπάρχειν βουλόμενος ἐπὶ τὰς χρείας, τῆς δὲ περὶ τὰς ναῦς καὶ τὰ μηχανήματα μεγαλουργίας καὶ καθ' ἡδονήν τινα τοῦ θεωρεῖν ἀπλήστως ἔχων. Εὐφυὴς γὰρ ὢν καὶ θεωρητικὸς οὐκ εἰς παιδιὰς οὐδ' εἰς διαγωγὰς ἀχρήστους ἔτρεψε τὸ φιλότεχνον, ὥσπερ ἄλλοι βασιλεῖς e αὐλοῦντες καὶ ζωγραφοῦντες καὶ τορεύοντες. Ἀέροπος γὰρ ὁ Μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος, ὁπότε σχολάζοι, διῆγεν. Ἄτταλος δὲ ὁ Φιλομήτωρ ἐκήπευε τὰς φαρμακώδεις βοτάνας, οὐ μόνον ὑοσκύαμον καὶ ἐλλέβορον, ἀλλὰ καὶ κώνειον καὶ ἀκόνιτον καὶ δορύκνιον, αὐτὸς ἐν τοῖς βασιλείοις σπείρων καὶ φυτεύων ὀπούς τε καὶ καρπὸν αὐτῶν ἔργον πεποιημένος εἰδέναι καὶ κομίζεσθαι καθ' ὥραν. Οἱ δὲ Πάρθων βασιλεῖς ἐσεμνύνοντο τὰς ἀκίδας τῶν βελῶν χαράττοντες αὐτοὶ καὶ παραθήγοντες. (2) Ἀλλὰ μὴν Δημητρίου καὶ τὸ βάναυσον ἦν βασιλικὸν καὶ μέγεθος ἡ μέθοδος εἶχεν, ἅμα τῷ περιττῷ καὶ φιλοτέχνῳ τῶν ἔργων ὕψος f τι διανοίας καὶ φρονήματος ἐκφερόντων, ὥστε μὴ μόνον γνώμης καὶ περιουσίας, ἀλλὰ καὶ χειρὸς ἄξια φαίνεσθαι βασιλικῆς. Μεγέθει μὲν γὰρ ἐξέπληττε καὶ τοὺς φίλους, κάλλει δὲ καὶ τοὺς πολεμίους ἔτερπε. (3) Τοῦτο δὲ ἔτι μᾶλλον ἀληθῶς ἢ κομψῶς εἴρηται. Καὶ τὰς μὲν ἑκκαιδεκήρεις αὐτοῦ καὶ τὰς πεντεκαιδεκήρεις ἐθαύμαζον ἑστῶτες οἱ πολέμιοι παρὰ τὴν γῆν αὐτῶν
898 πλεούσας, αἱ δ' ἑλεπόλεις ὡς θέαμα τοῖς πολιορκουμέ- a
νοις ἦσαν, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ. Λυσίμαχος μὲν γὰρ, ἔχθιστος ὢν Δημητρίῳ τῶν βασιλέων καὶ πολιορκοῦντι Σόλους τοὺς Κιλικίους ἀντιτεταγμένος, ἔπεμψε παρακαλῶν ἐπιδεῖξαι τὰς μηχανὰς αὐτῷ καὶ τὰς ναῦς πλεούσας· ἐπιδείξαντος δὲ θαυμάσας ἀπῆλθε. Ῥόδιοι δὲ πολὺν χρόνον ὑπ' αὐτοῦ πολιορκη-

usque deditus, in bello, tanquam natura temperantes abstinebat et sobrietati studebat. (3) Ferunt, eo Lamiæ aperte jam addicto, Antigonum peregre reverenti atque ipsum osculanti per risum dixisse: Lamiam, o fili, osculari videris. Rursum quum is plures dies inter pocula prodegisset, et se humoris affluxu vexatum causaretur: Audivi ita, inquit Antigonus, sed Thasiusne erat is, an Chius? Rursus valetudine mala teneri filium audiens, quum visum iret, formosum quendam apud fores obviam habuit, ingressus inde juxta assedit, manumque ejus attrectans, dicenti jam febrim discessisse: Et vero, respondit, mihi enim ad januam discedens occurrit. Hæc in Demetrio propter ceteras ejus virtutes tam facile ferebat. (4) Scythæ quidem, quum ad ebrietatem usque bibunt, nervos arcuum pulsant, animum voluptate jam quasi diffluentem revocantes: sed Demetrius et voluptatibus totum se et rebus seriis dare solebat, et utrumque altero nequaquam admisto tractans, æque erat acris in bello apparando.

XX. Ceterum dux in apparando quam in utendo exercitu melior videbatur: ita omnia abunde ad usum præparata uti essent curabat. Navium et machinarum artificiosas fabricas etiam spectandi insatiabili quadam tenebatur voluptate. Natura enim ingeniosus quum esset et contemplationibus apto animo præditus, studium suum non ludicris aut inutilibus oblectationibus dedit, quemadmodum reges nonnulli tibiæ picturæ, torno operam impenderunt. Quippe Aeropus Macedo mensulis et lucernulis fabricandis otium terebat; Attalus Philometor venenosas herbas plantabat, non altercum modo et veratrum, sed cicutam etiam, aconitum dorycniumque ipse in regia seminans et serens, operamque dabat ut succos eorum et semina cognosceret et legitimo tempore legeret. Parthorum reges laudi sibi ducebant, si cuspides jaculorum ipsi lævigarent et acuerent. (2) At Demetrii etiam fabrilia opera regium quiddam habebant, arsque ejus præ se ferebat magnificentiam, quandoquidem cum subtilitate acumen ingenii insignemque prudentiam simul opera demonstrabant, ut non consilio tantum et sumptu, sed manu etiam regis quæ efficerentur digna viderentur. Mole enim sua etiam amicos ejus terrebant, elegantia hostes quoque delectabant. (3) Quod ipsum verius est a nobis, quam ornatius dictum. Sedeciremes quidem ejus et quindeciremes spectaculo erant hostibus, quum oram ipsorum præternavigarent. Helepoles etiam (i. e. machinæ expugnandis urbibus factæ) ejus obsessis ad instar spectaculi erant, ut res ipsa testatur. Lysimachus enim regum omnium Demetrio infensissimus, quum adversus eum obsidentem Solos Ciliciæ urbem castra haberet, missis nuntiis oravit uti machinas ipsi suas navesque navigantes ostenderet, quumque id impetrasset, admiratione victus discessit. Rhodii autem diu a Demetrio in obsidione

θέντες, ἐπεὶ κατελύσαντο τὸν πόλεμον, ᾐτήσαντο τῶν μηχανῶν ἐνίας, ὅπως ὑπόμνημα τῆς ἐκείνου δυνάμεως ἅμα καὶ τῆς αὐτῶν ἀνδραγαθίας ἔχωσιν.

XXI. Ἐπολέμησε δὲ Ῥοδίοις Πτολεμαίου συμμάχοις οὖσι καὶ τὴν μεγίστην ἑλέπολιν τοῖς τείχεσι προσήγαγεν, b ἧς ἕδρα μὲν ἦν τετράγωνος, ἑκάστην ἔχουσα τοῦ κάτω πλαισίου πλευρὰν ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν, ἓξ δὲ καὶ ἑξήκοντα πηχῶν ὕψος εἶχεν εἰς κορυφήν, συννεύουσα ταῖς ἄνω πλευραῖς στενοτέρα τῆς βάσεως. Ἔνδοθεν μὲν οὖν στέγαις διεπέφρακτο καὶ χώραις πολλαῖς, τὸ δὲ πρὸς τοὺς πολεμίους αὐτῆς μέτωπον ἀνέῳκτο καθ' ἑκάστην στέγην θυρίσιν, καὶ διὰ τούτων ἐξέπιπτε βέλη παντοδαπά· μεστὴ γὰρ ἦν ἀνδρῶν μαχομένων πᾶσαν ἰδέαν μάχης. Καὶ τὸ μὴ κραδαινόμενον αὐτῆς μηδὲ κλινόμενον ἐν ταῖς κινήσεσιν, ἀλλ' ὀρθὸν ἐν ἕδρᾳ καὶ ἀσάλευτον ἰσοῤῥόπως ἅμα ῥοίζῳ καὶ τόνῳ πολλῷ προχωροῦν θάμβος ἅμα τῇ ψυχῇ c καὶ χάριν τινὰ τῇ ὄψει τῶν θεωμένων παρεῖχε. (2) Πρὸς δὲ τοῦτον τὸν πόλεμον αὐτῷ καὶ θώρακες ἐκομίσθησαν ἐκ Κύπρου δύο σιδηροῖ, μνῶν ὁλκῆς ἑκάτερος τεσσαράκοντα. Δυσπάθειαν δὲ καὶ ῥώμην αὐτῶν ἐπιδεικνύμενος ὁ τεχνίτης Ζωΐλος ἐκέλευσεν ἐξ εἴκοσι βημάτων ἀφεῖναι καταπελτικὸν βέλος, οὗ προσπεσόντος ἀῤῥαγὴς διέμεινεν ὁ σίδηρος, ἀμυχὴν δὲ μόλις ἔσχεν ἀμβλεῖαν, οἷον ἀπὸ γραφείου. Τοῦτον αὐτὸς ἐφόρει· τὸν δ' ἕτερον Ἄλκιμος ὁ Ἠπειρώτης, ἀνὴρ πολεμικώτατος τῶν σὺν αὐτῷ καὶ ῥωμαλεώτατος, ὃς μόνος ἐχρῆτο διταλάντῳ πανοπλίᾳ, τῶν ἄλλων χρωμένων ταλαντιαίᾳ· d καὶ μαχόμενος ἐν Ῥόδῳ περὶ τὸ θέατρον ἔπεσεν.

XXII. Εὐρώστως δὲ καὶ τῶν Ῥοδίων ἀμυνομένων, οὐδὲν ἄξιον λόγου πράττων ὁ Δημήτριος ὅμως ἐθυμομάχει πρὸς αὐτούς, ὅτι, Φίλας τῆς γυναικὸς αὐτῷ γράμματα καὶ στρώματα καὶ ἱμάτια πεμψάσης, λαβόντες τὸ πλοῖον, ὥσπερ εἶχε, πρὸς Πτολεμαῖον ἀπέστειλαν, καὶ τὴν Ἀθηναίων οὐκ ἐμιμήσαντο φιλανθρωπίαν, οἳ Φιλίππου πολεμοῦντος αὐτοῖς γραμματοφόρους ἑλόντες τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολάς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ', ὥσπερ ἦν κατασεσημασμένη, πρὸς ἐκεῖνον ἀπέστειλαν. Οὐ μὴν e ἀλλά, καίπερ ἐπὶ τούτῳ σφόδρα δηχθεὶς ὁ Δημήτριος, εὐθὺς παρασχόντας λαβὴν οὐχ ὑπέμεινεν ἀντιλυπῆσαι τοὺς Ῥοδίους. (2) Ἔτυχε γὰρ αὐτοῖς ὁ Καύνιος Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν, καὶ τὸν πίνακα μικρὸν ἀπολείποντα τοῦ τέλος ἔχειν ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ Δημήτριος. Πεμψάντων δὲ κήρυκα τῶν Ῥοδίων καὶ δεομένων φείσασθαι καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο τὰς τοῦ πατρὸς ἂν εἰκόνας ἐμπρῆσαι μᾶλλον ἢ τέχνης πόνον τοσοῦτον. Ἑπτὰ γὰρ ἔτεσι συντελέσαι λέγεται τὴν γραφὴν ὁ Πρωτογένης. f Καί φησιν ὁ Ἀπελλῆς οὕτως ἐκπλαγῆναι θεασάμενος τὸ ἔργον, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν αὐτόν, ὀψὲ δὲ εἰπεῖν ὅτι « Μέγας ὁ πόνος καὶ θαυμαστὸν τὸ ἔργον· » οὐ μὴν ἔχειν γε χάριτας, δι' ἃς οὐρανοῦ ψαύειν τὰ ὑπ' αὐτοῦ γραφόμενα. Ταύ-

habiti, composito bello petierunt ut machinas quasdam ipsis veluti suæ potentiæ et ipsorum fortitudinis monumentum relinqueret.

XXI. Ceterum Rhodios oppugnaverat, quod cum Ptolemæo fœdus et amicitiam haberent, murisque admoverat helepolin maximam. Basis quadrata erat, habuitque singula imæ quadraturæ latera octonum et quadragenum cubitorum, sexaginta sex autem cubitorum altitudo fuit ad fastigium, inclinantibus supra lateribus, infima basi angustioribus. Ipsa intus machina tabulatis et cameris multis intercepta erat, frons autem adversus hostem per quamque contignationem fenestras habuit apertas, per quas omnis generis tela emittebantur; repleta enim erat viris omne genus pugnæ obeuntibus. Quia vero non nutabat neque, quum moveretur, vacillabat, recta et inconcussa æqualiter undique cum strepitu et violentia magna promovebatur, ut et perterreret et oblectaret spectaculo. (2) Ad hoc bellum thoraces quoque ei duo ferrei e Cypro allati sunt, appendens uterque minas quadraginta. Horum duritiem et robur ut ostenderet Zoilus artifex, viginti passuum spatio intorqueri jussit sagittam a catapulta; neque tamen eo ictu ruptus est thorax, obscuram modo notam, quæ scalpello videretur impressa, accepit. Hunc ipse gestavit Demetrius, alterum Alcimus Epirota, omnium qui cum eo erant bellacissimus atque robustissimus, qui solus armatura duûm talentorum pondus trahente utebatur, reliquorum armis talentum modo appendentibus; is apud theatrum Rhodi pugnans occubuit.

XXII. Rhodiis autem fortiter se defendentibus, quum nihil memorabile Demetrius efficeret, pertinaciter tamen in ira adversus eos perstitit, quod ii, quum navem a Phila uxore cum literis, stragulis et vestimentis missam ad ipsum intercepissent, sicut erat ad Ptolemæum misissent, nihil imitati Atheniensium humanitatem, qui quum Philippi ipsos bello petentis tabellarios deprehendissent, lectis reliquis epistolis, solam ab Olympiade missam non aperuerant, sed obsignatam adhuc ad Philippum miserant. Verumtamen licet gravissime id ferret Demetrius, nactus tamen occasionem Rhodiis parem dolorem afferendi, abstinuit se. (2) Nam forte Caunius Protogenes pingebat iis Ialysum et quæ circa eum versantur, tabulamque Demetrius in quodam suburbio ceperat prope absolutam. Rhodiis misso præcone deprecantibus uti parceret tanto operi neque id corrumperet, respondit : prius se patris sui imagines crematurum, quam tantum artis laborem. Septem enim annos impendisse Protogenes operi dicitur. Qua conspecta pictura ita se obstupuisse Apelles refert, ut vox eum deficeret, sero autem dixisse : Ingens labor est et admirabile opus, desunt tamen ei gratiæ, quæ sua opera ad cœlum extollant. Hanc

τὴν μὲν οὖν τὴν γραφὴν εἰς ταὐτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν Ῥώμῃ τὸ πῦρ ἐπενείματο. (3) Τῶν δὲ
899 Ῥοδίων κατεξανισταμένων τοῦ πολέμου, δεόμενον προ- a
φάσεως τὸν Δημήτριον Ἀθηναῖοι παραγενόμενοι διήλλαξαν ἐπὶ τῷ συμμαχεῖν Ῥοδίους Ἀντιγόνῳ καὶ Δημητρίῳ πλὴν ἐπὶ Πτολεμαῖον.

XXIII. Ἐκάλουν δὲ τὸν Δημήτριον οἱ Ἀθηναῖοι, Κασάνδρου τὸ ἄστυ πολιορκοῦντος. Ὁ δὲ ναυσὶν ἐπιπλεύσας τριακοσίαις τριάκοντα καὶ πολλοῖς ὁπλίταις οὐ μόνον ἐξήλασε τῆς Ἀττικῆς τὸν Κάσανδρον, ἀλλὰ καὶ φεύγοντα μέχρι Θερμοπυλῶν διώξας καὶ τρεψάμενος, Ἡράκλειαν ἔλαβεν ἑκουσίως αὐτῷ προσθεμένην καὶ τῶν Μακεδόνων ἑξακισχιλίους μεταβαλομένους πρὸς αὐτόν. Ἐπανιὼν δὲ τοὺς ἐντὸς Πυλῶν Ἕλληνας ἠλευθέρου καὶ Βοιωτοὺς ἐποιήσατο συμμάχους καὶ b
Κεγχρέας εἷλε καὶ Φυλὴν καὶ Πάνακτον, ἐπιτειχίσματα τῆς Ἀττικῆς ὑπὸ Κασάνδρου φρουρούμενα, καταστρεψάμενος ἀπέδωκε τοῖς Ἀθηναίοις. (2) Οἱ δὲ καίπερ ἐκκεχυμένοι πρότερον εἰς αὐτὸν καὶ κατακεχρημένοι πᾶσαν φιλοτιμίαν ἐξεῦρον ὅμως καὶ τότε πρόσφατοι καὶ καινοὶ ταῖς κολακείαις φανῆναι. Τὸν γὰρ ὀπισθόδομον τοῦ Παρθενῶνος ἀπέδειξαν αὐτῷ κατάλυσιν· κἀκεῖ δίαιταν εἶχε, τῆς Ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτόν, οὐ πάνυ κόσμιον ξένον οὐδὲ ὡς παρθένῳ πράως ἐπισταθμεύοντα. Καίτοι τὸν ἀδελφὸν αὐτοῦ c
Φίλιππον αἰσθόμενός ποτε ὁ πατὴρ ἐν οἰκίᾳ καταλύοντα τρεῖς ἐχούσῃ νέας γυναῖκας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἐφθέγξατο, παρόντος δὲ ἐκείνου τὸν σταθμοδότην μεταπεμψάμενος, « Οὗτος, εἶπεν, οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας; »

XXIV. Δημήτριος δέ, τὴν Ἀθηνᾶν αὐτῷ προσῆκον, εἰ δι' ἄλλο μηδέν, ὥς γε πρεσβυτέραν ἀδελφὴν αἰσχύνεσθαι (τοῦτο γὰρ ἐβούλετο λέγεσθαι), τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε Χρυσίδι καὶ Λαμίᾳ καὶ Δημοῖ καὶ Ἀντικύρᾳ, ταῖς πόρναις ἐκείναις, συνακο- d
λασταίνοι. Τὰ μὲν οὖν ἄλλα σαφῶς ἀπαγγέλλειν οὐ πρέπει διὰ τὴν πόλιν, τὴν δὲ Δημοκλέους ἀρετὴν καὶ σωφροσύνην ἄξιόν ἐστι μὴ παρελθεῖν. (2) Ἐκεῖνος γὰρ ἦν ἔτι παῖς ἄνηβος, οὐκ ἔλαθε δὲ τὸν Δημήτριον ἔχων τῆς εὐμορφίας τὴν ἐπωνυμίαν κατήγορον· ἐκαλεῖτο γὰρ Δημοκλῆς ὁ καλός. Ὡς δὲ πολλὰ πειρώντων καὶ διδόντων καὶ φοβούντων ὑπ' οὐδενὸς ἡλίσκετο, τέλος δὲ φεύγων τὰς παλαίστρας καὶ τὸ γυμνάσιον εἴς τι βαλανεῖον ἰδιωτικὸν ἐφοίτα λουσόμενος, ἐπιτηρήσας τὸν καιρὸν ὁ Δημήτριος ἐπεισῆλθεν αὐτῷ μόνῳ. Καὶ ὁ παῖς, ὡς συνεῖδε τὴν περὶ αὐτὸν ἐρημίαν καὶ τὴν ἀνάγκην, ἀφελὼν τὸ πῶμα τοῦ χαλκώματος εἰς ζέον e
ὕδωρ ἐνήλατο καὶ διέφθειρεν αὑτόν, ἀνάξια μὲν παθών, ἄξια δὲ τῆς πατρίδος καὶ τοῦ κάλλους φρονήσας, (3) οὐχ ὡς Κλεαίνετος ὁ Κλεομέδοντος, ὃς ὠφληκότι τῷ πατρὶ δίκην πεντήκοντα ταλάντων ἀφεθῆναι διαπραξάμενος καὶ γράμματα παρὰ Δημητρίου κομίσας πρὸς τὸν δῆ-

tabulam in eundem cum reliquis locum compactam Romæ ignis absumpsit. (3) Rhodiis autem acriter bello resistentibus, Demetrium deserendæ obsidionis prætextum quærentem Athenienses eo advecti in gratiam cum iis reposuerunt, ea conditione, ut Rhodii Antigono et Demetrio socii essent, nisi si contra Ptolemæum ii bellum haberent.

XXIII. Athenienses autem Demetrii opem implorabant contra Casandrum Athenas tum obsidentem. Demetrius eo cum trecentis et triginta navibus validoque peditatu venit, ac non modo ex Attica Casandrum profligavit, verum etiam fugientem usque ad Thermopylas insecutus quum fudisset, Heracleam ultro se dedentem accepit. Transierunt etiam sex millia Macedonum ad ipsum. In reditu Græcos qui intra Pylas habitant liberos reddidit, cum Bœotis societatem coivit, Cenchreas cepit et Phylam Panactumque, castella a Casandro præsidiis opereque munita adversus Athenienses, occupavit, iisque reddidit. (2) Enimvero Athenienses, quanquam ante jam effuse in eum omnes honores contulerant, tamen tunc quoque novas adulandi rationes repererunt. Posticum enim Parthenonis diversorii loco ei assignarunt, ibique agitabat et Minerva ei hospitium præbere dicebatur, hospiti haudquaquam commodo, et non ea modestia, quæ apud virginem requireretur. Sane pater ejus, quum aliquando sensisset Philippum hujus fratrem divertisse in domo, ubi tres juvenili ætate essent mulierculæ, filio verbum ea de re nullum fecit, sed ipso præsente designatorem hospitiorum ad se vocavit, et, Heus tu, inquit, non educes filium meum istis ex angustiis?

XXIV. Demetrius vero, qui Minervam revereri saltem ut majorem natu sororem (sic enim eam appellari volebat) debuisset, ingenuorum puerorum matronarumque Atheniensium stupris tantam arci conflavit infamiam, ut is tunc maxime locus castus videretur, quando is cum scortis Chryside, Lamia, Demo et Anticyra libidinem exercebat. Cetera omnia aperte indicare nolo, Athenarum nominis reverentia; Damoclis virtutem et pudicitiam operæ pretium est commemorare. (2) Puer ille impubes adhuc erat nec latebat Demetrium, quod haberet cognomen, id ipsius pulchritudini convenire: vocabatur enim *Damocles Pulcher*. Qui quum nullis precibus, nullis muneribus, nullis minis corrumpi se pateretur atque ad extremum palæstras et gymnasium fugiens lavandi causa balneum frequentaret privatum, Demetrius observato eo tempore ad ipsum solum intro accessit. Hic puer solitudinem circa se et necessitatem imminentem cernens, aheni operculo amoto in aquam ferventem insiluit et immerito quidem periit, patria tamen sua formaque digna ausus. (3) Longe deterior Cleænetus Cleomedontis filius, qui quum a Demetrio literas impetrasset, quibus populus patri ejus mulctam quinquaginta talentorum remittere juberetur, non modo se ipsum dede-

μον οὐ μόνον ἑαυτὸν κατῄσχυνεν, ἀλλὰ καὶ τὴν πόλιν συνετάραξε. Τὸν μὲν γὰρ Κλεομέδοντα τῆς δίκης ἀφῆκαν, ἐγράφη δὲ ψήφισμα μηδένα τῶν πολιτῶν ἐπιστολὴν παρὰ Δημητρίου κομίζειν. Ἐπεὶ δὲ ἀκού- f σας ἐκεῖνος οὐκ ἤνεγκε μετρίως, ἀλλ' ἠγανάκτησε, δείσαντες αὖθις οὐ μόνον τὸ ψήφισμα καθεῖλον, ἀλλὰ καὶ τῶν εἰσηγησαμένων καὶ συνειπόντων τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἐφυγάδευσαν· ἔτι δὲ προσεψηφίσαντο δεδόχθαι τῷ δήμῳ τῶν Ἀθηναίων πᾶν, ὅ τι ἂν ὁ βασιλεὺς Δημήτριος κελεύσῃ, τοῦτο καὶ πρὸς θεοὺς 900 ὅσιον καὶ πρὸς ἀνθρώπους εἶναι δίκαιον. Εἰπόντος δέ a τινος τῶν καλῶν κἀγαθῶν ἀνδρῶν μαίνεσθαι τὸν Στρατοκλέα τοιαῦτα γράφοντα, Δημοχάρης ὁ Λευκονοεὺς εἶπε, « Μαίνοιτο μεντἂν εἰ μὴ μαίνοιτο. » Πολλὰ γὰρ ὁ Στρατοκλῆς ὠφελεῖτο διὰ τὴν κολακείαν. Ὁ δὲ Δημοχάρης ἐπὶ τούτῳ διαβληθεὶς ἐφυγαδεύθη. Τοιαῦτα ἔπραττον Ἀθηναῖοι φρουρᾶς ἀπηλλάχθαι καὶ τὴν ἐλευθερίαν ἔχειν δοκοῦντες.

XXV. Δημήτριος δὲ παρελθὼν εἰς Πελοπόννησον, οὐδενὸς ὑφισταμένου τῶν ἐναντίων, ἀλλὰ φευγόντων καὶ προϊεμένων τὰς πόλεις, προσηγάγετο τήν τε καλουμένην Ἀκτὴν καὶ Ἀρκαδίαν, πλὴν Μαντινείας, καὶ Ἄργος καὶ Σικυῶνα καὶ Κόρινθον ἐλύσατο τάλαντα δοὺς ἑκατὸν b τοῖς φρουροῦσιν. Ἐν Ἄργει μὲν οὖν τῆς τῶν Ἡραίων ἑορτῆς καθηκούσης ἀγωνοθετῶν καὶ συμπανηγυρίζων τοῖς Ἕλλησιν ἔγημε τὴν Αἰακίδου θυγατέρα τοῦ Μολοττῶν βασιλέως, ἀδελφὴν δὲ Πύρρου, Δηιδάμειαν. Σικυωνίους δὲ φήσας παρὰ τὴν πόλιν οἰκεῖν τὴν πόλιν, ἔπεισεν οὗ νῦν οἰκοῦσι μετοικήσασθαι· τῷ δὲ τόπῳ καὶ τοὔνομα τὴν πόλιν συμμεταβαλοῦσαν ἀντὶ Σικυῶνος Δημητριάδα προσηγόρευσεν. (2) Ἐν δὲ Ἰσθμῷ κοινοῦ συνεδρίου γενομένου καὶ πολλῶν ἀνθρώπων συνελθόντων, ἡγεμὼν ἀνηγορεύθη τῆς Ἑλλάδος, ὡς πρότερον οἱ περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὧν ἐκεῖνος οὐ παρὰ μικρὸν c ἐνόμιζεν ἑαυτὸν εἶναι βελτίονα καὶ τῇ τύχῃ τῇ παρούσῃ καὶ τῇ δυνάμει τῶν πραγμάτων ἐπαιρόμενος. Ἀλέξανδρος γοῦν οὐδένα τῶν ἄλλων βασιλέων ἀπεστέρησε τῆς ὁμωνυμίας οὐδὲ αὑτὸν ἀνεῖπε βασιλέων βασιλέα, καίτοι πολλοῖς τὸ καλεῖσθαι καὶ εἶναι βασιλέας αὐτὸς δεδωκώς, ἐκεῖνος δὲ χλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ πλὴν τοῦ πατρὸς καὶ αὑτοῦ βασιλέα προσαγορεύοντας ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων Δημητρίου βασιλέως, Σελεύκου δὲ ἐλεφαντάρχου, Πτολεμαίου δὲ ναυάρχου, Λυσιμάχου δὲ γαζοφύλακος, Ἀγαθοκλέους δὲ τοῦ Σικελιώτου νησιάρχου. (3) Τού- d των δὲ πρὸς τοὺς βασιλεῖς ἐκφερομένων οἱ μὲν ἄλλοι βασιλεῖς κατεγέλων, Λυσίμαχος δ' ἠγανάκτει μόνος, εἰ σπάδοντα νομίζει Δημήτριος αὐτόν· ἐπιεικῶς γὰρ εἰώθεισαν εὐνούχους ἔχειν γαζοφύλακας. Ἦν δὲ καὶ πάντων ἀπεχθέστατος ὁ Λυσίμαχος αὐτῷ, καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς Λαμίας ἔλεγε νῦν πρῶτον ἑωρακέναι πόρνην προερχομένην ἐκ τραγικῆς σκηνῆς· ὁ δὲ Δημήτριος ἔφη τὴν ἑαυτοῦ πόρνην σωφρονεστέραν εἶναι τῆς ἐκείνου Πηνελόπης.

core affecit, sed et civitatem in turbas conjecit. Remissa enim Cleomedonti mulcta, decreto prohibuerunt ne quis civium a Demetrio literas afferret: quod quum is iniquissime ferret, trepidantes rursus, non abrogarunt modo id decretum, sed et auctores ejus suasoresque partim morte, partim exsilio mulctarunt. Additum his aliud decretum, Scivisse populum Atheniensem, ut quidquid rex Demetrius jussisset, id fas apud deos, justum apud homines haberetur. Ibi quum quidam ex optimatibus insanire diceret Stratoclem, qui talia decreta faceret, Demochares Leuconoensis: Insaniret vero, inquit, nisi insaniret. Etenim plurimum ob hujusmodi adulationes pretii ferebat Stratocles. Demochares autem hujus dicti causa delatus, solum vertere jussus est. Hæc Athenienses agebant, quum maxime liberos se et præsidium deductum putarent.

XXV. Demetrius in Peloponnesum profectus, nemine eum hostium subsistente, sed fugientibus omnibus urbesque deserentibus, Acten quam vocant, et Arcadiam, excepta Mantinea, in potestatem suam redegit, Argos, Sicyonem et Corinthum liberavit, iis qui in præsidio erant, centum talentis datis. Argis quum una cum Græcis Junonia celebraret, ac certaminum præmia divideret, Æacidæ Molossorum regis filiam, sororem Pyrrhi, Deidamiam duxit. Sicyoniis, extra urbem eos habitare dicens, persuasit ut urbem in eum, in quo nunc est, locum transferrent, simulque cum situ nomen mutans, Demetriadem nuncupavit. (2) In Isthmo communi Græciæ concilio acto, eoque admodum celebri, dux Græciæ, sicut ante Philippus et Alexander, est designatus, quibus ille, et fortuna et potentia præsenti elatus, haud paullo præstantiorem se ducebat. Et Alexander quidem haud ægre tulit alios quoque reges vocari, neque se regum regem dixerat, imo autem multis et nomen regis et regnum dederat; hic autem subsannans eos qui præter se et patrem regis nomen cuiquam tribuerent, suaviter audiebat, quum inter pocula quis Demetrio regi propinaret, Seleuco elephantorum magistro, Ptolemæo classis præfecto, Lysimacho gazæ custodi, Agathocli Siculorum insulæ principi. (3) Quæ quum ad reges emanassent, ceteris deridentibus, solus Lysimachus stomachatus est, se a Demetrio spadonem censeri; nam thesaurariis fere eunuchis reges utebantur. Omnium vero infensissimus ei erat Lysimachus, et amorem ei Lamiæ exprobrans, tunc primum dicebat visam meretricem, quæ ex scena tragica procederet, contra Demetrius suum scortum illius Penelopa pudicius esse dicebat.

XXVI. Τότε δ' οὖν ἀναζευγνύων εἰς τὰς Ἀθήνας e ἔγραψεν ὅτι βούλεται παραγενόμενος εὐθὺς μυηθῆναι καὶ τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν παραλαβεῖν. Τοῦτο δὲ οὐ θεμιτὸν ἦν οὐδὲ γεγονὸς πρότερον, ἀλλὰ τὰ μικρὰ τοῦ Ἀνθεστηριῶνος ἐτελοῦντο, τὰ δὲ μεγάλα τοῦ Βοηδρομιῶνος· ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλείποντες. (2) Ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, μόνος ἐτόλμησεν ἀντειπεῖν Πυθόδωρος ὁ δᾳδοῦχος, ἐπέρανε δὲ οὐδὲν, ἀλλὰ Στρατοκλέους γνώμην εἰπόντος Ἀνθεστηριῶνα τὸν Μουνυχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν ἐτέλουν τῷ Δημητρίῳ τὰ πρὸς Ἄγραν· καὶ μετὰ ταῦτα πάλιν ἐξ Ἀνθεστηριῶνος ὁ Μουνυχεὼν γενόμενος Βοηδρο- f μιὼν ἐδέξατο τὴν λοιπὴν τελετὴν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ Δημητρίου προσεπιλαβόντος. Δι' ὃ καὶ Φιλιππίδης τὸν Στρατοκλέα λοιδορῶν ἐποίησεν.

Ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα·

καὶ περὶ τῆς ἐν τῷ Παρθενῶνι κατασκηνώσεως·

Ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβὼν
901* καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ Παρθένῳ. a

XXVII. Πολλῶν δὲ γενομένων ἐν τῇ πόλει τότε πλημμελημάτων καὶ παρανομημάτων ἐκεῖνο μάλιστα λέγεται λυπῆσαι τοὺς Ἀθηναίους, ὅτι διακόσια καὶ πεντήκοντα τάλαντα πορίσαι ταχὺ καὶ δοῦναι προσταχθὲν αὐτοῖς καὶ τῆς εἰσπράξεως συντόνου καὶ ἀπαραιτήτου γενομένης, ἰδὼν ἠθροισμένον τὸ ἀργύριον ἐκέλευσε Λαμίᾳ καὶ ταῖς περὶ αὐτὴν ἑταίραις εἰς σμῆγμα δοθῆναι. Ἡ γὰρ αἰσχύνη τῆς ζημίας καὶ τὸ ῥῆμα τοῦ πράγματος μᾶλλον ἠνώχλησε τοὺς ἀνθρώπους. Ἔνιοι δὲ τοῦτο Θετταλοῖς, οὐκ Ἀθηναίοις, ὑπ' αὐτοῦ συμβῆναι λέγουσι. (2) Χωρὶς δὲ τούτων αὐτὴ καθ' ἑαυτὴν ἡ Λαμία τῷ βασιλεῖ πα- b ρασκευάζουσα δεῖπνον ἠργυρολόγησε πολλούς. Καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ Λυγκέως τοῦ Σαμίου συγγεγράφθαι. Διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν Λαμίαν Ἑλέπολιν ἀληθῶς προσεῖπε. Δημοχάρης δ' ὁ Σόλιος τὸν Δημήτριον αὐτὸν ἐκάλει Μῦθον· εἶναι γὰρ αὐτῷ καὶ Λαμίαν. (3) Οὐ μόνον δὲ ταῖς γαμεταῖς, ἀλλὰ καὶ τοῖς φίλοις τοῦ Δημητρίου ζῆλον καὶ φθόνον εὐημεροῦσα καὶ στεργομένη παρεῖχεν. Ἀφίκοντο γοῦν τινες παρ' αὐτοῦ κατὰ πρεσβείαν πρὸς Λυσίμαχον, οἷς ἐκεῖνος ἄγων σχολὴν ἐπέδειξεν ἔν τε τοῖς μηροῖς καὶ τοῖς βραχίοσιν ὠτειλὰς βαθείας ὀνύχων λεοντείων καὶ διηγεῖτο τὴν γε- c νομένην αὐτῷ μάχην πρὸς τὸ θηρίον, ὑπὸ Ἀλεξάνδρου συγκαθειρχθέντι τοῦ βασιλέως. Οἱ δὲ γελῶντες ἔφασαν καὶ τὸν αὑτῶν βασιλέα δεινοῦ θηρίου δήγματα φέρειν ἐν τῷ τραχήλῳ, Λαμίας. (4) Ἦν δὲ θαυμαστὸν, ὅτι τῆς Φίλας ἐν ἀρχῇ τὸ μὴ καθ' ἡλικίαν δυσχεραίνων ἥττητο τῆς Λαμίας, καὶ τοσοῦτον ἤρα χρόνον ἤδη παρηκμακυίας. Δημὼ γοῦν ἡ ἐπικαλουμένη Μανία, παρὰ δεῖπνον αὐλούσης τῆς Λαμίας καὶ τοῦ Δημητρίου πυθομένου « Τί σοι δοκεῖ »; « Γραῦς, εἶπεν, ὦ βασιλεῦ. » d Πάλιν δὲ τραγημάτων παρατεθέντων κἀκείνου πρὸς

XXVI. Quum Athenas redire statuisset, scripsit eo se cupere statim sacris initiari et a minimis mysteriis usque ad maxima quæ epoptica dicuntur, totius sacrificii ritus cognoscere. Id neque fas et nunquam ante factum. Parva enim mysteria mense Anthesterione peragebantur, magna Boedromione; ab his ad epoptica illa inspicienda ad minimum annus requirebatur. (2) Lectis literis, solus Pythodorus daduchus ausus est contradicere, tametsi frustra. Stratoclis enim decreto Munychioni Anthesterionis nomen impositum est et eo mense Demetrium sacris ad Agram factis initiaverunt. Rursus inde idem Munychion Boedromion factus est, et reliqua sacra peracta et ad summa etiam illa aspicienda admissus Demetrius. Itaque Philippides Stratoclem convicio proscindens ait:

Hic mensem in unum annum redegit integrum.

Et de habitatione Demetrii in Parthenone,

Arcem is Minervæ fecit diversorium,
et scorta in ædes introduxit Virginis.

XXVII. Quum vero Athenis tunc multa fierent inique et injuste, id omnium maximum civibus dolorem attulit, quod Demetrius, quum Atheniensibus imperasset uti celeriter ducenta quinquaginta talenta cogerent, sibique darent; postquam pensio ea celeri exactione duraque est collata, et argentum paratum vidit, Lamiæ id omne ceterisque circum eam scortis ad saponem emendum dare jussit. Turpitudo enim damno et vox ea ipso facto molestior fuit hominibus. Quidam hoc non Atheniensibus, sed Thessalis accidisse dicunt. (2) Præterea autem Lamia ipsa proprio arbitratu quum cœnam regi faceret, a multis pecuniam extorsit, tantaque fuit ejus cœnæ ob magnitudinem sumptuum gloria, ut Lynceus Samius eam descripserit. Itaque Comicus quidam haud inscite Lamiam helepolin appellavit. Demochares Solensis Demetrium ipsum Fabulam vocabat, eo quod Lamiam haberet. (3) Neque jam uxoribus modo, sed et amicis Demetrii gratia apud eum et nimius in hanc amor æmulationem et invidiam movit. Demetrius quosdam ad Lysimachum legatos miserat. His quum Lysimachus per otium in femoribus et brachiis suis graves cicatrices unguium leoninorum ostenderet et narraret uti cum leone a rege Alexandro inclusus decertasset, ridentes, regem suum quoque immanis feræ Lamiæ morsus in collo ferre dixerunt. (4) Ac mirum fuit, quod initio Philam ob imparem ætatem aspernatus, a Lamia se capi passus sit ac tam diu amaverit natu grandiorem. Demo quidem, quam cognomine Maniam (i. e insaniam) dicunt, tibia canente Lamia ad cœnam, interrogata a Demetrio quid ipsi videretur? Vetula, inquit, mihi, o rex, videtur. Eadem, quum Demetrius

αὐτὴν εἰπόντος « Ὁρᾷς ὅσα μοι Λαμία πέμπει; » « Πλείονα, ἔφη, πεμφθήσεταί σοι παρὰ τῆς ἐμῆς μητρὸς, ἐὰν θέλῃς καὶ μετ' αὐτῆς καθεύδειν. » (5) Ἀπομνημονεύεται δὲ τῆς Λαμίας καὶ πρὸς τὴν λεγομένην Βοκχώρεως κρίσιν ἀντίῤῥησις. Ἐπεὶ γάρ τις ἐρῶν ἐν Αἰγύπτῳ τῆς ἑταίρας Θωνίδος ᾐτεῖτο συχνὸν χρυσίον, εἶτα κατὰ τοὺς ὕπνους δόξαν αὐτῇ συγγενέσθαι τῆς ἐπιθυμίας ἐπαύσατο, δίκην ἔλαχεν ἡ Θωνὶς αὐτῷ τοῦ μισθώματος. Ἀκούσας δὲ τὸν λόγον ὁ Βόκχωρις ἐκέλευσε τὸν ἄνθρωπον ὅσον ᾐτήθη χρυσίον ἠριθμημένον ἐν τῷ ἀγγείῳ διαφέρειν δεῦρο κἀκεῖσε τῇ χειρί, τὴν δὲ e ἑταίραν ἔχεσθαι τῆς σκιᾶς, ὡς τὴν δόξαν τῆς ἀληθείας σκιὰν οὖσαν. Οὐκ ᾤετο ταύτην εἶναι τὴν κρίσιν ἡ Λαμία δικαίαν· οὐ γὰρ ἀπέλυσεν ἡ σκιὰ τῆς ἐπιθυμίας τοῦ ἀργυρίου τὴν ἑταίραν, τὸ δὲ ὄναρ ἔπαυσεν ἐρῶντα τὸν νεανίσκον. Ταῦτα μὲν οὖν περὶ Λαμίας.

XXVIII. Τὴν δὲ διήγησιν ὥσπερ ἐκ κωμικῆς σκηνῆς πάλιν εἰς τραγικὴν μετάγουσιν αἱ τύχαι καὶ αἱ πράξεις τοῦ ἀνδρὸς, ὃν διηγούμεθα. Τῶν γὰρ ἄλλων βασιλέων ἁπάντων συνισταμένων ἐπὶ τὸν Ἀντίγονον καὶ συμφερόντων εἰς ταὐτὸ τὰς δυνάμεις, ἀπῆρεν ὁ Δημήτριος ἐκ τῆς Ἑλλάδος καὶ τῷ πατρὶ συμμίξας φιλοτιμουμένῳ f παρ' ἡλικίαν πρὸς τὸν πόλεμον ἔτι μᾶλλον αὐτὸς ἐπεῤῥώσθη. Καίτοι δοκεῖ γε Ἀντίγονος, εἰ μικρῶν τινων ὑφεῖτο καὶ τῆς ἄγαν φιλαρχίας ἐχάλασε, μέχρι παντὸς ἂν αὐτῷ διαφυλάξαι κἀκείνῳ καταλιπεῖν τὸ πρῶτον εἶναι. Φύσει δὲ βαρὺς ὢν καὶ ὑπερόπτης καὶ τοῖς λόγοις οὐχ ἧττον ἢ τοῖς πράγμασι τραχὺς πολλοὺς καὶ νέους καὶ
902 δυνατοὺς ἄνδρας ἐξηγρίαινε καὶ παρώξυνε· καὶ τήν γε τότε a σύστασιν καὶ κοινωνίαν αὐτῶν ἔλεγεν ὥσπερ ὀρνίθων σπερμολόγων συνδρομὴν ἑνὶ λίθῳ καὶ ψόφῳ συνδιαταράξειν. Ἦγε δὲ πεζοὺς μὲν ἑπτακισμυρίων πλείους, ἱππεῖς δὲ μυρίους, ἐλέφαντας δὲ ἑβδομήκοντα πέντε, τῶν ἐναντίων ἐχόντων πεζοὺς μὲν ἑξακισμυρίους καὶ τετρακισχιλίους, ἱππεῖς δὲ πεντακοσίους τῶν ἐκείνου πλείονας, ἐλέφαντας δὲ τετρακοσίους, ἅρματα δὲ ἑκατὸν εἴκοσι. (2) Γενομένῳ δὲ ἐγγὺς αὐτῷ τροπὴν ἔσχεν ἡ διάνοια τῆς ἐλπίδος μᾶλλον ἢ τῆς γνώμης. Ὑψηλὸς γὰρ εἶναι καὶ γαῦρος εἰωθὼς ἐν τοῖς ἀγῶσι καὶ χρώμενος φωνῇ τε μεγάλῃ καὶ λόγοις σοβαροῖς, πολλάκις δὲ καὶ τῷ παρασκῶψαί τι καὶ γελοῖον εἰπεῖν τῶν πολεμίων ἐν χερσὶν ὄντων ἐπιδειξάμενος εὐστάθειαν καὶ κατα- b φρόνησιν, τότε σύννους ἑωρᾶτο καὶ σιωπηλὸς τὰ πολλὰ καὶ τὸν υἱὸν ἀπέδειξε τῷ πλήθει καὶ συνέστησε διάδοχον. Ὃ δὲ μάλιστα πάντες ἐθαύμασαν· ἐν τῇ σκηνῇ μόνος διελέχθη πρὸς αὐτὸν, οὐκ εἰθισμένος ἔχειν οὐδὲ πρὸς ἐκεῖνον ἀποῤῥήτους κοινολογίας, ἀλλ' ἴδιος ὢν γνώμῃ, εἶτα προστάττων φανερῶς καὶ χρώμενος οἷς βουλεύσαιτο καθ' ἑαυτόν. Λέγεται γοῦν μειράκιον ἔτι τὸν Δημήτριον αὐτοῦ πυθέσθαι, πότε μέλλουσιν ἀναζευγνύειν, τὸν δὲ εἰπεῖν πρὸς ὀργήν· « Ἀγωνιᾷς, μὴ c μόνος σὺ τῆς σάλπιγγος οὐκ ἀκούσεις; »

XXIX. Τότε μέντοι καὶ σημεῖα μοχθηρὰ κατεδουλοῦτο τὴν γνώμην αὐτῶν. Δημήτριος μὲν γὰρ ἔδοξε

multis appositis bellariis diceret, Viden' quam multa mihi mittat Lamia? Plura tibi, inquit, mater mea mittet, si cum ipsa dormire velis. (5) Memoratur etiam ejus reprehensio sententiæ a Bocchore latæ. Quidam in Ægypto meretricem Thonidem deperibat, magnam auri summam exigentem. Is quum in somnis imaginatus se cum ea rem habere, concupiscere eam desiisset, Thonis eum mercedem apud judices poposcit. Bocchoris causa cognita eum jussit quantum postulabatur auri numeratum in vase hinc inde manu agitare, et eam umbram a scorto apprehendi, indicans imaginationem veritatis umbram esse. Lamia id judicium injustum esse censuit, non enim ut insomnium juveni amorem, ita umbram meretrici cupiditatem auri ademisse. Hæc de Lamia.

XXVIII. Ceterum casus et res gestæ Demetrii, quas describimus, veluti a comica scena in tragicam narrationem nostram transferunt. Omnes reliqui reges adversus Antigonum conspiraverant et in unum copias suas conducebant. Itaque Demetrius ex Græcia transvectus ad patrem se contulit, eumque videns præter ætatem acrius in bellum incumbere, ipsius etiam fiducia magis corroborata est. Enimvero apparet Antigonum, si paululum concedere et de nimia principatus cupiditate nonnihil remittere voluisset, eum et perpetuo retinere et filio suo tradere morte sua potuisse. Nunc ingenio moroso et superbo præditus, neque verbis minus quam actionibus asper, multos juvenes et eos præpotentes adversum se irritavit. Tum quoque illorum fœdus et societatem se jactabat tanquam avium multarum semina legentium concursum lapidis jactu et strepitu dissipaturum. Peditatum ducebat septuaginta millibus ampliorem, decem equitum millia, elephantos septuaginta quinque. Hostium copiæ erant, sexaginta quattuor peditum millia, equitatus quingentis equitibus quam Antigoni major, elephanti quadringenti, currus centum et viginti. (2) Antigonus ut prope hostes pervenit, non tam propositum quam spem mutavit. Solitus enim antehac sublimis et exsultans ad prœlia accedere, magnaque voce et tumidis sermonibus, nonnunquam etiam jocis et facetiis constantiam animi sui et hostium jam imminente certamine contemptum ostendere: cogitabandus tunc tacitusque plerumque cernebatur, filiumque suum exercitui commonstrabat et successorem commendabat. Id vero maxime omnes admirati sunt, quod cum eodem in tentorio solus colloquebatur, cum ante ne cum isto quidem quicquam arcani colloquii agitare consuevisset, sed suum solius consilium secutus, quæ secum ipse statuisset, ea palam deinde pronuntiare et exsequi. Et ferunt Demetrio eum, quum is adolescens adhuc ex ipso quæsivisset, quando essent castra moturi, iratum respondisse: Quid? an vereris ne tu solus tubam non exaudias?

XXIX. Signa quoque tum adversæ fortunæ animos eorum debilitavere. Demetrius in somnis visus sibi est Alexan-

κατὰ τοὺς ὕπνους Ἀλέξανδρον ὡπλισμένον λαμπρῶς ἐρωτᾶν, ὁποῖόν τι σύνθημα διδόναι πρὸς τὴν μάχην μέλλουσιν· αὐτοῦ δὲ φήσαντος « Δία καὶ Νίκην », « Ἄπειμι τοίνυν, φάναι, πρὸς τοὺς ἐναντίους, ἐκεῖνοι γάρ με παραλαμβάνουσιν. » Ἀντίγονος δὲ παραταττομένης ἤδη τῆς φάλαγγος ἐξιὼν προσέπταισεν, ὥστε πεσεῖν ὅλως ἐπὶ στόμα καὶ διατεθῆναι χαλεπῶς· ἀναστὰς δὲ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν ᾐτήσατο d νίκην παρὰ τῶν θεῶν ἢ θάνατον ἀναίσθητον πρὸ τῆς ἥττης. (2) Γενομένης δὲ τῆς μάχης ἐν χερσὶ, Δημήτριος ἔχων τοὺς πλείστους καὶ κρατίστους τῶν ἱππέων Ἀντιόχῳ Σελεύκου συνέπεσε καὶ μέχρι τροπῆς τῶν πολεμίων λαμπρῶς ἀγωνισάμενος ἐν τῇ διώξει σοβαρᾷ καὶ φιλοτίμῳ παρὰ καιρὸν γενομένῃ τὴν νίκην διέφθειρεν. Αὐτὸς μὲν γὰρ οὐκ ἔσχε πάλιν ἀναστρέψας συμμῖξαι τοῖς πεζοῖς τῶν ἐλεφάντων ἐν μέσῳ γενομένων, τὴν δὲ φάλαγγα γυμνὴν ἱππέων κατιδόντες οἱ περὶ Σέλευκον οὐκ ἐνέβαλον μὲν, ὡς δὲ ἐμβαλοῦντες ἐφόβουν καὶ περιήλαυνον μεταβάλλεσθαι διδόντες αὐτοῖς· ὃ καὶ συνέβη. e Πολὺ γὰρ μέρος ἀποῤῥαγὲν ἑκουσίως μετεχώρησε πρὸς ἐκείνους, τὸ δὲ λοιπὸν ἐτράπη. (3) Φερομένων δὲ πολλῶν ἐπὶ τὸν Ἀντίγονον καί τινος τῶν περὶ αὐτὸν εἰπόντος, « Ἐπὶ σὲ οὗτοι, βασιλεῦ », « Τίνα γὰρ, εἶπε, πλὴν ἐμοῦ σκοπὸν ἔχουσιν; ἀλλὰ Δημήτριος ἀφίξεται βοηθῶν. » Καὶ τοῦτο μέχρι παντὸς ἐλπίζων καὶ περισκοπῶν τὸν υἱὸν ἅμα πολλῶν ἀκοντισμάτων εἰς αὐτὸν ἀφεθέντων ἔπεσε· καὶ τῶν ἄλλων ἀπολιπόντων ὀπαδῶν καὶ φίλων μόνος παρέμεινε τῷ νεκρῷ Θώραξ ὁ Λαρισσαῖος.

XXX. Οὕτω δὲ κριθείσης τῆς μάχης, οἱ μὲν νενικηκότες βασιλεῖς τὴν ὑπ' Ἀντιγόνῳ καὶ Δημητρίῳ πᾶσαν f ἀρχὴν ὥσπερ μέγα σῶμα κατακόπτοντες ἐλάμβανον μερίδας καὶ προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας αἷς εἶχον αὐτοὶ πρότερον· Δημήτριος δὲ μετὰ πεντακισχιλίων πεζῶν καὶ τετρακισχιλίων ἱππέων φεύγων καὶ συντόνως ἐλάσας εἰς Ἔφεσον, οἰομένων ἁπάντων ἀποροῦντα χρη-
903 μάτων αὐτὸν οὐκ ἀφέξεσθαι τοῦ ἱεροῦ, φοβηθεὶς τοὺς στρα- a τιώτας, μὴ τοῦτο ποιήσωσιν, ἀνέστη διὰ ταχέων καὶ τὸν πλοῦν ἐπὶ τῆς Ἑλλάδος ἐποιεῖτο, τῶν λοιπῶν ἐλπίδων ἐν Ἀθηναίοις ἔχων τὰς μεγίστας. Καὶ γὰρ καὶ ναῦς ἐκεῖ καὶ χρήματα καὶ γυναῖκα Δηιδάμειαν ἐτύγχανε καταλελοιπὼς, καὶ βεβαιοτέραν οὐκ ἐνόμιζε καταφυγὴν εἶναι τοῖς πράγμασι τῆς Ἀθηναίων εὐνοίας. (2) Ὅθεν ἐπεὶ γενομένῳ περὶ τὰς Κυκλάδας αὐτῷ πρέσβεις Ἀθηναίων ἀπήντησαν ἀπέχεσθαι τῆς πόλεως παρακαλοῦντες ὡς ἐψηφισμένου τοῦ δήμου μηδένα δέχεσθαι τῇ πόλει τῶν βασιλέων, τὴν δὲ Δηιδάμειαν εἰς Μέγαρα ἐξέπεμψαν μετὰ τιμῆς καὶ πομπῆς πρεπούσης, τοῦ καθεστηκότος ἐξέστη δι' b ὀργὴν αὐτοῦ, καίπερ ἐνηνοχὼς ῥᾷστα τὴν ἄλλην ἀτυχίαν καὶ γεγονὼς ἐν τοιαύτῃ μεταβολῇ πραγμάτων οὐ ταπεινὸς οὐδ' ἀγεννής. Ἀλλὰ τὸ παρ' ἐλπίδα διεψεῦσθαι τῶν Ἀθηναίων καὶ τὴν δοκοῦσαν εὔνοιαν ἐξεληλέγχθαι τοῖς πράγμασι κενὴν καὶ πεπλασμένην οὖσαν ὀδυνηρὸν ἦν αὐτῷ. (3) Τὸ γὰρ φαυλότατον, ὡς ἔοικεν, εὐνοίας

drum splendide armatum ex ipso quærere, quam tesseram pugnæ capturi essent; quumque « Jovem et Victoriam » respondisset, dixisse illum : Abeo ergo ad hostes, illi enim me accipiunt. Antigonus autem instructa jam phalange exiens offendit pedem, ut prorsus in faciem corrueret, afflictusque eo casu quum surgeret, manus cœlo tendens, victoriam a diis, aut antequam vinceretur mortem sensus expertem petiit. (2) Jam commisso prœlio, Demetrius cum præstantissima et maxima equitum parte Antiochum Seleuci filium adortus est, quumque eum præclara pugna fudisset, intempestive eum nimisque impense atque ambitiose insequendo victoriam perdidit. Nam neque ipsi licuit reverti et se ad pedites recipere, elephantis in medium intervenientibus, et Seleucus quum phalangem equitum præsidio nudatam cerneret, impressionem quidem non fecit, sed simulando irruptionem perterruit eam et circumvectus ad se transeundi potestatem fecit; id quod evenit. Magna enim phalangis Antigoneæ pars abrupta ultro ad hostes concessit, reliqua in fugam versa est. (3) Antigonus autem, multis in ipsum versis quum quidam ei diceret, Adversus te, o rex, isti impetum faciunt, Nimirum, inquit, quem alium quam me petant ? sed Demetrius succurret. Hac ille spe ad extremum usque fretus, dum filium circumspicit, multis confossus jaculis cecidit; solus omnium comitum et amicorum, reliquis omnibus dilapsis, Thorax Larissæus apud cadaver Antigoni perstitit.

XXX. Hunc ad modum finita pugna, reges victores totum Antigoni et Demetrii regnum, veluti magnum corpus, in partes dissecarunt, easque inter se partiti prioribus suis provinciis adjecerunt. Demetrius autem cum quinque peditum, quattuor equitum millibus, continenti fuga Ephesum perrexit. Ibi metuentibus omnibus ne pecunia indigens templum violaret, ipse etiam veritus ne milites se ab eo non abstinerent, celeriter inde abiit, et navigationem versus Græciam instituit, spei quod supererat plurimum in Atheniensibus collocatum habens. Nam ibi Deidamiam uxorem, opes navesque reliquerat, neque Atheniensium benevolentia ullum tutius suis rebus refugium fore putabat. (2) Itaque ut ei apud Cyclades Atheniensium legati occurrerunt, monentes ne ad urbem accederet; decreto enim populi statutum, ne quis rex Athenas reciperetur, et nuntiantes Deidamiam ab ipsis honorifice Megaram esse deductam, iratus ob eam rem e potestate mentis exiit. Tulerat quidem æquissimo animo alios casus adversos, neque ob tantam rerum mutationem animum desponderat vel abjecte se gesserat, sed falsum se insperato sua de Atheniensibus opinione, vanamque et simulatam eorum benevolentiam re nunc ipsa detectam, gravissime ferebat. (3) Quod enim reges aut principes de benevolentia erga ipsos multudinis

ὄχλων βασιλεῦσι καὶ δυνάσταις τεκμήριόν ἐστιν ὑπερβολὴ τιμῶν, ἧς ἐν τῇ προαιρέσει τῶν ἀποδιδόντων ἐχούσης τὸ καλὸν ἀφαιρεῖ τὴν πίστιν ὁ φόβος· τὰ γὰρ αὐτὰ καὶ δεδιότες ψηφίζονται καὶ φιλοῦντες. Διόπερ οἱ νοῦν ἔχοντες οὐκ εἰς ἀνδριάντας οὐδὲ γραφὰς οὐδὲ ἀποθεώσεις, c ἀλλὰ μᾶλλον εἰς τὰ ἔργα καὶ τὰς πράξεις τὰς ἑαυτῶν ἀποβλέποντες ἢ πιστεύουσιν, ὡς τιμαῖς, ἢ ἀπιστοῦσιν, ὡς ἀνάγκαις· ὡς οἵ γε δῆμοι πολλάκις ἐν αὐταῖς μάλιστα ταῖς τιμαῖς μισοῦσι τοὺς ἀμέτρως καὶ ὑπερόγκως καὶ παρ' ἀκόντων λαμβάνοντας.

XXXI. Ὁ γοῦν Δημήτριος τότε δεινὰ μὲν ἡγούμενος πάσχειν, ἀδύνατος δὲ ὢν ἀμύνασθαι, προσέπεμψε τοῖς Ἀθηναίοις ἐγκαλῶν μετρίως, ἀξιῶν δὲ τὰς ναῦς ἀπολαβεῖν, ἐν αἷς ἦν καὶ ἡ τρισκαιδεκήρης. Κομισάμενος δὲ παρέπλευσεν εἰς Ἰσθμὸν, καὶ τῶν πραγμάτων αὐτῷ κακῶς ἐχόντων (ἐξέπιπτον γὰρ ἑκασταχόθεν αἱ φρουραὶ καὶ πάντα μεθίστατο πρὸς τοὺς πολεμίους), ἀπο- d λιπὼν ἐπὶ τῆς Ἑλλάδος Πύῤῥον αὐτὸς ἄρας ἐπὶ τὴν Χεῤῥόνησον ἔπλευσε· καὶ κακῶς ἅμα ποιῶν Λυσίμαχον ὠφέλει καὶ συνεῖχε τὴν περὶ αὐτὸν δύναμιν ἀρχομένην ἀναλαμβάνειν καὶ γίνεσθαι πάλιν οὐκ εὐκαταφρόνητον. Ὁ δὲ Λυσίμαχος ὑπὸ τῶν ἄλλων βασιλέων ἠμελεῖτο μηδὲν ἐπιεικέστερος ἐκείνου δοκῶν εἶναι, τῷ δὲ μᾶλλον ἰσχύειν καὶ φοβερώτερος. (2) Οὐ πολλῷ δὲ ὕστερον Σέλευκος ἐμνᾶτο πέμπων τὴν Δημητρίου καὶ Φίλας θυγατέρα Στρατονίκην, ἔχων μὲν ἐξ Ἀπάμας τῆς Περσίδος υἱὸν Ἀντίοχον, οἰόμενος δὲ τὰ πράγματα καὶ δια- e δόχοις ἀρκεῖν πλείοσι καὶ δεῖσθαι τῆς πρὸς ἐκεῖνον οἰκειότητος, ἐπεὶ καὶ Λυσίμαχον ἑώρα τῶν Πτολεμαίου θυγατέρων τὴν μὲν ἑαυτῷ, τὴν δὲ Ἀγαθοκλεῖ τῷ υἱῷ λαμβάνοντα. (3) Δημητρίῳ δ' ἦν ἀνέλπιστος εὐτυχία κηδεῦσαι Σελεύκῳ. Καὶ τὴν κόρην ἀναλαβὼν ἔπλει ταῖς ναυσὶ πάσαις εἰς Συρίαν, τῇ τε ἄλλῃ γῇ προσέχων ἀναγκαίως καὶ τῆς Κιλικίας ἁπτόμενος, ἣν Πλείσταρχος εἶχε μετὰ τὴν πρὸς Ἀντίγονον μάχην ἐξαίρετον αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων· ἦν δὲ Κασάνδρου Πλείσταρχος ἀδελφός. Ἀδικεῖσθαι δὲ τὴν χώραν αὐτοῦ νομίζων ὑπὸ Δημητρίου κατὰ τὰς ἀποβάσεις καὶ μέμψα- f σθαι βουλόμενος τὸν Σέλευκον, ὅτι τῷ κοινῷ διαλλάττεται πολεμίῳ δίχα τῶν ἄλλων βασιλέων, ἀνέβη πρὸς αὐτόν.

XXXII. Αἰσθόμενος δὲ τοῦτο Δημήτριος ὥρμησεν ἀπὸ θαλάσσης ἐπὶ Κυίνδων· καὶ τῶν χρημάτων εὑρὼν ἔτι λοιπὰ χίλια καὶ διακόσια τάλαντα, ταῦτα συσκευασάμενος καὶ φθάσας ἐμβαλέσθαι διὰ ταχέων ἀνήχθη. 904 Καὶ παρούσης ἤδη Φίλας τῆς γυναικὸς αὐτῷ περὶ Ῥωσὸν a ἀπήντησε Σέλευκος. Καὶ τὴν ἔντευξιν εὐθὺς ἄδολον καὶ ἀνύποπτον καὶ βασιλικὴν ἐποιοῦντο, πρότερον μὲν Σέλευκος ἑστιάσας ἐπὶ σκηνῆς ἐν τῷ στρατοπέδῳ Δημήτριον, αὖθις δὲ Δημήτριος ἐκεῖνον ἐν τῇ τρισκαιδεκήρει δεξάμενος. Ἦσαν δὲ καὶ σχολαὶ καὶ κοινολογίαι καὶ συνδιημερεύσεις ἀφρούρων καὶ ἀνόπλων, ἄχρι οὗ Σέλευκος τὴν Στρατονίκην ἀναλαβὼν λαμπρῶς εἰς Ἀντιόχειαν ἀνέβη. (2) Δημήτριος δὲ Κιλικίαν κατέσχε

statuunt ex abundantia honorum sibi oblatorum, levissimum profecto sequuntur indicium; etenim his honoribus, quorum pulchritudo a voluntate eorum qui offerunt æstimanda est, fidem metus derogat, quum ii et metus causa et benevolentiæ decerni possint. Itaque qui sapiunt, ii non ad statuas, picturas, divinosve honores, sed ad suas ipsorum actiones respicientes, illis aut ut honoris causa delatis fidunt, aut ut necessitate extortis diffidunt, intelligentes populos sæpe tum maxime, quum honores decernunt, odio habere eos, qui nimios honores et immodicos, idque ab invitis accipiunt.

XXXI. Demetrius ergo quum in præsentiâ sentiret gravi se injuria affectum ulciscendi locum non habere, misit ad Athenienses qui modeste eos incusarent et naves suas, in quibus etiam tredeciremis erat, repeterent. His receptis quum ad Isthmum navigasset, ibique res suas conquassatas offenderet (nam et præsidia undique abierant et omnia ad hostem defecerant), relicto in Græcia Pyrrho, in Chersonesum navigavit; ibique Lysimachum vexando copias suas continuit, atque præda locupletavit, jam tum vires et existimationem resumentes. Lysimachus autem a ceteris regibus negligebatur, quod nihilo moderatior Demetrio, ob majorem vero potentiam formidabilior videbatur. (2) Paullo post Seleucus missis legatis Stratonicen Demetrii et Philæ filiam in matrimonium petiit, quum quidem jam ex Apama Perside filium haberet Antiochum, sed regnum suum et pluribus sufficere successoribus, et sibi Demetrii affinitate opus esse putaret, quando Lysimachum etiam animadvertebat duas Ptolemæi filias, unam sibi, alteram Agathocli filio matrimonio junxisse. (3) Demetrius autem insperatam felicitatem ducens oblatam sibi a Seleuco affinitatem, filia assumpta universis cum navibus Syriam petiit. Quum vero ad terram appellere aliquoties necesse haberet, Ciliciam quoque attigit, quam Plistarchus Casandri frater sibi post pugnam cum Antigono commissam a regibus attributam obtinebat. Is in egressionibus injuriam provinciæ illatam a Demetrio querens, simul et Seleucum delaturus, qui injussu reliquorum regum cum communi hoste in gratiam rediret, ad fratrem se contulit.

XXXII. Quod ubi sensit Demetrius, a mari ad Quinda profectus est; ibique quum in ærario reliqua invenisset mille ducenta talenta, his convasatis celeriter abiit. Jam et uxor Phila ad ipsum pervenerat, quum apud Rosum Seleucus occurrit. Primus statim congressus rege dignus, dolo et suspicionibus caruit, priorque Seleucus Demetrium convivio in castris accepit in suo tentorio, post ab eo in tredeciremi exceptus est. Inde per otium collocuti amice, totosque dies conversati sunt absque armis et stipatoribus, donec Seleucus splendide Antiochiam rediit. (2) Demetrius Ciliciam tenuit et Philam uxorem suam ad Casandrum fratrem ejus

καὶ Φίλαν τὴν γυναῖκα πρὸς Κάσανδρον ἔπεμψε τὸν ἀδελφὸν ἀπολυσομένην τὰς Πλειστάρχου κατηγορίας. Ἐν δὲ τούτῳ Δηιδάμεια πλεύσασα πρὸς αὐτὸν ἀπὸ τῆς b Ἑλλάδος καὶ συγγενομένη χρόνον οὐ πολὺν ἐξ ἀρρωστίας τινὸς ἐτελεύτησε. Γενομένης δὲ πρὸς Πτολεμαῖον διὰ Σελεύκου φιλίας αὐτῷ, ὡμολογήθη Πτολεμαΐδα τὴν Πτολεμαίου θυγατέρα λαβεῖν αὐτὸν γυναῖκα. (3) Καὶ ταῦτα μὲν ἀστεῖα τοῦ Σελεύκου. Κιλικίαν δὲ ἀξιῶν χρήματα λαβόντα παραδοῦναι Δημήτριον, ὡς οὐκ ἔπειθε, Σιδῶνα καὶ Τύρον ἀπαιτῶν πρὸς ὀργὴν ἐδόκει βίαιος εἶναι καὶ δεινὰ ποιεῖν, εἰ τὴν ἀπ' Ἰνδῶν ἄχρι τῆς κατὰ Συρίαν θαλάσσης ἅπασαν ὑφ' αὑτῷ πεποιημένος οὕτως ἐνδεής ἐστιν ἔτι πραγμάτων καὶ πτωχὸς, ὡς ὑπὲρ δυεῖν c πόλεων ἄνδρα κηδεστὴν καὶ μεταβολῇ τύχης κεχρημένον ἐλαύνειν, λαμπρὰν τῷ Πλάτωνι μαρτυρίαν διδοὺς διακελευομένῳ μὴ τὴν οὐσίαν πλείω, τὴν δὲ ἀπληστίαν ποιεῖν ἐλάσσω τόν γε βουλόμενον ὡς ἀληθῶς εἶναι πλούσιον, ὡς ὅ γε μὴ παύων φιλοπλουτίαν, οὗτος οὔτε πενίας οὔτε ἀπορίας ἀπήλλακται.

XXXIII. Οὐ μὴν ὑπέπτηξε Δημήτριος, ἀλλὰ φήσας οὐδ' ἂν μυριάκις ἡττηθῇ μάχας ἄλλας ἐν Ἴψῳ γαμβρὸν ἀγαπήσειν ἐπὶ μισθῷ Σέλευκον, τὰς μὲν πόλεις ἐκρατύνατο φρουραῖς, αὐτὸς δὲ πυθόμενος Λαχάρη στασιάζουσιν d Ἀθηναίοις ἐπιθέμενον τυραννεῖν, ἤλπιζε ῥᾳδίως ἐπιφανεὶς λήψεσθαι τὴν πόλιν. Καὶ τὸ μὲν πέλαγος ἀσφαλῶς διεπεραιώθη μεγάλῳ στόλῳ, παρὰ δὲ τὴν Ἀττικὴν παραπλέων ἐχειμάσθη καὶ τὰς πλείστας ἀπέβαλε τῶν νεῶν, καὶ συνδιεφθάρη πλῆθος ἀνθρώπων οὐκ ὀλίγον. Αὐτὸς δὲ σωθεὶς ἥψατο μέν τινος πολέμου πρὸς τοὺς Ἀθηναίους, ὡς δ' οὐδὲν ἐπέραινε, πέμψας ναυτικὸν αὖθις ἀθροίσοντας αὐτὸς εἰς Πελοπόννησον παρῆλθε καὶ Μεσσήνην ἐπολιόρκει καὶ προσμαχόμενος τοῖς τείχεσιν ἐκινδύνευσε, καταπελτικοῦ βέλους εἰς τὸ πρόσωπον αὐτῷ καὶ τὸ στόμα διὰ τῆς σιαγόνος ἐμπεσόντος. (2) Ἀναληφθεὶς e δὲ καὶ πόλεις τινὰς ἀφεστώσας προσαγαγόμενος πάλιν εἰς τὴν Ἀττικὴν ἐνέβαλε, καὶ κρατήσας Ἐλευσῖνος καὶ Ῥαμνοῦντος ἔφθειρε τὴν χώραν καὶ ναῦν τινα λαβὼν ἔχουσαν σῖτον καὶ εἰσάγουσαν τοῖς Ἀθηναίοις ἐκρέμασε τὸν ἔμπορον καὶ τὸν κυβερνήτην, ὥστε τῶν ἄλλων ἀποτρεπομένων διὰ φόβον σύντονον λιμὸν ἐν ἄστει γενέσθαι, πρὸς δὲ τῷ λιμῷ καὶ τῶν ἄλλων ἀπορίαν. Ἁλῶν γοῦν μέδιμνον ὠνοῦντο τετταράκοντα δραχμῶν, ὁ δὲ τῶν πυρῶν μόδιος ὤνιος ἦν τριακοσίων. Μικρὰν δὲ τοῖς Ἀθηναίοις ἀναπνοὴν παρέσχον ἑκατὸν πεντήκοντα νῆες φανεῖσαι περὶ Αἴγιναν, ἃς ἔπεμψεν ἐπικούρους αὐτοῖς Πτολεμαῖος. Εἶτα Δημητρίῳ πολλῶν μὲν ἐκ Πελοποννήσου f, πολλῶν δὲ ἀπὸ Κύπρου νεῶν παραγενομένων, ὥστε συμπάσας ἀθροισθῆναι τριακοσίας, ἔφυγον ἄραντες οἱ Πτολεμαίου καὶ Λαχάρης ὁ τύραννος ἀπέδρα προέμενος τὴν πόλιν.

XXXIV. Οἱ δ' Ἀθηναῖοι, καίπερ ψηφισάμενοι θάνατον, εἰ μνησθείη τις εἰρήνης καὶ διαλλαγῆς πρὸς Δη-
905 μήτριον, εὐθὺς ἀνέῳγυσαν τὰς ἐγγὺς πύλας καὶ πρέ- a
σβεις ἔπεμπον, οὐδὲν μὲν ἀπ' ἐκείνου χρηστὸν προσδο-

misit, criminum a Plistarcho objectorum purgandi causa. Interim Deidamia quum ex Græcia ad ipsum navigasset, et haud diu una fuisset, ex morbo quodam decessit. Ptolemæi exinde, cum quo Seleuci opera amicitiam iniverat, filia Ptolemais ei pacta est. (3) Hæc Seleucus civiliter. Ciliciam autem pecunia data redimere a Demetrio cupiens, et quum is denegasset, Tyrum ab eo et Sidonem iracunde reposcens, injurius esse visus est et inique agere, qui quum ab India ad mare Syriacum omnes regiones possideret, adeo tamen pauper parvique animi esse vellet, ut propter duas urbes socerum suum adversa usum fortuna exagitaret. At Platoni evidens testimonium tulit, qui veras divitias affectantem non addere opibus, sed diminuere immensam cupiditatem jubet, quod eam qui non sustulerit, nunquam sit penuria et paupertate sese liberaturus.

XXXIII. Neque vero Demetrius concessit, sed inquiens se, ne si millies quidem ut apud Ipsum victus esset, unquam mercede sibi Seleucum generum asciscere dignaturum, urbes eas præsidiis muniit. Audito autem Lacharem Athenis coorta seditione tyrannidem invadere, sperans si eo accessisset, se facile urbe ea potiturum, classe magna mare medium tuto trajecit, apud Atticam autem tempestate oborta classis magnam partem et magnum hominum numerum perdidit. Ipse superato periculo bellum contra Athenienses orsus, quum res non succederet, dimissis qui novam classem colligerent, in Peloponnesum conversus est et Messenen obsedit. Ibi mœnia oppugnans, telo balistæ in faciem et per maxillam in os ictus, in gravi fuit discrimine. (2) Recepta sanitate, quasdam urbes, quæ ab ipso defecerant, in potestatem redegit. Inde iterum in Atticam facta impressione, Eleusine et Rhamnunte captis, agrum vastavit, navemque nactus frumentum Athenas devehentem, mercatorem et gubernatorem suspendio affecit. Quo exemplo territis aliis, et fames urbem invasit acris, et aliarum quoque rerum penuria. Etenim medimnus salis quadraginta denariis vendebatur, frumenti modius tribus minis. Exiguam Atheniensibus respirationem centum quinquaginta naves apud Æginam visæ præbuerant, a Ptolemæo in auxilium missæ. Sed postquam Demetrio multæ ex Peloponneso, multæ ex Cypro naves coactæ sunt, ita ut in universum trecentarum navium classem haberet, missæ a Ptolemæo retro abierunt, et Lachares tyrannus urbe prodita aufugit.

XXXIV. Tum Athenienses, tametsi decreverant ut, si quis mentionem de pace cum Demetrio componenda fecisset, id ei esset capitale, proximas tamen portas statim aperuerunt, legatosque ad eum miserunt, nihil quidem ab eo benigni

κῶντες, ἐκβιαζομένης δὲ τῆς ἀπορίας, ἐν ᾗ δυσχερῶν πολλῶν συνεμπεσόντων λέγεταί τι καὶ τοιοῦτον γενέσθαι· πατέρα καὶ υἱὸν ἐν οἰκήματι καθέζεσθαι τὰ καθ' ἑαυτοὺς ἀπεγνωκότας, ἐκ δὲ τῆς ὀροφῆς μῦν νεκρὸν ἐκπεσεῖν, τοὺς δέ, ὡς εἶδον, ἀναπηδήσαντας ἀμφοτέρους διαμάχεσθαι περὶ αὐτοῦ. Τότε καὶ τὸν φιλόσοφον Ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις κυάμους πρὸς ἀριθμὸν μετ' αὐτῶν διανεμόμενον. (2) Οὕτως οὖν τῆς πόλεως ἐχούσης εἰσελθὼν ὁ Δημήτριος καὶ κελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας, ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν, αὐτὸς δὲ καταβάς, ὥσπερ οἱ τραγῳδοί, διὰ τῶν ἄνω παρόδων, ἔτι μᾶλλον ἐκπεπληγμένων τῶν Ἀθηναίων, τὴν ἀρχὴν τοῦ λόγου πέρας ἐποιήσατο τοῦ δέους αὐτῶν. Καὶ γὰρ τόνου φωνῆς καὶ ῥημάτων πικρίας φεισάμενος, ἐλαφρῶς δὲ καὶ φιλικῶς μεμψάμενος αὐτοῖς διηλλάσσετο καὶ δέκα μυριάδας σίτου μεδίμνων ἐπέδωκε καὶ κατέστησεν ἀρχάς, αἳ μάλιστα τῷ δήμῳ προσφιλεῖς ἦσαν. (3) Συνιδὼν δὲ Δρομοκλείδης ὁ ῥήτωρ ὑπὸ χαρᾶς τὸν δῆμον ἔν τε φωναῖς ὄντα παντοδαπαῖς καὶ τοὺς ἀπὸ τοῦ βήματος ἐπαίνους τῶν δημαγωγῶν ἁμιλλώμενον ὑπερβαλέσθαι, γνώμην ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ τὸν Πειραιᾶ παραδοθῆναι καὶ τὴν Μουνυχίαν. Ἐπιψηφισθέντων δὲ τούτων, ὁ Δημήτριος αὐτὸς ἐφ' ἑαυτοῦ προσενέβαλε φρουρὰν εἰς τὸ Μουσεῖον, ὡς μὴ πάλιν ἀναχαιτίσαντα τὸν δῆμον ἀσχολίας αὐτῷ πραγμάτων ἑτέρων παρασχεῖν.

XXXV. Ἐχομένων δὲ τῶν Ἀθηναίων, εὐθὺς ἐπεβούλευε τῇ Λακεδαίμονι. Καὶ περὶ Μαντίνειαν Ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ, νικήσας μάχῃ καὶ τρεψάμενος εἰς τὴν Λακωνικὴν ἐνέβαλε. Καὶ πρὸς αὐτῇ τῇ Σπάρτῃ πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους καὶ διαφθείρας διακοσίους, ὅσον οὔπω τὴν πόλιν ἔχειν ἐδόκει μέχρι τῶν χρόνων ἐκείνων ἀνάλωτον οὖσαν. Ἀλλ' ἡ τύχη περὶ οὐδένα τῶν βασιλέων ἔοικεν οὕτω τροπὰς λαβεῖν μεγάλας καὶ ταχείας οὐδ' ἐν ἑτέροις πράγμασι τοσαυτάκις μικρὰ καὶ πάλιν μεγάλη καὶ ταπεινὴ μὲν ἐκ λαμπρᾶς, ἰσχυρὰ δὲ αὖθις ἐκ φαύλης γενέσθαι. Διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον·

Σύ τοί με φυσᾷς, σύ με καταίθειν μοι δοκεῖς.

(2) Καὶ γὰρ τότε τῶν πραγμάτων οὕτως εὐπόρως αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπιδιδόντων ἀγγέλλεται Λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ τὰς ἐν Ἀσίᾳ πόλεις, Κύπρον δὲ Πτολεμαῖος ᾑρηκὼς ἄνευ μιᾶς πόλεως Σαλαμῖνος, ἐν δὲ Σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. Οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη, καθάπερ ἡ παρ' Ἀρχιλόχῳ γυνὴ

Τῇ μὲν ὕδωρ ἐφόρει δολόφρων χερί, τῇ δ' ἑτέρῃ πῦρ,

δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀποστήσασα τῆς Λακεδαίμονος εὐθὺς ἑτέρας πραγμάτων καινῶν καὶ μεγάλων ἐπήνεγκεν ἐλπίδας ἐκ τοιαύτης αἰτίας.

XXXVI. Ἐπεί, Κασάνδρου τελευτήσαντος, ὁ πρε-

exspectantes, inopia tamen compulsi. Ea enim tanta fuit, ut præter multa alia, quæ tum evenerunt durissima, pater etiam et filius de mortuo mure, qui illis desperatis jam rebus domi desidentibus forte de culmine deciderat, dimicaverint. Epicurum etiam philosophum traditum est ea tempestate fabis certo numero distributis se suosque familiares aluisse. (2) Hoc rerum statu in urbem ingressus Demetrius universum populum in theatrum convocari jussit, caveam-
b que armis et pulpitum stipatoribus cinxit. Ipse ex superioribus gradibus, ut tragœdiarum actores solent, degressus, quum auxisset terrorem Atheniensibus, exordio suæ orationis finem eorum metui fecit. Nam et vocis contentione et verborum acerbitate sibi temperans, leniter et amice reprehensis reconciliatus est, centumque millia medimnorum frumenti largitus, magistratus, qui populo essent acceptis-
c simi, constituit. (3) Hic Dromoclides rhetor, quum videret populum præ gaudio varias voces edentem et laudationes oratorum superare certantem, rogationem tulit, ut Demetrio regi Piræeus et Munychia dederentur. Hoc approbato, ipse Demetrius Museum suapte sponte præsidio occupavit, ne denuo populus jugo excusso novas ipsi molestias exhiberet.

XXXV. Athenis receptis, statim ad subigendam Lacedæmonem animum adjunxit. Atque apud Mantineam regem Archidamum occurrentem sibi quum vicisset profligassetque prœlio, in Laconicam irrupit, rursusque apud ipsam urbem Spartam ducentis occisis, quingentis captis, videbatur jamjam urbem a nemine ad id usque tempus captam occu-
d paturus. Enimvero non arbitror ullum fuisse regem, cujus fortuna majoribus esset ac celerioribus obnoxia mutationibus: neque eam ullis in rebus toties secundam et adversam, modo ex prospero successu tristem, modo ex afflicto statu lætum mutasse. Ideoque eum ferunt rebus in deterius mutatis, Fortunam Æschyli hoc versu compellare solitum:

Tu me quod instas, me pessum appares dare.

(2) Etenim rebus illi tum ita prospere succedentibus ut ad
e principatum ac potentiam parandam egregios faceret progressus, renuntiatur urbes Asiaticas Lysimachum abstulisse, et Cyprum Ptolemæum, una excepta Salamina, cepisse inque ea liberos ejus cum matre obsidere. Verumtamen Fortuna, sicut illa apud Archilochum mulier, cujus

— — altera portat aquam
manus dolosa; portat ignes altera,

tam gravibus eum et periculosis nuntiis a Lacedæmone avocans, alias illico spes novarum magnarumque rerum ei ex hujuscemodi causa obtulit.

XXXVI. Casandro mortuo, Philippus filiorum ejus natu

σεύτατος αὐτοῦ τῶν παίδων Φίλιππος οὐ πολὺν χρόνον βασιλεύσας Μακεδόνων ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς f ἀλλήλους ἐστασίαζον. Θατέρου δὲ αὐτῶν Ἀντιπάτρου τὴν μητέρα Θεσσαλονίκην φονεύσαντος, ἅτερος ἐκάλει βοηθοὺς ἐκ μὲν Ἠπείρου Πύῤῥον, ἐκ δὲ Πελοποννήσου Δημήτριον. Ἔφθασε δὲ Πύῤῥος ἐλθὼν καὶ πολὺ μέρος Μακεδονίας ἀποτεμόμενος τῆς βοηθείας μισθὸν, φοβερὸς 906 μὲν ἦν ἤδη παροικῶν Ἀλεξάνδρῳ· Δημητρίου δ', ὡς a ἐδέξατο τὰ γράμματα, μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας τοῦτον φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν ἀπήντησεν αὐτῷ περὶ Δῖον, ἀσπαζόμενος μὲν καὶ φιλοφρονούμενος, οὐδὲν δὲ φάσκων ἔτι τῆς ἐκείνου δεῖσθαι τὰ πράγματα παρουσίας. (2) Ἦσαν οὖν ἐκ τούτων ὑποψίαι πρὸς ἀλλήλους αὐτοῖς καὶ βαδίζοντι Δημητρίῳ πρὸς δεῖπνον ὑπὸ τοῦ νεανίσκου παρακεκλημένῳ μηνύει τις ἐπιβουλὴν, ὡς ἐν αὐτῷ τῷ πότῳ μελλόντων αὐτὸν ἀνελεῖν. Ὁ δὲ μηδὲν διαταραχθεὶς, ἀλλὰ μικρὸν ὑφεὶς τῆς πορείας, ἐκέλευσε τοὺς μὲν ἡγεμόνας ἐν τοῖς ὅπλοις τὴν στρατιὰν ἔχειν, ἀκολούθους δὲ καὶ παῖδας, b ὅσοι περὶ αὐτὸν ἦσαν (ἦσαν δὲ πολὺ πλείους τῶν Ἀλεξάνδρου), συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα καὶ παραμένειν, ἄχρι ἂν ἐξαναστῇ. Τοῦτο δείσαντες οἱ περὶ τὸν Ἀλέξανδρον οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι. Καὶ ὁ μὲν Δημήτριος οὐκ ἔχειν αὐτῷ τὸ σῶμα ποτικῶς σκηψάμενος διὰ ταχέων ἀπῆλθε· τῇ δὲ ὑστεραίᾳ περὶ ἀναζυγὴν εἶχε πράγματα νεώτερα προσπεπτωκέναι φάμενος αὐτῷ, καὶ παρῃτεῖτο συγγνώμην ἔχειν τὸν Ἀλέξανδρον, εἰ τάχιον ἀπαίρει· συνέσεσθαι γὰρ αὐτῷ μᾶλλον ἄλλοτε σχολάζων. (3) Ἔχαιρεν οὖν ὁ Ἀλέξανδρος, ὡς οὐ πρὸς c ἔχθραν, ἀλλ' ἑκουσίως ἐκ τῆς χώρας ἀπαίροντος αὐτοῦ, καὶ προέπεμπεν ἄχρι Θετταλίας. Ἐπεὶ δὲ εἰς Λάρισσαν ἧκον, αὖθις ἀλλήλοις ἐπήγγελλον ἑστιάσεις ἀντεπιβουλεύοντες· ὃ δὴ μάλιστα τὸν Ἀλέξανδρον ὑποχείριον ἐποίησε τῷ Δημητρίῳ. Φυλάττεσθαι γὰρ ὀκνῶν, ὡς μὴ κἀκεῖνον ἀντιφυλάττεσθαι διδάξῃ, δρᾶν ὃ ἐμηχανᾶτο ἔφθασε παθὼν, μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον. Κληθεὶς γὰρ ἐπὶ δεῖπνον ἦλθε πρὸς τὸν Δημήτριον. Ὡς δὲ ἐκεῖνος ἐξανέστη μεταξὺ δειπνῶν, φοβηθεὶς ὁ Ἀλέξανδρος συνεξανέστη καὶ κατὰ πόδας αὐτῷ πρὸς d τὰς θύρας συνηκολούθει. Γενόμενος οὖν ὁ Δημήτριος πρὸς ταῖς θύραις κατὰ τοὺς ἑαυτοῦ δορυφόρους καὶ τοῦτο μόνον εἰπὼν, « Κόπτε τὸν ἑπόμενον, » αὐτὸς μὲν ὑπεξῆλθεν, ὁ δὲ Ἀλέξανδρος ὑπ' ἐκείνων κατεκόπη καὶ τῶν φίλων οἱ προσβοηθοῦντες, ὧν ἕνα λέγουσι σφαττόμενον εἰπεῖν, ὡς ἡμέρᾳ μιᾷ φθάσειεν αὐτοὺς ὁ Δημήτριος.

XXXVII. Ἡ μὲν οὖν νὺξ, οἷον εἰκὸς, θόρυβον ἔσχεν. Ἅμα δὲ ἡμέρᾳ ταραττομένοις τοῖς Μακεδόσι καὶ φοβουμένοις τὴν τοῦ Δημητρίου δύναμιν, ὡς ἐπῄει μὲν οὐδεὶς φοβερὸς, ὁ δὲ Δημήτριος ἔπεμπε βουλόμενος ἐντυχεῖν καὶ περὶ τῶν πεπραγμένων ἀπολογήσασθαι, θαῤῥεῖν παρέστη καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. Ὡς δὲ ἦλθεν, οὐ μακρῶν ἐδέησεν αὐτῷ λόγων, ἀλλὰ τῷ e μισεῖν μὲν Ἀντίπατρον, φονέα μητρὸς ὄντα, βελτίονος

maximus, quum haud diu Macedonibus imperasset, mortem obiit, superstites duo fratres inter se contenderunt. Quorum quum alter Antipater Thessalonicen matrem necasset, alter Alexander ex Epiro Pyrrhum, ex Peloponneso Demetrium sibi in auxilium vocavit. Prior veniens Pyrrhus pro auxilii mercede ad se rapuit magnam Macedoniæ partem, jamque terribilis erat Alexandro vicinus. Quum autem Demetrius acceptis literis copias adduceret, auctoritatem ejus et gloriam admodum timens adolescens venientem apud Dium obviam factus amice salutavit atque accepit, dixitque res suas nihil jam ejus præsentiam desiderare. (2) Statim inde sinistræ inter eos obortæ suspiciones, et Demetrio eunti ad cœnam (erat autem a juvene invitatus) insidias quidam exponit, compositum esse inquiens, uti ipsum inter pocula trucidarent. Demetrius autem nihil perturbatus, paululum modo inter eundum moratus, ducibus mandavit in armis haberent exercitum, comites autem et pueros quotquot secum habebat (erant autem multo quam Alexandri plures), secum in cœnaculum ingredi et exspectare jussit, dum ipse surgeret. Hæc res Alexandrum a perpetrando facinore deterruit. Et Demetrius prætendens se corpore ita esse affecto, ut compotationem non ferret, celeriter abivit. Postridie discessum moliri cœpit, novarum rerum nuntios ad se allatos dicens, veniamque ab Alexandro petens, quod citius discederet, seque cum eo per otium diutius futurum pollicens. (3) Gavisus Alexander non hostili animo, sed sua sponte eum Macedonia abire, in Thessaliam usque comitatus est. Ut Larissam perventum est, rursus mutuas texentes insidias, ad cœnam se invicem invitabant, id quod maxime Alexandrum in manus dedit Demetrii. Nam cavere sibi dubitans, ut ne illum cautiorem suo exemplo redderet, id quod faciendum susceperat, ut semet ipso cunctante ille non aufugeret, patiendum sibi vidit. Vocatus enim ad cœnam a Demetrio, venit; quumque is inter cœnandum surgeret, territus una mensam reliquit, eumque ad fores usque subsecutus est. Demetrius postquam ad januam et suos stipatores pervenit, id modo fatus, ut sequentem occiderent, exiit; Alexander ab iis obtruncatus est et ex amicis ii qui auxilii ferendi causa accurrerant, quorum unus jam moriens dixisse fertur: Demetrium unius diei spatium præoccupasse.

XXXVII. Nocte ea, ut consentaneum erat, trepidatum est; mane tamen quum Macedones perturbati potentiam Demetrii metuerent, neque tamen quicquam hostile ipsis accideret, missis a Demetrio nuntiis colloqui se et factorum rationes edere velle dicente, animum receperunt, eumque benigne admiserunt. Neque longa ei opus fuit apud eos oratione, quin Antipatrum matris cæde consceleratum exosi, quia nullus melior in promptu erat, eum regem Macedoniæ crea-

δὲ ἀπορεῖν, ἐκεῖνον ἀνηγόρευσαν βασιλέα Μακεδόνων καὶ παραλαβόντες εὐθὺς κατῆγον εἰς Μακεδονίαν. Ἦν δὲ καὶ τοῖς οἴκοι Μακεδόσιν οὐκ ἀκούσιος ἡ μεταβολή, μεμνημένοις ἀεὶ καὶ μισοῦσιν ἃ Κάσανδρος εἰς Ἀλέξανδρον τεθνηκότα παρηνόμησεν. Εἰ δέ τις ἔτι μνήμη τῆς Ἀντιπάτρου τοῦ παλαιοῦ μετριότητος ὑπελείπετο, καὶ ταύτην Δημήτριος ἐκαρποῦτο Φίλᾳ συνοικῶν καὶ τὸν ἐξ ἐκείνης υἱὸν ἔχων διάδοχον τῆς ἀρχῆς ἤδη τότε f μειράκιον ὄντα καὶ τῷ πατρὶ συστρατευόμενον.

XXXVIII. Οὕτω δὲ λαμπρᾷ κεχρημένος εὐτυχίᾳ πυνθάνεται μὲν περὶ τῶν τέκνων καὶ τῆς μητρός, ὡς μεθεῖνται, δῶρα καὶ τιμὰς Πτολεμαίου προσθέντος αὐτοῖς, πυνθάνεται δὲ περὶ τῆς Σελεύκῳ γαμηθείσης θυγατρός, ὡς Ἀντιόχῳ τῷ Σελεύκου συνοικεῖ καὶ βασίλισσα τῶν ἄνω βαρβάρων ἀνηγόρευται. (2) Συνέβη γάρ, ὡς ἔοικε, τὸν Ἀντίοχον ἐρασθέντα τῆς Στρατονίκης 907 νέας οὔσης, ἤδη δὲ παιδίον ἐχούσης ἐκ τοῦ Σελεύκου, a διακεῖσθαι κακῶς καὶ πολλὰ ποιεῖν τῷ πάθει διαμαχόμενον, τέλος δ' αὑτοῦ καταγνόντα δεινῶν μὲν ἐπιθυμεῖν, ἀνήκεστα δὲ νοσεῖν, κεκρατῆσθαι δὲ τῷ λογισμῷ, τρόπον ἀπαλλαγῆς τοῦ βίου ζητεῖν καὶ παραλύειν ἀτρέμα καὶ θεραπείας ἀμελείᾳ καὶ τροφῆς ἀποχῇ τὸ σῶμα νοσεῖν τινα νόσον σκηπτόμενον. (3) Ἐρασίστρατον δὲ τὸν ἰατρὸν αἰσθέσθαι μὲν οὐ χαλεπῶς ἐρῶντος αὐτοῦ, τὸ δὲ οὗτινος ἐρᾷ δυστόπαστον ὂν ἐξανευρεῖν βουλόμενον ἀεὶ μὲν ἐν τῷ δωματίῳ διημερεύειν, εἰ δέ τις εἰσίοι τῶν ἐν ὥρᾳ μειρακίων ἢ γυναικῶν, ἐγκαθορᾶν τε τῷ προσώπῳ b τοῦ Ἀντιόχου καὶ τὰ συμπάσχειν μάλιστα τῇ ψυχῇ τρεπομένῃ πεφυκότα μέρη καὶ κινήματα τοῦ σώματος ἐπισκοπεῖν. Ὡς οὖν τῶν μὲν ἄλλων εἰσιόντων ὁμοίως εἶχε, τῆς δὲ Στρατονίκης καὶ καθ' ἑαυτὴν καὶ μετὰ τοῦ Σελεύκου φοιτώσης πολλάκις ἐγίνετο τὰ τῆς Σαπφοῦς ἐκεῖνα περὶ αὐτὸν πάντα, φωνῆς ἐπίσχεσις, ἐρύθημα πυρῶδες, ὄψεων ὑπολείψεις, ἱδρῶτες ὀξεῖς, ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς, τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης ἀπορία καὶ θάμβος καὶ ὠχρίασις, ἐπὶ τούτοις προσλογιζόμενον τὸν Ἐρασίστρατον κατὰ τὸ εἰκός, ὡς οὐκ ἂν ἑτέρας ἐρῶν βασιλέως υἱὸς ἐνεκαρτέρει τῷ σιωπᾶν μέχρι θανάτου, χαλεπὸν μὲν ἡγεῖσθαι c τὸ φράσαι ταῦτα καὶ κατειπεῖν, οὐ μὴν ἀλλὰ πιστεύοντα τῇ πρὸς τὸν υἱὸν εὐνοίᾳ τοῦ Σελεύκου παρακινδυνεῦσαί ποτε καὶ εἰπεῖν, ὡς ἔρως μὲν εἴη τοῦ νεανίσκου τὸ πάθος, ἔρως δὲ ἀδύνατος καὶ ἀνίατος. (4) Ἐκπλαγέντος δὲ ἐκείνου καὶ πυθομένου πῶς ἀνίατος· « Ὅτι νὴ Δία, φάναι τὸν Ἐρασίστρατον, ἐρᾷ τῆς ἐμῆς γυναικός. » « Εἶτα οὐκ ἄν, εἰπεῖν τὸν Σέλευκον, ἐπιδοίης, Ἐρασίστρατε, τῷ ἐμῷ παιδὶ φίλος ὢν τὸν γάμον, καὶ ταῦτα ὁρῶν ἡμᾶς ἐπὶ τούτῳ μόνῳ σαλεύοντας; » « Οὐδὲ γὰρ ἂν σύ, φάναι, τοῦτο πατὴρ ὢν ἐποίησας, εἰ Στρατονίκης Ἀντίοχος ἐπεθύμησε. » Καὶ τὸν Σέλευκον, « Εἴθε γάρ, ἑταῖρε, εἰπεῖν, ταχὺ μεταστρέ- d ψαι τις ἐπὶ ταῦτα καὶ μεταβάλοι θεῶν ἢ ἀνθρώπων τὸ πάθος· ὡς ἐμοὶ καὶ τὴν βασιλείαν ἀφεῖναι καλὸν Ἀντιόχου περιεχομένῳ. » Ταῦτα ἐμπαθῶς σφόδρα τοῦ

rent, inque Macedoniam statim deducerent. Iis etiam qui domi erant Macedonibus haud ingrata fuit mutatio, memoria repetentibus ea quæ in Alexandrum vita defunctum Casander perpetrasset. Quodsi cui in mentem veniret moderationis et æquitatis, qua Antipater major usus fuerat, ejus quoque fructum Demetrius percipiebat, Philæ maritus, ex qua filium successorem regni progenuerat, qui tum adolescens sub patre militabat.

XXXVIII. Tam illustri fortunæ beneficio elatus Demetrius nuntios præterea accepit de liberis et matre, dimissos eos donisque præterea et honoribus a Ptolemæo affectos, filiam vero Stratonicen, quam Ptolemæo nupserat, Antiocho Seleuci filio in connubium traditam, superiorumque barbarorum reginam designatam. (2) Inciderat enim forte in amorem Stratonices novercæ Antiochus, quæ juvenis adhuc puerum jam Seleuco pepererat. Quum graviter affectus multis modis excutere eum affectum tentasset, tandem recordatus dira se teneri cupiditate et immedicabili ægritudine affligi, consilioque esse destitutum, statuit finem vivendi facere, et simulato morbo, neglectu eorum quæ ad curam corporis attinent atque inedia paulatim sibi mortem consciscere. (3) Erasistratus autem medicus, quum non difficulter deprehendisset amore eum correptum esse, neque conjicere tamen posset, quid deperiret, rei perscrutandæ causa assiduo in ipsius conclavi versatus observare cœpit ubi aut adolescens aut mulier formosa ingrederetur, quis vultus Antiochi esset, et partes considerare quæ animi maxime affectionibus consentire solent atque corporis inspicere motus. Quum ad reliquorum ingressum nihil mutationis sentiret, animadvertit quoties Stratonica vel sola vel cum Seleuco intraret (id quod fiebat frequenter), omnia illa, quæ a Sapphone scribuntur, indicia in Antiocho apparere, vocis repressionem, igneum ruborem, oculorum obscurationes, subitos sudores, pulsuum perturbationem atque inconstantiam, ac victo tandem protinus animo, angorem, stuporem ac pallorem. Hæc Erasistratus perpendens, idque etiam ratiocinatus, regis filium, si alio quam novercæ amore laboraret, haudquaquam ad mortis usque discrimen ægritudinem reticiturum fuisse: hunc quidem ejus amorem efferre atque prodere arduum duxit, fretus tamen Seleuci in filium benevolentia, ausus est aliquando ei dicere, morbum Antiochi ex amore esse, sed amore insanabili, quod fieri non posset, uti is amata potiretur. (4) Perterrito deinde regi et quid ita amor ille expleri non posset, interroganti: Quia, inquit, uxorem meam deperit. Ibi Seleucus: Tu autem, Erasistrate, quum sis amicus noster, cur adeo filio meo uxoris tuæ nuptias concedere nolis, præsertim quum in eo uno niti regnum nostrum videas? Quia, inquit Erasistratus, ne te quidem, patrem ejus, concessurum fuisse arbitror, si Stratonicam concupivisset. Ad hæc Seleucus: Utinam vero, inquit, amice, aliquis hominum deorumve amorem filii me ita subito a tua uxore eo avertat, ut lubens ego regnum quoque dimiserim superstite

Σελεύκου μετὰ πολλῶν δακρύων λέγοντος, ἐμβαλόντα τὴν δεξιὰν αὐτῷ τὸν Ἐρασίστρατον εἰπεῖν, ὡς οὐδὲν Ἐρασιστράτου δέοιτο· καὶ γὰρ πατὴρ καὶ ἀνὴρ ὢν καὶ βασιλεὺς αὐτὸς ἅμα καὶ ἰατρὸς εἴη τῆς οἰκίας ἄριστος. (5) Ἐκ τούτου τὸν Σέλευκον ἐκκλησίαν ἀθροίσαντα πάνδημον εἰπεῖν, ὅτι βούλεται καὶ διέγνωκε τῶν ἄνω πάντων τόπων Ἀντίοχον ἀποδεῖξαι βασιλέα καὶ Στρατονί- e κην βασιλίδα ἀλλήλοις συνοικοῦντας, οἴεσθαι δὲ τὸν μὲν υἱὸν εἰθισμένον ἅπαντα πείθεσθαι καὶ κατήκοον ὄντα μηθὲν ἀντερεῖν αὐτῷ πρὸς τὸν γάμον, εἰ δ' ἡ γυνὴ τῷ μὴ νενομισμένῳ δυσκολαίνοι, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτὴν καὶ πείθωσι καλὰ καὶ δίκαια τὰ δοκοῦντα βασιλεῖ μετὰ τοῦ συμφέροντος ἡγεῖσθαι. Τὸν μὲν οὖν Ἀντιόχου καὶ Στρατονίκης γάμον ἐκ τοιαύτης γενέσθαι προφάσεως λέγουσι.

XXXIX. Δημήτριος δὲ μετὰ Μακεδονίαν καὶ Θετταλίαν ἣν παρειληφώς. Ἔχων δὲ καὶ Πελοποννήσου τὰ πλεῖστα καὶ τῶν ἐκτὸς Ἰσθμοῦ Μέγαρα καὶ Ἀθήνας, f ἐπὶ Βοιωτοὺς ἐστράτευσε. Καὶ πρῶτον μὲν ἐγένοντο συμβάσεις μέτριαι πέρὶ φιλίας πρὸς αὐτόν· ἔπειτα Κλεωνύμου τοῦ Σπαρτιάτου παραβαλόντος εἰς Θήβας μετὰ στρατιᾶς, ἐπαρθέντες οἱ Βοιωτοί, καὶ Πίσιδος ἅμα τοῦ Θεσπιέως, ὃς ἐπρώτευε δόξῃ καὶ δυνάμει τότε, συμπαρορμῶντος αὐτούς, ἀπέστησαν. Ὡς δὲ ταῖς Θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ Δημήτριος ἐπολιόρκει καὶ φοβηθεὶς 908 ὑπεξῆλθεν ὁ Κλεώνυμος, καταπλαγέντες οἱ Βοιωτοὶ πα- a ρέδωκαν ἑαυτούς. Ὁ δὲ ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰν καὶ πραξάμενος πολλὰ χρήματα καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν Ἱερώνυμον τὸν ἱστορικὸν ἔδοξεν ἠπίως κεχρῆσθαι, καὶ μάλιστα διὰ Πίσιν. Ἑλὼν γὰρ αὐτὸν οὐδὲν κακὸν ἐποίησεν, ἀλλὰ καὶ προσαγορεύσας καὶ φιλοφρονηθεὶς πολέμαρχον ἐν Θεσπιαῖς ἀπέδειξεν. (2) Οὐ πολλῷ δὲ ὕστερον ἁλίσκεται Λυσίμαχος ὑπὸ Δρομιχαίτου· καὶ πρὸς τοῦτο Δημητρίου κατὰ τάχος ἐξορμήσαντος ἐπὶ Θρᾴκην, ὥσπερ ἔρημα καταληψομένου, πάλιν ἀπέστησαν οἱ Βοιωτοὶ καὶ Λυσίμαχος ἅμα διειμένος ἀπηγγέλλετο. Ταχέως οὖν καὶ πρὸς ὀργὴν b ἀναστρέψας ὁ Δημήτριος εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς Ἀντιγόνου μάχῃ τοὺς Βοιωτοὺς καὶ τὰς Θήβας αὖθις ἐπολιόρκει.

XL. Πύῤῥου δὲ Θεσσαλίαν κατατρέχοντος καὶ μέχρι Θερμοπυλῶν παραφανέντος, Ἀντίγονον ἐπὶ τῆς πολιορκίας ἀπολιπὼν αὐτὸς ὥρμησεν ἐπ' ἐκεῖνον. Ὀξέως δὲ φυγόντος, ἐν Θεσσαλίᾳ καταστήσας μυρίους ὁπλίτας καὶ χιλίους ἱππεῖς αὖθις ἐπέκειτο ταῖς Θήβαις, καὶ προσῆγε τὴν λεγομένην ἑλέπολιν πολυπόνως καὶ κατὰ μικρὸν ὑπὸ βρίθους καὶ μεγέθους μοχλευομένην, ὡς μόλις ἐν δυσὶ μησὶ δύο σταδίους προελθεῖν. (2) Τῶν δὲ Βοιω- c τῶν ἐῤῥωμένως ἀμυνομένων καὶ τοῦ Δημητρίου πολλάκις φιλονεικίας ἕνεκα μᾶλλον ἢ χρείας μάχεσθαι καὶ κινδυνεύειν τοὺς στρατιώτας ἀναγκάζοντος, ὁρῶν ὁ Ἀντίγονος πίπτοντας οὐκ ὀλίγους καὶ περιπαθῶν, « Τί, ὦ πάτερ, ἔφη, παραναλισκομένους οὐκ ἀναγκαίως τούτους περιορῶμεν; » Ὁ δὲ παροξυνθεὶς, « Σὺ δὲ, ἔφη,

filio. Hæc quum ille animo graviter perturbato multisque cum lacrimis esset locutus, injecta dextra Erasistratus, Nihil jam, inquit, ad istam rem Erasistrati opera eges; ipse enim tu et pater amantis et adamatæ maritus et rex, optime familiæ tuæ mederi potes. (5) Proinde Seleucus advocato in concionem universo populo, Decrevi, inquit, omnium superiorum provinciarum regem constituere Antiochum et Stratonicen ei conjugem reginamque; filium autem existimo, ut hactenus in omnibus rebus voluntatem suam ad mandatum meum accommodavit, ita hac quoque in re obtemperaturum; quodsi Stratonica illegitimas nuptias detrectat, amicos hortor uti demonstrent ei atque persuadeant honesta esse et justa omnia, quæ utilitatis causa rex statuerit. Ex hujusmodi opportunitate nuptias Antiochi cum Stratonice conciliatas esse perhibent.

XXXIX. Porro Demetrius post Macedoniam Thessalia et majore parte Peloponnesi, atque extra Isthmum Megara et Athenis potitus, Bœotis bellum fecit. Primum hi mediocribus conditionibus de pace cum eo facienda egerant; postquam autem Cleonymus Spartanus cum exercitu Thebas venit, resumpta audacia, simul et Piside Thespiensi, cujus inter Bœotos summa erat auctoritas atque potentia, instigante rebellaverant. Sed postquam Thebis oppugnandis machinas admovit Demetrius ac territus Cleonymus se subduxit, Bœoti animis lapsi deditionem fecerunt. Demetrius, imposito in urbes præsidio, exacta ingenti pecunia et Hieronymo, qui historias conscripsit, ipsis præfecto, magnam de se clementiæ opinionem excitavit, maxime eo, quod Pisidem captum non modo nullo supplicio affecit, sed et comiter collocutus Thespiarum Polemarchum constituit. (2) Paullo post captum esse a Dromichæta Lysimachum nuntiatur; itaque quum illico in Thraciam duceret Demetrius, ut vacuam defensoribus regionem occuparet, rursus defecerunt Bœotii et Lysimachum simul dimissum refertur. Demetrius quum exasperato animo celeriter reverteretur, victos ab Antigono filio pugna Bœotos reperit, rursumque Thebas obsidet.

XL. Pyrrho autem Thessaliam incursionibus vexante et ad Thermopylas usque progresso, Antigonum apud obsidionem relinquens, adversus eum contendit; quumque is celeriter aufugisset, decem millibus gravis armaturæ militum, et mille equitibus in Thessalia præsidii loco relictis, iterum ad Thebas se convertit. Machinam quoque helepolin dictam tum urbi admovit, cujus tanta erat moles atque pondus, ut vectibus ingenti labore et pedetentim propulsa duorum mensium spatio vix duo stadia transiret. (2) Bœotis autem fortiter se tuentibus et Demetrio sæpe contentionis potius quam utilitatis causa milites periculis objiciente, videns Antigonus perire haud paucos, graviter doluit, atque ex patre quæsivit, curnam inutiliter milites nullaque necessitate postulante interire pateretur. Cui Deme-

τί δυσχεραίνεις; ἢ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν;» Οὐ μὴν ἀλλὰ καὶ βουλόμενός γε μὴ δοκεῖν ἑτέρων ἀφειδεῖν μόνον, ἀλλὰ καὶ συγκινδυνεύειν τοῖς μαχομένοις διελαύνεται τὸν τράχηλον ὀξυβελεῖ. Καὶ δεινῶς μὲν ἔσχεν, οὐ μὴν ἀνῆκεν, ἀλλὰ εἷλε τὰς Θήβας πάλιν. (3) Καὶ παρελθὼν ἀνάτασιν μὲν καὶ φόβον ὡς d τὰ δεινότατα πεισομένοις παρέσχεν, ἀνελὼν δὲ τρισκαίδεκα καὶ μεταστήσας τινὰς, ἀφῆκε τοὺς ἄλλους. Ταῖς μὲν οὖν Θήβαις οὔπω δέκατον οἰκουμέναις ἔτος ἁλῶναι δὶς ἐν τῷ χρόνῳ τούτῳ συνέπεσε. (4) Τῶν δὲ Πυθίων καθηκόντων πρᾶγμα καινότατον ἐπέτρεψεν αὑτῷ ποιεῖν ὁ Δημήτριος. Ἐπεὶ γὰρ Αἰτωλοὶ τὰ περὶ Δελφοὺς στενὰ κατεῖχον, ἐν Ἀθήναις αὐτὸς ἦγε τὸν ἀγῶνα καὶ τὴν πανήγυριν, ὡς ἂν προσῆκον αὐτόθι μάλιστα τιμᾶσθαι τὸν θεὸν, ὃς δὴ πατρῷός ἐστι καὶ λέγεται τοῦ γένους ἀρχηγός.

XLI. Ἐντεῦθεν ἐπανελθὼν εἰς Μακεδονίαν καὶ μήτε e αὐτὸς ἄγειν ἡσυχίαν πεφυκὼς τούς τε ἄλλους ὁρῶν ἐν ταῖς στρατείαις μᾶλλον αὐτῷ προσέχοντας, οἴκοι δὲ ταραχώδεις καὶ πολυπράγμονας ὄντας, ἐστράτευσεν ἐπ' Αἰτωλοὺς καὶ τὴν χώραν κακώσας καὶ Πάνταυχον ἐν αὐτῇ μέρος ἔχοντα τῆς δυνάμεως οὐκ ὀλίγον ἀπολιπὼν ἐπὶ Πύῤῥον αὐτὸς ἐχώρει καὶ Πύῤῥος ἐπ' ἐκεῖνον· ἀλλήλων δὲ διαμαρτόντες, ὁ μὲν ἐπόρθει τὴν Ἤπειρον, ὁ δὲ Πανταύχῳ περιπεσὼν καὶ μάχην συνάψας, αὐτὸν μὲν ἄχρι τοῦ δοῦναι καὶ λαβεῖν πληγὴν ἐν χερσὶ γενόμενον ἐτρέψατο, τῶν δὲ ἄλλων πολλοὺς μὲν ἀπέκτεινεν, ἐζώγρησε δὲ πεντακισχιλίους. (2) Καὶ τοῦτο μάλιστα Δη- f μήτριον ἐκάκωσεν· οὐ γὰρ οὕτω μισηθεὶς ὁ Πύῤῥος ἀφ' ὧν ἔπραξεν, ὡς θαυμασθεὶς διὰ τὸ πλεῖστα τῇ χειρὶ κατεργάσασθαι, μέγα τε καὶ λαμπρὸν ἔσχεν ἀπὸ τῆς μάχης ἐκείνης ὄνομα παρὰ τοῖς Μακεδόσι· καὶ πολλοῖς 909 ἐπῄει λέγειν τῶν Μακεδόνων, ὡς ἐν μόνῳ τούτῳ τῶν a βασιλέων εἴδωλον ἐνορῷτο τῆς Ἀλεξάνδρου τόλμης, οἱ δὲ ἄλλοι, καὶ μάλιστα Δημήτριος, ὡς ἐπὶ σκηνῆς τὸ βάρος ὑποκρίνοιντο καὶ τὸν ὄγκον τοῦ ἀνδρός. (3) Ἦν δὲ ὡς ἀληθῶς τραγῳδία μεγάλη περὶ τὸν Δημήτριον, οὐ μόνον ἀμπεχόμενον καὶ διαδούμενον περιττῶς καυσίαις διμίτροις καὶ χρυσοπαρύφοις ἁλουργίσιν, ἀλλὰ καὶ περὶ τοῖς ποσὶν ἐκ πορφύρας ἀκράτου συμπεπιλημένης χρυσοβαφεῖς πεποιημένον ἐμβάδας. Ἦν δέ τις ὑφαινομένη χλαμὺς αὐτῷ πολὺν χρόνον, ἔργον ὑπερήφανον, εἴκασμα τοῦ κόσμου καὶ τῶν κατ' οὐρανὸν φαινομένων· ὃ κατελείφθη μὲν ἡμιτελὲς ἐν τῇ μεταβολῇ τῶν πραγμάτων, οὐδεὶς δὲ ἐτόλμησεν αὐτῇ χρήσασθαι, καίπερ b οὐκ ὀλίγων ὕστερον ἐν Μακεδονίᾳ σοβαρῶν γενομένων βασιλέων.

XLII. Οὐ μόνον δὲ τούτοις τοῖς θεάμασιν ἐλύπει τοὺς ἀνθρώπους ἀήθεις ὄντας, ἀλλὰ καὶ τρυφὴν καὶ δίαιταν ἐβαρύνοντο, καὶ μάλιστα δὴ τὸ δυσόμιλον αὐτοῦ καὶ δυσπρόσοδον. Ἢ γὰρ οὐ παρεῖχε καιρὸν ἐντυχεῖν ἢ χαλεπὸς ἦν καὶ τραχὺς τοῖς ἐντυγχάνουσιν. Ἀθηναίων μὲν γὰρ, περὶ οὓς ἐσπουδάκει μάλιστα τῶν Ἑλλήνων, ἔτη δύο πρεσβείαν κατέσχεν, ἐκ Λακεδαίμονος

trius stomacho moto: Quid, inquit, ea te res sollicitat? an tu defunctis dimensum debes? Verumtamen ut ne abuti commilitonibus solum videretur, ipse quoque una pericula obiens, collum ejus sagitta tormento vibrata transfigitur; et licet graviter afflictus esset, non remisit obsidionem, sed Thebas iterum expugnavit. (3) Ingressus urbem, minas quidem terroresque ut acerrime eos tractaturus, Bœotis objecit, sed tredecim viris necatis, quibusdam in exsilium actis, reliquis veniam dedit. Ita Thebæ nondum decem ab instauratione actis annis, bis hoc spatio captæ sunt. (4) Quum Pythia instarent, rem inauditam ad eum usque diem Demetrius facere ausus, quod ab Ætolis angustiæ apud Delphos insidebantur, Athenis eam solennem festivitatem ludosque fecit, quasi illic maxime Apollinem honorare deceret, qui scilicet patrius deus et generis princeps esse crederetur.

XLI. Reversus in Macedoniam quum neque ipse quiescere posset, et considerans Macedonas in bello magis sibi addictos esse, in pace vero turbulenti et rerum novarum studiosi, in Ætolos expeditionem fecit, agroque eorum infestato, Pantaucho ibi cum parte copiarum haud exigua relicto, adversus Pyrrhum duxit. Pyrrhus quoque tum forte adversus ipsum ibat, sed diversitate itinerum factum est ut ne sibi occurrerent. Ac Demetrius quidem Epirum depopulabatur, Pyrrhus in Pantauchum incidit, commissaque pugna, eum secum congressum accepto ac dato vulnere in fugam vertit, multos de exercitu ejus cecidit, et quinque millia cepit. (2) Hæc res plurimum obfuit Demetrio. Etenim odio, quod Pyrrhus suis sibi factis conflarat, major fuit exinde ejus admiratio, inclitumque apud Macedones nomen, quod ea in pugna pleraque sua ipse manu gessisset; nonnullisque Macedonum subibat dicere, in solo Pyrrho imaginem audaciæ Alexandri elucere, ceteros reges, atque inprimis Demetrium, majestatem ejus fastumque veluti in scena repræsentare. (3) Erat autem revera tragicus Demetrii habitus, qui non contentus causiarum duabus tæniis ornatarum gestatione, purpurarumque auro prætextarum, verum etiam pedibus calceos ex sincera purpura compacta auroque distincta faciendos curavit. Chlamys quoque ei texebatur, superbum et multo tempore absolvendum opus, in quo mundus et sidera cœlestia depingerentur; quam ob mutationem rerum imperfectam nemo regum gestare ausus est, quamvis haud pauci post ipsum Macedoniæ luxuriosi reges fuerint.

XLII. Neque harum modo rerum insolentia molestus suis erat, sed luxu etiam suo et vitæ ratione. Indignissime autem ferebant alloquii et aditus ad eum difficultatem, quippe aut non dabat accedendi sui facultatem, aut colloquentibus durum se morosumque præbebat. Atheniensium quidem, quibus præter ceteros Græcos maxime studebat, legationem quandam toto biennio detinuit. Unum ad se

δὲ ἑνὸς πρεσβευτοῦ παραγενομένου καταφρονεῖσθαι δοκῶν ἠγανάκτησεν. Ἀστείως μέντοι καὶ Λακωνικῶς ἐκεῖνος, εἰπόντος αὐτοῦ « Τί σὺ λέγεις; ἕνα Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν; » « Ναί, εἶπεν, ὦ βασιλεῦ, πρὸς ἕνα. » (2) Δόξαντος δὲ αὐτοῦ ποτε δημοτικώτερον ἐξελαύνειν καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς συνέδραμόν τινες ἐγγράφους ἀξιώσεις ἀναδιδόντες. Δεξαμένου δὲ πάσας καὶ τῇ χλαμύδι συλλαβόντος, ἥσθησαν οἱ ἄνθρωποι καὶ παρηκολούθουν· ὡς δὲ ἦλθεν ἐπὶ τὴν τοῦ Ἀξίου γέφυραν, ἀναπτύξας τὴν χλαμύδα πάσας εἰς τὸν ποταμὸν ἐξέῤῥιψε. Καὶ τοῦτο δὴ δεινῶς ἠνίασε τοὺς Μακεδόνας ὑβρίζεσθαι δοκοῦντας, οὐ βασιλεύεσθαι, καὶ Φιλίππου μνημονεύοντας ἢ τῶν μνημονευόντων ἀκούοντας, ὡς μέτριος ἦν περὶ ταῦτα καὶ κοινός. Καί ποτε πρεσβυτέρου γυναίου κόπτοντος αὐτὸν ἐν παρόδῳ τινὶ καὶ δεομένου πολλάκις ἀκουσθῆναι, φήσας μὴ σχολάζειν, ἐγκραγόντος ἐκείνου καὶ « Μὴ βασίλευε » εἰπόντος, δηχθεὶς σφόδρα καὶ πρὸς τούτῳ γενόμενος ἀνέστρεψεν εἰς τὴν οἰκίαν καὶ πάντα ποιησάμενος ὕστερα τοῖς ἐντυχεῖν βουλομένοις, ἀρξάμενος ἀπὸ τῆς πρεσβύτιδος ἐκείνης, ἐπὶ πολλὰς ἡμέρας ἐσχόλασεν. (3) Οὐδὲν γὰρ οὕτως βασιλεῖ προσῆκεν, ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος, νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστι· καὶ τοὺς βασιλεῖς Ὅμηρός φησιν οὐχ ἑλεπόλεις οὐδὲ ναῦς χαλκήρεις, ἀλλὰ θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας ῥύεσθαι καὶ φυλάσσειν, καὶ τοῦ Διὸς οὐ τὸν πολεμικώτατον οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν. Ἀλλὰ Δημήτριος ἔχαιρε τῷ βασιλεῖ τῶν θεῶν ἀνομοιοτάτην ἐπιγραφόμενος προσωνυμίαν. Ὁ μὲν γὰρ Πολιεὺς καὶ Πολιοῦχος, ὁ δὲ Πολιορκητὴς ἐπίκλησιν ἔσχεν. Οὕτως ἐπὶ τὴν τοῦ καλοῦ χώραν τὸ αἰσχρὸν ὑπὸ δυνάμεως ἀμαθοῦς ἐπελθὸν συνῳκείωσε τῇ δόξῃ τὴν ἀδικίαν.

XLIII. Ὁ δ' οὖν Δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν Πέλλῃ μικροῦ τότε Μακεδονίαν ἐπέβαλε καταδραμόντος ὀξέως Πύῤῥου καὶ μέχρις Ἐδέσσης προελθόντος. Ἅμα δὲ τῷ κουφότερος γενέσθαι πάνυ ῥᾳδίως ἐξελάσας αὐτὸν ἐποιήσατό τινας ὁμολογίας, οὐ βουλόμενος ἐμποδὼν ὄντι συνεχῶς προσπταίων καὶ τοπομαχῶν ἧττον εἶναι πρὸς οἷς διενοεῖτο. Διενοεῖτο δὲ οὐθὲν ὀλίγον,
910 ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. Καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς ἐπιβολῆς οὐκ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιᾶς μὲν ἤδη συνετέτακτο πεζῆς μυριάδας δέκα δισχιλίων ἀνδρῶν ἀποδεούσας καὶ χωρὶς ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττους. Στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος τὰς μὲν ἐν Πειραιεῖ τρόπεις ἔθετο, τὰς δὲ ἐν Κορίνθῳ, τὰς δὲ ἐν Χαλκίδι, τὰς δὲ περὶ Πέλλαν, αὐτὸς ἐπιὼν ἑκασταχόσε καὶ διδάσκων ἃ χρὴ καὶ συντεχνώμενος, ἐκπληττομένων ἁπάντων οὐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. (2) Οὐδεὶς γὰρ εἶδεν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότε-

Lacedæmone missum legatum moleste ferens, seque spretum existimans, interrogavit, ecquid ad se unum tantum
c legatum misissent? Urbane tamen et Laconice ille respondit: Utique, rex, unum ad unum. (2) Quum quadam in profectione popularem aliquantulum sese ostenderet, et admittere alloquia videretur, quidam ad eum concurrerunt, scriptas petitiones offerentes, quas ille omnes accepit, et chlamyde involvit. Magna autem cum voluptate comitantibus eum illis, ut venit in pontem Axii, excussa chlamyde omnes illas in fluvium abjecit. Graviter eo facto Macedonas offendit, qui jam non regi se, sed ludibrio haberi crederent, quum Philippum recordarentur, eosve audirent, qui de
d æquitate ejus et in hisce rebus moderatione narrabant. Tandem aniculæ cujusdam dicto, quæ quum sæpius eum in via interpellasset, utque se audiret postulasset, dicenti non vacare sibi, alta voce: Noli ergo regnare, dixerat, compunctus re diligentius secum cogitata domum rediit, atque omnia alia negotia postponens convenire se volentibus, facto a vetula illa initio, aliquot dies vacavit. (3) Neque vero ulla regi convenientior actio erat quam justitiæ executio. Mars enim, ut Timotheus ait, tyrannus est; legem omnium regem Pindarus appellat. Et reges Homerus ait
e non machinas urbium expugnatrices, non æratas naves a Jove sibi traditas, sed jura accepisse et custodire, regumque non bellicosissimum, neque injustissimum aut sævissimum, sed justissimum Jovis discipulum idem nominat. Verum Demetrius diversissimum a regis deorum appellationibus cognomentum sibi delegit. Hic enim urbium auctor et custos, ille expugnator earum dicitur. Adeo turpe in honesti locum a potentia sapientiæ experte suppositum, injustitiæ etiam opinionem honesti conciliat.

XLIII. Ceterum Demetrius Pellæ morbo periculosissimo
f laborans, prope totam Macedoniam amisit, Pyrrho celeri impressione usque ad Edessam pervagato. Allevato corpore facile admodum profligavit eum, fœdusque cum eo fecit, ne is, assiduis et mediocribus ipsum morans certaminibus, graviora ipsius consilia interturbaret. Nihil enim humile animo agitabat, sed spem totius paterni imperii
a recuperandi conceperat. Spe et conatu apparatus non erat inferior. Jam enim et peditum millia nonaginta octo contraxerat, et equitatum duodecim millibus haud multo inferiorem. Ad classem quingentarum navium conficiendam parata materia, carinas partim in Piræeo, partim Corinthi, quasdam Chalcide, alias apud Pellam constituit; ipse autem singula opificia obiens, quæ ex usu essent fabros monebat et in machinando consiliis instruebat mirantibus omnibus non multitudinem solum, sed et magnitudinem operum. (2) Nemo enim hominum viderat ante quindeciremem aut
b sedeciremem navem. Postea quidem temporis Pto-

ρον οὔτε ἑκκαιδεκήρη, ἀλλ' ὕστερον τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυεῖν δεόντων, ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις, χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας. Ἀλλὰ θέαν μόνην ἐκείνη παρέσχε καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰκοδομημάτων φανῆναι πρὸς ἐπίδειξιν, οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. Τῶν δὲ Δημητρίου νεῶν οὐκ ἦν τὸ καλὸν ἀναγώνιστον c
οὐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπεστεροῦντο τὴν χρείαν, ἀλλὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τοῦ μεγέθους παρεῖχον.

XLIV. Αἱρομένης οὖν τοσαύτης δυνάμεως ἐπὶ τὴν Ἀσίαν, ὅσην μετ' Ἀλέξανδρον οὐδεὶς ἔσχε πρότερον, οἱ τρεῖς συνέστησαν ἐπὶ τὸν Δημήτριον, Σέλευκος, Πτολεμαῖος, Λυσίμαχος· ἔπειτα κοινῇ πρὸς Πύῤῥον ἀποστείλαντες ἐκέλευον ἐξάπτεσθαι Μακεδονίας καὶ μὴ νομίζειν σπονδὰς, αἷς Δημήτριος οὐκ ἐκείνῳ τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' εἴληφεν ἑαυτῷ τὸ πολεμεῖν οἷς βούλεται πρότερον. (2) Δεξαμένου δὲ Πύῤῥου, πολὺς περιέστη πόλεμος ἔτι μέλλοντα Δημήτριον. Ἅμα γὰρ d
τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη, Μακεδονίαν δὲ Λυσίμαχος ἐκ Θρᾴκης, ἐκ δὲ τῆς ὁμόρου Πύῤῥος ἐμβαλόντες ἐλεηλάτουν. Ὁ δὲ τὸν μὲν υἱὸν ἐπὶ τῆς Ἑλλάδος κατέλιπεν, αὐτὸς δὲ βοηθῶν Μακεδονίᾳ πρῶτον ὥρμησεν ἐπὶ Λυσίμαχον. Ἀγγέλλεται δὲ αὐτῷ Πύῤῥος ᾑρηκὼς πόλιν Βέροιαν. (3) Καὶ τοῦ λόγου ταχέως εἰς τοὺς Μακεδόνας ἐκπεσόντος, οὐδὲν ἔτι τῷ Δημητρίῳ κατὰ κόσμον εἶχεν, ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλασφημιῶν μεστὸν ἦν τὸ στρατόπεδον καὶ συμμένειν οὐκ ἤθελον, ἀλλὰ ἀπιέναι τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι, τῇ δ' ἀληθείᾳ πρὸς τὸν Λυσίμαχον. Ἔδοξεν οὖν τῷ Δημητρίῳ Λυ- e
σιμάχου μὲν ἀποστῆναιποῤῥωτάτω, πρὸς δὲ Πύῤῥον τραπέσθαι· τὸν μὲν γὰρ ὁμόφυλον εἶναι καὶ πολλοῖς συνήθη δι' Ἀλέξανδρον, ἔπηλυν δὲ καὶ ξένον ἄνδρα τὸν Πύῤῥον οὐκ ἂν αὐτοῦ προτιμῆσαι Μακεδόνας. (4) Τούτων μέντοι πολὺ διεψεύσθη τῶν λογισμῶν. Ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ Πύῤῥῳ παρεστρατοπέδευσεν, ἀεὶ μὲν αὐτοῦ τὴν ἐν τοῖς ὅπλοις λαμπρότητα θαυμάζοντες ἔκ τε τοῦ παλαιοτάτου καὶ βασιλικώτατον εἰθισμένοι νομίζειν τὸν ἐν τοῖς ὅπλοις κράτιστον, τότε δὲ καὶ πρᾴως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι, πάντως δὲ καὶ f
πρὸς ἕτερον καὶ πρὸς τοῦτον ἀπαλλαγῆναι τοῦ Δημητρίου ζητοῦντες, ἀπεχώρουν λάθρα καὶ κατ' ὀλίγους τό γε πρῶτον, εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ στρατόπεδον, τέλος δὲ τῷ Δημητρίῳ τολμήσαντές τινες προσελθεῖν ἐκέλευον ἀπιέναι καὶ σώζειν αὑτόν·
911 ἀπειρηκέναι γὰρ ἤδη Μακεδόνας ὑπὲρ τῆς ἐκείνου τρυφῆς a
πολεμοῦντας. (5) Οὗτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ Δημητρίῳ πρὸς τὴν τῶν ἄλλων τραχύτητα· καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ οὐ βασιλεὺς, ἀλλ'

lemæus Philopator quadragintaremem construxit, longam ducentos octoginta, altam ab imo fundo usque ad summum puppis duodequinquaginta cubitos, remigibus quater mille et nautis præterea quadringentis instruebatur, recipiebatque classiariorum in foris et tabulato prope tria millia. Verum hæc navis spectaculo magis et ostentationi quam usui fuit, quod difficulter neque sine periculo commoveri posset, parumque ab ædificiis fixis differret. Demetrii autem navibus non aderat pulchritudo certaminibus inutilis, neque artificiosus apparatus usum earum impediebat, imo celeritas et utilitas earum majori erat quam moles miraculo.

XLIV. Itaque quum Demetrius ad invadendam Asiam tantas, quantas post Alexandrum nemo ante, contraxisset copias, Seleucus, Ptolemæus et Lysimachus, contra eum inita belli societate, ad Pyrrhum communi nomine literas mittunt, quibus eum hortantur, uti Macedoniam invaderet, neque id fœdus putaret, quod Demetrius non pacis dandæ causa pepigisset, sed ut iis quibus vellet bellum inferre posset, accepisset. (2) Assentiente Pyrrho, ingens undique bellum imparatum adhuc Demetrium circumstetit, quum magna classe Ptolemæus circumvehens Græciam ad defectionem pertraheret, Macedoniam ex Thracia Lysimachus, ex finitimis regionibus Pyrrhus infestaret. Itaque filio in Græcia relicto, Macedoniæ ut succurreret primum adversus Lysimachum contendit. (3) Sed postquam renuntiatum est ipsi, Pyrrhum Berrhœam urbem cepisse, idque inter Macedones vulgatum celeriter fuit, non jam continere amplius in officio milites Demetrius valuit; lamentis, fletu, ira in ipsum et maledictis tota castra fervebant, discedere cupientium, verbo in patriam, re ipsa ad Lysimachum. Visum est itaque Demetrio quam longissime a Lysimacho discedere, qui et ipse Macedo, plurimis propter Alexandrum acceptus esset et in Pyrrhum bellum convertere, quem advenam hominem et alienigenam nequaquam sibi essent prælaturi Macedones. (4) Sed hoc eum consilium magnopere fefellit. Nam postquam castra prope eum collocavit, milites jam pridem Pyrrhi in armis virtutem admirati, et quibus avitum esset regno dignissimum existimare eum, qui in armis esset strenuissimus, quum præterea eos, qui in ipsius potestatem venerant, humanissime tractatos acciperent, denique ad quemvis alium transire cuperent, modo ne Demetrium amplius ducem haberent: occulto initio et pauci simul discesserunt, post in castris aperte jam tumultuatum est, ad extremum ausi sunt quidam ipsum accedere et monere, ut abiret et suæ ipse saluti prospiceret: non enim porro Macedonas, pro ipsius luxuria bellum gesturos. (5) Tanta autem fuit reliquorum importunitas, ut hic sermo moderatissimus ei videretur. Itaque in tabernaculum intrans et veluti si non regem, sed histrionem ageret, posito tragico

ὑποκριτὴς, μεταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης καὶ διαλαθὼν ὑπεχώρησεν. Ὁρμησάντων δὲ τῶν πλείστων ἐφ' ἁρπαγὴν καὶ πρὸς ἀλλήλους διαμαχομένων καὶ τὴν σκηνὴν διασπώντων, ἐπιφανεὶς ὁ Πύῤῥος ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ στρατόπεδον. Καὶ γίνεται πρὸς Λυσίμαχον αὐτῷ συμπάσης Μακεδονίας νέμησις ἑπταετίαν ὑπὸ Δημητρίου βεβαίως b ἀρχθείσης.

XLV. Οὕτω δὲ τοῦ Δημητρίου τῶν πραγμάτων ἐκπεσόντος καὶ καταφυγόντος εἰς Κασάνδρειαν, ἡ γυνὴ Φίλα περιπαθὴς γενομένη προσιδεῖν μὲν οὐχ ὑπέμεινεν αὖθις ἰδιώτην καὶ φυγάδα τὸν τλημονέστατον βασιλέων Δημήτριον, ἀπειπαμένη δὲ πᾶσαν ἐλπίδα καὶ μισήσασα τὴν τύχην αὐτοῦ βεβαιοτέραν ἐν τοῖς κακοῖς οὖσαν ἢ τοῖς ἀγαθοῖς πιοῦσα φάρμακον ἀπέθανε. Δημήτριος δὲ ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι διανοηθεὶς ἀπῆρεν εἰς τὴν Ἑλλάδα καὶ τοὺς ἐκεῖ στρατηγοὺς καὶ φίλους συνῆγεν. (2) Ἣν οὖν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα c ταῖς αὐτοῦ τύχαις παρατίθησιν·

> Ἀλλ' οὑμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ
> τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν.
> Ὥσπερ σελήνης δ' ὄψις εὐφρόναις δύο
> στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,
> ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα
> πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
> χὤτανπερ αὑτῆς εὐγενεστάτη φανῇ,
> πάλιν διαῤῥεῖ κεἰς τὸ μηδὲν ἔρχεται·

ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσαι τὰ Δημητρίου πράγματα καὶ τὰς περὶ αὐτὸν αὐξήσεις καὶ φθίσεις καὶ d ἀναπληρώσεις καὶ ταπεινότητας, οὗ γε καὶ τότε παντάπασιν ἀπολείπειν καὶ κατασβέννυσθαι δοκοῦντος ἀνέλαμπεν αὖθις ἡ ἀρχὴ καὶ δυνάμεις τινὲς ἐπιῤῥέουσαι κατὰ μικρὸν ἀνεπλήρουν τὴν ἐλπίδα. Καὶ τότε πρῶτον ἰδιώτης καὶ τῶν βασιλικῶν κοσμίων ἔρημος ἐπεφοίτα ταῖς πόλεσι. Καί τις αὐτὸν ἐν Θήβαις τοιοῦτον θεασάμενος ἐχρήσατο τοῖς Εὐριπίδου στίχοις οὐκ ἀηδῶς·

> Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν
> πάρεστι Δίρκης νάματ' Ἰσμηνοῦ θ' ὕδωρ.

XLVI. Ἐπεὶ δὲ ἅπαξ ὥσπερ εἰς ὁδὸν βασιλικὴν e τὴν ἐλπίδα κατέστη καὶ συνίστατο πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, Θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν, Ἀθηναῖοι δὲ ἀπέστησαν αὐτοῦ. Καὶ τόν τε Δίφιλον, ὃς ἦν ἱερεὺς τῶν Σωτήρων ἀναγεγραμμένος, ἐκ τῶν ἐπωνύμων ἀνεῖλον, ἄρχοντας αἱρεῖσθαι πάλιν, ὥσπερ ἦν πάτριον, ψηφισάμενοι, τόν τε Πύῤῥον ἐκ Μακεδονίας μετεπέμποντο μᾶλλον ἢ προσεδόκησαν ἰσχύοντα τὸν Δημήτριον ὁρῶντες. (2) Ὁ δὲ ὀργῇ μὲν ἐπῆλθεν αὐτοῖς καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο καρτερὰν, Κράτητος δὲ τοῦ φιλοσόφου πεμφθέντος ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν, ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, f τὰ μὲν, οἷς ὑπὲρ τῶν Ἀθηναίων ἐδεῖτο, πεισθεὶς, τὰ δὲ ἐξ ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων νοήσας ἔλυσε τὴν πολιορκίαν, καὶ συναγαγὼν ὅσαι νῆες ἦσαν αὐτῷ καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβι-

illo amictu, pullam chlamydem induit et clam sese ex castris subduxit. Plerisque autem militum ad direptionem conversorum, atque inter se depugnantium et tentorium regis deprædantium, Pyrrhus supervenit, statimque primo aditu castris potitus est. Inde Macedoniam, cujus regnum Demetrius septem per annos stabile possederat, cum Lysimacho partitur.

XLV. Quum vero Demetrius tantis rebus excidisset et Casandream profugisset, Phila uxor ejus gravissimo dolore perculsa, maritum suum miserrimum omnium regum Demetrium denuo privatum aspicere non sustinuit, omnique spe abjecta, fortunam ejus rebus adversis quam secundis constantiorem perosa, bausto veneno vitam clausit. Demetrius autem fortunarum suarum naufragia consectari certus, in Græciam abiit, atque ibi duces amicosque suos contraxit. (2) Enimvero quam suarum rerum similitudinem Menelaus apud Sophoclem his versibus proponit :

> Sortem deus quis semper instabili rota
> versat meam formisque commutat novis,
> velut duabus forma lunæ noctibus
> non possit una unquam specie persistere,
> obscura nunc, sed innovatur illico,
> vultumque sumit atque adauget splendidum ;
> et quum refulget nitida lumine plurimo,
> spoliata rursum luce tenebras induit ;

ea rectius Demetrii rebus earumque variis augmentis decrementisque accommodari potest, quando tunc etiam fractum, ut videbatur, penitusque exstinctum ejus regnum iterum effulsit, paulatimque affluentes copiæ spem ejus confirmarunt. Initio privatus et regiis insignibus carens urbes obibat ; et quidam eum Thebis eo habitu quum vidisset, haud illepide Euripidis versus protulit :

> Mortalis in formam mutatus ex deo
> ad Dircæ latices venit Ismenique aquas.

XLVI. Verum ut semel in spem, veluti regiam viam, ingressus, corpus quoddam et figuram imperii circa se composuit, primum Thebanis rempublicam restituit ; Atheniensibus autem, qui defecerant iterum, et Diphilo Servatorum sacerdote submoto, magistratus more majorum constitui decreto jusserant, Demetriumque plus opinione ipsorum posse videntes, Pyrrhum ex Macedonia acciverant, iratus, exercitu adducto urbem magna vi oppugnare intendit. (2) Verum partim Crate philosopho, magna gloria et potentia prædito viro, ad se ab Atheniensibus misso, concedens quæ is civitatis nomine deprecabatur, partim ab eo edoctus quid in rem suam esset, soluta obsidione naves suas omnes contraxit, impositisque undecim militum millibus una cum

βάσας ἐπὶ τὴν Ἀσίαν ἔπλει Λυσιμάχου Καρίαν καὶ Λυδίαν ἀποστήσων. (3) Δέχεται δὲ αὐτὸν Εὐρυδίκη περὶ Μίλητον, ἀδελφὴ Φίλας, ἄγουσα τῶν αὐτῆς καὶ Πτολε-
912 μαίου θυγατέρων Πτολεμαΐδα καθωμολογημένην ἐκείνῳ a πρότερον διὰ Σελεύκου. Ταύτην γαμεῖ Δημήτριος Εὐρυδίκης ἐκδιδούσης. Καὶ μετὰ τὸν γάμον εὐθὺς ἐπὶ τὰς πόλεις τρέπεται, πολλῶν μὲν ἑκουσίως προστιθεμένων, πολλὰς δὲ καὶ βιαζόμενος. Ἔλαβε δὲ καὶ Σάρδεις· καί τινες τῶν Λυσιμάχου στρατηγῶν ἀπεχώρησαν πρὸς αὐτὸν χρήματα καὶ στρατιὰν κομίζοντες. (4) Ἐπερχομένου δὲ Ἀγαθοκλέους τοῦ Λυσιμάχου μετὰ δυνάμεως ἀνέβαινεν εἰς Φρυγίαν, ἐγνωκώς, ἄνπερ Ἀρμενίας ἐπιλάβηται, Μηδίαν κινεῖν καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι πολλὰς ἐξωθουμένῳ περιφυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. Ἑπομένου δὲ Ἀγαθοκλέους ἐν ταῖς συμπλοκαῖς περιῆν, ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος b ἠπορεῖτο καὶ τοῖς στρατιώταις δι' ὑποψίας ἦν ὡς ἐπ' Ἀρμενίαν καὶ Μηδίαν ἐκτοπίζων. Ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε καὶ διαμαρτία τις γενομένη περὶ τὴν τοῦ Λύκου διάβασιν πλῆθος ἀνθρώπων ἁρπασθὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. Ὅμως δὲ τοῦ σκώπτειν οὐκ ἀπείχοντο. Προγράφει δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς τὴν τοῦ Οἰδίποδος ἀρχὴν μικρὸν παραλλάξας·

> Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνου, τίνας
> χώρους ἀφίγμεθα;

XLVII. Τέλος δὲ καὶ νόσου τῷ λιμῷ συνεπιτιθεμένης, ὥσπερ εἴωθεν, ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκτακισχιλίων ἀποβα- c λὼν ἀπῆγεν ὀπίσω τοὺς λοιπούς· καὶ καταβὰς εἰς Ταρσὸν ἐβούλετο μὲν ἀπέχεσθαι τῆς χώρας οὔσης ὑπὸ Σελεύκῳ τότε καὶ πρόφασιν ἐκείνῳ μηδεμίαν παρασχεῖν, ὡς δὲ ἦν ἀμήχανον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν, καὶ τοῦ Ταύρου τὰς ὑπερβολὰς Ἀγαθοκλῆς ἀπετείχισε, γράφει πρὸς Σέλευκον ἐπιστολὴν μακρόν τινα τῆς αὐτοῦ τύχης ὀδυρμόν, εἶτα πολλὴν ἱκεσίαν καὶ δέησιν ἔχουσαν ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον ἄξια καὶ πολεμίοις συναλγῆσαι πεπονθότος. (2) Ἐπικλασθέντος δέ πως Σελεύκου καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ Δημητρίῳ χορηγίαν βασιλικὴν d καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν Πατροκλῆς, ἀνὴρ συνετὸς εἶναι δοκῶν καὶ Σελεύκῳ φίλος πιστός, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν Δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῇ χώρᾳ Δημήτριον οὐ καλῶς περιορᾶν αὐτόν, ὃς ἀεὶ βιαιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾶν καὶ ἀδικεῖν. (3) Ἐκ τούτου παροξυνθεὶς ὁ Σέλευκος ἐξώρμησεν εἰς Κιλικίαν μετὰ πολλῆς δυνάμεως. Ὁ δὲ Δημήτριος ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ Σελεύκου καὶ φοβηθεὶς ὑπεστείλατο τοῖς ὀχυρωτάτοις e τοῦ Ταύρου, καὶ διαπεμπόμενος ἠξίου μάλιστα μὲν αὐτὸν περιιδεῖν τῶν αὐτονόμων τινὰ βαρβάρων κτησάμενον ἀρχήν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος, εἰ δὲ μή, τὸν χειμῶνα διαθρέψαι τὴν δύ-

equitatu, versus Asiam navigavit, ut Cariam et Lydiam Lysimacho adimeret. (3) Apud Miletum eum Eurydice Philæ soror excepit, suam et Ptolemæi filiam Ptolemaida ei tradens, jam ante desponsatam opera Seleuci. His peractis nuptiis Demetrius urbes statim aggressus multas deditione, nonnullas vi subegit. Sardes etiam occupavit; et nonnulli duces a Lysimacho ad ipsum pecuniam et milites afferentes defecerunt. (4) Quum autem Agathocles Lysimachi filius cum copiis adventaret, in Phrygiam ascendit eo consilio, ut Armenia adita Mediam perturbaret, et superioris Asiæ provincias tentaret, quæ pulso multos tamen recessus et varia perfugia possent præbere. Agathoclem insequentem aliquot levibus prœliis superavit, frumentatione autem et pabulatione exclusus, in magnis fuit difficultatibus militibusque suspectus, quod eos in Armeniam et Mediam deportaret. Simul et fames intendebatur et in transitu Lyci amnis errore quodam admisso multos homines aqua abreptos perdidit. Non tamen a cavillationibus sibi temperabant. Quidam tentorio Demetrii initium Œdipi Sophoclei paulum mutatum præscripsit:

> Cæci senis fili Antigoni, quænam loca
> devenimus?

XLVII. Ad extremum lue etiam famem comitante, uti fieri solet, ubi penuria ciborum edere alimentis inepta coguntur homines, amissis ad octo millia hominum, retro abductis reliquis Tarsum venit. Statuerat quidem omnem injuriam ab ea provincia prohibere, quæ Seleuco tum suberat, quem offendere nullo modo cogitabat; verum id fieri nequaquam poterat, quum in extremis difficultatibus essent milites et transitus Tauri Agathocles obstruxisset. Literas itaque ad Seleucum dat, in quibus deplorata prolixe sua fortuna, suppliciter ab eo petit, uti se necessarium suum miseraretur, ità afflictum uti hostibus quoque miserandus sit. (2) Inflexit hoc nonnihil animum Seleuci, jamque suis ibi præfectis scripserat, uti Demetrium sumptibus rege dignis, et exercitum ejus alimentis large foverent, quum Patrocles eum, homo Seleuco amicus et sapientiæ fama nobilis, admonet, non quidem impensorum in copias Demetrii alendas adeo magnam habendam rationem, in eo peccare Seleucum, quod in Cilicia commorari Demetrium patiatur, regum quondam injustissimum ac magnificentissimum, nunc ea fortuna-pressum, quæ moderato etiam ingenio præditos vim tentare et novi aliquid audere cogat. (3) Hoc sermone instigatus Seleucus magnis cum copiis in Ciliciam contendit, Demetrius autem subita Seleuci mutatione perterritus, ad munitissima Tauri loca se recepit, missisque nuntiis ab eo petiit, ut ipsius bona pace liceret sibi aliquam liberorum barbarorum provinciam occupare, in eaque erroribus et fugarum fine facto vitæ reliquum exigere: sin id nollet, at per istam saltem hiemem exercitum

ναμιν αὐτόθι καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν καὶ προβάλλειν τοῖς πολεμίοις.

XLVIII. Ἐπεὶ δὲ Σέλευκος ταῦτα πάντα ὑποπτεύων ἐκέλευσεν αὐτὸν, εἰ βούλεται, δύο μῆνας ἐν τῇ Καταονίᾳ χειμάσαι δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους, ἅμα δὲ τὰς εἰς Συρίαν ἀπετείχιζεν ὑπερβολὰς, ἐγκλειόμενος ὥσπερ θηρίον ὁ Δημήτριος κύκλῳ καὶ περιβαλ- [f] λόμενος ὑπ' ἀνάγκης τρέπεται πρὸς ἀλκὴν καὶ τήν τε χώραν κατέτρεχε καὶ τῷ Σελεύκῳ προσβάλλοντι συμπλεκόμενος ἀεὶ πλέον εἶχε. Καί ποτε τῶν δρεπανηφόρων εἰς αὐτὸν ἀφεθέντων ὑπεκβὰς τροπὴν ἐποιήσατο [913] καὶ τῶν εἰς Συρίαν ὑπερβολῶν τοὺς ἀποτειχίζοντας ἐξε- [a] λάσας ἐκράτησε. Καὶ ὅλως ἐπῆρτο τῇ γνώμῃ καὶ τοὺς στρατιώτας ἀνατεθαῤῥηκότας ὁρῶν παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν Σέλευκον ἐπὶ τοῖς μεγίστοις ἄθλοις ἠπορημένον ἤδη καὶ αὐτόν. (2) Ἀπέστρεψε μὲν γὰρ τὴν παρὰ Λυσιμάχου βοήθειαν ἀπιστῶν καὶ φοβούμενος, αὐτὸς δὲ καθ' ἑαυτὸν ὤκνει τῷ Δημητρίῳ συνάψαι δεδιὼς τὴν ἀπόνοιαν αὐτοῦ καὶ τὴν ἀεὶ μεταβολὴν ἐκ τῶν ἐσχάτων ἀποριῶν τὰς μεγίστας εὐτυχίας ἐπιφέρουσαν. (3) Νόσος μέντοι βαρεῖα τὸν Δημήτριον ἐν τούτῳ καταλαβοῦσα τό τε σῶμα δεινῶς ἐκάκωσε καὶ τὰ πράγματα παντάπασι διέφθειρεν. Οἱ μὲν γὰρ ἀπε- [b] χώρησαν πρὸς τοὺς πολεμίους, οἱ δὲ διεῤῥύησαν αὐτοῦ τῶν στρατιωτῶν. Μόλις δ' ἐν ἡμέραις τεσσαράκοντα ῥαΐσας καὶ τοὺς ὑπολοίπους ἀναλαβὼν καὶ ὁρμήσας, ὅσον ἰδεῖν καὶ δοξάσαι τοὺς πολεμίους, ἐπὶ Κιλικίας, εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἄρας ἐπὶ θάτερα καὶ τὸν Ἀμανὸν ὑπερβαλὼν ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς Κυῤῥηστικῆς.

XLIX. Ἐπιφανέντος δὲ τοῦ Σελεύκου καὶ ποιουμένου τὰς καταλύσεις, ἐγγὺς ἀναστήσας ὁ Δημήτριος τὸ στράτευμα νυκτὸς ἐβάδιζεν ἐπ' αὐτὸν ἀγνοοῦντα μέχρι πολλοῦ καὶ κοιμώμενον. Αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον ἐκπλαγεὶς καὶ [c] ἀναπηδήσας ἐκέλευσε σημαίνειν ἅμα τὰς κρηπῖδας ὑποδούμενος καὶ βοῶν πρὸς τοὺς ἑταίρους, ὡς θηρίῳ δεινῷ συμπέπλεκται. Δημήτριος δὲ τῷ θορύβῳ τῶν πολεμίων αἰσθόμενος ὅτι μεμήνυται, κατὰ τάχος ἀπῆγεν. (2) Ἅμα δ' ἡμέρᾳ προσκειμένου τοῦ Σελεύκου πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας ἐποίησέ τινα τροπὴν τῶν ἐναντίων. Εἶτα μέντοι Σέλευκος αὐτὸς ἀφεὶς τὸν ἵππον καὶ τὸ κράνος ἀποθέμενος καὶ λαβὼν πέλτην ἀπήντα τοῖς μισθοφόροις ἐπιδεικνύμενος αὐτὸν καὶ μεταβαλέσθαι παρακαλῶν ἤδη ποτὲ συμφρονήσαν- [d] τας, ὅτι φειδόμενος ἐκείνων, οὐ Δημητρίου, χρόνον πολὺν διατετέλεκεν. Ἐκ τούτου πάντες ἀσπαζόμενοι καὶ βασιλέα προσαγορεύοντες μεθίσταντο. (3) Δημήτριος δὲ πολλῶν μεταβολῶν αἰσθόμενος ἐσχάτην ἐκείνην ἥκουσαν ἐπ' αὐτὸν, ἐκκλίνας ἐπὶ τὰς Ἀμανίδας ἔφυγε πύλας καὶ καταβαλὼν εἰς ὕλην τινὰ συνηρεφῆ μετὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων παντάπασιν ὄντων προσέμενε τὴν νύκτα βουλόμενος, εἰ δύναιτο, τῆς ἐπὶ Καύνου ὁδοῦ λαβέσθαι καὶ διεκπεσεῖν ἐπὶ τὴν θάλασσαν,

ejus istic aleret, neque inopem prorsus et ab omnibus nudum rebus expelleret hostibusque objiceret.

XLVIII. Seleucus omnia hæc sinistre interpretatus, id modo ei permisit, ut datis obsidum loco primoribus suorum amicorum, per duos menses, si ei videretur, in Cataonia hiemaret; simul saltus qui in Syriam ferunt occlusit. Ibi Demetrius inclusus et undique instar feræ septus necessitate ad vim exercendam compulsus, regionem populatus est et aliquoties cum Seleuco congressus superior discessit. Aliquando etiam immissos falcatos currus ita evitavit, uti hostes fuderit; præsidiis etiam dejectis aditus in Syriam occupavit, atque omnino animum attollens, quum milites etiam fiduciam recepisse videret, cum Seleuco statuit propositis amplissimis præmiis pugna decernere. (2) Jam Seleucus quoque dubius animi sollicitusque tenebatur, quum et Lysimachi auxilia, diffidens homini, repudiasset, neque ipse cum Demetrio decertare auderet, insanam ejus confidentiam metiens et perpetuam vicissitudinem fortunæ, quæ plerumque eum ex summis angustiis ad magnam felicitatem extulerat. (3) Interim morbus gravis Demetrio accidit, qui et corpus ejus vehementer afflixit, et res evertit, militibus partim ad hostem transeuntibus, partim ex castris alio dilabentibus. Ægre tandem quadraginta dierum spatio valetudine integrata, assumpto quod superaret militum, hostibus cernentibus veluti iturus in Ciliciam castra movit; inde noctu absque tuba in diversam partem profectus, superato Amano monte subjectas regiones usque ad Cyrrhesticam populatus est.

XLIX. Quum eodem advenisset et castra proxime apposuisset Seleucus, Demetrius cum exercitu adversus eum de nocte contendit, diu ignorantem quid fieret et dormientem. Perfugæ quidam Seleucum de adventu hostis certiorem fecerunt. Itaque perterritus periculo lecto exsiluit et classicum canere jussit, simul calceos induens, et ad amicos vociferans, cum immani bellua sibi rem esse. Demetrius ex tumultu hostium proditas insidias sentiens, celeriter suos retro abduxit. (2) Facta luce quum Seleucus instaret, quodam suorum in alterum cornu misso, hostes aliqua parte fudit. Tum Seleucus equo dimisso et deposita galea, peltam arripuit, et se militibus sub Demetrio stipendia merentibus obvium tulit, ostentans sese eis, et hortans uti ad se transirent, ac vel tandem intelligerent se ut ipsis, non ut Demetrio parceret, tamdiu cunctatum esse. Ita factum est ut universi eum regem salutarent, atque ad ipsum signa transferrent. (3) Hanc omnium mutationem extremam sibi accidere intelligens Demetrius, ex prœlio sese subduxit, et ad portas Amani confugit, eamque noctem in umbrosa silva cum amicis et comitibus perpaucis exegit; statuerat autem, si qua id ratione consequi posset, Caunum pergere, ibique, ut sperabat, navibus in statione repertis mare intrare. Quum

οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. Ὡς δὲ ἔγνω e μηδὲ ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτοὺς, ἐπ' ἄλλων ἐγένετο λογισμῶν. (4) Εἶτα μέντοι Σωσιγένης ἐπῆλθεν, ἑταῖρος αὐτοῦ, χρυσοῦς τετρακοσίους ὑπεζωσμένος· καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενήσεσθαι, πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. Πυρῶν δὲ καιομένων πρὸς αὐταῖς πολεμίων, ἀπογνόντες ἐκείνην τὴν ὁδὸν αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον, οὔτε πάντες (ἔνιοι γὰρ ἀπέδρασαν) οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. Τολμήσαντος δέ τινος εἰπεῖν τι, ὡς Σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι Δημήτριον, ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτὸν, οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι f συνέπεισαν οὕτω ποιῆσαι. Καὶ πέμπει πρὸς Σέλευκον ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν.

L. Ἀκούσας δὲ Σέλευκος οὐκ ἔφη τῇ Δημητρίου τύχῃ σώζεσθαι Δημήτριον, ἀλλὰ τῇ αὑτοῦ, μετὰ τῶν ἄλλων καλῶν αὐτῷ φιλανθρωπίας καὶ χρηστότητος ἐπίδειξιν διδούσῃ. Καλέσας δὲ τοὺς ἐπιμελητὰς σκηνήν τε
91 πηγνύναι βασιλικὴν ἐκέλευσε καὶ τἆλλα πάντα ποιεῖν a καὶ παρασκευάζειν εἰς ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. Ἦν δέ τις Ἀπολλωνίδης παρὰ τῷ Σελεύκῳ τοῦ Δημητρίου γεγονὼς συνήθης· τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν, ὅπως ἡδίων γένηται καὶ θαῤῥῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν ἀπαντᾶν. (2) Φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγοι τὸ πρῶτον, εἶτα οἱ πλεῖστοι τῶν φίλων ἐξεπήδων παρὰ τὸν Δημήτριον ἁμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους· ἠλπίζετο γὰρ εὐθὺς παρὰ τῷ Σελεύκῳ μέγιστος ἔσεσθαι. Τοῦτο δὲ ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλε τὸν ἔλεον, τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖ- b ραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως ἐκφοβήσασιν αὐτὸν, ὡς οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἅμα τῷ πρῶτον ὀφθῆναι τὸν ἄνδρα μεγάλων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. (3) Ἄρτι δὴ τοῦ Ἀπολλωνίδου πρὸς τὸν Δημήτριον ἀφιγμένου περιχαροῦς καὶ τῶν ἄλλων ἐπερχομένων καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων περὶ τοῦ Σελεύκου καὶ τοῦ Δημητρίου μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν, εἰ καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τοῦ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαῤῥεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἦλθε Παυσανίας ἔχων στρατιώτας ὁμοῦ πεζοὺς καὶ ἱππεῖς περὶ χιλίους. Καὶ τούτοις περισχὼν τὸν Δημήτριον ἄφνω, τοὺς δὲ ἄλλους c ἀποστήσας, Σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν οὐ κατέστησεν, εἰς δὲ Χεῤῥόνησον τὴν Συριακὴν ἀπήγαγεν, ὅπου τὸ λοιπὸν ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης θεραπεία μὲν ἧκεν ἱκανὴ παρὰ Σελεύκου καὶ δίαιτα παρεσκευάζετο καθ' ἡμέραν οὐ μεμπτὴ, δρόμοι καὶ περίπατοι βασιλικοὶ καὶ παράδεισοι θήρας ἔχοντες ἀπεδείχθησαν· ἦν δὲ καὶ τῶν φίλων τῶν συμφυγόντων τῷ βουλομένῳ συνεῖναι· καὶ παρ' αὐτοῦ τινες ὁμοίως ἐπιφοιτῶντες [ἀπὸ τοῦ Σελεύκου] ἧκον κομίζοντες ἐπιεικεῖς λόγους καὶ θαῤῥεῖν παρακαλοῦντες, ὡς, ὅταν πρῶτον Ἀντίοχος ἀφίκηται σὺν Στρατονίκῃ, διεθησόμενον. d

vero intelligeret, ne illius quidem diei viaticum suis esse, alias iniit rationes. Postquam Sosigenes amicus accessit eum, quadringentos numos aureos se in zona habere indicans, ex hac pecunia commeatum sibi usque ad mare suffecturum sperantes, jam tenebris orientibus ad juga montium contenderunt. Quæ quum ex ignibus animadverterent ab hoste teneri, omisso eo itinere, rursum eo unde abierant redierunt, neque omnes (aufugère enim quidam) neque eadem alacritate. Ibi Demetrius, facta a quodam mentione, debere eum se dedere Seleuco, stricto ense mortem sibi consciscere quum vellet, amicorum tandem consiliis atque admonitionibus persuasus, misit ad Seleucum, se suasque res ei dedens.

L. Seleucus Demetrii salutem fatus non ipsius, sed Seleuci bonæ fortunæ ascribi debere, quæ sibi præter reliqua bona materiam etiam humanitatis clementiæque exercendæ obtulisset, administris mandavit, ut tentorium regium et alia quæ ad excipiendum Demetrium pertinent, magnifice appararent. Erat quidam apud Seleucum Apollonides, Demetrii quondam familiaris. Hunc statim rex ad eum misit, qui eum consolaretur et ostenderet eum ad generum suum suo commodo aditurum. (2) Quæ regis sententia postquam patefacta est, pauci primum, post plurimi amicorum ad Demetrium se certatim proripuerunt, sperantes eum, simul atque ad Seleucum pervenisset, summo loco habitum iri. Ea res miserationem Demetrii in invidiam vertit, malevolisque et æmulis data est occasio Seleuci humanitatis avertendæ et abolendæ, metumque regi inserendi ut absque ulla mora, simul atque in castris conspiceretur Demetrius, tumultus statim magni novaque res exsisterent. (3) Quum jam ad Demetrium pervenisset Apollonides lætabundus, ac reliqui supervenientes mirifice Seleucum prædicarent, ita ut Demetrius post tot miserias atque tantam infelicitatem, tametsi antea turpem se corporis sui deditionem fecisse putaret, tunc bona spe atque fiducia erectus tamen sententiam mutaret: Pausanias venit cum mille circiter peditibus simul atque equitibus, atque his subito Demetrium circumfusum, ceteris remotis, non in Seleuci conspectum, sed in peninsulam Syriæ abducit. Ea in Chersoneso Demetrius valida cinctus custodia reliquum ætatis egit. A Seleuco suppeditabantur quotidie abunde omnia quæ ad curam corporis et vitæ splendidam rationem pertinebant; neque pecuniæ, cursus et ambulationes regiæ, horti venationibus commodi deerant, licebat et amicis qui una fugerant et cum ipso esse volebant, una degere; simul a Seleuco ventitabant, quibus ille familiariter utebatur, eumque bonis nuntiis allatis, bono animo esse juberent; nam ut primum Antiochus cum Stratonica advenisset, eum dimissum iri.

LI. Ὁ δὲ Δημήτριος ἐν τῇ τοιαύτῃ τύχῃ γεγονὼς ἐπέστειλε τοῖς περὶ τὸν υἱὸν καὶ τοῖς περὶ Ἀθήνας καὶ Κόρινθον ἡγεμόσι καὶ φίλοις μήτε γράμμασιν αὐτοῦ μήτε σφραγῖδι πιστεύειν, ἀλλ' ὥσπερ τεθνηκότος Ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. Ἀντίγονος δὲ τὴν τοῦ πατρὸς σύλληψιν πυθόμενος καὶ βαρέως ἐνεγκὼν καὶ πενθίμην ἀναλαβὼν ἐσθῆτα πρός τε τοὺς ἄλλους βασιλεῖς ἔγραψε καὶ πρὸς αὐτὸν Σέλευκον δεόμενος καὶ πᾶν, ὅ τι λοιπὸν ἦν αὐτοῖς, παραδιδοὺς καὶ πρὸ παντὸς ὁμηρεύειν ἕτοιμος ὢν αὐτὸς ὑπὲρ τοῦ πατρός. Καὶ συνεδέοντο ταῦτα πόλεις τε e πολλαὶ καὶ δυνάσται· πλὴν Λυσιμάχου. Λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο Σελεύκῳ κτείναντι Δημήτριον. Ὁ δὲ ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος ἔτι μᾶλλον ἐπὶ τούτῳ μιαρὸν ἡγεῖτο καὶ βάρβαρον, Ἀντιόχῳ δὲ τῷ παιδὶ καὶ Στρατονίκῃ φυλάττων Δημήτριον, ὡς ἐκείνων ἡ χάρις γένοιτο, παρῆγε τὸν χρόνον.

LII. Ὁ δὲ Δημήτριος, ὡς ἐν ἀρχῇ τὴν τύχην προσπεσοῦσαν ὑπέμεινε καὶ ῥᾷον ἤδη φέρειν εἰθίζετο τὰ παρόντα, πρῶτον μὲν ἁμωσγέπως ἐκίνει τὸ σῶμα θήρας, ἐφ' ὅσον ἦν, καὶ δρόμων ἁπτόμενος, ἔπειτα κατὰ μι- f κρὸν ὄκνου πρὸς αὐτὰ καὶ νωθείας ἐπίμπλατο καὶ φέρων ἑαυτὸν εἰς πότους καὶ κύβους κατέβαλε καὶ τοῦ χρόνου τὸ πλεῖστον ἐν τούτοις διῆγεν, εἴτε τοὺς ἐν τῷ νήφειν ἀναλογισμοὺς τῶν παρόντων ἀποδιδράσκων καὶ παρακαλυπτόμενος τῇ μέθῃ τὴν διάνοιαν, εἴτε συγγνοὺς ἑαυτῷ τοῦτον εἶναι τὸν βίον, ὃν ἔκπαλαι ποθῶν καὶ διώκων ἄλλως ὑπ' ἀνοίας καὶ κενῆς δόξης ἐπλάζετο καὶ πολλὰ μὲν ἑαυτῷ, πολλὰ δὲ ἑτέροις πράγματα παρεῖ-
915 χεν ἐν ὅπλοις καὶ στόλοις καὶ στρατοπέδοις τὸ ἀγαθὸν a ζητῶν, ὃ νῦν ἐν ἀπραγμοσύνῃ καὶ σχολῇ καὶ ἀναπαύσει μὴ προσδοκήσας ἀνεύρηκε. Τί γὰρ ἄλλο τῶν πολέμων καὶ τῶν κινδύνων πέρας ἐστὶ τοῖς φαύλοις βασιλεῦσι, κακῶς καὶ ἀνοήτως διακειμένοις, οὐχ ὅτι μόνον τρυφὴν καὶ ἡδονὴν ἀντὶ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ διώκουσιν, ἀλλ' ὅτι μηδὲ ἥδεσθαι μηδὲ τρυφᾶν ὡς ἀληθῶς ἴσασιν; (2) Ὁ δ' οὖν Δημήτριος ἔτος τρίτον ἐν τῇ Χεῤῥονήσῳ καθειργμένος ὑπ' ἀργίας καὶ πλησμονῆς καὶ οἴνου νοσήσας ἀπέθανεν ἔτη τέσσαρα καὶ πεντήκοντα βεβιωκώς. Καὶ Σέλευκος ἤκουσέ τε κακῶς καὶ μετενόησεν οὐ μετρίως ἐν ὑποψίᾳ τὸν Δημήτριον θέμε- b νος τότε καὶ μηδὲ Δρομιχαίτην, ἄνδρα βάρβαρον Θρᾷκα, μιμησάμενος οὕτω φιλανθρώπως καὶ βασιλικῶς ἁλόντι Λυσιμάχῳ χρησάμενον.

LIII. Ἔσχε μέντοι καὶ τὰ περὶ τὴν ταφὴν αὐτοῦ τραγικήν τινα καὶ θεατρικὴν διάθεσιν. Ὁ γὰρ υἱὸς Ἀντίγονος, ὡς ᾔσθετο τὰ λείψανα κομιζόμενα, πάσαις ἀναχθεὶς ταῖς ναυσὶν ἐπὶ νήσων ἀπήντησε· καὶ δεξάμενος εἰς τὴν μεγίστην τῶν ναυαρχίδων ἔθετο τὴν ὑδρίαν χρυσήλατον οὖσαν. Αἱ δὲ πόλεις, αἷς προσεῖχον, τοῦτο μὲν στεφάνους ἐπέφερον τῇ ὑδρίᾳ, τοῦτο δὲ ἄνδρας ἐν σχήματι πενθίμῳ συνθάψοντας καὶ συμπαραπέμψοντας ἀπέστελλον. (2) Εἰς δὲ Κόρινθον τοῦ στόλου καταπλέον-

LI. Demetrius autem quum in eam fortunam devenisset, ad filium suosque apud Athenas et Corinthum duces amicosque scripsit, ne literis ipsius neve sigillo crederent, sed perinde ac si mortuus esset, Antigono filio urbes et res asservarent. Antigonus postquam de captivitate patris cognovit, graviter indoluit, sumptaque lugubri veste, quum ad reliquos reges scripsit, tum ad ipsum Seleucum, supplicans, et quidquid supererat, illis tradens, seque ipsum primo loco obsidem pro patre offerens. Idemque a Seleuco multæ urbes, multi principes petebant. Lysimachus magnam vim pecuniæ Seleuco promisit, si Demetrium necasset. Seleucus Lysimachum jam ante aversatus, ejus facti causa barbarum et nefarium eo magis habuit, tempus autem traxit liberandi Demetrii, filio suo et Stratonicæ eam gratiam reservans.

LII. Demetrius autem quum fortunam suam initio tolerasset æquo animo, et jam consuevisset præsentem statum boni consulere, primum utcumque venationibus et cursibus corpus exercebat, paulatim deinde tædio istorum et satietate repletus, poculis et lusibus se dedit, ac plurimum temporis ita transegit: sive ut cogitationes de statu suarum rerum, quas incidere sobrio necesse erat, subterfugeret et animum quasi operiret ebrietate, sive animadvertens, hoc se vitæ genere frui, cujus studio ac desiderio pridem tractus temere stultaque gloriæ cupiditate aberrasset sibique et aliis multas fecisset molestias, in armis, classibus atque castris bonum illud quærens, quod nunc præter spem et opinionem suam in otio et requie invenisset. Nam quem alium finem bellorum et certaminum reges mali atque insipientes habent, non tam quod solam voluptatem et superbiam pro honestate et virtute consectantur, quam quod ne frui quidem voluptatibus et superbire vere norunt? (2) Ceterum Demetrius, quum jam tertium annum in Chersoneso detineretur, ex otio ciborumque et vini abundantia in morbum incidit, atque eo decessit, annos natus quinquaginta quattuor. Male audivit ob ejus mortem Seleucus, ac non mediocri pœnitentia correptus est, quod eum adeo suspectum habuisset, neque saltem Dromichætam Thracem barbarumque hominem imitatus esset, qui captum Lysimachum tam humaniter regioque more tractasset.

LIII. Funus quoque Demetrii tragœdiæ cujusdam imaginem habuit. Antigonus enim quum afferri patri reliquias audisset, omnibus cum navibus in Cycladibus obviam ivit, ibi eas in aurea urna acceptas in prætoriarum navium maxima collocavit. Urbes autem, ad quas appellebant, vel sertis urnam ornaverunt, vel viros lugubri amictu miserunt qui in curando funere et humandis reliquiis adessent. (2) Quum ad Corinthum accederent, urna in puppi conspecta est, re-

τος, ἥ τε κάλπις ἐκ πρύμνης περιφανὴς ἑωρᾶτο πορφύρᾳ c βασιλικῇ καὶ διαδήματι κεκοσμημένη καὶ παρειστήκεισαν ἐν ὅπλοις νεανίσκοι δορυφοροῦντες. Ὁ δὲ τῶν τότε αὐλητῶν ἐλλογιμώτατος Ξενόφαντος ἐγγὺς καθεζόμενος προσηύλει τῶν μελῶν τὸ ἱερώτατον. Καὶ πρὸς τοῦτο τῆς εἰρεσίας ἀναφερομένης μετὰ ῥυθμοῦ τινος ἀπήντα ψόφος, ὥσπερ ἐν κοπετῷ, ταῖς τῶν αὐλημάτων περιόδοις. Τὸν δὲ πλεῖστον οἶκτον καὶ ὀλοφυρμὸν αὐτὸς ὁ Ἀντίγονος τοῖς ἠθροισμένοις ἐπὶ τὴν θάλασσαν ὀφθεὶς ταπεινὸς καὶ δεδακρυμένος παρέσχεν. Ἐπενεχθεισῶν δὲ τιμῶν καὶ στεφάνων περὶ Κόρινθον εἰς Δημητριάδα κομίσας ἔθηκε τὰ λείψανα, πόλιν ἐπώνυμον ἐκείνου, οἰκισθεῖσαν ἐκ μικρῶν τῶν περὶ τὴν d Ἰωλκὸν πολιχνίων. (3) Ἀπέλιπε δὲ γενεὰν ὁ Δημήτριος Ἀντίγονον μὲν ἐκ Φίλας καὶ Στρατονίκην, δύο δὲ Δημητρίους, τὸν μὲν Λεπτὸν ἐξ Ἰλλυρίδος γυναικός, τὸν δὲ ἄρξαντα Κυρήνης ἐκ Πτολεμαΐδος, ἐκ δὲ Δηιδαμείας Ἀλέξανδρον, ὃς ἐν Αἰγύπτῳ κατεβίωσε. Λέγεται δὲ καὶ Κόρραγον υἱὸν ἐξ Εὐρυδίκης αὐτῷ γενέσθαι. Κατέβη δὲ ταῖς διαδοχαῖς τὸ γένος αὐτοῦ βασιλεῦον εἰς Περσέα τελευταῖον, ἐφ' οὗ Ῥωμαῖοι Μακεδονίαν ὑπηγάγοντο. Διηγωνισμένου δὲ τοῦ Μακεδονικοῦ δράματος ὥρα τὸ Ῥωμαϊκὸν ἐπεισαγαγεῖν. e

gia purpura et diademate præsignis, astabantque armati juvenes satellitum loco. Xenophantus, omnium ea ætate tibicinum laudatissimus, prope assidens, sacratissimam cecinit cantilenam: ad hanc remigia ita accommodabantur, ut concinne editus remorum strepitus veluti planctus cantilenæ circuitibus responderet. Plurimum luctus et miserationis ipse Antigonus excitavit, congregatæ ad mare multitudini sordidum se et lacrimantem ostendens. Reliquiæ honoribus et coronis apud Corinthum cumulatæ, Demetriadem ab eo allatæ ibique sepultæ sunt; quam urbem sibi cognominem ex parvis circa Iolcum oppidulis condiderat Demetrius. (3) Reliquit autem liberos, ex Phila Antigonum et Stratonicen, duos Demetrios, unum cognomento Tenuem ex Illyrica muliere, alterum, qui Cyrenes dominus inde fuit, ex Ptolemaide; ex Deidamia Alexandrum, qui vitam suam in Ægypto egit; additur, ei etiam ex Eurydica Corrhabum filium fuisse. Successio regni ejus usque ad Perseum pertinuit, quo victo, Romani Macedoniam in suam redegerunt potestatem. Sed jam Macedonica fabula peracta, tempus est ut Romana in scenam mittatur.

ΑΝΤΩΝΙΟΣ.

Ἀντωνίου πάππος μὲν ἦν ὁ ῥήτωρ Ἀντώνιος, ὃν τῆς Σύλλα γενόμενον στάσεως Μάριος ἀπέκτεινε, f πατὴρ δὲ ὁ Κρητικὸς ἐπικληθεὶς Ἀντώνιος, οὐχ οὕτω μὲν εὐδόκιμος ἐν τοῖς πολιτικοῖς ἀνὴρ οὐδὲ λαμπρός, εὐγνώμων δὲ καὶ χρηστὸς ἄλλως τε καὶ πρὸς τὰς μεταδόσεις ἐλευθέριος, ὡς ἀφ' ἑνὸς ἄν τις ἔργου καταμάθοι.
916 (2) Κεκτημένος γὰρ οὐ πολλὰ καὶ διὰ τοῦτο τῇ φι- a λανθρωπίᾳ χρῆσθαι κωλυόμενος ὑπὸ τῆς γυναικός, ἐπεί τις ἀφίκετο τῶν συνήθων πρὸς αὐτὸν ἀργυρίου δεόμενος, ἀργύριον μὲν οὐκ εἶχε, παιδαρίῳ δὲ προσέταξεν εἰς ἀργυροῦν σκύφον ὕδωρ ἐμβαλόντι κομίσαι· καὶ κομίσαντος, ὡς ξύρεσθαι μέλλων κατέβρεχε τὰ γένεια. Τοῦ δὲ παιδαρίου καθ' ἑτέραν πρόφασιν ἐκποδὼν γενομένου, τὸν μὲν σκύφον ἔδωκε τῷ φίλῳ χρῆσθαι κελεύσας, ζητήσεως δὲ πολλῆς ἐν τοῖς οἰκέταις οὔσης ὁρῶν χαλεπαίνουσαν τὴν γυναῖκα καὶ βουλομένην καθ' ἕκαστον ἐξετάζειν, ὡμολόγησε συγγνώμην ἔχειν δεηθείς.

II. Ἦν δὲ αὐτῷ γυνὴ Ἰουλία τοῦ Καισάρων οἴκου, b ταῖς ἀρίσταις τότε καὶ σωφρονεστάταις ἐνάμιλλος. Ὑπὸ ταύτης ὁ υἱὸς Ἀντώνιος ἐτράφη μετὰ τὴν τοῦ πατρὸς τελευτὴν Κορνηλίῳ Λέντλῳ γαμηθείσης, ὃν Κικέρων ἀπέκτεινε τῶν Κατιλίνα συνωμοτῶν γενόμενον. Αὕτη δοκεῖ τῆς σφοδρᾶς ἔχθρας Ἀντωνίῳ πρὸς Κικέρωνα πρόφασις καὶ ἀρχὴ γενέσθαι. Φησὶ γοῦν Ἀντώνιος οὐδὲ τὸν νεκρὸν αὐτοῖς ἀποδοθῆναι τοῦ Λέντλου πρότερον

ANTONIUS.

Antonii avus fuit Antonius orator, quem, quod Syllanarum fuisset partium, Marius necavit. Pater Antonius cognomento Creticus, non admodum nobilis in republica vir, neque illustris, benignus tamen atque apprime liberalis, quod ex hoc etiam uno ejus facto potest intelligi. (2) Quum esset non amplis præditus facultalibus, eamque ob causam ab uxore prohiberetur ne sua liberalitate uteretur, et amicus ad eum pecuniæ causa petendæ accessisset, pecunia deficiente, mandavit puero uti aquam in argenteo scypho afferret, atque ea genas abluit, tanquam barbam tonsurus; puero autem alterius negotii causa digresso, scyphum amico tradidit, eoque uti jussit. Ut vero scyphum a servis requiri, uxoremque indigne ferentem et velle de singulis servis quæstione habita inquirere sensit, fassus est factum, veniamque petiit.

II. Fuit ea Julia, ex familia Cæsarum, nulli præstantissimarum ejus temporis matronarum virtutis et pudicitiæ laudibus inferior. Ea Antonium puerum educavit, et mortuo patre, Cornelio Lentulo nupsit, quem Catilinariæ conjurationis socium Cicero interfecit. Hæc origo videtur vehementis inimicitiæ Antonii adversus Ciceronem fuisse. Antonius quidem ait, cadaver Lentuli non ante redditum suis,

ἢ τῆς γυναικὸς τοῦ Κικέρωνος τὴν μητέρα δεηθῆναι. Τοῦτο μὲν οὖν ὁμολογουμένως ψεῦδός ἐστιν· οὐδεὶς γὰρ εἴρχθη ταφῆς τῶν τότε κολασθέντων ὑπὸ τοῦ Κικέρωνος. (2) Ἀντωνίῳ δὲ λαμπρῷ καθ' ὥραν γενομένῳ τὴν c Κουρίωνος φιλίαν καὶ συνήθειαν ὥσπερ τινὰ κῆρα προσπεσεῖν λέγουσιν, αὐτοῦ τε περὶ τὰς ἡδονὰς ἀπαιδεύτου γενομένου καὶ τὸν Ἀντώνιον, ὡς μᾶλλον εἴη χειροήθης, εἰς πότους καὶ γύναια καὶ δαπάνας πολυτελεῖς καὶ ἀκολάστους ἐμβάλλοντος. Ἐξ ὧν ὄφλημα βαρὺ καὶ παρ' ἡλικίαν αὐτῷ συνήχθη πεντήκοντα καὶ διακοσίων ταλάντων. Τοῦτο πᾶν ἐγγυησαμένου τοῦ Κουρίωνος ὁ πατὴρ αἰσθόμενος ἐξήλασε τὸν Ἀντώνιον ἐκ τῆς οἰκίας. (3) Ὁ δὲ βραχὺν μέν τινα χρόνον τῇ Κλωδίου τοῦ θρασυτάτου καὶ βδελυρωτάτου τῶν τότε δημαγωγῶν φορᾷ πάντα τὰ πράγματα ταραττούσῃ προσέμιξεν ἑαυτόν· d ταχὺ δὲ τῆς μανίας ἐκείνου μεστὸς γενόμενος καὶ φοβηθεὶς τοὺς συνισταμένους ἐπὶ τὸν Κλώδιον, ἀπῆρεν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἑλλάδα καὶ διέτριβε τό τε σῶμα γυμνάζων πρὸς τοὺς στρατιωτικοὺς ἀγῶνας καὶ λέγειν μελετῶν. Ἐχρῆτο δὲ τῷ καλουμένῳ μὲν Ἀσιανῷ ζήλῳ τῶν λόγων ἀνθοῦντι μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον, ἔχοντι δὲ πολλὴν ὁμοιότητα πρὸς τὸν βίον αὐτοῦ κομπώδη καὶ φρυαγματίαν ὄντα καὶ κενοῦ γαυριάματος καὶ φιλοτιμίας ἀνωμάλου μεστόν.

III. Ἐπεὶ δὲ Γαβίνιος, ἀνὴρ ὑπατικὸς, εἰς Συρίαν πλέων ἀνέπειθεν αὐτὸν ὁρμῆσαι πρὸς τὴν στρατείαν, e ἰδιώτης μὲν οὐκ ἂν ἔφη συνεξελθεῖν, ἀποδειχθεὶς δὲ τῶν ἱππέων ἄρχων συνεστράτευε. Καὶ πρῶτον μὲν ἐπὶ Ἀριστόβουλον Ἰουδαίους ἀφιστάντα πεμφθεὶς αὐτὸς μὲν ἐπέβη τοῦ μεγίστου τῶν ἐρυμάτων πρῶτος, ἐκεῖνον δὲ πάντων ἐξήλασεν· εἶτα μάχην συνάψας καὶ τρεψάμενος ὀλίγοις τοῖς σὺν αὐτῷ τοὺς ἐκείνου πολλαπλασίους ὄντας ἀπέκτεινε πλὴν ὀλίγων ἅπαντας· αὐτὸς δὲ μετὰ τοῦ παιδὸς Ἀριστόβουλος ἥλω. (2) Μετὰ ταῦτα Γαβίνιον ἐπὶ μυρίοις ταλάντοις Πτολεμαίου πείθοντος εἰς Αἴγυπτον ἅμα συνεμβαλεῖν αὐτῷ καὶ τὴν βασιλείαν ἀναλαβεῖν, f οἱ μὲν πλεῖστοι τῶν ἡγεμόνων ἠναντιοῦντο καὶ Γαβίνιον δὲ ὄκνος τις εἶχε τοῦ πολέμου, καίπερ ἐξηνδραποδισμένον κομιδῇ τοῖς μυρίοις ταλάντοις, Ἀντώνιος δὲ καὶ πράξεων μεγάλων ἐφιέμενος καὶ τῷ Πτολεμαίῳ χαριζόμενος δεομένῳ συνέπεισε μὲν καὶ συνεξώρμησεν ἐπὶ τὴν στρατείαν τὸν Γαβίνιον, ἐπεὶ δὲ τοῦ πολέμου μᾶλλον ἐφοβοῦντο τὴν ἐπὶ τὸ Πηλούσιον ὁδὸν, ἅτε δὴ διὰ 917 ψάμμου βαθείας καὶ ἀνύδρου παρὰ τὸ Ἔκρηγμα καὶ a τὰ τῆς Σερβωνίδος ἕλη γινομένης αὐτοῖς τῆς πορείας, ἃς Τυφῶνος μὲν ἐκπνοὰς Αἰγύπτιοι καλοῦσι, τῆς δ' Ἐρυθρᾶς θαλάσσης ὑπονόστησις εἶναι δοκεῖ καὶ διήθησις, ᾗ βραχυτάτῳ διορίζεται πρὸς τὴν ἐντὸς θάλασσαν ἰσθμῷ πεμφθεὶς μετὰ τῶν ἱππέων ὁ Ἀντώνιος οὐ μόνον τὰ στενὰ κατέσχεν, ἀλλὰ καὶ Πηλούσιον ἑλὼν, πόλιν μεγάλην, καὶ τῶν ἐν αὐτῇ φρουρῶν κρατήσας ἅμα καὶ τὴν ὁδὸν ἀσφαλῆ τῷ στρατεύματι καὶ τὴν ἐλπίδα τῆς νίκης ἐποίησε τῷ στρατηγῷ βέβαιον. Ἀπέλαυσαν δὲ τῆς φιλοτιμίας αὐτοῦ καὶ οἱ πολέμιοι. Πτολε-

quam id mater sua ab uxore Ciceronis impetrasset. Verum id haud dubie falsum est, quum nemo eorum quos tum Cicero supplicio affecit, sepultura sit prohibitus. (2) Antonii autem pueritiam alioqui haud prave institutam Curionis familiaritas et consuetudo, veluti pestis quædam, adorta corrupisse traditur; is enim homo voluptatis mancipium Antonium, quo magis eum sibi obnoxium haberet, in potationes, scortationes sumptusque graves et luxuriosos conjecit, adeo ut præter ætatis rationem, gravem æris alieni summam, nempe sexagies sestertiûm, conflaverit. Id totum quum Curio pater filium suum in se recepisse pro eo sentiret, domo Antonium ejecit. (3) Ex eo Antonius aliquamdiu Clodium sectatus, qui inter popularis auræ captatores audacissimus atque impurissimus magno omnia tumultu miscebat, mox furoris ejus satietate correptus, metuensque sibi ab iis qui in Clodium conspirabant, ex Italia in Græciam abiit. Ibi et corpus ad militares labores et linguam ad dicendum exercitationibus instruxit. Æmulatus est autem Asiaticum dicendi genus, maxime tum florens, vitæque ejus fastuosæ et inflatæ atque inani elatione inconstantique ambitione plenæ consentaneum.

III. Quum vero Gabinius eum vir consularis in Syriam navigans hortaretur, uti secum illi expeditioni interesset, præfectus equitatui (privatus enim sequi nolebat) una ivit. Missusque primum contra Aristobulum Judæos ad defectionem pertrahentem, primus omnium castellum validissimum conscendit, ipsum vero omnibus munitionibus expulit; deinde prœlio congressus ingentes hostium copias parva suorum manu fudit, ac prope ad internecionem cecidit: ipsum Aristobulum cum filio cepit. (2) Secundum hæc Gabinium Ptolemæus decem millibus talentorum promissis orat, uti se in regnum Ægypti reducat. Ibi quum plerique ducum repugnarent et ipse etiam Gabinius, quanquam tam grandi mercede plane captus, cunctaretur bellum suscipere, Antonius et magnarum rerum et Ptolemæo gratificandi cupidus, eum hortando instandoque ad suscipiendum hoc bellum impulit. Difficilior tum ipso bello videbatur profectio ad Pelusium, quum esset iter faciendum per profundam arenam et aquæ expertia loca, juxta eruptionem et paludes Serbonidis, quem locum Ægyptii Typhonis exspirationes nominant, videtur autem esse reflexus et excolatio Rubri maris, qua id a mediterraneo mari brevissimo dividitur isthmo. Missus cum equitatu Antonius non angustias modo occupavit, sed et Pelusio, urbe haud parva, capto, et quod ibi erat præsidio, tutum exercitui iter, imperatori certam victoriæ spem præbuit. Hostibus quoque ejus studium laudis profuit. Quum enim Ptolemæus Pelusium in-

μαίου γὰρ ἅμα τῷ παρελθεῖν εἰς τὸ Πηλούσιον ὑπ' ὀργῆς καὶ μίσους ὡρμημένου φονεύειν τοὺς Αἰγυπτίους b ἐνέστη καὶ διεκώλυσεν. (3) Ἐν δὲ ταῖς μάχαις καὶ τοῖς ἀγῶσι μεγάλοις καὶ συχνοῖς γενομένοις πολλὰ καὶ τόλμης ἔργα καὶ προνοίας ἡγεμονικῆς ἀποδειξάμενος, ἐμφανέστατα δὲ τῷ κυκλώσασθαι καὶ περιβαλεῖν κατόπιν τοὺς πολεμίους τὴν νίκην τοῖς κατὰ στόμα παρασχών, ἀριστεῖα καὶ τιμὰς ἔλαβε πρεπούσας. Οὐ διέλαθε δὲ τοὺς πολλοὺς οὐδὲ ἡ πρὸς Ἀρχέλαον αὐτοῦ τεθνηκότα φιλανθρωπία· γεγονὼς γὰρ αὐτῷ συνήθης καὶ ξένος ἐπολέμει μὲν ἀναγκαίως ζῶντι, τὸ δὲ σῶμα πεσόντος ἐξευρὼν καὶ κοσμήσας βασιλικῶς ἐκήδευσεν. Ἐπὶ τούτοις Ἀλεξανδρεῦσί τε πλεῖστον αὐτοῦ λόγον κατέλιπε καὶ Ῥω- c μαίων τοῖς στρατευομένοις ἀνὴρ ἔδοξε λαμπρότατος εἶναι.

IV. Προσῆν δὲ καὶ μορφῆς ἐλευθέριον ἀξίωμα καὶ πώγων τις οὐκ ἀγεννὴς καὶ πλάτος μετώπου καὶ γρυπότης μυκτῆρος ἐδόκει τοῖς γραφομένοις καὶ πλαττομένοις Ἡρακλέους προσώποις ἐμφερὲς ἔχειν τὸ ἀρρενωπόν. Ἦν δὲ καὶ λόγος παλαιός, Ἡρακλείδας εἶναι τοὺς Ἀντωνίους ἀπ' Ἄντωνος, παιδὸς Ἡρακλέους γεγονότας. Καὶ τοῦτον ᾤετο τὸν λόγον τῇ τε μορφῇ τοῦ σώματος, ὥσπερ εἴρηται, καὶ τῇ στολῇ βεβαιοῦν. Ἀεὶ γάρ, ὅτε μέλλοι πλείοσιν ὁρᾶσθαι, χιτῶνα εἰς μηρὸν ἔζωστο καὶ μάχαιρα μεγάλη παρήρτητο καὶ σάγος περιέκειτο τῶν στερεῶν. (2) Οὐ μὴν ἀλλὰ καὶ τὰ τοῖς ἄλλοις φορτικὰ d δοκοῦντα, μεγαλαυχία καὶ σκῶμμα καὶ κώθων ἐμφανὴς καὶ καθίσαι παρὰ τὸν ἐσθίοντα καὶ φαγεῖν ἐπιστάντα τραπέζῃ στρατιωτικῇ, θαυμαστὸν ὅσον εὐνοίας καὶ πόθου πρὸς αὐτὸν ἐνεποίει τοῖς στρατιώταις. Ἦν δέ που καὶ τὸ ἐρωτικὸν οὐκ ἀναφρόδιτον, ἀλλὰ καὶ τούτῳ πολλοὺς ἐδημαγώγει συμπράττων τε τοῖς ἐρῶσι καὶ σκωπτόμενος οὐκ ἀηδῶς εἰς τοὺς ἰδίους ἔρωτας. (3) Ἡ δ' ἐλευθεριότης καὶ τὸ μηδὲν ὀλίγῃ χειρὶ μηδὲ φειδομένῃ χαρίζεσθαι στρατιώταις καὶ φίλοις ἀρχήν τε λαμπρὰν ἐπὶ τὴν ἰσχὺν αὐτῷ παρέσχε καὶ μεγάλου γενομένου τὴν δύναμιν ἐπὶ πλεῖον ἐπῆρεν ἐκ μυρίων ἄλλων ἁμαρτημά- e των ἀνατρεπομένην. Ἓν δέ τι τοῦ μεγαλοδώρου παράδειγμα διηγήσομαι. Τῶν φίλων τινὶ μυριάδας ἐκέλευσε πέντε καὶ εἴκοσι δοθῆναι· τοῦτο Ῥωμαῖοι δεκίης καλοῦσι. Τοῦ δ' ἐπιτρόπου θαυμάσαντος καὶ ἵνα δείξῃ τὸ πλῆθος αὐτῷ καταβαλόντος ἐν μέσῳ τὸ ἀργύριον, ἠρώτησε παριών, ὅ τι δὴ τοῦτο εἴη. Τοῦ δ' ἐπιτρόπου φήσαντος ὡς ὃ κελεύσειε δοθῆναι, συμβαλὼν αὐτοῦ τὴν κακοήθειαν ὁ Ἀντώνιος, Ἐγὼ πλεῖον ᾤμην, ἔφη, τὸ δεκίης εἶναι· τοῦτο δὲ μικρόν ἐστιν· ὥστε ἄλλο πρόσθες αὐτῷ τοσοῦτον. »

V. Ταῦτα μὲν οὖν ὕστερον. Ἐπεὶ δὲ τὰ Ῥωμαίων πράγματα διέστη, τῶν μὲν ἀριστοκρατικῶν Πομπηΐῳ f παρόντι προσθεμένων, τῶν δὲ δημοτικῶν Καίσαρα καλούντων ἐκ Γαλατίας ἐν τοῖς ὅπλοις ὄντα, Κουρίων ὁ Ἀντωνίου φίλος ἐκ μεταβολῆς θεραπεύων τὰ Καίσαρος Ἀντώνιον προσηγάγετο, καὶ μεγάλην μὲν ἀπὸ τοῦ λέγειν ἐν τοῖς πολλοῖς ἔχων ἰσχύν, χρώμενος δὲ καὶ δαπάναις

gressus iræ et odio indulgere ac necare Ægyptios vellet, ab Antonio est prohibitus. (3) Obivit autem multas pugnas ac difficilia certamina, in quibus multa audaciæ, multa prudentiæ ejus, quæ in duce requiritur, documenta edidit, atque eo potissimum, quod circumventis a tergo hostibus, iis qui a fronte pugnabant victoriam pararet; itaque præmia et honores dignos adeptus est. Neque ejus in mortuum Archelaum humanitas multitudinem fefellit; quem quum olim familiarem suum atque hospitem invitus viventem oppugnasset, cadaver in pugna cæsi inventum regio ornatu sepeliit. His factis et apud Alexandrinos magnam sui famam reliquit, et summum nominis sui splendorem apud Romanos milites paravit.

IV. Inerat ei in vultu etiam liberalis dignitas, ac barba non indecens, faciesque lata, et nasi aduncitas videbatur masculam oris formam, qualis Herculis pingitur atque fingitur, exprimere. Rumor vero etiam antiquus tenebat, Antonios ab Hercule genus trahere, prognatos ab ejus filio Antone. Quem ille rumorem videbatur et figura corporis, uti dicitur, et habitu confirmare. Nam quoties in conspectum multitudinis esset proditurus, tunicam ad femur cingulo astringebat, sago denso velabatur et magno gladio se accingebat. (2) Quin et illa quæ intolerabilia alias videntur, jactantia, dicacitas, compotatio aperta, comedentibus assidere, stantem ad mensam militarem manducare, mirum in modum apud milites eum commendabant. Non invenusti etiam amores ejus erant, quibus ipsis multorum sibi conciliabat animos, amantibus operam navans, jocosque de suis amoribus non injucunde audiens. (3) Liberalitas autem ejus et quod nihil parca manu militibus et amicis largiebatur, viam ei ad imperium munivit amplissimam, ejusque potentiam, quum jam magnus evasisset, majorem in modum auctam diu conservavit, innumeris aliis peccatis subversam. Unum munificentiæ ejus exemplum referam. Cuidam amicorum dari decies sestertiûm jusserat. Mirante procuratore, utque doni magnitudinem ostenderet, in medium pecuniam deponente, transiens, quid hoc rei esset, rogavit. Respondente procuratore, eam esse pecuniam, quam dari amico jussisset, intelligens ejus malignitatem : Parum est, ait, hoc, et minus quam putassem; adde igitur tantundem.

V. Verum hoc postmodo. Posteaquam Romæ de republica disceptari cœptum est, optimatibus se Pompeio, qui tum ad urbem erat, adjungentibus, popularibus Cæsarem, qui in Gallia cum exercitu erat, vocantibus, Curio Antonii amicus mutato priore consilio Cæsaris causam fovens, Antonium sibi ascivit, utque multum dicendo apud vulgus et

ἀφειδῶς ἀφ' ὧν Καῖσαρ ἐχορήγει, δήμαρχον ἀπέδειξε τὸν Ἀντώνιον, εἶτα τῶν ἐπ' οἰωνοῖς ἱερέων οὓς Αὔγουρας 918 καλοῦσιν. (2) Ὁ δὲ εὐθὺς εἰς τὴν ἀρχὴν παρελθὼν οὐ a μικρὸν ἦν ὄφελος τοῖς πολιτευομένοις ὑπὲρ Καίσαρος. Ἀλλὰ πρῶτον μὲν Μαρκέλλου τοῦ ὑπάτου Πομπηΐῳ τούς τε συνειλεγμένους ἤδη στρατιώτας παρεγγυῶντος καὶ καταλέγειν ἑτέρους διδόντος, ἐμποδὼν ἔστη διάταγμα γράψας, ὅπως ἡ μὲν ἠθροισμένη δύναμις εἰς Συρίαν πλέῃ καὶ Βύβλῳ βοηθῇ πολεμοῦντι Πάρθοις, οὓς δὲ Πομπήϊος καταλέγει, μὴ προσέχωσιν αὐτῷ· δεύτερον δὲ τὰς Καίσαρος ἐπιστολὰς οὐ προσιεμένων οὐδὲ ἐώντων ἀναγινώσκεσθαι τῶν συγκλητικῶν, αὐτὸς ἰσχύων διὰ τὸ ἄρχειν ἀνέγνω καὶ πολλοὺς μετέστησε τῇ γνώμῃ, δίκαια καὶ μέτρια Καίσαρος ἀξιοῦν ἀφ' ὧν ἔγραψε δό- b ξαντος. (3) Τέλος δέ, δυεῖν ἐρωτήσεων ἐν τῇ βουλῇ γενομένων, τῆς μέν, εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τὰ στρατεύματα, τῆς δέ, εἰ Καίσαρα, καὶ Πομπήϊον μὲν ὀλίγων τὰ ὅπλα καταθέσθαι, Καίσαρα δὲ πάντων παρ' ὀλίγους κελευόντων, ἀναστὰς Ἀντώνιος ἠρώτησεν, εἰ δοκεῖ καὶ Πομπήϊον ὁμοῦ καὶ Καίσαρα τὰ ὅπλα καταθέσθαι καὶ τὰς δυνάμεις ἀφεῖναι. Ταύτην ἐδέξαντο λαμπρῶς τὴν γνώμην ἅπαντες καὶ μετὰ βοῆς ἐπαινοῦντες τὸν Ἀντώνιον ἠξίουν ἐπιψηφίζεσθαι. Μὴ βουλομένων δὲ τῶν ὑπάτων, αὖθις ἑτέρας οἱ Καίσαρος φίλοι c προὔτειναν ἐπιεικεῖς εἶναι δοκούσας ἀξιώσεις, αἷς ὅ τε Κάτων ἀντέπιπτε καὶ Λέντλος ὑπατεύων ἐξέβαλε τῆς βουλῆς τὸν Ἀντώνιον. Ὁ δὲ πολλὰ μὲν αὐτοῖς ἐξιὼν ἐπηράσατο, λαβὼν δὲ θεράποντος ἐσθῆτα καὶ μισθωσάμενος μετὰ Κασσίου Κοΐντου ζεῦγος ἐξώρμησε πρὸς Καίσαρα· καὶ κατεβόων εὐθὺς ὀφθέντες, ὡς οὐδένα κόσμον ἔτι τῶν ἐν Ῥώμῃ πραγμάτων ἐχόντων, ὅτε μηδὲ δημάρχοις παρρησίας μέτεστιν, ἀλλ' ἐλαύνεται καὶ κινδυνεύει πᾶς ὁ φθεγξάμενος ὑπὲρ τῶν δικαίων.

VI. Ἐκ τούτου λαβὼν τὴν στρατιὰν ὁ Καῖσαρ εἰς Ἰταλίαν ἐνέβαλε. Διὸ καὶ Κικέρων ἐν τοῖς Φιλιππικοῖς ἔγραψε, τοῦ μὲν Τρωικοῦ πολέμου τὴν Ἑλένην, d τοῦ δ' ἐμφυλίου τὸν Ἀντώνιον ἀρχὴν γενέσθαι, περιφανῶς ψευδόμενος. Οὐ γὰρ οὕτως εὐχερὴς ἦν οὐδὲ ῥᾴδιος ὑπ' ὀργῆς ἐκπεσεῖν τῶν λογισμῶν Γάϊος Καῖσαρ, ὥστε, εἰ μὴ ταῦτα πάλαι ἔγνωστο πράττειν, οὕτως ἂν ἐπὶ καιροῦ τὸν κατὰ τῆς πατρίδος ἐξενεγκεῖν πόλεμον, ὅτι φαύλως ἠμφιεσμένον εἶδεν Ἀντώνιον καὶ Κάσσιον ἐπὶ ζεύγους μισθίου πεφευγότας πρὸς αὐτόν, ἀλλὰ ταῦτα πάλαι δεομένῳ προφάσεως σχῆμα καὶ λόγον εὐπρεπῆ τοῦ πολέμου παρέσχεν. Ἦγε δὲ αὐτὸν ἐπὶ πάντας ἀνθρώπους ἃ καὶ πρότερον Ἀλέξανδρον καὶ πάλαι Κῦρον, e ἔρως ἀπαρηγόρητος ἀρχῆς καὶ περιμανὴς ἐπιθυμία τοῦ πρῶτον εἶναι καὶ μέγιστον· ὧν τυχεῖν οὐκ ἦν μὴ Πομπηΐου καταλυθέντος. (2) Ὡς δ' οὖν ἐπελθὼν ἐκράτησε τῆς Ῥώμης καὶ Πομπήϊον ἐξήλασε τῆς Ἰταλίας καὶ πρὸς τὰς ἐν Ἰβηρίᾳ Πομπηΐου δυνάμεις ἐπιστρέφειν ἔγνω πρότερον, εἶτα οὕτως παρασκευασάμενος στόλον ἐπὶ Πομπήϊον διαβαίνειν, Λεπίδῳ μὲν στρατηγοῦντι τὴν Ῥώμην, Ἀντωνίῳ δὲ δημαρχοῦντι

Cæsare suppeditante largitionibus plurimum poterat, effecit ut Antonius primum tribunus plebis, inde augur fieret. (2) Antonius simul atque tribunatum accepit, plurimum Cæsaris factioni auxilii tulit. Primum Marcello consuli, milites jam contractos Pompeio tradenti potestatemque scribendorum aliorum concedenti, restitit rogatione lata, ut collectus jam exercitus in Syriam navigaret Bibuloque bellum cum Parthis gerenti subveniret, ceteri qui conducerentur, Pompeio dicto audientes ne essent. Deinde quum Cæsaris literas recitari in senatu Pompeiani non sinerent, ipse (nam muneris sui ratione poterat) eas recitavit, multosque a pristina sententia abduxit, quod alii ex epistolis intellexisse sibi videbantur moderata et justa petere Cæsarem. (3) Denique duabus in senatu propositis quæstionibus, una an Pompeio, altera an Cæsari esset dimittendus exercitus, quum pauci illum, hunc omnes paucis exceptis ab armis discedere juberent: assurgens Antonius sententias dicere jussit, simulne utrique Pompeio et Cæsari arma ponenda et dimittendæ copiæ essent. Hæc summo omnium assensu probata est quæstio, magnoque cum clamore laudantes Antonium suffragia ferri jubebant. Quum repugnarent consules, rursum alias et æquas, ut videbatur, proposuerunt conditiones, quibus et Cato se opposuit et Lentulus consul Antonium senatu exturbavit. Antonius multa in caput eorum exsecratus in discessu suo, servilem habitum sumpsit, conductaque una cum Q. Cassio rheda meritoria, ad Cæsarem abiit, atque ut primum in conspectum ejus venere, magna vociferatione testati sunt, omnia Romæ confusa esse, ne tribunis quidem plebis libertatem relictam, in periculo esse quicumque de jure mentionem faciat.

VI. Inde Cæsar cum exercitu in Italiam irrupit. Sed in Philippicis Cicero scribens, Helenam Trojani belli, Antonium civilis principium fuisse, splendide mentitur. Non enim ita levis fuit C. Cæsar, neque ita facile a sano consilio dimoveri se passus fuit, ut, nisi jam pridem ita decrevisset, bellum subito patriæ illaturus fuerit, quod indigno habitu et rheda meritoria ad se profugientes Antonium et Cassium vidisset. Verum hæc ei jam dudum occasionem captanti prætextum facti sui honestum præbuerunt. Rapiebat autem eum adversus omnes homines, sicut et Alexandrum ante, et antiquitus Cyrum, insatiabilis dominandi amor et insana primi loci summæque potentiæ cupiditas, quæ adipisci nisi everso Pompeio non poterat Cæsar. (2) Ergo ut profligato ex Italia Pompeio Romam tenuit, profecturus in Hispaniam primum ad Pompeianas ibi copias expugnandas, ac deinde parata classe Pompeium petiturus, Lepido prætori Romam, Antonio tribuno plebis Italiam et exercitus commisit. Mili-

τὰ στρατεύματα καὶ τὴν Ἰταλίαν ἐπέτρεψεν. Ὁ δὲ τοῖς μὲν στρατιώταις εὐθὺς προσφιλὴς ἦν συγγυμναζόμενος καὶ συνδιαιτώμενος τὰ πολλὰ καὶ δωρούμενος ἐκ τῶν παρόντων, τοῖς δὲ ἄλλοις ἐπαχθής. Καὶ γὰρ ἀδικουμένων f ὑπὸ ῥαθυμίας ὠλιγώρει καὶ πρὸς ὀργὴν ἠκροᾶτο τῶν ἐντυγχανόντων καὶ κακῶς ἐπὶ γυναιξὶν ἀλλοτρίαις ἤκουε. Καὶ ὅλως τὴν Καίσαρος ἀρχήν, πάντα μᾶλλον ἢ τυραννίδα δι' αὐτὸν ἐκεῖνον φανεῖσαν, οἱ φίλοι διέβαλλον· ὧν Ἀντώνιος ἀπ' ἐξουσίας μεγίστης ἁμαρτάνειν μέγιστα δόξας τὴν πλείστην αἰτίαν ἔλαβεν.

VII. Οὐ μὴν ἀλλ' ἐπανελθὼν ὁ Καῖσαρ ἐκ τῆς Ἰβηρίας τὰ μὲν ἐγκλήματα παρεῖδεν αὐτοῦ, πρὸς δὲ τὸν
919 πόλεμον ὡς ἐνεργῷ καὶ ἀνδρείῳ καὶ ἡγεμονικῷ χρώμενος a οὐδαμῇ διήμαρτεν. Αὐτὸς μὲν οὖν μετ' ὀλίγων ἀπὸ Βρεντεσίου διαπεράσας τὸν Ἰόνιον ἔπεμψεν ὀπίσω τὰ πλοῖα, Γαβινίῳ καὶ Ἀντωνίῳ τὰς δυνάμεις ἐμβιβάζειν καὶ περαιοῦν κατὰ τάχος εἰς Μακεδονίαν ἐπιστείλας· Γαβινίου δὲ πρὸς τὸν πλοῦν χαλεπὸν ὄντα χειμῶνος ὥρᾳ καταδειλιάσαντος καὶ πεζῇ μακρὰν ὁδὸν περιάγοντος τὸν στρατόν, Ἀντώνιος ὑπὲρ Καίσαρος ἐν πολλοῖς ἀπειλημμένου πολεμίοις φοβηθεὶς Λίβωνα μὲν ἐφορμοῦντα τῷ στόματι τοῦ λιμένος ἀπεκρούσατο, πολλὰ τῶν λεπτῶν ἀκατίων ταῖς τριήρεσιν αὐτοῦ περιστήσας, ἐμβιβάσας δὲ ταῖς ναυσὶν ἱππεῖς ὀκτακοσίους καὶ δισμυρίους b ὁπλίτας ἀνήχθη. (2) Καὶ γενόμενος καταφανὴς τοῖς πολεμίοις καὶ διωκόμενος τὸν μὲν ἐκ τούτων κίνδυνον διέφυγε, λαμπροῦ νότου κῦμα μέγα καὶ κοίλην θάλατταν ταῖς τριήρεσιν αὐτῶν περιστήσαντος, ἐκφερόμενος δὲ ταῖς ναυσὶ πρὸς κρημνοὺς καὶ φάραγγας ἀγχιβαθεῖς οὐδεμίαν ἐλπίδα σωτηρίας εἶχεν. Ἄφνω δὲ τοῦ κόλπου πολὺν ἐκπνεύσαντος λίβα καὶ τοῦ κλύδωνος ἀπὸ τῆς γῆς εἰς τὸ πέλαγος διαχεομένου, μεταβαλόμενος ἀπὸ τῆς γῆς καὶ πλέων σοβαρῶς ὁρᾷ ναυαγίων περίπλεων τὸν αἰγιαλόν. Ἐνταῦθα γὰρ ἐξέβαλε τὸ πνεῦμα τὰς διωκούσας αὐτὸν τριήρεις καὶ διεφθάρησαν οὐκ ὀλίγαι· καὶ σωμάτων πολλῶν καὶ χρημάτων ἐκράτησεν c Ἀντώνιος καὶ Λίσσον εἷλε καὶ μέγα Καίσαρι παρέσχε θάρσος ἐν καιρῷ μετὰ τηλικαύτης ἀφικόμενος δυνάμεως.

VIII. Πολλῶν δὲ γινομένων καὶ συνεχῶν ἀγώνων, ἐν πᾶσι μὲν ἦν διαπρεπής· δὶς δὲ φεύγοντας προτροπάδην τοὺς Καίσαρος ἀπαντήσας ἀνέστρεψε καὶ στῆναι καὶ συμβαλεῖν αὖθις τοῖς διώκουσιν ἀναγκάσας ἐνίκησεν. Ἦν οὖν αὐτοῦ μετὰ Καίσαρα πλεῖστος ἐν τῷ στρατοπέδῳ λόγος. Ἐδήλωσε δὲ Καῖσαρ, ἣν ἔχοι περὶ αὐτοῦ δόξαν. Ἐπεὶ γὰρ ἔμελλε τὴν τελευταίαν καὶ τὰ ὅλα κρίνασαν ἐν Φαρσάλῳ μάχην μάχεσθαι, τὸ μὲν δεξιὸν αὐτὸς εἶχε κέρας, τοῦ δ' εὐωνύμου τὴν ἡγεμονίαν d Ἀντωνίῳ παρέδωκεν ὡς πολεμικωτάτῳ τῶν ὑφ' ἑαυτῷ. Μετὰ δὲ τὴν νίκην δικτάτωρ ἀναγορευθεὶς αὐτὸς μὲν ἐδίωκε Πομπήιον, Ἀντώνιον δὲ ἵππαρχον ἑλόμενος εἰς Ῥώμην ἔπεμψεν. Ἔστι δὲ ἡ ἀρχὴ δευτέρα, τοῦ δικτάτωρος παρόντος· ἂν δὲ μὴ παρῇ, πρώτη καὶ μόνη σχεδόν. Ἡ γὰρ δημαρχία διαμένει, τὰς

tibus statim una vivens, iisdemque exercitationibus utens crebro, et pro suis facultatibus dona dans, acceptissimus fuit Antonius, reliquis molestissimus. Nam et injurias eorum præ animi levitate negligebat, et iratum se compellantibus exhibebat, et propter adulteria male audiebat. Atque omnino Cæsaris dominationem, quæ quantum ejus in Cæsare erat, quidvis potius quam tyrannis poterat dici, invisam amici efficiebant, ac præcipue Antonius, qui ob summam potentiam plurimum etiam peccare videbatur.

VII. Reversus ex Hispania Cæsar crimina objecta ei dissimulavit, strenuo autem, forti prudentique eo duce toto isto bello usus, nequaquam exspectatione decidit. Nam quum a Brundusio paucis copiis Ionium mare trajecisset et retro naves misisset, ut Gabinius et Antonius copias iis impositas quamprimum in Macedoniam transportarent, Gabinio navigationis periculum (hiems enim tum erat) reformidante, atque exercitum longo itinere circumducente, Antonius Cæsari multis hostibus circumdato metuens, Libonem primum, qui portus fauces obsidebat, repulit, quum ejus triremes multis parvis scaphis arcuisset; inde impositis in naves octingentis equitibus et viginti peditum millibus, transmisit. (2) Quum vero eum hostes conspicati persequerentur, validus Auster increbuit, magnoque fluctu excitato apud eorum naves et mari exagitato, periculum avertit; verum ejectus cum classe ad scopulos abruptos et profundos sinus, in summa desperatione salutis fuit. Hic subito vehemens e sinu Africus erupit fluctusque a terra in mare propulit, ita ut in altum feliciter provectus Antonius in littore naufragia multa conspiceret. Eo enim ventus triremes hostium insequentium impegerat et plerasque attriverat. Antonius multis in suam potestatem hominibus et opibus redactis, Lissum cepit, atque opportune cum magnis copiis advectus, magnam rebus Cæsaris fiduciam addidit.

VIII. Multa proinde et continentia inter Cæsarem et Pompeium committebantur certamina, in quibus omnibus spectata fuit virtus Antonii. Bis idem in præcipitem fugam effusis Cæsarianis occurrens, eo, uti se converterent, impulit, et repetere cogens suos pugnam, instantes profligavit. Itaque secundum Cæsarem prima ejus in castris fuit existimatio, atque ipse Cæsar satis ostendit, quantum ei tribueret, quum Pharsalico prœlio (quo ultimo de summa rerum decretum est) dextrum cornu ipse ducens, Antonio, ut laude bellica suorum præstantissimo, sinistrum commisit. Ab ea victoria Cæsar dictator dictus Pompeium insecutus est, Antonium vero magistrum equitum Romam misit. Est autem hæc potestas proximæ post dictaturam dignitatis, dictatore præsente : eo enim absente, prima atque sola prope valet. Tribuni enim plebis soli manent, quum qui-

δ' ἄλλας καταλύουσι πάσας, δικτάτωρος αἱρεθέντος.

IX. Οὐ μὴν ἀλλὰ τότε δημαρχῶν Δολοβέλλας, νέος ἀνὴρ καὶ νέων πραγμάτων ὀρεγόμενος, εἰσηγεῖτο χρεῶν ἀποκοπὰς καὶ τὸν Ἀντώνιον αὐτῷ τε φίλον ὄντα καὶ βουλόμενον ἀεὶ τοῖς πολλοῖς ἀρέσκειν ἔπειθε συμπράτ- e τειν καὶ κοινωνεῖν τοῦ πολιτεύματος. Ἀσινίου δὲ καὶ Τρεβελλίου τἀναντία παρακαλούντων, ὑπόνοια δεινὴ κατὰ τύχην τῷ Ἀντονίῳ προσέπεσεν ὡς ἀδικουμένῳ περὶ τὸν γάμον ὑπὸ τοῦ Δολοβέλλα. Καὶ τὸ πρᾶγμα βαρέως ἐνεγκὼν τήν τε γυναῖκα τῆς οἰκίας ἐξήλασεν ἀνεψιὰν οὖσαν αὐτοῦ, θυγάτηρ γὰρ ἦν Γαΐου Ἀντωνίου τοῦ Κικέρωνι συνυπατεύσαντος· καὶ τοὺς περὶ Ἀσίνιον δεξάμενος ἐπολέμει τῷ Δολοβέλλᾳ. Κατέλαβε γὰρ τὴν ἀγορὰν ἐκεῖνος ὡς βίᾳ κυρώσων τὸν νόμον· Ἀντώνιος δὲ, καὶ τῆς βουλῆς ψηφισαμένης ὅπλων δεῖν ἐπὶ f τὸν Δολοβέλλαν, ἐπελθὼν καὶ μάχην συνάψας ἀπέκτεινέ τέ τινας τῶν ἐκείνου καὶ τῶν ἰδίων ἀπέβαλε. (2) Τοῖς μὲν οὖν πολλοῖς ἐκ τούτων ἀπηχθάνετο, τοῖς δὲ χρηστοῖς καὶ σώφροσι διὰ τὸν ἄλλον βίον οὐκ ἦν ἀρεστὸς, ὡς Κικέρων φησὶν, ἀλλ' ἐμισεῖτο, βδελυττομένων αὐτοῦ μέθας ἀώρους καὶ δαπάνας ἐπαχθεῖς καὶ 920 κυλινδήσεις ἐν γυναίοις, καὶ μεθ' ἡμέραν μὲν ὕπνους a καὶ περιπάτους ἀλύοντος καὶ κραιπαλῶντος, νύκτωρ δὲ κώμους καὶ θέατρα καὶ διατριβὰς ἐν γάμοις μίμων καὶ γελωτοποιῶν. (3) Λέγεται γοῦν, ὡς Ἱππίου ποτὲ τοῦ μίμου γάμοις ἑστιαθεὶς καὶ πιὼν διὰ νυκτὸς, εἶτα πρωὶ τοῦ δήμου καλοῦντος εἰς ἀγορὰν παρελθὼν ἔτι τροφῆς μεστὸς ἐμέσειε, τῶν φίλων τινὸς ὑποσχόντος τὸ ἱμάτιον. Ἦν δὲ καὶ Σέργιος ὁ μῖμος τῶν μέγιστον παρ' αὐτῷ δυναμένων καὶ Κυθηρὶς ἀπὸ τῆς αὐτῆς παλαίστρας γύναιον ἀγαπώμενον, ὃ δὴ καὶ τὰς πόλεις ἐπιὼν ἐν φορείῳ περιήγετο καὶ τὸ φορεῖον οὐκ ἐλάττους ἢ τὸ τῆς μητρὸς αὐτοῦ περιέποντες ἠκολούθουν. (4) Ἐλύπουν δὲ καὶ χρυσῶν ἐκπωμάτων ὥσπερ ἐν πομπαῖς b ταῖς ἀποδημίαις διαφερομένων ὄψεις καὶ στάσεις ἐνόδιοι σκηνῶν καὶ πρὸς ἄλσεσι καὶ ποταμοῖς ἀρίστων πολυτελῶν διαθέσεις καὶ λέοντες ἅρμασιν ὑπεζευγμένοι καὶ σωφρόνων ἀνδρῶν καὶ γυναικῶν οἰκίαι χαμαιτύπαις καὶ σαμβυκιστρίαις ἐπισταθμευόμεναι. Δεινὸν γὰρ ἐποιοῦντο Καίσαρα μὲν αὐτὸν ἔξω τῆς Ἰταλίας θυραυλεῖν τὰ περιόντα τοῦ πολέμου μεγάλοις πόνοις καὶ κινδύνοις ἀνακαθαιρόμενον, ἑτέρους δὲ δι' ἐκεῖνον τρυφᾶν τοῖς πολίταις ἐνυβρίζοντας.

X. Ταῦτα καὶ τὴν στάσιν αὐξῆσαι δοκεῖ καὶ τὸ στρατιωτικὸν εἰς ὕβρεις δεινὰς καὶ πλεονεξίας ἀνεῖναι. Διὸ καὶ Καῖσαρ ἐπανελθὼν Δολοβέλλᾳ τε συγγνώμην ἔδωκε καὶ τὸ τρίτον αἱρεθεὶς ὕπατος οὐκ Ἀντώνιον, c ἀλλὰ Λέπιδον εἵλετο συνάρχοντα. Τὴν δὲ Πομπηίου πωλουμένην οἰκίαν ὠνήσατο μὲν Ἀντώνιος, ἀπαιτούμενος δὲ τὴν τιμὴν ἠγανάκτει· καί φησιν αὐτὸς διὰ τοῦτο μὴ μετασχεῖν Καίσαρι τῆς εἰς Λιβύην στρατείας, ἐπὶ τοῖς προτέροις κατορθώμασιν οὐ τυχὼν ἀμοιβῆς. (2) Ἔοικε μέντοι τὸ πολὺ τῆς ἀβελτηρίας αὐτοῦ καὶ ἀσωτείας ἀφελεῖν ὁ Καῖσαρ οὐκ ἀναισθήτως τὰ πλημ-

dem omnes alii magistratus dictatore creato cessent.

IX. Enimvero ea tempestate Dolabella tribunus plebis, juvenis et novarum rerum cupidus, rogationem de novis tabulis tulit Antoniumque, amicum suum et plebem alias demereri solitum, impellebat ut adjutor et socius sibi in hac actione esset. Quum autem Asinius et Trebellius ad contrarium hortarentur, forte gravis Antonio incidit suspicio, Dolabellam nuptias suas violasse. Quam rem ita graviter tulit, ut et uxorem, tametsi consobrinam (filia enim fuit C. Antonii, quem in consulatu collegam Cicero habuit), repudiaret, et Asinianæ factioni adversus Dolabellam auxilium ferret. Quumque hic forum occupasset legis per vim perferendæ causa et senatus armis eum compescendum decrevisset, in forum cum armatis progressus conflixit, et quosdam adversæ partis hominum necavit, nonnullos suorum amisit. (2) Hæc res eum multitudini invisum reddidit. Bonis autem et honestis civibus vita ejus minime probabatur, sed, ut Cicero ait, odio habebatur; detestabantur enim intempestivas ejus ebrietates, intolerabilem luxum, in lustrisque ejus obversationes, qui interdiu aut dormiret, aut crapula oppletus vagaretur, noctes comessando, ludicris spectaculis et nuptiis mimorum scurrarumque celebrandis exigeret. (3) Memoriæ proditum est eum, quum in Hippiæ mimi nuptiis totam noctem potasset, mane a populo in concionem vocatum nondum concocta crapula progressum, vomuisse et quendam amicorum tunica id excepisse. Inter eos qui plurimum apud ipsum possent, Sergius fuit mimus et Cytheris ab eodem ludo muliercula dilecta, quam urbes peragrans in lectica circumducebat comitatu haud minori quam ipsius matrem. (4) Molesta erant etiam spectacula aureorum poculorum, quæ in profectionibus tanquam sacris pompis circumferebantur, sicut et hæc, quod in itineribus tabernacula constituebantur, juxta lucos et fluvios prandia ingenti sumptu apparabantur, leones curribus jungebantur, pudicorum virorum et honestarum mulierum ædes scortorum et sambucistriarum diversoria designabantur. Indignum vero videbatur, dum Cæsar extra Italiam belli reliquias magnis et laboribus et periculis conficeret, interim alios ipso fretos civibus per lasciviam et libidinem suam insultare.

X. Hæc et auxisse seditionem et militibus pravarum cupiditatum ac facinorum occasionem præbuisse videntur. Itaque reversus Cæsar Dolabellam culpa liberavit, ac tertium consul creatus, non Antonium, sed Lepidum collegam assumpsit. Pompeii bona hastæ subjecta quum emisset Antonius et pretium posceretur, inique tulit; atque ipse ait, se propterea in Africam cum Cæsare non profectum esse, quod nullum pro rebus ante præclare a se gestis pretium ab eo tulisset. (2) Sane Cæsar eo, quod ad peccata ejus non conniveret, videtur magnam amentiæ et luxuriæ ejus par-

μελήματα δεξάμενος. Ἀπαλλαγεὶς γὰρ ἐκείνου τοῦ βίου γάμῳ προσέσχε, Φουλβίαν ἀγαγόμενος τὴν Κλωδίῳ τῷ δημαγωγῷ συνοικήσασαν, οὐ ταλασίαν οὐδὲ οἰκουρίαν φρονοῦν γύναιον οὐδὲ ἀνδρὸς ἰδιώτου κρατεῖν ἀξιοῦν, ἀλλ' ἄρχοντος ἄρχειν καὶ στρατηγοῦντος στρατηγεῖν d βουλόμενον, ὥστε Κλεοπάτραν διδασκάλια Φουλβίᾳ τῆς Ἀντωνίου γυναικοκρασίας ὀφείλειν, πάνυ χειροήθη καὶ πεπαιδαγωγημένον ἀπ' ἀρχῆς ἀκροᾶσθαι γυναικῶν παραλαβοῦσαν αὐτόν. (3) Οὐ μὴν ἀλλὰ κἀκείνην ἐπειρᾶτο προσπαίζων καὶ μειρακιευόμενος ἱλαρωτέραν ποιεῖν ὁ Ἀντώνιος· οἷον ὅτε, Καίσαρι πολλῶν ἀπαντώντων μετὰ τὴν ἐν Ἰβηρίᾳ νίκην, καὶ αὐτὸς ἐξῆλθεν· εἶτα ἄφνω φήμης εἰς τὴν Ἰταλίαν ἐμπεσούσης, ὡς ἐπίασιν οἱ πολέμιοι Καίσαρος τεθνηκότος, ἀνέστρεψεν εἰς Ῥώμην. Λαβὼν δὲ θεράποντος ἐσθῆτα, νύκτωρ e ἐπὶ τὴν οἰκίαν ἦλθε καὶ φήσας ἐπιστολὴν Φουλβίᾳ παρ' Ἀντωνίου κομίζειν εἰσήχθη πρὸς αὐτὴν ἐγκεκαλυμμένος. Εἶτα ἡ μὲν ἐκπαθὴς οὖσα πρὶν ἢ τὰ γράμματα λαβεῖν ἠρώτησεν, εἰ ζῇ ὁ Ἀντώνιος· ὁ δὲ τὴν ἐπιστολὴν σιωπῇ προτείνας ἀρξαμένην λύειν καὶ ἀναγινώσκειν περιβαλὼν κατεφίλησε. Ταῦτα μὲν οὖν ὀλίγα πολλῶν ὄντων ἕνεκεν δείγματος ἐξενηνόχαμεν.

XI. Ἐκ δὲ Ἰβηρίας ἐπανιόντι Καίσαρι πάντες μὲν οἱ πρῶτοι πολλῶν ἡμερῶν ὁδὸν ἀπήντων· ἐτιμήθη δὲ Ἀντώνιος ἐκπρεπῶς ὑπ' αὐτοῦ. Κομιζόμενος γὰρ ἐπὶ ζεύγους διὰ τῆς Ἰταλίας Ἀντώνιον εἶχε μεθ' ἑαυτοῦ f συνοχούμενον, ὄπισθεν δὲ Βροῦτον Ἀλβῖνον καὶ τὸν τῆς ἀδελφιδῆς υἱὸν Ὀκταουιανόν, ὃς μετὰ ταῦτα Καῖσαρ ὠνομάσθη καὶ Ῥωμαίων ἦρξε πλεῖστον χρόνον. (2) Ἐπεὶ
921 δὲ τὸ πέμπτον ἀπεδείχθη Καῖσαρ ὕπατος, προσείλετο a μὲν εὐθὺς συνάρχοντα τὸν Ἀντώνιον, ἐβούλετο δὲ τὴν ἀρχὴν ἀπειπάμενος Δολοβέλλᾳ παρεγγυῆσαι· καὶ τοῦτο πρὸς τὴν σύγκλητον ἐξήνεγκεν. Ἀντωνίου δὲ τραχέως ἀντιπεσόντος καὶ πολλὰ μὲν εἰπόντος κακὰ Δολοβέλλαν, οὐκ ἐλάττονα δὲ ἀκούσαντος, τότε μὲν αἰσχυνθεὶς τὴν ἀκοσμίαν ὁ Καῖσαρ ἀπηλλάγη. Μετὰ δὲ ταῦτα προσελθὼν ἀνηγόρευσε τὸν Δολοβέλλαν, Ἀντωνίου δὲ τοὺς οἰωνοὺς ἐναντιοῦσθαι βοῶντος, εἶξε καὶ προήκατο Δολοβέλλαν ἀχθόμενον. Ἐδόκει δὲ κἀκεῖνον οὐδὲν ἧττον τοῦ Ἀντωνίου βδελύττεσθαι. Λέγεται γάρ, ὡς, ἀμφοτέρους b τινὸς ὁμοῦ διαβάλλοντος πρὸς αὐτόν, εἴποι μὴ δεδιέναι τοὺς παχεῖς τούτους καὶ κομήτας, ἀλλὰ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους, Βροῦτον καὶ Κάσσιον ἀποδεικνύμενος, ὑφ' ὧν ἔμελλεν ἐπιβουλευθεὶς ἀναιρεῖσθαι.

XII. Κἀκείνοις δὲ τὴν εὐπρεπεστάτην πρόφασιν ἄκων παρέσχεν Ἀντώνιος. Ἦν μὲν γὰρ ἡ τῶν Λυκαίων ἑορτὴ Ῥωμαίοις, ἣν Λουπερκάλια καλοῦσι, Καῖσαρ δὲ κεκοσμημένος ἐσθῆτι θριαμβικῇ καὶ καθήμενος ὑπὲρ βήματος ἐν ἀγορᾷ τοὺς διαθέοντας ἐθεᾶτο· διαθέουσι δὲ τῶν εὐγενῶν νέοι πολλοὶ καὶ τῶν ἀρχόντων ἀληλιμμένοι λίπα, σκύτεσι λασίοις καθικνούμενοι μετὰ παιδιᾶς τῶν ἐντυγχανόντων. Ἐν τούτοις ὁ Ἀντώνιος c διαθέων τὰ μὲν πάτρια χαίρειν εἴασε, διάδημα δὲ

tem correxisse. Etenim vitæ ista ratione omissa, uxorem dixit Fulviam, quæ prius cum Clodio tribuno plebis vixerat, mulierem non lanificio aut rei familiaris curationi deditam, neque contentam viro privato dominari, sed quæ imperatori imperare et ducem ducere cuperet, adeoque Cleopatra mercedem debuit Fulviæ, quod ea Antonium ad ferenda mulierum imperia assuefecisset, domitumque jam dudum et cicurem sibi tradidisset. (3) Hanc tamen per jocum et ludendo efficere hilariorem aliquanto conatus est; ut quum inter multos qui Cæsari ex Hispania victori redeunti obviam procedebant, ipse quoque ivit. Subito autem rumore in Italia coorto, hostes Cæsare vita functo adventare, Romam reversus, servili veste noctu ad ædes suas accessit, Fulviæ se literas ab Antonio afferre dicens. Intromissus ad eam velato capite, quum uxor graviter anxia, priusquam literas acciperet, viveretne Antonius, percontaretur, tacitus epistolam protendit, incipientem autem aperire et legere amplexus et deosculatus est. Hoc unum ex multis exempli causa retulimus.

XI. Ceterum Cæsar, quum ei ex Hispania Romam reverteuti primores civium ad multorum dierum iter occurrissent, Antonio summum honorem detulit. Secum enim eum in suis bigis, quibus per Italiam vehebatur, habuit; pone sequebantur Brutus Albinus, et Octavianus, sororis suæ filia natus, qui deinde Cæsaris nomen tenuit et Romanis per multos annos imperavit. (2) Quintum consul factus, statim Antonium collegam ascivit; statuit autem se magistratu abdicare et eum Dolabellæ tradere, atque ea de re senatum monuit. Antonio autem graviter repugnante, multisque in Dolabellam jactatis conviciis nec pauciora audiente, turpitudine rei Cæsar offensus in præsentia abiit. Rursum inde progressus ad designandum consulem Dolabellam, Antonio auspicia obsistere clamante, concessit Dolabellamque ægre ferentem dimisit. Et quidem videtur hunc non minus altero abominatus fuisse. Fertur enim iis qui utrumque simul ad ipsum deferebant, respondisse : crassos se istos et comatos non metuere, sed pallidos illos et tenues, Cassium indicans et Brutum, a quibus deinde est per insidias occisus.

XII. Quibus sane Antonius imprudens pulcherrimam ansam facinoris sui præbuit. Lupercalibus enim quum Cæsar triumphali veste in tribunali sederet in foro et Lupercos spectaret (decurrunt autem multi nobilium juvenum, et nonnulli etiam magistratus, oleo uncti, atque pilosis scuticis per lusum obvios percutiunt), Antonius, et ipse unus Lupercorum, jusso valere antiquo more, diadema laureo

δάφνης στεφάνῳ περιελίξας προσέδραμε τῷ βήματι καὶ συνεξαρθεὶς ὑπὸ τῶν συνθεόντων ἐπέθηκε τῇ κεφαλῇ τοῦ Καίσαρος, ὡς δὴ βασιλεύειν αὐτῷ προσῆκον. (2) Ἐκείνου δὲ θρυπτομένου καὶ διακλίνοντος, ἡσθεὶς ὁ δῆμος ἀνεκρότησε· καὶ πάλιν ὁ Ἀντώνιος ἐπῆγε καὶ πάλιν ἐκεῖνος ἀπετρίβετο. Καὶ πολὺν χρόνον οὕτω διαμαχομένων, Ἀντωνίῳ μὲν ὀλίγοι τῶν φίλων βιαζομένῳ, Καίσαρι δὲ ἀρνουμένῳ πᾶς ὁ δῆμος ἐπεκρότει μετὰ βοῆς· ὃ καὶ θαυμαστὸν ἦν, ὅτι τοῖς ἔργοις τὰ τῶν βασιλευομένων ὑπομένοντες τοὔνομα τοῦ βασιλέως ὡς d κατάλυσιν τῆς ἐλευθερίας ἔφευγον. Ἀνέστη μὲν οὖν ὁ Καῖσαρ ἀχθεσθεὶς ἀπὸ τοῦ βήματος καὶ τὸ ἱμάτιον ἀπάγων ἀπὸ τοῦ τραχήλου τῷ βουλομένῳ παρέχειν τὴν σφαγὴν ἐβόα. Τὸν δὲ στέφανον ἑνὶ τῶν ἀνδριάντων αὐτοῦ περιτεθέντα δήμαρχοί τινες κατέσπασαν, οὓς ὁ δῆμος εὐφημῶν μετὰ κρότου παρείπετο, Καῖσαρ δὲ τῆς ἀρχῆς ἀπέστησεν.

XIII. Ταῦτα τοὺς περὶ Βροῦτον καὶ Κάσσιον ἐπέρρωσε· καὶ τῶν φίλων τοὺς πιστοὺς καταλέγοντες ἐπὶ τὴν πρᾶξιν ἐσκέπτοντο περὶ Ἀντωνίου. Τῶν δὲ ἄλλων προσιεμένων τὸν ἄνδρα Τρεβώνιος ἀντεῖπεν· ἔφη γὰρ ὑφ' ὃν χρόνον ἀπήντων ἐξ Ἰβηρίας ἐπανιόντι Καίσαρι, τοῦ Ἀντωνίου συσκηνοῦντος αὐτῷ καὶ συνο- e δεύοντος, ἅψασθαι τῆς γνώμης ἀτρέμα πως καὶ μετ' εὐλαβείας, τὸν δὲ νοῆσαι μέν, οὐ δέξασθαι δὲ τὴν πεῖραν, οὐ μὴν οὐδὲ πρὸς Καίσαρα κατειπεῖν, ἀλλὰ πιστῶς κατασιωπῆσαι τὸν λόγον. (2) Ἐκ τούτου πάλιν ἐβουλεύοντο Καίσαρα κτείναντες ἐπισφάττειν Ἀντώνιον· ἐκώλυσε δὲ Βροῦτος, ἀξιῶν τὴν ὑπὲρ τῶν νόμων καὶ τῶν δικαίων τολμωμένην πρᾶξιν εἰλικρινῆ καὶ καθαρὰν ἀδικίας εἶναι. Φοβούμενοι δὲ τήν τε ῥώμην τοῦ Ἀντωνίου καὶ τὸ τῆς ἀρχῆς ἀξίωμα τάττουσιν ἐπ' αὐτὸν ἐνίους τῶν ἐκ τῆς συνωμοσίας, ὅπως, ὅταν εἰσίῃ Καῖσαρ εἰς τὴν βουλὴν καὶ μέλλῃ δρᾶσθαι τὸ ἔργον, ἔξω δια- b λεγόμενοί τι καὶ σπουδάζοντες κατέχωσιν αὐτόν.

XIV. Τούτων δὲ πραττομένων ὡς συνετέθη καὶ πεσόντος ἐν τῇ βουλῇ τοῦ Καίσαρος, εὐθὺς μὲν ὁ Ἀντώνιος ἐσθῆτα θεράποντος μεταλαβὼν ἔκρυψεν αὑτόν. Ὡς δὲ ἔγνω τοὺς ἄνδρας ἐπιχειροῦντας μὲν οὐδενί, συνηθροισμένους δὲ εἰς τὸ Καπιτώλιον, ἔπεισε καταβῆναι λαβόντας ὅμηρον παρ' αὐτοῦ τὸν υἱόν· καὶ Κάσ- 92 σιον μὲν αὐτὸς ἐδείπνισε, Βροῦτον δὲ Λέπιδος. Συνα- a γαγὼν δὲ βουλὴν αὐτὸς μὲν ὑπὲρ ἀμνηστίας εἶπε καὶ διανομῆς ἐπαρχιῶν τοῖς περὶ Κάσσιον καὶ Βροῦτον, ἡ δὲ σύγκλητος ἐκύρωσε ταῦτα καὶ τῶν ὑπὸ Καίσαρος γεγονότων ἐψηφίσαντο μηδὲν ἀλλάττειν. (2) Ἐξῄει δὲ τῆς βουλῆς λαμπρότατος ἀνθρώπων ὁ Ἀντώνιος, ἀνῃρηκέναι δοκῶν ἐμφύλιον πόλεμον καὶ πράγμασι δυσκολίας ἔχουσι καὶ ταραχὰς οὐ τὰς τυχούσας ἐμφρονέστατα κεχρῆσθαι καὶ πολιτικώτατα. Τούτων μέντοι ταχὺ τῶν λογισμῶν ἐξέσεισεν αὐτὸν ἡ παρὰ τῶν ὄχλων δόξα πρῶτον ἐλπίσαντα βεβαίως ἔσεσθαι Βρούτου καταλυθέντος. (3) Ἔτυχε μὲν οὖν ἐκκομιζομένου Καίσαρος, ὥσπερ ἔθος ἦν, ἐν ἀγορᾷ διεξιὼν ἐγκώμιον·

serto circumplicatum tenens ad tribunal accurrit, elatusque a comitibus, Cæsaris id capiti imposuit, indicans regnum ei deberi. (2) Cæsare autem ludente ac caput deflectente, populus gaudio affectus plausum sustulit, rursumque Antonius sertum admovit. Cæsar repulit, estque ita aliquantisper inter eos certatum, applaudentibus Antonio quum niteretur diadema imponere paucis amicis, Cæsari reluctanti universo magna cum vociferatione populo. Et mirum sane erat eos, quum revera regi parerent, nomen regis, veluti abolitionem libertatis, fugere. Tandem indignatus Cæsar de tribunali digressus est, reductaque a collo veste jugulum se præbere volentibus occidere clamavit. Coronam autem uni statuarum ejus impositam quidam tribuni plebis detraxerunt, quos multitudo collaudavit cumque plausu deduxit, Cæsar autem magistratu eos dejecit.

XIII. Hæc animos Bruti et Cassii sociorumque confirmaverunt, delectisque ad societatem facinoris amicis fidelibus, quum de Antonio deliberarent, reliquis eum asciscendum consentientibus, Trebonius contradixit: se, quo tempore Cæsari ex Hispania redeunti occursum fuisset, quum Antonio comite itineris et contubernali uteretur, ad idem factum tametsi sensim et caute animum adjunxisse; id intellexisse Antonium, non tamem assensisse, neque vero rem Cæsari indicasse, sed fideli silentio texisse. (2) Rursum inde una cum Cæsare trucidandi Antonii consilium agitatum, cui Brutus obstitit, cupiens id facinus, quod propter leges et justitiam perpetrandum esset, sincerum et omnis injuriæ purum esse. Antonii autem robur et majestatem metuentes, quosdam conjuratorum eo destinant, ut Cæsare in senatum ingresso, dum cædes ejus perageretur, ipsi foris Antonium colloquendo studiose detinerent.

XIV. His ita uti compositum fuerat actis cæsoque in senatu Cæsare, Antonius statim servili sumpta veste sese abdidit. Post quum percussores nemini cuiquam manus afferre, sed in Capitolium convenisse audiret, filio suo obside dato persuasit eis, uti descenderent; et ea nocte cœnam ipse Cassio, Bruto Lepidus præbuit. Convocato inde senatu, de memoria omnium discordiarum oblivione sempiterna delenda, dandisque Bruto et Cassio ac sociis eorum provinciis retulit. Senatus decretum ex ejus sententia fecit, idque etiam, ut nihil actorum Cæsaris rescinderetur. (2) Omnium eo die splendidissimus hominum senatu exiit Antonius, qui civile bellum sustulisse et rebus difficillimis ac perturbatissimis prudentissime ac civilissime consuluisse putaretur. Verum his eum consiliis statim excussit popularis opinio, ut speraret se Bruto oppresso primum porro in urbe citra controversiam futurum. (3) Forte funebrem de Cæsare habebat pro more orationem, quum ejus funus

ὁρῶν δὲ τὸν δῆμον ὑπερφυῶς ἀγόμενον καὶ κηλούμενον b ἐπέμιξε τοῖς ἐπαίνοις οἶκτον ἅμα καὶ δείνωσιν ἐπὶ τῷ πάθει, καὶ τῷ λόγῳ τελευτῶντι τούς τε χιτωνίσκους τοῦ τεθνηκότος ᾑμαγμένους καὶ διακεκομμένους τοῖς ξίφεσιν ἀνασείων καὶ τοὺς εἰργασμένους ταῦτα καλῶν παλαμναίους καὶ ἀνδροφόνους τοσοῦτον ὀργῆς ἐνέβαλε τοῖς ἀνθρώποις, ὥστε τὸ μὲν σῶμα τοῦ Καίσαρος ἐν ἀγορᾷ καθαγίσαι συνενεγκαμένους τὰ βάθρα καὶ τὰς τραπέζας, ἁρπάζοντας δὲ τοὺς ἀπὸ τῆς πυρᾶς δαλοὺς ἐπὶ τὰς οἰκίας θεῖν τῶν ἀπεκτονότων καὶ προσμάχεσθαι.

XV. Διὰ ταῦτα τῶν περὶ Βροῦτον ἐκ τῆς πόλεως ἀπελθόντων οἵ τε φίλοι τοῦ Καίσαρος συνίσταντο πρὸς c τὸν Ἀντώνιον ἥ τε γυνὴ Καλπουρνία πιστεύσασα τῶν χρημάτων τὰ πλεῖστα κατέθετο πρὸς αὐτὸν ἐκ τῆς οἰκίας εἰς λόγον τὰ σύμπαντα τετρακισχιλίων ταλάντων. Ἔλαβε δὲ καὶ τὰ βιβλία τοῦ Καίσαρος, ἐν οἷς ὑπομνήματα τῶν κεκριμένων καὶ δεδογμένων ἦν ἀναγεγραμμένα· καὶ τούτοις παρεγγράφων οὓς ἐβούλετο πολλοὺς μὲν ἄρχοντας ἀπεδείκνυε, πολλοὺς δὲ βουλευτάς, ἐνίους δὲ καὶ κατῆγε πεφυγαδευμένους καὶ καθειργμένους ἔλυεν, ὡς δὴ ταῦτα τῷ Καίσαρι δόξαντα. Διὸ τούτους ἅπαντας ἐπισκώπτοντες οἱ Ῥωμαῖοι Χαρωνίτας ἐκάλουν· ἐλεγχόμενοι γὰρ εἰς τοὺς τοῦ νεκροῦ κατέφευγον d ὑπομνηματισμούς. Καὶ τἄλλα δὲ ἔπραττεν αὐτοκρατορικῶς ὁ Ἀντώνιος, αὐτὸς μὲν ὑπατεύων, τοὺς δὲ ἀδελφοὺς ἔχων συνάρχοντας, Γάϊον μὲν στρατηγόν, Λεύκιον δὲ δήμαρχον.

XVI. Ἐνταῦθα δὲ τῶν πραγμάτων ὄντων, ὁ νέος ἀφικνεῖται Καῖσαρ εἰς Ῥώμην, ἀδελφιδῆς μὲν ὢν τοῦ τεθνηκότος υἱός, ὡς εἴρηται, κληρονόμος δὲ τῆς οὐσίας ἀπολελειμμένος, ἐν Ἀπολλωνίᾳ δὲ διατρίβων ὑφ' ὃν χρόνον ἀνῄρητο Καῖσαρ. Οὗτος εὐθὺς Ἀντώνιον, ὡς δὴ πατρῷον φίλον, ἀσπασάμενος τῶν παρακαταθηκῶν ἐμέμνητο. Καὶ γὰρ ὤφειλε Ῥωμαίων ἑκάστῳ δραχμὰς ἑβδομήκοντα πέντε δοῦναι, Καίσαρος ἐν ταῖς διαθήκαις e γράψαντος. Ἀντώνιος δὲ τὸ μὲν πρῶτον ὡς μειρακίου καταφρονῶν ἔλεγεν οὐχ ὑγιαίνειν αὐτόν, ἀλλὰ καὶ φρενῶν ἀγαθῶν καὶ φίλων ἔρημον ὄντα φορτίον ἀβάστακτον αἵρεσθαι τὴν Καίσαρος διαδοχήν· μὴ πειθομένου δὲ τούτοις, ἀλλ' ἀπαιτοῦντος τὰ χρήματα, πολλὰ καὶ λέγων πρὸς ὕβριν αὐτοῦ καὶ πράττων διετέλει. Δημαρχίαν τε γὰρ ἐνέστη μετιόντι, καὶ δίφρον χρυσοῦν τοῦ πατρός, ὥσπερ ἐψήφιστο, τιθέντος, ἠπείλησεν εἰς φυλακὴν ἀπάξειν, εἰ μὴ παύσαιτο δημαγωγῶν. (2) Ἐπεὶ μέντοι Κικέρωνι δοὺς ἑαυτὸν ὁ νεανίας καὶ τοῖς ἄλλοις, f ὅσοι τὸν Ἀντώνιον ἐμίσουν, δι' ἐκείνων μὲν ᾠκειοῦτο τὴν βουλήν, αὐτὸς δὲ τὸν δῆμον ἀνελάμβανε καὶ τοὺς στρατιώτας ἀπὸ τῶν κατοικιῶν συνῆγε, δείσας ὁ Ἀντώνιος εἰς λόγους αὐτῷ συνῆλθεν ἐν Καπιτωλίῳ καὶ διηλλάγησαν. (3) Εἶτα κοιμώμενος ἐκείνης τῆς νυκτὸς ὄψιν εἶδεν ἄτοπον ὁ Ἀντώνιος· ἐδόκει γὰρ αὐτοῦ τὴν δεξιὰν χεῖρα βεβλῆσθαι κεραυνῷ. Καὶ μεθ' ἡμέρας ὀλίγας ἐνέπεσε λόγος, ὡς ἐπιβουλεύοι Καῖσαρ αὐτῷ.
923 Καῖσαρ δὲ ἀπελογεῖτο μέν, οὐκ ἔπειθε δέ· καὶ πάλιν a

in foro duceretur. Ibi quum populum duci ac magnopere delectari cerneret, iis quæ ad movendos faciunt affectus, laudibus viri admixtis, misericordiam concitavit factumque exaggerans, ad extremum vestes mortui cruentatas et gladiis laceratas extulit, auctoresque cædis ejus nefarios atque parricidas appellavit. Quibus ita iram populi excitavit, ut congestis subselliis et mensis corpus Cæsaris in foro cremaverint, facibusque a rogo raptis ad oppugandas percussorum ejus ædes accurrerint.

XV. Quo factum est ut Brutus cum sociis urbe excederent. Statim vero amici Cæsaris se Antonio conjunxerunt, uxorque illius Calpurnia maximam pecuniæ partem apud eum deposuit, ad nongenties sexagies sestertiûm. Libellos etiam Cæsaris Antonius accepit, in quibus conscripta erant quæ is agere decrevisset; quibus hic multa pro suo arbitrio ascribens, nonnullos magistratus, multos senatores constituit, quosdam etiam exsules revocavit et in carcere detentos solvit, ita Cæsarem de his statuisse prætendens. Hos universos Romani per jocum Charonitas appellabant, quod reprehensi commentariis defuncti Cæsaris se tutabantur. Cetera quoque pro imperio egit Antonius, consul ipse et qui ex fratribus Caium prætorem, Lucium tribunum plebis socios haberet.

XVI. Hoc rerum statu junior Cæsar, quem sororis Cæsaris defuncti filia natum diximus, Apollonia (ibi enim eo tempore egerat, quo Cæsar est interfectus) Romam venit, institutus a Cæsare facultatum hæres. Is Antonium, quippe amicum paternum, statim adiit, salutatumque depositi admonuit. Nam testamento Cæsaris jubebatur viritim Romanis trecentos numos dividere. Verum Antonius initio eum, utpote adolescentem, spernens, insanire dicebat et a recta ratione amicisque bonis inopem esse, qui hæreditatem Cæsaris, onus intolerabile, in se recipere cuperet; post quum ille non adduceretur, sed pergeret pecunias reposcere, multis et dictis et factis contumeliose habuit. Nam et tribunatum plebis petenti obstitit et auream patri sellam ex decreto ponenti minatus est, se eum in carcerem conditurum, nisi finem populum sibi conciliandi fecisset. (2) Sed postquam Ciceroni se commisit adolescens reliquisque Antonii inimicis, atque eorum opera senatum sibi conciliavit et milites ex coloniis conduxit: periculum veritus Antonius cum eo in Capitolio collocutus est et in gratiam rediit. (3) Ea deinde nocte Antonius mirum somniavit somnium; imaginatus est enim dextram sibi fulmine ictam. Ac paucis post diebus rumor accidit, insidias ei a Cæsare parari. Cæsare autem frustra se purgare aggresso, exarserunt denuo inimi-

ἦν ἐνεργὸς ἡ ἔχθρα, καὶ περιθέοντες ἀμφότεροι τὴν Ἰταλίαν τὸ μὲν ἱδρυμένον ἐν ταῖς κατοικίαις ἤδη τοῦ στρατιωτικοῦ μεγάλοις ἀνίστασαν μισθοῖς, τὸ δ' ἐν ὅπλοις ἔτι τεταγμένον ὑποφθάνοντες ἀλλήλους προσήγοντο.

XVII. Τῶν δ' ἐν τῇ πόλει Κικέρων μέγιστον δυνάμενος καὶ παροξύνων ἐπὶ τὸν Ἀντώνιον ἅπαντας ἀνθρώπους τέλος ἔπεισε τὴν βουλὴν ἐκεῖνον μὲν πολέμιον ψηφίσασθαι, Καίσαρι δὲ ῥαβδουχίαν πέμψαι καὶ στρατηγικὰ κόσμια, Πάνσαν δὲ καὶ Ἵρτιον ἀποστέλλειν ἐξελῶντας Ἀντώνιον ἐκ τῆς Ἰταλίας. Οὗτοι δὲ ἦσαν ὕπατοι τότε καὶ συμβαλόντες Ἀντωνίῳ περὶ πόλιν Μυ- b τίνην, Καίσαρος παρόντος καὶ συμμαχομένου, τοὺς μὲν πολεμίους ἐνίκων, αὐτοὶ δὲ ἀπέθανον. (2) Φεύγοντι δὲ Ἀντωνίῳ πολλὰ συνέπιπτε τῶν ἀπόρων, ὁ δὲ λιμὸς ἀπορώτατον. Ἀλλὰ φύσει παρὰ τὰς κακοπραγίας ἐγίνετο βέλτιστος ἑαυτοῦ καὶ δυστυχῶν ὁμοιότατος ἦν ἀγαθῷ, κοινοῦ μὲν ὄντος τοῦ αἰσθάνεσθαι τῆς ἀρετῆς τοῖς δι' ἀπορίαν τινὰ σφαλλομένοις, οὐ μὴν ἁπάντων ἃ ζηλοῦσι μιμεῖσθαι καὶ φεύγειν ἃ δυσχεραίνουσιν ἐῤῥωμένων ἐν ταῖς μεταβολαῖς, ἀλλὰ καὶ μᾶλλον ἐνίων τοῖς ἔθεσιν ἐνδιδόντων ὑπ' ἀσθενείας καὶ θραυομένων τὸν λογισμόν. (3) Ὁ δ' οὖν Ἀντώνιος τότε θαυμαστὸν ἦν παράδειγμα τοῖς στρατιώταις ἀπὸ τρυ- c φῆς τοσαύτης καὶ πολυτελείας ὕδωρ τε πίνων διεφθαρμένον εὐκόλως καὶ καρποὺς ἀγρίους καὶ ῥίζας προσφερόμενος. Ἐβρώθη δὲ καὶ φλοιὸς, ὡς λέγεται, καὶ ζῴων ἀγεύστων πρότερον ἥψαντο τὰς Ἄλπεις ὑπερβάλλοντες.

XVIII. Ἦν δὲ ὁρμὴ τοῖς ἐπέκεινα στρατεύμασιν ἐντυχεῖν ὧν Λέπιδος ἦρχε, φίλος εἶναι δοκῶν Ἀντωνίου καὶ πολλὰ τῆς Καίσαρος φιλίας ἀπολελαυκέναι δι' αὐτόν. Ἐλθὼν δὲ καὶ παραστρατοπεδεύσας πλησίον, ὡς οὐδὲν ἀπήντα φιλάνθρωπον, ἔγνω παραβάλλεσθαι. Καὶ κόμη μὲν ἀτημελὴς καὶ βαθὺς πώγων μετὰ τὴν ἧτταν εὐθὺς ἦν αὐτῷ καθειμένος, λαβὼν δὲ φαιὸν ἱμάτιον ἐγγὺς προσῆγε τῷ χάρακι τοῦ Λεπίδου d καὶ λέγειν ἤρξατο. (2) Πολλῶν δὲ καὶ πρὸς τὴν ὄψιν ἐπικλωμένων καὶ τοῖς λόγοις ἀγομένων, δείσας ὁ Λέπιδος τὰς σάλπιγγας ἐκέλευσε συνηχούσας ἀφαιρεῖσθαι τὸ κατακούεσθαι τὸν Ἀντώνιον. Οἱ δὲ στρατιῶται μᾶλλον ᾤκτειραν καὶ διελέγοντο κρύφα Λαίλιον καὶ Κλώδιον ἀποστείλαντες πρὸς αὐτὸν ἐσθῆτας λαβόντας ἑταιρευομένων γυναικῶν, οἳ τὸν Ἀντώνιον ἐκέλευον ἐπιχειρεῖν θαῤῥοῦντα τῷ χάρακι· πολλοὺς γὰρ εἶναι δεξομένους καὶ τὸν Λέπιδον, εἰ βούλοιτο, κτενοῦντας. Ἀντώνιος δὲ Λεπίδου μὲν οὐκ εἴασεν ἅψασθαι, μεθ' ἡμέραν δὲ τὸν στρατὸν ἔχων ἀπεπειρᾶτο τοῦ ποταμοῦ. Καὶ e πρῶτος αὐτὸς ἐμβὰς ἐπορεύετο πρὸς τὴν ἀντιπέρας ὄχθην, ὁρῶν ἤδη πολλοὺς τῶν Λεπίδου στρατιωτῶν τάς τε χεῖρας ὀρέγοντας αὐτῷ καὶ τὸν χάρακα διασπῶντας. (3) Εἰσελθὼν δὲ καὶ κρατήσας ἁπάντων, ἡμερώτατα Λεπίδῳ προσηνέχθη. Πατέρα γὰρ προσηγόρευσεν αὐτὸν ἀσπασάμενος· καὶ τῷ μὲν ἔργῳ πάντων αὐτὸς ἦν κύριος, ἐκείνῳ δ' ὄνομα καὶ τιμὴν αὐτοκράτορος

citiæ, et uterque Italiam percurrens, milites jam in colonias deductos magna proposita mercede concitabant et eos qui in armis adhuc erant, alter alteri præripientes, sibi adjungebant.

XVII. Cicero interim, cujus summa erat Romæ potentia, universos homines adversus Antonium irritans, tandem senatui persuasit, ut hostem eum judicaret, ad Cæsarem lictores et prætoria insignia mitteret, Hirtium et Pansam, tum consules, ad Antonium ex Italia expellendum amandaret. Hi una Cæsare præsente et pugnæ socio, cum Antonio apud Mutinam prœlio congressi, victis hostibus ipsi occubuerunt. (2) Antonium autem fugientem quum multæ difficultates, tum omnium gravissime fames premebat. Sed rebus adversis a se ipso superabatur et calamitate afflictus bono simillimus erat. Est alioquin omnibus hoc commune, ut malis conflictati, virtutis recordentur; sed non omnium est, ea quæ probant imitari, aut fugere quæ improbant, rebus afflictis, eo quod nonnullorum animi præ imbecillitate pristinis moribus concedunt ac franguntur. (3) Ceterum Antonius admirabile se militibus suis exemplum proposuit, qui ante tantis deliciis tantoque luxui assuetus, nulla tum molestia aquam vitiatam biberet, agrestes fructus et radices comederet. Corticem quoque et animalia prius nunquam gustata vorasse cum suis in transitu Alpium fertur.

XVIII. Intendebat autem ad exercitum proficisci, qui trans Alpes cum Lepido erat; hunc enim amicum suum rebatur, quod is ipsius præsertim opera amplissimos Cæsaris amicitiæ fructus percepisset. Eo quum pervenisset ac castra proxime fecisset, neque tamen quicquam humaniter cum ipso Lepidus ageret : statuit extremum discrimen subire. Itaque pullo habitu, coma neglecta, barbaque propensa (uti jam tum a clade eam aluerat) ad castra Lepidi accessit, et dicere cœpit. (2) Multis autem et aspectu ejus fractis et oratione motis, Lepidus sibi metuens tubis concini, ne exaudiri Antonii sermo posset, jussit. Auxit hoc miserationem militum, et missis occulte meretricio amictu Lælio ac Clodio, audacter eum castra aggredi jusserunt; multos enim esse, qui et ipsum accipere, et, si ita jubeat, Lepidum necare velint. Antonius Lepido vim afferri prohibuit, interdiu autem cum suis militibus amnem transire intendit, primusque omnium vadum tentavit et primus ingressus ad ulteriorem ripam duxit, multos jam Lepidi milites cernens manus sibi protendere et vallum rescindere. (3) Ingressus in castra et rerum potitus, Lepidum humanissime tractavit, patrem eum suum in salutando appellans et cum re ipsa solus omnia in sua potestate haberet, titulum ei et

διετέλει φυλάττων. Τοῦτο καὶ Πλάγκον αὐτῷ Μουνάτιον ἐποίησε προσθέσθαι καθήμενον οὐ πρόσω μετὰ συχνῆς δυνάμεως. Οὕτω δὲ μέγας ἀρθεὶς αὖθις ὑπερέβαλε τὰς Ἄλπεις, εἰς τὴν Ἰταλίαν ἄγων ἑπταχαίδεκα f τέλη πεζῶν σὺν αὐτῷ καὶ μυρίους ἱππεῖς· χωρὶς δὲ φρουρὰν Γαλατίας ἓξ τάγματα λελοίπει μετὰ Οὐαρίου τινὸς τῶν συνήθων καὶ συμποτῶν, ὃν Κοτύλωνα προσηγόρευον.

XIX. Καῖσαρ δὲ Κικέρωνι μὲν οὐκέτι προσεῖχε τῆς 924 ἐλευθερίας ὁρῶν περιεχόμενον, Ἀντώνιον δὲ προυκα- a λεῖτο διὰ τῶν φίλων εἰς διαλύσεις. Καὶ συνελθόντες οἱ τρεῖς εἰς νησῖδα ποταμῷ περιῤῥεομένην, ἐπὶ τρεῖς ἡμέρας συνήδρευσαν. Καὶ τἄλλα μὲν ἐπιεικῶς ὡμολογεῖτο καὶ διενείμαντο τὴν σύμπασαν ἀρχὴν ὥσπερ οὐσίαν πατρῴαν ἀλλήλοις, ἡ δὲ περὶ τῶν ἀπολουμένων ἀνδρῶν ἀμφισβήτησις αὐτοῖς πλεῖστα πράγματα παρέσχε, τοὺς μὲν ἐχθροὺς ἀνελεῖν ἑκάστου, σῶσαι δὲ τοὺς προσήκοντας ἀξιοῦντος. (2) Τέλος δὲ τῇ πρὸς τοὺς μισουμένους ὀργῇ καὶ συγγενῶν τιμὴν καὶ φίλων εὔνοιαν προέμενοι Κικέρωνος μὲν Ἀντωνίῳ Καῖσαρ ἐξέστη, τούτῳ δὲ Ἀντώνιος Λευκίου Καίσαρος, ὃς ἦν θεῖος αὐτῷ πρὸς b μητρός· ἐδόθη δὲ καὶ Λεπίδῳ Παῦλον ἀνελεῖν τὸν ἀδελφόν· οἱ δέ φασιν ἐκστῆναι τοῦ Παύλου τὸν Λέπιδον ἐκείνοις ἀποθανεῖν αὐτὸν αἰτησαμένοις. Οὐδὲν ὠμότερον οὐδὲ ἀγριώτερον τῆς διαμείψεως ταύτης δοκῶ γενέσθαι. Φόνων γὰρ ἀντικαταλλασσόμενοι φόνους ὁμοίως μὲν οἷς ἐλάμβανον ἀνῄρουν οὓς ἐδίδοσαν, ἀδικώτεροι δὲ περὶ τοὺς φίλους ἦσαν, οὓς ἀπεκτίννυσαν μηδὲ μισοῦντες.

XX. Ἐπὶ δ' οὖν ταῖς διαλλαγαῖς ταύταις οἱ στρατιῶται περιστάντες ἠξίουν καὶ γάμῳ τινὶ τὴν φιλίαν συνάψαι Καίσαρα λαβόντα τὴν Φουλβίας τῆς Ἀντωνίου γυναικὸς θυγατέρα Κλωδίαν. Ὁμολογηθέντος δὲ καὶ c τούτου, τριακόσιοι μὲν ἐκ προγραφῆς ἐθανατώθησαν ὑπ' αὐτῶν· Κικέρωνος δὲ σφαγέντος ἐκέλευσεν Ἀντώνιος τήν τε κεφαλὴν ἀποκοπῆναι καὶ τὴν χεῖρα τὴν δεξιάν, ᾗ τοὺς κατ' αὐτοῦ λόγους ἔγραψε. Καὶ κομισθέντων, ἐθεᾶτο γεγηθὼς καὶ ἀνακαγχάζων ὑπὸ χαρᾶς πολλάκις· εἶτ' ἐμπλησθεὶς ἐκέλευσεν ὑπὲρ τοῦ βήματος ἐν ἀγορᾷ τεθῆναι, καθάπερ εἰς τὸν νεκρὸν ὑβρίζων, οὐχ αὑτὸν ἐνυβρίζοντα τῇ τύχῃ καὶ καταισχύνοντα τὴν ἐξουσίαν ἐπιδεικνύμενος. (2) Ὁ δὲ θεῖος αὐτοῦ Καῖσαρ ζητούμενος καὶ διωκόμενος κατέφυγε πρὸς τὴν ἀδελφήν. Ἡ δὲ, τῶν σφαγέων ἐπιστάντων καὶ βιαζομένων εἰς τὸ d δωμάτιον αὐτῆς, ἐν ταῖς θύραις στᾶσα καὶ διασχοῦσα τὰς χεῖρας ἐβόα πολλάκις, « Οὐκ ἀποκτενεῖτε Καίσαρα Λεύκιον, ἐὰν μὴ πρότερον ἐμὲ ἀποκτείνητε τὴν τὸν αὐτοκράτορα τεκοῦσαν. » Ἐκείνη μὲν οὖν τοιαύτη γενομένη διέκλεψε καὶ διέσωσε τὸν ἀδελφόν.

XXI. Ἦν δὲ καὶ τὰ πολλὰ Ῥωμαίοις ἐπαχθὴς ἡ τῶν τριῶν ἀρχή· καὶ τὸ πλεῖστον ὁ Ἀντώνιος τῆς αἰτίας εἶχε, πρεσβύτερος μὲν ὢν Καίσαρος, Λεπίδου δὲ δυνατώτερος, εἰς δὲ τὸν βίον ἐκεῖνον αὖθις τὸν ἡδυπαθῆ καὶ ἀκόλαστον, ὡς πρῶτον ἀνεχαίτισε τῶν πραγμάτων, e

honorem Imperatoris conservans. Quo factum est ut Munatius etiam Plancus, qui haud procul inde cum magnis copiis degebat, ei se conjungeret. Proinde viribus resumptis, Alpibus iterum superatis, septendecim legiones peditum et decem millia equitum ducens, relictis in Gallia sex cohortibus præsidii loco cum Vario familiari suo et compotore, quem Cotylonem cognominabant.

XIX. At Cæsar Cicerone, quem libertati intentum sentiret, omisso, Antonium opera amicorum ad pacificationem invitavit. Conventum est inter Cæsarem, Antonium et Lepidum in parva quadam insula fluvio circumflua, et agitatum per tres dies consilium. Et de reliquis omnibus facile consensum universumque Romanum imperium, veluti hæreditas paterna, divisum de illis autem viris, quos necare statuerant, inter eos diu controversum non sine gravi molestia fuit, quum singuli inimicos necare, amicos servare cuperent. (2) Tandem honorem propinquorum et amicorum studium iræ suæ posthabentes, trucidandum Antonio Ciceronem Cæsar, Cæsari Antonius L. Cæsarem avunculum suum permisit; concessum est etiam Lepido, ut Paulum fratrem necaret; quidam Paulum ab illis ad supplicium postulatum et a Lepido concessum tradunt. Neque existimo quicquam ea permutatione crudelius unquam factum. Cædes enim cædibus compensantes, et quos dabant et quos recipiebant interfecere; in amicos etiam major fuit injustitia, quibus ne odio quidem habitis mortem consciverunt.

XX. Milites autem quum interessent huic fœderi, voluerunt amicitiam istam nuptiis etiam confirmari, ita uti Cæsar Clodiam, Fulviæ Antonii uxoris filiam, duceret. Id quoque pactum. Proinde trecentos isti triumviri proscriptos interfecerunt; Ciceronis occisi caput et dextram, qua Philippicas scripserat, amputari Antonius jussit, et ad se afferri, magnoque quum gaudio spectavit allata, ac cachinnos crebros præ gaudio sustulit; satur inde ejus spectaculi, in foro poni pro rostris jussit, quasi vero mortuum contumelia afficeret et non potius se fortuna per libidinem abuti et contaminare potentiam ostenderet. (2) Avunculus ejus L. Cæsar, quum ad necem quæreretur, ad sororem Antonii matrem confugit. Hæc, instantibus percussoribus et in ædes irrumpere nitentibus, in foribus astans, manusque expandens, identidem vociferata est : Non interficietis L. Cæsarem, nisi me prius matrem imperatoris occideritis. Hoc illa pacto morti fratrem subtraxit.

XXI. Enimvero quum multis in rebus triumviratus iste molestus Romanis esset, maxime in culpa fuit Antonius, major natu Cæsare, et Lepido potentior, et qui, ut primum emersit ex negotiorum multitudine, ad luxuriosum illud

ἐκκεχυμένος. (2) Προσῆν δὲ τῇ κοινῇ κακοδοξίᾳ τὸ διὰ τὴν οἰκίαν οὐ μικρὸν μῖσος, ἣν ᾤκει, Πομπηίου τοῦ Μεγάλου γενομένην, ἀνδρὸς οὐχ ἧττον ἐπὶ σωφροσύνῃ καὶ τῷ τεταγμένως καὶ δημοτικῶς διαιτᾶσθαι θαυμασθέντος ἢ διὰ τοὺς τρεῖς θριάμβους. (3) Ἤχθοντο γὰρ ὁρῶντες αὐτὴν τὰ πολλὰ κεκλεισμένην μὲν ἡγεμόσι καὶ στρατηγοῖς καὶ πρέσβεσιν, ὠθουμένοις πρὸς ὕβριν ἀπὸ τῶν θυρῶν, μεστὴν δὲ μίμων καὶ θαυματοποιῶν καὶ κολάκων κραιπαλώντων, εἰς οὓς τὰ πλεῖστα κατανηλίσκετο τῶν χρημάτων τῷ βιαιοτάτῳ καὶ χαλεπωτάτῳ τρόπῳ ποριζομένων. (4) Οὐ γὰρ μόνον ἐπώλουν οὐσίας τῶν φονευομένων ἐπισυκοφαντοῦντες οἰκείους καὶ f γυναῖκας αὐτῶν οὐδὲ τελῶν πᾶν ἐκίνησαν γένος, ἀλλὰ καὶ παρὰ ταῖς Ἑστιάσι πυθόμενοι παρθένοις παρακαταθήκας τινὰς κεῖσθαι καὶ ξένων καὶ πολιτῶν ἔλαβον ἐπελθόντες. (5) Ὡς δὲ οὐδὲν ἦν ἱκανὸν Ἀντωνίῳ, Καῖσαρ ἠξίωσε νείμασθαι τὰ χρήματα πρὸς αὐτόν. Ἐνείμαντο δὲ καὶ τὸν στρατὸν ἐπὶ Βροῦτον καὶ Κάσ- a
925 σιον εἰς Μακεδονίαν στρατεύοντες ἀμφότεροι, Λεπίδῳ δὲ τὴν Ῥώμην ἐπέτρεψαν.

XXII. Ὡς μέντοι διαβάντες ἥψαντο πολέμου καὶ παρεστρατοπέδευσαν τοῖς πολεμίοις, Ἀντωνίου μὲν ἀντιτεταγμένου Κασσίῳ, Βρούτῳ δὲ Καίσαρος, οὐδὲν ἔργον ἐφάνη μέγα τοῦ Καίσαρος, ἀλλ' Ἀντώνιος ἦν ὁ νικῶν πάντα καὶ κατορθῶν. Τῇ μέν γε προτέρᾳ μάχῃ Καῖσαρ ὑπὸ Βρούτου κατὰ κράτος ἡττηθεὶς ἀπέβαλε τὸ στρατόπεδον καὶ μικρὸν ἔφθη τοὺς διώκοντας ἀπεκφυγών· ὡς δὲ αὐτὸς ἐν τοῖς ὑπομνήμασι γέγραφε, τῶν φίλων τινὸς ὄναρ ἰδόντος ἀνεχώρησε πρὸ τῆς μάχης. (2) Ἀντώνιος δὲ Κάσσιον ἐνίκησε· καίτοι γεγράφασιν ἔνιοι μὴ παραγενέσθαι τῇ μάχῃ τὸν Ἀντώνιον, ἀλλὰ b προσγενέσθαι μετὰ τὴν μάχην ἤδη διώκουσι. Κάσσιον δὲ Πίνδαρος τῶν πιστῶν τις ἀπελευθέρων αὐτοῦ δεομένου καὶ κελεύοντος ἔσφαξεν· οὐ γὰρ ἔγνω νενικηκότα Βροῦτον. (3) Ὀλίγων δὲ ἡμερῶν διαγενομένων, πάλιν ἐμαχέσαντο· καὶ Βροῦτος μὲν ἡττηθεὶς ἑαυτὸν ἀνεῖλεν, Ἀντώνιος δὲ τῆς νίκης ἠνέγκατο τῇ δόξῃ τὸ πλεῖστον, ἅτε δὴ καὶ νοσοῦντος τοῦ Καίσαρος. Ἐπιστὰς δὲ τῷ Βρούτου νεκρῷ μικρὰ μὲν ὠνείδισεν ὑπὲρ τῆς Γαΐου τοῦ ἀδελφοῦ τελευτῆς, ἀνῃρήκει γὰρ ἐκεῖνον ὁ Βροῦτος ἐν Μακεδονίᾳ Κικέρωνι τιμωρῶν, φήσας δὲ μᾶλλον Ὁρτήσιον ἢ Βροῦτον αἰτιᾶσθαι τῆς τοῦ ἀδελφοῦ σφαγῆς, Ὁρτήσιον μὲν ἐκέλευσεν ἐπισφάξαι τῷ c μνήματι, Βρούτῳ δὲ τὴν αὐτοῦ φοινικίδα πολλῶν χρημάτων ἀξίαν οὖσαν ἐπέρριψε καὶ τῶν ἀπελευθέρων τινὶ τῶν ἑαυτοῦ προσέταξε τῆς ταφῆς ἐπιμεληθῆναι. Τοῦτον ὕστερον γνοὺς οὐ συγκατακαύσαντα τὴν φοινικίδα τῷ νεκρῷ καὶ πολλὰ τῆς εἰς τὴν ταφὴν δαπάνης ὑφῃρημένον ἀπέκτεινεν.

XXIII. Ἐκ τούτου Καῖσαρ μὲν εἰς Ῥώμην ἐκομίζετο δοκῶν οὐ περιέσεσθαι πολὺν χρόνον ἐκ τῆς ἀρρωστίας, Ἀντώνιος δὲ τὰς πρὸς ἕω πάσας ἐπαρχίας ἀργυρολογήσων διέβαινεν εἰς τὴν Ἑλλάδα, πολλὴν στρατιὰν ἄγων· ὑπεσχημένοι γὰρ ἑκάστῳ στρατιώτῃ δραχμὰς

et dissolutum vivendi genus rediisset. (2) Auxit communem infamiam haud mediocre odium, quod ei domus quam habitabat, excitavit, Pompeii quondam Magni, cui non minorem continentia, frugalisque et popularis vivendi ratio, quam tres triumphi admirationem pepererant. (3) Stomachabantur enim, quum viderent istam domum plerumque ducibus et magistratibus et legatis occlusam, qui contumeliose etiam a foribus repellebantur, plenam autem mimorum, præstigiatorum et adulatorum ebriosorum, in quos major pars pecuniæ per vim et injuriam summam partæ prodigeretur. (4) Non enim facultates tantum proscriptorum vendebant, circumventis calumnia propinquis eorum et uxoribus, neque solum omnis generis vectigalia injunxerunt, sed et quum apud Vestales deposita civium ac peregrinorum asservari bona cognovissent, ea abstulerunt (5) Quum Antonio nihil esset satis, postulavit Cæsar, uti secum pecuniam partiretur. Copias etiam inter se diviserunt, quum relicto Romæ Lepido in Macedoniam contra Brutum et Cassium proficiscerentur.

XXII. Postquam mari trajecto bellum capessierunt et castra hostibus opposuerunt, ita ut Cassio Antonius, Cæsar Bruto objiceretur, nullum porro egregium Cæsaris exstitit factum; tota victoriæ laus penes Antonium fuit. Priori enim prœlio Cæsar a Bruto victus castra amiserat et hostibus insequentibus quin caperetur paulum abfuit; ipse in commentariis scriptum reliquit, se amici insomnio moniti suasu ante pugnam se subduxisse. (2) Antonius Cassium vicit: tametsi non desunt qui ne interfuisse quidem Antonium prœlio, sed fugientibus supervenisse scribant. Cassium Pindarus de fidelibus unus libertis jussus et exoratus interfecit, ignarum victoriæ Bruti. (3) Paucis post diebus iterum est pugnatum, et Brutus victus sibi ipse necem conscivit; Antonio major pars laudis rei bene gestæ ascripta est, nimirum ægrotante tum Cæsare. Cadaveri autem Bruti assistens, paucis verbis ei Caii Antonii fratris sui necem exprobravit, quem in Macedonia Brutus Ciceronem ulciscens interfecerat, Hortensium tamen potius quam Brutum ejus cædis causa culpandum addens, illum ad sepulcrum fratris jugulavit; Bruti corpori puniceam vestem a se injecit, magno emptam pretio, ac suorum libertorum cuidam negotium ejus humandi dedit, quem postea, cognito eum vestem non concremasse in funere, plurimumque impensæ funeri destinatæ intervertisse, necavit.

XXIII. Secundum hæc Cæsar Romam advectus est, ita morbo afflictus, ut vitam haud diu toleraturus videretur. Antonius autem pecunias exactum ab omnibus versus ortum solis sitis provinciis profectus, numeroso cum exercitu in Græciam transcendit; quod enim militibus polliciti erant

πενταχισχιλίας ἐδέοντο συντονωτέρου χρηματισμοῦ καὶ δασμολογίας. (2) Τοῖς μὲν οὖν Ἕλλησιν οὐκ ἄτοπος d οὐδὲ φορτικὸς συνηνέχθη τὸ πρῶτον, ἀλλὰ καὶ τὸ παίζον αὑτοῦ πρὸς ἀκροάσεις φιλολόγων καὶ θέας ἀγώνων καὶ μυήσεις ἔτρεπε καὶ περὶ τὰς κρίσεις ἦν ἐπιεικὴς καὶ φιλέλλην ἀκούων ἔχαιρεν, ἔτι δὲ μᾶλλον φιλαθήναιος προσαγορευόμενος καὶ τῇ πόλει πλείστας δωρεὰς ἔδωκε. (3) Βουλομένων δέ τι καὶ Μεγαρέων καλὸν ἀντεπιδείξασθαι ταῖς Ἀθήναις καὶ τὸ βουλευτήριον ἰδεῖν αὐτὸν ἀξιωσάντων, ἀναβὰς καὶ θεασάμενος, ὡς ἐπυνθάνοντο, τί δοκοίη, « Μικρὸν μὲν, ἔφη, σαπρὸν δέ. » Καὶ τὸν τοῦ Πυθίου νεὼν κατεμέτρησεν ὡς συντελέσων. e Τοῦτο γὰρ ὑπέσχετο πρὸς τὴν σύγκλητον.

XXIV. Ἐπεὶ δὲ Λεύκιον Κηνσωρῖνον ἐπὶ τῆς Ἑλλάδος καταλιπὼν εἰς Ἀσίαν διέβη καὶ τῶν ἐκεῖ πλούτων ἥψατο, καὶ βασιλεῖς ἐπὶ θύρας ἐφοίτων καὶ βασιλέων γυναῖκες ἁμιλλώμεναι δωρεαῖς πρὸς ἀλλήλας καὶ κάλλεσιν ἐφθείροντο πρὸς αὐτὸν, ἐν Ῥώμῃ δὲ Καίσαρος στάσεσι καὶ πολέμοις ἀποτρυχομένου πολλὴν αὐτὸς ἄγων σχολὴν καὶ εἰρήνην ἀνεκυκλεῖτο τοῖς πάθεσιν εἰς τὸν συνήθη βίον, Ἀναξήνορες δὲ κιθαρῳδοὶ καὶ Ξοῦθοι χοραῦλαι καὶ Μητρόδωρός τις ὀρχηστὴς καὶ τοιοῦτος ἄλλος Ἀσιανῶν ἀκροαμάτων θίασος ὑπερβαλλομένων f λαμυρίᾳ καὶ βωμολοχίᾳ τὰς ἀπὸ τῆς Ἰταλίας κῆρας εἰσερρύη καὶ διῴκει τὴν αὐλὴν, οὐδὲν ἦν ἀνεκτὸν, εἰς ταῦτα φορουμένων ἁπάντων. (2) Ἡ γὰρ Ἀσία πᾶσα,
926 καθάπερ ἡ Σοφόκλειος ἐκείνη πόλις, ὁμοῦ μὲν θυμια- a
μάτων ἔγεμεν,

Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

Εἰς γοῦν Ἔφεσον εἰσιόντος αὐτοῦ, γυναῖκες μὲν εἰς Βάκχας, ἄνδρες δὲ καὶ παῖδες εἰς Σατύρους καὶ Πᾶνας ἡγοῦντο διεσκευασμένοι, κιττοῦ δὲ καὶ θύρσων καὶ ψαλτηρίων καὶ συρίγγων καὶ αὐλῶν ἡ πόλις ἦν πλέα, Διόνυσον αὐτὸν ἀνακαλουμένων χαριδότην καὶ μειλίχιον. (3) Ἦν γὰρ ἀμέλει τοιοῦτος ἐνίοις, τοῖς δὲ πολλοῖς ὠμηστὴς καὶ ἀγριώνιος. Ἀφῃρεῖτο γὰρ εὐγενεῖς ἀνθρώπους τὰ ὄντα μαστιγίαις καὶ κόλαξι χαριζόμενος. Πολλῶν δὲ καὶ ζώντων ὡς τεθνηκότων αἰτησάμενοί τινες οὐσίας ἔλαβον. Ἀνδρὸς δὲ Μάγνητος οἶκον ἐδωρήσατο μαγείρῳ περὶ ἓν, ὡς λέγεται, δεῖπνον εὐδοκιμήσαντι. (4) Τέλος δὲ, ταῖς πόλεσι δεύτερον ἐπιβάλ- b λοντος φόρον, ἐτόλμησεν Ὑβρέας ὑπὲρ τῆς Ἀσίας λέγων εἰπεῖν ἀγοραίως μὲν ἐκεῖνα καὶ πρὸς τὸν Ἀντωνίου ζῆλον οὐκ ἀηδῶς, « Εἰ δύνασαι δὶς λαβεῖν ἑνὸς ἐνιαυτοῦ φόρον, δύνασαι καὶ δὶς ἡμῖν ποιήσασθαι θέρος καὶ δὶς ὀπώραν· » πρακτικῶς δὲ καὶ παραβόλως συναγαγὼν, ὅτι μυριάδας εἴκοσι ταλάντων ἡ Ἀσία δέδωκε, « Ταῦτα, εἶπεν, εἰ μὲν οὐκ εἴληφας, ἀπαίτει παρὰ τῶν λαβόντων, εἰ δὲ λαβὼν οὐκ ἔχεις, ἀπολώλαμεν. » (5) Ἐτρέψατο τούτῳ δεινῶς τὸν Ἀντώνιον· ἠγνόει γὰρ τὰ πολλὰ τῶν γιγνομένων, οὐχ οὕτω ῥᾴθυμος ὢν, ὡς δι' ἁπλότητα c πιστεύων τοῖς περὶ αὐτόν. Ἐνῆν γὰρ ἁπλότης τῷ ἤθει

viritim vicena sestertia, fiebat ut gravioribus et continentioribus tributorum exactionibus opus haberent. (2) Atque Græcis, initio non insolentem se neque iniquum præbuit, quin et tempus negotiis vacuum ad audiendos philosophos, spectanda certamina et sacrorum initiationes convertebat; in judiciis quoque æquitatem adhibebat, gaudebatque se amatorem Græcorum appellari, magisque etiam Atheniensium, quam civitatem amplis donis cumulavit. (3) Megarenses vero Athenienses æmulati et aliquid ei egregii ostendere gestientes Antonium evocabant, orantes ut ipsorum curiam contemplaretur. Quam quum eo profectus spectasset, interrogatus, quid ea ipsi videretur, Parva, inquit, et putida. Mensus est etiam Pythii templum, quod se absoluturum senatui promiserat.

XXIV. Inde L. Censorino in Græcia relicto, in Asiam abiit. Hic divitias Asiaticas quum gustasset et reges ad ipsum commearent et reginæ muneribus ac forma certantes eum ambirent, Cæsare interim Romæ seditionibus et bellis vexato, otiosus ipse et in pace agens, ad pristinam luxuriam revolutus est, et jam circa eum Anaxenor citharœdus, Xuthus tibicen, Metrodorus histrio, chorusque totus Asianæ musices confluebant, aulamque sectabantur, pestes istas Italicas procaci scurrilitate longe superantes, nec tolerabile diceres, quum omnes in hæc præcipitarent. (2) Universa enim Asia, veluti urbs illa apud Sophoclem, repleta erat odoramentis,

Pæanibusque et lamentationibus.

Nam quum Ephesum iniret, mulieres Baccharum, viri et pueri Satyrorum et Panum habitu præcedebant, hedera, thyrsis, psalteriis, fistulis urbs plena erat, Bacchumque universi eum Charidotam et Milichium (i. e. Bonorum datorem et benignum) salutabant. (3) Fuit enim fortasse nonnullis talis, plerisque autem Omestam nimirum et Agrionium (q. e. crudum et rusticis moribus) se præbebat, qui nobilibus hominibus erepta bona verberonibus et adulatoribus dono daret, qui multorum vivorum, tanquam si mortui essent, facultates petentibus largiretur, domum cujusdam Magnesii civis coquo propter unicam cœnam præclare paratam donaret. (4) Tandem quum alteram urbibus pensionem imperaret, Hybreas pro Asia Antonio dicere ausus est: « Si potes uno anno bis tributum accipere, duas etiam æstates, duos auctumnos uno anno nobis efficere potes, » forensi quidem hoc more, et æmulationi Antonii convenienter dictum. Idem efficaciter juxta et audacter, quod mentione facta ducenties mille talentorum, quæ Asia contulisset, addidit: Hæc si tu non accepisti, ab iis reposce, quibus data sunt; sin accepta jam consumpsisti, de nobis actum est. (5) Vehementer hoc dicto Antonium commovit, pleraque ut fierent ignorantem, non tam ob socordiam, quam simplicitatem, qua ductus facile suis credebat. Erat enim

καὶ βραδεῖα μὲν αἴσθησις, αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας, μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς καὶ περὶ τὰς τιμωρίας. Μᾶλλόν γε μὴν ἐδόκει χαριζόμενος ἢ κολάζων ὑπερβάλλειν τὸ μέτριον. (6) Ἡ δὲ περὶ τὰς παιδιὰς καὶ τὰς ἐπισκώψεις ὕβρις ἐν αὑτῇ τὸ φάρμακον εἶχεν. Ἀντισκῶψαι γὰρ ἐξῆν καὶ ἀνθυβρίσαι, καὶ γελώμενος οὐχ ἧττον ἢ γελῶν ἔχαιρε. Καὶ τοῦτο διελυμήνατο τὰ πολλὰ τῶν πραγμάτων. Τοὺς γὰρ ἐν τῷ παίζειν παρρησιαζομένους οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτόν, ἡλίσκετο ῥᾳδίως ὑπὸ d
τῶν ἐπαίνων, ἀγνοῶν ὅτι τὴν παρρησίαν τινὲς ὡς ὑποστῦφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες ἀφῄρουν τὸ πλήσμιον, τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ διαμηχανώμενοι τὴν ἐπὶ τῶν πραγμάτων ὕφεσιν καὶ συγκατάθεσιν μὴ πρὸς χάριν ὁμιλούντων, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

XXV. Τοιούτῳ δ' οὖν ὄντι τὴν φύσιν Ἀντωνίῳ τελευταῖον κακὸν ὁ Κλεοπάτρας ἔρως ἐπιγενόμενος καὶ πολλὰ τῶν ἔτι κρυπτομένων ἐν αὐτῷ καὶ ἀτρεμούντων παθῶν ἐγείρας καὶ ἀναβακχεύσας, εἴ τι χρηστὸν ἢ σωτήριον ὅμως ἀντεῖχεν, ἠφάνισε καὶ προσδιέφθειρεν. e
Ἁλίσκεται δὲ τοῦτον τὸν τρόπον. (2) Ἁπτόμενος τοῦ Παρθικοῦ πολέμου ἔπεμψε πρὸς αὐτὴν κελεύων εἰς Κιλικίαν ἀπαντῆσαι λόγον ὑφέξουσαν ὧν ἐνεκαλεῖτο τοῖς περὶ Κάσσιον δοῦναι πολλὰ καὶ συμβαλέσθαι πρὸς τὸν πόλεμον. Ὁ δὲ πεμφθεὶς Δέλλιος, ὡς εἶδε τὴν ὄψιν καὶ κατέμαθε τὴν ἐν τοῖς λόγοις δεινότητα καὶ πανουργίαν, εὐθὺς αἰσθόμενος ὅτι κακὸν μὲν οὐδὲ μελλήσει τι ποιεῖν γυναῖκα τοιαύτην Ἀντώνιος, ἔσται δὲ μεγίστη παρ' αὐτῷ, τρέπεται πρὸς τὸ θεραπεύειν καὶ προτρέπεσθαι τὴν Αἰγυπτίαν, τοῦτο δὴ τὸ Ὁμηρικόν, ἐλθεῖν f
εἰς Κιλικίαν εὖ ἐντύνασαν ἑαυτὴν καὶ μὴ φοβεῖσθαι τὸν Ἀντώνιον, ἥδιστον ἡγεμόνων ὄντα καὶ φιλανθρωπότατον. (3) Ἡ δὲ καὶ Δελλίῳ πεισθεῖσα καὶ τοῖς πρὸς Καίσαρα καὶ Γναῖον τὸν Πομπηίου παῖδα πρότερον αὐτῇ γενομένοις ἀφ' ὥρας συμβολαίοις τεκμαιρομένη ῥᾷον ἤλπιζεν ὑπάξεσθαι τὸν Ἀντώνιον. Ἐκεῖνοι μὲν γὰρ αὐτὴν ἔτι κόρην καὶ πραγμάτων ἄπειρον ἔγνωσαν,
927 πρὸς δὲ τοῦτον ἔμελλε φοιτήσειν ἐν ᾧ μάλιστα καιροῦ a
γυναῖκες ὥραν τε λαμπροτάτην ἔχουσι καὶ τὸ φρονεῖν ἀκμάζουσι. Διὸ πολλὰ μὲν συνεσκευάσατο δῶρα καὶ χρήματα καὶ κόσμον οἷον εἰκὸς ἦν ἀπὸ πραγμάτων μεγάλων καὶ βασιλείας εὐδαίμονος κομίζειν, τὰς δὲ πλείστας ἐν ἑαυτῇ καὶ τοῖς περὶ αὐτὴν μαγγανεύμασι καὶ φίλτροις ἐλπίδας θεμένη παρεγένετο.

XXVI. Πολλὰ δὲ καὶ παρ' αὐτοῦ καὶ παρὰ τῶν φίλων δεχομένη γράμματα καλούντων οὕτω κατεφρόνησε καὶ κατεγέλασε τοῦ ἀνδρός, ὥστε πλεῖν ἀνὰ τὸν Κύδνον ποταμὸν ἐν πορθμείῳ χρυσοπρύμνῳ, τῶν μὲν ἱστίων ἁλουργῶν ἐκπεπετασμένων, τῆς δὲ εἰρεσίας b
ἀργυραῖς κώπαις ἀναφερομένης πρὸς αὐλὸν ἅμα σύριγξι καὶ κιθάραις συνηρμοσμένον. Αὐτὴ δὲ κατέκειτο μὲν ὑπὸ σκιάδι χρυσοπάστῳ κεκοσμημένη γραφικῶς ὥσπερ

simplice ingenio et tarde sentiebat; quum autem sensisset se peccasse, gravi movebatur pœnitentia et apud eos ipsos, quos offendisset, confitebatur. Magna et supplicia et præmia irrogabat, modi tamen in gratificando quam puniendo erat negligentior. (6) Jocis autem ejus nimiæque dicacitati hoc aderat remedium, quod se vicissim morderi patiebatur, neque minori cum voluptate ridebatur quam ridebat. Quæ res pleraque illius facta corrupit. Qui enim libere secum jocarentur, ab iis serio loquentibus nequaquam putabat se adulari, itaque laudando non sentiens decipiebatur; non enim intelligebat esse qui adulationi libertate veluti sub austero condimento tædium adimerent et inter pocula hoc consequerentur protervitate sua et loquacitate, ut assentientes et concedentes, quoties de re gravi sermo inciderit, non gratiam captare, sed prudentia inferiores viderentur.

XXV. Accessit his Antonii vitiis ultimum malum, Cleopatræ amor, qui et multos occultos etiamnum ejus morbos detexit sopitosque excitavit atque inflammavit et quod adhuc bonum vel salubre in ipso inerat et vitiis reluctabatur, sustulit atque perdidit. Captus est eo amore ad hunc modum. (2) Quum ad Parthicum bellum accingeretur, misit ad eam Dellium, mandans ut sibi in Cilicia occurreret, purgatura se de objectis criminibus; nam ferebatur Cassio ad bellum gerendum magnos sumptus suppeditasse. Dellius ut formam ejus inque dicendo facundiam et calliditatem perspexit, statim sentiens Antonium nihil gravius in istam mulierem statuturum, sed summo in honore secum habiturum, ad demerendam Ægyptiam se convertit, hortatusque est ut quemadmodum est apud Homerum probe adornata in Ciliciam iret, neque Antonium metueret, omnium ducum suavissimum et humanissimum. (3) At Cleopatra quum verbis Dellii mota est, tum ex consuetudine, quæ sibi cum Julio Cæsare et Cneo Pompeii filio intercesserat, conjecturam fecit, se facile Antonium capere posse. Illi enim puellæ ejus adhuc et rerum imperitæ notitiam habuerant, ad hunc ea ætate prædita ibat, qua est forma et florentissima mulieribus et consilium viget. Itaque multis donis paratis, eoque ornatu qualem ex magnis opibus et beato regno afferri erat consentaneum, plurimum autem spei in se ipsa suisque illecebris et præstigiis positum habens accessit.

XXVI. Multis vero ab ipso et amicis ejus literis acceptis quibus evocabatur, adeo Antonium ludibrio risuique habuit, ut Cydno amne subveheretur lembo, cujus aurea puppis erat, velis passis purpureis, remis argenteis, qui ad tibiarum modos fistulis et citharis concinentes agerentur. Ipsa sub aurato recumbebat conopeo, eo modo ornata, quo Ve-

Ἀφροδίτη, παῖδες δὲ τοῖς γραφικοῖς Ἔρωσιν εἰκασμένοι παρ' ἑκάτερον ἑστῶτες ἐῤῥίπιζον. Ὁμοίως δὲ καὶ θεραπαινίδες αἱ καλλιστεύουσαι Νηρηίδων ἔχουσαι καὶ Χαρίτων στολὰς, αἱ μὲν πρὸς οἴαξιν, αἱ δὲ πρὸς κάλοις ἦσαν. Ὀδμαὶ δὲ θαυμασταὶ τὰς ὄχθας ἀπὸ θυμιαμάτων πολλῶν κατεῖχον. Τῶν δὲ ἀνθρώπων οἱ μὲν εὐθὺς ἀπὸ τοῦ ποταμοῦ παρωμάρτουν ἑκατέρωθεν, οἱ δὲ ἀπὸ τῆς πόλεως κατέβαινον ἐπὶ τὴν θέαν. Ἐκχεο- c μένου δὲ τοῦ κατὰ τὴν ἀγορὰν ὄχλου, τέλος αὐτὸς ὁ Ἀντώνιος ἐπὶ βήματος καθεζόμενος ἀπελείφθη μόνος. (2) Καί τις λόγος ἐχώρει διὰ πάντων, ὡς ἡ Ἀφροδίτη κωμάζοι παρὰ τὸν Διόνυσον ἐπ' ἀγαθῷ τῆς Ἀσίας. Ἔπεμψε μὲν οὖν καλῶν αὐτὴν ἐπὶ τὸ δεῖπνον· ἡ δὲ μᾶλλον ἐκεῖνον ἠξίου πρὸς ἑαυτὴν ἥκειν. Εὐθὺς οὖν τινὰ βουλόμενος εὐκολίαν ἐπιδείκνυσθαι καὶ φιλοφροσύνην ὑπήκουσε καὶ ἦλθεν. Ἐντυχὼν δὲ παρασκευῇ λόγου κρείττονι, μάλιστα τῶν φώτων τὸ πλῆθος ἐξεπλάγη. Τοσαῦτα γὰρ λέγεται καθίεσθαι καὶ ἀναφαίνεσθαι πανταχόθεν ἅμα καὶ τοιαύταις πρὸς ἄλληλα κλίσεσι καὶ θέσεσι διακεκοσμημένα καὶ συντεταγμένα πλαισίων d καὶ περιφερῶν τρόπῳ, ὥστε τῶν ἐν ὀλίγοις ἀξιοθεάτων καὶ καλῶν ἐκείνην γενέσθαι τὴν ὄψιν.

XXVII. Τῇ δ' ὑστεραίᾳ πάλιν ἀνθεστιῶν αὐτὴν ἐφιλοτιμήθη μὲν ὑπερβαλέσθαι τὴν λαμπρότητα καὶ τὴν ἐμμέλειαν, ἀμφοῖν δὲ λειπόμενος καὶ κρατούμενος ἐν αὐτοῖς ἐκείνοις πρῶτος ἔσκωπτεν εἰς αὐχμὸν καὶ ἀγροικίαν τὰ παρ' αὐτῷ. Πολὺν δὲ ἡ Κλεοπάτρα καὶ τοῖς σκώμμασι τοῦ Ἀντωνίου τὸν στρατιώτην ἐνορῶσα καὶ βάναυσον, ἐχρῆτο καὶ τούτῳ πρὸς αὐτὸν ἀνειμένως ἤδη καὶ κατατεθαῤῥηκότως. (2) Καὶ γὰρ ἦν, ὡς λέγουσιν, αὐτὸ μὲν καθ' αὐτὸ τὸ κάλλος αὐτῆς οὐ πάνυ δυσπαράβλητον οὐδὲ οἷον ἐκπλῆ- e ξαι τοὺς ἰδόντας, ἁφὴν δ' εἶχεν ἡ συνδιαίτησις ἄφυκτον ἥ τε μορφὴ μετὰ τῆς ἐν τῷ διαλέγεσθαι πιθανότητος καὶ τοῦ περιθέοντος ἅμα πως περὶ τὴν ὁμιλίαν ἤθους ἀνέφερέ τι κέντρον. Ἡδονὴ δὲ καὶ φθεγγομένης ἐπῆν τῷ ἤχῳ· καὶ τὴν γλῶτταν, ὥσπερ ὄργανόν τι πολύχορδον, εὐπετῶς τρέπουσα καθ' ἣν βούλοιτο διάλεκτον ὀλίγοις παντάπασι δι' ἑρμηνέως ἐνετύγχανε βαρβάροις, τοῖς δὲ πλείστοις αὐτὴ δι' αὑτῆς ἀπεδίδου τὰς ἀποκρίσεις, οἷον Αἰθίοψι, Τρωγλοδύταις, Ἑβραίοις, Ἄραψι, Σύροις, Μήδοις, Παρθυαίοις. Πολλῶν δὲ λέγεται καὶ f ἄλλων ἐκμαθεῖν γλώττας, τῶν πρὸ αὐτῆς βασιλέων οὐδὲ τὴν Αἰγυπτίαν ἀνασχομένων παραλαβεῖν διάλεκτον, ἐνίων δὲ καὶ τὸ μακεδονίζειν ἐκλιπόντων.

XXVIII. Οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν, ὥστε, πολεμούσης μὲν ἐν Ῥώμῃ Καίσαρι Φουλβίας τῆς γυναικὸς ὑπὲρ τῶν ἐκείνου πραγμάτων, αἰωρουμένης δὲ Παρθικῆς στρατιᾶς περὶ τὴν Μεσοποταμίαν, ἧς Λαβιηνὸν οἱ βασιλέως στρατηγοὶ Παρθικὸν ἀναγορεύσαντες
928 αὐτοκράτορα Συρίας ἐπιβατεύσειν ἔμελλον, οἴχεσθαι a φερόμενον ὑπ' αὐτῆς εἰς Ἀλεξάνδρειαν· ἐκεῖ δὲ μειρακίου σχολὴν ἄγοντος διατριβαῖς καὶ παιδιαῖς χρώμενον ἀναλίσκειν καὶ καθηδυπαθεῖν τὸ πολυτελέστατον, ὡς

nus pingitur, et utrimque pueri Amoribus, quales pinguntur, similes astabant, ventulum facientes. Ancillæ pulchritudine præstantes Nereidum et Charitum habitu ad rudentes ac gubernacula sedebant, odoramenta varia miræ suavitatis fragrantiam ad ripam exhalabant. Hominum autem multitudo partim secundum utramque ripam comitabantur, partim ex urbe ad spectaculum confluebant, ita ut effusa eo omni a foro turba, solus Antonius pro tribunali sedens relinqueretur. (2) Rumor autem passim increbuerat, bona Asiæ fortuna Venerem ad Liberum comessatum venire. Misit Antonius, qui eam ad cœnam vocarent, sed ipsa petebat, ut ad se potius ille veniret, et Antonius, ut se facilem jam tum amicumque ostenderet, morem gessit. Ibi quum apparatum, qualis sermone explicari nequit, inveniret Antonius, maxime ad luminum multitudinem obstupuisse fertur. Quæ ita passim dependebant, aptissime inter se collocata et quadratorum et circulorum figuras positu suo exprimentia, ut inter pauca visu dignissimum atque pulcherrimum illud esset spectaculum.

XXVII. Postridie ipsam convivio accipiens, quum splendorem ejus et elegantiam superare studeret, utroque inferior et in iis ipsis victus, in quibus Cleopatram vincere voluerat, ultro cœpit in sui apparatus rusticitatem et inelegantiam illudere. Cleopatra autem quum in jocis etiam Antonii magnam ruditatem militaremque inesse animadverteret, his quoque adversus eum usa est liberius jam atque confidentius. (2) Etenim ferunt pulchritudinem ejus, si sola spectaretur, nequaquam fuisse incomparabilem neque eam, quæ stuporem inspicientibus injiceret, verum in convictu laquei inerant inevitabiles, et facundia formæ conjuncta circumfusaque quodammodo in colloquiis humanitas aculeum relinquebant in animo colloquentis. Erat autem, quum loqueretur, soni mira suavitas, ac lingua veluti multis fidibus instructo instrumento ita utebatur, ut facile ab unius gentis sermone ad alium transiret, quippe cum paucis barbaris per interpretem colloquebatur, plerisque ipsa dabat responsa, Æthiopibus, Troglodytis, Hebræis, Arabibus, Syris, Medis, Parthis. Quin et alias multas linguas perdidicisse traditur, quum priores reges ne Ægyptiam quidem calluissent, et quidam Macedonicam etiam obliti fuissent.

XXVIII. Adeo autem Cleopatræ amore correptus fuit Antonius, ut Fulvia uxore Romæ bellum pro rebus ejus contra Cæsarem gerente et in Mesopotamia Labieno a Parthorum regis ducibus imperatore Parthico dicto, ac cum eorum exercitu jamjam in Syriam irrupturo, ipse a Cleopatra Alexandriam abduci sustinuerit, atque ibi ludis jocisque deditus adolescentuli instar otium nacti luxuriando tempus (cujus jacturam damnosissimam Antipho dixit) consum-

Ἀντιφῶν εἶπεν, ἀνάλωμα, τὸν χρόνον. (2) Ἦν γάρ τις αὐτοῖς σύνοδος ἀμιμητοβίων λεγομένη· καὶ καθ' ἡμέραν εἱστίων ἀλλήλους ἄπιστόν τινα ποιούμενοι τῶν ἀναλισκομένων ἀμετρίαν. Διηγεῖτο γοῦν ἡμῶν τῷ πάππῳ Λαμπρίᾳ Φιλώτας ὁ Ἀμφισσεὺς ἰατρὸς, εἶναι μὲν ἐν Ἀλεξανδρείᾳ τότε μανθάνων τὴν τέχνην, γενόμενος δέ τινι τῶν βασιλικῶν ὀψοποιῶν συνήθης ἀναπεισθῆναι νέος ὢν ὑπ' αὐτοῦ τὴν πολυτέλειαν καὶ τὴν παρασκευὴν τοῦ δείπνου θεάσασθαι. Παρεισαχθεὶς οὖν εἰς τοὐπτανεῖον, b ὡς τά τε ἄλλα πάμπολλα ἑώρα καὶ σῦς ἀγρίους ὀπτωμένους ὀκτὼ, θαυμάσαι τὸ πλῆθος τῶν δειπνούντων. Τὸν δὲ ὀψοποιὸν γελάσαι καὶ εἰπεῖν ὅτι « πολλοὶ μὲν οὐκ εἰσὶν οἱ δειπνοῦντες, ἀλλὰ περὶ δώδεκα· δεῖ δ' ἀκμὴν ἔχειν τῶν παρατιθεμένων ἕκαστον, ἣν ἀχαρὲς ὥρας μαραίνει. Καὶ γὰρ αὐτίκα γένοιτ' ἂν Ἀντώνιον δείπνου δεηθῆναι καὶ μετὰ μικρὸν, ἂν δὲ οὕτω τύχῃ, παραγαγεῖν αἰτήσαντα ποτήριον ἢ λόγου τινὸς ἐμπεσόντος. Ὅθεν οὐχ ἓν, ἀλλὰ πολλὰ, φάναι, δεῖπνα συντέτακται, δυστόχαστος γὰρ ὁ καιρός. » (3) Ταῦτα οὖν ὁ Φιλώτας ἔλεγε, καὶ χρόνου προϊόντος ἐν τοῖς θεραπεύουσι γενέσθαι τὸν c πρεσβύτατον τῶν Ἀντωνίου παίδων, ὃν ἐκ Φουλβίας εἶχε, καὶ συνδειπνεῖν παρ' αὐτῷ μετὰ τῶν ἄλλων ἑταίρων ἐπιεικῶς, ὁπότε μὴ δειπνοίη μετὰ τοῦ πατρός. Ἰατρὸν οὖν ποτε θρασυνόμενον καὶ πράγματα πολλὰ παρέχοντα δειπνοῦσιν αὐτοῖς ἐπιστομίσαι τοιούτῳ σοφίσματι· « Τῷ πως πυρέττοντι δοτέον ψυχρόν· πᾶς δὲ ὁ πυρέττων πως πυρέττει· παντὶ ἄρα πυρέττοντι δοτέον ψυχρόν. » Πληγέντος δὲ τοῦ ἀνθρώπου καὶ σιωπήσαντος, ἡσθέντα τὸν παῖδα γελάσαι καὶ εἰπεῖν, « Ταῦτα, ὦ Φιλώτα, χαρίζομαι πάντα σοι, » δείξαντα πολλῶν τινῶν καὶ μεγάλων ἐκπωμάτων μεστὴν τράπεζαν. (4) Αὐτοῦ δὲ τὴν μὲν προθυμίαν ἀποδεξαμένου, d πόῤῥω δ' ὄντος τοῦ νομίζειν ἐξουσίαν εἶναι παιδὶ τηλικούτῳ δωρεῖσθαι τοσαῦτα, μετὰ μικρὸν ἁψάμενόν τινα τῶν παίδων ἐν ἀγγείῳ τὰ ἐκπώματα προσφέρειν καὶ σημήνασθαι κελεύειν. Ἀφοσιουμένου δὲ αὐτοῦ καὶ δεδοικότος λαβεῖν, « Τί, ὦ πόνηρε, » φάναι τὸν ἄνθρωπον, « ὀκνεῖς; οὐκ οἶδας, ὡς ὁ διδοὺς Ἀντωνίου παῖς ἐστιν, ᾧ τοσαῦτα πάρεστι χρυσᾶ χαρίσασθαι; Ἐμοὶ μέντοι πειθόμενος πάντα διάμειψαι πρὸς ἀργύριον ἡμῖν· ἴσως γὰρ ἂν καὶ ποθήσειεν ὁ πατὴρ ἔνια τῶν παλαιῶν ὄντα καὶ σπουδαζομένων κατὰ τὴν τέχνην ἔργων. » Ταῦτα μὲν οὖν ἡμῖν ἔλεγεν ὁ πάππος ἑκάστοτε διηγεῖσθαι τὸν e Φιλώταν.

XXIX. Ἡ δὲ Κλεοπάτρα τὴν κολακείαν οὐχ, ὥσπερ ὁ Πλάτων φησὶ, τετραχῇ, πολλαχῇ δὲ διελοῦσα καὶ σπουδῆς ἁπτομένῳ καὶ παιδιᾶς ἀεί τινα καινὴν ἡδονὴν ἐπιφέρουσα καὶ χάριν, διεπαιδαγώγει τὸν Ἀντώνιον οὔτε νυκτὸς οὔτε ἡμέρας ἀνιεῖσα. Καὶ γὰρ συνεκύβευε καὶ συνέπινε καὶ συνεθήρευε καὶ γυμναζόμενον ἐν ὅπλοις ἐθεᾶτο, καὶ νύκτωρ προσισταμένῳ θύραις καὶ θυρίσι δημοτῶν καὶ σκώπτοντι τοὺς ἔνδον συνεπλανᾶτο καὶ συνήλυε θεραπαινιδίου στολὴν λαμβάνουσα· καὶ γὰρ ἐκεῖνος οὕτως ἐπειρᾶτο σκευάζειν ἑαυτόν· ὅθεν ἀεὶ f

pserit. (2) Vitæ autem consuetudine utebantur, quæ inimitabilis dicebatur, quotidianisque conviviis immensas opes prodigebant. Philotas certe, Amphissensis medicus, Lampriæ avo meo retulit, sibi, quum eo tempore Alexandriæ artem disceret adolescens, a quodam coquo regio, familiari suo, persuasum ut magnificentiam apparatumque cœnarum Antonii inspiceret, atque ideo in culinam adduci se passum; ibi quum præter cetera quæ erant permulta, apros octo assari videret, præ admiratione quæsivisse de convivarum numero. Coquum risisse atque ita respondisse : Non multi sunt convivæ, sed circiter duodecim; cibos autem Antonio apponi oportet quam maxime succulentos, quum quidem momento temporis ii corrumpi possint, ne tales sint. Etenim fieri posse ut Antonius e vestigio cœnare velit, vel paullo post, vel forte cœnam differat potum poscens vel colloquio aliquo oblato. Itaque non una, sed multæ cœnæ apparatæ sunt, quia tempus cœnæ præsciri difficulter potest. (3) Idem Philotas narravit se progressu temporis in numerum medicorum maximi natu filiorum Antonii ex Fulvia receptum, et cum eo, quoties non cum patre cœnaret, una cum reliquis amicis cœnare solitum. Ac se aliquando cuidam medico insolenti, qui cœnantibus multa negotia exhiberet, hujusmodi sophismate os obturasse : Quodammodo febricitanti frigida est exhibenda; atqui omnis qui febricitat, quodammodo febricitat; omni igitur febricitanti danda est frigida. Icto homine et conticescente, Antonii filium delectatum eo facto mensam demonstrasse multis ac magnis poculis onustam, et hæc dixisse : Omnia tibi dono do, Philota. (4) Studium ejus ipso probante, sed procul ab eo rem abesse cogitante, ut tanti muneris dandi potestas puero tali esset, paullo post puerum quendam in vase ea pocula sibi attulisse, et ut consignaret postulasse. Quum autem tergiversantem ipsum videret et accipere verentem, puerum dixisse : Quid, malum, cunctaris? nescisne auctorem muneris Antonii esse filium, qui totidem aurea largiri possit? Mihi tamen obtempera, pecuniam pro poculis permuta; fortassis enim pater quædam ex iis desideraturus sit, propter antiquitatem et nobilitatem operis. Hæc Philotam sibi, quoties daretur occasio, referre solitum avus narrabat.

XXIX. Enimvero Cleopatra adulationem non, ut Plato, in quattuor partes, sed multifariam dividens, et seriis jocularibusque subinde rebus novam aliquam voluptatem gratiamve, qua Antonium produceret, comminiscens, dies noctesque eum detinebat. Nam et colludebat et compotabat, et venanti aderat et in armis se exercentem spectabat, et noctu foribus et fenestris popularium astanti, jocisque eos qui intus erant lacessenti, aderat unaque vagabatur ancillæ amictu, quippe et ipse servilem habitum sumebat,

σκωμμάτων, πολλάκις δὲ καὶ πληγῶν ἀπολαύσας ἐπανήρχετο· τοῖς δὲ πλείστοις ἦν δι' ὑπονοίας. Οὐ μὴν ἀλλὰ προσέχαιρον αὐτοῦ τῇ βωμολοχίᾳ καὶ συνέπαιζον οὐκ ἀῤῥύθμως οὐδὲ ἀμούσως οἱ Ἀλεξανδρεῖς ἀγαπῶντες καὶ λέγοντες ὡς τῷ τραγικῷ πρὸς τοὺς Ῥωμαίους χρῆται 929 προσώπῳ, τῷ δὲ κωμικῷ πρὸς αὐτούς. (2) Τὰ μὲν a οὖν πολλὰ τῶν ὑπ' αὐτοῦ παιζομένων διηγεῖσθαι πολὺς ἂν εἴη φλύαρος· ἐπεὶ δὲ ἁλιεύων ποτὲ καὶ δυσαγρῶν ἤχθετο παρούσης τῆς Κλεοπάτρας, ἐκέλευσε τοὺς ἁλιεῖς ὑπονηξαμένους κρύφα τῷ ἀγκίστρῳ περικαθάπτειν ἰχθῦς τῶν προεαλωκότων, καὶ δὶς ἢ τρὶς ἀνασπάσας οὐκ ἔλαθε τὴν Αἰγυπτίαν. Προσποιουμένη δὲ θαυμάζειν τοῖς φίλοις διηγεῖτο καὶ παρεκάλει τῇ ὑστεραίᾳ γενέσθαι θεατάς. Ἐμβάντων δὲ πολλῶν εἰς τὰς ἁλιάδας καὶ τοῦ Ἀντωνίου τὴν ὁρμιὰν καθέντος, ἐκέλευσε τινὰ τῶν αὐτῆς ὑποφθάσαντα καὶ προσνηξάμενον τῷ ἀγκίστρῳ περιπεῖραι Ποντικὸν τάριχος. Ὡς δὲ ἔχειν πεισθεὶς ὁ Ἀν- b τώνιος ἀνεῖλκε, γέλωτος, οἷον εἰκός, γενομένου, « Παράδος ἡμῖν, ἔφη, τὸν κάλαμον, αὐτόκρατορ, τοῖς Φαρίταις καὶ Κανωβίταις βασιλεῦσιν· ἡ δὲ σὴ θήρα πόλεις εἰσὶ καὶ βασιλεῖς καὶ ἤπειροι. »

XXX. Τοιαῦτα ληροῦντα καὶ μειρακιευόμενον τὸν Ἀντώνιον ἀγγελίαι δύο καταλαμβάνουσιν, ἡ μὲν ἀπὸ Ῥώμης, Λεύκιον τὸν ἀδελφὸν αὐτοῦ καὶ Φουλβίαν τὴν γυναῖκα πρῶτον ἀλλήλοις στασιάσαντας, εἶτα Καίσαρι πολεμήσαντας, ἀποβεβληκέναι τὰ πράγματα καὶ φεύγειν ἐξ Ἰταλίας, ἑτέρα δὲ ταύτης οὐδὲν ἐπιεικεστέρα, Λαβιηνὸν ἐπάγοντα Πάρθους τὴν ἀπ' Εὐφράτου καὶ Συ- c ρίας ἄχρι Λυδίας καὶ Ἰωνίας Ἀσίαν καταστρέφεσθαι. Μόλις οὖν ὥσπερ ἐξυπνισθεὶς καὶ ἀποκραιπαλήσας ὥρμησε μὲν Πάρθοις ἐνίστασθαι καὶ μέχρι Φοινίκης προῆλθε, Φουλβίας δὲ γράμματα θρήνων μεστὰ πεμπούσης, ἐπέστρεψεν εἰς τὴν Ἰταλίαν ἄγων ναῦς διακοσίας. (2) Ἀναλαβὼν δὲ κατὰ πλοῦν τῶν φίλων τοὺς πεφευγότας ἐπυνθάνετο τοῦ πολέμου τὴν Φουλβίαν αἰτίαν γεγονέναι, φύσει μὲν οὖσαν πολυπράγμονα καὶ θρασεῖαν, ἐλπίζουσαν δὲ τῆς Κλεοπάτρας ἀπάξειν τὸν Ἀντώνιον, εἴ τι γένοιτο κίνημα περὶ τὴν Ἰταλίαν. Συμβαίνει δὲ ἀπὸ τύχης καὶ Φουλβίαν πλέουσαν πρὸς αὐ- d τὸν ἐν Σικυῶνι νόσῳ τελευτῆσαι· διὸ καὶ μᾶλλον αἱ πρὸς Καίσαρα διαλλαγαὶ καιρὸν ἔσχον. Ὡς γὰρ προσέμιξε τῇ Ἰταλίᾳ καὶ Καῖσαρ ἦν φανερὸς ἐκείνῳ μὲν οὐδὲν ἐγκαλῶν, αὐτὸς δ' ὧν ἐνεκαλεῖτο τὰς αἰτίας τῇ Φουλβίᾳ προστριβόμενος, οὐκ εἴων ἐξελέγχειν οἱ φίλοι τὴν πρόφασιν, ἀλλὰ διέλυον ἀμφοτέρους καὶ διῄρουν τὴν ἡγεμονίαν, ὅρον ποιούμενοι τὸν Ἰόνιον καὶ τὰ μὲν ἑῷα νέμοντες Ἀντωνίῳ, τὰ δ' ἑσπέρια Καίσαρι, Λέπιδον δὲ Λιβύην ἔχειν ἐῶντες, ὑπατεύειν δὲ τάξαντες, ὅτε μὴ δόξειεν αὐτοῖς, φίλους ἑκατέρων παρὰ μέρος. e

XXXI. Ταῦτα ἔχειν καλῶς δοκοῦντα πίστεως ἐδεῖτο σφοδροτέρας, ἣν ἡ τύχη παρέσχεν. Ὀκταουία γὰρ ἦν ἀδελφὴ πρεσβυτέρα μέν, οὐχ ὁμομητρία δὲ Καίσαρι· ἐγεγόνει γὰρ ἐξ Ἀγχαρίας, ὁ δὲ ὕστερον ἐξ Ἀτίας. Ἔστεργε δ' ὑπερφυῶς τὴν ἀδελφήν, χρῆμα θαυμαστόν,

eoque semper probris, nonnunquam etiam verberibus acceptus discedebat. Et tametsi plerisque suspectus esset, tamen scurrilitate ejus gaudebant, atque Alexandrini una ludentes haud ineleganter atque invenuste dicebant, cum tragico vultu apud Romanos, apud ipsos comico uti. (2) Unum de jocis ejus referre satis erit; nam plerosque recensere velle, nugatoris fuerit. Quum aliquando pisces præsente Cleopatra captaret, et inique ferret se successu frustrari, piscatoribus mandavit ut occulte urinantes hamo pisces ante captos appenderent, bisque aut ter ita trahens, non fefellit Ægyptiam. Verum ea mirari se simulans, amicos oravit ut in crastinum spectaturi piscationem adessent. Multis in lembos ingressis, demisso ab Antonio funiculo quendam de suis occulte infra aquam adnatare et uncino Ponticum salsamentum affigere jussit. Quum traxisset Antonius, prædam se nactum ratus, risu, uti erat consentaneum, exorto: Nobis, inquit Cleopatra, o imperator, Phariis et Canopicis regibus calamos trade; tuum est urbes, reges et regna piscari.

XXX. Puerilibus hisce nugis et ludis vacanti Antonio nuntii duo afferuntur, alter Roma, Lucium fratrem ejus et uxorem Fulviam primum inter se rixatos, deinde moto Cæsari bello evertisse rem suam et ex Italia fugere: alter nihil hoc lætior, Labienum Parthos adducere et omnem ab Euphrate et Syria regionem usque ad Lydiam et Ioniam invadere. Vix tandem somno et crapula excussa, ad reprimendos Parthos contendit, et usque ad Phœnicen progressus est, Fulviæ autem literis lamentationum plenis acceptis, versus Italiam se convertit, cum ducentis navibus. (2) In itinere amicis receptis, qui ex Italia fugerant, ex iis intellexit Fulviam belli auctorem fuisse, quæ ingenio ferox et inquieta, tunc præterea speraverat se motu Italico Antonium a Cleopatra avulsurum. Forte fortuna etiam accidit ut Fulvia ex Italia ad ipsum navigans, Sicyone morbo absumeretur: quæ res occasionem pacis cum Cæsare jungendæ præbuit. Nam simul atque Italiam attigit Antonius et Cæsar se nihil de ipso queri ostendit, et quæ crimina objiciebantur, Fulviæ imputavit; haud passi amici in prætextum eum accuratius inquiri, in gratiam eos invicem reposuerunt. Divisa sunt et imperia, et Ionium mare finis statutus, ut Africa Lepido concessa, ad orientem sitas provincias Antonius, versus occidentem spectantes Cæsar obtineret: consulatum vero si ipsi gerere nollent, amici eorum per vices eo fungerentur.

XXXI. Hæc quum bene instituta arctius fidei vinculum requirere viderentur, id quoque fortuito est oblatum. Sororem natu majorem habebat Cæsar, diversa tamen matre (ipse enim Atiæ filius fuit, quum ante ex Ancharia pater Octavium sustulisset) editam, præstantissimam, uti memo-

ὡς λέγεται, γυναικὸς γενομένην. Αὕτη, Γαΐου Μαρκέλλου τοῦ γήμαντος αὐτὴν οὐ πάλαι τεθνηκότος, ἐχήρευεν. Ἐδόκει δὲ καὶ Φουλβίας ἀποιχομένης χηρεύειν Ἀντώνιος· ἔχειν μὲν οὐκ ἀρνούμενος Κλεοπάτραν, γάμῳ δὲ οὐχ ὁμολογῶν, ἀλλ' ἔτι τῷ λόγῳ περί γε τούτου πρὸς τὸν ἔρωτα τῆς Αἰγυπτίας μαχόμενος. (2) Τοῦτον ἅπαντες εἰσηγοῦντο τὸν γάμον ἐλπίζοντες τὴν Ὀκταουίαν f ἐπὶ κάλλει τοσούτῳ σεμνότητα καὶ νοῦν ἔχουσαν εἰς ταὐτὸ τῷ Ἀντωνίῳ παραγενομένην καὶ στερχθεῖσαν, ὡς εἰκὸς τοιαύτην γυναῖκα, πάντων πραγμάτων αὐτοῖς σωτηρίαν ἔσεσθαι καὶ σύγκρασιν. Ὡς οὖν ἔδοξεν ἀμφοτέροις, ἀναβάντες εἰς Ῥώμην ἐπετέλουν τὸν Ὀκταουίας γάμον, οὐκ ἐῶντος μὲν νόμου πρὸ δέκα μηνῶν ἀνδρὸς 930 τελευτήσαντος γαμεῖσθαι, τῆς δὲ συγκλήτου δόγματι a τὸν χρόνον ἐκείνοις ἀνείσης.

XXXII. Σέξτου δὲ Πομπηΐου Σικελίαν μὲν ἔχοντος, Ἰταλίαν δὲ πορθοῦντος, λῃστρίσι δὲ ναυσὶ πολλαῖς, ὧν Μηνᾶς ὁ πειρατὴς καὶ Μενεκράτης ἦρχον, ἄπλουν τὴν θάλασσαν πεποιηκότος, Ἀντωνίῳ δὲ κεχρῆσθαι δοκοῦντος φιλανθρώπως (ὑπεδέξατο γὰρ αὐτοῦ τὴν μητέρα τῇ Φουλβίᾳ συνεκπεσοῦσαν), ἔδοξε καὶ πρὸς τοῦτον διαλυθῆναι. Καὶ συνῆλθον εἰς ταὐτὸν κατὰ τὴν ἐν Μισηνοῖς ἄκραν καὶ τὸ χῶμα, Πομπηΐῳ μὲν τοῦ στόλου παρορμοῦντος, Ἀντωνίῳ δὲ καὶ Καίσαρι τῶν πεζῶν παρακεκριμένων. (2) Ἐπεὶ δὲ συνέθεντο Πομπήϊον ἔχοντα Σαρδῶνα καὶ Σικελίαν καθαράν τε λῃστηρίων b παρέχειν τὴν θάλατταν καὶ σίτου τι τεταγμένον ἀποστέλλειν εἰς Ῥώμην, ἐκάλουν ἐπὶ δεῖπνον ἀλλήλους. Κληρουμένων δὲ πρῶτος ἑστιᾶν αὐτοὺς ἔλαχε Πομπήϊος. Ἐρομένου δὲ αὐτὸν Ἀντωνίου, ποῦ δειπνήσουσιν, « Ἐνταῦθα », ἔφη δείξας τὴν στρατηγίδα ναῦν οὖσαν ἑξήρη, « πατρῷος γὰρ οἶκος αὕτη Πομπηΐῳ λέλειπται. » Ταῦτα δὲ εἰς τὸν Ἀντώνιον ὀνειδίζων ἔλεγεν, ἐπεὶ τὴν Πομπηΐου τοῦ πατρὸς γενομένην οἰκίαν ἐκεῖνος εἶχεν. Ὁρμίσας δὲ τὴν ναῦν ἐπ' ἀγκυρῶν καὶ διάβασίν τινα γεφυρώσας ἀπὸ τῆς ἄκρας, ἀνελάμβανεν αὐτοὺς προθύμως. (3) Ἀκμαζούσης δὲ τῆς συνουσίας καὶ τῶν εἰς Κλεοπάτραν καὶ Ἀντώνιον ἀνθούντων σκωμμάτων, Μηνᾶς ὁ πειρατὴς τῷ Πομπηΐῳ προσελθών, ὡς μὴ κα- c τακούειν ἐκείνους, « Βούλει, φησί, τὰς ἀγκύρας τῆς νεὼς ὑποτέμω καὶ ποιήσω σε μὴ Σικελίας καὶ Σαρδόνος, ἀλλὰ τῆς Ῥωμαίων κύριον ἡγεμονίας; » Ὁ δὲ Πομπήϊος ἀκούσας καὶ πρὸς αὑτῷ γενόμενος βραχὺν χρόνον, « Ἔδει σε, φησίν, ὦ Μηνᾶ, τοῦτο ἐμοὶ μὴ προειπόντα ποιῆσαι· νυνὶ δὲ τὰ παρόντα στέργωμεν, ἐπιορκεῖν γὰρ οὐκ ἐμόν. » Οὗτος μὲν οὖν πάλιν ἀνθεστιαθεὶς ὑπ' ἀμφοτέρων εἰς τὴν Σικελίαν ἀπέπλευσεν.

XXXIII. Ἀντώνιος δὲ μετὰ τὰς διαλύσεις Οὐεντίδιον μὲν εἰς Ἀσίαν προὔπεμπε Πάρθοις ἐμποδὼν ἐσόμενον τοῦ πρόσω χωρεῖν, αὐτὸς δὲ Καίσαρι χαριζόμενος d ἱερεὺς ἀπεδείχθη τοῦ προτέρου Καίσαρος· καὶ τἄλλα κοινῶς καὶ φιλικῶς ἐν τοῖς πολιτικοῖς καὶ μεγίστοις ἔπραττον. Αἱ δὲ περὶ τὰς παιδιὰς ἅμιλλαι τὸν Ἀντώνιον ἐλύπουν ἀεὶ τοῦ Καίσαρος ἔλαττον φερόμενον. (2) Ἦν

rant, mulierem ideoque sibi longe carissimam. Ea tum C. Marcello nuper defuncto vidua erat. Sed et Antonius viduus videbatur morte Fulviæ factus, habere se Cleopatram non infitians, conjugio autem ei se junctum negans, qua una adhuc in re ratio ejus cum amore Ægypto luctabatur. (2) Itaque nuptiarum inter eos contrahendarum omnes auctores fuerunt, sperantes Octavia, cui præter pulchritudinem gravitas etiam atque prudentia inesset, conjuncta Antonio, et, ut talem haberi uxorem dignum est, dilecta, salutem rebus omnibus eam affinitatem allaturam esse atque concordiam. Postquam in hoc consensum utrimque est, Romam venerunt et nuptias Octaviæ ibi fecerunt. Quia vero lege cautum erat, ne qua mulier ante decimum mensem a morte mariti prioris rursum nuberet, in illorum gratiam senatusconsulto remissum est tempus.

XXXII. Cum Sexto etiam Pompeio, qui Siciliam tenens Italiam vexabat, multisque piraticis navibus, Mena et Menecrate ducibus, infestum navigantibus mare faciebat, pacem eis componere visum est; quod is humanum se Antonio præbuisset, matrem ejus cum Fulvia profligatam excipiendo. Conventum est apud promontorium et aggerem Miseni, Pompeio classe, Cæsare et Antonio terrestribus copiis in acie astantibus. (2) Ea conditione pax confecta est, ut Pompeius Sardiniam et Siciliam obtineret, mare prædonibus purgaret, certamque frumenti mensuram Romam mitteret. Inde acta mutuo convivia, et forte Pompeio contigit ut prior istos exciperet. Hic quærenti Antonio, ubinam cœnaturi essent, Ille, inquit navim ostendens sexremem prætoriam; hæc enim paterna domus Pompeio relicta est; exprobrans Antonio, quod is paternam ipsius domum possideret. Nave in ancoris stante, ponte a promontorio ad navem facto, studiose eos excepit hospitio. (3) Fervente autem convivio, et dictis in Cleopatram et Antonium salsis jactatis, Menas pirata ad Pompeium accedens, tacite, ita ut exaudiri a nemine posset, Visne, inquit, succisis navis ancoris te non Sardiniæ et Siciliæ, sed Romani dominum imperii faciam? Pompeius exiguum temporis secum eam rem meditatus: Injussu, ait, meo, o Mena, id tibi faciendum fuit, nunc præsenti rerum statu contenti simus; id pejerare enim non est meum. Atque ita vicissim convivio ab illis acceptus in Siciliam navigavit.

XXXIII. Antonius autem secundum has pacificationes Ventidium in Asiam misit, ut Parthos progressu arceret, ipse in gratiam Cæsaris, Julii Cæsaris flamen factus est; reliqua etiam civilia et maxima negotia amice et communiter tractaverunt. In rerum vero ludicrarum certaminibus moleste ferebat Antonius se ab eo semper superari. (2) Ha-

γάρ τις ἀνὴρ σὺν αὐτῷ μαντικὸς ἀπ' Αἰγύπτου τῶν τὰς γενέσεις ἐπισκοπούντων, ὃς εἴτε Κλεοπάτρᾳ χαριζόμενος εἴτε χρώμενος ἀληθείᾳ πρὸς τὸν Ἀντώνιον ἐπαῤῥησιάζετο λέγων τὴν τύχην αὐτοῦ λαμπροτάτην οὖσαν καὶ μεγίστην ὑπὸ τῆς Καίσαρος ἀμαυροῦσθαι, καὶ συνεβούλευε ποῤῥωτάτω τοῦ νεανίσκου ποιεῖν ἑαυτόν. « Ὁ γὰρ σὸς, ἔφη, δαίμων τὸν τούτου φοβεῖται, καὶ e γαῦρος ὢν καὶ ὑψηλὸς, ὅταν ᾖ καθ' ἑαυτὸν, ὑπ' ἐκείνου γίνεται ταπεινότερος ἐγγίσαντος καὶ ἀγεννέστερος. » (3) Καὶ μέντοι τὰ γινόμενα τῷ Αἰγυπτίῳ μαρτυρεῖν ἐδόκει. Λέγεται γὰρ ὅτι, κληρουμένων μετὰ παιδιᾶς ἐφ' ὅτῳ τύχοιεν ἑκάστοτε καὶ κυβευόντων, ἔλαττον ἔχων ὁ Ἀντώνιος ἀπῄει. Πολλάκις δὲ συμβαλόντων ἀλεκτρυόνας, πολλάκις δὲ μαχίμους ὄρτυγας, ἐνίκων οἱ Καίσαρος. Ἐφ' οἷς ἀνιώμενος ἀδήλως ὁ Ἀντώνιος καὶ μᾶλλόν τι τῷ Αἰγυπτίῳ προσέχων ἀπῆρεν ἐκ τῆς Ἰταλίας ἐγχειρίσας Καίσαρι τὰ οἰκεῖα· τὴν δὲ Ὀκταουίαν ἄχρι τῆς Ἑλλάδος ἐπήγετο, θυγατρίου γεγονότος αὐτοῖς. (4) Διαχειμάζοντι δὲ αὐτῷ περὶ Ἀθήνας ἀπαγ- f γέλλεται τὰ πρῶτα τῶν Οὐεντιδίου κατορθωμάτων, ὅτι μάχῃ τοὺς Πάρθους κρατήσας Λαβιηνὸν ἀπεκτόνοι καὶ Φαρναπάτην ἡγεμονικώτατον τῶν Ὑρώδου βασιλέως στρατηγῶν. Ἐπὶ τούτοις εἱστία τοὺς Ἕλληνας, ἐγυ- 931 μνασιάρχει δὲ Ἀθηναίοις καὶ τὰ τῆς ἡγεμονίας παρά- a σημα καταλιπὼν οἴκοι μετὰ τῶν γυμνασιαρχικῶν ῥάβδων ἐν ἱματίῳ καὶ φαικασίοις προῄει καὶ διαλαμβάνων τοὺς νεανίσκους ἐτραχήλιζεν.

XXXIV. Ἐξιέναι δὲ μέλλων ἐπὶ τὸν πόλεμον ἀπὸ τῆς ἱερᾶς ἐλαίας στέφανον ἔλαβε καὶ κατά τι λόγιον ἀπὸ τῆς Κλεψύδρας ὕδατος ἐμπλησάμενος ἀγγεῖον ἐκόμιζεν. Ἐν τούτῳ δὲ Πάκορον τὸν βασιλέως παῖδα μεγάλῳ στρατῷ Πάρθων αὖθις ἐπὶ Συρίαν ἐλαύνοντα συμπεσὼν Οὐεντίδιος ἐν τῇ Κυῤῥηστικῇ τρέπεται καὶ διαφθείρει παμπόλλους, ἐν πρώτοις Πακόρου πεσόντος. Τοῦτο τὸ ἔργον ἐν τοῖς ἀοιδιμωτάτοις γενόμενον Ῥωμαίοις τε τῶν κατὰ Κράσσον ἀτυχημάτων ἔκπλεω ποινὴν παρέσχε b καὶ Πάρθους αὖθις εἴσω Μηδίας καὶ Μεσοποταμίας συνέστειλε, τρισὶ μάχαις ἐφεξῆς κατὰ κράτος ἡττημένους. (2) Οὐεντίδιος δὲ Πάρθους μὲν προσωτέρω διώκειν ἀπέγνω φθόνον Ἀντωνίου δείσας, τοὺς δὲ ἀφεστῶτας ἐπιὼν κατεστρέφετο καὶ τὸν Κομμαγηνὸν Ἀντίοχον ἐν πόλει Σαμοσάτοις ἐπολιόρκει. Δεομένου δὲ χίλια τάλαντα δοῦναι καὶ ποιεῖν Ἀντωνίῳ τὸ προσταττόμενον, ἐκέλευε πέμπειν πρὸς Ἀντώνιον. Ἤδη γὰρ ἐγγὺς ἦν ἐπιὼν καὶ τὸν Οὐεντίδιον οὐκ εἴα σπένδεσθαι τῷ Ἀντιόχῳ, βουλόμενος ἕν γε τοῦτο τῶν ἔργων ἐπώνυμον αὐτοῦ γενέσθαι καὶ μὴ πάντα διὰ Οὐεντιδίου κατορθοῦσθαι. Τῆς δὲ πολιορκίας μῆκος λαμβανούσης καὶ c τῶν ἔνδον, ὡς ἀπέγνωσαν τὰς διαλύσεις, πρὸς ἀλκὴν τραπομένων, πράττων οὐδὲν, ἐν αἰσχύνῃ δὲ καὶ μεταγνώσει γενόμενος, ἀγαπητῶς ἐπὶ τριακοσίοις σπένδεται ταλάντοις πρὸς τὸν Ἀντίοχον· καὶ μικρὰ τῶν ἐν Συρίᾳ καταστησάμενος εἰς Ἀθήνας ἐπανῆλθε καὶ τὸν Οὐεντίδιον οἷς ἔπρεπε τιμήσας ἔπεμψεν ἐπὶ τὸν θρίαμβον.

bebat secum hariolum quendam Ægyptium, eorum unum qui natalitias prædictiones exercent; is sive in Cleopatræ gratiam, seu quod ita re ipsa sentiebat, libere ad Antonium dixit : fortunam ejus, splendidissimam alioquin et maximam, a Cæsaris fortuna obscurari; consuluitque ut ab isto adolescente quam longissime se subduceret. Genius enim, aiebat, tuus genium istius timet, et quum seorsum alacer sit atque elatus, illo appropinquante demittit sese, et fit, quam ante, deterior. (3) Et vero res ipsæ testimonium Ægyptio videntur tulisse. Nam quoties vel sorte vel talis aliqua de re decrevissent, semper inferior Antonius abibat. Sæpe etiam quum gallos aut cornices pugnaces commisissent, penes Cæsarianos victoria fuit. Hæc occulte doluerunt Antonio, ac magis magisque fidem Ægyptio habens, rebus suis Cæsari commissis, ex Italia abiit, Octavia uxore, ex qua ei filiola jam erat nata, secum usque ad Græciam ducta. (4) Circum Athenas hiemanti primus rerum a Ventidio prospere gestarum nuntius allatus est, ut si, victis prœlio Parthis, Labienum et Pharnapaten ducum regis Hyrodis præstantissimum occidisset. Ejus rei causa epulum Græcis præbuit, ludisque Athenis præfuit, ac domi imperatoriis insignibus relictis, cum fascibus gymnasiarchicis tunicatus et phæcasia subligatus processit, ac pueros luctantes dirimens prostravit.

XXXIV. Exiturus autem ad bellum, coronam de sacra olea sumpsit, et oraculi cujusdam monitu a Clepsydræ aqua vasculum repletum secum abstulit. Interim Pacorum, regis Parthorum filium, cum magno exercitu iterum in Syriam irrumpentem Ventidius in Cyrrhestica obviam factus fundit ac magnam Parthorum edit stragem. Inter primos cecidit Pacorus. Hoc inter nobilissima factum ponitur, quo et pœnas Romani a Parthis sumpserunt ob Crassi cladem meritas, et Parthi tribus continenter prœliis victi, rursus intra Mediam et Mesopotamiam sunt compulsi. (2) Ventidius autem Antonii invidiam metuens, ulterius persequi Parthos non ausus, exercitum circumducens ea quæ defecerant recepit, et Antiochum Commagenes regulum Samosatis obsedit; quumque is mille talenta se daturum et imperata ab Antonio facturum polliceretur, mittere ad eum nuntios jussit. Jam enim prope aderat Antonius, neque Ventidium cum Antiocho pactum icere sinebat, cupiens vel hoc factum suo nomine inscribi, ne omnia Ventidii opera confecta viderentur. Verum tracta obsidione, quum obsessi desperata pacificatione ad vires confugissent, nihil agens, ac pudore et pœnitentia correptus, acceptis trecentis talentis, pacem dare Antiocho satis habuit. Paucis inde quibusdam rebus in Syria constitutis, Athenas rediit, Ventidio quibus decuit honoribus ornato et ad trium-

(3) Οὗτος ἀπὸ Πάρθων ἄχρι δεῦρο τεθριάμβευκε μόνος ἀνὴρ γένει μὲν ἀφανής, ἀπολαύσας δὲ τῆς Ἀντωνίου φιλίας τὸ λαβεῖν ἀφορμὰς πράξεων μεγάλων, αἷς κάλλιστα χρησάμενος ἐβεβαίωσε τὸν περὶ Ἀντωνίου λεγόμενον καὶ Καίσαρος λόγον, ὡς εὐτυχέστεροι δι' ἑτέρων d ἦσαν ἢ δι' αὐτῶν στρατηγεῖν. Καὶ γὰρ Σόσσιος Ἀντωνίου στρατηγὸς ἐν Συρίᾳ πολλὰ διεπράττετο, καὶ Κανίδιος ἀπολειφθεὶς ὑπ' αὐτοῦ περὶ Ἀρμενίαν τούτους τε νικῶν καὶ τοὺς Ἰβήρων καὶ Ἀλβανῶν βασιλέας ἄχρι τοῦ Καυκάσου προῆλθεν. Ἀφ' ὧν ἐν τοῖς βαρβάροις ὄνομα καὶ κλέος ηὔξετο τῆς Ἀντωνίου δυνάμεως.

XXXV. Αὐτὸς δὲ πάλιν ἔκ τινων διαβολῶν παροξυνθεὶς πρὸς Καίσαρα ναυσὶ τριακοσίαις ἔπλει πρὸς τὴν Ἰταλίαν· οὐ δεξαμένων δὲ τῶν Βρεντεσινῶν τὸν στόλον, εἰς Τάραντα περιώρμισεν. Ἐνταῦθα τὴν Ὀκταουίαν e (συνέπλει γὰρ ἀπὸ τῆς Ἑλλάδος αὐτῷ) δεηθεῖσαν ἀποπέμπει πρὸς τὸν ἀδελφόν, ἔγκυον μὲν οὖσαν, ἤδη δὲ καὶ δεύτερον ἐξ αὐτοῦ θυγάτριον ἔχουσαν. Ἡ δὲ ἀπαντήσασα καθ' ὁδὸν Καίσαρι καὶ παραλαβοῦσα τῶν ἐκείνου φίλων Ἀγρίππαν καὶ Μαικήναν, ἐνετύγχανε πολλὰ ποτνιωμένη καὶ πολλὰ δεομένη μὴ περιιδεῖν αὐτὴν ἐκ μακαριωτάτης γυναικὸς ἀθλιωτάτην γενομένην. Νῦν μὲν γὰρ ἅπαντας ἀνθρώπους εἰς αὐτὴν ἀποβλέπειν αὐτοκρατόρων δυεῖν, τοῦ μὲν γυναῖκα, τοῦ δὲ ἀδελφὴν οὖσαν· « εἰ δὲ τὰ χείρω κρατήσειεν, ἔφη, καὶ γένοιτο πόλεμος, ὑμῶν μὲν ἄδηλον ὅτῳ κρατεῖν ἢ κρατεῖσθαι πέπρωται, τὰ ἐμὰ δ' ἀμφοτέρως ἄθλια. » f (2) Τούτοις ἐπικλασθεὶς ὁ Καῖσαρ ἧκεν εἰρηνικῶς εἰς Τάραντα, καὶ θέαμα κάλλιστον οἱ παρόντες ἐθεῶντο, πολὺν μὲν ἐκ γῆς στρατὸν ἡσυχάζοντα, πολλὰς δὲ ναῦς ἀτρέμα πρὸς τοῖς αἰγιαλοῖς ἐχούσας, αὐτῶν δὲ καὶ φίλων ἀπαντήσεις καὶ φιλοφροσύνας. Εἱστία δὲ Ἀντώνιος πρότερος, καὶ τοῦτο τῇ ἀδελφῇ Καίσαρος δόντος. Ἐπεὶ δὲ ὡμολόγητο, Καίσαρα μὲν Ἀντωνίῳ δοῦναι δύο
932 τάγματα πρὸς τὸν Παρθικὸν πόλεμον, Ἀντώνιον δὲ a Καίσαρι χαλκεμβόλους ἑκατόν, Ὀκταουία τῶν ὡμολογημένων χωρὶς ᾐτήσατο τῷ μὲν ἀδελφῷ παρὰ τοῦ ἀνδρὸς εἴκοσι μυοπάρωνας, τῷ δ' ἀνδρὶ παρὰ τοῦ ἀδελφοῦ στρατιώτας χιλίους. Οὕτω δὲ ἀλλήλων διακριθέντες ὁ μὲν εὐθὺς εἴχετο τοῦ πρὸς Πομπήιον πολέμου Σικελίας ἐφιέμενος, Ἀντώνιος δὲ Ὀκταουίαν μετὰ τῶν ἐξ ἐκείνης καὶ τοὺς ἐκ Φουλβίας παῖδας αὐτῷ παρακαταθέμενος εἰς τὴν Ἀσίαν ἀπεπέρασεν.

XXXVI. Εὕδουσα δ' ἡ δεινὴ συμφορὰ χρόνον πολύν, ὁ Κλεοπάτρας ἔρως, δοκῶν κατευνάσθαι καὶ κατακεκηλῆσθαι τοῖς βελτίοσι λογισμοῖς, αὖθις ἀνέλαμπε καὶ ἀνεθάρρει, Συρίᾳ πλησιάζοντος αὐτοῦ. Καὶ τέλος (ὥσπερ φησὶν ὁ Πλάτων τὸ δυσπειθὲς καὶ ἀκόλαστον b τῆς ψυχῆς ὑποζύγιον) ἀπολακτίσας τὰ καλὰ καὶ σωτήρια πάντα Καπίτωνα Φοντήιον ἔπεμψεν ἄξοντα Κλεοπάτραν εἰς Συρίαν. Ἐλθούσῃ δὲ χαρίζεται καὶ προστίθησι μικρὸν οὐδὲν οὐδ' ὀλίγον, ἀλλὰ Φοινίκην, κοίλην Συρίαν, Κύπρον, Κιλικίας πολλήν, ἔτι δὲ τῆς τε Ἰουδαίων τὴν τὸ βάλσαμον φέρουσαν καὶ τῆς Ναβαταίων

phum misso. (3) Hic unus ad nostram usque ætatem de Parthis triumphavit, vir obscuro natus loco, sed qui eum amicitiæ Antonii fructum caperet, uti magnarum rerum gerendarum haberet occasiones, quibus pulcherrime usus, fidem fecit ei, quod de Antonio et Cæsare dicebatur, eos felicius aliorum quam sua opera bellum gerere. Nam et Sossius Antonii in Syria legatus multa feliciter egit, et Canidius ab eodem in Armenia relictus Armenios regesque Iberorum et Albanorum vicit, et usque ad Caucasum processit, unde nomen et gloria potentiæ Antonii apud barbaros aucta est.

XXXV. Ipse vero Antonius rursum quibusdam calumniis adversus Cæsarem incitatus trecentis navibus Italiam petiit, Brundusioque non receptus, Tarentum appulit. Ibi exoratus est ab Octavia (quæ una ex Græcia navigarat, gravida tum, quum alteram jam ei filiolam peperisset) ut eam ad fratrem dimitteret. Hæc in itinere obviam Cæsari facta, assumptis ex ejus amicis Agrippa et Mæcenate, summis precibus eum obtestata est, ne se ex beatissima muliere miserrimam fieri sineret. Oculos jam omnium hominum in se conversos, quæ duorum imperatorum, alterius uxor, soror alterius esset; quodsi deterior fortuna vicisset, interque eos bellum excitasset, incertum quidem fore, utri in fatis sit vincere aut vinci, sibi vero utrimque certam calamitatem impendere. (2) Fractus his Cæsar pacifice Tarentum venit, fuitque jucundissimum spectaculum, magnum in terra exercitum quiescere, multas naves in littore otiosas stare, quum ipsi imperatores eorumque amici inter se congrederentur ac mutuo consalutarent. Prior Cæsar apud Antonium in gratiam sororis suæ cœnavit. Pactum est ibi inter eos, uti Cæsar duas legiones ad Parthicum bellum Antonio daret, Antonius Cæsari æratas naves centum; præter hæc Octavia fratri a marito viginti myoparones, marito a fratre mille milites impetravit. Hoc pacto a se digressi, Cæsar statim bellum Siciliense contra Pompeium occepit; Antonius, Cæsari Octavia et liberis suis quos ex ea et Fulvia habebat commissis, in Asiam trajecit.

XXXVI. At vero postquam prope Syriam venit, grave illud malum, Cleopatræ amor, qui diu dormiverat et sanioribus videbatur cogitationibus consopitus esse, resuscitatus est, viresque recepit, ac tandem, inobediens et contumax (ut ait Plato) animi jumentum, honesta et salutaria omnia calcibus repulit. Mittitur adducendæ in Syriam Cleopatræ causa Fonteius Capito. Quæ simul venit, nullum ei vile aut modicum ab Antonio munus est datum, sed Phœnice, Cœlesyria, Cyprus, Ciliciæ magna pars, Judæa balsamifera, et Arabiæ Nabatææ pars ea quæ ad mare mediterra-

Ἀραβίας ὅση πρὸς τὴν ἐντὸς ἀποκλίνει θάλασσαν. (2) Αὗται μάλιστα Ῥωμαίους ἠνίασαν αἱ δωρεαί. Καίτοι πολλοῖς ἐχαρίζετο τετραρχίας καὶ βασιλείας ἐθνῶν μεγάλων, ἰδιώταις οὖσι, πολλοὺς δ' ἀφῃρεῖτο βασιλείας, ὡς Ἀντίγονον τὸν Ἰουδαῖον, ὃν καὶ προαγαγὼν ἐπελέκισεν, οὐδενὸς πρότερον ἑτέρου βασιλέως οὕτω κολα- c σθέντος. Ἀλλὰ τὸ αἰσχρὸν ἦν τῶν Κλεοπάτρας τιμῶν ἀνιαρότατον. (3) Ηὔξησε δὲ τὴν διαβολὴν παῖδας ἐξ αὐτῆς διδύμους ἀνελόμενος καὶ προσαγορεύσας τὸν μὲν Ἀλέξανδρον, τὴν δὲ Κλεοπάτραν· ἐπίκλησιν δὲ τὸν μὲν Ἥλιον, τὴν δὲ Σελήνην. Οὐ μὴν ἀλλ' ἀγαθὸς ὢν ἐγκαλλωπίσασθαι τοῖς αἰσχροῖς ἔλεγε τῆς μὲν Ῥωμαίων ἡγεμονίας οὐ δι' ὧν λαμβάνουσιν, ἀλλ' ἐν οἷς χαρίζονται φαίνεσθαι τὸ μέγεθος· διαδοχαῖς δὲ καὶ τεκνώσεσι πολλῶν βασιλέων πλατύνεσθαι τὰς εὐγενείας. Οὕτω γοῦν ὑφ' Ἡρακλέους τεκνωθῆναι τὸν αὐτοῦ πρόγονον, οὐκ ἐν μιᾷ γαστρὶ θεμένου τὴν διαδοχὴν οὐδὲ νόμους Σολωνείους καὶ κυήσεως εὐθύνας δεδοικότος, ἀλλὰ τῇ d φύσει πολλὰς γενῶν ἀρχὰς καὶ καταβολὰς ἀπολιπεῖν ἐφιέντος.

XXXVII. Ἐπεὶ δὲ, Φραάτου κτείναντος Ὑρώδην τὸν πατέρα καὶ τὴν βασιλείαν κατασχόντος, ἄλλοι τε Πάρθων ἀπεδίδρασκον οὐκ ὀλίγοι καὶ Μοναίσης, ἀνὴρ ἐπιφανὴς καὶ δυνατὸς, ἧκε φεύγων πρὸς Ἀντώνιον, τὰς μὲν ἐκείνου τύχας ταῖς Θεμιστοκλέους εἰκάσας, περιουσίαν δὲ τὴν ἑαυτοῦ καὶ μεγαλοφροσύνην τοῖς Περσῶν βασιλεῦσι παραβαλὼν ἐδωρήσατο τρεῖς πόλεις αὐτῷ, Λάρισσαν καὶ Ἀρέθουσαν καὶ Ἱερὰν πόλιν, ἣν Βαμβύκην πρότερον ἐκάλουν. Τοῦ δὲ Πάρθων βασιλέως τῷ Μοναίσῃ δεξιὰν καταπέμψαντος, ἄσμενος αὐτὸν ἀπέ- e στειλεν ὁ Ἀντώνιος, ἐξαπατᾶν μὲν ἐγνωκὼς τὸν Φραάτην, ὡς εἰρήνης ἐσομένης, ἀξιῶν δὲ τὰς ἁλούσας ἐπὶ Κράσσου σημαίας καὶ τῶν ἀνδρῶν ἀπολαβεῖν τοὺς περιόντας. (2) Αὐτὸς δὲ Κλεοπάτραν εἰς Αἴγυπτον ἀποπέμψας ἐχώρει δι' Ἀραβίας καὶ Ἀρμενίας, ὅπου, συνελθούσης αὐτῷ τῆς δυνάμεως καὶ τῶν συμμάχων βασιλέων (πάμπολλοι δὲ ἦσαν οὗτοι, μέγιστος δὲ πάντων ὁ τῆς Ἀρμενίας Ἀρταουάσδης, ἑξακισχιλίους ἱππεῖς καὶ πεζοὺς ἑπτακισχιλίους παρέχων), ἐξήτασε τὸν στρατόν. Ἦσαν δὲ Ῥωμαίων μὲν αὐτῶν ἑξακισμύριοι πεζοὶ καὶ τὸ Ῥωμαίοις συντεταγμένον ἱππικὸν Ἰβήρων καὶ Κελτῶν μύριοι, τῶν δὲ ἄλλων ἐθνῶν ἐγέ- f νοντο τρεῖς μυριάδες σὺν ἱππεῦσιν ὁμοῦ καὶ ψιλοῖς. (3) Τοσαύτην μέντοι παρασκευὴν καὶ δύναμιν, ἣ καὶ τοὺς πέραν Βάκτρων Ἰνδοὺς ἐφόβησε καὶ πᾶσαν ἐκρά-
933 δανε τὴν Ἀσίαν, ἀνόνητον αὐτῷ διὰ Κλεοπάτραν a
γενέσθαι λέγουσι. Σπεύδοντα γὰρ ἐκείνῃ συνδιαχειμάσαι τὸν πόλεμον ἐξενεγκεῖν πρὸ καιροῦ καὶ πᾶσι χρήσασθαι τεταραγμένως, οὐκ ὄντα τῶν ἑαυτοῦ λογισμῶν, ἀλλὰ ὑπὸ φαρμάκων τινῶν ἢ γοητείας παπταίνοντα πρὸς ἐκείνην ἀεὶ καὶ πρὸς τὸ τάχιον ἐπανελθεῖν μᾶλλον ἢ πρὸς τὸ κρατῆσαι τῶν πολεμίων γενόμενον.

XXXVIII. Πρῶτον μὲν αὐτοῦ δέον ἐν Ἀρμενίᾳ διαχειμάσαι καὶ διαναπαῦσαι τὸν στρατὸν ὀκτακισχι-

neum pertinet. (2) Hæ maxime donationes Romanos offenderunt, quum alias principatus et regna magnarum gentium privatis addixisset, multis regibus regna ademisset, ut Antigono Judæo, quem præterea (quod nulli ante regi evenit) in medium productum securi percussit. Nimirum autem turpitudine munerum præsertim Romani movebantur. (3) Auxit invidiam quod ex Cleopatra gemellos sustulit, ex quibus masculum Alexandrum, filiolam Cleopatram appellavit, cognomentis additis huic Lunæ, illi Solis. Sed Antonius, jactandi se turpibus suis factis gnarus, magnitudinem Romani imperii dicebat non tam accipiendo quam largiendo demonstrari; porro autem successionibus et procreationibus multorum regum amplificari nobiles familias. Sic ab Hercule gentis Antoniæ auctorem generatum, quum is spem posteritatis non in uno utero collocare neque Solonis leges aut judicia de partu metuisset, sed naturæ multarum stirpium origines et initia relinquere cupiisset.

XXXVII. Ceterum quum Phraates, occiso Hyrode patre, regnum Parthicum occupasset, quum multi alii Parthi aufugerunt, tum Monæses, illustris vir et potens, ad Antonium venit. Ejus fortunam cum casu Themistoclis, suam autem potentiam et magnanimitatem cum Persarum rege comparans Antonius tres ei urbes dono dedit, Larissam, Arethusam et Hierapolim, quæ olim Bambyce dicta fuit. Ut vero rex Parthorum Monæsi missis nuntiis fidem dedit et ad se revocavit, libenter eum remisit Antonius, Phraatis decipiendi causa, cui pacem offerebat, si signa Crassi clade capta et captivos qui superstites essent redderet. (2) Amandata porro in Ægyptum Cleopatra, per Arabiam in Armeniam profectus est. Ibi copiis suis coactis et sociis regibus (multi erant hi; omnium autem facile princeps Artavardes Armeniæ rex, qui sex equitum, septem peditum millia suppeditabat), exercitum lustravit. Erant Romanorum peditum sexaginta millia, equitum Romanorum, una cum Hispanis et Gallis, qui eis accensebantur, decem millia; ex reliquis nationibus aderant una cum equitibus et levis armaturæ militibus triginta millia. (3) Has tantas copias, quibus etiam trans Bactra habitantes Indos terruerat et universam Asiam tremefecerat, inutiles ei amor, uti perhibent, Cleopatræ redegit. Quippe festinans, ut apud eam hiemare posset, bellum intempestive extulit, et tumultuarie omnia gessit, animi sui impos et veneficiis quibusdam seu præstigiis captus, uti semper ad illam respiceret, magisque de mature ad eam redeundo quam vincendis hostibus esset sollicitus.

XXXVIII. Primo enim, quum ex usu fuisset ut ibi in Armenia hiemem exigeret, exercitumque octies mille sta-

λίων σταδίων ἀποτετρυμένον πορείᾳ, καὶ πρὶν ἢ κινεῖν ἐκ τῶν χειμαδίων Πάρθους ἔαρος ἀρχῇ Μηδίαν καταλαβεῖν, οὐκ ἠνέσχετο τὸν χρόνον, ἀλλ' εὐθὺς ἦγεν ἐν b ἀριστερᾷ λαβὼν Ἀρμενίαν καὶ τῆς Ἀτροπατηνῆς ἁψάμενος ἐπόρθει τὴν χώραν. Ἔπειτα μηχανημάτων αὐτῷ πρὸς πολιορκίαν ἀναγκαίων τριακοσίαις ἁμάξαις παραπεμπομένων, ἐν οἷς καὶ κριὸς ἦν ὀγδοήκοντα ποδῶν μῆκος, ὧν οὐδὲν ἐνεχώρει διαφθαρὲν ἐπὶ καιροῦ πάλιν γενέσθαι διὰ τὸ τὴν ἄνω χώραν πᾶν ξύλον ἀγεννὲς εἰς μῆκος καὶ μαλθακὸν ἐκφέρειν, ἐπειγόμενος ὡς ἐμπόδια τοῦ ταχύνειν ἀπέλιπε φυλακήν τινα καὶ Στατιανὸν ἡγεμόνα τῶν ἁμαξῶν ἐπιστήσας, αὐτὸς δὲ Φράατα μεγάλην πόλιν, ἐν ᾗ καὶ τέκνα καὶ γυναῖκες ἦσαν τοῦ τῆς Μηδίας βασιλέως, ἐπολιόρκει. Τῆς δὲ χρείας εὐθὺς ὅσον ἥμαρτε τὰς μηχανὰς ἀπολιπὼν ἐξελεγχούσης, c ὁμόσε χωρῶν ἔχου πρὸς τὴν πόλιν χῶμα σχολῇ καὶ πολυπόνως ἀνιστάμενον. (2) Ἐν τούτῳ δὲ καταβαίνων στρατιᾷ μεγάλῃ Φραάτης, ὡς ἤκουσε τὴν ἀπόλειψιν τῶν μηχανοφόρων ἁμαξῶν, ἔπεμψε τῶν ἱππέων πολλοὺς ἐπ' αὐτάς, ὑφ' ὧν περιληφθεὶς ὁ Στατιανὸς ἀποθνήσκει μὲν αὐτός, ἀποθνήσκουσι δὲ μύριοι τῶν μετ' αὐτοῦ. Τὰς δὲ μηχανὰς ἑλόντες οἱ βάρβαροι διέφθειραν. Εἷλον δὲ παμπόλλους, ἐν οἷς καὶ Πολέμων ἦν ὁ βασιλεύς.

XXXIX. Τοῦτο πάντας μέν, ὡς εἰκός, ἠνίασε τοὺς περὶ Ἀντώνιον ἀνελπίστως ἐν ἀρχῇ πληγέντας· ὁ δὲ Ἀρμένιος Ἀρταουάσδης ἀπογνοὺς τὰ Ῥωμαίων, ᾤχετο d τὴν αὑτοῦ στρατιὰν ἀναλαβών, καίπερ αἰτιώτατος τοῦ πολέμου γενόμενος. (2) Ἐπιφανέντων δὲ λαμπρῶς τοῖς πολιορκοῦσι τῶν Πάρθων καὶ χρωμένων ἀπειλαῖς πρὸς ὕβριν, οὐ βουλόμενος Ἀντώνιος ἡσυχάζοντι τῷ στρατῷ τὸ δυσθυμοῦν καὶ καταπεπληγμένον ἐμμένειν καὶ αὔξεσθαι, δέκα τάγματα λαβὼν καὶ τρεῖς στρατηγίδας σπείρας ὁπλιτῶν, τοὺς δ' ἱππεῖς ἅπαντας, ἐξήγαγε πρὸς σιτολογίαν, οἰόμενος οὕτως ἂν ἐπισπασθέντων μάλιστα τῶν πολεμίων ἐκ παρατάξεως μάχην γενέσθαι. (3) Προελθὼν δὲ μιᾶς ὁδὸν ἡμέρας ὡς ἑώρα τοὺς Πάρθους κύκλῳ περιχεομένους καὶ προσπεσεῖν καθ' ὁδὸν e αὐτῷ ζητοῦντας, ἐξέθηκε μὲν τὸ τῆς μάχης σύμβολον ἐν τῷ στρατοπέδῳ, καθελὼν δὲ τὰς σκηνάς, ὡς οὐ μαχησόμενος, ἀλλ' ἀπάξων, παρημείβετο τῶν βαρβάρων τὴν τάξιν οὖσαν μηνοειδῆ, κελεύσας, ὅταν οἱ πρῶτοι τοῖς ὁπλίταις ἐν ἐφικτῷ δοκῶσιν εἶναι, τοὺς ἱππεῖς ἐναντίους εἰσελαύνειν. (4) Τοῖς δὲ Πάρθοις παρακεκριμένοις λόγου κρείττων ἡ τάξις ἐφαίνετο τῶν Ῥωμαίων, καὶ κατεθεῶντο παρεξιόντας ἐν διαστήμασιν ἴσοις ἀθορύβως καὶ σιωπῇ τοὺς ὑσσοὺς κραδαίνοντας. Ὡς δὲ τὸ σημεῖον ἤρθη καὶ προσεφέροντο μετὰ κραυγῆς ἐπιστρέψαντες οἱ ἱππεῖς, τούτους μὲν ἠμύνοντο δεξάμενοι, καίπερ εὐθὺς ἐντὸς τοξεύματος γενομένους, τῶν f δὲ ὁπλιτῶν συναπτόντων ἅμα βοῇ καὶ πατάγῳ τῶν ὅπλων, οἵ τε ἵπποι τοῖς Πάρθοις ἐξίσταντο ταρβοῦντες καὶ αὐτοὶ πρὶν εἰς χεῖρας ἐλθεῖν ἔφευγον. (5) Ὁ δὲ Ἀντώνιος ἐνέκειτο τῇ διώξει καὶ μεγάλας εἶχεν ἐλπίδας,

diorum itinère fatigatum reficeret, et antequam Parthi ex hibernis moverent, initio veris Mediam occuparet, non exspectato opportuno tempore, statim, ad lævam relicta Armenia, Atropatenam invasit atque populatus est. Deinde quum machinas ad oppugnationes necessarias trecentis curribus veheret, inter quas aries fuit octoginta pedum longitudine, et quarum nulla commode refici posset iis in locis, eo quod superiores istæ regiones omnes ligna neque satis procera et mollia gignunt : eas post se tanquam celeritati impedimento futuras reliquit, præsidio relicto apud currus istos et duce Statiano. Phraata autem, magnam urbem, in qua regis Mediæ liberi et uxores erant, oppugnare aggressus, statim sensit quantum relinquendis machinis peccasset : aggerem magno labore et multo tempore adversus urbem extulit. (2) Interim Phraates magno cum exercitu descendens, audito currus machiniferos relictos ab Antonio, præsidio eorum magnam immisit equitum manum; ab his Statianus cum permultis suorum occisus, machinæ captæ et perditæ sunt, capti permulti, interque eos rex Polemo.

XXXIX. Omnibus qui cum Antonio fuere doluit, uti fuit consentaneum, incommodum belli initio præter spem acceptum; Armenius autem Artavasdes, rebus Romanorum desperatis, cum suo exercitu discessit, quum quidem maxime id bellum ipse concitasset. (2) Quum autem Parthi obsidentibus alacres supervenirent, seque superbe multa minantes ostentarent, Antonius, ne militibus otiosis mœror et metus inhæreret atque cresceret, decem legiones et tres prætorias gravis armaturæ cohortes, equitatumque universum frumentatum eduxit, sperans se ea ratione hostem ad pugnam conserendam pertracturum. (3) Unius diei iter progressus, quum circumfusos videret Parthos, et inter proficiscendum ipsum adoriri cupere, signum pugnæ in castris proposuit, et demolitus tabernacula, veluti non pugnaturus, sed exercitum abducturus, lunatam barbarorum aciem præteriit, mandato equitibus, ut, quum viderent pediti jam cum Parthorum primis confligendi potestatem factam, adversis equis in hostes invaderent. (4) Parthis autem contra in acie stantibus, mirabilis ordo Romanorum videbatur, spectabantque eos æqualibus intervallis et sine ulla ordinis confusione tacitos prætereuntes ac pila vibrantes. Ut signum datum est et equites Romani conversis equis cum vociferatione impetum fecerunt, hos quidem Parthi substiterunt, quamvis intra sagittæ jactum statim pervenissent : sed ubi pedites etiam armis concussis et clamore sublato irruerunt, et equi Parthorum perterriti sunt et ipsi ante quam manus conseri possent fugerunt. (5) Insecutus eos acriter est Antonius, atque in spem magnam venit, se summam, aut ma-

934 ὡς τοῦ πολέμου τὸ σύμπαν ἢ τὸ πλεῖστον ἐκείνῃ a μάχῃ διαπεπραγμένος. Ἐπεὶ δὲ, τῆς διώξεως γενομένης τοῖς μὲν πεζοῖς ἐπὶ πεντήκοντα στάδια, τοῖς δὲ ἱππεῦσιν ἐπὶ τρὶς τοσαῦτα, τοὺς πεπτωκότας τῶν πολεμίων καὶ τοὺς ἡλωκότας ἐπισκοποῦντες εὗρον αἰχμαλώτους μὲν τριάκοντα, νεκροὺς δὲ ὀγδοήκοντα μόνους, ἀπορία καὶ δυσθυμία πᾶσι παρέστη, δεινὸν εἶναι λογιζομένοις, εἰ νικῶντες μὲν οὕτως ὀλίγους κτείνουσιν, ἡττώμενοι δὲ στερήσονται τοσούτων, ὅσους ἀπέβαλον περὶ ταῖς ἁμάξαις. (6) Τῇ δ᾽ ὑστεραίᾳ συσκευασάμενοι τὴν ἐπὶ Φραάτων καὶ τοῦ στρατοπέδου προῆγον. Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν πρῶτον μὲν ὀλίγοις τῶν πολεμίων, ἔπειτα πλείοσι, τέλος δὲ πᾶσιν, ὥσπερ ἀηττήτοις καὶ νεαλέσι προκαλου- b μένοις καὶ προσβάλλουσι πανταχόθεν, μοχθηρῶς καὶ πολυπόνως ἀπεσώθησαν εἰς τὸ στρατόπεδον. (7) Τῶν δὲ Μήδων ἐκδρομήν τινα ποιησαμένων ἐπὶ τὸ χῶμα καὶ τοὺς προμαχομένους φοβησάντων, ὀργισθεὶς ὁ Ἀντώνιος ἐχρήσατο τῇ λεγομένῃ δεκατείᾳ πρὸς τοὺς ἀποδειλιάσαντας. Διελὼν γὰρ εἰς δεκάδας τὸ πλῆθος, ἀφ᾽ ἑκάστης ἕνα τὸν λαχόντα κλήρῳ διέφθειρε, τοῖς δὲ ἄλλοις ἀντὶ πυρῶν ἐκέλευε κριθὰς μετρεῖσθαι.

XL. Χαλεπὸς δὲ ἀμφοτέροις ἦν ὁ πόλεμος, καὶ τὸ μέλλον αὐτοῦ φοβερώτερον, Ἀντωνίῳ μὲν προσδοκῶντι λιμόν· οὐκέτι γὰρ ἦν ἄνευ τραυμάτων καὶ νεκρῶν πολλῶν ἐπισιτίσασθαι· Φραάτης δὲ τοὺς Πάρθους ἐπιστάμενος c πάντα μᾶλλον ἢ χειμῶνος ἔξω προσταλαιπωρεῖν καὶ θυραυλεῖν δυναμένους, ἐφοβεῖτο μὴ τῶν Ῥωμαίων ἐγκαρτερούντων καὶ παραμενόντων ἀπολίπωσιν αὐτὸν, ἤδη τοῦ ἀέρος συνισταμένου μετὰ φθινοπωρινὴν ἰσημερίαν. Δόλον οὖν συντίθησι τοιόνδε. (2) Πάρθων οἱ γνωριμώτατοι περὶ τὰς σιτολογίας καὶ τὰς ἄλλας ἀπαντήσεις μαλακώτερον τοῖς Ῥωμαίοις προσεφέροντο, λαμβάνειν τε παριέντες αὐτοῖς ἔνια καὶ τὴν ἀρετὴν ἐπαινοῦντες ὡς πολεμικωτάτων ἀνδρῶν καὶ θαυμαζομένων ὑπὸ τοῦ σφετέρου βασιλέως δικαίως. Ἐκ δὲ τούτου προσελαύνοντες ἐγγυτέρω καὶ τοὺς ἵππους ἀτρέμα παραβάλλοντες ἐλοιδόρουν τὸν Ἀντώνιον, ὅτι βουλομένῳ Φραάτῃ d διαλλαγῆναι καὶ φείσασθαι τοιούτων ἀνδρῶν καὶ τοσούτων ἀφορμὴν οὐ δίδωσιν, ἀλλὰ τοὺς χαλεποὺς καὶ μεγάλους κάθηται πολεμίους ἀναμένων, λιμὸν καὶ χειμῶνα, δι᾽ ὧν ἔργον ἐστὶ καὶ προπεμπομένους ὑπὸ Πάρθων ἀποφεύγειν. (3) Πολλῶν δὲ ταῦτα πρὸς τὸν Ἀντώνιον ἀναφερόντων, μαλασσόμενος ὑπὸ τῆς ἐλπίδος ὅμως οὐ πρότερον ἐπεκηρυκεύσατο πρὸς τὸν Πάρθον ἢ πυθέσθαι τῶν φιλοφρονουμένων ἐκείνων βαρβάρων, εἰ τοῦ βασιλέως ταῦτα φρονοῦντος διαλέγοιντο. Φασκόντων δὲ καὶ παρακαλούντων μὴ δεδιέναι μηδὲ ἀπιστεῖν, ἔπεμψέ τινας τῶν ἑταίρων πάλιν τὰς σημαίας ἀξιῶν ἀπολαβεῖν καὶ τοὺς αἰχμαλώτους, ὡς δὴ μὴ παντάπασιν ἀγαπᾶν τὸ e σωθῆναι καὶ διαφυγεῖν νομισθείη. Τοῦ δὲ Πάρθου ταῦτα μὲν ἐᾶν κελεύοντος, ἀπιόντι δὲ εὐθὺς εἰρήνην καὶ ἀσφάλειαν εἶναι φήσαντος, ὀλίγαις ἡμέραις συσκευασάμενος ἀνεζεύγνυεν. (4) Ὢν δὲ καὶ δήμῳ πιθανὸς ἐντυχεῖν καὶ στρατὸν ἄγειν διὰ λόγου παρ᾽ ὁντινοῦν τῶν τότε

jorem utique partem ejus belli hac victoria confecisse. Insecuti hostem pedites ad quinquaginta, equites ad trecenta stadia, quum deinde captos et cæsos recenserent, triginta captos, cæsos octoginta tantum invenerunt. Gravis itaque tristitia oborta atroxque res visa, quod victores tam parum hostium interfecissent, victi autem amissuri tam multos viderentur, quam apud currus perdidissent. (6) Postridie convasatis rebus, iter versus Phraata et castra sua fecerunt. Ibi in via primum in paucos hostium, deinde in plures, denique in universum hostium agmen, veluti intactum et integrum, inciderunt, provocatique et undique lacessiti, difficulter et magno cum labore in castra redierunt. (7) Quum Medi excursione in aggerem facta propugnatores perterruissent, iratus Antonius eos qui stationem deseruissent decimavit. Divisis enim per denos legionibus decimum quemque sorte ducta interfecit, ceteris pro frumento hordeum dari jussit.

XL. Jam et molestum utrisque erat bellum, et graviores difficultates metuebantur, quum et famem imminere Antonius timeret, quod absque vulneribus et magna cæde sui frumentari nequirent; et Phraates sciens Parthos quidvis potius sustinere, quam in hostico versari per hiemem, jam post æquinoctium autumnale aere gelascente, verebatur ne Romanis in obsidione perseverantibus a suis ipse desereretur. Talem itaque dolum Antonio tendit. (2) Parthi, qui maxime noti Romanis essent, in frumentationibus aliisque congressibus lenius Romanos tractabant, nonnulla eos auferre permittentes et virtutem eorum, bellicosissimorum hominum, et qui merito regi etiam ipsorum admirationi essent, laudantes. Propius deinde adequitantes et citra periculum jam Antonio obtrectabant, qui Phraati pacem inire ac parcere tot tantisque viris cupienti occasionem dare nollet, ac duos potius gravissimos hostes, famem et hiemem, trahendo obsidionem præstolaretur, quos effugere etiam Parthis comitantibus sit futurum difficile. (3) Hæc quum ad Antonium multi deferrent, quamvis ea spe delinitus, non prius tamen legatos misit ad Parthum, quam ex benevolis istis barbaris quæsivit, hæcne ex sententia regis dixissent. Quum ita esse affirmarent, atque hortarentur ne sibi metueret, neu quicquam vereretur, quosdam amicorum ad Phraatem misit, iterum signa et captivos reposcens, ne effugio et salute contentus esse velle videretur. Respondit Parthus, frustra cum ista poscere, pacem se ei et securitatem concedere, si statim abiisset. Itaque Antonius paucis diebus castra movit. (4) Quamvis autem dicendo apud multitudinem largiter posset et castrensi facundia nemini æqualium cederet, tamen pudore et mœrore motus, con-

πεφυκώς, ἐξέλιπεν αὐτὸς αἰσχύνῃ καὶ κατηφείᾳ τὸ παραθαῤῥῦναι τὸ πλῆθος, Δομίτιον δὲ Ἀηνόβαρβον ἐκέλευε τοῦτο ποιῆσαι. Καί τινες μὲν ἠγανάκτησαν ὡς ὑπερορώμενοι, τὸ δὲ πλεῖστον ἐπεκλάσθη καὶ συνεφρόνησε f τὴν αἰτίαν· διὸ καὶ μᾶλλον ᾤοντο δεῖν ἀνταιδεῖσθαι καὶ πείθεσθαι τῷ στρατηγῷ.

XLI. Μέλλοντος δὲ αὐτοῦ τὴν αὐτὴν ὁδὸν ἄγειν ὀπίσω πεδινὴν καὶ ἄδενδρον οὖσαν, ἀνὴρ τῷ γένει Μάρ-
935 δος, πολλὰ τοῖς Πάρθων ἤθεσιν ἐνωμιληκώς, ἤδη a δὲ Ῥωμαίοις πιστὸς ἐν τῇ μάχῃ τῇ περὶ τὰς μηχανὰς γεγονώς, Ἀντωνίῳ προσελθὼν ἐκέλευε φεύγειν ἐν δεξιᾷ τῶν ὀρῶν ἐπιλαβόμενον καὶ μὴ στρατὸν ὁπλίτην καὶ βαρὺν ἐν δρόμοις γυμνοῖς καὶ ἀναπεπταμένοις ὑποβαλεῖν ἵππῳ τοσαύτῃ καὶ τοξεύμασιν, ὃ δὴ τεχνώμενον τὸν Φραάτην ἀναστῆσαι τῆς πολιορκίας αὐτὸν ὁμολογίαις φιλανθρώποις· ἔσεσθαι δὲ αὐτὸς ἡγεμὼν ὁδοῦ βραχυτέρας καὶ μᾶλλον εὐπορίαν τῶν ἐπιτηδείων ἐχούσης. (2) Ταῦτα ἀκούσας ὁ Ἀντώνιος ἐβουλεύετο, καὶ Πάρθοις μὲν οὐκ ἐβούλετο δοκεῖν ἀπιστεῖν μετὰ σπονδάς, τὴν δὲ συντομίαν τῆς ὁδοῦ καὶ τὸ παρὰ κώμας οἰκουμένας ἔσεσθαι τὴν πορείαν ἐπαινῶν, πίστιν ᾔτει τὸν Μάρδον. Ὁ δὲ δῆσαι παρεῖχεν αὐτόν, ἄχρι οὗ κατα- b στήσῃ τὸν στρατὸν εἰς Ἀρμενίαν, καὶ δεθεὶς ἡγεῖτο δύο ἡμέρας καθ' ἡσυχίαν. (3) Τῇ δὲ τρίτῃ παντάπασι τοὺς Πάρθους ἀπεγνωκότος Ἀντωνίου καὶ βαδίζοντος ἀνειμένως διὰ τὸ θαῤῥεῖν, ἰδὼν ὁ Μάρδος ἀπόχωσιν ἐμβολῆς ποταμοῦ νεωστὶ διεσπασμένην καὶ τὸ ῥεῦμα πολὺ πρὸς τὴν ὁδόν, ᾗ πορευτέον ἦν, ἐκχεόμενον συνῆκεν, ὅτι τῶν Πάρθων ἔργον εἴη τοῦτο δυσκολίας ἕνεκα καὶ διατριβῆς ἐμποδὼν αὐτοῖς τὸν ποταμὸν τιθεμένων· καὶ τὸν Ἀντώνιον ὁρᾶν ἐκέλευε καὶ προσέχειν, ὡς τῶν πολεμίων ἐγγὺς ὄντων. (4) Ἄρτι δὲ αὐτοῦ καθιστάντος εἰς τάξιν τὰ ὅπλα καὶ δι' αὐτῶν τοῖς ἀκοντισταῖς καὶ σφενδονήταις c ἐκδρομὴν ἐπὶ τοὺς πολεμίους παρασκευάζοντος, ἐπεφάνησαν οἱ Πάρθοι καὶ περιήλαυνον ὡς κυκλωσόμενοι καὶ συνταράξοντες πανταχόθεν τὸν στρατόν. Ἐκδραμόντων δὲ τῶν ψιλῶν ἐπ' αὐτούς, πολλὰς μὲν διδόντες ἀπὸ τόξων, οὐκ ἐλάττονας δὲ ταῖς μολυβδίσι καὶ τοῖς ἀκοντίοις πληγὰς λαμβάνοντες ἀνεχώρουν. Εἶτα ἐπῆγον αὖθις, ἄχρι οὗ συστρέψαντες οἱ Κελτοὶ τοὺς ἵππους ἐνέβαλον καὶ διεσκέδασαν αὐτοὺς οὐκέτι τῆς ἡμέρας ἐκείνης ὑπόδειγμα γενομένους.

XLII. Ἐκ τούτου μαθὼν Ἀντώνιος ὃ ποιεῖν ἔδει, πολλοῖς ἀκοντισταῖς καὶ σφενδονήταις οὐ μόνον τὴν d οὐραγίαν, ἀλλὰ καὶ τὰς πλευρὰς ἑκατέρας στομώσας, ἐν πλαισίῳ τὸν στρατὸν ἦγε, καὶ τοῖς ἱππόταις εἴρητο προσβαλόντας τρέπεσθαι, τρεψαμένους δὲ μὴ πόῤῥω διώκειν, ὥστε τοὺς Πάρθους τὰς ἐφεξῆς τέσσαρας ἡμέρας οὐδὲν πλέον δράσαντας ἢ παθόντας ἀμβλυτέρους γεγονέναι καὶ τὸν χειμῶνα ποιουμένους πρόφασιν ἀπιέναι διανοεῖσθαι. (2) Τῇ δὲ πέμπτῃ Φλαούιος Γάλλος, ἀνὴρ πολεμικὸς καὶ δραστήριος, ἐφ' ἡγεμονίας τεταγμένος, ᾔτησεν Ἀντώνιον προσελθὼν πλείονας ψιλοὺς ἐπ' οὐρὰν καὶ τῶν ἀπὸ τοῦ στόματος ἱππέων τινάς, ὡς μέγα

cionem tum confirmandorum militum causa habere non sustinuit, idque negotii Domitio Aenobarbo dedit. Quidam graviter id tulerunt, despici se rati, plerique quid causæ esset animadverterunt, miserationeque moti, vicissim duci obedientiam et majorem etiam verecundiam deberi senserunt.

XLI. Reducturum autem ea qua venerat via campestri et arboribus vacua quidam Mardus natione, qui mores Parthorum bene nosset, et cujus fides Romanis in pugna apud machinas esset cognita, adiit, ac monuit ut, montibus ad dextram relictis, discederet, neve exercitum gravi armatura impeditum in nudis atque apertis campis tanto equitatui et sagittariis objiceret; id enim egisse Phraatem, ac propterea eum æquis conditionibus ab obsidione avertisse: se ipsi ducem brevioris itineris et commeatu instructioris fore. (2) Hæc quum audivisset Antonius, secum deliberavit, et Parthis quidem noluit videri diffidere post pacificationem, itineris autem brevitatem juxta pagos habitatos laudans, postulavit a Mardo, ut fidem suam firmaret. Isque se tantisper dum exercitum in Armeniam reduxisset, in vinculis habendum tradidit. (3) Biduo eos tuto duxit; tertio die quum jam omnino se Parthorum securum speraret Antonius, eoque audacius et liberius iter faceret, Mardus aggerem, quo eruptio fluminis obturaretur, vidit recens apertum, et aquam copiose ea qua ipsis pergendum erat effusam, sensitque id a Parthis effectum, ut transitum ipsis impeditiorem ac difficiliorem redderent; Antonium itaque prospicere sibi jussit et cavere; hostes enim in propinquo esse. (4) Vixdum aciem instruxerat Antonius, ac per eam velitibus atque funditoribus excurrendi adversus hostem spatia constituerat, quum supervenere Parthi et circumvenire et undique perturbare Romanos conati sunt. Contra quos quum excurrissent levis armaturæ milites, Parthi, quum multos sagittis sauciassent, neque pauciora ipsi pilis et plumbatis icti vulnera accepissent, pedem retulere. Rursus inde impressionem fecerunt, donec Gallicus equitatus cuneo facto in eos impetum dedit et dissipavit, neque ea die præterea in conspectum venerunt.

XLII. Antonius, cognito quid facto usus esset, multis jaculatoribus et funditoribus non ultimum modo agmen, sed et utrumque latus muniit exercitumque agmine quadrato duxit, et equitibus mandavit ut, si hostes adorti pepulissent, non procul eos persequerentur. Quo factum est ut Parthi quattuor deinceps diebus non gravioribus datis quam acceptis malis, languidiores fierent, et hiemis prætextu de discessu cogitarent. (2) Quinta die unus ducum Flavius Gallus, vir bello strenuus, Antonium accessit et ab eo complures milites expeditos novissimo agmini equitesque a fronte poposcit, se rem præclare gesturum pollicens. Eo impe-

κατόρθωμα ποιήσων. Δόντος δὲ προσβάλλοντας ἀνέκοπτε τοὺς πολεμίους, οὐχ, ὥσπερ πρότερον, ὑπάγων e ἅμα πρὸς τοὺς ὁπλίτας καὶ ἀναχωρῶν, ἀλλὰ ὑφιστάμενος καὶ συμπλεκόμενος παραβολώτερον. Ὁρῶντες δὲ αὐτὸν οἱ τῆς οὐραγίας ἡγεμόνες ἀποῤῥηγνύμενον ἐκάλουν πέμποντες· ὁ δὲ οὐκ ἐπείθετο. Τίτιον δέ φασι τὸν ταμίαν καὶ τῶν σημαιῶν ἐπιλαβόμενον στρέφειν ὀπίσω καὶ λοιδορεῖν τὸν Γάλλον, ὡς ἀπολλύντα πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας. Ἀντιλοιδοροῦντος δὲ ἐκείνου καὶ διακελευομένου τοῖς περὶ αὐτὸν μένειν, ὁ μὲν Τίτιος ἀπεχώρει· τὸν δὲ Γάλλον ὠθούμενον εἰς τοὺς κατὰ στόμα λανθάνουσι πολλοὶ περισχόντες ἐκ τῶν ὄπισθεν. Βαλλό- f μενος δὲ πανταχόθεν ἐκάλει πέμπων ἀρωγήν. (3) Οἱ δὲ τοὺς ὁπλίτας ἄγοντες, ὧν καὶ Κανίδιος ἦν, ἀνὴρ παρ' Ἀντωνίῳ δυνάμενος μέγιστον, οὐ μικρὰ δοκοῦσι διαμαρτεῖν. Δέον γὰρ ἀθρόαν ἐπιστρέψαι τὴν φάλαγγα,
936 πέμποντες κατ' ὀλίγους ἐπιβοηθοῦντας, καὶ πάλιν a
ἡττωμένων τούτων ἑτέρους ἀποστέλλοντες ἔλαθον ὀλίγου δεῖν ἥττης καὶ φυγῆς ὅλον ἀναπλήσαντες τὸ στρατόπεδον, εἰ μὴ ταχὺ μὲν αὐτὸς Ἀντώνιος μετὰ τῶν ὅπλων ἀπὸ τοῦ στόματος ἧκεν ὑπαντιάζων, ταχὺ δὲ τὸ τρίτον τάγμα διὰ τῶν φευγόντων ἐπὶ τοὺς πολεμίους ὠσάμενον ἔσχε τοῦ πρόσω διώκειν.

XLIII. Ἀπέθανον δὲ τρισχιλίων οὐκ ἐλάττους, ἐκομίσθησαν δὲ ἐπὶ σκηνὰς τραυματίαι πεντακισχίλιοι· καὶ Γάλλος ἦν ἐν τούτοις τέτταρσιν ἐναντίοις διαπεπαρμένος τοξεύμασιν. Ἀλλ' οὗτος μὲν ἐκ τῶν τραυμάτων οὐκ ἀνήνεγκε· τοὺς δ' ἄλλους περιιὼν ὁ Ἀντώνιος ἐπεσκόπει καὶ παρεθάῤῥυνε δεδακρυμένος καὶ περιπαθῶν. Οἱ δὲ b φαιδροὶ τῆς δεξιᾶς αὐτοῦ λαμβανόμενοι παρεκάλουν ἀπιόντα θεραπεύειν αὑτὸν καὶ μὴ κακοπαθεῖν, αὐτοκράτορα, καλοῦντες καὶ σώζεσθαι λέγοντες, ἂν ἐκεῖνος ὑγιαίνῃ. (2) Καθόλου μὲν γὰρ οὔτ' ἀλκαῖς οὔτε ὑπομοναῖς οὔτε ἡλικίᾳ λαμπρότερον ἄλλος αὐτοκράτωρ στρατὸν ἐκείνου δοκεῖ συναγαγεῖν ἐν τοῖς τότε χρόνοις· ἡ δὲ πρὸς αὐτὸν αἰδὼς τὸν ἡγεμόνα καὶ πειθαρχία μετ' εὐνοίας καὶ τὸ πάντας ὁμαλῶς, ἐνδόξους, ἀδόξους, ἄρχοντας, ἰδιώτας, τὴν παρὰ Ἀντωνίῳ τιμήν τε καὶ χάριν μᾶλλον αἱρεῖσθαι τῆς σωτηρίας καὶ τῆς ἀσφαλείας οὐδὲ τοῖς πάλαι Ῥωμαίοις ἀπέλιπεν ὑπερβολήν. (3) Τούτου δὲ αἰτίαι πλείονες ἦσαν, ὡς προειρήκαμεν· εὐγένεια, λόγου δύναμις, ἁπλότης, τὸ φιλόδωρον καὶ μεγαλόδω- c ρον, ἡ περὶ τὰς παιδιὰς καὶ τὰς ὁμιλίας εὐτραπελία. Τότε δὲ καὶ συμπονῶν καὶ συναλγῶν τοῖς κακοπαθοῦσι καὶ μεταδιδοὺς οὗ τις δεηθείη προθυμοτέρους τῶν ἐῤῥωμένων τοὺς νοσοῦντας καὶ τετρωμένους ἐποίησε.

XLIV. Τοὺς μέντοι πολεμίους ἀπαγορεύοντας ἤδη καὶ κάμνοντας οὕτως ἐπῆρεν ἡ νίκη καὶ τοσοῦτον τῶν Ῥωμαίων κατεφρόνησαν, ὥστε καὶ νυκτὸς ἐπαυλίσασθαι τῷ στρατοπέδῳ, προσδοκῶντας αὐτίκα μάλα σκηνὰς ἐρήμους καὶ χρήματα διαρπάσειν ἀποδιδρασκόντων. Ἅμα δ' ἡμέρᾳ πολὺ πλείονες ἐπηθροίζοντο, καὶ λέγονται τετρακισμυρίων οὐκ ἐλάττονες ἱππόται, βασιλέως d καὶ τοὺς περὶ αὐτὸν ἀεὶ τεταγμένους ὡς ἐπὶ σαφεῖ καὶ

trato, hostes irruentes repulit, non, ut ante, simul ad aciem peditum retro cedens, sed audacius eo subsistens manusque conserens. Duces autem postremi agminis videntes eum a reliquis avulsum, misere qui revocarent, sed non obtemperavit ille. Fertur Titius quæstor signa quoque apprehendisse, Gallumque retro avertisse et objurgasse, quod tam multos bonos viros iret perditum, eoque contra conviciante, suisque ut manerent imperante, ad suos abiisse, Gallum autem in adversos magna vi ruentem a tergo multitudo hostium imprudentem circumvenit, ita ut undique telis impetitus, mitteret qui auxilium implorarent. (3) Hic a ducibus peditum, inter quos fuit et Canidius, vir summæ apud Antonium auctoritatis, graviter videtur peccatum. Quum enim res postularet ut totam aciem in hostem converterent, paucos subsidio mittentes, hisque victis rursus alios, paulatim in fugam et cladem totum exercitum conjiciebant, actumque fuisset, nisi Antonius ipse propere cum armatis a fronte ad auxilium accurrisset, ac tertia legione per cedentes suos adversus hostem rapta, eum ab insequendo avertisset.

XLIII. Perierunt de Romanis haud pauciores tribus millibus, et in castra relati sunt saucii quinque millia; interque hos Gallus, quattuor sagittis adverso corpore exceptis confixus, iisque vulneribus periit. Reliquos Antonius circumiens visebat dictisque confirmabat, lacrimis oppletus et gravi mœrore æger. At milites læto vultu dextram ejus apprehendere, jubere uti abiret et corpus suum curaret, neve se affictaret, imperatorem salutare, seque salvos eo valente dicere. (2) Omnino autem nemo quisquam ea tempestate imperator exercitum atque is fuit robore, tolerantia et ætatis vigore præstantiorem habuit; veneratione autem ducis, benevola obedientia, eoque quod omnes in universum nobiles, obscuri, principes, privati, Antonii gratiam et honores ab eo ipsis habitos salute sua atque securitate antiquiora habebant, ne a priscis quidem Romanis victi sunt. (3) Hujus autem erga eum studii causæ multæ fuerunt, uti ante diximus: nobilitas, facundia, simplicitas, liberalitas, magnificentia, in jocis et convictu urbanitas. Tum vero miserans ægrotos, et quibus quisque indigeret largiens, alacriores saucios et afflictos sanis reddidit.

XLIV. At hostes jam defessos et animos despondentes ita victoria ista erexit, tantumque apud eos contemptum Romanorum excitavit, ut noctu etiam apud castra eorum commorarentur, putantes mox fore ut, dilapsis fuga Romanis, tentoria eorum et opes diriperent. Die facto, multo plures se Parthi eo congregaverunt, adeo ut ferantur equitum haud minus quadraginta millia fuisse, quum rex eo, tanquam ad exploratam victoriam eos etiam, quos secum

βεβαίῳ κατορθώματι πέμψαντος· αὐτὸς μὲν γὰρ οὐδεμιᾷ μάχῃ παρέτυχεν. (2) Ἀντώνιος δὲ βουλόμενος προσαγορεῦσαι τοὺς στρατιώτας ᾔτησε φαιὸν ἱμάτιον, ὡς οἰκτρότερος ὀφθείη. Τῶν δὲ φίλων ἐναντιωθέντων, ἐν τῇ στρατηγικῇ φοινικίδι προελθὼν ἐδημηγόρησε, τοὺς μὲν νενικηκότας ἐπαινῶν, ὀνειδίζων δὲ τοὺς φυγόντας. Τῶν δὲ οἱ μὲν παρεκελεύοντο θαῤῥεῖν, οἱ δὲ ἀπολογούμενοι σφᾶς αὐτοὺς παρεῖχον, εἴτε βούλοιτο δεκατεύειν, εἴτε ἄλλῳ τρόπῳ κολάζειν, μόνον παύσασθαι δυσφοροῦντα καὶ λυπούμενον ἐδέοντο. Πρὸς ταῦτα τὰς χεῖρας ανα- e τείνας ἐπεύξατο τοῖς θεοῖς, εἴ τις ἄρα νέμεσις τὰς πρόσθεν εὐτυχίας αὐτοῦ μέτεισιν, εἰς αὐτὸν ἐλθεῖν, τῷ δ' ἄλλῳ στρατῷ σωτηρίαν διδόναι καὶ νίκην.

XLV. Τῇ δὲ ὑστεραίᾳ φραξάμενοι βέλτιον προῇγον· καὶ τοῖς Πάρθοις ἐπιχειροῦσι πολὺς ἀπήντα παράλογος. Οἰόμενοι γὰρ ἐφ' ἁρπαγὴν καὶ λεηλασίαν, οὐ μάχην, ἐλαύνειν, εἶτα πολλοῖς βέλεσιν ἐντυγχάνοντες, ἐῤῥωμένους δὲ καὶ νεαλεῖς ταῖς προθυμίαις ὁρῶντες, αὖθις ἐξέκαμνον. Ἐπεὶ δὲ καταβαίνουσιν αὐτοῖς ἀπὸ λόφων τινῶν ἐπικλινῶν ἐπέθεντο καὶ βραδέως ὑπεξάγοντας f ἔβαλλον, ἐπιστρέψαντες οἱ θυρεοφόροι συνέκλεισαν εἴσω τῶν ὅπλων τοὺς ψιλούς, αὐτοὶ δὲ καθέντες εἰς γόνυ προὐβάλοντο τοὺς θυρεούς· οἱ δὲ ὄπισθεν ὑπερέσχον αὐτῶν τὰ ὅπλα κἀκείνων ὁμοίως ἕτεροι. Τὸ δὲ σχῆμα
937 παραπλήσιον ἐρέψει γινόμενον ὄψιν τε θεατρικὴν πα- a ρέχει καὶ τῶν προβλημάτων στεγανώτατόν ἐστι πρὸς τοὺς οἰστοὺς ἀπολισθάνοντας. (2) Οἱ μέντοι Πάρθοι τὴν εἰς γόνυ κλίσιν τῶν Ῥωμαίων ἀπαγόρευσιν ἡγούμενοι καὶ κάματον εἶναι, τὰ μὲν τόξα κατέθεντο, τοὺς δὲ κοντοὺς διαλαβόντες ἐγγὺς προσέμιξαν. Οἱ δὲ Ῥωμαῖοι συναλαλάξαντες ἐξαίφνης ἀνέθορον καὶ τοῖς ὑσσοῖς παίοντες ἐκ χειρὸς ἔκτεινάν τε τοὺς πρώτους καὶ τροπὴν ἔθεντο τῶν ἄλλων ἁπάντων. (3) Ἐγίνετο δὲ ταῦτα καὶ ταῖς ἄλλαις ἡμέραις, ἐπὶ μικρὸν ἀνυόντων τῆς ὁδοῦ. Καὶ λιμὸς ἥπτετο τοῦ στρατοῦ σῖτόν τε βραχὺν διὰ μάχης ποριζομένου καὶ τῶν πρὸς ἄλετον σκευῶν οὐκ εὐποροῦντος. Τὰ γὰρ πολλὰ κατελείπετο, τῶν μὲν b ἀποθνησκόντων ὑποζυγίων, τῶν δὲ τοὺς νοσοῦντας καὶ τραυματίας φερόντων. Λέγεται δὲ χοῖνιξ Ἀττικὴ πυρῶν πεντήκοντα δραχμῶν ὤνιος γενέσθαι· τοὺς δὲ κριθίνους ἄρτους πρὸς ἀργύριον ἱστάντες ἀπεδίδοντο. (4) Τραπόμενοι δὲ πρὸς λάχανα καὶ ῥίζας ὀλίγοις μὲν ἐνετύγχανον τῶν συνήθων, ἀναγκαζόμενοι δὲ πειρᾶσθαι καὶ τῶν ἀγεύστων πρότερον, ἥψαντό τινος πόας ἐπὶ θάνατον διὰ μανίας ἀγούσης. Ὁ γὰρ φαγὼν οὐδὲν ἐμέμνητο τῶν ἄλλων οὐδὲ ἐγίνωσκεν, ἓν δ' ἔργον εἶχε, κινεῖν καὶ στρέφειν πάντα λίθον, ὥς τι μεγάλης σπουδῆς ἄξιον διαπραττόμενος. Ἦν δὲ μεστὸν τὸ πεδίον κεκυ- c φότων χαμᾶζε καὶ τοὺς λίθους περιορυττόντων καὶ μεθιστάντων· τέλος δὲ χολὴν ἐμοῦντες ἔθνησκον, ἐπεὶ καὶ τὸ μόνον ἀντιπαθές, οἶνος, ἐξέλιπε. (5) Φθειρομένων δὲ πολλῶν καὶ τῶν Πάρθων οὐκ ἀφισταμένων, πολλάκις ἀναφθέγξασθαι τὸν Ἀντώνιον ἱστοροῦσιν « Ὦ μύριοι, » θαυμάζοντα τοὺς μετὰ Ξενοφῶντος, ὅτι καὶ πλείονα

habere semper solebat, misisset: nam ipse quidem nulli prœlio interfuit. (2) Antonius autem quum statuisset alloqui milites, pullam vestem petiit, ut miserabiliori esset aspectu. Amicis tamen repugnantibus, paludatus processit, orationemque ad milites ita instituit, ut victores laudaret, fugam reliquis exprobraret. Quorum quum illi bono eum esse animo juberent, hi se purgarent et poscerent uti se vel decimaret, vel quovis alio supplicio puniret, indignationis modo et tristitiæ suæ finem faceret, manibus ad cœlum intentis deos comprecatus est, ut, si qua ipsorum invidia pristinam ejus felicitatem ulcisceretur, ea in ipsum verteret, reliquo exercitui incolumitatem tribueret et victoriam.

XLV. Postridie agmine rectius munito perrexerunt. Parthis autem eos adorientibus præter opinionem admodum suam evenit. Existimantes enim non ad pugnam se, verum ad direptionem ire, multis jaculis icti, hostesque fortes et integra alacritate videntes, iterum elanguerunt. Rursum eos a collibus quibusdam acclivibus descendentes adorti sunt, ac tardius procedentes sagittis impetierunt. Ibi gravis armaturæ milites conversi, in medium expeditos receperunt, ipsique in genu subsidentes scuta ante se objecerunt, identidem posteriore suis armis priorem superne tegente. Hæc figura tecto similis, conspectuque mirabilis et firmissimum est contra incidentes sagittas tegmen; delabuntur enim illæ. (2) Ceterum Parthi præ desperatione eos ita et defatigatione genua flexisse rati, positis arcubus contos sumpserunt, atque accurrerunt. Ibi Romani clamore strepituque armorum se mutuo cohortati subito assiliverunt, cominusque ictos pilis primos hostium confoderunt et universos in fugam conjecerunt. (3) Hoc idem reliquis diebus factum, sensimque processum est. Fames autem in castris exstitit, quum et parum frumenti pugnando pararetur et ad molendum instrumenta deessent, quæ relicta erant jumentis partim mortuis, partim ægros et saucios portantibus. Fertur chœnix Attica tritici quinquaginta denariis tum veniisse, hordeaceos panes argenti pondere pari venditos. (4) Conversi ergo ad herbas et radices edendas, paucas earum quas edere usitatum est repererunt, quumque gustare etiam ignotas cogererentur, inciderunt in quandam herbam quæ manducata insaniam et ex ea mortem afferebat. Qui enim edisset eam, nullius rei recordabatur, nihil agnoscebat, unum hoc agebat, ut, tanquam magnopere seriam rem aliquam agens, omnem lapidem moveret. Et oppleti erant campi eorum qui humi proclives saxa effoderent et transferrent; ad extremum bilem vomentes moriebantur, quum, quod unum erat mali ejus remedium, vino carerent. (5) Multis ita pereuntibus, neque tamen Parthis recedentibus, sæpenumero exclamasse Antonium ferunt, O decem millia! admirantem istos Græcos, qui cum

καταβαίνοντες ὁδὸν ἐκ τῆς Βαβυλωνίας καὶ πολλαπλασίοις μαχόμενοι πολεμίοις ἀπεσώθησαν.

XLVI. Οἱ δὲ Πάρθοι διαπλέξαι μὲν οὐ δυνάμενοι τὸν στρατὸν οὐδὲ διασπάσαι τὴν τάξιν, ἤδη δὲ πολλάκις d ἡττημένοι καὶ πεφευγότες, αὖθις εἰρηνικῶς ἀνεμίγνυντο τοῖς ἐπὶ χιλὸν ἢ σῖτον προερχομένοις καὶ τῶν τόξων τὰς νευρὰς ἐπιδεικνύντες ἀνειμένας ἔλεγον, ὡς αὐτοὶ μὲν ἀπίασιν ὀπίσω καὶ τοῦτο ποιοῦνται πέρας ἀμύνης, ὀλίγοι δὲ Μήδων ἀκολουθήσουσιν ἔτι μιᾶς ἢ δευτέρας ὁδὸν ἡμέρας, οὐδὲν παρενοχλοῦντες, ἀλλὰ τὰς ἀπωτέρω κώμας φυλάττοντες. Τούτοις τοῖς λόγοις ἀσπασμοί τε καὶ φιλοφροσύναι προσῆσαν, ὥστε πάλιν τοὺς Ῥωμαίους εὐθαρσεῖς γενέσθαι καὶ τὸν Ἀντώνιον ἀκούσαντα τῶν πεδίων ἐφίεσθαι μᾶλλον, ἀνύδρου λεγομένης εἶναι τῆς διὰ τῶν ὀρῶν. (2) Οὕτω δὲ ποιεῖν μέλλοντος, ἧκεν ἀνὴρ e ἐπὶ τὸ στρατόπεδον ἐκ τῶν πολεμίων ὄνομα Μιθριδάτης, ἀνεψιὸς Μοναίσου τοῦ παρ' Ἀντωνίῳ γενομένου καὶ τὰς τρεῖς πόλεις δωρεὰν λαβόντος. Ἠξίου δὲ αὐτῷ προσελθεῖν τινα Παρθιστὶ διαλεχθῆναι δυνάμενον ἢ Συριστί. Καὶ προσελθόντος Ἀλεξάνδρου τοῦ Ἀντιοχέως, ὃς ἦν Ἀντωνίῳ συνήθης, ὑπειπών, ὃς εἴη, καὶ Μοναίσῃ τὴν χάριν ἀνάπτων, ἠρώτησε τὸν Ἀλέξανδρον, εἰ λόφους συνεχεῖς καὶ ὑψηλοὺς ὁρᾷ πρόσωθεν. Φήσαντος δὲ ὁρᾶν, « Ὑπ' ἐκείνοις, ἔφη, πανστρατιᾷ Πάρθοι λοχῶσιν f ὑμᾶς. Τὰ γὰρ μεγάλα πεδία τῶν λόφων τούτων ἐξήρτηται καὶ προσδοκῶσιν ὑμᾶς ἐξηπατημένους ὑπ' αὐτῶν ἐνταῦθα τρέψεσθαι τὴν διὰ τῶν ὀρῶν ἀπολιπόντας. Ἐκείνη μὲν οὖν ἔχει δίψος καὶ πόνον ὑμῖν συνήθη, ταύτῃ δὲ χωρῶν Ἀντώνιος ἴστω τὰς Κράσσου τύχας αὐτὸν ἐκδεχομένας. »

XLVII. Ὁ μὲν οὕτω φράσας ἀπῆλθεν· Ἀντώνιος δὲ ἀκούσας καὶ διαταραχθεὶς συνεκάλει τοὺς φίλους καὶ τὸν ἡγεμόνα τῆς ὁδοῦ Μάρδον οὐδὲ αὐτὸν ἄλλως φρο-
938 νοῦντα. Καὶ γὰρ ἄνευ πολεμίων ἐγίνωσκε τὰς διὰ τῶν a πεδίων ἀνοδίας καὶ πλάνας χαλεπὰς καὶ δυστεκμάρτους οὔσας, τὴν δὲ τραχεῖαν ἀπέφαινεν οὐδὲν ἄλλο δυσχερὲς ἢ μιᾶς ἡμέρας ἀνυδρίαν ἔχουσαν. Οὕτω δὴ τραπόμενος ταύτην ἦγε νυκτὸς ὕδωρ ἐπιφέρεσθαι κελεύσας. Ἀγγείων δὲ ἦν ἀπορία τοῖς πολλοῖς· διὸ καὶ τὰ κράνη πιμπλάντες ὕδατος ἐκόμιζον, οἱ δὲ διφθέραις ὑπολαμβάνοντες. (2) Ἤδη δὲ προχωρῶν ἀγγέλλεται τοῖς Πάρθοις· καὶ παρὰ τὸ εἰωθὸς ἔτι νυκτὸς ἐδίωκον. Ἡλίου δὲ ἀνίσχοντος ἥπτοντο τῶν ἐσχάτων ἀγρυπνίᾳ καὶ πόνῳ κακῶς διακειμένων. Τεσσαράκοντα γὰρ καὶ διακοσίους ἐν τῇ νυκτὶ σταδίους κατηνύκεισαν· καὶ τὸ μὴ προσδοκῶσιν οὕτω ταχέως ἐπελθεῖν τοὺς πολεμίους ἀθυμίαν παρεῖχε. Καὶ τὸ δίψος ἐπέτεινεν ὁ ἀγών· b ἀμυνόμενοι γὰρ ἅμα προῆγον. (3) Οἱ δὲ πρῶτοι βαδίζοντες ἐντυγχάνουσι ποταμῷ ψυχρὸν μὲν ἔχοντι καὶ διαυγές, ἁλμυρὸν δὲ καὶ φαρμακῶδες ὕδωρ, ὃ ποθὲν εὐθὺς ὀδύνας ἑλκομένης τῆς κοιλίας καὶ τοῦ δίψους ἀναφλεγομένου παρεῖχε. Καὶ ταῦτα τοῦ Μάρδου προλέγοντος, οὐδὲν ἧττον ἐκβιαζόμενοι τοὺς ἀνείργοντας ἔπινον. Ἀντώνιος δὲ περιιὼν ἐδεῖτο βραχὺν ἐγκαρτερῆσαι

Xenophonte a Babylone longiori itinere profecti et cum ingentibus hostium copiis luctati, incolumes evaserant.

XLVI. Enimvero Parthi quum divellere a se exercitum Romanorum ordinesque disjicere nequirent, sæpe jam victi et fugati, rursus tanquam in pace eos qui frumentatum essent aut pabulatum missi adiverunt, laxatosque arcuum nervos ostendentes, dixerunt se jam retro abire, et finem hic ipsos ulciscendi facere, paucos tantum Medos unius aut alterius diei spatio secuturos non vexandi causa, sed qui remotiores pagos custodirent. Additæ his verbis consalutationes et amica colloquia, ita ut Romani bonam rursus fiduciam conciperent, et Antonius hisce auditis statueret se campis committere, quod montana dicerentur aquæ expertia. (2) Quum hæc sententia staret, vir quidam ab hostibus ad castra venit, nomine Mithridates, consobrinus Monæsis ejus, qui ad Antonium confugerat et ab eo tribus urbibus donatus fuerat. Is postulavit ut aliquis ad se Parthici vel Syriaci sermonis gnarus procederet. Quumque Alexander Antiochensis, unus de Antonii familiaribus, prodiisset, præfatus quis esset, et se pro Monæsi gratiam referre, quæsivit ex Alexandro, ecquid ante se continentes et sublimes cerneret colles. Affirmanti, Sub iis, inquit, collibus Parthorum universus exercitus vobis insidiatur, sperantque vos ipsorum verbis deceptos montana relicturos et eo perrecturos. Montanum quidem iter sitim et laborem, quæ ferre consuevistis, objicit, sed altera via ingrediens Antonius sciat Crassi fortunam se manere.

XLVII. His dictis abiit. Antonius autem perturbatus eo indicio, amicos et ducem itineris Mardum ea de re consuluit, cujus quidem plane eadem erat sententia. Nam etiamsi hostis non monuisset, noverat iter per campos ambiguum ac difficiles errores esse, in aspera autem illa nihil præter unius diei sitim molestiæ futurum. Eam igitur noctu Antonius ingressus est, jussitque aquam una portari, quum autem plerosque vasa deficerent, galeis eam et vestibus pelliceis excipiebant. (2) Sed Parthi, quibus nuntiabatur eum jam procedere, præter morem suum noctu fugientes insecuti, sole oriente agmen novissimum adorti sunt, Romanis ob vigilias et laborem male affectis. Ducenta etiam et quadraginta stadia ea nocte confecerant. Insperatus etiam hostium adventus animos eorum perturbabat; et sitim certamen augebat, quum inter pugnandum procederent. (3) Qui primi ibant, ad fluvium pervenerunt, cujus aqua frigida quidem et pellucida erat, salsa tamen et venenosa; nam bibentibus et statim tormina ventris ciebat, sitimque intendebat. Quæ tametsi Mardus prædixisset, milites tamen, remotis vi iis qui ad arcendos eos potu constituti erant, biberunt. Ibi Antonius circuire, suos orare,

χρόνον· ἕτερον γὰρ οὐ πόῤῥω ποταμὸν εἶναι πότιμον· εἶτα τὴν λοιπὴν ἄφιππον καὶ τραχεῖαν, ὥστε παντάπασιν ἀποστρέψασθαι τοὺς πολεμίους. Ἅμα δὲ καὶ τοὺς μαχομένους ἀνεκαλεῖτο καὶ κατάζευξιν ἐσήμαινεν, c ὡς σκιᾶς γοῦν μεταλάβοιεν οἱ στρατιῶται.

XLVIII. Πηγνυμένων οὖν τῶν σκηνῶν καὶ τῶν Πάρθων εὐθὺς, ὥσπερ εἰώθεισαν, ἀπαλλαττομένων, ἧκεν αὖθις ὁ Μιθριδάτης, καὶ τοῦ Ἀλεξάνδρου προσελθόντος, παρῄνει μικρὸν ἡσυχάσαντα τὸν στρατὸν ἀνιστάναι καὶ σπεύδειν ἐπὶ τὸν ποταμὸν, ὡς οὐ διαβησομένων τῶν Πάρθων, ἄχρι δὲ ἐκείνου διωξόντων. Ταῦτα ἀπαγγείλας πρὸς Ἀντώνιον Ἀλέξανδρος ἐκφέρει παρ' αὐτοῦ χρυσᾶ ποτήρια πάμπολλα καὶ φιάλας, ὧν ἐκεῖνος, ὅσα τῇ ἐσθῆτι καταχρύψαι δυνατὸς ἦν, λαβὼν ἀπήλαυνεν. (2) Ἔτι δὲ ἡμέρας οὔσης ἀναζεύξαντες ἐπορεύοντο, τῶν πολεμίων οὐ παρενοχλούντων, αὐτοὶ δὲ d ἑαυτοῖς νύκτα χαλεπωτάτην πασῶν ἐκείνην καὶ φοβερωτάτην ἀπεργασάμενοι. Τοὺς γὰρ ἔχοντας ἀργύριον ἢ χρυσίον ἀποκτιννύντες ἐσύλων καὶ τὰ χρήματα τῶν ὑποζυγίων ἀφήρπαζον· τέλος δὲ τοῖς Ἀντωνίου σκευοφόροις ἐπιχειρήσαντες ἐκπώματα καὶ τραπέζας πολυτελεῖς κατέκοπτον καὶ διενέμοντο. Θορύβου δὲ πολλοῦ καὶ πλάνου τὸ στράτευμα πᾶν ἐπέχοντος (ᾤοντο γὰρ ἐπιπεπτωκότων τῶν πολεμίων τροπὴν γεγονέναι καὶ διασπασμόν), Ἀντώνιος ἕνα καλέσας τῶν δορυφορούντων αὐτὸν ἀπελευθέρων ὄνομα Ῥάμνον ὥρκωσεν, ὅταν κελεύσῃ, τὸ ξίφος αὐτοῦ διεῖναι καὶ τὴν κεφαλὴν e ἀποτεμεῖν, ὡς μήτε ἁλῴη ζῶν ὑπὸ τῶν πολεμίων μήτε γνωσθείη τεθνηκώς. (3) Ἐκδακρυσάντων δὲ τῶν φίλων, ὁ Μάρδος ἐθάῤῥυνε τὸν Ἀντώνιον, ὡς ἐγγὺς ὄντος τοῦ ποταμοῦ· καὶ γὰρ αὔρα τις ἀποῤῥέουσα νοτερὰ καὶ ψυχρότερος ἀὴρ ἀπαντῶν ἡδίω τὴν ἀναπνοὴν ἐποίει, καὶ τὸν χρόνον ἔφη τῆς πορείας οὕτω συμπεραίνειν τὸ μέτρον· οὐκέτι γὰρ ἦν πολὺ τὸ λειπόμενον τῆς νυκτός. Ἅμα δ' ἀπήγγελλον ἕτεροι τὸν θόρυβον ἐκ τῆς πρὸς αὑτοὺς ἀδικίας καὶ πλεονεξίας εἶναι. Διὸ καὶ καταστῆσαι τὸ πλῆθος εἰς τάξιν ἐκ τῆς πλάνης καὶ τοῦ διασπασμοῦ βουλόμενος ἐκέλευσε σημαίνειν κατάζευξιν. f

XLIX. Ἤδη δ' ὑπέλαμπεν ἡ ἡμέρα, καὶ τοῦ στρατοῦ κόσμον ἀρχομένου τινὰ λαμβάνειν καὶ ἡσυχίαν, προσέπιπτε τοῖς τελευταίοις τὰ τῶν Πάρθων τοξεύματα 939 καὶ μάχης σημεῖον ἐδόθη τοῖς ψιλοῖς. Οἱ δὲ ὁπλῖται a πάλιν ὁμοίως κατερέψαντες ἀλλήλους τοῖς θυρεοῖς ὑπέμενον τοὺς βάλλοντας ἐγγὺς οὐ τολμῶντας συνελθεῖν. Ὑπαγόντων δὲ κατὰ μικρὸν οὕτως τῶν πρώτων, ὁ ποταμὸς ἐφάνη· καὶ τοὺς ἱππεῖς ἐπ' αὐτῷ παρατάξας Ἀντώνιος ἐναντίους τοῖς πολεμίοις διεβίβαζε τοὺς ἀσθενεῖς πρώτους. Ἤδη δὲ καὶ τοῖς μαχομένοις ἄδεια καὶ ῥᾳστώνη τοῦ πιεῖν ἦν. Ὡς γὰρ εἶδον οἱ Πάρθοι τὸν ποταμὸν, τάς τε νευρὰς ἀνῆκαν καὶ θαῤῥοῦντας ἐκέλευον διαπερᾶν τοὺς Ῥωμαίους, πολλὰ τὴν ἀρετὴν αὐτῶν ἐγκωμιάζοντες. Διαβάντες οὖν καθ' ἡσυχίαν αὑτοὺς ἀνελάμβανον, εἶτα ὥδευον οὐ πάνυ τι τοῖς Πάρθοις πιστεύοντες. (2) Ἕκτῃ δ' ἡμέρᾳ μετὰ τὴν b

ut paulisper adhuc durarent, prope alium esse amnem, cetera deinde aspera et equitatui invia, omninoque hostes ibi aversum iri. Simul et receptui cecinit, et castra faciendi signum dedit, ut umbra saltem milites reficeret.

XLVIII. Tabernaculis jam factis Parthisque more suo statim digressis, iterum Mithridates venit, et Alexandro ad se progresso, monuit ut, quum paululum quievissent Romani, ad flumen propere contenderent: eo usque enim Parthos insecuturos, neque amnem transituros. Hæc quum Antonius de Alexandro cognovisset, per eundem Mithridati multa aurea pocula et pateras dono mittit; iis quæ veste tegere posset sumptis, abiit. (2) Durante itaque adhuc die castra moverunt et nullo hoste infestante profecti, noctem eam ipsi sibi omnium difficillimam et formidolosissimam reddiderunt. Argentum enim aurumve habentes occiderunt et spoliaverunt, sarcinas jumentorum diripuerunt, denique Antonii etiam impedimenta aggressi, pocula et mensas pretiosas disciderunt, atque inter se distribuerunt. Trepidatione inde et confusione per totum exercitum coorta, quod hostes irrupisse et ordines dissipasse putarent, Antonius quendam libertorum suorum ac stipatorum Rhamnum vocavit et juramento sibi obstrinxit, ut jussus statim ipsum confoderet et caput amputaret, ne vel vivus in potestatem hostium veniret, vel mortuus agnosceretur. (3) Flentibus ad hoc amicis, Mardus Antonium consolatus est, prope fluvium perventum affirmans: id se et ex temporis ratione ejus itineris cognoscere (parum enim de nocte erat reliquum) et ex aura, quæ humidior et frigidior afflans, respirationem jucundiorem efficiebat. Simul et alii retulerunt, tumultum hunc militum injuriis mutuis atque avaritia excitatum. Quare Antonius ut a vagatione ista et dissipatione exercitum in ordinem revocaret, castrametationis signum edi jussit.

XLIX. Jam albescente cœlo quum exercitus in ordinem rediret et tumultus consedisset, ultimis Parthicæ sagittæ acciderunt. Statim pugnæ signum levis armaturæ militibus datum. Legionarii testudine, ut ante, facta Parthorum tela exceperunt, cominus pugnare non audentium. Ita paulatim primis progredientibus fluvius apparuit; et Antonius equitatum in ripa hostibus opponens, primo omnium infirmos traduxit. Jam et pugnantibus tuto bibere licebat. Nam Parthi ut fluvium conspexerunt, nervos arcuum remiserunt et Romanos intrepide transire jusserunt, multis verbis virtutem eorum laudantes. Amne ita tranquille superato, quum se aliquantulum collegissent, haud plane Parthis fidem habentes perrexerunt. (2) Sexta quam postremo

τελευταίαν μάχην ἐπὶ τὸν Ἀράξην ποταμὸν ἧκον ὁρίζοντα Μηδίαν καὶ Ἀρμενίαν. Ἐφάνη δὲ καὶ βάθει καὶ τραχύτητι χαλεπός· καὶ λόγος διῆλθεν ἐνεδρεύοντας αὐτόθι τοὺς πολεμίους ἐπιθήσεσθαι διαβαίνουσιν αὐτοῖς. Ἐπεὶ δὲ ἀσφαλῶς διαπεράσαντες ἐπέβησαν τῆς Ἀρμενίας, ὥσπερ ἄρτι γῆν ἐκείνην ἰδόντες ἐκ πελάγους, προσεκύνουν καὶ πρὸς δάκρυα καὶ περιβολὰς ἀλλήλων ὑπὸ χαρᾶς ἐτρέποντο. Προϊόντες δὲ διὰ χώρας εὐδαίμονος καὶ χρώμενοι πᾶσιν ἀνέδην ἐκ πολλῆς ἀπορίας ὑδερικοῖς καὶ κοιλιακοῖς περιέπιπτον ἀρρωστήμασιν. C

L. Ἐνταῦθα ποιησάμενος ἐξέτασιν αὐτῶν Ἀντώνιος εὗρε δισμυρίους πεζοὺς καὶ τετρακισχιλίους ἱππεῖς ἀπολωλότας, οὐ πάντας ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὲρ ἡμίσεις νοσήσαντας. Ὥδευσαν μὲν οὖν ἀπὸ Φραάτων ἡμέρας ἑπτὰ καὶ εἴκοσι, μάχαις δὲ ὀκτὼ καὶ δέκα Πάρθους ἐνίκησαν, αἱ δὲ νῖκαι κράτος οὐκ εἶχον οὐδὲ βεβαιότητα, μικρὰς ποιουμένων καὶ ἀτελεῖς τὰς διώξεις. Ὃ καὶ μάλιστα κατάδηλος ἦν Ἀρταουάσδης ὁ Ἀρμένιος Ἀντώνιον ἐκείνου τοῦ πολέμου τὸ τέλος ἀφελόμενος. Εἰ γὰρ οὓς ἀπήγαγεν ἐκ Μηδίας ἱππεῖς ἑξακισχιλίους [καὶ μυρίους] παρῆσαν ἐσκευασμένοι παραπλησίως Πάρθοις καὶ συνήθεις μάχεσθαι πρὸς d αὐτούς, Ῥωμαίων μὲν τοὺς μαχομένους τρεπομένων, ἐκείνων δὲ τοὺς φεύγοντας αἱρούντων, οὐκ ἂν ὑπῆρξεν αὐτοῖς ἡττωμένοις ἀναφέρειν καὶ ἀνατολμᾶν τοσαυτάκις. (2) Ἅπαντες οὖν ὀργῇ παρώξυνον ἐπὶ τὴν τιμωρίαν τοῦ Ἀρμενίου τὸν Ἀντώνιον. Ὁ δὲ λογισμῷ χρησάμενος οὔτε ἐμέμψατο τὴν προδοσίαν οὔτε ἀφεῖλε τῆς συνήθους φιλοφροσύνης καὶ τιμῆς πρὸς αὐτὸν ἀσθενὴς τῷ στρατῷ καὶ ἄπορος γεγονώς. Ὕστερον μέντοι πάλιν ἐμβαλὼν εἰς Ἀρμενίαν καὶ πολλαῖς ὑποσχέσεσι καὶ προκλήσεσι πείσας αὐτὸν ἐλθεῖν εἰς χεῖρας συνέλαβε καὶ δέσμιον καταγαγὼν εἰς Ἀλεξάνδρειαν ἐθριάμ- e βευσεν. Ὃ μάλιστα Ῥωμαίους ἐλύπησεν, ὡς τὰ καλὰ καὶ σεμνὰ τῆς πατρίδος Αἰγυπτίοις διὰ Κλεοπάτραν χαριζομένου. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη.

LI. Τότε δὲ διὰ πολλοῦ χειμῶνος ἤδη καὶ νιφετῶν ἀπαύστων ἐπειγόμενος ὀκτακισχιλίους ἀπέβαλε καθ' ὁδόν. Αὐτὸς δὲ καταβὰς ὀλιγοστὸς ἐπὶ θάλασσαν ἐν χωρίῳ τινὶ μεταξὺ Βηρυτοῦ κειμένῳ καὶ Σιδῶνος, Λευκὴ κώμη καλεῖται, Κλεοπάτραν περιέμενε· καὶ βραδυνούσης ἀδημονῶν ἤλυε, ταχὺ μὲν εἰς τὸ πίνειν καὶ μεθύσκεσθαι διδοὺς ἑαυτὸν, οὐ καρτερῶν δὲ κατακείμενος, ἀλλὰ μεταξὺ πινόντων ἀνιστάμενος καὶ ἀναπηδῶν f πολλάκις ἐπισκοπεῖν, ἕως ἐκείνη κατέπλευσεν ἐσθῆτα πολλὴν καὶ χρήματα κομίζουσα τοῖς στρατιώταις. Εἰσὶ δὲ οἱ λέγοντες ὅτι τὴν μὲν ἐσθῆτα παρ' ἐκείνης λαβὼν, τὸ δὲ ἀργύριον ἐκ τῶν ἰδίων ἑαυτοῦ διένειμεν, ὡς ἐκείνης διδούσης.

940 LII. Τῷ δὲ βασιλεῖ τῶν Μήδων γίνεται διαφορὰ a πρὸς Φραάτην τὸν Πάρθον, ἀρξαμένη μέν, ὥς φασιν, ὑπὲρ τῶν Ῥωμαϊκῶν λαφύρων, ὑπόνοιαν δὲ τῷ Μήδῳ καὶ φόβον ἀφαιρέσεως τῆς ἀρχῆς παρασχοῦσα. Διὸ

pugnatum fuit die ad Araxem pervenerunt, qui fluvius Mediam ab Armenia dividit. Apparebat autem et altior et rapidior, quam ut transiri facile posset, rumorque ferebatur, ibi hostes eos transgredientes ex insidiis adorturos. Postquam hunc quoque tuto superarunt et in Armenia pedem posuerunt, ibi vero tanquam e mari terram eam primum conspexissent, osculati solum præ gaudio sunt, et ad lacrimas mutuosque complexus versi. Proficiscentes autem per regionem felicem et post diuturnam penuriam omnibus affatim perfruentes, in hydropicos et cœliacos morbos inciderunt.

L. Ibi Antonius exercitum recensens, viginti peditum, quattuor equitum millia desideravit, quorum major dimidio pars non ab hostibus, sed morbis absumpta fuerat. Vigesimis septimis castris a Phraatis in Armeniam perventum est, Parthos octodecim pugnis vicerunt. Verum hæ victoriæ inconstantes inefficacesque fuere, quod parum neque satis acriter insequi hostem potuerant. Quo potissimum argumento patuit, per Artavasdem stetisse quominus Antonius victoriæ finem imponeret. Si enim Antonio sex ista millia equitum, quos duxerat ex Media Artavasdes Parthico more armatos et cum illis pugnare assuetos, affuissent, fusosque a Romanis insequendo necassent Parthos : haud utique toties superatis redintegrare bellum licuisset. (2) Eam ob rem omnes Armenio infensi, Antonium ad supplicium de eo sumendum stimulabant. Sed Antonius, quod et infirmum haberet exercitum et omnium rerum esset egens, prudenti consilio neque expostulavit cum eo ob proditionem, neque de familiaritate et solito honore quicquam diminuit. Sed post iterum in Armeniam profectus eum multis conditionibus atque promissis ad se pertractum, captivum Alexandriam in triumpho duxit. Quo quidem facto gravissime offendit Romanos, qui ornamentum majestatemque patriæ cum Ægyptiis propter Cleopatram communicaret. Verum hæc post.

LI. Tum vero adulta jam hieme per assiduas nives properans, octo millia hominum in itinere amisit. Ipse cum paucis ad mare descendens, in castello quodam Berytum et Sidonem interjacente, cui nomen Albus pagus, Cleopatram exspectavit; eaque moras trahente, animi æger statim potationibus et ebrietati se dedit, neque tamen sustinuit desiderium, sed inter pocula sæpenumero exsiluit, visum quando illa appelleret. Tandem advecta multam vestem et pecuniam militibus attulit; tametsi sunt qui dicant Antonium vestes ab ipsa accepisse, pecuniam a se, velut ipsa suppeditante, dedisse.

LII. Inter regem vero Medorum et Phraaten Parthum eo tempore dissidium exstitit, de spoliis quidem Romanis, ut fertur, sed tale, ut metueret sibi Medus, ne regnum sibi Parthus adimeret. Itaque missis nuntiis Antonium ad belli

καὶ πέμπων ἐκάλει τὸν Ἀντώνιον ἐπαγγελλόμενος συμπολεμήσειν μετὰ τῆς ἑαυτοῦ δυνάμεως. Γενόμενος οὖν ἐπ' ἐλπίδος μεγάλης ὁ Ἀντώνιος (ᾧ γὰρ ἐδόκει μόνῳ τοῦ κατειργάσθαι Πάρθους ἀπολιπεῖν ἱππέων πολλῶν καὶ τοξοτῶν ἐνδεὴς ἐλθὼν, τοῦτο ἑώρα προσγινόμενον αὐτῷ χαριζομένῳ μᾶλλον ἢ δεομένῳ) παρεσκευάζετο δι' Ἀρμενίας αὖθις ἀναβαίνειν καὶ συγγενόμενος τῷ Μήδῳ περὶ ποταμὸν Ἀράξην οὕτω κινεῖν τὸν πόλεμον.

LIII. Ἐν δὲ Ῥώμῃ βουλομένης Ὀκταουίας πλεῦσαι πρὸς Ἀντώνιον, ἐπέτρεψε Καῖσαρ, ὡς οἱ πλείους b λέγουσιν, οὐκ ἐκείνῃ χαριζόμενος, ἀλλ' ὅπως περιυβρισθεῖσα καὶ καταμεληθεῖσα πρὸς τὸν πόλεμον αἰτίαν εὐπρεπῆ παράσχοι. Γενομένη δὲ ἐν Ἀθήναις ἐδέξατο γράμματα παρὰ Ἀντωνίου κελεύοντος αὐτόθι προσμένειν καὶ τὰ περὶ τὴν ἀνάβασιν δηλοῦντος. Ἡ δὲ, καίπερ ἀχθομένη καὶ νοοῦσα τὴν πρόφασιν, ὅμως ἔγραψε πυνθανομένη ποῖ κελεύει πεμφθῆναι τὰ κομιζόμενα πρὸς αὐτόν. (2) Ἐκόμιζε δὲ πολλὴν μὲν ἐσθῆτα στρατιωτικὴν, πολλὰ δὲ ὑποζύγια καὶ χρήματα καὶ δῶρα τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις· ἐκτὸς δὲ τούτων στρατιώτας ἐπιλέκτους δισχιλίους εἰς στρατηγικὰς σπείρας κεκοσμημένους ἐκπρεπέσι πανοπλίαις. c Ταῦτα Νίγρος τις Ἀντωνίου φίλος ἀποσταλεὶς παρ' αὐτῆς ἔφραζε καὶ προσετίθει τοὺς ἀξίους καὶ πρέποντας ἐπαίνους. (3) Αἰσθομένη δὲ ἡ Κλεοπάτρα τὴν Ὀκταουίαν ὁμόσε χωροῦσαν αὐτῇ, καὶ φοβηθεῖσα μὴ τοῦ τρόπου τῇ σεμνότητι καὶ τῇ Καίσαρος δυνάμει προσκτησαμένη τὸ καθ' ἡδονὴν ὁμιλεῖν καὶ θεραπεύειν Ἀντώνιον ἄμαχος γένηται καὶ κρατήσῃ παντάπασι τοῦ ἀνδρὸς, ἐρᾶν αὐτὴ προσεποιεῖτο τοῦ Ἀντωνίου καὶ τὸ σῶμα λεπταῖς καθῄρει διαίταις· τὸ δὲ βλέμμα προσιόντος ἐκπεπληγμένον, ἀπερχομένου δὲ τηκόμενον καὶ ταπεινούμενον ὑπεφαίνετο. Πραγματευομένη δὲ πολ- d λάκις ὀφθῆναι δακρύουσα ταχὺ τῶν δακρύων ἀφῄρει καὶ ἀπέκρυπτεν, ὡς δὴ βουλομένη λανθάνειν ἐκεῖνον. Ἐπράττετο δὲ ταῦτα μέλλοντος τοῦ ἀνδρὸς ἐκ Συρίας ἀναβαίνειν πρὸς τὸν Μῆδον. (4) Οἱ δὲ κόλακες σπουδάζοντες ὑπὲρ αὐτῆς ἐλοιδόρουν τὸν Ἀντώνιον, ὡς σκληρὸν καὶ ἀπαθῆ καὶ παραπολλύντα γύναιον εἰς ἕνα καὶ μόνον ἐκεῖνον ἀνηρτημένον. Ὀκταουίαν μὲν γὰρ πραγμάτων ἕνεκα διὰ τὸν ἀδελφὸν συνελθεῖν καὶ τὸ τῆς γαμετῆς ὄνομα καρποῦσθαι· Κλεοπάτραν δὲ τοσούτων ἀνθρώπων βασιλεύουσαν ἐρωμένην Ἀντωνίου καλεῖσθαι καὶ τοὔνομα τοῦτο μὴ φεύγειν μηδ' ἀπαξιοῦν, ἕως e ὁρᾶν ἐκεῖνον ἔξεστι καὶ συζῆν, ἀπελαυνομένην δὲ τούτου μὴ περιβιώσεσθαι. (5) Τέλος δ' οὖν οὕτω τὸν ἄνθρωπον ἐξέτηξαν καὶ ἀπεθήλυναν, ὥστε δείσαντα, μὴ Κλεοπάτρα πρόηται τὸν βίον, εἰς Ἀλεξάνδρειαν ἐπανελθεῖν, τὸν δὲ Μῆδον εἰς ὥραν ἔτους ἀναβαλέσθαι, καίπερ ἐν στάσει τῶν Παρθικῶν εἶναι λεγομένων. Οὐ μὴν ἀλλὰ τοῦτον μὲν ἀναβὰς αὖθις εἰς φιλίαν προσηγάγετο καὶ λαβὼν ἑνὶ τῶν ἐκ Κλεοπάτρας υἱῶν γυναῖκα μίαν αὐτοῦ τῶν θυγατέρων ἔτι μικρὰν οὖσαν ἐγγυήσας

Parthici societatem invitavit. Hic Antonius in magnam spem erectus (etenim equitum et sagittariorum, quorum defectus ei ante obfuerat ne Parthos domaret, magnam multitudinem sibi non petenti ultro offerri beneficium postulato videbat), ita se comparabat, ut rursus per Armeniam profectus, et apud Araxem fluvium cum Medo conjunctus, bellum Parthis inferret.

LIII. Interim Octaviæ ad maritum navigare cupienti Cæsar permisit, non tam ut sorori gratificaretur, quam ut ea contumeliose ab Antonio tractata et spreta, occasionem sibi belli honestam pararet; ita enim quidam affirmant. Octavia quum Athenas pervenisset, literas ab Antonio accepit, quibus eam ibi manere jubebat et de expeditione sua docebat. Illa tametsi doleret et prætextum sentiret, missis tamen literis percontata est, quo mitti vellet dona sibi ab ipsa allata. (2) Afferebat autem multam vestem militarem, multa jumenta, pecunias et dona ducibus ejus atque amicis; præterea delectorum militum duo millia, ad cohortes prætorias constituendas pulcherrime armis instructos. Hæc Niger quidam Antonii amicus ab ea missus indicabat, et verbis dignis munera commendabat. (3) At vero Cleopatra se ab Octavia oppugnari sentiens, verita ne gravitati morum ea et Cæsaris potentiæ studium gratificandi et demerendi maritum adjungens, insuperabilis esset eumque plane in suam potestatem redigeret: Antonio jam ex Syria discessum parante, amore ejus ægram se simulare, corpus tenui victu macerare, vultum eo accedente attonitum, abeunte languidum et dejectum ostendere, machinari ut sæpe lacrimantem se videret ille, tum celeriter lacrimas abolere et abscondere, tanquam si celare eum cuperet. (4) Tum assentatores reginæ studiosi Antonium increpare, durum et saxeum appellare, qui mulierculam ab ipso solo pendentem pessumdaret. Octaviam scilicet ei propter fratrem et res tenendas conjunctam, uxoris nomine perfrui; Cleopatram tot hominum reginam amasiam Antonii vocari neque id tamen nomen detrectare, dum aspicere illum et vivere sibi cum ipso liceat, neque victuram illo avulso. (5) Quid multa? ita ad extremum emollierunt effeminaruntque hominem, ut, ne projiceret vitam Cleopatra metuens, Alexandriam redierit, Medo in æstatem rejecto, tametsi tum res Parthicæ seditionibus agitari ferrentur. Postea tamen ad Medum se contulit, atque amicitiam cum eo junxit et affinitatem, filio Cleo-

ἐπανῆλθεν ἤδη πρὸς τὸν ἐμφύλιον πόλεμον τετραμμένος.

LIV. Ὀκταουίαν δὲ Καῖσαρ ὑβρίσθαι δοκοῦσαν, ὡς ἐπανῆλθεν ἐξ Ἀθηνῶν, ἐκέλευσε καθ' ἑαυτὴν οἰκεῖν. f Ἡ δὲ οὐκ ἔφη τὸν οἶκον ἀπολείψειν τοῦ ἀνδρὸς, ἀλλὰ κἀκεῖνον αὐτὸν, εἰ μὴ δι' ἑτέρας αἰτίας ἔγνωκε πολεμεῖν Ἀντωνίῳ, παρεκάλει τὰ καθ' ἑαυτὴν ἐᾶν, ὡς οὐδὲ ἀκοῦσαι καλὸν, εἰ τῶν μεγίστων αὐτοκρατόρων ὁ μὲν δι' ἔρωτα γυναικὸς, ὁ δὲ διὰ ζηλοτυπίαν εἰς ἐμφύλιον πόλεμον Ῥωμαίους κατέστησε. (2) Ταῦτα δὲ λέγουσα
94 μᾶλλον ἐβεβαίου δι' ἔργων. Καὶ γὰρ ᾤκει τὴν οἰκίαν, a ὥσπερ αὐτοῦ παρόντος ἐκείνου, καὶ τῶν τέκνων οὐ μόνον τῶν ἐξ ἑαυτῆς, ἀλλὰ καὶ τῶν ἐκ Φουλβίας γεγονότων καλῶς καὶ μεγαλοπρεπῶς ἐπεμελεῖτο· καὶ τοὺς πεμπομένους ἐπὶ ἀρχάς τινας ἢ πράγματα τῶν Ἀντωνίου φίλων ὑποδεχομένη συνέπραττεν ὧν παρὰ Καίσαρος δεηθεῖεν. (3) Ἄκουσα δὲ ἔβλαπτε διὰ τούτων Ἀντώνιον· ἐμισεῖτο γὰρ ἀδικῶν γυναῖκα τοιαύτην. Ἐμισήθη δὲ καὶ διὰ τὴν διανέμησιν, ἣν ἐποιήσατο τοῖς τέκνοις ἐν Ἀλεξανδρείᾳ, τραγικὴν καὶ ὑπερήφανον καὶ μισορρώμαιον φανεῖσαν. Ἐμπλήσας γὰρ ὄχλου b τὸ γυμνάσιον καὶ θέμενος ἐπὶ βήματος ἀργυροῦ δύο θρόνους χρυσοῦς, τὸν μὲν ἑαυτῷ, τὸν δὲ Κλεοπάτρᾳ, καὶ τοῖς παισὶν ἑτέρους ταπεινοτέρους, πρῶτον μὲν ἀπέφηνε Κλεοπάτραν βασίλισσαν Αἰγύπτου καὶ Κύπρου καὶ κοίλης Συρίας, συμβασιλεύοντος αὐτῇ Καισαρίωνος, ὃς ἐκ Καίσαρος ἐδόκει τοῦ προτέρου γεγονέναι Κλεοπάτραν ἔγκυον καταλιπόντος· δεύτερον δὲ τοὺς ἐξ αὐτοῦ καὶ Κλεοπάτρας υἱοὺς βασιλεῖς βασιλέων ἀναγορεύσας Ἀλεξάνδρῳ μὲν Ἀρμενίαν ἀπένειμε καὶ Μηδίαν καὶ τὰ Πάρθων, ὅταν ὑπαγάγηται, Πτολεμαίῳ δὲ Φοινίκην καὶ Συρίαν καὶ Κιλικίαν. (4) Ἅμα δὲ καὶ προήγαγε τῶν παίδων Ἀλέξανδρον μὲν ἐσθῆτι Μηδικῇ c τιάραν καὶ κίταριν ὀρθὴν ἐχούσῃ, Πτολεμαῖον δὲ κρηπῖσι καὶ χλαμύδι καὶ καυσίᾳ διαδηματοφόρῳ κεκοσμημένον· αὕτη γὰρ ἦν σκευὴ τῶν ἀπ' Ἀλεξάνδρου βασιλέων, ἐκείνη δὲ Μήδων καὶ Ἀρμενίων. Ἀσπασαμένων δὲ τῶν παίδων τοὺς γονεῖς τὸν μὲν Ἀρμενίων φυλακὴ περιίστατο, τὸν δὲ Μακεδόνων. Κλεοπάτρα μὲν γὰρ καὶ τότε καὶ τὸν ἄλλον χρόνον εἰς πλῆθος ἐξιοῦσα στολὴν [ἑτέραν] ἱερὰν Ἴσιδος ἐλάμβανε καὶ νέα Ἶσις ἐχρημάτιζε.

LV. Ταῦτα δ' εἰς σύγκλητον ἐκφέρων Καῖσαρ καὶ πολλάκις ἐν τῷ δήμῳ κατηγορῶν παρώξυνε ἐπ' Ἀντώνιον. Ἔπεμπε δὲ καὶ Ἀντώνιος ἀντεγκαλῶν ἐκείνῳ. d Μέγιστα δ' ἦν ὧν ἐνεκάλει, πρῶτον μὲν, ὅτι Πομπηίου Σικελίαν ἀφελόμενος οὐκ ἔνειμε μέρος αὐτῷ τῆς νήσου· δεύτερον, ὅτι χρησάμενος ναῦς παρ' αὐτοῦ πρὸς τὸν πόλεμον ἀπεστέρησε· τρίτον, ὅτι τὸν συνάρχοντα Λέπιδον ἐκβαλὼν τῆς ἀρχῆς καὶ ποιήσας ἄτιμον αὐτὸς ἔχει στρατὸν καὶ χώραν καὶ προσόδους τὰς ἐκείνῳ προσνεμηθείσας· ἐπὶ πᾶσιν, ὅτι τοῖς αὐτοῦ στρατιώταις ἅπασαν ὀλίγου δεῖν Ἰταλίαν κατακεκληρούχηκε μηδὲν λιπὼν τοῖς ἐκείνου. (2) Πρὸς ταῦτα Καῖσαρ ἀπελο-

patræ filiam ejus parvam adhuc despondens ac secum auferens, quum jam se ad bellum civile accingeret.

LIV. Cæsar autem Octaviam contumelia affectam judicans, reversam Athenis seorsum, deserta Antonii domo, habitare jussit. Illa vero mariti domo se non excessuram respondens, fratrem insuper orabat, ut, si nullam aliam belli causam haberet, quam Antonii in ipsam injurias, missas illas faceret: turpe enim vel auditu fore, duos maximos imperatores, alterum ob amorem, alterum ob obtrectationem muliebrem Romanis civile bellum concitasse. (2) Quod autem dixit, id re ipsa confirmavit. Nam et in domo Antonii tanquam præsentis habitavit, et liberos ejus non ex ipsa modo, sed etiam ex Fulvia natos honeste et magnifice curavit, et missos ab Antonio amicos ad magistratus petendos aut expedienda negotia excepit et apud Cæsarem pro iis intercedendo juvit. (3) His ipsis factis inscia Antonio nocuit, odia hominum adversus eum concitans, qui tam præclaram uxorem tam inique haberet. Auxit invidiam divisio inter liberos Alexandriæ facta, tragica et superba et odium in Romanos præ se ferens. Etenim repleto hominibus gymnasio, duos aureos thronos super argenteo tabulato collocavit, unum sibi, alterum Cleopatræ, ac liberis alios humiliores. Tum primum Cleopatram declaravit Ægypti, Cypri, Africæ, Cœlesyriæ reginam, collega addito Cæsarione, quem ea ex Cæsare concepisse gravidaque ab eo relicta fuisse credebatur; inde communes sibi et illi filios, reges regum appellavit, et Alexandro Mediam, Armeniam Parthiamque, si quando subacta foret, attribuit; Ptolemæo Syriam, Phœnicen et Ciliciam. (4) Simul et produxit eos, Alexandrum Medico vestitu, cum tiara et erecta citari, Ptolemæum cum crepidis, chlamyde et causia, quam diadema ornabat. Hic enim habitus est regum qui Alexandro Magno successerunt, ille Medorum et Armeniorum. Quum pueri parentes salutassent, alterum Armeniorum, alterum Macedonicum satellitium stipavit. Cleopatra autem et tunc, et quoties in publicum prodiret, vestem Isidis sacram gestabat et nova Isis dicebatur.

LV. Hæc in senatu Cæsar referens et sæpe apud populum accusans, civium animos in Antonium accendit. Antonius quoque vicissim Cæsarem missis literis accusavit. Hæc autem præcipue objiciebat: primum quod Pompeio Sicilia adempta, insulam secum partitus non esset; deinde quod naves quas ab eo ad bellum precario sumpsisset, sibi retinuisset; quod Lepidum collegam magistratu dejecisset ignominiaque affecisset, et provinciam ejus ac reditus ipse obtineret; denique quod totam prope Italiam propriis militibus divisisset, Antonianis nihil reliquisset. (2) Ad hæc ita re-

γεῖτο, Λέπιδον μὲν ὑβρίζοντα καταπαῦσαι τῆς ἀρχῆς, ἃ δ' ἔσχηκε πολεμήσας, νεμήσεσθαι πρὸς Ἀντώνιον, ὅταν κἀκεῖνος Ἀρμενίαν πρὸς αὐτόν· τοῖς δὲ στρατιώ- e ταις Ἰταλίας μὴ μετεῖναι· Μηδίαν γὰρ ἔχειν καὶ Παρθίαν αὐτούς, ἃς προσεκτήσαντο Ῥωμαίοις καλῶς ἀγωνισάμενοι μετὰ τοῦ αὐτοκράτορος.

LVI. Ταῦτα ἐν Ἀρμενίᾳ διατρίβων Ἀντώνιος ἤκουσε· καὶ Κανίδιον εὐθὺς ἐκέλευσεν ἑκκαίδεκα τέλη λαβόντα καταβαίνειν ἐπὶ θάλατταν. Αὐτὸς δὲ Κλεοπάτραν ἀναλαβὼν εἰς Ἔφεσον ἧκε. Καὶ τὸ ναυτικὸν ἐκεῖ συνῄει πανταχόθεν, ὀκτακόσιαι σὺν ὁλκάσι νῆες, ὧν Κλεοπάτρα παρεῖχε διακοσίας καὶ τάλαντα δισμύρια καὶ τροφὴν τῷ στρατῷ παντὶ πρὸς τὸν πόλεμον. (2) Ἀντώνιος δὲ πεισθεὶς ὑπὸ Δομιτίου καί τινων ἄλ- f λων ἐκέλευε Κλεοπάτραν πλεῖν ἐπ' Αἰγύπτου κἀκεῖ διακαραδοκεῖν τὸν πόλεμον. Ἡ δὲ φοβουμένη τὰς δι' Ὀκταουίας πάλιν αὐτοῦ διαλύσεις ἔπεισε πολλοῖς Κανίδιον χρήμασιν Ἀντωνίῳ διαλεχθῆναι περὶ αὐτῆς, ὡς οὔτε δίκαιον ἀπελαύνεσθαι τοῦ πολέμου γυναῖκα
942 συμβολὰς τηλικαύτας διδοῦσαν οὔτε συμφέρον ἀθυμο- a τέρους ποιεῖν τοὺς Αἰγυπτίους μέγα μέρος τῆς ναυτικῆς δυνάμεως ὄντας· ἄλλως δὲ μηδὲ ὁρᾶν, οὕτινος τῶν συστρατευόντων βασιλέων ἀπολείποιτο τὸ φρονεῖν Κλεοπάτρα, πολὺν μὲν χρόνον δι' αὑτῆς κυβερνῶσα βασιλείαν τοσαύτην, πολὺν δὲ ἐκείνῳ συνοῦσα καὶ μανθάνουσα χρῆσθαι πράγμασι μεγάλοις. Ταῦτα (ἔδει γὰρ εἰς Καίσαρα πάντα περιελθεῖν) ἐνίκα· καὶ συνιουσῶν τῶν δυνάμεων πλεύσαντες εἰς Σάμον ἐν εὐπαθείαις ἦσαν. (3) Ὥσπερ γὰρ βασιλεῦσι καὶ δυνάσταις καὶ τετράρχαις ἔθνεσί τε καὶ πόλεσι πάσαις ταῖς μεταξὺ Συρίας καὶ Μαιώτιδος καὶ Ἀρμενίας καὶ Ἰλλυριῶν προείρητο πέμπειν καὶ κομίζειν τὰς εἰς τὸν πόλεμον b παρασκευάς, οὕτω πᾶσι τοῖς περὶ τὸν Διόνυσον τεχνίταις ἐπάναγκες ἦν εἰς Σάμον ἀπαντᾶν· καὶ τῆς ἐν κύκλῳ σχεδὸν ἁπάσης οἰκουμένης περιθρηνουμένης καὶ περιστεναζομένης, μία νῆσος ἐφ' ἡμέρας πολλὰς κατηυλεῖτο καὶ κατεψάλλετο, πληρουμένων θεάτρων καὶ χορῶν ἀγωνιζομένων. Συνέθυε δὲ καὶ πόλις πᾶσα βοῦν πέμπουσα καὶ βασιλεῖς διημιλλῶντο ταῖς ὑποδοχαῖς καὶ δωρεαῖς πρὸς ἀλλήλους· ὥστε καὶ λόγος διῄει, τίνες ἔσονται κρατήσαντες ἐν τοῖς ἐπινικίοις οἱ τοῦ πολέμου τὰς παρασκευὰς οὕτω πολυτελῶς ἑορτάζοντες.

LVII. Γενόμενος δὲ ἀπὸ τούτων τοῖς μὲν περὶ τὸν Διόνυσον τεχνίταις Πριήνην ἔδωκεν οἰκητήριον· αὐτὸς c δὲ πλεύσας εἰς Ἀθήνας πάλιν ἐν παιδιαῖς ἦν καὶ θεάτροις. Ζηλοτυποῦσα δὲ Κλεοπάτρα τὰς Ὀκταουίας ἐν τῇ πόλει τιμάς (ἠγαπήθη γὰρ ὑπὸ τῶν Ἀθηναίων ἡ Ὀκταουία μάλιστα), πολλαῖς ἀνελάμβανε φιλοτιμίαις τὸν δῆμον. Οἱ δὲ τιμὰς αὐτῇ ψηφισάμενοι πρέσβεις ἔπεμψαν ἐπὶ τὴν οἰκίαν τὸ ψήφισμα κομίζοντας, ὧν εἷς ἦν Ἀντώνιος, ὡς δὴ πολίτης Ἀθηναίων· καὶ δὴ καταστὰς ἐπ' αὐτῆς λόγον ὑπὲρ τῆς πόλεως διεξῆλθεν. (2) Εἰς δὲ Ῥώμην ἔπεμψε τοὺς Ὀκταουίαν ἐκ τῆς οἰκίας ἐκβαλοῦντας. Ἀπελθεῖν δέ φασιν αὐτὴν τὰ μὲν

spondit Cæsar, se Lepido per vim et libidinem imperanti potestatem ademisse; parta bello cum Antonio divisurum, ubi et is secum Armeniam partitus fuerit; militibus ejus nihil de Italiæ agro deberi, habere eos Armeniam et Mediam, quas bello una cum imperatore præclare gesto, Romano imperio adjecerint.

LVI. Hæc in Armenia agens Antonius quum percepisset, illico jussit Canidium cum sedecim cohortibus ad mare descendere. Ipse cum Cleopatra Ephesum profectus est. Ibi classis conveniebat octingentarum navium, una cum onerariis, ex his ducentas Cleopatra præbuit et viginti millia talentorum et universo exercitui alimenta ad bellum. (2) Ceterum eam Antonius, Domitii et aliorum consilia secutus, in Ægyptum navigare ibique eventum belli exspectare jussit. At Cleopatra, metuens ne rursus interventu Octaviæ bellum componeretur, magna pecunia Canidium corrupit, ut pro ipsa apud Antonium intercederet, eique ostenderet: injustum esse Cleopatram bello, ad quod tam magna præsidia ea contulisset, arceri, neque in rem esse, Ægyptiorum, qui magna pars navalium copiarum sint futuri, animos languidiores facere; alioquin etiam haud apparere, cuinam regum una bellum gerentium prudentiæ laude Cleopatra cedere debeat, quæ tanto tempore ipsa tam amplum regnum administrasset, ac diuturna præterea Antonii consuetudine magnas res tractare didicisset. Hæc sententia vicit, fato jam omnia ad Cæsarem trahente. (3) Conductis copiis, Samum advecti genio indulserunt. Quemadmodum enim omnibus regibus, regulis, principibus, nationibus et urbibus quæ intra Syriam, Mæotidem, Armeniam et Illyriam essent, indictum fuit ut mitterent afferrentque ad bellum necessaria: ita omnes scenicos ludiones in Samum convenire necesse fuit; quumque totus prope orbis terrarum luctibus et gemitibus resonaret, una hæc insula per aliquam multos dies fistularum fidiumque concentu perstrepebat, repletis theatris et choris certantibus. Singulæ autem urbes bovem ad sacrificia mittebant, eaque una obibant, et reges inter se conviviis et muneribus certabant, ita ut vulgo quæsitum sit: qualesne hi victis hostibus apparatus et pro parta victoria festivitates essent instructuri, qui tanto sumptu belli exordium celebrarent.

LVII. His peractis, Antonius Prienen scenicorum ludorum artificibus habitandam dedit, et Athenas advectus, rursum ludicris et theatro vacavit. Cleopatra autem Octaviæ honoribus æmulabatur, quam Athenienses summo in pretio habuerant; itaque magnificis donis populum demerita est. Populus ei honores quosdam decrevit et legatos qui decretum domum ejus afferrent misit, interque eos Antonium, nimirum civem Atheniensium; atque is verba apud Cleopatram pro civitate fecit. (2) Idem Romam misit qui Octaviam domo sua ejicerent; ferturque abiisse cum omni-

τέκνα πάντα Ἀντωνίου μεθ' ἑαυτῆς ἔχουσαν ἄνευ τοῦ d πρεσβυτάτου τῶν ἐκ Φουλβίας (ἐκεῖνος γὰρ ἦν παρὰ τῷ πατρί), κλαίουσαν δὲ καὶ δυσφοροῦσαν, εἰ δόξει μία τῶν αἰτιῶν τοῦ πολέμου καὶ αὐτὴ γεγονέναι. Ῥωμαῖοι δὲ ᾤκτειρον οὐκ ἐκείνην, ἀλλ' Ἀντώνιον, καὶ μᾶλλον οἱ Κλεοπάτραν ἑωρακότες οὔτε κάλλει τῆς Ὀκταουίας οὔτε ὥρᾳ διαφέρουσαν.

LVIII. Καῖσαρ δὲ τὸ τάχος καὶ τὸ μέγεθος τῆς παρασκευῆς ἀκούσας ἐθορυβήθη, μὴ τοῦ θέρους ἐκείνου διαπολεμεῖν ἀναγκασθῇ. Καὶ γὰρ ἐνέδει πολλὰ καὶ τοὺς ἀνθρώπους ἐλύπουν αἱ τῶν χρημάτων εἰσπράξεις· ἀναγκαζόμενοι γὰρ οἱ μὲν ἄλλοι τὰ τέταρτα τῶν καρπῶν, οἱ δὲ ἐξελευθερικοὶ τῶν κτημάτων αὐτῶν τὰς ὀγδόας ἀποφέρειν e κατεβόων αὐτοῦ καὶ ταραχαὶ κατεῖχον ἐκ τούτων ἅπασαν τὴν Ἰταλίαν. Ὅθεν ἐν τοῖς μεγίστοις ἁμαρτήμασιν Ἀντωνίου τὴν ἀναβολὴν τοῦ πολέμου τίθενται. Καὶ γὰρ παρασκευάσασθαι χρόνον ἔδωκε Καίσαρι καὶ τὰς ταραχὰς τῶν ἀνθρώπων ἐξέλυσε. Πραττόμενοι γὰρ ἠγριαίνοντο, πραχθέντες δὲ καὶ δόντες ἡσύχαζον. (2) Τίτιος δὲ καὶ Πλάγκος, Ἀντωνίου φίλοι τῶν ὑπατικῶν, ὑπὸ Κλεοπάτρας προπηλακιζόμενοι (πλεῖστα γὰρ ἠναντιώθησαν αὐτῇ περὶ τοῦ συστρατεύειν), ἀποδράντες ᾤχοντο πρὸς Καίσαρα καὶ περὶ τῶν f Ἀντωνίου διαθηκῶν ἐγίνοντο μηνυταὶ τὰ γεγραμμένα συνειδότες. Ἀπέκειντο δ' αὗται παρὰ ταῖς Ἑστιάσι παρθένοις, καὶ Καίσαρος αἰτοῦντος οὐκ ἔδωκαν· εἰ δὲ βούλοιτο λαμβάνειν, ἐλθεῖν αὐτὸν ἐκέλευον. Ἔλαβεν οὖν ἐλθών· καὶ πρῶτον μὲν αὐτὸς ἰδίᾳ τὰ γεγραμμένα διῆλθε καὶ παρεσημήνατο τόπους τινὰς εὐκατηγορήτους· 943 ἔπειτα τὴν βουλὴν ἀθροίσας ἀνεγίνωσκε, τῶν πλείστων a ἀηδῶς ἐχόντων. Ἀλλόκοτον γὰρ ἔδοξεν εἶναι καὶ δεινὸν εὐθύνας τινὰ διδόναι ζῶντα περὶ ὧν ἐβουλήθη γενέσθαι μετὰ τὴν τελευτήν. Ἐπεφύετο δὲ τῶν γεγραμμένων μάλιστα τῷ περὶ τῆς ταφῆς. Ἐκέλευε γὰρ αὐτοῦ τὸ σῶμα, κἂν ἐν Ῥώμῃ τελευτήσῃ, δι' ἀγορᾶς πομπευθὲν εἰς Ἀλεξάνδρειαν ὡς Κλεοπάτραν ἀποσταλῆναι. (3) Καλουίσιος δὲ Καίσαρος ἑταῖρος ἔτι καὶ ταῦτα τῶν εἰς Κλεοπάτραν ἐγκλημάτων Ἀντωνίῳ προὔφερε· χαρίσασθαι μὲν αὐτῇ τὰς ἐκ Περγάμου βιβλιοθήκας, ἐν αἷς εἴκοσι μυριάδες βιβλίων ἁπλῶν ἦσαν· ἐν δὲ συνδείπνῳ b πολλῶν παρόντων ἀναστάντα τρίβειν αὐτῆς τοὺς πόδας ἔκ τινος ὁρισμοῦ καὶ συνθήκης γενομένης· Ἐφεσίους δὲ ἀνασχέσθαι παρόντος αὐτοῦ κυρίαν τὴν Κλεοπάτραν ἀσπασαμένους· δικάζοντα δὲ πολλάκις τετράρχαις καὶ βασιλεῦσιν ἐπὶ βήματος δελτάρια τῶν ἐρωτικῶν ὀνύχινα καὶ κρυστάλλινα δέχεσθαι παρ' αὐτῆς καὶ ἀναγινώσκειν· Φουρνίου δὲ λέγοντος, ὃς ἦν ἀξιώματος μεγάλου καὶ δεινότατος εἰπεῖν Ῥωμαίων, τὴν μὲν Κλεοπάτραν ἐν φορείῳ διὰ τῆς ἀγορᾶς κομίζεσθαι, τὸν δὲ Ἀντώνιον, ὡς εἶδεν, ἀναπηδήσαντα τὴν μὲν δίκην ἀπολιπεῖν, ἐκκρεμαννύμενον δὲ τοῦ φορείου παραπέμπειν ἐκείνην.

LIX. Ἀλλὰ τούτων μὲν ἐδόκει τὰ πλεῖστα καταψεύδεσθαι c Καλουίσιος. Οἱ δὲ φίλοι τοῦ Ἀντωνίου

bus Antonii liberis (excepto filio natu maximo, quem Fulvia pepererat, qui tum cum patre erat), plorans et fortunam suam incusans, quod ipsa etiam in causis ejus belli numerata esset. Romani autem non Octaviam, sed Antonium miserabantur, præsertim qui Cleopatram vidissent neque pulchritudine neque ætatis causa illi præferendam.

LVIII. At Cæsar magnitudine et celeritate Antonii apparatus bellici perturbari, ac metuere ne sibi durante adhuc ea æstate decertandum esset. Quippe et deerant adhuc multa et pecuniæ exactiones molestæ erant, quum ingenui quadrantem redituum, libertini octavam ipsarum facultatum pendere coacti eum infestis clamoribus insectarentur, et tota Italia tumultuaretur. Quamobrcm inter maxima Antonii peccata id numeratum est, quod rationem belli mutavit. Nam et apparandi sui tempus Cæsari concessit, et spatium sedandorum tumultuum, quum qui pecuniam postulati excandescebant, ii, soluto quod poscebatur, iram remitterent. (2) Interim Titius et Plancus viri consulares et Antonii familiarissimi a Cleopatra ignominiis affecti, quod maxime id contenderant, ne ea bello interesset, ad Cæsarem abierunt atque ei de testamento Antonii, quorum erant conscii, retulerunt. Depositum erat id apud Vestales, atque eæ poscenti Cæsari daturas se negaverunt, ipsumque venire, si vellet accipere, jusserunt. Abstulit, ac principio privatim quædam criminibus obnoxia notavit, deinde convocato senatu recitavit, multis indigne ferentibus; iniquum enim novumque videbatur, vivum aliquem accusari de iis, quæ se mortuo fieri voluisset. Id maxime urgebat Cæsar, quod de sua sepultura Antonius jusserat, ut corpus suum, etiamsi Romæ decederet vita, per forum elatum Alexandriam ad Cleopatram mitteretur. (3) Calvisius autem, Cæsaris socius, hæc præterea in Cleopatræ gratiam commissa crimina objecit Antonio: Pergamensem eum bibliothecam, in qua ducenta librorum millia erant, Cleopatræ dono dedisse; in convivio multis præsentibus assurrexisse et pede ei ex pacto quodam trivisse; ab Ephesiis eam dominam salutari se præsente passum; sæpe, quum principibus et regibus responsa daret, onychinas et crystallinas tabulas amatorias ab ea missas accepisse et legisse; Furnio, qui in magna existimatione interque Romanos disertissimus habebatur, causam perorante, quum Cleopatra forte lectica per forum veheretur, eum statim atque vidisset, prosiluisse, et relicto judicio lecticæ se applicuisse, eamque deduxisse.

LIX. Tametsi pleraque horum commentus videbatur Calvisius. Amici autem Antoniani Romæ oberrantes populum

περιιόντες ἐν Ῥώμῃ τὸν δῆμον ἱκέτευον, ἕνα δὲ ἐξ αὐτῶν ἔπεμψαν Γεμίνιον δεόμενοι τοῦ Ἀντωνίου μὴ περιιδεῖν αὐτὸν ἀποψηφισθέντα τῆς ἀρχῆς καὶ πολέμιον Ῥωμαίων ἀναγορευθέντα. Γεμίνιος δὲ πλεύσας εἰς τὴν Ἑλλάδα Κλεοπάτρᾳ μὲν ἦν ὕποπτος, ὡς ὑπὲρ Ὀκταουίας πράττων, σκωπτόμενος δὲ παρὰ δεῖπνον ἀεὶ καὶ κλισίαις ἀτίμοις προπηλακιζόμενος ἠνείχετο καιρὸν ἐντεύξεως ἀναμένων· κελευσθεὶς δὲ λέγειν ἐφ' οἷς ἥκει παρὰ τὸ δεῖπνον, τὴν μὲν ἄλλην ἔφη νήφοντος εἶναι διάλεξιν, ἓν δὲ καὶ νήφων ἐπίστασθαι καὶ μεθύων, ὅτι d καλῶς ἕξει πάντα, Κλεοπάτρας εἰς Αἴγυπτον ἀπαλλαγείσης. Πρὸς τοῦτο τοῦ Ἀντωνίου χαλεπήναντος, ἡ Κλεοπάτρα, « Καλῶς, ἔφη, πεποίηκας, ὦ Γεμίνιε, τὴν ἀλήθειαν ἄνευ βασάνων ἐξομολογησάμενος. » Γεμίνιος μὲν οὖν μετ' ὀλίγας ἡμέρας ἀποδρὰς εἰς Ῥώμην ᾤχετο. (2) Πολλοὺς δὲ καὶ τῶν ἄλλων φίλων οἱ Κλεοπάτρας κόλακες ἐξέβαλον, τὰς παροινίας καὶ βωμολοχίας οὐχ ὑπομένοντας, ὧν καὶ Μάρκος ἦν Σιλανὸς καὶ Δέλλιος ὁ ἱστορικός. Οὗτος δὲ καὶ δεῖσαί φησιν ἐπιβουλὴν ἐκ Κλεοπάτρας, Γλαύκου τοῦ ἰατροῦ φράσαντος αὐτῷ. Προσέκρουσε δὲ Κλεοπάτρᾳ παρὰ δεῖπνον εἰπών, αὐ- e τοῖς μὲν ὀξίνην ἐγχεῖσθαι, Σάρμεντον δὲ πίνειν ἐν Ῥώμῃ Φαλερῖνον. Ὁ δὲ Σάρμεντος ἦν τῶν Καίσαρος παιγνίων παιδάριον, ἃ δηλίκια Ῥωμαῖοι καλοῦσιν.

LX. Ἐπεὶ δὲ παρεσκεύαστο Καῖσαρ ἱκανῶς, ψηφίζεται Κλεοπάτρᾳ πολεμεῖν, ἀφελέσθαι δὲ τῆς ἀρχῆς Ἀντώνιον, ἧς ἐξέστη γυναικί. Καὶ προσεπεῖπε Καῖσαρ, ὡς Ἀντώνιος μὲν ὑπὸ φαρμάκων οὐδὲ αὑτοῦ κρατοίη, πολεμοῦσι δ' αὐτοῖς Μαρδίων ὁ εὐνοῦχος καὶ Ποθεινὸς καὶ Εἰρὰς ἡ Κλεοπάτρας κουρεύτρια καὶ Χάρμιον, ὑφ' ὧν τὰ μέγιστα διοικεῖται τῆς ἡγεμονίας. (2) Σημεῖα δὲ πρὸ τοῦ πολέμου τάδε γενέσθαι λέγεται. f Πείσαυρα μέν, Ἀντωνίου πόλις κληρουχία, ᾠκισμένη παρὰ τὸν Ἀδρίαν, χασμάτων ὑποῤῥαγέντων κατεπόθη. Τῶν δὲ περὶ Ἄλβαν Ἀντωνίου λιθίνων ἀνδριάντων ἑνὸς ἱδρὼς ἀνεπίδυεν, ἡμέρας πολλὰς ἀποματτόντων τινῶν οὐ παυόμενος. Ἐν δὲ Πάτραις διατρίβοντος αὐτοῦ, 944 κεραυνὸς ἐνεπρήσθη τὸ Ἡράκλειον· καὶ τῆς Ἀθήνησι a γιγαντομαχίας ὑπὸ πνευμάτων ὁ Διόνυσος ἐκσεισθεὶς εἰς τὸ θέατρον κατηνέχθη. Προσῳκείου δὲ ἑαυτὸν Ἀντώνιος Ἡρακλεῖ κατὰ γένος καὶ Διονύσῳ κατὰ τὸν τοῦ βίου ζῆλον, ὥσπερ εἴρηται, Διόνυσος νέος προσαγορευόμενος. (3) Ἡ δὲ αὐτὴ θύελλα καὶ τοὺς Εὐμένους καὶ Ἀττάλου κολοσσοὺς ἐπιγεγραμμένους Ἀντωνείους Ἀθήνησιν ἐμπεσοῦσα μόνους ἐκ πολλῶν ἀνέτρεψε. Ἡ δὲ Κλεοπάτρας ναυαρχὶς ἐκαλεῖτο μὲν Ἀντωνιάς, σημεῖον δὲ περὶ αὐτὴν δεινὸν ἐφάνη. Χελιδόνες γὰρ ὑπὸ τὴν πρύμναν ἐνεόττευσαν· ἕτεραι δὲ ἐπελθοῦσαι καὶ ταύτας ἐξήλασαν καὶ τὰ νεόττια διέφθειραν.

LXI. Συνιόντων δὲ πρὸς τὸν πόλεμον Ἀντωνίῳ μὲν b ἦσαν αἱ μάχιμοι νῆες οὐκ ἐλάττους πεντακοσίων, ἐν αἷς ὀκτήρεις πολλαὶ καὶ δεκήρεις κεκοσμημέναι σοβα-

deprecabantur. Ex his unum, nomine Geminium, populus ad Antonium misit, qui oraret, ne sibi abrogari magistratum, neve hostem se Romanorum judicari vellet. Geminius postquam in Græciam venit, statim suspectus Cleopatræ fuit, quasi Octaviæ causam acturus esset, subsannatusque assidue in cœna et inhonesto assessu illusus, omnia tulit, dum colloquendi occasionem nancisceretur. Jussus vero in cœna dicere, cujus rei causa venisset: Reliquum, inquit, colloquium sobrios nos requirit, unum et sobrius et ebrius certo scio, recte omnia fore, si Cleopatra in Ægyptum abierit. Stomachante ad hoc Antonio; Bene, inquit Cleopatra, abs te factum est, Gemini, qui citra tormenta veritatem confessus sis. Geminius paucis post diebus Romam profugit. (2) Multi etiam alii amici Antonii, adulatorum Cleopatræ scurriles insultationes non ferentes, abierunt, inter quos M. etiam Silanus fuit et Dellius historicus. Hic quidem sibi ab insidiis Cleopatræ metuisse ait, monitum a Glauco medico. Offenderat autem eam, quod inter cœnandum dixerat, vappam sibi infundi, Sarmentum Romæ Falernum vinum potare. Erat autem Sarmentus unus ex pueris, quos in deliciis Cæsar habebat.

LX. Cæsare ad bellum jam sufficienter parato, decretum est bellum contra Cleopatram, Antonio magistratus abrogatus, quem is mulieri concessisset. Et addidit Cæsar, Antonium veneficiis ita perditum, ut ne sui quidem ipsius sit compos, bellum contra Romanos geri a Mardione eunucho, Photino, Irade Cleopatræ tonstrice, et Charmio; ab his summam rerum administrari. (2) Prodigia ante bellum hæc evenisse perhibentur. Pisaurum colonia ab Antonio ad Adriam deducta, terræ hiatibus absorpta est. De saxeis Antonii apud Albam statuis quædam sudore fluxit, qui nonnullis abstergentibus per aliquot dies non cessavit. Apud Patras Antonio commorante, fanum Herculis de cœlo tactum conflagravit; Athenis Bacchus de gigantomachia ventorum impetu excussus, in theatrum decidit. Supra autem demonstravimus, Antonium genus suum ad Herculem, vitæ institutum ad Liberum retulisse et Bacchum juniorem dictum fuisse. (3) Idem turbo in colossos Athenis incumbens, solos Eumenis et Attali, qui Antonio inscripti erant, de tanta multitudine evertit. Circa prætoriam etiam Cleopatræ navem, quæ Antonias appellabatur, grave ostentum factum est. Hirundines enim infra puppim nidificarunt; has aliæ supervenientes expulerunt et pullos eorum interfecerunt.

LXI. Copiæ Antonii hæ fuerunt: naves pugnæ idoneæ haud pauciores quingentis, in quibus octiremes et deciremes multæ terribili et superbo ornatu, centum peditum, et duo-

ρῶς καὶ πανηγυρικῶς, στρατοῦ δὲ μυριάδες δέκα, δισχίλιοι δ' ἱππεῖς ἐπὶ μυρίοις. Βασιλεῖς δὲ ὑπήκοοι συνεμάχουν Βόκχος ὁ Λιβύων καὶ Ταρκόνδημος ὁ τῆς ἄνω Κιλικίας καὶ Καππαδοκίας μὲν Ἀρχέλαος, Παφλαγονίας δὲ Φιλάδελφος, Κομμαγηνῆς δὲ Μιθριδάτης, Σαδάλας δὲ Θρᾴκης. Οὗτοι μὲν αὐτῷ παρῆσαν. Ἐκ δὲ Πόντου Πολέμων στρατὸν ἔπεμπε καὶ Μάλχος ἐξ Ἀραβίας καὶ Ἡρώδης ὁ Ἰουδαῖος· ἔτι δὲ Ἀμύντας ὁ Λυκαόνων καὶ Γαλατῶν βασιλεύς· ἦν δὲ καὶ παρὰ c τοῦ Μήδων βασιλέως ἀπεσταλμένη βοήθεια. Καίσαρι δὲ νῆες ἦσαν πρὸς ἀλκὴν πεντήκοντα καὶ διακόσιαι, στρατοῦ δὲ ὀκτὼ μυριάδες, ἱππεῖς δὲ παραπλήσιοι τὸ πλῆθος τοῖς πολεμίοις. (2) Ἦρχον δὲ Ἀντώνιος μὲν τῆς ἀπ' Εὐφράτου καὶ Ἀρμενίας μέχρι πρὸς τὸν Ἰόνιον καὶ Ἰλλυριούς, Καῖσαρ δ' ἀπ' Ἰλλυριῶν τῆς ἐπὶ τὸν ἑσπέριον ὠκεανὸν καθηκούσης καὶ τῆς ἀπ' ὠκεανοῦ πάλιν ἐπὶ τὸ Τυῤῥηνικὸν καὶ Σικελικὸν πέλαγος. Λιβύης δὲ τὴν Ἰταλίᾳ καὶ Γαλατίᾳ καὶ Ἰβηρίᾳ μέχρι στηλῶν Ἡρακλείων ἀντιπαρήκουσαν εἶχε Καῖσαρ, τὰ δὲ ἀπὸ Κυρήνης μέχρις Αἰθιοπίας Ἀντώνιος.

LXII. Οὕτω δὲ ἄρα προσθήκη τῆς γυναικὸς ἦν, d ὥστε τῷ πεζῷ πολὺ διαφέρων ἐβούλετο τοῦ ναυτικοῦ τὸ κράτος εἶναι διὰ Κλεοπάτραν· καὶ ταῦτα πληρωμάτων ἀπορίᾳ συναρπαζομένους ὁρῶν ὑπὸ τῶν τριηράρχων ἐκ τῆς πολλὰ δὴ τλάσης Ἑλλάδος ὁδοιπόρους, ὀνηλάτας, θεριστάς, ἐφήβους, καὶ οὐδὲ οὕτω πληρουμένας τὰς ναῦς, ἀλλὰ τὰς πλείστας ἀποδεεῖς καὶ μοχθηρῶς πλεούσας. Καῖσαρ δὲ οὐ πρὸς ὕψος οὐδὲ ὄγκον ἐπιδεικτικῶς πεπηγυίαις ναυσὶν, εὐστρόφοις δὲ καὶ ταχείαις καὶ πεπληρωμέναις ἀκριβῶς ἐξηρτυμένον ἐν Τάραντι καὶ Βρεντεσίῳ συνέχων τὸ ναυτικὸν, ἔπεμπε πρὸς Ἀντώνιον ἀξιῶν μὴ διατρίβειν τὸν χρόνον, ἀλλ' e ἔρχεσθαι μετὰ τῶν δυνάμεων· αὐτὸς δὲ τῷ μὲν στόλῳ παρέξειν ὅρμους ἀκωλύτους καὶ λιμένας, ὑποχωρήσειν δὲ τῷ πεζῷ τῆς Ἰταλίας ἵππου δρόμον ἀπὸ θαλάττης, μέχρι ἂν ἀσφαλῶς ἀποβῇ καὶ στρατοπεδεύσηται. (2) Τούτοις ἀντικομπάζων Ἀντώνιος αὐτὸν μὲν εἰς μονομαχίαν προὐκαλεῖτο, καίπερ ὢν πρεσβύτερος· εἰ δὲ φεύγοι τοῦτο, περὶ Φάρσαλον ἠξίου τοῖς στρατεύμασιν, ὡς πάλαι Καῖσαρ καὶ Πομπήιος, διαγωνίσασθαι. Φθάνει δὲ Καῖσαρ, Ἀντωνίου περὶ τὸ Ἄκτιον ὁρμοῦντος, ἐν ᾧ τόπῳ νῦν ἡ Νικόπολις ἵδρυται, διαβαλὼν τὸν Ἰόνιον καὶ τῆς Ἠπείρου χωρίον, ὃ Τορύνη καλεῖται, f κατασχών· θορυβουμένων δὲ τῶν περὶ τὸν Ἀντώνιον (ὑστέρει γὰρ ὁ πεζὸς αὐτοῖς), ἡ μὲν Κλεοπάτρα σκώπτουσα, « Τί δεινὸν, ἔλεγεν, εἰ Καῖσαρ ἐπὶ τορύνῃ κάθηται; »

LXIII. Ἀντώνιος δὲ, ἅμα ἡμέρᾳ τῶν πολεμίων ἐπιπλεόντων, φοβηθεὶς μὴ τῶν ἐπιβατῶν ἐρήμους ἕλωσι τὰς ναῦς, τοὺς μὲν ἐρέτας ὁπλίσας ἐπὶ τῶν
945 καταστρωμάτων παρέταξεν ὄψεως ἕνεκα, τοὺς δὲ ταρ- a
σοὺς τῶν νεῶν ἐγείρας καὶ πτερώσας ἑκατέρωθεν ἐν τῷ στόματι περὶ τὸ Ἄκτιον ἀντιπρώρους συνεῖχεν, ὡς ἐνήρεις καὶ παρεσκευασμένας ἀμύνεσθαι. Καὶ Καῖσαρ

decim equitum millia; reges subditi auxiliabantur, Bocchus Africæ, Tarcondemus superioris Ciliciæ, Cappadociæ Archelaus, Paphlagoniæ Philadelphus, Commagenæ Mithridates, Sadales Thraciæ, præsentes omnes. Auxilia miserant ex Ponto Polemo, ex Arabia Malchus, nec non Herodes Judæus, et Amyntas Lycaoniæ et Galatiæ rex; aderat et a Medorum rege missum subsidium. Cæsar naves ad prœlium paratas habebat ducentas quinquaginta, octoginta peditum millia et totidem quot hostes equites (2) Suberant Antonio ab Euphrate et Armenia usque ad Ionium mare et Illyricum omnia, Cæsari quæ ab Illyrico usque ad occiduum Oceanum et inde usque ad Tyrrhenum et Siculum mare omnes provinciæ. Africam, quantum ejus a columnis Herculis Hispaniæ, Galliæ et Italiæ subtenditur, obtinebat, reliquum a Cyrena usque ad Æthiopiam Antonius.

LXII. Usque adeo autem addictus Cleopatræ fuit Antonius, ut, quum peditatu longe quam hostis esset potentior, in honorem illius classe victoriam voluerit quærere; idque, quum penuria remigum videret a magistris triremium ex misera et multa jam perpessa Græcia abripi viatores, agasones, messores, impuberes, ac ne sic quidem remigium constare, sed plerasque non integrum habentes remigum numerum difficulter agi. Cæsar autem classem Tarenti Brundusiique continens, navibus instructam non ad altitudinis molisve ostentationem paratis, sed agilibus, celeribus et præclare impletis, ad Antonium mittebat, venire eum cum copiis, neque tempus terere jubens; se navibus ejus portus et stationes tutas præbiturum, et tanto spatio, quantum uno cursu confici ab equo potest, exercitum suum ab Italiæ continente dimoturum, dum tuto is exscensionem et castra faciat. (2) Contra hæc Antonius arroganter Cæsarem, tametsi senior, ad singulare prœlium provocabat; sin id subterfugeret, apud Pharsalum de summa rerum omnibus copiis decernere secum, ut ante Cæsar et Pompeius fecissent, jubebat. Interim Antonio apud Actium naves in statione tenente eo loco, ubi nunc est Nicopolis, transmisso Ionio mari Cæsar Torynam (Epiri locus est) occupat. Ibi Antonio perturbato, quod terrestres copiæ nondum advenissent, Cleopatra illudens, Quid, ait, tandem mali est, si Cæsar in Toryna (*tudicula*) consedit?

LXIII. Antonius autem, mane hostibus adnavigantibus, metuens ne ii naves ipsius propugnatoribus destitutas caperent, remiges armatos in tabulatis constituit, ut ii conspecti, defensores putarentur; remigium quoque erexit et ad cursum instruxit, et ex utraque parte faucium portus Actiaci proris in hostem conversis naves constituit, tanquam remigio instructas et ad pugnam promptas. Hoc qui

μὲν οὕτω καταστρατηγηθεὶς ἀπεχώρησεν. Ἔδοξε δὲ καὶ τὸ ὕδωρ εὐμηχάνως ἐρύμασί τισιν ἐμπεριλαβὼν ἀφελέσθαι τοὺς πολεμίους, τῶν ἐν κύκλῳ χωρίων ὀλίγον καὶ πονηρὸν ἐχόντων. (2) Εὐγνωμόνως δὲ καὶ Δομιτίῳ προσηνέχθη παρὰ τὴν Κλεοπάτρας γνώμην. Ἐπεὶ γὰρ ἐκεῖνος ἤδη πυρέττων εἰς μικρὸν ἐμβὰς ἀκάτιον πρὸς Καίσαρα μετέστη, βαρέως ἐνεγκὼν ὁ Ἀντώνιος ὅμως πᾶσαν αὐτῷ τὴν ἀποσκευὴν μετὰ τῶν φίλων καὶ τῶν θεραπόντων ἀπέπεμψε. Καὶ Δομίτιος b μέν, ὥσπερ ἐπὶ τῷ μὴ λαθεῖν τὴν ἀπιστίαν αὐτοῦ καὶ προδοσίαν μεταβαλλόμενος, εὐθὺς ἐτελεύτησεν. Ἐγένοντο δὲ καὶ βασιλέων ἀποστάσεις, Ἀμύντου καὶ Δηιοτάρου, πρὸς Καίσαρα. (3) Τὸ δὲ ναυτικὸν ἐν παντὶ δυσπραγοῦν καὶ πρὸς ἅπασαν ὑστερίζον βοήθειαν αὖθις ἠνάγκαζε τῷ πεζῷ προσέχειν τὸν Ἀντώνιον. Ἔσχε δὲ καὶ Κανίδιον τὸν ἄρχοντα τοῦ πεζοῦ μεταβολὴ γνώμης παρὰ τὰ δεινά· καὶ συνεβούλευε Κλεοπάτραν μὲν ἀποπέμπειν, ἀναχωρήσαντα δὲ εἰς Θρᾴκην ἢ Μακεδονίαν πεζομαχίᾳ κρῖναι. Καὶ γὰρ Δικόμης ὁ Γετῶν βασιλεὺς ὑπισχνεῖτο πολλῇ στρατιᾷ βοηθήσειν· c οὐκ εἶναι δὲ αἰσχρόν, εἰ Καίσαρι γεγυμνασμένῳ περὶ τὸν Σικελικὸν πόλεμον ἐκστήσονται τῆς θαλάσσης, ἀλλὰ δεινόν, εἰ τῶν πεζῶν ἀγώνων ἐμπειρότατος ὢν Ἀντώνιος οὐ χρήσεται ῥώμῃ καὶ παρασκευῇ τοσούτων ὁπλιτῶν, εἰς ναῦς διανέμων καὶ καταναλίσκων τὴν δύναμιν. Οὐ μὴν ἀλλὰ ἐξενίκησε Κλεοπάτρα διὰ τῶν νεῶν κριθῆναι τὸν πόλεμον, ἤδη πρὸς φυγὴν ὁρῶσα καὶ τιθεμένη τὰ καθ' ἑαυτήν, οὐχ ὅπου πρὸς τὸ νικᾶν ἔσται χρήσιμος, ἀλλ' ὅθεν ἄπεισι ῥᾷστα, τῶν πραγμάτων ἀπολλυμένων. (4) Ἦν δὲ μακρὰ σκέλη κατατείνοντα πρὸς τὸν ναύσταθμον ἀπὸ τῆς στρατοπεδείας, δι' ὧν d ὁ Ἀντώνιος εἰώθει παριέναι μηδὲν ὑφορώμενος. Οἰκέτου δὲ Καίσαρι φράσαντος, ὡς δυνατὸν εἴη κατιόντα διὰ τῶν σκελῶν συλλαβεῖν αὐτόν, ἔπεμψε τοὺς ἐνεδρεύσοντας. Οἱ δὲ παρὰ τοσοῦτον ἦλθον, ὥστε συναρπάσαι τὸν προηγούμενον αὐτοῦ προεξαναστάντες· αὐτὸς δὲ δρόμῳ μόλις ὑπεξέφυγεν.

LXIV. Ὡς δὲ ναυμαχεῖν ἐδέδοκτο, τὰς μὲν ἄλλας ἐνέπρησε ναῦς πλὴν ἑξήκοντα τῶν Αἰγυπτίων· τὰς δὲ ἀρίστας καὶ μεγίστας ἀπὸ τριήρους μέχρι δεκήρους ἐπλήρου δισμυρίους ἐμβιβάζων ὁπλίτας καὶ δισχιλίους τοξότας. Ἔνθα πεζομάχον ἄνδρα τῶν ταξιαρχῶν λέ- e γουσι παμπόλλους ἠγωνισμένον ἀγῶνας Ἀντωνίῳ καὶ κατατετριμμένον τὸ σῶμα τοῦ Ἀντωνίου παριόντος ἀνακλαύσασθαι καὶ εἰπεῖν· « Ὦ αὐτόκρατορ, τί τῶν τραυμάτων τούτων ἢ τοῦ ξίφους καταγνοὺς ἐν ξύλοις πονηροῖς ἔχεις τὰς ἐλπίδας; Αἰγύπτιοι καὶ Φοίνικες ἐν θαλάσσῃ μαχέσθωσαν, ἡμῖν δὲ γῆν δός, ἐφ' ἧς εἰώθαμεν ἑστῶτες ἀποθνήσκειν ἢ νικᾶν τοὺς πολεμίους. » (2) Πρὸς ταῦτα μηδὲν ἀποκρινάμενος, ἀλλὰ τῇ χειρὶ καὶ τῷ προσώπῳ μόνον οἷον ἐγκελευσάμενος τὸν ἄνδρα θαρρεῖν παρῆλθεν, οὐ χρηστὰς ἔχων ἐλπίδας, ὅς γε καὶ τοὺς κυβερνήτας τὰ ἱστία βουλομένους ἀπολι-

dem astu delusus Cæsar abiit. Aquam etiam scite munitionibus quibusdam inclusit, eaque hostem arcuit, quum quæ circum sunt loca, neque copiosam et vitiosam haberent aquam. (2) Et Domitium humaniter tractavit, invita quidem Cleopatra. Quum enim is jam febricitans parvum lembum conscendisset, eoque ad Cæsarem abiisset, indigne ferens Antonius omnia tamen impedimenta, una cum amicis et famulis, ei misit. Sed Domitius, quasi eum detectæ perfidiæ ac proditionis pœniteret, mox exspiravit. (3) Reges etiam Deiotarus et Amyntas ad Cæsarem defecerunt. Verum enimvero classis ab omnibus rebus male instructa et quæ ad omnem usum tardius veniebat, rursus Antonium coegit in terrestribus copiis omnem spem collocare. Et Canidius adeo, dux illarum, mutata ob præsens periculum sententia suasit ut, Cleopatra dimissa, in Thraciam vel Macedoniam se reciperet, atque ibi terrestri prœlio decerneret. Nam et Dicomam Getarum regem magna auxilia polliceri; porro autem non facturum turpiter Antonium, si Cæsari, bello Siciliensi exercitato, mari cederet, sed dignum reprehensione fore, si peritissimus terrestrium pugnarum robore et apparatu tam numerosarum copiarum uti nolit, sed vires distrahat et in naves absumat. Vicit tamen Cleopatræ sententia, classi decertare jubentis; jam enim ad fugam se componebat, idque agebat, non quomodo ad victoriam plurimum conduceret, sed ut rebus eversis quam facillime evaderet. (4) Erant a castris ad navium stationem longi muri brachiorum instar porrecti, per quos Antonius crebro, nihil hostile metuens, transibat. Cæsar edoctus a quodam servo posse Antonium capi per brachia transeuntem, misit qui eum interciperent. Ea res tam prope confecta, ut qui Antonium præcedebat, eum ex insidiis cito justius coorti Cæsariani apprehenderint et Antonius vix cursu evaserit.

LXIV. Postquam navali prœlio decernere placuit, Antonius omnes naves cremavit, sexaginta Ægyptiacis demptis; optimas autem et maximas a deciremibus usque ad triremes militibus implevit, inque eas viginti millia gravis armaturæ militum imposuit et duo sagittariorum millia. Quum quidem tribunus quidam, ut fertur, militum, qui Antonii auspiciis sæpe pugnas obiverat et plurima vulnera acceperat, prætereunte Antonio, lacrimas edidit et, Cur, inquit, cicatricibus istis et gladio huic diffidens, in malis lignis spem ponis, imperator? Ægyptii et Phœnices mari certent; nobis terram da, in ea stantes mori aut vincere hostes consuevimus. (2) Ad hæc Antonius nihil respondit, manuque tantum et vultu innuens, debere eum bono esse animo, abiit, jam tum non optime sperans, quippe et rectores vela omittere volentes,

πεῖν ἠνάγκασεν ἐμβαλέσθαι καὶ κομίζειν, λέγων ὅτι δεῖ f μηδένα φεύγοντα τῶν πολεμίων διαφυγεῖν.

LXV. Ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τρεῖς τὰς ἐφεξῆς μεγάλῳ πνεύματι κυμανθὲν τὸ πέλαγος τὴν μάχην ἐπέσχε, πέμπτῃ δὲ νηνεμίας καὶ γαλήνης ἀκλύστου γενομένης, συνῄεσαν, Ἀντώνιος μὲν τὸ δεξιὸν κέρας ἔχων καὶ Ποπλικόλας, Κοίλιος δὲ τὸ εὐώνυμον, ἐν μέσῳ δὲ 946 Μάρκος Ὀκταούιος καὶ Μάρκος Ἰνστήιος, Καῖσαρ δ' ἐπὶ a τοῦ εὐωνύμου τάξας Ἀγρίππαν, αὑτῷ τὸ δεξιὸν κατέλιπε. Τῶν δὲ πεζῶν τὸν μὲν Ἀντωνίου Κανίδιος, τὸν δὲ Καίσαρος Ταῦρος ἐπὶ τῆς θαλάττης παρατάξαντες ἡσύχαζον. (2) Αὐτῶν δὲ τῶν ἡγεμόνων Ἀντώνιος μὲν ἐπεφοίτα πανταχόσε κωπήρεις τοὺς στρατιώτας παρακαλῶν ὑπὸ βρίθους τῶν νεῶν ὥσπερ ἐκ γῆς ἑδραίους μάχεσθαι, τοῖς δὲ κυβερνήταις διακελευόμενος ὥσπερ ὁρμούσαις ἀτρέμα ταῖς ναυσὶ δέχεσθαι τὰς ἐμβολὰς τῶν πολεμίων, τὴν περὶ τὸ στόμα δυσχωρίαν φυλάττοντας· Καίσαρι δὲ λέγεται μὲν ἔτι σκότους ἀπὸ τῆς σκηνῆς κύκλῳ περιιόντι πρὸς τὰς ναῦς ἄνθρωπος ἐλαύνων ὄνον ἀπαντῆσαι, πυθομένῳ δὲ τοὔνομα γνωρίσας αὑτὸν εἰπεῖν· « Ἐμοὶ b μὲν Εὔτυχος ὄνομα, τῷ δὲ ὄνῳ Νίκων. » Διὸ καὶ τοῖς ἐμβόλοις τὸν τόπον κοσμῶν ὕστερον ἔστησε χαλκοῦν ὄνον καὶ ἄνθρωπον. (3) Ἐπιδὼν δὲ τὴν ἄλλην παράταξιν ἐν πλοίῳ πρὸς τὸ δεξιὸν κομισθεὶς ἐθαύμασεν ἀτρεμοῦντας ἐν τοῖς στενοῖς τοὺς πολεμίους· ἡ γὰρ ὄψις ἦν τῶν νεῶν ἐπ' ἀγκύραις ὁρμουσῶν. Καὶ τοῦτο μέχρι πολλοῦ πεπεισμένος ἀνεῖχε τὰς ἑαυτοῦ περὶ ὀκτὼ στάδια τῶν ἐναντίων ἀφεστώσας. Ἕκτη δὲ ἦν ὥρα καὶ πνεύματος αἰρομένου πελαγίου δυσανασχετοῦντες οἱ Ἀντωνίου πρὸς τὴν διατριβὴν καὶ τοῖς ὕψεσι καὶ μεγέθεσι τῶν οἰκείων νεῶν πεποιθότες ὡς ἀπροσμάχοις τὸ εὐώ- c νυμον ἐκίνησαν. Ἰδὼν δὲ Καῖσαρ ἥσθη καὶ πρύμναν ἐκρούσατο τῷ δεξιῷ, βουλόμενος ἔτι μᾶλλον ἐκ τοῦ κόλπου καὶ τῶν στενῶν ἔξω τοὺς πολεμίους ἐπισπάσασθαι καὶ περιπλέων εὐήρεσι σκάφεσι τοῖς ἑαυτοῦ συμπλέκεσθαι πρὸς τὰς ναῦς ὑπ' ὄγκου καὶ πληρωμάτων ὀλιγότητος ἀργὰς καὶ βραδείας.

LXVI. Ἀρχομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν εἶναι, ἐμβολαὶ μὲν οὐκ ἦσαν οὐδὲ ἀναρρήξεις νεῶν, τῶν μὲν Ἀντωνίου διὰ βάρος ῥύμην οὐκ ἐχουσῶν, ἣ μάλιστα ποιεῖ τὰς τῶν ἐμβόλων πληγὰς ἐνεργούς, τῶν δὲ Καίσαρος οὐ μόνον ἀντιπρῴρων συμφέρεσθαι πρὸς χαλκώματα στερεὰ καὶ τραχέα φυλασσομένων, ἀλλὰ μηδὲ d κατὰ πλευρὰν ἐμβολὰς διδόναι θαρρούντων. Ἀπεθραύοντο γὰρ τὰ ἔμβολα ῥᾳδίως ᾗ προσπέσειε σκάφεσι τετραγώνων ξύλων μεγάλων σιδήρῳ συνηρμοσμένων πρὸς ἄλληλα δεδμημένοις. Ἦν οὖν πεζομαχίᾳ προσφερὴς ὁ ἀγών· τὸ δὲ ἀληθέστερον εἰπεῖν, τειχομαχία. Τρεῖς γὰρ ἅμα καὶ τέσσαρες περὶ μίαν τῶν Ἀντωνίου συνείχοντο, γέρροις καὶ δόρασι καὶ κοντοῖς χρωμένων καὶ πυροβόλοις· οἱ δὲ Ἀντωνίου καὶ καταπέλταις ἀπὸ ξυλίνων πύργων ἔβαλλον. (2) Ἀγρίππου δὲ θάτερον κέρας εἰς κύκλωσιν ἐκτείνοντος, ἀντανάγειν Ποπλικόλας

coegit in naves imponere, dicens faciendum esse ne quis hostium fuga evadere possit.

LXV. Illa die et quod insecutum est eam triduo, magno vento agitatum mare pugnam remoratum est. Quinto die quum omnes venti posuissent, summaque esset tranquillitas, commissum est prœlium. Dextrum cornu Antonius et Poplicola, lævum Cœlius tenebat, medium M. Octavius, et M. Insteius; Cæsar autem sinistrum cornu Agrippæ mandavit, dextro ipse præfuit. Peditatui Antoniano Canidius, Cæsariano Taurus præfectus, aciebus in littore instructis quiescebant. (2) Quod ad duces ipsos attinet, Antonius undique circumiens, milites remis hærentes hortabatur, ut navium mole freti, tanquam ex terra pugnarent; gubernatores, ut navibus veluti stantibus sensim impetum hostium exciperent et sibi ab iniquitate locorum apud fauces caverent. Cæsari autem, quum nondum sublatis plane tenebris tentorio digressus circum naves ambularet, quidam asinum agens occurrisse traditur, isque interrogatus quis esset, respondisse, sibi Eutycho (i. e. *fortunato*), asino Niconi (i. e. *vincenti*) nomen esse. Ejus ominis causa Cæsar, quum locum istum posterius rostris navium ornaret, æreum asinum et hominem ibi posuit. (3) Quum autem ordines specularetur, navigio in dextram advectus, miratus est hostes in faucibus se continere quietos; etenim is erat Antonianæ classis aspectus, ac si naves jactis ancoris starent. Idque aliquamdiu ita esse Cæsar credidit, ob eamque causam mille ab hoste passibus suas continuit. Sexta jam diei hora erat et ventus ab alto incumbebat, quum Antoniani moræ impatientes, altitudine et mole suorum navium freti, easque ab oppugnatione tutas putantes, lævum cornu moverunt. Quod ut vidit Cæsar, gavisus est, ac retro avertere cornu dextrum suum cœpit, cupiens extra sinum et fauces educere hostes, ut agilibus suis navibus circumveniret et oppugnaret hostium naves, mole sua et remigum defectu tardas.

LXVI. Commissa pugna, mutui navium impetus ac collisiones nullæ fuerunt: nam et Antonii naves ob molem impetu destituebantur, qui maxime ictus rostrorum reddit validiores, et Cæsariani non modo adversis proris concurrere cum gravibus et æratis rostris cavebant, sed ne in latera quidem audebant invadere. Facile enim rostra suarum navium frangi videbant, impacta navigiis quæ ex magnis quadratis lignis ferro compactis constructa erant. Pedestri itaque prœlio aut verius oppugnationi murorum similis erat pugna, quum tres simul aut quattuor naves Cæsarianæ unam Antonianam circumdantes, pilis, hastis, contis et facibus ardentibus oppugnarent, Antoniani etiam balistis a turribus ligneis tela torquerent. (2) Quum vero Agrippa alterum cornu ad circumveniendos hostes abduceret, Poplicola con-

ἀναγκαζόμενος ἀπεῤῥήγνυτο τῶν μέσων. Θορυβουμένων e δὲ τούτων καὶ συμπλεκομένων τοῖς περὶ τὸν Ἀῤῥούντιον, ἀκρίτου δὲ καὶ κοινῆς ἔτι τῆς ναυμαχίας συνεστώσης, αἰφνίδιον αἱ Κλεοπάτρας ἑξήκοντα νῆες ὤφθησαν αἰρόμεναι πρὸς ἀπόπλουν τὰ ἱστία καὶ διὰ μέσου φεύγουσαι τῶν μαχομένων· ἦσαν γὰρ ὀπίσω τεταγμέναι τῶν μεγάλων καὶ διεκπίπτουσαι ταραχὴν ἐποίουν. Οἱ δὲ ἐναντίοι θαυμάζοντες ἐθεῶντο τῷ πνεύματι χρωμένας ὁρῶντες ἐπεχούσας πρὸς τὴν Πελοπόννησον. (3) Ἔνθα δὴ φανερὸν αὑτὸν Ἀντώνιος ἐποίησεν οὔτε ἄρχοντος οὔτε ἀνδρὸς οὔτε ὅλως ἰδίοις λογισμοῖς f διοικούμενος, ἀλλ' ὅπερ τις παίζων εἶπε, τὴν ψυχὴν τοῦ ἐρῶντος ἐν ἀλλοτρίῳ σώματι ζῆν, ἑλκόμενος ὑπὸ τῆς γυναικὸς ὥσπερ συμπεφυκὼς καὶ συμμεταφερόμενος. Οὐ γὰρ ἔφθη τὴν ἐκείνης ἰδὼν ναῦν ἀποπλέουσαν καὶ πάντων ἐκλαθόμενος καὶ προδοὺς καὶ ἀποδρὰς τοὺς ὑπὲρ αὐτοῦ μαχομένους καὶ θνήσκοντας εἰς πεντήρη 947 μετεμβὰς, Ἀλεξᾶ τοῦ Σύρου καὶ Σκελλίου μόνων αὐτῷ a συνεμβάντων, ἐδίωκε τὴν ἀπολωλεκυῖαν ἤδη καὶ προσαπολοῦσαν αὐτόν.

LXVII. Ἐκείνη δὲ γνωρίσασα σημεῖον ἀπὸ τῆς νεὼς ἀνέσχε· καὶ προσενεχθεὶς οὕτω καὶ ἀναληφθεὶς ἐκείνην μὲν οὔτε εἶδεν οὔτε ὤφθη, παρελθὼν δὲ μόνος εἰς πρῷραν ἐφ' ἑαυτοῦ ἐκάθητο σιωπῇ ταῖς χερσὶν ἀμφοτέραις ἐχόμενος τῆς κεφαλῆς. Ἐν τούτῳ δὲ λιβυρνίδες ὤφθησαν διώκουσαι παρὰ Καίσαρος· ὁ δὲ ἀντίπρῳρον ἐπιστρέφειν τὴν ναῦν κελεύσας τὰς μὲν ἄλλας ἀνέστειλεν, Εὐρυκλῆς δ' ὁ Λάκων ἐνέκειτο σοβαρῶς λόγχην τινὰ κραδαίνων ἀπὸ τοῦ καταστρώματος ὡς ἀφήσων ἐπ' αὐτόν. Ἐπιστάντος δὲ τῇ πρῴρᾳ b τοῦ Ἀντωνίου καὶ « Τίς οὗτος, εἰπόντος, ὁ διώκων Ἀντώνιον; » « Ἐγὼ, εἶπεν, Εὐρυκλῆς ὁ Λαχάρους τῇ Καίσαρος τύχῃ τὸν τοῦ πατρὸς ἐκδικῶν θάνατον. » Ὁ δὲ Λαχάρης ὑπ' Ἀντωνίου λῃστείας αἰτίᾳ περιπεσὼν ἐπελεκίσθη. Πλὴν οὐκ ἐνέβαλεν ὁ Εὐρυκλῆς εἰς τὴν Ἀντωνίου ναῦν, ἀλλὰ τὴν ἑτέραν τῶν ναυαρχίδων (δύο γὰρ ἦσαν) τῷ χαλκώματι πατάξας περιεῤῥόμβησε καὶ ταύτην τε πλαγίαν περιπεσοῦσαν εἷλε καὶ τῶν ἄλλων μίαν, ἐν ᾗ πολυτελεῖς σκευαὶ τῶν περὶ δίαιταν ἦσαν. (2) Ἀπαλλαγέντος δὲ τούτου, πάλιν c ὁ Ἀντώνιος εἰς τὸ αὐτὸ σχῆμα καθεὶς ἑαυτὸν ἡσυχίαν ἦγε· καὶ τρεῖς ἡμέρας καθ' ἑαυτὸν ἐν πρῴρᾳ διαιτηθεὶς, εἴθ' ὑπ' ὀργῆς εἴτ' αἰδούμενος ἐκείνην, Ταινάρῳ προσέσχεν. Ἐνταῦθα δ' αὐτοὺς αἱ συνήθεις γυναῖκες πρῶτον μὲν εἰς λόγους ἀλλήλοις συνήγαγον, εἶτα συνδειπνεῖν καὶ συγκαθεύδειν ἔπεισαν. (3) Ἤδη δὲ καὶ τῶν στρογγύλων πλοίων οὐκ ὀλίγα καὶ τῶν φίλων τινὲς ἐκ τῆς τροπῆς ἠθροίζοντο πρὸς αὐτοὺς, ἀγγέλλοντες ἀπολωλέναι τὸ ναυτικὸν, οἴεσθαι δὲ τὸ πεζὸν συνεστάναι. Ἀντώνιος δὲ πρὸς μὲν Κανίδιον ἀγγέλους ἔπεμπεν ἀναχωρεῖν διὰ Μακεδονίας εἰς Ἀσίαν τῷ στρατῷ κατὰ τάχος κελεύων, d αὐτὸς δὲ μέλλων ἀπὸ Ταινάρου πρὸς τὴν Λιβύην διαίρειν ὁλκάδα μίαν πολὺ μὲν νόμισμα, πολλοῦ δὲ ἀξίας ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὰς τῶν βασιλικῶν κομί-

tra tendere coactus, a mediis abruptus est. Qui quum perturbati cum Arruntio congrederentur, incertoque adhuc atque communi pugnaretur eventu, subito sexaginta Cleopatræ naves sublatis velis fugere per medios pugnantes conspectæ sunt. Constitutæ autem fuerant post magnas naves, itaque tum per eas se proripientes, suos conturbabant. Hostes autem mirati quidnam rei esset, secundo eas vento versus Peloponnesum tendere animadverterunt. (3) Ibi vero Antonius ostendit se neque imperatoris, neque adeo viri animum gerere, imo autem ne sui quidem ipsius animi compotem, sed ut quidam joco dixit, animum amantis in alieno vivere corpore, ita se a Cleopatra totum pendere et una trahi atque abripi, perinde ac si corpori ejus inolevisset. Simul enim et vidit navem ejus abvehi et omnium illico oblitus, proditis desertisque iis qui pro ipso pugnabant mortemque oppetebant, quinquiremem conscendit, solis Alexa Syro et Scellio comitantibus, eam quæ ipsum et se ipsam perdiderat, secutus est.

LXVII. Illa animadvertens eum venire, signum e navi extulit. Ita ad eam delatus Antonius et receptus in navem, neque ipsam conspexit, neque conspiciendum se dedit, sed in proram solus concessit, ibique tacitus utraque manu caput tenens assedit. Interim Liburnides Cæsaris insequentes apparuerunt. Jussit igitur proram hostibus obverti, et quum reliquas repulisset, Eurycles Laco acriter admodum institit ei, stans in tabulato et hastam velut in ipsum conjecturus vibrans. Is, quum e prora interrogasset Antonius, quisnam ille esset, qui adeo se persequeretur, Eurycles, inquit, sum Lacharis filius, et nunc fortuna Cæsaris ad persequendam patris mei necem utor. Lachares autem prædationis accusatus jussu Antonii securi percussus fuerat. Verumtamen non invasit in Antonii navem, sed alteram prætoriam navem (duæ enim erant) æreo rostro ictam circumegit, eamque in latus versam cepit, aliamque cum pretiosa supellectili. (2) Postquam hic discessit, Antonius priori gestu recepto quietus in prora consedit, totumque solus ita triduum, quo Tænarum perventum est, exegit, sive iratus Cleopatræ, sive ejus verecundia. Tænari mulieres familiares primum ad colloquium eos, inde ut una cœnarent et cubarent, pertraxerunt. (3) Jam eodem etiam multæ parvæ naves et quidam amicorum ex fuga conveniebant, nuntiantes classem periisse, terrestres autem copias adhuc ipsis videri integras. Itaque Antonius ad Canidium legatos mittit, ut exercitum quamprimum per Macedoniam in Asiam traducat. Ipse a Tænaro in Africam trajecturus, navem onerariam multa pecunia, aureaque et ar-

ζουσαν ἐξελόμενος τοῖς φίλοις ἐπέδωκε κοινῇ νείμασθαι καὶ σώζειν ἑαυτοὺς κελεύσας. Ἀρνουμένους δὲ καὶ κλαίοντας εὐμενῶς πάνυ καὶ φιλοφρόνως παραμυθησάμενος καὶ δεηθεὶς ἀπέστειλε γράψας πρὸς Θεόφιλον τὸν ἐν Κορίνθῳ διοικητήν, ὅπως ἀσφάλειαν ἐκπορίσῃ καὶ ἀποκρύψῃ τοὺς ἄνδρας, ἄχρι ἂν ἱλάσασθαι Καίσαρα δυνηθῶσιν. Οὗτος ἦν Θεόφιλος Ἱππάρχου πατὴρ τοῦ πλεῖστον παρὰ Ἀντωνίῳ δυνηθέντος, πρώτου δὲ πρὸς e
Καίσαρα τῶν ἀπελευθέρων μεταβαλομένου καὶ κατοικήσαντος ὕστερον ἐν Κορίνθῳ.

LXVIII. Ταῦτα μὲν οὖν τὰ κατὰ τὸν Ἀντώνιον. Ἐν Ἀκτίῳ δὲ πολὺν ὁ στόλος ἀντισχὼν Καίσαρι χρόνον καὶ μέγιστον βλαβεὶς ὑπὸ τοῦ κλύδωνος ὑψηλοῦ κατὰ πρῷραν ἱσταμένου μόλις ὥρας δεκάτης ἀπεῖπε. Καὶ νεκροὶ μὲν οὐ πλείους ἐγένοντο πεντακισχιλίων, ἑάλωσαν δὲ τριακόσιαι νῆες, ὡς αὐτὸς ἀνέγραψε Καῖσαρ. (2) Ἤσθοντο δὲ οὐ πολλοὶ πεφευγότος Ἀντωνίου, καὶ τοῖς πυθομένοις τὸ πρῶτον ἄπιστος ἦν ὁ λόγος, εἰ δέκα καὶ ἐννέα τάγματα πεζῶν ἀηττήτων καὶ δισχιλίους ἐπὶ μυρίοις ἱππεῖς ἀπολιπὼν οἴχεται, καθάπερ οὐ πολλάκις f
ἐπ' ἀμφότερα τῇ τύχῃ κεχρημένος οὐδὲ μυρίων ἀγώνων καὶ πολέμων μεταβολαῖς ἐγγεγυμνασμένος. (3) Οἱ δὲ στρατιῶται καὶ πόθον τινὰ καὶ προσδοκίαν εἶχον ὡς αὐτίκα ποθὲν ἐπιφανησομένου, καὶ τοσαύτην ἐπιδείξαντο πίστιν καὶ ἀρετήν, ὥστε καὶ τῆς φυγῆς αὐτοῦ φανερᾶς γενομένης ἡμέρας ἑπτὰ συμμεῖναι περιορῶντες ἐπιπρε-
948 σβευόμενον αὐτοῖς Καίσαρα. Τέλος δέ, τοῦ στρατηγοῦ a
Κανιδίου νύκτωρ ἀποδράντος καὶ καταλιπόντος τὸ στρατόπεδον, γενόμενοι πάντων ἔρημοι καὶ προδοθέντες ὑπὸ τῶν ἀρχόντων τῷ κρατοῦντι προσεχώρησαν. (4) Ἐκ τούτου Καῖσαρ μὲν ἐπ' Ἀθήνας ἔπλευσε καὶ διαλλαγεὶς τοῖς Ἕλλησι τὸν περιόντα σῖτον ἐκ τοῦ πολέμου διένειμε ταῖς πόλεσι πραττούσαις ἀθλίως καὶ περικεκομμέναις χρημάτων, ἀνδραπόδων, ὑποζυγίων. Ὁ γοῦν πρόπαππος ἡμῶν Νίκαρχος διηγεῖτο τοὺς πολίτας ἅπαντας ἀναγκάζεσθαι τοῖς ὤμοις καταφέρειν μέτρημα πυρῶν τεταγμένον ἐπὶ τὴν πρὸς Ἀντίκυραν θάλασσαν ὑπὸ μαστίγων ἐπιταχυνομένους· καὶ μίαν μὲν οὕτω φορὰν ἐνεγκεῖν, τὴν δὲ δευτέραν ἤδη μεμετρημένοις καὶ μέλλου- b
σιν αἴρεσθαι νενικημένον Ἀντώνιον ἀγγελθῆναι καὶ τοῦτο διασῶσαι τὴν πόλιν· εὐθὺς γὰρ τῶν Ἀντωνίου διοικητῶν καὶ στρατιωτῶν φυγόντων, διανείμασθαι τὸν σῖτον αὐτούς.

LXIX. Ἀντώνιος δὲ Λιβύης ἁψάμενος καὶ Κλεοπάτραν εἰς Αἴγυπτον ἐκ Παραιτονίου προπέμψας αὐτὸς ἀπέλαυεν ἐρημίας ἀφθόνου σὺν δυσὶ φίλοις ἀλύων καὶ πλανώμενος, Ἕλληνι μὲν Ἀριστοκράτει ῥητορικῷ, Ῥωμαίῳ δὲ Λουκιλίῳ, περὶ οὗ δι' ἑτέρων γεγράφαμεν, ὡς ἐν Φιλίπποις ὑπὲρ τοῦ διαφυγεῖν Βροῦτον αὐτὸς αὑτόν, ὡς δὴ Βροῦτος ὤν, ἐνεχείρισε τοῖς διώκουσι καὶ διασωθεὶς ὑπ' Ἀντωνίου διὰ τοῦτο πιστὸς αὐτῷ καὶ c
βέβαιος ἄχρι τῶν ἐσχάτων καιρῶν παρέμεινεν. (2) Ἐπεὶ δὲ καὶ τὴν ἐν Λιβύῃ δύναμιν ὁ πεπιστευμένος ἀπέστησεν, ὁρμήσας ἑαυτὸν ἀνελεῖν καὶ διακωλυθεὶς ὑπὸ τῶν

gentea supellectili regia onustam amicis dono dat, jubens ea inter se partiri et saluti suæ prospicere. Renuentes et flentes perquam benigne et humaniter consolatus et deprecatus dimittit; Theophilo etiam, quem procuratorem Corinthi habebat, scribit, ut viros istos occultet, securitatemque eis præbeat, dum a Cæsare veniam impetrare queant. Hic Theophilus Hipparchi pater fuit, ejus qui plurimum apud Antonium potuit; primusque libertorum ad Cæsarem transiit, ac deinde Corinthi habitavit.

LXVIII. Hic rerum Antonii erat status. Apud Actium vero quum classis Antoniana diu Cæsari restitisset, et maxime afflicta fluctibus fuisset qui ad proras magni ingruebant, decima tandem diei hora succubuit. Mortui sunt haud plures quinque millibus, captæ naves trecentæ, ut ipse Cæsar scribit. (2) Haud multi fugam Antonii animadverterant, atque audientibus primo id incredibile videri, eum novemdecim legionibus peditum, duodecim millibus equitum integris etiamnum relictis aufugisse, quasi vero non sæpe ante fortunæ vim in utramque partem expertus, neque permultis certaminibus bellisque mutationem ejus periclitatus fuisset. (3) Milites autem et desiderabant absentem et sperabant eum ad ipsos alicunde adventurum; adeoque jam cognita fuga, tantum fidei et virtutis ostenderunt, ut septem totos dies, spretis Cæsarianis legationibus, in castris permanserint. Postquam Canidius etiam noctu clam profugit et castra reliquit, destituti ab omnibus et proditi a ducibus, ita demum ad victorem concesserunt. (4) Secundum hæc Cæsar Athenas navigavit, et cum Græcis reintegrata gratia, frumentum quod a bello supererat, urbibus divisit, misere affectis, pecuniaque et mancipiis atque jumentis spoliatis. Etenim proavus noster Nicarchus referre solebat, universos suos cives coactos fuisse dimensum frumenti humeris ad mare quod est apud Anticyram deportare, flagellis incitatos; quumque semel hoc fecissent et jam secundo onus dimensum essent sublaturi, de Antonii clade allatum nuntium saluti urbi fuisse; statim enim procuratoribus ejus et militibus fuga dissipatis, ipsos inter se commeatum partitos.

LXIX. At Antonius quum Africam attigisset, præmissa a Parætonio in Ægyptum Cleopatra, abunde solitudine perfruebatur, oberrans cum duobus solis amicis, Aristocrate rhetore Græco et Lucilio Romano, quem alibi demonstravimus apud Philippos, ut Bruto effugiendi facultatem pararet, se Brutum tulisse, et insequentibus in manus tradidisse, servatumque ab Antonio, summa hunc fide usque ad extremum coluisse. (2) Quum vero in Africa etiam copiæ ab ipso ducis earum impulsu defecissent, se ipsum interficere voluit, sed ab amicis prohibitus est. Ut Alexandriam pervenit, Cleo-

φίλων καὶ κομισθεὶς εἰς Ἀλεξάνδρειαν εὗρε Κλεοπάτραν ἐπιτολμῶσαν ἔργῳ παραβόλῳ καὶ μεγάλῳ. Τοῦ γὰρ εἴργοντος ἰσθμοῦ τὴν Ἐρυθρὰν ἀπὸ τῆς κατ' Αἴγυπτον θαλάσσης καὶ δοκοῦντος Ἀσίαν καὶ Λιβύην ὁρίζειν, ᾗ σφίγγεται μάλιστα τοῖς πελάγεσι καὶ βραχύτερος εὖρός ἐστι, τριακοσίων σταδίων ὄντων, ἐνεχείρησεν ἄρασα τὸν στόλον ὑπερνεωλκῆσαι καὶ καθεῖσα τὰς ναῦς εἰς τὸν Ἀραβικὸν κόλπον μετὰ χρημάτων πολλῶν καὶ d δυνάμεως ἔξω κατοικεῖν ἀποφυγοῦσα δουλείαν καὶ πόλεμον. Ἐπεὶ δὲ τὰς πρώτας ἀνελκομένας τῶν νεῶν οἱ περὶ τὴν Πέτραν Ἄραβες κατέκαυσαν, ἔτι δὲ Ἀντώνιος τὸν ἐν Ἀκτίῳ στρατὸν ᾤετο συμμένειν, ἐπαύσατο καὶ τὰς ἐμβολὰς ἐφύλαττεν. (3) Ἀντώνιος δὲ τὴν πόλιν ἐκλιπὼν καὶ τὰς μετὰ τῶν φίλων διατριβὰς οἴκησιν ἔναλον κατεσκεύαζεν αὑτῷ περὶ τὴν Φάρον εἰς τὴν θάλασσαν χῶμα προβαλών· καὶ διῆγεν αὐτόθι φυγὰς ἀνθρώπων καὶ τὸν Τίμωνος ἀγαπᾶν καὶ ζηλοῦν βίον ἔφασκεν e ὡς δὴ πεπονθὼς ὅμοια· καὶ γὰρ αὐτὸς ἀδικηθεὶς ὑπὸ φίλων καὶ ἀχαριστηθεὶς διὰ τοῦτο καὶ πᾶσιν ἀνθρώποις ἀπιστεῖν καὶ δυσχεραίνειν.

LXX. Ὁ δὲ Τίμων ἦν Ἀθηναῖος, καὶ γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ τῶν Ἀριστοφάνους καὶ Πλάτωνος δραμάτων λαβεῖν ἔστι. Κωμῳδεῖται γὰρ ἐν ἐκείνοις ὡς δυσμενὴς καὶ μισάνθρωπος, ἐκκλίνων δὲ καὶ διωθούμενος ἅπασαν ἔντευξιν, Ἀλκιβιάδην νέον ὄντα καὶ θρασὺν ἠσπάζετο καὶ ἐφίλει προθύμως. Ἀπημάντου δὲ θαυμάσαντος καὶ πυθομένου τὴν αἰτίαν, φιλεῖν ἔφη τὸν νεανίσκον εἰδὼς ὅτι πολλῶν Ἀθηναίοις κακῶν αἴτιος ἔσοιτο. f (2) Τὸν δ' Ἀπήμαντον μόνον ὡς ὅμοιον αὑτῷ καὶ ζηλοῦντα τὴν δίαιταν ἔστιν ὅτε προσίετο· καί ποτε τῆς τῶν Χοῶν οὔσης ἑορτῆς εἱστιῶντο καθ' αὑτοὺς οἱ δύο. Τοῦ δ' Ἀπημάντου φήσαντος, « Ὡς καλόν, ὦ Τίμων, τὸ συμπόσιον ἡμῶν », « Εἴγε σύ, ἔφη, μὴ παρῇς. » (3) Λέγεται δὲ Ἀθηναίων ἐκκλησιαζόντων ἀναβὰς ἐπὶ τὸ βῆμα ποιῆσαι σιωπὴν καὶ προσδοκίαν μεγάλην διὰ 949 τὸ παράδοξον· εἶτα εἰπεῖν· « Ἔστι μοι μικρὸν οἰκό- a πεδον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ συκῆ τις ἐν αὐτῷ πέφυκεν, ἐξ ἧς ἤδη συχνοὶ τῶν πολιτῶν ἀπήγξαντο. Μέλλων οὖν οἰκοδομεῖν τὸν τόπον ἐβουλήθην δημοσίᾳ προειπεῖν, ἵνα, ἂν ἄρα τινὲς ἐθέλωσιν ὑμῶν, πρὶν ἐκκοπῆναι τὴν συκῆν, ἀπάγξωνται. » (7) Τελευτήσαντος δὲ αὐτοῦ καὶ ταφέντος Ἁλῆσι παρὰ τὴν θάλασσαν, ὤλισθε τὰ προὔχοντα τοῦ αἰγιαλοῦ· καὶ τὸ κῦμα περιελθὸν ἄβατον καὶ ἀπροσπέλαστον ἀνθρώπῳ πεποίηκε τὸν τάφον. Ἦν δ' ἐπιγεγραμμένον·

> Ἐνθάδ' ἀποῤῥήξας ψυχὴν βαρυδαίμονα κεῖμαι.
> Τοὔνομα δ' οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς ἀπόλοισθε.

Καὶ τοῦτο μὲν αὐτὸν ἔτι ζῶντα πεποιηκέναι λέγουσι, b τὸ δὲ περιφερόμενον Καλλιμάχειόν ἐστι·

> Τίμων μισάνθρωπος ἐνοικέω. Ἀλλὰ πάρελθε
> οἰμώζειν εἴπας πολλὰ πάρελθε μόνον.

LXXI. Ταῦτα μὲν περὶ Τίμωνος ἀπὸ πολλῶν ὀλίγα. Τῷ δ' Ἀντωνίῳ Κανίδιός τε τῆς ἀποβολῆς τῶν ἐν Ἀκτίῳ

patram reperit opus arduum et ingens aggressam. Intenderat enim naves per Isthmum qui Rubrum mare ab Ægyptio distinguit, videturque Asiæ et Africæ limes esse, qua is maxime utroque mari arctatur et strictior quam aliis locis trecentorum stadiorum latitudine patet, classem transferre, demissisque in Arabicum sinum cum exercitu et magna vi pecuniæ navibus, servitute et bello evitato exteras incolere regiones. Sed postquam naves, quæ primæ eo tractæ fuerant, Arabes circa Petram habitantes combusserunt, quum etiam Antonius putaret copias apud Actium suas adhuc integras esse, dimisit eum conatum, et aditui in Ægyptum occludendo se dedit. (3) Antonius, urbe et amicorum consuetudine omissa, aggere in mare apud Pharum immisso, habitationem sibi maritimam confecit, in eaque exsul hominum degebat, Timonis vitam se imitari eaque delectari dicens, eademque perpessum; nam se quoque ab amicis malam gratiam referentibus affectum injuriis, et omnes homines odisse et omnibus diffidere.

LXX. Fuit is Timon Atheniensis et tempore belli Peloponnesiaci vixit, ut ex Aristophanis et Platonis fabulis apparet. In his enim traducitur ut morosus et osor hominum; is Timon, quum omnium hominum congressum vitaret atque aspernaretur, solum Alcibiadem juvenem tunc ferocientem salutabat benigne atque amplectebatur. Et Apemanto miranti, causamque percontanti, Amo, inquit, adolescentem, quod eum novi Atheniensibus multorum malorum causam fore. (2) Solum autem Apemantum istum, ut similem sui et ejusdem vitæ sectatorem, aliquando ad se admisit; et quondam quum Choephorica sacra celebrarentur, una duo isti cœnavere; quum quidem Timon Apemanto dicenti, præclarum esse id convivium, respondit : Et vero, si quidem tu abesses. (3) Fertur aliquando frequenti Atheniensium concione suggestum conscendisse, quumque omnes novitate rei suspensi, taciti eum intuerentur et magnum quippiam exspectarent, ita locutum : « Viri Athenienses, parvus est mihi agellus, in eoque ficus, de qua se permulti civium hactenus suspenderunt. Quum itaque statuissem ibi ædificare, publice volui edicere, ut si qui vestrûm velint, suspendant se antequam ficus exscindatur. » Mortui corpus Halis sepultum est juxta mare; et littus procurrens subsedit, ac circumfusi fluctus inaccessum et invium hominis sepulcrum fecerunt. Inscriptio hæc fuit :

> Hic jaceo invisæ abrupto spiramine vitæ.
> Qui sim, ne rogitate : mali male sed pereatis.

Hanc quidem ipsum sibi fecisse dicunt. Callimachi hoc est quod circumfertur :

> Hic habito Timon, hominum osor. Tu modo perge,
> dira precare mihi plurima, perge modo.

LXXI. Hæc de Timone de multis perpauca. Canidius autem ipse amissi ad Actium exercitus nuntium Antonio

δυνάμεων αὐτάγγελος ἦλθε, καὶ τὸν Ἰουδαῖον Ἡρώδην ἔχοντά τινα τάγματα καὶ σπείρας ἤκουσε Καίσαρι προσκεχωρηκέναι καὶ τοὺς ἄλλους ὁμοίως δυνάστας ἀφίστασθαι καὶ μηδὲν ἔτι συμμένειν τῶν ἐκτός. (2) Οὐ μὴν διετάραξέ τι τούτων αὐτὸν, ἀλλὰ ὥσπερ ἄσμενος c τὸ ἐλπίζειν ἀποτεθειμένος, ἵνα καὶ τὸ φροντίζειν, τὴν μὲν ἔναλον ἐκείνην δίαιταν, ἣν Τιμώνειον ὠνόμαζεν, ἐξέλιπεν, ἀναληφθεὶς δὲ ὑπὸ τῆς Κλεοπάτρας εἰς τὰ βασίλεια πρὸς δεῖπνα καὶ πότους καὶ διανομὰς ἔτρεψε τὴν πόλιν, ἐγγράφων μὲν εἰς ἐφήβους τὸν Κλεοπάτρας παῖδα καὶ Καίσαρος, τὸ δὲ ἀπόρφυρον καὶ τέλειον ἱμάτιον Ἀντύλλῳ τῷ ἐκ Φουλβίας περιτιθεὶς, ἐφ' οἷς ἡμέρας πολλὰς καὶ συμπόσια καὶ κῶμοι καὶ θαλίαι τὴν Ἀλεξάνδρειαν κατεῖχον. (3) Αὐτοὶ δὲ τὴν μὲν τῶν ἀμιμητοβίων ἐκείνην σύνοδον κατέλυσαν, ἑτέραν δὲ συνέταξαν οὐδέν τι λειπομένην ἐκείνης ἁβρότητι καὶ τρυφαῖς καὶ πολυτελείαις, ἣν συναποθανουμένων ἐκάλουν. d Ἀπεγράφοντο γὰρ οἱ φίλοι συναποθανουμένους ἑαυτοὺς καὶ διῆγον εὐπαθοῦντες ἐν δείπνων περιόδοις. (4) Κλεοπάτρα δὲ φαρμάκων θανασίμων συνῆγε παντοδαπὰς δυνάμεις, ὧν ἑκάστης τὸ ἀνώδυνον ἐλέγχουσα προὔβαλλε τοῖς ἐπὶ θανάτῳ φρουρουμένοις. Ἐπεὶ δὲ ἑώρα τὰς μὲν ὠκυμόρους τὴν ὀξύτητα τοῦ θανάτου δι' ὀδύνης ἐπιφερούσας, τὰς δὲ πρᾳοτέρας τάχος οὐκ ἐχούσας, τῶν θηρίων ἀπεπειρᾶτο, θεωμένης αὐτῆς ἕτερον ἑτέρῳ προσφερόντων. Ἐποίει δὲ καὶ τοῦτο καθ' ἡμέραν· καὶ σχεδὸν ἐν πᾶσι μόνον εὕρισκε τὸ δῆγμα τῆς ἀσπίδος e ἄνευ σπασμοῦ καὶ στεναγμοῦ κάρον ὑπνώδη καὶ καταφορὰν ἐφελκόμενον, ἱδρῶτι μαλακῷ τοῦ προσώπου καὶ τῶν αἰσθητηρίων ἀμαυρώσει παραλυομένων ῥᾳδίως καὶ δυσχεραινόντων πρὸς τὰς ἐξεγέρσεις καὶ ἀνακλίσεις, ὥσπερ οἱ βαθέως καθεύδοντες.

LXXII. Ἅμα δὲ καὶ πρὸς Καίσαρα πρέσβεις ἔπεμπον εἰς Ἀσίαν, ἡ μὲν αἰτουμένη τὴν ἐν Αἰγύπτῳ τοῖς παισὶν ἀρχὴν, ὁ δὲ ἀξιῶν Ἀθήνησιν, εἰ μὴ δοκοίη περὶ Αἴγυπτον, ἰδιώτης καταβιῶναι. Φίλων δὲ ἀπορίᾳ καὶ ἀπιστίᾳ διὰ τὰς αὐτομολίας ὁ τῶν παίδων διδάσκαλος ἐπέμφθη πρεσβεύων Εὐφρόνιος. Καὶ γὰρ Ἀλεξᾶς ὁ Λαοδικεὺς, γνωρισθεὶς μὲν ἐν Ῥώμῃ διὰ Τιμαγένους καὶ f πλεῖστον Ἑλλήνων δυνηθεὶς, γενόμενος δὲ τῶν Κλεοπάτρας ἐπ' Ἀντώνιον ὀργάνων τὸ βιαιότατον καὶ τῶν ὑπὲρ Ὀκταουίας ἱσταμένων ἐν αὐτῷ λογισμῶν ἀνατροπεὺς, ἐπέμφθη μὲν Ἡρώδην τὸν βασιλέα τῆς μεταβο-
950λῆς ἐφέξων, αὐτοῦ δὲ καταμείνας καὶ προδοὺς Ἀντώνιον a ἐτόλμησεν εἰς ὄψιν ἐλθεῖν Καίσαρος, Ἡρώδῃ πεποιθώς. Ὤνησε δὲ αὐτὸν οὐδὲν Ἡρώδης, ἀλλ' εὐθὺς εἰρχθεὶς καὶ κομισθεὶς εἰς τὴν ἑαυτοῦ πατρίδα δέσμιος ἐκεῖ, Καίσαρος κελεύσαντος, ἀνῃρέθη. Τοιαύτην μὲν Ἀλεξᾶς ἔτι ζῶντι δίκην Ἀντωνίῳ τῆς ἀπιστίας ἐξέτισε.

LXXIII. Καῖσαρ δὲ τοὺς μὲν ὑπὲρ Ἀντωνίου λόγους οὐχ ἠνέσχετο, Κλεοπάτραν δὲ ἀπεκρίνατο μηδενὸς ἁμαρτήσεσθαι τῶν ἐπιεικῶν ἀνελοῦσαν Ἀντώνιον ἢ ἐκβαλοῦσαν. Συνέπεμψε δὲ καὶ παρ' αὐτοῦ τινα τῶν ἀπελευθέρων Θύρσον, οὐκ ἀνόητον ἄνθρωπον οὐδὲ ἀπιθάνως

attulit, simulque annuntiabatur, Herodem Judæum cum legionibus aliquot et cohortibus ad Cæsarem transivisse, defecisse etiam ceteros regulos, neque extra Ægyptum quicquam in fide manere. (2) Nihil his perturbatus, sed quasi gauderet se cum sollicitudine simul spem posuisse, maritimo suo domicilio, quod Timoneum nominabat, relicto, in regiam a Cleopatra ascitus, urbem conviviis et donis replevit. Filium Cleopatræ et Cæsaris in ephebos retulit, Antyllo suo et Fulviæ filio virilem togam dedit; ob hæc Alexandriæ per aliquot dies convivia et comessationes et festivitates celebratæ. (3) Ipse et Cleopatra conventu isto inimitabiliter viventium dissoluto, alium instituerunt, qui mollitie, luxuque et deliciis illi minime concederet, eumque cœtum commorientium appellabant. Amici enim se inter una morituros ascribebant et per ordinem redeuntibus cœnis genio serviebant. (4) Cleopatra autem letalium venenorum omnigenas copias comparabat, et in iis qui capitis damnati asservabantur periclitabatur quod minimo dolore mortem afferret. Quum vero deprehenderet ea, quæ celeriter necant, magnum dolorem secum trahere leviora autem celeritate carere, bestias etiam exploravit, ipsaque inspiciente, alii alia admota est. Id quotidie factitans, inter omnes prope unicum aspidis morsum animadvertit absque convulsione et gemitu gravem soporem et quasi veternum inducere, sudoremque mollem in facie et sensuum hebetationem, quibus detenti facile elanguerent et se excitari aut reclinari ægre ferrent, veluti qui alto somno pressi jacent.

LXXII. Simul ad Cæsarem legatos in Asiam mittunt, Cleopatra liberis suis regnum Ægypti petens, Antonius, ut sibi privato Athenis, si non in Ægypto, liceret vivere. Penuria autem amicorum et perfidia ad Cæsarem subinde transeuntium, legare coactus est Euphronium, liberorum suorum magistrum. Alexas enim Laodicensis, Romæ Antonio cognitus opera Timagenis et in summo de Græcis omnibus honore habitus, qui omnium instrumentorum, quibus Antonium Cleopatra subruit, validissimum fuerat et sana consilia, quæ in ejus animo de Octavia steterant, everterat, missus tum ab Antonio ad Herodem, ut eum in fide retineret, prodito Antonio huic se adjunxerat, eoque fretus, ausus erat in conspectum Cæsaris venire. Tametsi nihil ei profuit Herodes, quin statim in vincula conditus in patriam suam deportaretur, ibique jussu Cæsaris necaretur, et vivente adhuc Antonio perfidiæ suæ meritas pœnas persolveret.

LXXIII. Cæsar, Antonii postulatis rejectis, Cleopatræ respondit et omnia æqua pollicitus est, si vel necasset vel ejecisset Antonium, misitque una Thyrsum libertum suum, hominem haud ineptum, neque imperitum subserviendi

ἂν ἀφ' ἡγεμόνος νέου διαλεχθέντα πρὸς γυναῖκα σοβαρὰν καὶ θαυμαστὸν ὅσον ἐπὶ κάλλει φρονοῦσαν. Οὗτος b ἐντυγχάνων αὐτῇ μακρότερα τῶν ἄλλων καὶ τιμώμενος διαφερόντως ὑπόνοιαν τῷ Ἀντωνίῳ παρέσχε, καὶ συλλαβὼν αὐτὸν ἐμαστίγωσεν, εἶτα ἀφῆκε πρὸς Καίσαρα γράψας, ὡς ἐντρυφῶν καὶ περιφρονῶν παροξύνειεν αὐτὸν εὐπαρόξυντον ὑπὸ κακῶν ὄντα. « Σὺ δέ, εἰ μὴ φέρεις τὸ πρᾶγμα, ἔφη, μετρίως, ἔχεις ἐμὸν ἀπελεύθερον Ἵππαρχον. Τοῦτον κρεμάσας μαστίγωσον, ἵνα ἴσον ἔχωμεν. » (2) Ἐκ τούτου Κλεοπάτρα μὲν ἀπολυομένη τὰς αἰτίας καὶ ὑπονοίας ἐθεράπευεν αὐτὸν περιττῶς· c καὶ τὴν ἑαυτῆς γενέθλιον ταπεινῶς διαγαγοῦσα καὶ ταῖς τύχαις πρεπόντως, τὴν ἐκείνου πᾶσαν ὑπερβαλλομένη λαμπρότητα καὶ πολυτέλειαν ἑώρτασεν, ὥστε πολλοὺς τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον πένητας ἐλθόντας ἀπελθεῖν πλουσίους. Καίσαρα δὲ Ἀγρίππας ἀνεκαλεῖτο πολλάκις ἀπὸ Ῥώμης γράφων, ὡς τῶν ἐκεῖ πραγμάτων τὴν παρουσίαν αὐτοῦ ποθούντων.

imperatoris juvenis mandato ad mulierem fastuosam et mirifice forma sua superbientem. Is Thyrsus quum prolixius atque reliqui cum Cleopatra colloqueretur et in maximo haberetur honore, movit Antonio sinistras suspiciones, isque eum correptum flagris cecidit et ad Cæsarem remisit, scribens in hanc sententiam : Insultans mihi et me contemnens Thyrsus irritavit, alioquin irritabilem ob adversas res; quodsi id factum gravius fers, habes meum libertum Hipparchum : hunc suspende et flagella, ut par reddas. (2) Porro autem Cleopatra Antonium, suspiciones ejus et offensas diluens, summo studio demeruit, quumque suum natalem intra modum et fortunæ convenienter celebrasset, ipsius natalitia immenso splendore et sumptu egit, ita ut multi eorum qui ad cœnam vocati pauperes venissent, divites discesserint. Cæsarem interim Agrippa crebris literis Romam revocabat, quod res urbis præsentiam ejus flagitare diceret.

LXXIV. Ἔσχεν οὖν ἀναβολὴν ὁ πόλεμος τότε· τοῦ δὲ χειμῶνος παρελθόντος, αὖθις ἐπῄει διὰ Συρίας, οἱ δὲ στρατηγοὶ διὰ Λιβύης. Ἁλόντος δὲ Πηλουσίου, λόγος ἦν ἐνδοῦναι Σέλευκον οὐκ ἀκούσης τῆς Κλεοπάτρας. Ἡ δὲ ἐκείνου μὲν γυναῖκα καὶ παῖδας Ἀντωνίῳ κτεῖναι παρεῖχεν, d αὐτὴ δὲ θήκας ἔχουσα καὶ μνήματα κατεσκευασμένα περιττῶς εἴς τε κάλλος καὶ ὕψος, ἃ προσῳκοδόμησε τῷ ναῷ τῆς Ἴσιδος, ἐνταῦθα τῶν βασιλικῶν συνεφόρει τὰ πλείστης ἄξια σπουδῆς, χρυσόν, ἄργυρον, σμάραγδον, μαργαρίτην, ἔβενον, ἐλέφαντα, κινάμωμον· ἐπὶ πᾶσι δὲ δᾷδα πολλὴν καὶ στυππεῖον, ὥστε δείσαντα περὶ τῶν χρημάτων Καίσαρα, μὴ τραπομένη πρὸς ἀπόγνωσιν ἡ γυνὴ διαφθείρῃ καὶ καταφλέξῃ τὸν πλοῦτον, ἀεί τινας ἐλπίδας αὐτῇ φιλανθρώπους προσπέμπειν ἅμα τῷ στρατῷ πορευόμενον ἐπὶ τὴν πόλιν. (2) Ἱδρυθέντος δὲ αὐτοῦ περὶ τὸν ἱππόδρομον, Ἀντώνιος ἐπεξελ- e θὼν ἠγωνίσατο λαμπρῶς καὶ τροπὴν τῶν Καίσαρος ἱππέων ἐποίησε καὶ κατεδίωξεν ἄχρι τοῦ στρατοπέδου. Μεγαλυνόμενος δὲ τῇ νίκῃ παρῆλθεν εἰς τὰ βασίλεια καὶ τὴν Κλεοπάτραν κατεφίλησεν ἐν τοῖς ὅπλοις καὶ τὸν ἠγωνισμένον προθυμότατα τῶν στρατιωτῶν συνέστησεν. Ἡ δὲ ἀριστεῖον αὐτῷ θώρακα χρυσοῦν καὶ κράνος ἔδωκεν. Ἐκεῖνος μὲν οὖν ὁ ἄνθρωπος λαβὼν ταῦτα διὰ νυκτὸς ηὐτομόλησε πρὸς Καίσαρα.

LXXIV. Quo factum est ut bello tempus produceretur. Exacta hieme, Cæsar rursus per Syriam, legati ejus per Africam in Ægyptum duxerunt. Capto Pelusio, rumor exstitit urbem eam a Seleuco non injussu Cleopatræ deditam. Cleopatra autem uxorem ejus et liberos Antonio necandos præbuit; ipsa quum haberet cellas et monumenta pulchritudine et altitudine insigni exstructa apud fanum Isidis, cui ea erant annexa, eo regiæ gazæ præcipua congessit, aurum, argentum, smaragdum, uniones, ebenum ebur, cinnanomum : tum faces stuppamque multam, ita ut Cæsar, veritus ne rebus desperatis mulier tantas opes perderet et incendio aboleret, semper missis nuntiis bonam spem ei ostenderit, atque ipse interim exercitum ad Alexandriam duxerit. (2) Quum apud Circum castra posuisset, Antonius egressus præclare pugnavit, fusosque Cæsaris equites usque ad castra est insecutus. Hac elatus victoria, in regiam adiit, et armatus Cleopatram osculatus est, atque hunc, cujus præcipua eo prœlio fuerat virtus, ei commendavit, quem Cleopatra aureo thorace et galea donavit. Iste vero ea nocte cum præmiis suis ad Cæsarem perfugit.

LXXV. Πάλιν δὲ Ἀντώνιος ἔπεμπε Καίσαρα μονομαχῆσαι προκαλούμενος. Ἀποκριναμένου δὲ ἐκείνου πολλὰς ὁδοὺς Ἀντωνίῳ παρεῖναι θανάτων, συμφρονήσας f ὅτι τοῦ διὰ μάχης οὐκ ἔστιν αὐτῷ βελτίων θάνατος, ἔγνω καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλατταν ἐπιχειρεῖν. Καὶ παρὰ δεῖπνον, ὡς λέγεται, τοὺς οἰκέτας ἐκέλευσεν ὑποχεῖν καὶ προθυμότερον εὐωχεῖν αὐτόν· ἄδηλον γὰρ εἰ τοῦτο ποιήσουσιν αὔριον ἢ δεσπόταις ἑτέροις ὑπηρετήσουσιν, αὐτὸς δὲ κείσεται σκελετὸς καὶ τὸ μηδὲν γενόμενος. Τοὺς δὲ φίλους ἐπὶ τούτοις δακρύοντας ὁρῶν ἔφη, μὴ προάξειν ἐπὶ τὴν μάχην, ἐξ ἧς αὐτῷ θάνατον εὐκλεᾶ μᾶλλον ἢ σωτηρίαν ζητεῖν καὶ νίκην. (2) Ἐν

LXXV. Rursum Antonius Cæsarem misso nuntio ad duellum provocavit. Quum is respondisset, Antonio multas ad mortem vias patere, sentiens nullam quam prœlio honestiorem mortis oppetendæ rationem esse, statuit terra marique cum hoste congredi. Itaque fertur in cœna famulis jussisse ut infunderent et lautiores cœnas apponerent, quod incertum esset, an idem cras facturi essent, an vero ipso mortuo et ad nihilum redacto, aliis dominis ministraturi. Lacrimantes autem ad hoc amicos cernens, dixit se non ducturum ad pugnam, qua mortem potius honestam quam salutem et victoriam sit quæsiturus. (2) Ea nocte perhi-

951 ταύτῃ τῇ νυκτὶ λέγεται, μεσούσης σχεδὸν, ἐν ἡσυχίᾳ a καὶ κατηφείᾳ τῆς πόλεως διὰ φόβον καὶ προσδοκίαν τοῦ μέλλοντος οὔσης, αἰφνίδιον ὀργάνων τε παντοδαπῶν ἐμμελεῖς τινας φωνὰς ἀκουσθῆναι καὶ βοὴν ὄχλου μετ' εὐασμῶν καὶ πηδήσεων σατυρικῶν, ὥσπερ θιάσου τινὸς οὐκ ἀθορύβως ἐξελαύνοντος· εἶναι δὲ τὴν ὁρμὴν ὁμοῦ τι διὰ τῆς πόλεως μέσης ἐπὶ τὴν πύλην ἔξω τὴν τετραμμένην πρὸς τοὺς πολεμίους, καὶ ταύτῃ τὸν θόρυβον ἐκπεσεῖν πλεῖστον γενόμενον. Ἐδόκει δὲ τοῖς ἀναλογιζομένοις τὸ σημεῖον ἀπολείπειν ὁ θεὸς Ἀντώνιον, ᾧ μάλιστα συνεξομοιῶν καὶ συνοικειῶν ἑαυτὸν διετέλεσεν.

LXXVI. Ἅμα δὲ ἡμέρᾳ τὸν πεζὸν αὐτὸς ἐπὶ τῶν b πρὸ τῆς πόλεως λόφων ἱδρύσας ἐθεᾶτο τὰς ναῦς ἀνηγμένας καὶ ταῖς τῶν πολεμίων προσφερομένας· καὶ περιμένων ἔργον τι παρ' ἐκείνων ἰδεῖν ἡσύχαζεν. Οἱ δὲ ὡς ἐγγὺς ἐγένοντο, ταῖς κώπαις ἠσπάσαντο τοὺς Καίσαρος, ἐκείνων τε ἀντασπασαμένων, μετεβάλοντο καὶ πάσαις ἅμα ταῖς ναυσὶν ὁ στόλος εἷς γενόμενος ἐπέπλει πρὸς τὴν πόλιν ἀντίπρῳρος. Τοῦτο Ἀντώνιος ἰδὼν ἀπελείφθη μὲν εὐθὺς ὑπὸ τῶν ἱππέων μεταβαλομένων, ἡττηθεὶς δὲ τοῖς πεζοῖς ἀνεχώρησεν εἰς τὴν πόλιν, ὑπὸ Κλεοπάτρας προδεδόσθαι βοῶν οἷς δι' ἐκείνην ἐπολέμησεν. (2) Ἡ δὲ τὴν ὀργὴν αὐτοῦ φοβηθεῖσα καὶ τὴν c ἀπόνοιαν, εἰς τὸν τάφον κατέφυγε καὶ τοὺς καταῤῥάκτας ἀφῆκε κλείθροις καὶ μοχλοῖς καρτεροὺς ὄντας· πρὸς δὲ Ἀντώνιον ἔπεμψε τοὺς ἀπαγγελοῦντας ὅτι τέθνηκε. Πιστεύσας δὲ ἐκεῖνος καὶ εἰπὼν πρὸς αὑτὸν, « Τί ἔτι μέλλεις, Ἀντώνιε; τὴν μόνην ἡ τύχη καὶ λοιπὴν ἀφῄρηκε τοῦ φιλοψυχεῖν πρόφασιν, » εἰσῆλθεν εἰς τὸ δωμάτιον καὶ τὸν θώρακα παραλύων καὶ διαστέλλων, « Ὦ Κλεοπάτρα, εἶπεν, οὐκ ἄχθομαί σου στερόμενος· αὐτίκα γὰρ εἰς ταὐτὸν ἀφίξομαι· ἀλλ' ὅτι γυναικὸς ὁ τηλικοῦτος αὐτοκράτωρ εὐψυχίᾳ πεφώραμαι λειπόμενος. » (3) Ἦν δέ τις οἰκέτης αὐτοῦ πιστὸς Ἔρως ὄνομα. Τοῦτον ἐκ πολλοῦ παρακεκληκὼς, εἰ δεήσειεν, d ἀνελεῖν αὐτὸν ἀπῄτει τὴν ὑπόσχεσιν. Ὁ δὲ σπασάμενος τὸ ξίφος ἀνέσχετο μὲν, ὡς παίσων ἐκεῖνον, ἀποστρέψας δὲ τὸ πρόσωπον ἑαυτὸν ἀπέκτεινε. Πεσόντος δ' αὐτοῦ πρὸς τοὺς πόδας, ὁ Ἀντώνιος, « Εὖγ', εἶπεν, ὦ Ἔρως, ὅτι μὴ δυνηθεὶς αὐτὸς ἐμὲ ποιεῖν ὃ δεῖ διδάσκεις, » καὶ παίσας διὰ τῆς κοιλίας ἑαυτὸν ἀφῆκεν εἰς τὸ κλινίδιον. Ἦν δὲ οὐκ εὐθυθάνατος ἡ πληγή. Διὸ καὶ τῆς φορᾶς τοῦ αἵματος, ἐπεὶ κατεκλίθη, παυσαμένης, ἀναλαβὼν ἐδεῖτο τῶν παρόντων ἐπισφάττειν αὐτόν. Οἱ δὲ ἔφευγον ἐκ τοῦ δωματίου, βοῶντος καὶ σφαδάζοντος, ἄχρι οὗ παρὰ Κλεοπάτρας ἧκε Διομήδης ὁ γραμματεὺς κομίζειν e αὐτὸν ὡς ἐκείνην εἰς τὸν τάφον κελευσθείς.

LXXVII. Γνοὺς οὖν ὅτι ζῇ, προθύμως ἐκέλευσεν ἄρασθαι τοῖς ὑπηρέταις τὸ σῶμα καὶ διὰ χειρῶν προσεκομίσθη ταῖς θύραις τοῦ οἰκήματος. Ἡ δὲ Κλεοπάτρα τὰς μὲν θύρας οὐκ ἀνέῳξεν, ἐκ δὲ θυρίδων τινῶν φανεῖσα σειρὰς καὶ καλώδια καθίει. Καὶ τούτοις ἐναψάντων τὸν Ἀντώνιον ἀνεῖλκεν αὐτὴ καὶ δύο γυναῖκες, ἃς μόνας

bent jam media, quum civitas futuri metu exspectationeque tristis ac tacita quiesceret, subito omnis generis instrumentorum cantus quosdam concinnos exauditos esse, clamoremque multitudinis ovantis, et choreas Satyricas ducentis strepitum veluti ingenti tumultu bacchantium; grassatam autem hanc turbam per mediam urbem usque ad exteriorem urbis portam, quæ hostibus obverteretur; ea tumultum excidisse, quum quidem fuisset maximus. Id ostentum ita interpretantur, Antonium tum a deo, quem maxime imitatus fuerat, desertum fuisse.

LXXVI. Orto sole peditatum Antonius in tumulis ante urbem collocavit, navesque suas quietus spectavit, quæ adversus hostiles subvehebantur, sperans eas aliquod facinus edituras. Sed Antoniani quum prope Cæsaris classem venissent, eam salutarunt, salutatique vicissim Cæsarianis se adjunxerunt et una de duabus facta classis ad urbem proris conversis accessit. Dum id contemplatur Antonius, statim etiam equitatus eum destituit, victusque pedestri conflictu, in urbem rediit, vociferans se a Cleopatra iis proditum quos, propter istam hostes cepisset. (2) Cleopatra autem iram ejus timens et rebus desperatis insaniam, in sepulcrum confugit, et validis seris atque obicibus munitum ostium pensile demisit, missis ad Antonium qui mortem obiisse ipsam renuntiarent. Antonius ita esse rem credens, hæc ad se ipsum: Quid præterea cunctaris, Antoni? Solam unicamque causam, cur vivere cuperes, fortuna abstulit; statimque ingressus in conclave, thoracem solvit atque dimovit et, O Cleopatra, inquit, non dolet mihi quod te spoliatus sum, mox enim ad te perveniam, sed quod tantus imperator animi fortitudine a muliere victus sum. (3) Erat Antonio servus, nomine Eros, quem jam pridem hortatus fuerat, ut jussus ipsum interficeret. Is quum id quod olim in se receperat, tum præstare juberetur, stricto gladio, quum Antonium videretur icturus, averso vultu se ipsum confodit et ad heri pedes accidit. Tum Antonius: Bene, inquit, o Eros, qui quod facere non poteras, mihi quomodo faciendum esset ostendisti; simulque vulnus sibi in ventrem ingessit et in lectum se demisit. Verum ea plaga non statim exanimatus fuit. Itaque impetu sanguinis, ut decubuit, represso, viribus resumptis, præsentes oravit ut se jugularent. Illi vero e domo profugerunt, clamantem atque calcitrantem relinquentes, tandem Diomedes scriba venit, missus a Cleopatra, jubensque eum ad ipsam in monumentum afferri.

LXXVII. Antonius, Cleopatram vivere cognito, statim tollendum se famulis præbuit manibusque eorum ad fores usque domicilii, in quo ea erat, portatus est. Cleopatra, foribus non apertis, in conspectum veniens ex fenestris restes et funiculos demisit, quibus implicatum ipsa et duæ quas solas secum in monumentum receperat mulieres at-

ἐδέξατο μεθ' αὑτῆς εἰς τὸν τάφον. Οὐδὲν ἐκείνου λέγουσιν οἰκτρότερον γενέσθαι οἱ παραγενόμενοι θέαμα. Πεφυρμένος γὰρ αἵματι καὶ δυσθανατῶν εἵλκετο τὰς χεῖρας ὀρέγων εἰς ἐκείνην καὶ παραιωρούμενος. Οὐ γὰρ ἦν f
γυναιξὶ ῥᾴδιον τὸ ἔργον, ἀλλὰ μόλις ἡ Κλεοπάτρα ταῖν χεροῖν ἐμπεφυκυῖα καὶ κατατεινομένη τῷ προσώπῳ τὸν δεσμὸν ἀνελάμβανεν, ἐπικελευομένων τῶν κάτωθεν αὐτῇ καὶ συναγωνιώντων. (2) Δεξαμένη δὲ αὐτὸν οὕτως καὶ
952 κατακλίνασα περιερρήξατό τε τοὺς πέπλους ἐπ' αὐτῷ a
καὶ τὰ στέρνα τυπτομένη καὶ σπαράττουσα ταῖς χερσὶ καὶ τῷ προσώπῳ τοῦ αἵματος ἀναματτομένη δεσπότην ἐκάλει καὶ ἄνδρα καὶ αὐτοκράτορα· καὶ μικροῦ δεῖν ἐπιλέληστο τῶν αὑτῆς κακῶν οἴκτῳ τῶν ἐκείνου. Καταπαύσας δὲ τὸν θρῆνον αὐτῆς Ἀντώνιος ᾔτησε πιεῖν οἶνον, εἴτε διψῶν, εἴτε συντομώτερον ἐλπίζων ἀπολυθήσεσθαι. Πιὼν δὲ παρῄνεσεν αὐτῇ τὰ μὲν ἑαυτῆς, ἂν ᾖ μὴ μετ' αἰσχύνης, σωτήρια τίθεσθαι μάλιστα τῶν Καίσαρος ἑταίρων Προκληΐῳ πιστεύουσαν· αὐτὸν δὲ μὴ θρηνεῖν ἐπὶ ταῖς ὑστάταις μεταβολαῖς, ἀλλὰ μακαρίζειν ὧν ἔτυχε καλῶν, ἐπιφανέστατος ἀνθρώπων γενόμενος καὶ πλεῖστον ἰσχύσας καὶ νῦν οὐκ ἀγεννῶς Ῥω- b
μαῖος ὑπὸ Ῥωμαίου κρατηθείς.

LXXVIII. Ὅσον δὲ οὔπω ἀπολιπόντος αὐτοῦ Προκλήϊος ἧκε παρὰ Καίσαρος. Ἐπεὶ γὰρ ἑαυτὸν πατάξας ὁ Ἀντώνιος ᾤχετο πρὸς Κλεοπάτραν κομιζόμενος, Δερκεταῖός τις τῶν δορυφόρων λαβὼν τὸ ἐγχειρίδιον αὐτοῦ καὶ ἀποκρύψας ὑπεξῆλθε καὶ δραμὼν πρὸς Καίσαρα πρῶτος ἤγγειλε τὴν Ἀντωνίου τελευτὴν καὶ τὸ ξίφος ἔδειξεν ᾑμαγμένον. Ὁ δὲ ὡς ἤκουσεν, ἐνδοτέρω τῆς σκηνῆς ἀποστὰς ἀπεδάκρυσεν ἄνδρα κηδεστὴν γενόμενον καὶ συνάρχοντα καὶ πολλῶν ἀγώνων καὶ πραγμάτων κοινωνόν. Εἶτα τὰς ἐπιστολὰς λαβὼν καὶ τοὺς φίλους καλέσας ἀνεγίνωσκεν, ὡς εὐγνώμονα γράφοντος c
αὐτοῦ καὶ δίκαια φορτικὸς ἦν καὶ ὑπερήφανος ἀεὶ περὶ τὰς ἀποκρίσεις ἐκεῖνος. (2) Ἐκ δὲ τούτου τὸν Προκλήϊον ἔπεμψε κελεύσας, ἢν δύνηται, μάλιστα τῆς Κλεοπάτρας ζώσης κρατῆσαι· καὶ γὰρ ἐφοβεῖτο περὶ τῶν χρημάτων καὶ μέγα πρὸς δόξαν ἡγεῖτο τοῦ θριάμβου καταγαγεῖν ἐκείνην. Εἰς μὲν οὖν χεῖρας τῷ Προκληΐῳ συνελθεῖν οὐκ ἠθέλησεν· ἐγίνοντο δὲ λόγοι τῷ οἰκήματι προσελθόντος ἔξωθεν αὐτοῦ κατὰ θύρας ἐπιπέδους, ἀποκεκλεισμένας μὲν ὀχυρῶς, φωνῇ δὲ διέξοδον ἐχούσας. Καὶ διελέχθησαν ἡ μὲν αἰτουμένη τοῖς παισὶ τὴν βασιλείαν, ὁ δὲ θαρρεῖν καὶ πάντα πιστεύειν Καίσαρι κελεύων.

LXXIX. Ὡς δὲ κατιδὼν τὸν τόπον ἀπήγγειλε Καί- d
σαρι, Γάλλος μὲν ἐπέμφθη πάλιν ἐντευξόμενος αὐτῇ καὶ πρὸς τὰς θύρας ἐλθὼν ἐπίτηδες ἐμήκυνε τὸν λόγον. Ἐν τούτῳ δὲ Προκλήϊος κλίμακος προστεθείσης διὰ τῆς θυρίδος εἰσῆλθεν, ᾗ τὸν Ἀντώνιον αἱ γυναῖκες ἐδέξαντο. Καὶ πρὸς τὰς θύρας αὐτὰς εὐθύς, αἷς ἡ Κλεοπάτρα παρειστήκει προσέχουσα τῷ Γάλλῳ, κατέβαινεν ὑπηρέτας ἔχων δύο μεθ' αὑτοῦ. (2) Τῶν δὲ συγκαθειργμένων τῇ Κλεοπάτρᾳ γυναικῶν τῆς ἑτέρας ἀνακραγούσης, « Τά-

traxerunt. Qui interfuerunt, nullum eo miserabilius spectaculum exstitisse asserunt. Sanguine enim repletus et moribundus in altum attrahebatur, manus Cleopatræ intendens et aliquamdiu libratus (non enim facile id opus mulieri fuit), sed ægre omnino Cleopatra manibus incumbens et facie virium contentionem indicante funem in sublime pertraxit, acclamantibus qui infra astabant, et communem anxietatem testantibus. (2) Postquam eum accepit et reclinavit, vestes super eo suas discidit, pectus percussit, manibusque laniavit, faciem sanguine ejus inquinavit, dominum eum invocans et maritum et imperatorem; suorumque prope oblita est malorum præ ejus miseratione. Antonius quum lamentationem ejus sedasset, vinum poposcit, incertum an sitiens an eo citius se animam exhalaturum sperans. Postquam bibit, hortatus eam est, ut suis rebus, quantum citra dedecus posset, consuleret et ex omnibus Cæsaris amicis Proculeio potissimum fidem haberet; ipsum vero ob extremam hanc mutationem non lugeret, sed beatum potius prædicaret, tot bonis perfunctum et clarissimam hominum famam adeptum, summamque potentiam, nunc quoque citra turpitudinem victum, Romanum a Romano.

LXXVIII. Vixdum exspiraverat, quum a Cæsare missus Proculeius adfuit. Nam simul atque Antonius vulnere sibi illato ad Cleopatram gestatus fuit, Dercetæus quidam stipatorum pugionem eum occulte abripuit et ad Cæsarem clam accurrit, primusque ei de Antonii obitu retulit, cruentum ostendens pugionem. Cæsar, eo nuntio accepto, in tentorii parte interiori substitit, deploravitque virum, collegam quondam suum et affinem, præterea multorum bellorum ac negotiorum socium. Literis deinde arreptis, amicos convocavit, et coram iis recitavit, ut viderent quam justa et æqua ipse scripsisset et quam arroganter et superbe semper Antonius respondisset. (2) Proculeium deinde misit, mandans ut, si qua ratione posset, Cleopatram vivam in potestatem redigeret; nam et pecuniæ ejus metuebat, et triumpho suo plurimum gloriæ accessurum intelligebat, si ipsam in eo duxisset. Sed Cleopatra manibus Proculeii se credere noluit; verum cellæ foris aggressus, ad valvas in plano sitas, valide admodum munitas, voci tamen pervias, colloquium cum ea habuit. Petebat autem in colloquio liberis suis regnum, Proculeio consolante et ut Cæsari omnia crederet jubente.

LXXIX. Ut vero loci naturam speculatus Cæsari rem detexit, rursum Gallus missus est qui cum ea colloqueretur; quumque is ad fores astans sermonem de industria traheret, interim Proculeius admotis scalis ad fenestram, qua receptus fuerat a mulieribus Antonius, evasit cum duobus famulis, statimque ad fores ipsas, ubi astabat Cleopatra Gallum attendens, descendit. (2) Illa, altera una inclusarum mulierum vociferante: Viva caperis, o misera Cleopatra,

λαινα Κλεοπάτρα, ζωγρεῖ,» μεταστραφεῖσα καὶ θεασαμένη τὸν Προκλήιον ὥρμησε μὲν αὑτὴν πατάξαι· παρεζωσμένη e γὰρ ἐτύγχανέ τι τῶν ληστρικῶν ξιφιδίων, προσδραμὼν δὲ ταχὺ καὶ περισχὼν αὐτὴν ταῖς χερσὶν ἀμφοτέραις ὁ Προκλήιος, «Ἀδικεῖς, ἔφη, ὦ Κλεοπάτρα, καὶ σεαυτὴν καὶ Καίσαρα, μεγάλην ἀφαιρουμένη χρηστότητος ἐπίδειξιν αὐτοῦ καὶ διαβάλλουσα τὸν πρᾳότατον ἡγεμόνων ὡς ἄπιστον καὶ ἀδιάλλακτον.» Ἅμα δὲ καὶ τὸ ξίφος αὐτῆς παρείλετο καὶ τὴν ἐσθῆτα, μὴ κρύπτοι τι φάρμακον, ἐξέσεισεν. Ἐπέμφθη δὲ καὶ παρὰ Καίσαρος τῶν ἀπελευθέρων Ἐπαφρόδιτος, ᾧ προσετέτακτο ζῶσαν αὐτὴν φυλάττειν ἰσχυρῶς ἐπιμελόμενον, τἄλλα πρὸς τὸ ῥᾷστον ἐνδιδόναι καὶ ἥδιστον.

LXXX. Αὐτὸς δὲ Καῖσαρ εἰσήλαυνεν εἰς τὴν πόλιν Ἀρείῳ τῷ φιλοσόφῳ προσδιαλεγόμενος καὶ τὴν δεξιὰν f ἐνδεδωκώς, ἵν' εὐθὺς ἐν τοῖς πολίταις περίβλεπτος εἴη καὶ θαυμάζοιτο τιμώμενος ὑπ' αὐτοῦ διαπρεπῶς. Εἰς δὲ τὸ γυμνάσιον εἰσελθὼν καὶ ἀναβὰς ἐπὶ βῆμά τι πεποιημένον, ἐκπεπληγμένων ὑπὸ δέους τῶν ἀνθρώπων καὶ προσπιπτόντων, ἀναστῆναι κελεύσας ἔφη πάσης αἰτίας τὸν δῆμον ἀφιέναι, πρῶτον μὲν διὰ τὸν κτίστην
953 Ἀλέξανδρον, δεύτερον δὲ τῆς πόλεως θαυμάζων τὸ κάλλος a καὶ τὸ μέγεθος, τρίτον δὲ Ἀρείῳ τῷ ἑταίρῳ χαριζόμενος. (2) Ταύτης δὴ τῆς τιμῆς ἔτυχε παρὰ Καίσαρος Ἄρειος καὶ τῶν ἄλλων ἐξῃτήσατο συχνούς· ὧν ἦν καὶ Φιλόστρατος, ἀνὴρ εἰπεῖν μὲν ἐξ ἐπιδρομῆς τῶν πώποτε σοφιστῶν ἱκανώτατος, εἰσποιῶν δὲ μὴ προσηκόντως ἑαυτὸν τῇ Ἀκαδημίᾳ. Διὸ καὶ Καῖσαρ αὐτοῦ βδελυττόμενος τὸν τρόπον οὐ προσίετο τὰς δεήσεις. Ὁ δὲ πώγωνα πολιὸν καθεὶς καὶ φαιὸν ἱμάτιον περιβαλόμενος ἐξόπισθεν Ἀρείῳ παρηκολούθει τοῦτον ἀεὶ τὸν στίχον ἀναφθεγγόμενος·

Σοφοὶ σοφοὺς σώζουσιν, ἂν ὦσιν σοφοί.

Πυθόμενος δὲ Καῖσαρ καὶ τοῦ φθόνου μᾶλλον Ἄρειον b ἢ τοῦ δέους Φιλόστρατον ἀπαλλάξαι βουλόμενος διῆκε.

LXXXI. Τῶν δὲ Ἀντωνίου παίδων ὁ μὲν ἐκ Φουλβίας Ἄντυλλος ὑπὸ Θεοδώρου τοῦ παιδαγωγοῦ παραδοθεὶς ἀπέθανε· καὶ τὴν κεφαλὴν αὐτοῦ τῶν στρατιωτῶν ἀποτεμόντων, ὁ παιδαγωγὸς ἀφελὼν ὃν ἐφόρει περὶ τῷ τραχήλῳ πολυτιμότατον λίθον εἰς τὴν ζώνην κατέρραψεν· ἀρνησάμενος δὲ καὶ φωραθεὶς ἀνεσταυρώθη. (2) Τὰ δὲ Κλεοπάτρας παιδία φρουρούμενα μετὰ τῶν τρεφόντων ἐλευθέριον εἶχε δίαιταν. Καισαρίωνα δὲ τὸν ἐκ Καίσαρος γεγονέναι λεγόμενον ἡ μὲν μήτηρ ἐξέπεμψε μετὰ χρημάτων πολλῶν εἰς τὴν Ἰνδικὴν δι' Αἰθιοπίας, c ἕτερος δὲ παιδαγωγὸς ὅμοιος Θεοδώρῳ Ῥόδων ἀνέπεισεν ἐπανελθεῖν, ὡς Καίσαρος αὐτὸν ἐπὶ βασιλείαν καλοῦντος. Βουλευομένου δὲ Καίσαρος, Ἄρειον εἰπεῖν λέγουσιν·

Οὐκ ἀγαθὸν πολυκαισαρίη.

LXXXII. Τοῦτον μὲν οὖν ὕστερον ἀπέκτεινε μετὰ τὴν Κλεοπάτρας τελευτήν. Ἀντώνιον δὲ πολλῶν αἰτουμένων θάψαι καὶ βασιλέων καὶ στρατηγῶν οὐκ ἀφεί-

conversa, ut vidit Proculeium, sica, qua tum forte accincta erat, ferire se ipsam intendit; sed Proculeius celeriter accurrens eam utraque manu corripuit, et, Te ipsam Cæsaremque injuria afficis, insignem ei humanitatis suæ demonstrandæ occasionem præripiens et perfidiæ animique implacabilis insimulans clementissimum imperatorem. Simul et gladium ei ademit, et vestem, ne quid veneni occultaret, excussit. Missus est etiam a Cæsare Epaphroditus libertus, cui injunctum erat ut vivam eam omni cura asservaret, cetera omnia quam lenissime et blandissime ei præberet.

LXXX. Ipse autem Cæsar Alexandriam invectus est, cum Ario philosopho colloquens dextramque ejus tenens, ut is eximio in honore ab ipso habitus, statim in oculis civium admirationeque esset. Gymnasium deinde ingressus, suggestum ad id erectum conscendit, Alexandrinisque metu consternatis et ad terram collapsis, surgere jussit, omni se culpa liberare populum dicens, primum ob Alexandrum urbis auctorem, deinde ob admirabilem urbis pulchritudinem, tertio in gratiam Arii amici. (2) Hoc honore Cæsar Arium affecit, multosque etiam alios precibus ejus condonavit. Horum unus fuit etiam Philostratus, ad dicendum ex tempore omnium qui unquam fuere rhetorum paratissimus, sed qui se inter Academicos importune ingereret. Itaque Cæsar etiam mores ejus abominans, preces aspernabatur, ille vero canam demittens barbam et pullum amictum gerens, Arium a tergo sequebatur, hunc identidem versum occinens,

Sapiens sapientibus est saluti, si sapit.

Quod quum esset ad Cæsarem allatum, magis ut Arium invidia quam metu Philostratum liberaret, hominem missum fecit.

LXXXI. De liberis autem Antonii, Antyllus Fulvia natus, a Theodoro pædagogo traditus ad necem est. Cujus quum caput milites amputassent, gemmam pretiosissimam, quam in collo gestaverat, surripuit Theodorus, cinguloque insuit; quumque eam se habere negaret et manifestus furti factus esset, in crucem actus est. (2) Liberi Cleopatræ una cum alumnis in custodia liberaliter habiti sunt. Cæsarioni vero, cujus pater Julius Cæsar ferebatur, a matre cum magna vi pecuniæ per Æthiopiam in Indiam amandato, similis Theodoro pædagogus Rhodon ut rediret persuasit, a Cæsare eum ad regnum accersi dicens. Deliberante super eo Cæsare, Arius dixisse fertur:

Haud equidem expediet tibi multos Cæsares esse.

LXXXII. Hunc itaque post Cleopatræ interitum occidit. Multis vero regibus, multis ducibus Antonium ad sepulturam petentibus, cadaver ejus Cleopatræ non præripuit,

λετο Κλεοπάτρας τὸ σῶμα Καῖσαρ, ἀλλὰ ἐθάπτετο ταῖς ἐκείνης χερσὶ πολυτελῶς καὶ βασιλικῶς πᾶσιν ὡς ἐβούλετο χρῆσθαι λαβούσης. (3) Ἐκ δὲ λύπης ἅμα τοσαύτης καὶ ὀδύνης (ἀνεφλέγμηνε γὰρ αὐτῆς τὰ στέρνα τυπτομένης καὶ ἥλκωτο) πυρετῶν ἐπιλαβόντων ἠγάπησε τὴν πρόφασιν, ὡς ἀφεξομένη τροφῆς διὰ τοῦτο καὶ πα- d ραλύσουσα τοῦ ζῆν ἀκωλύτως ἑαυτήν. Ἦν δὲ ἰατρὸς αὐτῇ συνήθης Ὄλυμπος, ᾧ φράσασα τἀληθὲς ἐχρῆτο συμβούλῳ καὶ συνεργῷ τῆς καθαιρέσεως, ὡς αὐτὸς ὁ Ὄλυμπος εἴρηκεν ἱστορίαν τινὰ τῶν πραγμάτων τούτων ἐκδεδωκώς. Ὑπονοήσας δὲ Καῖσαρ ἀπειλὰς μέν τινας αὐτῇ καὶ φόβους περὶ τῶν τέκνων προσέβαλλεν, οἷς ἐκείνη καθάπερ μηχανήμασιν ὑπηρείπετο καὶ παρεδίδου τὸ σῶμα θεραπεύειν καὶ τρέφειν τοῖς χρῄζουσιν.

LXXXIII. Ἧκε δὲ καὶ αὐτὸς ἡμέρας ὀλίγας διαλιπὼν ἐντευξόμενος αὐτῇ καὶ παρηγορήσων. Ἡ δὲ ἔτυχε μὲν ἐν στιβάδι κατακειμένη ταπεινῶς, εἰσιόντι δ' αὐτῷ μονοχίτων ἀναπηδήσασα προσπίπτει, δεινῶς e μὲν ἐξηγριωμένη κεφαλὴν καὶ πρόσωπον, ὑπότρομος δὲ τῇ φωνῇ καὶ συντετηκυῖα ταῖς ὄψεσιν. Ἦν δὲ πολλὰ καὶ τῆς περὶ τὸ στέρνον αἰκίας καταφανῆ καὶ ὅλως οὐθὲν ἐδόκει τὸ σῶμα τῆς ψυχῆς ἔχειν βέλτιον. Ἡ μέντοι χάρις ἐκείνη καὶ τὸ τῆς ὥρας ἰταμὸν οὐ κατέσβεστο παντάπασιν, ἀλλὰ καίπερ οὕτως διακειμένης ἔνδοθέν ποθεν ἐξέλαμπε καὶ συνεπεφαίνετο τοῖς κινήμασι τοῦ προσώπου. (2) Κελεύσαντος δὲ τοῦ Καίσαρος αὐτὴν κατακλιθῆναι καὶ πλησίον αὐτοῦ καθίσαντος, ἥψατο μέν τινος δικαιολογίας εἰς ἀνάγκην καὶ φόβον Ἀντωνίου τὰ πεπραγμένα τρεπούσης, ἐνισταμένου δὲ πρὸς ἕκαστον αὐτῇ τοῦ Καίσαρος, ἐξελεγχομένη ταχὺ πρὸς οἶκτον f μεθηρμόσατο καὶ δέησιν, ὡς δή τις ἂν μάλιστα τοῦ ζῆν περιεχομένη. Τέλος δὲ τοῦ πλήθους τῶν χρημάτων ἀναγραφὴν ἔχουσα προσέδωκεν αὐτῷ· Σελεύκου δέ τινος τῶν ἐπιτρόπων ἐλέγχοντος ὡς ἔνια κρύπτουσαν καὶ διακλέπτουσαν, ἀναπηδήσασα καὶ τῶν τριχῶν αὐτοῦ λαβομένη πολλὰς ἐνεφόρει τῷ προσώπῳ πληγάς.
954 (3) Τοῦ δὲ Καίσαρος μειδιῶντος καὶ καταπαύοντος αὐ- a τήν, « Ἀλλ' οὐ δεινόν, εἶπεν, ὦ Καῖσαρ, εἰ σὺ μὲν ἠξίωσας ἀφικέσθαι πρὸς ἐμὲ καὶ προσειπεῖν οὕτω πράττουσαν, οἱ δὲ δοῦλοί μου κατηγοροῦσιν, εἴ τι τῶν γυναικείων ἀπεθέμην οὐκ ἐμαυτῇ δήπουθεν, ἡ τάλαινα, κόσμον, ἀλλ' ὅπως Ὀκταουίᾳ καὶ Λιβίᾳ τῇ σῇ μικρὰ δοῦσα δι' ἐκείνων ἵλεω σου τύχοιμι καὶ πρᾳοτέρου; » Τούτοις ὁ Καῖσαρ ἥδετο παντάπασιν αὐτὴν φιλοψυχεῖν οἰόμενος. Εἰπὼν οὖν ὅτι καὶ ταῦτα ἐπιτρέπει καὶ τἆλλα πάσης ἐλπίδος αὐτῇ χρήσεται λαμπρότερον, ᾤχετο ἀπιών, ἐξηπατηκέναι μὲν οἰόμενος, ἐξηπατημένος δὲ μᾶλλον.

LXXXIV. Ἦν δὲ Κορνήλιος Δολοβέλλας ἐπιφανὴς νεανίσκος ἐν τοῖς Καίσαρος ἑταίροις. Οὗτος εἶχε πρὸς b τὴν Κλεοπάτραν οὐκ ἀηδῶς· καὶ τότε χαριζόμενος αὐτῇ δεηθείσῃ κρύφα πέμψας ἐξήγγειλεν, ὡς αὐτὸς μὲν ὁ Καῖσαρ ἀναζεύγνυσι πεζῇ διὰ Συρίας, ἐκείνην δὲ μετὰ τῶν τέκνων ἀποστέλλειν εἰς τρίτην ἡμέραν ἔγνωκεν. (2) Ἡ

sed illius manibus tumulari passus est, regio luxu, omnia quæ vellet suppeditans. (3) Illa quum ex luctu tanto et doloribus (nam pectus ob ictus intumuerat et exulcerabatur) in febrim incidisset, gavisa est eo se prætextu cibo abstinendi et vita se nemine obstante privandi facultatem nactam. Olympo medico familiari suo re indicata, eum consultorem et adjutorem in consumendo corpore suo habuit, ut ipse Olympus edita harum rerum historia testatur. Cæsar quum id sensisset, minas et terrores de nece filiorum objecit, quibus ea quasi machinis subruebatur et corpus curandum alendumque volentibus præbuit.

LXXXIII. Paucis post diebus ipse Cæsar eam colloquendi et consolandi causa adiit. Recumbebat tum lectulo humi strato, ingressoque Cæsare exsiluit et ad pedes ejus accidit, unica tantum tunica velata, caput et faciem graviter fœdata, voce tremula, oculis colliquatis, multisque in pectore verberum notis exstantibus, atque corpore quam animo haud levius affecto. Gratia tamen et protervitas formæ haud plane exstincta erat, sed sic quoque afflicta elucebat extrinsecus quodam modo et e motibus vultus effulgebat. (2) Quum recumbere eam Cæsar jussisset et juxta assedisset, orsa quidem excusationem quandam est, metu et vi Antonii acta, quæ egisset, dicens, singula autem Cæsare refellente, victa ad deprecationem et misericordiam concitandam se convertit, tanquam summam vitæ cupiditatem præ se ferens, tandem consignationem pecuniarum ei tradidit. Ibi quum Seleucus quidam, unus de procuratoribus, eam argueret quod celaret et subtraheret quædam, exsiluit, crinibusque arrepto multas plagas in faciem ingessit. (3) Subridente Cæsare et eam inhibente, An non indignum est, inquit, o Cæsar, facinus, quum tu me ita miseram convenire et alloqui dignatus sis, servos meos audere me accusare, quod de mundo muliebri aliquid reservarim, non profecto id mei ornandæ causa, sed ut Octaviæ et Liviæ tuæ iis munusculis datis, earum opera te placato et clementiore utar? Gratus is sermo Cæsari fuit, omnino eam vivere cupere putanti. Itaque id modo fatus, se ei quum hoc liberum facere, tum omni spe majorem humanitatem suam ipsam esse experturam, abiit, deceptus, quum se ei imposuisse ipse opinaretur.

LXXXIV. Erat inter amicos Cæsaris Cornelius Dolabella, illustris juvenis. Is Cleopatræ, cui nonnihil cupiebat, et precanti tunc hoc dedit, ut clam misso nuntio indicaret Cæsarem per Syriam terrestri itinere reditum parare ipsamque cum liberis tertio die amandaturum. (2) Quo ea ac-

δὲ ἀκούσασα ταῦτα πρῶτον μὲν ἐδεήθη Καίσαρος, ὅπως αὐτὴν ἐάσῃ χοὰς ἐπενεγκεῖν Ἀντωνίῳ· καὶ συγχωρήσαντος, ἐπὶ τὸν τάφον κομισθεῖσα καὶ περιπεσοῦσα τῇ σορῷ μετὰ τῶν συνήθων γυναικῶν, « Ὦ φίλε Ἀντώνιε, εἶπεν, ἔθαπτον μέν σε πρῴην ἔτι χερσὶν ἐλευθέραις, c σπένδω δὲ νῦν αἰχμάλωτος οὖσα καὶ φρουρουμένη μήτε κοπετοῖς μήτε θρήνοις αἰκίσασθαι τὸ δοῦλον τοῦτο σῶμα καὶ τηρούμενον ἐπὶ τοὺς κατὰ σοῦ θριάμβους. Ἄλλας δὲ μὴ προσδέχου τιμὰς ἢ χοάς· ἀλλ' αὗταί σοι τελευταῖαι Κλεοπάτρας ἀγομένης. (3) Ζῶντας μὲν γὰρ ἡμᾶς οὐθὲν ἀλλήλων διέστησε, κινδυνεύομεν δὲ τῷ θανάτῳ διαμείψασθαι τοὺς τόπους· σὺ μὲν ὁ Ῥωμαῖος ἐνταῦθα κείμενος, ἐγὼ δ' ἡ δύστηνος ἐν Ἰταλίᾳ τοσοῦτο τῆς σῆς μεταλαβοῦσα χώρας μόνον. Ἀλλ' εἰ δή τις τῶν ἐκεῖ θεῶν ἀλκὴ καὶ δύναμις (οἱ γὰρ ἐνταῦθα προὔδωκαν ἡμᾶς), μὴ πρόῃ ζῶσαν τὴν σεαυτοῦ γυναῖκα μηδ' ἐν ἐμοὶ περιίδῃς θριαμβευόμενον σεαυτὸν, ἀλλ' ἐνταῦθά με d κρύψον μετὰ σεαυτοῦ καὶ σύνθαψον, ὡς ἐμοὶ μυρίων κακῶν ὄντων οὐδὲν οὕτω μέγα καὶ δεινόν ἐστιν, ὡς ὁ βραχὺς οὗτος χρόνος, ὃν σοῦ χωρὶς ἔζηκα. »

LXXXV. Τοιαῦτα ὀλοφυραμένη καὶ στέψασα καὶ κατασπασαμένη τὴν σορὸν ἐκέλευσεν αὐτῇ λουτρὸν γενέσθαι. Λουσαμένη δὲ καὶ κατακλιθεῖσα λαμπρὸν ἄριστον ἠρίστα. Καί τις ἧκεν ἀπ' ἀγροῦ κίστην τινὰ κομίζων· τῶν δὲ φυλάκων ὅ τι φέροι πυνθανομένων, ἀνοίξας καὶ ἀφελὼν τὰ θρία σύκων ἐπίπλεων τὸ ἀγγεῖον ἔδειξε. Θαυμασάντων δὲ τὸ κάλλος καὶ τὸ μέγεθος, μειδιάσας παρεκάλει λαβεῖν· οἱ δὲ πιστεύσαντες ἐκέλευον εἰσενεγκεῖν. Μετὰ δὲ τὸ ἄριστον ἡ Κλεοπάτρα δέλτον e ἔχουσα γεγραμμένην καὶ κατασεσημασμένην ἀπέστειλε πρὸς Καίσαρα καὶ τοὺς ἄλλους ἐκποδὼν ποιησαμένη πλὴν τῶν δυεῖν ἐκείνων γυναικῶν τὰς θύρας ἔκλεισε. (2) Καῖσαρ δὲ λύσας τὴν δέλτον, ὡς ἐνέτυχε λιταῖς καὶ ὀλοφυρμοῖς δεομένης αὐτῆς σὺν Ἀντωνίῳ θάψαι, ταχὺ συνῆκε τὸ πεπραγμένον. Καὶ πρῶτον μὲν αὐτὸς ὥρμησε βοηθεῖν, ἔπειτα τοὺς σκεψομένους κατὰ τάχος ἔπεμψεν. Ἐγεγόνει δ' ὀξὺ τὸ πάθος. Δρόμῳ γὰρ ἐλθόντες καὶ τοὺς μὲν φυλάττοντας οὐδὲν ᾐσθημένους καταλαβόντες, τὰς δὲ θύρας ἀνοίξαντες, εὗρον αὐτὴν τεθνηκυῖαν ἐν χρυσῇ κατακειμένην κλίνῃ κεκοσμημένην βασιλικῶς. Τῶν δὲ γυναικῶν ἡ μὲν Εἰρὰς λεγομένη πρὸς τοῖς ποσὶν f ἀπέθνησκεν, ἡ δὲ Χάρμιον ἤδη σφαλλομένη καὶ καρηβαροῦσα κατεκόσμει τὸ διάδημα τὸ περὶ τὴν κεφαλὴν αὐτῆς. Εἰπόντος δέ τινος ὀργῇ, « Καλὰ ταῦτα, Χάρμιον »; « Κάλλιστα μὲν οὖν, ἔφη, καὶ πρέποντα τῇ τοσούτων ἀπογόνῳ βασιλέων. » Πλέον δὲ οὐδὲν εἶπεν, ἀλλ' αὐτοῦ παρὰ τὴν κλίνην ἔπεσε.

LXXXVI. Λέγεται δὲ τὴν ἀσπίδα κομισθῆναι σὺν τοῖς σύκοις ἐκείνοις καὶ τοῖς θρίοις ἄνωθεν ἐπικαλυφθεῖ-
955 σαν (οὕτω γὰρ τὴν Κλεοπάτραν κελεῦσαι) μηδὲ αὐτῆς a ἐπισταμένης τῷ σώματι προσπεσεῖν τὸ θηρίον· ὡς δὲ ἀφαιροῦσα τῶν σύκων εἶδεν, εἰπεῖν « Ἐνταῦθα ἦν ἄρα τοῦτο, » καὶ τὸν βραχίονα παρασχεῖν τῷ δήγματι γυμνώσασαν. Οἱ δὲ τηρεῖσθαι μὲν ἐν ὑδρίᾳ τὴν ἀσπίδα

cepta nuntio, precibus a Cæsare impetravit, uti sibi liceret Antonio parentare. Allata ad sepulcrum, una cum familiaribus mulieribus ad tumulum ejus accidit: « Nuper, inquit, mi Antoni, liberis te manibus sepelii, nunc inferias serva fero et in custodia habita, ne corpus meum, quod ad triumphum de te agendum servatur, planctu et luctu dehonestem. Alios porro honores, alia justa ne exspectaveris, hæc tibi postremum peragit Cleopatra. (3) Etenim vivos nos nihil divulsit; periculum autem est ne morte nostra loca permutemus, ut tu Romanus hic, ego infelix in Italia jaceam, hoc unum de tua patria nacta. Quodsi qua tamen Romanorum deorum (nostri enim nos prodiderunt) vis est et virtus, te obsecro, ne me dimittito vivam tuam conjugem, neve patere ex te in meo corpore triumphari, sed hic me tecum absconde et sepeli; nam de innumeris quæ passa sum malis, nihil mihi fuit grave ita atque durum, quam exiguum illud temporis spatium, quo sine te vixi. »

LXXXV. Hæc lamentata tumulum coronavit ac deosculata est, sibique lavacrum parari jussit. Postquam lavit, splendido apparato prandio accubuit. Interim ab agro quidam venit, cistam portans, interrogatusque a custodibus quid ferret, aperiens eam et folia dimovens, ficubus repletum vasculum ostendit. Mirantes pulchritudinem et magnitudinem earum, ridens accipere de iis si vellent jussit; itaque facta fide intro afferre jussus est. A prandio Cleopatra tabulam conscriptam et obsignatam ad Cæsarem misit, reliquisque, præter duas istas, de quibus supra mentio est facta, mulieres remotis, fores clausit. (2) Cæsar quum apertis literis lugubres deprecationes legisset, orantis ut una cum Antonio sepeliretur, statim quid actum esset intellexit. Ac primum ipse statuit accurrere, deinde alios eo propere adire et quid rei esset, explorare jussit. Sed acta res celeriter fuit. Quum enim cursu ad ædes perrexissent, et custodes nihil sensisse intelligerent, foribus apertis, Cleopatram mortuam in aureo lecto recumbentem offenderunt regio ornatu. De mulieribus altera, Iras nomine, ad pedes ejus animam agebat; altera, cui Charmium fuit nomen, titubans jam et capite nutans diadema in capite Cleopatræ componebat. Cui quum iratus quidam diceret, Hæccine pulchra, o Charmium? Sane, inquit, pulcherrima et digna tot regum progenie; nulloque præterea verbo emisso, exanimis ad culcitam accidit.

LXXXVI. Traditum est aspidem jussu Cleopatræ ficubus et foliis ita obtectam allatam fuisse, ut serpens ipsius ignorantis corpus invaderet; itaque ut eam ficubus dimotis conspexit, dixisse: Hic ergo erat illud; et nudatum brachium morsui exhibuisse. Alii in seria inclusam aspidem asser-

καθειργμένην φάσκουσιν, ἠλακάτῃ δέ τινι χρυσῇ τῆς Κλεοπάτρας ἐκκαλουμένης αὐτὴν καὶ διαγριαινούσης ὁρμήσασαν ἐμφῦναι τῷ βραχίονι. (2) Τὸ δὲ ἀληθὲς οὐδεὶς οἶδεν· ἐπεὶ καὶ φάρμακον αὐτὴν ἐλέχθη φορεῖν ἐν κνηστίδι κοίλῃ, τὴν δὲ κνηστίδα κρύπτειν τῇ κόμῃ· πλὴν οὔτε κηλὶς ἐξήνθησε τοῦ σώματος οὔτε ἄλλο φαρμάκου σημεῖον. Οὐ μὴν οὐδὲ τὸ θηρίον ἐντὸς ὤφθη, b συρμοὺς δέ τινας αὐτοῦ παρὰ θάλασσαν, ᾗ τὸ δωμάτιον ἀφεώρα καὶ αἱ θυρίδες ἦσαν, ἰδεῖν ἔφασκον. Ἔνιοι δὲ καὶ τὸν βραχίονα τῆς Κλεοπάτρας ὀφθῆναι δύο νυγμὰς ἔχοντα λεπτὰς καὶ ἀμυδράς· οἷς ἔοικε πιστεῦσαι καὶ ὁ Καῖσαρ. Ἐν γὰρ τῷ θριάμβῳ τῆς Κλεοπάτρας αὐτῆς εἴδωλον ἐκομίζετο καὶ τῆς ἀσπίδος ἐμπεφυκυίας. Ταῦτα μὲν οὖν οὕτω λέγεται γενέσθαι. (3) Καῖσαρ δέ, καίπερ ἀχθεσθεὶς ἐπὶ τῇ τελευτῇ τῆς γυναικός, ἐθαύμασε τὴν εὐγένειαν αὐτῆς· καὶ ταφῆναι τὸ σῶμα σὺν Ἀντωνίῳ λαμπρῶς ἐκέλευσεν. Ἐντίμου δὲ καὶ τὰ γύναια κηδείας c ἔτυχεν αὐτοῦ προστάξαντος. (4) Ἐτελεύτησε δὲ Κλεοπάτρα μὲν ἑνὸς δέοντα τεσσαράκοντα ἔτη βιώσασα καὶ τούτων δύο καὶ εἴκοσι βασιλεύσασα, συνάρξασα δὲ Ἀντωνίῳ πλείω τῶν δεκατεσσάρων. Ἀντώνιον δὲ οἱ μὲν ἕξ, οἱ δὲ τρισὶ τὰ πεντήκοντα ὑπερβαλεῖν φασιν. Αἱ μὲν οὖν Ἀντωνίου καθῃρέθησαν εἰκόνες, αἱ δὲ Κλεοπάτρας κατὰ χώραν ἔμειναν, Ἀρχιβίου τινὸς τῶν φίλων αὐτῆς δισχίλια τάλαντα Καίσαρι δόντος, ἵνα μὴ τὸ αὐτὸ ταῖς Ἀντωνίου πάθωσιν.

LXXXVII. Ἀντωνίου δὲ γενεὰν ἀπολιπόντος ἐκ τριῶν γυναικῶν ἑπτὰ παῖδας, ὁ πρεσβύτατος Ἄντυλλος ὑπὸ Καίσαρος ἀνῃρέθη μόνος· τοὺς λοιποὺς δὲ Ὀκταουία παραλαβοῦσα μετὰ τῶν ἐξ ἑαυτῆς ἔθρεψε. Καὶ Κλεο- d πάτραν μὲν τὴν ἐκ Κλεοπάτρας Ἰόβᾳ τῷ χαριεστάτῳ βασιλέων συνῴκισεν, Ἀντώνιον δὲ τὸν ἐκ Φουλβίας οὕτω μέγαν ἐποίησεν, ὥστε τὴν πρώτην παρὰ Καίσαρι τιμὴν Ἀγρίππου, τὴν δὲ δευτέραν τῶν Λιβίας παίδων ἐχόντων, τρίτον εἶναι καὶ δοκεῖν Ἀντώνιον. (2) Ἐκ δὲ Μαρκέλλου δυεῖν αὐτῇ θυγατέρων οὐσῶν, ἑνὸς δὲ υἱοῦ Μαρκέλλου, τοῦτον μὲν ἅμα παῖδα καὶ γαμβρὸν ἐποιήσατο Καῖσαρ, τῶν δὲ θυγατέρων Ἀγρίππᾳ τὴν ἑτέραν ἔδωκεν. Ἐπεὶ δὲ Μάρκελλος ἐτελεύτησε κομιδῇ νεόγαμος καὶ Καίσαρι γαμβρὸν ἔχοντα πίστιν οὐκ εὔπορον ἦν ἐκ τῶν ἄλλων φίλων ἑλέσθαι, λόγον ἡ Ὀκταουία e προσήνεγκεν, ὡς χρὴ τὴν Καίσαρος θυγατέρα λαβεῖν Ἀγρίππαν ἀφέντα τὴν ἑαυτῆς. Πεισθέντος δὲ Καίσαρος πρῶτον, εἶτα Ἀγρίππου, τὴν μὲν αὐτῆς ἀπολαβοῦσα συνῴκισεν Ἀντωνίῳ, τὴν δὲ Καίσαρος Ἀγρίππας ἔγημεν. (3) Ἀπολειπομένων δὲ τῶν Ἀντωνίου καὶ Ὀκταουίας δυεῖν θυγατέρων τὴν μὲν Δομίτιος Ἀηνόβαρβος ἔλαβε, τὴν δὲ σωφροσύνῃ καὶ κάλλει περιβόητον Ἀντωνίαν Δροῦσος, ὁ Λιβίας υἱός, πρόγονος δὲ Καίσαρος. Ἐκ τούτων ἐγένετο Γερμανικὸς καὶ Κλαύδιος, ὧν Κλαύδιος μὲν ὕστερον ἦρξε, τῶν δὲ Γερμανικοῦ παίδων Γάϊος μὲν ἄρξας ἐπιφανῶς οὐ πολὺν χρόνον ἀνῃρέθη μετὰ τέκνου καὶ γυναικός, Ἀγριππίνα δὲ υἱὸν ἐξ Ἀηνοβάρβου f Λεύκιον Δομίτιον ἔχουσα, Κλαυδίῳ Καίσαρι συνῴκησε·

vatam dicunt et aureo fuso a Cleopatra irritatam et lacessitam brachium arripuisse. (2) Quid verum sit, nemo novit; quando id quoque memoratur, eam venenum in fistula contentum capillis suis tecta gestasse. Ceterum neque macula in corpora ulla, neque aliud veneni signum apparuit, neque aspis intus reperta est, tractus modo vestigia aliquot apud mare, qua id domus et fenestræ respiciunt, visos aiunt. Quidam in brachio Cleopatræ duas tenues et obscuras puncturas conspectas perhibent, quibus et Cæsar videtur assensus. Nam in triumpho Cleopatræ imago et anguis ei inhærentis illata est. Hæc eo modo gesta narrantur. (3) Enimvero Cæsar, quamvis morte Cleopatræ magnum cepisset dolorem, indolem tamen ejus admiratus est, sepelirique eam cum Antonio splendide regioque ornatu jussit; ejusdem jussu mulieres etiam honorifice sepultæ. (4) Mortua est Cleopatra, annos nata undequadraginta, ex quibus viginti duo regnavit, socia regni amplius quattuordecim fuit. Antonium alii sex, alii tres supra quinquagesimum annos vixisse dicunt. Hujus statuæ dejectæ sunt, quod idem ne Cleopatræ etiam statuis, quæ integræ remanserunt, accideret, Archibius quidam ejus amicus bis mille talentis a Cæsare redemit.

LXXXVII. Antonius ex tribus uxoribus septem liberos reliquit, de quibus solus Antyllus, natu maximus, est a Cæsare interfectus; reliquos Octavia cum suis educavit. Et Cleopatram Cleopatra natam Jubæ regi venustissimo nuptum dedit. Antonium vero Fulviæ filium eo evexit, ut, quum apud Cæsarem primus locus Agrippæ, secundus Liviæ filiis esset, is tertium obtineret. (2) Quum vero ex Marcello duas haberet filias Octavia et unum filium Marcellum, hunc Cæsar sibi simul et filium et generum ascivit, filiarum alteram Agrippæ matrimonio conjunxit. Sed posteaquam Marcellus, nuper admodum celebratis nuptiis, fato obiit, neque Cæsari fidelem generum de reliquis amicis deligere in promptu fuit, Octavia Cæsari persuasit ut Agrippa Cæsaris filiam duceret, Marcella ipsius filia dimissa. Inducto Cæsare primum, deinde Agrippa, receptam suam Antonio collocavit, Cæsaris filiam duxit Agrippa. (3) Duæ supererant Antonii et Octaviæ filiæ; harum alteram Domitius Aenobarbus, alteram pudicitia et forma nobilem Antoniam Drusus Liviæ filius Cæsaris privignus duxit et ex ea Germanicum atque Claudium genuit; ex his Claudius posterius imperium tenuit. De Germanici liberis Caius quum brevi temporis spatio gloriose imperasset, una cum uxore et filia est occisus; Agrippina quum ex Aenobarbo filium L. Domi-

καὶ θέμενος τὸν υἱὸν αὐτῆς Κλαύδιος Νέρωνα Γερμανικὸν προσωνόμασεν. Οὗτος ἄρξας ἐφ' ἡμῶν ἀπέκτεινε τὴν μητέρα καὶ μικρὸν ἐδέησεν ὑπὸ ἐμπληξίας καὶ παραφροσύνης ἀνατρέψαι τὴν Ῥωμαίων ἡγεμονίαν, πέμπτος ἀπὸ Ἀντωνίου κατ' ἀριθμὸν διαδοχῆς γενόμενος.

ΔΗΜΗΤΡΙΟΥ ΚΑΙ ΑΝΤΩΝΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

956 Ἐπεὶ τοίνυν μεγάλαι περὶ ἀμφοτέρους γεγόνασι a μεταβολαί, πρῶτον τὰ τῆς δυνάμεως καὶ τῆς ἐπιφανείας σκοπῶμεν, ὅτι τῷ μὲν ἦν πατρῷα καὶ προκατειργασμένα, μέγιστον ἰσχύσαντος Ἀντιγόνου τῶν διαδόχων καὶ πρὸ τοῦ Δημήτριον ἐν ἡλικίᾳ γενέσθαι τὰ πλεῖστα τῆς Ἀσίας ἐπελθόντος καὶ κρατήσαντος· Ἀντώνιος δὲ χαρίεντος μὲν ἄλλως, ἀπολέμου δὲ καὶ μέγα μηδὲν εἰς δόξαν αὐτῷ καταλιπόντος γενόμενος πατρὸς, ἐπὶ τὴν Καίσαρος ἐτόλμησεν ἀρχὴν οὐδὲν αὐτῷ κατὰ γένος προσήκουσαν ἐλθεῖν καὶ τοῖς ἐκείνῳ προπεπονημένοις αὐτὸς ἑαυτὸν εἰσεποίησε διάδοχον. Καὶ τοσοῦτον ἴσχυσεν ἐκ μόνων τῶν περὶ αὐτὸν ὑπαρχόντων ὁρμώμενος, ὥστε δύο μοίρας τὰ σύμπαντα ποιησάμενος, τὴν ἑτέραν b ἑλέσθαι καὶ λαβεῖν τὴν ἐπιφανεστέραν, ἀπὼν δὲ αὐτὸς ὑπηρέταις τε καὶ ὑποστρατήγοις Πάρθους τε νικῆσαι πολλάκις καὶ τὰ περὶ Καύκασον ἔθνη βάρβαρα μέχρι τῆς Κασπίας ὤσασθαι θαλάσσης. (2) Μαρτύρια δὲ τοῦ μεγέθους αὐτῷ καὶ δι' ἃ κακῶς ἀκούει. Δημητρίῳ μὲν γὰρ ὁ πατὴρ ἠγάπησε τὴν Ἀντιπάτρου Φίλαν ὡς κρείττονα συνοικῆσαι παρ' ἡλικίαν, Ἀντωνίῳ δὲ ὁ Κλεοπάτρας γάμος ὄνειδος ἦν, γυναικὸς ὑπερβαλομένης δυνάμει καὶ λαμπρότητι πάντας πλὴν Ἀρσάκου τοὺς καθ' αὑτὴν βασιλεῖς. Ἀλλ' οὕτως ἐποίησε μέγαν ἑαυτὸν, ὥστε c τοῖς ἄλλοις μειζόνων ἢ ἐβούλετο δοκεῖν ἄξιος.

II. Ἡ μέντοι προαίρεσις, ἀφ' ἧς ἐκτήσαντο τὴν ἀρχὴν, ἄμεμπτος ἐπὶ τοῦ Δημητρίου κρατεῖν καὶ βασιλεύειν ἀνθρώπων εἰθισμένων κρατεῖσθαι καὶ βασιλεύεσθαι ζητοῦντος· ἡ δ' Ἀντωνίου χαλεπὴ καὶ τυραννικὴ καταδουλουμένου τὸν Ῥωμαίων δῆμον ἄρτι διαφυγόντα τὴν ὑπὸ Καίσαρι μοναρχίαν. Ὃ δ' οὖν μέγιστον αὐτῷ καὶ λαμπρότατόν ἐστι τῶν εἰργασμένων, ὁ πρὸς Κάσσιον καὶ Βροῦτον πόλεμος, ἐπὶ τῷ τὴν πατρίδα καὶ τοὺς πολίτας ἀφελέσθαι τὴν ἐλευθερίαν ἐπολεμήθη· Δημήτριος δὲ καὶ πρὶν εἰς τύχας ἐλθεῖν ἀναγκαίας ἐλευθερῶν τὴν Ἑλλάδα καὶ τῶν πόλεων ἐξελαύνων τὰς φρουρὰς d διετέλεσεν, οὐχ ὥσπερ Ἀντώνιος, ὅτι τοὺς ἐλευθερώσαντας τὴν Ῥώμην ἀπέκτεινεν ἐν Μακεδονίᾳ, σεμνυνόμενος. (2) Ἓν τοίνυν ἐστὶ τῶν ἐπαινουμένων Ἀντωνίου τὸ φιλόδωρον καὶ μεγαλόδωρον, ἐν ᾧ τοσοῦτον ὑπεραίρει Δημήτριος, ὥστε χαρίσασθαι τοῖς πολεμίοις ὅσα τοῖς φίλοις οὐκ ἔδωκεν Ἀντώνιος. Καίτοι ταφῆναί γε καὶ περισταλῆναι κελεύσας Βροῦτον ἐκεῖνος εὐδοκίμησεν·

tium sustulisset, Claudio Cæsari nupsit, qui et filium ejus adoptavit, ac Neronem Germanicum appellavit. Is Nero nostra ætate rerum potitus, matrem necavit, parumque abfuit quin sua vecordia et amentia Romanum imperium pessumdaret. Quintus ab Antonio ratione stirpis fuit.

DEMETRII CUM ANTONIO COMPARATIO.

I. Quum utrumque horum maximas rerum expertum esse vicissitudines demonstravimus, primo loco eorum potentiam et amplitudinem expendamus. Ea Demetrio paterna fuerunt et jam ante parta, quippe inter Alexandri successores plurimum Antigonus potuit et majorem Asiæ partem, antequam Demetrius adolevisset, obivit et in potestatem suam redegit. Antonius vero patre, egregio quidem viro, sed neque bellis claro neque magnum ullum ad gloriam momentum suis relinquente natus, ausus est Cæsaris imperium, nihil ad se propinquitatis ratione pertinens, invadere et hæreditatem eorum quæ maximis ille laboribus paraverat, sibi vindicare. Et quidem fretus his, quæ in se ipso reposita habebat, eo usque processit, ut universo Romano imperio in duas portiones distributo, alteram ipse delegerit, illustrioremque earum nactus sit, absensque administrorum et legatorum opera Parthos aliquoties vicerit et ad Caucasum accolentes gentes barbaras usque ad mare Caspium repulerit. (2) Testantur ipsius magnitudinem et ea, ob quæ male audivit. Nam Antigonum non pœnituit Philam, Antipatri filiam, Demetrio ut præstantiorem impari ætate conjungere; Antonio Cleopatræ connubium vitio est datum, mulieris quæ potentia et splendore omnes ejus ætatis, excepto Arsace, reges antecelleret. Ita vero suam ipse amplificavit potentiam, ut aliis majoribus etiam, quam appeteret, rebus dignus videretur.

II. Porro institutum imperii adipiscendi in Demetrio reprehensione vacat, qui regnum obtinere in homines regi assuetos et regem desiderantes cuperet; Antonii iniqua fuit et tyrannica cupiditas, populum Romanum in servitutem redigendi, quam nuper Cæsaris morte effugisset. Et vero bellum contra Cassium et Brutum, quod omnium ipsius facinorum maximum est et nobilissimum, eripiendæ civibus et patriæ libertatis causa ab eo gestum est. At Demetrius vel tum, quum summum haberet arbitrium necdum esset in adversas fortunas delapsus, semper Græciæ liberandæ præsidiisque ex urbibus depellendis operam impendit, quum Antonius se occisis in Macedonia Romæ liberatoribus jactaverit. (2) Jam liberalitatis magnificentia, ob quam unice laudatur Antonius, ita fuit a Demetrio superatus, ut hic hostibus largitus sit, quæ ne amicis quidem ille. Laudi sane datum Antonio fuit, quod tegi et sepeliri

οὗτος δὲ καὶ τοὺς ἀποθανόντας τῶν πολεμίων πάντας ἐκήδευσε καὶ τοὺς ἁλόντας Πτολεμαίῳ μετὰ χρημάτων καὶ δωρεῶν ἀπέπεμψεν.

III. Ὑβρισταὶ μὲν εὐτυχοῦντες ἀμφότεροι καὶ πρὸς τρυφὰς ἀνειμένοι καὶ ἀπολαύσεις. Οὐκ ἂν εἴποι δέ e τις, ὡς Δημήτριον ἐν εὐπαθείαις καὶ συνουσίαις ὄντα πράξεων καιρὸς ἐξέφυγεν, ἀλλὰ τῇ περιουσίᾳ τῆς σχολῆς ἐπεισῆγε τὰς ἡδονὰς καὶ τὴν Λαμίαν ὥσπερ τὴν μυθικὴν ἀτεχνῶς παίζων καὶ νυστάζων ἐποιεῖτο διαγωγήν. Ἐν δὲ ταῖς τοῦ πολέμου παρασκευαῖς οὐκ εἶχεν αὐτοῦ τὸ δόρυ κιττὸν οὐδὲ μύρων ὠδώδει τὸ κράνος οὐδὲ γεγανωμένος καὶ ἀνθηρὸς ἐπὶ τὰς μάχας ἐκ τῆς γυναικωνίτιδος προῄει, κοιμίζων δὲ τοὺς θιάσους καὶ τὰ βακχεῖα καταπαύων ἀμφίπολος Ἄρεος ἀνιέρου, κατὰ τὸν Εὐριπίδην, ἐγίνετο καὶ δι' ἡδονὴν ἢ ῥαθυμίαν οὐθὲν ἁπλῶς ἔπταισεν. (2) Ἀντώνιον δὲ, ὥσπερ ἐν ταῖς γραφαῖς ὁρῶμεν τοῦ Ἡρακλέους τὴν Ὀμφάλην f ὑφαιροῦσαν τὸ ῥόπαλον καὶ τὴν λεοντῆν ἀποδύουσαν, οὕτω πολλάκις Κλεοπάτρα παροπλίσασα καὶ καταθέλξασα συνέπεισεν ἀφέντα μεγάλας πράξεις ἐκ τῶν χειρῶν
957 καὶ στρατείας ἀναγκαίας ἐν ταῖς περὶ Κάνωβον καὶ a Ταφόσιριν ἀκταῖς ἀλύειν καὶ παίζειν μετ' αὐτῆς. Τέλος δὲ, ὡς ὁ Πάρις, ἐκ τῆς μάχης ἀποδρὰς εἰς τοὺς ἐκείνης κατεδύετο κόλπους· μᾶλλον δὲ ὁ μὲν Πάρις ἡττηθεὶς ἔφυγεν εἰς τὸν θάλαμον, Ἀντώνιος δὲ Κλεοπάτραν διώκων ἔφυγε καὶ προήκατο τὴν νίκην.

IV. Ἔτι Δημήτριος μὲν, οὐ κεκωλυμένον, ἀλλ' ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου γεγονὸς ἐν ἔθει τοῖς Μακεδόνων βασιλεῦσιν, ἐγάμει γάμους πλείονας, ὥσπερ Λυσίμαχος καὶ Πτολεμαῖος· ἔσχε δὲ διὰ τιμῆς ὅσας ἔγημεν· Ἀντώνιος δὲ πρῶτον μὲν ὁμοῦ δύο γυναῖκας ἠγάγετο, πρᾶγμα μηδενὶ Ῥωμαίῳ τετολμημένον, ἔπειτα b τὴν ἀστὴν καὶ δικαίως γαμηθεῖσαν ἐξήλασε τῇ ξένῃ καὶ μὴ κατὰ νόμους συνούσῃ χαριζόμενος· ὅθεν ἐκ γάμου τῷ μὲν οὐθὲν, τῷ δὲ τὰ μέγιστα τῶν κακῶν ἀπήντησεν. (2) Ἀσέβημα μέντοι τοσοῦτον δι' ἀσέλγειαν οὐθὲν ταις Ἀντωνίου πράξεσιν ὅσον ταῖς Δημητρίου πρόσεστιν. Οἱ μὲν γὰρ ἱστορικοί φασι καὶ τῆς ἀκροπόλεως ὅλης εἴργεσθαι τὰς κύνας διὰ τὸ τὴν μίξιν ἐμφανῆ μάλιστα τοῦτο ποιεῖσθαι τὸ ζῷον. Ὁ δὲ ἐν αὐτῷ τῷ Παρθενῶνι ταῖς τε πόρναις συνῆν καὶ τῶν ἀστῶν κατεπόρνευσε πολλάς· καὶ οὗ τις ἂν ἥκιστα τὰς τοιαύτας τρυφὰς καὶ ἀπολαύσεις οἴοιτο μετέχειν κακοῦ, τῆς ὠμότητος, τοῦτο ἔνεστι τῇ Δημητρίου φιληδονίᾳ, περιιδόντος, μᾶλλον c δὲ ἀναγκάσαντος οἰκτρῶς ἀποθανεῖν τὸν κάλλιστον καὶ σωφρονέστατον Ἀθηναίων φεύγοντα τὸ καθυβρισθῆναι. Συνελόντι δὲ εἰπεῖν, Ἀντώνιος μὲν ἑαυτὸν διὰ τὴν ἀκρασίαν, Δημήτριος δὲ ἄλλους ἠδίκησε.

V. Πρὸς μέντοι γονεῖς ἄμεμπτον ἑαυτὸν εἰς ἅπαντα παρέσχεν ὁ Δημήτριος· Ἀντώνιος δὲ τὸν ἀδελφὸν τῆς μητρὸς ἐξέδωκεν ἐπὶ τῷ Κικέρωνα ἀποκτεῖναι, πρᾶγμα καὶ καθ' ἑαυτὸ μιαρὸν καὶ ὠμὸν, ὡς μόλις ἂν Ἀντώνιον ἐπ' αὐτῷ συγγνώμης τυχεῖν, εἰ σωτηρίας τοῦ θείου μισθὸς ἦν ὁ Κικέρωνος θάνατος. (2) Ἃ τοίνυν ἐπιώρ-

Brutum jussisset; at Demetrius et cæsos hostes universos humavit, et captos una cum pecunia et muneribus Ptolemæo remisit.

III. Fuit quidem uterque rebus secundis voluptatibus, deliciis et libidini obnoxius, verumtamen Demetrium nemo dixerit vitæ voluptariæ et rebus venereis indulgentem rerum interim gerendarum ullas occasiones amisisse. Etenim abundantiæ otii voluptates adjungebat, et Lamiam suam, veluti eam quæ in fabulis est, animi causa oscitabundus ac ludens tractabat; bello instante, non hedera cingebatur hasta ejus, neque unguentum olebat galea, nec nitidus floridusve ex gynæceo ad pugnam prodibat, sed sopitis choris et orgiis Bacchi, minister Martis, ut ait Euripides, profani erat, omninoque nulla ei unquam ob voluptatis studium aut socordiam clades accidit. (2) Antonium vero Cleopatra, quemadmodum Herculem Omphale pingitur clava spoliare et leonis pelle exuere, sæpenumero dearmatum emollitumqne permovit ut, magnis rebus necessariisque expeditionibus omissis, in littoribus circa Canobum et Taphosirin vagaretur atque colluderet. Denique veluti Paris ex prœlio aufugiens, in ejus se gremium recipiebat, nisi quod Paris victus in cubile fugit, Antonius Cleopatram persequens certam propositam victoriam dimisit.

IV. Ad hæc Demetrius nulla lege prohibitam, sed Philippi et Alexandri exemplo receptam Macedoniæ regibus consuetudinem secutus, plures uxores duxit, sicut et Lysimachus et Ptolemæus; omnes autem, quas duxisset, honorifice tractavit. Antonius autem quum duas uxores simul habuit, quod nemo unquam Romanus ante ausus fuerat, tum civem et legitimam conjugem ejecit in gratiam peregrinæ et contra leges ascitæ. Itaque illi ob nuptias nullum, huic gravissima evenerunt mala. (2) Verumtamen ob lasciviam nullum tale ab Antonio, quale a Demetrio, flagitium est commissum. Nam historici referunt, tota arce Atheniensi solitos canes omnino arceri, quod præcipue id animal palam coit; Demetrius ipsa in æde Minervæ virginis cum scortis concubuit, multas cives Atticas stupravit. Et quod extremum potest hisce deliciis et voluptatibus adjungi crudelitatis malum, id cupiditas voluptatum ejus admisit, qui passus est, imo autem coegit pulcherrimum et pudicissimum Atheniensium miseranda morte, dum stuprum fugit, perire. In summa, Antonius se ipsum sua intemperantia, Demetrius alios injuriæ affecit.

V. Adversus parentes nihil omnino quod culpari possit Demetrius egit; Antonius matris fratrem necandum concessit, ut Ciceronis occidendi facultatem redimeret; quod facinus per se scelestum et immane est, adeo quidem ut vix veniam meruerit Antonius, si neces Ciceronis salutis avunculi merces fuisset. (2) At perjurium amborum et fœderum

χησαν ἀμφότεροι καὶ παρεσπόνδησαν, ὁ μὲν Ἀρτάβαζον συλλαβών, ὁ δὲ Ἀλέξανδρον ἀποκτείνας, Ἀντωνίῳ d μὲν ἔχει τὴν πρόφασιν ὁμολογουμένην· ἀπελείφθη γὰρ ἐν Μήδοις ὑπὸ Ἀρταβάζου καὶ προεδόθη· Δημήτριον δὲ πολλοὶ λέγουσι ψευδεῖς αἰτίας, ἐφ' οἷς ἔδρασε, πλασάμενον κατηγορεῖν ἀδικηθέντα, οὐκ ἀδικήσαντα ἀμύνασθαι. Πάλιν δὲ τῶν μὲν κατορθωμάτων αὐτουργὸς ὁ Δημήτριος γέγονε· καὶ τοὐναντίον ὁ Ἀντώνιος ἐν οἷς οὐ παρῆν καλλίστας καὶ μεγίστας διὰ τῶν στρατηγῶν ἀνῃρεῖτο νίκας.

VI. Ἐξέπεσον δὲ τῶν πραγμάτων ἀμφότεροι μὲν δι' αὐτούς, οὐ μὴν ὁμοίως, ἀλλ' ὁ μὲν ἐγκαταλειφθείς, ἀπέστησαν γὰρ αὐτοῦ Μακεδόνες, ὁ δὲ ἐγκαταλιπών, ἔφυγε γὰρ τοὺς ὑπὲρ αὐτοῦ κινδυνεύοντας· ὥστε τοῦ e μὲν ἔγκλημα εἶναι τὸ δυσμενεῖς οὕτω πρὸς αὑτὸν ἀπεργάσασθαι τοὺς μαχομένους, τοῦ δὲ τὸ παρεσκευασμένην εὔνοιαν τοιαύτην καὶ πίστιν ἐγκαταλιπεῖν. (2) Τὸν δὲ θάνατον οὐδετέρου μὲν ἔστιν ἐπαινέσαι, ψεκτὸς δὲ ὁ Δημητρίου μᾶλλον. Αἰχμάλωτός τε γὰρ ὑπέμεινε γενέσθαι καὶ καθειρχθεὶς ἠγάπησεν ἐπικερδᾶναι τριετίαν οἴνῳ καὶ γαστρί, καθάπερ τὰ ζῷα, χειροήθης γενόμενος· Ἀντώνιος δὲ δειλῶς μὲν καὶ οἰκτρῶς καὶ ἀτίμως, οὐ μὴν ἀλλὰ πρό γε τοῦ κύριον γενέσθαι τὸν πολέμιον τοῦ σώματος ἑαυτὸν ἐξήγαγεν.

violatio, quod hic Artabazum cepit, ille Alexandrum interfecit, in Antonio idoneam nanciscitur causam: fuerat enim ab eo in Media desertus atque proditus; Demetrium plerique falsis criminibus facinus suum texisse ferunt, et accusasse Alexandrum, quasi eum non affecisset injuria, sed se, læsus ab eo, defendisset. Rerum præterea gestarum laus Demetrio propria est, Antonius absens per legatos maximis et pulcherrimis est potitus victoriis.

VI. Exciderunt autem rebus uterque sua ipsius culpa, sed dissimili modo. Demetrius enim destitutus, quod Macedones ab eo defecissent, Antonius destituens suos, deseruit enim pro se pugnantes: ut culpandus ille sit, qui suos sibi milites ita infestos fecerit; hic, quod suos ita ipsi fidos et benevolos destituerit. (2) Mortem laudare neutrius possumus. Magis tamen reprehendendus Demetrius, qui captivus fieri sustinuerit, inque custodia habitus triennium lucrari, quod vino et gulæ, belluæ instar, mancipatus exigeret. Antonius trepide quidem et miserabiliter et indecore, attamen prius, quam corpore ipsius hostis potiretur, sese vitæ subduxit.

ΔΙΩΝ.

958 Ἆρά γε, ὥσπερ ὁ Σιμωνίδης φησὶν, ὦ Σόσσιε Σε- b νεκίων, τοῖς Κορινθίοις οὐ μηνίειν τὸ Ἴλιον ἐπιστρατεύσασι μετὰ τῶν Ἀχαιῶν, ὅτι κἀκείνοις οἱ περὶ Γλαῦκον ἐξ ἀρχῆς Κορίνθιοι γεγονότες συνεμάχουν προθύμως, οὕτως εἰκὸς τῇ Ἀκαδημίᾳ μήτε Ῥωμαίους μήτε Ἕλληνας ἐγκαλεῖν ἴσον φερομένους ἐκ τῆς γραφῆς ταύτης, ἣ τόν τε Βρούτου περιέχει βίον καὶ τὸν Δίωνος, ὧν ὁ μὲν αὐτῷ Πλάτωνι πλησιάσας, ὁ δὲ τοῖς λόγοις ἐντραφεὶς τοῖς Πλάτωνος, ὥσπερ ἐκ μιᾶς ὥρμησαν ἀμφότεροι παλαίστρας ἐπὶ τοὺς μεγίστους ἀγῶνας. (2) c Καὶ τὸ μὲν ὅμοια πολλὰ καὶ ἀδελφὰ πράξαντας μαρτυρῆσαι τῷ καθηγεμόνι τῆς ἀρετῆς, ὅτι δεῖ φρονήσει καὶ δικαιοσύνῃ δύναμιν ἐπὶ τὸ αὐτὸ καὶ τύχην συνελθεῖν, ἵνα κάλλος ἅμα καὶ μέγεθος αἱ πολιτικαὶ πράξεις λάβωσιν, οὐ θαυμαστόν ἐστιν. Ὡς γὰρ Ἱππόμαχος ὁ ἀλείπτης ἔλεγε τοὺς γεγυμνασμένους παρ' αὐτοῦ καὶ κρέας ἐξ ἀγορᾶς ἰδὼν φέροντας ἐπιγνῶναι πόρρωθεν, οὕτω τὸν λόγον ἐστὶν εἰκὸς τῶν πεπαιδευμένων ὁμοίως ἕπεσθαι ταῖς πράξεσιν ἐμμέλειάν τινα καὶ ῥυθμὸν ἐπιφέροντα μετὰ τοῦ πρέποντος.

II. Αἱ δὲ τύχαι τοῖς συμπτώμασι μᾶλλον ἢ ταῖς προαιρέσεσιν οὖσαι αἱ αὐταὶ συνάγουσι τῶν ἀνδρῶν τοὺς d βίους εἰς ὁμοιότητα. Προανῃρέθησαν γὰρ ἀμφότεροι τοῦ τέλους, εἰς ὃ προὔθεντο τὰς πράξεις ἐκ πολλῶν καὶ μεγάλων ἀγώνων καταθέσθαι, μὴ δυνηθέντες. Ὃ δὲ πάντων θαυμασιώτατον, ὅτι καὶ τὸ δαιμόνιον ἀμφοτέροις ὑπεδήλωσε τὴν τελευτὴν, ὁμοίως ἑκατέρῳ φάσματος εἰς ὄψιν οὐκ εὐμενοῦς παραγενομένου. (2) Καίτοι λόγος τίς ἐστι τῶν ἀναιρούντων τὰ τοιαῦτα, μηδενὶ ἂν νοῦν ἔχοντι προσπεσεῖν φάντασμα δαίμονος μηδὲ εἴδωλον, ἀλλὰ παιδάρια καὶ γύναια καὶ παραφόρους δι' ἀσθένειαν ἀνθρώπους ἔν τινι πλάνῳ ψυχῆς ἢ δυσκρασίᾳ σώματος γενομένους δόξας ἐφέλκεσθαι κενὰς καὶ ἀλλο- e κότους, δαίμονα πονηρὸν ἐν αὑτοῖς τὴν δεισιδαιμονίαν ἔχοντας. (3) Εἰ δὲ Δίων καὶ Βροῦτος, ἄνδρες ἐμβριθεῖς καὶ φιλόσοφοι καὶ πρὸς οὐδὲν ἀκροσφαλεῖς οὐδ' εὐάλωτοι πάθος, οὕτως ὑπὸ φάσματος διετέθησαν, ὥστε καὶ φράσαι πρὸς ἑτέρους, οὐκ οἶδα, μὴ τῶν πάνυ παλαιῶν τὸν ἀτοπώτατον ἀναγκασθῶμεν προσδέχεσθαι λόγον, ὡς τὰ φαῦλα δαιμόνια καὶ βάσκανα προσφθονοῦντα τοῖς ἀγαθοῖς ἀνδράσι καὶ ταῖς πράξεσιν ἐνιστάμενα ταραχὰς καὶ φόβους ἐπάγει σείοντα καὶ σφάλλοντα τὴν ἀρετὴν, ὡς μὴ διαμείναντες ἀπτῶτες ἐν τῷ καλῷ καὶ ἀκέραιοι βελτίονος ἐκείνων μοίρας μετὰ τὴν τελευτὴν τύχωσιν. Ἀλλὰ ταῦτα μὲν εἰς ἄλλον ἀνακείσθω λόγον. Ἐν τούτῳ δὲ δωδεκάτῳ τῶν παραλ- f λήλων ὄντι βίων, τὸν τοῦ πρεσβυτέρου προεισαγάγωμεν.

III. Διονύσιος ὁ πρεσβύτερος εἰς τὴν ἀρχὴν καταστὰς εὐθὺς ἔγημε τὴν Ἑρμοκράτους τοῦ Συρακουσίου
959 θυγατέρα. Ταύτην, οὔπω τῆς τυραννίδος ἱδρυμένης a

DIO.

Quod Simonides ait, Sossi Senecio, Trojanos Corinthiis qui ad Ilium cum Achivis profecti sunt non succensere, quia Iliensibus quoque Glaucus Corintho oriundus in ferendo auxilio præsto fuerit: id nos hoc loco jure dicere posse videmur, neque Romanos neque Græcos Academiam incusare debere, quum hoc libro, quo Dionis et Bruti vitam perscripsimus, æqualem utrique laudem referant, quorum ille ipsius auditor Platonis, hic in Platonica enutritus philosophia, veluti ex eadem palæstra ad pulcherrima certamina progressi sunt. (2) Jam quod uterque, quum multa alterius factis germana egisset, testimonium virtutis suæ præceptori præbuerunt, qui ad prudentiam et justitiam debere potentiam et fortunam adjungi, ut civiles actiones pulchritudinem et magnitudinem adipiscantur, docuit: id mirum non est. Nam quemadmodum Hippomachus alipta dicebat se eos qui apud ipsum exercitati essent, agnoscere, etiamsi carnem a foro ferentes eminus conspiceret; ita consentaneum est eorum qui disciplina eadem exculti sunt rationem eodem modo in rebus agendis progredi et certa eas accuratione concinnitateque et decoro tractare.

II. Porro vitas horum virorum inter se similes efficiunt etiam utriusque casus, quos fortuna magis quam consilium eosdem utrique attulit. Nam uterque prius est interfectus, quam finem actionum suarum eum, quem multis et præclaris certaminibus petebat, consequeretur; et, quod maxime mirum est, utrique etiam divinitus objecto spectro sinistro mors sua est prædicta. (2) Sane qui spectra ista impugnant, hac utuntur ratione, nemini unquam cordato imaginem genii alicujus aut spectrum offerri; pueros, mulierculas, et ob valetudinem mente parum constantes homines, animi quodam errore vel corporis intemperie affectos, inania sibi et horribilia quædam imaginari, utpote malum dæmonium in se alentes superstitionem. (3) Quodsi ergo Brutus ac Dio philosophi, animique magno robore præditi, neque ad ullam animi perturbationem proclives, ita sunt spectris commoti, ut etiam aliis ea exponerent, periculum profecto est ne antiquorum absurdissimam approbare cogamur opinionem, qui ita censuerint, malos et invidos genios æmulari infensosque esse præclaris viris, atque ideo actiones eorum impedire terroribusque et metu objectis virtutem concutere ac labefactare, ne in honesto proposito ii persistentes absque lapsu, post mortem meliori sint, quam ipsi, conditione. Verum de his alio loco dicere præstat. Nunc in hoc duodecimo Vitarum parallelarum libro, Dionis, ut quæ tempore præcesserit, priore loco exponamus.

III. Dionysius senior ut primum est rerum potitus, statim Hermocratis Syracusani duxit filiam. Hanc nondum satis confirmata tyrannide deficientes Syracusani arripue-

βεβαίως, ἀποστάντες οἱ Συρακούσιοι δεινὰς καὶ παρανόμους ὕβρεις εἰς τὸ σῶμα καθύβρισαν, ἐφ' αἷς προήκατο τὸν βίον ἑκουσίως. Διονύσιος δὲ τὴν ἀρχὴν ἀναλαβὼν καὶ κρατυνάμενος αὖθις ἄγεται δύο γυναῖκας ἅμα, τὴν μὲν ἐκ Λοκρῶν ὄνομα Δωρίδα, τὴν δὲ ἐπιχώριον Ἀριστομάχην, θυγατέρα Ἱππαρίνου, πρωτεύσαντος ἀνδρὸς Συρακουσίων καὶ Διονυσίῳ συνάρξαντος, ὅτε πρῶτον αὐτοκράτωρ ἐπὶ τὸν πόλεμον ᾑρέθη στρατηγός. (2) Λέγεται δ' ἡμέρᾳ μὲν ἀμφοτέρας ἀγαγέσθαι μιᾷ καὶ μηδενὶ γενέσθαι φανερὸς ἀνθρώπων, ὁποτέρᾳ b προτέρᾳ συνέλθοι, τὸν δὲ ἄλλον χρόνον ἴσον νέμων ἑαυτὸν διατελεῖν ἑκατέρᾳ, κοινῇ μὲν εἰθισμένων δειπνεῖν μετ' αὐτοῦ, παρὰ νύκτα δὲ ἐν μέρει συναναπαυομένων. Καίτοι τῶν Συρακουσίων ἐβούλετο τὸ πλῆθος τὴν ἐγγενῆ πλέον ἔχειν τῆς ξένης· ἀλλὰ ἐκείνῃ προτέρᾳ ὑπῆρχε τεκούσῃ τὸν πρεσβεύοντα τῆς Διονυσίου γενεᾶς υἱὸν αὐτῇ βοηθεῖν πρὸς τὸ γένος. Ἡ δὲ Ἀριστομάχη πολὺν χρόνον ἄπαις συνῴκει τῷ Διονυσίῳ καίπερ σπουδάζοντι περὶ τὴν ἐκ ταύτης τέκνωσιν, ὅς γε καὶ τὴν μητέρα τῆς Λοκρίδος αἰτιασάμενος καταφαρμακεύειν τὴν Ἀριστομάχην ἀπέκτεινε.

IV. Ταύτης ἀδελφὸς ὢν ὁ Δίων ἐν ἀρχῇ μὲν εἶχε c τιμὴν ἀπὸ τῆς ἀδελφῆς, ὕστερον δὲ τοῦ φρονεῖν διδοὺς πεῖραν ἤδη καθ' ἑαυτὸν ἠγαπᾶτο παρὰ τῷ τυράννῳ. Καὶ πρὸς ἅπασι τοῖς ἄλλοις εἴρητο τοῖς ταμίαις ὅ τι ἂν αἰτῇ Δίων διδόναι, δόντας δὲ πρὸς αὐτὸν αὐθημερὸν φράζειν. (2) Ὢν δὲ καὶ πρότερον ὑψηλὸς τῷ ἤθει καὶ μεγαλόφρων καὶ ἀνδρώδης, ἔτι μᾶλλον ἐπέδωκε πρὸς ταῦτα θείᾳ τινὶ τύχῃ Πλάτωνος εἰς Σικελίαν παραβαλόντος κατ' οὐδένα λογισμὸν ἀνθρώπινον· ἀλλὰ δαίμων τις, ὡς ἔοικε, πόῤῥωθεν ἀρχὴν ἐλευθερίας βαλλόμενος Συρακουσίοις καὶ τυραννίδος κατάλυσιν μηχανώμενος ἐκόμισεν ἐξ Ἰταλίας εἰς Συρακούσας Πλάτωνα καὶ d Δίωνα συνήγαγεν εἰς λόγους αὐτῷ, νέον μὲν ὄντα κομιδῇ, πολὺ δὲ εὐμαθέστατον ἁπάντων τῶν Πλάτωνι συγγεγονότων καὶ ὀξύτατον ὑπακοῦσαι πρὸς ἀρετήν, ὡς αὐτὸς ἔγραψε Πλάτων καὶ τὰ πράγματα μαρτυρεῖ. (3) Τραφεὶς γὰρ ἐν ἤθεσιν ὑπὸ τυράννῳ ταπεινοῖς καὶ βίου μὲν ἀνίσου καὶ καταφόβου, θεραπείας δὲ νεοπλούτου, καὶ τρυφῆς ἀπειροκάλου καὶ διαίτης ἐν ἡδοναῖς καὶ πλεονεξίαις τιθεμένης τὸ καλὸν ἐθὰς [καὶ μεστὸς] γενόμενος, ὡς πρῶτον ἐγεύσατο λόγου καὶ φιλοσοφίας e ἡγεμονικῆς πρὸς ἀρετήν, ἀνεφλέχθη τὴν ψυχὴν ταχὺ καὶ τῇ περὶ αὐτὸν εὐπειθείᾳ τῶν καλῶν ἀκάκως πάνυ καὶ νεωτερικῶς προσδοκήσας ὑπὸ τῶν αὐτῶν λόγων ὅμοια πείσεσθαι Διονύσιον ἐσπούδασε καὶ διεπράξατο ποιησάμενος σχολὴν αὐτὸν ἐντυχεῖν Πλάτωνι καὶ ἀκοῦσαι.

V. Γενομένης δὲ τῆς συνουσίας αὐτοῖς, τὸ μὲν ὅλον περὶ ἀνδρὸς ἀρετῆς, πλείστων δὲ περὶ ἀνδρείας διαπορηθέντων, ὡς πάντα μᾶλλον ὁ Πλάτων ἢ τοὺς τυράννους ἀπέφαινεν ἀνδρείους, ἐκ δὲ τούτου τραπόμενος περὶ δικαιοσύνης ἐδίδασκεν, ὡς μακάριος μὲν ὁ τῶν δικαίων, ἄθλιος δὲ ὁ τῶν ἀδίκων βίος, οὔτε τοὺς λόγους

runt, corpus ejus scelerata et fœda libidine ita violarunt, ut ultro ipsa propterea mortem sibi attulerit. Recuperata tyrannide et stabilita, Dionysius duas simul uxores ducit, unam Locrensem, nomine Dorida, alteram indigenam, Aristomacham Hipparini filiam, viri inter Syracusanos primarii, et qui Dionysii collega, quum is primum imperator ad bellum esset creatus, fuisset. (2) Fertur utriusque nuptias eadem die fecisse neque deprehendisse quenquam utri prius concubuerit; in posterum quidem æqualiter usus utraque est, ut cœnarent ambæ una et alternis noctibus una cubarent. Volebat quidem populus Syracusanus civem externæ præferri, sed Doris, edito in lucem filio, qui inter liberos Dionysii maximus natu fuit, facile principatum ejus opera obtinebat. Aristomacha autem diu cum Dionysio sterilis vixit, quanquam maritus cupiebat ex eo prolem suscipere, qui etiam matrem Doridis, quod veneficio eam Aristomachæ spem fœtus ademisse diceret, necavit.

IV. Hujus Aristomachæ frater Dio, ab initio sororis causa in honore, mox quum suæ prudentiæ documenta dedisset, propter se carus tyranno fuit; præterque cetera in honorem ejus facta, mandatum fuit quæstoribus, ut quidquid petiisset Dio, id darent; quum dedissent, eadem die id indicarent. (2) Ceterum Dioni, quum indole esset generosa, magnoque et forti præditus animo, maximum ad virtutem incrementum attulit Platonis præsentia. Nam Plato nullo humano consilio, sed divina fortuna, deo scilicet Syracusanis fundamenta libertatis eminus jaciente et tyrannidis eversionem moliente, ex Italia Syracusas venit, ibique discipulum nactus est Dionem, juvenem tum plane, sed omnium qui Platonis consuetudine essent usi ingenio ad discendum acutissimo et ad virtutis præcepta accipienda celerrimo, quod et Plato de eo scriptum reliquit, et res testatur. (3) Educatus enim apud tyrannum abjectis moribus, assuefactusque ad vitam incertam et obnoxiam metui, tum cultui novis ex divitiis instituto, luxui inepto, vitæque in voluptatibus et cupiditatibus felicitatem quærenti : ut primum orationem philosophiamque ad virtutem ducentem gustavit, celeriter animo flammas concepit, atque ex suo ingenio, quod facillime honesti rationibus duceretur atque obsequeretur, juvenili omnino ingenuaque simplicitate conjecturam faciens, Dionysium ab iisdem præceptis affectum iri, magno studio effecit ut is facta audiendi copia Platonem conveniret eumque audiret.

V. Quo in congressu quum caput disputationis de virtute esset, ac plurima de fortitudine dissererentur, Plato autem quemvis potius quam tyrannum fortem esse affirmaret, ac sermone ad justitiam converso doceret beatam justorum, miseram injustorum esse vitam, neque verba ejus, quibus sua redargui vitia putabat, æquo animo tyrannus tulit et

ἔφερεν ὁ τύραννος ὥσπερ ἐξελεγχόμενος ἤχθετό τε τοῖς f παροῦσι θαυμαστῶς ἀποδεχομένοις τὸν ἄνδρα καὶ κηλουμένοις ὑπὸ τῶν λεγομένων. Τέλος δὲ θυμωθεὶς καὶ παροξυνθεὶς ἠρώτησεν αὐτὸν, ὅ τι δὴ βουλόμενος εἰς Σικελίαν παραγένοιτο. Τοῦ δὲ φήσαντος ἀγαθὸν ἄνδρα ζητεῖν, ὑπολαβὼν ἐκεῖνος, « Ἀλλὰ νὴ τοὺς θεοὺς, εἶπε, καὶ φαίνῃ μήπω τοιοῦτον εὑρηκώς. » (2) Οἱ μὲν οὖν περὶ τὸν Δίωνα τοῦτο τέλος ᾤοντο τῆς ὀργῆς γεγονέναι καὶ a 960 τὸν Πλάτωνα σπεύδοντα συνεξέπεμπον ἐπὶ τριήρους, ἣ Πόλλιν ἐκόμιζεν εἰς τὴν Ἑλλάδα τὸν Σπαρτιάτην· ὁ δὲ Διονύσιος κρύφα τοῦ Πόλλιδος ἐποιήσατο δέησιν μάλιστα μὲν ἀποκτεῖναι τὸν ἄνδρα κατὰ πλοῦν, εἰ δὲ μὴ, πάντως ἀποδόσθαι· βλαβήσεσθαι γὰρ οὐδὲν, ἀλλ' εὐδαιμονήσειν ὁμοίως δίκαιον ὄντα, κἂν δοῦλος γένηται. Διὸ καὶ λέγεται Πόλλις εἰς Αἴγιναν φέρων ἀποδόσθαι Πλάτωνα, πολέμου πρὸς Ἀθηναίους ὄντος αὐτοῖς καὶ ψηφίσματος, ὅπως ὁ ληφθεὶς Ἀθηναίων ἐν Αἰγίνῃ πιπράσκηται. (3) Οὐ μὴν ὅ γε Δίων ἔλαττον εἶχε παρὰ τῷ Διονυσίῳ τιμῆς ἢ πίστεως, ἀλλὰ πρεσβείας τε τὰς μεγίστας διῴκει πεμπόμενος πρὸς Καρχηδονίους b ἐθαυμάσθη τε διαφερόντως· καὶ τὴν παῤῥησίαν ἔφερεν αὐτοῦ μόνου σχεδὸν ἀδεῶς λέγοντος τὸ παριστάμενον, ὡς καὶ τὴν περὶ Γέλωνος ἐπίπληξιν. Χλευαζομένης γὰρ, ὡς ἔοικε, τῆς Γέλωνος ἀρχῆς αὐτόν τε Γέλωνα τοῦ Διονυσίου γέλωτα τῆς Σικελίας γεγονέναι φήσαντος, οἱ μὲν ἄλλοι τὸ σκῶμμα προσεποιοῦντο θαυμάζειν, ὁ δὲ Δίων δυσχεράνας, « Καὶ μὴν, ἔφη, σὺ τυραννεῖς διὰ Γέλωνα πιστευθεὶς, διὰ σὲ δὲ οὐδεὶς ἕτερος πιστευθήσεται. » Τῷ γὰρ ὄντι φαίνεται κάλλιστον μὲν Γέλων ἐπιδειξάμενος θέαμα μοναρχουμένην πόλιν, αἴσχιστον δὲ Διονύσιος.

VI. Ὄντων δὲ Διονυσίῳ παίδων τριῶν μὲν ἐκ τῆς c Λοκρίδος, τεττάρων δὲ ἐξ Ἀριστομάχης, ὧν δύο ἦσαν θυγατέρες, Σωφροσύνη καὶ Ἀρέτη, Σωφροσύνην μὲν Διονυσίῳ τῷ υἱῷ συνῴκισεν, Ἀρέτη δὲ Θεαρίδῃ τῷ ἀδελφῷ. Τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ Θεαρίδου, Δίων ἔλαβε τὴν Ἀρέτην ἀδελφιδῆν οὖσαν. (2) Ἐπεὶ δὲ νοσῶν ἔδοξεν ὁ Διονύσιος ἀβιώτως ἔχειν, ἐπεχείρησεν αὐτῷ διαλέγεσθαι περὶ τῶν ἐκ τῆς Ἀριστομάχης τέκνων ὁ Δίων. Οἱ δ' ἰατροὶ τῷ μέλλοντι τὴν ἀρχὴν διαδέχεσθαι χαριζόμενοι καιρὸν οὐ παρέσχον· ὡς δὲ Τίμαιός φησι καὶ φάρμακον ὑπνωτικὸν αἰτοῦντι δόντες ἀφείλοντο τὴν αἴσθησιν αὐτοῦ θανάτῳ συνάψαντες τὸν ὕπνον. (3) Οὐ μὴν ἀλλὰ συλλόγου πρώτου τῶν φίλων d γενομένου παρὰ τὸν νέον Διονύσιον, οὕτω διελέχθη περὶ τῶν συμφερόντων πρὸς τὸν καιρὸν ὁ Δίων, ὥστε τοὺς ἄλλους ἅπαντας τῇ μὲν φρονήσει παῖδας ἀποδεῖξαι, τῇ δὲ παῤῥησίᾳ δούλους τῆς τυραννίδος ἀγεννῶς καὶ περιφόβως τὰ πολλὰ πρὸς χάριν τῷ μειρακίῳ συμβουλεύοντας. Μάλιστα δὲ αὐτοὺς ἐξέπληξε τὸν ἀπὸ Καρχηδόνος κίνδυνον ἐπικρεμάμενον τῇ ἀρχῇ δεδοικότας, ὑποσχόμενος, εἰ μὲν εἰρήνης δέοιτο Διονύσιος, πλεύσας εὐθὺς εἰς Λιβύην ὡς ἄριστα διαθήσεσθαι τὸν πόλεμον· εἰ δὲ πολεμεῖν προθυμοῖτο, θρέψειν αὐτὸς ἰδίοις τέλεσι καὶ

iis qui aderant succensuit, mirifice Platonis sermonem approbantibus eoque delinitis, tandem exasperatus, commoto animo quæsivit, cujusnam rei causa in Siciliam venisset. Quumque is responderet, se bonum virum quærere : Per deos, inquit, videris mihi talem qualem quæris nusquam invenisse. (2) Intra hunc finem iram Dionysii constituram Dio existimans Platonem urgentem ea triremi, quæ Pollidem Lacedæmonium imperatorem in Græciam revehebat, emisit. At Dionysius occulte a Pollide precibus contendit ut inter navigandum Platoni mortem afferret; sin id nollet, at saltem venderet : nihil enim id illi obfuturum, sed quamvis venditum in servitutem, utpote virum justum felicem futurum. Et fertur Pollis Æginam advectus ibi Platonem vendidisse, quum bellum Æginetis esset adversus Athenienses, et lege sancitum, ut quicumque Atheniensium Æginam venisset, is venderetur. (3) Verum hæc res nihil de honore et auctoritate Dionis apud tyrannum detraxit, sed et maximas obivit legationes missus ad Carthaginienses, et in summa fuit admiratione, ejusque fere unius libertatem Dionysius tulit, qui solus prope impavide, quod in buccam veniret, dicebat; cujus generis fuit, quum eum Geloni obloquentem increpuit. Quum enim Gelonis imperium subsannaretur ac Dionysius Gelonem Siciliæ γέλωτα (i. e. risum) fuisse diceret, reliquis cavillum id admirari se simulantibus : At vero, ait Dio, tibi propter Gelonem fides habita est, atque ita tyrannidem obtinuisti, propter te autem omnibus aliis fides denegabitur. Revera enim videtur Gelo urbem unius imperio gubernatam, rem spectatu pulcherrimam, Dionysius turpissimam demonstrasse.

VI. Erant Dionysio tres ex Locrensi uxore liberi, ex Aristomacha filii duo, totidemque filiæ, Sophrosyne et Arete, quarum illam Dionysio filio suo uxorem locavit, hanc fratri Thearidæ nuptum dedit, atque hoc mortuo, Dio Areten sororis filiam duxit. (2) Quum autem Dionysius ita decumberet, ut de vita ejus desperaretur, statuit Dio cum eo de Aristomachæ liberis colloqui, sed medici futuro successori gratificantes, eum non admiserunt. Addit Timæus, eos regi medicamentum somniferum poscenti tale porrexisse, quod sensus obstupefaceret et somno mortem adderet. (3) Primo in amicorum concilio, quum ii ad Dionysium juniorem essent convocati, eam de præsenti rerum statu atque rationibus orationem Dio habuit, ut prudentia sua reliquos omnes infantes, libertate sua mancipia tyrannidis esse, turpiterque et timide plerisque suis consiliis adolescentem adulari demonstraret. Maxime autem eos stupefecit, quum periculum, quod a Carthaginiensibus imperio imminebat, metuentibus promisit, se Dionysio pacem expetenti eam quam æquissimam confecturum, eoque nomine in Africam navigaturum; sin bellum gerere mallet, se ei

παρέξειν ἐκ τῶν ἰδίων αὐτῷ πεντήκοντα τριήρεις e πλεούσας.

VII. Ὁ μὲν οὖν Διονύσιος ἰσχυρῶς τὴν μεγαλοψυχίαν ἐθαύμασε καὶ τὴν προθυμίαν ἠγάπησεν. Οἱ δὲ ἐλέγχεσθαι τῇ λαμπρότητι καὶ ταπεινοῦσθαι τῇ δυνάμει τοῦ Δίωνος οἰόμενοι ταύτην εὐθὺς ἀρχὴν λαβόντες οὐδεμιᾶς ἐφείδοντο φωνῆς, ᾗ τὸ μειράκιον ἐξαγριαίνειν ἔμελλον πρὸς αὐτὸν ὡς ὑπερχόμενον διὰ τῆς θαλάττης τυραννίδα καὶ περισπῶντα ταῖς ναυσὶ τὴν δύναμιν εἰς τοὺς Ἀριστομάχης παῖδας ἀδελφιδοῦς ὄντας αὐτῷ. (2) Φανερώταται δὲ καὶ μέγισται τῶν εἰς φθόνον καὶ μῖσος αἰτιῶν ὑπῆρχον ἡ τοῦ βίου διαφορὰ καὶ τὸ τῆς διαίτης ἄμικτον. Οἱ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς νέου f τυράννου καὶ τεθραμμένου φαύλως ὁμιλίαν καὶ συνήθειαν ἡδοναῖς καὶ κολακείαις καταλαμβάνοντες ἀεί τινας ἔρωτας καὶ διατριβὰς ἐμηχανῶντο ῥεμβώδεις περὶ πότους καὶ γυναῖκας καὶ παιδιὰς ἑτέρας ἀσχήμονας. Ὑφ'
961 ὧν ἡ τυραννίς, ὥσπερ σίδηρος, μαλασσομένη τοῖς μὲν a ἀρχομένοις ἐφάνη φιλάνθρωπος καὶ τὸ λίαν ἀπάνθρωπον ὑπανῆκεν, οὐκ ἐπιεικείᾳ τινὶ μᾶλλον ἢ ῥᾳθυμίᾳ τοῦ κρατοῦντος ἀμβλυνομένη. (3) Ἐκ δὲ τούτου προϊοῦσα καὶ νεμομένη κατὰ μικρὸν ἡ περὶ τὸ μειράκιον ἄνεσις τοὺς ἀδαμαντίνους δεσμοὺς ἐκείνους, οἷς ὁ πρεσβύτερος Διονύσιος ἔφη δεδεμένην ἀπολείπειν τὴν μοναρχίαν, ἐξέτηξε καὶ διέφθειρεν. Ἡμέρας γάρ, ὥς φασιν, ἐνενήκοντα συνεχῶς ἔπινεν ἀρξάμενος καὶ τὴν αὐλὴν ἐν τῷ χρόνῳ τούτῳ σπουδαίοις ἀνδράσι καὶ λόγοις ἄβατον καὶ ἀνείσοδον οὖσαν μέθαι καὶ σκώμματα καὶ ψαλμοὶ καὶ b ὀρχήσεις καὶ βωμολοχίαι κατεῖχον.

VIII. Ἦν οὖν, ὡς εἰκός, ὁ Δίων ἐπαχθὴς εἰς οὐδὲν ἡδὺ καὶ νεωτερικὸν ἐνδιδοὺς ἑαυτόν. Διὸ καὶ πιθανὰ κακιῶν προσρήματα ταῖς ἀρεταῖς ἐπιφέροντες αὐτοῦ διέβαλλον, ὑπεροψίαν τὴν σεμνότητα καὶ τὴν παῤῥησίαν αὐθάδειαν ἀποκαλοῦντες. Καὶ νουθετῶν κατηγορεῖν ἐδόκει καὶ μὴ συνεξαμαρτάνων καταφρονεῖν. (2) Ἀμέλει δὲ καὶ φύσει τινὰ τὸ ἦθος ὄγκον εἶχεν αὐτοῦ καὶ τραχύτητα δυσπρόσοδον ἐντεύξει καὶ δυσξύμβολον. Οὐ γὰρ μόνον ἀνδρὶ νέῳ καὶ διατεθρυμμένῳ τὰ ὦτα κολακείαις ἄχαρις ἦν συγγενέσθαι καὶ προσάντης, πολλοὶ δὲ καὶ τῶν πάνυ χρωμένων αὐτῷ καὶ τὴν ἁπλότητα καὶ c τὸ γενναῖον ἀγαπώντων τοῦ τρόπου κατεμέμφοντο τῆς ὁμιλίας, ὡς ἀγροικότερον καὶ βαρύτερον πολιτικῶν χρειῶν τοῖς δεομένοις συναλλάσσοντα. (3) Περὶ ὧν καὶ Πλάτων ὕστερον ὥσπερ ἀποθεσπίζων ἔγραψε πρὸς αὐτὸν ἐξευλαβεῖσθαι τὴν αὐθάδειαν ὡς ἐρημίᾳ συνοικοῦσαν. Οὐ μὴν ἀλλὰ τότε πλείστου δοκῶν ἄξιος ὑπάρχειν διὰ τὰ πράγματα καὶ μόνος ἢ μάλιστα τὴν τυραννίδα σαλεύουσαν ἀνορθοῦν καὶ διαφυλάττειν ἐγίνωσκεν οὐ πρὸς χάριν, ἀλλ' ἄκοντος ὑπὸ χρείας τοῦ τυράννου πρῶτος ὢν καὶ μέγιστος.

IX. Αἰτίαν δὲ τούτου τὴν ἀπαιδευσίαν εἶναι νομί- d ζων, ἐμβαλεῖν αὐτὸν εἰς διατριβὰς ἐλευθερίους ἐφιλοτιμεῖτο καὶ γεῦσαι λόγων καὶ μαθημάτων ἠθοποιῶν, ὡς ἀρετήν τε παύσαιτο δεδιὼς καὶ τοῖς καλοῖς χαίρειν ἐθι-

quinquaginta instructas triremes suis sumptibus alere et armis dare velle.

VII. Dionysius magnopere quum magnanimitatem ejus est admiratus, tum studium gratum habuit. At qui splendorem Dionis sibi opprobrio esse et potentia se deprimi censebant, hoc arrepto principio, nihil non locuti apud tyrannum adolescentem sunt quo animum ipsius in Dionem exasperarent: hunc mari tyrannidem affectare, ac classe in Aristomachae filios imperium traducere conari. (2) Evidentissimae autem et maximae, quibus odium Dionysii adversus eum excitari posset, causae erant, victus diversa et ab aliis semota ratio. Nam ceteri jam inde ab initio adolescentis et male educati tyranni in consuetudinem voluptatum illecebris et adulationibus se ingerentes, semper amores quosdam et occupationes inutiles parabant, compotationibus hominem, mulierculis, aliisque inhonestis oblectationibus detinentes, quibus tyrannis ferri instar emollita, subditis quidem benigna videbatur, sævitia remissa nonnihil, neque hoc tam humanitate tyranni, quam socordia. (3) Sed hæc adolescentis inertia hoc fonte derivata sensim latius sese diffundens, adamantina ista vincula, quibus tyrannidem vinctam se filio relinquere Dionysius senior affirmaverat, colliquavit et pessumdedit. Nam, ut perhibent, quum semel incepisset potare, nonaginta totos dies continenter potabat, totoque illo tempore honesti viri seriique sermones aula arcebantur, quum eam interim crapulæ, jocationes, citharæ, saltationes et scurrilia ludicra possiderent.

VIII. Apparet sane invisum eo fuisse Dionem, quod nulli se jucunditati aut juvenili ludo socium adjungeret. Unde et affinia virtutibus ejus vitiorum nomina imponentes calumniabantur, gravitatem fastui, libertatem superbiæ, admonitiones criminationibus, fugam communis culpæ contemptui aliorum inscribentes. (2) Et natura quidem erat aliquanto tumidior, difficilioremque se in congressibus præbebat ac pœne insociabilem. Non enim a juvenis, cujus assentando essent aures corruptæ, consuetudine tantum abhorrebat, minusque in ea gratiæ consequebatur, sed et multi eorum, qui familiarissime ipso uterentur, simplicitatemque morum ejus et ingenuitatem amplecterentur, reprehendebant hominem propter eam quam in usu hominum sequebatur rationem, quod inurbaniorem et quam civilia officia poscerent difficiliorem se iis qui desiderarent operam ipsius præberet. (3) Qua de re postea temporis Plato quasi vaticinans ad eum scripsit, consulens uti arrogantiam solitudinis contubernalem vitaret. Verum enimvero tametsi tunc quantivis pretii esse videretur et qui vel unus vel omnium maxime nutantem tyrannidem stabiliret atque conservaret, tamen non favore Dionysii, sed invito tyranno utilitatis causa primum se dignitate atque potentia haberi animadvertebat.

IX. Cujus rei causam quum existimaret esse tyranni imperitiam, in id incubuit, ut eum ad liberalia studia pertraheret gustumque ei orationum et disciplinarum quibus mores informantur præberet, ut et virtutem timere cessa-

σθείη. Φύσει γὰρ οὐ γεγόνει τῶν φαυλοτάτων τυράννων ὁ Διονύσιος, ἀλλ' ὁ πατὴρ δεδοικὼς μὴ φρονήματος μεταλαβὼν καὶ συγγενόμενος νοῦν ἔχουσιν ἀνθρώποις ἐπιβουλεύσειεν αὐτῷ καὶ παρέλοιτο τὴν ἀρχήν, ἐφρούρει κατάκλειστον οἴκοι δι' ἐρημίαν ὁμιλίας ἑτέρας καὶ ἀπειρίᾳ πραγμάτων, ὥς φασιν, ἁμάξια καὶ λυχνίας καὶ δίφρους ξυλίνους καὶ τραπέζας τεκταινόμενον. (2) Οὕτω e γὰρ ἦν ἄπιστος καὶ πρὸς ἅπαντας ἀνθρώπους ὕποπτος καὶ προβεβλημένος διὰ φόβον ὁ πρεσβύτερος Διονύσιος, ὥστε μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀφελεῖν κουρικαῖς μαχαίραις, ἀλλὰ τῶν πλαστῶν τις ἐπιφοιτῶν ἄνθρακι τὴν κόμην περιέκαιεν. Εἰσῄει δὲ πρὸς αὐτὸν εἰς τὸ δωμάτιον οὔτε ἀδελφὸς οὔθ' υἱὸς ὡς ἔτυχεν ἠμφιεσμένος, ἀλλ' ἔδει πρὶν εἰσελθεῖν ἀποδύντα τὴν ἑαυτοῦ στολὴν ἕκαστον ἑτέραν ἀναλαβεῖν ὁραθέντα γυμνὸν ὑπὸ τῶν φυλαττόντων. Ἐπεὶ δὲ Λεπτίνης ὁ ἀδελφὸς αὐτῷ ποτε χωρίου φύσιν ἐξηγούμενος λαβὼν λόγχην παρά τινος τῶν δορυφόρων ὑπέγραψε τὸν τόπον, ἐκείνῳ μὲν ἰσχυρῶς f ἐχαλέπηνε, τὸν δὲ δόντα τὴν λόγχην ἀπέκτεινεν. (3) Ἔλεγε δὲ τοὺς φίλους φυλάττεσθαι νοῦν ἔχοντας εἰδὼς καὶ βουλομένους μᾶλλον τυραννεῖν ἢ τυραννεῖσθαι. Καὶ Μαρσύαν δέ τινα τῶν προηγμένων ὑπ' αὐτοῦ καὶ τεταγμένων ἐφ' ἡγεμονίας ἀνεῖλε δόξαντα κατὰ τοὺς
962 ὕπνους σφάττειν αὐτόν, ὡς ἀπ' ἐννοίας μεθημερινῆς καὶ a
διαλογισμοῦ τῆς ὄψεως ταύτης εἰς τὸν ὕπνον αὐτῷ παραγενομένης. Ὁ μὲν δὴ Πλάτωνι θυμωθείς, ὅτι μὴ πάντων αὐτὸν ἀνθρώπων ἀνδρειότατον ἀπέφηνεν, οὕτω περίφοβον καὶ τοσούτων ὑπὸ δειλίας κακῶν μεστὴν εἶχε τὴν ψυχήν.

X. Τὸν δ' υἱὸν αὐτοῦ, καθάπερ εἴρηται, διαλελωβημένον ἀπαιδευσίᾳ καὶ συντετριμμένον τὸ ἦθος ὁ Δίων ὁρῶν παρεκάλει πρὸς παιδείαν τραπέσθαι καὶ δεηθῆναι τοῦ πρώτου τῶν φιλοσόφων πᾶσαν δέησιν ἐλθεῖν εἰς Σικελίαν· ἐλθόντι δὲ παρασχεῖν αὐτόν, ὅπως διακοσμηθεὶς τὸ ἦθος εἰς ἀρετῆς λόγον καὶ πρὸς τὸ θειότατον b ἀφομοιωθεὶς παράδειγμα τῶν ὄντων καὶ κάλλιστον, ᾧ τὸ πᾶν ἡγουμένῳ πειθόμενον ἐξ ἀκοσμίας κόσμος ἐστί, πολλὴν μὲν εὐδαιμονίαν ἑαυτῷ μηχανήσεται, πολλὴν δὲ τοῖς πολίταις, ὅσα νῦν ἐν ἀθυμίᾳ διοικοῦσι πρὸς ἀνάγκην τῆς ἀρχῆς, ταῦτα σωφροσύνῃ καὶ δικαιοσύνῃ μετ' εὐμενείας πατρονομούμενα παρασχὼν καὶ γενόμενος βασιλεὺς ἐκ τυράννου. (2) Τοὺς γὰρ ἀδαμαντίνους δεσμοὺς οὐχ, ὥσπερ ὁ πατὴρ ἔλεγεν αὐτοῦ, φόβον καὶ βίαν καὶ νεῶν πλῆθος εἶναι καὶ βαρβάρων μυρίανδρον φυλακήν, εὔνοιαν δὲ καὶ προθυμίαν καὶ χάριν ἐγγενομένην ὑπ' ἀρετῆς καὶ δικαιοσύνης, ἅ, καίπερ ὄντα μαλακώτερα c τῶν συντόνων καὶ σκληρῶν ἐκείνων, ἰσχυρότερα πρὸς διαμονὴν ἡγεμονίας ὑπάρχειν. (3) Χωρὶς δὲ τούτων ἀφιλότιμον εἶναι καὶ ἄζηλον τὸν ἄρχοντα τῷ μὲν σώματι περιττῶς ἀμπεχόμενον καὶ τῇ περὶ τὴν οἴκησιν ἁβρότητι καὶ κατασκευῇ λαμπρυνόμενον, ὁμιλίᾳ δὲ καὶ λόγῳ μηδὲν ὄντα τοῦ προστυχόντος σεμνότερον μηδὲ τῆς ψυχῆς τὸ βασίλειον ἀξιοῦντα κεκοσμημένον ἔχειν βασιλικῶς καὶ πρεπόντως.

ret, et assuesceret bonis viris gaudere. Etenim Dionysius natura nequaquam pessimus tyrannorum fuit, sed pater, veritus ne sapere inciperet prudentium utens consuetudine, atque exinde sibi insidias faceret et imperium eriperet, domi inclusum in custodia habuerat, penuria hominum qui una conversarentur et rerum, ut aiunt, ignoratione, plostella, candelabra, sellas ligneas, mensasque fabricantem. (2) Ita enim suspectos omnes homines habuit, ita sibi ab omnibus cavit atque ex timore undequaque munitus erat Dionysius senior, ut ne capillos quidem cultris tonsoriis tondendos daret, sed eos capillorum quidam ornator ad eum introiens carbone ambureret. Nemo in conclave ipsius intromittebatur, ne frater quidem aut filius, nisi priusquam ingrederetur sua veste posita nudus a custodibus conspiceretur et aliam vestem indueret. Quum Leptines frater, naturam ei loci cujusdam exponens, accepta a stipatore quodam lancea locum descripsisset, fratri graviter succensuit, alterum autem qui dederat hastam interfecit. (3) Ab amicis se sibi cavere cordatis dicebat, haud ignarum illos malle tyrannide potiri quam tyranno subesse. Marsyam quendam a se evectum ad imperium militare necavit, quia is a se Dionysium occidi in somnis esset imaginatus, quasi vero a cogitatione diurna et meditatione ejus facinoris illi noctu id visum occurrisset. Ita ille, qui Platoni succensuit, quia non ab eo omnium mortalium fortissimus esset dictus, meticulosum totque ob timiditatem malorum plenum animum gerebat.

X. Filium ejus autem Dio, ut explicare orsi sumus, deperditum inscitia, moribusque profligatissimis esse videns, hortatus est uti se ad disciplinam conferret, summisque a principe philosophorum precibus contenderet, ut in Siciliam is veniret, eique se formandum moresque virtutis disciplina exornandos traderet: ita fore ut pulcherrimo exemplari et divino ejus cui gubernanti universum hoc obtemperans pro confusione ordinem constantiamque tuetur, conformatus, plurimam et sibi felicitatem et civibus pararet, quibus se pro tyranno regem præberet, ut quæ ii nunc metu tyrannidis mœsti invitique facerent, eadem porro modestiam justitiamque ipsius venerantes itidem ut patri præstarent. (2) Non enim, ut pater ei dixisset, metum ac vim, non ingentem classem, non immensum barbarorum satellitium, adamantina ista esse vincula, sed benevolentiam, studium, gratificandique voluntatem virtute et justitia civibus ingeneratam, quæ ut rigidis istis et duris vinculis molliora videantur, esse tamen ad perpetuitatem regni firmiora. (3) Porro autem principem neque magno in honore neque ulla in admiratione esse, qui magno vestium luxu domesticoque splendore atque apparatu se ostentans, in congressu ac colloquio nihil quemvis vulgarem hominem præstaret, neque animi partem regiam principi convenienter et insigniter excultam habere laboraret,

XI. Ταῦτα πολλάκις τοῦ Δίωνος παραινοῦντος καὶ τῶν λόγων τοῦ Πλάτωνος ἔστιν οὕστινας ὑποσπείροντος, ἔσχεν ἔρως τὸν Διονύσιον ὀξὺς καὶ περιμανὴς τῶν τε λόγων καὶ τῆς συνουσίας τοῦ Πλάτωνος. Εὐθὺς οὖν d Ἀθήναζε πολλὰ μὲν ἐφοίτα γράμματα παρὰ τοῦ Διονυσίου, πολλαὶ δ' ἐπισκήψεις παρὰ τοῦ Δίωνος, ἄλλαι δ' ἐξ Ἰταλίας παρὰ τῶν Πυθαγορικῶν διακελευομένων παραγενέσθαι καὶ νέας ψυχῆς ἐξουσίᾳ μεγάλῃ καὶ δυνάμει περιφερομένης ἐπιλαβέσθαι καὶ κατασχεῖν ἐμβριθεστέροις λογισμοῖς. Πλάτων μὲν οὖν, ὥς φησιν αὐτὸς, ἑαυτὸν αἰσχυνθεὶς μάλιστα, μὴ δόξειε λόγος εἶναι μόνον, ἔργου δ' ἑκὼν οὐδενὸς ἂν ἅψασθαι, καὶ προσδοκήσας δι' ἑνὸς ἀνδρὸς ὥσπερ ἡγεμονικοῦ μέρους ἐκκαθαρθέντος ὅλην ἰατρεύειν Σικελίαν νοσοῦσαν ὑπήκουσεν. (2) Οἱ e δὲ τῷ Δίωνι πολεμοῦντες φοβούμενοι τὴν τοῦ Διονυσίου μεταβολὴν ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυγῆς μεταπέμπεσθαι Φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον περὶ λόγους καὶ τυραννικῶν ἠθῶν ἐμπειρότατον, ὡς ἀντίταγμα πρὸς Πλάτωνα καὶ φιλοσοφίαν ἐκεῖνον ἕξοντες. Ὁ γὰρ δὴ Φίλιστος ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ προθυμότατον ἑαυτὸν παρέσχε καὶ τὴν ἄκραν διεφύλαξε φρουραρχῶν ἐπὶ πολὺν χρόνον. (3) Ἦν δὲ λόγος, ὡς καὶ τῇ μητρὶ πλησιάζοι τοῦ πρεσβυτέρου Διονυσίου, τοῦ τυράννου μὴ παντάπασιν ἀγνοοῦντος. Ἐπεὶ δὲ Λεπτίνης ἐκ γυναικὸς, ἣν διαφθείρας ἑτέρῳ συνοικοῦσαν f ἔσχε, γενομένων αὐτῷ δυεῖν θυγατέρων τὴν ἑτέραν ἔδωκε Φιλίστῳ μηδὲ φράσας πρὸς Διονύσιον, ὀργισθεὶς ἐκεῖνος τὴν μὲν γυναῖκα τοῦ Λεπτίνου δήσας ἐν πέδαις καθεῖρξε, τὸν δὲ Φίλιστον ἐξήλασε Σικελίας, φυγόντα παρὰ ξένους τινὰς εἰς τὸν Ἀδρίαν, ὅπου καὶ δοκεῖ τὰ πλεῖστα συνθεῖναι τῆς ἱστορίας σχολάζων. Οὐ γὰρ ἐπανῆλθε τοῦ πρεσβυτέρου ζῶντος, ἀλλὰ μετὰ τὴν 963 ἐκείνου τελευτὴν, ὥσπερ εἴρηται, κατήγαγεν αὐτὸν a ὁ πρὸς Δίωνα τῶν ἄλλων φθόνος ὡς αὐτοῖς τε μᾶλλον ἐπιτήδειον ὄντα καὶ τῇ τυραννίδι βεβαιότερον.

XII. Οὗτος μὲν οὖν εὐθὺς κατελθὼν διεπεφύκει τῆς τυραννίδος, τῷ δὲ Δίωνι καὶ παρ' ἄλλων ἐτύγχανον οὖσαι διαβολαὶ καὶ κατηγορίαι πρὸς τὸν τύραννον ὡς διειλεγμένῳ περὶ καταλύσεως τῆς ἀρχῆς πρός τε Θεοδότην καὶ πρὸς Ἡρακλείδην. Ἤλπιζε μὲν γὰρ, ὡς ἔοικε, διὰ Πλάτωνος παραγενομένου τὸ δεσποτικὸν καὶ λίαν ἄκρατον ἀφελὼν τῆς τυραννίδος ἐμμελῆ τινα καὶ νόμιμον ἄρχοντα τὸν Διονύσιον καταστήσειν· εἰ δὲ ἀντιβαίνοι καὶ μὴ μαλάσσοιτο, καταλύσας ἐκεῖνον ἐγνώκει τὴν πολιτείαν ἀποδιδόναι Συρακουσίοις, οὐχ ἐπαινῶν b μὲν δημοκρατίαν, πάντως δὲ βελτίω τυραννίδος ἡγούμενος τοῖς διαμαρτάνουσιν ὑγιαινούσης ἀριστοκρατίας.

XIII. Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων Πλάτων εἰς Σικελίαν ἀφικόμενος περὶ μὲν τὰς πρώτας ἀπαντήσεις θαυμαστῆς ἐτύγχανε φιλοφροσύνης καὶ τιμῆς. Καὶ γὰρ ἅρμα τῶν βασιλικῶν αὐτῷ παρέστη κεκοσμημένον διαπρεπῶς ἀποβάντι τῆς τριήρους, καὶ θυσίαν ἔθυσεν ὁ τύραννος, ὡς εὐτυχήματος μεγάλου τῇ ἀρχῇ προσγεγονότος. Αἰδὼς δὲ συμποσίων καὶ

XI. Hæc Dione crebro inculcante, et nonnunquam Platonis doctrinam interserente, acris et prope furiosus Dionysium ardor incessit Platonis consuetudine ac sermone potiundi. Itaque statim frequentes a Dionysio literæ Athenas mitti, multæ Dionis etiam ad eum cohortationes, multæ Pythagoricorum ex Italia obsequi jubentium, et juvenis animum magnitudine potentiæ obrutum inhibere sanisque consiliis suffulcire. Itaque Plato, quod ipse scribit, sui ipsius motus verecundia, præsertim ne, nudum quoddam verbum, haud libenter ad agendum se conferre videretur, simulque sperans se uno Dionysio, ut principali parte, expurgato totius Siciliæ morbum sanaturum, obtemperavit. (2) Interim Dionis adversarii Dionysio, cujus mutationem metuebant, persuadent ut ab exsilio revocaret Philistum, hominem et eruditum et morum tyrannicorum gnarissimum, ut eum adversus Platonem et philosophiam opponerent. Is enim Philistus et initio in constituenda tyrannide promptissimam Dionysio seniori operam navârat, et præsidio præfectus, longo tempore arcem tenuerat. (3) Rumor erat eum cum matre tyranni haud plane ignorantis consuetudinem stupri habere. Sed quum Leptines ex muliere, quam adulterio cognitam marito eripuerat, susceptarum duarum filiarum alteram Philisto despondisset, non communicata quidem re cum Dionysio: Dionysius iratus uxorem Leptinæ in compedibus detinuit, Philistumque Sicilia exterminavit; atque is ad hospites quosdam mare Adriaticum accolentes profectus, et ibi post mortem usque Dionysii senioris commoratus, eo in otio, ut mihi videtur, majorem historiæ suæ partem condidit. Illo igitur tempore, Dionysio juniore rerum jam potito, reliquorum in Dionem odia Philisto reditum in patriam confecerunt, ut sibi commodo apprime homini tyrannisque fido.

XII. Igitur ut primum reversus est, tyrannidi conservandæ se totum dedit. Erant et aliæ calumniæ atque crimina adversus Dionem paratæ, quæ ad Dionysium deferrentur; ferebatur enim de evertenda tyrannide cum Theodote et Heraclide communicasse. Sperabat enim Dio, ut apparet, Platonis adventu, nimis imperiosa et immodica dominatione a tyrannide sublata se ex Dionysio moderatum et justum principem redacturum; sin reluctaretur tyrannus, neque mitigaretur, eo dejecto statuerat rempublicam Syracusanis reddere, non quod populi imperium probaret, sed quod id, ubi primum ab optimatum in republica legitimo principatu discessum fuisset, utique potius tyrannide censeret.

XIII. Hoc rerum statu in Siciliam Plato advectus primo adventu mirifico honore et comitate exceptus est. Nam et triremi egresso vehiculum regium adfuit splendidissime ornatum et rem sacram tyrannus fecit, quod ejus adventu magna imperio suo felicitas contigisset. Tum modestia conviviorum et aulæ habitus, ipsiusque in dandis responsis

σχηματισμὸς αὐλῆς καὶ πραότης αὐτοῦ τοῦ τυράννου c περὶ ἕκαστα τῶν χρηματιζομένων θαυμαστὰς ἐνέδωκεν ἐλπίδας μεταβολῆς τοῖς πολίταις. Φορὰ δέ τις ἦν ἐπὶ λόγους καὶ φιλοσοφίαν ἁπάντων καὶ τὸ τυραννεῖον, ὥς φασι, κονιορτὸς ὑπὸ πλήθους τῶν γεωμετρούντων κατεῖχεν. (2) Ἡμερῶν δὲ ὀλίγων διαγενομένων θυσία μὲν ἦν πάτριος ἐν τοῖς τυραννείοις· τοῦ δὲ κήρυκος, ὥσπερ εἰώθει, κατευξαμένου διαμένειν τὴν τυραννίδα ἀσάλευτον πολλοὺς χρόνους, ὁ Διονύσιος λέγεται παρεστὼς, « Οὐ παύσῃ, φάναι, καταρώμενος ἡμῖν; » Τοῦτο κομιδῇ τοὺς περὶ τὸν Φίλιστον ἐλύπησεν ἄμαχόν τινα τοῦ Πλάτωνος ἡγουμένους ἔσεσθαι χρόνῳ καὶ συνηθείᾳ τὴν δύναμιν, εἰ νῦν ἐκ συνουσίας ὀλίγης ἠλλοίωκεν d οὕτω καὶ μεταβέβληκε τὴν γνώμην τὸ μειράκιον.

XIV. Οὐκέτ' οὖν καθ' ἕνα καὶ λαθραίως, ἀλλὰ πάντες ἀναφανδὸν ἐλοιδόρουν τὸν Δίωνα, λέγοντες ὡς οὐ λέληθε κατεπᾴδων καὶ καταφαρμάσσων τῷ Πλάτωνος λόγῳ Διονύσιον, ὅπως ἀφέντος ἑκουσίως αὐτοῦ καὶ προεμένου τὴν ἀρχὴν ὑπολαβὼν εἰς τοὺς Ἀριστομάχης περιστήσῃ παῖδας, ὧν θεῖός ἐστιν. (2) Ἔνιοι δὲ προσεποιοῦντο δυσχεραίνειν, εἰ πρότερον μὲν Ἀθηναῖοι ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσι μεγάλαις δεῦρο πλεύσαντες ἀπώλοντο καὶ διεφθάρησαν πρότερον ἢ λαβεῖν Συρακούσας, νυνὶ δὲ δι' ἑνὸς σοφιστοῦ καταλύουσι τὴν Διο- e νυσίου τυραννίδα, συμπείσαντες αὐτὸν ἐκ τῶν μυρίων δορυφόρων ἀποδράντα καὶ καταλιπόντα τὰς τετρακοσίας τριήρεις καὶ τοὺς μυρίους ἱππεῖς καὶ τοὺς πολλάκις τοσούτους ὁπλίτας ἐν Ἀκαδημίᾳ τὸ σιωπώμενον ἀγαθὸν ζητεῖν καὶ διὰ γεωμετρίας εὐδαίμονα γενέσθαι, τὴν ἐν ἀρχῇ καὶ χρήμασι καὶ τρυφαῖς εὐδαιμονίαν Δίωνι καὶ τοῖς Δίωνος ἀδελφιδοῖς προέμενον. (3) Ἐκ τούτων ὑποψίας πρῶτον, εἶτα καὶ φανερωτέρας ὀργῆς καὶ διαφορᾶς γενομένης, ἐκομίσθη τις ἐπιστολὴ κρύφα πρὸς Διονύσιον, ἣν ἐγεγράφει Δίων πρὸς τοὺς Καρχηδονίων f ἐπιμελητὰς κελεύων, ὅταν Διονυσίῳ περὶ τῆς εἰρήνης διαλέγωνται, μὴ χωρὶς αὐτοῦ ποιήσασθαι τὴν ἔντευξιν, ὡς πάντα θησομένους ἀμεταπτώτως δι' αὐτοῦ. Ταύτην ἀναγνοὺς Διονύσιος Φιλίστῳ καὶ μετ' ἐκείνου βουλευσάμενος, ὥς φησι Τίμαιος, ὑπῆλθε τὸν Δίωνα πεπλασμέναις διαλύσεσι· καὶ μέτρια σκηψάμενος διαλ-
964 λάττεσθαί τε φήσας, μόνον τε ἀπαγαγὼν ὑπὸ τὴν ἀκρό- a πολιν πρὸς τὴν θάλασσαν ἔδειξε τὴν ἐπιστολὴν καὶ κατηγόρησεν, ὡς συνισταμένου μετὰ Καρχηδονίων ἐπ' αὐτόν. Ἀπολογεῖσθαι δὲ βουλομένου τοῦ Δίωνος οὐκ ἀνασχόμενος, ἀλλ' εὐθὺς, ὡς εἶχεν, ἐνθέμενος εἰς ἀκάτιον προσέταξε τοῖς ναύταις κομίζοντας αὐτὸν ἐκθεῖναι πρὸς τὴν Ἰταλίαν.

XV. Γενομένου δὲ τούτου καὶ φανέντος ὠμοῦ τοῖς ἀνθρώποις, τὴν μὲν οἰκίαν τοῦ τυράννου πένθος εἶχε διὰ τὰς γυναῖκας, ἡ δὲ πόλις ἡ τῶν Συρακουσίων ἐπῆρτο πράγματα νεώτερα καὶ μεταβολὴν προσδεχομένη ταχεῖαν ἐκ τοῦ περὶ Δίωνα θορύβου καὶ τῆς πρὸς τὸν τύραννον ἀπιστίας τῶν ἄλλων. Ἃ δὴ συνορῶν ὁ Διο- b νύσιος καὶ δεδοικὼς, τοὺς μὲν φίλους παρεμυθεῖτο καὶ

lenitas Dionysii, in amplissimam spem mutationis cives erigebant. Itaque et ad litteras atque philosophiam miro omnes impetu ferebantur, eratque regia, ut narratur, plena pulveris ob multitudinem eorum qui geometriæ vacarent. (2) Paucis post diebus quum esset in regia sacrificium solenne et præco, ut moris erat, voveret uti longe tempore inconcussa maneret tyrannis, Dionysius astans dixisse ei fertur : Nunquamne finem in nos exsecrandi facies? Id Philisti factionem graviter offendit, existimantes Platonis potentiam tempore et consuetudine confirmatam inexpugnabilem fore, siquidem is paucorum dierum convictu animum adolescentis adeo mutasset.

XV. Non ergo singuli, ut hactenus, neque occulte, sed universi et palam Dionem calumniari, eum manifesto Platonicis sermonibus incantare et fascinare Dionysium, ut hoc imperium ultro deponente, id ad sororis suæ Aristomachæ liberos, quorum sit avunculus, transferat. (2) Nonnulli indignitatem rei sibi dolere simulabant, quod, quum Athenienses olim magnis cum navalibus terrestribusque copiis in Siciliam profecti interiissent ante, quam Syracusas capere possent, nunc unius sophistæ opera tyrannidem Dionysii diruerent, persuadendo ei, ut decem millibus stipatorum omissis, quadringentis triremibus relictis, decem millibus equitum, et peditum multoties pluribus millibus posthabitis, in Academia arcanum illud bonum quæreret, ac geometria felicitatem pararet, imperii, opum et voluptatum beatitudine Dioni ejusque sororis filiis tradita. (3) Ex his suspicio primum tyranno de Dione insinuata, aucta deinde ira et alienatione se jam ostendente, occulte Dionysio epistola allata est, quam ad Carthaginensium procuratores Dio scripserat, monens ut cum Dionysio de pace acturi, id ne se absente facerent; se enim effecturum ut omnia quæ vellent, certo consequerentur. Hanc Dionysius Philisto legit, ususque ejus, ut Timæus tradit, consilio, ficta gratiæ reconciliatione Dionem adortus, in colloquio moderata quædam prætendens, omnesque dilutas offensas affirmans, eum ad mare quod est infra arcem abduxit. Ibi epistolam ostendit, ac cum Carthaginensibus adversus se conspirasse arguit. Excusare se volentem, non sustinuit, sed eum, ut tum erat, in cymbam imposuit, ac nautis mandavit ut in Italiam deportatum exponerent.

XV. Quum hoc factum homines crudele judicarent, domus quidem tyranni luctu a mulieribus oppleta est, Syracusani autem erigebantur ad spem novarum rerum, et mutationis quam primum futuræ ob tumultum Dionis causa ortum, cujus casus reliquos etiam, ne quam tyranno fidem haberent, movisset. Quæ ille animadvertens, sibique metuens, amicos et mulieres consolatus est, non se in exsi-

τὰς γυναῖκας, ὡς οὐ φυγῆς, ἀλλ' ἀποδημίας τῷ Δίωνι γεγενημένης, ὡς μή τι χεῖρον ὀργῇ πρὸς τὴν αὐθάδειαν αὐτοῦ παρόντος ἁμαρτεῖν βιασθείη· (2) δύο δὲ ναῦς παραδοὺς τοῖς Δίωνος οἰκείοις ἐκέλευσεν ἐνθεμένοις ὅσα βούλοιντο τῶν ἐκείνου χρήματα καὶ θεράποντας ἀπάγειν πρὸς αὐτὸν εἰς Πελοπόννησον. Ἦν δ' οὐσία μεγάλη τῷ Δίωνι καὶ σχεδόν τι τυραννικὴ πομπὴ καὶ κατασκευὴ περὶ τὴν δίαιταν, ἣν οἱ φίλοι συλλαβόντες ἐκόμιζον. Ἄλλα δ' ἐπέμπετο πολλὰ παρὰ τῶν γυναικῶν καὶ τῶν c ἑταίρων, ὥστε χρημάτων ἕνεκα καὶ πλούτου λαμπρὸν ἐν τοῖς Ἕλλησιν εἶναι καὶ διαφανῆναι τῇ τοῦ φυγάδος εὐπορίᾳ τὴν τῆς τυραννίδος δύναμιν.

XVI. Πλάτωνα δὲ Διονύσιος εὐθὺς μὲν εἰς τὴν ἀκρόπολιν μετέστησεν ἔντιμον αὐτῷ σχήματι ξενίας φιλανθρώπου φρουρὰν μηχανησάμενος, ὡς μὴ συμπλέοι Δίωνι μάρτυς ὧν ἠδίκητο. Χρόνῳ δὲ καὶ συνδιαιτήσει, καθάπερ ψαύειν ἀνθρώπου θηρίον, ἐθισθεὶς ὑπομένειν τε τὴν ὁμιλίαν αὐτοῦ καὶ τὸν λόγον ἠράσθη τυραννικὸν ἔρωτα, μόνος ἀξιῶν ὑπὸ Πλάτωνος ἀντερᾶσθαι καὶ θαυμάζεσθαι d μάλιστα πάντων, ἕτοιμος ὢν ἐπιτρέπειν τὰ πράγματα καὶ τὴν τυραννίδα μὴ προτιμῶντι τὴν πρὸς Δίωνα φιλίαν τῆς πρὸς αὐτόν. (2) Ἦν οὖν τῷ Πλάτωνι συμφορὰ τὸ πάθος αὐτοῦ τοῦτο μαινομένου καθάπερ οἱ δυσέρωτες ὑπὸ ζηλοτυπίας καὶ πολλὰς μὲν ὀργὰς ἐν ὀλίγῳ χρόνῳ, πολλὰς δὲ διαλλαγὰς καὶ δεήσεις ποιουμένου πρὸς αὐτὸν, ἀκροᾶσθαι δὲ τῶν λόγων καὶ κοινωνεῖν τῆς περὶ φιλοσοφίαν πραγματείας σπουδάζοντος μὲν ὑπερφυῶς, αἰδουμένου δὲ τοὺς ἀποτρέποντας, ὡς διαφθαρησομένου. (3) Ἐν τούτῳ δὲ πολέμου τινὸς ἐμπεσόντος ἀποπέμπει τὸν Πλάτωνα, συνθέμενος εἰς ὥραν ἔτους μεταπέμψασθαι Δίωνα. Καὶ τοῦτο μὲν εὐθὺς ἐψεύσατο, τὰς δὲ προσ- e όδους τῶν κτημάτων ἀπέπεμπεν αὐτῷ, ἀξιῶν Πλάτωνα συγγνῶναι περὶ τοῦ χρόνου διὰ τὸν πόλεμον· εἰρήνης γὰρ γενομένης, τάχιστα μεταπέμψεσθαι τὸν Δίωνα καὶ ἀξιοῦν αὐτὸν ἡσυχίαν ἄγειν καὶ μηδὲν νεωτερίζειν μηδὲ βλασφημεῖν κατ' αὐτοῦ πρὸς τοὺς Ἕλληνας.

XVII. Ταῦτα ἐπειρᾶτο ποιεῖν Πλάτων καὶ Δίωνα τρέψας ἐπὶ φιλοσοφίαν ἐν Ἀκαδημίᾳ συνεῖχεν. Ὤικει μὲν οὖν ἐν ἄστει παρὰ Καλλίππῳ τινὶ τῶν γνωρίμων, ἀγρὸν δὲ διαγωγῆς χάριν ἐκτήσατο, καὶ τοῦτον ὕστερον εἰς Σικελίαν πλέων Σπευσίππῳ δωρεὰν ἔδωκεν, ᾧ μάλιστα τῶν Ἀθήνησι φίλων ἐχρῆτο καὶ συνδιητᾶτο, βουλομένου τοῦ Πλάτωνος ὁμιλίᾳ χάριν ἐχούσῃ καὶ παιδιᾶς f ἐμμελοῦς κατὰ καιρὸν ἁπτομένῃ κεραννύμενον ἀφηδύνεσθαι τοῦ Δίωνος τὸ ἦθος. Τοιοῦτος δέ τις ὁ Σπεύσιππος ἦν· ᾗ καὶ σκῶψαι ἀγαθὸν αὐτὸν ἐν τοῖς Σίλλοις ὁ Τίμων προσηγόρευσεν. (2) Αὐτῷ δὲ Πλάτωνι χορηγοῦντι παίδων χορῷ τόν τε χορὸν ἤσκησεν ὁ Δίων καὶ τὸ δαπάνημα πᾶν ἐτέλεσε παρ' ἑαυτοῦ, συγχωροῦντος τοῦ Πλάτωνος τὴν τοιαύτην φιλοτιμίαν πρὸς τοὺς
965 Ἀθηναίους, ὡς ἐκείνῳ μᾶλλον εὔνοιαν ἢ δόξαν αὐτῷ a φέρουσαν. (3) Ἐπεφοίτα δὲ καὶ ταῖς ἄλλαις πόλεσιν ὁ Δίων καὶ συνεσχόλαζε καὶ συνεπανηγύριζε τοῖς ἀρίστοις καὶ πολιτικωτάτοις ἀνδράσιν, οὐδὲν ἐν τῇ διαίτῃ

lium misisse, sed ablegasse Dionem dicens, ne forte contumacia ejus irritatus gravius aliquid in præsentem statuere cogeretur; (2) domesticis autem Dionis naves tradidit duas, mandans ut quidquid facultatum ejus mancipiorumque ipsis videretur, in eas imponerent, atque ad eum in Peloponnesum transveherent. Erant autem amplæ Dionis opes, ac tyrannica prope pompa et apparatus rei familiaris, quem c omnem necessarii ejus convasarunt, ad eumque attulerunt, multis una ab mulieribus et amicis dono missis, ita ut divitiis suis Dio inter Græcos illustris exstiterit, ejusque exsulis opibus magnitudo potentiæ tyranni indicata sit.

XVI. Platonem vero Dionysius statim in arcem transtulit, specie benigni hospitii honorifica eum custodia includens, ne una cum Dione navigaret, injuriæque ei factæ testis esset. Ibi tempore et convictu assuefactus sicut fera attingere hominem, Platonis consuetudinem et sermones sustinere, tyrannico plane amore correptus est, ut cuperet d se solum a Platone redamari maximeque omnium in admiratione ejus esse, quod ipsi paratus esset tyrannidem summamque rerum tradere, si quidem Dionis amicitiam suæ non anteferret. (2) At Plato calamitatis loco ducebat, se a Dionysio ita amari; nam is amor quasi æmulatione et rivalis metu insanientis erat, brevi temporis spatio modo irascentis, modo in gratiam redeuntis atque deprecantis, et cum mirifico studio audiendi præcepta ejus et perfruendi studiis philosophiæ flagrantis, tum illos qui dehortabantur et corruptum iri ea consuetudine affirmabant metuentis. (3) Interea bello exorto, Dionysius Platonem dimittit, pollicitus se vere ineunte Dionem revocaturum. Hoc qui- e dem promissum mox fefellit; reditus tamen possessionum Dioni mittebat, a Platone veniam postulans, ac se quominus præstaret quod receperat, bello impeditum prætendens, facta autem pace, statim ad se revocaturum Dionem, simul petens, ut quiete is ageret, neque novas res moliretur, aut sibi apud Græcos obtrectaret.

XVII. Conatus est hoc ita facere Plato Dionemque ad philosophiam convertit et in Academia continuit. Habitabat autem Dio Athenis apud Callippum quendam familiarem; agrum quoque oblectationis causa emerat, quem in Siciliam postea navigans Speusippo dono dedit, cujus maxime Athenis amicitia fuerat et consuetudine usus, f Platone id moliente, ut jucunda conversatione, et quæ tempestive decoros lusus admitteret, Dionis ingenium temperaretur atque hilarius redderetur. Quam ad rem Speusippus erat idoneus, quem et *egregie facetum* Timon in Sillis appellat. (2) Quum Plato chorum puerorum ludis daret, Dio et instituit eum chorum et a se sumptum omnem præbuit, concedente hoc Platone, ut Dio erga Athenienses liberalitate uteretur, eaque majorem sibi be- a nevolentiam, quam Platoni gloriam pararet. (3) Reliquas etiam Græciæ urbes obivit Dio, cum optimis quibusque et in civitate quaque præstantissimis viris otium agens, et ludis solennibus vacans. Quo in convictu nihil barbaricum, nihil

σόλοικον ἐπιδεικνύμενος οὐδὲ τυραννικὸν οὐδ' ἐπιτεθρυμμένον, ἀλλὰ σωφροσύνην καὶ ἀρετὴν καὶ ἀνδρείαν καὶ περὶ λόγους καὶ περὶ φιλοσοφίαν εὐσχήμονας διατριβάς. Ἐφ' οἷς εὔνοια παρὰ πάντων ἐγίνετο καὶ ζῆλος αὐτῷ τιμαί τε δημόσιαι καὶ ψηφίσματα παρὰ τῶν πόλεων. Λακεδαιμόνιοι δὲ καὶ Σπαρτιάτην αὐτὸν ἐποιήσαντο τῆς Διονυσίου καταφρονήσαντες ὀργῆς, καίπερ αὐτοῖς τότε προθύμως ἐπὶ τοὺς Θηβαίους συμμαχοῦν- b τος. (4) Λέγεται δέ ποτε τὸν Δίωνα τοῦ Μεγαρέως Πτοιοδώρου δεομένου ἐπὶ τὴν οἰκίαν ἐλθεῖν· ἦν δέ, ὡς ἔοικε, τῶν πλουσίων τις καὶ δυνατῶν ὁ Πτοιόδωρος· ὄχλον οὖν ἐπὶ θύραις ἰδὼν ὁ Δίων καὶ πλῆθος ἀσχολιῶν καὶ δυσέντευκτον αὐτὸν καὶ δυσπρόσοδον, ἀπιδὼν πρὸς τοὺς φίλους δυσχεραίνοντας καὶ ἀγανακτοῦντας, « Τί τοῦτον, ἔφη, μεμφόμεθα; καὶ γὰρ αὐτοὶ πάντως ἐν Συρακούσαις ὅμοια τούτοις ἐποιοῦμεν. »

XVIII. Χρόνου δὲ προϊόντος ὁ Διονύσιος ζηλοτυπῶν καὶ δεδοικὼς τοῦ Δίωνος τὴν παρὰ τοῖς Ἕλλησιν εὔνοιαν, ἐπαύσατο τὰς προσόδους ἀποστέλλων καὶ τὴν οὐσίαν παρέδωκεν ἰδίοις ἐπιτρόποις. Βουλόμενος δὲ c καὶ τὴν εἰς τοὺς φιλοσόφους διὰ Πλάτωνα κακοδοξίαν ἀναμάχεσθαι, πολλοὺς συνῆγε τῶν πεπαιδεῦσθαι δοκούντων. Φιλοτιμούμενος δὲ τῷ διαλέγεσθαι περιεῖναι πάντων, ἠναγκάζετο τοῖς Πλάτωνος παρακούσμασι κακῶς χρῆσθαι. Καὶ πάλιν ἐκεῖνον ἐπόθει καὶ κατεγίνωσκεν αὐτὸς αὑτοῦ μὴ χρησάμενος παρόντι μηδὲ διακούσας ὅσα καλῶς εἶχεν. Οἷα δὲ τύραννος ἔμπληκτος ἀεὶ ταῖς ἐπιθυμίαις καὶ πρὸς πᾶσαν ὀξύῤῥοπος σπουδήν, εὐθὺς ὥρμησεν ἐπὶ τὸν Πλάτωνα καὶ πᾶσαν μηχανὴν αἴρων συνέπεισε τοὺς περὶ Ἀρχύταν Πυθαγορικοὺς τῶν ὁμο- d λογουμένων ἀναδόχους γενομένους καλεῖν Πλάτωνα· δι' ἐκείνου γὰρ αὐτοῖς ἐγεγόνει φιλία καὶ ξενία τὸ πρῶτον. (2) Οἱ δ' ἔπεμψαν Ἀρχέδημον παρ' αὐτόν· ἔπεμψε δὲ καὶ Διονύσιος τριήρεις καὶ φίλους δεησομένους τοῦ Πλάτωνος· αὐτός τε σαφῶς καὶ διαῤῥήδην ἔγραψεν, ὡς οὐδὲν ἂν γένοιτο τῶν μετρίων Δίωνι μὴ πεισθέντος Πλάτωνος ἐλθεῖν εἰς Σικελίαν, πεισθέντος δὲ πάντα. Πολλαὶ δ' ἀφίκοντο πρὸς Δίωνα παρὰ τῆς ἀδελφῆς καὶ γυναικὸς ἐπισκήψεις δεῖσθαι Πλάτωνος ὑπακοῦσαι Διονυσίῳ καὶ μὴ πρόφασιν παρασχεῖν. Οὕτω μὲν δή φησιν ὁ Πλάτων ἐλθεῖν τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ Σκύλλαν, e

Ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσειε Χάρυβδιν.

XIX. Ἐλθὼν δὲ μεγάλης μὲν αὐτὸν ἐνέπλησε χαρᾶς, μεγάλης δὲ πάλιν ἐλπίδος Σικελίαν συνευχομένην καὶ συμφιλοτιμουμένην Πλάτωνα μὲν Φιλίστου περιγενέσθαι, φιλοσοφίαν δὲ τυραννίδος. Ἦν δὲ πολλὴ μὲν τῶν γυναικῶν σπουδὴ περὶ αὐτόν, ἐξαίρετος δὲ παρὰ τῷ Διονυσίῳ πίστις, ἣν οὐδεὶς ἄλλος εἶχεν, ἀδιερεύνητον αὐτῷ πλησιάζειν. Δωρεὰς δὲ χρημάτων πολλῶν καὶ πολλάκις τοῦ μὲν διδόντος, τοῦ δὲ μὴ δεχομένου, παρὼν Ἀρίστιππος ὁ Κυρηναῖος ἀσφαλῶς ἔφη μεγαλόψυχον εἶναι Διονύσιον· αὐτοῖς μὲν γὰρ μικρὰ διδόναι f πλειόνων δεομένοις, Πλάτωνι δὲ πολλὰ μηδὲν λαμβά-

tyrannicum, nihil luxuriosum ostendit, sed temperantiam, moderationem, virtutem, fortitudinem et in sermonibus ac commentationibus philosophicis honestam exercitationem. Ob hæc quum ab omnibus favorem est et admirationem consecutus, tum publice honores ei habiti, decretaque in eam rem ab urbibus facta. Lacedæmonii etiam civitate eum donaverunt, indignatione Dionysii spreta, tametsi tum in bello contra Thebanos prompte auxilia suppeditantis. (4) Narrant Dionem invitatum aliquando a Megarensi Ptœodoro, viro divitiis et potentia inter cives non postremo, quum ad domum ejus venisset, videretque multitudinem hominum foribus assistentem, et ad ipsum dominum varie occupatum difficiles aditus, difficiles congressus ejus esse, amicos vero propterea stomachari: Quid, inquit, hunc culpamus, quum ipsi omnes, dum adhuc Syracusis essemus, eadem egerimus?

XVIII. Post aliquantum temporis Dionysius æmulatione instigatus, Græcorumque in Dionem benevolentiam metuens, finem fecit reditus annuos Dioni mittendi, et rem familiarem ejus procuratoribus a se institutis tradidit. Porro ut partam sibi apud philosophos ob Platonem illiberalius cultum infamiam aboleret, multos eorum qui eruditionis nomine celebrarentur conduxit. Quos omnes quum superare disserendo contenderet, cogereturque propterea iis quæ oscitanter de Platone audivisset minus recte uti, rursus eum desiderium Platonis incessit, ac se ipsum damnavit, qui præsenti non usus esset, neque ex eo quæ oportebat audivisset. Itaque ut erat tyrannus, qui quibusvis cupiditatibus præceps ageretur, et quod semel animo destinasset, omni studio adipisci contenderet, ut Platonem ad se retraheret omnem movit lapidem, effecitque ut Archytas Pythagoreus Platonem in Siciliam redire hortaretur, ipse fidem suam pro iis quæ promittebat Dionysius interponens atque obligans. Etenim illo interprete inter Archytam et Dionysium jus hospitii et amicitiæ contractum primo fuit. (2) Misit ad Platonem Archytas Archedemum; misit simul etiam Dionysius triremes et amicos qui Platonem orarent, atque ipse diserte scripsit, nunquam æquis conditionibus cum Dione actum iri, nisi Plato adductus in Siciliam veniret; veniente eo, omnia se Dioni præbiturum. Multæ simul ab uxore etiam et sorore ad Dionem afferebantur suasiones uti a Platone peteret, ut is Dionysii voluntati satisfaceret, neque occasionem sæviendi tyranno daret. His se inductum rationibus Plato scribit tertio in fretum Scyllæ venisse,

Emensum immanis rursum aspera saxa Charybdis.

XIX. Simul atque in Siciliam appulit Plato, magno et Dionysium gaudio et spe totam implevit insulam, gratulantem ei, votisque et studiis in hoc incumbentem, ut Plato Philistum, philosophia tyrannidem vinceret. Magno etiam regiæ mulieres studio Platonem coluerunt. Et ipse tyrannus tantum ei, quantum nemini alii, habuit fidei, non excussum prius ad se accedere sinens. Quum autem pecuniæ munera crebro Dionysius offerret eaque ampla et Plato identidem repudiaret, Aristippus Cyrenæus, qui tum aderat, citra periculum liberalem esse Dionysium dixit; nam sibi et aliis pauca largiri, plura requirentibus, Platoni

νοντι. (2) Μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας ἀρξαμένου Πλάτωνος ἐντυγχάνειν περὶ Δίωνος, ὑπερθέσεις τὸ πρῶτον ἦσαν, εἶτα μέμψεις καὶ διαφοραὶ λανθάνουσαι 966 τοὺς ἐκτὸς, ἐπικρυπτομένου Διονυσίου καὶ ταῖς ἄλλαις a τὸν Πλάτωνα θεραπείαις καὶ τιμαῖς πειρωμένου παράγειν ἀπὸ τῆς Δίωνος εὐνοίας, οὐδ' αὐτὸν ἔν γε τοῖς πρώτοις χρόνοις ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ καὶ ψευδολογίαν, ἀλλ' ἐγκαρτεροῦντα καὶ σχηματιζόμενον. (3) Οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους καὶ λανθάνειν πάντας οἰομένων, Ἑλίκων ὁ Κυζικηνὸς, εἷς τῶν Πλάτωνος συνήθων, ἡλίου προεῖπεν ἔκλειψιν· καὶ γενομένης, ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου δωρεὰν ἔλαβεν ἀργυρίου τάλαντον. Ἀρίστιππος δὲ παίζων πρὸς τοὺς ἄλλους φιλοσόφους ἔφη τι καὶ αὐτὸς ἔχειν τῶν παραδόξων προειπεῖν. Ἐκείνων δὲ φράσαι δεομένων, b « Προλέγω τοίνυν, εἶπεν, ὀλίγου χρόνου Πλάτωνα καὶ Διονύσιον ἐχθροὺς γενησομένους. » (4) Τέλος δὲ τὴν μὲν οὐσίαν τοῦ Δίωνος ὁ Διονύσιος ἐπώλει καὶ τὰ χρήματα κατεῖχε, Πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον εἰς τοὺς μισθοφόρους μετέστησε πάλαι μισοῦντας αὐτὸν καὶ ζητοῦντας ἀνελεῖν ὡς πείθοντα Διονύσιον ἀφεῖναι τὴν τυραννίδα καὶ ζῆν ἀδορυφόρητον.

XX. Ἐν τοιούτῳ δὲ κινδύνῳ γενομένου τοῦ Πλάτωνος, οἱ περὶ Ἀρχύταν πυθόμενοι ταχὺ πέμπουσι πρεσβείαν καὶ τριακόντορον ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ Διονυσίου, καὶ λέγοντες ὡς αὐτοὺς λαβὼν ἀναδόχους c τῆς ἀσφαλείας πλεύσειεν εἰς Συρακούσας. Ἀπολογουμένου δὲ τοῦ Διονυσίου τὴν ἔχθραν ἑστιάσεσι καὶ φιλοφροσύναις περὶ τὴν προπομπὴν, ἕν δέ τι προαχθέντος πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν· « Ἦπου, Πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας, » ὑπομειδιάσας ἐκεῖνος ἀπεκρίνατο· « Μὴ τοσαύτη λόγων ἐν Ἀκαδημίᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινα μνημονεῦσαι. » Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ Πλάτωνος γενέσθαι λέγουσιν· οὐ μέντοι τὰ Πλάτωνος αὐτοῦ πάνυ τούτοις συνᾴδει.

XXI. Δίων δὲ καὶ τούτοις ἐχαλέπαινε καὶ μετ' ὀλίγον χρόνον ἐξεπολεμώθη παντάπασι, πυθόμενος τὸ περὶ d τὴν γυναῖκα, περὶ οὗ καὶ Πλάτων ᾐνίξατο γράφων πρὸς Διονύσιον. Ἦν δὲ τοιοῦτον. Μετὰ τὴν ἐκβολὴν τοῦ Δίωνος ἀποπέμπων Πλάτωνα Διονύσιος ἐκέλευσεν αὐτοῦ δι' ἀπορρήτων πυθέσθαι, μή τι κωλύοι τὴν γυναῖκα πρὸς γάμον ἑτέρῳ δοθῆναι· καὶ γὰρ ἦν λόγος εἴτ' ἀληθὴς εἴτε συντεθεὶς ὑπὸ τῶν Δίωνα μισούντων, ὡς οὐ καθ' ἡδονὴν ὁ γάμος εἴη Δίωνι γεγονὼς οὐδ' εὐάρμοστος ἡ πρὸς τὴν γυναῖκα συμβίωσις. (2) Ὡς οὖν ἧκεν ὁ Πλάτων Ἀθήναζε καὶ τῷ Δίωνι περὶ πάντων ἐνέτυχε, γράφει πρὸς τὸν τύραννον ἐπιστολὴν τὰ μὲν ἄλλα σαφῶς πᾶσιν, αὐτὸ δὲ τοῦτο μόνῳ γνώριμον ἐκείνῳ φράζουσαν, e ὡς διαλεχθείη Δίωνι περὶ τοῦ πράγματος ἐκείνου καὶ σφόδρα δῆλος εἴη χαλεπαίνων, εἰ τοῦτο Διονύσιος ἐξεργάσαιτο. Καὶ τότε μὲν ἔτι πολλῶν ἐλπίδων οὐσῶν πρὸς τὰς διαλύσεις, οὐδὲν ἔπραξε περὶ τὴν ἀδελφὴν νεώτερον, ἀλλ' εἴα μένειν αὐτὴν μετὰ τοῦ παιδίου τοῦ Δίωνος

multa, nihil accipienti. (2) A prima consalutatione Dionysius, quum Plato pro Dione intercedere ordiretur, initio rem differre, mox reprehensiones etiam et jurgia exsistere, latentia reliquos ea, Dionysio tegere conante et reliquis honoribus atque officiis, quibus Platonem colebat, a benevolentia erga Dionem deducere, quum quidem Plato primo etiam tempore perfidiam ejus et mendacia dissimularet, et æquo animo se ferre vultu gestuque ostenderet. (3) Ita iis mutuo affectis et neminem hoc sentire putantibus, Helico Cyzicenus, unus ex familiaribus Platonis, solis deliquium prædixit; quumque ita, ut prædixerat, evenisset, admiratus eum tyrannus argenti talento donavit. Tunc Aristippus per jocum ad reliquos philosophos dixit, se quoque admirabile quiddam vaticinari posse; et quærentibus quidnam id esset: Mox, inquit, inter Dionysium et Platonem inimicitiæ exsistent. (4) Denique tyrannus facultates Dionis vendidit et pecuniam sibi vindicavit, Platonem autem, in horto domui vicino degentem, inter mercenarios milites migrare coegit, jam pridem ei infensos, et interficere cupientes, quod Dionysio deponendæ tyrannidis et sine stipatoribus vivendi auctor esset.

XX. Hoc in periculo quum constitutum Platonem Archyta cognovisset, illico navem triginta remis actam et legationem misit, reposcens a Dionysio Platonem, commemoransque quod is ipso fidejubente in Siciliam navigasset. Hic Dionysius, ut inimicitiam et odium tegeret, discessuro conviviis comibusque congressibus blanditus, semel in eum sermonem delapsus est: Nimirum, o Plato, multa ac gravia de nobis crimina apud eos, qui tecum philosophantur, sparges; tum Plato subridens: Absit, ait, ut tanta sermonum penuria laboret unquam Academia; ut tui quisquam mentionem inferat. Hoc modo Platonem dimissum tradunt; nam quæ ipse ea de re Plato scripsit, non plane istis consentiunt.

XXI. Ceterum Dio quum hoc indigne tulit, tum paullo post audito quæ uxori evenissent, prorsus hostis Dionysii factus est. Quod ad uxorem Dionis attinet, per ambages Plato in epistola Dionysium monuerat. Atque ita res habet. Dionysius Platonem, quum pulso Dione eum emitteret, jusserat ex Dione quærere occulte, concederetne uxorem suam alteri nuptum dari; rumor enim sive verus sive ab inimicis Dionis confictus ferebatur, non evenisse gratum hoc Dioni matrimonium, neque eum cum ista uxore vivere commode posse. (2) Plato Athenas reversus Dionisque explorata sententia, Dionysio scripsit epistolam, cujus reliquæ partes intelligi ab omnibus possent, id vero a solo Dionysio: se de re ista, quam nosset, Dioni collocutum et deprehendisse eum, si res ita a Dionysio ageretur, iniquissime laturum. Ac tum quidem Dionysius, quod multum spei esset de reparanda gratia, nihil de sorore novi statuit, sed eam passus est cum infante ex Dione nato habitare. Ut a pacificatione consilium plane avertit, ac Platonem ad

οἰκοῦσαν. Ἐπεὶ δὲ παντάπασιν ἀσυμβάτως εἶχε καὶ Πλάτων αὖθις ἐλθὼν ἀπεπέμφθη πρὸς ἀπέχθειαν, οὕτω τὴν Ἀρέτην ἄκουσαν ἑνὶ τῶν φίλων Τιμοκράτει δίδωσιν, οὐ μιμησάμενος τὴν κατά γε τοῦτο τοῦ πατρὸς ἐπιείκειαν. (3) Ἐγεγόνει γὰρ, ὡς ἔοικε, κἀκείνῳ Πολύξενος f ὁ τὴν ἀδελφὴν ἔχων αὐτοῦ Θέστην πολέμιος. Ἀποδράντος οὖν αὐτοῦ διὰ φόβον καὶ φυγόντος ἐκ Σικελίας μεταπεμψάμενος ᾐτιᾶτο τὴν ἀδελφὴν, ὅτι συνειδυῖα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐ κατεῖπε πρὸς αὐτόν. Ἡ δ' ἀνεκπλήκτως καὶ νὴ Δί' ἀφόβως· « Εἶθ' οὕτω σοι δοκῶ, Διονύσιε, φαύλη γυνὴ γεγονέναι καὶ ἄνανδρος, ὥστε προγνοῦσα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐκ ἂν συνεκπλεῦσαι 967 καὶ μετασχεῖν τῆς αὐτῆς τύχης; Ἀλλ' οὐ προέγνων. a Ἐπεὶ καλῶς εἶχέ μοι μᾶλλον Πολυξένου γυναῖκα φεύγοντος ἢ σοῦ τυραννοῦντος ἀδελφὴν λέγεσθαι. » Ταῦτα τῆς Θέστης παῤῥησιασαμένης, θαυμάσαι λέγουσι τὸν τύραννον. Ἐθαύμασαν δὲ καὶ οἱ Συρακούσιοι τὴν ἀρετὴν τῆς γυναικὸς, ὥστε καὶ μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος ἐκείνῃ τιμὴν καὶ θεραπείαν βασιλικὴν ὑπάρχειν, ἀποθανούσης δὲ δημοσίᾳ πρὸς τὴν ταφὴν ἐπακολουθῆσαι τοὺς πολίτας. Ταῦτα μὲν οὖν οὐκ ἄχρηστον ἔχει τὴν παρέκβασιν.

XXII. Ὁ δὲ Δίων ἐντεῦθεν ἤδη τρέπεται πρὸς πόλεμον, αὐτοῦ μὲν Πλάτωνος ἐκποδὼν ἱσταμένου δι' αἰδῶ τῆς πρὸς Διονύσιον ξενίας καὶ γῆρας, Σπευσίππου δὲ καὶ τῶν ἄλλων ἑταίρων τῷ Δίωνι συλλαμβανόντων καὶ b παρακελευομένων ἐλευθεροῦν Σικελίαν χεῖρας ὀρέγουσαν αὐτῷ καὶ προθύμως ὑποδεχομένην. (2) Ὅτε γὰρ ἐν Συρακούσαις Πλάτων διέτριβεν, οἱ περὶ Σπεύσιππον, ὡς ἔοικε, μᾶλλον ἀναμιγνύμενοι τοῖς ἀνθρώποις κατεμάνθανον τὴν διάνοιαν αὐτῶν. Καὶ τὸ μὲν πρῶτον ἐφοβοῦντο τὴν παῤῥησίαν ὡς διάπειραν οὖσαν ὑπὸ τοῦ τυράννου, χρόνῳ δ' ἐπίστευσαν. Ὁ γὰρ αὐτὸς ἦν παρὰ πάντων λόγος δεομένων καὶ παρακελευομένων ἐλθεῖν Δίωνα μὴ ναῦς ἔχοντα μηδ' ὁπλίτας μηδ' ἵππους, ἀλλ' αὐτὸν εἰς ὑπηρετικὸν ἐμβάντα χρῆσαι τὸ σῶμα καὶ τοὔνομα Σικελιώταις ἐπὶ τὸν Διονύσιον. (3) Ταῦτα τῶν c περὶ Σπεύσιππον ἀγγελλόντων ἐπιῤῥωσθεὶς ἐξενολόγει κρύφα καὶ δι' ἑτέρων ἐπικρυπτόμενος τὴν διάνοιαν. Συνέπραττον δὲ καὶ τῶν πολιτικῶν πολλοὶ καὶ τῶν φιλοσόφων, ὅ τε Κύπριος Εὔδημος, εἰς ὃν Ἀριστοτέλης ἀποθανόντα τὸν περὶ ψυχῆς διάλογον ἐποίησε, καὶ Τιμωνίδης ὁ Λευκάδιος. Συνέστησαν δὲ καὶ Μίλταν αὐτῷ τὸν Θεσσαλὸν, ἄνδρα μάντιν καὶ μετεσχηκότα τῆς ἐν Ἀκαδημίᾳ διατριβῆς. Τῶν δ' ὑπὸ τοῦ τυράννου πεφυγαδευμένων, οὐ μεῖον ἢ χιλίων ὄντων, πέντε καὶ εἴκοσι μόνοι τῆς στρατείας ἐκοινώνησαν, οἱ δ' ἄλλοι προὔδοσαν ἀποδειλιάσαντες. (4) Ὁρμητήριον δ' ἦν ἡ Ζακυνθίων νῆσος, εἰς ἣν οἱ στρατιῶται συνελέγησαν ὀκτακοσίων ἐλάττους γενόμενοι, γνώριμοι δὲ πάντες ἐκ d πολλῶν καὶ μεγάλων στρατειῶν καὶ τοῖς σώμασιν ἠσκημένοι διαφερόντως, ἐμπειρίᾳ δὲ καὶ τόλμῃ πολὺ πάντων κράτιστοι καὶ δυνάμενοι πλῆθος ὅσον ἤλπιζεν ἕξειν ἐν Σικελίᾳ Δίων ὑπεκκαῦσαι καὶ συνεξορμῆσαι πρὸς ἀλκήν.

se reversum incenso animo amandavit, ibi demum Aretam invitam uni amicorum Timocrati nuptum dat, hac quidem in parte humanitatem patris non imitatus. (3) Etenim Polyxenus, sororis ejus Thestæ maritus, quum gratia tyranni excidisset ac Sicilia præ metu profugisset, ille sororem ad se vocatam objurgavit, quod mariti fugæ conscia, se eam rem celasset. At illa impavide profecto et fortiter, Adeone, inquit, tibi nullius pretii atque mollis videor, Dionysi, mulier, ut me, si fugam mariti præsensissem, non unâ eandem subituram fortunam existimes? Sane non prævidi; maluissem enim utique Polyxeni profugi uxor quam tua tyranni soror dici. Hoc tam liberum responsum ferunt Dionysium admiratum. Et Syracusâni quidem tanti fecerunt feminæ virtutem, ut eversa etiam tyrannide honores ei et cultum regium permiserint, mortuæque funus cives publice sint prosecuti. Hæc egressio inutilis non est.

XXII. Ceterum Dio jam inde bellum moliri cœpit, Platone quidem verecundia hospitii et ob senectutem procul a re se continente, Speusippo autem et aliis amicis astipulantibus Dioni hortantibusque ut Siciliam manus porrigentem ultroque accipientem liberaret. (2) Quo enim tempore Syracusis Plato egit, Speusippus frequentius cum civibus conversans, animos eorum explorarat, initio quidem libere fateri quæ sentirent non audentium, quod eum a tyranno submissum suspicarentur, sed quum tempus fidem ei apud ipsos fecisset, una voce omnium orantium atque hortantium Dionem ut in Siciliam veniret; non opus ei navibus, non pedite, non equis esse, saltem quovis navigio advectus, corpus suum et nomen Siculis contra tyrannum utendum præberet. (3) Hæc Dio annuntiante Speusippo, animo confirmatus, suo tecto proposito per alios occulte militem mercenarium conducebat. Adjuvabant autem quum civiles viri tum philosophi non pauci, inque his Eudemus Cyprius (in cujus mortem Aristoteles dialogum de Anima composuit) et Timonides Leucadius, conjunxere etiam ei Miltam Thessalum, divinandi peritum et in Academia versatum. At de iis quos in exsilium egerat tyrannus (erant mille non pauciores) viginti quinque modo socios se præbuerunt, reliquis eum præ metu destituentibus. (4) Receptaculum autem futuri belli erat Zacynthus insula, in quam milites conveniebant, infra octingentos numero, sed multis jam ante præclaris expeditionibus nobiles, corporibus eximie exercitatis, ac peritia et audacia omnium primi, denique apti ad multitudinem, quam sibi in Sicilia præsto futuram Dio sperabat, excitandam adque fortitudinem inflammandam.

XXIII. Οὗτοι τὸ μὲν πρῶτον ἀκούσαντες ἐπὶ Διονύσιον καὶ Σικελίαν αἴρεσθαι τὸν στόλον, ἐξεπλάγησαν καὶ κατέγνωσαν, ὡς ὀργῆς τινος παραφροσύνῃ καὶ μανίᾳ τοῦ Δίωνος ἢ χρηστῶν ἐλπίδων ἀπορίᾳ ῥιπτοῦντος ἑαυτὸν εἰς ἀπεγνωσμένας πράξεις· καὶ τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ξενολόγοις ὠργίζοντο μὴ προειποῦσιν· εὐθὺς ἐξ ἀρχῆς τὸν πόλεμον. Ἐπεὶ δὲ Δίων τῷ λόγῳ τὰ σα- e θρὰ τῆς τυραννίδος ἐπεξιὼν ἐδίδασκεν, ὡς οὐ στρατιώτας, ἀλλὰ μᾶλλον ἡγεμόνας αὐτοὺς κομίζοι Συρακουσίων καὶ τῶν ἄλλων Σικελιωτῶν πάλαι πρὸς ἀπόστασιν ἑτοίμων ὑπαρχόντων, μετὰ δὲ τὸν Δίωνα διαλεχθέντος αὐτοῖς Ἀλκιμένους, ὃς πρῶτος ὢν Ἀχαιῶν δόξῃ καὶ γένει συνεστράτευεν, ἐπείσθησαν. (2) Ἦν μὲν οὖν θέρους ἀκμὴ καὶ κατεῖχον ἐτησίαι τὸ πέλαγος, ἡ δὲ σελήνη διχομηνίαν ἦγε. Τῷ δ' Ἀπόλλωνι θυσίαν μεγαλοπρεπῆ παρασκευάσας ὁ Δίων ἐπόμπευσε μετὰ τῶν στρατιωτῶν κεκοσμημένων ταῖς πανοπλίαις πρὸς τὸ ἱερόν· καὶ μετὰ τὴν θυσίαν ἐν τῷ σταδίῳ τῶν Ζακυνθίων κατακλιθέντας αὐτοὺς εἱστία θαυμάζοντας ἀργυ- f ρῶν καὶ χρυσῶν ἐκπωμάτων καὶ τραπεζῶν ὑπερβάλλουσαν ἰδιωτικὸν πλοῦτον λαμπρότητα, καὶ λογιζομένους ὅτι παρηκμακὼς ἀνὴρ ἤδη καὶ τοσαύτης εὐπο- 968 ρίας κύριος οὐκ ἂν ἐπιχειροίη παραβόλοις πράγμασι a χωρὶς ἐλπίδος βεβαίου καὶ φίλων ἐνδιδόντων ἐκεῖθεν αὐτῷ τὰς πλείστας καὶ μεγίστας ἀφορμάς.

XXIV. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας κατευχὰς ἐξέλιπεν ἡ σελήνη. Καὶ τοῖς μὲν περὶ τὸν Δίωνα θαυμαστὸν οὐδὲν ἦν λογιζομένοις τὰς ἐκλειπτικὰς περιόδους καὶ τὴν γινομένην τοῦ σκιάσματος ἀπάντησιν πρὸς τὴν σελήνην καὶ τῆς γῆς τὴν ἀντίφραξιν πρὸς τὸν ἥλιον. Ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, Μίλτας ὁ μάντις ἐν μέσῳ καταστὰς ἐκέλευε θαρρεῖν αὐτοὺς καὶ προσδοκᾶν τὰ κράτιστα· σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινος τῶν νῦν ἐπιφανῶν· ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς b Διονυσίου τυραννίδος, ἧς τὸ λαμπρὸν ἀποσβέσειν ἐκείνους εὐθὺς ἁψαμένους Σικελίας. Τοῦτο μὲν οὖν ὁ Μίλτας εἰς μέσον ἐξέθηκε πᾶσι· τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἑσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίᾳ πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσι. (2) Λέγεται δὲ καὶ τῷ Διονυσίῳ πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. Ἀετὸς μὲν γὰρ ἁρπάσας δοράτιόν τινος τῶν δορυφόρων ἀράμενος ὕψου καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν. Ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα μίαν ἡμέραν τὸ ὕδωρ γλυκὺ c καὶ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάδηλον εἶναι. Χοῖροι δ' ἐτέχθησαν αὐτῷ τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ' οὐκ ἔχοντες. Ἀπεφαίνοντο δ' οἱ μάντεις τοῦτο μὲν ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον, ὡς οὐκέτι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος, τὴν δὲ γλυκύτητα τῆς θαλάσσης μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ

XXIII. Hi primum quidem, ut accepere in Siciliam et adversus Dionysium classem solvere, perterriti sunt Dionisque conatum damnarunt, insania quadam concitum, iræque furore et spei melioris inopia se ipsum conjicere in certum periculum putantes, succensebantque suis ducibus et conquisitoribus, quod non initio ipsis ad quod legerentur bellum indicassent. Sed postquam Dio oratione sua exposuit, quam male suffulta esset tyrannis, et se non tam militum eos, quam ducum loco in Siciliam ducere docuit, Syracusanis reliquisque Siculis jam primum ad defectionem comparatis; post Dionem etiam Alcimenes, qui nobilitate generis et gloriæ Achæorum princeps una militabat, verba habuit ad commilitones : ita demum milites assenserunt. (2) Jam adulta æstate pelagus Etesiæ tenebant, lunaque toto fulgebat orbe, quum Dio magnifice sacris operatus Apollini, militum armatorum pompam ad ædem dei duxit, peractoque sacrificio, in circo Zacynthiorum epulum eis præbuit. Illi vero argenteorum aureorumque poculorum et mensarum splendorem, privatis opibus longe majorem, admirari ac sic ratiocinari : virum jam provecta ætate tamque opulentum nunquam res dubias tentaturum fuisse, nisi certa proposita spe, amicisque ipsi in Sicilia plurimas et maximas præbentibus occasiones.

XXIV. Post libationes et vota rite peracta, luna defecit. Nihil id miratus est Dio, quippe eclipticas circuitiones et umbræ occursum lunæ incidentem terræque et solis oppositionem reputans. Sed quum milites perturbati oratione aliqua essent confirmandi, Miltas vates in medium progressus, bono esse eos animo et sperare optima jussit; significari enim divinitus alicujus in præsentia illustrissimi obscurationem; at nihil esse Dionysii tyrannide illustrius, hanc ipsos, simul atque Siciliam attigissent, de clara obscurissimam reddituros. Hæc Miltas palam omnibus dixit. Ostentum vero apium, quas apud naves Dionis conspexerunt examen ad puppim coegisse, privatim ei et amicis interpretatus ita est : vereri se, ne præclaras quidem res essent gesturi, sed eæ quum floruissent brevi tempore emarcescerent. (2) Ferunt etiam Dionysio multa divinitus prodigia obtigisse. Aquila enim abreptum cujusdam stipatorum hastile in sublime evexerat, atque inde in profundum abjecerat. Mare quod arcem alluit, per unum diem aquam dulcem et potabilem præbuit, id quod gustus omnes docuit. Porci quoque partu editi sunt, ceteris membris perfecti, sed auribus carentes. Harioli responderunt, hoc defectionis et rebellionis esse signum, ac cives non amplius tyrannidi obtemperaturos; maris dulcedinem Syracusanis mutationem rerum tristium

φέρειν Συρακουσίοις. Ἀετὸς δὲ θεράπων Διὸς, λόγχη δὲ παράσημον ἀρχῆς καὶ δυναστείας· ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῇ τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. Ταῦτα μὲν οὖν Θεόπομπος ἱστόρηκε.

XXV. Τοὺς δὲ στρατιώτας τοὺς Δίωνος ἐξεδέξαντο d στρογγύλαι δύο ναῦς, τρίτον δὲ πλοῖον οὐ μέγα καὶ δύο τριακόντοροι παρηκολούθουν. Ὅπλα δὲ, χωρὶς ὧν εἶχον οἱ στρατιῶται, δισχιλίας μὲν ἐκόμιζεν ἀσπίδας, βέλη δὲ καὶ δόρατα πολλὰ καὶ πλῆθος ἐφοδίων ἄφθονον, ὅπως ἐπιλίπῃ μηδὲν αὐτοὺς ποντοποροῦντας, ἅτε δὴ τὸ σύμπαν ἐπὶ πνεύμασι καὶ θαλάσσῃ πεποιημένους τὸν πλοῦν διὰ τὸ τὴν γῆν φοβεῖσθαι καὶ πυνθάνεσθαι Φίλιστον ἐν Ἰαπυγίᾳ ναυλοχοῦντα παραφυλάττειν. (2) Ἀραιῷ δὲ καὶ μαλακῷ πνεύματι πλεύσαντες ἡμέρας δώδεκα, τῇ τρισκαιδεκάτῃ κατὰ Πάχυνον ἦσαν, ἄκραν τῆς Σικελίας. Καὶ Πρῶτος μὲν ὁ κυβερνήτης e κατὰ τάχος ἐκέλευσεν ἀποβαίνειν, ὡς, ἂν ἀποσπασθῶσι τῆς γῆς καὶ τὴν ἄκραν ἑκόντες ἀφῶσι, πολλὰς ἡμέρας καὶ νύκτας ἐν τῷ πελάγει τριβησομένους ὥρᾳ θέρους νότον περιμένοντας. Δίων δὲ τὴν ἐγγὺς τῶν πολεμίων ἀπόβασιν δεδιὼς καὶ τῶν πρόσω μᾶλλον ἅψασθαι βουλόμενος παρέπλευσε τὸν Πάχυνον. (3) Ἐκ δὲ τούτου τραχὺς μὲν ἀπαρκτίας ἐπιπεσὼν ἤλαυνε πολλῷ κλύδωνι τὰς ναῦς ἀπὸ τῆς Σικελίας, ἀστραπαὶ δὲ καὶ βρονταὶ φανέντος ἀρκτούρου συμπεσοῦσαι πολὺν ἐξ οὐρανοῦ χειμῶνα καὶ ῥαγδαῖον ὄμβρον ἐξέχεαν· ᾧ τῶν ναυτῶν συνταραχθέντων καὶ πλάνης γενομένης, καθο- f ρῶσιν αἰφνίδιον ὑπὸ τοῦ κύματος ὠθουμένας τὰς ναῦς ἐπὶ τὴν πρὸς Λιβύην Κέρκιναν, ᾗ μάλιστα κρημνώδης ἀπήντα καὶ τραχεῖα προσφερομένοις αὐτοῖς ἡ νῆσος. Μικρὸν οὖν δεήσαντες ἐκριφῆναι καὶ συντριβῆναι περὶ τὰς πέτρας ἐβιάζοντο πρὸς κοντὸν παραφερόμενοι μόλις, ἕως ὁ χειμὼν ἐλώφησε καὶ πλοίῳ συντυχόντες ἔγνω-
969 σαν ἐπὶ ταῖς καλουμέναις Κεφαλαῖς τῆς μεγάλης Σύρ- a τεως ὄντες. (4) Ἀθυμοῦσι δ' αὐτοῖς πρὸς τὴν γαλήνην καὶ διαφερομένοις αὔραν τινὰ κατέσπειρεν ἡ χώρα νότιον οὐ πάνυ προσδεχομένοις νότον οὐδὲ πιστεύουσι τῇ μεταβολῇ. Κατὰ μικρὸν δὲ ῥωννυμένου τοῦ πνεύματος καὶ μέγεθος λαμβάνοντος, ἐκτείναντες ὅσον ἦν ἱστίων καὶ προσευξάμενοι τοῖς θεοῖς πελάγιοι πρὸς τὴν Σικελίαν ἔφευγον ἀπὸ τῆς Λιβύης· καὶ θέοντες ἐλαφρῶς πεμπταῖοι κατὰ Μινώαν ὡρμίσαντο, πολισμάτιον ἐν τῇ Σικελίᾳ τῆς Καρχηδονίων ἐπικρατείας. (5) Ἔτυχε δὲ παρὼν ὁ Καρχηδόνιος ἄρχων Σύναλος ἐν τῷ χωρίῳ, ξένος ὢν καὶ φίλος Δίωνος. Ἀγνοῶν δὲ τὴν παρουσίαν b αὐτοῦ καὶ τὸν στόλον ἐπειρᾶτο κωλύειν τοὺς στρατιώτας ἀποβαίνοντας. Οἱ δὲ μετὰ τῶν ὅπλων ἐκδραμόντες ἀπέκτειναν μὲν οὐδένα, ἀπειρήκει γὰρ ὁ Δίων διὰ τὴν οὖσαν αὐτῷ φιλίαν πρὸς τὸν Καρχηδόνιον, φεύγουσι δὲ συνεισπεσόντες αἱροῦσι τὸ χωρίον. Ὡς δ' ἀπήντησαν ἀλλήλοις οἱ ἡγεμόνες καὶ ἠσπάσαντο, Δίων μὲν ἀπέδωκε τὴν πόλιν Συνάλῳ, οὐδὲν ἀδικήσας, Σύναλος δὲ τοὺς στρατιώτας ἐξένιζε καὶ συμπαρεσκεύαζεν ὧν Δίων ἐδεῖτο.

et adversarum in lætas portendere; aquilam Jovis ministrum, hastam imperii et dominatus insigne; ita summum deorum tyrannidis eversionem et interitum moliri. Hæc Theopompus narravit.

XXV. Milites Dionis navibus duabus rotundis impositi sunt, alia navi haud magna et duabus triginta scalmorum navibus comitantibus. Arma præter ea quæ tum habebant milites secum vehebat duo clypeorum millia, jaculorum et hastilium magnam multitudinem, tum abunde alimentorum, ne quid ipsos in maritima navigatione deficeret, quippe omnem cursum alto mari tenebant, terram metuentes, quod in Iapygia Philistum stationem speculandi causa haberet audivissent. (2) Leni ac molli vento vecti duodecim dies, decimotertio ad Pachynum Siciliæ promontorium pervenerunt. Ibi quum Protus gubernator celeriter exscensionem faciendam moneret, alioquin fore ut a terra et isto promontorio ultro digressi multas dies noctesque, dum æstatis tempore austrum operirentur, in alto commorari cogerentur: Dio in terram ita prope hostem exscensionem facere metuens, ac remotiora primum aggredi consultius existimans, Pachynum præternavigavit. (3) Statim et vehemens obortus Aparctias magno fluctu naves a Sicilia repulit, et fulgura ac tonitrua sub primum Arcturi ortum erumpentia magnam cœlo tempestatem violentumque imbrem effuderunt, quibus perturbati nautæ quum non tenuissent cursum, subito cernunt naves a fluctu ad Cercinam Libyæ objectam insulam compelli, qua maxime præruptis atque asperis saxis importuosa erat appellentibus. Ita prope ad saxa ejecti naufragiumque passi, quum a petris navigia contis magno cum labore ægre detrusissent, postquam tempestas desiit, in navem quandam incidentes cognoverunt se ad capita quæ vocant magnæ Syrtis esse. (4) Ægro tum animo tranquillitatem ferentibus atque sollicitis, ex regione illa australis quædam aura aspiravit, nihil admodum tunc austrum sperantibus neque fidem mutationi habentibus. Mox autem vento aucto et validius incumbente, pansis quotquot habebant velis deosque comprecati, per altum ab Africa ad Siciliam leni cursu fugerunt, quintoque die apud Minoam naves applicuerunt; id est oppidum Siciliæ, Carthaginiensium ditionis. (5) Aderat ibi tum forte Synalus præfectus ejus loci, hospes et amicus Dionis. Qui quum nihil de hujus adventu cognovisset, milites egressu in terram prohibere conatus est. Itaque illi impetu armata manu facto, nemine occiso (Dio enim respiciens amicitiam quæ ipsi erat cum Carthaginiensi cædibus interdixerat), una cum fugientibus in oppidum irruerunt, eoque potiti sunt. Ut autem ipsi duces sunt congressi, facta consalutatione Dio oppidum Synalo nulla injuria affectum reddidit, Synalus autem hospitio milites excepit ac Dionem quibus in rebus vellet adjuvit.

XXVI. Μάλιστα δ' αὐτοὺς ἐθάῤῥυνε τὸ συμβεβηκὸς αὐτομάτως περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. c Νεωστὶ γὰρ ἐκπεπλευκὼς ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. Διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοί, σπεύδοντες ἁρπάσαι τὸν καιρόν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. Ἀποσκευασάμενος οὖν τὰ περιόντα τῶν ὅπλων καὶ τῶν φορτίων ἐκεῖ καὶ τοῦ Συνάλου δεηθείς, ὅταν ᾖ καιρός, ἀποστεῖλαι πρὸς αὐτόν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. Πορευομένῳ δ' αὐτῷ πρῶτον μὲν Ἀκραγαντίνων προσεχώρησαν ἱππεῖς διακόσιοι τῶν περὶ τὸ Ἔκνομον οἰκούντων d, μετὰ δὲ τούτους Γελῷοι. (2) Ταχὺ δὲ τῆς φήμης διαδραμούσης εἰς Συρακούσας, Τιμοκράτης, ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν [Διονυσίου ἀδελφῇ], τῶν ἀπολελειμμένων ἐν τῇ πόλει φίλων προεστώς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ γράμματα κομίζοντα περὶ τῆς Δίωνος ἀφίξεως· αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχε θορύβοις καὶ κινήμασιν, ἐπηρμένων μὲν πάντων, διὰ δ' ἀπιστίαν ἔτι καὶ φόβον ἡσυχαζόντων. (3) Τῷ δὲ πεμφθέντι γραμματοφόρῳ τύχη τις συμπίπτει παράλογος. Διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν καὶ τὴν Ῥηγίνην διελθὼν ἐπειγόμενος εἰς Καυλωνίαν e πρὸς Διονύσιον, ἀπήντησέ τινι τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι· καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν ἐχώρει σπουδῇ. Τῆς δὲ νυκτὸς μέρος ὁδεύσας καὶ μικρὸν ἀποδαρθεῖν ὑπὸ κόπου βιασθείς, ὡς εἶχε, παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ κατέκλινεν ἑαυτόν. Πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν καὶ λαβόμενος τῶν κρεῶν ἀναδεδεμένων ἐκ τῆς πήρας ᾤχετο φέρων ἅμα σὺν αὐτοῖς τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. Ὡς δὲ διεγερθεὶς ᾔσθετο καὶ πολλὰ μάτην πλανηθεὶς καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ πορεύεσθαι δίχα τῶν γραμμάτων πρὸς τὸν τύραννον, ἀλλ' f ἀποδρὰς ἐκποδὼν γενέσθαι.

XXVII. Διονύσιος μὲν οὖν ὀψὲ καὶ παρ' ἑτέρων ἔμελλε πυνθάνεσθαι τὸν ἐν Σικελίᾳ πόλεμον. Δίωνι δὲ πορευομένῳ Καμαριναῖοί τε προσέθεντο καὶ τῶν κατ' ἀγροὺς Συρακουσίων ἀνισταμένων ἐπέῤῥει πλῆθος οὐκ ὀλίγον. Οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάττοντες Λεοντῖνοι καὶ Καμπανοί, λόγον ψευδῆ 970 προσπέμψαντος εἰς αὐτοὺς τοῦ Δίωνος ὡς ἐπὶ τὰς πόλεις a πρῶτον τρέποιτο τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην τοῖς οἰκείοις βοηθήσοντες. (2) Ὡς δ' ἀπηγγέλη ταῦτα πρὸς τὸν Δίωνα περὶ τὰς Μακρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἧκε ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. Ἐνταῦθα δὲ τὴν πορείαν ἐπιστήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν ἀνατέλλοντι τῷ ἡλίῳ προσευξάμενος· ἅμα δ' οἱ μάντεις παρὰ τῶν θεῶν νίκην ἔφραζον αὐτῷ. Καὶ θεασάμενοι τὸν Δίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες ἀπὸ μιᾶς ὁρμῆς ἐστεφανοῦντο πάντες. Ἦσαν δὲ πεντακισχιλίων οὐχ

XXVI Maxime animos militum confirmavit fortuita tum Dionysii peregrinatio, qui nuper adeo navibus octoginta in Italiam iverat. Itaque Dione eos hortante uti corpora diuturna navigatione afflicta Minoæ reficerent, moræ impatientes et præripere tempus cupientes, uti se ad Syracusas duceret jusserunt. Quamobrem Dio, deposito ibi quidquid armorum et sarcinarum erat supervacaneum, Synalo orato ut occasione postulante ea sibi mitteret, ad Syracusas contendit. In itinere eo primum ducenti equites Agrigentinorum, eorum qui apud Ecnomum habitant, se ei adjunxerunt, secundum eos Geloi. (2) Fama autem rei celeriter Syracusas allata, Timocrates qui Dionis uxorem [tyranni sororem] habebat, princeps hujus in urbe relictorum amicorum, illico nuntium emittit Dionysio literas ferentem, quibus eum de adventu Dionis doceret. Ipse interim urbanis motibus atque tumultibus intentus erat, quum omnium sublati animi incredulitate tantum adhuc et metu continerentur. (3) Tabellario autem isti admirabilis casus evenit. Quum enim jam in Italiam trajecisset atque per agrum Rheginum in Cauloniam ad Dionysium pergeret, occurrit ei quidam familiaris, hostiam recens cæsam portans; ab eo sumpta hostiæ parte, quum iter acceleraret, ac noctis etiam parte ambulando confecta, præ lassitudine cogeretur paulisper dormire, sicut erat, in silva quadam secus viam decubuit. At lupus ad odorem accurrens carnes manticæ alligatas atque una manticam ipsam (in ea autem continebantur literæ) abstulit. Is homo, ut expergefactus damnum sensit, diu multumque frustra quæsita passim oberrando et persequendo mantica, statuit absque literis ad tyrannum non adire, sed aliquo aufugere.

XXVII. Ita factum est ut sero et ex aliis Dionysius de bello in Sicilia excitato cognosceret. Dioni autem proficiscenti Camarinæi se adjunxere atque in agro habitantium Syracusanorum multitudo haud exigua se ad eum aggregavit. Leontini autem et Campani, qui in custodiendis Epipolis Timocrati aderant, quum ad eos falsum nuntium Dio misisset, se in ipsorum prius urbes impetum facturum, relicto Timocrate, domum ad auxilium suis ferendum abierunt. (2) Quæ quum essent Dione apud Macras castra metato annuntiata, de nocte exercitum abduxit et ad Anapum amnem decem ab urbe stadia distantem pervenit. Ibi inhibita profectione apud fluvium sacris operatus est, Solem tum orientem comprecatus; simul et vates victoriam divinitus dari promiserunt. Et milites Dionem sacrorum causa coronatum videntes universi unanimi studio serta sibi sumpserunt. Erant autem haud pauciores quinque millibus,

ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν· ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος ἀνεπλήρουν τῇ προθυμίᾳ b τὴν τῆς παρασκευῆς ἔνδειαν, ὥστε κινήσαντος τοῦ Δίωνος δρόμῳ χωρεῖν μετὰ χαρᾶς καὶ βοῆς ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν.

XXVIII. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων οἱ μὲν γνώριμοι καὶ χαρίεντες ἐσθῆτα καθαρὰν ἔχοντες ἀπήντων ἐπὶ τὰς πύλας, οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγίδας, ἀνθρώπους ἀνοσίους καὶ θεοῖς ἐχθρούς, οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις πολυπραγμονοῦντες καὶ διαγγέλλοντες τῷ τυράννῳ τάς τε διανοίας καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶτοι c δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων ἀποτυμπανιζόμενοι. (2) Τιμοκράτης δὲ συμμῖξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δυνηθεὶς ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς, ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος, ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. (3) Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος ἤδη καταφανὴς ἦν πρῶτος αὐτὸς ὡπλισμένος λαμπρῶς καὶ παρ' αὐτὸν ἔνθεν μὲν ὁ ἀδελφὸς Μεγακλῆς, ἔνθεν δὲ Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. Τῶν δὲ ξένων ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα, τοὺς δ' ἄλλους ἦγον d οἱ λοχαγοὶ διακεκοσμημένους, θεωμένων τῶν Συρακουσίων καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν ἐλευθερίας καὶ δημοκρατίας δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν.

XXIX. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Δίων κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος ἐλευθεροῦσι Συρακουσίους καὶ τοὺς ἄλλους Σικελιώτας ἀπὸ τοῦ τυράννου. Βουλόμενος δὲ καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν τῶν Συρακουσίων ἱερεῖα καὶ τραπέζας καὶ κρατῆρας ἱστάντων καὶ καθ' οὓς γένοιτο προχύταις τε βαλλόντων καὶ προστρεπομένων e ὥσπερ θεὸν κατευχαῖς. (2) Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν καὶ τὰ Πεντάπυλα, Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. Ἐπὶ τοῦτο προσβὰς ἐδημηγόρησε καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. Οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς καὶ προσείλοντο, βουλομένων καὶ δεομένων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν, ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. (3) Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει τὸ μὲν ὑπὸ πόδας λαβεῖν f τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀνάθημα τοῦ τυράννου λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ᾑρέθη στρατηγός, ὠῤῥώδουν μὴ τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. (4) Ἐκ τούτου τὰς μὲν Ἐπιπολὰς ἑλὼν τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε, τὴν δὲ 971 ἀκρόπολιν ἀπετείχισεν. Ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέ- a

qui se in itinere adjunxerant, male ut in tumultu armati, alacritate defectum apparatûs sarciente, ita quidem, ut simul atque agmen movere Dio instituisset, ipsi hilares cumque læto clamore currentes invicem ad libertatem se cohortarentur recuperandam.

XXVIII. At qui in urbe erant Syracusani, horum præcipui pura in veste ad portas Dioni occurrerunt, reliqui plerique amicos tyranni adorti sunt emissariosque ejus (quos ipsi Prosagogidas nominabant), homines sceleratos ac diis ipsis invisos, qui permixti civibus obambulare ac singulorum sensus vocesque explorare, et ad tyrannum deferre consuevissent. Atque hi primi omnium pœnas dederunt, a proximo quoque fustibus ad mortem cæsi. (2) Ceterum Timocrates, quum intra præsidium arcis venire nequisset, arrepto equo ex urbe profugit, inque fuga metu omnia ac tumultu complevit, inflatius Dionis res prædicans, ne videretur levi proposito metu urbem amisisse. (3) Jam et Dio conspiciebatur subire urbi, primus omnium magnifice armatus incedens, latera ejus Megacle fratre et Callippo Atheniensi coronatis cingentibus. De peregrinis militibus centum præsidii causa Dionem comitabantur, reliquos composito agmine centuriones ducebant, spectantibus Syracusanis et excipientibus hanc quasi sacram pompam libertatis et populi in republica dominationis, quadraginta et octo annis postquam sublata esset revertentis.

XXIX. Ut ad Menitida portam pervenit Dio, tuba sedato tumultu, præconem edicere jussit, Dionem et Megaclem advenisse tyrannidis destruendæ causa, itaque eos Syracusanos et reliquos Siculos ab ipsa liberare. Porro sua ètiam voce cupiens eos alloqui, per Achradinam ascendit, ab utraque parte viæ victimis, mensis et crateribus collocatis a Syracusanis, qui in eum qua iret flores frugesque conjiciebant et tanquam deum votis appellabant. (2) Erat infra arcem et Pentapyla quæ dicuntur solarium illustre et editum, a Dionysio constructum. Quo conscenso, orationem ad populum habuit, qua cives ad studium libertatis excitaret. Atque illi læti amice eum compellatum cum fratre imperatores, in quorum potestate omnia essent, constituere, iisque ita volentibus atque postulantibus viginti collegas adjunxere, quorum decem erant de iis qui cum Dione ab exsilio redibant. (3) Hariolis vero rursus bonum esse signum videbatur, quod concionans Dio tyranni magnificum opus atque donum sub pedibus habuisset; quod autem solarium esset id in quo stans esset imperator electus, metuebant ne id celerem fortunæ mutationem portenderet. (4) Dio secundum hæc, captis Epipolis, in vinculis detentos ibi cives liberavit, et arcem ducto muro ab urbe dejunxit. Septima die in arcem navibus advectus est Dionysius, Dionique arma quæ

πλευσεν εἰς τὴν ἀκρόπολιν καὶ Δίωνι προσῆγον ἅμαξαι τὰς πανοπλίας, ἃς Συνάλῳ κατέλιπε. Ταύτας διένειμε τοῖς πολίταις, τῶν δ' ἄλλων ἕκαστος ἑαυτὸν, ὡς δυνατὸν ἦν, ἐκόσμει καὶ παρεῖχεν ὁπλίτην πρόθυμον.

XXX. Διονύσιος δὲ πρῶτον ἰδίᾳ πρὸς Δίωνα πρέσβεις ἔπεμπεν ἀποπειρώμενος· ἔπειτα κελεύσαντος ἐκείνου διαλέγεσθαι κοινῇ Συρακουσίοις ὡς ἐλευθέροις οὖσιν, ἐγένοντο λόγοι διὰ τῶν πρέσβεων παρὰ τοῦ τυράννου φιλάνθρωποι, φόρων ὑπισχνουμένου μετριότητα καὶ ῥᾳστώνην στρατειῶν, ὧν ἂν αὐτοὶ σύμψηφοι γένωνται. Ταῦτα ἐχλεύαζον οἱ Συρακούσιοι. Δίων δ' ἀπεκρίνατο b τοῖς πρέσβεσι μὴ διαλέγεσθαι πρὸς αὐτοὺς Διονύσιον, εἰ μὴ τὴν ἀρχὴν ἀφίησιν· ἀφιέντι δὲ συμπράξειν ἄδειαν αὐτὸς κἂν ἄλλο τι τῶν μετρίων δύνηται, μεμνημένος τῆς οἰκειότητος. (2) Ταῦτα Διονύσιος ἐπῄνει καὶ πάλιν ἔπεμπε πρέσβεις, κελεύων ἥκειν τινὰς εἰς τὴν ἀκρόπολιν τῶν Συρακουσίων, οἷς τὰ μὲν πείθων τὰ δὲ πειθόμενος διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. Ἐπέμφθησαν οὖν ἄνδρες πρὸς αὐτὸν, οὓς Δίων ἐδοκίμασε. Καὶ λόγος πολὺς ἐκ τῆς ἄκρας εἰς τοὺς Συρακουσίους κατῄει, Διονύσιον ἀφήσειν τὴν τυραννίδα, καὶ μᾶλλον ἑαυτοῦ ποιήσασθαι χάριν ἢ Δίωνος. Ἦν δὲ δόλος ἡ προσποίησις αὕτη τοῦ τυράννου καὶ σκευωρία κατὰ τῶν Συρακουσίων. Τοὺς μὲν γὰρ ἐλθόντας πρὸς αὐτὸν ἐκ c πόλεως συγκλείσας εἶχε, τοὺς δὲ μισθοφόρους πρὸς ὄρθρον ἐμπλήσας ἀκράτου δρόμῳ πρὸς τὸ περιτείχισμα τῶν Συρακουσίων ἀφῆκε· γενομένης δὲ τῆς προσβολῆς ἀνελπίστου καὶ τῶν βαρβάρων θράσει πολλῷ καὶ θορύβῳ καθαιρούντων τὸ διατείχισμα καὶ τοῖς Συρακουσίοις ἐπιφερομένων, οὐδεὶς ἐτόλμα μένων ἀμύνεσθαι, πλὴν τῶν ξένων τῶν Δίωνος, οἳ πρῶτον αἰσθόμενοι τὸν θόρυβον ἐξεβοήθησαν. (3) Οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν τρόπον συνεφρόνουν οὐδ' εἰσήκουον ὑπὸ κραυγῆς καὶ πλάνης τῶν φευγόντων Συρακουσίων ἀναπεφυρμένων αὐτοῖς καὶ διεκθεόντων, πρίν γε δὴ Δίων, ἐπεὶ λέγοντος d οὐδεὶς κατήκουεν, ἔργῳ τὸ πρακτέον ὑφηγήσασθαι βουλόμενος ἐμβάλλει πρῶτος εἰς τοὺς βαρβάρους. Καὶ γίνεται περὶ αὐτὸν ὀξεῖα καὶ δεινὴ μάχη, γινωσκόμενον οὐχ ἧττον ὑπὸ τῶν πολεμίων ἢ τῶν φίλων· ὥρμησαν γὰρ ἅμα πάντες ἐμβοήσαντες. (4) Ὁ δ' ἦν μὲν ἤδη βαρύτερος δι' ἡλικίαν ἢ κατὰ τοιούτους ἀγῶνας, ἀλκῇ δὲ καὶ θυμῷ προσφερομένους ὑφιστάμενος καὶ ἀνακόπτων τιτρώσκεται λόγχῃ τὴν χεῖρα, πρὸς δὲ τὰ ἄλλα βέλη καὶ τὰς ἐκ χειρὸς πληγὰς μόλις ὁ θώραξ ἤρκεσε διὰ τῆς ἀσπίδος δόρασι πολλοῖς καὶ λόγχαις τυπτόμενος· ὧν κατακλασθέντων, κατέπεσεν ὁ Δίων. Εἶτα ἀναρπασθεὶς e ὑπὸ τῶν στρατιωτῶν ἐκείνοις μὲν ἡγεμόνα Τιμωνίδην ἐπέστησεν, αὐτὸς δὲ τὴν πόλιν ἵππῳ περιελαύνων τούς τε Συρακουσίους ἔπαυε φυγῆς καὶ τῶν ξένων τοὺς φυλάττοντας τὴν Ἀχραδινὴν ἀναστήσας ἐπῆγε τοῖς βαρβάροις ἀκμῆτας ἐκπεπονημένοις καὶ προθύμους ἀπαυδῶσιν ἤδη πρὸς τὴν πεῖραν. Ἐλπίσαντες γὰρ ἅμα τῇ πρώτῃ ῥύμῃ τὴν πόλιν ἅπασαν ἐξ ἐπιδρομῆς καθέξειν, εἶτα παρὰ δόξαν ἐντυγχάνοντες ἀνδράσι πλήκταις καὶ

apud Synalum deposuerat, plaustris allata, quæ inter cives distribuit, ceterorum pro se quoque arma sibi quantum ejus posset parante, operamque suam ei militiæ alacrem navante.

XXX. Dionysius autem initio privatim ad Dionem legatos mittere, animumque ejus sollicitare; post eo jubente, ut publice cum Syracusanis, quippe liberis, colloqueretur, per legatos benigne populum compellare, tributorum et militiæ onera levaturum se ipsorum consensu polliceri. Sed hæc Syracusani ridebant. Dio legatis respondit, nisi deposita tyrannide, non esse cur Dionysius cum civibus verba commutet; ea deposita, se memorem propinquitatis ei impunitatem et si quid posset præterea subministraturum esse. (2) Hæc Dionysius laudare, aliis missis legatis petere ut quidam de Syracusanis in arcem ad se mitterentur, quibuscum de communi utilitate ageret, partim persuaderet iis, partim persuaderi sibi pateretur. Missi sunt quos Dio ad id destinavit; multusque ex arce in urbem deferebatur rumor, Dionysium tyrannide abiturum, idque magis sui quam Dionis causa facturum esse. Verum hæc dolosa modo erat tyranni simulatio et fraudulenta in Syracusanos machinatio. Nam et missos ad se ex urbe inclusos detinuit, et sub auroram mero impletos milites mercenarios ad dejiciendum murum, qui ab urbe arcem intercludebat, emisit. Hi quum de improviso impetum fecissent, magnaque audacia et ingenti tumultu murum revellerent, inque Syracusanos irruerent: nemo eorum persistere murumve ausus est defendere, præter Dionis milites peregrinos. (3) Qui quum tumultuari sensissent, accurrunt, sed præ clamore ac trepidatione Syracusanorum discurrentium a fuga seque iis permiscentium neque videre quemadmodum succurrendum esset neque exaudire ducis mandata poterant. Ibi Dio, ut, quando verbis non licebat, facto suis quid fieri vellet demonstraret, primus omnium in barbaros irrupit, pugnamque circa se acrem concivit, cognitus non a sociis modo, sed et ab hostibus magno cum clamore passim incurrentibus. (4) Erat tum major Dionis ætas, quam ut certaminibus hujusmodi par esset, virtute tamen et animo impetum hostium sustinens atque defendens, lancea in manu sauciatur. Adversus cetera tela et ictus cominus illatos ægre restitit thorax ejus, crebris jaculis et hastis per scutum percussus, quibus inflexis, corruit Dion. Statim autem a militibus suis abreptus, iis Timoniden ducem præficit, ipse equo per urbem citato vectus Syracusanorum fugam inhibet. militesque mercenarios suos ab Achradina, quam custodiebant, adducit integros contra defatigatum hostem, et alacres contra desperantem jam de re tentata. Quippe quum se primo incursu et impetu totam urbem subacturos sperassent, præter opinionem suam in homines pugnaces ac

μαχίμοις, ἀνεστέλλοντο πρὸς τὴν ἀκρόπολιν. Ἔτι δὲ f μᾶλλον, ὡς ἐνέδωκαν, ἐπικειμένων τῶν Ἑλλήνων, τραπόμενοι κατεκλείσθησαν εἰς τὸ τεῖχος, ἑβδομήκοντα μὲν καὶ τέσσαρας ἀποκτείναντες τῶν μετὰ Δίωνος, ἑαυτῶν δὲ πολλοὺς ἀποβαλόντες.

XXXI. Γενομένης δὲ λαμπρᾶς τῆς νίκης, οἱ μὲν Συρακούσιοι τοὺς ξένους ἑκατὸν μναῖς ἐστεφάνωσαν, οἱ 972 δὲ ξένοι Δίωνα χρυσῷ στεφάνῳ. Κήρυκες δὲ παρὰ τοῦ a Διονυσίου κατέβαινον ἐπιστολὰς πρὸς Δίωνα παρὰ τῶν οἰκείων γυναικῶν κομίζοντες. Μία δ' ἦν ἔξωθεν ἐπιγεγραμμένη « Τῷ πατρὶ παρ' Ἱππαρίνου· » τοῦτο γὰρ ἦν ὄνομα τῷ Δίωνος υἱῷ. Καίτοι φησὶ Τίμαιος Ἀρεταῖον αὐτὸν ἀπὸ τῆς μητρὸς Ἀρέτης καλεῖσθαι. Τιμωνίδῃ δὲ μᾶλλον, ὡς οἴομαι, περί γε τούτων πιστευτέον, ἀνδρὶ φίλῳ καὶ συστρατιώτῃ Δίωνος. (2) Αἱ μὲν οὖν ἄλλαι τοῖς Συρακουσίοις ἀνεγνώσθησαν ἐπιστολαὶ πολλὰς ἱκεσίας καὶ δεήσεις ἔχουσαι παρὰ τῶν γυναικῶν, τὴν δὲ παρὰ τοῦ παιδὸς εἶναι δοκοῦσαν οὐκ ἐώντων φανερῶς λυθῆναι βιασάμενος ὁ Δίων ἔλυσεν. Ἦν δὲ παρὰ τοῦ b Διονυσίου, τοῖς μὲν γράμμασι πρὸς τὸν Δίωνα, τοῖς δὲ πράγμασι πρὸς τοὺς Συρακουσίους διαλεγομένου· σχῆμα μὲν ἔχουσα δεήσεως καὶ δικαιολογίας, συγκειμένη δὲ πρὸς διαβολὴν τοῦ Δίωνος. Ὑπομνήσεις τε γὰρ ἦσαν, ὧν ὑπὲρ τῆς τυραννίδος ἔπραξε προθύμως, καὶ κατὰ τῶν φιλτάτων ἀπειλαὶ σωμάτων, ἀδελφῆς καὶ τέκνου καὶ γυναικὸς, ἐπισκήψεις τε δειναὶ μετ' ὀλοφυρμῶν καὶ, τὸ μάλιστα κινῆσαν αὐτὸν, ἀξιοῦντος μὴ καθαιρεῖν, ἀλλὰ παραλαμβάνειν τὴν τυραννίδα μηδ' ἐλευθεροῦν μισοῦντας ἀνθρώπους καὶ μνησικακοῦντας, ἀλλ' αὐτὸν ἄρχειν c παρέχοντα τοῖς φίλοις καὶ οἰκείοις τὴν ἀσφάλειαν.

XXXII. Ἀναγινωσκομένων δὲ τούτων οὐχ, ὅπερ ἦν δίκαιον, εἰσῄει τοὺς Συρακουσίους ἐκπλήττεσθαι τὴν ἀπάθειαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Δίωνος ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀπισχυριζομένου πρὸς τοιαύτας οἰκειότητας, ἀλλ' ὑποψίας καὶ φόβου λαβόντες ἀρχὴν, ὡς μεγάλης οὔσης ἀνάγκης ἐκείνῳ φείδεσθαι τοῦ τυράννου, πρὸς ἑτέρους ἤδη προστάτας ἀπέβλεπον· καὶ μάλιστα πυνθανόμενοι καταπλεῖν Ἡρακλείδην ἀνεπτοήθησαν. (2) Ἦν δὲ τῶν φυγάδων Ἡρακλείδης, στρατηγικὸς μὲν ἄνθρωπος καὶ γνώριμος ἀφ' ἡγεμονίας, ἣν ἔσχε παρὰ d τοῖς τυράννοις, οὐκ ἀραρὼς δὲ τὴν γνώμην, ἀλλὰ πρὸς πάντα κοῦφος, ἥκιστα δὲ βέβαιος ἐν κοινωνίᾳ πραγμάτων ἀρχὴν ἐχόντων καὶ δόξαν. Οὗτος ἐν Πελοποννήσῳ πρὸς Δίωνα στασιάσας ἔγνω καθ' αὑτὸν ἰδιόστολος πλεῖν ἐπὶ τὸν τύραννον, εἴς τε Συρακούσας ἀφικόμενος ἑπτὰ τριήρεσι καὶ τρισὶ πλοίοις Διονύσιον μὲν αὖθις εὗρε περιτετειχισμένον, ἐπηρμένους δὲ τοὺς Συρακουσίους. Εὐθὺς οὖν ὑπεδύετο τὴν τῶν πολλῶν χάριν, ἔχων μέν τι καὶ φύσει πιθανὸν καὶ κινητικὸν ὄχλου θεραπεύεσθαι ζητοῦντος, ὑπολαμβάνων δὲ καὶ μετάγων ῥᾷον αὐτοὺς, οἳ τὸ σεμνὸν τοῦ Δίωνος ὡς βαρὺ καὶ δυσπολίτευτον ἀπεστρέφοντο διὰ τὴν γεγενημένην ἐκ τοῦ κρατεῖν ἄνε- e σιν καὶ θρασύτητα πρὸ τοῦ δῆμος εἶναι τὸ δημαγωγεῖσθαι θέλοντες.

strenuos incidentes, ad arcem se recipere coacti et Græcis, postquam semel referre pedem cœperunt, acrius instantibus, protinus intra muros compulsi sunt, quum septuaginta quattuor de Dionis exercitu necassent, suorum autem magnum numerum amisissent.

XXXI. Hac tam splendida parta victoria, Syracusani militibus peregrinis præmii loco centum minas donaverunt, atque hi Dioni coronam auream. A Dionysio autem præcones missi sunt, literas ad Dionem a mulieribus ejus propinquis ferentes, unamque simul epistolam, quæ foris inscriptionem habebat: Patri ab Hipparino; id enim nomen Dionis filio erat, quamvis Timæus ab Areta matre Aretæum dictum tradat; sed arbitror in hac quidem re Timonidæ, amico et commilitoni Dionis, potius credendum. (2) Reliquæ omnes Syracusanis lectæ multas mulierum deprecationes et supplicationes continebant, eam autem, quæ a filio scripta ferebatur, quum publice solvi non permitterent cives, invitis eis aperuit Dio. Erat autem scripta a Dionysio, verbis cum Dione, re cum Syracusanis colloquente, ac sub specie deprecationis et excusationis, calumnias contra Dionem continebat. In memoriam Dioni revocabat, quam is multa studiose tyrannidis constituendæ gratia egisset, minabatur se gravissima in pignora carissima, in sororem, uxorem, et filium ejus statuturum, obtestationes graves et miserabiles non sine lamentatione proferebat, et quod maxime eum movebat, orabat eum, ne evertere, sed ipse accipere tyrannidem, neque infensos et injuriarum memores homines liberare, sed ipse imperium tenere, suisque tuta omnia et secura præstare vellet.

XXXII. His recitatis literis, non id, quod æquum erat, Syracusanis subiit, nempe ut Dionis, qui contra tantas necessitudines animum honestatis causa obfirmasset, constantiam fortitudinemque admirarentur, sed metus et suspicionis oborto initio, quasi summa necessitate ad parcendum tyranno impelleretur Dio, alios jam circumspicere duces cœperunt; præcipue autem animi eorum sublati sunt, quum Syracusas navigare Heraclidem audiverunt. (2) Erat is Heraclides unus de exsulibus rei militaris peritus atque ex præfectura qua sub tyrannis functus erat, celebris, sed homo animo non satis constans, nimiumque levis ac minime fidus in communitate rerum quibus gloria et principatus adesset. Isque, quum in Peloponneso ei cum Dione dissidium intercessisset, statuerat propria classe contra tyrannum navigare, ac tum septem triremibus, lembis tribus Syracusas advectus, quum Dionysium in obsidione haberi, Syracusanos erexisse animos inveniret, statim se captando multitudinis favori dedit; quam ad rem natura ei gratiam quandam indiderat, qua multitudinem, quæ sibi inserviri cupit, demereretur. Nactus autem tunc tales, qui Dionis gravitatem quasi molestam et intractabilem aspernarentur, et ob victoriam partam securi atque ferocientes libertatis nondum compotes, assentationis cupidi essent, facile traxit sibique conciliavit.

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώ- [f] λειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ [973] χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν [a] τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παῤῥησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον [b] μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίω- [c] νος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. (2) Οὐ μὴν ἀλλὰ, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὑτούς. (3) Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. [d] Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάρους πιέζουσι, τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου καὶ πολλὰς εἶχεν ἀρχὰς, ὡς εἰκὸς, ὑπ' ἀλγηδόνος ἀνιέντος, εἶτ' αὖθις ἐπάγοντος. (4) Ἧκον δέ τινες τῶν γνωρίμων ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν καὶ διηγούμενοι βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem repehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis, Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique scilicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Verumtamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat prorsus et multa habebat initia, ut appareret eum, quum indoluisset, sectionem omisisse, mox eam repetiisse. (4) Simul et notæ quidem fidei homines in concionem venerunt, novaculam apportantes narrantesque in itinere sibi Sosin obviam factum, sanguine perfusum, et di-

Σῶσιν ᾑμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχό- e μενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι f καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς
974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ a πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλί- b στου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ c λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὅς, καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώ-

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt. (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam adjutos, existimatio ejus dehortari debuit, ne contumeliose aut scurriliter calamitates eis exprobrarent, quibus quominus injuriâ fortunæ etiam optimus quisque vir feriatur, nihil obstat. (2) Neque vero sanus Ephorus, qui Philistum prædicans, quamvis fuerit callidissimus malos mores et injusta facta honestis in speciem præscriptionibus tegere verbaque in eam rem facere admodum decora, id tamen omni conatu atque opera crimen a se ipso diluere non potuit, quin

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὑτῷ δεδομένης· οὐκέτι b γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώ- f λειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ 973 χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν a τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παῤῥησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον b μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίω- c νος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. (2) Οὐ μὴν ἀλλὰ, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ [illegible] ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν [illegible], οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς [illegible] ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. (3) Ἅμα [illegible] ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες [illegible] ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. d [illegible] τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον [illegible], τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διό- [illegible] ἀρχὰς, ὡς εἰκὸς, ὑπ' ἀλγηδόνος [illegible] γοντος. (4) Ἧκον δέ τινες τῶν [illegible] τες εἰς τὴν ἐκκλησίαν καὶ διη- [illegible] καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem repehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique videlicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Verumtamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat [illegible] habebat initia, ut apparent eum, quum [illegible] omisisse, mox eam repetiisse. [illegible] ei homines in concionem [illegible] antes narrantesque [illegible] itine[illegible] nguine perfusum, [illegible]

Σῶσιν ᾑμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχό- e μενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι f καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς
974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ a πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλί- b στου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ c λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώ-

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt. (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam adjutos, existimatio ejus dehortari debuit, ne contumeliose aut scurriliter calamitates eis exprobrarent, quibus quominus injuriâ fortunæ etiam optimus quisque vir feriatur, nihil obstat. (2) Neque vero sanus Ephorus, qui Philistum prædicans, quamvis fuerit callidissimus malos mores et injusta facta honestis in speciem præscriptionibus tegere verbaque in eam rem facere admodum decora, id tamen omni conatu atque opera crimen a se ipso diluere non potuit, quin

νοντι. (2) Μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας ἀρξαμένου Πλάτωνος ἐντυγχάνειν περὶ Δίωνος, ὑπερθέσεις τὸ πρῶτον ἦσαν, εἶτα μέμψεις καὶ διαφοραὶ λανθάνουσαι 966 τοὺς ἐκτὸς, ἐπικρυπτομένου Διονυσίου καὶ ταῖς ἄλλαις a τὸν Πλάτωνα θεραπείαις καὶ τιμαῖς πειρωμένου παράγειν ἀπὸ τῆς Δίωνος εὐνοίας, οὐδ' αὐτὸν ἔν γε τοῖς πρώτοις χρόνοις ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ καὶ ψευδολογίαν, ἀλλ' ἐγκαρτεροῦντα καὶ σχηματιζόμενον. (3) Οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους καὶ λανθάνειν πάντας οἰομένων, Ἑλίκων ὁ Κυζικηνὸς, εἷς τῶν Πλάτωνος συνήθων, ἡλίου προεῖπεν ἔκλειψιν· καὶ γενομένης, ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου δωρεὰν ἔλαβεν ἀργυρίου τάλαντον. Ἀρίστιππος δὲ παίζων πρὸς τοὺς ἄλλους φιλοσόφους ἔφη τι καὶ αὐτὸς ἔχειν τῶν παραδόξων προειπεῖν. Ἐκείνων δὲ φράσαι δεομένων, b « Προλέγω τοίνυν, εἶπεν, ὀλίγου χρόνου Πλάτωνα καὶ Διονύσιον ἐχθροὺς γενησομένους. » (4) Τέλος δὲ τὴν μὲν οὐσίαν τοῦ Δίωνος ὁ Διονύσιος ἐπώλει καὶ τὰ χρήματα κατεῖχε, Πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον εἰς τοὺς μισθοφόρους μετέστησε πάλαι μισοῦντας αὐτὸν καὶ ζητοῦντας ἀνελεῖν ὡς πείθοντα Διονύσιον ἀφεῖναι τὴν τυραννίδα καὶ ζῆν ἀδορυφόρητον.

XX. Ἐν τοιούτῳ δὲ κινδύνῳ γενομένου τοῦ Πλάτωνος, οἱ περὶ Ἀρχύταν πυθόμενοι ταχὺ πέμπουσι πρεσβείαν καὶ τριακόντορον ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ Διονυσίου, καὶ λέγοντες ὡς αὐτοὺς λαβὼν ἀναδόχους c τῆς ἀσφαλείας πλεύσειεν εἰς Συρακούσας. Ἀπολογουμένου δὲ τοῦ Διονυσίου τὴν ἔχθραν ἑστιάσεσι καὶ φιλοφροσύναις περὶ τὴν προπομπὴν, ἕν δέ τι προαχθέντος πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν· « Ἦπου, Πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας, » ὑπομειδιάσας ἐκεῖνος ἀπεκρίνατο· « Μὴ τοσαύτη λόγων ἐν Ἀκαδημίᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινα μνημονεῦσαι. » Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ Πλάτωνος γενέσθαι λέγουσιν· οὐ μέντοι τὰ Πλάτωνος αὐτοῦ πάνυ τούτοις συνᾴδει.

XXI. Δίων δὲ καὶ τούτοις ἐχαλέπαινε καὶ μετ' ὀλίγον χρόνον ἐξεπολεμώθη παντάπασι, πυθόμενος τὸ περὶ d τὴν γυναῖκα, περὶ οὗ καὶ Πλάτων ᾐνίξατο γράφων πρὸς Διονύσιον. Ἦν δὲ τοιοῦτον. Μετὰ τὴν ἐκβολὴν τοῦ Δίωνος ἀποπέμπων Πλάτωνα Διονύσιος ἐκέλευσεν αὐτοῦ δι' ἀποῤῥήτων πυθέσθαι, μή τι κωλύοι τὴν γυναῖκα πρὸς γάμον ἑτέρῳ δοθῆναι· καὶ γὰρ ἦν λόγος εἴτ' ἀληθὴς εἴτε συντεθεὶς ὑπὸ τῶν Δίωνα μισούντων, ὡς οὐ καθ' ἡδονὴν ὁ γάμος εἴη Δίωνι γεγονὼς οὐδ' εὐάρμοστος ἡ πρὸς τὴν γυναῖκα συμβίωσις. (2) Ὡς οὖν ἧκεν ὁ Πλάτων Ἀθήναζε καὶ τῷ Δίωνι περὶ πάντων ἐνέτυχε, γράφει πρὸς τὸν τύραννον ἐπιστολὴν τὰ μὲν ἄλλα σαφῶς πᾶσιν, αὐτὸ δὲ τοῦτο μόνῳ γνώριμον ἐκείνῳ φράζουσαν, e ὡς διαλεχθείη Δίωνι περὶ τοῦ πράγματος ἐκείνου καὶ σφόδρα δῆλος εἴη χαλεπαίνων, εἰ τοῦτο Διονύσιος ἐξεργάσαιτο. Καὶ τότε μὲν ἔτι πολλῶν ἐλπίδων οὐσῶν πρὸς τὰς διαλύσεις, οὐδὲν ἔπραξε περὶ τὴν ἀδελφὴν νεώτερον, ἀλλ' εἴα μένειν αὐτὴν μετὰ τοῦ παιδίου τοῦ Δίωνος

multa, nihil accipienti. (2) A prima consalutatione Dionysius, quum Plato pro Dione intercedere ordiretur, initio rem differre, mox reprehensiones etiam et jurgia exsistere, latentia reliquos ea, Dionysio tegere conante et reliquis honoribus atque officiis, quibus Platonem colebat, a benevolentia erga Dionem deducere, quum quidem Plato primo etiam tempore perfidiam ejus et mendacia dissimularet, et æquo animo se ferre vultu gestuque ostenderet. (3) Ita iis mutuo affectis et neminem hoc sentire putantibus, Helico Cyzicenus, unus ex familiaribus Platonis, solis deliquium prædixit; quumque ita, ut prædixerat, evenisset, admiratus eum tyrannus argenti talento donavit. Tunc Aristippus per jocum ad reliquos philosophos dixit, se quoque admirabile quiddam vaticinari posse; et quærentibus quidnam id esset: Mox, inquit, inter Dionysium et Platonem inimicitiæ exsistent. (4) Denique tyrannus facultates Dionis vendidit et pecuniam sibi vindicavit, Platonem autem, in horto domui vicino degentem, inter mercenarios milites migrare coegit, jam pridem ei infensos, et interficere cupientes, quod Dionysio deponendæ tyrannidis et sine stipatoribus vivendi auctor esset.

XX. Hoc in periculo quum constitutum Platonem Archyta cognovisset, illico navem triginta remis actam et legationem misit, reposcens a Dionysio Platonem, commemoransque quod is ipso fidejubente in Siciliam navigasset. Hic Dionysius, ut inimicitiam et odium tegeret, discessuro conviviis comibusque congressibus blanditus, semel in eum sermonem delapsus est: Nimirum, o Plato, multa ac gravia de nobis crimina apud eos, qui tecum philosophantur, sparges; tum Plato subridens: Absit, ait, ut tanta sermonum penuria laboret unquam Academia; ut tui quisquam mentionem inferat. Hoc modo Platonem dimissum tradunt; nam quæ ipse ea de re Plato scripsit, non plane istis consentiunt.

XXI. Ceterum Dio quum hoc indigne tulit, tum paullo post audito quæ uxori evenissent, prorsus hostis Dionysii factus est. Quod ad uxorem Dionis attinet, per ambages Plato in epistola Dionysium monuerat. Atque ita res habet. Dionysius Platonem, quum pulso Dione eum emitteret, jusserat ex Dione quærere occulte, concedereretne uxorem suam alteri nuptum dari; rumor enim sive verus sive ab inimicis Dionis confictus ferebatur, non evenisse gratum hoc Dioni matrimonium, neque eum cum ista uxore vivere commode posse. (2) Plato Athenas reversus Dionisque explorata sententia, Dionysio scripsit epistolam, cujus reliquæ partes intelligi ab omnibus possent, id vero a solo Dionysio: se de re ista, quam nosset, Dioni collocutum et deprehendisse eum, si res ita a Dionysio ageretur, iniquissime laturum. Ac tum quidem Dionysius, quod multum spei esset de reparanda gratia, nihil de sorore novi statuit, sed eam passus est cum infante ex Dione nato habitare. Ut a pacificatione consilium plane avertit, ac Platonem ad

οἰκοῦσαν. Ἐπεὶ δὲ παντάπασιν ἀσυμβάτως εἶχε καὶ Πλάτων αὖθις ἐλθὼν ἀπεπέμφθη πρὸς ἀπέχθειαν, οὕτω τὴν Ἀρέτην ἄκουσαν ἑνὶ τῶν φίλων Τιμοκράτει δίδωσιν, οὐ μιμησάμενος τὴν κατά γε τοῦτο τοῦ πατρὸς ἐπιείκειαν. (3) Ἐγεγόνει γὰρ, ὡς ἔοικε, κἀκείνῳ Πολύξενος f ὁ τὴν ἀδελφὴν ἔχων αὐτοῦ Θέστην πολέμιος. Ἀποδράντος οὖν αὐτοῦ διὰ φόβον καὶ φυγόντος ἐκ Σικελίας μεταπεμψάμενος ᾐτιᾶτο τὴν ἀδελφὴν, ὅτι συνειδυῖα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐ κατεῖπε πρὸς αὐτόν. Ἡ δ' ἀνεκπλήκτως καὶ νὴ Δί' ἀφόβως· « Εἶθ' οὕτω σοι δοκῶ, Διονύσιε, φαύλη γυνὴ γεγονέναι καὶ ἄνανδρος, ὥστε προγνοῦσα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐκ ἂν συνεκπλεῦσαι 967 καὶ μετασχεῖν τῆς αὐτῆς τύχης; Ἀλλ' οὐ προέγνων. a Ἐπεὶ καλῶς εἶχέ μοι μᾶλλον Πολυξένου γυναῖκα φεύγοντος ἢ σοῦ τυραννοῦντος ἀδελφὴν λέγεσθαι. » Ταῦτα τῆς Θέστης παῤῥησιασαμένης, θαυμάσαι λέγουσι τὸν τύραννον. Ἐθαύμασαν δὲ καὶ οἱ Συρακούσιοι τὴν ἀρετὴν τῆς γυναικὸς, ὥστε καὶ μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος ἐκείνῃ τιμὴν καὶ θεραπείαν βασιλικὴν ὑπάρχειν, ἀποθανούσης δὲ δημοσίᾳ πρὸς τὴν ταφὴν ἐπακολουθῆσαι τοὺς πολίτας. Ταῦτα μὲν οὖν οὐκ ἄχρηστον ἔχει τὴν παρέκβασιν.

XXII. Ὁ δὲ Δίων ἐντεῦθεν ἤδη τρέπεται πρὸς πόλεμον, αὐτοῦ μὲν Πλάτωνος ἐκποδὼν ἱσταμένου δι' αἰδῶ τῆς πρὸς Διονύσιον ξενίας καὶ γῆρας, Σπευσίππου δὲ καὶ τῶν ἄλλων ἑταίρων τῷ Δίωνι συλλαμβανόντων καὶ b παρακελευομένων ἐλευθεροῦν Σικελίαν χεῖρας ὀρέγουσαν αὐτῷ καὶ προθύμως ὑποδεχομένην. (2) Ὅτε γὰρ ἐν Συρακούσαις Πλάτων διέτριβεν, οἱ περὶ Σπεύσιππον, ὡς ἔοικε, μᾶλλον ἀναμιγνύμενοι τοῖς ἀνθρώποις κατεμάνθανον τὴν διάνοιαν αὐτῶν. Καὶ τὸ μὲν πρῶτον ἐφοβοῦντο τὴν παῤῥησίαν ὡς διάπειραν οὖσαν ὑπὸ τοῦ τυράννου, χρόνῳ δ' ἐπίστευσαν. Ὁ γὰρ αὐτὸς ἦν παρὰ πάντων λόγος δεομένων καὶ παρακελευομένων ἐλθεῖν Δίωνα μὴ ναῦς ἔχοντα μηδ' ὁπλίτας μηδ' ἵππους, ἀλλ' αὐτὸν εἰς ὑπηρετικὸν ἐμβάντα χρῆσαι τὸ σῶμα καὶ τοὔνομα Σικελιώταις ἐπὶ τὸν Διονύσιον. (3) Ταῦτα τῶν c περὶ Σπεύσιππον ἀγγελλόντων ἐπιῤῥωσθεὶς ἐξενολόγει κρύφα καὶ δι' ἑτέρων ἐπικρυπτόμενος τὴν διάνοιαν. Συνέπραττον δὲ καὶ τῶν πολιτικῶν πολλοὶ καὶ τῶν φιλοσόφων, ὅ τε Κύπριος Εὔδημος, εἰς ὃν Ἀριστοτέλης ἀποθανόντα τὸν περὶ ψυχῆς διάλογον ἐποίησε, καὶ Τιμωνίδης ὁ Λευκάδιος. Συνέστησαν δὲ καὶ Μίλταν αὐτῷ τὸν Θεσσαλὸν, ἄνδρα μάντιν καὶ μετεσχηκότα τῆς ἐν Ἀκαδημίᾳ διατριβῆς. Τῶν δ' ὑπὸ τοῦ τυράννου πεφυγαδευμένων, οὐ μεῖον ἢ χιλίων ὄντων, πέντε καὶ εἴκοσι μόνοι τῆς στρατείας ἐκοινώνησαν, οἱ δ' ἄλλοι προὔδοσαν ἀποδειλιάσαντες. (4) Ὁρμητήριον δ' ἦν ἡ Ζακυνθίων νῆσος, εἰς ἣν οἱ στρατιῶται συνελέγησαν ὀκτακοσίων ἐλάττους γενόμενοι, γνώριμοι δὲ πάντες ἐκ d πολλῶν καὶ μεγάλων στρατειῶν καὶ τοῖς σώμασιν ἠσκημένοι διαφερόντως, ἐμπειρίᾳ δὲ καὶ τόλμῃ πολὺ πάντων κράτιστοι καὶ δυνάμενοι πλῆθος ὅσον ἤλπιζεν ἕξειν ἐν Σικελίᾳ Δίων ὑπεκκαῦσαι καὶ συνεξορμῆσαι πρὸς ἀλκήν.

se reversum incenso animo amandavit, ibi demum Aretam invitam uni amicorum Timocrati nuptum dat, hac quidem in parte humanitatem patris non imitatus. (3) Etenim Polyxenus, sororis ejus Thestæ maritus, quum gratia tyranni excidisset ac Sicilia præ metu profugisset, ille sororem ad se vocatam objurgavit, quod mariti fugæ conscia, se eam rem celasset. At illa impavide profecto et fortiter, Adeone, inquit, tibi nullius pretii atque mollis videor, Dionysi, mulier, ut me, si fugam mariti præsensissem, non unâ eandem subituram fortunam existimes? Sane non prævidi; maluissem enim utique Polyxeni profugi uxor quam tua tyranni soror dici. Hoc tam liberum responsum ferunt Dionysium admiratum. Et Syracusani quidem tanti fecerunt feminæ virtutem, ut eversa etiam tyrannide honores ei et cultum regium permiserint, mortuæque funus cives publice sint prosecuti. Hæc egressio inutilis non est.

XXII. Ceterum Dio jam inde bellum moliri cœpit, Platone quidem verecundia hospitii et ob senectutem procul a re se continente, Speusippo autem et aliis amicis astipulantibus Dioni hortantibusque ut Siciliam manus porrigentem ultroque accipientem liberaret. (2) Quo enim tempore Syracusis Plato egit, Speusippus frequentius cum civibus conversans, animos eorum explorarat, initio quidem libere fateri quæ sentirent non audentium, quod eum a tyranno submissum suspicarentur, sed quum tempus fidem ei apud ipsos fecisset, una voce omnium orantium atque hortantium Dionem ut in Siciliam veniret; non opus ei navibus, non pedite, non equis esse, saltem quovis navigio advectus, corpus suum et nomen Siculis contra tyrannum utendum præberet. (3) Hæc Dio annuntiante Speusippo, animo confirmatus, suo tecto proposito per alios occulte militem mercenarium conducebat. Adjuvabant autem quum civiles viri tum philosophi non pauci, inque his Eudemus Cyprius (in cujus mortem Aristoteles dialogum de Anima composuit) et Timonides Leucadius, conjunxere etiam ei Miltam Thessalum, divinandi peritum et in Academia versatum. At de iis quos in exsilium egerat tyrannus (erant mille non pauciores) viginti quinque modo socios se præbuerunt, reliquis eum præ metu destituentibus. (4) Receptaculum autem futuri belli erat Zacynthus insula, in quam milites conveniebant, infra octingentos numero, sed multis jam ante præclaris expeditionibus nobiles, corporibus eximie exercitatis, ac peritia et audacia omnium primi, denique apti ad multitudinem, quam sibi in Sicilia præsto futuram Dio sperabat, excitandam adque fortitudinem inflammandam.

XXIII. Οὗτοι τὸ μὲν πρῶτον ἀκούσαντες ἐπὶ Διονύσιον καὶ Σικελίαν αἴρεσθαι τὸν στόλον, ἐξεπλάγησαν καὶ κατέγνωσαν, ὡς ὀργῆς τινος παραφροσύνῃ καὶ μανίᾳ τοῦ Δίωνος ἢ χρηστῶν ἐλπίδων ἀπορίᾳ ῥιπτοῦντος ἑαυτὸν εἰς ἀπεγνωσμένας πράξεις· καὶ τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ξενολόγοις ὠργίζοντο μὴ προειποῦσιν· εὐθὺς ἐξ ἀρχῆς τὸν πόλεμον. Ἐπεὶ δὲ Δίων τῷ λόγῳ τὰ σαθρὰ e τῆς τυραννίδος ἐπεξιὼν ἐδίδασκεν, ὡς οὐ στρατιώτας, ἀλλὰ μᾶλλον ἡγεμόνας αὐτοὺς κομίζοι Συρακουσίων καὶ τῶν ἄλλων Σικελιωτῶν πάλαι πρὸς ἀπόστασιν ἑτοίμων ὑπαρχόντων, μετὰ δὲ τὸν Δίωνα διαλεχθέντος αὐτοῖς Ἀλκιμένους, ὃς πρῶτος ὢν Ἀχαιῶν δόξῃ καὶ γένει συνεστράτευεν, ἐπείσθησαν. (2) Ἦν μὲν οὖν θέρους ἀκμὴ καὶ κατεῖχον ἐτησίαι τὸ πέλαγος, ἡ δὲ σελήνη διχομηνίαν ἦγε. Τῷ δ' Ἀπόλλωνι θυσίαν μεγαλοπρεπῆ παρασκευάσας ὁ Δίων ἐπόμπευσε μετὰ τῶν στρατιωτῶν κεκοσμημένων ταῖς πανοπλίαις πρὸς τὸ ἱερόν· καὶ μετὰ τὴν θυσίαν ἐν τῷ σταδίῳ τῶν Ζακυνθίων κατακλιθέντας αὐτοὺς εἱστία θαυμάζοντας ἀργυρῶν f καὶ χρυσῶν ἐκπωμάτων καὶ τραπεζῶν ὑπερβάλλουσαν ἰδιωτικὸν πλοῦτον λαμπρότητα, καὶ λογιζομένους ὅτι παρηκμακὼς ἀνὴρ ἤδη καὶ τοσαύτης εὐπορίας 968 κύριος οὐκ ἂν ἐπιχειροίη παραβόλοις πράγμασι a χωρὶς ἐλπίδος βεβαίου καὶ φίλων ἐνδιδόντων ἐκεῖθεν αὐτῷ τὰς πλείστας καὶ μεγίστας ἀφορμάς.

XXIV. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας κατευχὰς ἐξέλιπεν ἡ σελήνη. Καὶ τοῖς μὲν περὶ τὸν Δίωνα θαυμαστὸν οὐδὲν ἦν λογιζομένοις τὰς ἐκλειπτικὰς περιόδους καὶ τὴν γινομένην τοῦ σκιάσματος ἀπάντησιν πρὸς τὴν σελήνην καὶ τῆς γῆς τὴν ἀντίφραξιν πρὸς τὸν ἥλιον. Ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, Μίλτας ὁ μάντις ἐν μέσῳ καταστὰς ἐκέλευε θαῤῥεῖν αὐτοὺς καὶ προσδοκᾶν τὰ κράτιστα· σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινος τῶν νῦν ἐπιφανῶν· ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς b Διονυσίου τυραννίδος, ἧς τὸ λαμπρὸν ἀποσβέσειν ἐκείνους εὐθὺς ἁψαμένους Σικελίας. Τοῦτο μὲν οὖν ὁ Μίλτας εἰς μέσον ἐξέθηκε πᾶσι· τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἑσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίᾳ πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσι. (2) Λέγεται δὲ καὶ τῷ Διονυσίῳ πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. Ἀετὸς μὲν γὰρ ἁρπάσας δοράτιόν τινος τῶν δορυφόρων ἀράμενος ὑψοῦ καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν. Ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα μίαν ἡμέραν τὸ ὕδωρ γλυκὺ c καὶ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάδηλον εἶναι. Χοῖροι δ' ἐτέχθησαν αὐτῷ τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ' οὐκ ἔχοντες. Ἀπεφαίνοντο δ' οἱ μάντεις τοῦτο μὲν ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον, ὡς οὐκέτι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος, τὴν δὲ γλυκύτητα τῆς θαλάσσης μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ

XXIII. Hi primum quidem, ut accepere in Siciliam et adversus Dionysium classem solvere, perterriti sunt Dionisque conatum damnarunt, insania quadam concitum, iraque furore et spei melioris inopia se ipsum conjicere in certum periculum putantes, succensebantque suis ducibus et conquisitoribus, quod non initio ipsis ad quod legerentur bellum indicassent. Sed postquam Dio oratione sua exposuit, quam male suffulta esset tyrannis, et se non tam militum eos, quam ducum loco in Siciliam ducere docuit, Syracusanis reliquisque Siculis jam primum ad defectionem comparatis; post Dionem etiam Alcimenes, qui nobilitate generis et gloriæ Achæorum princeps una militabat, verba habuit ad commilitones: ita demum milites assenserunt. (2) Jam adulta æstate pelagus Etesiæ tenebant, lunaque toto fulgebat orbe, quum Dio magnifice sacris operatus Apollini, militum armatorum pompam ad ædem dei duxit, peractoque sacrificio, in circo Zacynthiorum epulum eis præbuit. Illi vero argenteorum aureorumque poculorum et mensarum splendorem, privatis opibus longe majorem, admirari ac sic ratiocinari: virum jam provecta ætate tamque opulentum nunquam res dubias tentaturum fuisse, nisi certa proposita spe, amicisque ipsi in Sicilia plurimas et maximas præbentibus occasiones.

XXIV. Post libationes et vota rite peracta, luna defecit. Nihil id miratus est Dio, quippe eclipticas circuitiones et umbræ occursum lunæ incidentem terræque et solis oppositionem reputans. Sed quum milites perturbati oratione aliqua essent confirmandi, Miltas vates in medium progressus, bono esse eos animo et sperare optima jussit; significari enim divinitus alicujus in præsentia illustrissimi obscurationem; at nihil esse Dionysii tyrannide illustrius, hanc ipsos, simul atque Siciliam attigissent, de clara obscurissimam reddituros. Hæc Miltas palam omnibus dixit. Ostentum vero apium, quas apud naves Dionis conspexerunt examen ad puppim coegisse, privatim ei et amicis interpretatus ita est: vereri se, ne præclaras quidem res essent gesturi, sed eæ quum floruissent brevi tempore emarcescerent. (2) Ferunt etiam Dionysio multa divinitus prodigia obtigisse. Aquila enim abreptum cujusdam stipatorum hastile in sublime evexerat, atque inde in profundum abjecerat. Mare quod arcem alluit, per unum diem aquam dulcem et potabilem præbuit, id quod gustus omnes docuit. Porci quoque partu editi sunt, ceteris membris perfecti, sed auribus carentes. Harioli responderunt, hoc defectionis et rebellionis esse signum, ac cives non amplius tyrannidi obtemperaturos; maris dulcedinem Syracusanis mutationem rerum tristium

φέρειν Συρακουσίοις. Ἀετὸς δε θεράπων Διός, λόγχη δὲ παράσημον ἀρχῆς καὶ δυναστείας· ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῇ τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. Ταῦτα μὲν οὖν Θεόπομπος ἱστόρηκε.

XXV. Τοὺς δὲ στρατιώτας τοὺς Δίωνος ἐξεδέξαντο d στρογγύλαι δύο ναῦς, τρίτον δὲ πλοῖον οὐ μέγα καὶ δύο τριακόντοροι παρηκολούθουν. Ὅπλα δὲ, χωρὶς ὧν εἶχον οἱ στρατιῶται, δισχιλίας μὲν ἐκόμιζεν ἀσπίδας, βέλη δὲ καὶ δόρατα πολλὰ καὶ πλῆθος ἐφοδίων ἄφθονον, ὅπως ἐπιλίπῃ μηδὲν αὐτοὺς ποντοποροῦντας, ἅτε δὴ τὸ σύμπαν ἐπὶ πνεύμασι καὶ θαλάσσῃ πεποιημένους τὸν πλοῦν διὰ τὸ τὴν γῆν φοβεῖσθαι καὶ πυνθάνεσθαι Φίλιστον ἐν Ἰαπυγίᾳ ναυλοχοῦντα παραφυλάττειν. (2) Ἀραιῷ δὲ καὶ μαλακῷ πνεύματι πλεύσαντες ἡμέρας δώδεκα, τῇ τρισκαιδεκάτῃ κατὰ Πάχυνον ἦσαν, ἄκραν τῆς Σικελίας. Καὶ Πρῶτος μὲν ὁ κυβερνήτης e κατὰ τάχος ἐκέλευσεν ἀποβαίνειν, ὡς, ἂν ἀποσπασθῶσι τῆς γῆς καὶ τὴν ἄκραν ἑκόντες ἀφῶσι, πολλὰς ἡμέρας καὶ νύκτας ἐν τῷ πελάγει τριβησομένους ὥρᾳ θέρους νότον περιμένοντας. Δίων δὲ τὴν ἐγγὺς τῶν πολεμίων ἀπόβασιν δεδιὼς καὶ τῶν πρόσω μᾶλλον ἅψασθαι βουλόμενος παρέπλευσε τὸν Πάχυνον. (3) Ἐκ δὲ τούτου τραχὺς μὲν ἀπαρκτίας ἐπιπεσὼν ἤλαυνε πολλῷ κλύδωνι τὰς ναῦς ἀπὸ τῆς Σικελίας, ἀστραπαὶ δὲ καὶ βρονταὶ φανέντος ἀρκτούρου συμπεσοῦσαι πολὺν ἐξ οὐρανοῦ χειμῶνα καὶ ῥαγδαῖον ὄμβρον ἐξέχεαν· ᾧ τῶν ναυτῶν συνταραχθέντων καὶ πλάνης γενομένης, καθορῶσιν f αἰφνίδιον ὑπὸ τοῦ κύματος ὠθουμένας τὰς ναῦς ἐπὶ τὴν πρὸς Λιβύην Κέρκιναν, ᾗ μάλιστα κρημνώδης ἀπήντα καὶ τραχεῖα προσφερομένοις αὐτοῖς ἡ νῆσος. Μικρὸν οὖν δεήσαντες ἐκριφῆναι καὶ συντριβῆναι περὶ τὰς πέτρας ἐβιάζοντο πρὸς κοντὸν παραφερόμενοι μόλις, ἕως ὁ χειμὼν ἐλώφησε καὶ πλοίῳ συντυχόντες ἔγνω-969σαν ἐπὶ ταῖς καλουμέναις Κεφαλαῖς τῆς μεγάλης Σύρτεως a ὄντες. (4) Ἀθυμοῦσι δ' αὐτοῖς πρὸς τὴν γαλήνην καὶ διαφερομένοις αὔραν τινὰ κατέσπειρεν ἡ χώρα νότιον οὐ πάνυ προσδεχομένοις νότον οὐδὲ πιστεύουσι τῇ μεταβολῇ. Κατὰ μικρὸν δὲ ῥωννυμένου τοῦ πνεύματος καὶ μέγεθος λαμβάνοντος, ἐκτείναντες ὅσον ἦν ἱστίων καὶ προσευξάμενοι τοῖς θεοῖς πελάγιοι πρὸς τὴν Σικελίαν ἔφευγον ἀπὸ τῆς Λιβύης· καὶ θέοντες ἐλαφρῶς πεμπταῖοι κατὰ Μινῴαν ὡρμίσαντο, πολισμάτιον ἐν τῇ Σικελίᾳ τῆς Καρχηδονίων ἐπικρατείας. (5) Ἔτυχε δὲ παρὼν ὁ Καρχηδόνιος ἄρχων Σύναλος ἐν τῷ χωρίῳ, ξένος ὢν καὶ φίλος Δίωνος. Ἀγνοῶν δὲ τὴν παρουσίαν b αὐτοῦ καὶ τὸν στόλον ἐπειρᾶτο κωλύειν τοὺς στρατιώτας ἀποβαίνοντας. Οἱ δὲ μετὰ τῶν ὅπλων ἐκδραμόντες ἀπέκτειναν μὲν οὐδένα, ἀπειρήκει γὰρ ὁ Δίων διὰ τὴν οὖσαν αὐτῷ φιλίαν πρὸς τὸν Καρχηδόνιον, φεύγουσι δὲ συνεισπεσόντες αἱροῦσι τὸ χωρίον. Ὡς δ' ἀπήντησαν ἀλλήλοις οἱ ἡγεμόνες καὶ ἠσπάσαντο, Δίων μὲν ἀπέδωκε τὴν πόλιν Συνάλῳ, οὐδὲν ἀδικήσας, Σύναλος δὲ τοὺς στρατιώτας ἐξένιζε καὶ συμπαρεσκεύαζεν ὧν Δίων ἐδεῖτο.

et adversarum in lætas portendere; aquilam Jovis ministrum, hastam imperii et dominatus insigne; ita summum deorum tyrannidis eversionem et interitum moliri. Hæc Theopompus narravit.

XXV. Milites Dionis navibus duabus rotundis impositi sunt, alia navi haud magna et duabus triginta scalmorum navibus comitantibus. Arma præter ea quæ tum habebant milites secum vehebat duo clypeorum millia, jaculorum et hastilium magnam multitudinem, tum abunde alimentorum, ne quid ipsos in maritima navigatione deficeret, quippe omnem cursum alto mari tenebant, terram metuentes, quod in Iapygia Philistum stationem speculandi causa haberet audivissent. (2) Leni ac molli vento vecti duodecim dies, decimotertio ad Pachynum Siciliæ promontorium pervenerunt. Ibi quum Protus gubernator celeriter exscensionem faciendam moneret, alioquin fore ut a terra et isto promontorio ultro digressi multas dies noctesque, dum æstatis tempore austrum operirentur, in alto commorari cogerentur: Dio in terram ita prope hostem exscensionem facere metuens, ac remotiora primum aggredi consultius existimans, Pachynum præternavigavit. (3) Statim et vehemens obortus Aparctias magno fluctu naves a Sicilia repulit, et fulgura ac tonitrua sub primum Arcturi ortum erumpentia magnam cœlo tempestatem violentumque imbrem effuderunt, quibus perturbati nautæ quum non tenuissent cursum, subito cernunt naves a fluctu ad Cercinam Libyæ objectam insulam compelli, qua maxime præruptis atque asperis saxis importuosa erat appellentibus. Ita prope ad saxa ejecti naufragiumque passi, quum a petris navigia contis magno cum labore ægre detrusissent, postquam tempestas desiit, in navem quandam incidentes cognoverunt se ad capita quæ vocant magnæ Syrtis esse. (4) Ægro tum animo tranquillitatem ferentibus atque sollicitis, ex regione illa australis quædam aura aspiravit, nihil admodum tunc austrum sperantibus neque fidem mutationi habentibus. Mox autem vento aucto et validius incumbente, pansis quotquot habebant velis deosque comprecati, per altum ab Africa ad Siciliam leni cursu fugerunt, quintoque die apud Minoam naves applicuerunt; id est oppidum Siciliæ, Carthaginiensium ditionis. (5) Aderat ibi tum forte Synalus præfectus ejus loci, hospes et amicus Dionis. Qui quum nihil de hujus adventu cognovisset, milites egressu in terram prohibere conatus est. Itaque illi impetu armata manu facto, nemine occiso (Dio enim respiciens amicitiam quæ ipsi erat cum Carthaginiensi cædibus interdixerat), una cum fugientibus in oppidum irruerunt, eoque potiti sunt. Ut autem ipsi duces sunt congressi, facta consalutatione Dio oppidum Synalo nulla injuria affectum reddidit, Synalus autem hospitio milites excepit ac Dionem quibus in rebus vellet adjuvit.

XXVI. Μάλιστα δ' αὐτοὺς ἐθάῤῥυνε τὸ συμβεβηκὸς αὐτομάτως περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. c Νεωστὶ γὰρ ἐκπεπλευκὼς ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. Διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοί, σπεύδοντες ἁρπάσαι τὸν καιρὸν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. Ἀποσκευασάμενος οὖν τὰ περιόντα τῶν ὅπλων καὶ τῶν φορτίων ἐκεῖ καὶ τοῦ Συνάλου δεηθεὶς, ὅταν ᾖ καιρὸς, ἀποστεῖλαι πρὸς αὐτὸν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. Πορευομένῳ δ' αὐτῷ πρῶτον μὲν Ἀκραγαντίνων προσεχώρησαν ἱππεῖς διακόσιοι τῶν περὶ τὸ Ἔκνομον οἰκούντων, d μετὰ δὲ τούτους Γελῷοι. (2) Ταχὺ δὲ τῆς φήμης διαδραμούσης εἰς Συρακούσας, Τιμοκράτης, ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν [Διονυσίου ἀδελφῇ], τῶν ἀπολελειμμένων ἐν τῇ πόλει φίλων προεστὼς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ γράμματα κομίζοντα περὶ τῆς Δίωνος ἀφίξεως· αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχε θορύβοις καὶ κινήμασιν, ἐπηρμένων μὲν πάντων, διὰ δ' ἀπιστίαν ἔτι καὶ φόβον ἡσυχαζόντων. (3) Τῷ δὲ πεμφθέντι γραμματοφόρῳ τύχη τις συμπίπτει παράλογος. Διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν καὶ τὴν Ῥηγίνην διελθὼν ἐπειγόμενος εἰς Καυλωνίαν e πρὸς Διονύσιον, ἀπήντησέ τινι τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι· καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν ἐχώρει σπουδῇ. Τῆς δὲ νυκτὸς μέρος ὁδεύσας καὶ μικρὸν ἀποδαρθεῖν ὑπὸ κόπου βιασθεὶς, ὡς εἶχε, παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ κατέκλινεν ἑαυτόν. Πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν καὶ λαβόμενος τῶν κρεῶν ἀναδεδεμένων ἐκ τῆς πήρας ᾤχετο φέρων ἅμα σὺν αὐτοῖς τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. Ὡς δὲ διεγερθεὶς ᾔσθετο καὶ πολλὰ μάτην πλανηθεὶς καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ πορεύεσθαι δίχα τῶν γραμμάτων πρὸς τὸν τύραννον, ἀλλ' f ἀποδρὰς ἐκποδὼν γενέσθαι.

XXVII. Διονύσιος μὲν οὖν ὀψὲ καὶ παρ' ἑτέρων ἔμελλε πυνθάνεσθαι τὸν ἐν Σικελίᾳ πόλεμον. Δίωνι δὲ πορευομένῳ Καμαριναῖοί τε προσέθεντο καὶ τῶν κατ' ἀγροὺς Συρακουσίων ἀνισταμένων ἐπέῤῥει πλῆθος οὐκ ὀλίγον. Οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάττοντες Λεοντῖνοι καὶ Καμπανοὶ, λόγον ψευδῆ 970 προσπέμψαντος εἰς αὐτοὺς τοῦ Δίωνος ὡς ἐπὶ τὰς πόλεις a πρῶτον τρέποιτο τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην τοῖς οἰκείοις βοηθήσοντες. (2) Ὡς δ' ἀπηγγέλη ταῦτα πρὸς τὸν Δίωνα περὶ τὰς Μακρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἧκε ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. Ἐνταῦθα δὲ τὴν πορείαν ἐπιστήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν ἀνατέλλοντι τῷ ἡλίῳ προσευξάμενος· ἅμα δ' οἱ μάντεις παρὰ τῶν θεῶν νίκην ἔφραζον αὐτῷ. Καὶ θεασάμενοι τὸν Δίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες ἀπὸ μιᾶς ὁρμῆς ἐστεφανοῦντο πάντες. Ἦσαν δὲ πεντακισχιλίων οὐκ

XXVI Maxime animos militum confirmavit fortuita tum Dionysii peregrinatio, qui nuper adeo navibus octoginta in Italiam iverat. Itaque Dione eos hortante uti corpora diuturna navigatione afflicta Minoæ reficerent, moræ impatientes et præripere tempus cupientes, uti se ad Syracusas duceret jusserunt. Quamobrem Dio, deposito ibi quidquid armorum et sarcinarum erat supervacaneum, Synalo orato ut occasione postulante ea sibi mitteret, ad Syracusas contendit. In itinere eo primum ducenti equites Agrigentinorum, eorum qui apud Ecnomum habitant, se ei adjunxerunt, secundum eos Geloi. (2) Fama autem rei celeriter Syracusas allata, Timocrates qui Dionis uxorem [tyranni sororem] habebat, princeps hujus in urbe relictorum amicorum, illico nuntium emittit Dionysio literas ferentem, quibus eum de adventu Dionis doceret. Ipse interim urbanis motibus atque tumultibus intentus erat, quum omnium sublati animi incredulitate tantum adhuc et metu continerentur. (3) Tabellario autem isti admirabilis casus evenit. Quum enim jam in Italiam trajecisset atque per agrum Rheginum in Cauloniam ad Dionysium pergeret, occurrit ei quidam familiaris, hostiam recens cæsam portans; ab eo sumpta hostiæ parte, quum iter acceleraret, ac noctis etiam parte ambulando confecta, præ lassitudine cogeretur paulisper dormire, sicut erat, in silva quadam secus viam decubuit. At lupus ad odorem accurrens carnes manticæ alligatas atque una manticam ipsam (in ea autem continebantur literæ) abstulit. Is homo, ut expergefactus damnum sensit, diu multumque frustra quæsita passim oberrando et persequendo mantica, statuit absque literis ad tyrannum non adire, sed aliquo aufugere.

XXVII. Ita factum est ut sero et ex aliis Dionysius de bello in Sicilia excitato cognosceret. Dioni autem proficiscenti Camarinæi se adjunxere atque in agro habitantium Syracusanorum multitudo haud exigua se ad eum aggregavit. Leontini autem et Campani, qui in custodiendis Epipolis Timocrati aderant, quum ad eos falsum nuntium Dio misisset, se in ipsorum prius urbes impetum facturum, relicto Timocrate, domum ad auxilium suis ferendum abierunt. (2) Quæ quum essent Dione apud Macras castra metato annuntiata, de nocte exercitum abduxit et ad Anapum amnem decem ab urbe stadia distantem pervenit. Ibi inhibita profectione apud fluvium sacris operatus est, Solem tum orientem comprecatus; simul et vates victoriam divinitus dari promiserunt. Et milites Dionem sacrorum causa coronatum videntes universi unanimi studio serta sibi sumpserunt. Erant autem haud pauciores quinque millibus,

ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν· ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος ἀνεπλήρουν τῇ προθυμίᾳ b τὴν τῆς παρασκευῆς ἔνδειαν, ὥστε κινήσαντος τοῦ Δίωνος δρόμῳ χωρεῖν μετὰ χαρᾶς καὶ βοῆς ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν.

XXVIII. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων οἱ μὲν γνώριμοι καὶ χαρίεντες ἐσθῆτα καθαρὰν ἔχοντες ἀπήντων ἐπὶ τὰς πύλας, οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγίδας, ἀνθρώπους ἀνοσίους καὶ θεοῖς ἐχθρούς, οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις πολυπραγμονοῦντες καὶ διαγγέλλοντες τῷ τυράννῳ τάς τε διανοίας καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶ- c τοι δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων ἀποτυμπανιζόμενοι. (2) Τιμοκράτης δὲ συμμῖξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δυνηθεὶς ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς, ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος, ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. (3) Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος ἤδη καταφανὴς ἦν πρῶτος αὐτὸς ὡπλισμένος λαμπρῶς καὶ παρ' αὐτὸν ἔνθεν μὲν ὁ ἀδελφὸς Μεγακλῆς, ἔνθεν δὲ Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. Τῶν δὲ ξένων ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα, τοὺς δ' ἄλλους ἦγον d οἱ λοχαγοὶ διακεκοσμημένους, θεωμένων τῶν Συρακουσίων καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν ἐλευθερίας καὶ δημοκρατίας δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν.

XXIX. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Δίων κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος ἐλευθεροῦσι Συρακουσίους καὶ τοὺς ἄλλους Σικελιώτας ἀπὸ τοῦ τυράννου. Βουλόμενος δὲ καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν τῶν Συρακουσίων ἱερεῖα καὶ τραπέζας καὶ κρατῆρας ἱστάντων καὶ καθ' οὓς γένοιτο προχύταις τε βαλλόντων καὶ προσ- e τρεπομένων ὥσπερ θεὸν κατευχαῖς. (2) Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν καὶ τὰ Πεντάπυλα, Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. Ἐπὶ τοῦτο προσβὰς ἐδημηγόρησε καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. Οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς καὶ προσείλοντο, βουλομένων καὶ δεομένων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν, ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. (3) Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει τὸ μὲν ὑπὸ πόδας λα- f βεῖν τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀνάθημα τοῦ τυράννου λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ᾑρέθη στρατηγός, ὠρρώδουν μὴ τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. (4) Ἐκ τούτου τὰς μὲν Ἐπιπολὰς ἑλὼν τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε, τὴν δὲ ἀκρό-
971 πολιν ἀπετείχισεν. Ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέ- a

qui se in itinere adjunxerant, male ut in tumultu armati, alacritate defectum apparatûs sarciente, ita quidem, ut simul atque agmen movere Dio institisset, ipsi hilares cumque læto clamore currentes invicem ad libertatem se cohortarentur recuperandam.

XXVIII. At qui in urbe erant Syracusani, horum præcipui pura in veste ad portas Dioni occurrerunt, reliqui plerique amicos tyranni adorti sunt emissariosque ejus (quos ipsi Prosagogidas nominabant), homines sceleratos ac diis ipsis invisos, qui permixti civibus obambulare ac singulorum sensus vocesque explorare, et ad tyrannum deferre consuevissent. Atque hi primi omnium pœnas dederunt, a proximo quoque fustibus ad mortem cæsi. (2) Ceterum Timocrates, quum intra præsidium arcis venire nequisset, arrepto equo ex urbe profugit, inque fuga metu omnia ac tumultu complevit, inflatius Dionis res prædicans, ne videretur levi proposito metu urbem amisisse. (3) Jam et Dio conspiciebatur subire urbi, primus omnium magnifice armatus incedens, latera ejus Megacle fratre et Callippo Atheniensi coronatis cingentibus. De peregrinis militibus centum præsidii causa Dionem comitabantur, reliquos composito agmine centuriones ducebant, spectantibus Syracusanis et excipientibus hanc quasi sacram pompam libertatis et populi in republica dominationis, quadraginta et octo annis postquam sublata esset revertentis.

XXIX. Ut ad Menitida portam pervenit Dio, tuba sedato tumultu, præconem edicere jussit, Dionem et Megaclem advenisse tyrannidis destruendæ causa, itaque eos Syracusanos et reliquos Siculos ab ipsa liberare. Porro sua etiam voce cupiens eos alloqui, per Achradinam ascendit, ab utraque parte viæ victimis, mensis et crateribus collocatis a Syracusanis, qui in eum qua iret flores frugesque conjiciebant et tanquam deum votis appellabant. (2) Erat infra arcem et Pentapyla quæ dicuntur solarium illustre et editum, a Dionysio constructum. Quo conscenso, orationem ad populum habuit, qua cives ad studium libertatis excitaret. Atque illi læti amice eum compellatum cum fratre imperatores, in quorum potestate omnia essent, constituere, iisque ita volentibus atque postulantibus viginti collegas adjunxere, quorum decem erant de iis qui cum Dione ab exsilio redibant. (3) Hariolis vero rursus bonum esse signum videbatur, quod concionans Dio tyranni magnificum opus atque donum sub pedibus habuisset; quod autem solarium esset id in quo stans esset imperator electus, metuebant ne id celerem fortunæ mutationem portenderet. (4) Dio secundum hæc, captis Epipolis, in vinculis detentos ibi cives liberavit, et arcem ducto muro ab urbe dejunxit. Septima die in arcem navibus advectus est Dionysius, Dionique arma quæ

πλευσεν εἰς τὴν ἀκρόπολιν καὶ Δίωνι προσῆγον ἅμαξαι τὰς πανοπλίας, ἃς Συνάλῳ κατέλιπε. Ταύτας διένειμε τοῖς πολίταις, τῶν δ' ἄλλων ἕκαστος ἑαυτόν, ὡς δυνατὸν ἦν, ἐκόσμει καὶ παρεῖχεν ὁπλίτην πρόθυμον.

XXX. Διονύσιος δὲ πρῶτον ἰδίᾳ πρὸς Δίωνα πρέσβεις ἔπεμπεν ἀποπειρώμενος· ἔπειτα κελεύσαντος ἐκείνου διαλέγεσθαι κοινῇ Συρακουσίοις ὡς ἐλευθέροις οὖσιν, ἐγένοντο λόγοι διὰ τῶν πρέσβεων παρὰ τοῦ τυράννου φιλάνθρωποι, φόρων ὑπισχνουμένου μετριότητα καὶ ῥαστώνην στρατειῶν, ὧν ἂν αὐτοὶ σύμψηφοι γένωνται. Ταῦτα ἐχλεύαζον οἱ Συρακούσιοι. Δίων δ' ἀπεκρίνατο b τοῖς πρέσβεσι μὴ διαλέγεσθαι πρὸς αὐτοὺς Διονύσιον, εἰ μὴ τὴν ἀρχὴν ἀφίησιν· ἀφιέντι δὲ συμπράξειν ἄδειαν αὐτὸς κἂν ἄλλο τι τῶν μετρίων δύνηται, μεμνημένος τῆς οἰκειότητος. (2) Ταῦτα Διονύσιος ἐπῄνει καὶ πάλιν ἔπεμπε πρέσβεις, κελεύων ἥκειν τινὰς εἰς τὴν ἀκρόπολιν τῶν Συρακουσίων, οἷς τὰ μὲν πείθων τὰ δὲ πειθόμενος διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. Ἐπέμφθησαν οὖν ἄνδρες πρὸς αὐτόν, οὓς Δίων ἐδοκίμασε. Καὶ λόγος πολὺς ἐκ τῆς ἄκρας εἰς τοὺς Συρακουσίους κατῄει, Διονύσιον ἀφήσειν τὴν τυραννίδα, καὶ μᾶλλον ἑαυτοῦ ποιήσασθαι χάριν ἢ Δίωνος. Ἦν δὲ δόλος ἡ προσποίησις αὕτη τοῦ τυράννου καὶ σκευωρία κατὰ τῶν Συρακουσίων. Τοὺς μὲν γὰρ ἐλθόντας πρὸς αὐτὸν ἐκ c πόλεως συγκλείσας εἶχε, τοὺς δὲ μισθοφόρους πρὸς ὄρθρον ἐμπλήσας ἀκράτου δρόμῳ πρὸς τὸ περιτείχισμα τῶν Συρακουσίων ἀφῆκε· γενομένης δὲ τῆς προσβολῆς ἀνελπίστου καὶ τῶν βαρβάρων θράσει πολλῷ καὶ θορύβῳ καθαιρούντων τὸ διατείχισμα καὶ τοῖς Συρακουσίοις ἐπιφερομένων, οὐδεὶς ἐτόλμα μένων ἀμύνεσθαι, πλὴν τῶν ξένων τῶν Δίωνος, οἳ πρῶτον αἰσθόμενοι τὸν θόρυβον ἐξεβοήθησαν. (3) Οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν τρόπον συνεφρόνουν οὐδ' εἰσήκουον ὑπὸ κραυγῆς καὶ πλάνης τῶν φευγόντων Συρακουσίων ἀναπεφυρμένων αὐτοῖς καὶ διεκθεόντων, πρίν γε δὴ Δίων, ἐπεὶ λέγοντος d οὐδεὶς κατήκουεν, ἔργῳ τὸ πρακτέον ὑφηγήσασθαι βουλόμενος ἐμβάλλει πρῶτος εἰς τοὺς βαρβάρους. Καὶ γίνεται περὶ αὐτὸν ὀξεῖα καὶ δεινὴ μάχη, γινωσκόμενον οὐχ ἧττον ὑπὸ τῶν πολεμίων ἢ τῶν φίλων· ὥρμησαν γὰρ ἅμα πάντες ἐμβοήσαντες. (4) Ὁ δ' ἦν μὲν ἤδη βαρύτερος δι' ἡλικίαν ἢ κατὰ τοιούτους ἀγῶνας, ἀλκῇ δὲ καὶ θυμῷ προσφερομένους ὑφιστάμενος καὶ ἀνακόπτων τιτρώσκεται λόγχῃ τὴν χεῖρα, πρὸς δὲ τὰ ἄλλα βέλη καὶ τὰς ἐκ χειρὸς πληγὰς μόλις ὁ θώραξ ἤρκεσε διὰ τῆς ἀσπίδος δόρασι πολλοῖς καὶ λόγχαις τυπτόμενος· ὧν κατακλασθέντων, κατέπεσεν ὁ Δίων. Εἶτα ἀναρπασθεὶς e ὑπὸ τῶν στρατιωτῶν ἐκείνοις μὲν ἡγεμόνα Τιμωνίδην ἐπέστησεν, αὐτὸς δὲ τὴν πόλιν ἵππῳ περιελαύνων τούς τε Συρακουσίους ἔπαυε φυγῆς καὶ τῶν ξένων τοὺς φυλάττοντας τὴν Ἀχραδινὴν ἀναστήσας ἐπῆγε τοῖς βαρβάροις ἀκμῆτας ἐκπεπονημένοις καὶ προθύμους ἀπαυδῶσιν ἤδη πρὸς τὴν πεῖραν. Ἐλπίσαντες γὰρ ἅμα τῇ πρώτῃ ῥύμῃ τὴν πόλιν ἅπασαν ἐξ ἐπιδρομῆς καθέξειν, εἶτα παρὰ δόξαν ἐντυγχάνοντες ἀνδράσι πλήκταις καὶ

apud Synalum deposuerat, plaustris allata, quæ inter cives distribuit, ceterorum pro se quoque arma sibi quantum ejus posset parante, operamque suam ei militiæ alacrem navante.

XXX. Dionysius autem initio privatim ad Dionem legatos mittere, animumque ejus sollicitare; post eo jubente, ut publice cum Syracusanis, quippe liberis, colloqueretur, per legatos benigne populum compellare, tributorum et militiæ onera levaturum se ipsorum consensu polliceri. Sed hæc Syracusani ridebant. Dio legatis respondit, nisi deposita tyrannide, non esse cur Dionysius cum civibus verba commutet; ea deposita, se memorem propinquitatis ei impunitatem et si quid posset præterea subministraturum esse. (2) Hæc Dionysius laudare, aliis missis legatis petere ut quidam de Syracusanis in arcem ad se mitterentur, quibuscum de communi utilitate ageret, partim persuaderet iis, partim persuaderi sibi pateretur. Missi sunt quos Dio ad id destinavit; multusque ex arce in urbem deferebatur rumor, Dionysium tyrannide abiturum, idque magis sui quam Dionis causa facturum esse. Verum hæc dolosa modo erat tyranni simulatio et fraudulenta in Syracusanos machinatio. Nam et missos ad se ex urbe inclusos detinuit, et sub auroram mero impletos milites mercenarios ad dejiciendum murum, qui ab urbe arcem intercludebat, emisit. Hi quum de improviso impetum fecissent, magnaque audacia et ingenti tumultu murum revellerent, inque Syracusanos irruerent: nemo eorum persistere murumve ausus est defendere, præter Dionis milites peregrinos. (3) Qui quum tumultuari sensissent, accurrunt, sed præ clamore ac trepidatione Syracusanorum discurrentium a fuga seque iis permiscentium neque videre quemadmodum succurrendum esset neque exaudire ducis mandata poterant. Ibi Dio, ut, quando verbis non licebat, facto suis quid fieri vellet demonstraret, primus omnium in barbaros irrupit, pugnamque circa se acrem concivit, cognitus non a sociis modo, sed et ab hostibus magno cum clamore passim incurrentibus. (4) Erat tum major Dionis ætas, quam ut certaminibus hujusmodi par esset, virtute tamen et animo impetum hostium sustinens atque defendens, lancea in manu sauciatur. Adversus cetera tela et ictus cominus illatos ægre restitit thorax ejus, crebris jaculis et hastis per scutum percussus, quibus inflexis, corruit Dion. Statim autem a militibus suis abreptus, iis Timoniden ducem præficit, ipse equo per urbem citato vectus Syracusanorum fugam inhibet, militesque mercenarios suos ab Achradina, quam custodiebant, adducit integros contra defatigatum hostem, et alacres contra desperantem jam de re tentata. Quippe quum se primo incursu et impetu totam urbem subacturos sperassent, præter opinionem suam in homines pugnaces ac

μαχίμοις, ἀνεστέλλοντο πρὸς τὴν ἀκρόπολιν. Ἔτι δὲ f μᾶλλον, ὡς ἐνέδωκαν, ἐπικειμένων τῶν Ἑλλήνων, τραπόμενοι κατεκλείσθησαν εἰς τὸ τεῖχος, ἑβδομήκοντα μὲν καὶ τέσσαρας ἀποκτείναντες τῶν μετὰ Δίωνος, ἑαυτῶν δὲ πολλοὺς ἀποβαλόντες.

XXXI. Γενομένης δὲ λαμπρᾶς τῆς νίκης, οἱ μὲν Συρακούσιοι τοὺς ξένους ἑκατὸν μναῖς ἐστεφάνωσαν, οἱ 972 δὲ ξένοι Δίωνα χρυσῷ στεφάνῳ. Κήρυκες δὲ παρὰ τοῦ a Διονυσίου κατέβαινον ἐπιστολὰς πρὸς Δίωνα παρὰ τῶν οἰκείων γυναικῶν κομίζοντες. Μία δ' ἦν ἔξωθεν ἐπιγεγραμμένη « Τῷ πατρὶ παρ' Ἱππαρίνου· » τοῦτο γὰρ ἦν ὄνομα τῷ Δίωνος υἱῷ. Καίτοι φησὶ Τίμαιος Ἀρεταῖον αὐτὸν ἀπὸ τῆς μητρὸς Ἀρέτης καλεῖσθαι. Τιμωνίδῃ δὲ μᾶλλον, ὡς οἴομαι, περί γε τούτων πιστευτέον, ἀνδρὶ φίλῳ καὶ συστρατιώτῃ Δίωνος. (2) Αἱ μὲν οὖν ἄλλαι τοῖς Συρακουσίοις ἀνεγνώσθησαν ἐπιστολαὶ πολλὰς ἱκεσίας καὶ δεήσεις ἔχουσαι παρὰ τῶν γυναικῶν, τὴν δὲ παρὰ τοῦ παιδὸς εἶναι δοκοῦσαν οὐκ ἐώντων φανερῶς λυθῆναι βιασάμενος ὁ Δίων ἔλυσεν. Ἦν δὲ παρὰ τοῦ b Διονυσίου, τοῖς μὲν γράμμασι πρὸς τὸν Δίωνα, τοῖς δὲ πράγμασι πρὸς τοὺς Συρακουσίους διαλεγομένου· σχῆμα μὲν ἔχουσα δεήσεως καὶ δικαιολογίας, συγκειμένη δὲ πρὸς διαβολὴν τοῦ Δίωνος. Ὑπομνήσεις τε γὰρ ἦσαν, ὧν ὑπὲρ τῆς τυραννίδος ἔπραξε προθύμως, καὶ κατὰ τῶν φιλτάτων ἀπειλαὶ σωμάτων, ἀδελφῆς καὶ τέκνου καὶ γυναικός, ἐπισκήψεις τε δειναὶ μετ' ὀλοφυρμῶν καί, τὸ μάλιστα κινῆσαν αὐτόν, ἀξιοῦντος μὴ καθαιρεῖν, ἀλλὰ παραλαμβάνειν τὴν τυραννίδα μηδ' ἐλευθεροῦν μισοῦντας ἀνθρώπους καὶ μνησικακοῦντας, ἀλλ' αὐτὸν ἄρχειν c παρέχοντα τοῖς φίλοις καὶ οἰκείοις τὴν ἀσφάλειαν.

XXXII. Ἀναγινωσκομένων δὲ τούτων οὐχ, ὅπερ ἦν δίκαιον, εἰσῄει τοὺς Συρακουσίους ἐκπλήττεσθαι τὴν ἀπάθειαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Δίωνος ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀπισχυριζομένου πρὸς τοιαύτας οἰκειότητας, ἀλλ' ὑποψίας καὶ φόβου λαβόντες ἀρχήν, ὡς μεγάλης οὔσης ἀνάγκης ἐκείνῳ φείδεσθαι τοῦ τυράννου, πρὸς ἑτέρους ἤδη προστάτας ἀπέβλεπον· καὶ μάλιστα πυνθανόμενοι καταπλεῖν Ἡρακλείδην ἀνεπτοήθησαν. (2) Ἦν δὲ τῶν φυγάδων Ἡρακλείδης, στρατηγικὸς μὲν ἄνθρωπος καὶ γνώριμος ἀφ' ἡγεμονίας, ἣν ἔσχε παρὰ d τοῖς τυράννοις, οὐκ ἀραρὼς δὲ τὴν γνώμην, ἀλλὰ πρὸς πάντα κοῦφος, ἥκιστα δὲ βέβαιος ἐν κοινωνίᾳ πραγμάτων ἀρχὴν ἐχόντων καὶ δόξαν. Οὗτος ἐν Πελοποννήσῳ πρὸς Δίωνα στασιάσας ἔγνω καθ' αὑτὸν ἰδιόστολος πλεῖν ἐπὶ τὸν τύραννον, εἴς τε Συρακούσας ἀφικόμενος ἑπτὰ τριήρεσι καὶ τρισὶ πλοίοις Διονύσιον μὲν αὖθις εὗρε περιτετειχισμένον, ἐπηρμένους δὲ τοὺς Συρακουσίους. Εὐθὺς οὖν ὑπεδύετο τὴν τῶν πολλῶν χάριν, ἔχων μέν τι καὶ φύσει πιθανὸν καὶ κινητικὸν ὄχλου θεραπεύεσθαι ζητοῦντος, ὑπολαμβάνων δὲ καὶ μετάγων ῥᾷον αὐτούς, οἳ τὸ σεμνὸν τοῦ Δίωνος ὡς βαρὺ καὶ δυσπολίτευτον ἀπεστρέφοντο διὰ τὴν γεγενημένην ἐκ τοῦ κρατεῖν ἄνε- e σιν καὶ θρασύτητα πρὸ τοῦ δῆμος εἶναι τὸ δημαγωγεῖσθαι θέλοντες.

strenuos incidentes, ad arcem se recipere coacti et Græcis, postquam semel referre pedem cœperunt, acrius instantibus, protinus intra muros compulsi sunt, quum septuaginta quattuor de Dionis exercitu necassent, suorum autem magnum numerum amisissent.

XXXI. Hac tam splendida parta victoria, Syracusani militibus peregrinis præmii loco centum minas donaverunt, atque hi Dioni coronam auream. A Dionysio autem præcones missi sunt, literas ad Dionem a mulieribus ejus propinquis ferentes, unamque simul epistolam, quæ foris inscriptionem habebat: Patri ab Hipparino; id enim nomen Dionis filio erat, quamvis Timæus ab Areta matre Aretæum dictum tradat; sed arbitror in hac quidem re Timonidæ, amico et commilitoni Dionis, potius credendum. (2) Reliquæ omnes Syracusanis lectæ multas mulierum deprecationes et supplicationes continebant, eam autem, quæ a filio scripta ferebatur, quum publice solvi non permitterent cives, invitis eis aperuit Dio. Erat autem scripta a Dionysio, verbis cum Dione, re cum Syracusanis colloquente, ac sub specie deprecationis et excusationis, calumnias contra Dionem continebat. In memoriam Dioni revocabat, quam is multa studiose tyrannidis constituendæ gratia egisset, minabatur se gravissima in pignora carissima, in sororem, uxorem, et filium ejus statuturum, obtestationes graves et miserabiles non sine lamentatione proferebat, et quod maxime eum movebat, orabat eum, ne evertere, sed ipse accipere tyrannidem, neque infensos et injuriarum memores homines liberare, sed ipse imperium tenere, suisque tuta omnia et secura præstare vellet.

XXXII. His recitatis literis, non id, quod æquum erat, Syracusanis subiit, nempe ut Dionis, qui contra tantas necessitudines animum honestatis causa obfirmasset, constantiam fortitudinemque admirarentur, sed metus et suspicionis oborto initio, quasi summa necessitate ad parcendum tyranno impelleretur Dio, alios jam circumspicere duces cœperunt; præcipue autem animi eorum sublati sunt, quum Syracusas navigare Heraclidem audiverunt. (2) Erat is Heraclides unus de exsulibus rei militaris peritus atque ex præfectura qua sub tyrannis functus erat, celebris, sed homo animo non satis constans, nimiumque levis ac minime fidus in communitate rerum quibus gloria et principatus adesset. Isque, quum in Peloponneso ei cum Dione dissidium intercessisset, statuerat propria classe contra tyrannum navigare, ac tum septem triremibus, lembis tribus Syracusas advectus, quum Dionysium in obsidione haberi, Syracusanos erexisse animos inveniret, statim se captando multitudinis favori dedit; quam ad rem natura ei gratiam quandam indiderat, qua multitudinem, quæ sibi inserviri cupit, demereretur. Nactus autem tunc tales, qui Dionis gravitatem quasi molestam et intractabilem aspernarentur, et ob victoriam partam securi atque ferocientes libertatis nondum compotes, assentationis cupidi essent, facile traxit sibique conciliavit.

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώλειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ 973 χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν a τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παῤῥησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον b μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτόν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίω- c νος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. (2) Οὐ μὴν ἀλλά, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. (3) Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. d Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάρους πιέζουσι, τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου καὶ πολλὰς εἶχεν ἀρχάς, ὡς εἰκός, ὑπ' ἀλγηδόνος ἀνιέντος, εἶτ' αὖθις ἐπάγοντος. (4) Ἧκον δέ τινες τῶν γνωρίμων ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν καὶ διηγούμενοι βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem reprehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis, Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique scilicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Veruntamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat prorsus et multa habebat initia, ut appareret eum, quum indoluisset, sectionem omisisse, mox eam repetiisse. (4) Simul et notæ quidem fidei homines in concionem venerunt, novaculam apportantes narrantesque in itinere sibi Sosin obviam factum, sanguine perfusum, et di-

Σῶσιν ἡμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχόμενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς
974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλίστου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώ-

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse
e eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis
f milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt.
a (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum
b habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum
c indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam adjutos, existimatio ejus dehortari debuit, ne contumeliose aut scurriliter calamitates eis exprobrarent, quibus quominus injuriâ fortunæ etiam optimus quisque vir feriatur, nihil obstat. (2) Neque vero sanus Ephorus, qui Philistum prædicans, quamvis fuerit callidissimus malos mores et injusta facta honestis in speciem præscriptionibus tegere verbaque in eam rem facere admodum decora, id tamen omni conatu atque opera crimen a se ipso diluere non potuit, quin

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώλειαν, (f) αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ 973 χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν (a) τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παρρησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον (b) μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτόν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίωνος, (c) ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παρρησίαν. (2) Οὐ μὴν ἀλλά, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. (3) Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. (d) Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάρους πιέζουσι, τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου καὶ πολλὰς εἶχεν ἀρχάς, ὡς εἰκός, ὑπ' ἀλγηδόνος ἀνιέντος, εἶτ' αὖθις ἐπάγοντος. (4) Ἧκον δέ τινες τῶν γνωρίμων ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν καὶ διηγούμενοι βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem reprehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis, Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset.

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit, qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique scilicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Verumtamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat prorsus et multa habebat initia, ut appareret eum, quum indoluisset, sectionem omisisse, mox eam repetiisse. (4) Simul et notæ quidem fidei homines in concionem venerunt, novaculam apportantes narrantesque in itinere sibi Sosin obviam factum, sanguine perfusum, et di-

Σῶσιν ᾑμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχόμενος. e

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι f καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς
974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ a πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλί- b στου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ c λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, κ[illegible] δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς [illegible] ήμονας αἰτίας περιβαλεῖν καὶ λόγους [illegible] ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάν[illegible] ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυρα[illegible]

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt. (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam adjutos, existimatio ejus dehortari debuit, ne contumeliose [illegible]ter calamitates eis exprobrarent, quibus quomi[illegible]rtunæ etiam optimus quisque vir feriatur, ni[illegible] Neque vero sanus Ephorus, qui Philistum [illegible]mvis fuerit callidissimus ma[illegible]s et in[illegible]tis in speciem præscripti[illegible]ver[illegible] facere admodum de[illegible]mni [illegible] crimen a se ipso di[illegible]quin

νοντι. (2) Μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας ἀρξαμένου Πλάτωνος ἐντυγχάνειν περὶ Δίωνος, ὑπερθέσεις τὸ πρῶτον ἦσαν, εἶτα μέμψεις καὶ διαφοραὶ λανθάνουσαι 966 τοὺς ἐκτός, ἐπικρυπτομένου Διονυσίου καὶ ταῖς ἄλλαις a τὸν Πλάτωνα θεραπείαις καὶ τιμαῖς πειρωμένου παράγειν ἀπὸ τῆς Δίωνος εὐνοίας, οὐδ' αὐτὸν ἔν γε τοῖς πρώτοις χρόνοις ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ καὶ ψευδολογίαν, ἀλλ' ἐγκαρτεροῦντα καὶ σχηματιζόμενον. (3) Οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους καὶ λανθάνειν πάντας οἰομένων, Ἑλίκων ὁ Κυζικηνός, εἷς τῶν Πλάτωνος συνήθων, ἡλίου προεῖπεν ἔκλειψιν· καὶ γενομένης, ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου δωρεὰν ἔλαβεν ἀργυρίου τάλαντον. Ἀρίστιππος δὲ παίζων πρὸς τοὺς ἄλλους φιλοσόφους ἔφη τι καὶ αὐτὸς ἔχειν τῶν παραδόξων προειπεῖν. Ἐκείνων δὲ φράσαι δεομένων, b « Προλέγω τοίνυν, εἶπεν, ὀλίγου χρόνου Πλάτωνα καὶ Διονύσιον ἐχθροὺς γενησομένους. » (4) Τέλος δὲ τὴν μὲν οὐσίαν τοῦ Δίωνος ὁ Διονύσιος ἐπώλει καὶ τὰ χρήματα κατεῖχε, Πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον εἰς τοὺς μισθοφόρους μετέστησε πάλαι μισοῦντας αὐτὸν καὶ ζητοῦντας ἀνελεῖν ὡς πείθοντα Διονύσιον ἀφεῖναι τὴν τυραννίδα καὶ ζῆν ἀδορυφόρητον.

XX. Ἐν τοιούτῳ δὲ κινδύνῳ γενομένου τοῦ Πλάτωνος, οἱ περὶ Ἀρχύταν πυθόμενοι ταχὺ πέμπουσι πρεσβείαν καὶ τριακόντορον ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ Διονυσίου, καὶ λέγοντες ὡς αὐτοὺς λαβὼν ἀναδόχους c τῆς ἀσφαλείας πλεύσειεν εἰς Συρακούσας. Ἀπολογουμένου δὲ τοῦ Διονυσίου τὴν ἔχθραν ἑστιάσεσι καὶ φιλοφροσύναις περὶ τὴν προπομπήν, ἕν δέ τι προαχθέντος πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν· « Ἦπου, Πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας, » ὑπομειδιάσας ἐκεῖνος ἀπεκρίνατο· « Μὴ τοσαύτη λόγων ἐν Ἀκαδημίᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινα μνημονεῦσαι. » Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ Πλάτωνος γενέσθαι λέγουσιν· οὐ μέντοι τὰ Πλάτωνος αὐτοῦ πάνυ τούτοις συνᾴδει.

XXI. Δίων δὲ καὶ τούτοις ἐχαλέπαινε καὶ μετ' ὀλίγον χρόνον ἐξεπολεμώθη παντάπασι, πυθόμενος τὸ περὶ d τὴν γυναῖκα, περὶ οὗ καὶ Πλάτων ᾐνίξατο γράφων πρὸς Διονύσιον. Ἦν δὲ τοιοῦτον. Μετὰ τὴν ἐκβολὴν τοῦ Δίωνος ἀποπέμπων Πλάτωνα Διονύσιος ἐκέλευσεν αὐτοῦ δι' ἀποῤῥήτων πυθέσθαι, μή τι κωλύοι τὴν γυναῖκα πρὸς γάμον ἑτέρῳ δοθῆναι· καὶ γὰρ ἦν λόγος εἴτ' ἀληθὴς εἴτε συντεθεὶς ὑπὸ τῶν Δίωνα μισούντων, ὡς οὐ καθ' ἡδονὴν ὁ γάμος εἴη Δίωνι γεγονὼς οὐδ' εὐάρμοστος ἡ πρὸς τὴν γυναῖκα συμβίωσις. (2) Ὡς οὖν ἧκεν ὁ Πλάτων Ἀθήναζε καὶ τῷ Δίωνι περὶ πάντων ἐνέτυχε, γράφει πρὸς τὸν τύραννον ἐπιστολὴν τὰ μὲν ἄλλα σαφῶς πᾶσιν, αὐτὸ δὲ τοῦτο μόνῳ γνώριμον ἐκείνῳ φράζουσαν, e ὡς διαλεχθείη Δίωνι περὶ τοῦ πράγματος ἐκείνου καὶ σφόδρα δῆλος εἴη χαλεπαίνων, εἰ τοῦτο Διονύσιος ἐξεργάσαιτο. Καὶ τότε μὲν ἔτι πολλῶν ἐλπίδων οὐσῶν πρὸς τὰς διαλύσεις, οὐδὲν ἔπραξε περὶ τὴν ἀδελφὴν νεώτερον, ἀλλ' εἴα μένειν αὐτὴν μετὰ τοῦ παιδίου τοῦ Δίωνος

multa, nihil accipienti. (2) A prima consalutatione Dionysius, quum Plato pro Dione intercedere ordiretur, initio rem differre, mox reprehensiones etiam et jurgia exsistere, latentia reliquos ea, Dionysio tegere conante et reliquis honoribus atque officiis, quibus Platonem colebat, a benevolentia erga Dionem deducere, quum quidem Plato primo etiam tempore perfidiam ejus et mendacia dissimularet, et æquo animo se ferre vultu gestuque ostenderet. (3) Ita iis mutuo affectis et neminem hoc sentire putantibus, Helico Cyzicenus, unus ex familiaribus Platonis, solis deliquium prædixit; quumque ita, ut prædixerat, evenisset, admiratus eum tyrannus argenti talento donavit. Tunc Aristippus per jocum ad reliquos philosophos dixit, se quoque admirabile quiddam vaticinari posse; et quærentibus quidnam id esset: Mox, inquit, inter Dionysium et Platonem inimicitiæ exsistent. (4) Denique tyrannus facultates Dionis vendidit et pecuniam sibi vindicavit, Platonem autem, in horto domui vicino degentem, inter mercenarios milites migrare coegit, jam pridem ei infensos, et interficere cupientes, quod Dionysio deponendæ tyrannidis et sine stipatoribus vivendi auctor esset.

XX. Hoc in periculo quum constitutum Platonem Archyta cognovisset, illico navem triginta remis actam et legationem misit, reposcens a Dionysio Platonem, commemoransque quod is ipso fidejubente in Siciliam navigasset. Hic Dionysius, ut inimicitiam et odium tegeret, discessuro conviviis comibusque congressibus blanditus, semel in eum sermonem delapsus est: Nimirum, o Plato, multa ac gravia de nobis crimina apud eos, qui tecum philosophantur, sparges; tum Plato subridens: Absit, ait, ut tanta sermonum penuria laboret unquam Academia; ut tui quisquam mentionem inferat. Hoc modo Platonem dimissum tradunt; nam quæ ipse ea de re Plato scripsit, non plane istis consentiunt.

XXI. Ceterum Dio quum hoc indigne tulit, tum paullo post audito quæ uxori evenissent, prorsus hostis Dionysii factus est. Quod ad uxorem Dionis attinet, per ambages Plato in epistola Dionysium monuerat. Atque ita res habet. Dionysius Platonem, quum pulso Dione eum emitteret, jusserat ex Dione quærere occulte, concedereretne uxorem suam alteri nuptum dari; rumor enim sive verus sive ab inimicis Dionis confictus ferebatur, non evenisse gratum hoc Dioni matrimonium, neque eum cum ista uxore vivere commode posse. (2) Plato Athenas reversus Dionisque explorata sententia, Dionysio scripsit epistolam, cujus reliquæ partes intelligi ab omnibus possent, id vero a solo Dionysio: se de re ista, quam nosset, Dioni collocutum et deprehendisse eum, si res ita a Dionysio ageretur, iniquissime laturum. Ac tum quidem Dionysius, quod multum spei esset de reparanda gratia, nihil de sorore novi statuit, sed eam passus est cum infante ex Dione nato habitare. Ut a pacificatione consilium plane avertit, ac Platonem ad

οἰκοῦσαν. Ἐπεὶ δὲ παντάπασιν ἀσυμβάτως εἶχε καὶ Πλάτων αὖθις ἐλθὼν ἀπεπέμφθη πρὸς ἀπέχθειαν, οὕτω τὴν Ἀρέτην ἄκουσαν ἑνὶ τῶν φίλων Τιμοκράτει δίδωσιν, οὐ μιμησάμενος τὴν κατά γε τοῦτο τοῦ πατρὸς ἐπιείκειαν. (3) Ἐγεγόνει γάρ, ὡς ἔοικε, κἀκείνῳ Πολύξε- f νος ὁ τὴν ἀδελφὴν ἔχων αὐτοῦ Θέστην πολέμιος. Ἀποδράντος οὖν αὐτοῦ διὰ φόβον καὶ φυγόντος ἐκ Σικελίας μεταπεμψάμενος ᾐτιᾶτο τὴν ἀδελφήν, ὅτι συνειδυῖα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐ κατεῖπε πρὸς αὐτόν. Ἡ δ' ἀνεκπλήκτως καὶ νὴ Δί' ἀφόβως· « Εἶθ' οὕτω σοι δοκῶ, Διονύσιε, φαύλη γυνὴ γεγονέναι καὶ ἄνανδρος, ὥστε προγνοῦσα τὴν φυγὴν τοῦ ἀνδρὸς οὐκ ἂν συνεκπλεῦσαι 967 καὶ μετασχεῖν τῆς αὐτῆς τύχης; Ἀλλ' οὐ προέγνων. a Ἐπεὶ καλῶς εἶχέ μοι μᾶλλον Πολυξένου γυναῖκα φεύγοντος ἢ σοῦ τυραννοῦντος ἀδελφὴν λέγεσθαι. » Ταῦτα τῆς Θέστης παῤῥησιασαμένης, θαυμάσαι λέγουσι τὸν τύραννον. Ἐθαύμασαν δὲ καὶ οἱ Συρακούσιοι τὴν ἀρετὴν τῆς γυναικός, ὥστε καὶ μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος ἐκείνῃ τιμὴν καὶ θεραπείαν βασιλικὴν ὑπάρχειν, ἀποθανούσης δὲ δημοσίᾳ πρὸς τὴν ταφὴν ἐπακολουθῆσαι τοὺς πολίτας. Ταῦτα μὲν οὖν οὐκ ἄχρηστον ἔχει τὴν παρέκβασιν.

XXII. Ὁ δὲ Δίων ἐντεῦθεν ἤδη τρέπεται πρὸς πόλεμον, αὐτοῦ μὲν Πλάτωνος ἐκποδὼν ἱσταμένου δι' αἰδῶ τῆς πρὸς Διονύσιον ξενίας καὶ γῆρας, Σπευσίππου δὲ καὶ τῶν ἄλλων ἑταίρων τῷ Δίωνι συλλαμβανόντων καὶ b παρακελευομένων ἐλευθεροῦν Σικελίαν χεῖρας ὀρέγουσαν αὐτῷ καὶ προθύμως ὑποδεχομένην. (2) Ὅτε γὰρ ἐν Συρακούσαις Πλάτων διέτριβεν, οἱ περὶ Σπεύσιππον, ὡς ἔοικε, μᾶλλον ἀναμιγνύμενοι τοῖς ἀνθρώποις κατεμάνθανον τὴν διάνοιαν αὐτῶν. Καὶ τὸ μὲν πρῶτον ἐφοβοῦντο τὴν παῤῥησίαν ὡς διάπειραν οὖσαν ὑπὸ τοῦ τυράννου, χρόνῳ δ' ἐπίστευσαν. Ὁ γὰρ αὐτὸς ἦν παρὰ πάντων λόγος δεομένων καὶ παρακελευομένων ἐλθεῖν Δίωνα μὴ ναῦς ἔχοντα μηδ' ὁπλίτας μηδ' ἵππους, ἀλλ' αὐτὸν εἰς ὑπηρετικὸν ἐμβάντα χρῆσαι τὸ σῶμα καὶ τοὔνομα Σικελιώταις ἐπὶ τὸν Διονύσιον. (3) Ταῦτα τῶν c περὶ Σπεύσιππον ἀγγελλόντων ἐπιῤῥωσθεὶς ἐξενολόγει κρύφα καὶ δι' ἑτέρων ἐπικρυπτόμενος τὴν διάνοιαν. Συνέπραττον δὲ καὶ τῶν πολιτικῶν πολλοὶ καὶ τῶν φιλοσόφων, ὅ τε Κύπριος Εὔδημος, εἰς ὃν Ἀριστοτέλης ἀποθανόντα τὸν περὶ ψυχῆς διάλογον ἐποίησε, καὶ Τιμωνίδης ὁ Λευκάδιος. Συνέστησαν δὲ καὶ Μίλταν αὐτῷ τὸν Θεσσαλόν, ἄνδρα μάντιν καὶ μετεσχηκότα τῆς ἐν Ἀκαδημίᾳ διατριβῆς. Τῶν δ' ὑπὸ τοῦ τυράννου πεφυγαδευμένων, οὐ μεῖον ἢ χιλίων ὄντων, πέντε καὶ εἴκοσι μόνοι τῆς στρατείας ἐκοινώνησαν, οἱ δ' ἄλλοι προὔδοσαν ἀποδειλιάσαντες. (4) Ὁρμητήριον δ' ἦν ἡ Ζακυνθίων νῆσος, εἰς ἣν οἱ στρατιῶται συνελέγησαν ὀκτακοσίων ἐλάττους γενόμενοι, γνώριμοι δὲ πάντες ἐκ d πολλῶν καὶ μεγάλων στρατειῶν καὶ τοῖς σώμασιν ἠσκημένοι διαφερόντως, ἐμπειρίᾳ δὲ καὶ τόλμῃ πολὺ πάντων κράτιστοι καὶ δυνάμενοι πλῆθος ὅσον ἤλπιζεν ἕξειν ἐν Σικελίᾳ Δίων ὑπεκκαῦσαι καὶ συνεξορμῆσαι πρὸς ἀλκήν.

se reversum incenso animo amandavit, ibi demum Aretam invitam uni amicorum Timocrati nuptum dat, hac quidem in parte humanitatem patris non imitatus. (3) Etenim Polyxenus, sororis ejus Thestæ maritus, quum gratia tyranni excidisset ac Sicilia præ metu profugisset, ille sororem ad se vocatam objurgavit, quod mariti fugæ conscia, se eam rem celasset. At illa impavide profecto et fortiter, Adeone, inquit, tibi nullius pretii atque mollis videor, Dionysi, mulier, ut me, si fugam mariti præsensissem, non unà eandem subituram fortunam existimes? Sane non prævidi; maluissem enim utique Polyxeni profugi uxor quam tua tyranni soror dici. Hoc tam liberum responsum ferunt Dionysium admiratum. Et Syracusani quidem tanti fecerunt feminæ virtutem, ut eversa etiam tyrannide honores ei et cultum regium permiserint, mortuæque funus cives publice sint prosecuti. Hæc egressio inutilis non est.

XXII. Ceterum Dio jam inde bellum moliri cœpit, Platone quidem verecundia hospitii et ob senectutem procul a re se continente, Speusippo autem et aliis amicis astipulantibus Dioni hortantibusque ut Siciliam manus porrigentem ultroque accipientem liberaret. (2) Quo enim tempore Syracusis Plato egit, Speusippus frequentius cum civibus conversans, animos eorum explorarat, initio quidem libere fateri quæ sentirent non audentium, quod eum a tyranno submissum suspicarentur, sed quum tempus fidem ei apud ipsos fecisset, una voce omnium orantium atque hortantium Dionem ut in Siciliam veniret; non opus ei navibus, non pedite, non equis esse, saltem quovis navigio advectus, corpus suum et nomen Siculis contra tyrannum utendum præberet. (3) Hæc Dio annuntiante Speusippo, animo confirmatus, suo tecto proposito per alios occulte militem mercenarium conducebat. Adjuvabant autem quum civiles viri tum philosophi non pauci, inque his Eudemus Cyprius (in cujus mortem Aristoteles dialogum de Anima composuit) et Timonides Leucadius, conjunxere etiam ei Miltam Thessalum, divinandi peritum et in Academia versatum. At de iis quos in exsilium egerat tyrannus (erant mille non pauciores) viginti quinque modo socios se præbuerunt, reliquis eum præ metu destituentibus. (4) Receptaculum autem futuri belli erat Zacynthus insula, in quam milites conveniebant, infra octingentos numero, sed multis jam ante præclaris expeditionibus nobiles, corporibus eximie exercitatis, ac peritia et audacia omnium primi, denique apti ad multitudinem, quam sibi in Sicilia præsto futuram Dio sperabat, excitandam adque fortitudinem inflammandam.

XXIII. Οὗτοι τὸ μὲν πρῶτον ἀκούσαντες ἐπὶ Διονύσιον καὶ Σικελίαν αἴρεσθαι τὸν στόλον, ἐξεπλάγησαν καὶ κατέγνωσαν, ὡς ὀργῆς τινος παραφροσύνῃ καὶ μανίᾳ τοῦ Δίωνος ἢ χρηστῶν ἐλπίδων ἀπορίᾳ ῥιπτοῦντος ἑαυτὸν εἰς ἀπεγνωσμένας πράξεις· καὶ τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ξενολόγοις ὠργίζοντο μὴ προειποῦσιν· εὐθὺς ἐξ ἀρχῆς τὸν πόλεμον. Ἐπεὶ δὲ Δίων τῷ λόγῳ τὰ σαθρὰ e τῆς τυραννίδος ἐπεξιὼν ἐδίδασκεν, ὡς οὐ στρατιώτας, ἀλλὰ μᾶλλον ἡγεμόνας αὐτοὺς κομίζοι Συρακουσίων καὶ τῶν ἄλλων Σικελιωτῶν πάλαι πρὸς ἀπόστασιν ἑτοίμων ὑπαρχόντων, μετὰ δὲ τὸν Δίωνα διαλεχθέντος αὐτοῖς Ἀλκιμένους, ὃς πρῶτος ὢν Ἀχαιῶν δόξῃ καὶ γένει συνεστράτευεν, ἐπείσθησαν. (2) Ἦν μὲν οὖν θέρους ἀκμὴ καὶ κατεῖχον ἐτησίαι τὸ πέλαγος, ἡ δὲ σελήνη διχομηνίαν ἦγε. Τῷ δ' Ἀπόλλωνι θυσίαν μεγαλοπρεπῆ παρασκευάσας ὁ Δίων ἐπόμπευσε μετὰ τῶν στρατιωτῶν κεκοσμημένων ταῖς πανοπλίαις πρὸς τὸ ἱερόν· καὶ μετὰ τὴν θυσίαν ἐν τῷ σταδίῳ τῶν Ζακυνθίων κατακλιθέντας αὐτοὺς εἱστία θαυμάζοντας ἀργυ- f ρῶν καὶ χρυσῶν ἐκπωμάτων καὶ τραπεζῶν ὑπερβάλλουσαν ἰδιωτικὸν πλοῦτον λαμπρότητα, καὶ λογιζομένους ὅτι παρηκμακὼς ἀνὴρ ἤδη καὶ τοσαύτης εὐπο-
968 ρίας κύριος οὐκ ἂν ἐπιχειροίη παραβόλοις πράγμασι a χωρὶς ἐλπίδος βεβαίου καὶ φίλων ἐνδιδόντων ἐκεῖθεν αὐτῷ τὰς πλείστας καὶ μεγίστας ἀφορμάς.

XXIV. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας κατευχὰς ἐξέλιπεν ἡ σελήνη. Καὶ τοῖς μὲν περὶ τὸν Δίωνα θαυμαστὸν οὐδὲν ἦν λογιζομένοις τὰς ἐκλειπτικὰς περιόδους καὶ τὴν γινομένην τοῦ σκιάσματος ἀπάντησιν πρὸς τὴν σελήνην καὶ τῆς γῆς τὴν ἀντίφραξιν πρὸς τὸν ἥλιον. Ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, Μίλτας ὁ μάντις ἐν μέσῳ καταστὰς ἐκέλευε θαῤῥεῖν αὐτοὺς καὶ προσδοκᾶν τὰ κράτιστα· σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινος τῶν νῦν ἐπιφανῶν· ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς b Διονυσίου τυραννίδος, ἧς τὸ λαμπρὸν ἀποσβέσειν ἐκείνους εὐθὺς ἁψαμένους Σικελίας. Τοῦτο μὲν οὖν ὁ Μίλτας εἰς μέσον ἐξέθηκε πᾶσι· τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ Δίωνος ὤφθησαν ἑσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίᾳ πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι, μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται, χρόνον δ' ὀλίγον ἀνθήσασαι μαρανθῶσι. (2) Λέγεται δὲ καὶ τῷ Διονυσίῳ πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. Ἀετὸς μὲν γὰρ ἁρπάσας δοράτιόν τινος τῶν δορυφόρων ἀράμενος ὑψοῦ καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν. Ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα μίαν ἡμέραν τὸ ὕδωρ γλυκὺ c καὶ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάδηλον εἶναι. Χοῖροι δ' ἐτέχθησαν αὐτῷ τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ' οὐκ ἔχοντες. Ἀπεφαίνοντο δ' οἱ μάντεις τοῦτο μὲν ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον, ὡς οὐκέτι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος, τὴν δὲ γλυκύτητα τῆς θαλάσσης μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ

XXIII. Hi primum quidem, ut accepere in Siciliam et adversus Dionysium classem solvere, perterriti sunt Dionisque conatum damnarunt, insania quadam concitum, iræque furore et spei melioris inopia se ipsum conjicere in certum periculum putantes, succensebantque suis ducibus et conquisitoribus, quod non initio ipsis ad quod legerentur bellum indicassent. Sed postquam Dio oratione sua exposuit, quam male suffulta esset tyrannis, et se non tam militum eos, quam ducum loco in Siciliam ducere docuit, Syracusanis reliquisque Siculis jam primum ad defectionem comparatis; post Dionem etiam Alcimenes, qui nobilitate generis et gloriæ Achæorum princeps una militabat, verba habuit ad commilitones : ita demum milites assenserunt. (2) Jam adulta æstate pelagus Etesiæ tenebant, lunaque toto fulgebat orbe, quum Dio magnifice sacris operatus Apollini, militum armatorum pompam ad ædem dei duxit, peractoque sacrificio, in circo Zacynthiorum epulum eis præbuit. Illi vero argenteorum aureorumque poculorum et mensarum splendorem, privatis opibus longe majorem, admirari ac sic ratiocinari : virum jam provecta ætate tamque opulentum nunquam res dubias tentaturum fuisse, nisi certa proposita spe, amicisque ipsi in Sicilia plurimas et maximas præbentibus occasiones.

XXIV. Post libationes et vota rite peracta, luna defecit. Nihil id miratus est Dio, quippe eclipticas circuitiones et umbræ occursum lunæ incidentem terræque et solis oppositionem reputans. Sed quum milites perturbati oratione aliqua essent confirmandi, Miltas vates in medium progressus, bono esse eos animo et sperare optima jussit; significari enim divinitus alicujus in præsentia illustrissimi obscurationem; at nihil esse Dionysii tyrannide illustrius, hanc ipsos, simul atque Siciliam attigissent, de clara obscurissimam reddituros. Hæc Miltas palam omnibus dixit. Ostentum vero apium, quas apud naves Dionis conspexerunt examen ad puppim coegisse, privatim ei et amicis interpretatus ita est : vereri se, ne præclaras quidem res essent gesturi, sed eæ quum floruissent brevi tempore emarcescerent. (2) Ferunt etiam Dionysio multa divinitus prodigia obtigisse. Aquila enim abreptum cujusdam stipatorum hastile in sublime evexerat, atque inde in profundum abjecerat. Mare quod arcem alluit, per unum diem aquam dulcem et potabilem præbuit, id quod gustus omnes docuit. Porci quoque partu editi sunt, ceteris membris perfecti, sed auribus carentes. Harioli responderunt, hoc defectionis et rebellionis esse signum, ac cives non amplius tyrannidi obtemperaturos; maris dulcedinem Syracusanis mutationem rerum tristium

φέρειν Συρακουσίοις. Ἀετὸς δὲ θεράπων Διός, λόγχη δὲ παράσημον ἀρχῆς καὶ δυναστείας· ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῇ τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. Ταῦτα μὲν οὖν Θεόπομπος ἱστόρηκε.

XXV. Τοὺς δὲ στρατιώτας τοὺς Δίωνος ἐξεδέξαντο d στρογγύλαι δύο ναῦς, τρίτον δὲ πλοῖον οὐ μέγα καὶ δύο τριακόντοροι παρηκολούθουν. Ὅπλα δέ, χωρὶς ὧν εἶχον οἱ στρατιῶται, δισχιλίας μὲν ἐκόμιζεν ἀσπίδας, βέλη δὲ καὶ δόρατα πολλὰ καὶ πλῆθος ἐφοδίων ἄφθονον, ὅπως ἐπιλίπῃ μηδὲν αὐτοὺς ποντοποροῦντας, ἅτε δὴ τὸ σύμπαν ἐπὶ πνεύμασι καὶ θαλάσσῃ πεποιημένους τὸν πλοῦν διὰ τὸ τὴν γῆν φοβεῖσθαι καὶ πυνθάνεσθαι Φίλιστον ἐν Ἰαπυγίᾳ ναυλοχοῦντα παραφυλάττειν. (2) Ἀραιῷ δὲ καὶ μαλακῷ πνεύματι πλεύσαντες ἡμέρας δώδεκα, τῇ τρισκαιδεκάτῃ κατὰ Πάχυνον ἦσαν, ἄκραν τῆς Σικελίας. Καὶ Πρῶτος μὲν ὁ κυβερνήτης e κατὰ τάχος ἐκέλευσεν ἀποβαίνειν, ὡς, ἂν ἀποσπασθῶσι τῆς γῆς καὶ τὴν ἄκραν ἑκόντες ἀφῶσι, πολλὰς ἡμέρας καὶ νύκτας ἐν τῷ πελάγει τριβησομένους ὥρᾳ θέρους νότον περιμένοντας. Δίων δὲ τὴν ἐγγὺς τῶν πολεμίων ἀπόβασιν δεδιὼς καὶ τῶν πρόσω μᾶλλον ἅψασθαι βουλόμενος παρέπλευσε τὸν Πάχυνον. (3) Ἐκ δὲ τούτου τραχὺς μὲν ἀπαρκτίας ἐπιπεσὼν ἤλαυνε πολλῷ κλύδωνι τὰς ναῦς ἀπὸ τῆς Σικελίας, ἀστραπαὶ δὲ καὶ βρονταὶ φανέντος ἀρκτούρου συμπεσοῦσαι πολὺν ἐξ οὐρανοῦ χειμῶνα καὶ ῥαγδαῖον ὄμβρον ἐξέχεαν· ᾧ τῶν ναυτῶν συνταραχθέντων καὶ πλάνης γενομένης, καθο- f ρῶσιν αἰφνίδιον ὑπὸ τοῦ κύματος ὠθουμένας τὰς ναῦς ἐπὶ τὴν πρὸς Λιβύῃ Κέρκιναν, ᾗ μάλιστα κρημνώδης ἀπήντα καὶ τραχεῖα προσφερομένοις αὐτοῖς ἡ νῆσος. Μικρὸν οὖν δεήσαντες ἐκριφῆναι καὶ συντριβῆναι περὶ τὰς πέτρας ἐβιάζοντο πρὸς κοντὸν παραφερόμενοι μόλις, ἕως ὁ χειμὼν ἐλώφησε καὶ πλοίῳ συντυχόντες ἔγνω-
969 σαν ἐπὶ ταῖς καλουμέναις Κεφαλαῖς τῆς μεγάλης Σύρ- a τεως ὄντες. (4) Ἀθυμοῦσι δ' αὐτοῖς πρὸς τὴν γαλήνην καὶ διαφερομένοις αὔραν τινὰ κατέσπειρεν ἡ χώρα νότιον οὐ πάνυ προσδεχομένοις νότον οὐδὲ πιστεύουσι τῇ μεταβολῇ. Κατὰ μικρὸν δὲ ῥωννυμένου τοῦ πνεύματος καὶ μέγεθος λαμβάνοντος, ἐκτείναντες ὅσον ἦν ἱστίων καὶ προσευξάμενοι τοῖς θεοῖς πελάγιοι πρὸς τὴν Σικελίαν ἔφευγον ἀπὸ τῆς Λιβύης· καὶ θέοντες ἐλαφρῶς πεμπταῖοι κατὰ Μινώαν ὡρμίσαντο, πολισμάτιον ἐν τῇ Σικελίᾳ τῆς Καρχηδονίων ἐπικρατείας. (5) Ἔτυχε δὲ παρὼν ὁ Καρχηδόνιος ἄρχων Σύναλος ἐν τῷ χωρίῳ, ξένος ὢν καὶ φίλος Δίωνος. Ἀγνοῶν δὲ τὴν παρουσίαν b αὐτοῦ καὶ τὸν στόλον ἐπειρᾶτο κωλύειν τοὺς στρατιώτας ἀποβαίνοντας. Οἱ δὲ μετὰ τῶν ὅπλων ἐκδραμόντες ἀπέκτειναν μὲν οὐδένα, ἀπειρήκει γὰρ ὁ Δίων διὰ τὴν οὖσαν αὐτῷ φιλίαν πρὸς τὸν Καρχηδόνιον, φεύγουσι δὲ συνεισπεσόντες αἱροῦσι τὸ χωρίον. Ὡς δ' ἀπήντησαν ἀλλήλοις οἱ ἡγεμόνες καὶ ἠσπάσαντο, Δίων μὲν ἀπέδωκε τὴν πόλιν Συνάλῳ, οὐδὲν ἀδικήσας, Σύναλος δὲ τοὺς στρατιώτας ἐξένιζε καὶ συμπαρεσκεύαζεν ὧν Δίων ἐδεῖτο.

et adversarum in lætas portendere; aquilam Jovis ministrum, hastam imperii et dominatus insigne; ita summum deorum tyrannidis eversionem et interitum moliri. Hæc Theopompus narravit.

XXV. Milites Dionis navibus duabus rotundis impositi sunt, alia navi haud magna et duabus triginta scalmorum navibus comitantibus. Arma præter ea quæ tum habebant milites secum vehebat duo clypeorum millia, jaculorum et hastilium magnam multitudinem, tum abunde alimentorum, ne quid ipsos in maritima navigatione deficeret, quippe omnem cursum alto mari tenebant, terram metuentes, quod in Iapygia Philistum stationem speculandi causa haberet audivissent. (2) Leni ac molli vento vecti duodecim dies, decimotertio ad Pachynum Siciliæ promontorium pervenerunt. Ibi quum Protus gubernator celeriter exscensionem faciendam moneret, alioquin fore ut a terra et isto promontorio ultro digressi multas dies noctesque, dum æstatis tempore austrum operirentur, in alto commorari cogerentur: Dio in terram ita prope hostem exscensionem facere metuens, ac remotiora primum aggredi consultius existimans, Pachynum præternavigavit. (3) Statim et vehemens obortus Aparctias magno fluctu naves a Sicilia repulit, et fulgura ac tonitrua sub primum Arcturi ortum erumpentia magnam cœlo tempestatem violentamque imbrem effuderunt, quibus perturbati nautæ quum non tenuissent cursum, subito cernunt naves a fluctu ad Cercinam Libyæ objectam insulam compelli, qua maxime præruptis atque asperis saxis importuosa erat appellentibus. Ita prope ad saxa ejecti naufragiumque passi, quum a petris navigia contis magno cum labore ægre detrusissent, postquam tempestas desiit, in navem quandam incidentes cognoverunt se ad capita quæ vocant magnæ Syrtis esse. (4) Ægro tum animo tranquillitatem ferentibus atque sollicitis, ex regione illa australis quædam aura aspiravit, nihil admodum tunc austrum sperantibus neque fidem mutationi habentibus. Mox autem vento aucto et validius incumbente, pansis quotquot habebant velis deosque comprecati, per altum ab Africa ad Siciliam leni cursu fugerunt, quintoque die apud Minoam naves applicuerunt; id est oppidum Siciliæ, Carthaginiensium ditionis. (5) Aderat ibi tum forte Synalus præfectus ejus loci, hospes et amicus Dionis. Qui quum nihil de hujus adventu cognovisset, milites egressu in terram prohibere conatus est. Itaque illi impetu armata manu facto, nemine occiso (Dio enim respiciens amicitiam quæ ipsi erat cum Carthaginiensi cædibus interdixerat), una cum fugientibus in oppidum irruerunt, eoque potiti sunt. Ut autem ipsi duces sunt congressi, facta consalutatione Dio oppidum Synalo nulla injuria affectum reddidit, Synalus autem hospitio milites excepit ac Dionem quibus in rebus vellet adjuvit.

XXVI. Μάλιστα δ' αὐτοὺς ἐθάῤῥυνε τὸ συμβεβηκὸς αὐτομάτως περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. c Νεωστὶ γὰρ ἐκπεπλευκὼς ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. Διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοί, σπεύδοντες ἁρπάσαι τὸν καιρόν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. Ἀποσκευασάμενος οὖν τὰ περιόντα τῶν ὅπλων καὶ τῶν φορτίων ἐκεῖ καὶ τοῦ Συνάλου δεηθείς, ὅταν ᾖ καιρός, ἀποστεῖλαι πρὸς αὐτόν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. Πορευομένῳ δ' αὐτῷ πρῶτον μὲν Ἀκραγαντίνων προσεχώρησαν ἱππεῖς διακόσιοι τῶν περὶ τὸ Ἔκνομον οἰκούντων, d μετὰ δὲ τούτους Γελῷοι. (2) Ταχὺ δὲ τῆς φήμης διαδραμούσης εἰς Συρακούσας, Τιμοκράτης, ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν [Διονυσίου ἀδελφῇ], τῶν ἀπολελειμμένων ἐν τῇ πόλει φίλων προεστώς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ γράμματα κομίζοντα περὶ τῆς Δίωνος ἀφίξεως· αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχε θορύβοις καὶ κινήμασιν, ἐπηρμένων μὲν πάντων, διὰ δ' ἀπιστίαν ἔτι καὶ φόβον ἡσυχαζόντων. (3) Τῷ δὲ πεμφθέντι γραμματοφόρῳ τύχη τις συμπίπτει παράλογος. Διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν καὶ τὴν Ῥηγίνην διελθὼν ἐπειγόμενος εἰς Καυλωνίαν e πρὸς Διονύσιον, ἀπήντησέ τινι τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι· καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν ἐχώρει σπουδῇ. Τῆς δὲ νυκτὸς μέρος ὁδεύσας καὶ μικρὸν ἀποδαρθεῖν ὑπὸ κόπου βιασθείς, ὡς εἶχε, παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ κατέκλινεν ἑαυτόν. Πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν καὶ λαβόμενος τῶν κρεῶν ἀναδεδεμένων ἐκ τῆς πήρας ᾤχετο φέρων ἅμα σὺν αὐτοῖς τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. Ὡς δὲ διεγερθεὶς ᾔσθετο καὶ πολλὰ μάτην πλανηθεὶς καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ πορεύεσθαι δίχα τῶν γραμμάτων πρὸς τὸν τύραννον, ἀλλ' f ἀποδρὰς ἐκποδὼν γενέσθαι.

XXVII. Διονύσιος μὲν οὖν ὀψὲ καὶ παρ' ἑτέρων ἔμελλε πυνθάνεσθαι τὸν ἐν Σικελίᾳ πόλεμον. Δίωνι δὲ πορευομένῳ Καμαριναῖοί τε προσέθεντο καὶ τῶν κατ' ἀγροὺς Συρακουσίων ἀνισταμένων ἐπέῤῥει πλῆθος οὐκ ὀλίγον. Οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάττοντες Λεοντῖνοι καὶ Καμπανοί, λόγον ψευδῆ 970 προσπέμψαντος εἰς αὐτοὺς τοῦ Δίωνος ὡς ἐπὶ τὰς πόλεις a πρῶτον τρέποιτο τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην τοῖς οἰκείοις βοηθήσοντες. (2) Ὡς δ' ἀπηγγέλη ταῦτα πρὸς τὸν Δίωνα περὶ τὰς Μακρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἧκε ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. Ἐνταῦθα δὲ τὴν πορείαν ἐπιστήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν ἀνατέλλοντι τῷ ἡλίῳ προσευξάμενος· ἅμα δ' οἱ μάντεις παρὰ τῶν θεῶν νίκην ἔφραζον αὐτῷ. Καὶ θεασάμενοι τὸν Δίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες ἀπὸ μιᾶς ὁρμῆς ἐστεφανοῦντο πάντες. Ἦσαν δὲ πεντακισχιλίων οὐχ

XXVI Maxime animos militum confirmavit fortuita tum Dionysii peregrinatio, qui nuper adeo navibus octoginta in Italiam iverat. Itaque Dione eos hortante uti corpora diuturna navigatione afflicta Minoæ reficerent, moræ impatientes et præripere tempus cupientes, uti se ad Syracusas duceret jusserunt. Quamobrem Dio, deposito ibi quidquid armorum et sarcinarum erat supervacaneum, Synalo orato ut occasione postulante ea sibi mitteret, ad Syracusas contendit. In itinere eo primum ducenti equites Agrigentinorum, eorum qui apud Ecnomum habitant, se ei adjunxerunt, secundum eos Geloi. (2) Fama autem rei celeriter Syracusas allata, Timocrates qui Dionis uxorem [tyranni sororem] habebat, princeps hujus in urbe relictorum amicorum, illico nuntium emittit Dionysio literas ferentem, quibus eum de adventu Dionis doceret. Ipse interim urbanis motibus atque tumultibus intentus erat, quum omnium sublati animi incredulitate tantum adhuc et metu continerentur. (3) Tabellario autem isti admirabilis casus evenit. Quum enim jam in Italiam trajecisset atque per agrum Rheginum in Cauloniam ad Dionysium pergeret, occurrit ei quidam familiaris, hostiam recens cæsam portans; ab eo sumpta hostiæ parte, quum iter acceleraret, ac noctis etiam parte ambulando confecta, præ lassitudine cogeretur paulisper dormire, sicut erat, in silva quadam secus viam decubuit. At lupus ad odorem accurrens carnes manticæ alligatas atque una manticam ipsam (in ea autem continebantur literæ) abstulit. Is homo, ut expergefactus damnum sensit, diu multumque frustra quæsita passim oberrando et persequendo mantica, statuit absque literis ad tyrannum non adire, sed aliquo aufugere.

XXVII. Ita factum est ut sero et ex aliis Dionysius de bello in Sicilia excitato cognosceret. Dioni autem proficiscenti Camarinæi se adjunxere atque in agro habitantium Syracusanorum multitudo haud exigua se ad eum aggregavit. Leontini autem et Campani, qui in custodiendis Epipolis Timocrati aderant, quum ad eos falsum nuntium Dio misisset, se in ipsorum prius urbes impetum facturum, relicto Timocrate, domum ad auxilium suis ferendum abierunt. (2) Quæ quum essent Dione apud Macras castra metato annuntiata, de nocte exercitum abduxit et ad Anapum amnem decem ab urbe stadia distantem pervenit. Ibi inhibita profectione apud fluvium sacris operatus est, Solem tum orientem comprecatus; simul et vates victoriam divinitus dari promiserunt. Et milites Dionem sacrorum causa coronatum videntes universi unanimi studio serta sibi sumpserunt. Erant autem haud pauciores quinque millibus,

ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν· ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος ἀνεπλήρουν τῇ προθυμίᾳ b τὴν τῆς παρασκευῆς ἔνδειαν, ὥστε κινήσαντος τοῦ Δίωνος δρόμῳ χωρεῖν μετὰ χαρᾶς καὶ βοῆς ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν.

XXVIII. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων οἱ μὲν γνώριμοι καὶ χαρίεντες ἐσθῆτα καθαρὰν ἔχοντες ἀπήντων ἐπὶ τὰς πύλας, οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγίδας, ἀνθρώπους ἀνοσίους καὶ θεοῖς ἐχθρούς, οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις πολυπραγμονοῦντες καὶ διαγγέλλοντες τῷ τυράννῳ τάς τε διανοίας καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶ- c τοι δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων ἀποτυμπανιζόμενοι. (2) Τιμοκράτης δὲ συμμῖξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δυνηθεὶς ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς, ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος, ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. (3) Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος ἤδη καταφανὴς ἦν πρῶτος αὐτὸς ὡπλισμένος λαμπρῶς καὶ παρ' αὐτὸν ἔνθεν μὲν ὁ ἀδελφὸς Μεγακλῆς, ἔνθεν δὲ Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. Τῶν δὲ ξένων ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα, τοὺς δ' ἄλλους ἦγον d οἱ λοχαγοὶ διακεκοσμημένους, θεωμένων τῶν Συρακουσίων καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν ἐλευθερίας καὶ δημοκρατίας δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν.

XXIX. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Δίων κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος ἐλευθεροῦσι Συρακουσίους καὶ τοὺς ἄλλους Σικελιώτας ἀπὸ τοῦ τυράννου. Βουλόμενος δὲ καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν τῶν Συρακουσίων ἱερεῖα καὶ τραπέζας καὶ κρατῆρας ἱστάντων καὶ καθ' οὓς γένοιτο προχύτας τε βαλλόντων καὶ προσ- e τρεπομένων ὥσπερ θεὸν κατευχαῖς. (2) Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν καὶ τὰ Πεντάπυλα, Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. Ἐπὶ τοῦτο προσβὰς ἐδημηγόρησε καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. Οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς καὶ προσείλοντο, βουλομένων καὶ δεομένων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν, ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. (3) Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει τὸ μὲν ὑπὸ πόδας λα- f βεῖν τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀνάθημα τοῦ τυράννου λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ᾑρέθη στρατηγός, ὠρρώδουν μὴ τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. (4) Ἐκ τούτου τὰς μὲν Ἐπιπολὰς ἑλὼν τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε, τὴν δὲ ἀκρό-
971 πολιν ἀπετείχισεν. Ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέ- a

qui se in itinere adjunxerant, male ut in tumultu armati, alacritate defectum apparatûs sarciente, ita quidem, ut simul atque agmen movere Dio instituisset, ipsi hilares cumque læto clamore currentes invicem ad libertatem se cohortarentur recuperandam.

XXVIII. At qui in urbe erant Syracusani, horum præcipui pura in veste ad portas Dioni occurrerunt, reliqui plerique amicos tyranni adorti sunt emissariosque ejus (quos ipsi Prosagogidas nominabant), homines sceleratos ac diis ipsis invisos, qui permixti civibus obambulare ac singulorum sensus vocesque explorare, et ad tyrannum deferre consuevissent. Atque hi primi omnium pœnas dederunt, a proximo quoque fustibus ad mortem cæsi. (2) Ceterum Timocrates, quum intra præsidium arcis venire nequisset, arrepto equo ex urbe profugit, inque fuga metu omnia ac tumultu complevit, inflatius Dionis res prædicans, ne videretur levi proposito metu urbem amisisse. (3) Jam et Dio conspiciebatur subire urbi, primus omnium magnifice armatus incedens, latera ejus Megacle fratre et Callippo Atheniensi coronatis cingentibus. De peregrinis militibus centum præsidii causa Dionem comitabantur, reliquos composito agmine centuriones ducebant, spectantibus Syracusanis et excipientibus hanc quasi sacram pompam libertatis et populi in republica dominationis, quadraginta et octo annis postquam sublata esset revertentis.

XXIX. Ut ad Menitida portam pervenit Dio, tuba sedato tumultu, præconem edicere jussit, Dionem et Megaclem advenisse tyrannidis destruendæ causa, itaque eos Syracusanos et reliquos Siculos ab ipsa liberare. Porro sua etiam voce cupiens eos alloqui, per Achradinam ascendit, ab utraque parte viæ victimis, mensis et crateribus collocatis a Syracusanis, qui in eum qua iret flores frugesque conjiciebant et tanquam deum votis appellabant. (2) Erat infra arcem et Pentapyla quæ dicuntur solarium illustre et editum, a Dionysio constructum. Quo conscenso, orationem ad populum habuit, qua cives ad studium libertatis excitaret. Atque illi læti amice eum compellatum cum fratre imperatores, in quorum potestate omnia essent, constituere, iisque ita volentibus atque postulantibus viginti collegas adjunxere, quorum decem erant de iis qui cum Dione ab exsilio redibant. (3) Hariolis vero rursus bonum esse signum videbatur, quod concionans Dio tyranni magnificum opus atque donum sub pedibus habuisset; quod autem solarium esset id in quo stans esset imperator electus, metuebant ne id celerem fortunæ mutationem portenderet. (4) Dio secundum hæc, captis Epipolis, in vinculis detentos ibi cives liberavit, et arcem ducto muro ab urbe dejunxit. Septima die in arcem navibus advectus est Dionysius, Dionique arma quæ

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώ- f λειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ
973 χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν a
τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παῤῥησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον b
μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίω- c
νος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. (2) Οὐ μὴν ἀλλὰ, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. (3) Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. d
Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάρους πιέζουσι, τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου καὶ πολλὰς εἶχεν ἀρχὰς, ὡς εἰκὸς, ὑπ' ἀλγηδόνος ἀνιέντος, εἶτ' αὖθις ἐπάγοντος. (4) Ἧκον δέ τινες τῶν γνωρίμων ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν καὶ διηγούμενοι βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem reprehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis, Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset.

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit, qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique scilicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Verumtamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat prorsus et multa habebat initia, ut appareret eum, quum indoluisset, sectionem omisisse, mox eam repetiisse. (4) Simul et notæ quidem fidei homines in concionem venerunt, novaculam apportantes narrantesque in itinere sibi Sosin obviam factum, sanguine perfusum, et di-

Σῶσιν ἡμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχό- e μενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι f καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς 974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ a πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλί- b στου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ c λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνε[illegible]δίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστ[illegible] ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφ[illegible] ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, καίπερ ὢν [illegible]νότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχ[illegible]μονας αἰτίας περιβαλεῖν [illegible] ους ἔχοντας κόσμ[illegible] ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ [illegible] ντα μηχανώμενο[illegible] ἐξελέσθαι τῆς γραφῆς, [illegible] νότατος ἀνδρ[illegible]

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt. (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam ad[illegible] existimatio ejus dehortari debuit, ne contumeliose [illegible]rriliter calamitates eis exprobrarent, quibus quomi[illegible] fortunæ etiam optimus quisque vir feriatur. [illegible] (2) Neque vero sanus Ephorus, qui Philist[illegible] quamvis fuerit callidissimus malos mores et [illegible] in speciem præscriptionibus [illegible] admodum decora, id tamen [illegible] a se ipso diluere non [illegible]

πων γένοιτο καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλούτους καὶ γάμους d τοὺς τῶν τυράννων. Ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν μήτε τὰς τύχας ὀνειδίζων ἐμμελέστατος.

XXXVII. Μετὰ δὲ τὴν Φιλίστου τελευτὴν Διονύσιος ἔπεμπε πρὸς Δίωνα, τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδιδοὺς καὶ τὰ ὅπλα καὶ τοὺς μισθοφόρους καὶ πέντε μηνῶν ἐντελῆ τούτοις μισθὸν, αὐτὸς δ' ἀξιῶν ὑπόσπονδος εἰς Ἰταλίαν ἀπελθεῖν κἀκεῖ κατοικῶν καρποῦσθαι τῆς Συρακουσίας τὸν καλούμενον Γύατα, πολλὴν καὶ ἀγαθὴν χώραν ἀνήκουσαν ἀπὸ θαλάττης εἰς τὴν μεσόγειον. (2) Οὐ προσδεξαμένου δὲ τοῦ Δίωνος, ἀλλὰ δεῖσθαι τῶν Συρακουσίων κελεύσαντος, οἱ μὲν Συρακούσιοι ζῶντα λή- e ψεσθαι τὸν Διονύσιον ἐλπίσαντες ἀπήλασαν τοὺς πρέσβεις, ἐκεῖνος δὲ τὴν μὲν ἄκραν Ἀπολλοκράτει, τῷ πρεσβυτέρῳ τῶν παίδων, παρέδωκεν, αὐτὸς δὲ πνεῦμα τηρήσας ἐπίφορον καὶ τὰ τιμιώτατα τῶν σωμάτων καὶ τῶν χρημάτων ἐνθέμενος εἰς τὰς ναῦς, λαθὼν τὸν ναύαρχον Ἡρακλείδην ἐξέπλευσεν. Ὁ δὲ κακῶς ἀκούων καὶ θορυβούμενος ὑπὸ τῶν πολιτῶν, Ἵππωνά τινα τῶν δημαγωγῶν καθίησι προκαλεῖσθαι τὸν δῆμον ἐπὶ γῆς ἀναδασμὸν, ὡς ἐλευθερίας ἀρχὴν οὖσαν τὴν ἰσότητα, δουλείας δὲ τὴν πενίαν τοῖς ἀκτήμοσι. (3) Συνηγορῶν f δὲ τούτῳ καὶ τὸν Δίωνα καταστασιάζων ἐναντιούμενον, ἔπεισε τοὺς Συρακουσίους ταῦτα ψηφίσασθαι καὶ τῶν ξένων τὸν μισθὸν ἀποστερεῖν καὶ στρατηγοὺς ἑτέρους ἑλέσθαι τῆς ἐκείνου βαρύτητος ἀπαλλαγέντας. Οἱ δ' ὥσπερ ἐκ μακρᾶς ἀῤῥωστίας τῆς τυραννίδος εὐθὺς ἐπιχειροῦντες ἐξανίστασθαι καὶ πράττειν τὰ τῶν αὐτο-
975 νομουμένων παρὰ καιρὸν, ἐσφάλλοντο μὲν αὐτοὶ ταῖς a πράξεσιν, ἐμίσουν δὲ τὸν Δίωνα βουλόμενον ὥσπερ ἰατρὸν ἐν ἀκριβεῖ καὶ σωφρονούσῃ διαίτῃ κατασχεῖν τὴν πόλιν.

XXXVIII. Ἐκκλησιάζουσι δ' αὐτοῖς ἐπὶ νέαις ἀρχαῖς θέρους μεσοῦντος ἐξαίσιοι βρονταὶ καὶ διοσημίαι πονηραὶ συνέβαινον ἐφ' ἡμέρας δεκαπέντε συνεχῶς ἀνιστᾶσαι τὸν δῆμον ὑπὸ δεισιδαιμονίας κωλυόμενον ἑτέρους ἀποδεῖξαι στρατηγούς. Ἐπεὶ δὲ φυλάξαντες εὐδίαν σταθερὰν οἱ δημαγωγοὶ συνετέλουν τὰς ἀρχαιρεσίας, βοῦς ἁμαξεὺς οὐκ ἀήθης οὐδ' ἄπειρος ὄχλων, ἄλλως δέ πως τότε πρὸς τὸν ἐλαύνοντα θυμωθεὶς καὶ φυγὼν ἀπὸ τοῦ ζυγοῦ δρόμῳ πρὸς τὸ θέατρον ὥρμησε· b καὶ τὸν μὲν δῆμον εὐθὺς ἀνέστησε καὶ διεσκέδασεν οὐδενὶ κόσμῳ φεύγοντα, τῆς δ' ἄλλης πόλεως ἐπέδραμε σκιρτῶν καὶ ταράττων ὅσον ὕστερον οἱ πολέμιοι κατέσχον. (2) Οὐ μὴν ἀλλὰ ταῦτα χαίρειν ἐάσαντες οἱ Συρακούσιοι πέντε καὶ εἴκοσι στρατηγοὺς ἐχειροτόνησαν, ὧν εἷς ἦν Ἡρακλείδης· καὶ τοὺς ξένους ὑποπέμποντες κρύφα τοῦ Δίωνος ἀφίστασαν καὶ μετεκάλουν πρὸς αὐτοὺς, ἐπαγγελλόμενοι καὶ τῆς πολιτείας ἰσομοιρίαν. Οἱ δὲ ταῦτα μὲν οὐ προσεδέξαντο, τὸν δὲ Δίωνα πιστῶς καὶ προθύμως μετὰ τῶν ὅπλων ἀναλαβόντες καὶ συμφράξαντες ἀπῆγον ἐκ τῆς πόλεως, ἀδικοῦντες μὲν οὐδένα, πολλὰ

homo tyrannorum studiosissimus, et qui maxime omnium luxum, potentiam, divitias nuptiasque tyrannorum suspiceret atque admiraretur, crederetur. Tutissimum est, neque laudare Philisti facta, neque fortunam ei exprobrare.

XXXVII. Mortuo Philisto, Dionysius, missis ad Dionem legatis, arcem se ei et arma et mercenarios, hisque in quinque menses integrum stipendium daturum promisit ea conditione, ut sibi data fide in Italiam abire, atque ibi degenti fructus Gyatis (quæ est agri Syracusani bona et magna pars, ab ora maritima ad mediterranea pertinens) percipere liceret. (2) Dione non accipiente conditionem, sed ut a populo hæc impetrare conaretur jubente, Syracusani vivo se Dionysio potituros sperantes, legationem repulerunt. At Dionysius, arce tradita Apollocrati seniori suorum filiorum, nactus ventum secundum, quod opum hominumque habebat carissimum in naves imposuit, et non animadvertente Heraclida, rei maritimæ præfecto, avectus est. Heraclides autem quum civium sermonibus vapularet et tumultibus vexaretur, Hipponem quendam oratorem submittit, qui ad divisionem agrorum populum vocaret, æqualitatem libertatis, egenis autem paupertatem servitutis initium esse dicens. (3) Hujus legem ipse suadens et Dionem repugnantem factione premens, non modo populo Syracusano suasit, ut hanc rogationem sciscerel, sed et militibus peregrinis mercedem detrahendi, Dionisque morositatem delectis aliis ducibus effugiendi auctor fuit. Ceterum Syracusani a tyrannide veluti diuturno morbo statim cupientes assurgere, alienoque tempore libertate populari uti, non ipsi modo successus parum prosperos experti sunt, sed Dionem odio etiam habuerunt, qui veluti medicus urbem continere in accurata et sobria cuperet diæta.

XXXVIII. Comitia eis agitantibus ob deligendos novos duces, idque æstate media, tonitrua insolentia et prodigia mala per quindecim totos dies crebro ea solverunt, populo ob superstitionem prohibito a creandis magistratibus. Quum autem ii qui populum orationibus suis trahebant, constanti serenitate observata, comitia fecissent, bos quidam plaustrarius nequaquam turbæ hominum insuetus, tum forte ab agasone irritatus jugo excusso in theatrum accurrit, populoque ut promiscue fugerent excitato, saliendo atque tumultuando omnes urbis partes, quæ deinde in hostium potestatem venerunt, pervagatus est. (2) Verum his omnibus spretis, Syracusani viginti quinque duces creaverunt, atque inter hos Heraclidam; subornatis etiam clam certis hominibus stipendiarios milites ut a Dione ad se deficerent corrumpere aggressi sunt, jus civitatis eis promittentes. Sed milites optima fide atque alacritate Dionem, spretis populi pollicitationibus, armati ad se receperunt atque stipavere, et urbe educere intenderunt, vim nemini interim facientes,

δὲ τοὺς ἐντυγχάνοντας εἰς ἀχαριστίαν καὶ μοχθηρίαν c ὀνειδίζοντες. Οἱ δὲ τῆς ὀλιγότητος αὐτῶν καὶ τοῦ μὴ προεπιχειρεῖν καταφρονήσαντες καὶ γενόμενοι πολὺ πλείους ἐκείνων ἐφώρμησαν, ὡς ῥᾳδίως ἐπικρατήσοντες ἐν τῇ πόλει καὶ πάντας αὐτοῦ κατακτενοῦντες.

XXXIX. Ἐν τούτῳ δὲ γεγονὼς ἀνάγκης καὶ τύχης ὁ Δίων ἢ μάχεσθαι τοῖς πολίταις ἢ μετὰ τῶν ξένων ἀποθανεῖν, πολλὰ μὲν ἱκέτευεν ὀρέγων τὰς χεῖρας τοῖς Συρακουσίοις καὶ τὴν ἀκρόπολιν περίπλεων πολεμίων οὖσαν ὑπερφαινομένων τὰ τείχη καὶ τὰ γινόμενα καθορώντων ἐπιδεικνύμενος· ὡς δ' ἦν ἀπαραίτητος ἡ τῶν πολλῶν φορὰ καὶ κατεῖχεν ὥσπερ ἐν πελάγει τὸ τῶν δημαγωγῶν πνεῦμα τὴν πόλιν, ἐμβολῆς μὲν ἀποσχέσθαι d τοῖς ξένοις προσέταξεν, ὅσον δ' ἐπιδραμόντων μετὰ βοῆς καὶ τοῖς ὅπλοις τιναξαμένων, οὐδεὶς ἔμεινε τῶν Συρακουσίων, ἀλλ' ᾤχοντο φεύγοντες ἀνὰ τὰς ἀγυιάς, οὐδενὸς ἐπιδιώκοντος· εὐθὺς γὰρ ἀπέστρεψεν ὁ Δίων τοὺς ξένους καὶ προῆγεν εἰς Λεοντίνους. (2) Οἱ δ' ἄρχοντες τῶν Συρακουσίων καταγέλαστοι γεγονότες ὑπὸ τῶν γυναικῶν καὶ τὴν αἰσχύνην ἀναλαβεῖν ζητοῦντες αὖθις ὁπλίσαντες τοὺς πολίτας ἐδίωκον τὸν Δίωνα. Καὶ κατέλαβον μὲν ἐπὶ διαβάσει τινὸς ποταμοῦ καὶ προσίππευσαν ἀψιμαχοῦντες· ὡς δ' ἑώρων οὐκέτι πρᾴως οὐδὲ πατρικῶς e ὑπομένοντα τὰς ἁμαρτίας αὐτῶν, ἀλλὰ θυμῷ τοὺς ξένους ἐπιστρέφοντα καὶ παραταττόμενον, αἰσχίονα φυγὴν τῆς προτέρας φυγόντες ὑπεχώρησαν εἰς τὴν πόλιν, οὐ πολλῶν ἀποθανόντων.

XL. Δίωνα δὲ Λεοντῖνοι λαμπραῖς ἐδέχοντο τιμαῖς καὶ τοὺς ξένους ἀνελάμβανον μισθοῖς καὶ πολιτείαις· πρὸς δὲ τοὺς Συρακουσίους ἐπρέσβευον ἀξιοῦντες τὰ δίκαια τοῖς ξένοις ποιεῖν. Οἱ δὲ πρέσβεις ἔπεμψαν κατηγορήσοντας Δίωνος. Τῶν δὲ συμμάχων ἁπάντων εἰς Λεοντίνους ἀθροισθέντων καὶ γενομένων λόγων ἐν αὐτοῖς, ἔδοξαν ἀδικεῖν οἱ Συρακούσιοι· τοῖς δὲ κριθεῖσιν f ὑπὸ τῶν συμμάχων οὐκ ἐνέμειναν τρυφῶντες ἤδη καὶ μεγαλοφρονοῦντες ἐπὶ τῷ μηδενὸς ἀκούειν, ἀλλὰ χρῆσθαι δουλεύουσι καὶ φοβουμένοις τὸν δῆμον στρατηγοῖς.

976 XLI. Ἐκ τούτου καταπλέουσιν εἰς τὴν πόλιν παρὰ a Διονυσίου τριήρεις Νύψιον ἄγουσαι τὸν Νεαπολίτην σῖτον καὶ χρήματα κομίζοντα τοῖς πολιορκουμένοις. Γενομένης δὲ ναυμαχίας ἐνίκων μὲν οἱ Συρακούσιοι καὶ τέσσαρας τῶν τυραννικῶν νεῶν ἔλαβον, ὑβρίσαντες δὲ τῇ νίκῃ καὶ δι' ἀναρχίαν τὸ χαῖρον εἰς πότους καὶ συνουσίας μανικὰς τρέψαντες, οὕτω τῶν χρησίμων ἠμέλησαν, ὥστε τὴν ἀκρόπολιν ἔχειν δοκοῦντες ἤδη καὶ τὴν πόλιν προσαπέβαλον. (2) Ὁ γὰρ Νύψιος ὁρῶν οὐδὲν ὑγιαῖνον ἐν τῇ πόλει μέρος, ἀλλὰ τὸν μὲν ὄχλον αὐλήμασι καὶ μέθαις εἰς νύκτα βαθεῖαν ἀφ' ἡμέρας κατεχόμενον, τοὺς δὲ στρατηγοὺς ἐπιτερπομένους τε τούτῳ τῷ πανηγυρισμῷ καὶ προσάγειν ἀνάγκην μεθύουσιν ἀνθρώποις ὀκνοῦντας, ἄριστα τῷ καιρῷ χρησάμενος b ἐπεχείρησε τῷ τειχίσματι· καὶ κρατήσας καὶ διαθρύψας ἀφῆκε τοὺς βαρβάρους, κελεύσας χρῆσθαι τοῖς

ingratum modo animum et improbitatem obviis exprobrantes. At Syracusani ob paucitatem eos et quod non essent aggressi se priores, contemnentes, longe majore manu collecta facile opprimere ipsa in urbe, universosque ibi interficere se posse rati, adoriri eos sunt conati.

XXXIX. Hac in necessitate constitutus et fortuna Dio, ut aut cum civibus confligendum, aut cum mercenariis pereundum esset, multis verbis Syracusanos deprecatus est, manus intendens, arcemque hostium plenam desuper a muris quod ageretur spectantium, demonstrans. Ut impetum multitudinis inhiberi a se posse non vidit, sed totam urbem turbulentorum consiliariorum orationibus quasi vento incumbente mari obtineri, impressione quidem suos abstinere jussit. At ubi hi tantum cum clamore irruerunt et arma concusserunt, nemo Syracusanorum mansit, sed passim per plateas diffugerunt, insequente nemine; nam Dio statim suos revocavit et ad Leontinos contendit. (2) At Syracusanorum duces, ridiculi mulieribus facti, abolendæ ignominiæ causa rursum armatis civibus Dionem insecuti sunt, deprehensoque eo in transitu amnis, quasi prœlium conserturi adequitarunt; ubi quum cernerent eum non, ut ante, placide animove paterno injurias ipsorum ferre, sed iratum suos obvertere aciemque instruere, paucis amissis turpiore quam prius fuga in urbem se receperunt.

XL. Ceterum Dionem Leontini exceptum amplis honoribus affecerunt, milites ejus stipendio ac civitate donaverunt, legatione ad Syracusanos missa postulaverunt, uti militibus mercedem debitam solverent. Qui quum legatos accusatum Dionem misissent, essetque coram universis confœderatis apud Leontinos congregatis disceptata res, Syracusani causa ceciderunt; sententiæ tamen sociorum non steterunt, lascivientes jam et superbientes eo, quod nemini obtemperarent, sed magistratibus populum timentibus adulantibusque uterentur.

XLI. Secundum hæc triremes cum Nypsio Neapolitano Syracusas appellunt a Dionysio obsessis alimenta et pecuniam portantes. Commissaque naumachia Syracusani quum victoriam obtinuissent quattuorque tyranni naves cepissent, successu luxuriantes et, quod fit penuria ducum, ob stolidum et insanum gaudium ad pocula et insana convivia conversi, ingenti suæ utilitatis negligentia rem eo deduxerunt, ut qui tantum non potiri jam arce viderentur, urbem quoque ipsam amitterent. (2) Etenim Nypsius quum nihil sani in urbe agi, populum inter pocula et tibiæ ad cantum de die in noctem desidere, prætores quum delectari eo voluptatum studio, tum ebriis hominibus necessitatem aliquam imponere non audere intelligeret, occasione præclare ista utens, murum arci objectum aggresssus est, eoque expugnato et diffracto barbaros in urbem immisit, cum obviis civibus ita

προστυγχάνουσιν ὡς βούλονται καὶ δύνανται. (3) Ταχέως μὲν οὖν οἱ Συρακούσιοι τὸ κακὸν ᾔσθοντο, βραδέως δὲ καὶ χαλεπῶς συνεβοήθουν ἐκπεπληγμένοι. Πόρθησις γὰρ ἦν τὰ γινόμενα τῆς πόλεως, τῶν μὲν ἀνδρῶν φονευομένων, τῶν δὲ τειχῶν κατασκαπτομένων, γυναικῶν δὲ καὶ παίδων ἀγομένων εἰς τὴν ἀκρόπολιν μετ' οἰμωγῆς, ἀπεγνωκότων δὲ τὰ πράγματα τῶν στρατηγῶν καὶ χρῆσθαι μὴ δυναμένων τοῖς πολίταις πρὸς τοὺς πολεμίους ἀναπεφυρμένους καὶ συμμεμιγμένους αὐτοῖς c πανταχόθεν.

XLII. Οὕτω δὲ τῶν κατὰ τὴν πόλιν ἐχόντων καὶ τοῦ κινδύνου πρὸς τὴν Ἀχραδινὴν πλησιάζοντος, εἰς ὃν μόνον ἦν καὶ λοιπὸν ἀπερείσασθαι τὴν ἐλπίδα, πάντες μὲν ἐφρόνουν, ἔλεγε δὲ οὐδείς, αἰσχυνόμενοι τὴν ἀχαριστίαν καὶ τὴν ἀβουλίαν τὴν πρὸς Δίωνα. Πλήν γε δὴ τῆς ἀνάγκης ἐκβιαζομένης, παρὰ τῶν συμμάχων καὶ τῶν ἱππέων γίνεται φωνὴ καλεῖν Δίωνα καὶ μεταπέμπεσθαι τοὺς Πελοποννησίους ἐκ Λεοντίνων. (2) Ὡς δὲ πρῶτον ἠκούσθη καὶ ἀπετολμήθη τοῦτο, κραυγὴ καὶ χαρὰ καὶ δάκρυα τοὺς Συρακουσίους κατεῖχεν εὐχομένους ἐπιφανῆναι τὸν ἄνδρα καὶ ποθοῦντας τὴν ὄψιν αὐτοῦ καὶ μεμνημένους τῆς παρὰ τὰ δεινὰ ῥώμης καὶ προ- d θυμίας, ὡς οὐ μόνον αὐτὸς ἦν ἀνέκπληκτος, ἀλλὰ κἀκείνους παρεῖχε θαρροῦντας καὶ ἀδεῶς τοῖς πολεμίοις συμφερομένους. (3) Εὐθὺς οὖν ἐκπέμπουσι πρὸς αὐτὸν ἀπὸ μὲν τῶν συμμάχων Ἀρχωνίδην καὶ Τελεσίδην, ἀπὸ δὲ τῶν ἱππέων πέντε, ἐν οἷς τοὺς περὶ Ἑλλάνικον. Οὗτοι διελάσαντες τὴν ὁδὸν ἵπποις ἀπὸ ῥυτῆρος ἧκον εἰς Λεοντίνους τῆς ἡμέρας ἤδη καταφερομένης. Ἀποπηδήσαντες δὲ τῶν ἵππων καὶ τῷ Δίωνι πρώτῳ προσπεσόντες δεδακρυμένοι τὰς συμφορὰς τῶν Συρακουσίων ἔφραζον. Ἤδη δὲ καὶ τῶν Λεοντίνων τινὲς ἀπήντων καὶ τῶν Πελοποννησίων ἠθροίζοντο πρὸς τὸν Δίωνα e πολλοί, τῇ σπουδῇ καὶ τῇ δεήσει τῶν ἀνδρῶν ὑπονοοῦντες εἶναί τι καινότερον. (4) Εὐθὺς οὖν ἡγεῖτο πρὸς τὴν ἐκκλησίαν αὐτοῖς, καὶ συνδραμόντων προθύμως, οἱ περὶ τὸν Ἀρχωνίδην καὶ τὸν Ἑλλάνικον εἰσελθόντες ἐξήγγειλάν τε βραχέως τὸ μέγεθος τῶν κακῶν καὶ παρεκάλουν τοὺς ξένους ἐπαμῦναι τοῖς Συρακουσίοις, τὸ μνησικακεῖν ἀφέντας, ὡς μείζονα δίκην δεδωκότων αὐτῶν, ἢ λαβεῖν ἂν οἱ κακῶς πεπονθότες ἠξίωσαν.

XLIII. Παυσαμένων δὲ τούτων, σιγὴ μὲν εἶχε πολλὴ τὸ θέατρον· ἀναστάντος δὲ τοῦ Δίωνος καὶ λέγειν ἀρξαμένου πολλὰ τῶν δακρύων ἐκπίπτοντα τὴν φωνὴν f ἐπέσχεν· οἱ δὲ ξένοι παρεκάλουν θαρρεῖν καὶ συνήχθοντο. Μικρὸν οὖν ἀναλαβὼν ἐκ τοῦ πάθους ἑαυτὸν ὁ Δίων, « Ἄνδρες, ἔφη, Πελοποννήσιοι καὶ σύμμαχοι, βουλευσομένους ὑμᾶς ἐνταῦθα περὶ ὑμῶν αὐτῶν συνήγαγον. Ἐμοὶ δὲ περὶ ἐμαυτοῦ βουλεύεσθαι καλῶς οὐκ 977 ἔχει, Συρακουσῶν ἀπολλυμένων, ἀλλ' εἰ σῶσαι μὴ δυ- a ναίμην, ἄπειμι τῷ πυρὶ καὶ τῷ πτώματι τῆς πατρίδος ἐνταφησόμενος. Ὑμεῖς δὲ βουλόμενοι μὲν ἔτι καὶ νῦν βοηθεῖν τοῖς ἀβουλοτάτοις ἡμῖν καὶ δυστυχεστάτοις, ὑμέτερον ἔργον οὖσαν ἀνορθοῦτε τὴν Συρακουσίων

ut vellent atque possent agere jubens. (3) Hoc malum statim quidem Syracusani senserunt, consternatio autem fecit ut segniter et difficulter ad auxilia concurrerent. Excidium enim urbis erat, quod agebatur, quippe quum viri obtruncarentur, muri dejicerentur, mulieres liberique in arcem ejulantes abducerentur; et duces ipsi de salute desperarent, quod civibus, ubique cum hostibus confusis atque permixtis, uti ad defendendam vim hostilem non possent.

XLII. Quum in hoc statu res urbanæ essent et periculum Achradinæ etiam immineret, nemo sane fuit qui non intelligeret in Dionem unum reliquam omnem spem civitatis incumbere; nemo tamen eum nominare ausus est, pudore ingrati animi et vecordiæ in Dionem admissæ. Attamen necessitate pudorem superante, a sociis tandem et equitibus vox edita est, vocandum esse Dionem et Peloponnesios milites e Leontinis accersendos. (2) Hæc vox ut primum audita, inventi sunt qui astipulari auderent, clamor, gaudium, lacrimæque Syracusanis obortæ sunt, exoptantibus Dionis adventum, conspectumque ejus desiderantibus, ejusque fortitudinem in periculis promptitudinemque animi memoria repetentibus, ut is ante non ipse modo imperterritum se, sed ipsos quoque audaces et ad pugnandum in hostem intrepidos præstasset. (3) Illico igitur ad eum ablegant de sociis Archonidam et Telesiden, de equitibus Hellanicum cum quattuor aliis. Hi quum viam admissis equis confecissent, in Leontinos sole jam occidente pervenerunt. Statimque ab equis desilientes primo omnium Dioni lacrimantes supplicarunt et calamitatem Syracusanorum narravere. Jam et Leontinorum quidam et Peloponnesiorum ad Dionem multi confluxerant, ex tam seria actione et precibus legatorum suspicantes evenisse aliquid novi. (4) Dio suos statim in concionem produxit, concurrentibus celeriter reliquis. Ibi Archonides et Hellanicus cum sociis progressi in medium, breviter et magnitudinem calamitatis exposuerunt et milites Dionis ad deponendam acceptarum injuriarum memoriam ferendamque Syracusanis, qui graviores pœnas dedissent, quam sumere ab ipsis injuste tractati voluissent, opem cohortati sunt.

XLIII. Postquam hi finem dicendi fecerunt, silentium toto theatro fuit. Dioni autem orare ingresso magna vis lacrimarum oborta vocem inhibuit. Militibus ut bono esset animo hortantibus unaque etiam dolentibus, quum se nonnihil ex animi perturbatione collegisset, hæc locutus est : « Viri Peloponnesii atque commilitones, vos de vobis ipsis consilia ut iniretis, huc conduxi. Nam mihi de me aliquid capere consilii, Syracusis intereuntibus, non convenit, quas si servare non possum, abeo, ut igni et ruina patriæ sepeliar. Vos, si etiamnunc stultissimis nobis et misserrimis opitulari lubet, agite, vestrum opus, Syracusanam urbem erigite; sin

πόλιν· εἰ δὲ μεμφόμενοι Συρακουσίοις ὑπερόψεσθε, τῆς γε πρότερον ἀρετῆς καὶ προθυμίας περὶ ἐμὲ χάριν ἀξίαν κομίζοισθε παρὰ τῶν θεῶν μεμνημένοι Δίωνος, ὡς οὔθ' ὑμᾶς ἀδικουμένους πρότερον οὔθ' ὕστερον τοὺς πολίτας δυστυχοῦντας ἐγκαταλιπόντος.» (2) Ἔτι δ' αὐτοῦ λέγοντος, οἱ μὲν ξένοι μετὰ κραυγῆς ἀνεπήδησαν ἄγειν καὶ βοηθεῖν κατὰ τάχος κελεύοντες, οἱ δὲ πρέσβεις τῶν Συρακουσίων περιβαλόντες ἠσπάσαντο b
πολλὰ μὲν ἐκείνῳ, πολλὰ δὲ τοῖς ξένοις ἀγαθὰ παρὰ τῶν θεῶν εὐχόμενοι. Καταστάντος δὲ τοῦ θορύβου, παρήγγειλεν ὁ Δίων εὐθὺς ἀπιόντας παρασκευάζεσθαι καὶ δειπνήσαντας ἥκειν μετὰ τῶν ὅπλων εἰς αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐγνωκὼς διὰ νυκτὸς βοηθεῖν.

XLIV. Ἐν δὲ ταῖς Συρακούσαις τῶν Διονυσίου στρατηγῶν, ἄχρι μὲν ἦν ἡμέρα, πολλὰ κακὰ τὴν πόλιν ἐργασαμένων, γενομένης δὲ νυκτὸς ἀναχωρησάντων εἰς τὴν ἀκρόπολιν καί τινας ἐξ ἑαυτῶν ὀλίγους ἀποβαλόντων, ἀναθαῤῥήσαντες οἱ δημαγωγοὶ τῶν Συρακουσίων καὶ τοὺς πολεμίους ἐλπίσαντες ἀτρεμήσειν ἐπὶ τοῖς διαπε- c
πραγμένοις, παρεκάλουν τοὺς πολίτας αὖθις ἐᾶν Δίωνα, κἂν προσίῃ μετὰ τῶν ξένων, μὴ δέχεσθαι μηδὲ παραχωρεῖν τῆς ἀρετῆς ἐκείνοις ὡς κρείττοσιν, ἀλλὰ σώζειν τὴν πόλιν καὶ τὴν ἐλευθερίαν αὐτοὺς δι' ἑαυτῶν. Πάλιν οὖν ἐπέμποντο πρὸς τὸν Δίωνα παρὰ μὲν τῶν στρατηγῶν ἀποτρέποντες, παρὰ δὲ τῶν ἱππέων καὶ τῶν γνωρίμων πολιτῶν ἐπισπεύδοντες τὴν πορείαν. Καὶ διὰ τοῦτο βραδέως ἅμα καὶ κατὰ σπουδὴν πορευόμενος προσῄει. (2) Τῆς δὲ νυκτὸς προελθούσης, οἱ μὲν μισοῦντες τὸν Δίωνα κατεῖχον τὰς πύλας ὡς ἀποκλείσοντες αὐτόν, ὁ δὲ Νύψιος ἐκ τῆς ἄκρας αὖθις πολλῷ προθυμοτέρους d
γεγονότας καὶ πλείονας ἐφιεὶς τοὺς μισθοφόρους, τὸ μὲν προτείχισμα πᾶν εὐθὺς κατέσκαπτε, τὴν δὲ πόλιν κατέτρεχε καὶ διήρπαζεν. Ἦν δὲ φόνος μὲν οὐκέτι μόνον ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν καὶ παίδων, ἁρπαγαὶ δ' ὀλίγαι, φθόρος δὲ πάντων πολύς. Ἀπεγνωκότος γὰρ ἤδη τὰ πράγματα τοῦ Διονυσίου καὶ τοὺς Συρακουσίους δεινῶς μεμισηκότος, ὥσπερ ἐνταφιάσαι τὴν τυραννίδα τῇ πόλει πίπτουσαν ἐβούλετο. (3) Καὶ τοῦ Δίωνος προκαταλαμβάνοντες τὴν βοήθειαν ἐπὶ τὸν ὀξύτατον διὰ πυρὸς πάντων ὄλεθρον καὶ ἀφανισμὸν ἐχώρησαν, τὰ μὲν ἐγγὺς ἀπὸ χειρῶν δᾳσὶ καὶ λαμπάσιν ὑποπιμπράν- e
τες, εἰς δὲ τὰ πρόσω διασπείροντες ἀπὸ τόξων πυροβόλους. Φευγόντων δὲ τῶν Συρακουσίων οἱ μὲν ἐν ταῖς ὁδοῖς ἐφονεύοντο καταλαμβανόμενοι, τὸ δὲ εἰς τὰς οἰκίας καταδυόμενον αὖθις ὑπὸ τοῦ πυρὸς ἐξέπιπτε, πολλῶν ἤδη φλεγομένων καὶ καταφερομένων ἐπὶ τοὺς διαθέοντας.

XLV. Τοῦτο τὸ πάθος μάλιστα τὴν πόλιν ἀνέῳξε Δίωνι, πάντων συμφωνησάντων. Ἔτυχε μὲν γὰρ οὐκέτι σπουδῇ πορευόμενος, ὡς ἤκουσεν εἰς τὴν ἀκρόπολιν κατακεκλεῖσθαι τοὺς πολεμίους. Προϊούσης δὲ τῆς ἡμέρας, πρῶτον ἱππεῖς ἀπήντησαν αὐτῷ τὴν δευτέραν κατάληψιν ἀπαγγέλλοντες· ἔπειτα καὶ τῶν ὑπεναντιου- f
μένων ἔνιοι παρῆσαν ἐπείγεσθαι δεόμενοι. Συντείνοντος

Syracusanis infesti nos negligitis, at dii tamen vobis dignam virtute vestra atque erga me studio mercedem reddant, Dionemque memoria teneatis, neque vos tum, quum injuria vobis inferretur, neque nunc cives infortunium passos deseruisse.» (2) Nondum peroraverat, quum milites magno cum clamore exsilientes, uti se quam celerrime ad succurrendum urbi Syracusanæ duceret, hortati sunt. Tum legati eos amplecti atque consalutare, multa Dioni, multa ipsis divinitus bona precari. Sedato tumultu, Dio milites statim discedere ac se parare, cœnatosque in eundem locum reverti jussit, quod noctu auxilio venire suis decrevisset.

XLIV. Interim Syracusis, quum Dionysii duces quantisper dies duraret maxima urbi damna dedissent, et paucis quibusdam suorum amissis noctu se in arcem recepissent, oratores animo collecto, et hostem existimantes nihil porro conaturum, rursus cives hortati sunt, ut Dionem missum facerent, neque eum cum Peloponnesiis venientem in urbem admitterent, illisve gloriam virtutis tanquam præstantioribus concederent, sed ipsi suapte opera urbem libertatemque defenderent. Rursum igitur ad Dionem missi sunt a ducibus urbis, qui eum omittere profectionem, ab equitibus autem et notis civibus, qui accelerare eum juberent. Itaque Dio modo tardius modo celerius procurrit. (2) Augescente nocte, inimici Dionis, ut eum aditu in urbem arcerent, portas occupaverunt. At vero Nypsius rursum ab arce milites suos et animis jam et numero auctos demisit, qui statim quidquid erat objectum muri subruto, urbi hostiliter vastandæ se dederunt. Neque viri jam solum, sed et mulieres et pueri necabantur, pauca prædæ, interitui pleraque dabantur. Quippe quod Dionysius de rebus suis jam desperasset, tantum in Syracusanos odii conceperat, ut tyrannidi ejus ruenti urbis exitio parentare intenderet. (3) Itaque, ut Dionis auxilio anteverterent milites, incendio, quo celerrime perderent omnia atque exciderent, miscere urbem aggressi, proxima quæque tædis et facibus manu illatis, remotiora igne sagittis injecto inflammaverunt. Fugientium autem Syracusanorum alii in via trucidati sunt, alii in domos fuga elapsi, vi ignis rursum inde ejecti sunt, plerisque jam ardentibus et in eos qui discurrebant corruentibus.

XLV. Ea maxime calamitas urbem Dioni reseravit, omnibus idem sentire coactis civibus. Etenim Dio remissius jam incedebat, quod in arcem compulsos hostes audivisset; die vero progrediente, primum equites ei occurrerunt iterum captam urbem annuntiantes, deinde et eorum, qui se ei adversarios gesserant, nonnulli adfuerunt, ut properaret orantes. Augescente malo, Heraclides fratrem

XXVI. Μάλιστα δ' αὐτοὺς ἐθάῤῥυνε τὸ συμβεβηκὸς αὐτομάτως περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. c Νεωστὶ γὰρ ἐκπεπλευκὼς ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. Διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοί, σπεύδοντες ἁρπάσαι τὸν καιρόν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. Ἀποσκευασάμενος οὖν τὰ περιόντα τῶν ὅπλων καὶ τῶν φορτίων ἐκεῖ καὶ τοῦ Συνάλου δεηθείς, ὅταν ᾖ καιρός, ἀποστεῖλαι πρὸς αὐτόν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. Πορευομένῳ δ' αὐτῷ πρῶτον μὲν Ἀκραγαντίνων προσεχώρησαν ἱππεῖς διακόσιοι τῶν περὶ τὸ Ἔκνομον οἰ- d κούντων, μετὰ δὲ τούτους Γελῷοι. (2) Ταχὺ δὲ τῆς φήμης διαδραμούσης εἰς Συρακούσας, Τιμοκράτης, ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν [Διονυσίου ἀδελφῇ], τῶν ἀπολελειμμένων ἐν τῇ πόλει φίλων προεστώς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ γράμματα κομίζοντα περὶ τῆς Δίωνος ἀφίξεως· αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχε θορύβοις καὶ κινήμασιν, ἐπηρμένων μὲν πάντων, διὰ δ' ἀπιστίαν ἔτι καὶ φόβον ἡσυχαζόντων. (3) Τῷ δὲ πεμφθέντι γραμματοφόρῳ τύχη τις συμπίπτει παράλογος. Διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν καὶ τὴν Ῥηγίνην διελθὼν ἐπειγόμενος εἰς Καυ- e λωνίαν πρὸς Διονύσιον, ἀπήντησέ τινι τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι· καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν ἐχώρει σπουδῇ. Τῆς δὲ νυκτὸς μέρος ὁδεύσας καὶ μικρὸν ἀποδαρθεῖν ὑπὸ κόπου βιασθείς, ὡς εἶχε, παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ κατέκλινεν ἑαυτόν. Πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν καὶ λαβόμενος τῶν κρεῶν ἀναδεδεμένων ἐκ τῆς πήρας ᾤχετο φέρων ἅμα σὺν αὐτοῖς τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. Ὡς δὲ διεγερθεὶς ᾔσθετο καὶ πολλὰ μάτην πλανηθεὶς καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ πορεύεσθαι δίχα τῶν γραμμάτων πρὸς τὸν τύραννον, ἀλλ' f ἀποδρὰς ἐκποδὼν γενέσθαι.

XXVII. Διονύσιος μὲν οὖν ὀψὲ καὶ παρ' ἑτέρων ἔμελλε πυνθάνεσθαι τὸν ἐν Σικελίᾳ πόλεμον. Δίωνι δὲ πορευομένῳ Καμαριναῖοί τε προσέθεντο καὶ τῶν κατ' ἀγροὺς Συρακουσίων ἀνισταμένων ἐπέῤῥει πλῆθος οὐκ ὀλίγον. Οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάττοντες Λεοντῖνοι καὶ Καμπανοί, λόγον ψευδῆ
970 προσπέμψαντος εἰς αὐτοὺς τοῦ Δίωνος ὡς ἐπὶ τὰς πό- a
λεις πρῶτον τρέποιτο τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην τοῖς οἰκείοις βοηθήσοντες. (2) Ὡς δ' ἀπηγγέλη ταῦτα πρὸς τὸν Δίωνα περὶ τὰς Μακρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἧκε ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. Ἐνταῦθα δὲ τὴν πορείαν ἐπιστήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν ἀνατέλλοντι τῷ ἡλίῳ προσευξάμενος· ἅμα δ' οἱ μάντεις παρὰ τῶν θεῶν νίκην ἔφραζον αὐτῷ. Καὶ θεασάμενοι τὸν Δίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες ἀπὸ μιᾶς ὁρμῆς ἐστεφανοῦντο πάντες. Ἦσαν δὲ πεντακισχιλίων οὐκ

XXVI Maxime animos militum confirmavit fortuita tum Dionysii peregrinatio, qui nuper adeo navibus octoginta in Italiam iverat. Itaque Dione eos hortante uti corpora diuturna navigatione afflicta Minoæ reficerent, moræ impatientes et præripere tempus cupientes, uti se ad Syracusas duceret jusserunt. Quamobrem Dio, deposito ibi quidquid armorum et sarcinarum erat supervacaneum, Synalo orato ut occasione postulante ea sibi mitteret, ad Syracusas contendit. In itinere eo primum ducenti equites Agrigentinorum, eorum qui apud Ecnomum habitant, se ei adjunxerunt, secundum eos Geloi. (2) Fama autem rei celeriter Syracusas allata, Timocrates qui Dionis uxorem [tyranni sororem] habebat, princeps hujus in urbe relictorum amicorum, illico nuntium emittit Dionysio literas ferentem, quibus eum de adventu Dionis doceret. Ipse interim urbanis motibus atque tumultibus intentus erat, quum omnium sublati animi incredulitate tantum adhuc et metu continerentur. (3) Tabellario autem isti admirabilis casus evenit. Quum enim jam in Italiam trajecisset atque per agrum Rheginum in Cauloniam ad Dionysium pergeret, occurrit ei quidam familiaris, hostiam recens cæsam portans; ab eo sumpta hostiæ parte, quum iter acceleraret, ac noctis etiam parte ambulando confecta, præ lassitudine cogeretur paulisper dormire, sicut erat, in silva quadam secus viam decubuit. At lupus ad odorem accurrens carnes manticæ alligatas atque una manticam ipsam (in ea autem continebantur literæ) abstulit. Is homo, ut expergefactus damnum sensit, diu multumque frustra quæsita passim oberrando et persequendo mantica, statuit absque literis ad tyrannum non adire, sed aliquo aufugere.

XXVII. Ita factum est ut sero et ex aliis Dionysius de bello in Sicilia excitato cognosceret. Dioni autem proficiscenti Camarinæi se adjunxere atque in agro habitantium Syracusanorum multitudo haud exigua se ad eum aggregavit. Leontini autem et Campani, qui in custodiendis Epipolis Timocrati aderant, quum ad eos falsum nuntium Dio misisset, se in ipsorum prius urbes impetum facturum, relicto Timocrate, domum ad auxilium suis ferendum abierunt. (2) Quæ quum essent Dione apud Macras castra metato annuntiata, de nocte exercitum abduxit et ad Anapum amnem decem ab urbe stadia distantem pervenit. Ibi inhibita profectione apud fluvium sacris operatus est, Solem tum orientem comprecatus; simul et vates victoriam divinitus dari promiserunt. Et milites Dionem sacrorum causa coronatum videntes universi unanimi studio serta sibi sumpserunt. Erant autem haud pauciores quinque millibus,

ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν· ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος ἀνεπλήρουν τῇ προθυμίᾳ [b] τὴν τῆς παρασκευῆς ἔνδειαν, ὥστε κινήσαντος τοῦ Δίωνος δρόμῳ χωρεῖν μετὰ χαρᾶς καὶ βοῆς ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν.

XXVIII. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων οἱ μὲν γνώριμοι καὶ χαρίεντες ἐσθῆτα καθαρὰν ἔχοντες ἀπήντων ἐπὶ τὰς πύλας, οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγίδας, ἀνθρώπους ἀνοσίους καὶ θεοῖς ἐχθρούς, οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις πολυπραγμονοῦντες καὶ διαγγέλλοντες τῷ τυράννῳ τάς τε διανοίας καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶ- [c] τοι δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων ἀποτυμπανιζόμενοι. (2) Τιμοκράτης δὲ συμμῖξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δυνηθεὶς ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς, ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος, ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. (3) Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος ἤδη καταφανὴς ἦν πρῶτος αὐτὸς ὡπλισμένος λαμπρῶς καὶ παρ' αὐτὸν ἔνθεν μὲν ὁ ἀδελφὸς Μεγακλῆς, ἔνθεν δὲ Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. Τῶν δὲ ξένων ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα, τοὺς δ' ἄλλους ἦγον [d] οἱ λοχαγοὶ διακεκοσμημένους, θεωμένων τῶν Συρακουσίων καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν ἐλευθερίας καὶ δημοκρατίας δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν.

XXIX. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Δίων κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος ἐλευθεροῦσι Συρακουσίους καὶ τοὺς ἄλλους Σικελιώτας ἀπὸ τοῦ τυράννου. Βουλόμενος δὲ καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν τῶν Συρακουσίων ἱερεῖα καὶ τραπέζας καὶ κρατῆρας ἱστάντων καὶ καθ' οὓς γένοιτο προχύταις τε βαλλόντων καὶ προσ- [e] τρεπομένων ὥσπερ θεὸν κατευχαῖς. (2) Ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν καὶ τὰ Πεντάπυλα, Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. Ἐπὶ τοῦτο προσβὰς ἐδημηγόρησε καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. Οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς καὶ προσείλοντο, βουλομένων καὶ δεομένων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν, ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. (3) Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει τὸ μὲν ὑπὸ πόδας λα- [f] βεῖν τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀνάθημα τοῦ τυράννου λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ἡρέθη στρατηγός, ὠῤῥώδουν μὴ τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. (4) Ἐκ τούτου τὰς μὲν Ἐπιπολὰς ἑλὼν τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε, τὴν δὲ ἀκρό- [971] πολιν ἀπετείχισεν. Ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέ- [a]

qui se in itinere adjunxerant, male ut in tumultu armati, [b] alacritate defectum apparatûs sarciente, ita quidem, ut simul atque agmen movere Dio instituisset, ipsi hilares cumque læto clamore currentes invicem ad libertatem se cohortarentur recuperandam.

XXVIII. At qui in urbe erant Syracusani, horum præcipui pura in veste ad portas Dioni occurrerunt, reliqui plerique amicos tyranni adorti sunt emissariosque ejus (quos ipsi Prosagogidas nominabant), homines sceleratos ac diis ipsis invisos, qui permixti civibus obambulare ac singulorum sensus vocesque explorare, et ad tyrannum deferre [c] consuevissent. Atque hi primi omnium pœnas dederunt, a proximo quoque fustibus ad mortem cæsi. (2) Ceterum Timocrates, quum intra præsidium arcis venire nequisset, arrepto equo ex urbe profugit, inque fuga metu omnia ac tumultu complevit, inflatius Dionis res prædicans, ne videretur levi proposito metu urbem amisisse. (3) Jam et Dio conspiciebatur subire urbi, primus omnium magnifice armatus incedens, latera ejus Megacle fratre et Callippo Atheniensi coronatis cingentibus. De peregrinis militibus centum præsidii causa Dionem comitabantur, reliquos com- [d] posito agmine centuriones ducebant, spectantibus Syracusanis et excipientibus hanc quasi sacram pompam libertatis et populi in republica dominationis, quadraginta et octo annis postquam sublata esset revertentis.

XXIX. Ut ad Menitida portam pervenit Dio, tuba sedato tumultu, præconem edicere jussit, Dionem et Megaclem advenisse tyrannidis destruendæ causa, itaque eos Syracusanos et reliquos Siculos ab ipsa liberare. Porro sua etiam voce cupiens eos alloqui, per Achradinam ascendit, ab utraque parte viæ victimis, mensis et crateribus collocatis a Syracusanis, qui in eum qua iret flores frugesque conjicie- [e] bant et tanquam deum votis appellabant. (2) Erat infra arcem et Pentapyla quæ dicuntur solarium illustre et editum, a Dionysio constructum. Quo conscenso, orationem ad populum habuit, qua cives ad studium libertatis excitaret. Atque illi læti amice eum compellatum cum fratre imperatores, in quorum potestate omnia essent, constituere, iisque ita volentibus atque postulantibus viginti collegas adjunxere, quorum decem erant de iis qui cum Dione ab exsilio redibant. (3) Hariolis vero rursus bonum esse signum vide- [f] batur, quod concionans Dio tyranni magnificum opus atque donum sub pedibus habuisset; quod autem solarium esset id in quo stans esset imperator electus, metuebant ne id celerem fortunæ mutationem portenderet. (4) Dio secundum hæc, captis Epipolis, in vinculis detentos ibi cives liberavit, et arcem ducto muro ab urbe dejunxit. Septima die in ar- [a] cem navibus advectus est Dionysius, Dionique arma quæ

πλευσεν εἰς τὴν ἀκρόπολιν καὶ Δίωνι προσῆγον ἅμαξαί τὰς πανοπλίας, ἃς Συνάλῳ κατέλιπε. Ταύτας διένειμε τοῖς πολίταις, τῶν δ' ἄλλων ἕκαστος ἑαυτὸν, ὡς δυνατὸν ἦν, ἐκόσμει καὶ παρεῖχεν ὁπλίτην πρόθυμον.

XXX. Διονύσιος δὲ πρῶτον ἰδίᾳ πρὸς Δίωνα πρέσβεις ἔπεμπεν ἀποπειρώμενος· ἔπειτα κελεύσαντος ἐκείνου διαλέγεσθαι κοινῇ Συρακουσίοις ὡς ἐλευθέροις οὖσιν, ἐγένοντο λόγοι διὰ τῶν πρέσβεων παρὰ τοῦ τυράννου φιλάνθρωποι, φόρων ὑπισχνουμένου μετριότητα καὶ ῥᾳστώνην στρατειῶν, ὧν ἂν αὐτοὶ σύμψηφοι γένωνται. Ταῦτα ἐχλεύαζον οἱ Συρακούσιοι. Δίων δ' ἀπεκρίνατο b τοῖς πρέσβεσι μὴ διαλέγεσθαι πρὸς αὐτοὺς Διονύσιον, εἰ μὴ τὴν ἀρχὴν ἀφίησιν· ἀφιέντι δὲ συμπράξειν ἄδειαν αὐτὸς κἂν ἄλλο τι τῶν μετρίων δύνηται, μεμνημένος τῆς οἰκειότητος. (2) Ταῦτα Διονύσιος ἐπῄνει καὶ πάλιν ἔπεμπε πρέσβεις, κελεύων ἥκειν τινὰς εἰς τὴν ἀκρόπολιν τῶν Συρακουσίων, οἷς τὰ μὲν πείθων τὰ δὲ πειθόμενος διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. Ἐπέμφθησαν οὖν ἄνδρες πρὸς αὐτὸν, οὓς Δίων ἐδοκίμασε. Καὶ λόγος πολὺς ἐκ τῆς ἄκρας εἰς τοὺς Συρακουσίους κατῄει, Διονύσιον ἀφήσειν τὴν τυραννίδα, καὶ μᾶλλον ἑαυτοῦ ποιήσασθαι χάριν ἢ Δίωνος. Ἦν δὲ δόλος ἡ προσποίησις αὕτη τοῦ τυράννου καὶ σκευωρία κατὰ τῶν Συρακουσίων. Τοὺς μὲν γὰρ ἐλθόντας πρὸς αὐτὸν ἐκ c πόλεως συγκλείσας εἶχε, τοὺς δὲ μισθοφόρους πρὸς ὄρθρον ἐμπλήσας ἀκράτου δρόμῳ πρὸς τὸ περιτείχισμα τῶν Συρακουσίων ἀφῆκε· γενομένης δὲ τῆς προσβολῆς ἀνελπίστου καὶ τῶν βαρβάρων θράσει πολλῷ καὶ θορύβῳ καθαιρούντων τὸ διατείχισμα καὶ τοῖς Συρακουσίοις ἐπιφερομένων, οὐδεὶς ἐτόλμα μένων ἀμύνεσθαι, πλὴν τῶν ξένων τῶν Δίωνος, οἳ πρῶτον αἰσθόμενοι τὸν θόρυβον ἐξεβοήθησαν. (3) Οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν τρόπον συνεφρόνουν οὐδ' εἰσήκουον ὑπὸ κραυγῆς καὶ πλάνης τῶν φευγόντων Συρακουσίων ἀναπεφυρμένων αὐτοῖς καὶ διεκθεόντων, πρίν γε δὴ Δίων, ἐπεὶ λέγοντος d οὐδεὶς κατήκουεν, ἔργῳ τὸ πρακτέον ὑφηγήσασθαι βουλόμενος ἐμβάλλει πρῶτος εἰς τοὺς βαρβάρους. Καὶ γίνεται περὶ αὐτὸν ὀξεῖα καὶ δεινὴ μάχη, γινωσκόμενον οὐχ ἧττον ὑπὸ τῶν πολεμίων ἢ τῶν φίλων· ὥρμησαν γὰρ ἅμα πάντες ἐμβοήσαντες. (4) Ὁ δ' ἦν μὲν ἤδη βαρύτερος δι' ἡλικίαν ἢ κατὰ τοιούτους ἀγῶνας, ἀλκῇ δὲ καὶ θυμῷ προσφερομένους ὑφιστάμενος καὶ ἀνακόπτων τιτρώσκεται λόγχῃ τὴν χεῖρα, πρὸς δὲ τὰ ἄλλα βέλη καὶ τὰς ἐκ χειρὸς πληγὰς μόλις ὁ θώραξ ἤρκεσε διὰ τῆς ἀσπίδος δόρασι πολλοῖς καὶ λόγχαις τυπτόμενος· ὧν κατακλασθέντων, κατέπεσεν ὁ Δίων. Εἶτα ἀναρπασθεὶς e ὑπὸ τῶν στρατιωτῶν ἐκείνοις μὲν ἡγεμόνα Τιμωνίδην ἐπέστησεν, αὐτὸς δὲ τὴν πόλιν ἵππῳ περιελαύνων τούς τε Συρακουσίους ἔπαυε φυγῆς καὶ τῶν ξένων τοὺς φυλάττοντας τὴν Ἀχραδινὴν ἀναστήσας ἐπῆγε τοῖς βαρβάροις ἀκμῆτας ἐκπεπονημένοις καὶ προθύμους ἀπαυδῶσιν ἤδη πρὸς τὴν πεῖραν. Ἐλπίσαντες γὰρ ἅμα τῇ πρώτῃ ῥύμῃ τὴν πόλιν ἅπασαν ἐξ ἐπιδρομῆς καθέξειν, εἶτα παρὰ δόξαν ἐντυγχάνοντες ἀνδράσι πλήκταις καὶ

apud Synalum deposuerat, plaustris allata, quæ inter cives distribuit, ceterorum pro se quoque arma sibi quantum ejus posset parante, operamque suam ei militiæ alacrem navante.

XXX. Dionysius autem initio privatim ad Dionem legatos mittere, animumque ejus sollicitare; post eo jubente, ut publice cum Syracusanis, quippe liberis, colloqueretur, per legatos benigne populum compellare, tributorum et militiæ onera levaturum se ipsorum consensu polliceri. Sed hæc Syracusani ridebant. Dio legatis respondit, nisi deposita tyrannide, non esse cur Dionysius cum civibus verba commutet; ea deposita, se memorem propinquitatis ei impunitatem et si quid posset præterea subministraturum esse. (2) Hæc Dionysius laudare, aliis missis legatis petere ut quidam de Syracusanis in arcem ad se mitterentur, quibuscum de communi utilitate ageret, partim persuaderet iis, partim persuaderi sibi pateretur. Missi sunt quos Dio ad id destinavit; multusque ex arce in urbem deferebatur rumor, Dionysium tyrannide abiturum, idque magis sui quam Dionis causa facturum esse. Verum hæc dolosa modo erat tyranni simulatio et fraudulenta in Syracusanos machinatio. Nam et missos ad se ex urbe inclusos detinuit, et sub auroram mero impletos milites mercenarios ad dejiciendum murum, qui ab urbe arcem intercludebat, emisit. Hi quum de improviso impetum fecissent, magnaque audacia et ingenti tumultu murum revellerent, inque Syracusanos irruerent: nemo eorum persistere murumve ausus est defendere, præter Dionis milites peregrinos. (3) Qui quum tumultuari sensissent, accurrunt, sed præ clamore ac trepidatione Syracusanorum discurrentium a fuga seque iis permiscentium neque videre quemadmodum succurrendum esset neque exaudire ducis mandata poterant. Ibi Dio, ut, quando verbis non licebat, facto suis quid fieri vellet demonstraret, primus omnium in barbaros irrupit, pugnamque circa se acrem concivit, cognitus non a sociis modo, sed et ab hostibus magno cum clamore passim incurrentibus. (4) Erat tum major Dionis ætas, quam ut certaminibus hujusmodi par esset, virtute tamen et animo impetum hostium sustinens atque defendens, lancea in manu sauciatur. Adversus cetera tela et ictus cominus illatos ægre restitit thorax ejus, crebris jaculis et hastis per scutum percussus, quibus inflexis, corruit Dion. Statim autem a militibus suis abreptus, iis Timoniden ducem præficit, ipse equo per urbem citato vectus Syracusanorum fugam inhibet. militesque mercenarios suos ab Achradina, quam custodiebant, adducit integros contra defatigatum hostem, et alacres contra desperantem jam de re tentata. Quippe quum se primo incursu et impetu totam urbem subacturos sperassent, præter opinionem suam in homines pugnaces ac

μαχίμοις, ἀνεστέλλοντο πρὸς τὴν ἀκρόπολιν. Ἔτι δὲ f μᾶλλον, ὡς ἐνέδωκαν, ἐπικειμένων τῶν Ἑλλήνων, τραπόμενοι κατεκλείσθησαν εἰς τὸ τεῖχος, ἑβδομήκοντα μὲν καὶ τέσσαρας ἀποκτείναντες τῶν μετὰ Δίωνος, ἑαυτῶν δὲ πολλοὺς ἀποβαλόντες.

XXXI. Γενομένης δὲ λαμπρᾶς τῆς νίκης, οἱ μὲν Συρακούσιοι τοὺς ξένους ἑκατὸν μναῖς ἐστεφάνωσαν, οἱ
972 δὲ ξένοι Δίωνα χρυσῷ στεφάνῳ. Κήρυκες δὲ παρὰ τοῦ a Διονυσίου κατέβαινον ἐπιστολὰς πρὸς Δίωνα παρὰ τῶν οἰκείων γυναικῶν κομίζοντες. Μία δ' ἦν ἔξωθεν ἐπιγεγραμμένη « Τῷ πατρὶ παρ' Ἱππαρίνου· » τοῦτο γὰρ ἦν ὄνομα τῷ Δίωνος υἱῷ. Καίτοι φησὶ Τίμαιος Ἀρεταῖον αὐτὸν ἀπὸ τῆς μητρὸς Ἀρέτης καλεῖσθαι. Τιμωνίδῃ δὲ μᾶλλον, ὡς οἴομαι, περί γε τούτων πιστευτέον, ἀνδρὶ φίλῳ καὶ συστρατιώτῃ Δίωνος. (2) Αἱ μὲν οὖν ἄλλαι τοῖς Συρακουσίοις ἀνεγνώσθησαν ἐπιστολαὶ πολλὰς ἱκεσίας καὶ δεήσεις ἔχουσαι παρὰ τῶν γυναικῶν, τὴν δὲ παρὰ τοῦ παιδὸς εἶναι δοκοῦσαν οὐκ ἐώντων φανερῶς λυθῆναι βιασάμενος ὁ Δίων ἔλυσεν. Ἦν δὲ παρὰ τοῦ b Διονυσίου, τοῖς μὲν γράμμασι πρὸς τὸν Δίωνα, τοῖς δὲ πράγμασι πρὸς τοὺς Συρακουσίους διαλεγομένου· σχῆμα μὲν ἔχουσα δεήσεως καὶ δικαιολογίας, συγκειμένη δὲ πρὸς διαβολὴν τοῦ Δίωνος. Ὑπομνήσεις τε γὰρ ἦσαν, ὧν ὑπὲρ τῆς τυραννίδος ἔπραξε προθύμως, καὶ κατὰ τῶν φιλτάτων ἀπειλαὶ σωμάτων, ἀδελφῆς καὶ τέκνου καὶ γυναικός, ἐπισκήψεις τε δειναὶ μετ' ὀλοφυρμῶν καί, τὸ μάλιστα κινῆσαν αὐτόν, ἀξιοῦντος μὴ καθαιρεῖν, ἀλλὰ παραλαμβάνειν τὴν τυραννίδα μηδ' ἐλευθεροῦν μισοῦντας ἀνθρώπους καὶ μνησικακοῦντας, ἀλλ' αὐτὸν ἄρχειν c παρέχοντα τοῖς φίλοις καὶ οἰκείοις τὴν ἀσφάλειαν.

XXXII. Ἀναγινωσκομένων δὲ τούτων οὐχ, ὅπερ ἦν δίκαιον, εἰσῄει τοὺς Συρακουσίους ἐκπλήττεσθαι τὴν ἀπάθειαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Δίωνος ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀπισχυριζομένου πρὸς τοιαύτας οἰκειότητας, ἀλλ' ὑποψίας καὶ φόβου λαβόντες ἀρχήν, ὡς μεγάλης οὔσης ἀνάγκης ἐκείνῳ φείδεσθαι τοῦ τυράννου, πρὸς ἑτέρους ἤδη προστάτας ἀπέβλεπον· καὶ μάλιστα πυνθανόμενοι καταπλεῖν Ἡρακλείδην ἀνεπτοήθησαν. (2) Ἦν δὲ τῶν φυγάδων Ἡρακλείδης, στρατηγικὸς μὲν ἄνθρωπος καὶ γνώριμος ἀφ' ἡγεμονίας, ἣν ἔσχε παρὰ d τοῖς τυράννοις, οὐκ ἀραρὼς δὲ τὴν γνώμην, ἀλλὰ πρὸς πάντα κοῦφος, ἥκιστα δὲ βέβαιος ἐν κοινωνίᾳ πραγμάτων ἀρχὴν ἐχόντων καὶ δόξαν. Οὗτος ἐν Πελοποννήσῳ πρὸς Δίωνα στασιάσας ἔγνω καθ' αὑτὸν ἰδιόστολος πλεῖν ἐπὶ τὸν τύραννον, εἴς τε Συρακούσας ἀφικόμενος ἑπτὰ τριήρεσι καὶ τρισὶ πλοίοις Διονύσιον μὲν αὖθις εὗρε περιτετειχισμένον, ἐπηρμένους δὲ τοὺς Συρακουσίους. Εὐθὺς οὖν ὑπεδύετο τὴν τῶν πολλῶν χάριν, ἔχων μέν τι καὶ φύσει πιθανὸν καὶ κινητικὸν ὄχλου θεραπεύεσθαι ζητοῦντος, ὑπολαμβάνων δὲ καὶ μετάγων ῥᾷον αὐτούς, οἳ τὸ σεμνὸν τοῦ Δίωνος ὡς βαρὺ καὶ δυσπολίτευτον ἀπεστρέφοντο διὰ τὴν γεγενημένην ἐκ τοῦ κρατεῖν ἄνε- e σιν καὶ θρασύτητα πρὸ τοῦ δῆμος εἶναι τὸ δημαγωγεῖσθαι θέλοντες.

strenuos incidentes, ad arcem se recipere coacti et Græcis, postquam semel referre pedem cœperunt, acrius instantibus, protinus intra muros compulsi sunt, quum septuaginta quattuor de Dionis exercitu necassent, suorum autem magnum numerum amisissent.

XXXI. Hac tam splendida parta victoria, Syracusani militibus peregrinis præmii loco centum minas donaverunt, atque hi Dioni coronam auream. A Dionysio autem præcones missi sunt, literas ad Dionem a mulieribus ejus propinquis ferentes, unamque simul epistolam, quæ foris inscriptionem habebat: Patri ab Hipparino; id enim nomen Dionis filio erat, quamvis Timæus ab Areta matre Aretæum dictum tradat; sed arbitror in hac quidem re Timonidæ, amico et commilitoni Dionis, potius credendum. (2) Reliquæ omnes Syracusanis lectæ multas mulierum deprecationes et supplicationes continebant, eam autem, quæ a filio scripta ferebatur, quum publice solvi non permitterent cives, invitis eis aperuit Dio. Erat autem scripta a Dionysio, verbis cum Dione, re cum Syracusanis colloquente, ac sub specie deprecationis et excusationis, calumnias contra Dionem continebat. In memoriam Dioni revocabat, quam is multa studiose tyrannidis constituendæ gratia egisset, minabatur se gravissima in pignora carissima, in sororem, uxorem, et filium ejus statuturum, obtestationes graves et miserabiles non sine lamentatione proferebat, et quod maxime eum movebat, orabat eum, ne evertere, sed ipse accipere tyrannidem, neque infensos et injuriarum memores homines liberare, sed ipse imperium tenere, suisque tuta omnia et secura præstare vellet.

XXXII. His recitatis literis, non id, quod æquum erat, Syracusanis subiit, nempe ut Dionis, qui contra tantas necessitudines animum honestatis causa obfirmasset, constantiam fortitudinemque admirarentur, sed metus et suspicionis oborto initio, quasi summa necessitate ad parcendum tyranno impelleretur Dio, alios jam circumspicere duces cœperunt; præcipue autem animi eorum sublati sunt, quum Syracusas navigare Heraclidem audiverunt. (2) Erat is Heraclides unus de exsulibus rei militaris peritus atque ex præfectura qua sub tyrannis functus erat, celebris, sed homo animo non satis constans, nimiumque levis ac minime fidus in communitate rerum quibus gloria et principatus adesset. Isque, quum in Peloponneso ei cum Dione dissidium intercessisset, statuerat propria classe contra tyrannum navigare, ac tum septem triremibus, lembis tribus Syracusas advectus, quum Dionysium in obsidione haberi, Syracusanos erexisse animos inveniret, statim se captando multitudinis favori dedit; quam ad rem natura ei gratiam quandam indiderat, qua multitudinem, quæ sibi inserviri cupit, demereretur. Nactus autem tunc tales, qui Dionis gravitatem quasi molestam et intractabilem aspernarentur, et ob victoriam partam securi atque ferocientes libertatis nondum compotes, assentationis cupidi essent, facile traxit sibique conciliavit.

XXXIII. Καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν ἀφ' αὑτῶν συνδραμόντες εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. Ἐπεὶ δὲ Δίων παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ δεδομένης· οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν· ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. (2) Γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως ὑπὲρ δόξης στασιάζοντα πρὸς αὐτὸν ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώλειαν, [f] αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν ναύαρχον ἀπέδειξε τὸν Ἡρακλείδην καὶ τοῦ σώματος ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. (3) Ὁ δὲ τῷ μὲν λόγῳ καὶ τῷ σχήματι τὸν Δίωνα θεραπεύων καὶ [973] χάριν ὁμολογῶν ἔχειν παρηκολούθει ταπεινὸς ὑπηρετῶν [a] τὸ κελευόμενον, κρύφα δὲ τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων καὶ ὑποκινῶν θορύβοις, τὸν Δίωνα περιέβαλλεν εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. Εἴτε γὰρ ἀφιέναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε φείδεσθαι καὶ περισώζειν ἐκεῖνον, εἴτε λυπεῖν μὴ βουλόμενος ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον, ὡς μᾶλλον ἄρχοι καὶ καταπλήττοιτο τοὺς πολίτας.

XXXIV. Ἦν δέ τις Σῶσις, ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγούμενος ἐλευθερίας τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παῤῥησίαν. Οὗτος ἐπιβουλεύων Δίωνι πρῶτον [b] μὲν ἐκκλησίας οὔσης ἀναστὰς πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν· ἔπειτα φανερὸν τοῦ Δίωνος ἐχθρὸν ἐπιδείξας ἑαυτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθε, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη διὰ τῆς πόλεως θέων ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας. Ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην· καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας καὶ συνισταμένους κατὰ τοῦ Δίωνος, [c] ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος, εἰ φόνοις καὶ κινδύνοις τῶν πολιτῶν ἀφαιρεῖται τὴν παῤῥησίαν. (2) Οὐ μὴν ἀλλὰ, καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα καὶ δι' ἐκείνου πεπεισμένον στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας καὶ διαφορᾶς πρὸς αὐτούς. (3) Ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον ἢ καταφορᾶς γεγενημένον. [d] Αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ μάλιστα τὸ μέσον ὑπὸ βάρους πιέζουσι, τὸ δὲ τοῦ Σώσιδος λεπτὸν ἦν διόλου καὶ πολλὰς εἶχεν ἀρχὰς, ὡς εἰκὸς, ὑπ' ἀλγηδόνος ἀνιέντος, εἶτ' αὖθις ἐπάγοντος. (4) Ἧκον δέ τινες τῶν γνωρίμων ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν καὶ διηγούμενοι βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν

XXXIII. Primo injussu in concionem confluentes, Heracliden navalibus copiis præfecerunt. Deinde quum Dio intervenisset istamque electionem reprehenderet, qua sibi prius delatum merum imperium mutilaretur (non enim omnia se in sua manu habiturum, si alius classi præesset), inviti quidem rursus Heraclidæ provinciam abrogarunt. (2) His actis, Dio eum domum ad se vocavit, modesteque culpatum, quod secum contra quam honestum aut utile esset, contentionem de gloria instituisset eo tempore, quo levi momento pernicies accidere posset, advocato deinde ad concionem populo, ipse classi præfecit, jussitque ei a civibus, ut et sibi data erat, custodiam corporis dari. (3) At Heraclides, quum verbis et gestu Dionem coleret eique gratias ageret et humilis sequeretur, imperataque faceret, occulte vulgus hominum et eos qui novis rebus studebant corrumpebat atque concitabat, Dionemque tumultibus vexans in summas conjiciebat difficultates. Nam sive dimittendum ex arce tyrannum fide data et accepta jubebat Dio, criminabatur eum hosti parcere; sive, ne molestus esset populo, otiose in obsidione perseverabat, trahere bellum ferebatur, quo diutius cum imperio et terrori civibus esset.

XXXIV. Erat tum quidam Sosis homo malitia et temeritate celebris apud Syracusanos, qui abundare se libertate ita demum putaret, si ad malitiosam temeritatem licentia laxaretur. Is Dioni insidias struens, primum in concione surgens multa Syracusanis convicia fecit qui non sentiant se stolido et ebrioso liberatos tyranno, vigili et sobrio domino servire; denique ita tum foro abiit, ut se palam inimicum Dionis ferret. Postridie ejus diei nudus per urbem currere visus est, quasi insequentes quosdam fugiens, caput et faciem sanguine oppletus, eoque habitu quum se in forum proripuisset, sibi a mercenariis militibus Dionis factas insidias dixit, caputque cruentum ostentavit. Multos nactus est indignantes et contra Dionem coeuntes, inique scilicet et tyrannice libertatem civium cædibus et insidiis opprimentem. (2) Verumtamen Dio, quamvis confusa esset et turbulenta concio, progressus sese purgavit populo, Sosin docens fratrem esse unius Dionysii stipatorum, atque ab eo submissum ut seditionibus urbem conturbaret, quod tyrannis nullam spem salutis nisi in ipsorum dissidio inter se ac mutua diffidentia haberet. (3) Simul et medici, Sosidis vulnere inspecto, deprehenderunt superficiem tantum capitis leviter laniatam, non ictu plagam illatam. Quippe gladiis facta vulnera, semper medium pondere premunt, at Sosidis leve erat prorsus et multa habebat initia, ut appareret eum, quum indoluisset, sectionem omisisse, mox eam repetiisse. (4) Simul et notæ quidem fidei homines in concionem venerunt, novaculam apportantes narrantesque in itinere sibi Sosin obviam factum, sanguine perfusum, et di-

Σῶσιν ᾑμαγμένον καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος· εὐθὺς οὖν διώκοντες ἄνθρωπον μὲν οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχό- e μενος.

XXXV. Ἦν μὲν οὖν ἤδη μοχθηρὰ τὰ περὶ τὸν Σῶσιν· προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις οἰκετῶν καταμαρτυρούντων, ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸ ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. (2) Τοὺς δὲ μισθοφόρους οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γινομένων κατὰ θάλατταν, ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις Διονυσίῳ βοηθήσων, καὶ τῶν ξένων ὄντων ὁπλιτῶν οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον, ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυβάταις οὖσι f καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. Ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον, ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. (3) Ἔφορος μὲν οὖν φησιν, ὡς
974 ἁλισκομένης τῆς νεὼς ἑαυτὸν ἀνέλοι, Τιμωνίδης δὲ a πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης, τὸν Φίλιστον· καὶ πρῶτον μὲν ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα προπηλακίζειν ὄντος ἤδη γέροντος· ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχραδινῆς καὶ καταβαλεῖν εἰς τὰς Λατομίας. (4) Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ Τίμαιος ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ τὰ παιδάρια τὸ νεκρὸν ἐφαψάμενα τοῦ Φιλί- b στου σύρειν διὰ τῆς πόλεως χλευαζόμενον ὑπὸ τῶν Συρακουσίων πάντων, ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα μὴ δεῖν ἐκ τυραννίδος φεύγειν Διονύσιον ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. Καίτοι τοῦτο Φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑφ' αὑτοῦ, πρὸς Διονύσιον ἐξήγγελκεν.

XXXVI. Ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν, ᾧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι, τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα καὶ τῷ μὲν βίῳ μὴ c λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφορὰς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. (2) Οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων, ὃς, καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβαλεῖν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώ-

xisse, fugere se Dionis milites, a quibus recens esset vulneratus; ipsos statim vestigia ejus persecutos, in hominem quidem neminem incidisse, sed quo ex loco ad se accessisse eum vidissent, ibi se novaculam istam subter cavo lapide repositam conspexisse.

XXXV. Labascere tum statim Sosidis causa cœpit; quum autem indicia huc accessissent, servis testimonium in quæstione perhibentibus, solum eum noctu cum novacula domo exiisse, accusatores Dionis recesserunt et populus addicto morti Soside cum illo in gratiam rediit. (2) Nihilominus tamen sinistre de mercenariis militibus suspicabantur, maxime quum pleræque adversus tyrannum pugnæ jam mari fierent, ubi Philistus ex Iapygia cum multis triremibus Dionysio suppetias venit; itaque Syracusani istos Dionis milites, quippe pedites, nulli usui ad bellum porro esse putabant, sed se quippe nauticos et re navali potentiam consecutos, imperium in illos quoque obtinere. Auxit eorum fastum prospera navalis pugnæ fortuna, qua Philistum superatum crudeliter et barbarice tractaverunt. (3) Ephorus sane refert eum capta navi mortem sibi ipsum conscivisse, at Timonides, qui istis rebus quum a Dione gererentur ab initio interfuit, ad Speusippum philosophum scribens, narrat Philistum triremi in terram ejecta vivum in potestatem hostium pervenisse, tum Syracusanos primum thorace eum vestibusque spoliasse, nudumque hominis jam senis corpus contumeliose vexasse, deinde caput ei præcidisse, corpus pueris tradidisse, mandato ut id Achradinam tractum in Latomias dejicerent. (4) Timæus vero augendæ contumeliæ causa addit, pueros ex crure, quod claudum habuerat Philistus, cadaver deligatum per civitatem raptasse, subsannantibus Syracusanis omnibus, quum viderent crure trahi eum, qui dixerat Dionysio, non esse ei celeri equo ex tyrannide aufugiendum, sed pede inde extrahi se sinere debere. Et quidem Philistus non a se, verum ab alio id ad Dionysium dictum fuisse prodidit.

XXXVI. Sed Timæus Philisti in tyrannos studium atque fidem, occasionem sane reprehendendi non injustam, arripiens, ad satietatem usque conviciis hominem proscindit. Sane qui tum ab eo vivente injuria affecti fuissent, iis ignosci poterat, quod iræ suæ etiam in sensu jam cassum indulgerent, eos autem, qui posteriores tempore historias scripserunt, nihil ejus factis læsi, oratione autem etiam adjutos, existimatio ejus dehortari debuit, ne contumeliose aut scurriliter calamitates eis exprobrarent, quibus quominus injuriâ fortunæ etiam optimus quisque vir feriatur, nihil obstat. (2) Neque vero sanus Ephorus, qui Philistum prædicans, quamvis fuerit callidissimus malos mores et injusta facta honestis in speciem præscriptionibus tegere verbaque in eam rem facere admodum decora, id tamen omni conatu atque opera crimen a se ipso diluere non potuit, quin

πων γένοιτο καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλούτους καὶ γάμους d τοὺς τῶν τυράννων. Ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν μήτε τὰς τύχας ὀνειδίζων ἐμμελέστατος.

XXXVII. Μετὰ δὲ τὴν Φιλίστου τελευτὴν Διονύσιος ἔπεμπε πρὸς Δίωνα, τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδιδοὺς καὶ τὰ ὅπλα καὶ τοὺς μισθοφόρους καὶ πέντε μηνῶν ἐντελῆ τούτοις μισθόν, αὐτὸς δ' ἀξιῶν ὑπόσπονδος εἰς Ἰταλίαν ἀπελθεῖν κἀκεῖ κατοικῶν καρποῦσθαι τῆς Συρακουσίας τὸν καλούμενον Γύατα, πολλὴν καὶ ἀγαθὴν χώραν ἀνήκουσαν ἀπὸ θαλάττης εἰς τὴν μεσόγειον. (2) Οὐ προσδεξαμένου δὲ τοῦ Δίωνος, ἀλλὰ δεῖσθαι τῶν Συρακουσίων κελεύσαντος, οἱ μὲν Συρακούσιοι ζῶντα λή- e ψεσθαι τὸν Διονύσιον ἐλπίσαντες ἀπήλασαν τοὺς πρέσβεις, ἐκεῖνος δὲ τὴν μὲν ἄκραν Ἀπολλοκράτει, τῷ πρεσβυτέρῳ τῶν παίδων, παρέδωκεν, αὐτὸς δὲ πνεῦμα τηρήσας ἐπίφορον καὶ τὰ τιμιώτατα τῶν σωμάτων καὶ τῶν χρημάτων ἐνθέμενος εἰς τὰς ναῦς, λαθὼν τὸν ναύαρχον Ἡρακλείδην ἐξέπλευσεν. Ὁ δὲ κακῶς ἀκούων καὶ θορυβούμενος ὑπὸ τῶν πολιτῶν, Ἵππωνά τινα τῶν δημαγωγῶν καθίησι προκαλεῖσθαι τὸν δῆμον ἐπὶ γῆς ἀναδασμόν, ὡς ἐλευθερίας ἀρχὴν οὖσαν τὴν ἰσότητα, δουλείας δὲ τὴν πενίαν τοῖς ἀκτήμοσι. (3) Συνηγορῶν f δὲ τούτῳ καὶ τὸν Δίωνα καταστασιάζων ἐναντιούμενον, ἔπεισε τοὺς Συρακουσίους ταῦτα ψηφίσασθαι καὶ τῶν ξένων τὸν μισθὸν ἀποστερεῖν καὶ στρατηγοὺς ἑτέρους ἑλέσθαι τῆς ἐκείνου βαρύτητος ἀπαλλαγέντας. Οἱ δ' ὥσπερ ἐκ μακρᾶς ἀῤῥωστίας τῆς τυραννίδος εὐθὺς ἐπιχειροῦντες ἐξανίστασθαι καὶ πράττειν τὰ τῶν αὐτονομουμένων 975 παρὰ καιρὸν, ἐσφάλλοντο μὲν αὐτοὶ ταῖς a πράξεσιν, ἐμίσουν δὲ τὸν Δίωνα βουλόμενον ὥσπερ ἰατρὸν ἐν ἀκριβεῖ καὶ σωφρονούσῃ διαίτῃ κατασχεῖν τὴν πόλιν.

XXXVIII. Ἐκκλησιάζουσι δ' αὐτοῖς ἐπὶ νέαις ἀρχαῖς θέρους μεσοῦντος ἐξαίσιοι βρονταὶ καὶ διοσημίαι πονηραὶ συνέβαινον ἐφ' ἡμέρας δεκαπέντε συνεχῶς ἀνιστᾶσαι τὸν δῆμον ὑπὸ δεισιδαιμονίας κωλυόμενον ἑτέρους ἀποδεῖξαι στρατηγούς. Ἐπεὶ δὲ φυλάξαντες εὐδίαν σταθερὰν οἱ δημαγωγοὶ συνετέλουν τὰς ἀρχαιρεσίας, βοῦς ἁμαξεὺς οὐκ ἀήθης οὐδ' ἄπειρος ὄχλων, ἄλλως δέ πως τότε πρὸς τὸν ἐλαύνοντα θυμωθεὶς καὶ φυγὼν ἀπὸ τοῦ ζυγοῦ δρόμῳ πρὸς τὸ θέατρον ὥρμησε· b καὶ τὸν μὲν δῆμον εὐθὺς ἀνέστησε καὶ διεσκέδασεν οὐδενὶ κόσμῳ φεύγοντα, τῆς δ' ἄλλης πόλεως ἐπέδραμε σκιρτῶν καὶ ταράττων ὅσον ὕστερον οἱ πολέμιοι κατέσχον. (2) Οὐ μὴν ἀλλὰ ταῦτα χαίρειν ἐάσαντες οἱ Συρακούσιοι πέντε καὶ εἴκοσι στρατηγοὺς ἐχειροτόνησαν, ὧν εἷς ἦν Ἡρακλείδης· καὶ τοὺς ξένους ὑποπέμποντες κρύφα τοῦ Δίωνος ἀφίστασαν καὶ μετεκάλουν πρὸς αὐτούς, ἐπαγγελλόμενοι καὶ τῆς πολιτείας ἰσομοιρίαν. Οἱ δὲ ταῦτα μὲν οὐ προσεδέξαντο, τὸν δὲ Δίωνα πιστῶς καὶ προθύμως μετὰ τῶν ὅπλων ἀναλαβόντες καὶ συμφράξαντες ἀπῆγον ἐκ τῆς πόλεως, ἀδικοῦντες μὲν οὐδένα, πολλὰ

homo tyrannorum studiosissimus, et qui maxime omnium luxum, potentiam, divitias nuptiasque tyrannorum suspiceret atque admiraretur, crederetur. Tutissimum est, neque laudare Philisti facta, neque fortunam ei exprobrare.

XXXVII. Mortuo Philisto, Dionysius, missis ad Dionem legatis, arcem se ei et arma et mercenarios, hisque in quinque menses integrum stipendium daturum promisit ea conditione, ut sibi data fide in Italiam abire, atque ibi degenti fructus Gyatis (quæ est agri Syracusani bona et magna pars, ab ora maritima ad mediterranea pertinens) percipere liceret. (2) Dione non accipiente conditionem, sed ut a populo hæc impetrare conaretur jubente, Syracusani vivo se Dionysio potituros sperantes, legationem repulerunt. At Dionysius, arce tradita Apollocrati seniori suorum filiorum, nactus ventum secundum, quod opum hominumque habebat carissimum in naves imposuit, et non animadvertente Heraclida, rei maritimæ præfecto, avectus est. Heraclides autem quum civium sermonibus vapularet et tumultibus vexaretur, Hipponem quendam oratorem submittit, qui ad divisionem agrorum populum vocaret, æqualitatem libertatis, egenis autem paupertatem servitutis initium esse dicens. (3) Hujus legem ipse suadens et Dionem repugnantem factione premens, non modo populo Syracusano suasit, ut hanc rogationem scisceret, sed et militibus peregrinis mercedem detrahendi, Dionisque morositatem delectis aliis ducibus effugiendi auctor fuit. Ceterum Syracusani a tyrannide veluti diuturno morbo statim cupientes assurgere, alienoque tempore libertate populari uti, non ipsi modo successus parum prosperos experti sunt, sed Dionem odio etiam habuerunt, qui veluti medicus urbem continere in accurata et sobria cuperet diæta.

XXXVIII. Comitia eis agitantibus ob deligendos novos duces, idque æstate media, tonitrua insolentia et prodigia mala per quindecim totos dies crebro ea solverunt, populo ob superstitionem prohibito a creandis magistratibus. Quum autem ii qui populum orationibus suis trahebant, constanti serenitate observata, comitia fecissent, bos quidam plaustrarius nequaquam turbæ hominum insuetus, tum forte ab agasone irritatus jugo excusso in theatrum accurrit, populoque ut promiscue fugerent excitato, saliendo atque tumultuando omnes urbis partes, quæ deinde in hostium potestatem venerunt, pervagatus est. (2) Verum his omnibus spretis, Syracusani viginti quinque duces creaverunt, atque inter hos Heraclidam; subornatis etiam clam certis hominibus stipendiarios milites ut a Dione ad se deficerent corrumpere aggressi sunt, jus civitatis eis promittentes. Sed milites optima fide atque alacritate Dionem, spretis populi pollicitationibus, armati ad se receperunt atque stipavere, et urbe educere intenderunt, vim nemini interim facientes,

δὲ τοὺς ἐντυγχάνοντας εἰς ἀχαριστίαν καὶ μοχθηρίαν c ὀνειδίζοντες. Οἱ δὲ τῆς ὀλιγότητος αὐτῶν καὶ τοῦ μὴ προεπιχειρεῖν καταφρονήσαντες καὶ γενόμενοι πολὺ πλείους ἐκείνων ἐφώρμησαν, ὡς ῥᾳδίως ἐπικρατήσοντες ἐν τῇ πόλει καὶ πάντας αὐτοῦ κατακτενοῦντες.

XXXIX. Ἐν τούτῳ δὲ γεγονὼς ἀνάγκης καὶ τύχης ὁ Δίων ἢ μάχεσθαι τοῖς πολίταις ἢ μετὰ τῶν ξένων ἀποθανεῖν, πολλὰ μὲν ἱκέτευεν ὀρέγων τὰς χεῖρας τοῖς Συρακουσίοις καὶ τὴν ἀκρόπολιν περίπλεων πολεμίων οὖσαν ὑπερφαινομένων τὰ τείχη καὶ τὰ γινόμενα καθορώντων ἐπιδεικνύμενος· ὡς δ' ἦν ἀπαραίτητος ἡ τῶν πολλῶν φορὰ καὶ κατεῖχεν ὥσπερ ἐν πελάγει τὸ τῶν δημαγωγῶν πνεῦμα τὴν πόλιν, ἐμβολῆς μὲν ἀποσχέσθαι d τοῖς ξένοις προσέταξεν, ὅσον δ' ἐπιδραμόντων μετὰ βοῆς καὶ τοῖς ὅπλοις τιναξαμένων, οὐδεὶς ἔμεινε τῶν Συρακουσίων, ἀλλ' ᾤχοντο φεύγοντες ἀνὰ τὰς ἀγυιάς, οὐδενὸς ἐπιδιώκοντος· εὐθὺς γὰρ ἀπέστρεψεν ὁ Δίων τοὺς ξένους καὶ προῆγεν εἰς Λεοντίνους. (2) Οἱ δ' ἄρχοντες τῶν Συρακουσίων καταγέλαστοι γεγονότες ὑπὸ τῶν γυναικῶν καὶ τὴν αἰσχύνην ἀναλαβεῖν ζητοῦντες αὖθις ὁπλίσαντες τοὺς πολίτας ἐδίωκον τὸν Δίωνα. Καὶ κατέλαβον μὲν ἐπὶ διαβάσει τινὸς ποταμοῦ καὶ προσίππευσαν ἀψιμαχοῦντες· ὡς δ' ἑώρων οὐκέτι πρᾴως οὐδὲ πατρικῶς e ὑπομένοντα τὰς ἁμαρτίας αὐτῶν, ἀλλὰ θυμῷ τοὺς ξένους ἐπιστρέφοντα καὶ παραταττόμενον, αἰσχίονα φυγὴν τῆς προτέρας φυγόντες ὑπεχώρησαν εἰς τὴν πόλιν, οὐ πολλῶν ἀποθανόντων.

XL. Δίωνα δὲ Λεοντῖνοι λαμπραῖς ἐδέχοντο τιμαῖς καὶ τοὺς ξένους ἀνελάμβανον μισθοῖς καὶ πολιτείαις· πρὸς δὲ τοὺς Συρακουσίους ἐπρέσβευον ἀξιοῦντες τὰ δίκαια τοῖς ξένοις ποιεῖν. Οἱ δὲ πρέσβεις ἔπεμψαν κατηγορήσοντας Δίωνος. Τῶν δὲ συμμάχων ἁπάντων εἰς Λεοντίνους ἀθροισθέντων καὶ γενομένων λόγων ἐν αὐτοῖς, ἔδοξαν ἀδικεῖν οἱ Συρακούσιοι· τοῖς δὲ κριθεῖσιν f ὑπὸ τῶν συμμάχων οὐκ ἐνέμειναν τρυφῶντες ἤδη καὶ μεγαλοφρονοῦντες ἐπὶ τῷ μηδενὸς ἀκούειν, ἀλλὰ χρῆσθαι δουλεύουσι καὶ φοβουμένοις τὸν δῆμον στρατηγοῖς.

976 XLI. Ἐκ τούτου καταπλέουσιν εἰς τὴν πόλιν παρὰ a Διονυσίου τριήρεις Νύψιον ἄγουσαι τὸν Νεαπολίτην σῖτον καὶ χρήματα κομίζοντα τοῖς πολιορκουμένοις. Γενομένης δὲ ναυμαχίας ἐνίκων μὲν οἱ Συρακούσιοι καὶ τέσσαρας τῶν τυραννικῶν νεῶν ἔλαβον, ὑβρίσαντες δὲ τῇ νίκῃ καὶ δι' ἀναρχίαν τὸ χαῖρον εἰς πότους καὶ συνουσίας μανικὰς τρέψαντες, οὕτω τῶν χρησίμων ἠμέλησαν, ὥστε τὴν ἀκρόπολιν ἔχειν δοκοῦντες ἤδη καὶ τὴν πόλιν προσαπέβαλον. (2) Ὁ γὰρ Νύψιος ὁρῶν οὐδὲν ὑγιαῖνον ἐν τῇ πόλει μέρος, ἀλλὰ τὸν μὲν ὄχλον αὐλήμασι καὶ μέθαις εἰς νύκτα βαθεῖαν ἀφ' ἡμέρας κατεχόμενον, τοὺς δὲ στρατηγοὺς ἐπιτερπομένους τε τούτῳ τῷ πανηγυρισμῷ καὶ προσάγειν ἀνάγκην μεθύουσιν ἀνθρώποις ὀκνοῦντας, ἄριστα τῷ καιρῷ χρη- b σάμενος ἐπεχείρησε τῷ τειχίσματι· καὶ κρατήσας καὶ διαθρύψας ἀφῆκε τοὺς βαρβάρους, κελεύσας χρῆσθαι τοῖς

ingratum modo animum et improbitatem obviis exprobrantes. At Syracusani ob paucitatem eos et quod non essent aggressi se priores, contemnentes, longe majore manu collecta facile opprimere ipsa in urbe, universosque ibi interficere se posse rati, adoriri eos sunt conati.

XXXIX. Hac in necessitate constitutus et fortuna Dio, ut aut cum civibus confligendum, aut cum mercenariis pereundum esset, multis verbis Syracusanos deprecatus est, manus intendens, arcemque hostium plenam desuper a muris quod ageretur spectantium, demonstrans. Ut impetum multitudinis inhiberi a se posse non vidit, sed totam urbem turbulentorum consiliariorum orationibus quasi vento incumbente mari obtineri, impressione quidem suos abstinere jussit. At ubi hi tantum cum clamore irruerunt et arma concusserunt, nemo Syracusanorum mansit, sed passim per plateas diffugerunt, insequente nemine; nam Dio statim suos revocavit et ad Leontinos contendit. (2) At Syracusanorum duces, ridiculi mulieribus facti, abolendæ ignominiæ causa rursum armatis civibus Dionem insecuti sunt, deprehensoque eo in transitu amnis, quasi prœlium conserturi adequitarunt; ubi quum cernerent eum non, ut ante, placide animove paterno injurias ipsorum ferre, sed iratum suos obvertere aciemque instruere, paucis amissis turpiore quam prius fuga in urbem se receperunt.

XL. Ceterum Dionem Leontini exceptum amplis honoribus affecerunt, milites ejus stipendio ac civitate donaverunt, legatione ad Syracusanos missa postulaverunt, uti militibus mercedem debitam solverent. Qui quum legatos accusatum Dionem misissent, essetque coram universis confœderatis apud Leontinos congregatis disceptata res, Syracusani causa ceciderunt; sententiæ tamen sociorum non steterunt, lascivientes jam et superbientes eo, quod nemini obtemperarent, sed magistratibus populum timentibus adulantibusque uterentur.

XLI. Secundum hæc triremes cum Nypsio Neapolitano Syracusas appellunt a Dionysio obsessis alimenta et pecuniam portantes. Commissaque naumachia Syracusani quum victoriam obtinuissent quattuorque tyranni naves cepissent, successu luxuriantes et, quod fit penuria ducum, ob stolidum et insanum gaudium ad pocula et insana convivia conversi, ingenti suæ utilitatis negligentia rem eo deduxerunt, ut qui tantum non potiri jam arce viderentur, urbem quoque ipsam amitterent. (2) Etenim Nypsius quum nihil sani in urbe agi, populum inter pocula et tibiæ ad cantum de die in noctem desidere, prætores quum delectari eo voluptatum studio, tum ebriis hominibus necessitatem aliquam imponere non audere intelligeret, occasione præclare ista utens, murum arci objectum aggresssus est, eoque expugnato et diffracto barbaros in urbem immisit, cum obviis civibus ita

προστυγχάνουσιν ὡς βούλονται καὶ δύνανται. (3) Ταχέως μὲν οὖν οἱ Συρακούσιοι τὸ κακὸν ᾔσθοντο, βραδέως δὲ καὶ χαλεπῶς συνεβοήθουν ἐκπεπληγμένοι. Πόρθησις γὰρ ἦν τὰ γινόμενα τῆς πόλεως, τῶν μὲν ἀνδρῶν φονευομένων, τῶν δὲ τειχῶν κατασκαπτομένων, γυναικῶν δὲ καὶ παίδων ἀγομένων εἰς τὴν ἀκρόπολιν μετ' οἰμωγῆς, ἀπεγνωκότων δὲ τὰ πράγματα τῶν στρατηγῶν καὶ χρῆσθαι μὴ δυναμένων τοῖς πολίταις πρὸς τοὺς πολεμίους ἀναπεφυρμένους καὶ συμμεμιγμένους αὐτοῖς c πανταχόθεν.

XLII. Οὕτω δὲ τῶν κατὰ τὴν πόλιν ἐχόντων καὶ τοῦ κινδύνου πρὸς τὴν Ἀχραδινὴν πλησιάζοντος, εἰς ὃν μόνον ἦν καὶ λοιπὸν ἀπερείσασθαι τὴν ἐλπίδα, πάντες μὲν ἐφρόνουν, ἔλεγε δὲ οὐδείς, αἰσχυνόμενοι τὴν ἀχαριστίαν καὶ τὴν ἀβουλίαν τὴν πρὸς Δίωνα. Πλήν γε δὴ τῆς ἀνάγκης ἐκβιαζομένης, παρὰ τῶν συμμάχων καὶ τῶν ἱππέων γίνεται φωνὴ καλεῖν Δίωνα καὶ μεταπέμπεσθαι τοὺς Πελοποννησίους ἐκ Λεοντίνων. (2) Ὡς δὲ πρῶτον ἠκούσθη καὶ ἀπετολμήθη τοῦτο, κραυγὴ καὶ χαρὰ καὶ δάκρυα τοὺς Συρακουσίους κατεῖχεν εὐχομένους ἐπιφανῆναι τὸν ἄνδρα καὶ ποθοῦντας τὴν ὄψιν αὐτοῦ καὶ μεμνημένους τῆς παρὰ τὰ δεινὰ ῥώμης καὶ προ- d θυμίας, ὡς οὐ μόνον αὐτὸς ἦν ἀνέκπληκτος, ἀλλὰ κἀκείνους παρεῖχε θαρροῦντας καὶ ἀδεῶς τοῖς πολεμίοις συμφερομένους. (3) Εὐθὺς οὖν ἐκπέμπουσι πρὸς αὐτὸν ἀπὸ μὲν τῶν συμμάχων Ἀρχωνίδην καὶ Τελεσίδην, ἀπὸ δὲ τῶν ἱππέων πέντε, ἐν οἷς τοὺς περὶ Ἑλλάνικον. Οὗτοι διελάσαντες τὴν ὁδὸν ἵπποις ἀπὸ ῥυτῆρος ἧκον εἰς Λεοντίνους τῆς ἡμέρας ἤδη καταφερομένης. Ἀποπηδήσαντες δὲ τῶν ἵππων καὶ τῷ Δίωνι πρώτῳ προσπεσόντες δεδακρυμένοι τὰς συμφορὰς τῶν Συρακουσίων ἔφραζον. Ἤδη δὲ καὶ τῶν Λεοντίνων τινὲς ἀπήντων καὶ τῶν Πελοποννησίων ἠθροίζοντο πρὸς τὸν Δίωνα e πολλοί, τῇ σπουδῇ καὶ τῇ δεήσει τῶν ἀνδρῶν ὑπονοοῦντες εἶναί τι καινότερον. (4) Εὐθὺς οὖν ἡγεῖτο πρὸς τὴν ἐκκλησίαν αὐτοῖς, καὶ συνδραμόντων προθύμως, οἱ περὶ τὸν Ἀρχωνίδην καὶ τὸν Ἑλλάνικον εἰσελθόντες ἐξήγγειλάν τε βραχέως τὸ μέγεθος τῶν κακῶν καὶ παρεκάλουν τοὺς ξένους ἐπαμῦναι τοῖς Συρακουσίοις, τὸ μνησικακεῖν ἀφέντας, ὡς μείζονα δίκην δεδωκότων αὐτῶν, ἢ λαβεῖν ἂν οἱ κακῶς πεπονθότες ἠξίωσαν.

XLIII. Παυσαμένων δὲ τούτων, σιγὴ μὲν εἶχε πολλὴ τὸ θέατρον· ἀναστάντος δὲ τοῦ Δίωνος καὶ λέγειν ἀρξαμένου πολλὰ τῶν δακρύων ἐκπίπτοντα τὴν φωνὴν f ἐπέσχεν· οἱ δὲ ξένοι παρεκάλουν θαρρεῖν καὶ συνήχθοντο. Μικρὸν οὖν ἀναλαβὼν ἐκ τοῦ πάθους ἑαυτὸν ὁ Δίων, « Ἄνδρες, ἔφη, Πελοποννήσιοι καὶ σύμμαχοι, βουλευσομένους ὑμᾶς ἐνταῦθα περὶ ὑμῶν αὐτῶν συνήγαγον. Ἐμοὶ δὲ περὶ ἐμαυτοῦ βουλεύεσθαι καλῶς οὐχ
977 ἔχει, Συρακουσῶν ἀπολλυμένων, ἀλλ' εἰ σῶσαι μὴ δυ- a ναίμην, ἄπειμι τῷ πυρὶ καὶ τῷ πτώματι τῆς πατρίδος ἐνταφησόμενος. Ὑμεῖς δὲ βουλόμενοι μὲν ἔτι καὶ νῦν βοηθεῖν τοῖς ἀβουλοτάτοις ἡμῖν καὶ δυστυχεστάτοις, ὑμέτερον ἔργον οὖσαν ἀνορθοῦτε τὴν Συρακουσίων

ut vellent atque possent agere jubens. (3) Hoc malum statim quidem Syracusani senserunt, consternatio autem fecit ut segniter et difficulter ad auxilia concurrerent. Excidium enim urbis erat, quod agebatur, quippe quum viri obtruncarentur, muri dejicerentur, mulieres liberique in arcem ejulantes abducerentur; et duces ipsi de salute desperarent, quod civibus, ubique cum hostibus confusis atque permixtis, uti ad defendendam vim hostilem non possent.

XLII. Quum in hoc statu res urbanæ essent et periculum Achradinæ etiam immineret, nemo sane fuit qui non intelligeret in Dionem unum reliquam omnem spem civitatis incumbere; nemo tamen eum nominare ausus est, pudore ingrati animi et vecordiæ in Dionem admissæ. Attamen necessitate pudorem superante, a sociis tandem et equitibus vox edita est, vocandum esse Dionem et Peloponnesios milites e Leontinis accersendos. (2) Hæc vox ut primum audita, inventi sunt qui astipulari auderent, clamor, gaudium, lacrimæque Syracusanis obortæ sunt, exoptantibus Dionis adventum, conspectumque ejus desiderantibus, ejusque fortitudinem in periculis promptitudinemque animi memoria repetentibus, ut is ante non ipse modo imperterritum se, sed ipsos quoque audaces et ad pugnandum in hostem intrepidos præstasset. (3) Illico igitur ad eum ablegant de sociis Archonidam et Telesiden, de equitibus Hellanicum cum quattuor aliis. Hi quum viam admissis equis confecissent, in Leontinos sole jam occidente pervenerunt. Statimque ab equis desilientes primo omnium Dioni lacrimantes supplicarunt et calamitatem Syracusanorum narravere. Jam et Leontinorum quidam et Peloponnesiorum ad Dionem multi confluxerant, ex tam seria actione et precibus legatorum suspicantes evenisse aliquid novi. (4) Dio suos statim in concionem produxit, concurrentibus celeriter reliquis. Ibi Archonides et Hellanicus cum sociis progressi in medium, breviter et magnitudinem calamitatis exposuerunt et milites Dionis ad deponendam acceptarum injuriarum memoriam ferendamque Syracusanis, qui graviores pœnas dedissent, quam sumere ab ipsis injuste tractati voluissent, opem cohortati sunt.

XLIII. Postquam hi finem dicendi fecerunt, silentium toto theatro fuit. Dioni autem orare ingresso magna vis lacrimarum oborta vocem inhibuit. Militibus ut bono esset animo hortantibus unaque etiam dolentibus, quum se nonnihil ex animi perturbatione collegisset, hæc locutus est : « Viri Peloponnesii atque commilitones, vos de vobis ipsis consilia ut iniretis, huc conduxi. Nam mihi de me aliquid capere consilii, Syracusis intereuntibus, non convenit, quas si servare non possum, abeo, ut igni et ruina patriæ sepeliar. Vos, si etiamnunc stultissimis nobis et misserrimis opitulari lubet, agite, vestrum opus, Syracusanam urbem erigite; sin

πόλιν· εἰ δὲ μεμφόμενοι Συρακουσίοις ὑπερόψεσθε, τῆς γε πρότερον ἀρετῆς καὶ προθυμίας περὶ ἐμὲ χάριν ἀξίαν κομίζοισθε παρὰ τῶν θεῶν μεμνημένοι Δίωνος, ὡς οὔθ' ὑμᾶς ἀδικουμένους πρότερον οὔθ' ὕστερον τοὺς πολίτας δυστυχοῦντας ἐγκαταλιπόντος. » (2) Ἔτι δ' αὐτοῦ λέγοντος, οἱ μὲν ξένοι μετὰ κραυγῆς ἀνεπήδησαν ἄγειν καὶ βοηθεῖν κατὰ τάχος κελεύοντες, οἱ δὲ πρέσβεις τῶν Συρακουσίων περιβαλόντες ἠσπάσαντο πολλὰ μὲν ἐκείνῳ, πολλὰ δὲ τοῖς ξένοις ἀγαθὰ παρὰ τῶν θεῶν εὐχόμενοι. Καταστάντος δὲ τοῦ θορύβου, παρήγγειλεν ὁ Δίων εὐθὺς ἀπιόντας παρασκευάζεσθαι καὶ δειπνήσαντας ἥκειν μετὰ τῶν ὅπλων εἰς αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐγνωκὼς διὰ νυκτὸς βοηθεῖν.

XLIV. Ἐν δὲ ταῖς Συρακούσαις τῶν Διονυσίου στρατηγῶν, ἄχρι μὲν ἦν ἡμέρα, πολλὰ κακὰ τὴν πόλιν ἐργασαμένων, γενομένης δὲ νυκτὸς ἀναχωρησάντων εἰς τὴν ἀκρόπολιν καί τινας ἐξ ἑαυτῶν ὀλίγους ἀποβαλόντων, ἀναθαῤῥήσαντες οἱ δημαγωγοὶ τῶν Συρακουσίων καὶ τοὺς πολεμίους ἐλπίσαντες ἀτρεμήσειν ἐπὶ τοῖς διαπεπραγμένοις, παρεκάλουν τοὺς πολίτας αὖθις ἐᾶν Δίωνα, κἂν προσίῃ μετὰ τῶν ξένων, μὴ δέχεσθαι μηδὲ παραχωρεῖν τῆς ἀρετῆς ἐκείνοις ὡς κρείττοσιν, ἀλλὰ σώζειν τὴν πόλιν καὶ τὴν ἐλευθερίαν αὐτοὺς δι' ἑαυτῶν. Πάλιν οὖν ἐπέμποντο πρὸς τὸν Δίωνα παρὰ μὲν τῶν στρατηγῶν ἀποτρέποντες, παρὰ δὲ τῶν ἱππέων καὶ τῶν γνωρίμων πολιτῶν ἐπισπεύδοντες τὴν πορείαν. Καὶ διὰ τοῦτο βραδέως ἅμα καὶ κατὰ σπουδὴν πορευόμενος προσῄει. (2) Τῆς δὲ νυκτὸς προελθούσης, οἱ μὲν μισοῦντες τὸν Δίωνα κατεῖχον τὰς πύλας ὡς ἀποκλείσοντες αὐτόν, ὁ δὲ Νύψιος ἐκ τῆς ἄκρας αὖθις πολλῷ προθυμοτέρους γεγονότας καὶ πλείονας ἐφιεὶς τοὺς μισθοφόρους, τὸ μὲν προτείχισμα πᾶν εὐθὺς κατέσκαπτε, τὴν δὲ πόλιν κατέτρεχε καὶ διήρπαζεν. Ἦν δὲ φόνος μὲν οὐκέτι μόνον ἀνδρῶν, ἀλλὰ καὶ γυναικῶν καὶ παίδων, ἁρπαγαὶ δ' ὀλίγαι, φθόρος δὲ πάντων πολύς. Ἀπεγνωκότος γὰρ ἤδη τὰ πράγματα τοῦ Διονυσίου καὶ τοὺς Συρακουσίους δεινῶς μεμισηκότος, ὥσπερ ἐνταφιάσαι τὴν τυραννίδα τῇ πόλει πίπτουσαν ἐβούλετο. (3) Καὶ τοῦ Δίωνος προκαταλαμβάνοντες τὴν βοήθειαν ἐπὶ τὸν ὀξύτατον διὰ πυρὸς πάντων ὄλεθρον καὶ ἀφανισμὸν ἐχώρησαν, τὰ μὲν ἐγγὺς ἀπὸ χειρῶν δᾳσὶ καὶ λαμπάσιν ὑποπιμπράντες, εἰς δὲ τὰ πρόσω διασπείροντες ἀπὸ τόξων πυροβόλους. Φευγόντων δὲ τῶν Συρακουσίων οἱ μὲν ἐν ταῖς ὁδοῖς ἐφονεύοντο καταλαμβανόμενοι, τὸ δὲ εἰς τὰς οἰκίας καταδυόμενον αὖθις ὑπὸ τοῦ πυρὸς ἐξέπιπτε, πολλῶν ἤδη φλεγομένων καὶ καταφερομένων ἐπὶ τοὺς διαθέοντας.

XLV. Τοῦτο τὸ πάθος μάλιστα τὴν πόλιν ἀνέῳξε Δίωνι, πάντων συμφωνησάντων. Ἔτυχε μὲν γὰρ οὐκέτι σπουδῇ πορευόμενος, ὡς ἤκουσεν εἰς τὴν ἀκρόπολιν κατακεκλεῖσθαι τοὺς πολεμίους. Προϊούσης δὲ τῆς ἡμέρας, πρῶτον ἱππεῖς ἀπήντησαν αὐτῷ τὴν δευτέραν κατάληψιν ἀπαγγέλλοντες· ἔπειτα καὶ τῶν ὑπεναντιουμένων ἔνιοι παρῆσαν ἐπείγεσθαι δεόμενοι. Συντείνοντος

Syracusanis infesti nos negligitis, at dii tamen vobis dignam virtute vestra atque erga me studio mercedem reddant, Dionemque memoria teneatis, neque vos tum, quum injuria vobis inferretur, neque nunc cives infortunium passos deseruisse. » (2) Nondum peroraverat, quum milites magno cum clamore exsilientes, uti se quam celerrime ad succurrendum urbi Syracusanæ duceret, hortati sunt. b Tum legati eos amplecti atque consalutare, multa Dioni, multa ipsis divinitus bona precari. Sedato tumultu, Dio milites statim discedere ac se parare, cœnatosque in eundem locum reverti jussit, quod noctu auxilio venire suis decrevisset.

XLIV. Interim Syracusis, quum Dionysii duces quantisper dies duraret maxima urbi damna dedissent, et paucis quibusdam suorum amissis noctu se in arcem recepissent, oratores animo collecto, et hostem existimantes nihil porro c conaturum, rursus cives hortati sunt, ut Dionem missum facerent, neque eum cum Peloponnesiis venientem in urbem admitterent, illisve gloriam virtutis tanquam præstantioribus concederent, sed ipsi suapte opera urbem libertatemque defenderent. Rursum igitur ad Dionem missi sunt a ducibus urbis, qui eum omittere profectionem, ab equitibus autem et notis civibus, qui accelerare eum juberent. Itaque Dio modo tardius modo celerius procurrit. (2) Augescente nocte, inimici Dionis, ut eum aditu in urbem arcerent, portas occupaverunt. At vero Nypsius rursum d ab arce milites suos et animis jam et numero auctos demisit, qui statim quidquid erat objectum muri subruto, urbi hostiliter vastandæ se dederunt. Neque viri jam solum, sed et mulieres et pueri necabantur, pauca prædæ, interitui pleraque dabantur. Quippe quod Dionysius de rebus suis jam desperasset, tantum in Syracusanos odii conceperat, ut tyrannidi ejus ruenti urbis exitio parentare intenderet. (3) Itaque, ut Dionis auxilio anteverterent milites, incendio, quo celerrime perderent omnia atque exciderent, e miscere urbem aggressi, proxima quæque tædis et facibus manu illatis, remotiora igne sagittis injecto inflammaverunt. Fugientium autem Syracusanorum alii in via trucidati sunt, alii in domos fuga elapsi, vi ignis rursum inde ejecti sunt, plerisque jam ardentibus et in eos qui discurrebant corruentibus.

XLV. Ea maxime calamitas urbem Dioni reseravit, omnibus idem sentire coactis civibus. Etenim Dio remissius jam incedebat, quod in arcem compulsos hostes audivisset; die vero progrediente, primum equites ei occurrerunt iterum captam urbem annuntiantes, deinde et eorum, f qui se ei adversarios gesserant, nonnulli adfuerunt, ut properaret orantes. Augescente malo, Heraclides fratrem

δὲ τοῦ κακοῦ μᾶλλον, Ἡρακλείδης τὸν ἀδελφὸν ἐξέπεμψεν, εἶτα Θεοδότην τὸν θεῖον ἱκετεύων ἀρήγειν, ὡς μηδενὸς ἀντέχοντος τοῖς πολεμίοις, αὐτοῦ δὲ τετρωμένου, τῆς δὲ πόλεως μικρὸν ἀπεχούσης ἀνατετράφθαι καὶ καταπεπρῆσθαι. (2) Τοιούτων ἀγγελμάτων τῷ Δίωνι προσπεσόντων, ἔτι μὲν ἑξήκοντα σταδίους τῶν πυλῶν ἀπεῖχε· φράσας δὲ τὸν κίνδυνον τοῖς ξένοις καὶ
978 παρακελευσάμενος οὐκέτι βάδην ἦγεν, ἀλλὰ δρόμῳ τὸ a
στράτευμα πρὸς τὴν πόλιν, ἄλλων ἐπ' ἄλλοις ἀντιαζόντων καὶ δεομένων ἐπείγεσθαι. Χρησάμενος δὲ θαυμαστῷ τάχει καὶ προθυμίᾳ τῶν ξένων εἰσέβαλε διὰ τῶν πυλῶν εἰς τὴν Ἑκατόμπεδον λεγομένην· καὶ τοὺς μὲν ἐλαφροὺς εὐθὺς ἀφῆκεν ἐλθεῖν πρὸς τοὺς πολεμίους, ὡς ἰδοῦσι θαρσῆσαι τοῖς Συρακουσίοις ἐγγένοιτο, τοὺς δ' ὁπλίτας αὐτὸς συνέταττε καὶ τῶν πολιτῶν τοὺς ἐπιρρέοντας καὶ συνισταμένους ὀρθίους λόχους ποιῶν καὶ διαιρῶν τὰς ἡγεμονίας, ὅπως πολλαχόθεν ἅμα προσφέροιτο φοβερώτερον.

XLVI. Ἐπεὶ δὲ ταῦτα παρασκευασάμενος καὶ τοῖς θεοῖς προσευξάμενος ὤφθη διὰ τῆς πόλεως ἄγων ἐπὶ b
τοὺς πολεμίους, κραυγὴ καὶ χαρὰ καὶ πολὺς ἀλαλαγμὸς εὐχαῖς ὁμοῦ καὶ παρακλήσεσι μεμιγμένος ἐγίνετο παρὰ τῶν Συρακουσίων, τὸν μὲν Δίωνα σωτῆρα καὶ θεὸν ἀποκαλούντων, τοὺς δὲ ξένους ἀδελφοὺς καὶ πολίτας. Οὐδεὶς δὲ φίλαυτος οὕτως ἦν καὶ φιλόψυχος παρὰ τὸν τότε καιρὸν, ὃς οὐ μᾶλλον ὑπὲρ μόνου Δίωνος ἢ τῶν ἄλλων ἁπάντων ἀγωνιῶν ἐφαίνετο, πρώτου πρὸς τὸν κίνδυνον πορευομένου δι' αἵματος καὶ πυρὸς καὶ νεκρῶν πολλῶν κειμένων ἐν ταῖς πλατείαις. (2) Ἦν μὲν οὖν καὶ τὰ παρὰ τῶν πολεμίων φοβερὰ παντάπασιν ἀπηγριωμένων καὶ παρατεταγμένων παρὰ τὸ τείχισμα c
χαλεπὴν ἔχον καὶ δυσεκβίαστον τὴν πρόσοδον· ὁ δ' ἐκ τοῦ πυρὸς κίνδυνος ἐτάραττε μᾶλλον τοὺς ξένους καὶ δύσεργον ἐποίει τὴν πορείαν. Κύκλῳ γὰρ ὑπὸ τῆς φλογὸς περιελάμποντο τὰς οἰκίας περινεμομένης· καὶ διαπύροις ἐπιβαίνοντες ἐρειπίοις καὶ καταφερομένοις ἀποῤῥήγμασι μεγάλοις ὑποτρέχοντες ἐπισφαλῶς καὶ πολὺν ὁμοῦ καπνῷ διαπορευόμενοι κονιορτὸν ἐπειρῶντο συνέχειν καὶ μὴ διασπᾶν τὴν τάξιν. (3) Ὡς δὲ προσέμιξαν τοῖς πολεμίοις, ἐν χερσὶ μὲν ὀλίγων πρὸς ὀλίγους ἐγίνετο μάχη διὰ τὴν στενότητα καὶ τὴν ἀνωμαλίαν τοῦ τόπου, κραυγῇ δὲ καὶ προθυμίᾳ τῶν Συρακουσίων ἐπιῤῥωσάντων ἐβιάσθησαν οἱ περὶ τὸν Νύ- d
ψιον. Καὶ τὸ μὲν πλεῖστον αὐτῶν εἰς τὴν ἀκρόπολιν ἐγγὺς οὖσαν ἀναφεῦγον ἐσώζετο· τοὺς δὲ ἀπολειφθέντας ἔξω καὶ διασπαρέντας ἀνῄρουν οἱ ξένοι διώκοντες. Ἀπόλαυσιν δὲ τῆς νίκης ἐν τῷ παραυτίκα καὶ χαρὰν καὶ περιβολὰς ἔργῳ τηλικούτῳ πρεπούσας οὐ παρέσχεν ὁ καιρὸς, ἐπὶ τὰς οἰκίας τραπομένων τῶν Συρακουσίων καὶ τὸ πῦρ μόλις ἐν τῇ νυκτὶ κατασβεσάντων.

XLVII. Ἡμέρα δ' ὡς ἦν, τῶν μὲν ἄλλων οὐδεὶς ὑπέμεινε δημαγωγῶν, ἀλλὰ καταγνόντες ἑαυτῶν ἔφυγον, Ἡρακλείδης δὲ καὶ Θεοδότης αὐτοὶ κομίσαντες ἑαυτοὺς τῷ Δίωνι παρέδωκαν, ἀδικεῖν ὁμολογοῦντες καὶ δεόμενοι

suum emisit ad eum et avunculum Theodotam, simpliciter petens ut auxilium ferret, nemine jam hostibus resistente, se ipso saucio, urbe tantum non eversa et incendio hausta. (2) Sexaginta adhuc stadiis a mœnibus aberat Dio, quum hos accepit nuntios; isque, indicato urbis periculo militibus suis, eosque dictis cohortatus, non ut ante lento gressu, sed citato cursu ad urbem duxit, aliis super alios, qui orarent uti festinarent, occurrentibus. Usus autem admirabili suorum celeritate et alacritate, per portas in regionem urbis quæ Hecatompedum dicitur perrexit. Inde levis armaturæ milites statim in hostem misit, ut iis visis animus Syracusanis redderetur, gravem armaturam ipse instruxit et cives qui agmine facto ad ipsum convenissent, manipulis densioribus quam in fronte longioribus institutis, divisisque imperiis, ut simul terribilior variis ex partibus impetus in hostes fieret.

XLVI. Postquam his ita comparatis, votisque diis factis, conspectus est per urbem in hostes tendere, vociferatio et gaudium ingensque conclamatio votis adhortationibusque permixta Syracusanorum exstitit, Dionem servatorem et deum, milites fratrum civiumque nomine invocantium. Neque ita tum quisquam suæ vitæ metuens fuit, qui non pro Dione magis quam reliquis omnibus laborare videretur, primo eo omnium per sanguinem, ignem et cadaverum acervos in viis jacentium ad pugnam progrediente. (2) Erant quidem et hostes ipsi terribiles, efferati jam prorsus, et instructa acie apud muri ruinas, qua difficilis etiam magna vi nitentibus erat accessus, stantes, ignis tamen periculosiorem difficilioremque progressum Dionis militibus fecit, quum flammis undique cingerentur ædificia depascentibus, perque ruinas ardentes adhuc incedentes et sub magnis passim decidentibus domorum fragmentis non sine gravissimo discrimine currentes, multumque fumum simul atque pulverem penetrantes, ordines suos retinere neque dissipare enitebantur. (3) Postquam ad hostem perventum est, paucorum cum paucis conflictus exstitit ob angustiam et inæqualitatem locorum, Syracusanis autem clamore et alacritate sua Peloponnesios confirmantibus, Nypsius cum suis pulsus est. Horum plerique in arcem, a qua non procul aberant, fuga evaserunt; qui vero extra eam relicti palabantur, eos insecuti Dionis milites confecerunt. Ceterum status rerum fruendæ victoriæ, gaudio, et complexibus, quæ tam præclarum facinus merebatur, tempus non concessit, ad domos suas Syracusanis conversis, quarum incendium vix adeo nocte ea est restinctum.

XLVII. Facta luce, reliqui perturbatores populi omnes sua conscientia damnati ex urbe profugerunt, Heraclides autem et Theodotes ipsi ultro Dioni se dediderunt, fassi injuste se cum eo egisse, precantesque, ut se ipsis melio-

βελτίονος ἐκείνου τυχεῖν ἢ γεγόνασιν αὐτοὶ περὶ ἐκεῖνον· e πρέπειν δὲ Δίωνι τὴν ἄλλην ἅπασαν ἀρετὴν ἀσύγκριτον ἔχοντι καὶ πρὸς ὀργὴν κρείττονι φανῆναι τῶν ἠγνωμονηκότων, οἳ περὶ οὗ πρότερον ἐστασίασαν πρὸς αὐτὸν νῦν ἥκουσιν ἡττᾶσθαι τῆς ἀρετῆς ὁμολογοῦντες. (2) Ταῦτα τῶν περὶ τὸν Ἡρακλείδην δεομένων, οἱ μὲν φίλοι παρακελεύοντο τῷ Δίωνι μὴ φείδεσθαι κακῶν καὶ βασκάνων ἀνθρώπων, ἀλλὰ καὶ τοῖς στρατιώταις χαρίσασθαι τὸν Ἡρακλείδην καὶ τοῦ πολιτεύματος ἐξελεῖν δημοκοπίαν, ἐπιμανὲς νόσημα, τυραννίδος οὐκ ἔλαττον. (3) Ὁ δὲ Δίων παραμυθούμενος αὐτοὺς ἔλεγεν ὡς τοῖς f μὲν ἄλλοις στρατηγοῖς πρὸς ὅπλα καὶ πόλεμον ἡ πλείστη τῆς ἀσκήσεώς ἐστιν, αὐτῷ δὲ πολὺν χρόνον ἐν Ἀκαδημίᾳ μεμελέτηται θυμοῦ περιεῖναι καὶ φθόνου καὶ φιλονεικίας πάσης· ὧν ἐπίδειξίς ἐστιν οὐχ ἡ πρὸς φίλους καὶ χρηστοὺς μετριότης, ἀλλ' εἴ τις ἀδικούμενος εὐπαραίτητος 979 εἴη καὶ πρᾶος τοῖς ἁμαρτάνουσι· βούλεσθαι δ' Ἡρα- a κλείδου μὴ τοσοῦτον δυνάμει καὶ φρονήσει κρατῶν, ὅσον χρηστότητι καὶ δικαιοσύνῃ φανῆναι. Τὸ γὰρ ἀληθῶς βέλτιον ἐν τούτοις· αἱ δὲ τοῦ πολέμου κατορθώσεις, εἰ καὶ ἀνθρώπων μηδένα, τήν γε τύχην διαμφισβητοῦσαν ἔχουσιν. Εἰ δ' Ἡρακλείδης ἄπιστος καὶ κακὸς διὰ φθόνον, οὔτι καὶ Δίωνα δεῖ θυμῷ διαφθεῖραι τὴν ἀρετήν· τὸ γὰρ ἀντιτιμωρεῖσθαι τοῦ προαδικεῖν νόμῳ δικαιότερον ὡρίσθαι, φύσει γινόμενον ἀπὸ μιᾶς ἀσθενείας. Ἀνθρώπου δὲ κακίαν, εἰ καὶ χαλεπόν ἐστιν, οὐχ οὕτως ἄγριον εἶναι παντάπασι καὶ δύσκολον, ὥστε μὴ μεταβάλλειν χάριτι νικηθεῖσαν ὑπὸ τῶν πολλάκις εὖ ποιούντων.

XLVIII. Τοιούτοις χρησάμενος λογισμοῖς ὁ Δίων b ἀφῆκε τοὺς περὶ τὸν Ἡρακλείδην. Τραπόμενος δὲ πρὸς τὸ διατείχισμα τῶν μὲν Συρακουσίων ἕκαστον ἐκέλευσεν ἕνα κόψαντα σταυρὸν ἐγγὺς καταβάλλειν· τοὺς δὲ ξένους ἐπιστήσας διὰ νυκτός, ἀναπαυομένων τῶν Συρακουσίων, ἔλαθεν ἀποσταυρώσας τὴν ἀκρόπολιν, ὥστε μεθ' ἡμέραν τὸ τάχος καὶ τὴν ἐργασίαν θεασαμένους ὁμοίως θαυμάζειν τοὺς πολίτας καὶ τοὺς πολεμίους. (2) Θάψας δὲ τοὺς τεθνηκότας τῶν Συρακουσίων καὶ λυσάμενος τοὺς ἑαλωκότας δισχιλίων οὐκ ἐλάττονας ὄντας, ἐκκλησίαν συνήγαγε. Καὶ παρελθὼν Ἡρακλείδης εἰσηγήσατο γνώμην αὐτοκράτορα στρατηγὸν ἑλέσθαι Δίωνα κατὰ γῆν καὶ θάλασσαν. Ἀποδεξαμένων δὲ c τῶν ἀρίστων καὶ χειροτονεῖν κελευόντων, ἐθορύβησεν ὁ ναυτικὸς ὄχλος καὶ βάναυσος, ἀχθόμενος ἐκπίπτοντι τῆς ναυαρχίας τῷ Ἡρακλείδῃ καὶ νομίζων αὐτόν, εἰ καὶ τἆλλα μηδενὸς ἄξιός ἐστι, δημοτικώτερόν γε πάντως εἶναι τοῦ Δίωνος καὶ μᾶλλον ὑπὸ χεῖρα τοῖς πολλοῖς. Ὁ δὲ Δίων τοῦτο μὲν ἐφῆκεν αὐτοῖς καὶ τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέδωκε τῷ Ἡρακλείδῃ, πρὸς δὲ τῆς γῆς καὶ τῶν οἰκιῶν τὸν ἀναδασμὸν ὡρμημένοις ἐναντιωθεὶς καὶ τὰ πρότερον ψηφισθέντα περὶ τούτων ἀκυρώσας ἐλύπησεν. (3) Ὅθεν εὐθὺς ἑτέραν ἀρχὴν λαβὼν ὁ Ἡρακλείδης τοὺς συνεκπλεύσαντας μετ' αὐτοῦ στρα- d τιώτας καὶ ναύτας ἐν Μεσσήνῃ καθήμενος ἐδημαγώγει

rem, quam expertus erga se eos esset, præberet; dignum autem Dionis in omnibus rebus incomparabili virtute esse, ut iræ quoque moderetur rectius, quam ii, a quibus ipsæ essent ortæ injuriæ, qui quum hactenus cum eo de præstantia virtutis contendissent, nunc veniant ut sponte fateantur virtute se eo inferiores esse. (2) Hunc in modum Heraclida deprecante, Dionem amici monuerunt, ne malis invidisque hominibus parceret, sed et Heracliden militibus dederet, et reipublicæ popularis istam gratiæ aucupationem eximeret, morbum rabidum et tyrannide nihilo minorem. (3) Quos ut placaret Dio, aliorum ducum exercitationem in armis fere et bello consistere dixit, se diu in Academia meditatum esse, quomodo iræ, invidiæ studioque omni contentionis moderaretur: eam virtutem non in eo conspici, si quis bonis et amicis se æquum præbeat, sed si quis injuria affectus placibilem se et benignum peccantibus exhibeat. Velle se non tam potentia et armis Heraclida quam bonitate et justitia præstantiorem videri. Nam hæc revera potiora esse, quum de prospero bellorum successu et rerum bene gestarum gloria, si nemo hominum, at fortuna certe partem earum sibi vindicare possit. Quodsi Heraclides infidelis et improbus ob invidiam sit, non convenire tamen propterea Dioni, ut ob iram ipse virtutem prodat, quippe ulcisci se accepta injuria justius, quam injuriam inferre videri, quod ita legibus sit constitutum, quum, si naturam spectes, ab eadem animi imbecillitate utrumque proficiscatur. Neque vero cujusquam hominis malitiam, quantumvis magnam, ita prorsus intractabilem esse et indomitam, non ut mutari crebris beneficiis possit.

XLVIII. His ille ductus rationibus, Heraclidæ et sociis injuriarum gratiam fecit. Ad murum inde arci objectum conversus reparandum, singulis Syracusanorum vallum cædere et prope murum deponere jussit: ipse noctu suos milites operi adhibens, dormientibus et imprudentibus rei Syracusanis, arcem munitione circumvenit, ita ut orta die quum cives, tum hostes celeritatem operis admirati sint. (2) Humatis porro qui obierant Syracusanis Dio et redemtis captivis, qui erant duobus millibus haud pauciores, populi concionem indixit. In eam progressus Heraclides censuit omne mari terraque imperium Dioni plena cum potestate committendum. Quam sententiam quum optimi civium approbarent, populumque ita jubere cuperent, nautica et mercenaria turba tumultuari cœpit, dolens navali præfectura excidere Heracliden, qui si nihil aliud commodi rebus afferret, at saltem magis quam Dio popularis vulgoque hominum deditus esset et obnoxius. Atque hoc quidem Dio eis gratificatus est, reddiditque maritimum imperium Heraclidæ, offendit tamen populi animos, quum ad divisionem agrorum et domorum conversos inhibuit, legemque ea de re ante latam abrogavit. (3) Itaque Heraclides, hoc novo arrepto exordio insidiarum in Dionem, Messanam navigavit, ibique desidens nautas et milites, quos secum du-

καὶ παρώξυνε κατὰ τοῦ Δίωνος ὡς τυραννεῖν μέλλοντος· αὐτὸς δὲ πρὸς Διονύσιον ἐποιεῖτο συνθήκας κρύφα διὰ Φάρακος τοῦ Σπαρτιάτου. Καὶ τῶν γνωριμωτάτων Συρακουσίων ὑπονοησάντων, στάσις ἦν ἐν τῷ στρατοπέδῳ καὶ δι' αὐτὴν ἀπορία καὶ σπάνις ἐν ταῖς Συρακούσαις, ὥστε παντάπασιν ἀμηχανεῖν τὸν Δίωνα καὶ κακῶς ἀκούειν ὑπὸ τῶν φίλων οὕτω δυσμεταχείριστον ἄνθρωπον καὶ διεφθαρμένον ὑπὸ φθόνου καὶ πονηρίας αὐξήσαντα καθ' αὑτοῦ τὸν Ἡρακλείδην.

XLIX. Φάρακος δὲ πρὸς Νέᾳ πόλει τῆς Ἀκραγαν- e τίνης στρατοπεδεύοντος, ἐξαγαγὼν τοὺς Συρακουσίους ἐβούλετο μὲν ἐν ἑτέρῳ καιρῷ διαγωνίσασθαι πρὸς αὐτόν, Ἡρακλείδου δὲ καὶ τῶν ναυτῶν καταβοώντων, ὡς οὐ βούλεται μάχῃ κρῖναι τὸν πόλεμον Δίων, ἀλλ' ἀεὶ μένοντος ἄρχειν, ἀναγκασθεὶς συνέβαλε καὶ ἡττήθη. Γενομένης δὲ τῆς τροπῆς οὐ βαρείας, ἀλλὰ μᾶλλον ὑφ' ἑαυτῶν καὶ τοῦ στασιάζειν ταραχθέντων, αὖθις ὁ Δίων παρεσκευάζετο μάχεσθαι, καὶ συνέταττε πείθων καὶ παραθαῤῥύνων. (2) Τῆς δὲ νυκτὸς ἀρχομένης ἀγγέλλεται πρὸς αὐτὸν Ἡρακλείδην ἄραντα τὸν στόλον πλεῖν ἐπὶ Συρακουσῶν, ἐγνωκότα τὴν πόλιν καταλαβεῖν f κἀκεῖνον ἀποκλεῖσαι μετὰ τοῦ στρατεύματος. Εὐθὺς οὖν ἀναλαβὼν τοὺς δυνατωτάτους καὶ προθυμοτάτους ἱππάσατο διὰ τῆς νυκτός· καὶ περὶ τρίτην ὥραν τῆς ἡμέρας πρὸς ταῖς πύλαις ἦν, σταδίους κατηνυκὼς ἑπτακοσίους. (3) Ἡρακλείδης δὲ ταῖς ναυσίν, ὡς ἁμιλλώμενος 980 ὑστέρησεν, ἀποπλεύσας καὶ πλανώμενος ἐν ταῖς a πράξεσιν ἀσκόπως ἐπιτυγχάνει Γαισύλῳ τῷ Σπαρτιάτῃ φάσκοντι πλεῖν ἐφ' ἡγεμονίᾳ Σικελιωτῶν ἐκ Λακεδαίμονος, ὡς πρότερόν ποτε Γύλιππος. (4) Ἄσμενος οὖν ἀναλαβὼν τοῦτον τὸν ἄνδρα καὶ περιαψάμενος ὥσπερ ἀλεξιφάρμακον τοῦ Δίωνος, ἐπεδείκνυτο τοῖς συμμάχοις· καὶ κήρυκα πέμπων εἰς τὰς Συρακούσας ἐκέλευε δέχεσθαι τὸν Σπαρτιάτην ἄρχοντα τοὺς πολίτας. Ἀποκριναμένου δὲ τοῦ Δίωνος, ὡς εἰσὶν ἄρχοντες ἱκανοὶ τοῖς Συρακουσίοις, εἰ δὲ πάντως δέοι καὶ Σπαρτιάτου τοῖς πράγμασιν, αὐτὸς οὗτος εἶναι κατὰ ποίησιν γεγονὼς Σπαρτιάτης, τὴν μὲν ἀρχὴν ὁ Γαίσυλος ἀπέγνω, πλεύσας δὲ πρὸς τὸν Δίωνα διήλλαξε τὸν Ἡρακλείδην ὅρκους b δόντα καὶ πίστεις τὰς μεγίστας, αἷς αὐτὸς ὁ Γαίσυλος ὤμοσε τιμωρὸς ἔσεσθαι Δίωνι καὶ κολαστὴς Ἡρακλείδου κακοπραγμονοῦντος.

L. Ἐκ τούτου κατέλυσαν μὲν οἱ Συρακούσιοι τὸ ναυτικόν, οὐδὲν γὰρ ἦν ἔργον αὐτοῦ, μεγάλαι δὲ δαπάναι τοῖς πλέουσι καὶ στάσεως ἀφορμαὶ τοῖς ἄρχουσι· τὴν δὲ ἄκραν ἐπολιόρκουν ἐξοικοδομήσαντες τὸ περιτείχισμα. Μηδενὸς δὲ τοῖς πολιορκουμένοις βοηθοῦντος, ἐπιλιπόντος δὲ σίτου, τῶν δὲ μισθοφόρων γενομένων πονηρῶν, ἀπογνοὺς ὁ υἱὸς τοῦ Διονυσίου τὰ πράγματα καὶ σπεισάμενος πρὸς τὸν Δίωνα, τὴν μὲν ἄκραν ἐκείνῳ μετὰ c τῶν ὅπλων καὶ τῆς ἄλλης κατασκευῆς παρέδωκεν, αὐτὸς δὲ τὴν μητέρα καὶ τὰς ἀδελφὰς ἀναλαβὼν καὶ πέντε πληρωσάμενος τριήρεις, ἐξέπλει πρὸς τὸν πατέρα, τοῦ Δίωνος ἀσφαλῶς μὲν ἐκπέμποντος, οὐδενὸς δὲ τῶν ἐν

xerat, popularibus sermonibus concitavit et contra Dionem, quasi is affectaret tyrannidem, instigavit; et ipse Pharacis Spartani opera occulte cum Dionysio pactus est. Quæ res quum Syracusanorum principibus suboluisset, in castris seditio atque propter eam difficultas annonæ in urbe exstitit: unde in summis Dio angustiis constitutus male apud amicos audivit, qui Heracliden hominem intractabilem invidiaque et improbitate corruptum contra se potentia auxisset.

XLIX. Pharace deinde ad Neapolim in agro Agrigentino castra metato, Syracusanos Dio eduxit, quumque alio tempore cum eo statuisset dimicare, Heraclidæ et nautarum insectationibus compulsus, vociferantium eum prœlio decernere nolle, ut durante semper bello imperaret, manum cum hoste conseruit et fusus est, accepta levi admodum clade magis a semet ipsis et suorum tumultu turbata acie. (2) Inde quum suos adhortando atque monendo rursum ad pugnam se pararet, ineunte jam nocte annuntiatur ei Heracliden cum classe Syracusas contendere, eo consilio, ut urbe occupata ipsum exercitumque ea excludat. Proinde assumptis alacerrimo et validissimo quoque, Dio totam noctem equitando consumpsit, tertiaque diei hora ad portas urbis pervenit, septingenta stadia eo cursu emensus. (3) At Heraclides quum tardius venisset, quamvis magna usus in navigando festinatione, ab urbe revectus, quum absque ullo certo rei gerendæ proposito vagaretur, in Gæsylum Spartanum incidit, qui se eo navigasse dicebat, ut Siculis sese ducem præberet, sicut olim Gylippus fecerat. (4) Eum quasi amuletum adversus Dionem sibi futurum lætus admodum Heraclides recepit, sociisque ostendit, missoque Syracusas præcone cives hortatus est, ut Spartanum ducem acciperent. Respondit Dio, satis ducum Syracusanis esse; quodsi omnino res Spartani ducis indigere videatur, se quoque civem Lacedæmonium esse factum. Ita Gæsylus, desperato principatu, ad Dionem navigavit, eique Heracliden reconciliavit, juramento se et maximis obligantem promissis, quæ si violasset, ipse Gæsylus sese ultorem fore pœnasque ab Heraclida sumpturum jurabat.

L. Secundum hæc Syracusani navales copias dimiserunt, quum nihil istis efficeretur, magnam autem impensam requirerent et ducibus dissidiorum ansas præberent, arcem autem, munitione exædificata, oppugnarunt. Nemine obsessis opitulante, jamque et alimentis deficientibus et mercenariis male se gerentibus, filius tandem Dionysii rebus desperatis data acceptaque fide Dioni arcem, arma, reliquumque apparatum tradidit, ipse cum matre et sororibus triremibus quinque oneratis ad patrem abiit, securum ei discessum

Συρακούσαις ἀπολιπόντος ἐκείνην τὴν ὄψιν, ἀλλὰ καὶ τοὺς μὴ παρόντας ἐπιβοωμένων, ὅτι τὴν ἡμέραν ταύτην καὶ τὸν ἥλιον ἐλευθέραις ἀνίσχοντα ταῖς Συρακούσαις οὐκ ἐφορῶσιν. Ὅπου γὰρ ἔτι νῦν τῶν λεγομένων κατὰ τῆς τύχης παραδειγμάτων ἐμφανέστατόν ἐστι καὶ μέγιστον ἡ Διονυσίου φυγή, τίνα χρὴ δοκεῖν αὐτῶν d ἐκείνων τὴν τότε χαρὰν γενέσθαι καὶ πηλίκον φρονῆσαι τοὺς τὴν μεγίστην τῶν πώποτε τυραννίδων καθελόντας ἐλαχίσταις ἀφορμαῖς;

LI. Ἐκπλεύσαντος δὲ τοῦ Ἀπολλοκράτους καὶ τοῦ Δίωνος εἰς τὴν ἀκρόπολιν βαδίζοντος, οὐκ ἐκαρτέρησαν αἱ γυναῖκες οὐδ' ἀνέμειναν εἰσελθεῖν αὐτὸν, ἀλλ' ἐπὶ τὰς θύρας ἐξέδραμον, ἡ μὲν Ἀριστομάχη τὸν υἱὸν ἄγουσα τοῦ Δίωνος, ἡ δ' Ἀρέτη κατόπιν εἵπετο δακρύουσα καὶ διαποροῦσα, πῶς ἀσπάσηται καὶ προσείπῃ τὸν ἄνδρα, κοινωνίας αὐτῇ πρὸς ἕτερον γεγενημένης, (2) Ἀσπασαμένου δ' αὐτοῦ πρῶτον τὴν ἀδελφὴν, εἶτα τὸ παιδίον, ἡ Ἀριστομάχη προσαγαγοῦσα τὴν Ἀρέτην, « Ἠτυχοῦμεν, ἔφη, ὦ Δίων, σοῦ φεύγοντος· ἥκων e δὲ καὶ νικῶν ἀφῄρηκας ἡμῶν ἁπάντων τὰς κατηφείας, πλὴν μόνης ταύτης, ἣν ἐπεῖδον ἡ δυστυχὴς ἐγὼ σοῦ ζῶντος ἑτέρῳ συνελθεῖν βιασθεῖσαν. Ὅτε οὖν σὲ κύριον ἡμῶν ἡ τύχη πεποίηκε, πῶς αὐτῇ διαιτᾷς ἐκείνην τὴν ἀνάγκην; πότερον ὡς θεῖον ἢ καὶ ὡς ἄνδρα σε ἀσπάσεται; » Τοιαῦτα τῆς Ἀριστομάχης λεγούσης, ὁ Δίων ἐκδακρύσας προσηγάγετο φιλοστόργως τὴν γυναῖκα· καὶ παραδοὺς αὐτῇ τὸν υἱὸν ἐκέλευσεν εἰς τὴν οἰκίαν τὴν αὐτοῦ βαδίζειν, ὅπου καὶ αὐτὸς διῃτᾶτο τὴν ἄκραν ἐπὶ τοῖς Συρακουσίοις ποιησάμενος.

LII. Οὕτω δὲ τῶν πραγμάτων αὐτῷ προκεχωρηκότων, f οὐδὲν ἀπολαῦσαι πρότερον ἠξίωσε τῆς παρούσης εὐτυχίας ἢ τὸ καὶ φίλοις χάριτας καὶ συμμάχοις δωρεὰς, μάλιστα δὲ τοῖς ἐν ἄστει συνήθεσι καὶ ξένοις ἀπονεῖμαί τινα φιλανθρωπίας καὶ τιμῆς μερίδα, τῇ μεγαλοψυχίᾳ τὴν δύναμιν ὑπερβαλλόμενος. Ἑαυτὸν δὲ λιτῶς καὶ σωφρόνως ἐκ τῶν τυχόντων διῴκει, θαυμαζόμενος ὅτι, 981 μὴ μόνον Σικελίας τε καὶ Καρχηδόνος, ἀλλὰ καὶ τῆς a Ἑλλάδος ὅλης ἀποβλεπούσης πρὸς αὐτὸν εὐημεροῦντα καὶ μηδὲν οὕτω μέγα τῶν τότε νομιζόντων μηδ' ἐπιφανεστέρας περὶ ἄλλον ἡγεμόνα τόλμης καὶ τύχης γεγονέναι δοκούσης, οὕτω παρεῖχεν ἑαυτὸν ἐσθῆτι καὶ θεραπείᾳ καὶ τραπέζῃ μέτριον, ὥσπερ ἐν Ἀκαδημίᾳ συσσιτῶν μετὰ Πλάτωνος, οὐκ ἐν ξεναγοῖς καὶ μισθοφόροις διαιτώμενος, οἷς αἱ καθ' ἑκάστην ἡμέραν πλησμοναὶ καὶ ἀπολαύσεις παραμυθία τῶν πόνων καὶ τῶν κινδύνων εἰσίν. (2) Ἀλλ' ἐκείνῳ μὲν Πλάτων ἔγραφεν, ὡς πρὸς ἕνα νῦν τῆς οἰκουμένης τόπον ἅπαντες ἀποβλέπουσιν, αὐτὸς δὲ ἐκεῖνος, ὡς ἔοικεν, ἀφεώρα πρὸς ἓν χωρίον μιᾶς πόλεως, τὴν Ἀκαδημίαν, καὶ τοὺς b αὐτόθι καὶ θεατὰς καὶ δικαστὰς ἐγίνωσκεν οὔτε πρᾶξιν οὔτε τόλμαν οὔτε νίκην τινὰ θαυμάζοντας, ἀλλὰ μόνον, εἰ κοσμίως καὶ σωφρόνως τῇ τύχῃ χρῆται καὶ παρέχει μέτριον ἑαυτὸν ἐν πράγμασι μεγάλοις ἀποσκοποῦντας. (3) Τοῦ μέντοι περὶ τὰς ὁμιλίας ὄγκου καὶ τοῦ πρὸς τὸν

Dione præbente. Nemo fuit Syracusis qui non abitum ejus spectaret, imo et absentes invocabant, qui diem istum et solem Syracusanis liberis orientem non viderent. Et vero quum etiamnum omnium fortunæ mutatæ exemplorum amplissimum sit atque evidentissimum Dionysii fuga, quod tandem gaudium fuisse, quos spiritus illis credendum est, qui omnium quæ unquam fuerunt maximam tyrannidem, minima usi occasione, evertissent?

LI. Postquam abiit cum navibus Apollocrates et in arcem Dio ascendit, mulieres regiæ non continuerunt se, quin ad portas ei obviam percurrerent, Aristomacha Dionis filium ducens, Arete pone sequens, lacrimans et sollicita quonam modo maritum salutaret atque compellaret, quæ cum altero rem habuisset. (2) Ibi Aristomacha, quum eam primum, deinde filium salutasset Dio, Aretam Dioni adducens, « Miseræ, inquit, te exsulante fuimus, o frater, adventus et victoria tua omnem nobis ademit mœrorem, hac una excepta quam infelix ego vidi cogi ut te vivo alteri nuberet. At tu fortunæ munere dominus nostrûm factus, quid tandem ea de necessitate fers sententiæ, ut avunculumne, an ut maritum te salutabit? » Hæc fata sorore, Dio lacrimis effusis perhumaniter uxorem apprehendit, filioque ei tradito in domum suam ire jussit, ubi ipse quoque, reddita Syracusanis arce, habitabat.

LII. Hoc rerum successu non ante sibi suæ felicitatis fructum percipiendum Dio ratus quam amicis gratiam retulisset et socios muneribus, et eos præsertim quos Athenis habebat familiares atque hospites, beneficio aliquo aut honore affecisset, liberalitate potentiam suam superavit, quum ipse interim frugaliter et sobrie ex iis quæ obtigerant viveret. Unde admirabantur eum homines, quod, licet non Siculorum modo et Carthaginiensium, sed et omnium Græcorum in suam felicitatem conversos haberet oculos, neque ejus ætatis homines quidquam adeo arbitrarentur magnum, neque audacia et fortuna in alio duce illustrior videretur, adeo vestitui, familiæ victuique temperaret suo, tanquam si in Academia cum Platone, non inter duces militesque stipendiarios viveret, quibus quotidiana crapula et oblectationes laborum et periculorum levamen haberentur. (2) Scripsit sane ad eum Plato, in unum locum orbis terrarum omnes omnium mortalium oculos conversos esse, at ipsum in unum unius urbis locum Academiam defixisse lumina, solos qui in hac vivant eum et spectatores suos et judices putare, ut qui neque facinus ullum, neque audaciam, neque victoriam, sed id unum spectent atque magni faciant, si quis fortuna recte utatur et moderatum se in magnis versantem rebus præbeat. (3) Jam de gravitate in congressibus

δῆμον ἀτενοῦς ἐφιλονείκει μηδὲν ὑφελεῖν μηδὲ χαλάσαι, καίτοι τῶν πραγμάτων αὐτῷ χάριτος ἐνδεῶν ὄντων καὶ Πλάτωνος ἐπιτιμῶντος, ὡς εἰρήκαμεν, καὶ γράφοντος, ὅτι ἡ αὐθάδεια ἐρημίᾳ σύνοικός ἐστιν. Ἀλλὰ φύσει τε φαίνεται πρὸς τὸ πιθανὸν δυσκεράστῳ κεχρημένος ἀντισπᾶν τε τοὺς Συρακουσίους ἄγαν ἀνειμένους καὶ c διατεθρυμμένους προθυμούμενος.

LIII. Ὁ γὰρ Ἡρακλείδης αὖθις ἐπέκειτο· καὶ πρῶτον μὲν εἰς συνέδριον παρακαλούμενος οὐκ ἐβούλετο βαδίζειν· ἰδιώτης γὰρ ὢν μετὰ τῶν ἄλλων ἐκκλησιάζειν πολιτῶν. Ἔπειτα κατηγόρει τοῦ Δίωνος, ὅτι τὴν ἄκραν οὐ κατέσκαψε καὶ τῷ δήμῳ τὸν Διονυσίου τάφον ὡρμημένῳ λῦσαι καὶ τὸν νεκρὸν ἐκβαλεῖν οὐκ ἐπέτρεψε, μεταπέμπεται δὲ ἐκ Κορίνθου συμβούλους καὶ συνάρχοντας, ἀπαξιῶν τοὺς πολίτας. (2) Τῷ δ' ὄντι μετεπέμπετο τοὺς Κορινθίους ὁ Δίων ἣν ἐπενόει πολιτείαν ῥᾷον ἐλπίζων καταστήσειν ἐκείνων παραγενομένων. Ἐπενόει δὲ τὴν μὲν ἄκρατον δημοκρατίαν, ὡς οὐ πολιτείαν ἀλλὰ παντοπώλιον οὖσαν πολιτειῶν, κατὰ τὸν d Πλάτωνα, κωλύειν, Λακωνικὸν δέ τι καὶ Κρητικὸν σχῆμα μιξάμενος ἐκ δήμου καὶ βασιλείας ἀριστοκρατίαν ἔχον τὴν ἐπιστατοῦσαν καὶ βραβεύουσαν τὰ μέγιστα καθιστάναι καὶ κοσμεῖν, ὁρῶν καὶ τοὺς Κορινθίους ὀλιγαρχικώτερόν τε πολιτευομένους καὶ μὴ πολλὰ τῶν κοινῶν ἐν τῷ δήμῳ πράττοντας. (3) Ὡς οὖν μάλιστα πρὸς ταῦτα τὸν Ἡρακλείδην ἐναντιώσεσθαι προσεδόκα καὶ τἆλλα ταραχώδης καὶ εὐμετάθετος καὶ στασιαστικὸς ἦν, οὓς πάλαι βουλομένους αὐτὸν ἐκώλυεν ἀνελεῖν, τούτοις ἐπέτρεψε τότε· καὶ παρελθόντες εἰς τὴν οἰκίαν ἀποκτιννύουσιν αὐτόν. Ἐλύπησε δὲ σφόδρα τοὺς e Συρακουσίους ἀποθανών. Ὅμως δὲ τοῦ Δίωνος ταφάς τε λαμπρὰς παρασκευάσαντος καὶ μετὰ τοῦ στρατεύματος ἑπομένου προπέμψαντος τὸν νεκρόν, εἶτα διαλεχθέντος αὐτοῖς, συνέγνωσαν ὡς οὐ δυνατὸν ἦν ταρασσομένην παύσασθαι τὴν πόλιν, Ἡρακλείδου καὶ Δίωνος ἅμα πολιτευομένων.

LIV. Ἦν δέ τις ἑταῖρος τοῦ Δίωνος ἐξ Ἀθηνῶν, Κάλλιππος, ὅν φησιν ὁ Πλάτων οὐκ ἀπὸ παιδείας, ἀλλ' ἐκ μυσταγωγιῶν καὶ τῆς περιτρεχούσης ἑταιρείας γνώριμον αὐτῷ γενέσθαι καὶ συνήθη, μετασχὼν δὲ τῆς στρατείας καὶ τιμώμενος, ὥστε καὶ συνεισελθεῖν εἰς τὰς Συρακού- f σας πρῶτος τῶν ἑταίρων ἁπάντων ἐστεφανωμένος καὶ λαμπρὸς ἦν ἐν τοῖς ἀγῶσι καὶ διάσημος. (2) Ἐπεὶ δέ, τῶν πρώτων καὶ βελτίστων φίλων τοῦ Δίωνος ἀνηλωμένων ὑπὸ τοῦ πολέμου καὶ τεθνηκότος Ἡρακλείδου, τόν τε δῆμον ἑώρα τῶν Συρακουσίων ἔρημον ἡγεμόνος 1082 ὄντα καὶ τοὺς στρατιώτας τοὺς μετὰ Δίωνος προσέχον- a τας αὐτῷ μάλιστα, μιαρώτατος ἀνθρώπων γενόμενος καὶ παντάπασιν ἐλπίσας Σικελίαν ἆθλον ἕξειν τῆς ξενοκτονίας, ὡς δέ φασιν ἔνιοι, καὶ τάλαντα προσλαβὼν εἴκοσι τοῦ φόνου μισθὸν παρὰ τῶν πολεμίων διέφθειρε καὶ παρεσκεύασέ τινας τῶν ξένων ἐπὶ τὸν Δίωνα κακοηθεστάτην ἀρχὴν καὶ πανουργοτάτην ποιησάμενος. (3) Ἀεὶ γάρ τινας φωνὰς τῶν στρατιωτῶν πρὸς ἐκεῖνον

sua et in populo tractando rigiditate magnopere cavebat Dio, ne quid detraheret vel relaxaret, quum quidem et res ita postularent, ut gratiosus esse studeret, et Plato, ut demonstravimus, eo nomine ipsum increparet, arrogantiam solitudinis esse sociam. Sed videtur mihi quum ingenio ad ducendos homines minime temperato fuisse, tum Syracusanos nimis lascivientes severitate sua retrahere a vitiis studuisse.

LIII. Quippe Heraclides rursum adortus Dionem, primo in senatum vocatus, venire detrectavit, privatum se esse et inter reliquos cives in concione futurum dicens. Deinde vitio Dioni vertit, quod arcem demolitus non esset, quod populum a sepulcro Dionysii aperiendo et cadavere ejiciendo inhibuisset, quod spretis civibus Corintho consiliarios et collegas evocasset. (2) Et vero Corinthios Dio acciverat, quod iis præsentibus facilius quam animo conceperat reipublicæ formam se instituturum sperabat. Statuerat autem puram illam meramque populi dominationem, quæ non tam respublica quam nundinæ rerum publicarum dici Platonis sententia potest, arcere ac Laconicam quandam et Cretensem formam miscendo constituere et adornare ex populo et regno conflatam, in qua maximarum rerum potestas et arbitrium penes præstantissimos esset, quod animadverterat, Corinthiorum quoque rempublicam fere in paucorum esse manu neque multa publica negotia per populum tractari. (3) Qua in re quum summa contentione sibi Heraclidem repugnaturum prævideret, hominem plane turbulentum, levem et seditiosum, quos jam pridem eum necare volentes prohibuerat, iis tum ut cæderent hominem permisit, iique domi suæ Heraclidem trucidarunt. Mortem ejus molestissime Syracusani tulerunt. Sed quum Dio splendide eum sepeliri curasset et funus ipse cum exercitu deduxisset, orationemque ad populum habuisset, placati sunt, intelligentes nullum in urbe turbarum finem futurum quamdiu Heraclides simul et Dio in republica versarentur.

LIV. Erat quidam inter socios Dionis Callippus Atheniensis, quem Plato ait non philosophiæ studio, sed ex sacrorum initiationibus et passim vagante sodalitate ista notum familiaremque Dioni factum. Is quum se expeditionis in Siciliam socium præbuisset, tanto apud Dionem fuit in honore, ut coronatus cum eo primus omnium amicorum Syracusas sit ingressus, præbueratque se in certaminibus clarum atque insignem. (2) Quum vero præcipuos et optimos Dionis amicos bellum absumpsisset, Heraclides etiam periisset, cernens et Syracusanam plebem duce carere et apud Dionis milites multum sibi esse auctoritatis, sceleratissimus omnium mortalium factus, de Dione interficiendo consilium cepit, præmium necati hospitis certum fore Siciliam sperans, quidam ab hostibus Dionis præterea talentis viginti eum conductum ad facinus perpetrandum asserunt. Cujus gratia quum nonnullos mercenarios milites corrumperet ac subornaret, nequissimo et astutissimo usus est exordio, (3) semper ad Dionem sermones quosdam eorum seu auditos

ἢ λελεγμένας ἀληθῶς ἀναφέρων ἢ πεπλασμένας ὑφ' αὐτοῦ, τοιαύτην ἐξουσίαν ἔλαβε διὰ τὴν πίστιν, ὥστ' ἐντυγχάνειν κρύφα καὶ διαλέγεσθαι μετὰ παῤῥησίας οἷς βούλοιτο κατὰ τοῦ Δίωνος, αὐτοῦ κελεύοντος, ἵνα μηδὲ εἷς λανθάνῃ τῶν ὑπούλως καὶ δυσμενῶς ἐχόντων. b Ἐκ δὲ τούτων συνέβαινε τοὺς μὲν πονηροὺς καὶ νοσοῦντας εὑρίσκειν ταχὺ καὶ συνιστάναι τὸν Κάλλιππον, εἰ δέ τις ἀπωσάμενος τοὺς λόγους αὐτοῦ καὶ τὴν πεῖραν ἐξείποι πρὸς τὸν Δίωνα, μὴ ταράττεσθαι μηδὲ χαλεπαίνειν ἐκεῖνον, ὡς ἃ προσέταττε τοῦ Καλλίππου περαίνοντος.

LV. Συνισταμένης δὲ τῆς ἐπιβουλῆς, φάσμα γίνεται τῷ Δίωνι μέγα καὶ τερατῶδες. Ἐτύγχανε μὲν γὰρ ὀψὲ τῆς ἡμέρας καθεζόμενος ἐν παστάδι τῆς οἰκίας μόνος ὢν πρὸς ἑαυτὸν τὴν διάνοιαν· ἐξαίφνης δὲ ψόφου γενομένου πρὸς θατέρῳ πέρατι τῆς στοᾶς, ἀποβλέψας ἔτι φωτὸς ὄντος εἶδε γυναῖκα μεγάλην, στολῇ μὲν καὶ c προσώπῳ μηδὲν Ἐριννύος τραγικῆς παραλλάττουσαν, σαίρουσαν δὲ καλλύντρῳ τινὶ τὴν οἰκίαν. (2) Ἐκπλαγεὶς δὲ δεινῶς καὶ περίφοβος γενόμενος μετεπέμψατο τοὺς φίλους καὶ διηγεῖτο τὴν ὄψιν αὐτοῖς καὶ παραμένειν ἐδεῖτο καὶ συννυκτερεύειν, παντάπασιν ἐκστατικῶς ἔχων καὶ δεδοικὼς μὴ πάλιν εἰς ὄψιν αὐτῷ μονωθέντι τὸ τέρας ἀφίκηται. Τοῦτο μὲν οὖν αὖθις οὐ συνέπεσε. Μεθ' ἡμέρας δ' ὀλίγας ὁ υἱὸς αὐτοῦ σχεδὸν ἀντίπαις ὢν ἔκ τινος λύπης καὶ ὀργῆς μικρὰν καὶ παιδικὴν ἀρχὴν λαβούσης ἔῤῥιψεν ἑαυτὸν ἀπὸ τοῦ στέγους ἐπὶ τὴν κεφαλὴν καὶ διεφθάρη.

LVI. Ἐν τοιούτοις δὲ τοῦ Δίωνος ὄντος, ὁ Κάλλιππος ἔτι μᾶλλον εἴχετο τῆς ἐπιβουλῆς καὶ λόγον εἰς τοὺς Συρακουσίους ἐξέδωκεν, ὡς ὁ Δίων ἄπαις γεγονὼς d ἔγνωκε τὸν Διονυσίου καλεῖν Ἀπολλοκράτην καὶ ποιεῖσθαι διάδοχον, ἀδελφιδοῦν μὲν ὄντα τῆς ἑαυτοῦ γυναικός, θυγατριδοῦν δὲ τῆς ἀδελφῆς. (2) Ἤδη δὲ καὶ τὸν Δίωνα καὶ τὰς γυναῖκας ὑπόνοια τῶν πραττομένων εἶχε καὶ μηνύσεις ἐγίγνοντο πανταχόθεν. Ἀλλ' ὁ μὲν Δίων, ὡς ἔοικεν, ἐπὶ τοῖς κατὰ τὸν Ἡρακλείδην ἀχθόμενος καὶ τὸν φόνον ἐκεῖνον, ὥς τινα τοῦ βίου καὶ τῶν πράξεων αὐτῷ κηλῖδα περικειμένην, δυσχεραίνων ἀεὶ καὶ βαρυνόμενος εἶπεν, ὅτι πολλάκις ἤδη θνήσκειν ἕτοιμός ἐστι καὶ παρέχειν τῷ βουλομένῳ σφάττειν αὐτόν, εἰ ζῆν δεήσει μὴ μόνον τοὺς ἐχθρούς, ἀλλὰ καὶ τοὺς φίλους e φυλαττόμενον. (3) Τὰς δὲ γυναῖκας ὁρῶν ὁ Κάλλιππος ἐξεταζούσας ἀκριβῶς τὸ πρᾶγμα καὶ φοβηθεὶς ἦλθε πρὸς αὐτὰς ἀρνούμενος καὶ δακρύων καὶ πίστιν ἣν βούλονται διδόναι βουλόμενος. Αἱ δ' ἠξίουν αὐτὸν ὀμόσαι τὸν μέγαν ὅρκον. Ἦν δὲ τοιοῦτος· καταβὰς εἰς τὸ τῶν Θεσμοφόρων τέμενος ὁ διδοὺς τὴν πίστιν ἱερῶν τινων γενομένων περιβάλλεται τὴν πορφυρίδα τῆς θεοῦ καὶ λαβὼν δᾷδα καιομένην ἀπόμνυσι. (4) Ταῦτα ποιήσας ὁ Κάλλιππος πάντα καὶ τὸν ὅρκον ἀπομόσας οὕτω κατεγέλασε τῶν θεῶν, ὥστε περιμείνας τὴν ἑορτὴν ἧς ὤμοσε θεοῦ δρᾷ τὸν φόνον ἐν τοῖς Κορείοις, f οὐδὲν ἴσως τὸ περὶ τὴν ἡμέραν τῆς θεοῦ ποιησάμενος,

seu confictos a se deferendo, ob fidem, quæ ei erat apud Dionem, tantum est consecutus potestatis, ut quibuscum militibus vellet, secreta cum iis colloquia agitare tuto posset, quippe ita a Dione jussus facere, cupiente sibi constare quicumque abalienato essent aut infenso erga se animo. Ita fiebat ut et malos ac tacito Dionis odio laborantes Callippus facile cognosceret atque sibi adjungeret, et si quis sermones ejus, quibus fides sua sollicitabatur, respueret atque Dioni renuntiaret, Dio nihil ea re, ut qui Callippum hoc modo explorare militum animos jussisset, turbaretur aut offenderetur.

LV. Ita compositis insidiis, magnum et horribile visum Dioni offertur. Quum enim inclinante jam die solus forte in atrio domus sederet cogitabundus, subito strepitu excitatus in alteram porticus partem respexit magnamque contuitus est mulierem, quæ habitu vultuque nihil a tragica Furia distans, domum scopis verreret. (2) Graviter eo spectro territus atque consternatus, amicos ad se vocavit, iisque visum exposuit et ut secum eam noctem agerent oravit, omnino metu quasi attonitus timens ne sibi soli rursum id ostentum occurreret. Quod tamen porro non accidit. Paucis post diebus filius ejus ephebus, jam dolore levi et ludicra ex causa orto concitus, de superiore parte ædium se in caput dejecit atque obiit.

LVI. Sic afflicto Dione Callippus ad facinus alacrior factus, rumorem inter Syracusanos sparsit, Dionem liberis orbatum statuisse Apollocratem Dionysii filium successorem sibi vocare, qui fratris uxoris suæ filius et nepos sororis esset. (2) Sane et Dioni et mulieribus suspiciones quædam eorum quæ agebantur insinuaverant et indicia passim afferebantur. Sed Dio, ut apparet, necem Heraclidis adhuc moleste ferens, idque factum veluti nævum quendam vitæ actionumque suarum exosus, dicebat: jam sæpe se paratum mori et jugulum dare volenti cædere, si quidem ita sit vivendum, ut non ab hostibus, sed etiam ab amicis sibi cavere cogatur. (3) Mulieres autem videns Callippus accurate in rem inquirere, metuens sibi ad eas venit, infitians et lacrimans, seque fidem suam iis quo vellent pignore obstrictum dicens, illæ eum magnum jusjurandum dare jusserunt. Id tale erat, ut qui fidem illo suam sanciret, is in templum Cereris ac Proserpinæ descenderet, sacrisque peractis quibusdam, purpura deæ se indueret, facemque tenens ardentem abjuraret. (4) Hæc omnia quum fecisset Callippus et factum abjurasset, adeo risui deos habuit, ut die deabus per quas fuerat juratus festo exspectato, ipsis Proserpinalibus cædem perpetraret, quanquam religionem diei ab eo contemptam mirum non est, utique deam offen-

ὡς ἀσεβουμένης πάντως, εἰ καὶ κατ' ἄλλον χρόνον ἔσφαττε τὸν μύστην αὐτῆς ὁ μυσταγωγός.

LVII. Ὄντων δὲ πλειόνων ἐν τῇ κοινωνίᾳ τῆς πράξεως, καθεζομένου Δίωνος ἐν οἰκήματι κλίνας τινὰς
98: ἔχοντι μετὰ τῶν φίλων, οἱ μὲν ἔξω τὴν οἰκίαν περιέ- a
στησαν, οἱ δὲ πρὸς ταῖς θύραις τοῦ οἴκου καὶ ταῖς θυρίσιν ἦσαν. Αὐτοὶ δ' οἱ προσφέρειν τὰς χεῖρας μέλλοντες Ζακύνθιοι παρῆλθον ἄνευ ξιφῶν ἐν τοῖς χιτῶσιν. Ἅμα δ' οἱ μὲν ἔξω τὰς θύρας ἐπισπασάμενοι κατεῖχον, οἱ δὲ τῷ Δίωνι προσπεσόντες κατέχειν ἐπειρῶντο καὶ συντρίβειν αὐτόν. (2) Ὡς δ' οὐδὲν ἐπέραινον, ᾔτουν ξίφος· οὐδεὶς δ' ἐτόλμα τὰς θύρας ἀνοῖξαι. Συχνοὶ γὰρ ἦσαν ἔνδον οἱ μετὰ τοῦ Δίωνος, ὧν ἕκαστος οἰόμενος, ἂν ἐκεῖνον πρόηται, διασώσειν ἑαυτὸν, οὐκ ἐτόλμα βοηθεῖν. Διατριβῆς δὲ γενομένης, Λύκων ὁ Συρακούσιος ὀρέγει τινὶ τῶν Ζακυνθίων διὰ τῆς θυρίδος ἐγχειρίδιον, ᾧ καθάπερ ἱερεῖον τὸν Δίωνα κρατούμε- b
νον πάλαι καὶ δεδιττόμενον ἀπέσφαξαν. (3) Εὐθὺς δὲ καὶ τὴν ἀδελφὴν μετὰ τῆς γυναικὸς ἐγκύμονος οὔσης εἰς τὴν εἱρκτὴν ἐνέβαλον. Καὶ συνέβη τῇ γυναικὶ τλημονέστατα λοχευθείσῃ τεκεῖν ἐν τῷ δεσμωτηρίῳ παιδάριον ἄῤῥεν, ὅπερ καὶ θρέψαι μᾶλλον παρεβάλοντο πείσασαι τοὺς φύλακας, ἤδη τοῦ Καλλίππου θορυβουμένου τοῖς πράγμασιν.

LVIII. Ἐν ἀρχῇ μὲν γὰρ ἀποκτείνας τὸν Δίωνα λαμπρὸς ἦν καὶ κατεῖχε τὰς Συρακούσας· καὶ πρὸς τὴν Ἀθηναίων ἔγραφε πόλιν, ἣν μάλιστα μετὰ τοὺς θεοὺς ὤφειλεν αἰδεῖσθαι καὶ δεδιέναι τηλικούτου μύσους ἀψάμενος. Ἀλλ' ἔοικεν ἀληθῶς λέγεσθαι τὸ τὴν πόλιν ἐκείνην φέρειν ἄνδρας ἀρετῇ τε τοὺς ἀγαθοὺς ἀρί- c
στους καὶ κακίᾳ τοὺς φαύλους πονηροτάτους, καθάπερ αὐτῶν καὶ ἡ χώρα κάλλιστον μέλι καὶ κώνειον ὠκυμορώτατον ἀναδίδωσιν. (2) Οὐ μὴν πολὺν χρόνον ὁ Κάλλιππος ἔγκλημα τῆς τύχης καὶ τῶν θεῶν περιῆν, ὡς περιορώντων ἐξ ἀσεβήματος ἄνθρωπον τηλικούτου κτώμενον ἡγεμονίας καὶ πράγματα· ταχὺ δ' ἀξίαν δίκην ἔδωκεν. Ὁρμήσας μὲν γὰρ Κατάνην λαβεῖν εὐθὺς ἀπέβαλε τὰς Συρακούσας· ὅτε καί φασιν αὐτὸν εἰπεῖν, ὅτι πόλιν ἀπολωλεκὼς τυρόκνηστιν εἴληφεν. d
Ἐπιθέμενος δὲ Μεσσηνίοις καὶ τοὺς πλείστους στρατιώτας ἀπολέσας, ἐν οἷς ἦσαν οἱ Δίωνα κατακτείναντες, οὐδεμιᾶς δὲ πόλεως αὐτὸν ἐν Σικελίᾳ προσδεχομένης, ἀλλὰ μισούντων ἁπάντων καὶ προβαλλομένων, Ῥήγιον κατέσχεν. (3) Ἐκεῖ δὲ λυπρῶς πράττων καὶ κακῶς διατρέφων τοὺς μισθοφόρους ὑπὸ Λεπτίνου καὶ Πολυσπέρχοντος ἀνῃρέθη χρησαμένων ξιφιδίῳ κατὰ τύχην, ᾧ καὶ Δίωνα πληγῆναί φασιν. Ἐγνώσθη δὲ τῷ μεγέθει (βραχὺ γὰρ ἦν, ὥσπερ τὰ Λακωνικὰ) καὶ τῇ κατασκευῇ τῆς τέχνης, εἰργασμένον γλαφυρῶς καὶ περιττῶς. (4) Τοιαύτην μὲν οὖν τίσιν Κάλλιππος ἔδωκε· τὴν δ' Ἀριστομάχην καὶ τὴν Ἀρέτην, ὡς ἀφείθησαν ἐκ τῆς εἱρκτῆς, ἀναλαβὼν Ἱκέτης ὁ Συρακούσιος, εἷς τῶν Δίωνος φίλων γεγονὼς, ἐδόκει πιστῶς καὶ καλῶς περιέπειν. Εἶτα συμπεισθεὶς ὑπὸ τῶν Δίωνος ἐχθρῶν καὶ e

suro, etiamsi alio tempore sacris ejus initiatum ipse initiator necasset.

LVII. Quum autem facinoris ejus multi essent socii, Dione in cubiculo quodam lectulos habente cum amicis sedente, conjuratorum quidam foris domum circumsteterunt, alii ad fores domus et fenestras astiterunt. Zacynthii, qui manus erant illaturi, absque gladiis ad Dionem tunicati intrarunt. Simul et qui foris erant, fores ad se attractas constrinxere, et Zacynthii in Dionem manibus injectis, tenere eum atque opprimere intenderunt. (2) Quod ubi non successit, gladium poposcere, nemine quidem fores aperire audente, quod multi intus erant cum Dione, verum hi auxilium ei ferre non sunt ausi, quod unusquisque ita existimaret, se ita saluti suæ consulturum, si Dionem destituisset. Post aliquantam moram, Lyco Syracusanus cuidam Zacynthio per fenestram pugionem porrigit; eo illi Dionem jam dudum victum atque consternatum veluti victimam mactarunt. (3) Statim quoque sororem et uxorem uterum ferentem in carcerem conjecerunt. Atque huic usu venit ut miserrimo puerperio in carcere masculum fœtum ederet, quem custodibus delinitis eo magis ausæ sunt nutrire atque educare, quum jam tum Callippi res pertubarentur.

LVIII. Quippe is initio Dione interfecto magni erat inter Syracusanos nominis, urbemque in potestate sua habebat, et ad civitatem Atheniensem (quam unam secundum deos maxime debuit revereri, ac metuere, tanti sibi piaculi conscius) literas dabat. Sed profecto apparet verum esse quod fertur, Athenis homines eos nasci, qui si boni sint, virtute omnibus præstent; sin mali, omnium deterrimi dici mereantur: quomodo et regio ipsorum optimum mel et præsentissimam necandis hominibus cicutam producit. (2) Neque vero Callippus diuturnam de diis et fortuna, quod impune paterentur hominem tanto scelere tam magnis partis opibus frui, conquerendi occasionem dedit, sed mox digna sese supplicia persolvit. Etenim ad Catanam occupandam profectus, statim Syracusas perdidit, quum quidem dixisse fertur, se, urbe amissa, tyrocnestim adeptum. Adortus deinde Messanenses, quum plerosque militum, interque eos etiam Dionis percussores, amisisset, neque ulla Siciliæ urbe reciperetur, omnibus eum abominantibus et respuentibus, Rhegium se contulit. (3) Ibi gravi pressus penuria, quum militibus stipendia ægre suppeditaret, a Leptine et Polysperchonte interemptus est, idque, fortuna sic gubernante, eodem quo ferebatur Dio cæsus, pugione; agnoscebatur enim magnitudine, quum esset (ut solent Laconici) brevis et affabre paratus. (4) Has Callippus pœnas dedit; Aristomacham autem Aretamque carcere emissas Icetes Syracusanus, qui unus de amicis Dionis fuerat, ad se recepit et fideliter præclareque aliquamdiu tractavit. Postea autem ab inimicis Dionis ei persuasum est, ut parata iis navi, qua scilicet in

παρασκευάσας πλοῖον αὐταῖς, ὡς εἰς Πελοπόννησον ἀποσταλησομέναις, ἐκέλευσε κατὰ πλοῦν ἀποσφάξαντας ἐκβαλεῖν εἰς τὴν θάλασσαν. Οἱ δὲ ζώσας ἔτι καταποντισθῆναι λέγουσι καὶ τὸ παιδίον μετ' αὐτῶν. Περιῆλθε δὲ καὶ τοῦτον ἀξία ποινὴ τῶν τετολμημένων. Αὐτός τε γὰρ ὑπὸ Τιμολέοντος ἁλοὺς ἀπέθανε καὶ θυγατέρας δύο προσαπέκτειναν αὐτῷ Δίωνι τιμωροῦντες οἱ Συρακούσιοι, περὶ ὧν ἐν τῷ Τιμολέοντος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

Peloponnesum veherentur, vectoribus eas in navigatione trucidandas, inque mare ejiciendas mandaret. Quidam vivas una cum infante in mare demersas scribunt. Sed et hic meritas ejus facinoris pœnas luit. Nam ipse a Timoleonte captus periit et Dionem ulciscentes Syracusani insuper duas filias illius interfecerunt, quam historiam singulatim sumus in Vita Timoleontis prosecuti.

ΒΡΟΥΤΟΣ.

984 Μάρκου δὲ Βρούτου πρόγονος ἦν Ἰούνιος Βροῦτος, a ὃν ἀνέστησαν ἐν Καπιτωλίῳ χαλκοῦν οἱ πάλαι Ῥωμαῖοι μέσον τῶν βασιλέων ἐσπασμένον ξίφος, ὡς βεβαιότατα καταλύσαντα Ταρκυνίους. Ἀλλ' ἐκεῖνος μέν, ὥσπερ τὰ ψυχρήλατα τῶν ξιφῶν, σκληρὸν ἐκ b φύσεως καὶ οὐ μαλακὸν ἔχων ὑπὸ λόγου τὸ ἦθος ἄχρι παιδοφονίας ἐξώκειλε τῷ θυμῷ τῷ κατὰ τῶν τυράννων, οὑτοσὶ δ', ὑπὲρ οὗ γράφεται ταῦτα, παιδείᾳ καὶ λόγῳ διὰ φιλοσοφίας καταμίξας τὸ ἦθος καὶ τὴν φύσιν ἐμβριθῆ καὶ πραεῖαν οὖσαν ἐπεγείρας ταῖς πρακτικαῖς ὁρμαῖς ἐμμελέστατα δοκεῖ κραθῆναι πρὸς τὸ καλόν, ὥστε καὶ τοὺς ἀπεχθανομένους αὐτῷ διὰ τὴν ἐπὶ Καίσαρα συνωμοσίαν, εἰ μέν τι γενναῖον ἡ πρᾶξις ἤνεγκε, Βρούτῳ προσάπτειν, τὰ δυσχερέστατα δὲ τῶν γεγονότων τρέπειν εἰς Κάσσιον, οἰκεῖον μὲν ὄντα Βρούτου καὶ φί- c λον, ἁπλοῦν δὲ τῷ τρόπῳ καὶ καθαρὸν οὐχ ὁμοίως. (2) Σερβιλία δὲ ἡ μήτηρ ἀνέφερε τὸ γένος εἰς Ἄλαν Σερβίλιον, ὃς Μαιλίου Σπορίου τυραννίδα κατασκευαζομένου καὶ ταράττοντος τὸν δῆμον ἐγχειρίδιον λαβὼν ὑπὸ μάλης προῆλθεν εἰς ἀγορὰν καὶ παραστὰς τῷ ἀνδρὶ πλησίον, ὡς ἐντυγχάνειν τι μέλλων καὶ διαλέγεσθαι, προσνεύσαντα πατάξας ἀπέκτεινε. Τοῦτο μὲν οὖν ὁμολογούμενόν ἐστι· τὸ δὲ πατρῷον γένος οἱ διὰ τὸν Καίσαρος φόνον ἔχθραν τινὰ καὶ δυσμένειαν ἀποδεικνύμενοι πρὸς Βροῦτον οὔ φασιν εἰς τὸν ἐκβαλόντα Ταρκυνίους ἀνήκειν, οὐδὲν γὰρ ἐκείνῳ λειφθῆναι γένος d ἀνελόντι τοὺς υἱούς, ἀλλὰ δημότην τοῦτον, οἰκονόμου υἱὸν ὄντα Βρούτου, ἄρτι καὶ πρῴην εἰς ἄρχοντα προελθεῖν. (3) Ποσειδώνιος δ' ὁ φιλόσοφος τοὺς μὲν ἐνηλίκους φησὶν ἀπολέσθαι τοῦ Βρούτου παῖδας, ὡς ἱστόρηται· τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ' οὗ τὸ γένος ὡρμῆσθαι καὶ τῶν γε καθ' αὑτὸν ἐκ τῆς οἰκίας γεγονότων ἐπιφανῶν ἀνδρῶν ἀναφέρειν ἐνίους πρὸς τὸν ἀνδριάντα τοῦ Βρούτου τὴν ὁμοιότητα τῆς ἰδέας. Περὶ μὲν οὖν τούτων τοσαῦτα.

II. Σερβιλίας δὲ τῆς Βρούτου μητρὸς ἀδελφὸς ἦν Κάτων ὁ φιλόσοφος, ὃν μάλιστα Ῥωμαίων ἐζήλωσεν e οὗτος θεῖον ὄντα καὶ πενθερὸν ὕστερον γενόμενον. Τῶν δὲ Ἑλληνικῶν φιλοσόφων οὐδενὸς μέν, ὡς ἁπλῶς εἰπεῖν, ἀνήκοος ἦν οὐδὲ ἀλλότριος, διαφερόντως δ' ἐσπουδάκει

BRUTUS.

M. Brutus genus suum ab Junio Bruto deduxit, quem prisci Romani æreum inter reges in Capitolio posuerunt, cum ense stricto, quod ejus maxime virtute Tarquinii ejecti essent. Verum is, gladii instar qui candens in frigida aqua exstinctus est, præduro ingenio præditus, neque eo doctrina emollito, ira adversus tyrannos usque ad cædem liberorum provectus est. Hic autem, de quo nobis sermo instituitur, ita indolem suam disciplina philosophicisque studiis temperavit, naturaque suapte ingenium grave et placidum impetibus ad res agendas accommodatis excitavit, ut egregie ad honestatem composito animo videretur, quæ causa fuit ut, qui eum ob conjurationem in Cæsarem oderunt, quidquid eo in facinore præclarum infuit, id omne Bruto, atrocissima quæque Cassio imputarent, familiari quidem Bruti et amico, sed non item simplice atque sincero ingenio. (2) Mater Bruti Servilia ad Servilium Ahalam genus refert, qui, quum Sp. Mælius tyrannidem affectaret populumque concitaret, sub ala gladium ferens in forum processit, Mæliumque prope assistens tanquam si colloqui vellet, caput inclinantem percussit et interfecit. Et de hac quidem gentilitatis parte nihil est controversiæ. Paternum genus nonnulli, qui cum Bruto ob interemptum Cæsarem inimicitias habuerunt eumque oderunt, negant ad eum Brutum pertinere, qui reges ejecerit, quippe ei necatis filiis nullam relictam prolem, sed hunc Brutum cujusdam filium Bruti dispensatoris plebeium non ita pridem ad magistratus dignitatem se extulisse. (3) Posidonius autem adultos jam Bruti filios, ita ut narratur, a patre occisos affirmat, relictum autem tertium adhuc infantem, et ab eo Brutorum genus propagatum, et vero quosdam qui eo genere orti essent viros illustres suoque vixissent tempore, similitudinem formæ in statua prisci Bruti expressam facie sua retulisse. Verum hæc hactenus.

II. Serviliæ ejus, quæ Bruti mater fuit, frater fuit Cato philosophus, quem avunculum Brutus omnium Romanorum potissimum sibi ad imitandum proposuit; post etiam filiam ejus duxit. Nullus fere fuit Græcorum philosophorum quem non audierit; nulla secta, quam non cognoverit;

πρὸς τοὺς ἀπὸ Πλάτωνος. Καὶ τὴν νέαν καὶ μέσην λεγομένην Ἀκαδημίαν οὐ πάνυ προσιέμενος ἐξήρτητο τῆς παλαιᾶς, καὶ διετέλει θαυμάζων μὲν Ἀντίοχον τὸν Ἀσκαλωνίτην, φίλον δὲ καὶ συμβιωτὴν τὸν ἀδελφὸν αὐτοῦ πεποιημένος Ἄριστον, ἄνδρα τῇ μὲν ἐν λόγοις ἕξει πολλῶν φιλοσόφων λειπόμενον, εὐταξίᾳ δὲ καὶ πρᾳότητι τοῖς πρώτοις ἐνάμιλλον. Ὁ δ' Ἔμπυλος, οὗ καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς καὶ οἱ φίλοι μέμνηνται πολλάκις ὡς συμβιοῦντος αὐτῷ, ῥήτωρ ἦν καὶ καταλέλοιπε μικρὸν μέν, οὐ φαῦλον δὲ σύγγραμμα περὶ τῆς Καίσαρος ἀναιρέσεως, ὃ Βροῦτος ἐπιγέγραπται. (2) Ῥωμαϊστὶ μὲν οὖν ἤσκητο πρὸς τὰς διεξόδους καὶ [985] τοὺς ἀγῶνας ἱκανῶς ὁ Βροῦτος, Ἑλληνιστὶ δὲ τὴν [a] ἀποφθεγματικὴν καὶ Λακωνικὴν ἐπιτηδεύων βραχυλογίαν ἐν ταῖς ἐπιστολαῖς ἐνιαχοῦ παράσημός ἐστιν. Οἷον ἤδη καθεστηκὼς εἰς τὸν πόλεμον γράφει Περγαμηνοῖς· « Ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα· ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν, εἰ δὲ ἄκοντες, ἀποδείξατε τῷ ἐμοὶ ἑκόντες δοῦναι. » Πάλιν Σαμίοις· « Αἱ βουλαὶ ὑμῶν ὀλίγωροι, αἱ ὑπουργίαι βραδεῖαι. Τί τούτων τέλος ἐννοεῖσθε; » Καὶ περὶ Παταρέων** ἑτέραν· « Ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες τάφον ἀπονοίας ἐσχήκασι τὴν πατρίδα· Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοὶ οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. Ἐξὸν οὖν καὶ ὑμῖν ἢ τὴν Πα- [b] ταρέων κρίσιν ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι. » Τὸ μὲν οὖν τῶν παρασήμων γένος ἐπιστολίων τοιοῦτόν ἐστιν.

III. Ἔτι δὲ μειράκιον ὢν Κάτωνι τῷ θείῳ συναπεδήμησεν εἰς Κύπρον ἐπὶ Πτολεμαῖον ἀποσταλέντι. Πτολεμαίου δὲ διαφθείραντος ἑαυτόν, ὁ Κάτων αὐτὸς ἐν Ῥόδῳ διατριβὴν ἔχων ἀναγκαίαν ἔτυχε μὲν ἤδη τινὰ τῶν φίλων Κανίδιον ἐπὶ τὴν τῶν χρημάτων φυλακὴν ἀπεσταλκώς, δείσας δ' ἐκεῖνον, ὡς οὐκ ἀφεξόμενον κλοπῆς, ἔγραψε τῷ Βρούτῳ πλεῖν τὴν ταχίστην εἰς Κύπρον ἐκ Παμφυλίας· ἐκεῖ γὰρ ἑαυτὸν ἀναλαμβάνων ἔκ τινος ἀσθενείας διῆγεν. (2) Ὁ δὲ καὶ μάλ' ἄκων ἔπλευσε [c] τόν τε Κανίδιον αἰδούμενος, ὡς ἀτίμως ἀπερριμμένον ὑπὸ τοῦ Κάτωνος, καὶ ὅλως τὴν τοιαύτην ἐπιμέλειαν καὶ διοίκησιν, ἅτε δὴ νέος καὶ σχολαστής, οὐκ ἐλευθέριον οὐδ' ἑαυτοῦ ποιούμενος. Οὐ μὴν ἀλλὰ καὶ περὶ ταῦτα συντείνας ἑαυτὸν ὑπὸ τοῦ Κάτωνος ἐπῃνέθη καὶ τῆς οὐσίας ἐξαργυρισθείσης ἀναλαβὼν τὰ πλεῖστα τῶν χρημάτων εἰς Ῥώμην ἔπλευσεν.

IV. Ἐπεὶ δὲ τὰ πράγματα διέστη, Πομπηίου καὶ Καίσαρος ἐξενεγκαμένων τὰ ὅπλα καὶ τῆς ἡγεμονίας ταραχθείσης, ἐπίδοξος μὲν ἦν αἱρήσεσθαι τὰ Καίσαρος· ὁ γὰρ πατὴρ αὐτοῦ διὰ τὸν Πομπήιον ἐτεθνήκει πρότε- [d] ρον· ἀξιῶν δὲ τὰ κοινὰ τῶν ἰδίων ἐπίπροσθεν ποιεῖσθαι καὶ τὴν Πομπηίου νομίζων ὑπόθεσιν βελτίονα πρὸς τὸν πόλεμον εἶναι τοῦ Καίσαρος, ἐκείνῳ προσέθετο. (2) Καίτοι πρότερον ἀπαντήσας οὐδὲ προσεῖπε τὸν Πομπήιον, ἄγος ἡγούμενος μέγα πατρὸς φονεῖ διαλέγεσθαι· τότε δ' ὡς ἄρχοντι τῆς πατρίδος ὑποτάξας ἑαυτὸν εἰς

maxime tamen Platonicam amplectebatur, novamque et mediam, ut vocant, Academiam non admodum probans, antiquam sectabatur. Antiochum Ascalonitam perpetua in admiratione habuit, fratremque ejus Aristum amicum sibi et contubernalem ascivit, hominem usu doctrinæ longe reliquis philosophis inferiorem, modestia autem et lenitate nemini primorum cedentem. Empylus vero, cujus et ipse Brutus in epistolis et amici crebro meminerunt, quasi ejus qui vitam cum Bruto egerit, rhetor fuit, reliquitque parvum quidem, sed minime contemnendum librum de cæde Cæsaris, qui inscribitur Brutus. (2) Romano quidem sermone Brutus ad longiores orationes et contentiones sufficienter exercitatus fuit; Græcæ autem argutæ illi ac Laconicæ breviloquentiæ se studuisse in epistolis aliquoties ostendit. Ut quum jam ad bellum aggressus, Pergamenis scriberet : Audio vos Dolabellæ dedisse pecunias : si volentes id fecistis, fateamini me a vobis injuria affectum; sin inviti eas dedistis, id mihi libenter dando declarate. Item Samiis : Consulitis negligenter, administratis tarde. Quem finem horum fore cogitatis? Et in alia epistola de Patarensibus : Xanthii, meo beneficio spreto, patriam suæ dementiæ nacti sunt sepulcrum; Patarenses, quod se mihi credidissent, nullam in administrandis rebus libertatis partem desiderant. Itaque vobis quoque licet, aut Patarensium sententiam, aut Xanthiorum deligere fortunam. Atque hoc est genus insignium Bruti epistolarum.

III. Adolescentulus etiamnum cum Catone in Cyprum est profectus, misso adversus Ptolemæum insulæ regem. Ibi Cato, quum se rex ipse interfecisset, necessaria de causa Rhodi commorans, præmisso in Cyprum Canidio suorum uno amicorum ad custodiendam pecuniam regiam, metuens ne is popularetur aliquid, Bruto scripsit ut quam celerrime ex Pamphylia (ibi enim se ex quadam imbecillitate colligens agebat) in Cyprum navigaret. (2) Perinvitus paruit Brutus, quod et Canidium reverebatur, ignominiose officio a Catone amotum, et omnino hujusmodi administrationem illiberalem et se (adolescens quippe et otio erat deditus) non dignam putaret. Verumtamen et hac in re præclaram navans operam, a Catone laudatus est, et bonis regiis divenditis, cum majore parte pecuniæ Romam missus.

IV. Quum jam arma arripientibus Cæsare et Pompeio civile bellum glisceret et perturbata esset respublica, nemo non existimabat Brutum Cæsaris partes secuturum, quippe cujus pater esset jussu Pompeii interfectus; verum is privato publicum antiquius habens, Pompeio, cui quam Cæsari justiorem belli causam esse sentiret, se adjunxit. (2) Ante ne allocutus fuerat Pompeium obvius forte ei factus, quod magnum putaret esse flagitium, cum patris sui occisore colloqui; tum autem se ei ut principi patriæ submittens, in

Κιλικίαν ἔπλευσε πρεσβευτὴς μετὰ Σηστίου τοῦ λαχόντος τὴν ἐπαρχίαν. Ὡς δ' ἐκεῖ πράττειν οὐδὲν ἦν μέγα καὶ συνῄεσαν εἰς ταὐτὸν ἤδη Πομπήιος καὶ Καῖσαρ ἀγωνιζόμενοι περὶ τῶν ὅλων, ἧκεν εἰς Μακεδονίαν ἐθελοντὴς τοῦ κινδύνου μεθέξων· ὅτε καί φασι Πομπήιον ἡσθέντα καὶ θαυμάσαντα προσιόντος αὐτοῦ καθεζόμενον ἐξαναστῆναι καὶ περιβαλεῖν ὡς κρείττονα, πάντων e δρώντων. (3) Ἐν δὲ τῇ στρατείᾳ τῆς ἡμέρας ὅσα μὴ Πομπηίῳ συνῆν, περὶ λόγους καὶ βιβλία διέτριβεν, οὐ μόνον τὸν ἄλλον χρόνον, ἀλλὰ καὶ πρὸ τῆς μεγάλης μάχης. Ἦν μὲν ἀκμὴ θέρους καὶ καῦμα πολὺ πρὸς ἑλώδεσι χωρίοις ἐστρατοπεδευκότων, τῷ δὲ Βρούτῳ οὐ ταχέως ἧκον οἱ τὴν σκηνὴν κομίζοντες. Ἐκπονηθεὶς δὲ περὶ ταῦτα μεσημβρίας μόλις ἀλειψάμενος καὶ φαγὼν ὀλίγα, τῶν ἄλλων ἢ καθευδόντων ἢ πρὸς ἐπινοίᾳ καὶ φροντίδι τοῦ μέλλοντος ὄντων, αὐτὸς ἄχρι τῆς ἑσπέρας ἔγραφε f συντάττων ἐπιτομὴν Πολυβίου.

V. Λέγεται δὲ καὶ Καῖσαρ οὐκ ἀμελεῖν τοῦ ἀνδρὸς, ἀλλὰ καὶ προειπεῖν τοῖς ὑφ' ἑαυτὸν ἡγεμόσιν ἐν τῇ μάχῃ μὴ κτείνειν Βροῦτον, ἀλλὰ φείδεσθαι καὶ παρασχόντα μὲν ἑκουσίως ἄγειν, εἰ δὲ ἀπομάχοιτο πρὸς τὴν σύλληψιν, 986 ἐᾶν καὶ μὴ βιάζεσθαι· καὶ ταῦτα ποιεῖν τῇ μητρὶ a τοῦ Βρούτου Σερβιλίᾳ χαριζόμενον. Ἐγνώκει γὰρ, ὡς ἔοικε, νεανίας ὢν ἔτι τὴν Σερβιλίαν ἐπιμανεῖσαν αὐτῷ· καὶ καθ' οὓς μάλιστα χρόνους ὁ ἔρως ἐπέφλεγε γενόμενον τὸν Βροῦτον ἐπέπειστό πως ἐξ ἑαυτοῦ γεγονέναι. (2) Λέγεται δὲ, τῶν περὶ Κατιλίναν πραγμάτων μεγάλων ἐμπεπτωκότων εἰς τὴν σύγκλητον, ἃ μικρὸν ἐδέησεν ἀνατρέψαι τὴν πόλιν, ἑστάναι μὲν ὁμοῦ Κάτωνα καὶ Καίσαρα διαφερομένους περὶ γνώμης. Ἐν τούτῳ δὲ γραμματιδίου μικροῦ προσδοθέντος ἔξωθεν Καίσαρι, τὸν μὲν ἀναγινώσκειν σιωπῇ, Κάτωνα δὲ βοᾶν, ὡς δεινὰ ποιεῖ Καῖσαρ ἐντεύξεις καὶ γράμματα παρὰ τῶν πολεμίων προσδεχόμενος. Θορυβησάντων δὲ πολλῶν b καὶ τοῦ Καίσαρος τὸ δελτάριον, ὡς εἶχε, τῷ Κάτωνι προσδόντος, ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἀκόλαστον ἐπιστόλιον, ἐκεῖνο μὲν ῥῖψαι πρὸς τὸν Καίσαρα καὶ εἰπεῖν « Κράτει, μέθυσε, » πρὸς δὲ τὴν γνώμην καὶ τὸν λόγον αὖθις ἐξ ἀρχῆς τραπέσθαι. Οὕτω μὲν ἦν ὁ πρὸς Καίσαρα Σερβιλίας ἔρως περιβόητος.

VI. Γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης καὶ Πομπηίου μὲν ἐπὶ θάλασσαν διεκπεσόντος, πολιορκουμένου δὲ τοῦ χάρακος, ἔλαθεν ὁ Βροῦτος κατὰ πύλας πρὸς τόπον ἑλώδη καὶ μεστὸν ὑδάτων καὶ καλάμου φερούσας ἐξελθὼν καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς Λάρισσαν. Ἐκεῖθεν δὲ γράψαντος αὐτοῦ, Καῖσαρ ἥσθη τε σωζομένῳ c καὶ κελεύσας πρὸς αὐτὸν ἐλθεῖν οὐ μόνον ἀφῆκε τῆς αἰτίας, ἀλλὰ καὶ τιμώμενον ἐν τοῖς μάλιστα περὶ αὐτὸν εἶχεν. (2) Οὐδενὸς δ' ὅπῃ φεύγοι Πομπήιος εἰπεῖν ἔχοντος, ἀλλ' ἀπορίας οὔσης, ὁδόν τινα σὺν τῷ Βρούτῳ βαδίζων μόνος ἀπεπειρᾶτο τῆς γνώμης. Καὶ δόξαντος ἔκ τινων διαλογισμῶν ἄριστα περὶ τῆς Πομπηίου τεκμαίρεσθαι φυγῆς, ἀφεὶς τἄλλα τὴν ἐπ' Αἰγύπτου συνέτεινεν. Ἀλλὰ Πομπήιον μὲν, ὥσπερ εἴκασε Βροῦτος,

Ciliciam cum Sestio, cui ea obtigerat forte provincia, legatus abiit. Ubi quum nullius magnæ rei gerendæ daretur occasio, jamque de summa rerum decertaturi Pompeius et Cæsar congrederentur, ultro ad commune prœlii discrimen in Macedoniam venit, quum quidem Pompeium gaudio et admiratione adventus ejus de sella ei obviam isse et tanquam præstantiorem amplexum in conspectu omnium fuisse perhibent. (3) Ea militia quantum dici a Pompeio abfuit, studiis librisque impendebat, non alias modo, sed et imminente jam Pharsalica pugna. Adulta erat æstas, et fervidissima tempestas locis palustribus castra metatos affligebat; Bruto autem qui tentorium ferrent, lente præsto erant. Quo plane confectus vix tandem media jam circumacta die unctus et modice pransus, reliquis aut dormientibus aut de eventu futuræ pugnæ sollicite cogitantibus, ad vesperam usque scripsit, Polybium in Epitomen contrahens.

V. Ferunt etiam Cæsari Bruti salutem curæ fuisse, ideoque quum in prœlio ducibus jussisse uti parcerent ei neque cæderent, sed ad se perducerent, si quidem volens sequeretur; sin repugnaret, missum facerent neque vim afferrent. Hoc eum in Serviliæ gratiam, matris Bruti egisse. Cum ea enim traditur juvenis adhuc rem habuisse, insano ipsius amore correpta, et Brutum, quo maxime tempore amor iste flagravit, editum quodammodo sibi persuaserat ex se natum. (2) Est et hoc memoriæ mandatum, quum in senatu gravis de re Catilinaria, quæ quantum abfuit quin civitatem everteret, incidisset deliberatio, Catonem et Cæsarem eodem in loco stantes, altercatos esse. Interim epistolium quoddam sibi foris allatum, Cæsarem tacitum legisse, Catonem vero clamasse : indignum Cæsaris facinus, qui literas ab hostibus atque nuntios recipiat; tum Cæsarem multis tumultuantibus literas istas, ut erant, Catoni tradidisse. Eumque lectas (continebant autem impudica sororis Serviliæ ad Cæsarem verba) rursus Cæsari projecisse dicentem : Accipe, ebriose, atque sic ad priorem sententiam et sermonem regressum fecisse. Ita Serviliæ in Cæsarem amor notus fuit.

VI. Victo ad Pharsalum Pompeio et fuga ad mare elapso, quum oppugnarentur castra, Brutus nemine animadvertente ad locum palustrem et aqua cannisque refertam porta egressus, noctu Larissam evasit. Inde quum dedisset literas, Cæsar superstitem eum esse lætatus fuit et ad se vocatum non culpa modo liberavit, sed et in summo secum habuit honore. (2) Incertus deinde quonam Pompeius profugisset, animoque æstuans, quum solus cum Bruto ambularet, sententiam ejus exploravit; quumque eum quibusdam ex colloquiis optime omnium de Pompeii fuga conjecturam facere sentiret, omnibus rebus omissis in Ægyptum contendit. Sed Pompeius jam eo, ut conjecerat

Αἰγύπτῳ προσβαλόντα τὸ πεπρωμένον ἐδέξατο, Καίσαρα δὲ καὶ πρὸς Κάσσιον ἐπράϋνε Βροῦτος. (3) Καὶ δὴ d καὶ τῷ τῶν Λιβύων βασιλεῖ προηγορῶν μὲν ἡττᾶτο τοῦ μεγέθους τῶν κατηγοριῶν, δεόμενος δὲ καὶ παραιτούμενος περὶ τούτου πολλὴν αὐτῷ διέσωσε τῆς ἀρχῆς. Λέγεται δὲ Καῖσαρ, ὅτε πρῶτον ἤκουσεν αὐτοῦ λέγοντος, εἰπεῖν πρὸς τοὺς φίλους· « Οὗτος ὁ νεανίας οὐκ οἶδα μὲν ὃ βούλεται, πᾶν δ' ὃ βούλεται σφόδρα βούλεται. » (4) Τὸ γὰρ ἐμβριθὲς αὐτοῦ καὶ μὴ ῥᾳδίως μηδὲ παντὸς ὑπήκοον τοῦ δεομένου πρὸς χάριν, ἀλλ' ἐκ λογισμοῦ καὶ προαιρέσεως τῶν καλῶν πρακτικὸν, ὅποι τρέψειεν, ἰσχυραῖς ἐχρῆτο ταῖς ὁρμαῖς καὶ τελεσιουργοῖς. Πρὸς δὲ τὰς ἀδίκους δεήσεις ἀκολάκευτος ἦν καὶ τὴν ἀπὸ τῶν e ἀναισχύντως λιπαρούντων ἧτταν, ἣν ἔνιοι δυσωπεῖσθαι καλοῦσιν, αἰσχίστην ἀνδρὶ μεγάλῳ ποιούμενος εἰώθει λέγειν, ὡς οἱ μηδὲν ἀρνεῖσθαι δυνάμενοι δοκοῦσιν αὐτῷ μὴ καλῶς τὴν ὥραν διατεθεῖσθαι. (5) Μέλλων δὲ διαβαίνειν εἰς Λιβύην Καῖσαρ ἐπὶ Κάτωνα καὶ Σκηπίωνα, Βρούτῳ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεψεν εὐτυχίᾳ τινὶ τῆς ἐπαρχίας· τὰς γὰρ ἄλλας ὕβρει καὶ πλεονεξίᾳ τῶν πεπιστευμένων ὥσπερ αἰχμαλώτους διαφορούντων, ἐκείνοις καὶ τῶν πρόσθεν ἀτυχημάτων παῦλα καὶ παραμυθία Βροῦτος ἦν καὶ τὴν χάριν εἰς Καίσαρα πάντων ἀνῆπτεν, ὡς αὐτῷ μετὰ τὴν ἐπάνοδον περιιόντι τὴν f Ἰταλίαν ἥδιστον θέαμα τὰς ὑπὸ Βρούτῳ πόλεις γενέσθαι καὶ Βροῦτον αὐτὸν αὔξοντα τὴν ἐκείνου τιμὴν καὶ συνόντα κεχαρισμένως.

VII. Ἐπεὶ δὲ πλειόνων στρατηγιῶν οὐσῶν τὴν μέγιστον ἔχουσαν ἀξίωμα, καλουμένην δὲ πολιτικὴν ἐπί-
987 δοξος ἦν ἢ Βροῦτος ἕξειν ἢ Κάσσιος, οἱ μὲν αὐτοὺς a λέγουσιν ἐξ αἰτιῶν προτέρων ἡσυχῇ διαφερομένους ἔτι μᾶλλον ὑπὲρ τούτου διαστασιάσαι, καίπερ οἰκείους ὄντας· Ἰουνίᾳ γὰρ, ἀδελφῇ Βρούτου, συνῴκει Κάσσιος. Οἱ δὲ Καίσαρος ἔργον γενέσθαι τὴν φιλονεικίαν ταύτην ἑκατέρῳ κρύφα δι' ἐλπίδων ἐνδιδόντος ἑαυτὸν, ἄχρι οὗ προαχθέντες οὕτω καὶ παροξυνθέντες εἰς ἀγῶνα κατέστησαν. Ἠγωνίζετο δὲ Βροῦτος εὐκλείᾳ καὶ ἀρετῇ πρὸς πολλὰ τοῦ Κασσίου καὶ λαμπρὰ τὰ Παρθικὰ νεανιεύματα. (2) Καῖσαρ δ' ἀκούσας καὶ βουλευόμενος ἐν τοῖς φίλοις εἶπε· « Δικαιότερα μὲν λέγει Κάσσιος, b Βρούτῳ δὲ τὴν πρώτην δοτέον. » Ἀπεδείχθη δὲ Κάσσιος ἐφ' ἑτέρᾳ στρατηγὸς, οὐ τοσοῦτον εὐνοίας ἔχων δι' ἣν ἔλαβεν, ὅσον ὀργῆς ὧν ἀπέτυχε. (3) Βροῦτος δὲ καὶ τἄλλα μετεῖχε τῆς Καίσαρος δυνάμεως ὅσον ἐβούλετο. Βουλομένῳ γὰρ ὑπῆρχεν εἶναι τῶν φίλων πρώτῳ καὶ δύνασθαι πλεῖστον· ἀλλ' εἷλκεν αὐτὸν ἡ περὶ Κάσσιον ἑταιρεία καὶ ἀπέστρεφεν, αὐτῷ μὲν οὔπω Κασσίῳ διηλλαγμένον ἐξ ἐκείνης τῆς φιλοτιμίας, ἀκούοντα δὲ τῶν φίλων διακελευομένων μὴ περιορᾶν αὐτὸν ὑπὸ Καίσαρος μαλασσόμενον καὶ κηλούμενον, ἀλλὰ φεύγειν τὰς τυραννικὰς φιλοφροσύνας καὶ χάριτας, αἷς οὐ τιμῶντα τὴν ἀρετὴν, ἀλλ' ἐκτέμνοντα τὴν ἀλκὴν καὶ τὸν θυμὸν c ὑπερείποντα χρῆσθαι πρὸς αὐτόν.

VIII. Οὐ μὴν οὐδὲ Καῖσαρ ἀνύποπτος ἦν πάμπαν

Brutus, perlatus perierat. Porro et Cassio Cæsarem Brutus placavit. (3) Et vero etiam quum regi Afrorum patrocinans multitudine criminum ei objectorum vinceretur, deprecans pro eo obtinuit ut magnam ditionis partem non amitteret. Ac fertur Cæsar, quum eum primum audivisset dicentem, ad amicos dixisse : Haud scio quid hic juvenis velit; sed quidquid vult, valde vult. (4) Ea animi gravitate præditus erat Brutus, ut non facile cuivis petenti abs se quippiam gratificaretur; quod vero agendum sibi rationibus consilioque adductus statuisset, ad id valido efficacique ferebatur impetu. Neque adulationibus se ad probandas injustas preces adduci patiebatur, et importunitati impudenter petentium succumbere (id quod nonnulli verecundia vinci appellant) turpissimum magno viro judicans esse, dicere solebat : videri sibi male illos tempus suum collocasse, qui nihil didicerint denegare. (5) Adversus Catonem et Scipionem in Africam trajecturus Cæsar Galliæ citeriori Brutum bona quadam ejus provinciæ fortuna præfecit. Quum enim reliquæ libidine et avaritia eorum quibus commissæ erant tanquam bello captæ diriperentur, huic prius toleratarum miseriarum levamen et solatium Brutus fuit, omnium suorum beneficiorum gratiam ad Cæsarem referens; itaque huic in Italiam reverso urbes Bruto creditæ jucundissimo fuerunt spectaculo, augente simul gloriam ipsius Bruto, qui una gratiose circumibat.

VII. Multæ sunt in republica præturæ, quarum ea quæ urbana dicitur, dignitate ceteris omnibus præstat; videbatur autem vel Brutus eam consecuturus, vel Cassius. Sunt qui dicant hos, quum jam ante simultates nescio quam ob rem mutuas exercerent, gravius tum ejus præturæ causa contendisse licet necessarios, quippe Juniam Bruti sororem Cassius habebat in matrimonio. Quidam aiunt Cæsaris opera hanc fuisse simultatem, utrique occulte suam pollicentis operam, accensam, dum ita impulsi et concitati in hoc certamen pertraherentur. Brutus virtute et gloria adversus multa ac præclara Cassii Parthica facinora contendebat. (2) Cæsar, auditis eorum petitionibus, cum amicis eo de negotio consultans, justiora afferre Cassium dixit, Bruto tamen primam esse dandam. Ita Cassius alia prætura ornatus, non tantum gratiæ ob impetratum magistratum Cæsari habuit, quantum iræ ob alterius repulsam in eum concepit. Brutus autem ceteris quoque in rebus potentiæ Cæsaris fructus quantos vellet percepit. (3) Ac licebat ei sane primo inter amicos Cæsaris loco esse, plurimumque posse, modo ita voluisset. Sed eum Cassii societas a Cæsare ad se retrahebat, tametsi nondum reconciliata cum illo gratia. Verum amici instabant, hortantes ne se ipsum a Cæsare demulcendo emolliri pateretur, sed amicitiam tyranni et blanditias fugeret, non honorandæ virtutis, sed enervandi roboris subruendique animi causa talem se ipsi præbentis.

VIII. Et quidem non omni suspicione de Bruto Cæsar

οὐδ' ἀδιάβλητος πρὸς αὐτὸν, ἀλλὰ τὸ μὲν φρόνημα καὶ τὸ ἀξίωμα καὶ τοὺς φίλους ἐδεδίει τοῦ ἀνδρὸς, ἐπίστευε δὲ τῷ ἤθει. Καὶ πρῶτον μὲν Ἀντωνίου καὶ Δολοβέλλα λεγομένων νεωτερίζειν, οὐχ ἔφη τοὺς παχεῖς καὶ κομήτας ἐνοχλεῖν, ἀλλὰ τοὺς ὠχροὺς καὶ ἰσχνοὺς ἐκείνους, Βροῦτον λέγων καὶ Κάσσιον. Ἔπειτα τὸν Βροῦτον τινῶν διαβαλλόντων καὶ φυλάττεσθαι παρακελευομένων, τῇ χειρὶ τοῦ σώματος ἁπτόμενος εἶπε· « Τί δέ; οὐκ ἂν ὑμῖν δοκεῖ Βροῦτος ἀναμεῖναι τουτὶ τὸ σαρκίον; » ὡς d οὐδενὶ προσῆκον ἄλλῳ μεθ' ἑαυτὸν ἢ Βρούτῳ δύνασθαι τοσοῦτον. Καὶ μέντοι δοκεῖ πρῶτος ἂν ἐν τῇ πόλει γενέσθαι βεβαίως ὀλίγον χρόνον ἀνασχόμενος Καίσαρι δευτερεῦσαι καὶ παρακμάσαι τὴν δύναμιν αὐτοῦ καὶ μαρανθῆναι τὴν ἐπὶ τοῖς κατορθώμασιν ἐάσας δόξαν. (2) Ἀλλὰ Κάσσιος, ἀνὴρ θυμοειδὴς καὶ μᾶλλον ἰδίᾳ μισοκαῖσαρ ἢ κοινῇ μισοτύραννος, ἐξέκαυσε καὶ κατήπειξε. Λέγεται δὲ Βροῦτος μὲν τὴν ἀρχὴν βαρύνεσθαι, Κάσσιος δὲ τὸν ἄρχοντα μισεῖν, ἄλλα τε κατ' αὐτοῦ ποιούμενος ἐγκλήματα καὶ λεόντων ἀφαίρεσιν, οὓς Κάσσιος μὲν ἀγορανομεῖν μέλλων παρεσκευάσατο, Καῖσαρ δὲ καταληφθέντας ἐν Μεγάροις, ὅθ' ἡ πόλις ἥλω διὰ e Καληνοῦ, κατέσχε. (3) Ταῦτα τὰ θηρία συμφορὰν λέγεται μεγάλην γενέσθαι Μεγαρεῦσιν. Οἱ μὲν γὰρ ἤδη τῆς πόλεως καταλαμβανομένης διέσπασαν τὰ κλεῖθρα καὶ τοὺς δεσμοὺς ἀνῆκαν, ὡς ἐμποδὼν εἴη τὰ θηρία τοῖς ἐπιφερομένοις, τὰ δ' ὥρουσεν εἰς αὐτοὺς ἐκείνους καὶ διαθέοντας ἀνόπλους ἥρπαζεν, ὥστε καὶ τοῖς πολεμίοις τὴν ὄψιν οἰκτρὰν γενέσθαι.

IX. Τῷ δ' οὖν Κασσίῳ ταύτην μάλιστά φασιν αἰτίαν ὑπάρξαι τῆς ἐπιβουλῆς, οὐκ ὀρθῶς λέγοντες. Ἐξ ἀρχῆς γὰρ ἦν τῇ φύσει τοῦ Κασσίου δυσμένειά τις καὶ χαλεπότης πρὸς τὸ γένος τῶν τυράννων, ὡς ἐδήλωσεν ἔτι παῖς ὢν βαδίζων εἰς ταὐτὸ τῷ τοῦ Σύλλα παιδὶ Φαύστῳ f διδασκαλεῖον. Ὁ μὲν γὰρ ἐν τοῖς παισὶ μεγαληγορῶν τὴν τοῦ πατρὸς ἐπῄνει μοναρχίαν, ὁ δὲ Κάσσιος ἐπαναστὰς κονδύλους ἐνέτριβεν αὐτῷ. Βουλομένων δὲ τῶν ἐπιτρόπων τοῦ Φαύστου καὶ οἰκείων ἐπεξιέναι καὶ δι-988 κάζεσθαι, Πομπήιος ἐκώλυσε, καὶ συναγαγὼν εἰς ταὐτὸ a τοὺς παῖδας ἀμφοτέρους, ἀνέκρινε περὶ τοῦ πράγματος. Ἔνθα δὴ λέγεται τὸν Κάσσιον εἰπεῖν· « Ἄγε δὴ, ὦ Φαῦστε, τόλμησον ἐναντίον τούτου φθέγξασθαι τὸν λόγον ἐκεῖνον, ἐφ' ᾧ παρωξύνθην, ἵνα σου πάλιν ἐγὼ συντρίψω τὸ στόμα. » (2) Τοιοῦτος μὲν ὁ Κάσσιος· Βροῦτον δὲ πολλοὶ μὲν λόγοι παρὰ τῶν συνήθων, πολλαῖς δὲ φήμαις καὶ γράμμασιν ἐξεκαλοῦντο καὶ παρώρμων ἐπὶ τὴν πρᾶξιν οἱ πολῖται. Τῷ μὲν γὰρ ἀνδριάντι τοῦ προπάτορος Βρούτου τοῦ καταλύσαντος τὴν τῶν βασιλέων ἀρχὴν ἐπέγραφον « Εἴθε νῦν ἦς [Βροῦτος] » καὶ « Ὤφελε ζῆν Βροῦτος. » Τὸ δ' αὐτοῦ Βρούτου βῆμα b στρατηγοῦντος εὑρίσκετο μεθ' ἡμέραν ἀνάπλεων γραμμάτων τοιούτων· « Βροῦτε, καθεύδεις; » καὶ « Οὐκ εἶ Βροῦτος ἀληθῶς. » Αἴτιοι δὲ τούτων οἱ Καίσαρος κόλακες ἄλλας τε τιμὰς ἐπιφθόνους ἀνευρίσκοντες αὐτῷ καὶ διαδήματα τοῖς ἀνδριάσι νύκτωρ ἐπιτιθέντες, ὡς τοὺς

vacabat, erantque ad ipsum nonnullæ adversus eum delatæ calumniæ, sed magnitudinem animi, dignitatem amicosque Bruti metuens, moribus tamen hominis fidebat. Ac primum allato Dolabellam et Antonium novas res moliri, non sibi pingues et comatos negotium facessere dixit, sed pallidos et graciles istos, Brutum indicans et Cassium. Deinde Brutum quibusdam traducentibus utque sibi ab eo caveret monentibus, manu corpus suum tangens : An vobis, inquit, videtur Brutus hanc carunculam non exspectaturus? significans tantam, quanta præditus ipse esset, potentiam præter se nemini nisi Bruto convenire. Et vero videtur Brutus princeps haud dubie civitatis futurus fuisse, si aliquandiu secundus esse Cæsari sustinuisset, dum potentia illius et tot rerum gestarum gloria elangueret. (2) Sed Cassius, homo iracundus, magisque privatim Cæsari quam publice tyrannis infensus, eum inflammavit et ad festinandum impulit. Ferunt Bruto principatum, Cassio principem invisum fuisse, huncque quum alias odii causas habuisse, tum leones, quos ipse ædilicium munus exhibiturus comparaverat, Cæsar autem Megaræ, quum urbs ea a Caleno esset capta, deprehensos retinuerat. (3) Magnam leones illi calamitatem Megarensibus intulisse perhibentur. Quum enim cives urbe jam occupata claustra diripuissent et vincula solvissent, ut hosti irruenti leones impedimento essent, feræ in ipsos cives conversæ, inermes passim discurrendo laniarunt, ita ut ipsis hostibus aspectus is miserandus esset.

IX. Ceterum errant qui hanc potissimum causam illi insidiarum in Cæsarem fuisse tradunt. Nam jam inde ab initio odium quoddam universi tyrannorum generis Cassio natura ingeneraverat, id quod puer adhuc ipse demonstravit. Quum enim Faustus Sullæ filius, qui in eundem ludum commeabat, inter pueros patris sui dominationem jactantius prædicaret, insurgens Cassius pugnos ei incussit, quod quum tutores necessariique Fausti ulcisci et injuriam judicio persequi vellent, Pompeius obstitit, puerisque ad se vocatis de eo facto quæstionem habuit. Ibi ferunt Cassium dixisse : Agedum, Fauste, aude coram hoc viro istam tuam qua irritatus fui orationem referre, ut tibi rursus os ego comminuam. (2) Talis quidem fuit Cassius. Brutum autem multi familiarium sermones, multi civium rumores et literæ ad facinus excitarunt; quippe statuæ prisci illius qui reges ejecerat Bruti subscripserunt, Utinam nunc esses, et Utinam viveret Brutus; atque ipsius Bruti tribunal, ubi prætor jus dicebat, interdiu repertum est plenum hujusmodi litterarum : Brute, dormin'? et, Non vere Brutus es. Horum in Cæsarem populi odiorum causas præbuerunt assentatores, qui et alios honores invidiæ obnoxios Cæsari habendos excogitaverant, et statuis ejus noctu diademata imposuerant, quasi multitudinem illecturi

πολλοὺς ὑπαξόμενοι βασιλέα προσειπεῖν ἀντὶ δικτάτωρος. Τοὐναντίον δ' ἀπήντησεν, ὡς ἐν τοῖς περὶ Καίσαρος ἀκριβῶς γέγραπται.

X. Κασσίῳ δὲ πειρῶντι τοὺς φίλους ἐπὶ Καίσαρα πάντες ὡμολόγουν, εἰ Βροῦτος ἡγοῖτο· δεῖσθαι γὰρ οὐ χειρῶν οὐδὲ τόλμης τὴν πρᾶξιν, ἀλλὰ δόξης ἀνδρὸς, οἷος οὗτός ἐστιν, ὥσπερ καταρχομένου καὶ βεβαιοῦντος c αὐτῷ τῷ παρεῖναι τὸ δίκαιον· εἰ δὲ μὴ, καὶ δρῶντας ἀθυμοτέρους ἔσεσθαι καὶ δράσαντας ὑποπτοτέρους, ὡς οὐκ ἂν ἐκείνου τὸ ἔργον, εἰ καλὴν αἰτίαν εἶχεν, ἀπειπαμένου. (2) Ταῦτα συμφρονήσας ἐνέτυχε Βρούτῳ πρότερος ἐκ τῆς διαφορᾶς ἐκείνης. Καὶ μετὰ τὰς διαλύσεις καὶ φιλοφροσύνας ἠρώτησεν, εἰ τῇ νουμηνίᾳ τοῦ Μαρτίου μηνὸς ἔγνωκεν εἰς σύγκλητον παρεῖναι· πυνθάνεσθαι γὰρ, ὡς λόγον ὑπὲρ βασιλείας Καίσαρος οἱ φίλοι τότε καθήσοιεν. Φήσαντος δὲ τοῦ Βρούτου μὴ παριέναι· « Τί οὖν, εἶπεν ὁ Κάσσιος, ἂν καλῶσιν ἡμᾶς »; « Ἐμὸν ἔργον, ἔφη Βροῦτος, ἤδη τὸ μὴ d σιωπᾶν, ἀλλ' ἀμύνειν καὶ προαποθνήσκειν τῆς ἐλευθερίας. » (3) Καὶ ὁ Κάσσιος ἐπαρθεὶς, « Τίς δ', εἶπε, Ῥωμαίων ἀνέξεται σοῦ προαποθνήσκοντος; Ἆρ' ἀγνοεῖς, ὦ Βροῦτε, σεαυτόν; ἢ τὸ βῆμά σου δοκεῖς καταγράφειν τοὺς ὑφάντας καὶ τοὺς καπήλους, οὐχὶ τοὺς πρώτους καὶ κρατίστους ταῦτα ποιεῖν, παρὰ μὲν τῶν ἄλλων στρατηγῶν ἐπιδόσεις καὶ θέας καὶ μονομάχους, παρὰ σοῦ δὲ ὡς ὄφλημα πατρικὸν τὴν κατάλυσιν τῆς τυραννίδος ἀπαιτοῦντας, αὐτοὺς δ' ὑπὲρ σοῦ πάντα πάσχειν προθύμους ὄντας, οἷον ἀξιοῦσι καὶ προσδέχονται, φανέντος; « Ἐκ τούτου περιβαλὼν τὸν Βροῦτον ἠσπάζετο καὶ διαλυθέντες οὕτως ἐτρέποντο πρὸς τοὺς φίλους. e

XI. Ἦν δέ τις Γάϊος Λιγάριος τῶν Πομπηΐου φίλων, ὃν ἐπὶ τούτῳ κατηγορηθέντα Καῖσαρ ἀπέλυσεν. Οὗτος οὐχ ἧς ἀφείθη δίκης χάριν ἔχων, ἀλλὰ δι' ἣν ἐκινδύνευσεν ἀρχὴν βαρυνόμενος ἐχθρὸς ἦν Καίσαρι, τῶν δὲ περὶ Βροῦτον ἐν τοῖς μάλιστα συνήθης. Πρὸς τοῦτον ἀσθενοῦντα Βροῦτος εἰσελθὼν, « Ὦ Λιγάριε, εἶπεν, ἐν οἵῳ καιρῷ νοσεῖς. » Κἀκεῖνος εὐθὺς εἰς ἀγκῶνα διαναστὰς καὶ λαβόμενος αὐτοῦ τῆς δεξιᾶς, « Ἀλλ' εἴ τι, φησὶν, ὦ Βροῦτε, σεαυτοῦ φρονεῖς ἄξιον, ὑγιαίνω. »

XII. Ἐκ τούτου διαπειρώμενοι κρύφα τῶν γνωρίμων οἷς ἐπίστευον ἀνεκοινοῦντο καὶ προσελάμβανον, οὐ f μόνον τῶν συνήθων ποιούμενοι τὴν αἵρεσιν, ἀλλ' ὅσους ἠπίσταντο τολμητὰς ὄντας ἀγαθοὺς καὶ θανάτου καταφρονητάς. Διὸ καὶ Κικέρωνα, τοῦτο μὲν πίστεως, τοῦτο δὲ εὐνοίας ἕνεκα πρῶτον ὄντα παρ' αὐτοῖς, ἀπεκρύψαντο, μὴ τῇ φύσει τόλμης ἐνδεὴς εἶναι προσειληφὼς ὑπὸ χρόνου γεροντικὴν εὐλάβειαν, εἶτα πάντα καθ' ἕκαστον ἀνάγων τοῖς λογισμοῖς εἰς ἄκραν ἀσφάλειαν ἀμ-
989 βλύνῃ τὴν ἀκμὴν αὐτῶν τῆς προθυμίας τάχους δεομένην. a
(2) Ἐπεὶ καὶ τῶν ἄλλων ἑταίρων ὁ Βροῦτος Στατίλιόν τε παρέλιπε τὸν Ἐπικούρειον καὶ Φαώνιον ἐραστὴν Κάτωνος, ὅτι πόῤῥωθεν αὐτοῖς τοιαύτην τινὰ κύκλῳ περιβαλόντος ἐν τῷ διαλέγεσθαι καὶ συμφιλοσοφεῖν πεῖραν, ὁ μὲν Φαώνιος ἀπεκρίνατο χεῖρον εἶναι μοναρ-

ut pro dictatore regem eum appellarent. Sed hoc secus cecidit, quemadmodum in Cæsaris Vita accurate scripsimus.

X. Cassio amicorum animos in Cæsarem pertentanti omnes ea conditione assensi sunt, si Brutus ducem se præberet; non enim manibus, non audacia hoc facinus indigere, sed gloria viri, qualis Brutus sit, qui auctor sua præsentia confirmet, jure id factum esse; alioquin et in eo perpetrando facinore sibi minus animi et re confecta suspectos fore, quod ita sint homines existimaturi, nunquam Brutum societatem ejus facinoris, si ab honesta causa esset profectum, recusaturum fuisse. (2) Hæc secum expendens Cassius prior Brutum post illam contentionem accessit, quumque reditum in gratiam et renovata amicitia esset, interrogavit, essetne Kalendis Martiis in senatum venturus; audivisse enim se, ea die de regno Cæsari deferendo amicos ejus relaturos. Bruto se venturum negante : Quid ergo, inquit, si nos vocent? Tum Brutus : Meum jam erit non silere, verum libertatem tueri, ac pro ea vitam profundere. (3) His excitatus Cassius : Quis vero, ait, Brute, Romanorum te pro libertate mori sustinebit? an te ipsum ignoras? an a textoribus et cauponibus, non a primis et potentissimis civibus inscribi tribunal tuum credis : ab aliis prætoribus largitiones, spectacula et gladiatores illi, a te veluti paternum debitum exigunt tyrannidis eversionem, parati quidvis pro te subire, si te eis, qualem postulant et optant, præbueris. Hæc fatus, Brutum amplexus est, et salutavit; sic digressi se ad amicos converterunt.

XI. Erat quidem C. Ligarius, unus ex amicis Pompeianis, quem et eo nomine accusatum Cæsar absolverat. Is non gratus ob eam veniam, sed dominationi ob quam in discrimen venerat infensus Cæsarique erat, summus Bruti familiaris. Ad hunc tum ægrotantem Brutus ingressus, O Ligari, inquit, quam alieno tempore ægrotas; tum is in cubitum se continuo elevans, dextra ejus apprehensa : Ego vero, Brute, ait, si quid te dignum animo concipis, valeo.

XII. Inde animis notorum hominum, quibus fidebant, exploratis, rem cum iis communicant, asciscuntque sibi non modo de familiaribus delectos, sed et si quos alios animo intrepido mortisque contemptores sciebant esse. Quæ causa fuit ut Ciceronem, qui fidei benevolentiæque causa primas apud eos tenebat, institutum suum celarent, ne is, qui timiditati sibi innatæ per ætatem jam senilem etiam in cavendo accurationem adjunxerat, singulorum rationes ut quam tutissima essent subducendo vigorem ipsorum conatus, celeritatem desiderantis, debilitaret. (2) Sic de amicis suis Brutus Statilium quoque Epicureum, et Favonium Catonis sectatorem præteriit, quod quum per ambages inter commentandum de rebus philosophicis de ea re animos eorum tentasset, Favonius injusto unius prin-

χίας παρανόμου πόλεμον ἐμφύλιον, ὁ δὲ Στατίλιος ἔφη τῷ σοφῷ καὶ νοῦν ἔχοντι διὰ φαύλους καὶ ἀνοήτους κινδυνεύειν καὶ ταράττεσθαι μὴ καθήκειν. (3) Παρὼν δὲ Λαβεὼν ἀντεῖπεν ἀμφοτέροις. Καὶ ὁ Βροῦτος τότε μέν, ὡς ἔχοντός τι τοῦ λόγου χαλεπὸν καὶ δύσκριτον, ἀπεσιώπησεν, ὕστερον δὲ Λαβεῶνι κοινοῦται τὸ βούλευμα. b Δεξαμένου δὲ προθύμως, τὸν ἕτερον Βροῦτον, ἐπίκλησιν Ἀλβῖνον, ἄλλως μὲν οὐκ ὄντα ῥέκτην οὐδὲ θαῤῥαλέον, ἐῤῥωμένον δὲ πλήθει μονομάχων, οὓς ἐπὶ θέᾳ Ῥωμαίων ἔτρεφε, καὶ παρὰ Καίσαρι πιστευόμενον ἐδόκει προσάγεσθαι. Κασσίου δὲ καὶ Λαβεῶνος αὐτῷ διαλεγομένων οὐδὲν ἀπεκρίνατο, Βρούτῳ δ' αὐτὸς ἐντυχὼν ἰδίᾳ καὶ μαθὼν ὅτι τῆς πράξεως ἡγεμών ἐστιν, ὡμολόγησε συμπράξειν προθύμως. (4) Καὶ τῶν ἄλλων δὲ τοὺς πλείστους καὶ ἀρίστους ἡ δόξα τοῦ Βρούτου προσήγετο. Καὶ μήθ' ὅρκον συνομόσαντες μήτε πίστιν καθ' ἱερῶν λαβόντες ἢ δόντες οὕτως ἅπαντες ἔσχον ἐν ἑαυτοῖς καὶ c κατεσιώπησαν καὶ συνδιήνεγκαν, ὥστε μαντείαις καὶ φάσμασι καὶ ἱεροῖς ὑπὸ τῶν θεῶν προδεικνυμένην ἄπιστον γενέσθαι τὴν πρᾶξιν.

XIII. Ὁ δὲ Βροῦτος, ἅτε δὴ τὰ πρῶτα τῆς Ῥώμης φρονήματα καὶ γένη καὶ ἀρετὰς ἐξηρτημένος ἑαυτοῦ καὶ περινοῶν πάντα τὸν κίνδυνον, ἔξω μὲν ἐπειρᾶτο κατέχειν παρ' ἑαυτῷ καὶ κατακοσμεῖν τὴν διάνοιαν, οἴκοι δὲ καὶ νύκτωρ οὐκ ἦν ὁ αὐτὸς, ἀλλὰ τὰ μὲν ἄκοντα τῶν ὕπνων αὐτὸν ἡ φροντὶς ἐξέφερε, τὰ δὲ μᾶλλον ἐνδυόμενος τῷ λογισμῷ καὶ διατρίβων ἐν ταῖς ἀπορίαις οὐκ ἐλάνθανε τὴν γυναῖκα συναναπαυομένην, ὅτι μεστός d ἐστι ταραχῆς ἀήθους καὶ κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βούλευμα καὶ δυσεξέλικτον. (2) Ἡ δὲ Πορκία θυγάτηρ μὲν, ὥσπερ εἴρηται, Κάτωνος ἦν, εἶχε δ' αὐτὴν ὁ Βροῦτος ἀνεψιὸς ὢν οὐκ ἐκ παρθενίας, ἀλλὰ τοῦ προτέρου τελευτήσαντος ἀνδρὸς ἔλαβε κόρην οὖσαν ἔτι καὶ παιδίον ἔχουσαν ἐξ ἐκείνου μικρὸν, ᾧ Βύβλος ἦν ὄνομα· καί τι βιβλίδιον μικρὸν ἀπομνημονευμάτων Βρούτου γεγραμμένον ὑπ' αὐτοῦ διασώζεται. Φιλόσοφος δ' ἡ Πορκία καὶ φίλανδρος οὖσα καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος οὐ πρότερον ἐπεχείρησεν ἀνερέσθαι τὸν ἄνδρα περὶ τῶν ἀποῤῥήτων ἢ λαβεῖν ἑαυτῆς τοιαύτην διάπειραν. e Λαβοῦσα μαχαίριον, ᾧ τοὺς ὄνυχας οἱ κουρεῖς ἀφαιροῦσι, καὶ πάσας ἐξελάσασα τοῦ θαλάμου τὰς ὀπαδοὺς τομὴν ἐνέβαλε τῷ μηρῷ βαθεῖαν, ὥστε ῥύσιν αἵματος πολλὴν γενέσθαι καὶ μετὰ μικρὸν ὀδύνας τε νεανικὰς καὶ φρικώδεις πυρετοὺς ἐπιλαβεῖν ἐκ τοῦ τραύματος. (3) Ἀγωνιῶντος δὲ τοῦ Βρούτου καὶ δυσφοροῦντος, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα διελέχθη πρὸς αὐτὸν οὕτως· « Ἐγὼ, Βροῦτε, Κάτωνος οὖσα θυγάτηρ εἰς τὸν σὸν ἐδόθην οἶκον οὐχ, ὥσπερ αἱ παλλακευόμεναι, κοίτης μεθέξουσα καὶ τραπέζης μόνον, ἀλλὰ κοινωνὸς μὲν ἀγαθῶν εἶναι, κοινωνὸς δὲ ἀνιαρῶν. Τὰ μὲν οὖν σὰ πάντα περὶ τὸν γάμον ἄμεμπτα, τῶν δὲ παρ' ἐμοῦ τίς ἀπόδειξις ἢ χάρις, f εἰ μήτε σοὶ πάθος ἀπόῤῥητον συνδιοίσω μήτε φροντίδα πίστεως δεομένην; Οἶδ' ὅτι γυναικεία φύσις ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν ἀπόῤῥητον· ἀλλ' ἔστι τις,

cipatu bellum intestinum pejus esse, Statilius, sapientis non esse propter malos et stultos in periculum se et turbas dare, responderat. (3) Labeo tum interfuerat, et contra utrumque dixerat; huic postea, quum se quæstionem pro difficili et perplexa habere simulans tunc obticuisset, consilium suum Brutus detexit, promptumque in coeunda facinoris societate eum habuit. Visum deinde Brutum etiam Albinum adjungere, virum neque strenuum sane neque audacem, sed gladiatorum manu, quos ad exhibendos Romanis ludos alebat, munitum, et cui fidem Cæsar haberet. Is Cassio ac Labeoni rem aperientibus quum nihil respondisset, cum Bruto seorsum collocutus, ut hunc ducem facinoris fore audivit, promptam suam operam detulit. (4) Reliquorum etiam plurimos et præstantissimos Bruti auctoritas ad eam conspirationem illexit. Tanta autem fide et taciturnitate rem penes se illi omnes continuerunt atque occultarunt, quanquam neque juramento se mutuo neque data acceptaque cum sacrorum obtestatione fide obstrinxerant, ut quanquam auguriis, ostentis hostiarumque prodigiis divinitus eorum institutum indicaretur, fidem tamen nemo habuerit.

XIII. Enimvero Brutus, ut qui civium magnitudine animi, nobilitate ac virtute primis ducem se et auctorem facinoris præbuisset, periculumque animo totum cerneret, foris conatus animi sui curas dissimulare atque pacata et tranquilla omnia præ se ferre, domi et noctu alius erat, quum modo invito somnum sollicitudinibus excutientibus, modo altioribus defixo eo cogitationibus diutiusque immorante, uxorem una cubantem non falleret plenum eum insolitæ perturbationis esse, et volvere secum grave aliquod perplexumque consilium. (2) Erat ea Porcia, filia, ut diximus, Catonis, qui Bruti fuit avunculus, quam ille non virginem duxerat, sed viduam ætate integra, quæ ex priore marito filiolum habebat Bibulum nomine, cujus exstat Memorabilium Bruti exiguus libellus. Hæc ut erat sapientiæ juxta atque viri studiosa, magnoque et prudenti animo prædita, non aggressa prius arcanum mariti expiscari, quam se ipsam explorasset, scalpello, quo ungues solet præcidere tonsor, arrepto, omnibus pedissequis cubili ejectis, vulnus femori profundum inflixit, ita ut sanguinis multum profluxerit, ipsamque paullo post acres dolores, horroresque febriles corriperent. (3) Bruto anxio et ægre casum istum ferente, ita eum quum maxime vigeret dolor allocuta est : « Ego, Brute, Catonis filia tibi nuptum tradita sum, non ut pellicis in morem lecti tantum et mensæ, sed quum bonorum tum adversorum omnium tecum essem particeps. Quod ad te attinet, plane reprehendi in hoc nostro conjugio nihil potest; ego autem qua re meum tibi animum demonstrabo, quamve referam gratiam, si non in occulta perturbatione et sollicitudine fidelitatem requirente perferenda sociam me tibi addidero? Non sum nescia muliebrem naturam pro imbecilla haberi

ὦ Βροῦτε, καὶ τροφῆς ἀγαθῆς καὶ ὁμιλίας χρηστῆς εἰς ἦθος ἰσχύς· ἐμοὶ δὲ καὶ τὸ Κάτωνος εἶναι θυγατέρα
990 καὶ τὸ Βρούτου γυναῖκα πρόσεστιν· οἷς πρότερον μὲν a
ἧττον ἐπεποίθειν, νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον εἶναι.» (4) Ταῦτ' εἰποῦσα δείκνυσιν αὐτῷ τὸ τραῦμα καὶ διηγεῖται τὴν πεῖραν. Ὁ δ' ἐκπλαγεὶς καὶ ἀνατείνας τὰς χεῖρας ἐπεύξατο δοῦναι τοὺς θεοὺς αὐτῷ κατορθοῦντι τὴν πρᾶξιν ἀνδρὶ Πορκίας ἀξίῳ φανῆναι. Καὶ τότε μὲν ἀνελάμβανε τὴν γυναῖκα.

XIV. Προγραφείσης δὲ βουλῆς, εἰς ἣν ἐπίδοξος ἦν ἀφίξεσθαι Καῖσαρ, ἔγνωσαν ἐπιχειρεῖν· καὶ γὰρ ἀθρόοι μετ' ἀλλήλων ἀνυπόπτως ἔσεσθαι τότε καὶ πάντας ἕξειν ὁμοῦ τοὺς ἀρίστους καὶ πρώτους ἄνδρας ἔργου μεγάλου πραχθέντος εὐθὺς ἀντιλαμβανομένους τῆς ἐλευθερίας. Ἐδόκει δὲ καὶ τὸ τοῦ τόπου θεῖον εἶναι καὶ b
πρὸς αὐτῶν. Στοὰ γὰρ ἦν, μία τῶν περὶ τὸ θέατρον, ἐξέδραν ἔχουσα, ἐν ᾗ Πομπηίου τις εἰκὼν εἱστήκει, τῆς πόλεως στησαμένης, ὅτε ταῖς στοαῖς καὶ τῷ θεάτρῳ τὸν τόπον ἐκεῖνον ἐκόσμησεν. Εἰς ταύτην οὖν ἡ σύγκλητος ἐκαλεῖτο τοῦ Μαρτίου μηνὸς μάλιστα μεσοῦντος· Εἰδοὺς Μαρτίας τὴν ἡμέραν Ῥωμαῖοι καλοῦσιν· ὥστε καὶ δαίμων τις ἐδόκει τὸν ἄνδρα τῇ Πομπηίου δίκῃ προσάξειν. (2) Ἐλθούσης δὲ τῆς ἡμέρας, Βροῦτος μὲν ὑποζωσάμενος ἐγχειρίδιον μόνης συνειδυίας τῆς γυναικὸς προῆλθεν, οἱ δ' ἄλλοι πρὸς Κάσσιον ἀθροισθέντες τὸν υἱὸν αὐτοῦ τὸ καλούμενον ἀνδρεῖον ἱμάτιον ἀνα- c
λαμβάνοντα κατῆγον εἰς ἀγοράν. Ἐκεῖθεν δὲ πάντες εἰς τὴν Πομπηίου στοὰν ἐμβαλόντες διέτριβον, ὡς αὐτίκα Καίσαρος ἀφιξομένου πρὸς τὴν σύγκλητον. (3) Ἔνθα δὴ μάλιστα τῶν ἀνδρῶν τὸ ἀπαθὲς καὶ παρὰ τὰ δεινὰ καθεστηκὸς ἐθαύμασεν ἄν τις εἰδὼς τὸ μέλλον, ὅτι πολλοῖς διὰ τὸ στρατηγεῖν ἀναγκαζόμενοι χρηματίζειν οὐ μόνον πράως ἠκροῶντο τῶν ἐντυγχανόντων καὶ διαφερομένων ὥσπερ σχολάζοντες, ἀλλὰ καὶ τὰς κρίσεις ἑκάστοις ἀκριβεῖς καὶ μετὰ γνώμης ἐδίδοσαν ἐπιμελῶς προσέχοντες. Ἐπεὶ δέ τις μὴ βουλόμενος δίκην ὑποσχεῖν ἐπεκαλεῖτο Καίσαρα καὶ πολὺς ἦν βοῶν καὶ μαρ- d
τυρόμενος, ἀποβλέψας Βροῦτος εἰς τοὺς παρόντας, «Ἐμὲ Καῖσαρ, εἶπεν, οὔτε κωλύει ποιεῖν τὰ κατὰ τοὺς νόμους οὔτε κωλύσει.»

XV. Καίτοι πολλὰ θορυβώδη κατὰ τύχην αὐτοῖς προσέπεσε· πρῶτον μὲν καὶ μάλιστα τὸ βραδύνειν τὸν Καίσαρα τῆς ἡμέρας προηκούσης καὶ δυσιεροῦντα κατέχεσθαι μὲν ὑπὸ τῆς γυναικὸς οἴκοι, κωλύεσθαι δὲ προελθεῖν ὑπὸ τῶν μάντεων. Δεύτερον δὲ Κάσκᾳ τῶν συνειδότων ἑνὶ προσελθών τις καὶ λαβόμενος τῆς δεξιᾶς, «Σὺ μέν, εἶπεν, ἀπεκρύψω τὸ ἀπόρρητον, ὦ Κάσκα, πρὸς ἡμᾶς, Βροῦτος δέ μοι πάντα μεμήνυκεν.» Ἐκπλαγέντος δὲ τοῦ Κάσκα, γελάσας ἐκεῖνος, «Πόθεν, ἔφη, ταχέως e
οὕτως, ὦ μακάριε, πεπλούτηκας, ὥστ' εἰς ἀγορανομίαν ἀποδύεσθαι;» Παρὰ τοσοῦτον μὲν ὁ Κάσκας ἦλθε σφαλεὶς ἀμφιβολίᾳ προέσθαι τὸ ἀπόρρητον. (2) Αὐτὸν δὲ Βροῦτον καὶ Κάσσιον ἀνὴρ βουλευτικὸς Ποπίλιος Λαίνας ἀσπασάμενος προθυμότερον καὶ ψιθυρίσας ἠρέ-

et quæ arcano reticendo non sit; sed profecto, Brute, facit aliquid ad mores honesta educatio et bonorum consuetudo. Mihi hoc insuper suppeditat, quod et Catonis sum filia et uxor Bruti, quibus quum antea minus fiderem, nunc insuperabilem me etiam a dolore esse cognovi.» (4) Hæc locuta, vulnus viro ostendit et factum virtutis periculum narrat. At Brutus attonitus, manus intendens deos comprecatus est, darent sibi, ut re præclare gesta dignus esse Porcia vir demonstraretur. Tum mulierem refecit.

XIV. Indicto senatu quum certo existimaretur ei Cæsar interfuturus, statuerunt rem aggredi, quippe et se tunc nemine quicquam suspicante frequentes ibi futuros, et habituros in promptu primos optimosque viros, qui tanta re confecta statim libertatis defensionem essent suscepturi. Locus quoque omen ipsis prosperum videbatur habere. Porticus erat una earum, quæ theatrum ambiunt, exhedram habens et in ea imaginem Pompeii a populo positam, quum is porticibus et theatro locum istum exornasset. Eo Idibus Martiis advocatus erat senatus, ita ut numen quoddam Cæsarem videatur ad dandas Pompeio pœnas adduxisse. (2) Ea dies quum appetiisset, Brutus pugionem succinctus, sola uxore rei conscia, progressus est, ceteri ad Cassium congregati, filium ejus, qui virilem tunc sumebat togam, in forum deduxerunt. Inde omnes in porticum Pompeii se conferentes, ibi Cæsarem jamjam, ut putabatur, in senatum venturum exspectabant. (3) Hic maxime virorum istorum vacuitatem perturbationum animique in periculo tanto tranquillitatem admirari potuisset, cui de ipsorum instituto constitisset. Quippe multi ipsorum propter magistratus quos gerebant coacti jus dicere, non modo otiosorum instar placide compellantes et disceptantes audiverunt, sed et diligenter attendentes accurate prudenterque sententias tulerunt præsentibus. Et quum quidam judicio parere detrectans ad Cæsarem provocaret, multusque esset in clamando et obtestando, intuens astantes Brutus: Me quidem, inquit, Cæsar secundum leges agere neque vetat, neque vetabit.

XV. Et vero multa tunc ad perturbandos eos fortituto acciderunt; quorum id primum fuit atque præcipuum, quod Cæsar die jam provecta morabatur, quem ob sacra adversa et mulier domi detinebat, et prodire haruspices prohibebant. Deinde ad Cascam, unum ex his qui conspiraverant, accedens quidam manu apprehensa, Tu quidem, inquit, o Casca, arcanum tuum nos celasti, sed Brutus id omne mihi detexit. Consternato ad hæc Casca ridens pergit: Unde enim ita repente ditatus es, ut ædilitatem petere intendas? Tantillum modo abfuit quin Casca ambiguitate lapsus arcanum efferret. (2) Ipsos Brutum et Cassium Popilius Læna, vir senatorii ordinis, quum solito studiosius salutasset, submissa voce, Precor, inquit, vos feliciter

μα, « Συνεύχομαι, φησὶν, ὑμῖν ἐκτελεῖν ἃ κατὰ νοῦν ἔχετε καὶ παρακελεύομαι μὴ βραδύνειν· οὐ γὰρ σιωπᾶται τὸ πρᾶγμα. » Καὶ ταῦτ' εἰπὼν ἀπέστη πολλὴν ὑποψίαν ἐμβαλὼν τοῦ πεπύσθαι τὴν πρᾶξιν. (3) Ἐν τούτῳ δέ τις οἴκοθεν ἔθει πρὸς τὸν Βροῦτον ἀγγέλλων f αὐτῷ τὴν γυναῖκα θνήσκειν. Ἡ γὰρ Πορκία πρὸς τὸ μέλλον ἐκπαθὴς οὖσα καὶ τὸ μέγεθος μὴ φέρουσα τῆς φροντίδος, ἑαυτήν τε μόλις οἴκοι κατεῖχε καὶ πρὸς πάντα θόρυβον καὶ βοὴν, ὥσπερ αἱ κατάσχετοι τοῖς βακχικοῖς πάθεσιν, ἐξάττουσα τῶν μὲν εἰσιόντων ἀπ' ἀγορᾶς ἕκαστον ἀνέκρινεν, ὅ τι πράττοι Βροῦτος, ἑτέρους δὲ συνεχῶς ἐξέπεμπε. (4) Τέλος δὲ τοῦ χρόνου μῆκος λαμβά- a
99 νοντος, οὐκέτ' ἀντεῖχεν ἡ τοῦ σώματος δύναμις, ἀλλ' ἐξελύθη καὶ κατεμαραίνετο τῆς ψυχῆς ἀλυούσης διὰ τὴν ἀπορίαν· καὶ παρελθεῖν μὲν εἰς τὸ δωμάτιον οὐκ ἔφθη, περιίστατο δ' αὐτὴν, ὥσπερ ἐτύγχανεν, ἐν μέσῳ καθεζομένην λιποθυμία καὶ θάμβος ἀμήχανον, ἥ τε χρόα μεταβολὴν ἐλάμβανε καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν. (5) Αἱ δὲ θεράπαιναι πρὸς τὴν ὄψιν ἀνηλάλαξαν, καὶ τῶν γειτόνων συνδραμόντων ἐπὶ θύρας ταχὺ προῆλθε φήμη καὶ διεδόθη λόγος ὡς τεθνηκυίας αὐτῆς. Οὐ μὴν ἀλλ' ἐκείνην μὲν ἀναλάμψασαν ἐν βραχεῖ καὶ παρ' ἑαυτῇ γενομένην αἱ γυναῖκες ἐθεράπευον· ὁ δὲ b
Βροῦτος ὑπὸ τοῦ λόγου προσπεσόντος αὐτῷ συνεταράχθη μὲν, ὡς εἰκὸς, οὐ μήν γε κατέλιπε τὸ κοινὸν οὐδ' ἐρρύη πρὸς τὸ οἰκεῖον ὑπὸ τοῦ πάθους.

XVI. Ἤδη δὲ Καῖσαρ ἀπηγγέλλετο προσιὼν ἐν φορείῳ κομιζόμενος. Ἐγνώκει γὰρ ἐπὶ τοῖς ἱεροῖς ἀθυμῶν μηδὲν ἐπικυροῦν τότε τῶν μειζόνων, ἀλλ' ὑπερβάλλεσθαι σκηψάμενος ἀσθένειαν. Ἐκβάντι δ' αὐτῷ τοῦ φορείου προσρυεὶς Ποπίλιος Λαίνας, ἐκεῖνος ὁ μικρῷ πρόσθεν εὐξάμενος τοῖς περὶ Βροῦτον ἐπιτυγχάνειν καὶ κατορθοῦν, διελέγετο πλείω χρόνον ἐφισταμένῳ καὶ προσέχοντι τὸν νοῦν. (2) Οἱ δὲ συνωμόται (λεγέσθω γὰρ οὕτως) τῆς μὲν φωνῆς οὐκ ἐπαΐοντες αὐτοῦ, τε- c
κμαιρόμενοι δ' ἀφ' ὧν ὑπενόουν μήνυσιν εἶναι τῆς ἐπιβουλῆς τὴν κοινολογίαν, ἀνέπεσόν τε ταῖς γνώμαις καὶ πρὸς ἀλλήλους ἔβλεψαν ἀνθομολογούμενοι διὰ τῶν προσώπων, ὡς χρὴ μὴ περιμένειν σύλληψιν, ἀλλ' εὐθὺς ἀποθνήσκειν δι' αὑτῶν. (3) Κασσίου δ' ἤδη καί τινων ἄλλων τὰς χεῖρας ἐπιβεβληκότων ταῖς λαβαῖς ὑπὸ τὰ ἱμάτια καὶ σπωμένων τὰ ἐγχειρίδια, Βροῦτος ἐγκατιδὼν τῷ τοῦ Λαίνα σχήματι δεομένου σπουδὴν καὶ οὐχὶ κατηγοροῦντος, ἐφθέγξατο μὲν οὐδὲν διὰ τὸ πολλοὺς ἀλλοτρίους ἀναμεμῖχθαι, φαιδρῷ δὲ τῷ προσώπῳ τοὺς περὶ Κάσσιον ἐθάρρυνε. Καὶ μετὰ μικρὸν ὁ Λαίνας τὴν δε- d
ξιὰν τοῦ Καίσαρος καταφιλήσας ἀπέστη, φανερὸς γενόμενος ὡς ὑπὲρ ἑαυτοῦ καὶ τῶν αὐτῷ τινος διαφερόντων ἐποιεῖτο τὴν ἔντευξιν.

XVII. Τῆς δὲ βουλῆς εἰς τὴν ἐξέδραν προεισελθούσης, οἱ μὲν ἄλλοι τὸν δίφρον τοῦ Καίσαρος περιέστησαν ὡς ἐντυγχάνειν τι μέλλοντες αὐτῷ. Καὶ Κάσσιον μὲν λέγεται τρέποντα τὸ πρόσωπον εἰς τὴν εἰκόνα τοῦ Πομπηΐου παρακαλεῖν ὥσπερ αἰσθανόμενον, Τρεβώνιος

quod statuistis perficere, hortorque ne cunctemini; neque enim tacita res est. Ita locutus præteriit, quum quidem magnam injecisset suspicionem, evulgatum esse consilium. (3) Interim domo quidam ad Brutum accurrit, mori uxorem ejus nuntians. Porcia enim de eventu graviter anxia magnitudinemque sollicitudinis non sufferens, ægre se domi continebat et ad omnem strepitum clamoremque, earum instar quæ Bacchi agitantur furore exsiliens, ex unoquolibet a foro domum veniente quid ageret Brutus sciscitabatur, aliosque subinde speculatum mittebat. (4) Tandem quum tempus traheretur, vires corporis non suffecere, sed animo ob anxietatem æstuante collapsæ sunt, ita quidem, ut in cubiculum ire non occupaverit, sed ut consederat in medio torpor eam ingens et exanimatio corripuerit, unde et color mutatus est et vox penitus interclusa. (5) Eo viso ejulationem sustulerunt ancillæ, concurrentibusque ad fores vicinis, statim rumor dissipatus est, eam obiisse. Verum eam, quum mox ad se rediisset, ancillæ refocillaverunt; Brutus autem, quanquam erat, ut par est, eo nuntio perturbatus, non deseruit tamen publicum negotium, neque animi motus eum ad curam suorum avertit.

XVI. Jam et Cæsar lectica advenire nuntiabatur, qui ob sacrificia parum læta animo æger statuerat nihil in præsenti de rebus magnis decernere, sed valetudinis excusatione uti et in aliud ea tempus differre. Egresso lecticam Popilius Læna, qui paullo ante Bruto et Cassio prosperum successum ejus quod intenderent precatus fuit, se adjungit et aliquamdiu ad eum verba fecit, stantem ac diligenter animum intendentem. (2) Ergo conjurati (sic enim appellentur sane), vocem ejus non percipientes, suspicantes autem eum indicium insidiarum deferre, conturbatis rationibus mutuo se intueri, vultuque se invicem docere, non esse exspectandum donec caperentur, sed statim suis ipsorum manibus oppetendum. (3) Jamque et Cassius et quidam alii capulos sub vestibus arripuerant et stringebant pugiones, quum Brutus Lænam et vultu et gestu non accusare, sed efflagitare aliquid colligens, hilari vultu (nam quod permixti etiam ipsis alieni ab hac conspiratione multi erant, verbis uti non licebat) Cassium confirmavit ac paullo post Læna dextram Cæsaris osculatus discessit, satisque apparuit, sui eum et suorum negotiorum alicujus causa cum Cæsare collocutum.

XVII. Postquam in exhedram pervenit senatus, reliqui sellam Cæsaris circumsteterunt, tanquam eum aliqua de re compellaturi. Et Cassius fertur ad Pompeii statuam conversa facie, hunc quasi sentientem ad auxilium vocasse;

οἱ περὶ τὰς θύρας Ἀντώνιον ἐπισπασάμενος καὶ προσομιλῶν ἔξω κατέσχε. (2) Καίσαρι δὲ εἰσιόντι μὲν ἡ σύγκλητος ὑπεξανέστη, καθεζόμενον δ' εὐθὺς ἐκεῖνοι περιέσχον ἀθρόοι, Τίλλιον Κίμβρον ἐξ ἑαυτῶν προβαλόντες e ὑπὲρ ἀδελφοῦ φυγάδος δεόμενον· καὶ συνεδέοντο πάντες ἁπτόμενοί τε χειρῶν καὶ στέρνα καὶ κεφαλὴν κατεφίλουν. Ἀποτριβομένου δὲ τὰς δεήσεις τὸ πρῶτον, εἶθ', ὡς οὐκ ἀνίεσαν, ἐξανισταμένου βίᾳ, Τίλλιος μὲν ἀμφοτέραις ταῖς χερσὶν ἐκ τῶν ὤμων κατέσπασε τὸ ἱμάτιον, Κάσκας δὲ πρῶτος (εἱστήκει γὰρ ὄπισθεν) ἀνασπάσας τὸ ξίφος διελαύνει, οὐκ εἰς βάθος, παρὰ τὸν ὦμον. (3) Ἀντιλαμβανομένου δὲ τῆς λαβῆς τοῦ Καίσαρος καὶ μέγα Ῥωμαϊστὶ ἀνακραγόντος, « Ἀνόσιε Κάσκα, τί ποιεῖς; » ἐκεῖνος Ἑλληνιστὶ τὸν ἀδελφὸν προσαγορεύσας ἐκέλευσε βοηθεῖν. Ἤδη δὲ παιόμενος ὑπὸ πολλῶν καὶ κύκλῳ περιβλέπων καὶ διώσασθαι f βουλόμενος, ὡς εἶδε Βροῦτον ἑλκόμενον ξίφος ἐπ' αὐτὸν, τὴν χεῖρα τοῦ Κάσκα κρατῶν ἀφῆκε· καὶ τῷ ἱματίῳ τὴν κεφαλὴν ἐγκαλυψάμενος παρέδωκε τὸ σῶμα ταῖς πληγαῖς. Οἱ δ' ἀφειδῶς ἀναπεπλεγμένοι πολλοῖς περὶ τὸ σῶμα χρώμενοι τοῖς ξίφεσιν ἀλλήλους ἐτίτρωσκον, ὥστε καὶ Βροῦτον εἰς τὴν χεῖρα πληγὴν λαβεῖν τοῦ 992 φόνου συνεφαπτόμενον, πίμπλασθαι δὲ τοῦ αἵματος a ἅπαντας.

XVIII. Οὕτω δ' ἀποθανόντος αὐτοῦ, Βροῦτος μὲν εἰς μέσον προελθὼν ἐβούλετο λέγειν καὶ κατεῖχε θαρρύνων τὴν σύγκλητον· ἡ δ' ὑπὸ δέους ἔφευγεν ἀτάκτως καὶ περὶ τὰς θύρας ὠθισμὸς ἦν καὶ τάραχος, οὐδενὸς διώκοντος οὐδὲ κατεπείγοντος· ἰσχυρῶς γὰρ ἐδέδοκτο μηδένα κτείνειν ἕτερον, ἀλλὰ πάντας ἐπὶ τὴν ἐλευθερίαν ἀνακαλεῖσθαι. (2) Καὶ τοῖς μὲν ἄλλοις πᾶσιν, ὁπηνίκα διεσκοποῦντο τὴν πρᾶξιν, ἤρεσκεν Ἀντώνιον ἐπισφάττειν Καίσαρι, μοναρχικὸν ἄνδρα καὶ ὑβριστὴν ἰσχύν τε πεποιημένον ὁμιλίᾳ καὶ συνηθείᾳ πρὸς τὸ στρατιωτικὸν, καὶ μάλισθ' ὅτι τῷ φύσει σοβαρῷ καὶ μεγαλοπράγμονι προσειλήφει τὸ τῆς ὑπατείας ἀξίωμα τότε Καίσαρι συν- b άρχων. Ἀλλὰ Βροῦτος ἐνέστη πρὸς τὸ βούλευμα, πρῶτον μὲν ἰσχυριζόμενος τῷ δικαίῳ, δεύτερον δ' ὑποθεὶς ἐλπίδα τῆς μεταβολῆς. Οὐ γὰρ ἀπεγίνωσκεν εὐφυᾶ καὶ φιλότιμον ἄνδρα καὶ δόξης ἐραστὴν τὸν Ἀντώνιον, ἐκποδὼν Καίσαρος γενομένου, συνεφάψεσθαι τῇ πατρίδι τῆς ἐλευθερίας ἐπισπασθέντα τῷ ζήλῳ πρὸς τὸ καλὸν ὑπ' αὐτῶν. Οὕτω μὲν Ἀντώνιον Βροῦτος περιεποίησεν· ἐν δὲ τῷ τότε φόβῳ μεταβαλὼν ἐσθῆτα δημοτικὴν ἔφυγεν. (3) Οἱ δὲ περὶ Βροῦτον εἰς τὸ Καπετώλιον ἐχώρουν ᾑμαγμένοι τὰς χεῖρας καὶ τὰ ξίφη c γυμνὰ δεικνύντες ἐπὶ τὴν ἐλευθερίαν παρεκάλουν τοὺς πολίτας. Τὸ μὲν οὖν πρῶτον ἦσαν ἀλαλαγμοὶ καὶ διαδρομαὶ τῷ πάθει κατὰ τύχην ἐπιγινόμεναι πλείονα τὸν θόρυβον ἐποίησαν· ὡς δ' οὔτε φόνος ἄλλος οὔθ' ἁρπαγή τινος ἐγίνετο τῶν κειμένων, θαρροῦντες ἀνέβαινον οἵ τε βουλευταὶ καὶ τῶν δημοτῶν πολλοὶ πρὸς τοὺς ἄνδρας εἰς τὸ Καπετώλιον. Ἀθροισθέντος δὲ τοῦ πλήθους, διελέχθη Βροῦτος ἐπαγωγὰ τοῦ δήμου καὶ πρέποντα

Trebonius Antonium seduxit et ante fores colloquio suo detinuit. (2) Cæsari ingredienti senatus assurrexit, utque primum assedit, conjurati se ei circumfuderunt, Tillio Cimbro subornato, qui pro fratre suo exsule deprecaretur; universique pro eo intercedentes, manus Cæsaris tangebant, pectusque et caput deosculabantur. Quum initio preces aspernaretur, deinde ut non remittebant, vi assurgeret, Tillius utraque manu togam ab humeris diripuit et primus Casca (stabat enim a tergo) stricto gladio humerum Cæsaris leviter vulnerat. (3) Cæsare capulum ejus arripiente et latine exclamante : Scelerate Casca, quid facis? græco sermone ille fratris auxilium implorat. Multis jam ferientibus, Cæsar quum in orbem vultum circumferret et manus eorum exire cuperet, Brutum ubi vidit gladium adversus se stringere, manum Cascæ, quam tenuerat, dimittit, caputque veste involvens, ictibus se præbet. At illi confertim irruentes et multis pugionibus corpus Cæsaris ferientes, se ipsos quoque mutuo sauciarunt, ut et Brutus vulnus in manum acceperit et sanguine omnes sint oppleti.

XVIII. Cæsare ad hunc modum interfecto, Brutus in medium progressus verba facere intendit, senatumque detinere et dictis confirmare; verum senatores metu acti nullo ordine profugiebant et apud fores mutuo se trudebant tumultuabanturque, nemine insequente aut urgente; nam id firmissime ab ipsis erat decretum, neminem quenquam præter Cæsarem necare, sed omnes ad libertatem vocare. (2) Et reliquis sane omnibus videbatur, quum consilium totius rei caperent, neci Cæsaris Antonius addendus, homo tyrannidis studiosus et libidinosus, ac qui consuetudine militum diuturna vires sibi parasset; præcipue autem eam ob rem, quod natura elatus magnarumque rerum appetens, insuper et consularem tunc dignitatem collega Cæsaris acceperat. Solus Brutus ei consilio obstitit, quum justitiæ innixus, tum spem faciens mutationis. Non enim desperabat Antonium, bono hominem ingenio, ambitiosum et gloriæ cupidum, Cæsare sublato, æmulatione ceterorum ad honestatis curam libertatisque defensionem traductum iri. Ita a Bruto servatus Antonius ista in trepidatione plebeio amictu tectus fugit. (3) Brutus autem et socii ad Capitolium ibant, cruentis manibus strictos gladios ostentantes, ad libertatemque cives vocabant. Conclamatum initio passim est et discursus fortuiti tale facinus consecuti tumultum auxerunt; ut vero neque cædes alia, neque direptio vel minima subsecuta est, animo recepto et senatores et de plebe multi ad eos in arcem ascenderunt. Multitudine congregata, Brutus quæ ad conciliandos populi animos

τεῖς πεπραγμένοις. Ἐπαινούντων δὲ καὶ κατιέναι
βοώντων, θαῤῥοῦντες κατέβαινον εἰς ἀγορὰν, οἱ μὲν
ἄλλοι συνεπόμενοι μετ' ἀλλήλων, Βροῦτον δὲ πολλοὶ
τῶν ἐπιφανῶν περιέποντες ἐν μέσῳ πάνυ λαμπρῶς κα- d
τῆγον ἀπὸ τῆς ἄκρας καὶ κατέστησαν ἐπὶ τῶν ἐμβόλων.
(1) Πρὸς δὲ τὴν ὄψιν οἱ πολλοὶ, καίπερ μιγάδες ὄντες,
καὶ παρεσκευασμένοι θορυβεῖν, διέτρεσαν καὶ τὸ μέλλον
ἐδέχοντο κόσμῳ καὶ σιωπῇ. Προελθόντος δ' αὐτοῦ,
πάντες ἡσυχίαν τῷ λόγῳ παρέσχον· ὅτι δ' οὐ πᾶσι πρὸς
ἡδονὴν ἐγεγόνει τὸ ἔργον, ἐδήλωσαν ἀρξαμένου λέγειν
Κίννα καὶ κατηγορεῖν Καίσαρος ἀναῤῥηγνύμενοι πρὸς
ὀργὴν καὶ κακῶς τὸν Κίνναν λέγοντες, ὥστε πάλιν τοὺς
ἄνδρας εἰς τὸ Καπετώλιον ἀπελθεῖν. Ἔνθα δὴ δεδιὼς
πολιορκίαν ὁ Βροῦτος ἀπέπεμπε τοὺς ἀρίστους τῶν συν- e
αναβάντων, οὐκ ἀξιῶν τῆς αἰτίας μὴ μετέχοντας αὐτοὺς
συνυποδύεσθαι τὸν κίνδυνον.

XIX. Οὐ μὴν ἀλλὰ τῇ ὑστεραίᾳ τῆς βουλῆς συν-
ελθούσης εἰς τὸ τῆς Γῆς ἱερὸν, Ἀντωνίου δὲ καὶ
Πλάγκου καὶ Κικέρωνος εἰπόντων περὶ ἀμνηστίας καὶ
ὁμονοίας, ἔδοξε μὴ μόνον ἄδειαν εἶναι τοῖς ἀνδράσιν,
ἀλλὰ καὶ γνώμην ὑπὲρ τιμῶν προθεῖναι τοὺς ὑπάτους.
Καὶ ταῦτ' ἐπιψηφισάμενοι διελύθησαν. Ἀντωνίου δὲ
τὸν υἱὸν εἰς τὸ Καπετώλιον ὁμηρεύσοντα πέμψαντος,
κατῆλθον οἱ περὶ Βροῦτον, ἀσπασμοί τε καὶ δεξιώσεις
ἐγένοντο πάντων ἀναμιχθέντων. Καὶ Κάσσιον μὲν
Ἀντώνιος εἱστία παραλαβὼν, Βροῦτον δὲ Λέπιδος, τοὺς f
δ' ἄλλους, ὥς τις εἶχε πρὸς ἕκαστον ἢ συνηθείας ἢ φι-
λοφροσύνης. (2) Ἅμα δ' ἡμέρᾳ πάλιν συνελθόντες
οἱ βουλευταὶ πρῶτον μὲν Ἀντωνίῳ τιμὰς ἔδοσαν ὡς
καταπαύσαντι πολέμων ἐμφυλίων ἀρχήν· ἔπειτα τῶν
περὶ Βροῦτον ἦσαν ἔπαινοι τῶν παρόντων καὶ τέλος
ἐπαρχιῶν διανομαί. Βρούτῳ μὲν γὰρ ἐψηφίσαντο
993 Κρήτην, Κασσίῳ δὲ Λιβύην, Τρεβωνίῳ δὲ Ἀσίαν καὶ a
Κίμβρῳ Βιθυνίαν, τῷ δ' ἑτέρῳ Βρούτῳ τὴν περὶ τὸν
Ἠριδανὸν Γαλατίαν.

XX. Μετὰ δὲ ταῦτα περὶ τῶν Καίσαρος διαθηκῶν
καὶ ταφῆς αὐτοῦ λόγων ἐμπεσόντων καὶ τῶν περὶ τὸν
Ἀντώνιον ἀξιούντων τάς τε διαθήκας ἀναγνωσθῆναι καὶ
τοῦ σώματος ἐκφορὰν γενέσθαι μὴ κεκρυμμένην μηδ'
ἄτιμον, ὡς μὴ καὶ τοῦτο παροξύνῃ τὸν δῆμον, Κάσσιος
μὲν ἰσχυρῶς ἀντέλεγεν, εἶξε δὲ Βροῦτος καὶ συνεχώρησε,
δεύτερον ἁμαρτεῖν τοῦτο δόξας. Καὶ γὰρ Ἀντωνίου φει-
σάμενος αἰτίαν ἔσχεν ἐπιτειχίσαι τῇ συνωμοσίᾳ βαρὺν
καὶ δύσμαχον πολέμιον, καὶ τὰ περὶ τὴν ταφὴν ὃν ὁ Ἀν-
τώνιος ἠξίου τρόπον ἐάσας γενέσθαι τοῦ παντὸς σφα- b
λῆναι. (2) Πρῶτον μὲν γὰρ ἐν ταῖς διαθήκαις δεδομέ-
νων κατ' ἄνδρα Ῥωμαίοις πᾶσι δραχμῶν ἑβδομήκοντα
πέντε καὶ τῷ δήμῳ τῶν πέραν τοῦ ποταμοῦ κήπων
ἀπολελειμμένων, οὗ νῦν ἐστι Τύχης ἱερὸν, εὔνοια θαυ-
μαστὴ καὶ πόθος αὐτοῦ τοὺς πολίτας εἷλεν· ἔπειτα τοῦ
σώματος εἰς τὴν ἀγορὰν κομισθέντος, Ἀντώνιος ἔπαινον,
ὥσπερ ἔθος ἐστὶ, διεξελθὼν, καὶ τὰ πλήθη κινούμενα
πρὸς τὸν λόγον ὁρῶν εἰς οἶκτον μετέβαλε, καὶ τὴν
ἐσθῆτα λαβὼν τὴν Καίσαρος ᾑμαγμένην ἀνέπτυξεν

faceret orationem reique gestæ convenientem habuit. Inde collaudati et descendere in urbem jussi populi acclamatione, confirmato animo in forum degressi sunt, reliqui mutuo se comitantes, Brutum autem agmen illustrium virorum cinctum ab arce in forum deduxit, inque rostris constituit. (4) Ad conspectum ejus multitudo, quanquam promiscua et ad tumultuandum parata, territa est eventumque tacita et composita exspectavit; quumque ad verba facienda prodiret, tranquille omnes audiverunt. Non fuisse tamen omnibus gratam Cæsaris necem, ostendit multitudo, quæ Cinnam dicere et accusare Cæsarem orsum in iram prolalapsa apertam, maledictis incessere cœpit. Itaque percussores Cæsaris rursus in arcem se contulerunt. Ibi Brutus obsidionem metuens, præstantissimos eorum qui una arcem conscenderant a se dimisit, indignum existimans, eos qui facinoris participes non fuissent, idem subire periculum.

XIX. Verum postridie senatu in æde Telluris habito, quum Antonius, Plancus et Cicero de obruendis oblivione injuriis et concordia redintegranda sententias tulissent, decretum est, non modo impunitatem conspiratoribus istis dandam, sed et consules de honoribus eis habendis debere referre. Atque hoc facto senatusconsulto discessum est. Antonius filium suum obsidis loco in Capitolium misit; itaque Brutus cum sociis descenderunt, omnibusque inter se permixtis, consalutationes benignæ factæ: Cassium Antonius, Brutum Lepidus, reliquos alii ut quisque familiaritate erat aut amicitia alteri junctus, convivio exceperunt. (2) Postridie prima luce in senatum conventum est; ibi Antonio primo omnium honores decreti, qui initia belli civilis sustulisset, laudati deinde Brutus et socii a præsentibus, iisque assignatæ provinciæ, Bruto Creta, Cassio Africa, Trebonio Asia, Cimbro Bithynia, alteri Bruto Gallia quæ est ad Padum.

XX. Secundum hæc de testamento et sepultura Cæsaris proposita quæstione, quum Antonius recitari testamentum et funus ejus neque obscurum neque sine ornamentis fieri vellet, ne scilicet populus irritaretur: Cassius magnopere contra contendit, Brutus autem concessit, idque secundum ejus peccatum esse videtur. Quippe Antonio parcens culpatus est quod adversus suam conspirationem gravem expugnatuque difficilem hostem constituisset, et passus quo modo volebat Antonius Cæsarem sepeliri, totam suam causam perdidit. (2) Primo enim quum testamento Romanis viritim trecenti sertertii, populoque horti trans Tiberim (quo loco nunc est Fortunæ fanum) legarentur, mirum Cæsaris desiderium amorque populum incessit. Deinde cadavere in forum allato, Antonius orationem pro more in laudes defuncti recitans, quum videret multitudinis animos ea motos, ad misericordiam excitandam se convertit, Cæsarisque cruentatam vestem arripiens explicuit, vulnera

ἐπιδεικνύμενος τὰς διακοπὰς καὶ τῶν τραυμάτων τὸ c πλῆθος. (1) Ἦν οὖν ἰδεῖν οὐδὲν ἔτι κόσμῳ γινόμενον· ἀλλ' οἱ μὲν ἐβόων τοὺς ἀνδροφόνους ἀναιρεῖν, οἱ δ', ὥσπερ ἐπὶ Κλωδίου τοῦ δημαγωγοῦ πρότερον, ἀπὸ τῶν ἐργαστηρίων τὰ βάθρα καὶ τὰς τραπέζας ἀνασπῶντες καὶ συγκομίζοντες εἰς ταὐτὸ παμμεγέθη πυρὰ ἔνησαν καὶ τὸν νεκρὸν ἐπιθέντες ἐν μέσῳ πολλῶν μὲν ἱερῶν, πολλῶν δ' ἀσύλων καὶ ἀβεβήλων τόπων καθήγιζον. Ὡς δὲ τὸ πῦρ ἐξέλαμψεν, ἀλλαχόθεν ἄλλος προσφερόμενοι καὶ δαλοὺς ἀνασπῶντες ἡμιφλέκτους διέθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων αὐτὸν ὡς ἐμπρήσοντες. Ἀλλ' ἐκεῖνοι μὲν εὖ πεφραγμένοι πρότερον ἀπεκρούσαντο τὸν κίνδυ- d νον. (4) Ἦν δέ τις Κίννας, ποιητικὸς ἀνὴρ, οὐδὲν τῆς αἰτίας μετέχων, ἀλλὰ καὶ φίλος Καίσαρος γεγονώς. Οὗτος ὄναρ ᾤετο καλούμενος ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον ἀρνεῖσθαι· τὸν δὲ λιπαρεῖν καὶ βιάζεσθαι, τέλος δ' ἄγειν λαβόμενον τῆς χειρὸς εἰς ἀχανῆ τόπον καὶ σκοτεινὸν, αὐτὸν δ' ἄκοντα καὶ τεθαμβημένον ἕπεσθαι. Ταύτην ἰδόντι τὴν ὄψιν αὐτῷ συνέβη πυρέττειν διὰ νυκτός· ὅμως δ' ἕωθεν ἐκκομιζομένου τοῦ σώματος, αἰδούμενος μὴ παρεῖναι, προῆλθεν εἰς τὸν ὄχλον ἤδη διαγριαινόμενον. Ὀφθεὶς δὲ καὶ δόξας οὐχ ὅσπερ ἦν Κίννας εἶναι, ἀλλ' ἐκεῖνος ὁ Καίσαρα πρὸς τὴν ἐκκλησίαν ἔναγχος e λοιδορήσας, διεσπάσθη.

XXI. Τοῦτο τὸ πάθος μάλιστα μετά γε τὴν Ἀντωνίου μεταβολὴν δείσαντες οἱ περὶ Βροῦτον ἀνεχώρησαν ἐκ τῆς πόλεως καὶ διέτριβον ἐν Ἀντίῳ τὸ πρῶτον, ὡς, ὅταν παρακμάσῃ καὶ μαρανθῇ τὸ τῆς ὀργῆς, αὖθις εἰς Ῥώμην κατιόντες. Ὃ ῥᾳδίως ἔσεσθαι προσεδόκων ἐν πλήθεσι φορὰς ἀσταθμήτους καὶ ταχείας φερομένοις καὶ τὴν σύγκλητον εὔνουν ἔχοντες, ἣ τοὺς Κίνναν διασπασαμένους χαίρειν ἐάσασα τοὺς ἐπὶ τὰς οἰκίας τὰς ἐκείνων ἐπελθόντας ἀνεζήτει καὶ συνελάμβανεν. Ἤδη δὲ καὶ ὁ δῆμος ἀχθόμενος, Ἀντωνίου σχεδὸν εἰς μον- f αρχίαν καθισταμένου, Βροῦτον ἐπόθει καὶ προσεδοκᾶτο τὰς θέας ἄξειν παρὼν αὐτὸς, ἃς ὤφειλε στρατηγῶν παρασχεῖν. (2) Αἰσθόμενος δὲ πολλοὺς τῶν ὑπὸ Καίσαρος ἐστρατευμένων καὶ γῆν καὶ πόλεις παρ' ἐκείνου λαβόντων ἐπιβουλεύοντας αὐτῷ καὶ κατ' ὀλίγους παρεισρέοντας εἰς τὴν πόλιν, οὐκ ἐθάῤῥησεν ἐλθεῖν, ἀλλ' 994 ὁ δῆμος ἐθεᾶτο μὴ παρόντος ἐκείνου τὰς θέας ἀφειδῶς a πάνυ χορηγουμένας καὶ περιττῶς. Θηρία τε γὰρ πάμπολλα συνεωνημένος ἐκέλευσε μηδὲν ἀποδόσθαι μηδ' ὑπολιπεῖν, ἀλλὰ πᾶσι καταχρήσασθαι, καὶ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν αὐτὸς εἰς Νέαν πόλιν καταβὰς ἐνέτυχε πλείστοις· περὶ δὲ Κανουτίου τινὸς εὐημεροῦντος ἐν τοῖς θεάτροις ἔγραφε πρὸς τοὺς φίλους, ὅπως πείσαντες αὐτὸν εἰσαγάγωσιν· Ἑλλήνων γὰρ οὐδένα βιασθῆναι προσήκειν. Ἔγραφε δὲ καὶ Κικέρωνι πάντως παρατυχεῖν ταῖς θέαις δεόμενος.

XXII. Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων, ἑτέρα γίνεται μεταβολὴ, τοῦ νέου Καίσαρος ἐπελθόντος. Οὗτος ἦν μὲν ἐξ ἀδελφιδῆς Καίσαρος, γράμματι δὲ παῖς ὑπ' αὐτοῦ καὶ κληρονόμος ἀπολελειμμένος. b

ictuumque multitudinem ostendens. (3) Nihil exinde ordine aut modeste agi vidisses. Illico pars clamare, necandos esse parricidas, pars ex tabernis (quod ante in funere Clodii tribuni plebis factum fuerat) subsellia ac mensas avulsas comportare et ingentem rogum incendere et cadaver, in medio multorum sacrorum, inviolatorum ac minime profanorum locorum impositum comburere. Postquam ignis effulsit, alius aliunde accurrere, torres semiustos arripere, ita ad ædes percussorum discurrere et incendium eis intentare. Sed hi mature se præmunierant et periculum propulsabant. (4) Ceterum quidam poeta Cinna, minime facinoris istius particeps et qui amicitiam Cæsaris coluerat, in somnis visus sibi erat a Cæsare ad cœnam vocari, quumque detrectaret, eum institisse orando, vimque etiam tentasse, ac tandem manu arreptum se ab eo et in vastum atque tenebrosum locum abductum, invitum vero ac paventem secutum esse. Hoc ei oblato viso, nocte in febriculam incidit. Tamen mane quum duceretur funus, pudori sibi ducens absentiam, ad populum jam exasperatum prodiit, utque primum conspectus est, quum putaretur non is qui erat Cinna, sed alter ille Cinna qui nuper admodum in concione Cæsarem contumeliosis dictis erat insectatus, a multitudine discerptus est.

XXI. Hoc post Antonii mutationem facto præsertim timor Bruto sociisque ejus injectus est. Itaque urbe egressi, Antii primum commorati sunt, redituri in urbem, ubi populi ira elanguisset atque deferbuisset. Id quod facile futurum existimabant multitudine celeri et inconstanti impetu lata, quum et senatum ipsi benevolum haberent, qui valere jussis Cinnæ interfectoribus, eos qui ad conjuratorum domos vim inferendi causa concurrerant, indagabat atque comprehendebat. Jam et populus Antonium prope tyrannidem occupantem moleste ferens, Brutum desiderabat, videbaturque ipse præsens ludos, quos ob præturam debebat, editurus. (2) Sed quum sentiret multos eorum qui sub Cæsare stipendia fecerant, ab eoque erant agris et urbibus donati, insidias sibi struere et sensim Romam intrare, venire eo non est ausus. Spectavit autem populus eos ludos, magnificentissime ipso absente apparatos. Nam et bestias quum coemisset plurimas, nullam earum relinqui aut vendi, sed abuti omnibus ad spectacula jussit, et ipse Neapolim profectus, cum plerisque histrionibus locutus est; et de Canutio quodam, qui theatrali arte nobilis erat, ad amicos scripsit, ut persuaderent ipsi ut operam suam ludis suis navaret; nam non consentaneum esse quenquam Græcum cogi. Ciceronem quoque per literas oravit ut omnino spectaculis istis interesset.

XXII. Hoc rerum statu alia mutatio adventu junioris Cæsaris exstitit. Is natus erat filia sororis C. Julii Cæsaris et ab hoc testamento filius hæresque institutus. Quo tempore is occisus est, Apolloniæ literis operam dabat, illum,

Ἐν δ' Ἀπολλωνίᾳ διέτριβεν, ὅτε Καῖσαρ ἀνῃρέθη, σχολάζων περὶ λόγους κἀκεῖνον ἐπὶ Πάρθους ἐλαύνειν εὐθὺς ἐγνωκότα προσμένων. Ἅμα δὲ τῷ πυθέσθαι τὸ πάθος ἦλθεν εἰς Ῥώμην· καὶ δημαγωγίας ἀρχὴν τοὔνομα Καίσαρος θέμενος ἑαυτῷ καὶ διανέμων τὸ καταλειφθὲν ἀργύριον τοῖς πολίταις Ἀντώνιόν τε κατεστασίασε καὶ χρήματα διαδοὺς συνίστη καὶ συνῆγε πολλοὺς τῶν ὑπὸ Καίσαρος ἐστρατευμένων. (2) Ἐπεὶ δὲ Κικέρων τῷ πρὸς Ἀντώνιον μίσει τὰ Καίσαρος ἔπραττε, τούτῳ μὲν ὁ Βροῦτος ἐπέπληττεν ἰσχυρῶς γράφων, ὡς οὐ δεσπότην βαρύνοιτο Κικέρων, ἀλλὰ μισοῦντα δεσπότην φοβοῖτο καὶ πολιτεύοιτο δουλείας αἵρεσιν φιλανθρώπου, γράφων καὶ λέγων ὡς χρηστός ἐστι Καῖσαρ· « Οἱ c
δὲ πρόγονοι, φησίν, ἡμῶν οὐδὲ πράους δεσπότας ὑπέμενον ». Αὐτῷ δ' εἰς τοῦτο καιροῦ μήτε πολεμεῖν βεβαίως δεδόχθαι μήτε ἡσυχάζειν, ἀλλ' ἓν μόνον εἶναι βεβουλευμένον, τὸ μὴ δουλεύειν· θαυμάζειν δὲ Κικέρωνος, εἰ πόλεμον μὲν ἐμφύλιον καὶ κινδυνώδη δέδοικεν, αἰσχρὰν δὲ καὶ ἄδοξον εἰρήνην οὐ φοβεῖται, τοῦ δ' Ἀντώνιον ἐκβαλεῖν τῆς τυραννίδος μισθὸν αἰτεῖ τὸ Καίσαρα καταστῆσαι τύραννον.

XXIII. Ἐν μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς τοιοῦ- d
τος ὁ Βροῦτος. Ἤδη δὲ τῶν μὲν ὡς Καίσαρα, τῶν δ' ὡς Ἀντώνιον διισταμένων, ὠνίων δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλέον διδόντι, παντάπασι καταγνοὺς τῶν πραγμάτων ἔγνω καταλιπεῖν Ἰταλίαν καὶ πεζῇ διὰ Λευκανίας εἰς Ἐλέαν ἐπὶ θάλασσαν ἧκεν. (2) Ὅθεν ἡ Πορκία μέλλουσα πάλιν εἰς Ῥώμην ἀποτραπέσθαι, λανθάνειν μὲν ἐπειρᾶτο περιπαθῶς ἔχουσα· γραφὴ δέ τις αὐτὴν προὔδωκε τἄλλα γενναίαν οὖσαν. Ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διάθεσις, προπεμπόμενος Ἕκτωρ ὑπὸ Ἀνδρομάχης κομιζομένης παρ' αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλεπούσης. e
Ταῦτα θεωμένην τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα· καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας ἔκλαιεν. (3) Ἀκιλίου δέ τινος τῶν Βρούτου φίλων τὰ πρὸς Ἕκτορα τῆς Ἀνδρομάχης ἔπη διελθόντος·

Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης,

μειδιάσας ὁ Βροῦτος, « Ἀλλ' οὐκ ἐμοί γ', εἶπε, πρὸς Πορκίαν ἔπεισι φάναι τὰ τοῦ Ἕκτορος,

Ἱστόν τ' ἠλακάτην τε καὶ ἀμφιπόλοισι κέλευε·

σώματος γὰρ ἀπολείπεται φύσει τῶν ἴσων ἀνδραγαθημάτων, γνώμῃ δ' ὑπὲρ τῆς πατρίδος, ὥσπερ ἡμεῖς, ἀριστεύει. » Ταῦτα μὲν ὁ τῆς Πορκίας υἱὸς ἱστόρηκε f
Βύβλος.

XXIV. Ἀναχθεὶς δ' ὁ Βροῦτος ἐκεῖθεν ἐπ' Ἀθηνῶν ἔπλει. Δεξαμένου δὲ τοῦ δήμου προθύμως αὐτὸν εὐφημίαις καὶ ψηφίσμασι, διῃτᾶτο μὲν παρὰ ξένῳ τινί, Θεομνήστου δ' ἀκροώμενος τοῦ Ἀκαδημαϊκοῦ καὶ Κρατίππου τοῦ Περιπατητικοῦ καὶ συμφιλοσοφῶν ἐδόκει παν-

qui mox in Parthos expeditionem facere decreverat, ibi operiens. Audita patris nece, statim Romam se contulit, Cæsarisque nomine principio studia populi sibi conciliandi usus et pecuniam ab eo legatam civibus largitus factione sua Antonium superavit, ac pecuniæ divisione multos eorum qui sub Cæsare militaverant contraxit sibique adjunxit. (2) Quum autem Cicero ob odium in Antonium partes Cæsaris foveret, acriter eum Brutus per epistolam objurgat : « Non tibi, inquit, dominum ferre molestum est, sed dominum tibi infestum metuis, tuaque eo spectant consilia, ut lenem ac clementem servitutem feras : hoc enim facit, quod scribis et dicis Cæsarem esse bonum. At vero majores nostri ne mites quidem dominos sustinuerunt. Mihi in præsentia neque bellum gerere constitutum est certo, neque quiescere; id unum firmiter decrevi, non servire. Te autem miror, qui quum bellum civile et periculosum metuas, turpem et ignominiosam pacem non times, et pro exturbato tyrannide Antonio id mercedis postulas, ut Cæsar tyrannus constituatur. »

XXIII. Hujusmodi in primis suis epistolis fuit Brutus. Jam vero aliis ad Cæsarem, aliis ad Antonium discedentibus et exercitibus veluti sub præcone prostantibus atque ei qui plus dedisset se adjungentibus, desperatis plane rebus Italia excedere statuit, pedestrique itinere per Lucaniam Eleam ad mare venit. (2) Inde Romam Porcia reversura quum conaretur occultare dolorem, victa est contemplatione picturæ cujusdam, generosa alias fortisque mulier. Erat autem picturæ Græcum argumentum, Andromacha Hectorem comitans, puerum ab eo redditum accipiens, inque maritum respiciens Hanc picturam intuenti Porciæ affectuum suorum objecta effigies lacrimas excussit, interdiuque sæpe eo accedens ploravit. (3) Acilio autem, qui unus de amicis Bruti erat, Andromachæ ad Hectorem verba recitanti,

Tu mihi nunc pater es, mihi mater amabilis Hector :
tu pro fratre mihi es, dulcisque marite maritus;

subridens Brutus, At mihi, inquit, non subit Hectoris verbis Porciæ respondere,

Tu telam cape cum fusis, famulisque jubeto;

corporis enim natura in culpa est, cur non æqualia nostris facinora edat, animo pro patria non minorem nobis laudem meretur. Hæc Porciæ filius Bibulus scripsit.

XXIV. Inde Brutus Athenas navigavit, receptusque a populo benigne et honoribus decretis laudibusque ornatus, apud hospitem quendam degens, Theomnestum Academicum et Cratippum Peripateticum audivit, cumque iis de philosophia disputans, videbatur omnino rebus omissis

995 τάπασιν ἀργεῖν καὶ σχολάζειν. Ἔπραττε δὲ τὰ πρὸς a τὸν πόλεμον ἀνυπόπτως. Καὶ γὰρ εἰς Μακεδονίαν ἔπεμψεν Ἡρόστρατον οἰκειούμενος τοὺς ἐπὶ τῶν ἐκεῖ στρατοπέδων, καὶ τοὺς σχολάζοντας ἀπὸ Ῥώμης ἐν ἄστει νέους ἀνελάμβανε καὶ συνεῖχεν. Ὧν ἦν καὶ Κικέρωνος υἱός, ὃν ἐπαινεῖ διαφερόντως καί φησιν, εἴτ' ἐγρήγορεν εἴτ' ἐνυπνιάζεται, θαυμάζειν οὕτω γενναῖον ὄντα καὶ μισοτύραννον. (2) Ἀρξάμενος δὲ τῶν πραγμάτων ἀναφανδὸν ἅπτεσθαι καὶ πυθόμενος πλοῖα Ῥωμαϊκὰ μεστὰ χρημάτων ἐξ Ἀσίας προσφέρεσθαι καὶ στρατηγὸν ἐπιπλεῖν ἄνδρα χαρίεντα καὶ γνώριμον, ἀπήντησεν αὐτῷ περὶ Κάρυστον· ἐντυχὼν δὲ καὶ πείσας καὶ παραλαβὼν τὰ πλοῖα, λαμπροτέραν ὑποδοχὴν ἐποιεῖτο· καὶ γὰρ ἦν ἡμέρα, καθ' ἣν ἐγεγόνει πρῶτον b ὁ Βροῦτος. Ὡς οὖν ἐλθόντες εἰς τὸ πίνειν ἐπιχύσεις ἐποιοῦντο νίκης τε Βρούτου καὶ Ῥωμαίων ἐλευθερίας, ἔτι μᾶλλον αὐτοὺς ῥῶσαι βουλόμενος ᾔτησε ποτήριον μεῖζον· καὶ λαβὼν ἀπ' οὐδεμιᾶς προφάσεως ἀνεφώνησε τὸν στίχον τοῦτον·

Ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός.

Ἔτι δὲ καὶ πρὸς τούτοις ἱστοροῦσιν, ὅτε τὴν τελευταίαν ἐν Φιλίπποις μαχούμενος ἐξῄει μάχην, σύνθημα παρ' αὐτοῦ τοῖς στρατιώταις Ἀπόλλωνα δοθῆναι. Διὸ καὶ τῆς συμφορᾶς τίθενται σημεῖον ἐκείνην τὴν ἀναφώνησιν.

XXV. Ἐκ τούτου πεντήκοντα μὲν αὐτῷ μυριάδας c Ἀντίστιος ἀφ' ὧν ἦγε καὶ αὐτὸς εἰς Ἰταλίαν χρημάτων δίδωσιν, ὅσοι δὲ περὶ Θεσσαλίαν ἔτι τῆς Πομπηίου στρατιᾶς ἐπλανῶντο συνέρρεον ἀσμένως πρὸς αὐτόν· ἱππεῖς τε πεντακοσίους ἀφείλετο Κίννα πρὸς Δολοβέλλαν ἄγοντος εἰς Ἀσίαν. Ἐπιπλεύσας τε τῇ Δημητριάδι, πολλῶν ὅπλων ἐξαγομένων πρὸς Ἀντώνιον, ἃ Καίσαρος τοῦ προτέρου κελεύσαντος ἐπὶ τὸν Παρθικὸν ἐποιήθη πόλεμον, ἐκράτησεν. (2) Ὁρτησίου δὲ τοῦ στρατηγοῦ παραδόντος αὐτῷ Μακεδονίαν καὶ τῶν ἐν κύκλῳ βασιλέων καὶ δυναστῶν συνισταμένων καὶ προστιθεμένων, ἀγγέλλεται Γάϊος, ὁ Ἀντωνίου ἀδελφός, d ἐξ Ἰταλίας διαβεβηκὼς βαδίζειν εὐθὺς ἐπὶ τὰς δυνάμεις, ἃς ἐν Ἐπιδάμνῳ καὶ Ἀπολλωνίᾳ Γαβίνιος συνεῖχε. Βουλόμενος οὖν φθάσαι καὶ προλαβεῖν ὁ Βροῦτος ἐξαίφνης ἀναστήσας τοὺς σὺν αὐτῷ διὰ χωρίων χαλεπῶν νειφόμενος ἐπορεύετο· καὶ πολὺ προῆλθε τοὺς κομίζοντας τὸ ἄριστον. Ἐγγὺς οὖν Ἐπιδάμνου γενόμενος διὰ κόπον καὶ ψῦχος ἐβουλιμίασε. (3) Συμπίπτει δὲ μάλιστα τὸ πάθος χιόνος οὔσης πονοῦσι καὶ κτήνεσι καὶ ἀνθρώποις, εἴτε τοῦ θερμοῦ διὰ περίψυξιν καὶ πύκνωσιν, ὅταν ἐντὸς ἅπαν καθειρχθῇ, τὴν τροφὴν ἀθρόως ἀναλίσκοντος, εἴτε δριμεῖα καὶ λεπτὴ τῆς χιό- e νος διαλυομένης ἰοῦσα πνοὴ τέμνει τὸ σῶμα καὶ διαφθείρει τὸ θερμὸν ἐξ αὐτοῦ θύραζε διασπειρόμενον. Τὰς γὰρ ἐφιδρώσεις παρέχειν δοκεῖ τὸ θερμὸν ἀπαντῶντι τῷ ψυχρῷ περὶ τὴν ἐπιφάνειαν σβεννύμενον. Ὑπὲρ ὧν ἐν ἑτέροις μᾶλλον ἠπόρηται.

otio deditus. Interim vero nemine suspicante bellum parabat, misso in Macedoniam Herostrato, ejus opera animos eorum qui copiis ibi præerant sibi concilians, juvenes quoque Athenas Roma studiorum causa profectos sibi conciliavit atque conjunxit. Inter hos etiam Ciceronis erat filius, quem maximis tollit laudibus, et ait se eum, sive vigilaret sive dormiret, mirari ita generosum et tyrannis infensum. (2) Quum jam aperte rem aggrederetur Brutus, audito naves Romanas pecunia onustas ex Asia adventare, præesseque eis Romanum sibi notum atque egregium hominem, apud Carystum ei occurrit, collocutusque ei persuasit ut sibi eas naves traderet. Ibi quum instituisset splendidius solito convivium, quod natalem tum suum celebraret, reliquis inter pocula jam libantibus et victoriam Bruto, Romanis libertatem voventibus, ut animos eorum confirmatiores redderet, majus poculum poposcit, eoque accepto, temere neque ulla ductus occasione versum hunc alta voce retulit,

Sed me Latoides fatumque immite peremit.

Quin et hoc addunt narrationi, postremo ad Philippos prœlio Brutum militibus pro tessera Apollinem dedisse, indeque colligunt eam vocem futuræ cladis omen fuisse.

XXV. Porro autem Antistius vicies sestertiûm ei dedit de ea pecunia, quam ipse in Italiam vehebat. Quæ in Thessalia reliquiæ Pompeianarum copiarum vagabantur, cupide ad Brutum confluxerunt. Cinnæ etiam equites quingentos, quos in Asiam Dolabellæ adducebat, abstulit. Mari Demetriadem advectus, magna armorum copia, quæ prioris Cæsaris jussu ad Parthicum erant parata bellum et tunc ad Antonium vehebantur, potitus est. (2) Quum ab Hortensio Macedoniam accepisset, seque ipsi vicini circum reges et dynastæ conjungerent, annuntiatur C. Antonium, Marci fratrem, ex Italia trajecisse et recta ire ad copias, quas Dyrrhachii et Apolloniæ Gabinius (*Vatinius*) continebat. Itaque ut huic anteverteret et copias occuparet ipse, subito cum suis eo contendit, itinere difficili nivalique tempestate, et quum longe prævenisset eos qui ipsi prandium portabant, prope Dyrrhachium ob defatigationem et frigus in bulimiam incidit. (3) Id malum accidere tam hominibus quam jumentis solet potissimum quum ningit, sive quod calor ob circumstans frigus et condensationem corporis intro omnis conclusus, confertim alimentum omne consumit, sive quod aeris et tenuis nivis dissolutæ halitus corpus penetrat, caloremque foras dissipatum perdit. Nam et sudores inde videntur nasci, quod calor in superficie ab occurrente frigore exstinguitur. Qua de re alio loco disputatum est latius.

XXVI. Λιποθυμοῦντος δὲ τοῦ Βρούτου καὶ μηδενὸς ἔχοντος ἐν τῷ στρατοπέδῳ μηδὲν ἐδώδιμον, ἠναγκάσθησαν οἱ περὶ αὐτὸν ἐπὶ τοὺς πολεμίους καταφυγεῖν· καὶ ταῖς πύλαις προσελθόντες ἄρτον ᾔτουν τοὺς φύλακας. Οἱ δὲ διακούσαντες τὸ σύμπτωμα τοῦ Βρούτου παρῆσαν αὐτοὶ καὶ σιτία καὶ ποτὰ κομίζοντες. Ἀνθ' ὧν f ὁ Βροῦτος, ὡς τὴν πόλιν παρέλαβεν, οὐ μόνον τούτοις, ἀλλὰ καὶ πᾶσι διὰ τούτους φιλανθρώπως ἐχρήσατο. (2) Γάϊος δ' Ἀντώνιος Ἀπολλωνίᾳ προσβαλὼν ἐκεῖ τοὺς ἐγγὺς ὄντας ἐκάλει στρατιώτας. Ἐπεὶ δ' οὗτοί τε πρὸς Βροῦτον ᾤχοντο καὶ τοὺς Ἀπολλω-
996 νιάτας ᾔσθετο τὰ Βρούτου φρονοῦντας, ἐκλιπὼν τὴν a
πόλιν εἰς Βουθρωτὸν ἐβάδιζεν. Καὶ πρῶτον μὲν ἀπόλλυσι τρεῖς σπείρας καθ' ὁδὸν ὑπὸ Βρούτου κατακοπείσας· ἔπειτα τοὺς περὶ τὴν Βυλλίδα τόπους προκαταληφθέντας ἐπιχειρῶν ἐκβιάζεσθαι καὶ μάχην συνάψας Κικέρωνι νικᾶται. Τούτῳ γὰρ ὁ Βροῦτος ἐχρῆτο στρατηγῷ καὶ πολλὰ δι' αὐτοῦ κατώρθωσε. (3) Λαβὼν δὲ τὸν Γάϊον ἐν χωρίοις ἑλώδεσι μακρὰν διεσπασμένον, οὐκ εἴασεν ἐμβαλεῖν, ἀλλὰ περιίππευσε φείδεσθαι κελεύων, ὡς μετὰ μικρὸν ἰδίων ἐσομένων. Ὃ καὶ συνέβη. Παρέδοσαν γὰρ ἑαυτοὺς καὶ τὸν στρατηγὸν, ὥστε μεγάλην ἤδη περὶ τὸν Βροῦτον δύναμιν εἶναι. (4) Χρόνον μὲν οὖν πολὺν ἐν τιμῇ τὸν Γάϊον b ἦγε καὶ τὰ παράσημα τῆς ἀρχῆς οὐκ ἀφῄρει, καίπερ, ὥς φασιν, ἄλλων τε πολλῶν καὶ Κικέρωνος ἀπὸ Ῥώμης γραφόντων καὶ κελευόντων ἀναιρεῖν. Ἀρξάμενον δὲ κρύφα τοῖς ἡγεμόσι διαλέγεσθαι καὶ ποιήσαντα νεωτερισμὸν ἐνθέμενος εἰς ναῦν ἐφύλαττε. Τῶν δὲ διαφθαρέντων στρατιωτῶν εἰς Ἀπολλωνίαν ἀποστάντων καὶ καλούντων ἐκεῖ τὸν Βροῦτον, οὐκ ἔφη τοῦτο πάτριον εἶναι Ῥωμαίοις, ἀλλ' ἐκείνους πρὸς τὸν ἄρχοντα χρῆναι βαδίζοντας αὐτοὺς παραιτεῖσθαι τὴν ἐπὶ τοῖς ἡμαρτημένοις ὀργήν. Ἐλθοῦσι δὲ καὶ δεομένοις συγγνώμην ἔδωκε.

XXVII. Μέλλοντι δ' αὐτῷ διαβαίνειν εἰς τὴν Ἀσίαν c ἧκεν ἀγγελία περὶ τῆς ἐν Ῥώμῃ μεταβολῆς. Ὁ γὰρ νέος Καῖσαρ ηὐξήθη μὲν ὑπὸ τῆς βουλῆς ἐπ' Ἀντώνιον, ἐκβαλὼν δὲ τῆς Ἰταλίας ἐκεῖνον αὐτὸς ἤδη φοβερὸς ἦν ὑπατείαν τε μνώμενος παρὰ νόμον καὶ στρατεύματα τρέφων μεγάλα, τῆς πόλεως οὐδὲν δεομένης. Ὁρῶν δὲ καὶ ταῦτα τὴν βουλὴν βαρυνομένην καὶ πρὸς τὸν Βροῦτον ἀφορῶσαν ἔξω καὶ ψηφιζομένην ἐκείνῳ καὶ βεβαιοῦσαν τὰς ἐπαρχίας, ἔδεισε. Καὶ τὸν μὲν Ἀντώνιον πέμπων εἰς φιλίαν προὐκαλεῖτο, τὰς δὲ δυνάμεις τῇ πόλει περιστήσας ὑπατείαν ἔλαβεν οὔπω πάνυ μειράκιον ὤν, ἀλλ' εἰκοστὸν ἄγων ἔτος, ὡς αὐτὸς ἐν d τοῖς ὑπομνήμασιν εἴρηκεν. (2) Εὐθὺς δὲ δίκας φόνου κατὰ τῶν περὶ τὸν Βροῦτον εἰσῆγεν, ὡς ἄνδρα πρῶτον ἐν ἀρχαῖς ταῖς μεγίσταις ἀνῃρηκότων ἄκριτον· καὶ κατήγορον ἐπέστησε Βρούτου μὲν Λεύκιον Κορνιφίκιον, Κασσίου δὲ Μάρκον Ἀγρίππαν. Ὠφλίσκανον οὖν τὰς δίκας ἐρήμας, ἀναγκαζομένων φέρειν ψῆφον τῶν δικαστῶν. (3) Λέγεται δὲ, τοῦ κήρυκος, ὥσπερ εἴωθεν,

XXVI. Quum animus Brutum deficeret, neque esset quicquam edulii in castris, coacti sunt milites ipsius ad hostes confugere, et ad portas aggressi custodes panem poposcerunt. Hi, casu Bruti audito, ipsi ad eum accurrerunt, cibum potumque afferentes. Pro quo officio Brutus, urbe recepta, non ipsis modo, sed et reliquis omnibus clementem se præbuit. (2) C. autem Antonius Apolloniam quum applicuisset, vicinos milites ad se convocavit. Quos ut ad Brutum se conferre et Apolloniatas etiam partes hujus præferre sensit, relicta Apollonia, Buthrotum proficisci instituit. Primum in eo itinere tres cohortes amisit a Bruto concisas; deinde loca circa Bullidem ab hostibus occupata vi obtinere conatus, commisso cum Cicerone (eo enim legato utebatur Brutus, ac plurima ejus opera confecit) prœlio victus est. (3) Tandem Brutus Caium palustribus in locis dissipato agmine hærentem deprehendit, neque passus est suos impetum facere, sed obequitans parcere jussit hominibus paullo post suis futuris. Neque id eum fefellit. Nam et se et ducem illi Bruto dediderunt. Magnas jam Brutus habebat copias. (4) C. autem Antonium diu secum honorifice habuit, ita ut magistratus etiam insignia ei non adimeret, quanquam, ut aiunt, quum alii multi, tum Cicero scribens Roma ad necandum hortabantur. Incipientem vero occulta cum ducibus colloquia agitare et novas res moliri, navi impositum in custodia habuit. Quum ab eo corrupti milites Apolloniam secessissent, eoque ipsum vocarent: non hoc moris esse Romani respondit, ipsos ad ducem venire iramque ob delictum conceptam debere deprecari. Venientibus et veniam petentibus ignovit.

XXVII. Jam in Asiam transituro nuntius de mutatione rerum Romæ facta allatus est. Nam et Cæsar Octavianus a senatu adversus Antonium armatus, eo Italia ejecto, ipse jam terrori civibus erat consulatum contra leges postulans, magnosque exercitus nulla publica exigente necessitate alens. Quæ quum videret senatui molesta eumque ad Brutum respicere, provinciasque huic decernere decretasque confirmare: metuens sibi ad Antonium misit, eumque ad jungendam amicitiam invitavit, et ipse exercitus urbi circumdans, consulatum iniit, non plane adolescens, sed vigesimum agens annum, ut ipse in commentariis scribit. (2) Statim autem judicium de cæde adversus Brutum et socios constituit, quod ii principem virum et summos gerentem magistratus indicta causa necassent; accusator Bruti L. Cornificius, Cassii M. Agrippa delectus, damnatique sunt ob desertum vadimonium, coactis ferre sententias judicibus. (3) Sane ferunt, præcone, ut in more posi-

ἀπὸ τοῦ βήματος τὸν Βροῦτον ἐπὶ τὴν δίκην καλοῦντος, τὸ μὲν πλῆθος ἐπιδήλως στενάξαι, τοὺς δ' ἀρίστους κύψαντας εἰς γῆν ἡσυχίαν ἄγειν, Πόπλιον δὲ Σιλίκιον ὀφθῆναι δακρύσαντα, καὶ διὰ τὴν αἰτίαν ταύτην ὀλίγον ὕστερον ἕνα τῶν προγραφέντων ἐπὶ θανάτῳ γενέσθαι. e Μετὰ ταῦτα διαλλαγέντες οἱ τρεῖς, Καῖσαρ, Ἀντώνιος, Λέπιδος, διενείμαντο τὰς ἐπαρχίας σφαγάς τε καὶ προγραφὰς ἀνδρῶν διακοσίων ἐποίησαν, ἐν οἷς καὶ Κικέρων ἀπέθανε.

XXVIII. Τούτων οὖν εἰς Μακεδονίαν ἀπαγγελθέντων, ἐκβιασθεὶς ὁ Βροῦτος ἔγραψεν Ὁρτησίῳ κτεῖναι Γάϊον Ἀντώνιον, ὡς δὴ Βρούτῳ τε καὶ Κικέρωνι τιμωρῶν, τῷ μὲν ὄντι φίλῳ, τῷ δὲ καὶ κατὰ γένος προσήκοντι. Διὰ ταῦθ' ὕστερον Ἀντώνιος Ὁρτήσιον ἐν Φιλίπποις λαβὼν τῷ μνήματι τοῦ ἀδελφοῦ προσέσφαξε. (2) Βροῦτος δὲ τῆς Κικέρωνος τελευτῆς τῇ αἰτίᾳ φησὶν αἰσχύνεσθαι μᾶλλον ἢ τῷ πάθει συναλγεῖν, f ἐγκαλεῖν δὲ τοῖς ἐπὶ Ῥώμης φίλοις· δουλεύειν γὰρ αὑτῶν αἰτίᾳ μᾶλλον ἢ τῶν τυραννούντων, καὶ καρτερεῖν δρῶντας καὶ παρόντας ἃ μηδ' ἀκούειν αὐτοῖς ἀνεκτὸν ἦν. (3) Περαιώσας δὲ τὸν στρατὸν εἰς Ἀσίαν ἤδη λαμπρὸν ὄντα, ναυτικὸν μὲν ἐξηρτύετο στόλον ἐν Βιθυνίᾳ καὶ περὶ Κύζικον, πεζῇ δ' αὐτὸς ἐπιὼν καθίστατο τὰς πόλεις καὶ τοῖς δυνάσταις ἐχρημάτιζε καὶ πρὸς Κάσσιον ἔπεμπεν εἰς Συρίαν ἀπ' Αἰγύπτου μετα-
997 καλῶν· οὐ γὰρ ἀρχὴν κτωμένους αὐτούς, ἀλλ' ἐλευ- a
θεροῦντας τὴν πατρίδα, τὴν δύναμιν, ᾗ καταλύουσι τοὺς τυράννους, συνάγοντας πλανᾶσθαι· δεῖν οὖν μεμνημένους καὶ φυλάττοντας τὴν ὑπόθεσιν μὴ μακρὰν ἀπηρτῆσθαι τῆς Ἰταλίας, ἀλλ' ἐκεῖσε σπεύδειν καὶ βοηθεῖν τοῖς πολίταις. (4) Ὑπακούσαντος δὲ τοῦ Κασσίου καὶ καταβαίνοντος, ἀπήντα· καὶ περὶ Σμύρναν ἀλλήλοις ἐνετύγχανον, ἀφ' οὗ πρῶτον ἐν Πειραιεῖ χωρισθέντες ὥρμησαν, ὁ μὲν εἰς Συρίαν, ὁ δ' εἰς Μακεδονίαν. Ἦν οὖν ἡδονή τε μεγάλη καὶ θάρσος αὐτοῖς ἐκ τῆς παρούσης ἑκατέρῳ δυνάμεως. Ὁρμήσαντες γὰρ ἐκ τῆς Ἰταλίας ὅμοια φυγάσι τοῖς ἀτιμοτάτοις, ἀχρήματοι b καὶ ἄνοπλοι, μὴ ναῦν ἐνήρη, μὴ στρατιώτην ἕνα, μὴ πόλιν ἔχοντες, οὐ πολλοῦ πάνυ χρόνου διαγενομένου συνῆλθον εἰς ταὐτὸ καὶ ναυσὶ καὶ πεζῷ καὶ ἵπποις καὶ χρήμασιν ἀξιόμαχοι διαγωνίσασθαι περὶ τῆς Ῥωμαίων ἡγεμονίας ὄντες.

XXIX. Ἐβούλετο μὲν οὖν ἴσον ἔχειν τιμῆς καὶ παρέχειν ὁ Κάσσιος, ἔφθανε δ' ὁ Βροῦτος ὡς τὰ πολλὰ φοιτῶν πρὸς αὐτὸν ἡλικίᾳ τε προὔχοντα καὶ σώματι πονεῖν ὁμοίως μὴ δυναμένῳ χρώμενον. Ἦν δὲ δόξα, Κάσσιον μὲν εἶναι δεινὸν ἐν τοῖς πολεμικοῖς, ὀργῇ δὲ τραχὺν καὶ φόβῳ μᾶλλον ἄρχοντα, πρὸς δὲ τοὺς συνήθεις ὑγρότερον τῷ γελοίῳ καὶ φιλοσκώπτην· Βροῦτον δὲ λέγουσι δι' ἀρετὴν φιλεῖσθαι μὲν ὑπὸ τῶν πολλῶν, c ἐρᾶσθαι δ' ὑπὸ τῶν φίλων, θαυμάζεσθαι δ' ὑπὸ τῶν ἀρίστων, μισεῖσθαι δὲ μηδ' ὑπὸ τῶν πολεμίων, ὅτι πρᾶος ὁ ἀνὴρ διαφερόντως καὶ μεγαλόφρων καὶ πρὸς πᾶσαν ὀργὴν καὶ ἡδονὴν καὶ πλεονεξίαν ἀπαθής, ὀρ-

tum fuit, de tribunali Brutum ad dicendam causam vocante, palam ingemuisse populum, optimos quosque tacitos oculos in terram dejecisse et P. Silicium lacrimantem conspectum, eamque ob causam paullo post inter proscriptos nomen ejus fuisse. Nam statim hi tres, Cæsar, Antonius et Lepidus, composita societate provincias inter se distribuerunt, ducentosque viros proscripserunt trucidandos, inter quos et Cicero fuit.

XXVIII. His in Macedoniam allatis nuntiis impulsus Brutus Hortensio C. Antonii necandi negotium missa epistola injungit, D. Brutum et Ciceronem ulciscens, cognatum alterum, alterum amicum. Propter hoc postea Antonius Hortensium apud Philippos captum ad tumulum fratris sui jugulavit. (2) Brutus magis etiam sibi causam mortis Ciceronis pudorem quam mortem dolorem attulisse ait, culpatque amicos suos Romæ agentes, quod eorum causa magis quam tyrannorum respublica serviat, qui præsentes ea videre sustineant, quæ ne audire quidem deberent. (3) Trajectis in Asiam copiis jam satis amplis, classem in Bithynia et apud Cyzicum parans, ipse terrestri itinere circum urbes profectus, eas constituit et cum principibus regulisque colloquitur; tum ad Cassium in Syriam scribit, revocans eum ex Ægypto. Non enim debere ipsos principatus obtinendi causa vagari, sed copias in unum conducere ad liberandam tyrannide patriam, ejusque memores et tenaces propositi haud procul ab Italia abesse, sed eo ad ferendam civibus opem contendere. (4) Obtemperavit Cassius et descendenti apud Smyrnam obviam venit, isque primus eorum erat congressus ex quo in Piræeo digressi alter Syriam, alter Macedoniam petiit. Magnam autem utrique alterius copiæ voluptatem attulerunt atque fiduciam. Quippe ex Italia ita profecti, ut nihil eorum conditio quam abjectissimi cujusque exsulis esset præstantior, pecunia et armis destituti et ne uniremem quidem navem habentes ullam, neque militem, neque urbem, non longo exacto tempore convenerunt navibus, peditatu, equitibus et pecunia instructi, ut satis virium ad decertandum pro Romano imperio haberent.

XXIX. Statuerat quidem Cassius potestatem et honorem cum Bruto æquali ratione communicare, sed prævenit eum Brutus, crebro ad ipsum commeans, ut ætate priorem et corpore jam minus ad labores ferendos apto. Ea autem hominum de Cassio erat opinio, virum esse bello egregium, ceterum iracundum et qui metu magis subditos regeret, apud familiares suavior aliquantum et dicacior. Brutum autem ob virtutem a multitudine dilectum, ab amicis amatum, ab optimis in admiratione habitum et ne hostibus quidem invisum fuisse perhibent, quod in eo insignis mansuetudo, animi magnitudo, et ab omni ira, voluptatibus cupiditatibusque esset vacuitas, inque recta et

θιον δὲ τὴν γνώμην καὶ ἄκαμπτον ἑστῶσαν ὑπὲρ τοῦ καλοῦ καὶ δικαίου διαφυλάττων. (2) Καὶ μέγιστον ὑπῆρχεν αὐτῷ πρὸς εὔνοιαν καὶ δόξαν ἡ τῆς προαιρέσεως πίστις. Οὔτε γὰρ ἐκεῖνος ὁ μέγας Πομπήιος, εἰ Καίσαρα καθεῖλεν, ἠλπίζετο βεβαίως προήσεσθαι τοῖς νόμοις τὴν δύναμιν, ἀλλ' ἀεὶ τὰ πράγματα καθέξειν ὑπατείας ὀνόματι καὶ δικτατωρίας ἤ τινος ἄλλης μα- d λακωτέρας ἀρχῆς παραμυθούμενος τὸν δῆμον· Κάσσιον δὲ τοῦτον, σφοδρὸν ἄνδρα καὶ θυμοειδῆ καὶ πολλαχοῦ πρὸς τὸ κερδαλέον ἐκφερόμενον τοῦ δικαίου, παντὸς μᾶλλον ᾤοντο πολεμεῖν καὶ πλανᾶσθαι καὶ κινδυνεύειν αὐτῷ τινα δυναστείαν κατασκευαζόμενον, οὐκ ἐλευθερίαν τοῖς πολίταις. (3) Τὰ μὲν γὰρ ἔτι τούτων πρεσβύτερα, Κίνναι καὶ Μάριοι καὶ Κάρβωνες, ἆθλον ἐν μέσῳ καὶ λείαν προθέμενοι τὴν πατρίδα μονονουχὶ ῥητῶς ὑπὲρ τυραννίδος ἐπολέμησαν. Βρούτῳ δὲ λέγουσι μηδὲ τοὺς ἐχθροὺς προσβάλλειν τοιαύτην μεταβολήν, ἀλλ' Ἀντωνίου γε καὶ πολλοὺς ἀκοῦσαι λέγοντος, ὡς e μόνον οἴοιτο Βροῦτον ἐπιθέσθαι Καίσαρι προαχθέντα τῇ λαμπρότητι καὶ τῷ φαινομένῳ καλῷ τῆς πράξεως, τοὺς δ' ἄλλους ἐπὶ τὸν ἄνδρα συστῆναι μισοῦντας καὶ φθονοῦντας. (4) Ὅθεν Βροῦτος οὐ τῇ δυνάμει τοσοῦτον, ὅσον τῇ ἀρετῇ δῆλός ἐστιν ἐξ ὧν γράφει πεποιθώς. Γράφει δὲ πρὸς Ἀττικὸν ἤδη τῷ κινδύνῳ πλησιάζων ἐν τῷ καλλίστῳ τῆς τύχης εἶναι τὰ καθ' αὑτόν· ἢ γὰρ νικήσας ἐλευθερώσειν τὸν Ῥωμαίων δῆμον, ἢ δουλείας ἀποθανὼν ἀπαλλαγήσεσθαι· καὶ τῶν ἄλλων ἀσφαλῶς αὐτοῖς καὶ βεβαίως ἐχόντων, ἓν ἄδηλον εἶναι, πότερον f βιώσονται μετ' ἐλευθερίας ἢ τεθνήξονται. Μάρκον δ' Ἀντώνιον ἀξίαν φησὶ τῆς ἀνοίας διδόναι δίκην, ὃς ἐν Βρούτοις καὶ Κασσίοις καὶ Κάτωσι συναριθμεῖσθαι δυνάμενος προσθήκην ἑαυτὸν Ὀκταουίῳ δέδωκε· κἂν μὴ νῦν ἡττηθῇ μετ' ἐκείνου, μικρὸν ὕστερον ἐκείνῳ μαχεῖται. Ταῦτα μὲν οὖν ἀποθεσπίσαι καλῶς πρὸς τὸ μέλλον ἔοικεν.

998 XXX. Ἐν δὲ τῇ Σμύρνῃ τότε τῶν χρημάτων, a ἃ πολλὰ συνειλόχει Κάσσιος, ἠξίου μεταλαβεῖν· τὰ γὰρ ὄντα κατανηλωκέναι ναυπηγούμενος στόλον τοσοῦτον, ᾧ πᾶσαν ὑφ' ἑαυτοῖς ἕξουσι τὴν ἐντὸς θάλασσαν. Οὐκ εἴων μὲν οὖν τὸν Κάσσιον οἱ φίλοι διδόναι, λέγοντες ὡς « Οὐ δίκαιον, ἃ σὺ φειδόμενος διαφυλάττεις καὶ φθόνῳ συνάγεις, ἐκεῖνον λαβόντα δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς στρατιώταις. » Οὐ μὴν ἀλλ' ἔδωκεν αὐτῷ τρίτον μέρος ἁπάντων. (2) Καὶ πάλιν διαστάντες ἐπὶ τὰς προσηκούσας ἑκατέρῳ πράξεις, Κάσσιος μὲν ἑλὼν Ῥόδον οὐκ ἐπιεικῶς ἐχρῆτο τοῖς πράγμασι, καὶ ταῦτα περὶ τὴν εἴσοδον τοῖς προσαγορεύουσιν αὐτὸν βασιλέα καὶ κύριον ἀποκρινάμενος· » Οὔτε βασιλεὺς οὔτε κύριος, b τοῦ δὲ κυρίου καὶ βασιλέως φονεὺς καὶ κολαστής. » Βροῦτος δὲ Λυκίους ᾔτει χρήματα καὶ στρατόν. (3) Ἐπεὶ δὲ Ναυκράτης ὁ δημαγωγὸς ἀνέπεισε τὰς πόλεις ἀφίστασθαι καὶ λόφους τινὰς ὡς εἴρξοντες παρόδου τὸν Βροῦτον κατελάβοντο, πρῶτον μὲν ἀριστοποιουμένοις αὐτοῖς ἐπέπεμψεν ἱππεῖς, ὑφ' ὧν ἑξακόσιοι διεφθά-

immobili de honesto et justitia persisteret sententia. (2) Maximam autem benevolentiam et gloriam paravit voluntatis propositique fides. Non enim spes fuerat Magnum illum Pompeium, si Cæsarem devicisset, legibus potentiam suam certo submissurum fuisse, sed semper res in sua manu retenturum, nomine consulatus aut dictaturæ aut alterius tolerabilioris magistratus populum demulcentem. Cassium quoque, vehementis hominem et iracundi ingenii, et qui sæpe ob lucrum a justitia deflecteret, omnino existimabant vagari ac belligerare non ut civibus libertatem, sed ut sibi potentiam pararet. (3) Nam qui his antiquiores sunt Cinnæ, Marii et Carbones, ii quasi præmium et prædam patriam sibi propositam habuerunt, et tantum non ex professo de tyrannide pugnarunt: Bruto ne hostes quidem ferunt eam objectasse varietatem, multosque audivisse ex Antonio: existimare se solum Brutum splendore facinoris et honestatis opinione adductum ad insidias Cæsari faciendas, reliquos odio et invidia impulsos conspirasse. (4) Et apparet Brutum non tam viribus suis quam virtute fretum fuisse, ex his quæ ipse scripsit. Attico enim scribens, quum jam periculo appropinquaret, optimo loco res suas esse ait; aut enim se victoria sua populum Romanum liberaturum, aut morte servitutem evitaturum; reliquisque omnibus in tuto et certo collocatis, unum id non constare, victurine sint liberi, an morituri. M. etiam Antonium ait dignas vecordiæ pœnas dare, qui quum posset inter Brutos, Cassios et Catones numerari, Octavio se appendicem dederit, cum quo si in præsentia non vincatur, paullo post sit pugnaturus adversus eum. Atque hic præclare de futuro divinasse Brutus videtur.

XXX. Smyrnæ tum postulavit a Cassio, ut is secum pecunias, quas multas collegerat, communicaret; suas enim se consumpsisse fabricanda ea classe, qua obtinere totum mediterraneum mare possent. Cassium autem nolebant amici dare, injustum dicentes, quæ non sine invidia corrasisset et parce conservaret, ea Brutum accipere, militumque gratiam iis dividendis consectari. Trientem tamen Cassius universæ pecuniæ Bruto dedit. (2) Rursum inde digressi ad negotia certa exsequenda, Cassius Rhodum cepit, inhumaniterque et inique se gessit, quanquam primo suo ingressu iis a quibus rex et dominus salutabatur, dixerat: neque regem se neque dominum, sed regis dominique occisorem et persecutorem esse. Brutus a Lyciis pecuniam et milites poposcit. (3) Sed quum Naucrates orator urbes ad defectionem traxisset, Lyciique tumulos quosdam ad prohibendum transitu Brutum occupassent: primum equites prandentibus immisit, a quibus sexcenti interfecti.

ρησαν, ἔπειτα χωρία καὶ πολίχνας λαμβάνων ἀπέλυεν ἄνευ λύτρων ἅπαντας ὡς προσαξόμενος εὐνοίᾳ τὸ ἔθνος. Οἱ δ' ἦσαν αὐθάδεις, ἃ μὲν ἐβλάπτοντο πρὸς ὀργὴν τιθέμενοι, τῆς δ' ἐπιεικείας καὶ φιλανθρωπίας καταφρονοῦντες, [c] ἄχρι οὗ συνελάσας εἰς Ξάνθον αὐτῶν τοὺς μαχιμωτάτους ἐπολιόρκει. Τοῦ δὲ ποταμοῦ παρὰ τὴν πόλιν παραῤῥέοντος ὑπονηχόμενοι διεδίδρασκον. Ἡλίσκοντο δὲ δικτύων διὰ πόρου καθιεμένων εἰς βυθὸν, ὧν τὰ ἄκρα κώδωσι προσηρτημένοις διεσήμαινεν εὐθὺς τὸν ἐνσχεθέντα. (4) Μηχαναῖς δέ τισι τῶν Ξανθίων νύκτωρ ἐπιδραμόντων καὶ πῦρ ἐμβαλόντων, ὡς ἀπεκλείσθησαν, αἰσθομένων τῶν Ῥωμαίων πρὸς τὸ τεῖχος καὶ πνεῦμα λαμπρὸν ἀνεῤῥίπιζεν ἐπὶ τὰς ἐπάλξεις τὴν φλόγα τῶν ἐγγὺς οἰκιῶν ἀντιλαμβανομένην, δείσας [d] ὁ Βροῦτος ὑπὲρ τῆς πόλεως ἐκέλευσε κατασβεννύναι καὶ βοηθεῖν.

XXXI. Τοὺς δὲ Λυκίους δεινή τις ἐξαίφνης πρὸς ἀπόνοιαν ὁρμὴ καὶ λόγου κρείσσων κατέσχεν, ἣν ἄν τις ἔρωτι θανάτου μάλιστα προσεικάσειεν· οἵ γε μετὰ παίδων καὶ γυναικῶν ἐλεύθεροί τε καὶ δοῦλοι καὶ πᾶσα ἡλικία τοὺς μὲν πολεμίους πρὸς τὴν φλόγα βοηθοῦντας ἀπὸ τῶν τειχῶν ἔβαλλον, αὐτοὶ δὲ κάλαμον καὶ ξύλα καὶ πᾶν ὑπέκκαυμα προσφέροντες ἦγον ἐπὶ τὴν πόλιν τὸ πῦρ, ὀρέγοντες αὐτῷ πᾶσαν ὕλην καὶ πάντα τρόπον ἐξερεθίζοντες καὶ συνεκτρέφοντες. (2) Ὡς δ' ἡ φλὸξ ῥυεῖσα καὶ διαζώσασα πανταχόθεν τὴν πόλιν διέλαμψε [e] πολλὴ, περιπαθῶν ἐπὶ τοῖς γινομένοις ὁ Βροῦτος ἔξωθεν παρίππευε προθυμούμενος βοηθεῖν, καὶ τὰς χεῖρας ὀρέγων τοῖς Ξανθίοις ἐδεῖτο φείδεσθαι καὶ σώζειν τὴν πόλιν, οὐδενὸς αὐτῷ προσέχοντος, ἀλλὰ πάντα τρόπον ἑαυτοὺς ἀπολλύντων, οὐ μόνον ἀνδρῶν τε καὶ γυναικῶν, ἀλλὰ καὶ τὰ παιδία τὰ μικρὰ μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ τὰ μὲν εἰς τὸ πῦρ ἥλλετο, τὰ δ' ἄνωθεν ἀπὸ τῶν τειχῶν ἐξετραχήλιζεν αὑτὰ, τὰ δὲ τοῖς ξίφεσι τῶν πατέρων ὑπέβαλλε τὰς σφαγὰς γυμνοῦντα καὶ κελεύοντα παίειν. (3) Ὤφθη δὲ τῆς πόλεως διαφθαρείσης γυνὴ κρεμαμένη μὲν ἐξ ἀγχόνης, παιδίον δὲ νεκρὸν ἐξηρτημένη τοῦ τραχήλου, λαμπάδι δὲ καιομένη τὴν οἰκίαν ὑφάπτουσα. Καὶ τοῦ θεάματος τραγικοῦ φανέντος, [f] ἰδεῖν μὲν οὐχ ὑπέμεινεν ὁ Βροῦτος, ἐδάκρυσε δὲ ἀκούσας· καὶ γέρας ἐκήρυξε τῶν στρατιωτῶν ὅστις ἂν δυνηθῇ Λύκιον ἄνδρα περισῶσαι. Φασὶ δὲ μόνους ἑκατὸν πεντήκοντα γενέσθαι τοὺς μὴ διαφυγόντας τὸ [999] σωθῆναι. Ξάνθιοι μὲν οὖν διὰ πολλῶν χρόνων ὥσπερ [a] εἱμαρμένην περίοδον διαφθορᾶς ἀποδιδόντες τὴν τῶν προγόνων ἀνενεώσαντο τῇ τόλμῃ τύχην· καὶ γὰρ ἐκεῖνοι τὴν πόλιν ὁμοίως ἐπὶ τῶν Περσικῶν κατακαύσαντες ἑαυτοὺς διέφθειραν.

XXXII. Βροῦτος δὲ τὴν Παταρέων πόλιν ὁρῶν ἀπισχυριζομένην πρὸς αὐτὸν, ὤκνει μὲν ἐπιχειρεῖν καὶ διηπορεῖτο τὴν αὐτὴν δεδιὼς ἀπόνοιαν, ἔχων δὲ γυναῖκας αὐτῶν αἰχμαλώτους ἀφῆκεν ἄνευ λύτρων. Αἱ δ' ἀνδρῶν τε καὶ πατέρων ἐπιφανῶν οὖσαι διηγούμεναι τὸν Βροῦτον, ὡς ἀνὴρ εἴη σωφρονέστατος καὶ δικαιότατος, ἔπει-

sunt. Deinde oppida et pagos recipiens, sine mercede redemptionis omnes dimisit, sperans se benignitate populum sibi devincturum. Sed ii erant pertinaces, et acceptorum damnorum causa irascebantur, clementiam vero et humanitatem ejus contemnebant. Tandem pugnacissimos eorum in urbem Xanthum compulit Brutus et in obsidione habuit. Hi quum amnem qui mœnia alluit, sub aqua tranantes effugere tentarent, capiebantur retibus in profundum alvei demissis, quorum in summo tintinnabula appensa, retibus implicitum sono statim indicabant. (4) Nocte quadam Xanthii eruptione facta, machinis Romanorum ignem injecerunt, neque fefellerunt Romanos, sed ab iis intra muros repulsi sunt. Hic quum vehemens ventus flammam ad propugnacula propelleret, eoque vicinas jam ædes apprehenderet, urbi ab incendio metuens Brutus, subvenire suos et restinguere jussit.

XXXI. At Lycios dirus quidam ad perniciem impetus insaniaque ineffabilis subito egit, quam amori potissimum mortis comparaverimus. Universi enim omnis conditionis, sexus ætatisque homines Romanos incendio opitulantes de muro telis impetentes, ipsi calamos, ligna et omnes fomitis genus aggesserunt, ignem eo in urbem adducentes, materiam ei affatim porrigendo, omnique modo et opera excitando atque alendo. (2) Ut flamma passim dissipata urbem undique cinxit et copiosissima effulsit, gravissimo ictus dolore Brutus circum mœnia obequitavit, auxilium urbi ferre cupiens, manibusque ad Xanthios intentis precans ut patriæ parcerent, eamque salvam esse paterentur. Neque ei quisquam animum advertebat, sed quocumque modo universi necem sibi consciscebant, non viri modo et mulieres, sed etiam parvi pueri cum clamore et fremitu vel in ignem sese conjiciebant, vel de muris præcipitabant, vel nuda jugula parentum gladiis subjiciebant et ad cædendum hortabantur. (3) Urbe conflagrata mulier conspecta est collo suspensa, cervice tenens mortuum puerulum, et ardente face ignem domui inferens, quod spectaculum visum est sane tragicum, neque sustinuit intueri Brutus, sed ad nuntium ejus flevit, præmiumque militibus edixit, quicumque Lycium aliquem servassent. Ferunt centum quinquaginta modo inventos, qui se saluti non eripuerint. Ita Xanthii longo temporis circuitu veluti fatalem exitii orbem volventes, temeritate sua majorum suorum fortunam renovarunt, qui et ipsi bello Medico urbe incensa necem sibi asciverant.

XXXII. Porro Brutus Patara videns pertinaciter sibi resistere, oppugnare tamen non audebat, anxiusque animi erat, metuens ne ad eandem incolæ rabiem converterentur; mulieres eorum quum cepisset, nullo accepto pretio dimisit. Atque hæ maritis et parentibus suis, viris primariis, Bruti insignem justitiam temperantiamque laudantes, persuase-

σαν εἶξαι καὶ παραδοῦναι τὴν πόλιν. (2) Ἐκ δὲ τούτου καὶ πάντες οἱ λοιποὶ προσεχώρησαν ἐπιτρέψαντες ἑαυτοὺς b ἐκείνῳ, τυχόντες δὲ χρηστοῦ καὶ παρ' ἐλπίδας εὐγνώμονος· ὅς γε, Κασσίου Ῥοδίους ὑπὸ τὸν αὐτὸν χρόνον ἀναγκάσαντος ἰδίᾳ μὲν ὃν ἐκέκτηντο χρυσὸν καὶ ἄργυρον εἰσενεγκεῖν ἅπαντας (ἐξ οὗ συνηνέχθη περὶ ὀκτακισχίλια τάλαντα), δημοσίᾳ δὲ τὴν πόλιν ἄλλοις πεντακοσίοις ζημιώσαντος, αὐτὸς ἑκατὸν καὶ πεντήκοντα τάλαντα Λυκίους πραξάμενος, ἄλλο δὲ οὐδὲν ἀδικήσας ἀνέζευξεν ἐπ' Ἰωνίας.

XXXIII. Πολλὰ μὲν οὖν ἄξια μνήμης ἔργα καὶ τιμαῖς ἀπεδείξατο καὶ κολάσεσι τῶν ἀξίων· ᾧ δ' αὐτός τε ἥσθη μάλιστα καὶ Ῥωμαίων οἱ κράτιστοι, τοῦτο c διηγήσομαι. Πομπηίου Μάγνου προσβαλόντος Αἰγύπτῳ κατὰ Πηλούσιον, ὁπηνίκα τὴν μεγάλην ἀρχὴν ἀποβαλὼν ὑπὸ Καίσαρος ἔφυγεν, οἱ τοῦ βασιλέως ἔτι παιδὸς ὄντος ἐπιτροπεύοντες ἐν βουλῇ μετὰ τῶν φίλων ἦσαν οὐ κατὰ ταὐτὰ ταῖς γνώμαις φερόμενοι. Τοῖς μὲν γὰρ ἐδόκει δέχεσθαι, τοῖς δ' ἀπωθεῖν Αἰγύπτου τὸν ἄνδρα. (2) Θεόδοτος δέ τις Χῖος ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλος τῷ βασιλεῖ συνών, ἠξιωμένος δὲ τότε τοῦ συνεδρίου δι' ἐρημίαν ἀνδρῶν βελτιόνων, ἀμφοτέρους διαμαρτάνοντας ἀπέφαινε καὶ τοὺς ἀναλαβεῖν καὶ τοὺς ἀφεῖναι κελεύοντας τὸν Πομπήιον· ἓν γὰρ εἶναι συμφέρον ἐκ τῶν παρόντων, δεξαμένους ἀποκτεῖναι. Καὶ προσεπεῖπε d τοῦ λόγου παυόμενος, ὅτι νεκρὸς οὐ δάκνει. Προσθεμένου δὲ τῇ γνώμῃ τοῦ συνεδρίου, παράδειγμα τῶν ἀπίστων καὶ ἀπροσδοκήτων ἔκειτο Πομπήιος Μάγνος, τῆς Θεοδότου ῥητορείας καὶ δεινότητος ἔργον, ὡς αὐτὸς ὁ σοφιστὴς ἔλεγε μεγαλαυχούμενος. (3) Ὀλίγῳ δ' ὕστερον ἐπελθόντος Καίσαρος, οἱ μὲν δίκας τιννύοντες ἀπώλλυντο κακοὶ κακῶς, Θεόδοτος δὲ παρὰ τῆς τύχης χρόνον εἰς ἄδοξον καὶ ἄπορον καὶ πλάνητα βίον ἐπιδανεισάμενος τότε Βροῦτον ἐπιόντα τὴν Ἀσίαν οὐκ ἔλαθεν, ἀλλ' ἀναχθεὶς καὶ κολασθεὶς ὄνομα τοῦ θανάτου e πλέον ἔσχεν ἢ τοῦ βίου.

XXXIV. Κάσσιον δὲ Βροῦτος εἰς Σάρδεις ἐκάλει καὶ προσιόντι μετὰ τῶν φίλων ἀπήντησε· καὶ πᾶς ὁ στρατὸς ὡπλισμένος αὐτοκράτορας ἀμφοτέρους προσηγόρευσεν. Οἷα δ' ἐν πράγμασι μεγάλοις καὶ φίλοις πολλοῖς καὶ ἡγεμόσιν, αἰτιῶν αὐτοῖς πρὸς ἀλλήλους ἐγγενομένων καὶ διαβολῶν, πρὶν ἕτερόν τι ποιεῖν, εὐθὺς ἐκ πορείας καθ' αὑτοὺς ἐν οἰκήματι γενόμενοι, κεκλεισμένων τῶν θυρῶν καὶ μηδενὸς παρόντος, ἐχρῶντο μέμψεσι πρῶτον, εἶτ' ἐλέγχοις καὶ κατηγορίαις. Ἐκ δὲ τούτου πρὸς δάκρυα καὶ παρρησίαν μετὰ πάθους ἐκφερομένων, θαυμάζοντες οἱ φίλοι τὴν τραχύτητα τῆς ὀργῆς καὶ τὸν τόνον, ἔδεισαν μή τι ἐκ τούτου γένηται· προσελθεῖν δὲ f ἀπείρητο. (2) Μάρκος δὲ Φαώνιος, ἐραστὴς γεγονὼς Κάτωνος, οὐ λόγῳ μᾶλλον ἢ φορᾷ τινι καὶ πάθει μανικῷ φιλοσοφῶν, ἐβάδιζεν εἴσω πρὸς αὐτοὺς κωλυόμενος ὑπὸ τῶν οἰκετῶν. Ἀλλ' ἔργον ἦν ἐπιλαβέσθαι Φαω-
1000 νίου πρὸς ὁτιοῦν ὁρούσαντος· σφοδρὸς γὰρ ἦν ἐν πᾶσι a καὶ πρόχειρος. Ἐπεὶ τό γε βουλευτὴν εἶναι Ῥωμαίων

runt uti deditionem facerent. (2) Inde ceteræ etiam Lyciorum urbes in potestatem venere et fidei Bruti se crediderunt. Ita autem præter spem ipsorum æquum humanumque se eis præbuit, ut quum Cassius eodem tempore coegisset Rhodios privatim omne aurum et argentum sibi tradere, unde ad octo millia talentorum confectum est, publice autem civitatem quingentis talentis mulctasset; ipso exactis a Lyciis centum et quinquaginta talentis, neque ullo præterea damno dato, ex Ionia recesserit.

XXXIII. Idem meritos vel pœna vel honore afficiendo multa memoratu digna facinora edidit, de quibus id referam quo et ipse maxime delectatus est et Romanorum præstantissimi. Quum Pompeius Magnus imperio a Cæsare exutus fugiens ad Pelusium Ægypti venisset, regis pueri etiamnum tutores de eo cum amicis consultantes, variabant sententiis, quod nonnulli recipiendum, nonnulli Ægypto arcendum censerent. (2) Ibi Theodotus quidam Chius, qui mercede conductus regem rhetoricam docebat, tum vero penuria meliorum in consilium ascitus erat, utramque sententiam vitiosam esse pronuntiavit, et eorum qui recipiendum Pompeium et qui dimittendum censerent, idque in præsentia esse consultissimum, ut receptus necaretur; addiditque in fine suæ orationis, mortuum non mordere. Quam sententiam quum probasset senatus, exemplum rerum incredibilium inopinatarumque occubuit Pompeius Magnus, rhetoricæ et facundiæ Theodoti victima, sicut ipse rhetor sese jactans dicebat. (3) Paullo post supervenit Cæsar, ceteri pœnas dantes male mali perierunt, Theodotus vero a fortuna usuram temporis mutuatus, quo abjectam miseramque degens vitam vagaretur, Brutum tunc Asiam peragrantem non fefellit, sed ad eum adductus et supplicio affectus, mortem est vita sua nobiliorem adeptus.

XXXIV. Cassium Brutus ad se Sardes accivit, venientique est cum amicis obviam profectus, et ambo sunt ab universo exercitu armato imperatores salutati. Quod autem usu venire in tantis rebus tantaque amicorum et legatorum varietate solet, offensæ inter ipsos et mutua crimina exstiterant. Itaque priusquam aliud quicquam agerent, soli ipsi in conclave statim ex itinere convenerunt, remotisque arbitris et foribus occlusis, primum reprehendere, deinde arguere et accusare mutuo cœperunt, post ad lacrimas etiam et liberos sermones magnis animi motibus provecti sunt, ita ut amici asperitatem iræ et contentionum mirati vererentur ne quid incommodi inde nasceretur; interdictum autem erat ne quis adiret. (2) Ceterum M. Favonius, imitator Catonis, et non ratione magis quam impetu quodam et furore philosophans, intro ad eos irrupit, frustra prohibentibus famulis. Difficile enim erat Favonium, quocumque se concitasset, inhibere, hominem vehementem semper et præcipitem, qui pro nihilo putabat se Romanum esse sena-

ἑαυτὸν οὐδενὸς ἄξιον ἡγεῖτο, τῷ δὲ κυνικῷ τῆς παῤῥησίας πολλάκις ἀφῄρει τὴν χαλεπότητα καὶ τὸ ἄκαιρον αὐτοῦ μετὰ παιδιᾶς δεχομένων. (3) Βίᾳ δὴ τότε τῶν παρόντων διωσάμενος τὰς θύρας εἰσῆλθε μετὰ πλάσματος φωνῆς ἔπη περαίνων, οἷς τὸν Νέστορα χρώμενον Ὅμηρος πεποίηκεν,

Ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο,

καὶ τὰ ἑξῆς. Ἐφ' οἷς ὁ μὲν Κάσσιος ἐγέλασεν, ὁ δὲ Βροῦτος ἐξέβαλεν αὐτὸν ἁπλόκυνα καὶ ψευδόκυνα προσαγορεύων. (4) Οὐ μὴν ἀλλὰ τότε τοῦτο τῆς πρὸς b
ἀλλήλους διαφορᾶς ποιησάμενοι πέρας εὐθὺς διελύθησαν. Καὶ Κασσίου δεῖπνον παρέχοντος, ἐκάλει τοὺς φίλους Βροῦτος. Ἤδη δὲ κατακειμένων, Φαώνιος ἧκε λελουμένος· μαρτυρομένου δὲ Βρούτου μὴ κεκλημένον αὐτὸν ἥκειν καὶ κελεύοντος ἀπάγειν ἐπὶ τὴν ἀνωτάτω κλίνην, βίᾳ παρελθὼν εἰς τὴν μέσην κατεκλίθη· καὶ παιδιὰν ὁ πότος ἔσχεν οὐκ ἄχαριν οὐδ' ἀφιλόσοφον.

XXXV. Τῇ δ' ὑστεραίᾳ Βροῦτος ἄνδρα Ῥωμαῖον ἐστρατηγηκότα καὶ πεπιστευμένον ὑπ' αὐτοῦ, Λεύκιον Πέλλαν, Σαρδιανῶν κατηγορούντων ἐπὶ κλοπαῖς, δημοσίᾳ καταγνοὺς ἠτίμωσε· καὶ τὸ πρᾶγμα Κάσσιον οὐ μετρίως ἐλύπησεν. Αὐτὸς γὰρ ὀλίγαις ἡμέραις ἔμπροσθεν ἐπὶ τοῖς αὐτοῖς ἐλεγχθέντας ἀδικήμασι δύο φίλους ἰδίᾳ νουθετήσας φανερῶς ἀφῆκε καὶ διετέλει χρώμενος. c
Ὅθεν ᾐτιᾶτο τὸν Βροῦτον ὡς ἄγαν ὄντα νόμιμον καὶ δίκαιον ἐν καιρῷ πολιτείας δεομένῳ καὶ φιλανθρωπίας. Ὁ δὲ τῶν εἰδῶν τῶν Μαρτίων ἐκέλευεν αὐτὸν μνημονεύειν ἐκείνων, ἐν αἷς Καίσαρα ἔκτειναν οὐκ αὐτὸν ἄγοντα καὶ φέροντα πάντας ἀνθρώπους, ἀλλ' ἑτέρων δύναμιν ὄντα ταῦτα πρασσόντων· ὡς, εἴ τίς ἐστι πρόφασις καλή, μεθ' ἧς ἀμελεῖται τὸ δίκαιον, ἄμεινον ἦν τοὺς Καίσαρος φίλους ὑπομένειν ἢ τοὺς ἑαυτῶν περιορᾶν ἀδικοῦντας. « Ἐκείνοις μὲν γὰρ ἀνανδρίας, ἀδικίας δὲ δόξα μετὰ κινδύνων ἡμῖν καὶ πόνων πρόσεστι. » Τοιαύτη d
μὲν ἡ τοῦ Βρούτου προαίρεσις ἦν.

XXXVI. Ἐπεὶ δὲ διαβαίνειν ἐξ Ἀσίας ἔμελλον, λέγεται τῷ Βρούτῳ μέγα σημεῖον γενέσθαι. Φύσει μὲν γὰρ ἦν ἐπεγρηγορὼς ὁ ἀνὴρ καὶ τὸν ὕπνον εἰς ὀλίγου χρόνου μόριον ἀσκήσει καὶ σωφροσύνῃ συνῆγεν, ἡμέρας μὲν οὐδέποτε κοιμώμενος, νύκτωρ δὲ τοσοῦτον, ὅσον οὔτε τι πράττειν οὔτε τῳ διαλέγεσθαι, πάντων ἀναπαυομένων, παρεῖχε. Τότε δὲ τοῦ πολέμου συνεστῶτος, ἐν χερσὶν ἔχων τὰς ὑπὲρ τῶν ὅλων πράξεις καὶ τεταμένος τῇ φροντίδι πρὸς τὸ μέλλον, ὁπηνίκα πρῶτον ἀφ' ἑσπέρας ἐπινυστάξειε τοῖς σιτίοις, ἤδη τὸ λοιπὸν ἐχρῆτο τῇ νυκτὶ e
πρὸς τὰ κατεπείγοντα τῶν πραγμάτων. Εἰ δὲ συνέλοι καὶ κατοικονομήσειε τὴν περὶ ταῦτα χρείαν, ἀνεγίνωσκε βιβλίον μέχρι τρίτης φυλακῆς, καθ' ἣν εἰώθεσαν ἑκατοντάρχαι καὶ χιλίαρχοι φοιτᾶν πρὸς αὐτόν. (2) Ὡς οὖν ἔμελλεν ἐξ Ἀσίας διαβιβάζειν τὸ στράτευμα, νὺξ μὲν ἦν βαθυτάτη, φῶς δ' εἶχεν οὐ πάνυ λαμπρὸν ἡ σκηνή· πᾶν δὲ τὸ στρατόπεδον σιωπὴ κατεῖχεν. Ὁ δὲ συλλογιζόμενός τι καὶ σκοπῶν πρὸς ἑαυτὸν ἔδοξεν αἰσθέσθαι τινὸς

torem, sed Cynica qua utebatur licentia sæpenumero molestiam adimebat aliis, qui ipsam ejus importunitatem per ludum excipiebant. (3) Is igitur tum vi per astantes ad ostium se quum proripuisset, intravit, composita ad id voce versus recitans quibus Nestorem usum Homerus finxit :

Vos mihi nunc ambo natu parete minores,

et sequentia. Risum hoc Cassio movit, Brutus autem Favonium cubiculo expulit, merum cynicum falsumque cynicum eum nominans. (4) Discordiarum tamen finis tunc factus; reditumque a Bruto et Cassio statim in gratiam. Tum Cassio cœnam præbente, invitavit ad convivium amicos Brutus. Quum jam accubuissent, venit et Favonius lotus, Brutoque eum non vocatum adesse testante et ad summum lectum abire jubente, vi se in medium contulit; estque id convivium festivitate non ineleganti neque philosophiæ experte exactum.

XXXV. Postridie Brutus L. Pellam prætorium virum, et cui ipse multum tribuerat, Sardensibus accusantibus repetundarum, publice condemnavit ignominiaque notavit. Quæ res Cassio non levem attulit molestiam : qui duos amicos paucis ante diebus ejusdem criminis reos verbis privatim castigatos dimiserat aperte, utebaturque in posterum. Itaque Brutum incusabat, quod eo tempore, quod civilitatem quandam et humanitatem requireret, nimis justus legumque observans esset. Contra Brutus recordari eum Martias Idus jubebat, quo die Cæsarem necassent, non ipsum bona omnia diripientem, sed vires et licentiam vexandorum hominum aliis suppeditantem. Etenim (aiebat) si quis esset honestus prætextus negligendæ justitiæ, rectius fuisset pati Cæsaris amicos quam nostros injuriam hominibus inferre. Illis enim abjecti animi infamia fuisset exstitura, nobis vero inter pericula et labores injustitiæ crimen impingeretur. Hæc erat Bruto agendi ratio.

XXXVI. Ex Asia autem in Europam transituro, ostentum grave oblatum fertur. Fuit Brutus natura vigilans, somnumque exercitatione et temperantia intra breve temporis spatium constrinxerat, ita ut interdiu nunquam dormiret, noctu tantum id temporis, quo reliquis omnibus dormientibus nihil vel agere vel cum alio colloqui posset. Ac tum bello commisso præ manibus habens universæ rei administrationem, cogitationibus in eventum intentis, ubi primum vesperi post cœnam aliquantulum dormiverat, reliqua noctis parte ad negotia incumbentia expedienda utebatur. Quodsi ea citius confecisset, librum aliquem legebat ad tertiam usque vigiliam, qua ad eum commeare tribuni militum et centuriones solebant. (2) Quum ergo esset in Europam transportaturus copias, concubia jam nocte, quum in tentorio ejus lumen esset haud sane clarum et totis castris quies silentiumque esset, animo secum quippiam deliberans atque reputans, visus est sibi quendam audire ad se intrantem. Re-

εἰσιόντος. Ἀποβλέψας δὲ πρὸς τὴν εἴσοδον ὁρᾷ δεινὴν καὶ ἀλλόκοτον ὄψιν ἐκφύλου σώματος καὶ φοβεροῦ σιωπῇ παρεστῶτος αὐτῷ. Τολμήσας δὲ ἐρέσθαι, « Τίς ποτ' ὤν, f εἶπεν, ἀνθρώπων ἢ θεῶν ἢ τί βουλόμενος ἥκεις ὡς ἡμᾶς; » Ὑποφθέγγεται δὲ αὐτῷ τὸ φάσμα, « Ὁ σός, ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους. » Καὶ ὁ Βροῦτος οὐ διαταραχθεὶς « Ὄψομαι » εἶπεν.

1001 XXXVII. Ἀφανισθέντος δ' αὐτοῦ, τοὺς παῖδας ἐκά- a λει· μήτε δ' ἀκοῦσαί τινα φωνὴν μήτ' ἰδεῖν ὄψιν φασκόντων, τότε μὲν ἐπηγρύπνησεν, ἅμα δ' ἡμέρα τραπόμενος πρὸς Κάσσιον ἔφραζε τὴν ὄψιν. Ὁ δὲ τοῖς Ἐπικούρου λόγοις χρώμενος καὶ περὶ τούτων ἔθος ἔχων διαφέρεσθαι πρὸς τὸν Βροῦτον, « Ἡμέτερος οὗτος, εἶπεν, ὦ Βροῦτε, λόγος, ὡς οὐ πάντα πάσχομεν ἀληθῶς οὐδ' ὁρῶμεν, ἀλλ' ὑγρὸν μέν τι χρῆμα καὶ ἀπατηλὸν ἡ αἴσθησις, ἔτι δ' ὀξυτέρα ἡ διάνοια κινεῖν αὐτὸ καὶ μεταβάλλειν ἀπ' οὐδενὸς ὑπάρχοντος ἐπὶ πᾶσαν ἰδέαν. Κηρῷ μὲν γὰρ ἔοικεν ἡ τύπωσις, ψυχῇ δ' ἀνθρώπου τὸ πλαττόμενον καὶ τὸ πλάττον ἐχούσῃ τὸ αὐτὸ ῥᾷστα ποικίλλειν αὐτὴν καὶ σχηματίζειν δι' ἑαυτῆς ὑπάρχει. (2) Δηλοῦσι δὲ b αἱ κατὰ τοὺς ὕπνους τροπαὶ τῶν ὀνείρων, ἃς τρέπεται τὸ φανταστικὸν ἐξ ἀρχῆς βραχείας παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα γινόμενον. Κινεῖσθαι δ' ἀεὶ πέφυκε· κίνησις δ' αὐτῷ φαντασία τις ἢ νόησις. Σοὶ δὲ καὶ τὸ σῶμα ταλαιπωρούμενον φύσει τὴν διάνοιαν αἰωρεῖ καὶ παρατρέπει. Δαίμονας δ' οὔτ' εἶναι πιθανὸν οὔτ' ὄντας ἀνθρώπων ἔχειν εἶδος ἢ φωνὴν ἢ δύναμιν εἰς ἡμᾶς διήκουσαν· ὡς ἔγωγ' ἂν ἐβουλόμην, ἵνα μὴ μόνον ὅπλοις καὶ ἵπποις καὶ ναυσὶ τοσαύταις, ἀλλὰ καὶ θεῶν ἀρωγαῖς ἐπεθαρροῦμεν ὁσιωτάτων ἔργων καὶ καλλίστων ἡγεμόνες ὄντες. » (3) Τοιούτοις μὲν ὁ Κάσσιος ἐπράϋνε λόγοις c τὸν Βροῦτον. Ἐμβαινόντων δὲ τῶν στρατιωτῶν, ἐπὶ τὰς πρώτας σημαίας ἀετοὶ δύο συγκατασκήψαντες ὁμοῦ συνδιεκομίζοντο καὶ παρηκολούθουν ὑπὸ τῶν στρατιωτῶν τρεφόμενοι μέχρι Φιλίππων. Ἐκεῖ δ' ἡμέρα μιᾷ πρὸ τῆς μάχης ᾤχοντο ἀποπτάμενοι.

XXXVIII. Τὰ μὲν οὖν πλεῖστα τῶν ἐν ποσὶν ἐθνῶν ἐτύγχανεν ὁ Βροῦτος ὑπήκοα πεποιημένος. Εἰ δέ τις ἢ πόλις ἢ δυνάστης παρεῖτο, τότε πάντας προσαγόμενοι μέχρι τῆς κατὰ Θάσον θαλάσσης προῆλθον. Ἐκεῖ δὲ τῶν περὶ Νορβανὸν ἐν τοῖς Στενοῖς λεγομένοις καὶ περὶ τὸ Σύμβολον στρατοπεδευόντων περιελθόντες αὐ- d τοὺς ἠνάγκασαν ἀποστῆναι καὶ προέσθαι τὰ χωρία. Μικροῦ δὲ καὶ τὴν δύναμιν αὐτῶν λαβεῖν ἐδέησαν, ὑπολειπομένου διὰ νόσον Καίσαρος, εἰ μὴ προσεβοήθησεν Ἀντώνιος ὀξύτητι θαυμαστῇ χρησάμενος, ὥστ' ἀπιστεῖν τοὺς περὶ Βροῦτον. Ἦλθε δὲ Καῖσαρ ὕστερον ἡμέραις δέκα καὶ κατεστρατοπέδευσεν ἐναντίον Βρούτου, Κασσίου δὲ Ἀντώνιος. (2) Τὰ δ' ἐν μέσῳ τῶν στρατοπέδων πεδία Ῥωμαῖοι κάμπους Φιλίππους καλοῦσι· καὶ μέγισται τότε Ῥωμαίων δυνάμεις ἀλλήλαις συνεφέροντο. Πλήθει μὲν οὖν οὐ παρ' ὀλίγον ἐλείποντο τῶν περὶ Καίσαρα, κόσμῳ δὲ ὅπλων καὶ λαμπρότητι θαυμαστὸν ἐξεφάνη τὸ Βρούτου στρά- e

spiciensque ad ostium, terribilem conspexit et monstrosam insuitatæ staturæ corporis atque metuendæ imaginem, tacite sibi astantis. Ausus tamen percontari : Quisnam, ait, hominum deorumve, aut cujus rei causa ad nos venis? Respondit ei imago : Tuus sum o Brute, malus genius, apud Philippos me videbis. Tum ille nihil territus, Videbo, inquit.

XXXVII. Quum id spectrum evanuisset, famulos vocavit, qui neque vidisse quicquam se neque ullam vocem audiisse responderunt. Noctem eam insomnem Brutus exegit, summo mane ad Cassium se contulit, eique visum illud suum exposuit. Tum Cassius, ut qui ab Epicuri esset secta et de hujusmodi rebus consuevisset adversus Brutum disputare : Nos, inquit, ita existimamus, Brute, non affici nos revera semper, aut videre; sed sensus mobiles sunt, ac facile decipiuntur, mens autem multo celerius ipsa se ipsam nulla impellente causa concitat et quasvis species concipit. Quippe hæc imaginum informatio ceræ quandam habet similitudinem et animo hominis, in quo et effingendi et effigies recipiendi est vis, id quoque suapte natura adest, ut quam facillime variet idem atque formet. (2) Demonstrant hoc insomniorum tam variæ vices, quibus vis imaginandi ex levi initio ita convertitur, ut omnis generis visa et affectiones exsistant. Etenim animi natura ea est, semper ut moveatur, motio autem illa imago aliqua aut intellectio est. Porro tibi corpus afflictum animum necessitate naturæ exagitat atque minus sui compotem reddit. Neque vero probabile est genios vel esse, vel hominum formam habere vocemve aut vim quandam ad nos pertinentem; nam pervellem nos non armorum modo, equorum naviumque tantis copiis, sed et deorum ductu fretos esse atque confidere, qui sanctissimi atque pulcherrimi facinoris auctores ducesque sumus. (3) Hoc sermone Cassius Brutum demulsit. Militibus in naves inscendentibus, in duo quæ prima omnium ferebantur signa duæ devolaverunt aquilæ, et ad Philippos usque a militibus portatæ una atque alitæ sunt. Inde ea die quæ prælium anteivit avolarunt.

XXXVIII. Ceterum plerosque populos, qui circum ea loca habitant, Brutus jam ante subegerat. Si qua tamen civitas, si quis regulus ab eo fuerat præteritus, tunc omnes in ditionem Cassii et Bruti pervenerunt, usque ad mare quod Thasum insulam continet. Ibi Norbanum in angustiis, quæ Στενὰ dicuntur, et apud Symbolum castra habentem, usi circuitione excedere et relinquere illa loca coegere, ac nisi Antonius mirabili usus ipsique Bruto incredibili celeritate subvenisset, copias quoque Norbani suam in potestatem redegissent, relictas a Cæsare valetudine detento. Decem post diebus Cæsar venit, qui ex adverso Bruto, Cassio Antonius castra posuit. (2) Campos qui castra dirimebant, Philippos Romani dicunt; et maximi eo tempore Romani exercitus collati sunt; et quanquam haud paullo minores Bruti erant quam Cæsaris copiæ, ornamentis tamen armorum mirum

τευμα. Χρυσὸς γὰρ ἦν αὐτοῖς τὰ πλεῖστα τῶν ὅπλων καὶ ἄργυρος ἀφειδῶς καταχορηγηθεὶς, καίπερ εἰς τἄλλα τοῦ Βρούτου σώφρονι διαίτῃ καὶ κεκολασμένῃ χρῆσθαι τοὺς ἡγεμόνας ἐθίζοντος. Τὸν δ' ἐν χερσὶ καὶ περὶ τὸ σῶμα πλοῦτον ᾤετό τι καὶ φρονήματος παρέχειν τοῖς φιλοτιμοτέροις, τοὺς δὲ φιλοκερδεῖς καὶ μαχιμωτέρους ποιεῖν ὥσπερ κτημάτων τῶν ὅπλων περιεχομένους.

XXXIX. Οἱ μὲν οὖν περὶ Καίσαρα καθαρμὸν ἐν τῷ χάρακι ποιησάμενοι μικρόν τι σίτου καὶ δραχμὰς κατ' ἄνδρα πέντε διένειμαν εἰς θυσίαν, οἱ δὲ περὶ Βροῦτον f
καταγνόντες αὐτῶν τῆς ἀπορίας ἢ μικρολογίας, πρῶτον μὲν ἐν ὑπαίθρῳ τὸν στρατὸν, ὥσπερ ἔθος ἐστὶν, ἐκάθηραν, ἔπειθ' ἱερείων πλήθη κατὰ λόχους καὶ δραχμὰς ἑκάστῳ πεντήκοντα διαδόντες εὐνοίᾳ καὶ προθυμίᾳ τῆς δυνάμεως πλέον εἶχον. (2) Οὐ μὴν ἀλλὰ σημεῖον ἐν
1002 τῷ καθαρμῷ μοχθηρὸν ἔδοξε Κασσίῳ γενέσθαι. Τὸν a
γὰρ στέφανον αὐτῷ κατεστραμμένον ὁ ῥαβδοῦχος προσήνεγκε. Λέγεται δὲ καὶ πρότερον ἐν θέᾳ τινὶ καὶ πομπῇ χρυσῆν Κασσίου Νίκην διαφερομένην πεσεῖν, ὀλισθόντος τοῦ φέροντος. Ἔτι δ' ὄρνεά τε σαρκοφάγα πολλὰ καθ' ἡμέραν ἐπεφαίνετο τῷ στρατοπέδῳ καὶ μελισσῶν ὤφθησαν ἑσμοὶ συνιστάμενοι περὶ τόπον τινὰ τοῦ χάρακος ἐντὸς, ὃν ἐξέκλεισαν οἱ μάντεις, ἀφοσιούμενοι τὴν δεισιδαιμονίαν ἀτρέμα καὶ τὸν Κάσσιον αὐτὸν ὑποφέρουσαν ἐκ τῶν Ἐπικούρου λόγων, τοὺς δὲ στρατιώτας παντάπασι δεδουλωμένην. (3) Ὅθεν οὐδ' ἦν πρόθυμος διὰ μάχης ἐν τῷ παρόντι γενέσθαι τὴν κρίσιν, b
ἀλλὰ τρίβειν ἠξίου χρόνῳ τὸν πόλεμον ἐῤῥωμένους χρήμασιν, ὅπλων δὲ καὶ σωμάτων πλήθει λειπομένους. Βροῦτος δὲ καὶ πρότερον ἔσπευδε τῷ ταχίστῳ τῶν κινδύνων διακριθεὶς ἢ τῇ πατρίδι τὴν ἐλευθερίαν ἀναλαβεῖν ἢ πάντας ἀνθρώπους ἐνοχλουμένους δαπάναις καὶ στρατείαις καὶ προστάγμασιν ἀπαλλάξαι κακῶν. Καὶ τότε τοὺς περὶ αὐτὸν ἱππεῖς ὁρῶν ἐν τοῖς προάγωσι καὶ ταῖς ἀψιμαχίαις εὐημεροῦντας καὶ κρατοῦντας, ἐξῆρτο τὸ φρόνημα· καί τινες αὐτομολίαι γενόμεναι πρὸς τοὺς πολεμίους καὶ διαβολαὶ καθ' ἑτέρων καὶ ὑπόνοιαι πολλοὺς τῶν Κασσίου φίλων μετέστησαν ἐν τῷ συνεδρίῳ πρὸς Βροῦτον. (4) Εἷς δὲ τῶν Βρούτου φίλων Ἀτίλλιος c
ἠναντιοῦτο τόν γε χειμῶνα περιμεῖναι κελεύων. Ἐρομένου δὲ τοῦ Βρούτου, τίνι βελτίων ἔσεσθαι νομίζει μετ' ἐνιαυτὸν, « Εἰ μηδὲν, εἶπεν, ἄλλο, πλείω βιώσομαι χρόνον. » Πρὸς τοῦτο Κάσσιος ἐδυσχέρανε, καὶ τοῖς ἄλλοις προσέκρουσεν οὐ μετρίως ὁ Ἀτίλλιος. Ἐδέδοκτο δὴ μάχεσθαι τῇ ὑστεραίᾳ.

XL. Καὶ Βροῦτος μὲν ἐν ἐλπίσι καλαῖς καὶ λογισμοῖς φιλοσόφοις γενόμενος παρὰ τὸ δεῖπνον ἀνεπαύετο· Κάσσιον δὲ Μεσσάλας φησὶ δειπνεῖν τε καθ' ἑαυτὸν ὀλίγους τῶν συνήθων παραλαβόντα καὶ σύννουν ὁρᾶσθαι καὶ σιωπηλὸν, οὐ φύσει τοιοῦτον ὄντα· παυσαμένου δὲ τοῦ δείπνου, λαβόμενον τῆς χειρὸς αὐτοῦ σφόδρα τοσοῦτον d
εἰπεῖν, ὥσπερ εἰώθει φιλοφρονούμενος, Ἑλληνικῇ φωνῇ· « Μαρτύρομαί σε, Μεσσάλα, ταὐτὰ Πομπηΐῳ Μάγνῳ πάσχειν, ἀναγκαζόμενος διὰ μιᾶς μάχης ἀναῤῥῖψαι τὸν

in modum erant splendidæ, quæ pleraque aurea, aut argento abunde impenso constabant. Et vero Brutus duces alioquin ad moderatam frugalemque assuefecerat vitæ rationem, sed divitias in corporis et armorum ornamentum collatas existimabat laudis cupidis nonnihil addere animorum, et avaris quoque fortitudinem augere, qui arma veluti opes suas tenerent.

XXXIX. Cæsar et Antonius, lustrato in castris exercitu, paululum frumenti et quinque denarios viritim ad sacrificium peragendum diviserunt; Brutus autem et Cassius eorum vel egestatem vel illiberalitatem damnantes, primum sub dio, ut moris est, exercitum lustraverunt, deinde centuriatim certo hostiarum numero et viritim quinquagenis denariis distributis, majorem militum favorem alacritatemque paraverunt. (2) Ostentum tamen Cassio in lustratione infaustum perhibent factum. Nimirum ei coronam inversam a lictore porrectam. Prius quoque in quodam spectaculo et pompa ferunt eum qui Cassii aureum trophæum ferret corruisse. Porro et aves multæ carnivoræ interdiu super castra conspectæ et examina apum ad locum quendam intra castra convenerunt; eum locum haruspices exterminaverunt, suspicionem amolientes, quæ militum animos plane occupaverat et ipsum jam Cassium ab Epicuri decretis ad se paulatim subducebat. (3) Itaque ergo in præsentia prœlio decernere non admodum cogitabat, trahendumque bellum suadebat, quod pecunia satis instructi, armorum et militum numero hostibus non essent pares. At Brutus, qui jam ante statuerat quam celerrime pugna decertare et vel patriæ libertatem recuperare, vel omnes homines qui sumptibus, militia, imperiis vexarentur, malorum istorum semel mole exonerare. Tunc eo elatiori erat animo, quod equites sui in levibus prœliis et pugnæ prælusionibus prospere rem gererent victoresque discederent. Jam et transitiones nonnullorum ad hostes, et calumniæ suspicionesque de aliis efficiebant ut in consilio multi amicorum ad Brutum inclinarent. (4) Unus de Bruti amicis Atillius refragabatur, hiemem exspectandam dicens. Brutoque interroganti, cur melius post annum rem gestum iri putaret: Si nihil, aiebat, aliud est commodi, utique id tempus tamen diutius vixero. Hoc et Cassius indigne tulit et non mediocriter ceteri offensi sunt. Decretum est ut postridie pugnaretur.

XL. Et Brutus quidem bona spe cogitationibusque philosophicis cœnam exigens, inde quieti se dedit. Cassium vero Messala ait seorsum cœnasse vocatis ad se paucis familiarium, conspectumque cogitabundum ac tacitum, quum quidem non ita natura ejus ferret; peracta cœna manum suam valide comprehendisse, et ad se Græco sermone, uti amice colloquens solebat, in hæc verba locutum : Te, Messala, testor, me itidem ut Pompeio Magno accidit, invitum coactumque res patriæ in unius pugnæ discrimen adducere.

περὶ τῆς πατρίδος κύβον. Ἀγαθὴν μέντοι ψυχὴν ἔχωμεν εἰς τὴν τύχην ἀφορῶντες, ᾗ, κἂν βουλευσώμεθα κακῶς, ἀπιστεῖν οὐ δίκαιον. » Ταῦτα εἰπόντα φησὶν ὁ Μεσσάλας τελευταῖα πρὸς αὐτὸν ἀσπάσασθαι τὸν Κάσσιον· εἶναι δὲ κεκλημένος εἰς τὴν ὑστεραίαν ἐπὶ δεῖπνον ὑπ' αὐτοῦ γενέθλιον οὖσαν. (2) Ἅμα δ' ἡμέρᾳ προὔκειτο μὲν τῷ Βρούτου χάρακι καὶ τῷ Κασσίου σύμβολον ἀγῶνος φοινικοῦς χιτών, αὐτοὶ δὲ συνῆλθον εἰς τὸ e μέσον τῶν στρατοπέδων, καὶ λέγει Κάσσιος· « Εἴη μέν, ὦ Βροῦτε, νικᾶν καὶ συνεῖναι τὸν πάντα χρόνον ἀλλήλοις εὖ πράξαντας· ἐπεὶ δὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων πραγμάτων ἀδηλότατα, καὶ τῆς μάχης παρὰ γνώμην κριθείσης οὐ ῥᾴδιον αὖθις ἀλλήλους ἰδεῖν, τί γινώσκεις περὶ φυγῆς καὶ τελευτῆς; » (3) Καὶ ὁ Βροῦτος ἀπεκρίνατο· « Νέος ὢν ἐγώ, Κάσσιε, καὶ πραγμάτων ἄπειρος οὐκ οἶδ' ὅπως ἐν φιλοσοφίᾳ λόγον ἀφῆκα μέγαν. Ἠτιασάμην Κάτωνα διαχρησάμενον ἑαυτόν, ὡς οὐχ ὅσιον οὐδ' ἀνδρὸς ἔργον ὑποχωρεῖν τῷ δαίμονι καὶ μὴ δέχεσθαι τὸ συμπῖπτον ἀδεῶς, ἀλλ' ἀποδιδράσκειν. Νυνὶ δ' ἀλ- f λοῖος ἐν ταῖς τύχαις γίνομαι· καὶ θεοῦ καλῶς τὰ παρόντα μὴ βραβεύσαντος, οὐ δέομαι πάλιν ἄλλας ἐλπίδας ἐξελέγχειν καὶ παρασκευάς, ἀλλ' ἀπαλλάξομαι τὴν τύχην ἐπαινῶν· Μαρτίαις εἰδοῖς δοὺς τῇ πατρίδι τὸν ἐμαυτοῦ βίον, ἄλλον ἔζησα δι' ἐκείνην ἐλεύθερον καὶ ἔν-
1003 δοξον. » Ἐπὶ τούτοις Κάσσιος ἐμειδίασε καὶ τὸν Βροῦ- a τον ἀσπασάμενος, « Ταῦτα, ἔφη, φρονοῦντες ἴωμεν ἐπὶ τοὺς πολεμίους· ἢ γὰρ νικήσομεν ἢ νικῶντας οὐ φοβηθησόμεθα. » (4) Μετὰ ταῦτα περὶ τάξεως αὐτοῖς λόγος ἐγένετο, τῶν φίλων παρόντων. Καὶ Βροῦτος ᾐτεῖτο Κάσσιον αὐτὸς ἡγεῖσθαι τοῦ δεξιοῦ κέρατος, ὃ δι' ἐμπειρίαν καὶ ἡλικίαν μᾶλλον ᾤοντο Κασσίῳ προσήκειν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο Κάσσιος ἔδωκε καὶ τῶν ταγμάτων τὸ μαχιμώτατον ἔχοντα Μεσσάλαν ἐκέλευσεν ἐπὶ τοῦ δεξιοῦ καταστῆναι. Καὶ Βροῦτος εὐθὺς ἐξῆγε τοὺς ἱππεῖς κεκοσμημένους διαπρεπῶς καὶ τὸ πεζὸν οὐ σχολαίτερον παρενέβαλλεν.

XLI. Ἔτυχον δ' οἱ περὶ Ἀντώνιον ἀπὸ τῶν ἑλῶν, οἷς περιεστρατοπέδευον, ἐμβάλλοντες τάφρους εἰς τὸ πεδίον b καὶ τὰς ἐπὶ θάλασσαν ὁδοὺς τοῦ Κασσίου περικόπτοντες. Ἐφήδρευε δὲ Καῖσαρ, οὐ παρὼν αὐτὸς δι' ἀσθένειαν, ἀλλ' ἡ δύναμις οὐ πάνυ μαχεῖσθαι προσδοκῶσα τοὺς πολεμίους, ἀλλὰ μόνον ἐκδρομαῖς χρήσασθαι πρὸς τὰ ἔργα καὶ βέλεσιν ἐλαφροῖς καὶ θορύβοις τοὺς ὀρύσσοντας ἐπιταράσσειν· καὶ τοῖς ἀντιτεταγμένοις οὐ προσέχοντες ἐθαύμαζον τὴν περὶ τὰς τάφρους κραυγὴν ἄσημον οὖσαν καὶ πολλὴν προσφερομένην. (2) Ἐν τούτῳ γραμματείων τε παρὰ Βρούτου τοῖς ἡγεμόσι φοιτώντων, ἐν οἷς c ἦν τὸ σύνθημα γεγραμμένον, αὐτοῦ τε παρεξιόντος ἵππῳ τὰ τάγματα καὶ παραθαρρύνοντος, ὀλίγοι μὲν ἔφθασαν ἀκοῦσαι τὸ σύνθημα παρεγγυώμενον, οἱ δὲ πλεῖστοι μὴ προσμείναντες ὁρμῇ μιᾷ καὶ ἀλαλαγμῷ προσεφέροντο τοῖς πολεμίοις. Γενομένης δὲ δι' ἀταξίαν ταύτην ἀνωμαλίας καὶ διασπασμοῦ τῶν ταγμάτων, τὸ Μεσσάλα πρῶτον, εἶτα τὰ συνεζευγμένα παρήλλαττε τὸ Καίσαρος

Bono tamen animo simus, fortunam respicientes, cui, etiamsi mala consilia sequamur, diffidere non est justum. Hæc eum ultimo secum locutum Messala ait, indeque salutasse; fuisse etiam se a Cassio in crastinum vocatum ad cœnam, quæ dies ejus natalis erat. (2) Prima luce in Bruti et Cassii castris punicea toga, signum pugnæ, proposita est, ipsi in medium castrorum convenerunt. Ibi Cassius : Utinam vero, Brute, vincamus semperque re præclare gesta unà simus. Sed quoniam maximæ res hominum incertissimæ sunt, et pugna secus quam vellemus succedente haud facile iterum nos inter nos visuri sumus, quid tibi de fuga et morte est sententiæ? (3) Respondit Brutus : Quum adhuc juvenis essem, Cassi, rerumque imperitus, temerariam mihi, nescio quomodo, excidere passus sum inter disserendum vocem ; atque improbavi Catonem, quod is sibi necem conscivisset, ratus eum et nefarium neque viro dignum perpetrasse facinus, quod succubuisset fortunæ, neque id quod acciderat constanter tulisset, sed stationem deseruisset. Nunc fortuna sententiam meam ut mutarem effecit, et si institutum nostrum deus non secundet, non existimo novas mihi spes experiendas, bellumve reparandum, sed moriar fortuna collaudata propter Idus Martias, quibus patriæ vitam meam impendi, sed aliam per eam vixi liberam gloriosamque. Ad hæc subridens Cassius, Brutum amplexus est et, Hoc, inquit, animo in hostem eamus; aut enim vincemus, aut a victore nobis non metuemus. (4) Inde de instruenda acie præsentibus amicis collocuti sunt. Et Brutus a Cassio petiit ut dextrum cornu sibi ducere liceret, cui propter ætatem et peritiam, Cassius potius præesse debere videbatur. Tamen et hoc Cassius concessit, et Messalam, qui exercitus pugnacissimam partem ducebat, in dextro cornu collocavit. Brutus statim equitatum eduxit splendide ornatum, neque segnius pedites subsecuti sunt.

XLI. Forte tum Antonius a paludibus, ad quas castra habebat, fossas in campum ducebat, Cassiumque itineribus ad mare intercludebat. Cæsaris copiæ (ipse enim propter valetudinem aberat) quieti manebant, non admodum pugnam ab hoste exspectantes, sed excursiones tantum facturum eum, jaculisque eminus levibus et tumultibus fossores interturbaturum putantes; dum vero infestam aciem non curant, mirabantur clamorem inconditum et frequentem e fossis accedentem. (2) Interim tabellas Bruto ducibus dimittente, in quibus scripta erat tessera, ipsoque aciem equo circumvehente et milites dictis confirmante, pauci tantisper se continuerunt, dum tesseram ipsis tradi audirent, plerique uno impetu et magna cum conclamatione in hostem irruerunt. Hic incursus quum nullo fieret ordine, secuta est confusio divulsioque ordinum, et Messalæ primum legio, tum proximæ iis, præterito Cæsaris lævo cornu,

ἀριστερόν· καὶ βραχέα τῶν ἐσχάτων θιγόντες καὶ καταβαλόντες οὐ πολλούς, ἀλλ' ὑπερκεράσαντες, ἐμπίπτουσιν εἰς τὸ στρατόπεδον. (3) Καὶ Καῖσαρ μέν, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν ἱστορεῖ, τῶν φίλων τινὸς Ἀρτωρίου Μάρκου καθ' ὕπνον ἰδόντος ὄψιν κελεύουσαν ἐκστῆναι Καίσαρα καὶ μετελθεῖν ἐκ τοῦ χάρακος, ἔφθασε d μικρὸν ὑπεκκομισθεὶς ἔδοξέ τε τεθνάναι· τὸ γὰρ φορεῖον κενὸν ἀκοντίοις καὶ ὑσσοῖς βάλλοντες διήλασαν. Ἦν δὲ φόνος ἐν τῷ στρατοπέδῳ τῶν ἁλισκομένων, καὶ δισχίλιοι Λακεδαιμονίων ἥκοντες ἐπίκουροι νεωστὶ συγκατεκόπησαν.

XLII. Οἱ δὲ μὴ κυκλωσάμενοι τοὺς Καίσαρος, ἀλλὰ συνεμπεσόντες, ῥᾳδίως μὲν ἀπετρέψαντο τεταραγμένους καὶ διέφθειραν, ἐν χεροῖν τρία τάγματα καὶ συνεισέπεσον εἰς τὸ στρατόπεδον, τοῖς φεύγουσιν ὑπὸ ῥύμης τοῦ κρατεῖν συνενεχθέντες, μεθ' ἑαυτῶν ἔχοντες τὸν Βροῦτον· ὃ δ' οὐ συνεῖδον οἱ νικῶντες ἐδείκνυε τοῖς ἡττημένοις e ὁ καιρός. (2) Εἰς γὰρ τὰ γυμνὰ καὶ παραῤῥηγνύμενα τῆς ἐναντίας φάλαγγος, ᾗ τὸ δεξιὸν ἀπεσπάσθη πρὸς τὴν δίωξιν, ὠσάμενοι τὸ μὲν μέσον οὐκ ἐξέωσαν, ἀλλ' ἀγῶνι μεγάλῳ συνείχοντο· τὸ δ' εὐώνυμον ἀταξίᾳ καὶ ἀγνοίᾳ τῶν γενομένων ἐτρέψαντο καὶ καταδιώξαντες εἰς τὸν χάρακα διεπόρθουν, οὐδετέρου τῶν αὐτοκρατόρων – παρόντος· Ἀντώνιός τε γάρ, ὥς φασιν, ἐκκλίνας ἐν ἀρχῇ τὴν ἔφοδον, εἰς τὸ ἕλος ἀνεχώρησε, καὶ Καῖσαρ οὐδαμοῦ φανερὸς ἦν, ἐκπεσὼν τοῦ χάρακος· ἀλλὰ Βρούτῳ τινὲς ὡς ἀνῃρηκότες αὐτὸν ἐπεδείκνυον ᾑμαγμένα τὰ ξίφη, φράζοντες ἰδέαν, ἣν εἶχε, καὶ ἡλικίαν. (3) Ἤδη δὲ τὸ μέσον f ἐξεώκει φόνῳ πολλῷ τοὺς ἀντιτεταγμένους καὶ παντελῶς ἐδόκει κρατεῖν ὁ Βροῦτος, ὥσπερ ὁ Κάσσιος κρατεῖσθαι. Καὶ τοῦτο μόνον αὐτῶν διέφθειρε τὰ πράγματα, τοῦ μὲν ὡς νικῶντι Κασσίῳ μὴ βοηθήσαντος, τοῦ δὲ Βροῦτον ὡς ἀπολωλότα μὴ περιμείναντος· ἐπεὶ τῆς γε 1004 νίκης ὅρον ὁ Μεσσάλας τίθεται τὸ τρεῖς ἀετοὺς καὶ a πολλὰ σημεῖα λαβεῖν τῶν πολεμίων, ἐκείνους δὲ μηδέν. (4) Ἀναχωρῶν δ' ὁ Βροῦτος, ἤδη διαπεπορθημένων τῶν Καίσαρος, ἐθαύμασε τὸ Κασσίου στρατήγιον οὐχ ὁρῶν ὑψηλόν, ὥσπερ εἰώθει, περιφαινόμενον, οὐδὲ τἆλλα κατὰ χώραν· ἤρειπτο γὰρ εὐθὺς τὰ πλεῖστα καὶ κατέσπαστο, τῶν πολεμίων ἐμπεσόντων. Ἀλλ' οἱ δοκοῦντες ὀξύτερον βλέπειν τῶν ἑταίρων ἔφραζον αὐτῷ πολλὰ μὲν ὁρᾶν κράνη λάμποντα, πολλοὺς δ' ἀργυροῦς θυρεοὺς ἐν τῷ χάρακι τοῦ Κασσίου διαφερομένους· οὔκουν δοκεῖν αὐτοῖς οὔτ' ἀριθμὸν οὔθ' ὁπλισμὸν εἶναι τῶν ἀπολελειμμένων φυλάκων· οὐ μὴν οὐδὲ πλῆθος ἐπέκεινα φαίνεσθαι νεκρῶν ὅσον εἰκὸς ἦν νενικημένων κατὰ κράτος ταγμάτων τοσούτων. Ταῦτα πρῶτον ἔννοιαν παρέστησε τῷ b Βρούτῳ τοῦ συμπτώματος· καὶ καταλιπὼν φρουρὰν ἐν τῷ στρατοπέδῳ τῶν πολεμίων, ἀνεκαλεῖτο τοὺς διώκοντας καὶ συνῆγεν ὡς Κασσίῳ βοηθήσων.

XLIII. Ἐπέπρακτο δ' οὕτω τὰ κατ' αὐτόν. Οὔτε τὴν πρώτην ἐκδρομὴν τῶν περὶ Βροῦτον ἡδέως εἶδεν ἄνευ συνθήματος καὶ προστάγματος γενομένην, οὔθ' ὅτι κρατοῦντες εὐθὺς ὥρμησαν ἐφ' ἁρπαγὴν καὶ ὠφέλειαν,

quum leviter extremas partes attigissent paucosque dejecissent, circumducto suo cornu castra Cæsaris adorti sunt. (3) Et ipse quidem Cæsar (ut ipse in commentariis suis scripsit) monitus amici cujusdam sui, M. Artorii, insomnio, quod eum castris excedere jubebat, paullo inde evectus erat videbaturque periisse, eo quod hostes lecticam ejus vacuam pilis jaculisque confoderant. Qui autem in castris capti sunt, trucidabantur, inter quos duo Lacedæmoniorum millia, quæ nuper auxilio venerant, concisa sunt.

XLII. Verum qui exercitum Cæsaris non circumvenerant, sed in frontem se intulerant, ii facile perturbatos fuderunt, tribusque legionibus interfectis, cum fugientibus eodem impetu victoriæ in castra irruerunt, atque inter hos erat Brutus; quod autem non animadverterant victores, id victis ostendit occasio. (2) Qua enim abruptum erat dextrum adversæ aciei latus et ad insequendos victos se dederat, ea in nudos hostes dato impetu quum mediam aciem non pellerent, sed acri certamine detinerentur, lævum tamen confusione et eorum quæ acta erant ignoratione laborans repulerunt, fugientesque usque ad Cassii castra persecuti: ipsa etiam castra ceperunt atque diripuerunt, neutro imperatorum præsente. Nam et Antonius fertur primo congressu se subtraxisse et ad paludes recessisse, et Cæsar castris elapsus nusquam apparebat; et quidam Bruto cruentatos gladios ostendebant, interfectum eum ab ipsis jactantes, formamque ejus et staturam indicantes. (3) Jam et media Bruti acies magna cæde adversarios fuderat, videbaturque omnino Brutus vicisse, ut Cassius victus esse. Idque unum exitio ipsis fuit, quod neque Brutus Cassio, quem vincere putabat, auxilium tulit, et hic Brutum, quem periisse putabat, non exspectavit; nam eo Messala victoriam definit, quod Brutus tres aquilas et multa signa hostium cepit, hostes vero nullam. (4) Castris Cæsaris jam direptis, recipiens se Brutus, miratus est se non videre prætorium Cassii, quod sublime late conspiciebatur alias, neque cetera in castris ejus eo quo fuerant ante modo atque ordine; id eo fiebat, quia hostes iis occupatis confestim pleraque dejecerant atque diruerant. Verum qui aderant socii et acutius videbant, indicabant ipsi, videre se multa arma splendentia, multas videre se fulgentes galeas, multos etiam argenteos clypeos in castris Cassianis hinc inde differi; neque tamen sibi eam videri multitudinem neque armaturam custodum ibi relictorum, neque vero ab ea parte conspici tantam stragem, quanta futura fuisset victis pugna tot legionibus. Hæc primum in suspicionem accepti incommodi Brutum adduxerunt; itaque relicto in castris hostium præsidio, ab insecutione suos revocavit et contraxit, Cassio opem laturus.

XLIII. Cassii res ita actæ erant. Neque primum Bruti militum impetum absque tessera et injussu factum probaverat, neque id quod omissa circumveniendi opprimendique hostis cura, simul atque superiores esse cœpissent, ad præ-

τοῦ περιιέναι καὶ κυκλοῦσθαι τοὺς πολεμίους ἀμελήσαντες, ἤρεσκεν αὐτῷ τὰ πραττόμενα. Μελλήσει δέ τινι καὶ διατριβῇ μᾶλλον ἢ προθυμίᾳ καὶ λογισμῷ στρατηγῶν ὑπὸ τοῦ δεξιοῦ τῶν πολεμίων περιελαμβάνετο· καὶ τῶν ἱππέων εὐθὺς ἀποῤῥαγέντων φυγῇ πρὸς c τὴν θάλασσαν, ὁρῶν καὶ τοὺς πεζοὺς ἐνδιδόντας ἐπειρᾶτο κατέχειν καὶ παρακαλεῖν. Ἑνὸς δὲ σημειοφόρου φεύγοντος ἀφαρπάσας τὸ σημεῖον ἔπηξε πρὸ τῶν ποδῶν. Μηδὲ δὲ τῶν περὶ τὸ σῶμα τεταγμένων αὐτοῦ προθύμως ἔτι συμμενόντων, οὕτω δὴ βιασθεὶς ἀνεχώρησε μετ' ὀλίγων ἐπὶ λόφον ἔχοντα πρὸς τὸ πεδίον σκοπάς. (2) Ἀλλ' αὐτὸς μὲν οὐδὲν κατεῖδεν ἢ μόλις τὸν χάρακα πορθούμενον· ἦν γὰρ ἀσθενὴς τὴν ὄψιν, οἱ δὲ περὶ αὐτὸν ἱππέας ἑώρων πολλοὺς προσελαύνοντας, οὓς ὁ Βροῦτος ἔπεμψεν. Εἴκασε δ' ὁ Κάσσιος πολεμίους d εἶναι καὶ διώκειν ἐπ' αὐτόν. Ὅμως δὲ τῶν παρόντων ἕνα Τιτίνιον ἀπέστειλε κατοψόμενον. Οὗτος οὐκ ἔλαθε τοὺς ἱππέας προσιών, ἀλλ' ὡς εἶδον ἄνδρα φίλον καὶ Κασσίῳ πιστὸν, ἀλαλάξαντες ὑφ' ἡδονῆς οἱ μὲν συνήθεις ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο καταπηδῶντες ἀπὸ τῶν ἵππων, οἱ δ' ἄλλοι περὶ αὐτὸν ἐν κύκλῳ περιελαύνοντες ἅμα παιᾶνι καὶ πατάγῳ διὰ χαρᾶς ἀμετρίαν τὸ μέγιστον ἀπειργάσαντο κακόν. (3) Ἔδοξε γὰρ ὁ Κάσσιος ἀληθῶς ὑπὸ τῶν πολεμίων ἔχεσθαι τὸν Τιτίνιον. Καὶ τοῦτο δὴ φήσας, « Φιλοψυχοῦντες ἀνεμείναμεν e ἄνδρα φίλον ἁρπαζόμενον ὑπὸ τῶν πολεμίων ἰδεῖν, » ἀπεχώρησεν εἴς τινα σκηνὴν ἔρημον, ἕνα τῶν ἀπελευθέρων ἐφελκυσάμενος, Πίνδαρον, ὃν ἐκ τῶν κατὰ Κράσσον ἀτυχημάτων ἐπὶ ταύτην εἶχε τὴν ἀνάγκην ὑφ' αὑτοῦ παρεσκευασμένον. Ἀλλὰ Πάρθους μὲν διέφυγε, τότε δὲ τὰς χλαμύδας ἐπὶ τὴν κεφαλὴν ἀναγαγὼν καὶ γυμνώσας τὸν τράχηλον ἀποκόψαι παρέσχεν. Εὑρέθη γὰρ ἡ κεφαλὴ δίχα τοῦ σώματος. (4) Τὸν δὲ Πίνδαρον οὐδεὶς εἶδεν ἀνθρώπων μετὰ τὸν φόνον, ἐξ οὗ καὶ παρέσχεν ἐνίοις δόξαν ἀνελεῖν τὸν ἄνδρα μὴ κελευσθείς. Ὀλίγῳ δ' ὕστερον οἵ θ' ἱππεῖς ἐγένοντο φανεροὶ καὶ Τιτίνιος ἐστεφανωμένος ὑπ' αὐτῶν ἀνῄει f πρὸς Κάσσιον. Ὡς δὲ κλαυθμῷ καὶ βοῇ τῶν φίλων ὀδυρομένων καὶ δυσφορούντων ἔγνω τὸ πάθος τοῦ στρατηγοῦ καὶ τὴν ἄγνοιαν, ἐσπάσατο τὸ ξίφος καὶ πολλὰ κακίσας τῆς βραδυτῆτος ἑαυτὸν ἀπέσφαξε.

XLIV. Βροῦτος δὲ τὴν μὲν ἧτταν ἐγνωκὼς τοῦ Κασσίου προσήλαυνε, τὸν δὲ θάνατον ἐγγὺς ἤδη τοῦ
1005 χάρακος ἤκουσε. Καὶ τὸ μὲν σῶμα περικλαύσας καὶ a
προσαγορεύσας ἔσχατον ἄνδρα Ῥωμαίων τὸν Κάσσιον, ὡς οὐκέτι τῇ πόλει τηλικούτου φρονήματος ἐγγενέσθαι δυναμένου, περιέστειλε καὶ ἀπέπεμψεν εἰς Θάσον, ὡς μὴ σύγχυσιν αὐτόθι παράσχοι κηδευόμενον. Αὐτὸς δὲ τοὺς στρατιώτας συναγαγὼν παρεμυθήσατο· καὶ πάντων ὁρῶν ἀπεστερημένους τῶν ἀναγκαίων, ὑπέσχετο κατ' ἄνδρα δισχιλίας δραχμὰς ἀντὶ τῶν ἀπολωλότων. (2) Οἱ δὲ πρός τε τοὺς λόγους ἀνεθάρρησαν αὐτοῦ καὶ τῆς δωρεᾶς ἐθαύμασαν τὸ μέγεθος καὶ μετὰ βοῆς προὔπεμψαν ἀπιόντα μεγαλύνοντες ὡς μόνον ἀήττητον ἐν τῇ

dandum se contulerant; ita quæ gerebantur minime grata habens et cunctatione magis quam alacritate aut consilia utens, a dextro hostium cornu circumventus est; quumque equites statim peditatu deserto ad mare fuga contenderent, pedites etiam pedem referre videns, conatus est retinere eos et verbis confirmare, unique signifero fugienti signum eripiens ante pedes infixit. At ne stipatoribus quidem satis animi ad resistendum habentibus, demum coactus cedere, cum paucis recessit in collem quendam, unde in campum prospectus patebat. (2) Verum ipse ob debilitatem visus nihil poterat cernere, vixque id videbat, castra sua diripi. Comites missos a Bruto equites conspexerunt, quos Cassius hostes ad se persequendum missos suspicans, unum tamen ex comitatu Titinnium speculatum misit. Is non latuit Bruti equites appropinquans, sed quum viderent amicum hominem et Cassio fidum ad se venire, præ lætitia clamorem sustulerunt, familiaresque ex equis desilientes eum exceperunt atque amplexi sunt, reliqui in orbem circum eum equitantes, immoderato suo gaudio dum plaudunt et pæanas cantant, maximi mali auctores fuerunt. (3) Cassius enim ab hostibus utique captum Titinnium putans. Vitæ, inquiens, cupiditate adducti sustinuimus videre amicum nostrum in hostium manus pervenire; in desertum quoddam tabernaculum digressus est, uno suorum libertorum Pindaro secum accepto, quem ad hanc necessitatem a se instructum jam inde a Crassi clade secum ducebat; verum evitatis olim Parthis, tum veste caput involvit, cervicemque nudatam ei amputandam præbuit. Nam caput seorsum a trunco repertum est. (4) Neque Pindarum post cædem quisquam hominum vidit; itaque non defuerunt qui injussu eum Cassio necem attulisse crederent. Paullo post aperte conspecti sunt equites et Titinnius ab iis coronatus ad Cassium contendit. Cujus ubi interitum, cui ignoratio rerum causam præbuisset, ex amicorum lugentium lamentatione ejulatuque cognovit, stricto gladio multis suam ipsius moram incusans sese confodit.

XLIV. Brutus cognita Cassii clade ad succurrendum properans, ut jam prope castra pervenit, de obitu ejus cognovit. Corpus ejus, quum super eo plorasset, eumque ultimum Romanorum virum appellasset (sentiens ista in civitate hominem tam magni animi nasci nullum præterea posse), honorifice ornatum in Thasum misit, ne, si in castris sepeliretur, turbæ occasionem præberet. Convocatos deinde milites consolatus est, vidensque omnibus rebus necessariis spoliatos, in locum amissorum singulis se octo sestertia daturum promisit. (2) Hoc ejus sermone animum receperunt milites magnitudinemque doni admirantes discedentem magno cum clamore prosecuti sunt, solum eum

μάχῃ τῶν τεσσάρων αὐτοκρατόρων γεγενημένον. Ἐμαρτύρει δὲ τὸ ἔργον, ὅτι τῇ μάχῃ περιέσεσθαι b καλῶς ἐπίστευεν. Ὀλίγοις γὰρ τάγμασιν ἅπαντας ἐτρέψατο τοὺς ἀντιστάντας. Εἰ δὲ πᾶσιν ἐχρήσατο πρὸς τὴν μάχην καὶ μὴ παρελθόντες οἱ πλεῖστοι τοὺς πολεμίους ἐπὶ τὰ τῶν πολεμίων ὥρμησαν, οὐδὲν ἂν ἐδόκει μέρος αὐτῶν ἀπολιπεῖν ἀήττητον.

XLV. Ἔπεσον δὲ τούτων μὲν ὀκτακισχίλιοι σὺν τοῖς στρατευομένοις οἰκέταις, οὓς Βρίγας ὁ Βροῦτος ὠνόμαζε· τῶν δ' ἐναντίων Μεσσάλας φησὶν οἴεσθαι πλείους ἢ διπλασίους. Διὸ καὶ μᾶλλον ἠθύμουν ἐκεῖνοι πρὶν ἢ Κασσίου θεράπων ὄνομα Δημήτριος ἀφίκετο πρὸς Ἀντώνιον ἑσπέρας εὐθὺς ἀπὸ τοῦ νεκροῦ τὰς χλαμύδας λαβὼν καὶ τὸ ξίφος. Ὧν κομισθέντων, οὕτως c ἐθάρρησαν, ὥστε ἅμ' ἡμέρᾳ προάγειν ὡπλισμένην ἐπὶ μάχῃ τὴν δύναμιν. (2) Βρούτῳ δὲ, τῶν στρατοπέδων ἑκατέρου σαλεύοντος ἐπισφαλῶς (τὸ μὲν γὰρ αὐτοῦ καταπεπλησμένον αἰχμαλώτων ἐδεῖτο φυλακῆς ἀκριβοῦς, τὸ δὲ Κασσίου τὴν μεταβολὴν τοῦ ἄρχοντος οὐ ῥᾳδίως ἔφερεν, ἀλλὰ καὶ φθόνου τι καὶ μίσους ἡττημένοις ἐνῆν αὐτοῖς πρὸς τὸ νενικηκὸς), ὁπλίσαι μὲν ἔδοξε τὸ στράτευμα, μάχης δ' ἀπέσχετο. (3) Τῶν δ' αἰχμαλώτων τὸ μὲν δουλικὸν πλῆθος ἐνειλούμενον ὑπόπτως τοῖς ὅπλοις ἐκέλευσεν ἀναιρεθῆναι, τῶν δ' ἐλευθέρων d τοὺς μὲν ἀπέλυε, φάσκων ὑπὸ τῶν πολεμίων μᾶλλον ἡλωκέναι αὐτοὺς καὶ παρ' ἐκείνοις αἰχμαλώτους εἶναι καὶ δούλους, παρ' αὐτῷ δ' ἐλευθέρους καὶ πολίτας· ὡς δὲ τοὺς φίλους ἑώρα καὶ τοὺς ἡγεμόνας ἀδιαλλάκτως ἔχοντας, ἀποκρύπτων καὶ συνεκπέμπων ἔσωζεν. (4) Ἦν δέ τις Βολούμνιος μῖμος καὶ Σακουλίων γελωτοποιὸς ἡλωκότες, οὓς ἐν οὐδενὶ λόγῳ τιθεμένου τοῦ Βρούτου προσάγοντες οἱ φίλοι κατηγόρουν, ὡς οὐδὲ νῦν τοῦ λέγειν καὶ σκώπτειν πρὸς ὕβριν αὐτῶν ἀπεχομένους. Ἐπεὶ δὲ Βροῦτος μὲν ἐσίγα πρὸς ἑτέραις ὢν φροντίσι, Μεσσάλας δὲ Κορβῖνος ἐδικαίου πληγαῖς κολασθέντας ἐπὶ σκη- e νῆς γυμνοὺς ἀποδοθῆναι τοῖς στρατηγοῖς τῶν πολεμίων, ὅπως εἰδῶσιν, οἵων δέονται στρατευόμενοι συμποτῶν καὶ συνήθων, ἔνιοι μὲν τῶν παρόντων ἐγέλασαν, Πόπλιος δὲ Κάσκας ὁ πρῶτος Καίσαρα πατάξας, « Οὐ καλῶς, ἔφη, τεθνηκότι Κασσίῳ παίζοντες καὶ γελωτοποιοῦντες ἐναγίζομεν· σὺ δὲ, εἶπεν, ὦ Βροῦτε, δείξεις, ὅπως ἔχεις μνήμης πρὸς τὸν στρατηγὸν ἢ κολάσας ἢ φυλάξας τοὺς χλευασομένους καὶ κακῶς ἐροῦντας αὐτόν. » Πρὸς τοῦτο Βροῦτος εὖ μάλα δυσχεράνας, « Τί οὖν, εἶπεν, ἐμοῦ πυνθάνεσθε, Κάσκα, καὶ οὐ πράττετε τὸ δόξαν ὑμῖν; » Ταύτην ἐκεῖνοι τὴν ἀπόκρι- f σιν συγκατάθεσιν ποιησάμενοι κατὰ τῶν ἀθλίων ἀνθρώπων, διέφθειραν αὐτοὺς ἀπαγαγόντες.

XLVI. Ἐκ τούτου τὴν δωρεὰν ἀπέδωκε τοῖς στρατιώταις, καὶ μικρὰ μεμψάμενος ἐπὶ τῷ τὸ σύνθημα μὴ λαβόντας ἄνευ παραγγέλματος ἀτακτότερον ἐναλέσθαι τοῖς πολεμίοις, ὑπέσχετο καλῶς ἀγωνισαμένοις δύο πόλεις εἰς ἁρπαγὴν καὶ ὠφέλειαν ἀνήσειν, Θεσσαλονί- a
1060 κην καὶ Λακεδαίμονα. (2) Τοῦτο τῷ Βρούτου βίῳ

de quattuor imperatoribus eo in prœlio invictum prædicantes. Res quidem ipsa ostendit, recte eum sibi persuasisse, pugna se hostibus superiorem fore. Paucis enim legionibus omnes qui occurrerant fudit. Quodsi omnibus in pugna usus fuisset, neque plerique omissis hostibus prædam sectati essent, videbatur nullam hostium partem expertem cladis relicturus.

XLV. Ceciderunt a Cassii et Bruti parte octo millia, connumeratis iis qui militiam sequebantur servis, quos Brigas nominabat Brutus. Hostium clades duplo major existimata est, ut Messala perhibet. Itaque illi magis anxii fuerunt, donec Cassii famulus nomine Demetrius statim eadem vespera ad Antonium chlamydem et gladium domini attulit. His allatis ita animum receperunt, ut prima luce armatas copias ad pugnam educerent. (2) Brutum utraque castra fluctuantia parumque in tuto constituta angebant. Nam et in suis castris captivorum omnia plena, custodiam requirebant accuratam, et Cassiani imperatorem mutatum non facile ferentes, nonnihil etiam invidiæ et odiorum victi ipsi adversus victores socios gerebant. Visum tamen est armare copias, pugna autem abstinere. (3) De captivis servilem multitudinem, quæ haud sine suspicione armatis se immiscebat, necari jussit, liberos partim dimisit, ab hostibus potius captos dicens atque apud illos captivos et servos esse, apud se liberos et cives, partim quum videret amicos et duces placari eis non posse, occultando et tacite emittendo saluti eorum consuluit. (4) Erant inter captivos Volumnius quidam mimus et Saculio scurra, quos quum nihili penderet Brutus, amici ad eum adduxerunt, accusantes eos, quod ne nunc quidem ipsos conviciis impetere et subsannare desinerent. Nihil respondente Bruto, ut qui aliis curis distraheretur, quum Messala Corvinus censuisset verberibus in tentorio mulctatos nudos debere ducibus hostium reddi, ut viderent, quales militiæ secum compotatores atque familiares haberent, adque id dictum nonnulli risum sustulissent, P. Casca, qui primum Cæsari ictum intulerat, Non recte, inquit, Cassio mortuo risu jocisque parentamus; tu vero, Brute, vel puniendis vel dimittendis ejus derisoribus et obtrectatoribus demonstrabis, quæ ejus apud te exstet memoria. Ad hoc Brutus graviter indignans respondit: Quid ergo vos ex me, o Casca, sciscitamini, et non id quod vobis visum est agitis? Hoc illi responsum pro consensu interpretati, miseros istos abduxerunt et necaverunt.

XLVI. Secundum hæc donum militibus promissum repræsentavit; leviterque increpatis iis, quod tessera non accepta injussu et non recte servatis ordinibus in hostem irruissent, pollicitus est eis, si in pugna rem bene gessisset, duas se ipsis urbes diripiendas daturum, Thessalonicam et Lacedæmonem. (2) Hoc unum Bruti vitæ factum in crimen

μόνον ἔνεστι τῶν ἐγκλημάτων ἀναπολόγητον, εἰ καὶ πολὺ τούτων δεινότερα νικητήρια τοῖς στρατευομένοις Ἀντώνιος καὶ Καῖσαρ ἐξέτισαν, ὀλίγου δεῖν πάσης Ἰταλίας τοὺς παλαιοὺς οἰκήτορας ἐξελάσαντες, ἵνα χώραν ἐκεῖνοι καὶ πόλεις τὰς μὴ προσηκούσας λάβωσιν. Ἀλλὰ τούτοις μὲν ἄρχειν καὶ κρατεῖν ὑπέκειτο τοῦ πολέμου τέλος, Βρούτῳ δὲ διὰ δόξαν ἀρετῆς οὔτε νικᾶν οὔτε σώζεσθαι συνεχωρεῖτο παρὰ τῶν πολλῶν ἢ μετὰ τοῦ καλοῦ καὶ δικαίου· καὶ ταῦτα δὴ Κασσίου τεθνηκότος, ὃς αἰτίαν εἶχε καὶ Βροῦτον ἐνάγειν εἰς ἔνια τῶν βιαιοτέρων. (3) Ἀλλ' ὥσπερ ἐν πλῷ πηδαλίου συντριβέντος, ἕτερα ξύλα προσηλοῦν καὶ προσαρμόττειν b ἐπιχειροῦσιν, οὐκ εὖ μέν, ἀναγκαῖα δέ, μαχόμενοι πρὸς τὴν χρείαν, οὕτω Βροῦτος ἐν δυνάμει τοσαύτῃ καὶ μετεώροις πράγμασιν οὐκ ἔχων ἰσορροποῦντα στρατηγὸν ἠναγκάζετο χρῆσθαι τοῖς παροῦσι καὶ πολλὰ πράσσειν καὶ λέγειν τῶν ἐκείνοις δοκούντων. Ἐδόκει δ' ὅσα τοὺς Κασσίου στρατιώτας ᾤετο βελτίους παρέξειν· δυσμεταχείριστοι γὰρ ἦσαν, ἐν μὲν τῷ στρατοπέδῳ δι' ἀναρχίαν θρασυνόμενοι, πρὸς δὲ τοὺς πολεμίους διὰ τὴν ἧτταν ἀποδειλιῶντες.

XLVII. Οὐδὲν δὲ βέλτιον εἶχε τὰ πράγματα τοῖς περὶ Καίσαρα καὶ Ἀντώνιον, ἀγορᾷ τε χρωμένοις ἀναγκαίᾳ καὶ διὰ κοιλότητα τοῦ στρατοπέδου χειμῶνα μοχθηρὸν προσδοκῶσιν. Εἰλούμενοι γὰρ πρὸς ἕλεσι, c καὶ μετὰ τὴν μάχην ὄμβρων φθινοπωρινῶν ἐπιγενομένων, πηλοῦ κατεπίμπλαντο τὰς σκηνὰς καὶ ὕδατος παραχρῆμα πηγνυμένου διὰ ψῦχος. Ἐν τούτῳ δ' οὖσιν αὐτοῖς ἧκεν ἀγγελία περὶ τῆς κατὰ θάλατταν γενομένης ἀτυχίας περὶ τὴν στρατιάν. Ἐξ Ἰταλίας γὰρ πολλὴν κομιζομένην παρὰ Καίσαρος αἱ Βρούτου νῆες ἐπιπεσοῦσαι διέφθειραν, ὧν ὀλίγοι παντάπασι τοὺς πολεμίους διαφυγόντες ὑπὸ λιμοῦ τῶν ἱστίων καὶ τῶν σχοινίων ἐσθίοντες διεγένοντο. (2) Ταῦτ' ἀκούσαντες ἔσπευδον διὰ μάχης κριθῆναι πρὶν αἰσθέσθαι τὸν Βροῦτον ὅσον d αὐτῷ γέγονεν εὐτυχίας. Καὶ γὰρ μιᾷ ἡμέρᾳ συνέβη τόν τε κατὰ γῆν ἅμα καὶ τὸν κατὰ θάλατταν ἀγῶνα κριθῆναι. Τύχῃ δέ τινι μᾶλλον ἢ κακίᾳ τῶν ἐν ταῖς ναυσὶν ἡγεμόνων ἠγνόησε τὸ κατόρθωμα Βροῦτος ἡμερῶν εἴκοσι διαγενομένων. Οὐ γὰρ ἂν εἰς δευτέραν μάχην προῆλθε, τὰ μὲν ἀναγκαῖα τῇ στρατιᾷ παρεσκευασμένος εἰς πολὺν χρόνον, ἐν καλῷ δὲ τῆς χώρας ἱδρυμένος, ὥστε καὶ χειμῶνος ἀπαθὲς καὶ πρὸς τοὺς πολεμίους δυσεκβίαστον ἔχειν τὸ στρατόπεδον, τῷ δὲ κρατεῖν βεβαίως τῆς θαλάττης καὶ νενικηκέναι πεζῇ τὸ καθ' αὑτὸν ἐπ' ἐλπίδων μεγάλων καὶ φρονήματος γεγονώς. (3) Ἀλλὰ τῶν πραγμάτων, ὡς ἔοικεν, οὐκέτι e πολλοῖς ὄντων καθεκτῶν, ἀλλὰ μοναρχίας δεομένων, ὁ θεὸς ἐξάγειν καὶ μεταστῆσαι τὸν μόνον ἐμποδὼν ὄντα τῷ κρατεῖν δυναμένῳ βουλόμενος ἀπέκοψε τὴν τύχην ἐκείνην, καίπερ ἐγγυτάτω τοῦ μὴ λαθεῖν τὸν Βροῦτον ἀφικομένην. Μέλλοντος γὰρ αὐτοῦ μάχεσθαι πρὸ μιᾶς ἡμέρας ὀψὲ Κλώδιός τις ἐκ τῶν πολεμίων αὐτόμολος ἧκεν, ἀγγέλλων ὅτι διεφθαρμένον ᾐσθημένοι τὸν στόλον

trahi et defendi commode non potest. Nam tametsi Antonius et Cæsar longe injustiora suis victoriæ præmia dederunt, fere omnibus veteribus habitatoribus Italia exturbatis, ut agrum militibus suis urbesque ad ipsos non pertinentes largirentur; iis tamen dominatio belli finis propositus fuit. De Bruti virtute ea erat hominum opinio, ut neque vincere eum neque salvum esse debere putarent, nisi justitia et honestate incolumi, præsertim jam Cassio mortuo, qui existimabatur quædam violentius agendi causa fuisse Bruto. (3) Enimvero sicut in navigatione fracto gubernaculo conamur alia ligna aptare atque affigere, non recte quidem, sed præsenti tamen indigentiæ utcumque subvenientes: ita Brutus tantis copiis rebusque dubiis utens, quum collega eum deficeret oneri par, coactus est tempori servire, ac multa loqui aut agere, quæ illis placerent. Placebant autem ea, quibus Cassiani milites videbantur posse corrigi, intractabiles admodum, qui et in castris ob penuriam ducis tumultuarentur, et ob acceptam cladem hostes reformidarent.

XLVII. Neque meliori conditione res Cæsaris Antoniique erant, quibus et magna erat in commeatu parando difficultas, et propter situm castrorum loco montibus incluso positorum gravem exspectabant hiemem, quippe palustribus in locis versabantur et secundum pugnam autumnales obortæ pluviæ, cœno tentoria opplebant et aqua quæ propter frigus statim congelaret. Supervenit his incommodis nuntius de accepta mari exercitus clade, quem numerosum ex Italia ad Cæsarem navigantem Bruti classis adorta perdiderat, ita ut pauci admodum, evitatis hostibus, superstites fuerint, coacti præ fame vela et rudentes comedere. (2) His illi auditis properarunt ad rem prœlio decernendam, priusquam Brutus de successu suo certior redderetur. Eodem enim die et terra et mari res gesta fuit. Atque casu magis quam malitia præfectorum classis factum est ut de sua victoria Brutus viginti elapsis diebus nihil cognosceret. Quod si percepisset, non profecto secundam pugnam commissurus erat, qui et de rebus necessariis exercitui ad longum tempus prospexerat et loco opportuno castra habebat, quæ neque lædi ab hieme neque ab hoste expugnari facile possent; tum quod et mare in sua potestate haberet et terra quoad ipse pugnabat victoriam reportasset, optimæ spei atque fiduciæ erat futurus plenus. (3) Enimvero quum respublica administrari amplius a populo non posse videretur uniusque imperio esset porro tenenda, deus e medio abducere et amovere eum, qui unus imperaturo esset impedimento, volens Bruto fortunam istam intercepit, licet minimum abfuit quin Brutus rem inaudiret. Pridie enim quam pugnatum ab eo est, Clodius quidam ab hostibus perfuga venit, referens Cæsarem eo dimicationem pro-

οἱ περὶ Καίσαρα σπεύδουσι διαγωνίσασθαι. Ταῦτα λέγων ὁ ἄνθρωπος οὐκ εἶχε πίστιν οὐδ' εἰς ὄψιν ἦλθε τῷ Βρούτῳ, καταφρονηθεὶς παντάπασιν, ὡς μηδὲν ἀκηκοὼς f ὑγιὲς ἢ τὰ ψευδῆ πρὸς χάριν ἀπαγγέλλων.

XLVIII. Ἐν ἐκείνῃ δὲ τῇ νυκτὶ πάλιν φασὶν εἰς ὄψιν ἐλθεῖν τὸ φάσμα τῷ Βρούτῳ καὶ τὴν αὐτὴν ἐπιδειξάμενον ὄψιν οὐδὲν εἰπεῖν, ἀλλ' οἴχεσθαι. Πόπλιος δὲ Βολούμνιος, ἀνὴρ φιλόσοφος καὶ συνεστρατευμένος ἀπ' ἀρχῆς Βρούτῳ, τοῦτο μὲν οὐ λέγει τὸ σημεῖον, 1007 μελισσῶν δέ φησι τὸν πρῶτον ἀετὸν ἀνάπλεων γενέσθαι· καὶ a τῶν ταξιάρχων τινὸς ἀπ' αὐτομάτου τὸν βραχίονα μύρον ῥόδινον ἐξανθεῖν καὶ πολλάκις ἐξαλείφοντας καὶ ἀπομάττοντας μηδὲν περαίνειν. Καὶ πρὸ τῆς μάχης αὐτῆς ἀετοὺς δύο συμπεσόντας ἀλλήλοις ἐν μεταιχμίῳ τῶν στρατοπέδων μάχεσθαι καὶ σιγὴν ἄπιστον ἔχειν τὸ πεδίον θεωμένων ἁπάντων, εἶξαι δὲ καὶ φυγεῖν τὸν κατὰ Βροῦτον. Ὁ δὲ Αἰθίοψ περιβόητος γέγονεν ὁ τῆς πύλης ἀνοιχθείσης ἀπαντήσας τῷ φέροντι τὸν ἀετὸν καὶ κατακοπεὶς ταῖς μαχαίραις ὑπὸ τῶν στρατιωτῶν οἰωνισαμένων.

XLIX. Προαγαγὼν δὲ τὴν φάλαγγα καὶ καταστήσας ἐναντίαν τοῖς πολεμίοις ἐπεῖχε πολὺν χρόνον· ὑπο- b ψίαι γὰρ αὐτῷ καὶ μηνύσεις κατά τινων προσέπιπτον ἐπισκοποῦντι τὸ στράτευμα· καὶ τοὺς ἱππέας ἑώρα μάχης ἄρχειν οὐ πάνυ προθύμους ὄντας, ἀλλ' ἀεὶ προσμένοντας τὸ τῶν πεζῶν ἔργον. Εἶτ' ἐξαίφνης ἀνὴρ πολεμικὸς καὶ τετιμημένος ἐπ' ἀνδρείᾳ διαπρεπῶς παρὰ τὸν Βροῦτον αὐτὸν ἐξιππασάμενος μεταβάλλεται πρὸς τοὺς πολεμίους· Καμουλάτος δὲ ἐκαλεῖτο. Τοῦτον ἰδὼν ὁ Βροῦτος ἤλγησεν ἰσχυρῶς· καὶ τὰ μὲν ὑπ' ὀργῆς, τὰ δὲ φόβῳ μείζονος μεταβολῆς καὶ προδοσίας εὐθὺς ἐπὶ τοὺς ἐναντίους ἦγεν, εἰς ὥραν ἐνάτην τοῦ ἡλίου καταφερομένου. (2) Καὶ τῷ μὲν καθ' αὑτὸν ἐκράτησε μέρει c καὶ προῆλθεν ὑποχωροῦντι τῷ ἀριστερῷ τῶν πολεμίων ἐγκείμενος· καὶ συνεπέρρωσαν οἱ ἱππεῖς ἅμα τοῖς πεζοῖς ἐμβαλόντες τεταραγμένοις· τὸ δ' ἕτερον κέρας, ὡς μὴ κυκλωθείη, τῶν ἡγεμόνων ἀντιπαρεξαγόντων, πλήθει δὲ λειπομένων, διεσπᾶτο μέσον καὶ γιγνόμενον ἀσθενὲς οὐκ ἀντεῖχε τοῖς ἐναντίοις, ἀλλ' ἔφυγε πρῶτον. (3) Οἱ δὲ τοῦτο διακόψαντες εὐθὺς ἐκυκλοῦντο τὸν Βροῦτον, αὐτὸν μὲν ὅσα καὶ στρατηγικῆς καὶ στρατιωτικῆς ἀρετῆς ἔργα καὶ χειρὶ καὶ γνώμῃ παρὰ τὰ δεινὰ πρὸς τὸ d νικᾶν ἀποδεικνύμενον, ᾧ δὲ πλέον ἔσχε τῇ προτέρᾳ μάχῃ, τούτῳ βλαπτόμενον. Τῶν μὲν γὰρ πολεμίων τὸ νικηθὲν εὐθὺς ἀπολώλει τότε· τῶν δὲ Κασσίου τραπέντων ὀλίγοι διεφθάρησαν, οἱ δὲ σωζόμενοι τῷ προηττῆσθαι περιδεεῖς ὄντες ἀνέπλησαν ἀθυμίας καὶ ταραχῆς τὸ πλεῖστον τοῦ στρατεύματος. (4) Ἐνταῦθα καὶ Μάρκος ὁ Κάτωνος υἱὸς ἐν τοῖς ἀρίστοις καὶ γενναιοτάτοις τῶν νέων μαχόμενος καὶ καταπονούμενος οὐκ ἔφυγεν οὐδ' εἶξεν, ἀλλὰ χρώμενός τε τῇ χειρὶ καὶ φράζων, ὅστις εἴη, καὶ πατρόθεν ὀνομάζων ἔπεσεν ἐπὶ πολλοῖς νεκροῖς τῶν πολεμίων. Ἔπιπτον δὲ καὶ τῶν ἄλλων οἱ κράτιστοι τοῦ Βρούτου προκινδυνεύοντες.

perare, quod de classe sua perdita cognovisset. Hæc tamen dicens fidem non fecit, neque in conspectum Bruti adductus est, omnino spretus, quasi vel nihil veri audiisset, vel captandæ gratiæ causa mentiretur.

XLVIII. Ea nocte rursus Bruto apparuisse illud, de quo diximus, spectrum eadem forma dicitur, neque ulla voce edita discessisse. P. autem Volumnius, homo philosophia imbutus et qui ab initio castra Bruti est secutus, id quidem ostentum non commemorat, primam vero aquilam ait apum plenam exstitisse, et cujusdam qui primos ordines duceret brachium sua sponte unguento rosaceo fluxisse, frustraque id sæpe abstersum fuisse. Ante ipsam etiam pugnam duas aquilas in medio inter utramque aciem depugnasse, incredibilique exercituum silentio spectatas fuisse, concessisse tandem et fugisse eam quæ a Bruti parte erat. Fama etiam Æthiopis late increbruit, qui porta aperta aquilifero exeunti obviam factus, a militibus rem in omen trahentibus gladiis concisus est.

XLIX. Brutus quum in aciem suos eduxisset hostibusque adversos constituisset, diu cunctatus est, quod suspiciones et indicia de nonnullis proditionis offerrentur ei exercitum inspicienti, equitesque videbat haud satis alacriter pugnam incipere, peditatusque operiri impetum. Tum subito Camulatus quidam, vir bellicosus et fortitudinis ergo summo in honore habitus, juxta ipsum Brutum adequitans ad hostes transit. Quem videns Brutus gravi dolore percussus, partimque ira, partim majoris defectionis et proditionis suorum metu concitatus, nona jam diei hora in hostem suos ducit. (2) A sua parte vicit cedentique lævæ hostium aciei incumbens perrexit, equitibus impetum ejus adjuvantibus, qui simul cum peditibus in perturbatos hostes impressionem fecerunt. Alterum vero cornu, quum id legati ne ab hoste clauderentur circumducerent, neque justa esset ad eam rem multitudo, in medio divulsum est, itaque debilitatum hostes propulsare non potuit, sed primum fugam fecit. (3) Hoc dissipato, hostes statim Brutum circumdederunt, qui omni et imperatorio et militari munere obeundo, consilio manuque facinora ad victoriam præclara edebat, verum id, quod superiorem prœlio priori eum fecerat, tunc obfuit. Ibi enim, quod victum erat hostium, statim occisum fuerat, hic de pulsis Cassii militibus pauci interfecti: qui vero incolumes erant, ut ante etiam victi, formidinis pleni majorem exercitus partem metu et trepidatione repleverunt. (4) Ibi Marcus etiam Catonis filius inter nobilissimos et præstantissimos pugnans juvenes, quum esset labore confectus, nequaquam fugit aut gradum retulit, sed manu rem gerens, et quis esset, quoque natus patre nominatim referens, super stragem hostilium cadaverum occubuit. Reliquorum etiam optimus quisque pro Bruto propugnans cecidit.

L. Ἦν δέ τις Λουκίλλιος, ἀνὴρ ἀγαθὸς, ἐν τοῖς ἑταίροις. e Οὗτος ὁρῶν βαρβάρους τινὰς ἱππέας ἐν τῇ διώξει τῶν μὲν ἄλλων οὐδένα ποιουμένους λόγον, ἐλαύνοντας δὲ ῥύδην ἐπὶ τὸν Βροῦτον, ἔγνω παρακινδυνεύσας ἐμποδὼν αὐτοῖς γενέσθαι. Καὶ μικρὸν ὑπολειφθεὶς αὐτὸς ἔφη Βροῦτος εἶναι· καὶ πιθανὸς ἦν πρὸς Ἀντώνιον δεόμενος ἄγειν ἑαυτὸν, ὡς Καίσαρα δεδοικὼς, ἐκείνῳ δὲ θαῤῥῶν. Οἱ δ' ἀσπασάμενοι τὸ εὕρημα καὶ τύχῃ τινὶ θαυμαστῇ κεχρῆσθαι νομίζοντες ἦγον τὸν ἄνδρα σκότους ἤδη προπέμψαντες ἐξ αὐτῶν τινὰς ἀγγέλους παρὰ τὸν Ἀντώνιον. Αὐτός τε οὖν ἡσθεὶς ἀπήντα τοῖς ἄγουσι καὶ τῶν ἄλλων οἱ πυνθανόμενοι ζῶντα Βροῦτον κομίζεσθαι συνετρόχαζον, f οἱ μὲν ἐλεεινὸν ἡγούμενοι τῆς τύχης, οἱ δὲ τῆς δόξης ἀνάξιον, ἄγραν βαρβάρων ὑπὸ φιλοψυχίας γενόμενον. (2) Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ὁ μὲν Ἀντώνιος ὑπέστη διαπορῶν ὅπως χρὴ δέξασθαι τὸν Βροῦτον, ὁ δὲ
1008 Λουκίλλιος προσαχθεὶς μάλα τεθαῤῥηκὼς, « Μάρκον a μὲν, εἶπεν, Ἀντώνιε, Βροῦτον οὐδεὶς ᾕρηκεν οὐδ' ἂν ἕλοι πολέμιος· μὴ τοσοῦτον ἡ τύχη κρατήσειε τῆς ἀρετῆς. Ἀλλ' ἐκεῖνος εὑρεθήσεται ζῶν ἤ που καὶ νεκρὸς ἀξίως κείμενος ἑαυτοῦ. Ἐγὼ δὲ τοὺς σοὺς στρατιώτας παρακρουσάμενος ἥκω, παθεῖν οὐδὲν ἐπὶ τούτῳ τῶν ἀνηκέστων παραιτούμενος. » (3) Ταῦτ' εἰπόντος τοῦ Λουκιλλίου καὶ πάντων ἐκπλαγέντων, Ἀντώνιος πρὸς τοὺς κομίσαντας αὐτὸν ἀποβλέψας, Ἦπου χαλεπῶς, εἶπεν, ὦ συστρατιῶται, φέρετε τῇ ἁμαρτίᾳ περιυβρίσθαι δοκοῦντες. Ἀλλ' εὖ ἴστε κρείττονα τῆς ζητουμένης ἄγρας ᾑρηκότες. Πολέμιον γὰρ ζητοῦντες ἥκετε φίλον ἡμῖν κομίζοντες· ὡς ἐγὼ Βρούτῳ μὲν οὐχ οἶδα μὰ τοὺς θεοὺς b ὅ τι ἂν ἐχρησάμην ζῶντι, τοιούτων δ' ἀνδρῶν φίλων τυγχάνοιμι μᾶλλον ἢ πολεμίων. » Ταῦτ' εἰπὼν καὶ τὸν Λουκίλλιον ἀσπασάμενος τότε μὲν ἑνὶ τῶν φίλων συνέστησεν, ὕστερον δὲ χρώμενος εἰς πάντα πιστῷ καὶ βεβαίῳ διετέλεσε.

LI. Βροῦτος δὲ διαβάς τι ῥεῖθρον ὑλῶδες καὶ παράκρημνον ἤδη σκότους ὄντος οὐ πολὺ προῆλθεν, ἀλλ' ἐν τόπῳ κοίλῳ καὶ πέτραν ἔχοντι μεγάλην προκειμένην καθίσας, ὀλίγων περὶ αὐτὸν ἡγεμόνων καὶ φίλων ὄντων, πρῶτα μὲν ἀποβλέψας εἰς τὸν οὐρανὸν ἀστέρων ὄντα μεστὸν ἀνεφθέγξατο δύο στίχους, ὧν τὸν ἕτερον Βολούμνιος ἀνέγραψε· c

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν·

τοῦ δ' ἑτέρου φησὶν ἐπιλαθέσθαι. Μετὰ δὲ μικρὸν τῶν ἐν τῇ μάχῃ πρὸ αὐτοῦ πεσόντων ἑταίρων ἕκαστον ὀνομάζων μάλιστα τῇ Φλαβίου μνήμῃ καὶ τῇ Λαβεῶνος ἐπεστέναξεν. Ἦν δ' αὐτοῦ πρεσβευτὴς ὁ Λαβεών, ὁ δὲ Φλάβιος ἔπαρχος τῶν τεχνιτῶν. (2) Ἐν τούτῳ δέ τις αὐτός τε διψήσας καὶ τὸν Βροῦτον ὁρῶν ὁμοίως ἔχοντα λαβὼν κράνος ἐπὶ τὸν ποταμὸν κατέδραμε. Ψόφου δὲ κατὰ θάτερα προσπεσόντος, Βολούμνιος προῆλθε κατοψόμενος καὶ σὺν αὐτῷ Δάρδανος ὁ ὑπασπιστής. Ἐπανελθόντες δὲ μετὰ μικρὸν ἠρώτησαν περὶ τοῦ πόματος. d Ἠθικῶς δὲ σφόδρα μειδιάσας ὁ Βροῦτος πρὸς τὸν Βο-

L. Erat inter amicos Bruti Lucilius quidam, vir fortis. Is quum videret barbaros quosdam equites in persequendo reliquis omnibus omissis in unum Brutum omni studio contendere, statuit se periculo objicere, ut eos impediret. Itaque, quum paulisper retro mansisset a Bruto, Brutum se esse eis dixit, persuasitque, ad Antonium duci se petens, et huic se fidere, Cæsarem metuere simulans. Equites læti hac præda, et mirabili quadam fortuna se eum reperisse rati, tenebris obortis adduxerunt, præmissis ad Antonium de suo numero nonnullis, qui rem indicarent. Antonius gaudio percitus equitibus istis occurrit, concurrentibus eodem et reliquis, qui Brutum vivum adduci audierant; nonnulli eorum misericordia dignam hominis fortunam, alii contra suam dignitatem fecisse censentes, qui cupiditate vitæ adductus barbarorum præda esset factus. (2) Ut prope perventum est, Antonius substitit, animi dubius quo modo Brutum exciperet, Lucilius autem ad eum adductus præsenti admodum animo, Marcum inquit, Brutum, Antoni, nemo hostium cepit, neque vero ceperit, absit enim ut tantum adversus virtutem fortuna possit; verum is vel vivus vel mortuus ita ut ipso dignum est invenietur; ego deceptis tuis militibus adsum, nullam ejus facti nomine pœnam deprecans. (3) Hæc fato Lucilio et universis stupore perculsis, Antonius in eos, qui adduxerant hominem, intuitus, Sane, inquit, commilitones inique errorem vestrum fertis, gravemque vos incidisse in contumeliam putatis. Sed ita habete, meliorem vos quæsita prædam cepisse. Hostem enim quum quæreretis, amicum nobis attulistis. Atque ipse, per deos, nescio qualem me fuerim Bruto viventi præbiturus, hujusmodi autem viros amicos quam hostes habere malim. Hæc ubi dixit, Lucilium amplexus est, unique tunc amicorum commendavit, fidumque in posterum semper constantemque expertus est.

LI. Ceterum Brutus quum rivum quendam silvis undique consitum ripisque clausum præcipitibus transivisset, jam tenebris obortis haud procul progressus est, sed in loco collibus incluso, cui magnum erat objectum saxum, consedit, paucos secum amicorum ducumque suorum habens. Ac primum in cœlum oculos convertens, stellis tum refulgens, duos versus pronuntiavit, quorum alterum Volumnius scripsit, estque hic:

Non auctor horum te lateat, Saturnie;

alterius se oblitum ait; paullo post amicos, qui in pugna ipsum defendentes ceciderant, nominatim recensens, Flavii maxime et Labeonis recordatione ingemuit: quorum hic legatus ejus, ille præfectus fabrûm fuerat. (2) Interim quidam sitiens sitique affectum etiam Brutum sentiens, arrepta galea ad rivum decurrit. Et quum strepitus ex altera parte esset delatus, progressus est speculandi causa Volumnius, cumque eo Dardanus stipator. Reversi paullo post, interrogaverunt de potu; tum Brutus placide admodum subri-

λούμνιον, Ἐκπέποται, εἶπεν, ἀλλ' ἕτερον ὑμῖν κομισθήσεται.» Πεμφθεὶς δ' ὁ αὐτὸς ἐκινδύνευσεν ὑπὸ τῶν πολεμίων ἁλῶναι καὶ μόλις ἐσώθη τετρωμένος. (2) Εἰκάζοντι δὲ αὐτῷ μὴ πολλοὺς ἐν τῇ μάχῃ τεθνάναι Στατύλλιος ὑπέστη διὰ τῶν πολεμίων ἐκπαισάμενος (ἄλλως γὰρ οὐκ ἦν) κατόψεσθαι τὸ στρατόπεδον καὶ πυρσὸν ἄρας, ἄνπερ εὕρῃ τἀκεῖ σωζόμενα, πάλιν ἀφίξεσθαι πρὸς αὐτόν. Ὁ μὲν οὖν πυρσὸς ἤρθη, τοῦ Στατυλλίου παρελθόντος εἰς τὸ στρατόπεδον, ὡς δ' οὐκέτ' ἐπανῄει χρόνῳ πολλῷ, Βροῦτος εἶπεν· «Ἂν ζῇ Στατύλλιος, ἀφίξεται.» Συνέβη δ' αὐτὸν ἐπανερχόμενον ἐμπεσεῖν e εἰς τοὺς πολεμίους καὶ διαφθαρῆναι.

LII. Προϊούσης δὲ τῆς νυκτὸς ἀποκλίνας, ὡς ἔτυχε καθεζόμενος, πρὸς οἰκέτην ἑαυτοῦ Κλεῖτον ἐλάλει. Σιωπῶντος δὲ τοῦ Κλείτου καὶ δακρύοντος, αὖθις ἐπισπασάμενος τὸν ὑπασπιστὴν Δάρδανον, ἰδίᾳ τινὰς αὐτῷ προσέφερε λόγους. Τέλος δὲ τὸν Βολούμνιον αὐτὸν Ἑλληνιστὶ τῶν λόγων καὶ τῆς ἀσκήσεως ὑπεμίμνησκε· καὶ παρεκάλει τῇ χειρὶ συνεφάψασθαι τοῦ ξίφους αὐτῷ καὶ συνεπερεῖσαι τὴν πληγήν. (2) Τοῦ δὲ Βολουμνίου διωσαμένου καὶ τῶν ἄλλων ὁμοίως ἐχόντων, εἰπόντος δέ τινος, ὡς δεῖ μὴ μένειν, ἀλλὰ φεύγειν, ἐξαναστάς, Πάνυ μὲν οὖν, ἔφη, φευκτέον, ἀλλ' οὐ διὰ τῶν ποδῶν, ἀλλὰ f διὰ τῶν χειρῶν.» Ἐμβαλὼν δὲ τὴν δεξιὰν ἑκάστῳ μάλα φαιδρός, ἥδεσθαι μὲν ἔφη μεγάλην ἡδονήν, ὅτι τῶν φίλων αὐτὸν οὐδεὶς ἐψεύσατο, τῇ τύχῃ δ' ἐγκαλεῖν ὑπὲρ τῆς πατρίδος· ἑαυτὸν δὲ τῶν νενικηκότων μακαριώτερον
1009 νομίζειν, οὐκ ἐχθὲς οὐδὲ πρώην μόνον, ἀλλὰ καὶ νῦν a
ἀπολείποντα δόξαν ἀρετῆς, ἣν οὔθ' ὅπλοις οὔτε χρήμασιν ἀπολείψουσιν οἱ κεκρατηκότες, ὡς μὴ δοκεῖν, ὅτι δικαίους ἄνδρας ἄδικοι καὶ κακοὶ χρηστοὺς ἀπολέσαντες οὐ προσηκόντως ἄρχουσι. (3) Δεηθεὶς δὲ καὶ παρακαλέσας σώζειν ἑαυτούς, ἀνεχώρησεν ἀπωτέρω μετὰ δυεῖν ἢ τριῶν, ἐν οἷς ἦν καὶ Στράτων ὁ ἀπὸ λόγων ῥητορικῶν γεγονὼς αὐτῷ συνήθης. Καὶ τοῦτον ἔγγιστα παραστησάμενος ἑαυτῷ καὶ τὸ ξίφος γυμνὸν ἐπὶ τῆς λαβῆς ταῖς χερσὶν ἀμφοτέραις ἐρείσας καὶ περιπεσὼν ἐτελεύτησεν. Οἱ δέ φασιν οὐχ αὐτόν, ἀλλὰ τὸν Στράτωνα, πολλὰ πάνυ τοῦ Βρούτου δεηθέντος, ἀποστρέψαντα τὴν ὄψιν ὑποστῆσαι τὸ ξίφος· ἐκεῖνον δὲ ῥύμῃ b προσβαλόντα τὸ στέρνον καὶ διώσαντα συντόμως ἀποθανεῖν.

LIII. Τοῦτον δὲ τὸν Στράτωνα Μεσσάλας, ἑταῖρος ὢν Βρούτῳ, Καίσαρι διαλλαγεὶς ἐπὶ σχολῆς ποτε προσήγαγε καὶ δακρύσας εἶπεν, «Οὗτός ἐστιν, ὦ Καῖσαρ, ὁ ἀνήρ, ὁ τῷ ἐμῷ Βρούτῳ τὴν τελευταίαν ὑπουργήσας χάριν.» Ἀποδεξάμενος οὖν ὁ Καῖσαρ ἔσχεν αὐτὸν ἔν τε τοῖς πόνοις καὶ ἐν τοῖς περὶ Ἄκτιον ἀγῶσιν ἕνα τῶν περὶ αὐτὸν ἀγαθῶν γενομένων Ἑλλήνων. Αὐτὸν δὲ τὸν Μεσσάλαν λέγουσιν ὕστερον ἐπαινούμενον ὑπὸ Καίσαρος, ὅτι, καίπερ ἐν Φιλίπποις πολεμιώτατος αὐτοῖς γενόμενος διὰ Βροῦτον, ἐν Ἀκτίῳ προθυμότατον ἑαυτὸν παρέσχεν, «Ἐγώ σοι, φάναι, ὦ Καῖσαρ, ἀεὶ τῆς βελτίονος c καὶ δικαιοτέρας τιμῆς καὶ μερίδος ἐγενόμην.»

dens, Epotum est, inquit, vobis tamen alia afferetur aqua. Missus idem qui ante, pæne est ab hostibus captus, ægreque evasit vulnere accepto. (2) Reputanti inde Bruto non multos in pugna periisse, Statilius promisit se per hostes (aliter enim nequibat) perrupturum et castra speculaturum, ignique edito, si res ibi salvas reperisset, rediturum. Atque ivit sane eo et ignem extulit, et quum diu non rediret, dixit Brutus, Statilium utique si viveret rediturum. Verum is in reditu in hostes illapsus periit.

LII. Adulta jam nocte, ut tum forte sedebat Brutus ad famulum suum Clitum se inclinavit, ad eumque verba fecit. Eoque tacente et lacrimante, advocato ad se Dardano stipatore, seorsum quædam ad eum est locutus. Tandem Volumnium ipsum Græcis verbis philosophiæ præceptorum exercitationumque admonuit, hortatusque est ut manum gladio, quo se erat jugulaturus, adhiberet ictumque confirmaret. (2) Volumnio itemque ceteris detrectantibus, quum quidam non manendum, sed fugiendum diceret, exsurgens, Vero, ait, fugiendum est, non pedum tamen, sed manuum officio. Dextram deinde singulis dedit, hilaris admodum, maximam se percipere inquiens voluptatem, quod nemo ei amicorum fidem fefellisset; fortunam se patriæ causa culpare, se quidem victoribus beatiorem judicare, neque id heri modo aut nuper, sed etiamnum; se enim virtutis gloriam relinquere post se, quam victores neque armis sint neque pecunia exstincturi; semper enim existimatum iri, eos, quum injusti malique essent, justis bonisque viris interfectis, injuste dominari. (3) Hortatus inde et precatus ut quisque suæ saluti consuleret, cum duobus aut tribus recessit longius, inter quos etiam Strato fuit, quo rhetoricæ causa usus fuerat familiariter. Hunc proxime assistere jubens, stricti gladii manubrium utraque manu suffulciens, in mucronem incubuit, itaque finem vitæ fecit. Alii non Bruto, sed Stratone multis precibus adducto, aversisque oculis gladium tenente, Brutum cum impetu pectus aciei inflixisse, eoque transadacto celeri morte decessisse aiunt.

LIII. Hunc Stratonem Messala, amicus Bruti, in gratiam a Cæsare receptus, aliquando per otium ad Cæsarem adduxit, lacrimansque, Hic, ait, vir est, o Cæsar, qui Bruto meo extremum officium præstitit. Et Cæsar Stratonem ad se receptum in laboribus, et Actiaco certamine inter eos Græcos, quibus usus fuit fidelibus, reperit. Ipsum vero Messalam ferunt, quum postea temporis a Cæsare laudaretur, quod ipsi præclaram operam apud Actium navasset, quum tamen apud Philippos acerrimus hostium fuisset, dixisse: Ego enim, o Cæsar, semper meliorem ac justiorem sum

(2) Τὸν δὲ Βροῦτον ὁ Ἀντώνιος ἀνευρὼν τεθνηκότα, τὸ μὲν σῶμα τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περιβαλεῖν ἐκέλευσεν, ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος ἀπέκτεινε τὸν ὑφελόμενον. Τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ Βρούτου Σερβιλίαν ἀπέπεμψε. (3) Πορκίαν δὲ τὴν Βρούτου γυναῖκα Νικόλαος ὁ φιλόσοφος ἱστορεῖ καὶ Οὐαλέριος Μάξιμος βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας καταπιεῖν καὶ τὸ στόμα συγκλείσασαν d καὶ μύσασαν οὕτω διαφθαρῆναι. Καίτοι φέρεταί τις ἐπιστολὴ Βρούτου πρὸς τοὺς φίλους ἐγκαλοῦντος αὐτοῖς καὶ ὀλοφυρομένου περὶ τῆς Πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. Ἔοικεν οὖν ὁ Νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος καὶ τὸν ἔρωτα τῆς γυναικὸς καὶ τὸν τρόπον τῆς τελευτῆς ὑπονοῆσαι δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν.

partem secutus. (2) Bruti cadaver inventum Antonius pretiosissima suarum punicearum tunicarum involvi jussit, et furem, a quo eam subtractam sensit, interfecit. Reliquias autem ad matrem Bruti Serviliam misit. (3) Porciam vero, Bruti uxorem, Nicolaus philosophus et Valerius Maximus memorant, quum mortis cupida ab amicis prohiberetur, qui ei adhærebant assidui eamque observabant, carbones ex igne arreptos deglutiisse, oreque clauso ita suffocatam periisse. Sane Bruti ad amicos epistola circumfertur, qua eos incusat casumque Porciæ deplorat, quæ ab ipsis neglecta propter morbum mortem sibi consciscere delegerit. Videtur igitur Nicolaus ignorasse mortis tempus, quando ea epistola, si quidem est genuina, morbum amoremque uxoris et mortis modum significat.

ΔΙΩΝΟΣ ΚΑΙ ΒΡΟΥΤΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Πολλῶν τοίνυν τοῖς ἀνδράσιν ὑπαρξάντων καλῶν, ἐν τοῖς πρώτοις δὲ τοῦ μεγίστους ἐλαχίσταις ἀφορμαῖς e γενέσθαι, τοῦτο τῷ Δίωνι κάλλιστόν ἐστιν. Οὐ γὰρ εἶχε τὸν ἀμφισβητοῦντα, καθάπερ ὁ Βροῦτος Κάσσιον, ἄνδρα πρὸς μὲν ἀρετὴν καὶ δόξαν οὐχ ὁμοίως ἀξιόπιστον, εἰς δὲ τὸν πόλεμον οὐκ ἐλάττονας τόλμῃ καὶ δεινότητι καὶ πράξει συμβολὰς παρασχόμενον, ᾧ γε καὶ τοῦ παντὸς ἔργου προσποιοῦσιν ἔνιοι τὴν ἀρχήν, ἡγεμόνα τῆς ἐπὶ Καίσαρα γνώμης τοῦτον ἀτρεμοῦντι Βρούτῳ γενέσθαι λέγοντες. (2) Δίων δ' ὥσπερ ὅπλα καὶ πλοῖα καὶ στρατιωτικὴν δύναμιν, οὕτω καὶ φίλους καὶ συνεργοὺς ἐπὶ τὴν πρᾶξιν αὐτὸς ἑαυτῷ φαίνεται κτησάμενος. Οὐ μὴν οὐδ' ὡς Βροῦτος ἐκ τῶν πρα- f γμάτων αὐτῶν καὶ τοῦ πολέμου πλοῦτον ἔσχε καὶ δύναμιν, οὕτω καὶ Δίων, ἀλλὰ τῷ πολέμῳ προεισήνεγκεν αὐτὸς τὸν ἑαυτοῦ πλοῦτον ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας τοῖς τῆς φυγῆς ἐφοδίοις προκαταχρησάμενος.

1010 (3) Ἔτι δὲ Βροῦτος μὲν καὶ Κάσσιος, οὐχ ὂν ἀσφαλὲς a ἡσυχίαν ἄγειν ἐκπεσοῦσι τῆς Ῥώμης, ἀλλ' ὠφληκόσι δίκην θανάτου καὶ διωκομένοις, ἀναγκαίως εἰς τὸν πόλεμον κατέφυγον, καὶ τὰ σώματα τοῖς ὅπλοις παρακαταθέμενοι διεκινδύνευσαν ὑπὲρ αὐτῶν τὸ πλέον ἢ τῶν πολιτῶν, Δίων δ' ἀδεέστερον ἐν τῇ φυγῇ τοῦ φυγαδεύσαντος τυράννου καὶ ἥδιον διάγων ἀνέρριψεν ἑκὼν κίνδυνον τοσοῦτον ἐπὶ τῷ σῶσαι Σικελίαν.

II. Καὶ μὴν οὐχ ὅμοιον Διονυσίου Συρακουσίοις ἢ Καίσαρος ἀπαλλαγῆναι Ῥωμαίοις. Ὁ μὲν γὰρ οὐδ' ἠρνεῖτο τύραννος εἶναι κακῶν τε μυρίων ἐμπεπλήκει Σικελίαν· ἡ δὲ Καίσαρος ἀρχὴ συνισταμένη μὲν οὐκ ὀλίγα τοῖς ἐναντιουμένοις πράγματα παρέσχε, δε-

COMPARATIO DIONIS CUM BRUTO.

Inter multa quæ uterque habuit præclara, præcipuum id est, quod ambo minimis usi occasionibus maximi evaserunt. Id vero in Dione pulcherrimum fuit. Non enim habuit qui cum ipso de ea laude contendere posset, sicut Bruto fuit Cassius, minori quidem virtutis gloria ornatus, sed qui ad bellum gerendum non minus audaciæ, consilii et efficaciæ contulerit; cui quidem nonnulli totius facinoris principium ascribunt, eum Bruto cessanti ducem consilii adversus Cæsarem suscipiendi fuisse dicentes. (2) Dio autem sicut arma et naves et exercitum, ita amicos etiam sibi et cœptorum suorum administros ipse apparasse videtur. Jam ne opes quidem et potentiam bello et rebus gestis, quemadmodum Brutus, invenit, sed suas ipsius divitias in bellum impendit, exsiliique sui alimenta ad civium libertatem recuperandam prius absumpsit. (3) Porro autem Brutus et Cassius Roma ejecti quum quiescere tuto non possent, morte nimirum damnati et a persecutoribus quæsiti, necessario ad bellum confugerunt, suaque corpora armis committentes, pro sua salute magis quam pro civibus dimicarunt. Dio autem quum in exsilio tutiorem atque jucundiorem quam ipse qui exterminaverat eum patria tyrannus vitam ageret, ultro Siciliæ servandæ causa tantum periculum subivit.

II. Neque vero idem fuit Syracusanos Dionysio et Romanos Cæsare liberare. Quippe ille et palam præ se ferebat nomen tyranni et infinitis malis Siciliam implebat: hujus dominatio ut initio dum constituebatur multum negotii

λούμνιον, Ἐ
μισθήσεται
τῶν πολεμίων
(2) Εἰκάζοντι
Στατύλλιος ὑπ
(ἄλλως γὰρ οὐ
πυρσὸν ἄρας, ἀ
ξεσθαι πρὸς αὐτ
τυλλίου παρελθ
ἐπανήει χρόνῳ πο
λιος, ἀφίξεται. » Σ
σεῖν εἰς τοὺς πολε

LII. Προϊούσης
καθεζόμενος, πρὸς
πῶντος δὲ τοῦ Κλε
σάμενος τὸν ὑπασπ
προσέφερε λόγους. Τ
ληνιστὶ τῶν λόγων κα
παρεκάλει τῇ χειρὶ συ
συνεπερεῖσαι τὴν πληγ
σαμένου καὶ τῶν ἄλλω
τινος, ὡς δεῖ μὴ μένειν,
μὲν οὖν, ἔφη, φευκτέον,
διὰ τῶν χειρῶν. » Ἐμβαλ
φαιδρὸς, ἥδεσθαι μὲν ἔφη
λων αὐτὸν οὐδεὶς ἐψεύσατο.
τῆς πατρίδος· ἑαυτὸν δὲ τῶν
1009 νομίζειν, οὐχ ἐχθὲς οὐδὲ πρ
ἀπολείποντα δόξαν ἀρετῆς, ἣν
σιν ἀπαλείψουσιν οἱ κεκρατηκ
δικαίους ἄνδρας ἄδικοι καὶ κακ
τες οὐ προσηκόντως ἄρχουσι.
ρακαλέσας σώζειν ἑαυτοὺς, ἀνεχ
δυεῖν ἢ τριῶν, ἐν οἷς ἦν καὶ Στρ
τορικῶν γεγονὼς αὐτῷ συνήθης.
παραστησάμενος ἑαυτῷ καὶ τὸ ξ
λαβῆς ταῖς χερσὶν ἀμφοτέραις ἐρ
ἐτελεύτησεν. Οἱ δέ φασιν οὐκ αὐτ
τωνα, πολλὰ πάνυ τοῦ Βρούτου δε
ψαντα τὴν ὄψιν ὑποστῆσαι τὸ ξίφος
προσβαλόντα τὸ στέρνον καὶ διώσαντ
θανεῖν.

LIII. Τοῦτον δὲ τὸν Στράτωνα Μ
ὢν Βρούτῳ, Καίσαρι διαλλαγεὶς ἐπὶ σ
ήγαγε καὶ δακρύσας εἶπεν, « Οὗτός ἐσ
ὁ ἀνὴρ, ὁ τῷ ἐμῷ Βρούτῳ τὴν τελευταί
χάριν. » Ἀποδεξάμενος οὖν ὁ Καῖσαρ ἔσχ
τοῖς πόνοις καὶ ἐν τοῖς περὶ Ἄκτιον ἀγῶ
περὶ αὐτὸν ἀγαθῶν γενομένων Ἑλλήνων
τὸν Μεσσάλαν λέγουσιν ὕστερον ἐπαινούμε
σαρος, ὅτι, καίπερ ἐν Φιλίπποις πολεμιώ
γενόμενος διὰ Βροῦτον, ἐν Ἀκτίῳ προθυμο
παρέσχεν, « Ἐγώ σοι, φάναι, ὦ Καῖσαρ,
τίονος καὶ δικαιοτέρας τιμῆς καὶ

ἐμβαλέσθαι καὶ μὴ φοβηθῆναι τὴν δεινότητα καὶ δύναμιν καὶ τύχην, οὗ καὶ τοὔνομα τοὺς Παρθυαίων καὶ Ἰνδῶν βασιλεῖς οὐκ εἴα καθεύδειν, ὑπερφυοῦς ἦν ψυχῆς καὶ πρὸς μηθὲν ὑφίεσθαι φόβῳ τοῦ φρονήματος δυναμένης. Διὸ τῷ μὲν ὀφθέντι μόνον ἐν Σικελίᾳ μυριάδες οὐκ ὀλίγαι συνέστησαν ἐπὶ Διονύσιον· ἡ δὲ Καίσαρος δόξα καὶ πεσόντος ὤρθου τοὺς φίλους καὶ τοὔνομα τὸν χρησάμενον ἦρεν ἐκ παιδὸς ἀμηχάνου πρῶτον εὐθὺς εἶναι Ῥωμαίων, ὡς ἀλεξιφάρμακον τοῦτο πρὸς τὴν Ἀντωνίου περιαψάμενον ἔχθραν καὶ δύναμιν. (2) Εἰ δὲ φήσει τις, ὅτι μεγάλοις μὲν ἀγῶσιν ὁ Δίων ἐξέβαλε τὸν τύραννον, Καίσαρα δὲ Βροῦτος ἔκτεινε γυμνὸν καὶ ἀφύλακτον, αὐτὸ τοῦτο δεινότητος ἄκρας καὶ στρατηγίας ἦν ἔργον, ἄνδρα τοσαύτην περιβεβλημένον δύναμιν ἀφύλακτον λαβεῖν καὶ γυμνόν. Οὐ γὰρ ἐξαίφνης οὐδὲ μόνος ἢ σὺν ὀλίγοις ἐπιπεσὼν ἀνεῖλεν, ἀλλ' ἐκ πολλοῦ συνθεὶς τὸ βούλευμα καὶ μετὰ πολλῶν ἐπιθέμενος, ὧν οὐδεὶς ἐψεύσατ' αὐτόν. Ἢ γὰρ εὐθὺς ἔκρινε τοὺς ἀρίστους ἢ τῷ προκρῖναι τοὺς πιστευθέντας ἀγαθοὺς ἐποίησε. Δίων δὲ εἴτε κρίνας κακῶς ἐπίστευσεν ἑαυτὸν πονηροῖς εἴτε χρώμενος ἐποίησεν ἐκ χρηστῶν πονηρούς, οὐδέτερον παθεῖν ἀνδρὶ φρονίμῳ προσῆκεν. Ἐπιτιμᾷ δὲ καὶ Πλάτων αὐτῷ τοιούτους ἑλομένῳ φίλους, ὑφ' ὧν ἀπώλετο.

V. Καὶ Δίωνος μὲν τιμωρὸς οὐδεὶς ἐφάνη πεσόντος, ἀλλὰ Βροῦτον καὶ τῶν πολεμίων Ἀντώνιος μὲν ἔθαψεν ἐνδόξως, Καῖσαρ δὲ καὶ τὰς τιμὰς ἐτήρησεν. Ἕστηκε δὲ χαλκοῦς ἀνδριὰς ἐν Μεδιολάνῳ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Τοῦτον ὕστερον ἰδὼν ὁ Καῖσαρ εἰκονικὸν ὄντα καὶ χαριέντως εἰργασμένον παρῆλθεν· εἶτ' ἐπιστὰς μετὰ μικρὸν, ἀκροωμένων πολλῶν, τοὺς ἄρχοντας ἐκάλει φάσκων ἔκσπονδον αὐτῶν τὴν πόλιν εἰληφέναι πολέμιον ἔχουσαν παρ' αὑτῇ. Τὸ μὲν οὖν πρῶτον, ὡς εἰκὸς, ἠρνοῦντο καὶ τίνα λέγοι διαποροῦντες εἰς ἀλλήλους ἀπέβλεψαν. Ὡς δ' ἐπιστρέψας ὁ Καῖσαρ πρὸς τὸν ἀνδριάντα καὶ συναγαγὼν τὸ πρόσωπον, « Ἀλλ' οὐχ οὗτος, ἔφη, πολέμιος ὢν ἡμέτερος ἐνθα ἕστηκεν; » ἔτι μᾶλλον καταπλαγέντες ἐσιώπησαν. Ὁ δὲ μειδιάσας ἐπῄνεσέ τε τοὺς Γαλάτας, ὡς φίλοις καὶ παρὰ τὰς τύχας βεβαίους ὄντας καὶ τὸν ἀνδριάντα κατὰ χώραν μένειν ἐκέλευσεν.

opprimendo cogitare, neque ejus calliditatem, potentiam fortunamque formidare, cujus ipsum nomen Parthorum Indorumque regibus somnos adimeret, incredibilis fuit animi magnitudinis, quæ nullo metu inflecti posset. Itaque Dioni, ut primum conspectus in Sicilia est, multa se hominum millia adjunxerunt adversus Dionysium, Cæsa-
b ris gloria etiam mortui erexit amicos, nomenque ejus hunc, qui id gerebat, ita extulit, ut puer omni ope destitutus, statim Romanorum primus exsisteret, eo tanquam amuleto adversus Antonii inimicitiam atque potentiam usus. (2) Quodsi quis dicat tyrannum a Dione magnis certaminibus ejectum, Cæsarem nudum et incautum a Bruto necatum : sciat hoc ipsum summæ prudentiæ fuisse opus atque calliditatis, hominem tantis munitum copiis potuisse nudum custodiaque vacantem deprehendere. Non enim subito, aut solus vel cum paucis, sed diu capto consilio eum adortus est, multis facinoris sociis, a quorum nemine deceptus est.
c Nam aut delegit optimos, aut deligendo eos quibus fidem habebat, bonos effecit. Dio autem vel malis sese credidit, non recte de eis judicans, vel ita usus est eis, ut ex bonis malos redderet, quorum neutrum virum prudentem decebat. Plato etiam eum culpat, quod hujusmodi amicos asciverit sibi, a quibus occideretur.

V. Denique Dionis cædem nemo statim ultus est: Brutum et hostis Antonius honorifica affecit sepultura, et Cæsar honores ejus conservavit. Fuit Mediolani, quæ est Citerioris Galliæ urbs, ærea Bruto posita statua. Hanc quum postea
d temporis Cæsar videret artificiose factam, imaginemque ejus bene referentem, præteriit; paullo post subsistens, advocatis ad se magistratibus urbis, audientibus multis dixit, se deprehendisse eos contra pacta egisse et hostem ipsius detinere secum. Infitiantibus, ut par erat, primum, quemque hostem diceret dubitantibus, ac se mutuo intuentibus, ad statuam conversus, contracta fronte, Annon, ait, is qui hic astat hostis noster est? Quum magis etiam perterriti silerent, vultu in risum soluto collaudavit Gallos istos, qui etiam adversa fortuna utentibus amicis benevolentiam constanter retinerent, jussitque statuam quo erat
e loco relinqui.

ΑΡΤΟΞΕΡΞΗΣ.

Ὁ μὲν πρῶτος Ἀρτοξέρξης τῶν ἐν Πέρσαις βασιλέων πραότητι καὶ μεγαλοψυχίᾳ πρωτεύσας Μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων, Ξέρξου δὲ ἦν υἱός· ὁ δὲ δεύτερος, περὶ οὗ τάδε γράφεται, Μνήμων ἐπικληθεὶς, ἐκ θυγατρὸς ἦν ἐκείνου. Δαρείου γὰρ καὶ Παρυσάτιδος παῖδες ἐγένοντο τέσσαρες, 1012 πρεσβύτατος μὲν Ἀρτοξέρξης, μετ' ἐκεῖνον δὲ Κῦρος, νεώτεροι δὲ τούτων Ὀστάνης καὶ Ὀξάθρης. Ὁ μὲν οὖν Κῦρος ἀπὸ Κύρου τοῦ παλαιοῦ τοὔνομα ἔσχεν, ἐκείνῳ δὲ ἀπὸ τοῦ ἡλίου γενέσθαι φασί· Κῦρον γὰρ καλεῖν Πέρσας τὸν ἥλιον. Ὁ δ' Ἀρτοξέρξης Ἀρσίκας πρότερον ἐκαλεῖτο· καίτοι Δείνων φησὶν, Ὀάρσης. Ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἄλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.

II. Ὁ μὲν οὖν Κῦρος ἔντονόν τι καὶ σφοδρὸν εὐθὺς ἐκ πρώτης ἡλικίας εἶχεν, ἅτερος δὲ πραότερος ἐδόκει περὶ πάντα καὶ ταῖς ὁρμαῖς φύσει μαλακώτερος εἶναι. Γυναῖκα δὲ καλὴν καὶ ἀγαθὴν ἔλαβε μὲν τῶν γονέων κελευόντων, ἐφύλαξε δὲ κωλυόντων. Τὸν γὰρ ἀδελφὸν αὐτῆς ἀποκτείνας ὁ βασιλεὺς ἐβουλεύετο κἀκείνην ἀνελεῖν. Ὁ δ' Ἀρσίκας τῆς μητρὸς ἱκέτης γενόμενος καὶ πολλὰ κατακλαύσας μόλις ἔπεισε μήτ' ἀποκτεῖναι μήτε αὐτοῦ διαστῆσαι τὴν ἄνθρωπον. (2) Ἡ δὲ μήτηρ ὑπῆρχε τὸν Κῦρον μᾶλλον φιλοῦσα καὶ βουλομένη βασιλεύειν ἐκεῖνον. Διὸ καὶ, τοῦ πατρὸς νοσοῦντος ἤδη, μετάπεμπτος ἀπὸ θαλάσσης γενόμενος παντάπασιν ἀνέβαινεν εὔελπις ὢν, κατειργασμένης ἐκείνης διάδοχον αὐτὸν ἀποδειχθῆναι τῆς ἀρχῆς. Καὶ γὰρ εἶχεν εὐπρεπῆ λόγον ἡ Παρύσατις, ᾧ καὶ Ξέρξης ὁ παλαιὸς ἐχρήσατο, Δημαράτου διδάξαντος, ὡς Ἀρσίκαν μὲν ἰδιώτῃ, Κῦρον δὲ βασιλεύοντι Δαρείῳ τεκεῖν. Οὐ μὴν ἔπεισεν, ἀλλ' ὁ πρεσβύτερος ἀπεδείχθη βασιλεὺς Ἀρτοξέρξης μετονομασθεὶς, Κῦρος δὲ Λυδίας σατράπης καὶ τῶν ἐπὶ θαλάσσης στρατηγός.

III. Ὀλίγῳ δ' ὕστερον ἢ τελευτῆσαι Δαρεῖον ἐξήλασεν εἰς Πασαργάδας ὁ βασιλεὺς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν Πέρσαις ἱερέων. Ἔστι δὲ θεᾶς πολεμικῆς ἱερὸν, ἣν Ἀθηνᾶν ἄν τις εἰκάσειεν. Εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα τὴν μὲν ἰδίαν ἀποθέσθαι στολὴν, ἀναλαβεῖν δὲ ἣν Κῦρος ὁ παλαιὸς ἐφόρει πρὶν ἢ βασιλεὺς γενέσθαι, καὶ σύκου παλάθης ἐμφαγόντα τερμίνθου κατατραγεῖν καὶ ποτήριον ἐκπιεῖν ὀξυγάλακτος. Εἰ δὲ πρὸς τούτοις ἕτερα ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις. (2) Ταῦτα δρᾶν Ἀρτοξέρξου μέλλοντος, ἀφίκετο Τισαφέρνης πρὸς αὐτὸν ἄγων ἕνα τῶν ἱερέων, ὃς ἐν παισὶ Κύρου τῆς νομιζομένης ἀγωγῆς ἐπιστάτης γενόμενος καὶ διδάξας μαγεύειν αὐτὸν οὐδενὸς ἧττον ἐδόκει Περσῶν ἀνιᾶσθαι μὴ ἀποδειχθέν-

ARTOXERXES.

Artoxerxes prior inter reges Persarum, mansuetudine et magnanimitate præstantissimus, cognomento Longimanus, quod dextra ei quam sinistra esset major, Xerxis fuit filius. Posterior Mnemon, id est Memor, appellatus, filia prioris natus est. Dario enim ex Parysatide quattuor fuerunt filii, maximus natu Artoxerxes, post hunc Cyrus, inde Ostanes et Oxathres. Cyrus nomen a prisco illo Cyro habuit, is a sole, quem Persarum lingua cyrum appellari dicunt. Artoxerxes ante Arsicas nominatus fuit; Dinon Oartis nomen ei fuisse scribit. Verum probabile non est Ctesiam regis, apud quem agebat et quem uxoremque ejus et matrem et liberos curabat, nomen ignorasse, quantumvis alioquin fabularum incredibilium atque stolidarum colluviem in libros invexerit.

II. Cyrus ingenio jam inde a pueritia vehemens atque violentus fuit, alter mansuetior omnibus in rebus, placidioribusque animi motibus præditus videbatur. Idem uxorem, quam jussu parentum pulchram præclaramque duxerat, invitis iis retinuit. Quum enim rex fratrem mulieris necasset et ipsam quoque vellet interficere, matri supplex factus, multis tandem lacrimis ægre impetravit ut vivere ei et secum esse permitteretur. (2) Mater Cyro magis favebat, eumque patri succedere volebat. Ideo etiam, patre jam decumbente, evocatus ex maritima provincia, statim in Persidem ascendit, spe plenus matrem confecisse ut ipse defuncto patre regnaret. Et quidem Parysatis usa est ratione non absurda, qua etiam Xerxes ille antiquus Demarati monitu usus fuerat, Arsicam se privato, Cyrum jam regnante Dario peperisse. Non obtinuit tamen, sed major natu rex creatus est et Artoxerxes appellatus; Cyro Lydia et satrapiæ maritimæ obtigerunt.

III. Non multo post Darii mortem tempore Artoxerxes Pasargadas profectus est, ut a Persicis sacerdotibus regiis mysteriis initiaretur. Templum ibi est deæ cujusdam bellicæ, quam Minervam esse conjicere liceat. Eo intrare oportet eum qui initiatur, suoque amictu deposito, eam stolam induere, quam Cyrus ille magnus, antequam occiperet regnum, gestaverat, ficorum quoque palatham et terminthum comedere et lac aceto temperatum bibere jubetur, fortasse et alia quædam ignota aliis facere. (2) Ea tunc peracturum regem Tisaphernes convenit, sacerdotem adducens secum, qui pueri Cyri disciplinæ moribus Persarum institutæ præfuerat eumque magicas artes docuerat, neque majorem quisquam Persarum dolorem, quod Cyrus regnum

τος ἐκείνου βασιλέως· διὸ καὶ πίστιν ἔσχε κατηγορῶν Κύρου. Κατηγόρει δὲ ὡς μέλλοντος ἐνεδρεύειν ἐν τῷ e ἱερῷ, καὶ ἐπειδὰν ἐκδύηται τὴν ἐσθῆτα ὁ βασιλεύς, ἐπιτίθεσθαι καὶ διαφθείρειν αὐτόν. (3) Οἱ μὲν ἐκ ταύτης τῆς διαβολῆς τὴν σύλληψιν γενέσθαι φασίν, οἱ δὲ καὶ παρελθεῖν τὸν Κῦρον εἰς τὸ ἱερὸν καὶ παραδοθῆναι κρυπτόμενον ὑπὸ τοῦ ἱερέως. Μέλλοντα δὲ αὐτὸν ἤδη ἀποθνήσκειν ἡ μήτηρ περισχοῦσα ταῖς ἀγκάλαις καὶ τοῖς βοστρύχοις περιελίξασα καὶ συλλαβοῦσα τὸν ἐκείνου τράχηλον πρὸς τὸν αὑτῆς ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη παρῃτήσατο καὶ κατέπεμψεν αὖθις ἐπὶ θάλατταν, οὐκ ἀγαπῶντα τὴν ἀρχὴν ἐκείνην οὐδὲ μεμνημένον τῆς διέσεως, ἀλλὰ τῆς συλλήψεως, καὶ δι' ὀργὴν σπαργῶντα μᾶλλον ἢ πρότερον ἐπὶ τὴν βασιλείαν. f

IV. Ἔνιοι δέ φασιν οὐκ ἀρκούμενον οἷς ἐλάμβανεν εἰς τὸ καθ' ἡμέραν δεῖπνον ἀποστῆναι βασιλέως, εὐήθη λέγοντες. Εἰ γὰρ ἄλλο μηδέν, ἀλλ' ἡ μήτηρ ὑπῆρχε χρῆσθαι καὶ λαμβάνειν ὅσα βούλοιτο τῶν αὑτῆς παρέχουσα καὶ διδοῦσα. Μαρτυρεῖ δὲ τῷ πλούτῳ καὶ τὸ μισθοφορικὸν πολλαχόθι διὰ τῶν φίλων καὶ ξένων αὐτῷ
1013 παρατρεφόμενον, ὡς Ξενοφῶν εἴρηκεν. Ἀθρόους μὲν a γὰρ οὐ συνήγαγεν ἔτι τὴν παρασκευὴν ἐπικρυπτόμενος, ἀλλαχόθι δὲ ἄλλους ἐπὶ πολλαῖς προφάσεσι ξενολογοῦντας εἶχε. Βασιλέως δὲ ἥ τε μήτηρ παροῦσα τὰς ὑποψίας ἀφῄρει καὶ Κῦρος αὐτὸς ἀεὶ θεραπευτικῶς ἔγραφε, τὰ μὲν αἰτούμενος παρ' αὐτοῦ, τὰ δὲ Τισαφέρνους ἀντικατηγορῶν, ὡς δὴ πρὸς ἐκεῖνον αὐτῷ ζήλου καὶ ἀγῶνος ὄντος. (2) Ἦν δέ τις καὶ μέλλησις ἐν τῇ φύσει τοῦ βασιλέως, ἐπιείκεια φαινομένη τοῖς πολλοῖς. Ἐν ἀρχῇ δὲ καὶ πάνυ ζηλοῦν ἔδοξε τὴν Ἀρτοξέρξου τοῦ ὁμωνύμου πραότητα ἡδίω τε ἑαυτὸν παρέχων ἐντυγ- b χάνεσθαι καὶ περὶ τὸ τιμᾶν καὶ χαρίζεσθαι τὸ κατ' ἀξίαν ὑπερβάλλων, κολάσεως δὲ πάσης ἀφαιρῶν τὸ ἐφυβρίζον καὶ ἡδόμενον, ἐν δὲ τῷ δέχεσθαι χάριτας οὐχ ἧττον τοῖς διδοῦσιν ἢ τοῖς λαμβάνουσιν ἐν τῷ διδόναι φαινόμενος εὔχαρις καὶ φιλάνθρωπος. Οὐδὲν γὰρ ἦν οὕτως μικρόν τι τῶν διδομένων, ὃ μὴ προσεδέξατο προθύμως, ἀλλὰ καὶ ῥόαν μίαν ὑπερφυῆ μεγέθει προσενέγκαντος Ὠμίσου τινὸς αὐτῷ, « Νὴ τὸν Μίθραν, εἶπεν, οὗτος ὁ ἀνὴρ καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς. »

V. Ἐπεὶ δέ, ἄλλων ἄλλα προσφερόντων καθ' ὁδόν, αὐτουργὸς ἄνθρωπος οὐδὲν ἐπὶ καιροῦ φθάσας εὑρεῖν c τῷ ποταμῷ προσέδραμε καὶ ταῖν χεροῖν ὑπολαβὼν τοῦ ὕδατος προσήνεγκεν, ἡσθεὶς ὁ Ἀρτοξέρξης φιάλην ἔπεμψεν αὐτῷ χρυσῆν καὶ χιλίους δαρεικούς. (2) Εὐκλείδᾳ δὲ τῷ Λάκωνι πολλὰ παρρησιαζομένῳ πρὸς αὐτὸν αὐθαδῶς ἐκέλευσεν εἰπεῖν τὸν χιλίαρχον ὅτι « Σοὶ μὲν ἔξεστιν εἰπεῖν ἃ [βασιλεῖ] βούλει, ἐμοὶ δὲ καὶ λέγειν καὶ ποιεῖν. » (3) Ἐν δὲ θήρᾳ τινὶ Τηριβάζου δείξαντος αὐτῷ τὸν κάνδυν ἐσχισμένον, ἠρώτησεν ὅ τι δεῖ ποιεῖν. Ἐκείνου δὲ εἰπόντος, « Ἄλλον αὐτὸς ἔνδυσαι, τοῦτον δὲ ἐμοὶ δός, » οὕτως ἐποίησεν εἰπών· « Δίδωμι μέν, ὦ Τηρίβαζε, σοὶ τοῦτον, φορεῖν δὲ ἀπαγορεύω. »

non erat adeptus, perceperat. Quo facilius ei fides habebatur Cyrum accusanti, quod is insidiari regi in templo decrevisset, exuentemque se veste adoriri et interficere. (3) Quidam ob hanc criminationem captum fuisse tradunt, alii venisse eum in templum et proditum esse, occultatum a sacerdote. Jam necandum mater ulnis complexa, suisque implicans crinibus, collumque ejus collo suo applicans, multa lamentatione atque deprecatione impetravit ut peccati ejus gratia ipsi fieret, rursusque inde ad maritimas provincias remisit. At vero Cyrus nequaquam isto imperio contentus, neque tam dimissum se quam captum a fratre fuisse memor, animo irritato magis etiam quam ante regni potiundi cupiditate flagrabat.

IV. Inepti sunt qui eum ideo a rege defecisse tradunt, quod non satis sumptuum ad quotidianas cœnas suppeditaret. Quippe absque reliqua fuissent, mater certe sufficiebat, omnia quæ vellet utenda ei et accipienda præbens. Opibus quidem Cyri milites stipendiarii argumento sunt, quos multis in locis occulte amicorum et hospitum opera alebat (ut ait Xenophon), tegens etiamnum institutum suum, ideoque non conducens eos conferto agmine, sed varios hinc inde aliis atque aliis sub prætextibus conquisitores habens. Interim mater regis præsentia sua suspiciones diluebat, et ipse Cyrus, submisse scribens et qua petens a fratre aliquid, qua Tisaphernem recriminans, quasi cum eo sibi contentio esset. (2) Inerat etiam in regis ingenio naturalis quædam lentitudo, quæ vulgo lenitudo putaretur. Atque initio imitari omnino Artoxerxis illius cognominis sui mansuetudinem videbatur, comem se in congressibus præbendo, inque honoribus et beneficiis tribuendis justo profusiorem; a pœnis, si quas irrogaret, omnis aberat contumelia ac delectatio; in accipienda gratia non minus dantibus, quam in danda accipientibus, humanum se et facilem exhibebat. Nihil fuit enim tam vile eorum quæ offerrentur, quod non alacriter acciperet, ut quum Omisus quidam malum punicum mirabili magnitudine ad eum attulisset : Per Mithram, inquit, hic vir urbi parvæ præfectus, videtur eam brevi tempore magnam redacturus.

V. Quum aliquando aliis alia offerentibus in via, operarius homo, qui nihil aliud illo temporis articulo inveniret, ad fluvium accurrens aquam inde haustam manibus ipsi attulisset, delectatus eo, pateram auream et mille daricos dono homini misit. (2) Euclidæ Laconi multa licentius et insolentius in ipsum dicenti tribunum militum dicere jussit, Tibi quidem loqui quæ velis, regi autem dicere et facere quæ vult, licet. (3) Quum ei in venatione Teribazus candyn laceratum esse ostendisset, interrogatusque quid agendum putaret, debere regem alio se induere, lacerum sibi donare diceret, Dono tibi, ait, eum, Teribaze, do, gestare autem prohibeo.

Τοῦ δὲ Τηριβάζου μὴ φροντίσαντος (ἦν γὰρ οὐ πονηρὸς, d ὑπόκουφος δὲ καὶ παράφορος), ἀλλὰ τόν τε κάνδυν εὐθὺς ἐκεῖνον ἐνδύντος καὶ δέραια χρυσᾶ καὶ γυναικεῖα τῶν βασιλικῶν περιθεμένου, πάντες μὲν ἠγανάκτουν, οὐ γὰρ ἐξῆν, ὁ μέντοι βασιλεὺς κατεγέλασε καὶ εἶπε· «Δίδωμί σοι καὶ τὰ χρυσία φορεῖν ὡς γυναικὶ καὶ τὴν στολὴν ὡς μαινομένῳ.» (4) Τραπέζης δὲ τῆς αὐτῆς μηδενὸς μετέχοντος ἀλλ' ἢ μητρὸς βασιλέως ἢ γαμετῆς γυναικὸς, καθεζομένων τῆς μὲν ὑπ' αὐτὸν, τῆς δὲ μητρὸς ὑπὲρ αὐτὸν, Ἀρτοξέρξης καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν, Ὀστάνην καὶ Ὀξάθρην, νεωτέρους ὄντας. Ἐν δὲ τοῖς μάλιστα κεχαρισμένην ὄψιν e παρεῖχε τοῖς Πέρσαις ἡ τῆς γυναικὸς Στατείρας ἁρμάμαξα γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προφερομένη καὶ διδοῦσα ταῖς δημότισιν ἀσπάσασθαι αὐτὴν καὶ προσελθεῖν· ὅθεν ἠγαπᾶτο τοῖς πολλοῖς ἡ βασίλεια.

VI. Τὸν μέντοι Κῦρον οἱ νεωτερισταὶ καὶ πολυπράγμονες ὡς λαμπρὸν ἄνδρα τῇ ψυχῇ καὶ πολεμικὸν διαφερόντως καὶ φιλέταιρον ᾤοντο τὰ πράγματα ποθεῖν καὶ τὸ μέγεθος τῆς ἡγεμονίας βασιλέως δεῖσθαι φρόνημα καὶ φιλοτιμίαν ἔχοντος. Οὐχ ἧττον οὖν τοῖς ἄνω πιστεύων ὁ Κῦρος ἢ τοῖς περὶ αὐτὸν ἐπεχείρει τῷ πολέμῳ· καὶ Λακεδαιμονίοις ἔγραφε παρακαλῶν βοηθεῖν f καὶ συνεκπέμπειν ἄνδρας, οἷς ἔφη δώσειν, ἂν μὲν πεζοὶ παρῶσιν, ἵππους, ἂν δὲ ἱππεῖς, συνωρίδας· ἐὰν δ' ἀγροὺς ἔχωσι, κώμας· ἐὰν δὲ κώμας, πόλεις· μισθοῦ δὲ τοῖς στρατευομένοις οὐκ ἀριθμὸν, ἀλλὰ μέτρον ἔσεσθαι. (2) Μεγαληγορῶν δὲ περὶ αὐτοῦ πολλὰ, καὶ καρδίαν
1014 ἔφη τοῦ ἀδελφοῦ φορεῖν βαρυτέραν, καὶ φιλοσοφεῖν a μᾶλλον καὶ μαγεύειν βέλτιον, οἶνον δὲ πλείονα πίνειν καὶ φέρειν· ἐκεῖνον δὲ ὑπὸ δειλίας καὶ μαλακίας ἐν μὲν τοῖς κυνηγεσίοις μηδὲ ἐφ' ἵππου, ἐν δὲ τοῖς κινδύνοις μηδὲ ἐπὶ τοῦ θρόνου καθῆσθαι. Λακεδαιμόνιοι μὲν οὖν σκυτάλην πρὸς Κλέαρχον ἀπέστειλαν ὑπηρετεῖν Κύρῳ πάντα κελεύοντες. (3) Ὁ δὲ Κῦρος ἀνέβαινεν ἐπὶ βασιλέα βαρβαρικήν τε πολλὴν ἔχων δύναμιν καὶ μισθοφόρους Ἕλληνας ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας, ἄλλας ἐπ' ἄλλαις ποιούμενος προφάσεις τῆς στρατείας. Οὐ μὴν ἔλαθέ γε εἰς πολὺν χρόνον, ἀλλ' ἧκε βασιλεῖ Τισαφέρνης αὐτάγγελος· καὶ πολὺς θόρυβος εἶχε τὰ βασίλεια τῆς τε Παρυσάτιδος τὴν πλείστην αἰτίαν τοῦ πολέμου b φερομένης καὶ τῶν φίλων αὐτῆς ἐν ὑποψίαις ὄντων καὶ διαβολαῖς. (4) Μάλιστα δὲ ἠνία τὴν Παρύσατιν ἡ Στάτειρα τῷ πολέμῳ περιπαθοῦσα καὶ βοῶσα· «Ποῦ νῦν αἱ πίστεις ἐκεῖναι; ποῦ δὲ αἱ δεήσεις, αἷς ἐξελομένη τὸν ἐπιβουλεύσαντα τῷ ἀδελφῷ πολέμου καὶ κακῶν ἐμπέπληκας ἡμᾶς;» Ἐκ δὴ τούτων μισοῦσα τὴν Στάτειραν ἡ Παρύσατις καὶ φύσει βαρύθυμος οὖσα καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις ἐπεβούλευεν αὐτὴν ἀνελεῖν. (5) Ἐπεὶ δὲ Δείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, Κτησίας δὲ ὕστερον, ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκός c ἐστι παρόντα ταῖς πράξεσιν οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον, ὡς ἐπράχθη διηγού-

quumque id dictum non observaret Teribazus (erat vero non malus homo, verum levis nonnihil et non satis compos rationis), sed statim candy amictus, aurea etiam ornamenta, qualia mulieres gestare solent, sibi appenderet: universis indignantibus (neque enim fas erat), ridens Artoxerxes, Concedo, inquit, tibi, Teribaze, et aureum mundum ut mulieri, et candyn ut insano. (4) Quum ad mensam regis Persarum nemo soleret adhiberi præter matrem ejus et uxorem, quarum hæc infra regem, illa supra assideret, Artoxerxes etiam duos minores natu fratres Ostanem et Oxathrem mensæ suæ adjunxit. Gratissimus omnium conspectus Persis fuit vehiculi Statiræ reginæ, quod semper velis detractis in publicum progrediebatur et feminis popularibus eam accedendi et salutandi faciebat copiam. Hinc multitudini grata erat regina.

VI. Verum homines inquieti et novarum rerum avidi Cyrum, utpote virum magnanimum bellicosumque apprime et amicorum studiosum, desiderari ab ipso rerum statu et mole imperii ferebant, regem elato animo gloriæque cupiditate præditum requirentis. Itaque Cyrus tam in superiorum regionum quam suarum hominum animis fiduciam collocans bellum suscepit; et ad Spartanos scripsit auxilia ab iis virosque petens, iisque pollicitus est se, si pedites venissent, equos, si equites, bigas, si agros possiderent, pagos, si pagos, urbes largiturum, ac stipendium militibus non numero, sed mensura distributurum. (2) Multa etiam alia de se magnifice prædicans, prudentiorem quoque se quam fratrem esse ferebat philosophicisque et magicis studiis ei anteire, plus etiam vini bibere se et ferre posse, eum præ timiditate et mollitie neque venationibus in equo, neque periculosis rebus in solio sedere posse. Spartani Clearchum scytala missa jussere Cyro omnibus in rebus inservire (3) Expeditionem Cyrus adversus fratrem fecit, ingentibus cum barbarorum copiis et Græcis militibus stipendiariis, quorum in exercitu ejus prope tredecim erant millia, expeditioni autem modo hanc, modo aliam prætendebat causam. Sed latere diutius propositum ejus nequivit, et ipse Tisaphernes nuntius eorum quæ agebantur ad regem venit. Magnus proinde in regia tumultus exstitit, quum omnis fere belli culpa in Parysatidem conferretur et amici ejus suspicionibus essent calumniisque expositi. (4) Præcipue eam Statira vexabat, gravissime id bellum ferens ac vociferans: Ubi nunc fides data? ubi preces, quibus insidiantem fratri Cyrum eripuisti supplicio, belloque nos et calamitatibus implicasti? Exinde exosa Statiram Parysatis, ingenio mulier iracundo barbaricæque in exsatianda ira et vindicandis offensis pertinaciæ, vitæ ejus insidias struxit. (5) Et Dinon quidem ipso in bello rem ab ea confectam scribit, Ctesias peracto jam bello, quem quidem, quum rebus ipsis interfuerit, ignorasse tempus credibile non est, neque causa fuit cur ultro in aliud tempus eam rem, quam ita uti gesta est re-

μενος, οἷα πάσχει πολλάκις ὁ λόγος αὐτοῦ πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐκτρεπόμενος τῆς ἀληθείας, τοῦτο μὲν ἣν ἐκεῖνος ἀπέδωκε χώραν ἕξει.

VII. Κύρῳ δὲ προσιόντι φῆμαι καὶ λόγοι προσέπιπτον, ὡς οὐ μάχεσθαι βασιλέως εὐθὺς ἐγνωκότος οὐδὲ συνδραμεῖν εἰς χεῖρας αὐτῷ σπεύδοντος, ἀλλ' ἐν Πέρσαις ὑπομένειν, ἄχρι ἂν αἱ δυνάμεις ἐκεῖ πανταχόθεν συνέλθωσι. Καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα καὶ βάθος ἴσων ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε· καὶ ταύτης τε περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα καὶ d
Βαβυλῶνος αὐτῆς οὐ μακρὰν γενόμενον. Τηριβάζου δὲ, ὥς φασι, πρώτου τολμήσαντος εἰπεῖν, ὡς οὐ δεῖ φυγομαχεῖν οὐδὲ Μηδίας ἐκστάντα καὶ Βαβυλῶνος ἅμα καὶ Σούσων ἐνδύεσθαι τῇ Περσίδι, πολλαπλασίαν μὲν ἔχοντα δύναμιν τῶν πολεμίων, μυρίους δὲ σατράπας καὶ στρατηγοὺς Κύρου καὶ φρονεῖν καὶ μάχεσθαι βελτίονας, ὥρμησε διαγωνίσασθαι τὴν ταχίστην. (2) Καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς ἐνενήκοντα μυριάσι στρατοῦ διακεκοσμημέναις λαμπρῶς τοὺς πολεμίους ἀσυντάκτους καὶ ἀνόπλους διὰ τὸ θαῤῥεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν e
θορύβῳ καὶ βοῇ πολλῇ μόλις εἰς τάξιν κατασταθῆναι τὸν Κῦρον· ἔπειτα σιγῇ καὶ σχέδην ἐπάγων θαῦμα τοῖς Ἕλλησι τῆς εὐταξίας παρεῖχε κραυγὰς ἀτάκτους καὶ σκιρτήματα καὶ πολὺν τάραχον αὐτῶν καὶ διασπασμὸν ἐν πλήθει τοσούτῳ προσδεχομένοις. Εὖ δὲ καὶ κατὰ τοὺς Ἕλληνας ἀντέταξε τῶν δρεπανηφόρων τὰ ῥωμαλεώτατα πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς πρὶν ἐν χερσὶ γενέσθαι διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως.

VIII. Τὴν δὲ μάχην ἐκείνην πολλῶν μὲν ἀπηγγελκότων, Ξενοφῶντος δὲ μονονουχὶ δεικνύοντος ὄψει f
καὶ τοῖς πράγμασιν ὡς οὐ γεγενημένοις, ἀλλὰ γινομένοις, ἐφιστάντος ἀεὶ τὸν ἀκροατὴν ἐμπαθῆ καὶ συγκινδυνεύοντα διὰ τὴν ἐνάργειαν, οὐκ ἔστι νοῦν ἔχοντος ἐπεξηγεῖσθαι, πλὴν ὅσα τῶν ἀξίων λόγου παρῆλθεν εἰπεῖν ἐκεῖνον. (2) Ὁ μὲν οὖν τόπος, ἐν ᾧ παρετάξαντο,
1015 Κούναξα καλεῖται καὶ Βαβυλῶνος ἀπέχει σταδίους πεν- a
τακοσίους. Κῦρον δὲ πρὸ τῆς μάχης Κλεάρχου παρακαλοῦντος ἐξόπισθεν τῶν μαχομένων εἶναι καὶ μὴ κινδυνεύειν αὐτὸν, εἰπεῖν φασι· « Τί λέγεις, ὦ Κλέαρχε; σὺ κελεύεις με τὸν βασιλείας ὀρεγόμενον ἀνάξιον εἶναι βασιλείας; » (3) Ἁμαρτόντος δὲ Κύρου μέγα τῷ δῦναι προπετῶς εἰς μέσα τὰ δεινὰ καὶ μὴ φυλάξασθαι τὸν κίνδυνον, οὐχ ἧττον ἥμαρτεν, εἰ μὴ καὶ μᾶλλον, Κλέαρχος ἀντιτάξαι κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς Ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιὸν, ὡς μὴ κυκλωθείη. Τὴν γὰρ ἀσφάλειαν ἐξ ἅπαντος διώκοντα καὶ πλεῖστον λόγον ἔχοντα τοῦ μηδὲν παθεῖν οἴκοι μένειν ἦν κράτιστον. Ὁ δὲ μυρίους σταδίους ἀπὸ θα- b
λάσσης ἐν ὅπλοις ἀναβεβηκὼς μηδενὸς ἀναγκάζοντος, ἀλλ' ὅπως Κῦρον εἰς τὸν θρόνον καθίσῃ τὸν βασίλειον, εἶτα περισκοπῶν χώραν καὶ τάξιν, οὐκ ἀφ' ἧς σώσειε τὸν ἡγεμόνα καὶ μισθοδότην, ἀλλ' ἐν τίνι θέμενος ἑαυτὸν ἀσφαλῶς μαχεῖται καθ' ἡσυχίαν, ὅμοιος ἦν ὑπὸ

tulit, rejiceret; nam alioquin sæpe oratio ejus a veritate ad fabulas et scenica figmenta deflectit. Igitur eam rem eo loco, quem Ctesias assignavit, narrabo.

VII. Adventanti Cyro rumores allati sunt, statuisse regem non statim pugnare, neque manum cum ipso conferre properare, sed in Perside manere, dum eo omnes copiæ con venirent. Et quidem passus erat Cyrum ultra fossam, quam decem ulnas latam, totidemque altam per planitiem ad quadringenta stadia egerat, transire et prope Babylonem usque progredi. Teribazo ferunt primo omnium auso dicere, non esse reformidandam pugnam, neque Media simul et Babylone et Susis cedendo in Persidem subterfugiendum, habere enim regem longe majores hostilibus copias plurimosque satrapas et duces, qui prudentia et pugnandi peritia Cyro anteirent; ita demum regem statuisse quam primum prœlio decernere. (2) Ut primum in conspectum hostibus venit cum nongentorum millium exercitu pulcherrime exornato et instructo, eos confuso et inermi agmine præ confidentia et contemptione regis incedentes perterruit ac conturbavit, ita quidem, ut magna cum trepidatione et clamore ægre suos in ordinem composuerit Cyrus. Deinde tacite et lento gradu suos in hostem ducentem admirati sunt Græci, quod in eo exercitu tam elegans servaretur ordo, quum illi tantam multitudinem incomposito clamore saltibusque et magno cum tumultu ac dissipatione accessurum putassent. Id quoque ab eo bene institutum, quod ante suam phalangem Græcæ aciei opposuit falcatorum curruum robustissimum quemque, ut nimirum, priusquam manus consererentur, vi impetus eorum Græcos ordines dissiparet.

VIII. Quum eam pugnam et retulerint multi et Xenophon tantum non ob oculos posuerit, auditoremqne non ut gestis olim adhibeat, sed quasi in re præsenti constituat, ac narrationis perspicuitate ita afficiat ac si ipse rerum particeps prœlii fortunam subiret, non est cordati hominis recensere, nisi quæ ille memoratu digna præteriit. (2) Locus pugnæ Cunaxa dicitur; abest Babylone stadia quingenta. Cyrum, quum ante pugnam Clearchus hortaretur ut se post pugnantium aciem contineret neque in discrimen pugnæ daret, respondisse ferunt: Quid ais, Clearche? tu me regni appetentem regno me indignum gerere jubes? (3) Sane in eo vehementer peccatum est a Cyro, quod temere in medium se periculum conjecit, neque sibi ab eo cavit. Sed si non gravius, non levius profecto est Clearchi peccatum, qui adversos regi constituere Græcos noluit, sed dextrum cornu ad amnem applicuit, ne circumveniretur. Ei enim qui quod tutum sit ubique consectatur, neque magis quicquam curat, quam ne quid incommodi patiatur, nihil erat consultius, quam domi residere. Qui vero in armis a mari in superiores regiones per decem stadiorum millia profectus esset nulla actus necessitate, sed tantum in solio regio collocandi Cyri causa, atque is deinde circumspiceret locum et stationem, non unde salutem duci suo et stipendium præbenti ferret, sed unde ipse quam minimo periculo per

δέους τῶν παρόντων ἐκβεβληκότι τοὺς περὶ τῶν ὅλων λογισμοὺς καὶ προϊεμένῳ τὴν τῆς στρατείας ὑπόθεσιν. (4) Ὅτι γὰρ οὐδεὶς ἂν ὑπέμεινε τῶν τεταγμένων περὶ βασιλέα τοὺς Ἕλληνας ἐμπεσόντας, ὠσθέντων δ' ἐκείνων καὶ βασιλέως φεύγοντος ἢ πεσόντος ὑπῆρχε Κύρῳ νικῶντι σώζεσθαι καὶ βασιλεύειν, ἐκ τῶν πεπραγμένων δῆλόν ἐστι. c Διὸ τὴν Κλεάρχου μᾶλλον εὐλάβειαν ἢ τὸ τοῦ Κύρου θράσος αἰτιατέον ὡς τὰ πράγματα καὶ Κῦρον ἀπολέσασαν. Εἰ γὰρ αὐτὸς ἐσκόπει βασιλεὺς, ὅπου τάξας τοὺς Ἕλληνας ἀβλαβεστάτοις χρήσεται πολεμίοις, οὐκ ἂν ἑτέραν ἐξεῦρεν ἢ τὴν ἀπωτάτω χώραν ἑαυτοῦ καὶ τῶν περὶ ἑαυτὸν, ἀφ' ἧς οὔτε νικηθεὶς αὐτὸς ᾔσθετο καὶ Κῦρος ἔφθη κατακοπεὶς ἢ χρησάμενός τι τῇ Κλεάρχου νίκῃ. Καίτοι Κῦρος τὸ συμφέρον οὐκ ἠγνόησεν, ἀλλ' ἐκεῖ Κλέαρχον ἐκέλευε τάττεσθαι κατὰ μέσον. Ὁ δ' αὐτῷ μέλειν εἰπὼν ὅπως ἕξει κάλλιστα, τὸ πᾶν d διέφθειρεν.

IX. Οἱ μὲν γὰρ Ἕλληνες ὅσον ἐβούλοντο τοὺς βαρβάρους ἐνίκων καὶ διώκοντες ἐπὶ πλεῖστον προῆλθον· Κύρῳ δὲ γενναῖον ἵππον, ἄστομον δὲ καὶ ὑβριστὴν ἐλαύνοντι Πασακᾶν καλούμενον, ὡς Κτησίας φησὶν, ἀντεξήλασεν ὁ Καδουσίων ἄρχων Ἀρταγέρσης μέγα βοῶν· « Ὦ τὸ κάλλιστον ἐν Πέρσαις ὄνομα Κύρου καταισχύνων, ἀδικώτατε ἀνδρῶν καὶ ἀφρονέστατε, κακοὺς μὲν Ἕλληνας ἔρχῃ κακὴν ὁδὸν ἄγων ἐπὶ τὰ Περσῶν ἀγαθὰ, δεσπότην δὲ σεαυτοῦ καὶ ἀδελφὸν ἐλπίζων ἀναιρήσειν, ὃς σοῦ μυριάκις μυρίους δούλους ἔχει κρείσσονας. Αὐτίκα δὲ πειράσῃ· πρότερον γὰρ ἀπολεῖς ἐνταῦθα τὴν σεαυτοῦ κεφαλὴν ἢ θεάσασθαι τὸ βασιλέως πρόσωπον. » e Ταῦτα εἰπὼν ἐξηκόντισεν ἐπ' αὐτόν. Ὁ δὲ θώραξ στερεῶς ἀντέσχε, καὶ οὐκ ἐτρώθη μὲν ὁ Κῦρος, ἐκραδάνθη δὲ, τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης. Ἀποστρέψαντος δὲ τὸν ἵππον τοῦ Ἀρταγέρσου βαλὼν ὁ Κῦρος ἔτυχε καὶ διήλασε παρὰ τὴν κλεῖδα διὰ τοῦ τραχήλου τὴν αἰχμήν. (2) Τὸν μὲν οὖν Ἀρταγέρσην ἀποθανεῖν ὑπὸ τοῦ Κύρου σχεδὸν ἅπαντες ὁμολογοῦσι· περὶ δὲ τῆς αὐτοῦ Κύρου τελευτῆς ἐπεὶ Ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτὸς, εἶπεν, οὐδὲν ἴσως κωλύει τὰ Δείνωνος ἰδίᾳ καὶ πάλιν τὰ Κτησίου διελθεῖν.

X. Φησὶν οὖν ὁ μὲν Δείνων, ὅτι τοῦ Ἀρταγέρσου f πεσόντος, εἰσελάσας βιαίως ὁ Κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως κατέτρωσεν αὐτοῦ τὸν ἵππον, ὁ δὲ ἀπερρύη· Τηριβάζου δὲ ἀναβαλόντος αὐτὸν ἐπ' ἄλλον 1016 ἵππον ταχὺ καὶ εἰπόντος, αὐτῷ, « Ὦ βασιλεῦ, μέμνησο a τῆς ἡμέρας ταύτης· οὐ γὰρ ἀξία λήθης ἐστί· » πάλιν ὁ Κῦρος ἐνσείσας τῷ ἵππῳ κατέβαλε τὸν Ἀρτοξέρξην. Πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσανασχετήσας ὁ βασιλεὺς καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιόν ἐστι μὴ ζῆν, ἀντεξήλαυνε τῷ Κύρῳ προπετῶς καὶ ἀπερισκέπτως εἰς ἐναντία βέλη φερομένῳ· καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ, βάλλουσι δὲ οἱ περὶ αὐτόν. (2) Πίπτει δ' ὁ Κῦρος, ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως, ὡς δὲ ἕτεροί τινες, Καρὸς ἀνθρώπου πατάξαντος, ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς

otium pugnaret: videtur ille quidem mihi metu præsentis periculi consiliis de summa rerum initis excussus, expeditionis finem projecisse. (4) Eventus enim prœlii ejus docuit, neminem eorum, qui cum rege erant, impressionem Græcorum substiturum, porro autem illis pulsis et rege vel fugiente vel cæso, Cyrum incolumem victoria et regno potiturum fuisse. Non ergo tam Cyri audacia, quam Clearchi timiditas culpanda est, quæ rem totam Cyrumque perdidit. Nam si ipse Artoxerxes deliberare debuisset, quonam loco Græcos vellet constitui, ut ab iis quam minime sibi noceri posset, non profecto commodiorem sibi locum invenisset, quam qui longissime a se et exercitu suo distaret; itaque neque sensit ille se a Græcis victum et Cyrus prius occisus est, quam ullum Clearchianæ victoriæ fructum sentiret. Et quidem Cyrum, quid ex usu esset, non fefellit, ac jussit Clearchum in mediam ibi aciem suos collocare. Is autem respondens curaturum se ut optime cuncta fierent, exitio rebus fuit.

IX. Græci enim, quantum voluerunt, barbaros vicerunt, iisque persequendis longe progressi sunt: Cyro autem, qui generoso equo, ceterum fræni impatiente et feroce vehebatur (nomen equi Pasacam Ctesias perhibet), Cadusiorum præfectus Artagerses obvium se tulit, magna voce clamans: O injustissime virorum atque imprudentissime, qui honestissimum apud Persas nomen Cyri dedecoras, malos Græcos malo itinere ad Persarum bona occupanda adducis, cædem domini et fratris tui molitus, qui innumeros habet te præstantiores servos. Quod mox senties: prius enim hic caput tuum amittes, quam regis faciem contuearis. Ita vociferatus, simul jaculum in Cyrum contorsit. Thorax ictum sustinuit, neque vulneratus est tum, sed ictus vehementia concussus intremuit. Et avertente equum Artagersa, conjiciens jaculum, juxta claviculam hastæ cuspidem per collum transadegit. (2) Omnium fere ore occisus a Cyro Artagerses traditur; de Cyri autem interitu, quoniam Xenophon, ut qui non interfuerit, tenuiter et concise narrat, haud abs re esse puto, si quæ Dinon seorsum, inde quæ Ctesias de eo tradunt, perstringam.

X. Dinon ita refert. Artagersa dejecto, Cyrus magno impetu in eos qui ante regem erant collocati invectus regis equum vulneravit; regem delapsum Teribazus celeriter in alium equum imposuit, dicens: Memento, o rex, hujus diei; non enim dignus est cujus obliviscaris. Rursum Cyrus impetu in equum facto, Artoxerxem dejecit. Ad tertium insultum non perferens indignationem rex et ad suos dicens: Satius esse mori, obviam se Cyro proripuit, temere se et incaute adversis telis inferenti, eumque quum ipse jaculo, tum reliqui petunt. (2) Cadit ibi Cyrus, ictus a rege ipso, ut quidam perhibent, ut alii, a Care quodam, cui præmii

ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατείαις κομίζειν. Καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας b ἀλεκτρυόνας οἱ Πέρσαι διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

XI. Ἡ δὲ Κτησίου διήγησις, ὡς ἐπιτεμόντι πολλὰ συντόμως ἀπαγγεῖλαι, τοιαύτη τις ἐστί. Κῦρος ἀποκτείνας Ἀρταγέρσην ἤλαυνεν εἰς αὐτὸν βασιλέα τὸν ἵππον καὶ αὐτὸς εἰς ἐκεῖνον, ἀμφότεροι σιωπῇ. Φθάνει δὲ βάλλων Ἀριαῖος ὁ Κύρου φίλος βασιλέα, καὶ οὐκ ἔτρωσε. Βασιλεὺς δὲ ἀφεὶς τὸ δόρυ Κύρου μὲν οὐκ ἔτυχε, Σατιφέρνην δὲ, πιστὸν ἄνδρα Κύρῳ καὶ γενναῖον, ἔβαλε καὶ κατέκτεινε. Κῦρος δ' ἐπ' αὐτὸν ἐξακοντίσας διὰ τοῦ θώρακος ἔτρωσε τὸ στῆθος, ὅσον ἐνδῦναι δύο δακτύλους c τὸ ἀκόντιον, πεσεῖν δὲ αὐτὸν ὑπὸ τῆς πληγῆς ἀπὸ τοῦ ἵππου, φυγῆς δὲ καὶ ταραχῆς τῶν περὶ αὐτὸν γενομένης, ὁ μὲν ἀναστὰς μετ' ὀλίγων, ἐν οἷς καὶ Κτησίας ἦν, λόφον τινὰ πλησίον καταλαβὼν ἡσύχαζε. Κῦρον δὲ τοῖς πολεμίοις ἐνειλούμενον ὁ ἵππος ἐξέφερεν ὑπὸ θυμοῦ μακρὰν ἤδη σκότους ὄντος, ἀγνοούμενον ὑπὸ τῶν πολεμίων καὶ ζητούμενον ὑπὸ τῶν φίλων. Ἐπαιρόμενος δὲ τῇ νίκῃ καὶ μεστὸς ὢν ὀργῆς καὶ θράσους, διεξήλαυνε βοῶν· « Ἐξίστασθε, πενιχροί. » (2) Τοῦτο δὲ Περσιστὶ πολλάκις αὐτοῦ βοῶντος, οἱ μὲν ἐξίσταντο προσκυνοῦντες, ἀποπίπτει δὲ τῆς κεφαλῆς ἡ τιάρα τοῦ Κύρου καὶ παρατρέχων νεανίας Πέρσης ὄνομα Μιθριδάτης ἀκοντίῳ d βάλλει τὸν κρόταφον αὐτοῦ παρὰ τὸν ὀφθαλμὸν, ἀγνοῶν ὅστις εἴη. Πολὺ δὲ αἷμα τοῦ τραύματος ἐκβαλόντος, ἰλιγγιάσας καὶ καρωθεὶς ὁ Κῦρος ἔπεσε. Καὶ ὁ μὲν ἵππος ὑπεκφυγὼν ἐπλάζετο· τὸν δ' ἐφίππειον πῖλον ἀποῤῥυέντα λαμβάνει τοῦ τὸν Κῦρον βαλόντος ἀκόλουθος αἵματος περίπλεω. (3) Τὸν δὲ Κῦρον ἐκ τῆς πληγῆς ἀναφέροντα χαλεπῶς καὶ μόλις εὐνοῦχοί τινες ὀλίγοι παρόντες ἐπεχείρουν ἐπ' ἄλλον ἵππον ἀναθέσθαι καὶ σώζειν. Ἀδυνάτως δ' ἔχοντα καὶ δι' αὑτοῦ προθυμούμενον βαδίζειν ὑπολαβόντες ἦγον, τῷ μὲν σώματι καρηβαροῦντα καὶ σφαλλόμενον, οἰόμενον δὲ νικᾶν, ἀκούοντα e τῶν φευγόντων ἀνακαλουμένων Κῦρον βασιλέα καὶ φείδεσθαι δεομένων. (4) Ἐν δὲ τούτῳ Καύνιοί τινες ἄνθρωποι κακόβιοι καὶ ἄποροι καὶ ταπεινῶν ὑπουργημάτων ἕνεκα τῇ τοῦ βασιλέως στρατιᾷ παρακολουθοῦντες ἔτυχον συναναμιχθέντες ὡς φίλοις τοῖς περὶ τὸν Κῦρον. Ὡς δὲ μόλις συνεῖδον τὰ ἐπιθωρακίδια φοινικᾶ, λευκοῖς χρωμένων τῶν βασιλικῶν ἁπάντων, ἔγνωσαν πολεμίους ὄντας. Εἷς οὖν ἐκείνων ἐτόλμησεν ἀγνοῶν ἐξόπισθεν βαλεῖν τὸν Κῦρον ἀκοντίῳ. Τῆς δὲ περὶ τὴν ἰγνύαν φλεβὸς ἀναῤῥαγείσης, πεσὼν ὁ Κῦρος ἅμα παίει πρός f τινι λίθῳ τὸν τετρωμένον κρόταφον καὶ ἀποθνήσκει. Τοιοῦτος μὲν ὁ Κτησίου λόγος, ᾧ καθάπερ ἀμβλεῖ ξιφιδίῳ μόλις ἀναιρῶν τὸν ἄνθρωπον ἀνῄρηκεν.

XII. Ἤδη δὲ αὐτοῦ τεθνηκότος, Ἀρτασύρας ὁ βασιλέως ὀφθαλμὸς ἔτυχεν ἵππῳ παρεξελαύνων. Γνωρίσας οὖν τοὺς εὐνούχους ὀλοφυρομένους, ἠρώτησε τὸν πιστό-
1017 τατον αὐτῶν· « Τίνα τοῦτον, ὦ Παρίσκα, κλαίεις παρακαθήμενος; » Ὁ δ' εἶπεν· « Οὐχ ὁρᾷς, ὦ Ἀρτασύρα, a

hujus facinoris loco rex dederit, ut in bello semper aureum gallum hastæ impositum ante aciem gestaret. Nam Cares ipsi etiam galli a Persis appellabantur, propter cristas, quibus galeas exornabant.

XI. Ctesiæ narratio, ut in pauca verba conferam, talis est. Interfecto Artagersa, Cyrus equum adversus regem incitat, isque ei occurrit, tacitus uterque. Prior Ariæus, Cyri amicus, in regem jaculum conjicit, neque tamen sauciat. Rex, conjecta hasta, a Cyro quidem aberrat, Satiphernem tamen, generosum virum et Cyro fidum, percutit et exanimat. Cyrus, in ipsum regem jaculo emisso, per thoracem pectus ejus vulnerat, ita ut ad duorum digitorum altitudinem telum adigeretur, et rex eo ictu equo dejiceretur, isque et fuga et trepidatione circa ipsum orta surgens, cum paucis, in quibus ipse etiam Ctesias fuit, tumulum quendam occupat et in eo quiescit, Cyrum autem hostibus implicatum equus ferox procul provexit, jam tenebris ingruentibus, ignotum hostibus, et ab amicis quæsitum. Elatus autem victoria, plenusque ferociæ per medios ferebatur, vociferans : Cedite, viles homines. (2) Hoc sæpius Persica voce inclamanti jam multi via decedebant, et adorabant; tiara autem capite ejus delapsa, juvenis quidam Persa, Mithridates nomine, inscius qui sit jaculo tempus ipsius juxta oculum verberat. Eo ex vulnere quum multum sanguinis proflueret, vertigine et sopore occupatus Cyrus equo devolvitur. Equus profugus oberravit, stratum equi delapsum ac sanguine oppletum ejus qui vulneraverat Cyrum comes accepit. (3) Ægre autem ab ictu ad se redeuntem Cyrum eunuchi qui aderant pauci in alium equum imponere et servare intenderunt; quumque ad id virium satis non habere pedibusque incedere conaretur, manibus suis sublevatum duxerunt, titubantem corpore caputque demittentem, victoria tamen potitum se arbitrantem, quod fugientes Cyrum nomine vocare et sibi ut parceret orare audiebat. (4) Interim Caunii quidam extremæ sortis homines et egeni, ac qui abjectorum ministeriorum causa castra regis secuti erant, comitatui Cyri veluti amicis se admiscuerant. Hi quum vix tandem conspexissent saga, quæ thoracibus superinduntur, punicea (nam regii omnes albis utebantur), cum hostibus se versari senserunt, et unus eorum ausus est a tergo Cyrum, ignotum sibi, jaculo petere. Is ictus Cyri venam in poplite rupit, atque inter cadendum Cyrus saxo tempus sauciatum allidens moritur. Hujusmodi est Ctesiæ narratio, qua quasi hebeti mucrone vix conficiens Cyrum confecit tandem.

XII. Jam mortuo Cyro, Artasyras regis speculator, equo ibi forte prætervectus, quum eunuchorum lamentationem sentiret, eum cujus præcipua fides erat, sic percontatur : Quisnam est iste, o Parisca, quem assidens defles? Tum ille : Non cernis, o Artasyra, defunctum vita Cyrum? Miratus

λούμνιον, Ἐκπέποται, εἶπεν, ἀλλ' ἕτερον ὑμῖν κομισθήσεται.» Πεμφθεὶς δ' ὁ αὐτὸς ἐκινδύνευσεν ὑπὸ τῶν πολεμίων ἁλῶναι καὶ μόλις ἐσώθη τετρωμένος. (2) Εἰκάζοντι δὲ αὐτῷ μὴ πολλοὺς ἐν τῇ μάχῃ τεθνάναι Στατύλλιος ὑπέστη διὰ τῶν πολεμίων ἐκπαισάμενος (ἄλλως γὰρ οὐκ ἦν) κατόψεσθαι τὸ στρατόπεδον καὶ πυρσὸν ἄρας, ἄνπερ εὕρῃ τἀκεῖ σωζόμενα, πάλιν ἀφίξεσθαι πρὸς αὐτόν. Ὁ μὲν οὖν πυρσὸς ἤρθη, τοῦ Στατυλλίου παρελθόντος εἰς τὸ στρατόπεδον, ὡς δ' οὐκέτ' ἐπανῄει χρόνῳ πολλῷ, Βροῦτος εἶπεν· «Ἂν ζῇ Στατύλλιος, ἀφίξεται.» Συνέβη δ' αὐτὸν ἐπανερχόμενον ἐμπε- e σεῖν εἰς τοὺς πολεμίους καὶ διαφθαρῆναι.

LII. Προϊούσης δὲ τῆς νυκτὸς ἀποκλίνας, ὡς ἔτυχε καθεζόμενος, πρὸς οἰκέτην ἑαυτοῦ Κλεῖτον ἐλάλει. Σιωπῶντος δὲ τοῦ Κλείτου καὶ δακρύοντος, αὖθις ἐπισπασάμενος τὸν ὑπασπιστὴν Δάρδανον, ἰδίᾳ τινὰς αὐτῷ προσέφερε λόγους. Τέλος δὲ τὸν Βολούμνιον αὐτὸν Ἑλληνιστὶ τῶν λόγων καὶ τῆς ἀσκήσεως ὑπεμίμνησκε· καὶ παρεκάλει τῇ χειρὶ συνεφάψασθαι τοῦ ξίφους αὐτῷ καὶ συνεπερεῖσαι τὴν πληγήν. (2) Τοῦ δὲ Βολουμνίου διωσαμένου καὶ τῶν ἄλλων ὁμοίως ἐχόντων, εἰπόντος δέ τινος, ὡς δεῖ μὴ μένειν, ἀλλὰ φεύγειν, ἐξαναστάς, Πάνυ μὲν οὖν, ἔφη, φευκτέον, ἀλλ' οὐ διὰ τῶν ποδῶν, ἀλλὰ f διὰ τῶν χειρῶν.» Ἐμβαλὼν δὲ τὴν δεξιὰν ἑκάστῳ μάλα φαιδρός, ἥδεσθαι μὲν ἔφη μεγάλην ἡδονήν, ὅτι τῶν φίλων αὐτὸν οὐδεὶς ἐψεύσατο, τῇ τύχῃ δ' ἐγκαλεῖν ὑπὲρ τῆς πατρίδος· ἑαυτὸν δὲ τῶν νενικηκότων μακαριώτερον 1009 νομίζειν, οὐκ ἐχθὲς οὐδὲ πρώην μόνον, ἀλλὰ καὶ νῦν a ἀπολείποντα δόξαν ἀρετῆς, ἣν οὔθ' ὅπλοις οὔτε χρήμασιν ἀπαλείψουσιν οἱ κεκρατηκότες, ὡς μὴ δοκεῖν, ὅτι δικαίους ἄνδρας ἄδικοι καὶ κακοὶ χρηστοὺς ἀπολέσαντες οὐ προσηκόντως ἄρχουσι. (3) Δεηθεὶς δὲ καὶ παρακαλέσας σώζειν ἑαυτούς, ἀνεχώρησεν ἀπωτέρω μετὰ δυεῖν ἢ τριῶν, ἐν οἷς ἦν καὶ Στράτων ὁ ἀπὸ λόγων ῥητορικῶν γεγονὼς αὐτῷ συνήθης. Καὶ τοῦτον ἔγγιστα παραστησάμενος ἑαυτῷ καὶ τὸ ξίφος γυμνὸν ἐπὶ τῆς λαβῆς ταῖς χερσὶν ἀμφοτέραις ἐρείσας καὶ περιπεσὼν ἐτελεύτησεν. Οἱ δέ φασιν οὐκ αὐτόν, ἀλλὰ τὸν Στράτωνα, πολλὰ πάνυ τοῦ Βρούτου δεηθέντος, ἀποστρέψαντα τὴν ὄψιν ὑποστῆσαι τὸ ξίφος· ἐκεῖνον δὲ ῥύμῃ b προσβαλόντα τὸ στέρνον καὶ διώσαντα συντόμως ἀποθανεῖν.

LIII. Τοῦτον δὲ τὸν Στράτωνα Μεσσάλας, ἑταῖρος ὢν Βρούτῳ, Καίσαρι διαλλαγεὶς ἐπὶ σχολῆς ποτε προσήγαγε καὶ δακρύσας εἶπεν, «Οὗτός ἐστιν, ὦ Καῖσαρ, ὁ ἀνήρ, ὁ τῷ ἐμῷ Βρούτῳ τὴν τελευταίαν ὑπουργήσας χάριν.» Ἀποδεξάμενος οὖν ὁ Καῖσαρ ἔσχεν αὐτὸν ἔν τε τοῖς πόνοις καὶ ἐν τοῖς περὶ Ἄκτιον ἀγῶσιν ἕνα τῶν περὶ αὐτὸν ἀγαθῶν γενομένων Ἑλλήνων. Αὐτὸν δὲ τὸν Μεσσάλαν λέγουσιν ὕστερον ἐπαινούμενον ὑπὸ Καίσαρος, ὅτι, καίπερ ἐν Φιλίπποις πολεμιώτατος αὐτοῖς γενόμενος διὰ Βροῦτον, ἐν Ἀκτίῳ προθυμότατον ἑαυτὸν παρέσχεν, «Ἐγώ σοι, φάναι, ὦ Καῖσαρ, ἀεὶ τῆς βελ- c τίονος καὶ δικαιοτέρας τιμῆς καὶ μερίδος ἐγενόμην.»

dens, Epotum est, inquit, vobis tamen alia afferetur aqua. Missus idem qui ante, pæne est ab hostibus captus, ægreque evasit vulnere accepto. (2) Reputanti inde Bruto non multos in pugna periisse, Statilius promisit se per hostes (aliter enim nequibat) perrupturum et castra speculaturum, ignique edito, si res ibi salvas reperisset, rediturum. Atque ivit sane eo et ignem extulit, et quum diu non rediret, dixit Brutus, Statilium utique si viveret reditorum. Verum is in reditu in hostes illapsus periit.

LII. Adulta jam nocte, ut tum forte sedebat Brutus ad famulum suum Clitum se inclinavit, ad eumque verba fecit. Eoque tacente et lacrimante, advocato ad se Dardano stipatore, seorsum quædam ad eum est locutus. Tandem Volumnium ipsum Græcis verbis philosophiæ præceptorum exercitationumque admonuit, hortatusque est ut manum gladio, quo se erat jugulaturus, adhiberet ictumque confirmaret. (2) Volumnio itemque ceteris detrectantibus, quum quidam non manendum, sed fugiendum diceret, exsurgens, Vero, ait, fugiendum est, non pedum tamen, sed manuum officio. Dextram deinde singulis dedit, hilaris admodum, maximam se percipere inquiens voluptatem, quod nemo ei amicorum fidem fefellisset; fortunam se patriæ causa culpare, se quidem victoribus beatiorem judicare, neque id heri modo aut nuper, sed etiamnum; se enim virtutis gloriam relinquere post se, quam victores neque armis sint neque pecunia exstincturi; semper enim existimatum iri, eos, quum injusti malique essent, justis bonisque viris interfectis, injuste dominari. (3) Hortatus inde et precatus ut quisque suæ saluti consuleret, cum duobus aut tribus recessit longius, inter quos etiam Strato fuit, quo rhetoricæ causa usus fuerat familiariter. Hunc proxime assistere jubens, stricti gladii manubrium utraque manu suffulciens, in mucronem incubuit, itaque finem vitæ fecit. Alii non Bruto, sed Stratone multis precibus adducto, aversisque oculis gladium tenente, Brutum cum impetu pectus aciei inflixisse, eoque transadacto celeri morte decessisse aiunt.

LIII. Hunc Stratonem Messala, amicus Bruti, in gratiam a Cæsare receptus, aliquando per otium ad Cæsarem adduxit, lacrimansque, Hic, ait, vir est, o Cæsar, qui Bruto meo extremum officium præstitit. Et Cæsar Stratonem ad se receptum in laboribus, et Actiaco certamine inter eos Græcos, quibus usus fuit fidelibus, reperit. Ipsum vero Messalam ferunt, quum postea temporis a Cæsare laudaretur, quod ipsi præclaram operam apud Actium navasset, quum tamen apud Philippos acerrimus hostium fuisset, dixisse: Ego enim, o Cæsar, semper meliorem ac justiorem sum

(2) Τὸν δὲ Βροῦτον ὁ Ἀντώνιος ἀνευρὼν τεθνηκότα, τὸ μὲν σῶμα τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περιβαλεῖν ἐκέλευσεν, ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος ἀπέκτεινε τὸν ὑφελόμενον. Τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ Βρούτου Σερβιλίαν ἀπέπεμψε. (3) Πορκίαν δὲ τὴν Βρούτου γυναῖκα Νικόλαος ὁ φιλόσοφος ἱστορεῖ καὶ Οὐαλέριος Μάξιμος βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας καταπιεῖν καὶ τὸ στόμα συγκλεί- d σασαν καὶ μύσασαν οὕτω διαφθαρῆναι. Καίτοι φέρεταί τις ἐπιστολὴ Βρούτου πρὸς τοὺς φίλους ἐγκαλοῦντος αὐτοῖς καὶ ὀλοφυρομένου περὶ τῆς Πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. Ἔοικεν οὖν ὁ Νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος καὶ τὸν ἔρωτα τῆς γυναικὸς καὶ τὸν τρόπον τῆς τελευτῆς ὑπονοῆσαι δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν.

partem secutus. (2) Bruti cadaver inventum Antonius pretiosissima suarum punicearum tunicarum involvi jussit, et furem, a quo eam subtractam sensit, interfecit. Reliquias autem ad matrem Bruti Serviliam misit. (3) Porciam vero, Bruti uxorem, Nicolaus philosophus et Valerius Maximus memorant, quum mortis cupida ab amicis prohiberetur, qui ei adhærebant assidui eamque observabant, carbones ex igne arreptos deglutiisse, oreque clauso ita suffocatam periisse. Sane Bruti ad amicos epistola circumfertur, qua eos incusat casumque Porciæ deplorat, quæ ab ipsis neglecta propter morbum mortem sibi consciscere delegerit. Videtur igitur Nicolaus ignorasse mortis tempus, quando ea epistola, si quidem est genuina, morbum amoremque uxoris et mortis modum significat.

ΔΙΩΝΟΣ ΚΑΙ ΒΡΟΥΤΟΥ ΣΥΓΚΡΙΣΙΣ.

Πολλῶν τοίνυν τοῖς ἀνδράσιν ὑπαρξάντων καλῶν, ἐν τοῖς πρώτοις δὲ τοῦ μεγίστους ἐλαχίσταις ἀφορμαῖς e γενέσθαι, τοῦτο τῷ Δίωνι κάλλιστόν ἐστιν. Οὐ γὰρ εἶχε τὸν ἀμφισβητοῦντα, καθάπερ ὁ Βροῦτος Κάσσιον, ἄνδρα πρὸς μὲν ἀρετὴν καὶ δόξαν οὐχ ὁμοίως ἀξιόπιστον, εἰς δὲ τὸν πόλεμον οὐκ ἐλάττονας τόλμῃ καὶ δεινότητι καὶ πράξει συμβολὰς παρασχόμενον, ᾧ γε καὶ τοῦ παντὸς ἔργου προσποιοῦσιν ἔνιοι τὴν ἀρχήν, ἡγεμόνα τῆς ἐπὶ Καίσαρα γνώμης τοῦτον ἀτρεμοῦντι Βρούτῳ γενέσθαι λέγοντες. (2) Δίων δ' ὥσπερ ὅπλα καὶ πλοῖα καὶ στρατιωτικὴν δύναμιν, οὕτω καὶ φίλους καὶ συνεργοὺς ἐπὶ τὴν πρᾶξιν αὐτὸς ἑαυτῷ φαίνεται κτησάμενος. Οὐ μὴν οὐδ' ὡς Βροῦτος ἐκ τῶν πρα- f γμάτων αὐτῶν καὶ τοῦ πολέμου πλοῦτον ἔσχε καὶ δύναμιν, οὕτω καὶ Δίων, ἀλλὰ τῷ πολέμῳ προεισήνεγκεν αὐτὸς τὸν ἑαυτοῦ πλοῦτον ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας τοῖς τῆς φυγῆς ἐφοδίοις προκαταχρησάμενος. 1010 (3) Ἔτι δὲ Βροῦτος μὲν καὶ Κάσσιος, οὐκ ὂν ἀσφαλὲς a ἡσυχίαν ἄγειν ἐκπεσοῦσι τῆς Ῥώμης, ἀλλ' ὠφληκόσι δίκην θανάτου καὶ διωκομένοις, ἀναγκαίως εἰς τὸν πόλεμον κατέφυγον, καὶ τὰ σώματα τοῖς ὅπλοις παρακαταθέμενοι διεκινδύνευσαν ὑπὲρ αὐτῶν τὸ πλέον ἢ τῶν πολιτῶν, Δίων δ' ἀδεέστερον ἐν τῇ φυγῇ τοῦ φυγαδεύσαντος τυράννου καὶ ἥδιον διάγων ἀνέρριψεν ἑκὼν κίνδυνον τοσοῦτον ἐπὶ τῷ σῶσαι Σικελίαν.

II. Καὶ μὴν οὐχ ὅμοιον Διονυσίου Συρακουσίοις ἢ Καίσαρος ἀπαλλαγῆναι Ῥωμαίοις. Ὁ μὲν γὰρ οὐδ' ἠρνεῖτο τύραννος εἶναι κακῶν τε μυρίων ἐμπεπλήκει Σικελίαν· ἡ δὲ Καίσαρος ἀρχὴ συνισταμένη μὲν οὐκ ὀλίγα τοῖς ἐναντιουμένοις πράγματα παρέσχε, δε-

COMPARATIO DIONIS CUM BRUTO.

Inter multa quæ uterque habuit præclara, præcipuum id est, quod ambo minimis usi occasionibus maximi evaserunt. Id vero in Dione pulcherrimum fuit. Non enim habuit qui cum ipso de ea laude contendere posset, sicut Bruto fuit Cassius, minori quidem virtutis gloria ornatus, sed qui ad bellum gerendum non minus audaciæ, consilii et efficaciæ contulerit; cui quidem nonnulli totius facinoris principium ascribunt, eum Bruto cessanti ducem consilii adversus Cæsarem suscipiendi fuisse dicentes. (2) Dio autem sicut arma et naves et exercitum, ita amicos etiam sibi et cœptorum suorum administros ipse apparasse videtur. Jam ne opes quidem et potentiam bello et rebus gestis, quemadmodum Brutus, invenit, sed suas ipsius divitias in bellum impendit, exsiliique sui alimenta ad civium libertatem recuperandam prius absumpsit. (3) Porro autem Brutus et Cassius Roma ejecti quum quiescere tuto non possent, morte nimirum damnati et a persecutoribus quæsiti, necessario ad bellum confugerunt, suaque corpora armis committentes, pro sua salute magis quam pro civibus dimicarunt. Dio autem quum in exsilio tutiorem atque jucundiorem quam ipse qui exterminaverat eum patria tyrannus vitam ageret, ultro Siciliæ servandæ causa tantum periculum subivit.

II. Neque vero idem fuit Syracusanos Dionysio et Romanos Cæsare liberare. Quippe ille et palam præ se ferebat nomen tyranni et infinitis malis Siciliam implebat: hujus dominatio ut initio dum constituebatur multum negotii

ξαμένοις δὲ καὶ κρατηθεῖσιν ὄνομα καὶ δόκησις ἐφάνη b μόνον, ἔργον δ' ἀπ' αὐτῆς οὐδὲν ὠμὸν οὐδὲ τυραννικὸν ὑπῆρξεν, ἀλλὰ καὶ δεομένοις ἔδοξε τοῖς πράγμασι μοναρχίας πρᾳότατος ὥσπερ ἰατρὸς ὑπ' αὐτοῦ τοῦ δαίμονος δεδόσθαι. Διὸ Καίσαρα μὲν εὐθὺς ἐπόθησεν ὁ Ῥωμαίων δῆμος, ὥστε χαλεπὸς γενέσθαι καὶ ἀπαραίτητος τοῖς ἀπεκτονόσι, Δίωνα δ' ἡ Διονυσίου πάρεσις ἐκ Συρακουσῶν καὶ τὸ μὴ κατασκάψαι τοῦ προτέρου τυράννου τὸν τάφον ἐπαίτιον μάλιστα πρὸς τοὺς πολίτας ἐποίησεν.

III. Ἐν αὐταῖς τοίνυν ταῖς πολεμικαῖς πράξεσιν ὁ μὲν Δίων ἄμεμπτος γέγονε στρατηγός, ὧν μὲν αὐ- c τὸς ἐβουλεύετο τοῖς πράγμασιν ἄριστα χρώμενος, ἃ δ' ἐπταίσθη δι' ἑτέρους ἀναλαβὼν καὶ μεταστήσας ἐπὶ τὸ βέλτιον· ὁ δὲ Βροῦτος τὸν ἔσχατον ἀγῶνα ὑπὲρ τῶν ὅλων οὔθ' ὑποστῆναι δοκεῖ φρονίμως οὔτε σφαλεὶς ἐπανόρθωσιν εὑρεῖν, ἀλλ' ἀπεῖπε καὶ προεῖτο τὰς ἐλπίδας οὐδ' ὅσον Πομπήιος ἐπιτολμήσας τῇ τύχῃ· καὶ ταῦτα πολλῆς μὲν αὐτόθι λειπομένης ἐλπίδος ἐν τοῖς ὅπλοις, ταῖς δὲ ναυσὶ κρατῶν πάσης βεβαίως τῆς θαλάσσης. (2) Ὃ δὲ μέγιστόν ἐστιν ὧν ἐγκαλοῦσι Βρούτῳ, τὸ σωθέντα τῇ Καίσαρος χάριτι καὶ σώσαντα τῶν συνεαλω- d κότων ὅσους ἐβούλετο καὶ φίλον νομιζόμενον καὶ προτιμηθέντα πολλῶν αὐτόχειρα τοῦ σώσαντος γενέσθαι, τοῦτ' οὐκ ἄν τις εἴποι κατὰ Δίωνος. Ἀλλὰ τοὐναντίον, οἰκεῖος μὲν ὢν Διονυσίῳ καὶ φίλος ὤρθου τὰ πράγματα καὶ συνδιεφύλαττεν, ἐκπεσὼν δὲ τῆς πατρίδος καὶ ἀδικηθεὶς περὶ τὴν γυναῖκα καὶ τὴν οὐσίαν ἀπολέσας ἐκ προφανοῦς εἰς πόλεμον κατέστη νόμιμον καὶ δίκαιον. (3) Ἦ τοῦτ' ἀντιστρέφει πρῶτον; ὁ γὰρ εἰς ἔπαινον ὑπάρχει τοῖς ἀνδράσι μέγιστον, ἡ πρὸς τοὺς τυράννους ἀπέχθεια καὶ μισοπονηρία, τοῦτ' εἰλικρινές ἐστι τῷ Βρούτῳ καὶ καθαρόν, ἰδίᾳ γὰρ οὐδὲν ἐγκαλῶν Καίσαρι e τῆς κοινῆς προεκινδύνευεν ἐλευθερίας. Ὁ δ' εἰ μὴ κακῶς ἔπαθεν αὐτός, οὐκ ἂν ἐπολέμησε· καὶ τοῦτο δηλοῦται ταῖς Πλάτωνος ἐπιστολαῖς, ἐξ ὧν δῆλός ἐστιν ὡς ἀποβληθεὶς τῆς τυραννίδος, οὐκ ἀποστάς, κατέλυσε Διονύσιον. (4) Ἔτι Βροῦτον μὲν καὶ Πομπηίῳ φίλον ἐποίησεν, ἐχθρὸν ὄντα καὶ πολέμιον Καίσαρι, τὸ κοινῇ συμφέρον, ὡς ἔχθρας ὅρῳ καὶ φιλίας ἑνὶ χρώμενον τῷ δικαίῳ· Δίων δὲ πρὸς χάριν ὤρθου πολλὰ Διονύσιον, ὅτ' ἦν βέβαιος αὐτῷ, καὶ πρὸς ὀργὴν ἀπιστηθεὶς ἐπολέμησε. Διὸ τούτῳ μὲν οὐδ' οἱ φίλοι πάντες ἐπίστευσαν, ὡς μεταστήσας Διονύσιον οὐκ ἂν βεβαιώσαιτο τὴν f ἀρχὴν αὑτῷ πρᾳοτέρῳ τυραννίδος ὀνόματι παραγαγὼν τοὺς πολίτας, περὶ δὲ τοῦ Βρούτου τῶν ἐχθρῶν ἦν ἀκούειν, ὅτι μόνος τῶν ἐπὶ Καίσαρα συναραμένων ἕνα προὔθετο σκοπὸν ἀπ' ἀρχῆς ἄχρι τέλους τὴν πάτριον ἀποδοῦναι Ῥωμαίοις πολιτείαν.

1011 IV. Ἄνευ γε μὴν τούτων ὁ πρὸς Διονύσιον ἀγὼν a οὐχ ὅμοιος ἦν δήπου τῷ πρὸς Καίσαρα. Διονυσίου μὲν γὰρ οὐδεὶς ὅστις οὐκ ἂν κατεφρόνησε τῶν συνήθων ἐν μέθαις καὶ κύβοις καὶ γυναιξὶ τὰς πλείστας ποιουμένου διατριβάς· τὸ δὲ τὴν Καίσαρος κατάλυσιν εἰς νοῦν

adversariis exhibuit, ita victis iis et parentibus nomen tantum et opinio esse tyrannidis videbatur, quum nihil crudele aut tyrannicum ageretur, appareretque Cæsarem rebus unius alicujus imperium in republica postulantibus divinitus lenissimum veluti medicum obtigisse. Itaque Cæsarem sublatum statim Romanus populus desideravit, ejusque percussoribus infestus implacabilisque fuit; at Dionem emissus Syracusis Dionysius, priorisque tyranni non eversum sepulcrum præcipue invisum civibus reddidit.

III. Præterea in ipsis rebus bellicis Dionis administratio culpari nullo modo potest, qui in suis consiliis exsequendis rem optime gessit, et accepta aliorum culpa incommoda correxit. Brutus neque prudenter subiisse postremam dimicationem, neque victus emendationem quæsivisse videtur, sed omnem spem dimisisse, ne tantum quidem, quantum Pompeius, ausus ulterius fortunam tentare, quum tamen adhuc ibidem et in armis multum spei haberet et mare totum classe obtineret. (2) Quod autem maximum Bruto crimen objicitur, quod qui Cæsaris beneficio esset servatus et conservasset ex amicis, qui in potestatem victoris venerant, quotquot ei liberet, interque amicos receptus multisque aliis prælatus, ipse servatori manus intulerit; nihil tale de Dione, sed contrarium dici potest. Dum enim amicus et domesticus Dionysii fuit, in constituendis eum et servandis rebus adjuvit, patria ab eo pulsus, conjugeque et opibus spoliatus, aperte bellum adversus eum justum legitimumque suscepit. (3) Num id primum in contrariam sententiam verti potest? Quod enim maxime his viris laudi est, odium adversus tyrannos, inimicitiæque contra malos, ea in Bruto integra sunt et sincera; nihil enim privatim offensus a Cæsare, pro publica libertate adversus eum discrimen subiit: Dio nisi injuria affectus, nunquam erat Dionysio bellum facturus; idque Platonis epistolæ demonstrant, Dionem non defecisse a tyrannide, sed ab ea depulsum, Dionysium inde evertisse. (4) Et Brutum quidem publica utilitas et amicum Pompeio et inimicum Cæsari fecit, ut qui jure amicitiam inimicitiamque definiret uno; Dio dum erat cum Dionysio, multa in ejus gratiam atque commodum egit, iratus deinde ob fidem sibi non habitam, bellum ei fecit. Itaque ne amici quidem omnes huic satis crediderunt, suspicantes eum ejecto Dionysio ipsum dominationem invasurum, molliorique nomine quam esset tyrannidis civibus impositurum; de Bruto etiam hostes prædicaverunt, solum eum omnium qui in Cæsarem conspirassent id unum sibi ab initio ad finem usque propositum habuisse, ut Romanis antiquam reipublicæ constitutionem recuperaret.

IV. Et his etiam omissis, non comparari potest certamen adversus Dionysium susceptum cum conatu evertendi Cæsaris. Dionysium enim nemo non contemnebat familiarium, qui in compotationes, lusiones et rem muliebrem majorem temporis partem consumeret. De Cæsare autem

ἐμβαλέσθαι καὶ μὴ φοβηθῆναι τὴν δεινότητα καὶ δύναμιν καὶ τύχην, οὗ καὶ τοὔνομα τοὺς Παρθυαίων καὶ Ἰνδῶν βασιλεῖς οὐκ εἴα καθεύδειν, ὑπερφυοῦς ἦν ψυχῆς καὶ πρὸς μηθὲν ὑφίεσθαι φόβῳ τοῦ φρονήματος δυναμένης. Διὸ τῷ μὲν ὀφθέντι μόνον ἐν Σικελίᾳ μυριάδες οὐκ ὀλίγαι συνέστησαν ἐπὶ Διονύσιον· ἡ δὲ Καίσαρος δόξα καὶ πεσόντος ὤρθου τοὺς φίλους καὶ τοὔνομα τὸν b χρησάμενον ἦρεν ἐκ παιδὸς ἀμηχάνου πρῶτον εὐθὺς εἶναι Ῥωμαίων, ὡς ἀλεξιφάρμακον τοῦτο πρὸς τὴν Ἀντωνίου περιαψάμενον ἔχθραν καὶ δύναμιν. (2) Εἰ δὲ φήσει τις, ὅτι μεγάλοις μὲν ἀγῶσιν ὁ Δίων ἐξέβαλε τὸν τύραννον, Καίσαρα δὲ Βροῦτος ἔκτεινε γυμνὸν καὶ ἀφύλακτον, αὐτὸ τοῦτο δεινότητος ἄκρας καὶ στρατηγίας ἦν ἔργον, ἄνδρα τοσαύτην περιβεβλημένον δύναμιν ἀφύλακτον λαβεῖν καὶ γυμνόν. Οὐ γὰρ ἐξαίφνης οὐδὲ μόνος ἢ σὺν ὀλίγοις ἐπιπεσὼν ἀνεῖλεν, ἀλλ' ἐκ πολλοῦ συνθεὶς τὸ βούλευμα καὶ μετὰ πολλῶν ἐπιθέμενος, ὧν οὐδεὶς ἐψεύσατ' αὐτόν. Ἢ γὰρ εὐθὺς ἔκρινε τοὺς ἀρίστους ἢ τῷ προκρῖναι τοὺς πιστευθέντας ἀγα- c θοὺς ἐποίησε. Δίων δὲ εἴτε κρίνας κακῶς ἐπίστευσεν ἑαυτὸν πονηροῖς εἴτε χρώμενος ἐποίησεν ἐκ χρηστῶν πονηρούς, οὐδέτερον παθεῖν ἀνδρὶ φρονίμῳ προσῆκεν. Ἐπιτιμᾷ δὲ καὶ Πλάτων αὐτῷ τοιούτους ἑλομένῳ φίλους, ὑφ' ὧν ἀπώλετο.

V. Καὶ Δίωνος μὲν τιμωρὸς οὐδεὶς ἐφάνη πεσόντος, ἀλλὰ Βροῦτον καὶ τῶν πολεμίων Ἀντώνιος μὲν ἔθαψεν ἐνδόξως, Καῖσαρ δὲ καὶ τὰς τιμὰς ἐτήρησεν. Ἕστηκε δὲ χαλκοῦς ἀνδριὰς ἐν Μεδιολάνῳ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. Τοῦτον ὕστερον ἰδὼν ὁ Καῖσαρ d εἰκονικὸν ὄντα καὶ χαριέντως εἰργασμένον παρῆλθεν· εἶτ' ἐπιστὰς μετὰ μικρὸν, ἀκροωμένων πολλῶν, τοὺς ἄρχοντας ἐκάλει φάσκων ἔκσπονδον αὐτῶν τὴν πόλιν εἰληφέναι πολέμιον ἔχουσαν παρ' αὑτῇ. Τὸ μὲν οὖν πρῶτον, ὡς εἰκὸς, ἠρνοῦντο καὶ τίνα λέγοι διαποροῦντες εἰς ἀλλήλους ἀπέβλεψαν. Ὡς δ' ἐπιστρέψας ὁ Καῖσαρ πρὸς τὸν ἀνδριάντα καὶ συναγαγὼν τὸ πρόσωπον, « Ἀλλ' οὐχ οὗτος, ἔφη, πολέμιος ὢν ἡμέτερος ἐνταῦθα ἕστηκεν; » ἔτι μᾶλλον καταπλαγέντες ἐσιώπησαν. Ὁ δὲ μειδιάσας ἐπῄνεσέ τε τοὺς Γαλάτας, ὡς τοῖς φίλοις καὶ παρὰ τὰς τύχας βεβαίους ὄντας καὶ τὸν ἀνδριάντα κατὰ χώραν μένειν ἐκέλευσεν. e

opprimendo cogitare, neque ejus calliditatem, potentiam fortunamque formidare, cujus ipsum nomen Parthorum Indorumque regibus somnos adimeret, incredibilis fuit animi magnitudinis, quæ nullo metu inflecti posset. Itaque Dioni, ut primum conspectus in Sicilia est, multa se hominum millia adjunxerunt adversus Dionysium, Cæsaris gloria etiam mortui erexit amicos, nomenque ejus hunc, qui id gerebat, ita extulit, ut puer omni ope destitutus, statim Romanorum primus exsisteret, eo tanquam amuleto adversus Antonii inimicitiam atque potentiam usus. (2) Quodsi quis dicat tyrannum a Dione magnis certaminibus ejectum, Cæsarem nudum et incautum a Bruto necatum : sciat hoc ipsum summæ prudentiæ fuisse opus atque calliditatis, hominem tantis munitum copiis potuisse nudum custodiaque vacantem deprehendere. Non enim subito, aut solus vel cum paucis, sed diu capto consilio eum adortus est, multis facinoris sociis, a quorum nemine deceptus est. Nam aut delegit optimos, aut deligendo eos quibus fidem habebat, bonos effecit. Dio autem vel malis sese credidit, non recte de eis judicans, vel ita usus est eis, ut ex bonis malos redderet, quorum neutrum virum prudentem decebat. Plato etiam eum culpat, quod hujusmodi amicos asciverit sibi, a quibus occideretur.

V. Denique Dionis cædem nemo statim ultus est: Brutum et hostis Antonius honorifica affecit sepultura, et Cæsar honores ejus conservavit. Fuit Mediolani, quæ est Citerioris Galliæ urbs, ærea Bruto posita statua. Hanc quum postea temporis Cæsar videret artificiose factam, imaginemque ejus bene referentem, præteriit; paullo post subsistens, advocatis ad se magistratibus urbis, audientibus multis dixit, se deprehendisse eos contra pacta egisse et hostem ipsius detinere secum. Infitiantibus, ut par erat, primum, quemque hostem diceret dubitantibus, ac se mutuo intuentibus, ad statuam conversus, contracta fronte, Annon, ait, is qui hic astat hostis noster est? Quum magis etiam perterriti silerent, vultu in risum soluto collaudavit Gallos istos, qui etiam adversa fortuna utentibus amicis benevolentiam constanter retinerent, jussitque statuam quo erat loco relinqui.

ΑΡΤΟΞΕΡΞΗΣ.

Ὁ μὲν πρῶτος Ἀρτοξέρξης τῶν ἐν Πέρσαις βασιλέων πρᾳότητι καὶ μεγαλοψυχίᾳ πρωτεύσας Μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων, Ξέρξου f δὲ ἦν υἱός· ὁ δὲ δεύτερος, περὶ οὗ τάδε γράφεται, Μνήμων ἐπικληθεὶς, ἐκ θυγατρὸς ἦν ἐκείνου. Δαρείου γὰρ καὶ Παρυσάτιδος παῖδες ἐγένοντο τέσσαρες, πρεσβύτα- 1012 τος μὲν Ἀρτοξέρξης, μετ' ἐκεῖνον δὲ Κῦρος, νεώτεροι a δὲ τούτων Ὀστάνης καὶ Ὀξάθρης. Ὁ μὲν οὖν Κῦρος ἀπὸ Κύρου τοῦ παλαιοῦ τοὔνομα ἔσχεν, ἐκεῖνῳ δὲ ἀπὸ τοῦ ἡλίου γενέσθαι φασί· Κῦρον γὰρ καλεῖν Πέρσας τὸν ἥλιον. Ὁ δ' Ἀρτοξέρξης Ἀρσίκας πρότερον ἐκαλεῖτο· καίτοι Δείνων φησὶν, Ὀάρσης. Ἀλλὰ τὸν Κτησίαν, εἰ καὶ τἆλλα μύθων ἀπιθάνων καὶ παραφόρων ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας.

II. Ὁ μὲν οὖν Κῦρος ἔντονόν τι καὶ σφοδρὸν εὐθὺς ἐκ πρώτης ἡλικίας εἶχεν, ἅτερος δὲ πρᾳότερος ἐδόκει περὶ πάντα καὶ ταῖς ὁρμαῖς φύσει μαλακώτερος εἶναι. b Γυναῖκα δὲ καλὴν καὶ ἀγαθὴν ἔλαβε μὲν τῶν γονέων κελευόντων, ἐφύλαξε δὲ κωλυόντων. Τὸν γὰρ ἀδελφὸν αὐτῆς ἀποκτείνας ὁ βασιλεὺς ἐβουλεύετο κἀκείνην ἀνελεῖν. Ὁ δ' Ἀρσίκας τῆς μητρὸς ἱκέτης γενόμενος καὶ πολλὰ κατακλαύσας μόλις ἔπεισε μήτ' ἀποκτεῖναι μήτε αὐτοῦ διαστῆσαι τὴν ἄνθρωπον. (2) Ἡ δὲ μήτηρ ὑπῆρχε τὸν Κῦρον μᾶλλον φιλοῦσα καὶ βουλομένη βασιλεύειν ἐκεῖνον. Διὸ καὶ, τοῦ πατρὸς νοσοῦντος ἤδη, μετάπεμπτος ἀπὸ θαλάσσης γενόμενος παντάπασιν ἀνέβαινεν εὔελπις ὢν, κατειργασμένης ἐκείνης διάδοχον αὐτὸν ἀποδειχθῆναι τῆς ἀρχῆς. Καὶ γὰρ εἶχεν εὐπρεπῆ c λόγον ἡ Παρύσατις, ᾧ καὶ Ξέρξης ὁ παλαιὸς ἐχρήσατο, Δημαράτου διδάξαντος, ὡς Ἀρσίκαν μὲν ἰδιώτῃ, Κῦρον δὲ βασιλεύοντι Δαρείῳ τεκεῖν. Οὐ μὴν ἔπεισεν, ἀλλ' ὁ πρεσβύτερος ἀπεδείχθη βασιλεὺς Ἀρτοξέρξης μετονομασθεὶς, Κῦρος δὲ Λυδίας σατράπης καὶ τῶν ἐπὶ θαλάσσης στρατηγός.

III. Ὀλίγῳ δ' ὕστερον ἢ τελευτῆσαι Δαρεῖον ἐξήλασεν εἰς Πασαργάδας ὁ βασιλεὺς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν Πέρσαις ἱερέων. Ἔστι δὲ θεᾶς πολεμικῆς ἱερὸν, ἣν Ἀθηνᾶν ἄν τις εἰκάσειεν. Εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα τὴν μὲν ἰδίαν d ἀποθέσθαι στολὴν, ἀναλαβεῖν δὲ ἣν Κῦρος ὁ παλαιὸς ἐφόρει πρὶν ἢ βασιλεὺς γενέσθαι, καὶ σύκου παλάθης ἐμφαγόντα τερμίνθου κατατραγεῖν καὶ ποτήριον ἐκπιεῖν ὀξυγάλακτος. Εἰ δὲ πρὸς τούτοις ἕτερα ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις. (2) Ταῦτα δρᾶν Ἀρτοξέρξου μέλλοντος, ἀφίκετο Τισαφέρνης πρὸς αὐτὸν ἄγων ἕνα τῶν ἱερέων, ὃς ἐν παισὶ Κύρου τῆς νομιζομένης ἀγωγῆς ἐπιστάτης γενόμενος καὶ διδάξας μαγεύειν αὐτὸν οὐδενὸς ἧττον ἐδόκει Περσῶν ἀνιᾶσθαι μὴ ἀποδειχθέν-

ARTOXERXES.

Artoxerxes prior inter reges Persarum, mansuetudine et magnanimitate præstantissimus, cognomento Longimanus, quod dextra ei quam sinistra esset major, Xerxis fuit filius. Posterior Mnemon, id est Memor, appellatus, filia prioris natus est. Dario enim ex Parysatide quattuor fuerunt filii, maximus natu Artoxerxes, post hunc Cyrus, inde Ostanes et Oxathres. Cyrus nomen a prisco illo Cyro habuit, is a sole, quem Persarum lingua cyrum appellari dicunt. Artoxerxes ante Arsicas nominatus fuit; Dinon Oartis nomen ei fuisse scribit. Verum probabile non est Ctesiam regis, apud quem agebat et quem uxoremque ejus et matrem et liberos curabat, nomen ignorasse, quantumvis alioquin fabularum incredibilium atque stolidarum colluviem in libros invexerit.

II. Cyrus ingenio jam inde a pueritia vehemens atque violentus fuit, alter mansuetior omnibus in rebus, placidioribusque animi motibus præditus videbatur. Idem uxorem, quam jussu parentum pulchram præclaramque duxerat, invitis iis retinuit. Quum enim rex fratrem mulieris necasset et ipsam quoque vellet interficere, matri supplex factus, multis tandem lacrimis ægre impetravit ut vivere ei et secum esse permitteretur. (2) Mater Cyro magis favebat, eumque patri succedere volebat. Ideo etiam, patre jam decumbente, evocatus ex maritima provincia, statim in Persidem ascendit, spe plenus matrem confecisse ut ipse defuncto patre regnaret. Et quidem Parysatis usa est ratione non absurda, qua etiam Xerxes ille antiquus Demarati monitu usus fuerat, Arsicam se privato, Cyrum jam regnante Dario peperisse. Non obtinuit tamen, sed major natu rex creatus est et Artoxerxes appellatus; Cyro Lydia et satrapiæ maritimæ obtigerunt.

III. Non multo post Darii mortem tempore Artoxerxes Pasargadas profectus est, ut a Persicis sacerdotibus regiis mysteriis initiaretur. Templum ibi est deæ cujusdam bellicæ, quam Minervam esse conjicere liceat. Eo intrare oportet eum qui initiatur, suoque amictu deposito, eam stolam induere, quam Cyrus ille magnus, antequam occiperet regnum, gestaverat, ficorum quoque palatham et terminthum comedere et lac aceto temperatum bibere jubetur, fortasse et alia quædam ignota aliis facere. (2) Ea tunc peracturum regem Tisaphernes convenit, sacerdotem adducens secum, qui pueri Cyri disciplinæ moribus Persarum institutæ præfuerat eumque magicas artes docuerat, neque majorem quisquam Persarum dolorem, quod Cyrus regnum

τος ἐκείνου βασιλέως· διὸ καὶ πίστιν ἔσχε κατηγορῶν Κύρου. Κατηγόρει δὲ ὡς μέλλοντος ἐνεδρεύειν ἐν τῷ e ἱερῷ, καὶ ἐπειδὰν ἐκδύηται τὴν ἐσθῆτα ὁ βασιλεύς, ἐπιτίθεσθαι καὶ διαφθείρειν αὐτόν. (3) Οἱ μὲν ἐκ ταύτης τῆς διαβολῆς τὴν σύλληψιν γενέσθαι φασίν, οἱ δὲ καὶ παρελθεῖν τὸν Κῦρον εἰς τὸ ἱερὸν καὶ παραδοθῆναι κρυπτόμενον ὑπὸ τοῦ ἱερέως. Μέλλοντα δὲ αὐτὸν ἤδη ἀποθνήσκειν ἡ μήτηρ περισχοῦσα ταῖς ἀγκάλαις καὶ τοῖς βοστρύχοις περιελίξασα καὶ συλλαβοῦσα τὸν ἐκείνου τράχηλον πρὸς τὸν αὐτῆς ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη παρῃτήσατο καὶ κατέπεμψεν αὖθις ἐπὶ θάλατταν, οὐκ ἀγαπῶντα τὴν ἀρχὴν ἐκείνην οὐδὲ μεμνημένον τῆς διέσεως, ἀλλὰ τῆς συλλήψεως, καὶ δι' ὀργὴν σπαργῶντα μᾶλλον ἢ πρότερον ἐπὶ τὴν βασιλείαν. f

IV. Ἔνιοι δέ φασιν οὐκ ἀρκούμενον οἷς ἐλάμβανεν εἰς τὸ καθ' ἡμέραν δεῖπνον ἀποστῆναι βασιλέως, εὐήθη λέγοντες. Εἰ γὰρ ἄλλο μηδέν, ἀλλ' ἡ μήτηρ ὑπῆρχε χρῆσθαι καὶ λαμβάνειν ὅσα βούλοιτο τῶν αὐτῆς παρέχουσα καὶ διδοῦσα. Μαρτυρεῖ δὲ τῷ πλούτῳ καὶ τὸ μισθοφορικὸν πολλαχόθι διὰ τῶν φίλων καὶ ξένων αὐτῷ
1013 παρατρεφόμενον, ὡς Ξενοφῶν εἴρηκεν. Ἀθρόους μὲν a γὰρ οὐ συνήγαγεν ἔτι τὴν παρασκευὴν ἐπικρυπτόμενος, ἀλλαχόθι δὲ ἄλλους ἐπὶ πολλαῖς προφάσεσι ξενολογοῦντας εἶχε. Βασιλέως δὲ ἥ τε μήτηρ παροῦσα τὰς ὑποψίας ἀφῄρει καὶ Κῦρος αὐτὸς ἀεὶ θεραπευτικῶς ἔγραφε, τὰ μὲν αἰτούμενος παρ' αὐτοῦ, τὰ δὲ Τισαφέρνους ἀντικατηγορῶν, ὡς δὴ πρὸς ἐκεῖνον αὐτῷ ζήλου καὶ ἀγῶνος ὄντος. (2) Ἦν δέ τις καὶ μέλλησις ἐν τῇ φύσει τοῦ βασιλέως, ἐπιείκεια φαινομένη τοῖς πολλοῖς. Ἐν ἀρχῇ δὲ καὶ πάνυ ζηλοῦν ἔδοξε τὴν Ἀρτοξέρξου τοῦ ὁμωνύμου πραότητα ἡδίω τε ἑαυτὸν παρέχων ἐντυγ- b χάνεσθαι καὶ περὶ τὸ τιμᾶν καὶ χαρίζεσθαι τὸ κατ' ἀξίαν ὑπερβάλλων, κολάσεως δὲ πάσης ἀφαιρῶν τὸ ἐφυβρίζον καὶ ἡδόμενον, ἐν δὲ τῷ δέχεσθαι χάριτας οὐχ ἧττον τοῖς διδοῦσιν ἢ τοῖς λαμβάνουσιν ἐν τῷ διδόναι φαινόμενος εὔχαρις καὶ φιλάνθρωπος. Οὐδὲν γὰρ ἦν οὕτως μικρόν τι τῶν διδομένων, ὃ μὴ προσεδέξατο προθύμως, ἀλλὰ καὶ ῥόαν μίαν ὑπερφυῆ μεγέθει προσενέγκαντος Ὠμίσου τινὸς αὐτῷ, « Νὴ τὸν Μίθραν, εἶπεν, οὗτος ὁ ἀνὴρ καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς. »

V. Ἐπεὶ δέ, ἄλλων ἄλλα προσφερόντων καθ' ὁδόν, αὐτουργὸς ἄνθρωπος οὐδὲν ἐπὶ καιροῦ φθάσας εὑρεῖν c τῷ ποταμῷ προσέδραμε καὶ ταῖν χεροῖν ὑπολαβὼν τοῦ ὕδατος προσήνεγκεν, ἡσθεὶς ὁ Ἀρτοξέρξης φιάλην ἔπεμψεν αὐτῷ χρυσῆν καὶ χιλίους δαρεικούς. (2) Εὐκλείδᾳ δὲ τῷ Λάκωνι πολλὰ παρρησιαζομένῳ πρὸς αὐτὸν αὐθαδῶς ἐκέλευσεν εἰπεῖν τὸν χιλίαρχον ὅτι « Σοὶ μὲν ἔξεστιν εἰπεῖν ἃ [βασιλεῖ] βούλει, ἐμοὶ δὲ καὶ λέγειν καὶ ποιεῖν. » (3) Ἐν δὲ θήρᾳ τινὶ Τηριβάζου δείξαντος αὐτῷ τὸν κάνδυν ἐσχισμένον, ἠρώτησεν ὅ τι δεῖ ποιεῖν. Ἐκείνου δὲ εἰπόντος, « Ἄλλον αὐτὸς ἔνδυσαι, τοῦτον δὲ ἐμοὶ δός, » οὕτως ἐποίησεν εἰπών· « Δίδωμι μέν, ὦ Τηρίβαζε, σοὶ τοῦτον, φορεῖν δὲ ἀπαγορεύω. »

non erat adeptus, perceperat. Quo facilius ei fides habebatur Cyrum accusanti, quod is insidiari regi in templo decrevisset, exuentemque se veste adoriri et interficere. (3) Quidam ob hanc criminationem captum fuisse tradunt, alii venisse eum in templum et proditum esse, occultatum a sacerdote. Jam necandum mater ulnis complexa, suisque implicans crinibus, collumque ejus collo suo applicans, multa lamentatione atque deprecatione impetravit ut peccati ejus gratia ipsi fieret, rursusque inde ad maritimas provincias remisit. At vero Cyrus nequaquam isto imperio contentus, neque tam dimissum se quam captum a fratre fuisse memor, animo irritato magis etiam quam ante regni potiundi cupiditate flagrabat.

IV. Inepti sunt qui eum ideo a rege defecisse tradunt, quod non satis sumptuum ad quotidianas cœnas suppeditaret. Quippe absque reliqua fuissent, mater certe sufficiebat, omnia quæ vellet utenda ei et accipienda præbens. Opibus quidem Cyri milites stipendiarii argumento sunt, quos multis in locis occulte amicorum et hospitum opera alebat (ut ait Xenophon), tegens etiamnum institutum suum, ideoque non conducens eos conferto agmine, sed varios hinc inde aliis atque aliis sub prætextibus conquisitores habens. Interim mater regis præsentia sua suspiciones diluebat, et ipse Cyrus, submisse scribens et qua petens a fratre aliquid, qua Tisaphernem recriminans, quasi cum eo sibi contentio esset. (2) Inerat etiam in regis ingenio naturalis quædam lentitudo, quæ vulgo lenitudo putaretur. Atque initio imitari omnino Artoxerxis illius cognominis sui mansuetudinem videbatur, comem se in congressibus præbendo, inque honoribus et beneficiis tribuendis justo profusiorem; a pœnis, si quas irrogaret, omnis aberat contumelia ac delectatio; in accipienda gratia non minus dantibus, quam in danda accipientibus, humanum se et facilem exhibebat. Nihil fuit enim tam vile eorum quæ offerrentur, quod non alacriter acciperet, ut quum Omisus quidam malum punicum mirabili magnitudine ad eum attulisset: Per Mithram, inquit, hic vir urbi parvæ præfectus, videtur eam brevi tempore magnam redacturus.

V. Quum aliquando aliis alia offerentibus in via, operarius homo, qui nihil aliud illo temporis articulo inveniret, ad fluvium accurrens aquam inde haustam manibus ipsi attulisset, delectatus eo, pateram auream et mille daricos dono homini misit. (2) Euclidæ Laconi multa licentius et insolentius in ipsum dicenti tribunum militum dicere jussit. Tibi quidem loqui quæ velis, regi autem dicere et facere quæ vult, licet. (3) Quum ei in venatione Teribazus candyn laceratum esse ostendisset, interrogatusque quid agendum putaret, debere regem alio se induere, lacerum sibi donare diceret, Dono tibi, ait, eum, Teribaze, do, gestare autem prohibeo.

Τοῦ δὲ Τηριβάζου μὴ φροντίσαντος (ἦν γὰρ οὐ πονηρὸς, d ὑπόκουφος δὲ καὶ παράφορος), ἀλλὰ τόν τε κάνδυν εὐθὺς ἐκεῖνον ἐνδύντος καὶ δέραια χρυσᾶ καὶ γυναικεῖα τῶν βασιλικῶν περιθεμένου, πάντες μὲν ἠγανάκτουν, οὐ γὰρ ἐξῆν, ὁ μέντοι βασιλεὺς κατεγέλασε καὶ εἶπε· « Δίδωμί σοι καὶ τὰ χρυσία φορεῖν ὡς γυναικὶ καὶ τὴν στολὴν ὡς μαινομένῳ. » (4) Τραπέζης δὲ τῆς αὐτῆς μηδενὸς μετέχοντος ἀλλ' ἢ μητρὸς βασιλέως ἢ γαμετῆς γυναικὸς, καθεζομένων τῆς μὲν ὑπ' αὐτὸν, τῆς δὲ μητρὸς ὑπὲρ αὐτὸν, Ἀρτοξέρξης καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν, Ὀστάνην καὶ Ὀξάθρην, νεωτέρους ὄντας. Ἐν δὲ τοῖς μάλιστα κεχαρισμένην ὄψιν e παρεῖχε τοῖς Πέρσαις ἡ τῆς γυναικὸς Στατείρας ἁρμάμαξα γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προφερομένη καὶ διδοῦσα ταῖς δημότισιν ἀσπάσασθαι αὐτὴν καὶ προσελθεῖν· ὅθεν ἠγαπᾶτο τοῖς πολλοῖς ἡ βασίλεια.

VI. Τὸν μέντοι Κῦρον οἱ νεωτερισταὶ καὶ πολυπράγμονες ὡς λαμπρὸν ἄνδρα τῇ ψυχῇ καὶ πολεμικὸν διαφερόντως καὶ φιλέταιρον ᾤοντο τὰ πράγματα ποθεῖν καὶ τὸ μέγεθος τῆς ἡγεμονίας βασιλέως δεῖσθαι φρόνημα καὶ φιλοτιμίαν ἔχοντος. Οὐχ ἧττον οὖν τοῖς ἄνω πιστεύων ὁ Κῦρος ἢ τοῖς περὶ αὐτὸν ἐπεχείρει τῷ πολέμῳ· καὶ Λακεδαιμονίοις ἔγραφε παρακαλῶν βοηθεῖν f καὶ συνεκπέμπειν ἄνδρας, οἷς ἔφη δώσειν, ἂν μὲν πεζοὶ παρῶσιν, ἵππους, ἂν δὲ ἱππεῖς, συνωρίδας· ἐὰν δ' ἀγροὺς ἔχωσι, κώμας· ἐὰν δὲ κώμας, πόλεις· μισθοῦ δὲ τοῖς στρατευομένοις οὐκ ἀριθμὸν, ἀλλὰ μέτρον ἔσεσθαι. (2) Μεγαληγορῶν δὲ περὶ αὐτοῦ πολλὰ, καὶ καρδίαν 1014 ἔφη τοῦ ἀδελφοῦ φορεῖν βαρυτέραν, καὶ φιλοσοφεῖν a μᾶλλον καὶ μαγεύειν βέλτιον, οἶνον δὲ πλείονα πίνειν καὶ φέρειν· ἐκεῖνον δὲ ὑπὸ δειλίας καὶ μαλακίας ἐν μὲν τοῖς κυνηγεσίοις μηδὲ ἐφ' ἵππου, ἐν δὲ τοῖς κινδύνοις μηδὲ ἐπὶ τοῦ θρόνου καθῆσθαι. Λακεδαιμόνιοι μὲν οὖν σκυτάλην πρὸς Κλέαρχον ἀπέστειλαν ὑπηρετεῖν Κύρῳ πάντα κελεύοντες. (3) Ὁ δὲ Κῦρος ἀνέβαινεν ἐπὶ βασιλέα βαρβαρικήν τε πολλὴν ἔχων δύναμιν καὶ μισθοφόρους Ἕλληνας ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας, ἄλλας ἐπ' ἄλλαις ποιούμενος προφάσεις τῆς στρατείας. Οὐ μὴν ἔλαθέ γε εἰς πολὺν χρόνον, ἀλλ' ἧκε βασιλεῖ Τισαφέρνης αὐτάγγελος· καὶ πολὺς θόρυβος εἶχε τὰ βασίλεια τῆς τε Παρυσάτιδος τὴν πλείστην αἰτίαν τοῦ πο- b λέμου φερομένης καὶ τῶν φίλων αὐτῆς ἐν ὑποψίαις ὄντων καὶ διαβολαῖς. (4) Μάλιστα δὲ ἠνία τὴν Παρύσατιν ἡ Στάτειρα τῷ πολέμῳ περιπαθοῦσα καὶ βοῶσα· « Ποῦ νῦν αἱ πίστεις ἐκεῖναι; ποῦ δὲ αἱ δεήσεις, αἷς ἐξελομένη τὸν ἐπιβουλεύσαντα τῷ ἀδελφῷ πολέμου καὶ κακῶν ἐμπέπληκας ἡμᾶς; » Ἐκ δὴ τούτων μισοῦσα τὴν Στάτειραν ἡ Παρύσατις καὶ φύσει βαρύθυμος οὖσα καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις ἐπεβούλευεν αὐτὴν ἀνελεῖν. (5) Ἐπεὶ δὲ Δείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, Κτησίας δὲ ὕστερον, ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκός c ἐστι παρόντα ταῖς πράξεσιν οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον, ὡς ἐπράχθη διηγού-

quumque id dictum non observaret Teribazus (erat vero non malus homo, verum levis nonnihil et non satis compos rationis), sed statim candy amictus, aurea etiam ornamenta, qualia mulieres gestare solent, sibi appenderet : universis indignantibus (neque enim fas erat), ridens Artoxerxes, Concedo, inquit, tibi, Teribaze, et aureum mundum ut mulieri, et candyn ut insano. (4) Quum ad mensam regis Persarum nemo soleret adhiberi præter matrem ejus et uxorem, quarum hæc infra regem, illa supra assideret, Artoxerxes etiam duos minores natu fratres Ostanem et Oxathrem mensæ suæ adjunxit. Gratissimus omnium conspectus Persis fuit vehiculi Statiræ reginæ, quod semper velis detractis in publicum progrediebatur et feminis popularibus eam accedendi et salutandi faciebat copiam. Hinc multitudini grata erat regina.

VI. Verum homines inquieti et novarum rerum avidi Cyrum, utpote virum magnanimum bellicosumque apprime et amicorum studiosum, desiderari ab ipso rerum statu et mole imperii ferebant, regem elato animo gloriæque cupiditate præditum requirentis. Itaque Cyrus tam in superiorum regionum quam suarum hominum animis fiduciam collocans bellum suscepit; et ad Spartanos scripsit auxilia ab iis virosque petens, iisque pollicitus est se, si pedites venissent, equos, si equites, bigas, si agros possiderent, pagos, si pagos, urbes largiturum, ac stipendium militibus non numero, sed mensura distributurum. (2) Multa etiam alia de se magnifice prædicans, prudentiorem quoque se quam fratrem esse ferebat philosophicisque et magicis studiis ei anteire, plus etiam vini bibere se et ferre posse, eum præ timiditate et mollitie neque venationibus in equo, neque periculosis rebus in solio sedere posse. Spartani Clearchum scytala missa jussere Cyro omnibus in rebus inservire (3) Expeditionem Cyrus adversus fratrem fecit, ingentibus cum barbarorum copiis et Græcis militibus stipendiariis, quorum in exercitu ejus prope tredecim erant millia, expeditioni autem modo hanc, modo aliam prætendebat causam. Sed latere diutius propositum ejus nequivit, et ipse Tisaphernes nuntius eorum quæ agebantur ad regem venit. Magnus proinde in regia tumultus exstitit, quum omnis fere belli culpa in Parysatidem conferretur et amici ejus suspicionibus essent calumniisque expositi. (4) Præcipue eam Statira vexabat, gravissime id bellum ferens ac vociferans: Ubi nunc fides data? ubi preces, quibus insidiantem fratri Cyrum eripuisti supplicio, belloque nos et calamitatibus implicasti? Exinde exosa Statiram Parysatis, ingenio mulier iracundo barbaricæque in exsatianda ira et vindicandis offensis pertinaciæ, vitæ ejus insidias struxit. (5) Et Dinon quidem ipso in bello rem ab ea confectam scribit, Ctesias peracto jam bello, quem quidem, quum rebus ipsis interfuerit, ignorasse tempus credibile non est, neque causa fuit cur ultro in aliud tempus eam rem, quam ita uti gesta est re-

μενος, οἷα πάσχει πολλάκις ὁ λόγος αὐτοῦ πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐκτρεπόμενος τῆς ἀληθείας, τοῦτο μὲν ἣν ἐκεῖνος ἀπέδωκε χώραν ἕξει.

VII. Κύρῳ δὲ προσιόντι φῆμαι καὶ λόγοι προσέπιπτον, ὡς οὐ μάχεσθαι βασιλέως εὐθὺς ἐγνωκότος οὐδὲ συνδραμεῖν εἰς χεῖρας αὐτῷ σπεύδοντος, ἀλλ' ἐν Πέρσαις ὑπομένειν, ἄχρι ἂν αἱ δυνάμεις ἐκεῖ πανταχόθεν συνέλθωσι. Καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα καὶ βάθος ἴσων ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε· καὶ ταύτης τε περιεῖδε τὸν Κῦρον ἐντὸς παρελθόντα καὶ d Βαβυλῶνος αὐτῆς οὐ μακρὰν γενόμενον. Τηριβάζου δέ, ὥς φασι, πρώτου τολμήσαντος εἰπεῖν, ὡς οὐ δεῖ φυγομαχεῖν οὐδὲ Μηδίας ἐκστάντα καὶ Βαβυλῶνος ἅμα καὶ Σούσων ἐνδύεσθαι τῇ Περσίδι, πολλαπλασίαν μὲν ἔχοντα δύναμιν τῶν πολεμίων, μυρίους δὲ σατράπας καὶ στρατηγοὺς Κύρου καὶ φρονεῖν καὶ μάχεσθαι βελτίονας, ὥρμησε διαγωνίσασθαι τὴν ταχίστην. (2) Καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς ἐνενήκοντα μυριάσι στρατοῦ διακεκοσμημέναις λαμπρῶς τοὺς πολεμίους ἀσυντάκτους καὶ ἀνόπλους διὰ τὸ θαῤῥεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν e θορύβῳ καὶ βοῇ πολλῇ μόλις εἰς τάξιν κατασταθῆναι τὸν Κῦρον· ἔπειτα σιγῇ καὶ σχέδην ἐπάγων θαῦμα τοῖς Ἕλλησι τῆς εὐταξίας παρεῖχε κραυγὰς ἀτάκτους καὶ σκιρτήματα καὶ πολὺν τάραχον αὐτῶν καὶ διασπασμὸν ἐν πλήθει τοσούτῳ προσδεχομένοις. Εὖ δὲ καὶ κατὰ τοὺς Ἕλληνας ἀντέταξε τῶν δρεπανηφόρων τὰ ῥωμαλεώτατα πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς πρὶν ἐν χερσὶ γενέσθαι διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως.

VIII. Τὴν δὲ μάχην ἐκείνην πολλῶν μὲν ἀπηγγελκότων, Ξενοφῶντος δὲ μονονουχὶ δεικνύοντος ὄψει f καὶ τοῖς πράγμασιν ὡς οὐ γεγενημένοις, ἀλλὰ γινομένοις, ἐφιστάντος ἀεὶ τὸν ἀκροατὴν ἐμπαθῆ καὶ συγκινδυνεύοντα διὰ τὴν ἐνάργειαν, οὐκ ἔστι νοῦν ἔχοντος ἐπεξηγεῖσθαι, πλὴν ὅσα τῶν ἀξίων λόγου παρῆλθεν εἰπεῖν ἐκεῖνον. (2) Ὁ μὲν οὖν τόπος, ἐν ᾧ παρετάξαντο,
1015 Κούναξα καλεῖται καὶ Βαβυλῶνος ἀπέχει σταδίους πεν- a ταχοσίους. Κῦρον δὲ πρὸ τῆς μάχης Κλεάρχου παρακαλοῦντος ἐξόπισθεν τῶν μαχομένων εἶναι καὶ μὴ κινδυνεύειν αὐτόν, εἰπεῖν φασι· « Τί λέγεις, ὦ Κλέαρχε; σὺ κελεύεις με τὸν βασιλείας ὀρεγόμενον ἀνάξιον εἶναι βασιλείας; » (3) Ἁμαρτόντος δὲ Κύρου μέγα τῷ δῦναι προπετῶς εἰς μέσα τὰ δεινὰ καὶ μὴ φυλάξασθαι τὸν κίνδυνον, οὐχ ἧττον ἥμαρτεν, εἰ μὴ καὶ μᾶλλον, Κλέαρχος ἀντιτάξαι κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς Ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιόν, ὡς μὴ κυκλωθείη. Τὴν γὰρ ἀσφάλειαν ἐξ ἅπαντος διώκοντα καὶ πλεῖστον λόγον ἔχοντα τοῦ μηδὲν παθεῖν οἴκοι μένειν ἦν κράτιστον. Ὁ δὲ μυρίους σταδίους ἀπὸ θα- b λάσσης ἐν ὅπλοις ἀναβεβηκὼς μηδενὸς ἀναγκάζοντος, ἀλλ' ὅπως Κῦρον εἰς τὸν θρόνον καθίσῃ τὸν βασίλειον, εἶτα περισκοπῶν χώραν καὶ τάξιν, οὐχ ἀφ' ἧς σώσειε τὸν ἡγεμόνα καὶ μισθοδότην, ἀλλ' ἐν τίνι θέμενος ἑαυτὸν ἀσφαλῶς μαχεῖται καθ' ἡσυχίαν, ὅμοιος ἦν ὑπὸ

tulit, rejiceret; nam alioquin sæpe oratio ejus a veritate ad fabulas et scenica figmenta deflectit. Igitur eam rem eo loco, quem Ctesias assignavit, narrabo.

VII. Adventanti Cyro rumores allati sunt, statuisse regem non statim pugnare, neque manum cum ipso conferre properare, sed in Perside manere, dum eo omnes copiæ convenirent. Et quidem passus erat Cyrum ultra fossam, quam decem ulnas latam, totidemque altam per planitiem ad quadringenta stadia egerat, transire et prope Babylonem usque progredi. Teribazo ferunt primo omnium auso dicere, non esse reformidandam pugnam, neque Media simul et Babylone et Susis cedendo in Persidem subterfugiendum, habere enim regem longe majores hostilibus copias plurimosque satrapas et duces, qui prudentia et pugnandi peritia Cyro anteirent; ita demum regem statuisse quam primum prœlio decernere. (2) Ut primum in conspectum hostibus venit cum nongentorum millium exercitu pulcherrime exornato et instructo, eos confuso et inermi agmine præ confidentia et contemptione regis incedentes perterruit ac conturbavit, ita quidem, ut magna cum trepidatione et clamore ægre suos in ordinem composuerit Cyrus. Deinde tacite et lento gradu suos in hostem ducentem admirati sunt Græci, quod in eo exercitu tam elegans servaretur ordo, quum illi tantam multitudinem incomposito clamore saltibusque et magno cum tumultu ac dissipatione accessurum putassent. Id quoque ab eo bene institutum, quod ante suam phalangem Græcæ aciei opposuit falcatorum curruum robustissimum quemque, ut nimirum, priusquam manus consererentur, vi impetus eorum Græcos ordines dissiparet.

VIII. Quum eam pugnam et retulerint multi et Xenophon tantum non ob oculos posuerit, auditoremque non ut gestis olim adhibeat, sed quasi in re præsenti constituat, ac narrationis perspicuitate ita afficiat ac si ipse rerum particeps prœlii fortunam subiret, non est cordati hominis recensere, nisi quæ ille memoratu digna præteriit. (2) Locus pugnæ Cunaxa dicitur; abest Babylone stadia quingenta. Cyrum, quum ante pugnam Clearchus hortaretur ut se post pugnantium aciem contineret neque in discrimen pugnæ daret, respondisse ferunt: Quid ais, Clearche? tu me regni appetentem regno me indignum gerere jubes? (3) Sane in eo vehementer peccatum est a Cyro, quod temere in medium se periculum conjecit, neque sibi ab eo cavit. Sed si non gravius, non levius profecto est Clearchi peccatum, qui adversos regi constituere Græcos noluit, sed dextrum cornu ad amnem applicuit, ne circumveniretur. Ei enim qui quod tutum sit ubique consectatur, neque magis quicquam curat, quam ne quid incommodi patiatur, nihil erat consultius, quam domi residere. Qui vero in armis a mari in superiores regiones per decem stadiorum millia profectus esset nulla actus necessitate, sed tantum in solio regio collocandi Cyri causa, atque is deinde circumspiceret locum et stationem, non unde salutem duci suo et stipendium præbenti ferret, sed unde ipse quam minimo periculo per

δέους τῶν παρόντων ἐκβεβληκότι τοὺς περὶ τῶν ὅλων λογισμοὺς καὶ προϊεμένῳ τὴν τῆς στρατείας ὑπόθεσιν. (4) Ὅτι γὰρ οὐδεὶς ἂν ὑπέμεινε τῶν τεταγμένων περὶ βασιλέα τοὺς Ἕλληνας ἐμπεσόντας, ὠσθέντων δ' ἐκείνων καὶ βασιλέως φεύγοντος ἢ πεσόντος ὑπῆρχε Κύρῳ νικῶντι σώζεσθαι καὶ βασιλεύειν, ἐκ τῶν πεπρα- c γμένων δῆλόν ἐστι. Διὸ τὴν Κλεάρχου μᾶλλον εὐλάβειαν ἢ τὸ τοῦ Κύρου θράσος αἰτιατέον ὡς τὰ πράγματα καὶ Κῦρον ἀπολέσασαν. Εἰ γὰρ αὐτὸς ἐσκόπει βασιλεύς, ὅπου τάξας τοὺς Ἕλληνας ἀβλαβεστάτοις χρήσεται πολεμίοις, οὐκ ἂν ἑτέραν ἐξεῦρεν ἢ τὴν ἀπωτάτω χώραν ἑαυτοῦ καὶ τῶν περὶ ἑαυτόν, ἀφ' ἧς οὔτε νικηθεὶς αὐτὸς ᾔσθετο καὶ Κῦρος ἔφθη κατακοπεὶς ἢ χρησάμενός τι τῇ Κλεάρχου νίκῃ. Καίτοι Κῦρος τὸ συμφέρον οὐκ ἠγνόησεν, ἀλλ' ἐκεῖ Κλέαρχον ἐκέλευε τάττεσθαι κατὰ μέσον. Ὁ δ' αὐτῷ μέλειν εἰπὼν ὅπως ἕξει κάλλιστα, τὸ πᾶν d διέφθειρεν.

IX. Οἱ μὲν γὰρ Ἕλληνες ὅσον ἐβούλοντο τοὺς βαρβάρους ἐνίκων καὶ διώκοντες ἐπὶ πλεῖστον προῆλθον· Κύρῳ δὲ γενναῖον ἵππον, ἄστομον δὲ καὶ ὑβριστὴν ἐλαύνοντι Πασακᾶν καλούμενον, ὥς Κτησίας φησίν, ἀντεξήλασεν ὁ Καδουσίων ἄρχων Ἀρταγέρσης μέγα βοῶν· « Ὦ τὸ κάλλιστον ἐν Πέρσαις ὄνομα Κύρου καταισχύνων, ἀδικώτατε ἀνδρῶν καὶ ἀφρονέστατε, κακοὺς μὲν Ἕλληνας ἔρχῃ κακὴν ὁδὸν ἄγων ἐπὶ τὰ Περσῶν ἀγαθά, δεσπότην δὲ σεαυτοῦ καὶ ἀδελφὸν ἐλπίζων ἀναιρήσειν, ὃς σοῦ μυριάκις μυρίους δούλους ἔχει κρείσσονας. Αὐτίκα δὲ πειράσῃ· πρότερον γὰρ ἀπολεῖς ἐνταῦθα τὴν σεαυτοῦ κεφαλὴν ἢ θεάσασθαι τὸ βασιλέως πρόσωπον. » e Ταῦτα εἰπὼν ἐξηκόντισεν ἐπ' αὐτόν. Ὁ δὲ θώραξ στερεῶς ἀντέσχε, καὶ οὐκ ἐτρώθη μὲν ὁ Κῦρος, ἐκραδάνθη δέ, τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης. Ἀποστρέψαντος δὲ τὸν ἵππον τοῦ Ἀρταγέρσου βαλὼν ὁ Κῦρος ἔτυχε καὶ διήλασε παρὰ τὴν κλεῖδα διὰ τοῦ τραχήλου τὴν αἰχμήν. (2) Τὸν μὲν οὖν Ἀρταγέρσην ἀποθανεῖν ὑπὸ τοῦ Κύρου σχεδὸν ἅπαντες ὁμολογοῦσι· περὶ δὲ τῆς αὐτοῦ Κύρου τελευτῆς ἐπεὶ Ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτός, εἶπεν, οὐδὲν ἴσως κωλύει τὰ Δείνωνος ἰδίᾳ καὶ πάλιν τὰ Κτησίου διελθεῖν.

X. Φησὶν οὖν ὁ μὲν Δείνων, ὅτι τοῦ Ἀρταγέρσου f πεσόντος, εἰσελάσας βιαίως ὁ Κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως κατέτρωσεν αὐτοῦ τὸν ἵππον, ὁ δὲ ἀπερρύη· Τηριβάζου δὲ ἀναβαλόντος αὐτὸν ἐπ' ἄλλον
1016 ἵππον ταχὺ καὶ εἰπόντος, αὐτῷ, « Ὦ βασιλεῦ, μέμνησο a
τῆς ἡμέρας ταύτης· οὐ γὰρ ἀξία λήθης ἐστί· » πάλιν ὁ Κῦρος ἐνσείσας τῷ ἵππῳ κατέβαλε τὸν Ἀρτοξέρξην. Πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσανασχετήσας ὁ βασιλεὺς καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιόν ἐστι μὴ ζῆν, ἀντεξήλαυνε τῷ Κύρῳ προπετῶς καὶ ἀπερισκέπτως εἰς ἐναντία βέλη φερομένῳ· καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ, βάλλουσι δὲ οἱ περὶ αὐτόν. (2) Πίπτει δ' ὁ Κῦρος, ὡς μὲν ἔνιοι λέγουσι, πληγεὶς ὑπὸ τοῦ βασιλέως, ὡς δὲ ἕτεροί τινες, Καρὸς ἀνθρώπου πατάξαντος, ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς

otium pugnaret: videtur ille quidem mihi metu præsentis periculi consiliis de summa rerum initis excussus, expeditionis finem projecisse. (4) Eventus enim prœlii ejus docuit, neminem eorum, qui cum rege erant, impressionem Græcorum substiturum, porro autem illis pulsis et rege vel fugiente vel cæso, Cyrum incolumem victoria et regno potiturum fuisse. Non ergo tam Cyri audacia, quam Clearchi timiditas culpanda est, quæ rem totam Cyrumque perdidit. Nam si ipse Artoxerxes deliberare debuisset, quonam loco Græcos vellet constitui, ut ab iis quam minime sibi noceri posset, non profecto commodiorem sibi locum invenisset, quam qui longissime a se et exercitu suo distaret; itaque neque sensit ille se a Græcis victum et Cyrus prius occisus est, quam ullum Clearchianæ victoriæ fructum sentiret. Et quidem Cyrum, quid ex usu esset, non fefellit, ac jussit Clearchum in mediam ibi aciem suos collocare. Is autem respondens curaturum se ut optime cuncta fierent, exitio rebus fu t.

IX. Græci enim, quantum voluerunt, barbaros vicerunt, iisque persequendis longe progressi sunt: Cyro autem, qui generoso equo, ceterum fræni impatiente et feroce vehebatur (nomen equi Pasacam Ctesias perhibet), Cadusiorum præfectus Artagerses obvium se tulit, magna voce clamans: O injustissime virorum atque imprudentissime, qui honestissimum apud Persas nomen Cyri dedecoras, malos Græcos malo itinere ad Persarum bona occupanda adducis, cædem domini et fratris tui molitus, qui innumeros habet te præstantiores servos. Quod mox senties: prius enim hic caput tuum amittes, quam regis faciem contuearis. Ita vociferatus, simul jaculum in Cyrum contorsit. Thorax ictum sustinuit, neque vulneratus est tum, sed ictus vehementia concussus intremuit. Et avertente equum Artagersa, conjiciens jaculum, juxta claviculam hastæ cuspidem per collum transadegit. (2) Omnium fere ore occisus a Cyro Artagerses traditur; de Cyri autem interitu, quoniam Xenophon, ut qui non interfuerit, tenuiter et concise narrat, haud abs re esse puto, si quæ Dinon seorsum, inde quæ Ctesias de eo tradunt, perstringam.

X. Dinon ita refert. Artagersa dejecto, Cyrus magno impetu in eos qui ante regem erant collocati invectus regis equum vulneravit; regem delapsum Teribazus celeriter in alium equum imposuit, dicens: Memento, o rex, hujus diei; non enim dignus est cujus obliviscaris. Rursum Cyrus impetu in equum facto, Artoxerxem dejecit. Ad tertium insultum non perferens indignationem rex et ad suos dicens: Satius esse mori, obviam se Cyro proripuit, temere se et incaute adversis telis inferenti, enmque quum ipse jaculo, tum reliqui petunt. (2) Cadit ibi Cyrus, ictus a rege ipso, ut quidam perhibent, ut alii, a Care quodam, cui præmii

ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατείαις κομίζειν. Καὶ γὰρ αὐτοὺς τοὺς Κᾶρας b ἀλεκτρυόνας οἱ Πέρσαι διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη, προσηγόρευον.

XI. Ἡ δὲ Κτησίου διήγησις, ὡς ἐπιτεμόντι πολλὰ συντόμως ἀπαγγεῖλαι, τοιαύτη τις ἐστί. Κῦρος ἀποκτείνας Ἀρταγέρσην ἤλαυνεν εἰς αὐτὸν βασιλέα τὸν ἵππον καὶ αὐτὸς εἰς ἐκεῖνον, ἀμφότεροι σιωπῇ. Φθάνει δὲ βάλλων Ἀριαῖος ὁ Κύρου φίλος βασιλέα, καὶ οὐκ ἔτρωσε. Βασιλεὺς δὲ ἀφεὶς τὸ δόρυ Κύρου μὲν οὐχ ἔτυχε, Σατιφέρνην δὲ, πιστὸν ἄνδρα Κύρῳ καὶ γενναῖον, ἔβαλε καὶ κατέκτεινε. Κῦρος δ' ἐπ' αὐτὸν ἐξακοντίσας διὰ τοῦ θώρακος ἔτρωσε τὸ στῆθος, ὅσον ἐνδῦναι δύο δακτύλους c τὸ ἀκόντιον, πεσεῖν δὲ αὐτὸν ὑπὸ τῆς πληγῆς ἀπὸ τοῦ ἵππου, φυγῆς δὲ καὶ ταραχῆς τῶν περὶ αὐτὸν γενομένης, ὁ μὲν ἀναστὰς μετ' ὀλίγων, ἐν οἷς καὶ Κτησίας ἦν, λόφον τινὰ πλησίον καταλαβὼν ἡσύχαζε. Κῦρον δὲ τοῖς πολεμίοις ἐνειλούμενον ὁ ἵππος ἐξέφερεν ὑπὸ θυμοῦ μακρὰν ἤδη σκότους ὄντος, ἀγνοούμενον ὑπὸ τῶν πολεμίων καὶ ζητούμενον ὑπὸ τῶν φίλων. Ἐπαιρόμενος δὲ τῇ νίκῃ καὶ μεστὸς ὢν ὁρμῆς καὶ θράσους, διεξήλαυνε βοῶν· « Ἐξίστασθε, πενιχροί. » (2) Τοῦτο δὲ Περσιστὶ πολλάκις αὐτοῦ βοῶντος, οἱ μὲν ἐξίσταντο προσκυνοῦντες, ἀποπίπτει δὲ τῆς κεφαλῆς ἡ τιάρα τοῦ Κύρου καὶ παρατρέχων νεανίας Πέρσης ὄνομα Μιθριδάτης ἀκοντίῳ d βάλλει τὸν κρόταφον αὐτοῦ παρὰ τὸν ὀφθαλμὸν, ἀγνοῶν ὅστις εἴη. Πολὺ δὲ αἷμα τοῦ τραύματος ἐκβαλόντος, ἰλιγγιάσας καὶ καρωθεὶς ὁ Κῦρος ἔπεσε. Καὶ ὁ μὲν ἵππος ὑπεκφυγὼν ἐπλάζετο· τὸν δ' ἐφίππειον πῖλον ἀποῤῥυέντα λαμβάνει τοῦ τὸν Κῦρον βαλόντος ἀκόλουθος αἵματος περίπλεω. (3) Τὸν δὲ Κῦρον ἐκ τῆς πληγῆς ἀναφέροντα χαλεπῶς καὶ μόλις εὐνοῦχοί τινες ὀλίγοι παρόντες ἐπεχείρουν ἐπ' ἄλλον ἵππον ἀναθέσθαι καὶ σώζειν. Ἀδυνάτως δ' ἔχοντα καὶ δι' αὐτοῦ προθυμούμενον βαδίζειν ὑπολαβόντες ἦγον, τῷ μὲν σώματι καρηβαροῦντα καὶ σφαλλόμενον, οἰόμενον δὲ νικᾶν, ἀκούοντα e τῶν φευγόντων ἀνακαλουμένων Κῦρον βασιλέα καὶ φείδεσθαι δεομένων. (4) Ἐν δὲ τούτῳ Καύνιοί τινες ἄνθρωποι κακόβιοι καὶ ἄποροι καὶ ταπεινῶν ὑπουργημάτων ἕνεκα τῇ τοῦ βασιλέως στρατιᾷ παρακολουθοῦντες ἔτυχον συναναμιχθέντες ὡς φίλοις τοῖς περὶ τὸν Κῦρον. Ὡς δὲ μόλις συνεῖδον τὰ ἐπιθωρακίδια φοινικᾶ, λευκοῖς χρωμένων τῶν βασιλικῶν ἁπάντων, ἔγνωσαν πολεμίους ὄντας. Εἷς οὖν ἐκείνων ἐτόλμησεν ἀγνοῶν ἐξόπισθεν βαλεῖν τὸν Κῦρον ἀκοντίῳ. Τῆς δὲ περὶ τὴν ἰγνύαν φλεβὸς ἀναῤῥαγείσης, πεσὼν ὁ Κῦρος ἅμα παίει πρός f τινι λίθῳ τὸν τετρωμένον κρόταφον καὶ ἀποθνήσκει. Τοιοῦτος μὲν ὁ Κτησίου λόγος, ᾧ καθάπερ ἀμβλεῖ ξιφιδίῳ μόλις ἀναιρῶν τὸν ἄνθρωπον ἀνῄρηκεν.

XII. Ἤδη δὲ αὐτοῦ τεθνηκότος, Ἀρτασύρας ὁ βασιλέως ὀφθαλμὸς ἔτυχεν ἵππῳ παρεξελαύνων. Γνωρίσας οὖν τοὺς εὐνούχους ὀλοφυρομένους, ἠρώτησε τὸν πιστό-
1017 τατον αὐτῶν· « Τίνα τοῦτον, ὦ Παρίσκα, κλαίεις παρακαθήμενος; » a Ὁ δ' εἶπεν· « Οὐχ ὁρᾷς, ὦ Ἀρτασύρα,

hujus facinoris loco rex dederit, ut in bello semper aureum gallum hastæ impositum ante aciem gestaret. Nam Cares ipsi etiam galli a Persis appellabantur, propter cristas, quibus galeas exornabant.

XI. Ctesiæ narratio, ut in pauca verba conferam, talis est. Interfecto Artagersa, Cyrus equum adversus regem incitat, isque ei occurrit, tacitus uterque. Prior Ariæus, Cyri amicus, in regem jaculum conjicit, neque tamen sauciat. Rex, conjecta hasta, a Cyro quidem aberrat, Satiphernem tamen, generosum virum et Cyro fidum, percutit et exanimat. Cyrus, in ipsum regem jaculo emisso, per thoracem pectus ejus vulnerat, ita ut ad duorum digitorum altitudinem telum adigeretur, et rex eo ictu equo dejiceretur, isque et fuga et trepidatione circa ipsum orta surgens, cum paucis, in quibus ipse etiam Ctesias fuit, tumulum quendam occupat et in eo quiescit, Cyrum autem hostibus implicatum equus ferox procul provexit, jam tenebris ingruentibus, ignotum hostibus, et ab amicis quæsitum. Elatus autem victoria, plenusque ferociæ per medios ferebatur, vociferans : Cedite, viles homines. (2) Hoc sæpius Persica voce inclamanti jam multi via decedebant, et adorabant; tiara autem capite ejus delapsa, juvenis quidam Persa, Mithridates nomine, inscius qui sit jaculo tempus ipsius juxta oculum verberat. Eo ex vulnere quum multum sanguinis proflueret, vertigine et sopore occupatus Cyrus equo devolvitur. Equus profugus oberravit, stratum equi delapsum ac sanguine oppletum ejus qui vulneraverat Cyrum comes accepit. (3) Ægre autem ab ictu ad se redeuntem Cyrum eunuchi qui aderant pauci in alium equum imponere et servare intenderunt; quumque ad id virium satis non habere pedibusque incedere conaretur, manibus suis sublevatum duxerunt, titubantem corpore caputque demittentem, victoria tamen potitum se arbitrantem, quod fugientes Cyrum nomine vocare et sibi ut parceret orare audiebat. (4) Interim Caunii quidam extremæ sortis homines et egeni, ac qui abjectorum ministeriorum causa castra regis secuti erant, comitatui Cyri veluti amicis se admiscuerant. Hi quum vix tandem conspexissent saga, quæ thoracibus superinduntur, punicea (nam regii omnes albis utebantur), cum hostibus se versari senserunt, et unus eorum ausus est a tergo Cyrum, ignotum sibi, jaculo petere. Is ictus Cyri venam in poplite rupit, atque inter cadendum Cyrus saxo tempus sauciatum allidens moritur. Hujusmodi est Ctesiæ narratio, qua quasi hebeti mucrone vix conficiens Cyrum confecit tandem.

XII. Jam mortuo Cyro, Artasyras regis speculator, equo ibi forte prætervectus, quum eunuchorum lamentationem sentiret, eum cujus præcipua fides erat, sic percontatur : Quisnam est iste, o Parisca, quem assidens deftes? Tum ille : Non cernis, o Artasyra, defunctum vita Cyrum? Miratus

Κῦρον τεθνηκότα; » Θαυμάσας οὖν ὁ Ἀρτασύρας τῷ μὲν εὐνούχῳ θαῤῥεῖν παρεκελεύσατο καὶ φυλάττειν τὸν νεκρὸν, αὐτὸς δὲ συντείνας πρὸς τὸν Ἀρτοξέρξην, ἀπεγνωκότα μὲν ἤδη τὰ πράγματα, κακῶς δὲ καὶ τὸ σῶμα διακείμενον ὑπό τε δίψης καὶ τοῦ τραύματος, χαίρων φράζει, ὡς αὐτὸς ἴδοι τεθνηκότα Κῦρον. (2) Ὁ δὲ πρῶτον μὲν εὐθὺς ὥρμησεν αὐτὸς ἰέναι καὶ τὸν Ἀρτασύραν ἄγειν ἐκέλευσεν ἐπὶ τὸν τόπον· ἐπεὶ δὲ πολὺς ἦν λόγος τῶν Ἑλλήνων καὶ φόβος ὡς διωκόντων καὶ πάντα νικώντων καὶ κρατούντων, ἔδοξε πλείονας b πέμψαι τοὺς κατοψομένους· καὶ τριάκοντα λαμπάδας ἔχοντες ἐπέμφθησαν. (3) Αὐτῷ δὲ μικρὸν ἀπολείποντι τοῦ τεθνάναι διὰ τὸ διψῆν Σατιβαρζάνης ὁ εὐνοῦχος περιθέων ἐζήτει ποτόν· οὐ γὰρ εἶχε τὸ χωρίον ὕδωρ οὐδὲ ἦν ἐγγὺς τὸ στρατόπεδον. Μόλις οὖν ἐπιτυγχάνει τῶν Καυνίων ἐκείνων τῶν κακοβίων ἑνὸς ἐν ἀσκίῳ φαύλῳ διεφθαρμένον ὕδωρ καὶ πονηρὸν ἔχοντος, ὅσον ὀκτὼ κοτύλας· καὶ λαβὼν τοῦτο καὶ κομίσας τῷ βασιλεῖ δίδωσιν. Ἐκπιόντα δὲ ἅπαν ἠρώτησεν, εἰ μὴ πάνυ δυσχεραίνει τὸ ποτόν. Ὁ δ' ὤμοσε τοὺς θεοὺς μήτε οἶνον ἡδέως οὕτως πώποτε πεπωκέναι μήτε ὕδωρ τὸ κουφότατον καὶ καθαρώτατον. Ὥστε ἔφη· « Τὸν c δόντα σοι τοῦτο ἄνθρωπον, ἂν ἐγὼ μὴ δυνηθῶ ζητήσας ἀμείψασθαι, τοὺς θεοὺς εὔχομαι ποιῆσαι μακάριον καὶ πλούσιον. »

XIII. Ἐν δὲ τούτῳ προσήλαυνον οἱ τριάκοντα λαμπροὶ καὶ περιχαρεῖς ἀναγγέλλοντες αὐτῷ τὴν ἀνέλπιστον εὐτυχίαν. Ἤδη δὲ καὶ πλήθει τῶν συντρεχόντων πάλιν πρὸς αὐτὸν καὶ συνισταμένων ἐθάῤῥει καὶ κατέβαινεν ἀπὸ τοῦ λόφου φωτὶ πολλῷ περιλαμπόμενος. Ὡς δὲ ἐπέστη τῷ νεκρῷ καὶ κατά δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ ἀπεκόπη καὶ ἡ κεφαλὴ τοῦ σώματος, ἐκέλευσε τὴν κεφαλὴν αὐτῷ κομισθῆναι· καὶ τῆς κόμης δραξάμενος οὔσης βαθείας καὶ λασίας, ἐπεδείκνυε τοῖς ἀμφιδοξοῦσιν ἔτι καὶ φεύγουσιν. Οἱ δὲ d ἐθαύμαζον καὶ προσεκύνουν, ὥστε ταχὺ μυριάδας ἑπτὰ περὶ αὐτὸν γενέσθαι καὶ συνεισελάσαι πάλιν εἰς τὸ στρατόπεδον. (2) Ἐξεληλάκει δὲ, ὡς ὁ Κτησίας φησὶν, ἐπὶ τὴν μάχην τεσσαράκοντα μυριάσιν. Οἱ δὲ περὶ Δείνωνα καὶ Ξενοφῶντα πολὺ πλείονας γενέσθαι λέγουσι τὰς μεμαχημένας. Ἀριθμὸν δὲ νεκρῶν ὁ Κτησίας ἐνακισχιλίους ἀνενεχθῆναί φησι πρὸς τὸν Ἀρτοξέρξην, αὐτῷ δὲ δισμυρίων οὐκ ἐλάττους φανῆναι τοὺς κειμένους. (3) Ταῦτα μὲν οὖν ἔχει διαμφισβήτησιν· ἐκεῖνο δὲ τοῦ Κτησίου λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάναι πρὸς τοὺς Ἕλληνας αὐτὸν μετὰ Φαλίνου τοῦ Ζακυνθίου καί τινων ἄλλων. Ὁ γὰρ Ξενοφῶν ἠπίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν· μέμνηται γὰρ αὐτοῦ καὶ τοῖς βιβλίοις τούτοις ἐντετυχηκὼς δῆλός e ἐστιν· οὐκ ἂν οὖν ἐλθόντα καὶ λόγων τοσούτων ἑρμηνέα γενόμενον παρῆκεν ἀνώνυμον, Φαλῖνον δὲ τὸν Ζακύνθιον ὠνόμαζεν. Ἀλλὰ δαιμονίως ὁ Κτησίας, ὡς ἔοικε, φιλότιμος ὢν καὶ οὐχ ἧττον φιλολάκων καὶ φιλοκλέαρχος, ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δί-

id Artasyras eunuchum bono esse animo et cadaver custodire jussit, ipse qua potuit maxima celeritate ad Artoxerxem contendit. Quem ut jam de rebus suis desperantem, corpore etiam male ob vulnus et sitim affecto offendit, lætus ei annuntiat, visum a se Cyri cadaver. (2) Rex, eo audito, primum ipse ire statuit et Artasyram jussit ut se ad locum eum duceret; quum autem multus esset sermo de Græcis, iique ut victores et omnia jam tenentes passimque victos persequentes metuerentur, placuit plures mitti qui rem certo explorarent, missique cum facibus sunt triginta viri. (3) Interim rege pæne siti pereunte, Satibarzanes eunuchus circum cursitabat, potum quærens; nam neque aqua erat eo in loco, et aberant procul a castris. Tandem unum de miseris istis Cauniis adipiscitur, qui in utriculo sordido aquæ corruptæ circiter octo cotylas habebat; eamque eunuchus ad regem affert. Quumque is totam ebibisset, quæsivit ex eo, ecquid non plurimum hoc potu molestiæ sensisset. Respondit rex deos testatus: nunquam se ita suaviter vel vinum bibisse, vel aquam levissimam atque purissimam. Itaque ego, inquit, si hominem eum a quo aquam istam accepisti, nequeam inventum remunerari, dii precor ut beatum eum divitemque faciant.

XIII. Jam et triginta isti reversi erant gaudio exsultantes et insperatam felicitatem renuntiantes. Et multis ad se jam confluentibus, agmenque denuo facientibus, animo recepto degressus est de tumulo, multis facibus circumlucentibus. Ut astitit cadaveri, ejusque instituto quodam Persico manus dextra et caput præcisa sunt, caput ad se afferri jussit, comaque id, quæ prolixa erat et densa, apprehensum dubitantibus adhuc et fugientibus ostentavit. Mirati sunt homines regemque adoraverunt, ita ut mox septuaginta hominum millia ad eum se receperint unaque in castra redierint. (2) Cum quadringentis hominum millibus ad pugnam eum profectum Ctesias scribit; Xenophon et Dino multo majorem eorum, qui pugnaverint, numerum assignant. Eorum qui in prœlio cæsi sunt numerum ait Ctesias ad Artoxerxem esse relatum, novem millia, ipsi cadavera visa haud pauciora viginti millibus esse narrat. (3) Verum hæc aliquid habent controversiæ. Illud vero splendidum jam est Ctesiæ mendacium, quod se una cum Phalino Zacynthio et quibusdam aliis ad Græcos esse legatum scribit. Xenophon enim Ctesiam cum rege versatum fatetur, facitque ejus mentionem, neque est obscurum lectos ab eo Ctesiæ libros; ut nullo modo silentio præteriturus fuerit, si quidem is ad Græcos venisset tantisque de rebus sententiam regis interpretatus esset, præsertim quum Phalinum Zacynthium nominaverit. Sed mirifice nimirum ambitiosus Ctesias, juxtaque Laconum et Clearchi studio-

δωσιν, ἐν αἷς γενόμενος πολλὰ καὶ καλὰ μεμνήσεται Κλεάρχου καὶ τῆς Λακεδαίμονος.

f XIV. Μετὰ δὲ τὴν μάχην δῶρα κάλλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσου παιδὶ τοῦ πεσόντος ὑπὸ Κύρου, καλῶς δὲ καὶ Κτησίαν καὶ τοὺς ἄλλους ἐτίμησε. Τὸν δὲ Καύνιον ἐκεῖνον ἐξανευρὼν, ὃς ἐπέδωκε τὸ ἀσκίον, ἐξ ἀδόξου καὶ πένητος ἔντιμον καὶ πλούσιον ἐποίησεν. (2) Ἦν δέ τις ἐπιμέλεια καὶ περὶ τὰς τῶν ἐξαμαρτόντων δικαιώσεις. Ἀρβάκην μὲν γάρ 1018 a τινα Μῆδον ἐν τῇ μάχῃ πρὸς Κῦρον φυγόντα καὶ πάλιν ἐκείνου πεσόντος μεταστάντα, δειλίαν καὶ μαλακίαν καταγνοὺς, οὐ προδοσίαν οὐδὲ κακόνοιαν, ἐκέλευσε γυμνὴν ἀναλαβόντα πόρνην περιβάδην ἐπὶ τοῦ τραχήλου δι' ἡμέρας ὅλης ἐν ἀγορᾷ περιφέρειν. Ἑτέρου δὲ πρὸς τῷ μεταστῆναι ψευσαμένου καταβαλεῖν δύο τῶν πολεμίων προσέταξε διαπεῖραι τρισὶ βελόναις τὴν γλῶτταν. (3) Οἰόμενος δὲ καὶ βουλόμενος δοκεῖν καὶ λέγειν πάντας ἀνθρώπους, ὡς αὐτὸς ἀπεκτόνοι Κῦρον, Μιθριδάτῃ τε τῷ βαλόντι πρώτῳ Κῦρον ἐξέπεμψε δῶρα καὶ λέγειν ἐκέλευσε τοὺς διδόντας, ὡς « Τούτοις σε τιμᾷ βασιλεὺς, ὅτι τὸν ἐφίππειον Κύρου πῖλον εὑρὼν ἀνήνεγ- b κας· » τοῦ δὲ Καρὸς, ὑφ' οὗ τὴν ἰγνύαν πληγεὶς ὁ Κῦρος ἔπεσε, καὶ αὐτοῦ δωρεὰν αἰτοῦντος, ἐκέλευσεν εἰπεῖν τοὺς διδόντας ὅτι « Σοὶ ταῦτα δίδωσιν ὁ βασιλεὺς εὐαγγελίων δευτερεῖα· πρῶτος γὰρ Ἀρτασύρας, μετ' ἐκεῖνον δὲ σὺ τὴν Κύρου τελευτὴν ἀπήγγειλας. » (4) Ὁ μὲν οὖν Μιθριδάτης ἀπῆλθε σιωπῇ λυπούμενος· τὸν δὲ ἄθλιον Κᾶρα κοινόν τι πάθος ἐξ ἀβελτηρίας κατέσχε. Διαφθαρεὶς γὰρ ὑπὸ τῶν παρόντων, ὡς ἔοικεν, ἀγαθῶν καὶ ἀναπεισθεὶς εὐθὺς ἀντιποιεῖσθαι τῶν ὑπὲρ αὐτὸν, οὐκ ἠξίου τὰ δοθέντα μισθὸν εὐαγγελίων ἔχειν, ἀλλ' ἠγανάκτει μαρτυρόμενος καὶ βοῶν, ὅτι Κῦρον c οὐδεὶς ἕτερος, ἀλλ' αὐτὸς ἀπεκτόνοι καὶ τὴν δόξαν οὐ δικαίως ἀποστεροῖτο. (5) Ταῦτα δὲ ἀκούσας ὁ βασιλεὺς σφόδρα παρωξύνθη καὶ τὴν κεφαλὴν ἐκέλευσεν ἀποτεμεῖν τοῦ ἀνθρώπου. Παροῦσα δ' ἡ μήτηρ, « Μή σύ γε, εἶπεν, οὕτω τὸν Κᾶρα τοῦτον, ὦ βασιλεῦ, τὸν ὄλεθρον ἀπαλλάξῃς, ἀλλὰ παρ' ἐμοῦ τὸν ἄξιον ἀπολήψεται μισθὸν ὧν τολμᾷ λέγειν. » Ἐπιτρέψαντος δὲ τοῦ βασιλέως, ἐκέλευσε τοὺς ἐπὶ τῶν τιμωριῶν ἡ Παρύσατις λαβόντας τὸν ἄνθρωπον ἐφ' ἡμέρας δέκα στρεβλοῦν, εἶτα τοὺς ὀφθαλμοὺς ἐξορύξαντας εἰς τὰ ὦτα θερμὸν ἐντήκειν χαλκὸν, ἕως ἀποθάνῃ.

d XV. Κακῶς δὲ ἀπώλετο καὶ Μιθριδάτης μετ' ὀλίγον χρόνον ἐκ τῆς αὐτῆς ἀβελτηρίας. Κληθεὶς γὰρ ἐπὶ δεῖπνον, ἔνθα καὶ βασιλέως καὶ τῆς μητρὸς εὐνοῦχοι παρῆσαν, ἧκεν ἐσθῆτι καὶ χρυσῷ κεκοσμημένος, οἷς ἔλαβε παρὰ βασιλέως. Ἐπεὶ δὲ εἰς τὸ πίνειν ἀφίκοντο, λέγει πρὸς αὐτὸν ὁ μέγιστον δυνάμενος τῶν Παρυσάτιδος εὐνούχων· « Ὡς καλὴν μὲν ἐσθῆτά σοι ταύτην, ὦ Μιθριδάτα, ὁ βασιλεὺς δέδωκε, καλὰ δὲ στρεπτὰ καὶ ψέλια, πολλοῦ δὲ ἄξιος ὁ ἀκινάκης. Ἦ μακάριόν σε καὶ περίβλεπτον ἅπασι πεποίηκεν. » Ἤδη δὲ μεθύων ὁ Μιθριδάτης, « Τί δὲ ταῦτά ἐστιν, εἶπεν,

sus, subinde in narratione sua locum sibi aliquem parat in laudes Clearchi et Spartæ digrediendi easque prædicandi.

XIV. Secundum pugnam rex maxima et pulcherrima dona misit filio Artagersæ ejus, quem a Cyro occisum esse demonstravimus, præclaris etiam honoribus Ctesiam ac reliquos affecit. Et repertum Caunium istum, qui utriculum cum aqua præbuerat, ex ignobili et paupere honoratum divitemque redegit. (2) In suppliciis quoque eorum qui deliquerant accurationem adhibuit. Namque Arbacem quendam Medum, qui in prœlio ad Cyrum transfugerat, rursusque eo interfecto ad regios se receperat, non proditionis aut malevolentiæ, sed timiditatis atque mollitiei damnans, scortum nudum jussit cervici suæ impositum equitantis modo in foro per integrum diem circumferre. Alteri, qui non contentus transitione, mentitus insuper fuerat duos ex hostibus a se dejectos, linguam tribus acubus transfigi jussit. (3) Ceterum putans cupiensque omnes homines ita sentire atque loqui, Cyrum ab ipso interfectum fuisse, missis ad Mithridatem, qui primus sauciaverat Cyrum muneribus, dicere ei jussit : iis eum donis a rege affici, quod equi stratum Cyri inventum retulerit. Cari autem, a quo in poplite Cyrus vulneratus occubuit, præmium postulanti, eos qui id dabant indicare præcepit, hæc ei regem largiri, quod secundus in annuntianda Cyri morte fuisset : Primus omnium Artasyras, post illum tu de Cyri morte ad regem attulisti nuntium. (4) Et Mithridates quidem tacitum injuriæ dolorem ferens abiit. At infelix ille Car id passus est, quod fere stolidis hominibus evenire solet. Præsentibus enim bonis luxurians, ad ea quæ conditione ipsius erant superiora provectus est appetenda, neque contentus ea quæ acceperat, sibi præmii loco ob faustum allatum nuntium obtigisse, quiritatus est, obtestans deos atque vociferans, a nemine alio quam a se Cyrum necatum esse, atque injuste eam sibi gloriam adimi. (5) Hæc quum audiret rex, tanta exarsit ira, ut amputari caput homini mandaret. Aderat tum Parysatis ea a filio impetravit ne hoc modo sceleratum istum hominem puniret, sed sibi merito eorum quæ jactaret supplicio afficiendum traderet. Rege consentiente, ea carnificibus Carem traditum per decem dies cruciatibus torquere, inde oculos effodere, inque aures æs liquefactum infundere, atque ita necare jussit.

XV. Neque multo post Mithridati eadem vecordia exitio fuit. Vocatus enim ad cœnam, cui et regis et Parysatidis eunuchi intererant, veste et auro, quibus eum rex donaverat, ornatus venit. Ibi quum Sparamizes, eunuchorum Parysatidis potentissimus, inter pocula eum compellasset ac pulchritudinem vestis, quam is a rege dono accepisset, tum torques et armillas acinacemque collaudasset, quibus eum rex beatum omnibusque suspiciendum effecisset; ebrius jam Mithridates : Quid, inquit, hæc tu æstimas? majoribus ego me et pulchrioribus dignum mu-

ὦ Σπαραμίζη; μειζόνων γὰρ ἐγὼ καὶ καλλιόνων βασιλεῖ τὴν ἡμέραν ἐκείνην ἄξιον ἐμαυτὸν παρέσχον.» Καὶ ὁ Σπαραμίζης ἐπιμειδιάσας, «Φθόνος μὲν οὐδείς, ὦ Μιθριδάτα, εἶπεν· ἐπεὶ δέ φασιν Ἕλληνες οἶνον καὶ ἀλήθειαν εἶναι, τί λαμπρὸν, ὦ τὰν, ἢ μέγα, πῖλον εὑρεῖν ἵππου περιῤῥυέντα καὶ τοῦτον ἀνενεγκεῖν;» (2) Ταῦτα δὲ οὐκ ἀγνοῶν τὸ ἀληθὲς ἔλεγεν, ἀλλὰ βουλόμενος ἐκκαλύψαι πρὸς τοὺς παρόντας ὑπεκίνει τὴν κουφότητα τοῦ ἀνθρώπου λάλου καὶ ἀκρατοῦς γεγονότος διὰ τὸν οἶνον. Εἶπεν οὖν μὴ κατασχών· «Ὑμεῖς μὲν, ὅ τι βούλεσθε, πίλους λέγετε καὶ φλυάρους· ἐγὼ δὲ ὑμῖν λέγω διαῤῥήδην ὑπὸ ταύτης ἀνῃρῆσθαι Κῦρον τῆς χειρός. Οὐ γὰρ, ὡς Ἀρταγέρσης, ἠκόντισα κενὸν καὶ μάταιον, ἀλλὰ τοῦ μὲν ὀφθαλμοῦ μικρὸν ἥμαρτον, τοῦ δὲ κροτάφου τυχὼν καὶ διελάσας κατέβαλον τὸν ἄνδρα, καὶ τέθνηκεν ὑπ' ἐκείνου τοῦ τραύματος.» Οἱ μὲν οὖν ἄλλοι τὸ τέλος ἤδη τοῦ Μιθριδάτου καὶ τὴν κακοδαιμονίαν ὁρῶντες εἰς τὴν γῆν ἔκυψαν· ὁ δ' ἑστιῶν αὐ-
1019 τούς, «Ὦ τὰν, ἔφη, Μιθριδάτα, πίνωμεν ἐν τῷ παρόντι καὶ ἐσθίωμεν τὸν βασιλέως δαίμονα προσκυνοῦντες, λόγους δὲ μείζους ἢ καθ' ἡμᾶς ἐάσωμεν.»

XVI. Ἐκ τούτου τῇ μὲν Παρυσάτιδι φράζει τὸν λόγον ὁ εὐνοῦχος, ἐκείνη δὲ βασιλεῖ· βασιλεὺς δὲ ἠγανάκτησεν ὥσπερ ἐξελεγχόμενος καὶ τὸ κάλλιστον καὶ ἥδιστον ἀπολλύων τῆς νίκης. Ἐβούλετο γὰρ βαρβάρους ἅπαντας πεπεῖσθαι καὶ Ἕλληνας, ὡς ἐν ταῖς ἐξελάσεσι καὶ συμπλοκαῖς δοὺς καὶ λαβὼν πληγὴν ἐτρώθη μὲν αὐτός, ἔκτεινε δὲ ἐκεῖνον. Ἐκέλευσεν οὖν τὸν Μιθριδάτην ἀποθανεῖν σκαφευθέντα. (2) Τὸ δὲ σκαφευθῆναι τοιοῦτόν ἐστι· σκάφας δύο πεποιημένας ἐφαρμόζειν ἀλλήλαις λαβόντες, εἰς τὴν ἑτέραν κατακλίνουσι τὸν κολαζόμενον ὕπτιον· εἶτα τὴν ἑτέραν ἐπάγοντες καὶ συναρμόζοντες, ὥστε τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἔξω καὶ τοὺς πόδας ἀπολαμβάνεσθαι, τὸ δὲ ἄλλο σῶμα πᾶν ἀποκεκρύφθαι, διδόασιν ἐσθίειν τῷ ἀνθρώπῳ, κἂν μὴ θέλῃ, προσβιάζονται κεντοῦντες τὰ ὄμματα· φαγόντι δὲ πιεῖν μέλι καὶ γάλα συγκεκραμένον ἐγχέουσιν εἰς τὸ στόμα καὶ κατὰ τοῦ προσώπου καταχέουσιν. Εἶτα πρὸς τὸν ἥλιον ἀεὶ στρέφουσιν ἐναντία τὰ ὄμματα, καὶ μυιῶν προσκαθημένων πλῆθος πᾶν ἀποκρύπτεται τὸ πρόσωπον. Ἐντὸς δὲ ποιοῦντος ὅσα ποιεῖν ἀναγκαῖόν ἐστιν ἐσθίοντας ἀνθρώπους καὶ πίνοντας, εὐλαὶ καὶ σκώληκες ὑπὸ φθορᾶς καὶ σηπεδόνος ἐκ τοῦ περιττώματος ἀναζέουσιν, ὑφ' ὧν ἀναλίσκεται τὸ σῶμα διαδυομένων εἰς τὰ ἐντός. Ὅταν γὰρ ἤδη φανερὸς ᾖ τεθνηκὼς ὁ ἄνθρωπος, ἀφαιρεθείσης τῆς ἐπάνω σκάφης ὁρῶσι τὴν μὲν σάρκα κατεδηδεσμένην, περὶ δὲ τὰ σπλάγχνα τοιούτων θηρίων ἑσμοὺς ἐσθιόντων καὶ προσπεφυκότων. Οὕτως ὁ Μιθριδάτης ἑπτακαίδεκα ἡμέρας φθειρόμενος μόλις ἀπέθανε.

XVII. Λοιπὸς δ' ἦν τῇ Παρυσάτιδι σκοπὸς ὁ τὴν κεφαλὴν ἀποτεμὼν καὶ τὴν χεῖρα τοῦ Κύρου Μασαβάτης, βασιλέως εὐνοῦχος. Ὡς οὖν αὐτὸς οὐδεμίαν καθ' ἑαυτοῦ λαβὴν παρεδίδου, τοιοῦτον ἐπιβουλῆς τρόπον

e neribus rege ea die præbui. Ad hæc subridens leniter Sparamizes, Non equidem, ait, tibi, o Mithridata, invideo quicquam, sed quando Græci ferunt in vino esse veritatem, quid tandem adeo magnum est aut præclarum, stratum equo delapsum invenisse et retulisse? (2) Dicebat autem hæc, non ignarus veritatis, sed ut rem apud eos qui intererant detegeret, occasionem levitati hominis præbebat, jam ob temulentiam loquacis et sui impotis. Ergo non continuit se Mithridates, quin diceret: « Vos quidem strata et alias nugas quantum libet commemorate; ego vobis diserte edico, hac manu Cyrum esse occisum.
f Non enim, ut Artagerses, telum sine ictu conjeci, sed quum paululum ab oculo aberrassem, tempus Cyri attigi atque trajeci, eumque stravi, et est ex eo vulnere mortuus. » Hæc illo fato, ceteri infelicitatem hominis et exitium animo prævidentes, oculos in terram dejecerunt; qui autem convivium præbebat: Heus, inquit, Mi-
a thridate, edamus in præsentia atque bibamus, et regis genium veneremur, à sermonibus nostra sorte superioribus abstinentes.

XVI. Eunuchus porro Mithridatis sermonem ad Parysatidem, ea ad regem defert. Indignatus graviter est rex se redargui, pulcherrimamque et suavissimam victoriæ partem sibi eripi. Volebat enim ab omnibus barbaris Græcisque pro certo credi, se in concursu cum fratre illato acceptoque vulnere eum interfecisse. Mithridatem itaque inter scaphas necari jubet. (2) Supplicii genus quale sit exponam. Duas scaphas quæ mutuo quadrent
b accipiunt; in alteram harum is qui plectendus est supinus collocatur, inde alteram imponunt, itaque aptant, ut caput, manus pedesque promineant, totum alioquin corpus occultetur. Ita incluso cibus præbetur, ac si edere nolit, oculos compungendo eum cogunt; quum edit, mel lacti mixtum ei potandum in os infundunt et super faciem defundunt. Ita vero semper eum collocant, ut adversus solem oculos habeat, ut muscarum identidem assidentium multitudine facies ejus tota obtegatur. Quum autem in
c scaphis interius ea faciat, quæ necesse est hominem cibo potuque fruentem, ex putredine et corruptione excrementorum teredines atque vermes pullulant, qui in intestina subrepentes corpus consumunt. Quum enim jam constat mortuum esse, remota superiori scapha intuentur carnes devoratas, et ejusmodi animalculorum examina intestinis inhærentium eaque corrodentium. Hoc modo Mithridates septendecim dies cruciatus, lenta morte absumptus est.

XVII. Reliquus adhuc unus erat Parysatidi scopus, in quem intenderet: Masabates nimirum regis eunuchus, qui caput et manum Cyri amputaverat. Hunc quia nullam ansam præbebat, hujusmodi insidiis ea petiit. Ingeniosa

ἡ Παρύσατις συνέθηκεν. Ἦν τά τε ἄλλα θυμόσοφος d γυνὴ καὶ δεινὴ κυβεύειν· διὸ καὶ βασιλεῖ πρὸ τοῦ πολέμου πολλάκις συνεκύβευε· μετὰ δὲ τὸν πόλεμον διαλυθεῖσα πρὸς αὐτὸν οὐκ ἔφευγε τὰς φιλοφροσύνας, ἀλλὰ καὶ συνέπαιζε καὶ τῶν ἐρωτικῶν ἐκοινώνει συμπράττουσα καὶ παροῦσα, καὶ ὅλως μικρότατον αὐτοῦ τῇ Στατείρᾳ μετεδίδου χρῆσθαι καὶ συνεῖναι, μισοῦσά τε μάλιστα πάντων ἐκείνην καὶ μέγιστον αὐτὴ βουλομένη δύνασθαι. (2) Λαβοῦσα δή ποτε τὸν Ἀρτοξέρξην ὡρμημένον ἀλύειν σχολῆς οὔσης, προὐκαλεῖτο περὶ χιλίων δαρεικῶν κυβεῦσαι· καὶ κυβεύοντα περιεῖδε νικῆσαι καὶ τὸ χρυσίον ἀπέδωκε. Προσποιουμένη δὲ ἀνιᾶσθαι καὶ φιλονεικεῖν, ἐκέλευσεν αὖθις ἐξ ἀρχῆς περὶ εὐνούχου διακυβεῦσαι· κἀκεῖνος ὑπήκουσε. Ποιησάμενοι δὲ συνθήκας πέντε μὲν ἑκάτερον ὑπεξελέσθαι τοὺς πιστοτάτους, ἐκ δὲ τῶν λοιπῶν, ὃν ἂν ὁ νικῶν ἕληται, δοῦναι τὸν ἡττώμενον, ἐπὶ τούτοις ἐκύβευον. Σφόδρα δὴ γενομένη πρὸς e τῷ πράγματι καὶ σπουδάσασα περὶ τὴν παιδιάν, εὖ δέ πως αὐτῇ καὶ τῶν κύβων πεσόντων, νικήσασα λαμβάνει τὸν Μασαβάτην· οὐ γὰρ ἦν ἐν τοῖς ὑπεξῃρημένοις. Καὶ πρὶν ἐν ὑποψίᾳ γενέσθαι βασιλέα τοῦ πράγματος ἐγχειρίσασα τοῖς ἐπὶ τῶν τιμωριῶν, προσέταξεν ἐκδεῖραι ζῶντα, καὶ τὸ μὲν σῶμα πλάγιον διὰ τριῶν σταυρῶν ἀναπῆξαι, τὸ δὲ δέρμα χωρὶς διαπατταλεῦσαι. (3) Γενομένων δὲ τούτων καὶ βασιλέως χαλεπῶς φέροντος καὶ παροξυνομένου πρὸς αὐτήν, εἰρωνευομένη μετὰ γέλωτος, « Ὡς ἡδύς, ἔφασκεν, εἶ καὶ μακάριος, εἰ χαλεπαίνεις διὰ γέροντα πονηρὸν εὐνοῦχον, ἐγὼ δὲ χιλίους f ἐκκυβευθεῖσα δαρεικοὺς σιωπῶ καὶ στέργω. » Βασιλεὺς μὲν οὖν ἐφ' οἷς ἐξηπατήθη μεταμελόμενος ἡσυχίαν ἦγεν, ἡ δὲ Στάτειρα καὶ πρὸς τἆλλα φανερῶς ἠναντιοῦτο καὶ τούτοις ἐδυσχέραινεν, ὡς ἄνδρας εὐνούχους καὶ πιστοὺς βασιλεῖ διὰ Κῦρον ὠμῶς καὶ παρανόμως ἀπολλυούσης αὐτῆς.

1020 XVIII. Ἐπεὶ δὲ Κλέαρχον καὶ τοὺς ἄλλους στρατηγοὺς a Τισαφέρνης ἐξηπάτησε καὶ παρεσπόνδησεν, ὅρκων γενομένων, καὶ συλλαβὼν ἀνέπεμψεν ἐν πέδαις δεδεμένους, δεηθῆναί φησιν αὐτοῦ τὸν Κλέαρχον ὁ Κτησίας, ὅπως κτενὸς εὐπορήσειε. Τυχόντα δὲ καὶ τημελήσαντα τὴν κεφαλὴν ἡσθῆναί τε τῇ χρείᾳ καὶ τὸν δακτύλιον αὐτῷ δοῦναι σύμβολον φιλίας πρὸς τοὺς ἐν Λακεδαίμονι συγγενεῖς καὶ οἰκείους· εἶναι δὲ γλυφὴν ἐν τῇ σφραγῖδι Καρυάτιδας ὀρχουμένας. (2) Τὰ δὲ πεμπόμενα σιτία τῷ Κλεάρχῳ τοὺς συνδεδεμένους στρατιώτας ἀφαιρεῖσθαι καὶ καταναλίσκειν, ὀλίγα τῷ Κλεάρχῳ διδόντας ἀπ' αὐτῶν. Ἰάσασθαι δὲ καὶ τοῦτό φησιν ὁ Κτησίας, πλείονα τῷ Κλεάρχῳ πέμπεσθαι διαπραξάμενος, ἰδίᾳ δὲ ἕτερα b τοῖς στρατιώταις δίδοσθαι· καὶ ταῦτα μὲν ὑπουργῆσαι καὶ παρασχεῖν χάριτι καὶ γνώμῃ τῆς Παρυσάτιδος. Πεμπομένου δὲ καθ' ἡμέραν τῷ Κλεάρχῳ κωλῆνος ἐπὶ τοῖς σιτίοις, παρακαλεῖν αὐτὸν καὶ διδάσκειν, ὡς χρὴ μικρὸν εἰς τὸ κρέας ἐμβαλόντα μαχαίριον ἀποκρύψαντα πέμψαι καὶ μὴ περιιδεῖν ἐπὶ τῇ βασιλέως ὠμότητι τὸ τέλος αὐτοῦ γενόμενον· αὐτὸν δὲ φοβούμενον μὴ ἐθελῆ-

erat mulier Parysatis, ludique tesserarum perita; itaque et ante bellum sæpe cum rege colluserat et reconciliata post bellum gratia, non subterfugiebat eam consuetudinem sed et lusitabat una, et ejus amores opera sua adjuvabat atque præsentia, et omnino minimum Statiræ temporis relinquebat cum rege consuetudinem habendi, quum eam et omnium maxime odisset et summam ipsa potentiam affectaret. (2) Itaque quum aliquando regem otiosum deprehendisset animique relaxationem quærentem, ut secum tesseris luderet, depositis mille Daricis nummis, provocavit, atque passa est eum vincere et aurum numeravit. Tum dolere se simulans ulteriusque certandi cupidam, rursus uti secum luderet, deposito utrimque eunucho, rogavit. Annuit rex, itaque conventum est, uti uterque quinque quos maxime fidos haberet, eximeret, de reliquis victor quem elegisset, eum victus exhiberet. Ludo instituto, Parysatis summo studio intenta, quum etiam tesseræ, commode cecidissent, vicit et Masabatem sibi dedi jussit: non enim is inter eos erat, qui exempti fuerant. Ac priusquam regem suspicio rei attingeret, carnificibus eum tradidit, mandavitque ut vivo pellis detraheretur, corpus obliquum tribus crucibus et seorsum cutis suffigeretur. (3) Quod factum quum iniquius rex ferret, eique irasceretur, cavillans cum risu, Suavis, inquit, homo es et beatus, qui ob malum senem eunuchum stomacheris, quum ego me Daricos mille ludendo amisisse tacita atque bono animo feram. Pœnituit regem, quod se ita in fraudem induci passus esset, sed tamen quievit. At Statira quum aliis in rebus palam Parysatidi est adversata, tum id graviter molesteque tulit, quod eunuchos ea et homines fideles regi propter Cyrum ita crudeliter et injuste interimeret.

XVIII. Quum vero Tisaphernes juramento interposito Clearchum et alios Græcorum duces decepisset, et fœdere violato comprehensos in compedibus ad regem misisset; narrat Ctesias, se a Clearcho oratum, ut ei pectinis copiam faceret. Quo quum esset potitus caputque compsisset, delectatum officio annulum sibi dedisse, amicitiæ ad cognatos et necessarios, quos Lacedæmone habebat, tesseram, insculptas autem fuisse annulo caryatides saltantes. (2) Porro missa Clearcho alimenta ab iis qui una captivi detinebantur militibus ei erepta atque consumpta sunt, pauca Clearcho relinquentibus. Ei quoque malo remedium tulisse refert Ctesias et effecisse ut plura Clearcho mitterentur et seorsum alia militibus, atque ea se gratiam et consilio Parysatidis egisse. Et quum inter cibos quotidie perna Clearcho mitteretur, orasse eum etiam atque etiam, ut cultellum intra carnes abditum sibi mitteret, neque sineret, ut finis vitæ is, quem crudelitas regis statuisset, exspectandus esset;

σαι. Βασιλέα δὲ τῇ μὲν μητρὶ παραιτουμένῃ μὴ κτεῖναι τὸν Κλέαρχον ὁμολογῆσαι καὶ ὀμόσαι· πεισθέντα δὲ αὖθις ὑπὸ τῆς Στατείρας ἀποκτεῖναι πάντας πλὴν Μένωνος. (3) Ἐκ δὲ τούτου τὴν Παρύσατιν ἐπιβουλεῦσαι c τῇ Στατείρᾳ καὶ συσκευάσασθαι τὴν φαρμακείαν κατ' αὐτῆς, οὐκ εἰκότα λέγων, ἀλλὰ πολλὴν ἀλογίαν ἔχοντα τῆς αἰτίας, εἰ δεινὸν ἔργον οὕτως ἔδρασε καὶ παρεκινδύνευσεν ἡ Παρύσατις διὰ Κλέαρχον ἀνελεῖν τολμήσασα τὴν γνησίαν βασιλέως γυναῖκα καὶ τέκνων κοινωνὸν ἐπὶ βασιλείας τρεφομένων. Ἀλλὰ ταῦτα μὲν οὐκ ἄδηλον ὡς ἐπιτραγῳδεῖται τῇ Κλεάρχου μνήμῃ. Καὶ γὰρ ἀναιρεθέντων φησὶ τῶν στρατηγῶν τοὺς μὲν ἄλλους ὑπὸ κυνῶν σπαράττεσθαι καὶ ὀρνέων, τῷ δὲ Κλεάρχου νεκρῷ θύελλαν ἀνέμου γῆς θῖνα πολλὴν φέρουσαν ἐπιχῶσαι καὶ ἐπικρύψαι τὸ σῶμα· φοινίκων δέ τινων διασπαρέντων d ὀλίγῳ χρόνῳ θαυμαστὸν ἄλσος ἀναφῦναι καὶ κατασκιάσαι τὸν τόπον, ὥστε καὶ βασιλεῖ σφόδρα μεταμέλειν, ὡς ἄνδρα θεοῖς φίλον ἀνῃρηκότι τὸν Κλέαρχον.

XIX. Ἡ δ' οὖν Παρύσατις, μίσους τε πρὸς τὴν Στάτειραν ἐξ ἀρχῆς ὑποκειμένου καὶ ζηλοτυπίας, ὁρῶσα τὴν μὲν αὑτῆς δύναμιν αἰδουμένου βασιλέως καὶ τιμῶντος οὖσαν, τὴν δ' ἐκείνης ἔρωτι καὶ πίστει βέβαιον καὶ ἰσχυρὰν, ἐπεβούλευσεν ὑπὲρ τῶν μεγίστων, ὡς ᾤετο, παραβαλλομένη. Θεράπαιναν εἶχε πιστὴν καὶ δυναμένην παρ' αὐτῇ μέγιστον, ὄνομα Γίγιν, ἣν ὁ μὲν Δείνων e ὑπουργῆσαι τῇ φαρμακείᾳ φησὶ, συγγνῶναι δὲ μόνον ἄκουσαν ὁ Κτησίας. Τὸν δὲ δόντα τὸ φάρμακον οὗτος μὲν ὀνομάζει Βελιτάραν, ὁ δὲ Δείνων Μελάνταν. (2) Ἐκ δὲ τῆς πρόσθεν ὑποψίας καὶ διαφορᾶς ἀρξάμεναι πάλιν εἰς τὸ αὐτὸ φοιτᾶν καὶ συνδειπνεῖν ἀλλήλαις, ὅμως τῷ δεδιέναι καὶ φυλάττεσθαι τοῖς αὐτοῖς σιτίοις καὶ ἀπὸ τῶν αὐτῶν ἐχρῶντο. Γίνεται δὲ μικρὸν ἐν Πέρσαις ὀρνίθιον, ᾧ περιττώματος οὐδέν ἐστιν, ἀλλ' ὅλον διάπλεων πιμελῆς τὰ ἐντός· καὶ νομίζουσιν ἀνέμῳ καὶ δρόσῳ τρέφεσθαι τὸ ζῷον· ὀνομάζεται δὲ ῥυντάκης. Τοῦτό φησιν ὁ Κτησίας μικρᾷ μαχαιρίδι κεχρισμένῃ τῷ φαρ- f μάκῳ κατὰ θάτερα τὴν Παρύσατιν διαιροῦσαν ἐκμάξαι τῷ ἑτέρῳ μέρει τὸ φάρμακον· καὶ τὸ μὲν ἄχραντον καὶ καθαρὸν εἰς τὸ στόμα βαλοῦσαν αὐτὴν ἐσθίειν, δοῦναι δὲ τῇ Στατείρᾳ τὸ πεφαρμαγμένον· ὁ δὲ Δείνων οὐ τὴν Παρύσατιν, ἀλλὰ τὸν Μελάνταν τέμνοντα τῷ μαχαιρίῳ τὰ φαρμασσόμενα τῶν κρεῶν τιθέναι κατὰ τὴν
1021 Στάτειραν. (3) Ἀποθνήσκουσα γοῦν ἡ γυνὴ μετὰ πό- a
νων μεγάλων καὶ σπαραγμῶν αὐτή τε συνῃσθάνετο τοῦ κακοῦ καὶ βασιλεῖ παρέσχεν ὑποψίαν κατὰ τῆς μητρὸς, εἰδότι τὸ θηριῶδες αὐτῆς καὶ δυσμείλικτον. Ὅθεν εὐθὺς ἐπὶ τὴν ζήτησιν ὁρμήσας τοὺς μὲν ὑπηρέτας καὶ τραπεζοκόμους τῆς μητρὸς συνέλαβε καὶ κατεστρέβλωσε, τὴν δὲ Γίγιν ἡ Παρύσατις πολὺν χρόνον εἶχεν οἴκοι μεθ' αὑτῆς καὶ βασιλέως ἐξαιτοῦντος οὐκ ἔδωκεν, ἀλλ' ὕστερον αὐτῆς δεηθείσης εἰς τὸν οἶκον ἀφεθῆναι νυκτὸς, αἰσθόμενος καὶ λόχον ὑφεὶς συνήρπασε καὶ κατέγνω θάνατον. (4) Ἀποθνήσκουσι δὲ οἱ φαρμακεῖς ἐν Πέρσαις b
κατὰ νόμον οὕτως· λίθος ἐστὶ πλατὺς, ἐφ' οὗ τὴν κεφα-

verum se metus causa ea in re ei non obsecutum. Regem matri necem Clearchi deprecanti juramento addito id confirmasse, rursus tamen ei a Statira persuasum fuisse, ut omnes, excepto Menone, interficeret. (3) Hanc causam insidiarum et veneficii in Statiram Parysatidi fuisse. Quæ quidem plane est absurda narratio, neque ullo modo probabile fuerit, tam atrox atque periculosum facinus eam ob Clearchi mortem aggressam, ut regis legitimam uxorem et communes liberos ad regnum educantem necaret. Sed obscurum non est, hæc tragica figmenta propter Clearchi memoriam ab eo addita. Nam et reliquorum ducum interfectorum cadavera refert a canibus et volucribus dilacerata, Clearchi corpori procellam venti magnum terræ aggerem ingessisse, eoque obruisse, et quum palmæ glandes quædam ibi essent dispersæ, brevi tempore mirabilem lucum inde enatum, locum eum obumbrasse, ita ut rex quoque gravi fuerit correptus pœnitentia, quod Clearchum diis carum hominem occidisset.

XIX. Ceterum Parysatis jam inde ab initio Statiræ infensa, ejusque æmula, quum suam potentiam a regis erga ipsam observantia pendere, Statiræ autem gratiam amore et fidelitate munitam esse videret, maxima de re, ut arbitrabatur, in periculum se misit, vitæque ejus insidias struxit. Famulam habebat fidelem et plurimæ apud se auctoritatis, nomine Gigin; hanc Dino veneficium administrasse, Ctesias consciam tantum, idque invitam, fuisse tradit, idemque eum qui venenum porrexerit Belitaram, ille Melantam nominat. (2) Quum vero post priores suspiciones et simultates Parysatis et Statira rursus convenire atque una cœnare cœpissent, magna tamen cum cautione iisdem cibis iisdemque ciborum administris utebantur. Nascitur apud Persas avicula, in qua nihil est superflui aut excrementi, sed omnia intus adipe sunt repleta; itaque etiam vento ac rore ali creditur; nomen ei Rhyntaces. Hanc Ctesias ait a Parysatide cultello in duas divisam partes, cujus altera superficies veneno fuerit illita, idque ita aviculæ pars altera deterserit; atque eam parte pura et non vitiata sumpta, edisse, Statiræ eam, quæ veneno infecta erat, tradidisse. Dino vero non Parysatidem, sed Melantam avem cultro secuisse carnesque medicatas Statiræ apposuisse narrat. (3) Mortua est Statira inter maximos cruciatus corporis atque convulsiones, et quum ipsa insidias deprehendit, tum in animo regis suspiciones sceleris materni excitavit, non ignorantis ferum ejus et implacabile ingenium. Itaque statim quæstionibus institutis famulos matris et mensæ ejus ministros tormentis excruciavit; Gigin diu domi suæ Parysatis detinuit, neque postulanti regi dedidit; tandem quum ipsa orasset, ut domum noctu dimitteretur, rex certior factus submissis per insidias hominibus eam deprehendit et capitis damnavit. (4) Lex apud Persas est, ut sons veneficii ad latum lapidem deducatur: ei caput

λὴν καταθέντες αὐτῶν ἑτέρῳ λίθῳ παίουσι καὶ πιέζουσιν, ἄχρι οὗ συνθλάσωσι τὸ πρόσωπον καὶ τὴν κεφαλήν. Ἡ μὲν οὖν Γίγις οὕτως ἀπέθανε. Τὴν δὲ Παρύσατιν ὁ Ἀρτοξέρξης ἄλλο μὲν οὐδὲν οὔτε εἶπε κακὸν οὔτε ἐποίησεν, εἰς δὲ Βαβυλῶνα βουλομένην ἐξέπεμψεν εἰπών, ἕως ἐκείνη περίεστιν, αὐτὸς οὐκ ὄψεσθαι Βαβυλῶνα. Τὰ μὲν κατὰ τὴν οἰκίαν οὕτως εἶχεν.

XX. Ἐπεὶ δὲ τοὺς Κύρῳ συναναβάντας Ἕλληνας σπουδάσας λαβεῖν ὁ βασιλεὺς οὐδὲν ἧττον ἢ Κύρου περιγενέσθαι καὶ τὴν βασιλείαν κατασχεῖν, οὐκ ἔλαβεν, ἀλλὰ Κῦρον τὸν ἡγεμόνα καὶ τοὺς αὐτῶν στρατηγοὺς ἀποβαλόντες ἐξ αὐτῶν μονονουχὶ τῶν βασιλείων ἐσώθησαν, c ἐξελέγξαντες καὶ ἀποφήναντες τὰ Περσῶν καὶ βασιλέως πράγματα χρυσὸν ὄντα πολὺν καὶ τρυφὴν καὶ γυναῖκας, τὰ δὲ ἄλλα τῦφον καὶ ἀλαζονείαν, πᾶσα μὲν ἡ Ἑλλὰς ἐξεθάῤῥησε καὶ κατεφρόνησε τῶν βαρβάρων, Λακεδαιμονίοις δὲ καὶ δεινὸν ἐφαίνετο μὴ νῦν γε δουλείας ἐξελέσθαι τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας μηδὲ παῦσαι προπηλακιζομένους ὑπ' αὐτῶν. (2) Πρότερον δὲ διὰ Θίμβρωνος, εἶτα διὰ Δερκυλλίδου πολεμοῦντες, οὐδὲν δὲ πράττοντες ἀξιόλογον, Ἀγησιλάῳ τῷ βασιλεῖ τὸν πόλεμον ἐπέτρεψαν. Ὁ δὲ περαιωθεὶς ναυσὶν εἰς Ἀσίαν εὐθὺς ἦν ἐνεργὸς καὶ δόξαν εἶχε μεγάλην καὶ Τισαφέρνην παραταξάμενος ἐνίκησε καὶ τὰς d πόλεις ἀφίστη. (3) Τούτων δὲ γενομένων συμφρονήσας ὁ Ἀρτοξέρξης ὃν τρόπον αὐτοῖς ἐστι πολεμητέον, ἔπεμψε Τιμοκράτην τὸν Ῥόδιον εἰς τὴν Ἑλλάδα χρυσίον πολὺ κομίζοντα, διδόναι καὶ διαφθείρειν τοὺς πλεῖστον ἐν ταῖς πόλεσι δυναμένους κελεύσας καὶ πόλεμον Ἑλληνικὸν κινεῖν ἐπὶ τὴν Λακεδαίμονα. (4) Τοῦ δὲ Τιμοκράτους ταῦτα πράττοντος καὶ τῶν μεγίστων πόλεων συνισταμένων καὶ τῆς Πελοποννήσου διαταραττομένης, μετεπέμποντο τὸν Ἀγησίλαον ἐκ τῆς Ἀσίας οἱ ἄρχοντες. Ὅτε δὴ καί φασιν αὐτὸν ἀπιόντα πρὸς τοὺς φίλους εἰπεῖν, ὡς τρισμυρίοις τοξόταις ἐξελαύνοιτο τῆς Ἀσίας ὑπὸ βασιλέως· τὸ γὰρ Περσικὸν νόμισμα τοξότην ἐπίσημον e εἶχεν.

XXI. Ἐξέβαλε δὲ καὶ τῆς θαλάττης Λακεδαιμονίους Κόνωνι τῷ Ἀθηναίῳ μετὰ Φαρναβάζου στρατηγῷ χρησάμενος. Ὁ γὰρ Κόνων διέτριβε μὲν ἐν Κύπρῳ μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν, οὐ τὴν ἀσφάλειαν ἀγαπῶν, ἀλλὰ τὴν τῶν πραγμάτων μεταβολήν, ὥσπερ ἐν πελάγει τροπήν, περιμένων. Ὁρῶν δὲ καὶ τοὺς ἑαυτοῦ λογισμοὺς δυνάμεως καὶ τὴν βασιλέως δύναμιν ἀνδρὸς ἔμφρονος δεομένην, ἔπεμψεν ἐπιστολὴν βασιλεῖ περὶ ὧν διενοεῖτο. Καὶ ταύτην ἐκέλευσε τὸν κομίζοντα f μάλιστα μὲν ἀποδοῦναι διὰ Ζήνωνος τοῦ Κρητὸς ἢ Πολυκρίτου τοῦ Μενδαίου· τούτων δ' ἦν ὁ μὲν Ζήνων ὀρχηστής, ὁ δὲ Πολύκριτος ἰατρός· ἂν δὲ οὗτοι μὴ παρῶσι, διὰ Κτησίου τοῦ ἰατροῦ. Λέγεται δὲ ὁ Κτησίας τὴν ἐπιστολὴν λαβὼν παρεγγράψαι τοῖς ὑπὸ τοῦ Κόνωνος ἐπεσταλμένοις, ὅπως καὶ Κτησίαν ἀποστείλῃ πρὸς αὐτόν, ὡς ὠφέλιμον ὄντα ταῖς ἐπὶ θαλάττῃ πράξεσιν. Ὁ δὲ
1022 Κτησίας αὐτὸν ἀφ' ἑαυτοῦ βασιλέα φησὶ προσθεῖναι τὴν a

sontis imponitur, idque alio saxo tunditur atque premitur, dum facies et caput comminuantur. Eo supplicio Gigis periit. Parysatidem autem rex neque verbo ullo præterea neque facto læsit, cupientemque ire Babylonem, emisit, addens, se ipsa vivente Babylonem non visurum. Hic status Artoxerxi rerum domesticarum fuit.

XX. Enimvero Græcos qui in expeditione Cyro affuerant, in suam potestatem redigere Artoxerxes haud minus operæ pretium, quam Cyrum vincere et regno potiri duxerat. Frustra tamen id conatus est; nam ii, amisso Cyro imperatore suisque ducibus, ex ipsa tamen propemodum regia evaserunt, demonstraveruntque eo facinore Persicas res nihil aliud esse quam auri copiam, luxum, mulieres, fastum inanemque jactantiam. Itaque et universa Græcia animos erexit, barbarosque contemptui habere cœpit, et Lacedæmonii indignam rem existimavere, si ne nunc quidem Græcos Asiam incolentes servituti eriperent, barbarorumve ab iis injurias defenderent. (2) Gesserant ante bellum Thimbrone ac deinde Dercyllida ducibus, sed nihil memorabile ab iis erat gestum. Agesilao regi bellum post eos commissum est, isque classe in Asiam transvectus, statim suam efficacitatem ostendit magnamque gloriam sibi paravit, Tisapherne acie victo et urbibus ad defectionem a barbaro pertractis. (3) Quæ quum fierent, Artoxerxes animadvertens quomodo sibi bellum esset gerendum, cum magna vi auri Timocratem Rhodium in Græciam mittit, qui largitione potentissimum quemque in sua civitate corrumperet et bellum Græcorum adversus Lacedæmonios concitaret. (4) Ea quum egisset Timocrates ac maximæ civitates conspirassent et conturbata esset Peloponnesus, a magistratu revocatus est ex Asia Agesilaus. Feruntque eum discedentem ad amicos dixisse, triginta millibus sagittariorum se a rege Asia pelli. Nam numismatis Persici insigne erat sagittarius.

XXI. Mari quoque Lacedæmonios rex ejecit, Conone Atheniensi post Pharnabazum classis duce usus. Is Conon post navalem apud Ægos potamos pugnam in Cypro commorabatur, non quod otio contentus esset suo, sed veluti venti conversionem, rerum mutationem exspectans. Itaque intelligens et suis consiliis potentiâ et regis opibus viro prudente opus esse, epistolam de suis cogitationibus ad regem misit, mandavitque tabellario, ut eam potissimum opera Zenonis Cretensis saltatoris, aut Polycriti Mendæi medici, aut si illi abessent, Ctesiæ medici ad regem perferri curaret. Ferunt Ctesiam epistolæ Cononis, quum eam accepisset, ascripsisse, uti rex Ctesiam ad se mitteret, rebus maritimis tractandis utilem futurum. Ctesias sibi a rege ultro id nego-

λειτουργίαν αὐτῷ ταύτην. (2) Ἀλλ' ἐπεὶ κρατήσας τῇ περὶ Κνίδον ναυμαχίᾳ διὰ Φαρναβάζου καὶ Κόνωνος ἀφείλετο τὴν κατὰ θάλατταν ἀρχὴν Λακεδαιμονίους, ἐπέστρεψε πᾶσαν ὁμοῦ τὴν Ἑλλάδα πρὸς αὐτὸν, ὥστε καὶ τὴν περιβόητον εἰρήνην βραβεῦσαι τοῖς Ἕλλησι τὴν ἐπ' Ἀνταλκίδου προσαγορευομένην. Ὁ δὲ Ἀνταλκίδας Σπαρτιάτης ἦν, Λέοντος υἱὸς, καὶ σπουδάσας βασιλεῖ διεπράξατο τὰς ἐν Ἀσίᾳ πόλεις Ἑλληνίδας ἁπάσας καὶ νήσους, ὅσαι προσχυροῦσιν Ἀσίᾳ, παρεῖναι Λακεδαιμονίους αὐτῷ κεκτῆσθαι φόρων ὑποτελεῖς, εἰρήνης γενομένης τοῖς Ἕλλησιν, εἰ δεῖ τὴν τῆς Ἑλλάδος ὕβριν καὶ προδοσίαν εἰρήνην καλεῖν, ἧς πόλεμος οὐδεὶς ἀκλεέστερον ἤνεγκε τέλος τοῖς κρατηθεῖσι.

XXII. Διὸ καὶ τοὺς ἄλλους Σπαρτιάτας ἀεὶ βδελυττόμενος b ὁ Ἀρτοξέρξης καὶ νομίζων, ὥς φησι Δείνων, ἀνθρώπων ἁπάντων ἀναιδεστάτους εἶναι, τὸν Ἀνταλκίδαν ὑπερηγάπησεν εἰς Πέρσας ἀναβάντα. Καί ποτε λαβὼν ἕνα τῶν ἀνθινῶν στεφάνων καὶ βάψας εἰς μύρον τὸ πολυτελέστατον ἀπὸ δείπνου ἔπεμψε τῷ Ἀνταλκίδᾳ· καὶ πάντες ἐθαύμασαν τὴν φιλοφροσύνην. Ἦν δὲ, ὡς ἔοικεν, ἐπιτήδειος οὗτος ἐντρυφηθῆναι καὶ τοιοῦτον λαβεῖν στέφανον, ἐξορχησάμενος ἐν Πέρσαις τὸν Λεωνίδαν καὶ τὸν Καλλικρατίδαν. (2) Ὁ μὲν γὰρ Ἀγησίλαος, ὡς ἔοικε, πρὸς τὸν εἰπόντα, « Φεῦ τῆς Ἑλλάδος, ὅπου c μηδίζουσιν ἡμῖν οἱ Λάκωνες, » « Οὐ μᾶλλον, εἶπεν, οἱ Μῆδοι λακωνίζουσι; » Τοῦ δὲ ῥήματος ἡ κομψότης τὴν τοῦ πράγματος αἰσχύνην οὐκ ἀφεῖλεν, ἀλλὰ τὴν μὲν ἡγεμονίαν ἀπώλεσαν ἐν Λεύκτροις ἀγωνισάμενοι κακῶς, ἡ δὲ δόξα τῆς Σπάρτης προαπώλετο ταῖς ὁμολογίαις ἐκείναις. (3) Ἄχρι μὲν οὖν ἐπρώτευεν ἡ Σπάρτη, ξένον ἐποιεῖτο καὶ φίλον ὠνόμαζεν ἑαυτοῦ τὸν Ἀνταλκίδαν· ἐπεὶ δὲ ἡττήθησαν ἐν Λεύκτροις, ταπεινὰ πράττοντες ἐδέοντο μὲν χρημάτων καὶ τὸν Ἀγησίλαον εἰς Αἴγυπτον ἐξέπεμψαν, ὁ δὲ Ἀνταλκίδας ἀνέβη πρὸς τὸν Ἀρτοξέρξην παρακαλῶν ἐπαρκέσαι τοῖς Λακεδαιμονίοις. d Ὁ δ' οὕτως ἐξημέλησε καὶ παρεῖδε καὶ ἀπέρριψεν αὐτὸν, ὥστε καταβάντα καὶ χλευαζόμενον ὑπὸ τῶν ἐχθρῶν, φοβούμενον δὲ καὶ τοὺς ἐφόρους, ἀποκαρτερῆσαι. (4) Ἀνέβη δὲ πρὸς τὸν βασιλέα καὶ Ἰσμηνίας ὁ Θηβαῖος καὶ Πελοπίδας ἤδη τὴν ἐν Λεύκτροις μάχην νενικηκώς. Ἀλλ' οὗτος μὲν οὐδὲν αἰσχρὸν ἐποίησεν· Ἰσμηνίας δὲ προσκυνῆσαι κελευόμενος ἐξέβαλε πρὸ αὐτοῦ χαμᾶζε τὸν δακτύλιον, εἶτα κύψας ἀνείλετο καὶ παρέσχε δόξαν προσκυνοῦντος. (5) Τιμαγόρᾳ δὲ τῷ Ἀθηναίῳ διὰ Βηλούριδος τοῦ γραμματέως εἰσπέμψαντι γραμματίδιον ἀπόρρητον ἡσθεὶς μυρίους τε δαρεικοὺς ἔδωκε καὶ γάλακτος e βοείου δεομένῳ δι' ἀσθένειαν ὀγδοήκοντα βοῦς ἀμέλγεσθαι παρηκολούθουν· ἔτι δὲ κλίνην καὶ στρώματα καὶ τοὺς στρωννύντας ἔπεμψεν, ὡς οὐ μεμαθηκότων Ἑλλήνων ὑποστρωννύναι, καὶ φορεῖς τοὺς κομίζοντας αὐτὸν μέχρι θαλάσσης μαλακῶς ἔχοντα. (6) Παρόντι δὲ δεῖπνον ἐπέμπετο λαμπρότατον, ὥστε καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως Ὀστάνην, « Ὦ Τιμαγόρα, φάναι, μέμνησο ταύτης τῆς τραπέζης· οὐ γὰρ ἐπὶ μικροῖς οὕτω σοι

tium mandatum affirmat. (2) Enimvero Artoxerxes, quum navali apud Cnidum prœlio Pharnabazi et Cononis opera maritimum Lacedæmoniis eripuisset imperium, universæ Græciæ oculos in se convertit, adeo, ut famosam etiam illam pacem, quæ ab Antalcida nomen habet, inter Græcos composuerit. Antalcidas Spartanus fuit, Leontis filius: is in gratiam regis effecit ut Lacedæmonii omnes Græcas in Asia urbes, omnesque Asiæ finitimas insulas regem stipendiarias sibi possidere permitterent, pace inter Græcos constituta, siquidem ignominiam Græciæ et proditionem par est pacem appellari, cujus finis ita turpis est, ut turpior nullus unquam bello victos sit consecutus.

XXII. Propterea quidem Artoxerxes, quum semper omnes Spartanos abominaretur, eosque, ut ait Dinon, omnium hominum impudentissimos judicaret, Antalcidam in Persidem profectum summo est amore complexus. Et quodam tempore sertum quoddam floreum in pretiosissimum intingens unguentum, ei a cœna misit, admirantibus omnibus tantam regis in eum benevolentiam. Erat nimirum Antalcidas is, qui ludibrio Persis esse non recusaret, ideoque coronam eam mereretur, insultans apud eos Leonidæ et Callicratidæ. (2) Agesilaus quidem fertur ei qui diceret, Proh res Græciæ quo recidistis, quum jam Lacedæmonii Medissent, respondisse: An non Medi magis Lacedæmonissant? Verum hujus dicti subtilitas rei turpitudinem non sustulit; nam et sinistra pugna facta principatum Græciæ apud Leuctra amiserunt Spartani, et gloria Spartæ jam ante ista pacificatione perdita est. (3) Etenim quam diu primum locum Spartani tenuerunt, hospitem amicumque suum Antalcidam nominaverunt; postquam vero apud Leuctra victi sunt, fractis rebus, pecuniæque indigi Agesilaum in Ægyptum miserunt, et Antalcidas ad Artoxerxem profectus est oratum, ut is Lacedæmoniis opitularetur. Rex ita eum sprevit, ita neglexit, ita projecit, ut domum revertens, ludibrio ab inimicis habitus, ephorosque metuens, vitam inedia finierit. (4) Ismenias quoque Thebanus et Pelopidas, qui victoriam ad Leuctra recens paraverat, ad regem profecti sunt. Quorum hic quidem nihil in sese inhonestum admisit; Ismenias adorare jussus annulum ante se in terram projecit, inclinansque se eum sustulit, itaque speciem adorantis præbuit. (5) Quum Timagoras Atheniensis arcanas literas per Beluridem scribam ad regem misisset, delectatus rex decem Daricorum millibus donavit eum, indigentique lacte vaccarum propter valetudinem, octoginta vaccas præbuit, quæ mulgendi causa sequerentur; culcitram etiam vestem stragulam et stratores (quasi Græci sternendi essent imperiti) misit et alios, qui eum morbo languentem ad mare usque gestarent. (6) Præsenti etiam cœna lautissima est missa, ita ut regis quoque frater Ostanes dixerit: O Timagora, memor esto hujus mensæ; non enim levis rei gratia ita

κεκοσμημένη παράκειται.» Τοῦτο δ' ἦν ὀνειδισμὸς εἰς προδοσίαν μᾶλλον ἢ χάριτος ὑπόμνησις. Τιμαγόρου μὲν οὖν διὰ τὴν δωροδοχίαν Ἀθηναῖοι θάνατον κατέ- f γνωσαν.

XXIII. Ὁ δ' Ἀρτοξέρξης ἐν ἀντὶ πάντων ὧν ἐλύπει τοὺς Ἕλληνας ηὔφραινε, Τισαφέρνην τὸν ἔχθιστον αὐτοῖς καὶ δυσμενέστατον ἀποκτείνας. Ἀπέκτεινε δὲ ταῖς διαβολαῖς αὐτοῦ τῆς Παρυσάτιδος συνεπιθεμένης. Οὐ γὰρ ἐνέμεινε τῇ ὀργῇ πολὺν χρόνον ὁ βασιλεύς, ἀλλὰ
1023 διηλλάγη τῇ μητρὶ καὶ μετεπέμψατο νοῦν μὲν ὁρῶν a
ἔχουσαν καὶ φρόνημα βασιλείας ἄξιον, αἰτίας δὲ μηδεμιᾶς οὔσης ἐμποδὼν ἔτι δι' ἣν ὑπόψονται συνόντες ἀλλήλοις ἢ λυπήσουσιν. (2) Ἐκ δὲ τούτου πάντα πρὸς χάριν ὑπουργοῦσα βασιλεῖ καὶ τῷ πρὸς μηδὲν ὧν ἐκεῖνος ἔπραττε δυσκολαίνειν ἔχουσα τὸ δύνασθαι παρ' αὐτῷ καὶ τυγχάνειν ἁπάντων, ᾔσθετο τῆς ἑτέρας τῶν θυγατέρων, Ἀτόσσης, ἐρῶντος ἔρωτα δεινόν, ἐπικρυπτομένου δὲ δι' ἐκείνην οὐχ ἥκιστα καὶ κολάζοντος τὸ πάθος, ὥς φασιν ἔνιοι, καίτοι γεγενημένης ἤδη πρὸς τὴν παρθένον ὁμιλίας αὐτῷ λαθραίας. (3) Ὡς οὖν ὑπώπτευσεν ἡ Παρύσατις, τὴν παῖδα μᾶλλον ἢ πρότερον ἠσπάζετο b
καὶ πρὸς τὸν Ἀρτοξέρξην ἐπῄνει τό τε κάλλος αὐτῆς καὶ τὸ ἦθος, ὡς βασιλικῆς καὶ μεγαλοπρεποῦς. Τέλος γοῦν γῆμαι τὴν κόρην ἔπεισε καὶ γνησίαν ἀποδεῖξαι γυναῖκα, χαίρειν ἐάσαντα δόξας Ἑλλήνων καὶ νόμους, Πέρσαις δὲ νόμον αὐτὸν ὑπὸ τοῦ θεοῦ καὶ δικαιωτὴν αἰσχρῶν καὶ καλῶν ἀποδεδειγμένον. (4) Ἔνιοι μέντοι λέγουσιν, ὧν ἐστι καὶ Ἡρακλείδης ὁ Κυμαῖος, οὐ μίαν μόνον τῶν θυγατέρων, ἀλλὰ καὶ δευτέραν, Ἄμηστριν, γῆμαι τὸν Ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστερον ἀπαγγελοῦμεν. Τὴν δ' Ἄτοσσαν οὕτως ἠγάπησεν ὁ πατὴρ συνοικοῦσαν, ὥστε ἀλφοῦ κατανεμηθέντος αὐτῆς τὸ σῶμα, δυσχερᾶναι μὲν ἐπὶ τούτῳ μηδ' ὁτιοῦν, εὐχόμενος δὲ περὶ αὐτῆς τῇ c
Ἥρᾳ προσκυνῆσαι μόνην θεῶν ἐκείνην ταῖς χερσὶ τῆς γῆς ἀψάμενος, δῶρά τε τῇ θεῷ τοσαῦτα πέμψαι τοὺς σατράπας καὶ φίλους αὐτοῦ κελεύσαντος, ὥστε τὰ μεταξὺ τοῦ ἱεροῦ καὶ τῶν βασιλείων ἑκκαίδεκα στάδια χρυσοῦ καὶ ἀργύρου καὶ πορφύρας καὶ ἵππων ἐμπλησθῆναι.

XXIV. Πόλεμον δὲ πρὸς μὲν Αἰγυπτίους διὰ Φαρναβάζου καὶ Ἰφικράτους ἐξενεγκὼν ἀπέτυχε, στασιασάντων ἐκείνων· ἐπὶ δὲ Καδουσίους αὐτὸς ἐστράτευσε τριάκοντα μυριάσι πεζῶν καὶ μυρίοις ἱππεῦσιν. Ἐμβαλὼν δὲ εἰς χώραν τραχύτητι χαλεπὴν καὶ ὁμιχλώδη καὶ d
τῶν ἀπὸ σπόρου καρπῶν ἄγονον, ἀπίοις δὲ καὶ μήλοις καὶ τοιούτοις ἄλλοις ἀκροδρύοις τρέφουσαν ἀνθρώπους πολεμικοὺς καὶ θυμοειδεῖς, ἔλαθε μεγάλαις ἀπορίαις καὶ κινδύνοις περιπεσών. Οὐδὲν γὰρ ἐδώδιμον ἦν λαμβάνειν οὐδὲ ἔξωθεν ἐπεισάγεσθαι, τὰ δὲ ὑποζύγια μόνον κατέκοπτον, ὥστε ὄνου κεφαλὴν μόλις δραχμῶν ἑξήκοντα ὤνιον εἶναι. Τὸ δὲ βασιλικὸν δεῖπνον ἐξελείφθη· καὶ τῶν ἵππων ὀλίγοι περιῆσαν ἔτι, τοὺς δὲ ἄλλους ἐσθίοντες κατηναλώκεσαν. (2) Ἐνταῦθα Τηρίβαζος, ἀνὴρ πολλάκις μὲν ἐν πρώτῃ δι' ἀνδραγαθίαν τάξει γενόμενος, πολλάκις

splendide adornata tibi apponitur. Erat hoc magis exprobratio proditionis, quam beneficii commemoratio. De Timagora quidem donorum acceptorum reo Athenienses capitale sumpserunt supplicium.

XXIII. Ceterum Artoxerxes quum multis rebus Græcos læsisset, eo uno lætitiam eis obtulit, quod Tisaphernem acerrimum eorum hostem necavit. Necavit autem Parysatide etiam calumnias adversus eum delatas augente. Etenim non diu in ira sua adversus matrem perseveravit rex, sed redintegrata gratia eam ad se vocavit, quod et ingenio animoque regio præditam sentiret, et nihil causæ videbatur restare, quod in consuetudine sibi diffiderent aut se mutuo offenderent. (2) Proinde Parysatis omnes suas actiones ad voluntatem regis accommodando, nulla in re ejus arbitrio refragando ubi tantam nacta est apud eum auctoritatem, ut quidquid vellet, ab eo impetraret, deprehendit eum alteram filiarum, Atossam nomine deperire, eumque affectum propter matrem præcipue occultare et premere, ut quidam dicunt, quamvis jam cum ea clam esset congressus. (3) Itaque Parysatis, ut semel suspectam habere cœpit puellam, familiarius quam ante eam amplexa est, formaque ejus apud regem et moribus ut regiis collaudatis, ei persuasit ut filiam Atossam in matrimonium duceret, locoque legitimæ conjugis haberet, legibus et institutis Græcorum valere jussis, quippe regem Persis divinitus legis loco censoremque honestorum et turpium esse constitutum. (4) Quidam, et inter hos Heraclides Cumæus, non hanc modo filiam, sed alteram quoque Amestrin, de qua paullo post referam, patri nupsisse affirmant. Atossam quidem conjugem ita dilexit pater, ut quum vitiligo ejus corpus depasceretur, nihil ipse ejus morbi causa eam fastidierit, et quum pro ipsa Junoni votum faceret, solam eam deam manibus terram contingens adorarit, tantumque donorum jussu ejus amici et satrapæ ei deæ miserint, ut sedecim stadia, quæ inter fanum sunt et regiam, auro, argento, purpura equisque replerentur.

XXIV. Bellum Ægyptiis Pharnabazo et Iphicrate ducibus intulit, sed ducum dissensio conatum ejus irritum fecit. In Cadusios ipse exercitum duxit, trecentis millibus peditum et decem equitum millibus constantem. Imprudens autem in maximas sese angustias et pericula conjecit, in regionem profectus asperam et nebulosam, et quæ nullam sementem ferret, piris modo, malis aliisque id genus arborum fructibus homines feroces bellicososque enutriret. Nihil enim ciborum neque ibi inveniebat, neque aliunde advehere poterat, jumenta modo mactabantur, ita ut asini caput sexaginta drachmis emi vix posset, cœna regia intermitteretur, paucique adhuc equi restarent, reliquis consumptis in cibos: (2) Ibi Teribazus, qui vir sæpe ob fortitudinem primum locum tenuerat, sæpe ob levitatem abjectus

δὲ ἀποῤῥιφεὶς διὰ κουφότητα καὶ τότε ταπεινὰ πράττων e καὶ περιορώμενος, ἔσωσε βασιλέα καὶ τὸν στρατόν. Ὄντων γὰρ δυεῖν ἐν τοῖς Καδουσίοις βασιλέων, ἑκατέρου δὲ χωρὶς στρατοπεδεύοντος, ἐντυχὼν τῷ Ἀρτοξέρξῃ καὶ φράσας περὶ ὧν διενοεῖτο πράττειν, ἐβάδιζεν αὐτὸς πρὸς τὸν ἕτερον τῶν Καδουσίων καὶ πρὸς τὸν ἕτερον κρύφα τὸν υἱὸν ἔπεμπεν. Ἐξηπάτα δὲ ἑκάτερον ἑκάτερος λέγων, ὡς ἅτερος ἐπιπρεσβεύεται πρὸς τὸν Ἀρτοξέρξην φιλίαν μόνῳ πράττων ἑαυτῷ καὶ συμμαχίαν· οὐκοῦν, εἰ σωφρονεῖ, χρῆναι πρότερον ἐντυγχάνειν ἐκείνῳ, αὐτὸν δὲ συμπράξειν ἅπαντα. Τούτοις ἐπείσθησαν ἀμφότεροι, f καὶ φθονεῖν ἀλλήλοις νομίζοντες ὁ μὲν τῷ Τηριβάζῳ συνέπεμψε πρέσβεις, ὁ δὲ τῷ παιδὶ τοῦ Τηριβάζου. (3) Διατριβῆς δὲ γενομένης, ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ Τηριβάζου τῷ Ἀρτοξέρξῃ προσέπιπτον· αὐτὸς δὲ δυσθύμως εἶχε καὶ μετενόει πιστεύσας τῷ Τηριβάζῳ καὶ τοῖς φθονοῦσιν ἐγκαλεῖν παρεῖχεν. Ἐπεὶ δὲ ἧκεν ὁ Τηρίβαζος, ἧκε δὲ καὶ ὁ υἱὸς αὐτοῦ, τοὺς Καδουσίους 1024 ἄγοντες, ἐγένοντο δὲ σπονδαὶ πρὸς ἀμφοτέρους καὶ εἰ- a ρήνη, μέγας ὢν ὁ Τηρίβαζος ἤδη καὶ λαμπρὸς ἀνεζεύγνυε μετὰ τοῦ βασιλέως ἐπιδεικνυμένου πᾶσαν τὴν δειλίαν καὶ τὴν μαλακίαν οὐ τρυφῆς καὶ πολυτελείας, ὥσπερ οἱ πολλοὶ νομίζουσιν, ἔκγονον οὖσαν, ἀλλὰ μοχθηρᾶς φύσεως καὶ ἀγεννοῦς καὶ δόξαις πονηραῖς ἑπομένης. (4) Οὔτε γὰρ χρυσὸς οὔτε κάνδυς οὔτε ὁ τῶν μυρίων καὶ δισχιλίων ταλάντων περικείμενος ἀεὶ τῷ βασιλέως σώματι κόσμος ἐκεῖνον ἀπεκώλυε πονεῖν καὶ ταλαιπωρεῖν, ὥσπερ οἱ τυχόντες, ἀλλὰ τήν τε φαρέτραν ἐνημμένος καὶ τὴν πέλτην φέρων αὐτὸς ἐβάδιζε πρῶτος ὁδοὺς ὀρεινὰς καὶ προσάντεις, ἀπολιπὼν τὸν ἵππον, ὥστε τοὺς ἄλ- b λους πτεροῦσθαι καὶ συνεπικουφίζεσθαι τὴν ἐκείνου προθυμίαν καὶ ῥώμην ὁρῶντας. Καὶ γὰρ διακοσίων καὶ πλειόνων σταδίων κατήνυεν ἡμέρας ἑκάστης πορείαν.

XXV. Ἐπεὶ δὲ εἰς σταθμὸν κατέβη βασιλικὸν παραδείσους ἔχοντα θαυμαστοὺς καὶ κεκοσμημένους διαπρεπῶς ἐν τῷ πέριξ ἀδένδρῳ καὶ ψιλῷ χωρίῳ, κρύους ὄντος, ἐπέτρεψε τοῖς στρατιώταις ἐκ τοῦ παραδείσου ξυλίζεσθαι τὰ δένδρα κόπτοντας μήτε πεύκης μήτε κυπαρίττου φειδομένους. Ὀκνούντων δὲ καὶ φειδομένων διὰ τὰ κάλλη καὶ τὰ μεγέθη, λαβὼν πέλεκυν αὐτὸς ὅπερ ἦν μέγιστον καὶ κάλλιστον τῶν φυτῶν ἔκοψεν. Ἐκ δὲ c τούτου ξυλιζόμενοι καὶ πολλὰ πυρὰ ποιοῦντες εὐμαρῶς ἐνυκτέρευσαν. (2) Οὐ μὴν ἀλλὰ πολλοὺς καὶ ἀγαθοὺς ἀποβαλὼν ἄνδρας, ἵππους δὲ ὁμοῦ τι πάντας, ἐπανῆλθε. Καὶ δόξας καταφρονεῖσθαι διὰ τὴν ἀτυχίαν καὶ τὴν ἀπότευξιν τῆς στρατείας, ἐν ὑποψίαις εἶχε τοὺς πρώτους, καὶ πολλοὺς μὲν ἀνῄρει δι' ὀργήν, πλείονας δὲ φοβούμενος. Ἡ γὰρ δειλία φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν, ἵλεων δὲ καὶ πρᾶον καὶ ἀνύποπτον ἡ θαρραλεότης. Διὸ καὶ τῶν θηρίων τὰ ἀτιθάσευτα καὶ δυσεξημέρωτα ψοφοδεῆ καὶ δειλά, τὰ δὲ γενναῖα πιστεύοντα μᾶλλον διὰ τὸ θαῤῥεῖν οὐ φεύγει τὰς φιλοφροσύνας. d

XXVI. Ὁ δὲ Ἀρτοξέρξης ἤδη πρεσβύτερος ὢν ᾐσθάνετο τοὺς υἱοὺς ἀγῶνα περὶ τῆς βασιλείας ἐν τοῖς

fuerat, ac tum quoque spretus neglectusque erat, regem exercitumque servavit. Duo erant Cadusiis reges, iique seorsum castra habebant. Re cum Artoxerxe communicata, Teribazus ad alterum Cadusiorum regem profectus est, misso occulte ad alterum filio suo. Utrumque autem decipiebat, indicans alterum ad Artoxerxem missis legatis, sibi tantum, collega omisso, pacem societatemque cum eo quærere; itaque si saperet, operam daret, ut ipse prior Artoxerxem conveniret; se ei in conficiendo negotio adfuturum. Hoc modo persuasum utrique regum est, ut alter alterum sibi invidere pacificationem putantes, legatos alter cum Teribazo, alter cum filio ejus ad Artoxerxem mitterent. (3) Quum in eo negotio aliquid moræ interveniret, calumniæ de Teribazo sunt ad regem allatæ suspicionesque insinuaverunt sinistræ, et angebatur animo rex, pœnitebatque eum, quod Teribazo fidem habuisset, æmulorumque ejus calumniis aures præbebat. Verum ubi is et filius una cum regum legatis advenerunt, paxque est cum utroque et fœdus initum: ibi tum magni nominis splendidusque Teribazus cum rege castra movit. Demonstravit eo tempore Artoxerxes omnem mollitiem et timiditatem non, quod plerique putant, a luxu et magnifico apparatu proficisci, sed ab ingenio pravo abjectoque et malis opinionibus addicto nasci. (4) Nam neque aurum, neque candys, neque ornatus corporis, quem rex duodecim millibus talentorum æstimatum assidue gestat, prohibuit quin laboraret, omnesque ut quisquam de vulgo molestias subiret, sed et pharetra accinctus et peltam gestans, relicto equo, primus omnium itinera montana atque acclivia faciebat, ita ut reliqui etiam alacritatem ejus et robur spectantes, eo leviores expeditioresque fierent. Quotidie ducenta stadia, eoque etiam amplius conficiebat.

XXV. Quum ad diversorium regium pervenisset, cinctum hortis elegantissimis mirabiliterque ornatis, circumjacente spatio arboribus vacuo, frigus autem esset, liberum militibus fecit, ut paradisi ejus arboribus succisis lignarentur, ac neque cupressibus neque laricibus parcerent. Quumque non auderent ob arborum pulchritudinem et magnitudinem, ipse arrepta securi arborum maximam atque pulcherrimam succidit. Ita lignati milites, multis editis ignibus noctem eam commode exegerunt. (2) Multis tamen ac bonis amissis viris et equis prope omnibus domum rediit, seque propter infelicem expeditionis successum a suis contemni putans, suspectos habuit primores et multos iratus occidit, plures quod ab iis sibi metuebat. Nam timiditas tyrannorum maxima est causa cædium; fiducia sui placidos eos et mansuetos et a suspicionibus vacuos reddit. Ita ferarum quoque eæ, quæ a cicuratione sunt alienissimæ, timidæ sunt et omni strepitu terrentur; generosæ autem non aspernantur hujusmodi blandam tractationem, quia propter fiduciam sui facilius aliis se committunt.

XXVI. Jam provectus ætate Artoxerxes animadvertit filios suos de regno apud amicos et proceres disceptare.

φίλοις καὶ τοῖς δυνατοῖς ἔχοντας. Οἱ μὲν γὰρ εὐγνώμονες ἠξίουν, ὡς ἔλαβεν αὐτὸς, οὕτως ἀπολιπεῖν πρεσβεῖα Δαρείῳ τὴν ἀρχήν. Ὁ δὲ νεώτατος Ὦχος ὀξὺς ὢν καὶ βίαιος, εἶχε μὲν καὶ τῶν περὶ τὸ βασίλειον οὐκ ὀλίγους σπουδαστὰς, ἤλπιζε δὲ μάλιστα κατεργάσεσθαι τὸν πατέρα διὰ τῆς Ἀτόσσης. Ἐκείνην γὰρ ἐθεράπευεν ὡς γαμησομένην καὶ συμβασιλεύσουσαν αὐτῷ μετὰ τὴν τοῦ πατρὸς τελευτήν. Ἦν δὲ λόγος, ὅτι καὶ e ζῶντος ἐλάνθανεν αὐτῇ πλησιάζων. Ἀλλὰ τοῦτο μὲν ἠγνόησεν ὁ Ἀρτοξέρξης· (2) ταχὺ δὲ βουλόμενος ἐκκροῦσαι τῆς ἐλπίδος τὸν Ὦχον, ὅπως μὴ τὰ αὐτὰ Κύρῳ τολμήσαντος αὐτοῦ, πόλεμοι καὶ ἀγῶνες αὖθις καταλάβωσι τὴν βασιλείαν, ἀνέδειξε τὸν Δαρεῖον βασιλέα πεντηκοστὸν ἔτος γεγονότα καὶ τὴν καλουμένην κίταριν ὀρθὴν φέρειν ἔδωκε. (3) Νόμου δὲ ὄντος ἐν Πέρσαις δωρεὰν αἰτεῖν τὸν ἀναδειχθέντα καὶ διδόναι τὸν ἀναδείξαντα πᾶν τὸ αἰτηθὲν, ἄνπερ ᾖ δυνατὸν, ᾔτησεν Ἀσπασίαν ὁ Δαρεῖος τὴν μάλιστα σπουδασθεῖσαν ὑπὸ Κύρου, τότε δὲ βασιλεῖ παλλακευομένην. Ἦν δὲ Φωκαὶς τὸ γένος ἀπ' Ἰωνίας ἐλευθέρων γονέων καὶ f τεθραμμένη κοσμίως. (4) Ἐπεὶ δὲ Κύρου δειπνοῦντος εἰσήχθη μεθ' ἑτέρων γυναικῶν, αἱ μὲν ἄλλαι παρακαθεζόμεναι προσπαίζοντος αὐτοῦ καὶ ἁπτομένου καὶ σκώπτοντος οὐκ ἀηδῶς ἐνεδέχοντο τὰς φιλοφροσύνας, ἐκείνη δὲ παρὰ τὴν κλίνην εἱστήκει σιωπῇ καὶ Κύρου καλοῦντος οὐχ ὑπήκουε· βουλομένων δὲ προσάγειν τῶν 1025 κατευναστῶν, « Οἰμώξεται μέντοι τούτων, εἶπεν, ὃς a ἂν ἐμοὶ προσαγάγῃ τὰς χεῖρας. » Ἔδοξεν οὖν ἄχαρις τοῖς παροῦσιν εἶναι καὶ ἄγροικος. Ὁ δὲ Κῦρος ἡσθεὶς ἐγέλασε καὶ εἶπε πρὸς τὸν ἀγαγόντα τὰς γυναῖκας, « Ἆρα ἤδη συνορᾷς, ὅτι μοι μόνην ταύτην ἐλευθέραν καὶ ἀδιάφθορον ἥκεις κομίζων; » Ἐκ δὲ τούτου προσεῖχεν ἀρξάμενος αὐτῇ καὶ μάλιστα πασῶν ἔστερξε καὶ σοφὴν προσηγόρευσεν. Ἑάλω δὲ Κύρου πεσόντος ἐν τῇ μάχῃ καὶ διαρπαζομένου τοῦ στρατοπέδου.

XXVII. Ταύτην ὁ Δαρεῖος αἰτήσας ἠνίασε τὸν πατέρα. Δύσζηλα γὰρ τὰ βαρβαρικὰ δεινῶς περὶ τὸ ἀκόλαστον, ὥστε μὴ μόνον τὸν προσελθόντα καὶ θιγόντα παλλακῆς βασιλέως, ἀλλὰ καὶ τὸν ἐν πορείᾳ προεξελ- b θόντα καὶ διεξελάσαντα τὰς ἁμάξας, ἐφ' αἷς κομίζονται, θανάτῳ κολάζεσθαι. Καίτοι τὴν μὲν Ἄτοσσαν εἶχεν ἔρωτι ποιησάμενος γυναῖκα παρὰ τὸν νόμον, ἑξήκοντα δὲ καὶ τριακόσιαι παρετρέφοντο κάλλει διαφέρουσαι παλλακίδες. Οὐ μὴν ἀλλὰ καὶ αἰτηθεὶς ἐκείνην ἐλευθέραν ἔφησεν εἶναι καὶ λαμβάνειν ἐκέλευσε βουλομένην, ἄκουσαν δὲ μὴ βιάζεσθαι. (2) Μεταπεμφθείσης δὲ τῆς Ἀσπασίας καὶ παρ' ἐλπίδας τοῦ βασιλέως ἑλομένης τὸν Δαρεῖον, ἔδωκε μὲν ὑπ' ἀνάγκης τοῦ νόμου, δοὺς δὲ ὀλίγον ὕστερον ἀφείλετο. Τῆς γὰρ Ἀρτέμιδος τῆς ἐν Ἐκβατάνοις, ἣν Ἀναῖτιν καλοῦσιν, ἱέρειαν ἀνέδειξεν c αὐτὴν, ὅπως ἁγνὴ διάγῃ τὸν ἐπίλοιπον βίον, οἰόμενος οὐ χαλεπὴν, ἀλλὰ καὶ μετρίαν τινὰ καὶ παιδιᾷ μεμιγμένην ταύτην λήψεσθαι δίκην παρὰ τοῦ παιδός. Ὁ δ' ἤνεγκεν οὐ μετρίως, εἴτ' ἔρωτι τῆς Ἀσπασίας περι-

Nam qui ingenio erant moderato, iis consultum videbatur, ut quemadmodum Artoxerxes regnum accepisset, ita relinquere regnum Dario, tanquam majori natu debitum. Ochus autem, minimus natu inter filios regis, ingenio acri atque vehementi præditus, tametsi in aula regis haud paucos sui studiosos habebat, maxime tamen se patrem in suam sententiam pertracturum sperabat opera Atossæ. Eam enim colebat ac demerebatur, veluti uxorem sibi futuram et regnaturam secum post patris mortem. Ferebatur etiam vivente adhuc Artoxerxe rem cum ea habere; sed id patrem latuit. (2) Artoxerxes autem, ut de spe sua Ochum deduceret, ne idem quod Cyrus aliquando conaretur, regnumque novis bellis et contentionibus implicaret, Darium annos natum quinquaginta regem pronuntiavit, utque citarin erectam gestaret, concessit. (3) Mos fuit Persis, ut qui rex creatus esset, peteret munus, daretque petitum quidquid esset is qui creasset, sic modo posset. Itaque Darius Aspasiam postulavit, quæ olim unice a Cyro dilecta, tum pellex regis erat: Phocæa Ioniæ urbe oriunda, liberis nata parentibus et liberaliter educata. (4) Ea quum aliquando una cum aliis mulieribus ad Cyrum cœnantem esset adducta, reliquis assidentibus, lususque ejus et jocos et blanditias haud illibenter accipientibus, sola ad lectum tacita astitit, Cyroque vocante, non obtemperavit; quumque eam cubicularii adducere conarentur: Ejulabit, inquit, quisquis horum manus mihi injiciet. Ob id plerisque eam inurbanam et rusticam judicantibus, Cyrus delectatus risit, et ei qui mulieres adduxerat, Viden', inquit, te hanc solam liberam et incorruptam mihi adduxisse? Atque exinde eam præ omnibus caram habere cœpit, sapientemque appellavit. Capta est Cyro in prœlio occiso, quum diriperentur castra.

XXVII. Eam tum Darius poscens offendit graviter patrem. Barbari enim acerrimi sunt in suspicionibus amatoriis, ut non modo qui prope accesserit ad pellicem regis eamque attigerit, sed etiam qui in itinere procurrerit et plaustra quibus vehuntur præterambulaverit, morte plectatur. Et quidem Atossam rex amore ejus motus contra leges uxorem duxerat, pellices autem eximia pulchritudine alebat trecentas sexaginta. Postulatus tamen illam, Aspasiam liberam esse dixit, et si ipsa annueret, accipere filium jussit, invitam cogi non debere. (2) Accita Aspasia præter spem regis Darium elegit, eique data est lege ita cogente: paullo post rursum adempta. Nam eam rex Dianæ, quæ Ecbatanis colitur et Anaitis dicitur, sacerdotem constituit, ut reliquum vitæ tempus casta exigeret. Existimabat autem non graviter se, verum moderate et quasi per jocum ultum esse filium. Darius autem nequaquam mediocriter id tulit,

παθὴς γεγονώς, εἴτε ὑβρίσθαι καὶ κεχλευάσθαι νομίζων ὑπὸ τοῦ πατρός. (3) Αἰσθόμενος δ' αὐτὸν οὕτως ἔχοντα Τηρίβαζος ἔτι μᾶλλον ἐξετράχυνεν ἐν τοῖς ἐκείνου συνιδὼν τὰ καθ' αὑτόν. Ἦν δὲ τοιαῦτα. Πλειόνων οὐσῶν βασιλεῖ θυγατέρων ὡμολόγησε Φαρναβάζῳ μὲν Ἀπάμαν δώσειν γυναῖκα, Ῥοδογούνην δὲ Ὀρόντῃ, Τηριβάζῳ δὲ Ἄμηστριν. Καὶ τοῖς μὲν ἄλλοις ἔδωκε, Τηρίβαζον δὲ ἐψεύσατο γήμας αὐτὸς τὴν Ἄμηστριν, d ἀντ' ἐκείνης δὲ τῷ Τηριβάζῳ τὴν νεωτάτην Ἄτοσσαν ἐνηγγύησεν. Ἐπεὶ δὲ καὶ ταύτην ἐρασθεὶς ἔγημεν, ὡς εἴρηται, παντάπασι δυσμενῶς πρὸς αὐτὸν ὁ Τηρίβαζος ἔσχεν, οὐδὲ ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ' ἀνώμαλος καὶ παράφορος. Διὸ καὶ νῦν μὲν εὐημερῶν ὅμοια τοῖς πρώτοις, νῦν δὲ προσκρούων καὶ σκορακιζόμενος οὐδεμίαν ἔφερεν ἐμμελῶς μεταβολήν, ἀλλὰ καὶ τιμώμενος ἦν ἐπαχθὴς ὑπὸ χαυνότητος, καὶ τὸ κολουόμενον οὐ ταπεινὸν οὐδ' ἡσυχαῖον, ἀλλὰ τραχὺ καὶ ἀγέρωχον εἶχε.

XXVIII. Πῦρ οὖν ἐπὶ πῦρ ἐγένετο τῷ νεανίσκῳ προσκείμενος ὁ Τηρίβαζος ἀεὶ καὶ λέγων, ὡς οὐδὲν ὀνίνησιν ἡ κίταρις ἑστῶσα περὶ τῇ κεφαλῇ τοὺς ὑφ' αὑτῶν e μὴ ζητοῦντας ὀρθοῦσθαι τοῖς πράγμασι, κἀκεῖνον ἀβέλτερα φρονεῖν, εἰ, τοῦ μὲν ἀδελφοῦ διὰ τῆς γυναικωνίτιδος ἐνδυομένου τοῖς πράγμασι, τοῦ δὲ πατρὸς οὕτως ἔμπληκτον ἦθος καὶ ἀβέβαιον ἔχοντος, οἴεται βέβαιον αὑτῷ τὴν διαδοχὴν ὑπάρχειν. Ὁ γὰρ Ἑλληνικοῦ χάριν γυναίου τὸν ἄψευστον ἐν Πέρσαις ψευσάμενος νόμον οὐ δήπου πιστός ἐστι τὰς περὶ τῶν μεγίστων ὁμολογίας ἐμπεδώσειν. Οὐ ταὐτὸ δ' εἶναι τὸ μὴ τυχεῖν Ὤχῳ κἀκείνῳ τὸ στέρεσθαι τῆς βασιλείας. Ὦχον f μὲν γὰρ οὐδένα κωλύσειν ἰδιώτην βιοῦν μακαρίως, ἐκείνῳ δ' ἀποδεδειγμένῳ βασιλεῖ βασιλεύειν ἀνάγκην ἢ μηδὲ ζῆν εἶναι. (2) Καθόλου μὲν οὖν ἴσως, τὸ Σοφόκλειον,

Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ·

λεία γάρ τις ἡ πορεία καὶ κατάντης ἐπὶ τὸ βουλόμενον. Βούλονται δὲ οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν
1026 καλῶν καὶ ἄγνοιαν. Οὐ μὴν ἀλλὰ τὸ μέγεθος τὸ τῆς a ἀρχῆς καὶ τὸ πρὸς τὸν Ὦχον τοῦ Δαρείου δέος ὑπόθεσιν τῷ Τηριβάζῳ παρεῖχε. Κυπρογένεια δ' οὐ πάμπαν ἀναίτιος, ἡ τῆς Ἀσπασίας ἀφαίρεσις.

XXIX. Ἐπέδωκεν οὖν ἑαυτὸν τῷ Τηριβάζῳ· καὶ πολλῶν ἤδη συνισταμένων, εὐνοῦχος ἐδήλωσε τῷ βασιλεῖ τὴν ἐπιβουλὴν καὶ τὸν τρόπον εἰδὼς ἀκριβῶς, ὅτι νυκτὸς ἐγνώκασιν ἐν τῷ θαλάμῳ κατακείμενον ἀναιρεῖν αὐτὸν ἐπεισελθόντες. Ἀκούσαντι δὲ τῷ Ἀρτοξέρξῃ καὶ τὸ παριδεῖν κίνδυνον τηλικοῦτον ἀμελήσαντα τῆς διαβολῆς δεινὸν ἐδόκει καὶ τὸ πιστεῦσαι μηδενὸς ἐλέγχου γενομένου δεινότερον. Οὕτως οὖν ἐποίει· τὸν μὲν εὐνοῦχον ἐκείνοις ἐκέλευσε παρεῖναι καὶ παρακολουθεῖν, αὐτὸς δὲ b τοῦ θαλάμου τὸν ὄπισθεν τῆς κλίνης τοῖχον ἐκκόψας καὶ θυρώσας κατεκάλυψεν αὐλαίᾳ τὰς θύρας. (2) Ἐνστάσης δὲ τῆς ὥρας καὶ φράσαντος τοῦ εὐνούχου τὸν καιρόν,

sive amore Aspasiæ incensus, sive derisum se et ludibrio habitum a patre existimans. (3) Ita eum affectum sentiens Teribazus stimulos addit, suum sub alieno agens negotium. Etenim rex quum haberet filias multas, promiserat se Pharnabazo Apamam, Rhodogunam Oronti, Teribazo Amestrin nuptum daturum, et quum ceteris fidem servasset, Teribazum elusit, Amestrin ipse ducens, cujus loco Teribazo Atossam natu omnium minimam desponderat, sed et hanc amore, uti demonstravimus, captus ipse duxerat, eoque facto Teribazum plane infensum sibi reddiderat. Erat is homo ingenii alias etiam parum constantis, animique varii et præcipitis, et modo propter res prospere administratas inter primos habitus, modo offendens atque abjectus, nullam mutationem recte ferebat, sed et in honore quum haberetur, molestus omnibus erat sua futilitate, et quum deprimeretur, nequaquam cedebat aut quiescebat, sed aspere se et quadam cum ferocia efferebat.

XXVIII. Is ergo Teribazus ignis quasi igni additus, identidem juvenem urgebat, nihil prodesse erectam in capite citarin inculcans ei qui non suo studio rebus ipsis erigere sese conaretur, nec sapere eum, si, quum frater feminarum ope rebus se insinuet, vel quum videret patris tam inconstans esse et stupidum ingenium, tamen certam sibi regni successionem esse crederet. Nam qui Græcæ mulierculæ causa sanctissimæ Persarum legi fraudem fecerit, nequaquam ei fidem habendam esse, quod de maximis rebus pacta sit rata servaturus. Neque vero eandem conditionem Ocho, si regno excidat, et Dario, si id amittat, propositam esse, quippe nihil impedire quin ille beate privatus vivat, Dario, quia rex sit designatus, aut regnandum, aut ne vivendum quidem esse. (2) Verum quidem omnino et ubique est illud Sophocleum:

Monitis malis est præsto obedientia.

Etenim levis et proclivis est via ad id quod volumus. Plerique autem ob ignorationem et imperitiam rerum bonarum, pessima volunt. Sed tamen magnitudo regni et metus ab Ocho Darii, materiam agendi Teribazo præbuerunt. Quamquam non plane Venus insons, injuriam dico ereptæ Aspasiæ.

XXIX. Ergo Darius Teribazo se et rem totam committit. Quum jam multi se conspirationi socios adjunxissent, eunuchus quidam insidias earumque rationem regi detegit, cui compertum erat, quod statuissent, noctu in cubiculum ejus intrare et jacentem trucidare. Regi et delationem istam negligere, ac tantum malum non præcavere, periculosum videbatur, et fidem adhibere non explorata re, gravius. Itaque sic agit. Eunuchum, qui indicium detulerat, adesse illis jubet et comitem se præbere; ipse parietem pone lectum suum perfodit, ostiumque in eo fabricatur, idque aulæo occultat. (2) Quum hora insidiarum appetiisset, essetque ab eunucho indicata, in lecto mansit, neque prius

ἐπὶ τῆς κλίνης ὑπέμεινε καὶ οὐκ ἐξανέστη πρότερον ἢ τῶν ἐπ' αὐτὸν ἐρχομένων τὰ πρόσωπα κατιδεῖν καὶ γνωρίσαι σαφῶς ἕκαστον. Ὡς δὲ εἶδεν ἐσπασμένους τὰ ἐγχειρίδια καὶ προσφερομένους, ταχὺ τὴν αὐλαίαν ὑπολαβὼν ἀνεχώρησεν εἰς τὸ ἐντὸς οἴκημα καὶ τὰς θύρας ἐπήρραξε κράζων. Ὀφθέντες γοῦν οἱ σφαγεῖς ὑπ' αὐτοῦ, πράξαντες δὲ μηθὲν ἀπεχώρουν φυγῇ διὰ θυρῶν· καὶ τοὺς περὶ τὸν Τηρίβαζον ἐκέλευον ἀποχωρεῖν ὡς c φανεροὺς γεγονότας. Οἱ μὲν οὖν ἄλλοι διαλυθέντες ἔφυγον· ὁ δὲ Τηρίβαζος συλλαμβανόμενος πολλοὺς ἀπέκτεινε τῶν βασιλέως δορυφόρων καὶ μόγις ἀκοντίῳ πληγεὶς πόρρωθεν ἔπεσε. (3) Τῷ δὲ Δαρείῳ μετὰ τῶν τέκνων ἀναχθέντι καθίσας τοὺς βασιλείους δικαστάς, οὐ παρὼν αὐτός, ἀλλ' ἑτέρων κατηγορησάντων, ἐκέλευσεν ὑπηρέτας τὴν ἑκάστου γραψαμένους ἀπόφασιν ὡς αὐτὸν ἐπανενεγκεῖν. Ἀποφηναμένων δὲ πάντων ὁμοίως καὶ καταγνόντων τοῦ Δαρείου θάνατον, οἱ μὲν ὑπηρέται συλλαβόντες αὐτὸν εἰς οἴκημα πλησίον ἀπήγαγον, ὁ δὲ δήμιος κληθεὶς ἧκε μὲν ξυρὸν ἔχων, ᾧ τὰς κεφαλὰς ἀποτέμνουσι τῶν κολαζομένων, ἰδὼν δὲ τὸν d Δαρεῖον ἐξεπλάγη καὶ ἀνεχώρει πρὸς τὰς θύρας ἀποβλέπων, ὡς οὐ δυνησόμενος οὐδὲ τολμήσων αὐτόχειρ γενέσθαι βασιλέως. Ἔξωθεν δὲ τῶν δικαστῶν ἀπειλούντων καὶ διακελευομένων, ἀναστρέψας καὶ τῇ ἑτέρᾳ χειρὶ δραξάμενος τῆς κόμης αὐτοῦ καὶ καταγαγὼν ἀπέτεμε τῷ ξυρῷ τὸν τράχηλον. (4) Ἔνιοι δέ φασι τὴν κρίσιν γενέσθαι βασιλέως αὐτοῦ παρόντος, τὸν δὲ Δαρεῖον, ὡς κατελαμβάνετο τοῖς ἐλέγχοις, ἐπὶ στόμα πεσόντα δεῖσθαι καὶ ἱκετεύειν· τὸν δὲ ὑπ' ὀργῆς ἀναστάντα καὶ σπασάμενον τὸν ἀκινάκην τύπτειν, ἕως ἀπέκτεινεν· εἶτα εἰς τὴν αὐλὴν προελθόντα τὸν Ἥλιον e προσκυνῆσαι καὶ εἰπεῖν· « Εὐφραίνεσθε ἀπιόντες, ὦ Πέρσαι, καὶ λέγετε τοῖς ἄλλοις, ὅτι τοῖς ἄθεσμα καὶ παράνομα διανοηθεῖσιν ὁ μέγας Ὠρομάζης δίκην ἐπιτέθεικεν. »

XXX. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιοῦτον ἔσχε τέλος. Ὁ δὲ Ὦχος ἤδη μὲν ἦν ταῖς ἐλπίσι λαμπρὸς ὑπὸ τῆς Ἀτόσσης ἐπαιρόμενος, ἔτι δὲ ἐφοβεῖτο τῶν μὲν γνησίων τὸν ὑπόλοιπον Ἀριάσπην, τῶν δὲ νόθων Ἀρσάμην. Ὁ μὲν γὰρ Ἀριάσπης οὐ διὰ τὸ πρεσβύτερος εἶναι τοῦ Ὤχου, πρᾶος δὲ καὶ ἁπλοῦς καὶ φιλάνθρωπος, ἠξιοῦτο βασιλεύειν ὑπὸ τῶν Περσῶν· ὁ δὲ Ἀρσάμης καὶ νοῦν ἔχειν ἐδόκει καὶ μάλιστα τῷ πατρὶ προσφιλὴς ὢν οὐκ ἐλάνθανε τὸν Ὦχον. (2) Ἐπιβουλεύων οὖν ἀμφοτέροις f καὶ δολερὸς ὢν ὁμοῦ καὶ φονικὸς ἐχρήσατο τῇ μὲν ὠμότητι τῆς φύσεως πρὸς τὸν Ἀρσάμην, τῇ δὲ κακουργίᾳ καὶ δεινότητι πρὸς τὸν Ἀριάσπην. Ὑπέπεμψε γὰρ πρὸς αὐτὸν εὐνούχους καὶ φίλους βασιλέως ἀπειλάς τινας ἀεὶ καὶ λόγους φοβεροὺς ἀπαγγέλλοντας, ὡς τοῦ πατρὸς ἐγνωκότος ἀποκτιννύειν αὐτὸν ὠμῶς καὶ ἐφυβρίστως. (3) Οἱ δὲ ταῦτα καθ' ἡμέραν ἐκφέρειν δοκοῦντες ὡς ἀπόρρητα καὶ τὰ μὲν μέλλειν, τὰ δὲ ὅσον οὔπω πράσ-
1027 σειν βασιλέα λέγοντες, οὕτως ἐξέπληξαν τὸν ἄνθρωπον a
καὶ τοσαύτην ἐνέβαλον πτοίαν αὐτῷ καὶ ταραχὴν καὶ

inde surrexit, quam ad cædem perpetrandam venientium facies singulorum contuitus est et plane unumquemque eorum agnovit. Ut jam stringere gladios et adversum se tendere conspexit, celeriter aulæo arrepto per ostium in conclave interius se proripuit, ostioque obdito clamorem sustulit. Ita percussores a rege visi, nulla re gesta fuga se per fores proripuerunt, Teribazumque et qui cum eo erant, ut jam compertos insidiarum, ad fugam hortati sunt. Reliquis fuga dispersis, Teribazus comprehensus multos de regiis stipatoribus occidit, ac vix tandem jaculo eminus ictus cecidit. (3) Darium cum liberis adductum rex judicandum consiliariis regiis dedit, absens ipse; mandavit autem, ut singulorum sententias perscriptas ad se ministri deferrent. Omnium suffragiis damnatus, capitalique supplicio addictus, a lictoribus correptus in propinquum carcerem est abductus. Carnifex accitus, manu tenens novaculam, qua damnatorum capita abscindi solent, ut vidit Darium, perterritus recessit, ad fores respiciens, ut qui regi afferre manus non auderet. Foris autem judicibus minaciter ut mandata exsequeretur jubentibus, reversus intro, altera manu comam apprehendit, cervicemque depressam novacula abscidit. (4) Quidam judicium in præsentia regis factum affirmant, et Darium criminis convictum in faciem procidisse, suppliciterque deprecatum; regem autem iræ impotentem surrexisse, strictoque acinace eum percussisse, donec exspiravit; deinde in aulam progressum, solem adorasse, ac dixisse: Ite Persæ, ite læti, aliisque indicate, magnum Oromazem ab iis qui impium et nefarium conati sunt facinus, pœnas cepisse.

XXX. Hunc exitum paratæ Artoxerxi insidiæ habuerunt. Ceterum Ochum Atossa jam ad spem amplissimam erexerat, metuebat tamen adhuc fratres, genuinum Ariaspem qui unus supererat, et de nothis Arsamen. Ariaspes enim, non eo quod ætate Ochum anteibat, sed propter benignitatem, simplicitatem, et humanitatem, regnum videbatur in Persas obtenturus; Arsames vero et prudens videbatur et eum maxime a patre diligi non fallebat Ochum. (2) Igitur homo dolosus juxta et sanguinarius, utriusque vitæ insidians, crudelitate sua adversus Arsamen, dolo et versutia contra Ariaspen usus est. Nam ad hunc eunuchos et amicos regis submisit, qui semper ad eum minas et terribiles sermones afferrent: decrevisse scilicet regem ei crudelem et turpem mortem inferre. (3) Ii quum quotidie hæc velut arcana se ei referre simularent et alia jamjam agere, alia mox acturum regem dicerent, eo pavoris hominem

δυσθυμίαν εἰς τοὺς λογισμούς, ὥστε φάρμακον σκευάσαντα τῶν θανασίμων καὶ πιόντα τοῦ ζῆν ἀπαλλαγῆναι. (4) Πυθόμενος δὲ ὁ βασιλεὺς τὸν τρόπον τῆς τελευτῆς, ἐκεῖνον μὲν ἀπέκλαυσε, τὴν δ' αἰτίαν ὑπώπτευεν. Ἐλέγχειν δὲ καὶ ζητεῖν ἐξαδυνατῶν διὰ γῆρας, ἔτι μᾶλλον ἠσπάζετο τὸν Ἀρσάμην καὶ δῆλος ἦν μάλιστα πιστεύων ἐκείνῳ καὶ παῤῥησιαζόμενος. Ὅθεν οἱ περὶ τὸν Ὦχον οὐκ ἀνεβάλοντο τὴν πρᾶξιν, ἀλλ' Ἀρπάτην υἱὸν Τηριβάζου παρασκευάσαντες ἀπέκτειναν δι' ἐκείνου τὸν ἄνθρωπον. (5) Ἦν μὲν οὖν ἐπὶ ῥοπῆς μικρᾶς ὁ Ἀρτοξέρξης b διὰ τὸ γῆρας ἤδη τότε· προσπεσόντος δὲ αὐτῷ τοῦ περὶ τὸν Ἀρσάμην πάθους οὐδὲ ὀλίγον ἀντέσχεν, ἀλλ' εὐθὺς ὑπὸ λύπης καὶ δυσθυμίας ἀπεσβέσθη, βιώσας μὲν ἐνενήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ δύο καὶ ἑξήκοντα, δόξας δὲ πρᾶος εἶναι καὶ φιλυπήκοος οὐχ ἥκιστα διὰ τὸν υἱὸν Ὦχον ὠμότητι καὶ μιαιφονίᾳ πάντας ὑπερβαλόμενον.

adduxere atque anxietatis, ut letali veneno apparato et hausto mortem sibi consciverit. (4) Rex, genere mortis cognito, filium quidem luxit; quis autem causam morti præbuisset, etsi suspicabatur, inquirere tamen et certo comperire per senectutem non valens, eo arctius Arsamen est amplexus, neque obscure tulit, omnia se ei credere et libere communicare. Itaque Ochus nequaquam cunctandum sibi ratus, Arpate Teribazi filio submisso Arsamen de medio sustulit. (5) Adeo tum decrepitus erat Artoxerxes, ut minimo ad mortem videretur indigere momento; itaque allato ei de Arsamis interitu nuntio, sustinere non potuit, et statim mœrore exstinctus est. Vixit annos nonaginta quattuor, regnavit sexaginta duo: judicatus est clemens esse et subditorum amans: quam opinionem maxime confirmavit Ochus, crudelitate et paricidiis omnibus superior.

ΑΡΑΤΟΣ.

Παροιμίαν τινὰ παλαιάν, ὦ Πολύκρατες, δείσας μοι δοκεῖ τὸ δύσφημον αὐτῆς ὁ φιλόσοφος Χρύσιππος, οὐχ ὃν ἔχει τρόπον, ἀλλ' ὡς αὐτὸς ᾤετο βέλτιον εἶναι, διατίθεται·

Τίς πατέρ' αἰνήσει, εἰ μὴ εὐδαίμονες υἱοί; d

Διονυσόδωρος δὲ ὁ Τροιζήνιος ἐλέγχων αὐτὸν ἀντεκτίθησι τὴν ἀληθινὴν οὕτως ἔχουσαν·

Τίς πατέρ' αἰνήσει, εἰ μὴ κακοδαίμονες υἱοί;

καί φησι τοὺς ἀφ' αὑτῶν οὐδενὸς ἀξίους ὄντας, ὑποδυομένους δὲ προγόνων τινῶν ἀρεταῖς καὶ πλεονάζοντας ἐν τοῖς ἐκείνων ἐπαίνοις ὑπὸ τῆς παροιμίας ἐπιστομίζεσθαι. Ἀλλ' ᾧ γε φύσει τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων, κατὰ Πίνδαρον, ὥσπερ σοὶ πρὸς τὸ κάλλιστον ἀφομοιοῦντι τῶν οἴκοθεν παραδειγμάτων τὸν βίον, εὐδαιμον ἂν εἴη τὸ μεμνῆσθαι τῶν ἀπὸ γένους ἀρίστων ἀκούοντας περὶ αὐτῶν ἀεί τι καὶ λέγοντας. Οὐ γὰρ ἰδίων ἀπορίᾳ καλῶν ἐξαρτῶσιν ἀλλοτρίων ἐπαίνων τὴν δόξαν, ἀλλὰ τοῖς ἐκείνων τὰ οἰκεῖα συνάψαντες, ὡς καὶ τοῦ γένους, καὶ τοῦ βίου καθηγεμόνας εὐφημοῦσι. (2) Διὸ κἀγὼ τὸν Ἀράτου τοῦ σοῦ πολίτου καὶ προπά- e τορος βίον, ὃν οὔτε τῇ δόξῃ τῇ περὶ σεαυτὸν οὔτε τῇ δυνάμει καταισχύνεις, ἀπέσταλκά σοι συγγραψάμενος, οὐχ ὡς οὐχὶ πάντων ἀκριβέστατά σοι μεμεληκὸς ἐξ ἀρχῆς ἐπίστασθαι τὰς ἐκείνου πράξεις, ἀλλ' ὅπως οἱ παῖδές σου Πολυκράτης καὶ Πυθοκλῆς οἰκείοις παραδείγμασιν ἐντρέφωνται, τὰ μὲν ἀκούοντες, τὰ δὲ ἀναγινώσκοντες, ἅπερ οὖν αὐτοὺς μιμεῖσθαι προσήκει. Φιλαύτου γὰρ ἀνδρὸς, οὐ φιλοκάλου, πάντων ἀεὶ βέλτιστον [αὑτὸν] ἡγεῖσθαι.

II. Ἡ Σικυωνίων πόλις, ἐπεὶ τὸ πρῶτον ἐκ τῆς

ARATUS.

Antiquam quoddam, Polycrates, proverbium, ut mihi videtur, Chrysippus philosophus, ne ejus invisa plerisque sententia aures offenderentur, non ita ut erat, sed ut commodius ipsi videbatur, protulit:

Anne suum laudet patrem, nisi prospera proles?

Quem redarguens Dionysodorus Trœzenius, verum adagium ipse exponit, cujus hic est sensus:

Anne suum laudet patrem, nisi non bona proles?

aitque eorum ora hoc dicterio obturari, qui quum ipsi per se nullius sint pretii, majorum suorum in laudes subrepant, in iisque prædicandis sint nimii. Enimvero cui generosa indoles a majoribus, ut ait Pindarus, innata est, ut tibi, ei, si ad pulcherrimum exemplum domesticorum vitam suam componere instituerit, in felicitatis parte ponendum est, si majorum suorum, qui virtute aliis antecelluerunt, memoriam colat, et perpetuo aliquid de iis vel audiat, vel loquatur. Non enim propriorum bonorum penuria suam existimationem ab aliorum gloria ille suspendit, sed majorum suorum virtutibus suas actiones annectens, ut generis, ita etiam vitæ factorumque suorum auctores et duces eos prædicat. (2) Itaque et ego Arati, civis tui et progenitoris, quem neque gloria tua neque potentia dedecoras, vitam a me conscriptam ad te mitto, non quod nesciam, jampridem omnes tibi ejus viri actiones accuratissime cognitas, sed ut filii tui Polycrates et Pythocles domesticis exemplis innutriantur quum legendo de iis tum audiendo, quæ quidem imitari ipsos convenit. Sui ipsius enim nimium admiratorem, non honestatis studiosum judico eum, qui semetipsum ubique optimum judicet.

II. Sicyoniorum civitas, quum primum mera illa et Dorica

ἀκράτου καὶ Δωρικῆς ἀριστοκρατίας ὥσπερ ἁρμονίας συγχυθείσης εἰς στάσεις ἐνέπεσε καὶ φιλοτιμίας δημα- f γωγῶν, οὐκ ἐπαύσατο νοσοῦσα καὶ ταραττομένη καὶ τύραννον ἐκ τυράννου μεταβάλλουσα, μέχρι οὗ Κλέωνος ἀναιρεθέντος εἵλοντο Τιμοκλείδαν ἄρχοντα καὶ Κλεινίαν, ἄνδρας ἐνδόξους τὰ μάλιστα καὶ ἐν δυνάμει τῶν πολιτῶν ὄντας. (2) Ἤδη δέ τινα τῆς πολιτείας κατάστασιν ἔχειν 1028 δοκούσης, Τιμοκλείδας μὲν ἀπέθανεν, Ἀβαντίδας δὲ a ὁ Πασέου τυραννίδα πράττων ἑαυτῷ τὸν Κλεινίαν ἀπέκτεινε καὶ τῶν φίλων καὶ οἰκείων τοὺς μὲν ἐξέβαλε, τοὺς δὲ ἀνεῖλεν. Ἐζήτει δὲ καὶ τὸν υἱὸν αὐτοῦ, Ἄρατον, ἀνελεῖν, ἑπταετῆ καταλελειμμένον. Ἐν δὲ τῇ περὶ τὴν οἰκίαν ταραχῇ συνεκπεσὼν τοῖς φεύγουσιν ὁ παῖς καὶ πλανώμενος ἐν τῇ πόλει περίφοβος καὶ ἀβοήθητος, κατὰ τύχην ἔλαθεν εἰς οἰκίαν παρελθὼν γυναικὸς, ἀδελφῆς μὲν Ἀβαντίδου, Προφάντῳ δὲ τῷ Κλεινίου ἀδελφῷ γεγαμημένης, ὄνομα Σωσοῦς. Αὕτη δὲ καὶ τὸ ἦθος οὖσα γενναία καὶ σὺν θεῷ τινι τὸ παιδίον οἰομένη καταπεφευγέναι πρὸς αὐτὴν, ἀπέκρυψεν ἔνδον, b εἶτα νυκτὸς εἰς Ἄργος ὑπεξέπεμψεν.

III. Οὕτω δ' ἐκκλαπέντι τῷ Ἀράτῳ καὶ διαφυγόντι τὸν κίνδυνον εὐθὺς μὲν ἐνεφύετο καὶ συνηύξετο τὸ σφοδρὸν καὶ διάπυρον μῖσος ἐπὶ τοὺς τυράννους. Τρεφόμενος δὲ παρὰ τοῖς ἐν Ἄργει ξένοις καὶ φίλοις πατρῴοις ἐλευθερίως καὶ τὸ σῶμα βλαστάνον ὁρῶν εἰς εὐεξίαν καὶ μέγεθος, ἐπέδωκεν ἑαυτὸν ἀσκήσει τῇ περὶ παλαίστραν, ὥστε καὶ πένταθλον ἀγωνίσασθαι καὶ στεφάνων τυχεῖν. (2) Ἐπιφαίνεται δ' ἀμέλει καὶ ταῖς εἰκόσιν ἀθλητική τις ἰδέα καὶ τὸ συνετὸν τοῦ προσώπου καὶ βασιλικὸν οὐ παντάπασιν ἀρνεῖται τὴν ἀδηφαγίαν καὶ τὸ σκάφιον. Ὅθεν ἐνδεέστερον ἴσως ἢ πολιτικῷ προσ- c ῆκον ἀνδρὶ περὶ τὸν λόγον ἐσπούδασε· καίτοι γεγονέναι κομψότερον εἰπεῖν ἢ δοκεῖ τισιν ἐκ τῶν ὑπομνημάτων κρίνουσιν, ἃ παρέργως καὶ ὑπὸ χεῖρα διὰ τῶν ἐπιτυχόντων ὀνομάτων ἁμιλλησάμενος κατέλιπε. (3) Χρόνῳ δὲ ὕστερον Ἀβαντίδαν μὲν οἱ περὶ Δεινίαν καὶ Ἀριστοτέλη τὸν διαλεκτικὸν εἰωθότα τοῖς λόγοις αὐτῶν κατ' ἀγορὰν σχολαζόντων ἑκάστοτε παρεῖναι καὶ συμφιλονεικεῖν, ἐμβαλόντες εἰς τοιαύτην διατριβὴν καὶ κατασκευάσαντες ἐπιβουλὴν ἀνεῖλον, Πασέαν δὲ τὸν Ἀβαντίδου πατέρα τὴν ἀρχὴν ὑπολαβόντα Νικοκλῆς δολοφονήσας ἑαυτὸν ἀνέδειξε τύραννον. Τοῦτον ἐμ- d φερέστατον λέγουσι τὴν ὄψιν Περιάνδρῳ τῷ Κυψέλου γενέσθαι, καθάπερ Ἀλκμαίωνι μὲν τῷ Ἀμφιάρεω τὸν Πέρσην Ὀρόντην, Ἕκτορι δὲ τὸν Λακεδαιμόνιον νεανίσκον, ὃν ἱστορεῖ Μυρτίλος ὑπὸ πλήθους τῶν θεωμένων, ὡς τοῦτο ἔγνωσαν, καταπατηθῆναι.

IV. Τοῦ δὲ Νικοκλέους τέσσαρας μῆνας τυραννοῦντος, ἐν οἷς πολλὰ κατὰ τὴν πόλιν ἐργασάμενος ἐκινδύνευεν ὑπ' Αἰτωλῶν ἐπιβουλευομένην αὐτὴν ἀποβαλεῖν, ἤδη μειράκιον ὁ Ἄρατος ὢν ἀξίωμα λαμπρὸν εἶχε δι' εὐγένειαν καὶ φρόνημα, ὃ διέφαινεν οὐ μικρὸν οὐδὲ ἀργὸν, ἐμβριθὲς δὲ καὶ παρ' ἡλικίαν ἀσφαλεστέρᾳ γνώμῃ κεκραμένον. (2) Ὅθεν οἵ τε φυγάδες μάλιστα τὸν e

optimorum in republica dominatio tanquam concinnitate sonorum dissipata, in seditiones et contentiones popularium oratorum incidit, perpetuis tumultibus agitata laboravit, aliumque post alium subinde tyrannum pertulit, donec Cleone occiso, ad Timoclidam et Cliniam, viros præcipue nobiles et inter cives potentia primos, ab ipsa civitate summa rerum est delata. (2) Quum jam constituta nonnihil videretur respublica, Timoclidas moritur, Abantidas autem Paseæ filius tyrannidem affectans, Cliniam occidit, ejusque amicos et necessarios partim necat, partim urbe pellit. Filium quoque Cliniæ Aratum septennem relictum puerum ad cædem quærebat; sed is in domestico tumultu una cum reliquis fugientibus elapsus erat, inque urbe oberrans metus plenus et auxilio destitutus, forte fortuna insciis omnibus in domum Sosûs pervenerat, quæ soror Abantidæ, Prophanto Cliniæ fratri nupta erat. Ea ut erat generosæ indolis mulier, divinitus ad se delatum puerum existimans, domi occultatum, noctu Argos clam emisit.

III. Ita furtim neci periculoque subtractus Aratus, jam tum grave illud et fervens in tyrannos odium, quod paulatim accrevit deinde, concepit. Liberaliter educatus Argis apud hospites amicosque paternos, quum bonam corporis sui affectionem vigere et ad magnitudinem adolescere sentiret, exercitationi palæstricæ se tradidit, et quidem certavit etiam quinquertio ac coronas meruit. (2) Sane etiam in statuis ejus athleticum quiddam apparet, vultusque regius et prudentiam præ se ferens non omnino tamen voracitatis athleticæ et ligonis videtur usum negare. Eo factum est ut parcius fortassis quam viro in republica versaturo conveniat, artes dicendi coluerit, licet cultior quidem fuerit, quam quidam putaverunt, ex commentariis ejus judicium facientes, quos ille obiter et raptim inter agendum quibuscumque obviis vocabulis conscripsit. (3) Aliquando post tempore Dinias et Aristoteles dialecticus Abantidam, qui eorum disputationibus atque commentationibus in foro interesse unaque disputare solebat, in eam consuetudinem pertractum, compositis insidiis necaverunt. Paseam quoque Abantidæ patrem, quum is tyrannidem excepisset, Nicocles per dolum interfecit et se tyrannum Sicyoniorum constituit. Hunc Nicoclem forma simillimum fuisse Periandro Cypseli filio perhibent, ut Orontem quoque Persam Alcmæoni Amphiarai filio, et Hectori Lacedæmonium quendam adolescentem, quem Myrsilus narrat, quum id vulgus rescivisset, a turba spectatum venientium conculcatum periisse.

IV. Quartum jam mensem tyrannidem Nicocles gerebat, quo tempore multa urbi maleficia intulit, paullumque abfuit quin eam Ætolorum fraude amitteret, quum Aratus jam adolescens ob nobilitatem generis animique magnitudinem, quæ nequaquam otiosa aut vilis, sed gravis, prudentiaque etiam præter ætatem munita apparebat, cœpit in magna esse auctoritate. (2) Itaque et exsules Sicyonii maxime ei

νοῦν ἐκείνῳ προσεῖχον ὅ τε Νικοκλῆς οὐκ ἠμέλει τῶν πραττομένων, ἀλλ' ἀδήλως παρεθεώρει καὶ παρεφύλαττεν αὐτοῦ τὴν ὁρμὴν, τόλμημα μὲν οὐδὲν τηλικοῦτον δεδιὼς οὐδὲ ἔργον οὐδὲν οὕτω παρακεκινδυνευμένον, ὑποπτεύων δὲ τοῖς βασιλεῦσιν αὐτὸν διαλέγεσθαι φίλοις οὖσι καὶ ξένοις πατρῴοις. (3) Καὶ γὰρ ἀληθῶς ὁ Ἄρατος ἐπεχείρησε τὴν ὁδὸν ἐκείνην βαδίζειν. Ὡς δὲ Ἀντίγονος μὲν ὑπισχνούμενος ἠμέλει καὶ παρῆκε τὸν χρόνον, αἱ δὲ ἀπ' Αἰγύπτου καὶ παρὰ Πτολεμαίου μακρὰν ἦσαν ἐλπίδες, ἔγνω δι' αὐτοῦ καταλύειν τὸν τύραννον.

V. Πρώτοις δὲ κοινοῦται τὴν γνώμην Ἀριστομάχῳ [f] καὶ Ἐκδήλῳ. Τούτων ὁ μὲν ἐκ Σικυῶνος ἦν φυγὰς, ὁ δὲ Ἔκδηλος Ἀρκὰς ἐκ Μεγάλης πόλεως, ἀνὴρ φιλόσοφος καὶ πρακτικὸς, Ἀρκεσιλάου τοῦ Ἀκαδημαϊκοῦ γεγονὼς ἐν ἄστει συνήθης. Δεξαμένων δὲ τούτων προθύμως, διελέγετο τοῖς ἄλλοις φυγάσιν, ὧν ὀλίγοι μὲν [1029] αἰσχυνθέντες ἐγκαταλιπεῖν τὴν ἐλπίδα μετεῖχον τῶν [a] πραττομένων, οἱ δὲ πολλοὶ καὶ τὸν Ἄρατον ἐπειρῶντο κατακωλύειν ὡς ἀπειρίᾳ πραγμάτων θρασυνόμενον. (2) Βουλευομένου δ' αὐτοῦ χωρίον τι τῆς Σικυωνίας καταλαβεῖν, ὅθεν ὡρμημένος διαπολεμήσει πρὸς τὸν τύραννον, ἧκεν εἰς Ἄργος ἀνὴρ Σικυώνιος ἐκ τῆς εἱρκτῆς ἀποδεδρακώς· ἦν δὲ τῶν φυγάδων ἑνὸς Ξενοκλέους ἀδελφός· καὶ τῷ Ἀράτῳ προσαχθεὶς ὑπὸ τοῦ Ξενοκλέους, ἔλεγε τοῦ τείχους καθ' ὃν ὑπερβὰς αὐτὸς ἐσώθη τόπον ἐντὸς μὲν ὀλίγου δεῖν ἐπίπεδον εἶναι, προσπεφυκότα χωρίοις πετρώδεσι καὶ ὑψηλοῖς, τὸ δὲ ἔξωθεν ὕψος ὑπὸ κλιμάκων οὐ πάνυ ἀνέφικτον. (3) Ὡς δὲ ταῦτα ἤκουσεν [b] ὁ Ἄρατος, ἐκπέμπει μετὰ τοῦ Ξενοκλέους οἰκέτας ἰδίους δύο, Σευθᾶν τε καὶ Τέχνωνα, κατασκεψομένους τὸ τεῖχος, ἐγνωκὼς, εἰ δύναιτο, κρύφα καὶ πρὸς ἕνα κίνδυνον ὀξέως τὸ πᾶν ἀναῤῥῖψαι μᾶλλον ἢ μακρῷ πολέμῳ καὶ φανεροῖς ἀγῶσιν ἰδιώτης ἀντικαθίστασθαι πρὸς τύραννον. (4) Ὡς δ' ἐπανῆλθον οἱ περὶ τὸν Ξενοκλέα τοῦ μὲν τείχους εἰληφότες μέτρα καὶ τοῦ τόπου τὴν φύσιν ἀπαγγέλλοντες οὐκ ἄπορον οὐδὲ χαλεπὴν, τὸ δὲ λαθεῖν προσελθόντας ἐργῶδες εἶναι φάσκοντες ὑπὸ κηπουροῦ τινος κυναρίων, μικρῶν μὲν, ἐκτόπως δὲ μαχίμων καὶ [c] ἀπαρηγορήτων, εὐθὺς ἐνίστατο τὴν πρᾶξιν.

VI. Ἡ μὲν οὖν τῶν ὅπλων παρασκευὴ συνήθης ἦν, πάντων, ὡς ἔπος εἰπεῖν, τότε κλωπείαις χρωμένων καὶ καταδρομαῖς ἐπ' ἀλλήλους· τὰς δὲ κλίμακας Εὐφράνωρ ὁ μηχανοποιὸς ἀναφανδὸν ἐπήξατο, τῆς τέχνης αὐτῷ τὸ ἀνύποπτον διδούσης, ἐπεὶ καὶ αὐτὸς ἦν τῶν φυγάδων. Ἄνδρας δὲ αὐτῷ τῶν μὲν ἐν Ἄργει φίλων ἕκαστος ἐξ ὀλίγων δέκα παρέσχεν, αὐτὸς δὲ τῶν ἰδίων οἰκετῶν τριάκοντα καθώπλισεν. Ἐμισθώσατο δὲ καὶ διὰ πρώτου Ξενοφίλου τῶν ἀρχικλώπων οὐ πολλοὺς στρατιώτας, οἷς διεδόθη λόγος, ὡς ἐπὶ τὰς ἵππους τὰς βασιλικὰς εἰς τὴν Σικυωνίαν ἔξοδος ἔσοιτο. (2) Καὶ προεπέμφθησαν οἱ πολ- [d] λοὶ σποράδες ἐπὶ τὸν Πολυγνώτου πύργον, ἐκεῖ κελευσθέντες περιμεῖναι. Προεπέμφθη δὲ καὶ Καφισίας ὑπ' αὐτοῦ μετὰ τεσσάρων ἄλλων εὐζώνος, οὓς ἔδει πρὸς τὸν

animum animadvertebant, et Nicocles nequaquam ea quæ gerebantur negligebat, sed conatus ejus occulte spectabat atque observabat; nihil quidem tale ausurum, aut tam periculosum facinus aggressurum, sed colloquia eum cum regibus, quos amicos habebat hospitesque paternos, agitare suspicans. (3) Et vero ea via aggredi rem Aratus instituerat. Sed quum et Antigonus multa pollicitus occasionem temporis remque totam negligeret et Ptolemæus Ægyptusque, unde spei aliquid erat, longius abessent, statuit per sese tyrannum evertere.

V. Primis Aristomacho et Ecdelo animi sui sententiam exposuit. Aristomachus Sicyonius exsul erat, Ecdelus Arcas Megalopoli oriundus, philosophus, rebusque agendis aptus homo, qui in urbe Arcesilaum Academicum audierat. Quum hi alacriter institutum probassent, rem cum reliquis etiam exsulibus communicat. Pauci horum, pudore deserendi tanti conatus moti, socios se facinori præbuerunt, plerique autem conati sunt inhibere Aratum, quasi imperitia rerum ferocientem. (2) Quum deliberaret de loco aliquo Sicyoniæ occupando, quo belli adversus tyrannum gerendi receptaculo uteretur, commodum Argos venit Sicyonius quidam e carcere elapsus, Xenoclis frater, unius de exsulibus. Is a Xenocle ad Aratum adductus retulit, muri partem, qua ipse evasisset, intus propemodum planam esse, locis saxosis et sublimibus contiguam, foris eam esse altitudinem, ad quam scalis evadere liceat. (3) Id quum audivisset Aratus, cum Xenocle duos suorum famulorum mittit Seutham et Technonem, qui murum contemplarentur; statuerat enim, si qua ratione id fieri posset, occulte et semel potius totam rem in discrimen mittere, quam privatus ipse contra tyrannum longo bello et apertis certaminibus contendere. (4) Reversus cum famulis Arati Xenocles mensuram muri attulit, indicavitque loci naturam eam esse, ut conscendi haud summa cum difficultate possit; magni autem esse laboris eo accedere propter hortulani cujusdam canes, parvos quidem, sed oppido acres et implacabiles. Proinde statim negotium aggressus est Aratus.

VI. Arma ut facile pararet, consuetudo efficiebat, quum fere omnes tum homines furtis et incursionibus mutuo infestarentur. Scalas Euphranor faber machinarum, ipse quoque Sicyonius exsul, palam construxit, suspicionem artis professione amoliente. Viros amici Argivi singuli de paucis denos præbuerunt, ipse de suis famulis triginta armavit. Mercede etiam opera Xenophili prædatorum ducis milites non ita multos conduxit, apud quos rumorem sparserat, in Sicyoniam se ducturum equarum regiarum abducendarum gratia. (2) Plerique alii post alios ad Polygnoti turrim præmissi sunt, ibique jussi exspectare. Præmissus etiam est Caphisias expeditus cum quattuor aliis, qui se viatores simu-

χηπουρὸν ἀφικέσθαι σκοταίους φάσκοντας ὁδοιπόρους εἶναι καὶ καταυλισαμένους αὐτόν τε συγκλεῖσαι καὶ τοὺς κύνας· οὐ γὰρ ἦν ἄλλῃ παρελθεῖν. Τὰς δὲ κλίμακας διαλυτὰς οὔσας ἐμβαλόντες εἰς ἀχάνας καὶ κατακαλύψαντες ἐφ' ἁμαξῶν προαπέστειλαν. (3) Ἐν τούτῳ δὲ κατασκόπων τινῶν ἐν Ἄργει τοῦ Νικοκλέους φανέντων καὶ περιιέναι λεγομένων ἀδήλως καὶ παραφυλάττειν τὸν e Ἄρατον, ἅμ' ἡμέρᾳ προελθὼν καὶ φανερὸς ὢν ἐν ἀγορᾷ διέτριβε μετὰ τῶν φίλων· εἶτ' ἀλειψάμενος ἐν τῷ γυμνασίῳ καὶ παραλαβών τινας ἐκ τῆς παλαίστρας τῶν εἰωθότων πίνειν καὶ ῥᾳθυμεῖν μετ' αὐτοῦ νεανίσκων ἀπῆγεν οἴκαδε· καὶ μετὰ μικρὸν ἑωρᾶτο τῶν οἰκετῶν αὐτοῦ δι' ἀγορᾶς ὁ μὲν στεφάνους φέρων, ὁ δὲ λαμπάδας ὠνούμενος, ὁ δὲ τοῖς εἰθισμένοις παρὰ πότον ψάλλειν καὶ αὐλεῖν γυναίοις διαλεγόμενος. (4) Ταῦτα δὲ οἱ κατάσκοποι πάντα ὁρῶντες ἐξηπάτηντο καὶ πρὸς ἀλλήλους ἀναγελῶντες ἔλεγον· « Οὐδὲν ἦν ἄρα τυράννου δειλότερον, εἰ καὶ Νικοκλῆς τηλικαύτην πόλιν ἔχων καὶ τοσαύτην δύναμιν ὀῤῥωδεῖ μειράκιον εἰς ἡδονὰς καὶ πό- f τους μεθημερινοὺς τὰ τῆς φυγῆς ἐφόδια καταχρώμενον. »

VII. Οἱ μὲν οὖν οὕτω παραλογισθέντες ἀπηλλάγησαν. Ὁ δὲ Ἄρατος εὐθὺς μετ' ἄριστον ἐξελθὼν καὶ συνάψας πρὸς τὸν Πολυγνώτου πύργον τοῖς στρατιώταις, εἰς Νεμέαν προῆγεν, ὅπου τὴν πρᾶξιν ἐξέφηνε τοῖς πολλοῖς, τὸ δὲ πρῶτον ὑποσχέσεις τε καὶ παρακλήσεις ἐποιή-
1030 σατο· καὶ σύνθημα παραδοὺς Ἀπόλλωνα ὑπερδέξιον, a προῆγεν ἐπὶ τὴν πόλιν συμμέτρως τῇ περιφορᾷ τῆς σελήνης ἐπιταχύνων καὶ πάλιν ἀνιεὶς τὴν πορείαν, ὥστε τῷ μὲν φωτὶ χρῆσθαι καθ' ὁδόν, ἤδη δὲ δυομένης περὶ τὸν κῆπον εἶναι πλησίον τοῦ τείχους. (2) Ἐνταῦθα Καφισίας ἀπήντησεν αὐτῷ, τῶν μὲν κυναρίων οὐ κρατήσας (ἔφθη γὰρ ἀποπηδήσαντα), τὸν δὲ κηπουρὸν ἐγκεκλεικώς. Ἀθύμους δὲ τοὺς πλείστους γενομένους καὶ κελεύοντας ἀπαλλάττεσθαι παρεθάῤῥυνεν ὁ Ἄρατος, ὡς ἀπάξων, ἂν οἱ κύνες ἄγαν ἐνοχλῶσιν αὐτοῖς. (3) Ἅμα δὲ τοὺς τὰς κλίμακας φέροντας προπέμψας, ὧν Ἔκδηλος ἡγεῖτο καὶ Μνασίθεος, αὐτὸς ἐπηκολούθει σχολαίως, ἤδη τῶν κυναρίων εὐτόνως ὑλακτούντων καὶ συμπα- b ρατρεχόντων τοῖς περὶ τὸν Ἔκδηλον. Οὐ μὴν ἀλλὰ προσέμιξάν τε τῷ τείχει καὶ προσήρεισαν τὰς κλίμακας ἀσφαλῶς. Ἀναβαινόντων δὲ τῶν πρώτων, ὁ τὴν ἑωθινὴν φυλακὴν παραδιδοὺς ἐφώδευε κώδωνι, καὶ φῶτα πολλὰ καὶ θόρυβος ἦν τῶν ἐπιπορευομένων. Οἱ δέ, ὥσπερ εἶχον, αὐτοῦ πτήξαντες ἐπὶ τῶν κλιμάκων τούτους μὲν οὐ χαλεπῶς ἔλαθον, ἄλλης δὲ φυλακῆς ἐναντίας ταύτῃ προσερχομένης εἰς τὸν ἔσχατον κίνδυνον ἦλθον. Ὡς δὲ κἀκείνην διέφυγον παρελθοῦσαν, εὐθὺς ἀνέβαινον οἱ πρῶτοι Μνασίθεος καὶ Ἔκδηλος· καὶ τὰς ἑκατέρωθεν ὁδοὺς τοῦ τείχους διαλαβόντες ἀπέστελλον Τέχνωνα πρὸς Ἄρατον ἐπείγεσθαι κελεύοντες.

VIII. Ἦν δὲ οὐ πολὺ διάστημα ἀπὸ τοῦ κήπου πρὸς τὸ τεῖχος καὶ τὸν πύργον, ἐν ᾧ κύων μέγας ἐφρούρει θηρατικός. Αὐτὸς μὲν οὖν οὐκ ᾔσθετο τὴν ἔφοδον, εἴτε φύσει νωθὴς ὤν, εἴτε μεθ' ἡμέραν κατάκοπος γε-

larent, et sub noctem ad hortulanum intrarent, ibique pernoctantes, ipsum et canes occluderent; nam alioqui aditus non dabatur. Scalas autem, ut erant dissolubiles, in modios frumentarios imposuerunt, itaque occultatos carris provexerunt. (3) Interim conspectis quibusdam Nicoclis exploratoribus Argis, qui clam circumire et observare Aratum ferebantur, interdiu in publicum progressus Aratus se ostentavit, inque foro cum amicis commoratus est; unctus deinde in gymnasio, ex palæstra secum abduxit domum adolescentes quosdam, secum bibere et genio indulgere solitos; paullo post in foro visi sunt famuli ejus, alius coronas ferens, alius faces emens, alius cum mulierculis quæ psallere et fistula canere in convivio solent, colloquens. (4) Hæc omnia exploratores quum cernerent, decepti sunt, atque unus alteri non sine multo risu, Nimirum, aiebant, nihil timidius est tyranno, quando Nicocles etiam tantam urbem possidens, tantasque copias, sibi ab adolescente metuit, viatica sui exsilii in voluptates et convivia diurna insumente.

VII. Atque ita decepti, discesserunt. Statim a prandio Aratus Argis profectus, ad milites juxta turrim Polygnoti venit, indeque Nemeam duxit: ibi consilium suum universis aperuit, eosque in primo adhortationibus et pollicitationibus confirmat; tum tessera data Apolline propitio versus Sicyonem ducit; ad motus autem lunaris rationem sui itineris accelerationem accommodat, ita ut lumine lunæ ad iter faciendum uteretur, luna jam occidente ad hortum haud procul muro esset. (2) Ibi ei occurrit Caphisias, occlusum quidem a se hortulanum indicans, canes autem non comprehendi potuisse, quod profugere prævertissent. Quum animis plerique caderent et retro abducere juberent, bono eos animo esse Aratus jussit, abducturumque, si nimis importuni forent canes, promisit. (3) Simul eos qui scalas gestabant, præmisit, Ecdelo et Mnasitheo ducibus; ipse lento gradu subsecutus est, canibus acriter latrantibus et juxta Ecdelum una cursitantibus. Is tamen cum suis et pervenit ad murum et scalæ tuto admotæ sunt. Primis murum conscendentibus, ille qui vigiliam matutinam tradebat, ad tintinnabulum custodes lustrabat; ibi quum multæ faces gestarentur, custodesque murum pervadentes tumultum darent, isti ibi in scalis subsidentes facile eos latuerunt; quum vero alii excubitores prioribus obvii venirent, summo in periculo fuerunt. Eo etiam evitato, primi in murum Mnasitheus et Ecdelus evaserunt, et occupato utrimque muri aditu, Technonem ad Aratum miserunt, properare jubentes.

VIII. Ab horto ad murum et turrim non magnum erat spatium, qua in turri magnus canis venaticus excubabat. Is muros occupantium strepitum non senserat, sive natura hebes, sive interdiu defatigatus, ab hortulani autem cani-

γονώς. Τῶν δὲ τοῦ κηπουροῦ κυναρίων κάτωθεν ἐκκαλουμένων αὐτὸν, ὑπεφθέγγετο τυφλὸν καὶ ἄσημον τὸ πρῶτον, εἶτα μᾶλλον ἐπέτεινε παρερχομένων, καὶ κατεῖχεν ἤδη πολὺς ὑλαγμὸς τὸ χωρίον, ὥστε τὸν πέραν φύλακα κραυγῇ μεγάλῃ πυνθάνεσθαι τοῦ κυνηγοῦ, πρὸς τίνα τραχέως οὕτως ὑλακτεῖ καὶ μή τι γίνεται καινότερον. d Ὁ δ' ἀπὸ τοῦ πύργου αὐτῷ ἀντεφώνησε μηδὲν εἶναι δεινὸν, ἀλλὰ τὸν κύνα πρὸς τὸ φῶς τῶν τειχοφυλάκων καὶ τὸν ψόφον τοῦ κώδωνος παρωξύνθαι. Τοῦτο μάλιστα τοὺς Ἀράτου στρατιώτας ἐπέῤῥωσεν, οἰομένους τὸν κυνηγὸν ἐπικρύπτειν κοινωνοῦντα τῇ πράξει, εἶναι δὲ πολλοὺς καὶ ἄλλους ἐν τῇ πόλει τοὺς συνεργοῦντας. (2) Οὐ μὴν ἀλλὰ τῷ τείχει προσβαλόντων χαλεπὸς ἦν ὁ κίνδυνος καὶ μῆκος ἐλάμβανε, τῶν κλιμάκων κραδαινομένων, εἰ μὴ καθ' ἕνα καὶ σχολαίως ἀναβαίνοιεν· ἡ δὲ ὥρα κατήπειγεν, ἤδη φθεγγομένων ἀλεκτρυόνων καὶ ὅσον οὔπω τῶν ἐξ ἀγροῦ τι φέρειν εἰωθότων πρὸς ἀγοράν e ἐπερχομένων. (3) Διὸ καὶ σπεύδων ὁ Ἄρατος ἀνέβαινε, τεσσαράκοντα τῶν πάντων ἀναβεβηκότων πρὸ αὐτοῦ· καὶ προσδεξάμενος ἔτι τῶν κάτωθεν ὀλίγους ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου καὶ τὸ στρατήγιον ἐπανῆλθεν· ἐνταῦθα γὰρ οἱ μισθοφόροι παρενυκτέρευον. Ἄφνω δὲ ἐπιπεσὼν αὐτοῖς καὶ συλλαβὼν ἅπαντας, οὐδένα δὲ ἀποκτείνας, εὐθὺς διεπέμπετο πρὸς τοὺς φίλους ἀνακαλούμενος ἕκαστον ἀπ' οἰκίας. Καὶ συνδραμόντων πανταχόθεν, ἡμέρα μὲν ὑπέλαμπεν ἤδη καὶ τὸ θέατρον ἦν ὄχλου μεστὸν, ἔτι πρὸς τὴν ἄδηλον αἰωρουμένων f φήμην καὶ σαφὲς οὐδὲν εἰδότων ὑπὲρ τῶν πραττομένων, πρίν γε δὴ προσελθὼν ὁ κήρυξ εἶπεν, ὡς Ἄρατος ὁ Κλεινίου παρακαλεῖ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν.

IX. Τότε δὴ πιστεύσαντες ἥκειν ἃ πάλαι προσεδόκων, ὥρμησαν ἀθρόοι πρὸς τὰς θύρας τοῦ τυράννου πῦρ ἐπιφέροντες. Ἤρθη δὲ φλὸξ μεγάλη καὶ καταφανὴς μέχρι Κορίνθου τῆς οἰκίας ἀναφθείσης, ὥστε θαυμά-
1031 σαντας τοὺς ἐν Κορίνθῳ παρὰ μικρὸν ὁρμῆσαι πρὸς a
τὴν βοήθειαν. Ὁ μὲν οὖν Νικοκλῆς ἔλαθε διά τινων ὑπονόμων ὑπεκδὺς καὶ ἀποδρὰς ἐκ τῆς πόλεως· οἱ δὲ στρατιῶται καταπαύσαντες μετὰ τῶν Σικυωνίων τὸ πῦρ διήρπαζον τὴν οἰκίαν. Καὶ οὔτε ταῦτα ἐκώλυσεν ὁ Ἄρατος τά τε λοιπὰ χρήματα τῶν τυράννων εἰς μέσον ἔθηκε τοῖς πολίταις. Ἀπέθανε δὲ οὐδεὶς οὐδ' ἐτρώθη τὸ παράπαν τῶν ἐλθόντων οὐδὲ τῶν πολεμίων, ἀλλὰ καθαρὰν καὶ ἄθικτον αἵματος ἐμφυλίου τὴν πρᾶξιν ἡ τύχη διεφύλαξε. (2) Κατήγαγε δὲ φυγάδας τοὺς μὲν ὑπὸ Νικοκλέους ἐκπεπτωκότας ὀγδοήκοντα, τοὺς δὲ ἐπὶ τῶν ἔμπροσθεν τυράννων οὐκ ἐλάττους πεντακοσίων, b οἷς μακρὰ μὲν ἡ πλάνη καὶ ὁμοῦ τι πεντηκονταετὴς ἐγεγόνει, κατελθόντες δὲ οἱ πλεῖστοι πένητες ὧν κύριοι πρότερον ἦσαν ἐπελαμβάνοντο· καὶ βαδίζοντες ἐπὶ τὰ χωρία καὶ τὰς οἰκίας δεινὴν ἀπορίαν τῷ Ἀράτῳ παρεῖχον, ἐπιβουλευομένην μὲν ἔξωθεν καὶ φθονουμένην ὑπ' Ἀντιγόνου τὴν πόλιν ὁρῶντι διὰ τὴν ἐλευθερίαν, ταραττομένην δ' ὑφ' αὑτῆς καὶ στασιάζουσαν. (3) Ὅθεν ἐκ τῶν παρόντων ἄριστα κρίνας προσ-

bus inferne latrantibus excitatus, initio obscuro latratu responderat, mox appropinquantibus illis, latratum intendebat, jamque totus ille locus latratu canum resonabat, adeo ut ab altera parte vigil magna voce venatorem percontatus sit: curnam ita vehementer canis latraret et an aliquid insolens accidisset. Ille ex turri respondit: nihil esse periculi, canem lumine vigilum et tintinnabuli sonitu esse irritatum. Id maxime Arati milites confirmavit, existimantes venatorem socium facinoris dedita opera rem occultare et multos quoque alios in urbe negotii conscios atque auxiliarios esse. (2) Verum enim vero quum ad murum omnes pervenissent, longus erat et periculosus labor, quod scalæ, nisi unus post alium et paulatim ascenderet, concutiebantur; tempus autem moram non ferebat, jam gallis canentibus et appropinquantibus jamjam iis, qui in forum ex agris res venales portabant. (3) Itaque festinans Aratus, quum ante ipsum quadraginta tantum adscendissent, ipse quoque in murum evasit, paucisque adhuc assumptis, ad domum tyranni et prætorium contendit, ubi noctem mercenarii milites agebant. Hos subito superveniens omnes comprehendit, occidit neminem, statimque ad amicos dimisit, qui singulos ad se vocarent. Facto undique concursu, dies illuxit, eratque turbæ plenum theatrum, animis omnium ob incertum adhuc rumorem suspensis, et eorum quæ agebantur ignaris, donec præco accedens edixit, Aratum Cliniæ filium cives ad libertatem vocare.

IX. Tum demum credentes ea adesse, quæ jam pridem exspectarant, confertim ad tyranni ædes accurrerunt, ignem injicientes. Edita autem est ingens flamma et Corinthum usque luxit domus incendium, ita ut qui Corinthi erant mirati quidnam hoc rei esset, paullum abfuerit quin ad auxilium ferendum accurrerent. Nicocles per quosdam cuniculos ex urbe effugit, milites autem et cives exstincto incendio domum diripuerunt, non hoc modo Arato concedente, sed et reliquam tyrannorum pecuniam civibus in medium proponente. Nemo omnium vel occisus est, vel vulneratus, neque Aratianorum neque hostium, sed id facinus fortuna ab omni civili sanguine purum servavit. (2) Reduxit exsules, qui a Nicocle pulsi fuerant, octoginta qui a prioribus tyrannis, haud pauciores quingentis, qui diu multumque, nonnulli etiam per quinquaginta annos vagati fuerant. Plerique autem quum redissent pauperes, bona ea, quæ olim possederant, vindicaverunt, invadentesque prædia et domicilia sua in summas Aratum difficultates conjecerunt. Videbat enim urbi extrinsecus ab Antigono periculum impendere, libertati ejus invidente atque insidiante, intus autem turbis eam et seditionibus agitari. (3) Itaque quod in præsentia factu optimum

ἔμιξεν αὐτὴν φέρων τοῖς Ἀχαιοῖς· καὶ Δωριεῖς ὄντες ὑπέδυσαν ἑκουσίως ὄνομα καὶ πολιτείαν τὴν Ἀχαιῶν, οὔτε ἀξίωμα λαμπρὸν οὔτε μεγάλην ἰσχὺν ἐχόντων c τότε. Μικροπολῖται γὰρ ἦσαν οἱ πολλοὶ καὶ γῆν οὔτε χρηστὴν οὔτ' ἄφθονον ἐκέκτηντο καὶ θαλάττῃ προσῴκουν ἀλιμένῳ, τὰ πολλὰ κατὰ ῥαχίας ἐκφερομένῃ πρὸς τὴν ἤπειρον. (4) Ἀλλὰ μάλιστα δὴ διέδειξαν οὗτοι τὴν Ἑλληνικὴν ἀλκὴν ἀπρόσμαχον οὖσαν, ὁσάκις τύχοι κόσμου καὶ συντάξεως ὁμοφρονούσης καὶ νοῦν ἔχοντος ἡγεμόνος, οἳ τῆς μὲν πάλαι τῶν Ἑλλήνων ἀκμῆς οὐδέν, ὡς εἰπεῖν, μέρος ὄντες, ἐν δὲ τῷ τότε μιᾶς ἀξιολόγου πόλεως σύμπαντες ὁμοῦ δύναμιν οὐκ ἔχοντες εὐβουλίᾳ καὶ ὁμονοίᾳ καὶ ὅτι τῷ πρώτῳ κατ' ἀρετὴν ἐδύναντο μὴ φθονεῖν, ἀλλὰ πείθεσθαι καὶ ἀκολουθεῖν, οὐ d μόνον αὐτοὺς ἐν μέσῳ πόλεων καὶ δυνάμεων τηλικούτων καὶ τυραννίδων διεφύλαξαν ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων ὡς πλείστους ἐλευθεροῦντες καὶ σῴζοντες διετέλουν.

X. Ἦν δὲ Ἄρατος τῷ τρόπῳ πολιτικός, μεγαλόφρων, ἀκριβέστερος εἰς τὰ κοινὰ μᾶλλον τῶν ἰδίων, πικρῶς μισοτύραννος, ἔχθρας ὅρῳ καὶ φιλίας ἀεὶ τῷ κοινῷ συμφέροντι χρώμενος. Ὅθεν οὐχ οὕτως δοκεῖ γεγονέναι φίλος ἀκριβής, ὡς ἐχθρὸς εὐγνώμων καὶ πρᾶος, ὑπὸ τῆς πολιτείας ἐπ' ἀμφότερα τῷ καιρῷ μεταβαλλόμενος, ὁμονοίας ἐθνῶν καὶ κοινωνίας πόλεων καὶ συνεδρίου καὶ θεάτρου μίαν φωνὴν ἀφιέντος ὡς οὐδενὸς ἄλλου e τῶν καλῶν ἐραστής, πολέμῳ καὶ ἀγῶνι χρήσασθαι φανερῶς ἀθαρσὴς καὶ δύσελπις, κλέψαι δὲ πράγματα καὶ συσκευάσασθαι κρύφα πόλεις καὶ τυράννους ἐπηβολώτατος. (2) Διὸ καὶ πολλὰ τῶν ἀνελπίστων κατορθώσας, ἐν οἷς ἐτόλμησεν, οὐκ ἐλάττονα δοκεῖ τῶν δυνατῶν ἐγκαταλιπεῖν δι' εὐλάβειαν. Οὐ γὰρ μόνον, ὡς ἔοικε, θηρίων τινῶν ὄψεις ἐνεργοὶ διὰ σκότους οὖσαι μεθ' ἡμέραν ἀποτυφλοῦνται ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν, ἀλλὰ καὶ δεινότης τίς ἐστιν ἀνθρώπου καὶ f σύνεσις ἐν τοῖς ὑπαίθροις καὶ διακεκηρυγμένοις εὐτάρακτος φύσει, πρὸς δὲ τὰς ἐπικρύφους καὶ λαθραίους ἀναθαρσοῦσα πράξεις. Τὴν δὲ τοιαύτην ἀνωμαλίαν ἔνδεια λόγου φιλοσόφου περὶ τὰς εὐφυίας ἀπεργάζεται, τὴν ἀρετήν, ὥσπερ καρπὸν αὐτοφυῆ καὶ ἀγεώργητον, ἐκ-
1032 φερούσας δίχα τῆς ἐπιστήμης. Ταῦτα μὲν οὖν ἐξετα- a ζέσθω τοῖς παραδείγμασιν.

XI. Ὁ δὲ Ἄρατος, ἐπεὶ κατέμιξε τοῖς Ἀχαιοῖς ἑαυτὸν καὶ τὴν πόλιν, ἐν τοῖς ἱππεῦσι στρατευόμενος ἠγαπᾶτο δι' εὐπείθειαν ὑπὸ τῶν ἀρχόντων, ὅτι, καίπερ συμβολὰς τῷ κοινῷ μεγάλας δεδωκώς, τὴν ἑαυτοῦ δόξαν καὶ τὴν τῆς πατρίδος δύναμιν, ὡς ἑνὶ τῶν ἐπιτυχόντων χρῆσθαι παρεῖχεν αὐτῷ τῷ ἀεὶ στρατηγοῦντι τῶν Ἀχαιῶν, εἴτε Δυμαῖος, εἴτε Τριταιεύς, εἴτε μικροτέρας τινὸς ὢν τύχοι πόλεως. Ἧκε δὲ αὐτῷ καὶ χρημάτων δωρεὰ παρὰ τοῦ βασιλέως, πέντε καὶ εἴκοσι τάλαντα. Ταῦτα ἔλαβε μὲν ὁ Ἄρατος, λαβὼν δὲ τοῖς ἑαυτοῦ πο-

videbatur, Achæorum eam civitati adjunxit; et Sicyonii, quum essent Dorienses, ultro in nomen et rempublicam Achæorum se insinuarunt. Sane neque auctoritas magna neque potentia eo tempore Achæorum erat; nam et pleræque eorum urbes paucis civibus frequentabantur, neque bonum neque latum agrum possidebant, et mare accolebant importuosum et quod plerumque apud scopulos præruptos terram attingeret. (4) Verum hi maxime tum demonstrarunt Græcorum vires inexpugnabiles esse, quoties unanimi ordine ii componantur atque regantur et cordatum habeant ducem. Quippe quum ne minima quidem essent portio ejus quod olim in Græcia viguit roboris, et nunc viribus suis omnibus in unum collatis unius alicujus præcipuæ urbis potentiam non æquarent, consilio tamen et concordia et quia norant virtute præstantissimo absque invidia obtemperare, non modo suam libertatem in medio tot urbium, tam potentium civitatum atque tyrannorum tutati sunt, sed et reliquorum Græcorum plurimos in libertatem asseruerunt et salvos reddiderunt.

X. Erat Aratus natura civilis, magnanimus et ad rem publicam quam privatam attentior, tyrannorum acerrimus osor, et qui semper amicitiæ inimicitiæque finem commodo publico metiretur. Itaque non tam constans amicus, quam hostis candidus atque mansuetus videtur fuisse, reipublicæ causa per occasionem in utramque partem se convertens, concordiæ populorum et communionis civitatum, conciliique et theatri unam edentis vocem, ut nullius alius rerum bonarum, studiosissimus, bello et apertis certaminibus uti non facile audebat, eoque in genere animi erat parum fidentis, ad res furtim gerendas componendasque adversum urbes et tyrannos insidias aptissimus. (2) Itaque quum multa conatus spe superiora, ea confecisset, videtur haud pauciora, quæ effici haud dubie poterant, ob timiditatem omisisse, Scilicet non animalium modo quorundam oculi per tenebras videre possunt, interdiu cæcutiunt, quod siccitas et tenuitas humoris qui est in oculis cum luce non potest temperari, sed et quorundam hominum calliditas atque prudentia ita est comparata, ut in apertis rebus indictisque certaminibus facile ii perturbentur, in occultis autem et abditis rebus gerendis audaces sint. Hujus inæqualitatis causa est in bonis naturis ignoratio philosophiæ, quum bona ingenia virtutem absque scientia, veluti fructum sponte sua et absque cultu enatum proferunt. Hæc in exemplis deprehendi possunt.

XI. Porro Aratus quum se Sicyonemque Achæis adjunxisset, inter equites militans carus ducibus propter obedientiam fuit; nam tametsi plurimum ad rempublicam contulisset, sua gloria patriæque viribus ad eam accumulatis, tamen morigerum se haud minus quam de vulgo aliquis ducibus Achæorum singulis præbuit, sive ducem Dyme, sive Tritæa sive aliud humilius oppidum præbuerat. Dono etiam ei viginti quinque talenta Ptolemæus misit, quæ ille

λίταις ἐπέδωκεν ἀπορουμένοις εἴς τε τἆλλα καὶ λύτρωσιν αἰχμαλώτων.

XII. Ἐπεὶ δὲ οἱ φυγάδες ἦσαν ἀπαρηγόρητοι τοῖς b ἔχουσι τὰς κτήσεις ἐνοχλοῦντες ἥ τε πόλις ἐκινδύνευεν ἀνάστατος γενέσθαι, μίαν ὁρῶν ἐλπίδα τὴν Πτολεμαίου φιλανθρωπίαν ὥρμησεν ἐκπλεῦσαι καὶ δεηθῆναι τοῦ βασιλέως, ὅπως αὐτῷ χρήματα συμβάληται πρὸς τὰς διαλύσεις. Ἀνήχθη μὲν οὖν ἀπὸ Μεθώνης ὑπὲρ Μαλέας, ὡς τῷ διὰ πόρου δρόμῳ χρησόμενος. Πρὸς δὲ μέγα πνεῦμα καὶ πολλὴν θάλασσαν ἐκ πελάγους κατιοῦσαν ἐνδόντος τοῦ κυβερνήτου, παραφερόμενος μόλις ἥψατο τῆς Ἀδρίας πολεμίας οὔσης. Ἐκρατεῖτο γὰρ ὑπὸ Ἀντιγόνου καὶ φυλακὴν εἶχεν· ἣν φθάσας ἀπέβη καὶ τὴν ναῦν καταλιπὼν ἀπεχώρησε μακρὰν c ἀπὸ θαλάσσης ἔχων ἕνα τῶν φίλων σὺν αὐτῷ, Τιμάνθην. Καὶ καταβαλόντες ἑαυτοὺς εἴς τινα τόπον ὕλης γέμοντα χαλεπῶς ἐνυκτέρευον. (2) Ὀλίγῳ δὲ ὕστερον ὁ φρούραρχος ἐπελθὼν καὶ ζητῶν τὸν Ἄρατον, ὑπὸ τῶν θεραπόντων ἐξηπατήθη τῶν ἐκείνου, δεδιδαγμένων λέγειν ὡς εὐθὺς ἀποδρὰς εἰς Εὔβοιαν ἐξέπλευσε. Τὰ μέντοι κομιζόμενα καὶ τὴν ναῦν καὶ τοὺς θεράποντας ἀπέφηνε πολέμια καὶ κατέσχε. (3) Μετὰ δὲ ἡμέρας οὐ πολλὰς ἐν ἀπόροις ὄντι τῷ Ἀράτῳ γίνεταί τις εὐτυχία Ῥωμαϊκῆς νεὼς παραβαλούσης κατὰ τὸν τόπον, ἐν ᾧ τὰ μὲν ἐπὶ σκοπὴν ἀνιών, τὰ δὲ κρυπτόμενος διῆ- d γεν. Ἔπλει μὲν οὖν ἡ ναῦς εἰς Συρίαν. Ἐπέβη δὲ πείσας τὸν ναύκληρον ἄχρι Καρίας διακομισθῆναι· καὶ διεκομίσθη κινδύνοις αὖθις οὐκ ἐλάττοσι χρησάμενος κατὰ θάλατταν. Ἐκ δὲ Καρίας χρόνῳ πολλῷ περαιωθεὶς εἰς Αἴγυπτον, αὐτόθεν τε τῷ βασιλεῖ διακειμένῳ πρὸς αὐτὸν οἰκείως ἐνέτυχε καὶ τεθεραπευμένῳ γραφαῖς καὶ πίναξιν ἀπὸ τῆς Ἑλλάδος, ἐν οἷς κρίσιν ἔχων οὐκ ἄμουσον ὁ Ἄρατος ἀεί τι τῶν τεχνικῶν καὶ περιττῶν, μάλιστα δὲ Παμφίλου καὶ Μελάνθου, συνάγων καὶ κτώμενος ἀπέστελλεν.

XIII. Ἤνθει γὰρ ἔτι δόξα τῆς Σικυωνίας μούσης e καὶ χρηστογραφίας, ὡς μόνης ἀδιάφθορον ἐχούσης τὸ καλόν, ὥστε καὶ Ἀπελλῆν ἐκεῖνον ἤδη θαυμαζόμενον ἀφικέσθαι καὶ συγγενέσθαι τοῖς ἀνδράσιν ἐπὶ ταλάντῳ, τῆς δόξης μᾶλλον ἢ τῆς τέχνης δεόμενον μεταλαβεῖν. Διὸ τὰς μὲν ἄλλας εἰκόνας τῶν τυράννων ἀνεῖλεν εὐθὺς ὁ Ἄρατος, ὅτε τὴν πόλιν ἠλευθέρωσε, περὶ δὲ τῆς Ἀριστράτου τοῦ κατὰ Φίλιππον ἀκμάσαντος ἐβουλεύσατο πολὺν χρόνον. Ἐγράφη μὲν γὰρ ὑπὸ πάντων τῶν περὶ τὸν Μέλανθον ἅρματι νικηφόρῳ παρεστὼς ὁ Ἀρίστρατος, Ἀπελλοῦ συνεψαφαμένου τῆς γραφῆς, ὡς Πολέμων ὁ περιηγητὴς ἱστόρηκεν. Ἦν δὲ τὸ ἔργον ἀξιοθέατον, ὥστε γνάμπτεσθαι τὸν Ἄρατον ὑπὸ f τῆς τέχνης, αὖθίς τε μίσει τῷ πρὸς τοὺς τυράννους ἐξαγόμενον κελεύειν καθαιρεῖν. (2) Τὸν οὖν ζωγράφον Νεάλκη φίλον ὄντα τοῦ Ἀράτου παραιτεῖσθαί φασι καὶ δακρύειν, ὡς δ' οὐκ ἔπειθεν, εἰπεῖν, ὅτι τοῖς τυράννοις πολεμητέον, οὐ τοῖς τῶν τυράννων. « Ἐάσωμεν οὖν τὸ

accepta civibus suis largitus est, quum alias, tum ad redimendos captivos pecunia indigentibus.

XII. Ceterum iis qui ab exsilio erant reversi importune tumultuantibus et eos qui bona possidebant vexantibus, adeo ut periculum esset de exitio civitatis, in sola Ptolemæi humanitate spem reliquam habens Aratus statuit ad eum navigare et orare ut sibi pecuniam ad lites istas pacandas suppeditaret. Itaque a Methona provectus, super Maleam navigavit, ut brevissimo cursu fretum trajiceret. Sed rectore a magno vehementique vento, qui ab alto incubuerat, victo, cursum non tenens, ægre ad Adriam ejectus e t, qui locus hostilis erat, ab Antigonoque præsidio tenebatur; quo mature evitato Aratus navi relicta procul a mari se cum uno amicorum Timanthe in silvestrem quendam locum subduxit, noctemque ibi difficilem exegit. (2) Paullo post ad navem præsidii præfectus venit, Aratum quærens: quem famuli ejus deceperunt respondentes, uti docti fuerant, statim eum aufugisse et in Eubœam navigasse. Navem quidem, et quæ in ea vehebantur, ac famulos Arati hostis, bona esse declaravit et retinuit. (3) Post dies non multas constituto magnis in difficultatibus Arato, bona quadam ejus fortuna Romana navis ad eum locum appulit, ubi partim speculans, partim latens commorabatur. Ea navis in Syriam ibat. Itaque a nauclero impetravit ut se usque ad Cariam veheret. Eo non minoribus tempestatum periculis pervectus, inde in Ægyptum multo tempore pervenit, regemque et ultro bene erga se affectum adiit, quem jam ante missis e Græcia tabulis atque picturis demeruerat Aratus. Quum enim ipse ejus artis haud ineptus esset judex, subinde aliquid artificiosi accuratique operis ad eum miserat, Pamphili maxime et Melanthi picturas eum in finem comparans.

XIII. Florebat enim adhuc gloria Sicyoniæ in pingendo elegantiæ, quæ sola pulchritudinem incorruptam habere judicabatur; itaque Apelles etiam, quum jam admirationi esset, eo se contulit, et talentum pictoribus discendæ artis causa pependit, gloriæ magis quam artis eorum societatem captans. Quapropter Aratus, quo tempore Sicyonem liberavit, omnes tyrannorum imagines statim sustulit, de Aristrati autem, qui Philippi tempore floruit, imagine diu deliberavit. Pictus enim erat currui victori insistens Aristratus a Melantho omnibusque ejus sociis, et Apelles quoque operam suam eo contulerat, ut quidem Polemo Periegetes narrat. Opus erat spectatu dignissimum, ita ut artificium animum Arati inflecteret, rursusque tamen odium tyrannorum incitaret, ut deleri mandaret. (2) Nealcem tum ferunt pictorem, Arati amicum, cum lacrimis deprecatum, et quum non obtineret, dixisse: tyrannis, non eorum bonis bellum esse indictum itaque Victoriam et currum

1033 ἅρμα καὶ τὴν Νίκην, αὐτὸν δέ σοι παρέξω τὸν Ἀρί- a στρατον ἐγὼ παραχωροῦντα τοῦ πίνακος.» Ἐπιτρέψαντος οὖν τοῦ Ἀράτου διήλειψεν ὁ Νεάλκης τὸν Ἀρίστρατον, εἰς δὲ τὴν χώραν φοίνικα μόνον ἐνέγραψεν, ἄλλο δὲ οὐδὲν ἐτόλμησε παραβαλεῖν. Τοὺς δὲ πόδας ἐξαλειφομένου τοῦ Ἀριστράτου διαλαθεῖν ὑπὸ τὸ ἅρμα λέγουσιν. (3) Ἔκ τε δὴ τούτων ὁ Ἄρατος ἠγαπᾶτο καὶ διδοὺς πεῖραν ἔτι μᾶλλον ἥψατο τοῦ βασιλέως καὶ δωρεὰν ἔλαβε τῇ πόλει πεντήκοντα καὶ ἑκατὸν τάλαντα. Καὶ τούτων τεσσαράκοντα μὲν εὐθὺς μεθ' ἑαυτοῦ κομίζων εἰς Πελοπόννησον κατῆρε, τὰ δὲ λοιπὰ διελὼν εἰς δόσεις ὁ βασιλεὺς ὕστερον κατὰ μέρος ἀπέστειλεν.

XIV. Ἦν μὲν οὖν μέγα καὶ τὸ χρήματα τοσαῦτα b πορίσαι τοῖς πολίταις, ὅσων μικρὸν μέρος ἄλλοι στρατηγοὶ καὶ δημαγωγοὶ λαμβάνοντες παρὰ βασιλέων ἠδίκουν καὶ κατεδουλοῦντο καὶ προέπινον αὐτοῖς τὰς πατρίδας, μείζων δὲ ἡ διὰ τῶν χρημάτων τούτων κατασκευασθεῖσα τοῖς μὲν ἀπόροις πρὸς τοὺς πλουσίους διάλυσις καὶ ὁμόνοια, τῷ δὲ δήμῳ παντὶ σωτηρία καὶ ἀσφάλεια, θαυμαστὴ δὲ ἡ τοῦ ἀνδρὸς ἐν δυνάμει τοσαύτῃ μετριότης. (2) Ἀποδειχθεὶς γὰρ αὐτοκράτωρ διαλλακτὴς καὶ κύριος ὅλως ἐπὶ τὰς φυγαδικὰς οἰκονομίας μόνος οὐχ ὑπέμεινεν, ἀλλὰ πεντεκαίδεκα τῶν πολιτῶν προσκατέλεξεν ἑαυτῷ, μεθ' ὧν πόνῳ πολλῷ καὶ c μεγάλαις πραγματείαις κατειργάσατο καὶ συνήρμοσε φιλίαν καὶ εἰρήνην τοῖς πολίταις. Ἐφ' οἷς οὐ μόνον κοινῇ σύμπαντες οἱ πολῖται τιμὰς ἀπέδοσαν αὐτῷ πρεπούσας, ἀλλὰ καὶ κατ' ἰδίαν οἱ φυγάδες εἰκόνα χαλκῆν ἀναστήσαντες ἐπέγραψαν τόδε τὸ ἐλεγεῖον·

Βουλαὶ μὲν καὶ ἄεθλα, καὶ ἁ περὶ Ἑλλάδος ἀλκὰ
τοῦδ' ἀνδρὸς στάλαις πλάθεται Ἡρακλέους·
ἄμμες δ' εἰκόν', Ἄρατε, τεὰν νόστοιο τυχόντες
στάσαμεν ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας
σωτῆρος σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ d
δαίμον' ἴσον θείαν τ' ὤπασας εὐνομίαν.

XV. Ταῦτα διαπραξάμενος ὁ Ἄρατος τοῦ μὲν πολιτικοῦ φθόνου μείζων ἐγεγόνει διὰ τὰς χάριτας, Ἀντίγονος δ' ὁ βασιλεὺς ἀνιώμενος ἐπ' αὐτῷ καὶ βουλόμενος ἢ μετάγειν ὅλως τῇ φιλίᾳ πρὸς αὑτὸν ἢ διαβάλλειν πρὸς τὸν Πτολεμαῖον ἄλλας τε φιλανθρωπίας ἐνεδείκνυτο μὴ πάνυ προσιεμένῳ, καὶ θύων θεοῖς ἐν Κορίνθῳ μερίδας εἰς Σικυῶνα τῷ Ἀράτῳ διέπεμπε. Καὶ παρὰ τὸ δεῖπνον, ἑστιωμένων πολλῶν, εἰς μέσον φθεγξάμενος, «Ὤμην, ἔφη, τὸν Σικυώνιον τοῦτον νεανίσκον ἐλευθέριον εἶναι τῇ φύσει μόνον καὶ φιλοπολίτην· ὁ δὲ καὶ βίων ἔοικε e καὶ πραγμάτων βασιλικῶν ἱκανὸς εἶναι κριτής. Πρότερον γὰρ ἡμᾶς ὑπερεώρα ταῖς ἐλπίσιν ἔξω βλέπων καὶ τὸν Αἰγύπτιον ἐθαύμαζε πλοῦτον ἐλέφαντας καὶ στόλους καὶ αὐλὰς ἀκούων, νυνὶ δὲ ὑπὸ σκηνὴν ἑωρακὼς πάντα τὰ ἐκεῖ πράγματα τραγῳδίαν ὄντα καὶ σκηνογραφίαν, ὅλος ἡμῖν προσκεχώρηκεν. Αὐτός τε οὖν ἀποδέχομαι τὸ μειράκιον ἐγνωκὼς εἰς ἅπαντα χρῆσθαι καὶ ὑμᾶς ἀξιῶ φίλον νομίζειν.» (2) Τούτους τοὺς λόγους ὑπόθεσιν λαβόντες οἱ φθονεροὶ καὶ κακοήθεις διη-

relinquendum, se Aristratum de tabula sublaturum. Id quum concessisset Aratus, delevit Aristratum Nealces et palmam, nihil aliud ausus ei operi affingere, in locum ejus appinxit. Ferunt tamen deleto Aristrato pedes ejus infra currum demissos superfuisse. (3) Ob hæc ergo carus Ptolemæo Aratus, congressus cum eo, suique edito documento, magis adhuc in animum ejus insinuavit, impetravitque ut is civitatem Sicyonicam sexaginta talentis donaret, de quibus quadraginta statim numerata secum in Peloponnesum retulit, cetera in portiones divisa deinceps rex misit.

XIV. Magnum fuit profecto, tantam civibus parare pecuniam, cujus exigua portione accepta a regibus alii duces et oratores patrias suas injuriis affecerunt, et servitute premendas illis propinaverunt. Sed majus est quod illa pecunia pacificationem et concordiam inter pauperes et divites constituit, totique populo securitatem et salutem. (2) Admiranda etiam animi moderatio in tanta potentia. Etenim quum ad eum plena potestas esset delata res exsulum dijudicandi, non recepit in se solum id muneris, sed quindecim collegas ascivit, magnoque labore et multis negotiis pertractatis confecit tandem, ut amicitia et concordia inter cives constaret. Eapropter non civitas modo honoribus eum meritis decoravit, sed et exsules privatim æream columnam posuerunt, his elegis inscriptam:

Gloria ad Herculeas innotuit usque columnas
inclyta virtutis, maxime Arate, tuæ,
et tibi pro patriæ certamina gesta salute,
factaque prudenti maxima consilio.
At nos in patriam te servatore reducti,
cernentes opera fana laresque tua,
hanc statuam grata memores tibi mente dicamus,
virtutis signum justitiæque tuæ:
atque salutiferos inter te, dive, fatemur
insignem superos emeruisse locum.
Nam libertatem genius legesque salubres
otiaque alma tuus restituit patriæ.

XV. His rebus gestis Aratus invidiam quidem civium gratia suarum actionum avertit; Antigonus autem rex, successum ejus inique ferens, statuit eum omnino aut amicitia devincire et suum facere, aut apud Ptolemæum regem in calumnias adducere. Itaque quum aliis officiis eum, quanquam nonnihil recusantem, affecit, tum Corinthi rem sacram diis faciens, Arato partes Sicyonem misit, inque convivio, multis una cœnantibus, coram omnibus, « Existimabam, inquit, Sicyonium hunc adolescentem liberali ingenio præditum, ac civium amantem, nihil præterea, at vero jam mihi idoneus judex vitæ rerumque regiarum videtur. Prius enim nos despiciebat, spes suas alibi habens repositas, Ægyptiacasque admirabatur divitias, elephantos et classes, et aulas jactari audiens, nunc, quum intus viderit ista omnia theatricum esse apparatum scenæ inservientem, totum se ad nos convertit. Amplector itaque eum et statui eo in omnibus rebus uti, et ut eum vos pro amico habeatis volo. » (2) Hi sermones ansam invidis malignisque hominibus calumniandi præbuerunt, certatimque epistolas ad

μιλλῶντο ταῖς ἐπιστολαῖς ἀλλήλοις πολλὰ καὶ δυσχερῆ f κατὰ τοῦ Ἀράτου τῷ Πτολεμαίῳ γράφοντες, ὥστε κἀκεῖνον ἐγκαλοῦντα πέμψαι. Ταῖς μὲν οὖν περιμαχήτοις καὶ διαπύροις τοξευομέναις ἔρωσι φιλίαις βασιλέων καὶ τυράννων τοσοῦτον προσῆν φθόνου καὶ κακοηθείας.

XVI. Ὁ δὲ Ἄρατος αἱρεθεὶς στρατηγὸς τὸ πρῶτον ὑπὸ τῶν Ἀχαιῶν τὴν μὲν ἀντιπέρας Λοκρίδα καὶ Καλυδωνίαν ἐπόρθησε, Βοιωτοῖς δὲ μετὰ μυρίων στρατιωτῶν βοηθῶν ὑστέρησε τῆς μάχης ἣν ὑπὸ Αἰτωλῶν
1034 περὶ Χαιρώνειαν ἡττήθησαν, Ἀβοιωκρίτου τε τοῦ a Βοιωτάρχου καὶ χιλίων σὺν αὐτῷ πεσόντων. (2) Ἐνιαυτῷ δὲ ὕστερον αὖθις στρατηγῶν ἐνίστατο τὴν περὶ τὸν Ἀκροκόρινθον πρᾶξιν, οὐ Σικυωνίων οὐδ' Ἀχαιῶν κηδόμενος, ἀλλὰ κοινήν τινα τῆς Ἑλλάδος ὅλης τυραννίδα, τὴν Μακεδόνων φρουράν, ἐκεῖθεν ἐξελάσαι διανοούμενος. (3) Χάρης μὲν γὰρ ὁ Ἀθηναῖος ἔν τινι μάχῃ πρὸς τοὺς βασιλέως στρατηγοὺς εὐτυχήσας ἔγραψε τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς νενικήκοι τῆς ἐν Μαραθῶνι μάχης ἀδελφήν· ταύτην δὲ τὴν πρᾶξιν οὐκ ἂν ἁμάρτοι τις ἀδελφὴν προσειπὼν τῆς Πελοπίδου τοῦ Θηβαίου καὶ Θρασυβούλου τοῦ Ἀθηναίου τυραννο- b κτονίας, πλὴν ὅτι τῷ μὴ πρὸς Ἕλληνας, ἀλλὰ ἐπακτὸν ἀρχὴν γεγονέναι καὶ ἀλλόφυλον αὕτη διήνεγκεν. (4) Ὁ μὲν γὰρ Ἰσθμὸς ἐμφράσσων τὰς θαλάσσας εἰς ταὐτὸ συνάγει τῷ τόπῳ καὶ συνάπτει τὴν ἤπειρον ἡμῶν, ὁ δὲ Ἀκροκόρινθος, ὑψηλὸν ὄρος, ἐκ μέσης ἀναπεφυκὼς τῆς Ἑλλάδος, ὅταν λάβῃ φρουράν, ἐνίσταται καὶ ἀποκόπτει τὴν ἐντὸς Ἰσθμοῦ πᾶσαν ἐπιμιξιῶν τε καὶ παρόδων καὶ στρατειῶν ἐργασίας τε κατὰ θάλατταν καὶ ἕνα κύριον ποιεῖ τὸν ἄρχοντα καὶ κατέχοντα φρουρᾷ τὸ χωρίον, ὥστε μὴ παίζοντα δοκεῖν τὸν νεώτερον Φίλιππον, ἀλλ' ἀληθῶς ἑκάστοτε πέδας τῆς c Ἑλλάδος τὴν Κορινθίων πόλιν προσαγορεύειν.

XVII. Πᾶσι μὲν οὖν περιμάχητος ἦν ὁ τόπος ἀεὶ καὶ βασιλεῦσι καὶ δυνάσταις, ἡ δὲ Ἀντιγόνου σπουδὴ περὶ αὐτὸν οὐδὲν ἀπέλιπε πάθει τῶν ἐμμανεστάτων ἐρώτων, ἀλλ' ὅλος ἀνήρτητο ταῖς φροντίσιν, ὅπως ἀφαιρήσεται δόλῳ τοὺς ἔχοντας, ἐπεὶ φανερῶς ἀνέλπιστος ἦν ἡ ἐπιχείρησις. Ἀλεξάνδρου γάρ, ὑφ' ὃν τὸ χωρίον ἦν, ἀποθανόντος, ὡς λέγεται, φαρμάκοις ὑπ' αὐτοῦ, Νικαίας δὲ τῆς ἐκείνου γυναικὸς ἐπὶ τῶν πραγμάτων γενομένης καὶ φυλαττούσης τὸν Ἀκροκόρινθον, εὐθὺς ὑποπέμπων Δημήτριον τὸν υἱὸν αὐτῇ d καὶ γλυκείας ἐλπίδας ἐνδιδοὺς γάμων βασιλικῶν καὶ συμβιώσεως πρὸς οὐκ ἀηδὲς ἐντυχεῖν γυναικὶ πρεσβυτέρᾳ μειράκιον, αὐτὴν μὲν ᾑρήκει τῷ παιδὶ χρησάμενος ὥσπερ ἄλλῳ τινὶ τῶν δελεασμάτων ἐπ' αὐτῇ, τὸν δὲ τόπον οὐ προϊεμένης, ἀλλ' ἐγκρατῶς φυλαττούσης, ἀμελεῖν προσποιούμενος ἔθυε γάμους αὐτῶν ἐν Κορίνθῳ καὶ θέας ἐπετέλει καὶ πότους συνῆγε καθ' ἡμέραν, ὡς ἄν τις μάλιστα παίζειν καὶ σχολάζειν τὴν διάνοιαν ὑφ' ἡδονῆς καὶ φιλοφροσύνης ἀφεικώς. (2) Ἐπεὶ δὲ καιρὸς ἦν, ᾄδοντος Ἀμοιβέως ἐν τῷ θεάτρῳ, παρέπεμπε τὴν Νίκαιαν αὐτὸς ἐπὶ τὴν θέαν ἐν φορείῳ κεκοσμη- e

Ptolemæum miserunt, gravia Arato et multa crimina objicientes; quo factum est ut rex etiam per literas cum Arato expostularet. Tantum invidiæ atque malitiæ regum tyrannorumque amicitias comitatur, quas tamen plerique appetunt magnoque amoris fervore contrahunt.

XVI. Ceterum Aratus primum Achæorum dux creatus oppositam Locridem et Calydoniam populatus est, Bœotis autem cum decem millibus militum opem ferens, tempus pugnæ neglexit, qua victi ab Ætolis Bœoti apud Chæroneam Abœcritum Bœotarchum et mille viros amiserunt. (2) Anno insequenti rursum prætor creatus, de recipiendo Acrocorintho consilium agitavit, non tam Sicyoniorum aut Achæorum ea re commodo consulens, quam Macedonicum præsidium, communem totius Græciæ tyrannidem, inde expellere cupiens. (3) Chares quidem Atheniensis, ducibus regis quodam prœlio superatis, ad populum Atheniensem scripsit victoriam se peperisse Marathoniæ sororem. At hanc Arati actionem haud injuria quispiam Pelopidæ Thebani et Thrasybuli Atheniensis, qui tyrannos necarunt, facinoribus germanam dixerit, nisi quod hoc discrimen est, quod ille non adversus Græcum, sed alienigenam et asciticium dominum rem gessit. (4) Isthmus duo maria dirimens in unum locum conducit et quasi conglutinat continentem nostrum; Acrocorinthus autem mons sublimis est, ex media enatus Græcia, cui si imponatur præsidium, omne commercium, omnem transitum, expeditionem et negotiationes terrestres atque maritimas eorum qui intra Isthmum sunt, cum ceteis Græcis impedire ac prohibere potest, dominusque totius Græciæ fit, qui Acrocorinthum præsidio tenet, ut non pro joco, sed serio potius habendum sit Philippi posterioris dictum, Corinthum compedes Græciæ appellantis.

XVII. Itaque ejus potiundi omnibus studium fuit regibus atque principibus, Antigonus autem adeo nihil sibi reliquum fecit, dum dolo (vi enim et palam frustra videbatur conaturus) eum domino suo eriperet, ut ea cupiditas nihil ab insanissimo amore abfuerit. Etenim quum Alexandrum, qui Acrocorinthum possidebat, veneno, ut aiunt, necasset, Nicæa autem uxor hujus res administraret arcemque custodiret: statim filium suum Demetrium, adolescentem haud ineptum ad congrediendum cum provectæ aliquantum ætatis muliere, submisit, dulcemque ei spem nuptiarum cum eo injecit, filioque tanquam esca usus, mulierem ita cepit. Quæ quum Acrocorinthum ne sic quidem dimitteret, sed accurate etiamnum custodiret, simulans id sibi curæ non esse, Corinthi nuptias Nicææ cum Demetrio celebrat, spectacula et quotidianas compotationes exhibet, tanquam qui totum se voluptatibus dedisset, animumque ad jocos et otium remisisset. (2) Ut tempus fuit, cantante in theatro carmen Amœbeo, ipse Nicæam ad spectaculum vehentem lectica regio more ornata comi-

μένῳ βασιλικῶς ἀγαλλομένην τε τῇ τιμῇ καὶ ποῤῥωτάτω τοῦ μέλλοντος οὖσαν. Γενόμενος δὲ τῆς ὁδοῦ κατὰ τὴν ἐκτροπὴν τὴν ἄνω φέρουσαν, ἐκείνην μὲν ἐκέλευσε προάγειν εἰς τὸ θέατρον, αὐτὸς δὲ χαίρειν μὲν Ἀμοιβέα, χαίρειν δὲ τοὺς γάμους ἐάσας ἀνῄει πρὸς τὸν Ἀκροκόρινθον ἁμιλλώμενος παρ' ἡλικίαν· καὶ κεκλεισμένην τὴν πύλην εὑρὼν ἔκοπτε τῇ βακτηρίᾳ κελεύων ἀνοίγειν. Οἱ δ' ἔνδον ἀνέῳξαν καταπλαγέντες. (3) Οὕτω δὲ τοῦ τόπου κρατήσας οὐ κατέσχεν αὑτὸν, ἀλλ' ἔπινε παίζων ὑπὸ χαρᾶς ἐν τοῖς στενωποῖς καὶ δι' ἀγορᾶς αὐλητρίδας ἔχων καὶ στεφάνους περικείμε- f νος, ἀνὴρ γέρων καὶ τηλικαύταις πραγμάτων μεταβολαῖς κεχρημένος, ἐκώμαζε δεξιούμενος καὶ προσαγορεύων τοὺς ἀπαντῶντας. Οὕτως ἄρα καὶ λύπης καὶ φόβου μᾶλλον ἐξίστησι καὶ σάλον παρέχει τῇ ψυχῇ τὸ χαίρειν ἄνευ λογισμοῦ παραγινόμενον.

XVIII. Ἀλλὰ γὰρ Ἀντίγονος μὲν, ὥσπερ εἴρηται, κτησάμενος τὸν Ἀκροκόρινθον ἐφύλαττε μετὰ τῶν ἄλλων, οἷς ἐπίστευε μάλιστα, καὶ Περσαῖον ἐπιστήσας
1035 ἄρχοντα τὸν φιλόσοφον. Ὁ δὲ Ἄρατος ἔτι μὲν καὶ a
Ἀλεξάνδρου ζῶντος ἐπεχείρησε τῇ πράξει, γενομένης δὲ συμμαχίας τοῖς Ἀχαιοῖς πρὸς τὸν Ἀλέξανδρον, ἐπαύσατο. (2) Τότε δὲ αὖθις ἐξ ὑπαρχῆς ἑτέραν ἔλαβε τῆς πράξεως ὑπόθεσιν τοιαύτην. Ἦσαν ἐν Κορίνθῳ τέσσαρες ἀδελφοὶ, Σύροι τὸ γένος, ὧν εἷς ὄνομα Διοκλῆς ἐν τῷ φρουρίῳ μισθοφορῶν διέτριβεν. Οἱ δὲ τρεῖς κλέψαντες βασιλικὸν χρυσίον ἦλθον εἰς Σικυῶνα πρὸς Αἰγίαν τινὰ τραπεζίτην, ᾧ διὰ τὴν ἐργασίαν ὁ Ἄρατος ἐχρῆτο. Καὶ μέρος μὲν εὐθὺς διέθεντο τοῦ χρυσίου, τὸ δὲ λοιπὸν εἷς αὐτῶν Ἐργῖνος ἐπιφοιτῶν ἡσυχῇ κατήλλαττεν.
(3) Ἐκ δὲ τούτου γενόμενος τῷ Αἰγίᾳ συνήθης καὶ b
προαχθεὶς εἰς λόγον ὑπ' αὐτοῦ περὶ τῆς φρουρᾶς, ἔφη πρὸς τὸν ἀδελφὸν ἀναβαίνων πρὸς τὸ κρημνῶδες ἐντομὴν καθεωρακέναι πλαγίαν ἄγουσαν ᾗ χθαμαλώτατον ἐπῳκοδόμηται τῷ φρουρίῳ τὸ τεῖχος. Προσπαίξαντος δὲ αὐτῷ τοῦ Αἰγίου καὶ εἰπόντος, « Εἶτα, ὦ βέλτιστε, διὰ μικρὸν οὕτω χρυσίον ἀνασπᾶτε τὰς βασιλικὰς φράξεις δυνάμενοι μίαν ὥραν πολλῶν ἀποδόσθαι χρημάτων; ἡ γὰρ οὐχὶ καὶ τοιχωρύχοις καὶ προδόταις ἁλοῦσιν ἅπαξ ἀποθανεῖν ὑπάρχει; » γελάσας ὁ Ἐργῖνος τότε μὲν ὡμολόγησεν ἀποπειρᾶσθαι τοῦ Διοκλέους, τοῖς γὰρ ἄλλοις ἀδελφοῖς μὴ πάνυ τι πιστεύειν, ὀλίγαις δὲ c
ὕστερον ἡμέραις ἐπανελθὼν συντίθεται τὸν Ἄρατον ἄξειν πρὸς τὸ τεῖχος, ὅπου τὸ ὕψος οὐ μεῖζον ἦν πεντεκαίδεκα ποδῶν, καὶ τἄλλα συμπράξειν μετὰ τοῦ Διοκλέους.

XIX. Ὁ δὲ Ἄρατος ἐκείνοις μὲν ἑξήκοντα τάλαντα δώσειν κατορθώσας ὡμολόγησεν· ἢν δὲ ἀποτύχῃ, σωθῇ δὲ μετ' ἐκείνων, οἰκίαν ἑκατέρῳ καὶ τάλαντον. Ἐπεὶ δὲ ἔδει παρὰ τῷ Αἰγίᾳ τὰ ἑξήκοντα τάλαντα κεῖσθαι τοῖς περὶ τὸν Ἐργῖνον, ὁ δὲ Ἄρατος οὔτε αὐτὸς εἶχεν οὔτε ἐβούλετο δανειζόμενος αἴσθησιν ἑτέρῳ τῆς πράξεως παρασχεῖν, λαβὼν τῶν ἐκπωμάτων τὰ πολλὰ καὶ τὰ χρυσία τῆς γυναικὸς ὑπέθηκε τῷ Αἰγίᾳ πρὸς τὸ ἀργύριον.

tatus est, gaudentem honore, nihilque minus, quam quod agebatur, suspicantem. Quum autem in via ad diverticulum venissent, qua semita sursum ducit, Antigonus eam in theatrum provehi jubet, ipse valere jussu cantore et nuptiis, ad Acrocorinthum ascendit, præter ætatem corpore contento; ibi quum portam clausam offendisset, scipione pulsat, sibique aperiri jubet, et qui intus erant, obstupefacti aperuerunt. (3) Ita potitus arce, non continuit se quin gaudio gestiens biberet in angiportis, et per forum comessabundus incederet, mulierculas secum fistula canentes trahens sertaque gerens, obviisque dextram porrigeret et eos compellaret, senex homo et tantas rerum expertus mutationes. Nimirum enim gaudium absque ratione et consilio animo accidens magis eum perturbat æstusque afficit, quam vel dolor vel metus.

XVIII. Antigonus ergo Acrocorintho ita ut dixi potitus, iis quibus maxime fidebat custodiendum tradidit, præsidioque Persæum philosophum præfecit; Aratus autem, quum vivente etiamnum Alexandro potiundi Acrocorinthi consilia agitasset, Achæis cum eo fœdus paciscentibus a proposito destiterat. (2) Tunc aliam tentandæ rei occasionem talem nactus est. Erant Corinthi quattuor fratres, Syri natione, quorum unus, nomine Diocles, in arce miles mercenarius erat, tres autem reliqui aurum regis suffurati, Sicyonem ad Ægiam argentarium detulerunt, quo propter negotia pecuniaria utebatur Aratus. Apud eum partem auri statim vendiderunt, reliquum unus ipsorum Erginus paulatim accedens pecunia commutabat. (3) Atque is ita familiaris Ægiæ factus, ab ipsoque deductus ad mentionem præsidii in arce collocati, retulit se, quum ad fratrem in arcem per præcipitia ascendisset, animadvertisse rupturam quandam montis obliquam eo perducere, qua humillima muri, qui arcem cingit, pars ædificata esset. Per jocum tum Ægiæ dicenti : Siccine ergo, inepte homo, parvuli auri causa regia claustra reseratis, quum liceat vobis unius horæ maximum reportare præmium? an nescitis murorum perfossoribus ac proditoribus, ubi semel deprehens fuerint, moriendum esse? Ridens ad hæc Erginus promisit se ea de re animum Dioclis (nam ceteris fratribus se fidem non admodum habere) tentaturum. Paucis post diebus reversus, pollicetur Arato, se eum eo ad murum perducturum, ubi quindecim pedibus non sit altior, et in tota re conficienda se una cum Diocle ei auxilio futurum.

XIX. Vicissim Aratus, si negotium successisset, sexaginta iis talenta daturum stipulatus est, sin secus caderet, una tamen cum eis incolumis evaderet, utrique domum et talentum. Quum autem ista sexaginta talenta Ergino deberent apud Ægiam deponi et Aratus tantum pecuniæ non haberet, neque mutuum sumendo cuiquam suspicionem sui instituti præbere vellet, pleraque pocula et aureum uxoris mundum Ægiæ ejus pecuniæ causa attulit et oppignoravit.

(2) Οὕτω γὰρ ἐπῆρτο τῇ ψυχῇ καὶ τοσοῦτον ἔρωτα τῶν [d] καλῶν πράξεων εἶχεν, ὥστε τὸν Φωκίωνα καὶ τὸν Ἐπαμινώνδαν ἐπιστάμενος Ἑλλήνων δικαιοτάτους καὶ κρατίστους γεγονέναι δοκοῦντας ἐπὶ τῷ διώσασθαι δωρεὰς μεγάλας καὶ μὴ προέσθαι χρημάτων τὸ καλὸν, αὐτὸς εἰς ταῦτα δαπανᾶσθαι κρύφα καὶ προεισφέρειν, ἐν οἷς ἐκινδύνευε μόνος ὑπὲρ πάντων οὐδὲ εἰδότων τὰ πραττόμενα, ἡρεῖτο. (3) Τίς γὰρ οὐκ ἂν θαυμάσειε καὶ συναγωνίσαιτο ἔτι νῦν τῇ μεγαλοψυχίᾳ τοῦ ἀνδρὸς, ὠνουμένου χρημάτων τοσούτων κίνδυνον τηλικοῦτον καὶ τὰ τιμιώτατα δοκοῦντα τῶν κτημάτων ὑποτιθέντος, ὅπως παρεισαχθεὶς νυκτὸς εἰς τοὺς πολεμίους διαγωνίσηται [e] περὶ τῆς ψυχῆς, ἐνέχυρον λαβὼν τὴν ἐλπίδα τοῦ καλοῦ παρ' αὐτῶν, ἄλλο δὲ οὐδέν;

XX. Οὖσαν δὲ καθ' αὑτὴν ἐπισφαλῆ τὴν πρᾶξιν ἐπισφαλεστέραν ἐποίησεν ἁμαρτία τις εὐθὺς ἐν ἀρχῇ συμβᾶσα δι' ἄγνοιαν. Ὁ γὰρ οἰκέτης τοῦ Ἀράτου Τέχνων ἐπέμφθη μὲν ὡς μετὰ τοῦ Διοκλέους κατασκεψόμενος τὸ τεῖχος, οὔπω δ' ἦν τῷ Διοκλεῖ πρότερον ἐντετυχηκὼς κατ' ὄψιν, ἀλλὰ τὴν μορφὴν αὐτοῦ καὶ τὸ εἶδος δοκῶν κατέχειν ἐξ ὧν ὁ Ἐργῖνος ἐπεσήμηνεν οὐλοκόμην καὶ μελάγχρουν καὶ ἀγένειον, ἐλθὼν ὅπου συνετέτακτο, τὸν Ἐργῖνον ὡς ἀφιξόμενον μετὰ τοῦ [f] Διοκλέους ἀνέμενε πρὸ τῆς πόλεως πρὸ τοῦ καλουμένου Ὄρνιθος. Ἐν δὲ τούτῳ πρῶτος ἀδελφὸς Ἐργίνου καὶ Διοκλέους ὄνομα Διονύσιος, οὐ συνειδὼς τὴν πρᾶξιν οὐδὲ κοινωνῶν, ὅμοιος δὲ τῷ Διοκλεῖ, προσῄει κατὰ τύχην. (2) Ὁ δὲ Τέχνων πρὸς τὰ σημεῖα τῆς μορφῆς τῇ ὁμοιότητι κινηθεὶς ἠρώτησε τὸν ἄνθρωπον, εἴ τι [1036] συμβόλαιον αὐτῷ πρὸς Ἐργῖνον εἴη. [a] Φήσαντος δὲ ἀδελφὸν εἶναι, παντάπασιν ὁ Τέχνων ἐπείσθη τῷ Διοκλεῖ διαλέγεσθαι· καὶ μήτε τοὔνομα πυθόμενος μήτ' ἄλλο μηδὲν προσμείνας τεκμήριον ἐμβάλλει τε τὴν δεξιὰν αὐτῷ καὶ περὶ τῶν συγκειμένων πρὸς τὸν Ἐργῖνον ἐλάλει κἀκεῖνον ἀνέκρινεν. Ὁ δὲ δεξάμενος αὐτοῦ τὴν ἁμαρτίαν πανούργως ὡμολόγει τε πάντα καὶ πρὸς τὴν πόλιν ἀναστρέψας ὑπῆγεν ἀνυπόπτως διαλεγόμενος. (3) Ἤδη δὲ πλησίον ὄντος αὐτοῦ καὶ μέλλοντος ὅσον οὔπω τὸν Τέχνωνα διαλαμβάνειν, ἀπὸ τύχης αὖ πάλιν ὁ Ἐργῖνος αὐτοῖς ἀπήντησεν, αἰσθόμενος δὲ τὴν ἀπάτην καὶ τὸν κίνδυνον διὰ νεύματος ἐδήλωσε τῷ Τέχνωνι φεύγειν· καὶ ἀποπηδήσαντες ἀμφότεροι δρόμῳ [b] πρὸς τὸν Ἄρατον ἀπεσώθησαν. (4) Οὐ μὴν ἀπέκαμε ταῖς ἐλπίσιν ἐκεῖνος, ἀλλ' ἔπεμψεν εὐθὺς τὸν Ἐργῖνον χρυσίον τε τῷ Διονυσίῳ κομίζοντα καὶ δεησόμενον αὐτοῦ σιωπᾶν. Ὁ δὲ καὶ τοῦτο ἐποίησε καὶ τὸν Διονύσιον ἄγων μεθ' ἑαυτοῦ πρὸς τὸν Ἄρατον ἦλθεν. Ἐλθόντα δὲ αὐτὸν οὐκέτι διῆκαν, ἀλλὰ δήσαντες ἐφύλαττον ἐν οἰκίσκῳ κατακεκλεισμένον· αὐτοὶ δὲ παρεσκευάζοντο πρὸς τὴν ἐπίθεσιν.

XXI. Ἐπεὶ δὲ ἦν ἕτοιμα πάντα, τὴν μὲν ἄλλην δύναμιν ἐκέλευσεν ἐπὶ τῶν ὅπλων νυκτερεύειν, ἀναλαβὼν δὲ λογάδας τετρακοσίους οὐδ' αὐτοὺς εἰδότας τὰ [c] πραττόμενα, πλὴν ὀλίγων, ἦγε πρὸς τὰς πύλας παρὰ

(2) Tanta erat hominis magnanimitas tantaque honestarum actionum cupiditas, ut sciens Phocionem et Epaminondam, Græcorum justissimos et optimos propterea creditos, quod magna dona rejecissent neque pecuniæ gratia virtutem prodidissent, ipse sibi in eam rem impendenda occulte sua duxerit, in qua pro universis et quidem id ignorantibus, se in periculum mitteret. (3) Quis enim non admiretur et quasi adjuvare cuplat magnanimitatem hominis, qui tantum periculum tanta vi pecuniæ sibi paraverit, et quæ pretiosissima in re domestica judicantur pignori opposuerit, ut noctu in medios hostes clam deductus, pro vita sua dimicaret, neque quicquam ex iis nisi spem præclari facinoris acciperet pignori?

XX. Periculosam per se rem, periculosiorem error fecit ab initio per ignorationem admissus. Famulum suum Aratus, nomine Technonem, misit, ut una cum Diocle murum specularetur. Is autem Technon de facie Dioclem non noverat, formam tamen ejus videbatur percepisse, Ergino referente, crispo esse eum capillo, nigrum et imberbem. Qui quum ante urbem in loco, qui Ornis dicitur, uti compositum erat, Erginum cum Diocle se conventuros exspectaret, forte tum Dionysius maximus natu inter fratres Dioclis, eique forma similis, sed neque socius neque conscius omnino proditionis, eo venit. (2) Motus formæ similitudine Technon percontatur hominem, ecquid ei rei cum Ergino esset, quumque is fratrem ejus se esse responderet, omnino pro certo habens se cum Diocle colloqui, neque nomine ejus quæsito, neque ullo alio indicio exspectato, statim dextram ei injicit, ea quæ sibi cum Ergino erant composita refert, vicissimque sententiam ejus exquirit. At Dionysius errorem ejus dissimulans astute, omnibus annuens, nihil mali suspicantem inter colloquendum retro ad urbem abducit. (3) Quum jam prope eo deventum esset, ut comprehenderetur Technon, Erginus iterum bona quadam fortuna ei occurrit, erroremque et periculum sentiens, Technoni ut fuga se eriperet nutu indicat, atque ita uterque cursu se proripuit et ad Aratum evasit. (4) Neque vero Aratus animum propterea despondit, sed statim Erginum misit, qui aurum Dionysio afferret et oraret uti taceret. Idque et fecit Erginus et Dionysium secum ad Aratum adduxit, quem illi nequaquam dimiserunt, sed vinctum in conclavi quodam asservarunt, ipsi ad rem gerendam se paraverunt.

XXI. Omnibus jam instructis, ceteros in armis noctem exigere Aratus jussit, ipse cum quadringentis delectis militibus, quorum pauci quid rei gereretur noverant, juxta fanum Junonis ad urbem duxit. Erat tum maxime adulta

τὸ Ἡραῖον. Ἦν δὲ τοῦ ἔτους ἡ περὶ θέρος ἀκμάζον ὥρα, τοῦ δὲ μηνὸς πανσέληνος, ἡ δὲ νὺξ ἀνέφελος καὶ καταφανής, ὥστε καὶ φόβον τὰ ὅπλα παρέχειν ἀντιλάμποντα πρὸς τὴν σελήνην, μὴ τοὺς φύλακας οὐ λάθωσιν. Ἤδη δὲ τῶν πρώτων ἐγγὺς ὄντων, ἀπὸ θαλάσσης ἀνέδραμε νέφη καὶ κατέσχε τήν τε πόλιν αὐτὴν καὶ τὸν ἔξω τόπον ἐπίσκιον γενόμενον. Ἐνταῦθα δὲ οἱ μὲν ἄλλοι συγκαθίσαντες ὑπελύοντο τὰς κρηπῖδας· οὔτε γὰρ ψόφον ποιοῦσι πολὺν οὔτ' ὀλισθήματα λαμβάνουσιν οἱ γυμνοῖς τοῖς ποσὶν ἀντιλαμβανόμενοι τῶν κλιμάκων· (2) ὁ δὲ Ἐργῖνος ἑπτὰ λαβὼν νεανίσκους d ἐσταλμένους ὁδοιπορικῶς ἔλαθε τῇ πύλῃ προσμίξας. Καὶ τὸν πυλωρὸν ἀποκτιννύουσι καὶ τοὺς μετ' αὐτοῦ φύλακας. Ἅμα δὲ αἵ τε κλίμακες προσετίθεντο καὶ κατὰ σπουδὴν ὁ Ἄρατος ὑπερβιβάσας ἑκατὸν ἄνδρας, τοὺς δ' ἄλλους ἕπεσθαι κελεύσας ὡς ἂν δύνωνται τάχιστα, τὰς κλίμακας ἀναρπάσας ἐχώρει διὰ τῆς πόλεως μετὰ τῶν ἑκατὸν ἐπὶ τὴν ἄκραν ἤδη περιχαρὴς διὰ τὸ λανθάνειν ὡς κατορθῶν. (3) Καί πως ἔτι πρόσωθεν αὐτοῖς ἀπήντα σὺν φωτὶ φυλακὴ τεσσάρων ἀνδρῶν οὐ καθορωμένοις· ἔτι γὰρ ἦσαν ἐν τῷ σκιαζομένῳ τῆς σελήνης· ἐκείνους δὲ προσιόντας ἐξ ἐναντίας καθορῶσι. e Μικρὸν οὖν ὑποστείλας τειχίοις τισὶ καὶ οἰκοπέδοις ἐνέδραν ἐπὶ τοὺς ἄνδρας καθίζει. Καὶ τρεῖς μὲν αὐτῶν ἐμπεσόντες ἀποθνήσκουσιν, ὁ δὲ τέταρτος πληγεὶς ξίφει τὴν κεφαλὴν ἔφυγε βοῶν ἔνδον εἶναι τοὺς πολεμίους. (4) Καὶ μετὰ μικρὸν αἵ τε σάλπιγγες ὑπεσήμαινον ἥ τε πόλις ἐξανίστατο πρὸς τὰ γινόμενα, πλήρεις τε ἦσαν οἵ τε στενωποὶ διαθεόντων καὶ φῶτα πολλά, τὰ μὲν κάτωθεν ἤδη, τὰ δὲ ἄνωθεν ἀπὸ τῆς ἄκρας περιέλαμπε καὶ κραυγὴ συνερρήγνυτο πανταχόθεν ἄσημος.

XXII. Ἐν τούτῳ δὲ ὁ μὲν Ἄρατος ἐμφὺς τῇ πορείᾳ παρὰ τὸ κρημνῶδες ἡμιλλᾶτο, βραδέως καὶ ταλαιπώρως τὸ πρῶτον, οὐ κατακρατῶν, ἀλλ' ἀποπλανώμενος, τοῦ τρίβου παντάπασιν ἐνδεδυκότος καὶ περισκιαζομένου f ταῖς τραχύτησι καὶ διὰ τῶν πολλῶν ἑλιγμῶν καὶ παραβόλων περαίνοντος πρὸς τὸ τεῖχος. Εἶτα θαυμάσιον οἷον ἡ σελήνη λέγεται διαστέλλουσα τὰ νέφη καὶ ὑπολάμπουσα τῆς ὁδοῦ τὸ χαλεπώτατον σαφηνίζειν, ἕως ἥψατο τοῦ τείχους καθ' ὃν ἔδει τόπον· ἐκεῖ δὲ πάλιν συνεσκίασε καὶ ἀπέκρυψε νεφῶν συνελθόντων. (2) Οἱ δὲ περὶ τὰς πύλας ἔξω περὶ τὸ Ἡραῖον ἀπολειφθέντες τοῦ Ἀράτου στρατιῶται τριακόσιοι τὸ πλῆθος ὄντες,
1037 ὥς ποτε παρεισέπεσον εἰς τὴν πόλιν θορύβου τε παντο- a
δαποῦ καὶ φώτων γέμουσαν, οὐ δυνηθέντες ἐξανευρεῖν τὸν αὐτὸν τρίβον οὐδ' εἰς ἴχνος ἐμβῆναι τῆς ἐκείνων πορείας, ἔπτηξαν ἀθρόοι πρός τινι παλινσκίῳ λαγόνι τοῦ κρημνοῦ συστείλαντες ἑαυτοὺς καὶ διεκαρτέρουν ἐνταῦθα περιπαθοῦντες καὶ δυσανασχετοῦντες. Βαλλομένων γὰρ ἀπὸ τῆς ἄκρας ἤδη τῶν περὶ τὸν Ἄρατον καὶ μαχομένων, ἀλαλαγμὸς ἐναγώνιος ἐχώρει κάτω καὶ κραυγὴ περιήχει διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν συγκεχυμένη καὶ ἄδηλος, ὅθεν εἴληφε τὴν ἀρχήν. (3) Διαπορούντων δὲ αὐτῶν, ἐφ' ὅ τι χρὴ τραπέσθαι μέρος, Ἀρχέλαος

æstas et plenilunium, nox autem perspicua et a nebulis pura, ita ut metuerent sibi, ne armorum ad lunam resplendentium fulgor custodibus ipsos proderet. Quum primi jam appropinquassent urbi, nubes a mari elatæ urbem texerunt et loca extra eam propinqua obumbrarunt. Ibi tum reliqui humi desidentes, calceos exuerunt, quod nudi pedes neque magnum strepitum edunt, neque facile labuntur scalis applicati. (2) Erginus cum septem adolescentibus viatorum more vestitis ad portam occulte pervenit, portæque custodem una cum reliquis excubitoribus obtruncat. Simul et scalæ admotæ sunt et celeriter Aratus centum viros per eas in urbem extulit, ac reliquis ita uti possent sequi jussis celeriter, sublatis scalis, per urbem cum centum istis ad arcem contendit, gaudens se latere et rem prospero succedere existimans. (3) Paululum progressis quattuor occurrunt vigiles cum facibus; ab iis non conspecti, quippe in umbra lunæ adhuc erant, sibi obviam venire eos cernentes, abdunt se post muros quosdam et rudera in insidias, atque ita impetum facientes tres de iis necant, quartus gladio caput ictus, profugit vociferans hostes in urbe esse. (4) Paullo post et tubis signum est datum et urbs tota excitata, omnesque angiportus discurrentibus repleti hominibus, multaque lumina partim per urbem, partim ex arce eluxerunt, ac clamor undique promiscuus incertusque exauditus.

XXII. Interim Aratus viæ intentus per præcipitia ad arcem contendens, initio lente et magno cum labore, quum callem non teneret, sed ab eo deflexisset, quod is undique inter salebras clivorum latebat iisque obumbrabatur, atque multis flexionibus ambagibusque ad murum pertinebat. Mirum vero dictu, ut luna tum fertur nubes discutiens et sublucens viæ difficultatem expedivisse, quumque ad eam muri partem, quam petierat, pervenisset Aratus, iterum coactas nubes subivisse, umbraque eum occultasse. (2) Milites autem, quos ad portam et fanum Junonis relictos ab Arato dixi, trecentos numero, quum et ipsi in urbem irrupissent tumultu promiscuo repletam facibusque collucentem, atque eundem callem invenire suorumque vestigia assequi nequirent confertim in umbrosum quendam rupis anfractum se abdiderunt, ibique magna cum animi ægritudine sese continuerunt. Quippe fremitus et clamor, qualis exaudiri in certaminibus talibus solet, ad ipsos usque ab arce pervadebat, quum Aratus et ejus manus jam desuper ab arce telis impeterentur atque pugnarent, et vox circumsonabat eos a montibus refracta confusaque, et de qua unde ederetur non constabat. (3) Dubitantibus et quonam se verterent incertis, Archelaus, regiorum dux, cum magna militum ca-

νοῦν ἐκείνῳ προσεῖχον ὅ τε Νικοκλῆς οὐκ ἠμέλει τῶν πραττομένων, ἀλλ' ἀδήλως παρεθεώρει καὶ παρεφύλαττεν αὐτοῦ τὴν ὁρμήν, τόλμημα μὲν οὐδὲν τηλικοῦτον δεδιὼς οὐδὲ ἔργον οὐδὲν οὕτω παρακεκινδυνευμένον, ὑποπτεύων δὲ τοῖς βασιλεῦσιν αὐτὸν διαλέγεσθαι φίλοις οὖσι καὶ ξένοις πατρῴοις. (3) Καὶ γὰρ ἀληθῶς ὁ Ἄρατος ἐπεχείρησε τὴν ὁδὸν ἐκείνην βαδίζειν. Ὡς δὲ Ἀντίγονος μὲν ὑπισχνούμενος ἠμέλει καὶ παρῆκε τὸν χρόνον, αἱ δὲ ἀπ' Αἰγύπτου καὶ παρὰ Πτολεμαίου μακρὰν ἦσαν ἐλπίδες, ἔγνω δι' αὐτοῦ καταλύειν τὸν τύραννον.

V. Πρώτοις δὲ κοινοῦται τὴν γνώμην Ἀριστομάχῳ f
καὶ Ἐκδήλῳ. Τούτων ὁ μὲν ἐκ Σικυῶνος ἦν φυγάς, ὁ δὲ Ἔκδηλος Ἀρκὰς ἐκ Μεγάλης πόλεως, ἀνὴρ φιλόσοφος καὶ πρακτικός, Ἀρκεσιλάου τοῦ Ἀκαδημαϊκοῦ γεγονὼς ἐν ἄστει συνήθης. Δεξαμένων δὲ τούτων προθύμως, διελέγετο τοῖς ἄλλοις φυγάσιν, ὧν ὀλίγοι μὲν
1029 αἰσχυνθέντες ἐγκαταλιπεῖν τὴν ἐλπίδα μετεῖχον τῶν a
πραττομένων, οἱ δὲ πολλοὶ καὶ τὸν Ἄρατον ἐπειρῶντο κατακωλύειν ὡς ἀπειρίᾳ πραγμάτων θρασυνόμενον. (2) Βουλευομένου δ' αὐτοῦ χωρίον τι τῆς Σικυωνίας καταλαβεῖν, ὅθεν ὡρμημένος διαπολεμήσει πρὸς τὸν τύραννον, ἧκεν εἰς Ἄργος ἀνὴρ Σικυώνιος ἐκ τῆς εἱρκτῆς ἀποδεδρακώς· ἦν δὲ τῶν φυγάδων ἑνὸς Ξενοκλέους ἀδελφός· καὶ τῷ Ἀράτῳ προσαχθεὶς ὑπὸ τοῦ Ξενοκλέους, ἔλεγε τοῦ τείχους καθ' ὃν ὑπερβὰς αὐτὸς ἐσώθη τόπον ἐντὸς μὲν ὀλίγου δεῖν ἐπίπεδον εἶναι, προσπεφυκότα χωρίοις πετρώδεσι καὶ ὑψηλοῖς, τὸ δὲ ἔξωθεν ὕψος ὑπὸ κλιμάκων οὐ πάνυ ἀνέφικτον. (3) Ὡς δὲ ταῦτα ἤκουσεν b
ὁ Ἄρατος, ἐκπέμπει μετὰ τοῦ Ξενοκλέους οἰκέτας ἰδίους δύο, Σευθᾶν τε καὶ Τέχνωνα, κατασκεψομένους τὸ τεῖχος, ἐγνωκώς, εἰ δύναιτο, κρύφα καὶ πρὸς ἕνα κίνδυνον ὀξέως τὸ πᾶν ἀναῤῥῖψαι μᾶλλον ἢ μακρῷ πολέμῳ καὶ φανεροῖς ἀγῶσιν ἰδιώτης ἀντικαθίστασθαι πρὸς τύραννον. (4) Ὡς δ' ἐπανῆλθον οἱ περὶ τὸν Ξενοκλέα τοῦ μὲν τείχους εἰληφότες μέτρα καὶ τοῦ τόπου τὴν φύσιν ἀπαγγέλλοντες οὐκ ἄπορον οὐδὲ χαλεπήν, τὸ δὲ λαθεῖν προσελθόντας ἐργῶδες εἶναι φάσκοντες ὑπὸ κηπουροῦ τινος κυναρίων, μικρῶν μέν, ἐκτόπως δὲ μαχίμων καὶ c
ἀπαρηγορήτων, εὐθὺς ἐνίστατο τὴν πρᾶξιν.

VI. Ἡ μὲν οὖν τῶν ὅπλων παρασκευὴ συνήθης ἦν, πάντων, ὡς ἔπος εἰπεῖν, τότε κλωπείαις χρωμένων καὶ καταδρομαῖς ἐπ' ἀλλήλους· τὰς δὲ κλίμακας Εὐφράνωρ ὁ μηχανοποιὸς ἀναφανδὸν ἐπήξατο, τῆς τέχνης αὐτῷ τὸ ἀνύποπτον διδούσης, ἐπεὶ καὶ αὐτὸς ἦν τῶν φυγάδων. Ἄνδρας δὲ αὐτῷ τῶν μὲν ἐν Ἄργει φίλων ἕκαστος ἐξ ὀλίγων δέκα παρέσχεν, αὐτὸς δὲ τῶν ἰδίων οἰκετῶν τριάκοντα καθώπλισεν. Ἐμισθώσατο δὲ καὶ διὰ πρώτου Ξενοφίλου τῶν ἀρχικλώπων οὐ πολλοὺς στρατιώτας, οἷς διεδόθη λόγος, ὡς ἐπὶ τὰς ἵππους τὰς βασιλικὰς εἰς τὴν Σικυωνίαν ἔξοδος ἔσοιτο. (2) Καὶ προεπέμφθησαν οἱ πολ- d
λοὶ σποράδες ἐπὶ τὸν Πολυγνώτου πύργον, ἐκεῖ κελευσθέντες περιμεῖναι. Προεπέμφθη δὲ καὶ Καφισίας ὑπ' αὐτοῦ μετὰ τεσσάρων ἄλλων εὐζώνων, οὓς ἔδει πρὸς τὸν

animum animadvertebant, et Nicocles nequaquam ea quæ gerebantur negligebat, sed conatus ejus occulte spectabat atque observabat; nihil quidem tale ausurum, aut tam periculosum facinus aggressurum, sed colloquia eum cum regibus, quos amicos habebat hospitesque paternos, agitare suspicans. (3) Et vero ea via aggredi rem Aratus instituerat. Sed quum et Antigonus multa pollicitus occasionem temporis remque totam negligeret et Ptolemæus Ægyptusque, unde spei aliquid erat, longius abessent, statuit per sese tyrannum evertere.

V. Primis Aristomacho et Ecdelo animi sui sententiam exposuit. Aristomachus Sicyonius exsul erat, Ecdelus Arcas Megalopoli oriundus, philosophus, rebusque agendis aptus homo, qui in urbe Arcesilaum Academicum audierat. Quum hi alacriter institutum probassent, rem cum reliquis etiam exsulibus communicat. Pauci horum, pudore deserendi tanti conatus moti, socios se facinori præbuerunt, plerique autem conati sunt inhibere Aratum, quasi imperitia rerum ferocientem. (2) Quum deliberaret de loco aliquo Sicyoniæ occupando, quo belli adversus tyrannum gerendi receptaculo uteretur, commodum Argos venit Sicyonius quidam e carcere elapsus, Xenoclis frater, unius de exsulibus. Is a Xenocle ad Aratum adductus retulit, muri partem, qua ipse evasisset, intus propemodum planam esse, locis saxosis et sublimibus contiguam, foris eam esse altitudinem, ad quam scalis evadere liceat. (3) Id quum audivisset Aratus, cum Xenocle duos suorum famulorum mittit Seutham et Technonem, qui murum contemplarentur; statuerat enim, si qua ratione id fieri posset, occulte et semel potius totam rem in discrimen mittere, quam privatus ipse contra tyrannum longo bello et apertis certaminibus contendere. (4) Reversus cum famulis Arati Xenocles mensuram muri attulit, indicavitque loci naturam eam esse, ut conscendi haud summa cum difficultate possit; magni autem esse laboris eo accedere propter hortulani cujusdam canes, parvos quidem, sed oppido acres et implacabiles. Proinde statim negotium aggressus est Aratus.

VI. Arma ut facile pararet, consuetudo efficiebat, quum fere omnes tum homines furtis et incursionibus mutuo infestarentur. Scalas Euphranor faber machinarum, ipse quoque Sicyonius exsul, palam construxit, suspicionem artis professione amoliente. Viros amici Argivi singuli de paucis denos præbuerunt, ipse de suis famulis triginta armavit. Mercede etiam opera Xenophili prædatorum ducis milites non ita multos conduxit, apud quos rumorem sparserat, in Sicyoniam se ducturum equarum regiarum abducendarum gratia. (2) Plerique alii post alios ad Polygnoti turrim præmissi sunt, ibique jussi exspectare. Præmissus etiam est Caphisias expeditus cum quattuor aliis, qui se viatores simu-

κηπουρὸν ἀφικέσθαι σκοταίους φάσκοντας ὁδοιπόρους εἶναι καὶ καταυλισαμένους αὐτόν τε συγκλεῖσαι καὶ τοὺς κύνας· οὐ γὰρ ἦν ἄλλῃ παρελθεῖν. Τὰς δὲ κλίμακας διαλυτὰς οὔσας ἐμβαλόντες εἰς ἀχάνας καὶ κατακαλύψαντες ἐφ' ἁμαξῶν προαπέστειλαν. (3) Ἐν τούτῳ δὲ κατασκόπων τινῶν ἐν Ἄργει τοῦ Νικοκλέους φανέντων καὶ περιιέναι λεγομένων ἀδήλως καὶ παραφυλάττειν τὸν e Ἄρατον, ἅμ' ἡμέρᾳ προελθὼν καὶ φανερὸς ὢν ἐν ἀγορᾷ διέτριβε μετὰ τῶν φίλων· εἶτ' ἀλειψάμενος ἐν τῷ γυμνασίῳ καὶ παραλαβών τινας ἐκ τῆς παλαίστρας τῶν εἰωθότων πίνειν καὶ ῥαθυμεῖν μετ' αὐτοῦ νεανίσκων ἀπῆγεν οἴκαδε· καὶ μετὰ μικρὸν ἑωρᾶτο τῶν οἰκετῶν αὐτοῦ δι' ἀγορᾶς ὁ μὲν στεφάνους φέρων, ὁ δὲ λαμπάδας ὠνούμενος, ὁ δὲ τοῖς εἰθισμένοις παρὰ πότον ψάλλειν καὶ αὐλεῖν γυναίοις διαλεγόμενος. (4) Ταῦτα δὲ οἱ κατάσκοποι πάντα ὁρῶντες ἐξηπάτηντο καὶ πρὸς ἀλλήλους ἀναγελῶντες ἔλεγον· « Οὐδὲν ἦν ἄρα τυράννου δειλότερον, εἰ καὶ Νικοκλῆς τηλικαύτην πόλιν ἔχων καὶ τοσαύτην δύναμιν ὀρρωδεῖ μειράκιον εἰς ἡδονὰς καὶ πό- f τους μεθημερινοὺς τὰ τῆς φυγῆς ἐφόδια καταχρώμενον. »

VII. Οἱ μὲν οὖν οὕτω παραλογισθέντες ἀπηλλάγησαν. Ὁ δὲ Ἄρατος εὐθὺς μετ' ἄριστον ἐξελθὼν καὶ συνάψας πρὸς τὸν Πολυγνώτου πύργον τοῖς στρατιώταις, εἰς Νεμέαν προῆγεν, ὅπου τὴν πρᾶξιν ἐξέφηνε τοῖς πολλοῖς, τὸ δὲ πρῶτον ὑποσχέσεις τε καὶ παρακλήσεις ἐποιή- 1030 σατο· καὶ σύνθημα παραδοὺς Ἀπόλλωνα ὑπερδέξιον, a προῆγεν ἐπὶ τὴν πόλιν συμμέτρως τῇ περιφορᾷ τῆς σελήνης ἐπιταχύνων καὶ πάλιν ἀνιεὶς τὴν πορείαν, ὥστε τῷ μὲν φωτὶ χρῆσθαι καθ' ὁδόν, ἤδη δὲ δυομένης περὶ τὸν κῆπον εἶναι πλησίον τοῦ τείχους. (2) Ἐνταῦθα Καφισίας ἀπήντησεν αὐτῷ, τῶν μὲν κυναρίων οὐ κρατήσας (ἔφθη γὰρ ἀποπηδήσαντα), τὸν δὲ κηπουρὸν ἐγκεκλεικώς. Ἀθύμους δὲ τοὺς πλείστους γενομένους καὶ κελεύοντας ἀπαλλάττεσθαι παρεθάρρυνεν ὁ Ἄρατος, ὡς ἀπάξων, ἂν οἱ κύνες ἄγαν ἐνοχλῶσιν αὐτοῖς. (3) Ἅμα δὲ τοὺς τὰς κλίμακας φέροντας προπέμψας, ὧν Ἔκδηλος ἡγεῖτο καὶ Μνασίθεος, αὐτὸς ἐπηκολούθει σχολαίως, ἤδη τῶν κυναρίων εὐτόνως ὑλακτούντων καὶ συμπα- b ρατρεχόντων τοῖς περὶ τὸν Ἔκδηλον. Οὐ μὴν ἀλλὰ προσέμιξάν τε τῷ τείχει καὶ προσήρεισαν τὰς κλίμακας ἀσφαλῶς. Ἀναβαινόντων δὲ τῶν πρώτων, ὁ τὴν ἑωθινὴν φυλακὴν παραδιδοὺς ἐφώδευε κώδωνι, καὶ φῶτα πολλὰ καὶ θόρυβος ἦν τῶν ἐπιπορευομένων. Οἱ δέ, ὥσπερ εἶχον, αὐτοῦ πτήξαντες ἐπὶ τῶν κλιμάκων τούτους μὲν οὐ χαλεπῶς ἔλαθον, ἄλλης δὲ φυλακῆς ἐναντίας ταύτῃ προσερχομένης εἰς τὸν ἔσχατον κίνδυνον ἦλθον. Ὡς δὲ κἀκείνην διέφυγον παρελθοῦσαν, εὐθὺς ἀνέβαινον οἱ πρῶτοι Μνασίθεος καὶ Ἔκδηλος· καὶ τὰς ἑκατέρωθεν ὁδοὺς τοῦ τείχους διαλαβόντες ἀπέστελλον Τέχνωνα πρὸς Ἄρατον ἐπείγεσθαι κελεύοντες.

VIII. Ἦν δὲ οὐ πολὺ διάστημα ἀπὸ τοῦ κήπου πρὸς τὸ τεῖχος καὶ τὸν πύργον, ἐν ᾧ κύων μέγας ἐφρούρει θηρατικός. Αὐτὸς μὲν οὖν οὐχ ᾔσθετο τὴν ἔφοδον, εἴτε φύσει νωθὴς ὤν, εἴτε μεθ' ἡμέραν κατάκοπος γε-

larent, et sub noctem ad hortulanum intrarent, ibique pernoctantes, ipsum et canes occluderent; nam alioqui aditus non dabatur. Scalas autem, ut erant dissolubiles, in modios frumentarios imposuerunt, itaque occultatos carris provexerunt. (3) Interim conspectis quibusdam Nicoclis exploratoribus Argis, qui clam circumire et observare Aratum ferebantur, interdiu in publicum progressus Aratus se ostentavit, inque foro cum amicis commoratus est; unctus deinde in gymnasio, ex palæstra secum abduxit domum adolescentes quosdam, secum bibere et genio indulgere solitos; paullo post in foro visi sunt famuli ejus, alius coronas ferens, alius faces emens, alius cum mulierculis quæ psallere et fistula canere in convivio solent, colloquens. (4) Hæc omnia exploratores quum cernerent, decepti sunt, atque unus alteri non sine multo risu, Nimirum, aiebant, nihil timidius est tyranno, quando Nicocles etiam tantam urbem possidens, tantasque copias, sibi ab adolescente metuit, viatica sui exsilii in voluptates et convivia diurna insumente.

VII. Atque ita decepti, discesserunt. Statim a prandio Aratus Argis profectus, ad milites juxta turrim Polygnoti venit, indeque Nemeam duxit: ibi consilium suum universis aperuit, eosque in primo adhortationibus et pollicitationibus confirmat; tum tessera data Apolline propitio versus Sicyonem ducit; ad motus autem lunaris rationem sui itineris accelerationem accommodat, ita ut lumine lunæ ad iter faciendum uteretur, luna jam occidente ad hortum haud procul muro esset. (2) Ibi ei occurrit Caphisias, occlusum quidem a se hortulanum indicans, canes autem non comprehendi potuisse, quod profugere prævertissent. Quum animis plerique caderent et retro abducere juberent, bono eos animo esse Aratus jussit, abducturumque, si nimis importuni forent canes, promisit. (3) Simul eos qui scalas gestabant, præmisit, Ecdelo et Mnasitheo ducibus; ipse lento gradu subsecutus est, canibus acriter latrantibus et juxta Ecdelum una cursitantibus. Is tamen cum suis et pervenit ad murum et scalæ tuto admotæ sunt. Primis murum conscendentibus, ille qui vigiliam matutinam tradebat, ad tintinnabulum custodes lustrabat; ibi quum multæ faces gestarentur, custodesque murum pervadentes tumultum darent, isti ibi in scalis subsidentes facile eos latuerunt; quum vero alii excubitores prioribus obvii venirent, summo in periculo fuerunt. Eo etiam evitato, primi in murum Mnasitheus et Ecdelus evaserunt, et occupato utrimque muri aditu, Technonem ad Aratum miserunt, properare jubentes.

VIII. Ab horto ad murum et turrim non magnum erat spatium, qua in turri magnus canis venaticus excubabat. Is muros occupantium strepitum non senserat, sive natura hebes, sive interdiu defatigatus, ab hortulani autem cani-

γονώς. Τῶν δὲ τοῦ κηπουροῦ κυναρίων κάτωθεν ἐκκα-
λουμένων αὐτόν, ὑπεφθέγγετο τυφλὸν καὶ ἄσημον τὸ
πρῶτον, εἶτα μᾶλλον ἐπέτεινε παρερχομένων, καὶ κα-
τεῖχεν ἤδη πολὺς ὑλαγμὸς τὸ χωρίον, ὥστε τὸν πέραν
φύλακα κραυγῇ μεγάλῃ πυνθάνεσθαι τοῦ κυνηγοῦ, πρὸς
τίνα τραχέως οὕτως ὑλακτεῖ καὶ μή τι γίνεται καινότε- d
ρον. Ὁ δ' ἀπὸ τοῦ πύργου αὐτῷ ἀντεφώνησε μηδὲν
εἶναι δεινόν, ἀλλὰ τὸν κύνα πρὸς τὸ φῶς τῶν τειχοφυ-
λάκων καὶ τὸν ψόφον τοῦ κώδωνος παροξύνθαι. Τοῦτο
μάλιστα τοὺς Ἀράτου στρατιώτας ἐπέῤῥωσεν, οἰομένους
τὸν κυνηγὸν ἐπικρύπτειν κοινωνοῦντα τῇ πράξει, εἶναι
δὲ πολλοὺς καὶ ἄλλους ἐν τῇ πόλει τοὺς συνεργοῦντας.
(2) Οὐ μὴν ἀλλὰ τῷ τείχει προσβαλόντων χαλεπὸς ἦν
ὁ κίνδυνος καὶ μῆκος ἐλάμβανε, τῶν κλιμάκων κραδαι-
νομένων, εἰ μὴ καθ' ἕνα καὶ σχολαίως ἀναβαίνοιεν· ἡ δὲ
ὥρα κατήπειγεν, ἤδη φθεγγομένων ἀλεκτρυόνων καὶ
ὅσον οὔπω τῶν ἐξ ἀγροῦ τι φέρειν εἰωθότων πρὸς ἀγο- e
ρὰν ἐπερχομένων. (3) Διὸ καὶ σπεύδων ὁ Ἄρατος ἀνέ-
βαινε, τεσσαράκοντα τῶν πάντων ἀναβεβηκότων πρὸ αὐ-
τοῦ· καὶ προσδεξάμενος ἔτι τῶν κάτωθεν ὀλίγους ἐπὶ τὴν
οἰκίαν τοῦ τυράννου καὶ τὸ στρατήγιον ἐπανῆλθεν· ἐν-
ταῦθα γὰρ οἱ μισθοφόροι παρενυκτέρευον. Ἄφνω δὲ
ἐπιπεσὼν αὐτοῖς καὶ συλλαβὼν ἅπαντας, οὐδένα δὲ
ἀποκτείνας, εὐθὺς διεπέμπετο πρὸς τοὺς φίλους ἀνακα-
λούμενος ἕκαστον ἀπ' οἰκίας. Καὶ συνδραμόντων
πανταχόθεν, ἡμέρα μὲν ὑπέλαμπεν ἤδη καὶ τὸ θέατρον
ἦν ὄχλου μεστόν, ἔτι πρὸς τὴν ἄδηλον αἰωρουμένων f
φήμην καὶ σαφὲς οὐδὲν εἰδότων ὑπὲρ τῶν πραττομένων,
πρίν γε δὴ προσελθὼν ὁ κήρυξ εἶπεν, ὡς Ἄρατος ὁ Κλει-
νίου παρακαλεῖ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν.

IX. Τότε δὴ πιστεύσαντες ἥκειν ἃ πάλαι προσεδό-
κων, ὥρμησαν ἀθρόοι πρὸς τὰς θύρας τοῦ τυράννου πῦρ
ἐπιφέροντες. Ἤρθη δὲ φλὸξ μεγάλη καὶ καταφανὴς
μέχρι Κορίνθου τῆς οἰκίας ἀναφθείσης, ὥστε θαυμά-
1031 σαντας τοὺς ἐν Κορίνθῳ παρὰ μικρὸν ὁρμῆσαι πρὸς a
τὴν βοήθειαν. Ὁ μὲν οὖν Νικοκλῆς ἔλαθε διά τινων
ὑπονόμων ὑπεκδὺς καὶ ἀποδρὰς ἐκ τῆς πόλεως· οἱ δὲ
στρατιῶται καταπαύσαντες μετὰ τῶν Σικυωνίων τὸ
πῦρ διήρπαζον τὴν οἰκίαν. Καὶ οὔτε ταῦτα ἐκώλυσεν
ὁ Ἄρατος τά τε λοιπὰ χρήματα τῶν τυράννων εἰς μέ-
σον ἔθηκε τοῖς πολίταις. Ἀπέθανε δὲ οὐδεὶς οὐδ'
ἐτρώθη τὸ παράπαν τῶν ἐλθόντων οὐδὲ τῶν πολεμίων,
ἀλλὰ καθαρὰν καὶ ἄθικτον αἵματος ἐμφυλίου τὴν πρᾶ-
ξιν ἡ τύχη διεφύλαξε. (2) Κατήγαγε δὲ φυγάδας τοὺς
μὲν ὑπὸ Νικοκλέους ἐκπεπτωκότας ὀγδοήκοντα, τοὺς δὲ
ἐπὶ τῶν ἔμπροσθεν τυράννων οὐκ ἐλάττους πεντακο- b
σίων, οἷς μακρὰ μὲν ἡ πλάνη καὶ ὁμοῦ τι πεντηκον-
ταετὴς ἐγεγόνει, κατελθόντες δὲ οἱ πλεῖστοι πένητες
ὧν κύριοι πρότερον ἦσαν ἐπελαμβάνοντο· καὶ βαδίζον-
τες ἐπὶ τὰ χωρία καὶ τὰς οἰκίας δεινὴν ἀπορίαν τῷ
Ἀράτῳ παρεῖχον, ἐπιβουλευομένην μὲν ἔξωθεν καὶ
φθονουμένην ὑπ' Ἀντιγόνου τὴν πόλιν ὁρῶντι διὰ τὴν
ἐλευθερίαν, ταραττομένην δ' ὑφ' αὑτῆς καὶ στασιάζου-
σαν. (3) Ὅθεν ἐκ τῶν παρόντων ἄριστα κρίνας προσ-

bus inferne latrantibus excitatus, initio obscuro latratu responderat, mox appropinquantibus illis, latratum intendebat, jamque totus ille locus latratu canum resonabat, adeo ut ab altera parte vigil magna voce venatorem percontatus sit: curnam ita vehementer canis latraret et an aliquid insolens accidisset. Ille ex turri respondit: nihil esse periculi, canem lumine vigilum et tintinnabuli sonitu esse irritatum. Id maxime Arati milites confirmavit, existimantes venatorem socium facinoris dedita opera rem occultare et multos quoque alios in urbe negotii conscios atque auxiliarios esse. (2) Verum enim vero quum ad murum omnes pervenissent, longus erat et periculosus labor, quod scalæ, nisi unus post alium et paulatim ascenderet, concutiebantur; tempus autem moram non ferebat, jam gallis canentibus et appropinquantibus jamjam iis, qui in forum ex agris res venales portabant. (3) Itaque festinans Aratus, quum ante ipsum quadraginta tantum adscendissent, ipse quoque in murum evasit, paucisque adhuc assumptis, ad domum tyranni et prætorium contendit, ubi noctem mercenarii milites agebant. Hos subito superveniens omnes comprehendit, occidit neminem, statimque ad amicos dimisit, qui singulos ad se vocarent. Facto undique concursu, dies illuxit, eratque turbæ plenum theatrum, animis omnium ob incertum adhuc rumorem suspensis, et eorum quæ agebantur ignaris, donec præco accedens edixit, Aratum Cliniæ filium cives ad libertatem vocare.

IX. Tum demum credentes ea adesse, quæ jam pridem exspectarant, confertim ad tyranni ædes accurrerunt, ignem injicientes. Edita autem est ingens flamma et Corinthum usque luxit domus incendium, ita ut qui Corinthi erant mirati quidnam hoc rei esset, paullum abfuerit quin ad auxilium ferendum accurrerent. Nicocles per quosdam cuniculos ex urbe effugit, milites autem et cives exstincto incendio domum diripuerunt, non hoc modo Arato concedente, sed et reliquam tyrannorum pecuniam civibus in medium proponente. Nemo omnium vel occisus est, vel vulneratus, neque Aratianorum neque hostium, sed id facinus fortuna ab omni civili sanguine purum servavit. (2) Reduxit exsules, qui a Nicocle pulsi fuerant, octoginta qui a prioribus tyrannis, haud pauciores quingentis, qui diu multumque, nonnulli etiam per quinquaginta annos vagati fuerant. Plerique autem quum redissent pauperes, bona ea, quæ olim possederant, vindicaverunt, invadentesque prædia et domicilia sua in summas Aratum difficultates conjecerunt. Videbat enim urbi extrinsecus ab Antigono periculum impendere, libertati ejus invidente atque insidiante, intus autem turbis eam et seditionibus agitari. (3) Itaque quod in præsentia factu optimum

ἔμιξεν αὐτὴν φέρων τοῖς Ἀχαιοῖς· καὶ Δωριεῖς ὄντες ὑπέδυσαν ἑκουσίως ὄνομα καὶ πολιτείαν τὴν Ἀχαιῶν, οὔτε ἀξίωμα λαμπρὸν οὔτε μεγάλην ἰσχὺν ἐχόντων c τότε. Μικροπολῖται γὰρ ἦσαν οἱ πολλοὶ καὶ γῆν οὔτε χρηστὴν οὔτ' ἄφθονον ἐκέκτηντο καὶ θαλάττῃ προσῴκουν ἀλιμένῳ, τὰ πολλὰ κατὰ ῥαχίας ἐκφερομένῃ πρὸς τὴν ἤπειρον. (4) Ἀλλὰ μάλιστα δὴ διέδειξαν οὗτοι τὴν Ἑλληνικὴν ἀλκὴν ἀπρόσμαχον οὖσαν, ὁσάκις τύχοι κόσμου καὶ συντάξεως ὁμοφρονούσης καὶ νοῦν ἔχοντος ἡγεμόνος, οἳ τῆς μὲν πάλαι τῶν Ἑλλήνων ἀκμῆς οὐδὲν, ὡς εἰπεῖν, μέρος ὄντες, ἐν δὲ τῷ τότε μιᾶς ἀξιολόγου πόλεως σύμπαντες ὁμοῦ δύναμιν οὐκ ἔχοντες εὐβουλίᾳ καὶ ὁμονοίᾳ καὶ ὅτι τῷ πρώτῳ κατ' ἀρετὴν ἐδύναντο μὴ φθονεῖν, ἀλλὰ πείθεσθαι καὶ ἀκολουθεῖν, οὐ d μόνον αὐτοὺς ἐν μέσῳ πόλεων καὶ δυνάμεων τηλικούτων καὶ τυραννίδων διεφύλαξαν ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων ὡς πλείστους ἐλευθεροῦντες καὶ σώζοντες διετέλουν.

X. Ἦν δὲ Ἄρατος τῷ τρόπῳ πολιτικὸς, μεγαλόφρων, ἀκριβέστερος εἰς τὰ κοινὰ μᾶλλον τῶν ἰδίων, πικρῶς μισοτύραννος, ἔχθρας ὅρῳ καὶ φιλίας ἀεὶ τῷ κοινῷ συμφέροντι χρώμενος. Ὅθεν οὐχ οὕτως δοκεῖ γεγονέναι φίλος ἀκριβὴς, ὡς ἐχθρὸς εὐγνώμων καὶ πρᾶος, ὑπὸ τῆς πολιτείας ἐπ' ἀμφότερα τῷ καιρῷ μεταβαλλόμενος, ὁμονοίας ἐθνῶν καὶ κοινωνίας πόλεων καὶ συνεδρίου καὶ θεάτρου μίαν φωνὴν ἀφιέντος ὡς οὐδενὸς ἄλλου e τῶν καλῶν ἐραστὴς, πολέμῳ καὶ ἀγῶνι χρήσασθαι φανερῶς ἀθαρσὴς καὶ δύσελπις, κλέψαι δὲ πράγματα καὶ συσκευάσασθαι κρύφα πόλεις καὶ τυράννους ἐπηβολώτατος. (2) Διὸ καὶ πολλὰ τῶν ἀνελπίστων κατορθώσας, ἐν οἷς ἐτόλμησεν, οὐκ ἐλάττονα δοκεῖ τῶν δυνατῶν ἐγκαταλιπεῖν δι' εὐλάβειαν. Οὐ γὰρ μόνον, ὡς ἔοικε, θηρίων τινῶν ὄψεις ἐνεργοὶ διὰ σκότους οὖσαι μεθ' ἡμέραν ἀποτυφλοῦνται ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν, ἀλλὰ καὶ δεινότης τίς ἐστιν ἀνθρώπου καὶ f σύνεσις ἐν τοῖς ὑπαίθροις καὶ διακεκηρυγμένοις εὐτάρακτος φύσει, πρὸς δὲ τὰς ἐπικρύφους καὶ λαθραίους ἀναθαρσοῦσα πράξεις. Τὴν δὲ τοιαύτην ἀνωμαλίαν ἔνδεια λόγου φιλοσόφου περὶ τὰς εὐφυΐας ἀπεργάζεται, τὴν ἀρετὴν, ὥσπερ καρπὸν αὐτοφυῆ καὶ ἀγεώργητον, 1032 ἐκφερούσας δίχα τῆς ἐπιστήμης. Ταῦτα μὲν οὖν ἐξεταζέσθω a τοῖς παραδείγμασιν.

XI. Ὁ δὲ Ἄρατος, ἐπεὶ κατέμιξε τοῖς Ἀχαιοῖς ἑαυτὸν καὶ τὴν πόλιν, ἐν τοῖς ἱππεῦσι στρατευόμενος ἠγαπᾶτο δι' εὐπείθειαν ὑπὸ τῶν ἀρχόντων, ὅτι, καίπερ συμβολὰς τῷ κοινῷ μεγάλας δεδωκὼς, τὴν ἑαυτοῦ δόξαν καὶ τὴν τῆς πατρίδος δύναμιν, ὡς ἑνὶ τῶν ἐπιτυχόντων χρῆσθαι παρεῖχεν αὐτῷ τῷ ἀεὶ στρατηγοῦντι τῶν Ἀχαιῶν, εἴτε Δυμαῖος, εἴτε Τριταιεὺς, εἴτε μικροτέρας τινὸς ὢν τύχοι πόλεως. Ἧκε δὲ αὐτῷ καὶ χρημάτων δωρεὰ παρὰ τοῦ βασιλέως, πέντε καὶ εἴκοσι τάλαντα. Ταῦτα ἔλαβε μὲν ὁ Ἄρατος, λαβὼν δὲ τοῖς ἑαυτοῦ πο-

videbatur, Achæorum eam civitati adjunxit; et Sicyonii, quum essent Dorienses, ultro in nomen et rempublicam Achæorum se insinuarunt. Sane neque auctoritas magna neque potentia eo tempore Achæorum erat; nam et pleræque eorum urbes paucis civibus frequentabantur, neque bonum neque latum agrum possidebant, et mare accolebant importuosum et quod plerumque apud scopulos præruptos terram attingeret. (4) Verum hi maxime tum demonstrarunt Græcorum vires inexpugnabiles esse, quoties unanimi ordine ii componantur atque regantur et cordatum habeant ducem. Quippe quum ne minima quidem essent portio ejus quod olim in Græcia viguit roboris, et nunc viribus suis omnibus in unum collatis unius alicujus præcipuæ urbis potentiam non æquarent, consilio tamen et concordia et quia norant virtute præstantissimo absque invidia obtemperare, non modo suam libertatem in medio tot urbium, tam potentium civitatum atque tyrannorum tutati sunt, sed et reliquorum Græcorum plurimos in libertatem asseruerunt et salvos reddiderunt.

X. Erat Aratus natura civilis, magnanimus et ad rem publicam quam privatam attentior, tyrannorum acerrimus osor, et qui semper amicitiæ inimicitiæque finem commodo publico metiretur. Itaque non tam constans amicus, quam hostis candidus atque mansuetus videtur fuisse, reipublicæ causa per occasionem in utramque partem se convertens, concordiæ populorum et communionis civitatum, conciliique et theatri unam edentis vocem, ut nullius alius rerum bonarum, studiosissimus, bello et apertis certaminibus uti non facile audebat, eoque in genere animi erat parum fidentis, ad res furtim gerendas componendasque adversum urbes et tyrannos insidias aptissimus. (2) Itaque quum multa conatus spe superiora, ea confecisset, videtur haud pauciora, quæ effici haud dubie poterant, ob timiditatem omisisse. Scilicet non animalium modo quorundam oculi per tenebras videre possunt, interdiu cæcutiunt, quod siccitas et tenuitas humoris qui est in oculis cum luce non potest temperari, sed et quorundam hominum calliditas atque prudentia ita est comparata, ut in apertis rebus indictisque certaminibus facile ii perturbentur, in occultis autem et abditis rebus gerendis audaces sint. Hujus inæqualitatis causa est in bonis naturis ignoratio philosophiæ, quum bona ingenia virtutem absque scientia, veluti fructum sponte sua et absque cultu enatum proferunt. Hæc in exemplis deprehendi possunt.

XI. Porro Aratus quum se Sicyonemque Achæis adjunxisset, inter equites militans carus ducibus propter obedientiam fuit; nam tametsi plurimum ad rempublicam contulisset, sua gloria patriæque viribus ad eam accumulatis, tamen morigerum se haud minus quam de vulgo aliquis ducibus Achæorum singulis præbuit, sive ducem Dyme, sive Tritæa sive aliud humilius oppidum præbuerat. Dono etiam ei viginti quinque talenta Ptolemæus misit, quæ ille

λίταις ἐπέδωκεν ἀπορουμένοις εἴς τε τἆλλα καὶ λύτρωσιν αἰχμαλώτων.

XII. Ἐπεὶ δὲ οἱ φυγάδες ἦσαν ἀπαρηγόρητοι τοῖς b ἔχουσι τὰς κτήσεις ἐνοχλοῦντες ἥ τε πόλις ἐκινδύνευεν ἀνάστατος γενέσθαι, μίαν ὁρῶν ἐλπίδα τὴν Πτολεμαίου φιλανθρωπίαν ὥρμησεν ἐκπλεῦσαι καὶ δεηθῆναι τοῦ βασιλέως, ὅπως αὐτῷ χρήματα συμβάληται πρὸς τὰς διαλύσεις. Ἀνήχθη μὲν οὖν ἀπὸ Μεθώνης ὑπὲρ Μαλέας, ὡς τῷ διὰ πόρου δρόμῳ χρησόμενος. Πρὸς δὲ μέγα πνεῦμα καὶ πολλὴν θάλασσαν ἐκ πελάγους κατιοῦσαν ἐνδόντος τοῦ κυβερνήτου, παραφερόμενος μόλις ἥψατο τῆς Ἀδρίας πολεμίας οὔσης. Ἐκρατεῖτο γὰρ ὑπὸ Ἀντιγόνου καὶ φυλακὴν εἶχεν· ἣν φθάσας ἀπέβη καὶ τὴν ναῦν καταλιπὼν ἀπεχώρησε μακρὰν c ἀπὸ θαλάσσης ἔχων ἕνα τῶν φίλων σὺν αὐτῷ, Τιμάνθην. Καὶ καταβαλόντες ἑαυτοὺς εἴς τινα τόπον ὕλης γέμοντα χαλεπῶς ἐνυκτέρευον. (2) Ὀλίγῳ δὲ ὕστερον ὁ φρούραρχος ἐπελθὼν καὶ ζητῶν τὸν Ἄρατον, ὑπὸ τῶν θεραπόντων ἐξηπατήθη τῶν ἐκείνου, δεδιδαγμένων λέγειν ὡς εὐθὺς ἀποδρὰς εἰς Εὔβοιαν ἐξέπλευσε. Τὰ μέντοι κομιζόμενα καὶ τὴν ναῦν καὶ τοὺς θεράποντας ἀπέφηνε πολέμια καὶ κατέσχε. (3) Μετὰ δὲ ἡμέρας οὐ πολλὰς ἐν ἀπόροις ὄντι τῷ Ἀράτῳ γίνεταί τις εὐτυχία Ῥωμαϊκῆς νεὼς παραβαλούσης κατὰ τὸν τόπον, ἐν ᾧ τὰ μὲν ἐπὶ σκοπὴν ἀνιών, τὰ δὲ κρυπτόμενος διῆ- d γεν. Ἔπλει μὲν οὖν ἡ ναῦς εἰς Συρίαν. Ἐπέβη δὲ πείσας τὸν ναύκληρον ἄχρι Καρίας διακομισθῆναι· καὶ διεκομίσθη κινδύνοις αὖθις οὐκ ἐλάττοσι χρησάμενος κατὰ θάλατταν. Ἐκ δὲ Καρίας χρόνῳ πολλῷ περαιωθεὶς εἰς Αἴγυπτον, αὐτόθεν τε τῷ βασιλεῖ διακειμένῳ πρὸς αὐτὸν οἰκείως ἐνέτυχε καὶ τεθεραπευμένῳ γραφαῖς καὶ πίναξιν ἀπὸ τῆς Ἑλλάδος, ἐν οἷς κρίσιν ἔχων οὐκ ἄμουσον ὁ Ἄρατος ἀεί τι τῶν τεχνικῶν καὶ περιττῶν, μάλιστα δὲ Παμφίλου καὶ Μελάνθου, συνάγων καὶ κτώμενος ἀπέστελλεν.

XIII. Ἤνθει γὰρ ἔτι δόξα τῆς Σικυωνίας μούσης e καὶ χρηστογραφίας, ὡς μόνης ἀδιάφθορον ἐχούσης τὸ καλόν, ὥστε καὶ Ἀπελλῆν ἐκεῖνον ἤδη θαυμαζόμενον ἀφικέσθαι καὶ συγγενέσθαι τοῖς ἀνδράσιν ἐπὶ ταλάντῳ, τῆς δόξης μᾶλλον ἢ τῆς τέχνης δεόμενον μεταλαβεῖν. Διὸ τὰς μὲν ἄλλας εἰκόνας τῶν τυράννων ἀνεῖλεν εὐθὺς ὁ Ἄρατος, ὅτε τὴν πόλιν ἠλευθέρωσε, περὶ δὲ τῆς Ἀριστράτου τοῦ κατὰ Φίλιππον ἀκμάσαντος ἐβουλεύσατο πολὺν χρόνον. Ἐγράφη μὲν γὰρ ὑπὸ πάντων τῶν περὶ τὸν Μέλανθον ἅρματι νικηφόρῳ παρεστὼς ὁ Ἀρίστρατος, Ἀπελλοῦ συνεφαψαμένου τῆς γραφῆς, ὡς Πολέμων ὁ περιηγητὴς ἱστόρηκεν. Ἦν δὲ τὸ ἔργον ἀξιοθέατον, ὥστε γνάμπτεσθαι τὸν Ἄρατον ὑπὸ f τῆς τέχνης, αὖθίς τε μίσει τῷ πρὸς τοὺς τυράννους ἐξαγόμενον κελεύειν καθαιρεῖν. (2) Τὸν οὖν ζωγράφον Νεάλκη φίλον ὄντα τοῦ Ἀράτου παραιτεῖσθαί φασι καὶ δακρύειν, ὡς δ' οὐκ ἔπειθεν, εἰπεῖν, ὅτι τοῖς τυράννοις πολεμητέον, οὐ τοῖς τῶν τυράννων. « Ἐάσωμεν οὖν τὸ

accepta civibus suis largitus est, quum alias, tum ad redimendos captivos pecunia indigentibus.

XII. Ceterum iis qui ab exsilio erant reversi importune tumultuantibus et eos qui bona possidebant vexantibus, adeo ut periculum esset de exitio civitatis, in sola Ptolemæi humanitate spem reliquam habens Aratus statuit ad eum navigare et orare ut sibi pecuniam ad lites istas pacandas suppeditaret. Itaque a Methona provectus, super Maleam navigavit, ut brevissimo cursu fretum trajiceret. Sed rectore a magno vehementique vento, qui ab alto incubuerat, victo, cursum non tenens, ægre ad Adriam ejectus e t, qui locus hostilis erat, ab Antigonoque præsidio tenebatur; quo mature evitato Aratus navi relicta procul a mari se cum uno amicorum Timanthe in silvestrem quendam locum subduxit, noctemque ibi difficilem exegit. (2) Paullo post ad navem præsidii præfectus venit, Aratum quærens: quem famuli ejus deceperunt respondentes, uti docti fuerant, statim eum aufugisse et in Eubœam navigasse. Navem quidem, et quæ in ea vehebantur, ac famulos Arati hostis, bona esse declaravit et retinuit. (3) Post dies non multas constituto magnis in difficultatibus Arato, bona quadam ejus fortuna Romana navis ad eum locum appulit, ubi partim speculans, partim latens commorabatur. Ea navis in Syriam ibat. Itaque a nauclero impetravit ut se usque ad Cariam veheret. Eo non minoribus tempestatum periculis pervectus, inde in Ægyptum multo tempore pervenit, regemque et ultro bene erga se affectum adiit, quem jam ante missis e Græcia tabulis atque picturis demeruerat Aratus. Quum enim ipse ejus artis haud ineptus esset judex, subinde aliquid artificiosi accuratique operis ad eum miserat, Pamphili maxime et Melanthi picturas eum in finem comparans.

XIII. Florebat enim adhuc gloria Sicyoniæ in pingendo elegantiæ, quæ sola pulchritudinem incorruptam habere judicabatur; itaque Apelles etiam, quum jam admirationi esset, eo se contulit, et talentum pictoribus discendæ artis causa pependit, gloriæ magis quam artis eorum societatem captans. Quapropter Aratus, quo tempore Sicyonem liberavit, omnes tyrannorum imagines statim sustulit, de Aristrati autem, qui Philippi tempore floruit, imagine diu deliberavit. Pictus enim erat currui victori insistens Aristratus a Melantho omnibusque ejus sociis, et Apelles quoque operam suam eo contulerat, ut quidem Polemo Periegetes narrat. Opus erat spectatu dignissimum, ita ut artificium animum Arati inflecteret, rursusque tamen odium tyrannorum incitaret, ut deleri mandaret. (2) Nealcem tum ferunt pictorem, Arati amicum, cum lacrimis deprecatum, et quum non obtineret, dixisse: tyrannis, non eorum bonis bellum esse indictum itaque Victoriam et currum

1033 ἅρμα καὶ τὴν Νίκην, αὐτὸν δέ σοι παρέξω τὸν Ἀρίστρατον ἐγὼ παραχωροῦντα τοῦ πίνακος.» Ἐπιτρέψαντος οὖν τοῦ Ἀράτου διήλειψεν ὁ Νεάλκης τὸν Ἀρίστρατον, εἰς δὲ τὴν χώραν φοίνικα μόνον ἐνέγραψεν, ἄλλο δὲ οὐδὲν ἐτόλμησε παραβαλεῖν. Τοὺς δὲ πόδας ἐξαλειφομένου τοῦ Ἀριστράτου διαλαθεῖν ὑπὸ τὸ ἅρμα λέγουσιν. (3) Ἔκ τε δὴ τούτων ὁ Ἄρατος ἠγαπᾶτο καὶ διδοὺς πεῖραν ἔτι μᾶλλον ἥψατο τοῦ βασιλέως καὶ δωρεὰν ἔλαβε τῇ πόλει πεντήκοντα καὶ ἑκατὸν τάλαντα. Καὶ τούτων τεσσαράκοντα μὲν εὐθὺς μεθ' ἑαυτοῦ κομίζων εἰς Πελοπόννησον κατῆρε, τὰ δὲ λοιπὰ διελὼν εἰς δόσεις ὁ βασιλεὺς ὕστερον κατὰ μέρος ἀπέστειλεν.

XIV. Ἦν μὲν οὖν μέγα καὶ τὸ χρήματα τοσαῦτα πορίσαι τοῖς πολίταις, ὅσων μικρὸν μέρος ἄλλοι στρατηγοὶ καὶ δημαγωγοὶ λαμβάνοντες παρὰ βασιλέων ἠδίκουν καὶ κατεδουλοῦντο καὶ προέπινον αὐτοῖς τὰς πατρίδας, μείζων δὲ ἡ διὰ τῶν χρημάτων τούτων κατασκευασθεῖσα τοῖς μὲν ἀπόροις πρὸς τοὺς πλουσίους διάλυσις καὶ ὁμόνοια, τῷ δὲ δήμῳ παντὶ σωτηρία καὶ ἀσφάλεια, θαυμαστὴ δὲ ἡ τοῦ ἀνδρὸς ἐν δυνάμει τοσαύτῃ μετριότης. (2) Ἀποδειχθεὶς γὰρ αὐτοκράτωρ διαλλακτὴς καὶ κύριος ὅλως ἐπὶ τὰς φυγαδικὰς οἰκονομίας μόνος οὐχ ὑπέμεινεν, ἀλλὰ πεντεκαίδεκα τῶν πολιτῶν προσκατέλεξεν ἑαυτῷ, μεθ' ὧν πόνῳ πολλῷ καὶ μεγάλαις πραγματείαις κατειργάσατο καὶ συνήρμοσε φιλίαν καὶ εἰρήνην τοῖς πολίταις. Ἐφ' οἷς οὐ μόνον κοινῇ σύμπαντες οἱ πολῖται τιμὰς ἀπέδοσαν αὐτῷ πρεπούσας, ἀλλὰ καὶ κατ' ἰδίαν οἱ φυγάδες εἰκόνα χαλκῆν ἀναστήσαντες ἐπέγραψαν τόδε τὸ ἐλεγεῖον·

Βουλαὶ μὲν καὶ ἄεθλα, καὶ ἁ περὶ Ἑλλάδος ἀλκὰ
τοῦδ' ἀνδρὸς στάλαις πλάθεται Ἡρακλέους·
ἄμμες δ' εἰκόν', Ἄρατε, τεὰν νόστοιο τυχόντες
στάσαμεν ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας
σωτῆρος σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
δαίμον' ἴσον θείαν τ' ὤπασας εὐνομίαν.

XV. Ταῦτα διαπραξάμενος ὁ Ἄρατος τοῦ μὲν πολιτικοῦ φθόνου μείζων ἐγεγόνει διὰ τὰς χάριτας, Ἀντίγονος δ' ὁ βασιλεὺς ἀνιώμενος ἐπ' αὐτῷ καὶ βουλόμενος ἢ μετάγειν ὅλως τῇ φιλίᾳ πρὸς αὑτὸν ἢ διαβάλλειν πρὸς τὸν Πτολεμαῖον ἄλλας τε φιλανθρωπίας ἐνεδείκνυτο μὴ πάνυ προσιεμένῳ, καὶ θύων θεοῖς ἐν Κορίνθῳ μερίδας εἰς Σικυῶνα τῷ Ἀράτῳ διέπεμπε. Καὶ παρὰ τὸ δεῖπνον, ἑστιωμένων πολλῶν, εἰς μέσον φθεγξάμενος, «Ὤμην, ἔφη, τὸν Σικυώνιον τοῦτον νεανίσκον ἐλευθέριον εἶναι τῇ φύσει μόνον καὶ φιλοπολίτην· ὁ δὲ καὶ βίων ἔοικε καὶ πραγμάτων βασιλικῶν ἱκανὸς εἶναι κριτής. Πρότερον γὰρ ἡμᾶς ὑπερεώρα ταῖς ἐλπίσιν ἔξω βλέπων καὶ τὸν Αἰγύπτιον ἐθαύμαζε πλοῦτον ἐλέφαντας καὶ στόλους καὶ αὐλὰς ἀκούων, νυνὶ δὲ ὑπὸ σκηνὴν ἑωρακὼς πάντα τὰ ἐκεῖ πράγματα τραγῳδίαν ὄντα καὶ σκηνογραφίαν, ὅλος ἡμῖν προσκεχώρηκεν. Αὐτός τε οὖν ἀποδέχομαι τὸ μειράκιον ἐγνωκὼς εἰς ἅπαντα χρῆσθαι καὶ ὑμᾶς ἀξιῶ φίλον νομίζειν.» (2) Τούτους τοὺς λόγους ὑπόθεσιν λαβόντες οἱ φθονεροὶ καὶ κακοήθεις διη-

a relinquendum, se Aristratum de tabula sublaturum. Id quum concessisset Aratus, delevit Aristratum Nealces et palmam, nihil aliud ausus ei operi affingere, in locum ejus appinxit. Ferunt tamen deleto Aristrato pedes ejus infra currum demissos superfuisse. (3) Ob hæc ergo carus Ptolemæo Aratus, congressus cum eo, suique edito documento, magis adhuc in animum ejus insinuavit, impetravitque ut is civitatem Sicyonicam sexaginta talentis donaret, de quibus quadraginta statim numerata secum in Peloponnesum retulit, cetera in portiones divisa deinceps rex misit.

b XIV. Magnum fuit profecto, tantam civibus parare pecuniam, cujus exigua portione accepta a regibus alii duces et oratores patrias suas injuriis affecerunt, et servitute premendas illis propinaverunt. Sed majus est quod illa pecunia pacificationem et concordiam inter pauperes et divites constituit, totique populo securitatem et salutem. (2) Admiranda etiam animi moderatio in tanta potentia. Etenim quum ad eum plena potestas esset delata res exsulum dijudicandi, non recepit in se solum id muneris, sed quindecim collegas ascivit, magnoque labore et multis negotiis pertractatis confecit tandem, ut amicitia et concordia inter cives constaret. Eapropter non civitas modo honoribus c eum meritis decoravit, sed et exsules privatim æream columnam posuerunt, his elegis inscriptam:

Gloria ad Herculeas innotuit usque columnas
inclyta virtutis, maxime Arate, tuæ,
et tibi pro patriæ certamina gesta salute,
factaque prudenti maxima consilio.
At nos in patriam te servatore reducti,
cernentes opera fana laresque tua,
hanc statuam grata memores tibi mente dicamus,
virtutis signum justitiæque tuæ:
atque salutiferos inter te, dive, fatemur
insignem superos emeruisse locum.
d Nam libertatem genius legesque salubres
otiaque alma tuus restituit patriæ.

XV. His rebus gestis Aratus invidiam quidem civium gratia suarum actionum avertit; Antigonus autem rex, successum ejus inique ferens, statuit eum omnino aut amicitia devincire et suum facere, aut apud Ptolemæum regem in calumnias adducere. Itaque quum aliis officiis eum, quanquam nonnihil recusantem, affecit, tum Corinthi rem sacram diis faciens, Arato partes Sicyonem misit, inque convivio, multis una cœnantibus, coram omnibus, « Existimabam, inquit, Sicyonium hunc adolescentem liberali in-e genio præditum, ac civium amantem, nihil præterea, at vero jam mihi idoneus judex vitæ rerumque regiarum videtur. Prius enim nos despiciebat, spes suas alibi habens repositas, Ægyptiacasque admirabatur divitias, elephantos et classes, et aulas jactari audiens, nunc, quum intus viderit ista omnia theatricum esse apparatum scenæ inservientem, totum se ad nos convertit. Amplector itaque eum et statui eo in omnibus rebus uti, et ut eum vos pro amico habeatis volo. » (2) Hi sermones ansam invidis malignisque hominibus calumniandi præbuerunt, certatimque epistolas ad

μιλλῶντο ταῖς ἐπιστολαῖς ἀλλήλοις πολλὰ καὶ δυσχερῆ f κατὰ τοῦ Ἀράτου τῷ Πτολεμαίῳ γράφοντες, ὥστε κἀκεῖνον ἐγκαλοῦντα πέμψαι. Ταῖς μὲν οὖν περιμαχήτοις καὶ διαπύροις τοξευομέναις ἔρωσι φιλίαις βασιλέων καὶ τυράννων τοσοῦτον προσῆν φθόνου καὶ κακοηθείας.

XVI. Ὁ δὲ Ἄρατος αἱρεθεὶς στρατηγὸς τὸ πρῶτον ὑπὸ τῶν Ἀχαιῶν τὴν μὲν ἀντιπέρας Λοκρίδα καὶ Καλυδωνίαν ἐπόρθησε, Βοιωτοῖς δὲ μετὰ μυρίων στρατιωτῶν βοηθῶν ὑστέρησε τῆς μάχης ἣν ὑπὸ Αἰτωλῶν
1034 περὶ Χαιρώνειαν ἡττήθησαν, Ἀβοιωκρίτου τε τοῦ a
Βοιωτάρχου καὶ χιλίων σὺν αὐτῷ πεσόντων. (2) Ἐνιαυτῷ δὲ ὕστερον αὖθις στρατηγῶν ἐνίστατο τὴν περὶ τὸν Ἀκροκόρινθον πρᾶξιν, οὐ Σικυωνίων οὐδ' Ἀχαιῶν κηδόμενος, ἀλλὰ κοινήν τινα τῆς Ἑλλάδος ὅλης τυραννίδα, τὴν Μακεδόνων φρουράν, ἐκεῖθεν ἐξελάσαι διανοούμενος. (3) Χάρης μὲν γὰρ ὁ Ἀθηναῖος ἔν τινι μάχῃ πρὸς τοὺς βασιλέως στρατηγοὺς εὐτυχήσας ἔγραψε τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς νενικήκοι τῆς ἐν Μαραθῶνι μάχης ἀδελφήν· ταύτην δὲ τὴν πρᾶξιν οὐκ ἂν ἁμάρτοι τις ἀδελφὴν προσειπὼν τῆς Πελοπίδου τοῦ Θηβαίου καὶ Θρασυβούλου τοῦ Ἀθηναίου τυραννοκτονίας, b πλὴν ὅτι τῷ μὴ πρὸς Ἕλληνας, ἀλλὰ ἐπακτὸν ἀρχὴν γεγονέναι καὶ ἀλλόφυλον αὕτη διήνεγκεν. (4) Ὁ μὲν γὰρ Ἰσθμὸς ἐμφράσσων τὰς θαλάσσας εἰς ταὐτὸ συνάγει τῷ τόπῳ καὶ συνάπτει τὴν ἤπειρον ἡμῶν, ὁ δὲ Ἀκροκόρινθος, ὑψηλὸν ὄρος, ἐκ μέσης ἀναπεφυκὼς τῆς Ἑλλάδος, ὅταν λάβῃ φρουράν, ἐνίσταται καὶ ἀποκόπτει τὴν ἐντὸς Ἰσθμοῦ πᾶσαν ἐπιμιξιῶν τε καὶ παρόδων καὶ στρατειῶν ἐργασίας τε κατὰ θάλατταν καὶ ἕνα κύριον ποιεῖ τὸν ἄρχοντα καὶ κατέχοντα φρουρᾷ τὸ χωρίον, ὥστε μὴ παίζοντα δοκεῖν τὸν νεώτερον Φίλιππον, ἀλλ' ἀληθῶς ἑκάστοτε πέδας τῆς c Ἑλλάδος τὴν Κορινθίων πόλιν προσαγορεύειν.

XVII. Πᾶσι μὲν οὖν περιμάχητος ἦν ὁ τόπος ἀεὶ καὶ βασιλεῦσι καὶ δυνάσταις, ἡ δὲ Ἀντιγόνου σπουδὴ περὶ αὐτὸν οὐδὲν ἀπέλιπε πάθει τῶν ἐμμανεστάτων ἐρώτων, ἀλλ' ὅλος ἀνήρτητο ταῖς φροντίσιν, ὅπως ἀφαιρήσεται δόλῳ τοὺς ἔχοντας, ἐπεὶ φανερῶς ἀνέλπιστος ἦν ἡ ἐπιχείρησις. Ἀλεξάνδρου γάρ, ὑφ' ὃν τὸ χωρίον ἦν, ἀποθανόντος, ὡς λέγεται, φαρμάκοις ὑπ' αὐτοῦ, Νικαίας δὲ τῆς ἐκείνου γυναικὸς ἐπὶ τῶν πραγμάτων γενομένης καὶ φυλαττούσης τὸν Ἀκροκόρινθον, εὐθὺς ὑποπέμπων Δημήτριον τὸν υἱὸν αὐτῇ d καὶ γλυκείας ἐλπίδας ἐνδιδοὺς γάμων βασιλικῶν καὶ συμβιώσεως πρὸς οὐκ ἀηδὲς ἐντυχεῖν γυναικὶ πρεσβυτέρᾳ μειράκιον, αὐτὴν μὲν ᾑρήκει τῷ παιδὶ χρησάμενος ὥσπερ ἄλλῳ τινὶ τῶν δελεασμάτων ἐπ' αὐτῇ, τὸν δὲ τόπον οὐ προϊεμένης, ἀλλ' ἐγκρατῶς φυλαττούσης, ἀμελεῖν προσποιούμενος ἔθυε γάμους αὐτῶν ἐν Κορίνθῳ καὶ θέας ἐπετέλει καὶ πότους συνῆγε καθ' ἡμέραν, ὡς ἄν τις μάλιστα παίζειν καὶ σχολάζειν τὴν διάνοιαν ὑφ' ἡδονῆς καὶ φιλοφροσύνης ἀφεικώς. (2) Ἐπεὶ δὲ καιρὸς ἦν, ᾄδοντος Ἀμοιβέως ἐν τῷ θεάτρῳ, παρέπεμπε τὴν Νίκαιαν αὐτὸς ἐπὶ τὴν θέαν ἐν φορείῳ κεκοσμη- e

Ptolemæum miserunt, gravia Arato et multa crimina objicientes; quo factum est ut rex etiam per literas cum Arato expostularet. Tantum invidiæ atque malitiæ regum tyrannorumque amicitias comitatur, quas tamen plerique appetunt magnoque amoris fervore contrahunt.

XVI. Ceterum Aratus primum Achæorum dux creatus oppositam Locridem et Calydoniam populatus est, Bœotis autem cum decem millibus militum opem ferens, tempus pugnæ neglexit, qua victi ab Ætolis Bœoti apud Chæroneam Abœcritum Bœotarchum et mille viros amiserunt. (2) Anno insequenti rursum prætor creatus, de recipiendo Acrocorintho consilium agitavit, non tam Sicyoniorum aut Achæorum ea re commodo consulens, quam Macedonicum præsidium, communem totius Græciæ tyrannidem, inde expellere cupiens. (3) Chares quidem Atheniensis, ducibus regis quodam prœlio superatis, ad populum Atheniensem scripsit victoriam se peperisse Marathoniæ sororem. At hanc Arati actionem haud injuria quispiam Pelopidæ Thebani et Thrasybuli Atheniensis, qui tyrannos necarunt, facinoribus germanam dixerit, nisi quod hoc discrimen est, quod ille non adversus Græcum, sed alienigenam et asciticium dominum rem gessit. (4) Isthmus duo maria dirimens in unum locum conducit et quasi conglutinat continentem nostrum; Acrocorinthus autem mons sublimis est, ex media enatus Græcia, cui si imponatur præsidium, omne commercium, omnem transitum, expeditionem et negotiationes terrestres atque maritimas eorum qui intra Isthmum sunt, cum ceteis Græcis impedire ac prohibere potest, dominusque totius Græciæ fit, qui Acrocorinthum præsidio tenet, ut non pro joco, sed serio potius habendum sit Philippi posterioris dictum, Corinthum compedes Græciæ appellantis.

XVII. Itaque ejus potiundi omnibus studium fuit regibus atque principibus, Antigonus autem adeo nihil sibi reliquum fecit, dum dolo (vi enim et palam frustra videbatur conaturus) eum domino suo eriperet, ut ea cupiditas nihil ab insanissimo amore abfuerit. Etenim quum Alexandrum, qui Acrocorinthum possidebat, veneno, ut aiunt, necasset, Nicæa autem uxor hujus res administraret arcemque custodiret: statim filium suum Demetrium, adolescentem haud ineptum ad congrediendum cum provectæ aliquantum ætatis muliere, submisit, dulcemque ei spem nuptiarum cum eo injecit, filioque tanquam esca usus, mulierem ita cepit. Quæ quum Acrocorinthum ne sic quidem dimitteret, sed accurate etiamnum custodiret, simulans id sibi curæ non esse, Corinthi nuptias Nicææ cum Demetrio celebrat, spectacula et quotidianas compotationes exhibet, tanquam qui totum se voluptatibus dedisset, animumque ad jocos et otium remisisset. (2) Ut tempus fuit, cantante in theatro carmen Amœbeo, ipse Nicæam ad spectaculum vehentem lectica regio more ornata comi-

μένῳ βασιλικῶς ἀγαλλομένην τε τῇ τιμῇ καὶ πορρωτάτω τοῦ μέλλοντος οὖσαν. Γενόμενος δὲ τῆς ὁδοῦ κατὰ τὴν ἐκτροπὴν τὴν ἄνω φέρουσαν, ἐκείνην μὲν ἐκέλευσε προάγειν εἰς τὸ θέατρον, αὐτὸς δὲ χαίρειν μὲν Ἀμοιβέα, χαίρειν δὲ τοὺς γάμους ἐάσας ἀνῄει πρὸς τὸν Ἀκροκόρινθον ἁμιλλώμενος παρ' ἡλικίαν· καὶ κεκλεισμένην τὴν πύλην εὑρὼν ἔκοπτε τῇ βακτηρίᾳ κελεύων ἀνοίγειν. Οἱ δ' ἔνδον ἀνέῳξαν καταπλαγέντες. (3) Οὕτω δὲ τοῦ τόπου κρατήσας οὐ κατέσχεν αὑτὸν, ἀλλ' ἔπινε παίζων ὑπὸ χαρᾶς ἐν τοῖς στενωποῖς καὶ δι' ἀγορᾶς αὐλητρίδας ἔχων καὶ στεφάνους περικείμε- f νος, ἀνὴρ γέρων καὶ τηλικαύταις πραγμάτων μεταβολαῖς κεχρημένος, ἐκώμαζε δεξιούμενος καὶ προσαγορεύων τοὺς ἀπαντῶντας. Οὕτως ἄρα καὶ λύπης καὶ φόβου μᾶλλον ἐξίστησι καὶ σάλον παρέχει τῇ ψυχῇ τὸ χαίρειν ἄνευ λογισμοῦ παραγινόμενον.

XVIII. Ἀλλὰ γὰρ Ἀντίγονος μὲν, ὥσπερ εἴρηται, κτησάμενος τὸν Ἀκροκόρινθον ἐφύλαττε μετὰ τῶν ἄλλων, οἷς ἐπίστευε μάλιστα, καὶ Περσαῖον ἐπιστήσας
1035 ἄρχοντα τὸν φιλόσοφον. Ὁ δὲ Ἄρατος ἔτι μὲν καὶ a Ἀλεξάνδρου ζῶντος ἐπεχείρησε τῇ πράξει, γενομένης δὲ συμμαχίας τοῖς Ἀχαιοῖς πρὸς τὸν Ἀλέξανδρον, ἐπαύσατο. (2) Τότε δὲ αὖθις ἐξ ὑπαρχῆς ἑτέραν ἔλαβε τῆς πράξεως ὑπόθεσιν τοιαύτην. Ἦσαν ἐν Κορίνθῳ τέσσαρες ἀδελφοὶ, Σύροι τὸ γένος, ὧν εἷς ὄνομα Διοκλῆς ἐν τῷ φρουρίῳ μισθοφορῶν διέτριβεν. Οἱ δὲ τρεῖς κλέψαντες βασιλικὸν χρυσίον ἦλθον εἰς Σικυῶνα πρὸς Αἰγίαν τινὰ τραπεζίτην, ᾧ διὰ τὴν ἐργασίαν ὁ Ἄρατος ἐχρῆτο. Καὶ μέρος μὲν εὐθὺς διέθεντο τοῦ χρυσίου, τὸ δὲ λοιπὸν εἷς αὐτῶν Ἐργῖνος ἐπιφοιτῶν ἡσυχῇ κατήλλαττεν. (3) Ἐκ δὲ τούτου γενόμενος τῷ Αἰγίᾳ συνήθης καὶ b προαχθεὶς εἰς λόγον ὑπ' αὐτοῦ περὶ τῆς φρουρᾶς, ἔφη πρὸς τὸν ἀδελφὸν ἀναβαίνων πρὸς τὸ κρημνῶδες ἐντομὴν καθεωρακέναι πλαγίαν ἄγουσαν ᾗ χθαμαλώτατον ἐπῳκοδόμηται τῷ φρουρίῳ τὸ τεῖχος. Προσπαίξαντος δὲ αὐτῷ τοῦ Αἰγίου καὶ εἰπόντος, « Εἶτα, ὦ βέλτιστε, διὰ μικρὸν οὕτω χρυσίον ἀνασπᾶτε τὰς βασιλικὰς φράξεις δυνάμενοι μίαν ὥραν πολλῶν ἀποδόσθαι χρημάτων; ἢ γὰρ οὐχὶ καὶ τοιχωρύχοις καὶ προδόταις ἁλοῦσιν ἅπαξ ἀποθανεῖν ὑπάρχει; » γελάσας ὁ Ἐργῖνος τότε μὲν ὡμολόγησεν ἀποπειρᾶσθαι τοῦ Διοκλέους, τοῖς γὰρ ἄλλοις ἀδελφοῖς μὴ πάνυ τι πιστεύειν, ὀλίγαις δὲ c ὕστερον ἡμέραις ἐπανελθὼν συντίθεται τὸν Ἄρατον ἄξειν πρὸς τὸ τεῖχος, ὅπου τὸ ὕψος οὐ μεῖζον ἦν πεντεκαίδεκα ποδῶν, καὶ τἄλλα συμπράξειν μετὰ τοῦ Διοκλέους.

XIX. Ὁ δὲ Ἄρατος ἐκείνοις μὲν ἑξήκοντα τάλαντα δώσειν κατορθώσας ὡμολόγησεν· ἢν δὲ ἀποτύχῃ, σωθῇ δὲ μετ' ἐκείνων, οἰκίαν ἑκατέρῳ καὶ τάλαντον. Ἐπεὶ δὲ ἔδει παρὰ τῷ Αἰγίᾳ τὰ ἑξήκοντα τάλαντα κεῖσθαι τοῖς περὶ τὸν Ἐργῖνον, ὁ δὲ Ἄρατος οὔτε αὐτὸς εἶχεν οὔτε ἐβούλετο δανειζόμενος αἴσθησιν ἑτέρῳ τῆς πράξεως παρασχεῖν, λαβὼν τῶν ἐκπωμάτων τὰ πολλὰ καὶ τὰ χρυσία τῆς γυναικὸς ὑπέθηκε τῷ Αἰγίᾳ πρὸς τὸ ἀργύριον.

tatus est, gaudentem honore, nihilque minus, quam quod agebatur, suspicantem. Quum autem in via ad diverticulum venissent, qua semita sursum ducit, Antigonus eam in theatrum provehi jubet, ipse valere jussu cantore et nuptiis, ad Acrocorinthum ascendit, præter ætatem corpore contento; ibi quum portam clausam offendisset, scipione pulsat, sibique aperiri jubet, et qui intus erant, obstupefacti aperuerunt. (3) Ita potitus arce, non continuit se quin gaudio gestiens biberet in angiportis, et per forum comessabundus incederet, mulierculas secum fistula canentes trahens sertaque gerens, obviisque dextram porrigeret et eos compellaret, senex homo et tantas rerum expertus mutationes. Nimirum enim gaudium absque ratione et consilio animo accidens magis eum perturbat æstusque afficit, quam vel dolor vel metus.

XVIII. Antigonus ergo Acrocorintho ita ut dixi potitus, iis quibus maxime fidebat custodiendum tradidit, præsidioque Persæum philosophum præfecit; Aratus autem, quum vivente etiamnum Alexandro potiundi Acrocorinthi consilia agitasset, Achæis cum eo fœdus paciscentibus a proposito destiterat. (2) Tunc aliam tentandæ rei occasionem talem nactus est. Erant Corinthi quattuor fratres, Syri natione, quorum unus, nomine Diocles, in arce miles mercenarius erat, tres autem reliqui aurum regis suffurati, Sicyonem ad Ægiam argentarium detulerunt, quo propter negotia pecuniaria utebatur Aratus. Apud eum partem auri statim vendiderunt, reliquum unus ipsorum Erginus paulatim accedens pecunia commutabat. (3) Atque is ita familiaris Ægiæ factus, ab ipsoque deductus ad mentionem præsidii in arce collocati, retulit se, quum ad fratrem in arcem per præcipitia ascendisset, animadvertisse rupturam quandam montis obliquam eo perducere, qua humillima muri, qui arcem cingit, pars ædificata esset. Per jocum tum Ægiæ dicenti : Siccine ergo, inepte homo, parvuli auri causa regia claustra reseratis, quum liceat vobis unius horæ maximum reportare præmium? an nescitis murorum perfossoribus ac proditoribus, ubi semel deprehens fuerint, moriendum esse? Ridens ad hæc Erginus promisit se ea de re animum Dioclis (nam ceteris fratribus se fidem non admodum habere) tentaturum. Paucis post diebus reversus, pollicetur Arato, se eum eo ad murum perducturum, ubi quindecim pedibus non sit altior, et in tota re conficienda se una cum Diocle ei auxilio futurum.

XIX. Vicissim Aratus, si negotium successisset, sexaginta iis talenta daturum stipulatus est, sin secus caderet, una tamen cum eis incolumis evaderet, utrique domum et talentum. Quum autem ista sexaginta talenta Ergino deberent apud Ægiam deponi et Aratus tantum pecuniæ non haberet, neque mutuum sumendo cuiquam suspicionem sui instituti præbere vellet, pleraque pocula et aureum uxoris mundum Ægiæ ejus pecuniæ causa attulit et oppignoravit.

d (2) Οὕτω γὰρ ἐπῆρτο τῇ ψυχῇ καὶ τοσοῦτον ἔρωτα τῶν καλῶν πράξεων εἶχεν, ὥστε τὸν Φωκίωνα καὶ τὸν Ἐπαμινώνδαν ἐπιστάμενος Ἑλλήνων δικαιοτάτους καὶ κρατίστους γεγονέναι δοκοῦντας ἐπὶ τῷ διώσασθαι δωρεὰς μεγάλας καὶ μὴ προέσθαι χρημάτων τὸ καλὸν, αὐτὸς εἰς ταῦτα δαπανᾶσθαι κρύφα καὶ προεισφέρειν, ἐν οἷς ἐκινδύνευε μόνος ὑπὲρ πάντων οὐδὲ εἰδότων τὰ πραττόμενα, ἡρεῖτο. (3) Τίς γὰρ οὐκ ἂν θαυμάσειε καὶ συναγωνίσαιτο ἔτι νῦν τῇ μεγαλοψυχίᾳ τοῦ ἀνδρὸς, ὠνουμένου χρημάτων τοσούτων κίνδυνον τηλικοῦτον καὶ τὰ τιμιώτατα δοκοῦντα τῶν κτημάτων ὑποτιθέντος, ὅπως παρεισαχθεὶς νυκτὸς εἰς τοὺς πολεμίους διαγωνίσηται **e** περὶ τῆς ψυχῆς, ἐνέχυρον λαβὼν τὴν ἐλπίδα τοῦ καλοῦ παρ' αὐτῶν, ἄλλο δὲ οὐδέν;

XX. Οὖσαν δὲ καθ' αὑτὴν ἐπισφαλῆ τὴν πρᾶξιν ἐπισφαλεστέραν ἐποίησεν ἁμαρτία τις εὐθὺς ἐν ἀρχῇ συμβᾶσα δι' ἄγνοιαν. Ὁ γὰρ οἰκέτης τοῦ Ἀράτου Τέχνων ἐπέμφθη μὲν ὡς μετὰ τοῦ Διοκλέους κατασκεψόμενος τὸ τεῖχος, οὔπω δ' ἦν τῷ Διοκλεῖ πρότερον ἐντετυχηκὼς κατ' ὄψιν, ἀλλὰ τὴν μορφὴν αὐτοῦ καὶ τὸ εἶδος δοκῶν κατέχειν ἐξ ὧν ὁ Ἐργῖνος ἐπεσήμηνεν οὐλοκόμην καὶ μελάγχρουν καὶ ἀγένειον, ἐλθὼν ὅπου συνετέτακτο, τὸν Ἐργῖνον ὡς ἀφιξόμενον μετὰ τοῦ **f** Διοκλέους ἀνέμενε πρὸ τῆς πόλεως πρὸ τοῦ καλουμένου Ὄρνιθος. Ἐν δὲ τούτῳ πρῶτος ἀδελφὸς Ἐργίνου καὶ Διοκλέους ὄνομα Διονύσιος, οὐ συνειδὼς τὴν πρᾶξιν οὐδὲ κοινωνῶν, ὅμοιος δὲ τῷ Διοκλεῖ, προσῄει κατὰ τύχην. (2) Ὁ δὲ Τέχνων πρὸς τὰ σημεῖα τῆς μορφῆς τῇ ὁμοιότητι κινηθεὶς ἠρώτησε τὸν ἄνθρωπον, εἴ τι
1036 συμβόλαιον αὐτοῦ πρὸς Ἐργῖνον εἴη. **a** Φήσαντος δὲ ἀδελφὸν εἶναι, παντάπασιν ὁ Τέχνων ἐπείσθη τῷ Διοκλεῖ διαλέγεσθαι· καὶ μήτε τοὔνομα πυθόμενος μήτ' ἄλλο μηδὲν προσμείνας τεκμήριον ἐμβάλλει τε τὴν δεξιὰν αὐτῷ καὶ περὶ τῶν συγκειμένων πρὸς τὸν Ἐργῖνον ἐλάλει κἀκεῖνον ἀνέκρινεν. Ὁ δὲ δεξάμενος αὐτοῦ τὴν ἁμαρτίαν πανούργως ὡμολόγει τε πάντα καὶ πρὸς τὴν πόλιν ἀναστρέψας ὑπῆγεν ἀνυπόπτως διαλεγόμενος. (3) Ἤδη δὲ πλησίον ὄντος αὐτοῦ καὶ μέλλοντος ὅσον οὔπω τὸν Τέχνωνα διαλαμβάνειν, ἀπὸ τύχης αὖ πάλιν ὁ Ἐργῖνος αὐτοῖς ἀπήντησεν, αἰσθόμενος δὲ τὴν ἀπάτην καὶ τὸν κίνδυνον διὰ νεύματος ἐδήλωσε τῷ Τέχνωνι φεύγειν· καὶ ἀποπηδήσαντες ἀμφότεροι δρόμῳ **b** πρὸς τὸν Ἄρατον ἀπεσώθησαν. (4) Οὐ μὴν ἀπέκαμε ταῖς ἐλπίσιν ἐκεῖνος, ἀλλ' ἔπεμψεν εὐθὺς τὸν Ἐργῖνον χρυσίον τε τῷ Διονυσίῳ κομίζοντα καὶ δεησόμενον αὐτοῦ σιωπᾶν. Ὁ δὲ καὶ τοῦτο ἐποίησε καὶ τὸν Διονύσιον ἄγων μεθ' ἑαυτοῦ πρὸς τὸν Ἄρατον ἦλθεν. Ἐλθόντα δὲ αὐτὸν οὐκέτι διῆκαν, ἀλλὰ δήσαντες ἐφύλαττον ἐν οἰκίσκῳ κατακεκλεισμένον· αὐτοὶ δὲ παρεσκευάζοντο πρὸς τὴν ἐπίθεσιν.

XXI. Ἐπεὶ δὲ ἦν ἕτοιμα πάντα, τὴν μὲν ἄλλην δύναμιν ἐκέλευσεν ἐπὶ τῶν ὅπλων νυκτερεύειν, ἀναλαβὼν δὲ λογάδας τετρακοσίους οὐδ' αὐτοὺς εἰδότας τὰ **c** πραττόμενα, πλὴν ὀλίγων, ἦγε πρὸς τὰς πύλας παρὰ

(2) Tanta erat hominis magnanimitas tantaque honestarum actionum cupiditas, ut sciens Phocionem et Epaminondam, Græcorum justissimos et optimos propterea creditos, quod magna dona rejecissent neque pecuniæ gratia virtutem prodidissent, ipse sibi in eam rem impendenda occulte sua duxerit, in qua pro universis et quidem id ignorantibus, se in periculum mitteret. (3) Quis enim non admiretur et quasi adjuvare cupiat magnanimitatem hominis, qui tantum periculum tanta vi pecuniæ sibi paraverit, et quæ pretiosissima in re domestica judicantur pignori opposuerit, ut noctu in medios hostes clam deductus, pro vita sua dimicaret, neque quicquam ex iis nisi spem præclari facinoris acciperet pignori?

XX. Periculosam per se rem, periculosiorem error fecit ab initio per ignorationem admissus. Famulum suum Aratus, nomine Technonem, misit, ut una cum Diocle murum specularetur. Is autem Technon de facie Dioclem non noverat, formam tamen ejus videbatur percepisse, Ergino referente, crispo esse eum capillo, nigrum et imberbem. Qui quum ante urbem in loco, qui Ornis dicitur, uti compositum erat, Erginum cum Diocle se conventuros exspectaret, forte tum Dionysius maximus natu inter fratres Dioclis, cique forma similis, sed neque socius neque conscius omnino proditionis, eo venit. (2) Motus formæ similitudine Technon percontatur hominem, ecquid ei rei cum Ergino esset, quumque is fratrem ejus se esse responderet, omnino pro certo habens se cum Diocle colloqui, neque nomine ejus quæsito, neque ullo alio indicio exspectato, statim dextram ei injicit, ea quæ sibi cum Ergino erant composita refert, vicissimque sententiam ejus exquirit. At Dionysius errorem ejus dissimulans astute, omnibus annuens, nihil mali suspicantem inter colloquendum retro ad urbem abducit. (3) Quum jam prope eo deventum esset, ut comprehenderetur Technon, Erginus iterum bona quadam fortuna ei occurrit, erroremque et periculum sentiens, Technoni ut fuga se eriperet nutu indicat, atque ita uterque cursu se proripuit et ad Aratum evasit. (4) Neque vero Aratus animum propterea despondit, sed statim Erginum misit, qui aurum Dionysio afferret et oraret uti taceret. Idque et fecit Erginus et Dionysium secum ad Aratum adduxit, quem illi nequaquam dimiserunt, sed vinctum in conclavi quodam asservarunt, ipsi ad rem gerendam se paraverunt.

XXI. Omnibus jam instructis, ceteros in armis noctem exigere Aratus jussit, ipse cum quadringentis delectis militibus, quorum pauci quid rei gereretur noverant, juxta fanum Junonis ad urbem duxit. Erat tum maxime adulta

τὸ Ἡραῖον. Ἦν δὲ τοῦ ἔτους ἡ περὶ θέρος ἀκμάζον ὥρα, τοῦ δὲ μηνὸς πανσέληνος, ἡ δὲ νὺξ ἀνέφελος καὶ καταφανής, ὥστε καὶ φόβον τὰ ὅπλα παρέχειν ἀντιλάμποντα πρὸς τὴν σελήνην, μὴ τοὺς φύλακας οὐ λάθωσιν. Ἤδη δὲ τῶν πρώτων ἐγγὺς ὄντων, ἀπὸ θαλάσσης ἀνέδραμε νέφη καὶ κατέσχε τήν τε πόλιν αὐτὴν καὶ τὸν ἔξω τόπον ἐπίσκιον γενόμενον. Ἐνταῦθα δὲ οἱ μὲν ἄλλοι συγκαθίσαντες ὑπελύοντο τὰς κρηπῖδας· οὔτε γὰρ ψόφον ποιοῦσι πολὺν οὔτ' ὀλισθήματα λαμβάνουσιν οἱ γυμνοῖς τοῖς ποσὶν ἀντιλαμβανόμενοι τῶν κλιμάκων· (2) ὁ δὲ Ἐργῖνος ἑπτὰ λαβὼν νεανίσκους d ἐσταλμένους ὁδοιπορικῶς ἔλαθε τῇ πύλῃ προσμίξας. Καὶ τὸν πυλωρὸν ἀποκτιννύουσι καὶ τοὺς μετ' αὐτοῦ φύλακας. Ἅμα δὲ αἵ τε κλίμακες προσετίθεντο καὶ κατὰ σπουδὴν ὁ Ἄρατος ὑπερβιβάσας ἑκατὸν ἄνδρας, τοὺς δ' ἄλλους ἕπεσθαι κελεύσας ὡς ἂν δύνωνται τάχιστα, τὰς κλίμακας ἀναρπάσας ἐχώρει διὰ τῆς πόλεως μετὰ τῶν ἑκατὸν ἐπὶ τὴν ἄκραν ἤδη περιχαρὴς διὰ τὸ λανθάνειν ὡς κατορθῶν. (3) Καί πως ἔτι πρόσωθεν αὐτοῖς ἀπήντα σὺν φωτὶ φυλακὴ τεσσάρων ἀνδρῶν οὐ καθορωμένοις· ἔτι γὰρ ἦσαν ἐν τῷ σκιαζομένῳ τῆς σελήνης· ἐκείνους δὲ προσιόντας ἐξ ἐναντίας καθορῶσι. e Μικρὸν οὖν ὑποστείλας τειχίοις τισὶ καὶ οἰκοπέδοις ἐνέδραν ἐπὶ τοὺς ἄνδρας καθίζει. Καὶ τρεῖς μὲν αὐτῶν ἐμπεσόντες ἀποθνήσκουσιν, ὁ δὲ τέταρτος πληγεὶς ξίφει τὴν κεφαλὴν ἔφυγε βοῶν ἔνδον εἶναι τοὺς πολεμίους. (4) Καὶ μετὰ μικρὸν αἵ τε σάλπιγγες ὑπεσήμαινον ἥ τε πόλις ἐξανίστατο πρὸς τὰ γινόμενα, πλήρεις τε ἦσαν οἵ τε στενωποὶ διαθεόντων καὶ φῶτα πολλά, τὰ μὲν κάτωθεν ἤδη, τὰ δὲ ἄνωθεν ἀπὸ τῆς ἄκρας περιέλαμπε καὶ κραυγὴ συνερρήγνυτο πανταχόθεν ἄσημος.

XXII. Ἐν τούτῳ δὲ ὁ μὲν Ἄρατος ἐμφὺς τῇ πορείᾳ παρὰ τὸ κρημνῶδες ἡμιλλᾶτο, βραδέως καὶ ταλαιπώρως τὸ πρῶτον, οὐ κατακρατῶν, ἀλλ' ἀποπλανώμενος, τοῦ τρίβου παντάπασιν ἐνδεδυκότος καὶ περισκιαζομέ- f νου ταῖς τραχύτησι καὶ διὰ τῶν πολλῶν ἑλιγμῶν καὶ παραβολῶν περαίνοντος πρὸς τὸ τεῖχος. Εἶτα θαυμάσιον οἷον ἡ σελήνη λέγεται διαστέλλουσα τὰ νέφη καὶ ὑπολάμπουσα τῆς ὁδοῦ τὸ χαλεπώτατον σαφηνίζειν, ἕως ἥψατο τοῦ τείχους καθ' ὃν ἔδει τόπον· ἐκεῖ δὲ πάλιν συνεσκίασε καὶ ἀπέκρυψε νεφῶν συνελθόντων. (2) Οἱ δὲ περὶ τὰς πύλας ἔξω περὶ τὸ Ἡραῖον ἀπολειφθέντες τοῦ Ἀράτου στρατιῶται τριακόσιοι τὸ πλῆθος ὄντες, 1037 ὡς ποτε παρεισέπεσον εἰς τὴν πόλιν θορύβου τε παντο- a δαποῦ καὶ φώτων γέμουσαν, οὐ δυνηθέντες ἐξανευρεῖν τὸν αὐτὸν τρίβον οὐδ' εἰς ἴχνος ἐμβῆναι τῆς ἐκείνων πορείας, ἔπτηξαν ἀθρόοι πρός τινι παλινσκίῳ λαγόνι τοῦ κρημνοῦ συστείλαντες ἑαυτοὺς καὶ διεκαρτέρουν ἐνταῦθα περιπαθοῦντες καὶ δυσανασχετοῦντες. Βαλλομένων γὰρ ἀπὸ τῆς ἄκρας ἤδη τῶν περὶ τὸν Ἄρατον καὶ μαχομένων, ἀλαλαγμὸς ἐναγώνιος ἐχώρει κάτω καὶ κραυγὴ περιήχει διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν συγκεχυμένη καὶ ἄδηλος, ὅθεν εἴληφε τὴν ἀρχήν. (3) Διαπορούντων δὲ αὐτῶν, ἐφ' ὅ τι χρὴ τραπέσθαι μέρος, Ἀρχέλαος

æstas et plenilunium, nox autem perspicua et a nebulis pura, ita ut metuerent sibi, ne armorum ad lunam resplendentium fulgor custodibus ipsos proderet. Quum primi jam appropinquassent urbi, nubes a mari elatæ urbem texerunt et loca extra eam propinqua obumbrarunt. Ibi tum reliqui humi desidentes, calceos exuerunt, quod nudi pedes neque magnum strepitum edunt, neque facile labuntur scalis applicati. (2) Erginus cum septem adolescentibus viatorum more vestitis ad portam occulte pervenit, portæque custodem una cum reliquis excubitoribus obtruncat. Simul et scalæ admotæ sunt et celeriter Aratus centum viros per eas in urbem extulit, ac reliquis ita uti possent sequi jussis celeriter, sublatis scalis, per urbem cum centum istis ad arcem contendit, gaudens se latere et rem prospero succedere existimans. (3) Paululum progressis quattuor occurrunt vigiles cum facibus; ab iis non conspecti, quippe in umbra lunæ adhuc erant, sibi obviam venire eos cernentes, abdunt se post muros quosdam et rudera in insidias, atque ita impetum facientes tres de iis necant, quartus gladio caput ictus, profugit vociferans hostes in urbe esse. (4) Paullo post et tubis signum est datum et urbs tota excitata, omnesque angiportus discurrentibus repleti hominibus, multaque lumina partim per urbem, partim ex arce eluxerunt, ac clamor undique promiscuus incertusque exauditus.

XXII. Interim Aratus viæ intentus per præcipitia ad arcem contendens, initio lente et magno cum labore, quum callem non teneret, sed ab eo deflexisset, quod is undique inter salebras clivorum latebat iisque obumbrabatur, atque multis flexionibus ambagibusque ad murum pertinebat. Mirum vero dictu, ut luna tum fertur nubes discutiens et sublucens viæ difficultatem expedivisse, quumque ad eam muri partem, quam petierat, pervenisset Aratus, iterum coactas nubes subivisse, umbraque eum occultasse. (2) Milites autem, quos ad portam et fanum Junonis relictos ab Arato dixi, trecentos numero, quum et ipsi in urbem irrupissent tumultu promiscuo repletam facibusque collucentem, atque eundem callem invenire suorumque vestigia assequi nequirent confertim in umbrosum quendam rupis anfractum se abdiderunt, ibique magna cum animi ægritudine sese continuerunt. Quippe fremitus et clamor, qualis exaudiri in certaminibus talibus solet, ad ipsos usque ab arce pervadebat, quum Aratus et ejus manus jam desuper ab arce telis impeterentur atque pugnarent, et vox circumsonabat eos a montibus refracta confusaque, et de qua unde ederetur non constabat. (3) Dubitantibus et quonam se verterent incertis, Archelaus, regiorum dux, cum magna militum ca-

ὁ τῶν βασιλικῶν ἡγεμὼν στρατιώτας ἔχων πολλοὺς μετὰ κραυγῆς ἀνέβαινε καὶ σαλπίγγων ἐπιφερόμενος τοῖς περὶ τὸν Ἄρατον καὶ παρήλλαττε τοὺς τριακοσίους. Οἱ δὲ ὥσπερ ἐξ ἐνέδρας ἀναστάντες ἐμβάλλουσιν αὐτῷ καὶ διαφθείρουσιν οἷς ἐπέθεντο πρώτοις, τοὺς δὲ ἄλλους καὶ τὸν Ἀρχέλαον φοβήσαντες ἐτρέψαντο καὶ κατεδίωξαν ἄχρι τοῦ σκεδασθῆναι περὶ τὴν πόλιν διαλυθέντας. (4) Ἄρτι δὲ τούτων νενικηκότων, Ἐργῖνος ἀπὸ τῶν ἄνω μαχομένων ἦλθεν ἀγγέλλων συμπεπλέχθαι τοῖς πολεμίοις τὸν Ἄρατον ἀμυνομένοις εὐρώστως καὶ μέγαν ἀγῶνα περὶ αὐτὸ τὸ τεῖχος εἶναι καὶ τάχους δεῖν τῆς βοηθείας. Οἱ δὲ εὐθὺς ἐκέλευον ἡγεῖσθαι· καὶ προσ- c βαίνοντες ἅμα φωνῇ διεσήμαινον ἑαυτοὺς ἐπιθαῤῥύνοντες τοὺς φίλους· ἥ τε πανσέληνος ἀπέφαινε τὰ ὅπλα πλείονα φαινόμενα τοῖς πολεμίοις διὰ τὸ μῆκος τῆς πορείας καὶ τὸ τῆς νυκτὸς ἠχῶδες τὸν ἀλαλαγμὸν ἀπὸ πολλαπλασιόνων ἢ τοσούτων ἐποίει δοκεῖν φέρεσθαι. (5) Τέλος δὲ συνερείσαντες ἐξωθοῦσι τοὺς πολεμίους καὶ καθυπέρτεροι τῆς ἄκρας ἦσαν καὶ τὸ φρούριον εἶχον, ἡμέρας ἤδη διαυγούσης, ὅ τε ἥλιος εὐθὺς ἐπέλαμπε τῷ ἔργῳ καὶ παρῆν ἐκ Σικυῶνος ἡ λοιπὴ δύναμις τῷ Ἀράτῳ, δεχομένων κατὰ πύλας τῶν Κορινθίων προθύμως καὶ τοὺς βασιλικοὺς συλλαμβανόντων. d

XXIII. Ἐπεὶ δὲ ἀσφαλῶς ἐδόκει πάντα ἔχειν, κατέβαινεν εἰς τὸ θέατρον ἀπὸ τῆς ἄκρας, πλήθους ἀπείρου συῤῥέοντος ἐπιθυμίᾳ τῆς τε ὄψεως αὐτοῦ καὶ τῶν λόγων, οἷς ἔμελλε χρῆσθαι πρὸς τοὺς Κορινθίους. Ἐπιστήσας δὲ ταῖς παρόδοις ἑκατέρωθεν τοὺς Ἀχαιούς, αὐτὸς ἀπὸ τῆς σκηνῆς εἰς μέσον προῆλθε τεθωρακισμένος καὶ τῷ προσώπῳ διὰ τὸν κόπον καὶ τὴν ἀγρυπνίαν ἠλλοιωμένος, ὥστε τῆς ψυχῆς τὸ γαυρούμενον καὶ χαῖρον ὑπὸ τῆς περὶ τὸ σῶμα βαρύτητος καταχρατεῖσθαι. (2) Τῶν δὲ ἀνθρώπων ἅμα τῷ προελθεῖν αὐτὸν ἐκχυθέντων ταῖς φιλοφροσύναις, μεταλαβὼν εἰς τὴν δεξιὰν τὸ e δόρυ καὶ τὸ γόνυ καὶ τὸ σῶμα τῇ ῥοπῇ μικρὸν ἐγκλίνας καὶ ἀπερεισάμενος εἱστήκει πολὺν χρόνον σιωπῇ δεχόμενος αὐτῶν τοὺς κρότους καὶ τὰς ἐπιβοήσεις, ἐπαινούντων μὲν τὴν ἀρετήν, ζηλούντων δὲ τὴν τύχην. Ὡς δὲ ἐπαύσαντο καὶ κατέστησαν, συναγαγὼν ἑαυτὸν διεξῆλθε λόγον ὑπὲρ τῶν Ἀχαιῶν τῇ πράξει πρέποντα, καὶ συνέπεισε τοὺς Κορινθίους Ἀχαιοὺς γενέσθαι καὶ τῶν πυλῶν τὰς κλεῖς ἀπέδωκε τότε πρῶτον ἀπὸ τῶν Φιλιππικῶν καιρῶν ὑπ' ἐκείνοις γενομένας. (3) Τῶν δὲ Ἀντιγόνου στρατηγῶν Ἀρχέλαον μὲν ἀφῆκεν ὑποχείριον γενόμε- f νον, Θεόφραστον δὲ ἀνεῖλεν οὐ βουλόμενον ἀπαλλάττεσθαι· Περσαῖος δὲ τῆς ἄκρας ἁλισκομένης εἰς Κεγχρεὰς διεξέπεσεν. Ὕστερον δὲ λέγεται σχολάζων πρὸς τὸν εἰπόντα μόνον αὐτῷ δοκεῖν στρατηγὸν εἶναι τὸν σοφόν, « Ἀλλὰ νὴ τοὺς θεούς, φάναι, τοῦτο μάλιστα κἀμοί ποτε τῶν Ζήνωνος ἤρεσκε δογμάτων· νῦν δὲ μεταβάλλομαι νουθετηθεὶς ὑπὸ τοῦ Σικυωνίου νεανίου. » Ταῦτα μὲν περὶ Περσαίου πλείονες ἱστοροῦσιν.

XXIV. Ὁ δὲ Ἄρατος εὐθὺς τό τε Ἡραῖον ὑφ' ἑαυτῷ
1038 καὶ τὸ Λέχαιον ἐποιήσατο· καὶ νεῶν μὲν εἰκοσιπέντε a

terva tubisque et vociferatione eodem ascendit, contra Aratum tendens, ipsosque præterit. In eum illi veluti ex insidiis coorti impetum faciunt, primisque stratis, ceteros et Archelaum perterrefactos in fugam conjiciunt, ac tantisper instant, dum ii apud urbem dissipati dilaberentur. (4) Recenti huic victoriæ Erginus a pugnantibus in rupe supervenit, annuntians Aratum cum hostibus acriter repugnantibus manum conseruisse, magnumque apud muros certamen esse et celeriter subvenire oportere. Statim duci se jusserunt, interque eumdum clamore socios confirmarunt, auxilio se eis venire indicantes, arma etiam ad plenam lunam refulgentia, plura hostibus ob agminis longitudinem videbantur et vociferatio per noctem resonans a pluribus quam erat edi putabatur. (5) Tandem junctis viribus facto impetu hostes loco pellunt, arceque superiores evadunt, eamque jam albente cœlo occupant. Sol statim confecto negotio illuxit, simulque Sicyone profecta reliqua pars copiarum aderat, portis eos accipientibus prompte Corinthiis et regios comprehendentibus.

XXIII. Quum tuta jam viderentur omnia, ab arce in theatrum descendit, immensa confluente multitudine hominum, partim conspectum ejus, partim orationem, qua compellaturus erat Corinthios, desiderantium. Ab utraque parte transitus constitutis Achæis, ipse e scena in medium progressus est, thoracem indutus, vultuque ita ob laborem et vigilias mutato ut lætitiam ejus exsultationemque corporis defatigati gravitas occultaret. (2) Quum officii causa homines effuse prodeunte ipso accurrerent, hasta in dextram manum sumpta, genu corporeque nonnihil ea suffulto, diu tacitus stetit, applausus eorum et acclamationes excipiens, virtutem laudantium ejus, et fortunam prædicantium. Ut finem fecerunt silentiumque tumultu composito exstitit, atque ipse sese collegit, orationem de Achæis rei gestæ consentaneam habuit, Corinthiisque persuasit, uti se Achæis adjungerent clavesque eis portarum reddidit, tunc primum a Philippi ætate in eorum potestatem reversas. (3) De Antigoni ducibus Archelaum quum cepisset, dimisit, Theophrastum autem discedere nolentem necavit; Persæus arce capta Cenchreas perfugerat. Is postea temporis fertur in otio degens cuidam dicenti, sibi solum sapientem videri ducem esse, respondisse : « Per deos mihi quoque aliquando ex omnibus « Zenonis decretis id maxime probatum fuit, nunc a Si- « cyonio adolescente correctus, sententiam mutavi. » Hoc de Persæo complures narrant.

XXIV. Porro Aratus statim Heræum (i. e. *fanum Junonis*) et Lechæum in suam potestatem redegit; viginti

βασιλικῶν ἐκυρίευσεν, ἵππους δὲ πενταχοσίους καὶ Σύρους τετρακοσίους ἀπέδοτο· τόν τε Ἀκροκόρινθον ἐφύλαττον οἱ Ἀχαιοὶ τετρακοσίοις ὁπλίταις καὶ πεντήκοντα κυσὶ καὶ κυνηγοῖς ἴσοις ἐν τῷ φρουρίῳ τρεφομένοις. (2) Οἱ μὲν οὖν Ῥωμαῖοι τὸν Φιλοποίμενα θαυμάζοντες Ἑλλήνων ἔσχατον προσηγόρευον, ὡς μηδενὸς μεγάλου μετ' ἐκεῖνον ἐν τοῖς Ἕλλησι γενομένου· ἐγὼ δὲ τῶν Ἑλληνικῶν πράξεων ταύτην ἐσχάτην καὶ νεωτάτην φαίην ἂν πεπρᾶχθαι, τοῦτο μὲν τόλμῃ, τοῦτο δὲ τύχῃ ταῖς ἀρίσταις ἐνάμιλλον, ὡς ἐδήλωσεν εὐθὺς τὰ γινόμενα. (3) Μεγαρεῖς τε γὰρ ἀποστάντες Ἀντιγόνου τῷ Ἀράτῳ προσέθεντο, καὶ Τροιζήνιοι μετὰ b Ἐπιδαυρίων συνετάχθησαν εἰς τοὺς Ἀχαιούς, ἔξοδόν τε πρώτην θέμενος εἰς τὴν Ἀττικὴν ἐνέβαλε καὶ τὴν Σαλαμῖνα διαβὰς ἐλεηλάτησεν, ὥσπερ ἐξ εἱρκτῆς λελυμένῃ τῇ δυνάμει τῶν Ἀχαιῶν ἐφ' ὅ τι βούλοιτο χρώμενος. Ἀθηναίοις δὲ τοὺς ἐλευθέρους ἀφῆκεν ἄνευ λύτρων, ἀρχὰς ἀποστάσεως ἐνδιδοὺς αὐτοῖς. Πτολεμαῖον δὲ σύμμαχον ἐποίησε τῶν Ἀχαιῶν ἡγεμονίαν ἔχοντα πολέμου καὶ κατὰ γῆν καὶ θάλατταν. (4) Οὕτω δὲ ἴσχυσεν ἐν τοῖς Ἀχαιοῖς, ὥστ', εἰ μὴ κατ' ἐνιαυτὸν ἐξῆν, παρ' ἐνιαυτὸν αἱρεῖσθαι στρατηγὸν αὐτὸν, ἔργῳ δὲ καὶ γνώμῃ διὰ παντὸς ἄρχειν. Ἑώρων γὰρ c αὐτὸν οὐ πλοῦτον, οὐ δόξαν, οὐ φιλίαν βασιλικὴν, οὐ τὸ τῆς αὐτοῦ πατρίδος συμφέρον, οὐκ ἄλλο τι τῆς αὐξήσεως τῶν Ἀχαιῶν ἐπίπροσθεν ποιούμενον. (5) Ἡγεῖτο γὰρ ἀσθενεῖς ἰδίᾳ τὰς πόλεις ὑπαρχούσας σώζεσθαι δι' ἀλλήλων ὥσπερ ἐνδεδεμένας τῷ κοινῷ συμφέροντι, καὶ καθάπερ τὰ μέρη τοῦ σώματος ζῶντα καὶ συμπνέοντα διὰ τὴν πρὸς ἄλληλα συμφυίαν, ὅταν ἀποσπασθῇ καὶ γένηται χωρὶς, ἀτροφεῖ καὶ σήπεται, παραπλησίως τὰς πόλεις ἀπόλλυσθαι μὲν ὑπὸ τῶν διασπώντων τὸ κοινὸν, αὔξεσθαι δὲ ὑπ' ἀλλήλων, ὅταν ὅλου τινὸς μεγάλου μέρη γενόμεναι κοινῆς προνοίας τυγχάνωσιν.

XXV. Ὁρῶν δὲ τοὺς ἀρίστους τῶν προσοίκων αὐτονομουμένους, Ἀργείοις δὲ δουλεύουσιν ἀχθόμενος, d ἐπεβούλευεν ἀνελεῖν τὸν τύραννον αὐτῶν Ἀριστόμαχον, ἅμα τῇ τε πόλει θρεπτήρια τὴν ἐλευθερίαν ἀποδοῦναι φιλοτιμούμενος καὶ τοῖς Ἀχαιοῖς προσκομίσαι τὴν πόλιν. (2) Οἱ μὲν οὖν τολμῶντες εὑρέθησαν, ὧν Αἰσχύλος προειστήκει καὶ Χαριμένης ὁ μάντις. Ξίφη δὲ οὐκ εἶχον, ἀλλ' ἀπείρητο κεκτῆσθαι καὶ ζημίαι μεγάλαι τοῖς κεκτημένοις ἐπῆσαν ὑπὸ τοῦ τυράννου. Κατασκευάσας οὖν ὁ Ἄρατος αὐτοῖς ἐν Κορίνθῳ μικρὰς παραξιφίδας ἐνέρραψεν εἰς σάγματα· καὶ ταῦτα ἐπιθεὶς ὑποζυγίοις σκεύη τινὰ παρημελημένα κομίζουσιν εἰς Ἄργος ἀπέστειλε. (3) Χαριμένους δὲ τοῦ μάντεως e προσλαβόντος ἐπὶ τὴν πρᾶξιν ἄνθρωπον, οἱ περὶ τὸν Αἰσχύλον ἠγανάκτησαν καὶ δι' ἑαυτῶν ἔπραττον τοῦ Χαριμένους καταγνόντες. Αἰσθόμενος δὲ ἐκεῖνος ὀργῇ κατεμήνυσε τοὺς ἄνδρας ἤδη βαδίζοντας ἐπὶ τὸν τύραννον· ὧν οἱ πλεῖστοι φθάσαντες ἐξ ἀγορᾶς ἀπέφυγον καὶ διεξέπεσον εἰς Κόρινθον. (4) Οὐ μὴν ἀλλὰ χρόνου βραχέος διελθόντος ἀποθνήσκει μὲν ὑπὸ δούλων Ἀριστόμα-

quinque navibus regiis potitus est, equos quingentos et Syros quadringentos vendidit. Acrocorinthum Achæi quadringentis militibus gravis armaturæ, canibus quinquaginta, totidemque eorum custodibus tenuerunt. (2) Romani quidem Philopœmenem admirantes postremum Græcorum appellaverunt, judicantes post eum nullam præclaram rem apud Græcos gestam. Ego autem hoc Arati facinus in Græcia ultimum novissimumque fuisse haud dubitem dicere, et quum ob audaciam ejus qui perpetravit, tum ob successum præclarissimis posse comparari. Quod manifestum est ex iis quæ statim sunt consecuta. (3) Nam et Megarenses, facta ab Antigono defectione, Arato se conjunxerunt, et Trœzenii una cum Epidauriis se ad Achæorum rempublicam aggregaverunt, primamque suam expeditionem in Atticam fecit Aratus, et trajectis in Salaminam militibus, prædam ex insula egit, Achæorum viribus, tanquam ex carcere liberatis, ad omnia quæ instituisset utens. Eos qui liberi capti erant, Atheniensibus nullo redemptionis accepto præmio dimisit, occasiones eis deficiendi suppeditans. Ptolemæum socium Achæorum ascivit ea conditione, ut is terra marique dux belli esset. (4) Tanta autem fuit Arati apud Achæos potentia, ut, si non liceret quotannis, alternis saltem annis prætorem eum crearint, interim tamen semper omnia ipsius arbitrio acta sint. Videbant enim eum non divitias, non gloriam, non amicitiam regis, non suæ patriæ commodum, non quicquam aliud Achæorum incrementis antiquius habere. (5) Existimabat enim urbes singulatim imbecilles mutuo servari, tanquam illigatas commodo publico, ac quemadmodum membra corporis viventia et conspirantia propterea, quod invicem annata sibi hæreant, si quod eorum avellatur et a ceteris separetur, non alitur amplius, sed tabescit : ita urbes censebat ab iis, quæ rempublicam divellerent, perdi, augeri autem unam ab alia et omnes mutuo, quum veluti magnæ cujusdam universitatis partes factæ communi foverentur consilio.

XXV. Proinde videns præcipuos quosque vicinorum sua uti libertate et legibus, ideoque indigne ferens Argos in servitute agere, tyrannum eorum Aristomachum interficere per insidias instituit, quum ut libertatem ei urbi, tanquam educationis suæ præmium, redderet, tum ut eam Achæorum reipublicæ adjungeret. (2) Inventi sunt qui id facinus auderent : quorum principes erant Æschylus et Charimenes vates; gladiis tamen destituebantur, quod eos parare prohibitum erat, et si quis gladium haberet, ei tyrannus gravem mulctam indixerat. Itaque Aratus Corinthi parvos pugiones confici jussit, inque clitellas insuit, easque jumentis quædam vilia vehentibus impedimenta imposuit, atque ita Argos misit. (3) Quum autem Charimenes quendam facinoris socium ascivisset, Æschylus indignatus, spreto eo, facinus ipse aggressus cum suis est. Quod sentiens ille et irritatus, jam ad necandum tyrannum contendentes prodidit, atque plerique horum ex foro profugerunt Corinthumque pervenerunt. (4) Verumtamen paullo post Aristomachus a servis necatur, tyrannidem Aristippus

χος, ὑπολαμβάνει δὲ τὴν ἀρχὴν φθάσας Ἀρίστιππος, ἐξωλέστερος ἐκείνου τύραννος. Ὅσοι δὴ τῶν Ἀχαιῶν ἐν ἡλικίᾳ παρόντες ἔτυχον, τούτους ἀναλαβὼν ὁ Ἄρατος f ἐβοήθει πρὸς τὴν πόλιν ὀξέως, οἰόμενος εὑρήσειν τὰ τῶν Ἀργείων πρόθυμα. Τῶν δὲ πολλῶν ἤδη διὰ συνήθειαν ἐθελοδούλως ἐχόντων καὶ μηδενὸς ἀφισταμένου πρὸς αὐτὸν, ἀνεχώρησεν ἔγκλημα κατεσκευακὼς τοῖς Ἀχαιοῖς, ὡς ἐν εἰρήνῃ πόλεμον ἐξενηνόχασι. Καὶ δίκην ἔσχον 1039 ἐπὶ τούτῳ παρὰ Μαντινεῦσιν, ἣν Ἀράτου μὴ παρόντος a Ἀρίστιππος εἷλε διώκων καὶ μνῶν ἐτιμήθη τριάκοντα. (5) Τὸν δὲ Ἄρατον αὐτὸν ἅμα καὶ μισῶν καὶ δεδοικὼς ἐπεβούλευεν ἀνελεῖν, συνεργοῦντος Ἀντιγόνου τοῦ βασιλέως· καὶ πανταχοῦ σχεδὸν ἦσαν οἱ τοῦτο πράττοντες αὐτοῖς καὶ καιρὸν ἐπιτηροῦντες. Ἀλλ' οὐδὲν οἷον ἀληθινὴ καὶ βέβαιος εὔνοια φυλακτήριον ἀνδρὸς ἄρχοντος. Ὅταν γὰρ ἐθισθῶσιν οἵ τε πολλοὶ καὶ οἱ δυνατοὶ μὴ τὸν ἡγούμενον, ἀλλ' ὑπὲρ τοῦ ἡγουμένου δεδιέναι, πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δὲ ὤτων ἀκούει καὶ προαισθάνεται τὰ γινόμενα. Διὸ καὶ βούλομαι τὸν λόγον ἐπιστήσας ἐνταῦθά που διεξελθεῖν περὶ τῆς Ἀριστίππου διαίτης, ἣν ἡ ζηλοτυπουμένη τυραννὶς b αὐτῷ καὶ ὁ τῆς μακαρίας καὶ περιβοήτου μοναρχίας ὄγκος περιέθηκεν.

XXVI. Ἐκεῖνος γὰρ Ἀντίγονον μὲν ἔχων σύμμαχον, τρέφων δὲ πολλοὺς ἕνεκα τῆς τοῦ σώματος ἀσφαλείας, οὐδένα δὲ ἐν τῇ πόλει ζῶντα τῶν ἐχθρῶν ὑπολελοιπὼς, τοὺς μὲν δορυφόρους καὶ φύλακας ἔξω παρεμβάλλειν ἐκέλευεν ἐν τῷ περιστύλῳ, τοὺς δὲ οἰκέτας, ὁπότε δειπνήσαι, τάχιστα πάντας ἐξελαύνων καὶ τὴν μέταυλον ἀποκλείων μετὰ τῆς ἐρωμένης αὐτὸς εἰς οἴκημα κατεδύετο μικρὸν ὑπερῷον, θύρᾳ καταρρακτῇ κλειόμενον· ἧς ὑπεράνω τὴν κλίνην ἐπιτιθεὶς ἐκάθευδεν, ὡς εἰκὸς καθεύδειν τὸν οὕτως ἔχοντα, ταραχωδῶς καὶ c περιφόβως. Τὸ δὲ κλιμάκιον ἡ τῆς ἐρωμένης μήτηρ ὑφαιροῦσα κατέκλειεν εἰς ἕτερον οἴκημα καὶ πάλιν ἅμ' ἡμέρᾳ προσετίθει καὶ κατεκάλει τὸν θαυμαστὸν τύραννον, ὥσπερ ἑρπετὸν ἐκ φωλεοῦ κατερχόμενον. (2) Ὁ δὲ οὐχ ὅπλοις κατὰ βίαν, νόμῳ δὲ ὑπ' ἀρετῆς ἀκατάπαυστον ἀρχὴν περιπεποιημένος ἐν ἱματίῳ καὶ χλαμυδίῳ τῷ τυχόντι τῶν πώποτε τυράννων κοινὸς ἀποδεδειγμένος ἐχθρὸς ἄχρι τῆς τήμερον ἡμέρας γένος εὐδοκιμώτατον ἀπολέλοιπεν ἐν τοῖς Ἕλλησιν. Ἐκείνων δὲ τῶν τὰς ἄκρας καταλαμβανόντων καὶ τοὺς δορυφόρους d τρεφόντων καὶ τὰ ὅπλα καὶ τὰς πύλας καὶ τοὺς καταρράκτας προβαλλομένων ὑπὲρ τῆς τοῦ σώματος ἀσφαλείας ὀλίγοι τὸν ἐκ πληγῆς θάνατον, ὥσπερ οἱ λαγωοὶ, διέφυγον· οἶκος δὲ ἢ γένος ἢ τάφος ἔχων τιμωμένην μνήμην οὐδενὸς λέλειπται.

XXVII. Πρὸς δ' οὖν τὸν Ἀρίστιππον ὁ Ἄρατος καὶ κρύφα πολλάκις καὶ φανερῶς προσέπταισεν ἐπιχειρήσας καταλαμβάνειν τὸ Ἄργος. Ἅπαξ δὲ κλίμακας προσθεὶς μετ' ὀλίγων ἐπὶ τὸ τεῖχος ἀνέβη παραβόλως καὶ τοὺς βοηθοῦντας ἐνταῦθα τῶν φυλάκων ἀπέκτεινεν. Εἶτα ἡμέρας ἐπιφανείσης καὶ τοῦ τυράννου πανταχόθεν

flagitiosior priore tyrannus occupat. Aratus cum Achæis, quotquot jam militari ætate præsto erant, celeriter Argos profectus est, sperans se Argivos promptos inventurum. Quum vero plerique eorum a servitute, quam consuetudo familiarem ipsis effecerat, non abhorrerent, neque ad eum quisquam deficeret, recessit nulla re confecta, nisi quod Achæos crimini ei obnoxios reddiderat, quod in pace bellum movissent. Accusavit eos eo nomine Aristippus apud Mantinenses et reos Arato absente peregit, estque illis lis triginta minis æstimata. (5) Aratum vero Aristippus et odio habens et metuens, per insidias necare intendit, adjuvante eum conatum Antigono rege; et ubique propemodum erant qui id agerent occasionemque captarent. Enimvero nulla melior neque tutior principi esse potest custodia, quam vera et constans subditorum benevolentia. Quum enim assueverint plerique et potentes non principem, sed principi suo metuere, multis ille oculis videt, multis auribus audit, præsentitque ea quæ aguntur. Itaque hoc loco parumper ab instituto sermone digrediar, Aristippique rationem vivendi exponam, quam ei tam multis rivalibus expetita illa tyrannis et beati famosique regni majestas paravit.

XXVI. Quippe is, qui Antigonum sibi societate junctum haberet, multosque custodiendi corporis sui causa aleret, nullum inimicorum viventem in urbe reliquisset, stipatores quidem suos et custodes foris in vestibulo stationem habere jubebat, famulos simul atque cœnasset universos exigens et interiorem domum concludens : ipse cum sua amasia in cœnaculum editius ostio pensili clausum subibat, supra quod lecto collocato somnum capiebat, qualem ab ita perturbato ac meticuloso capi par erat. Scalam mater amasiæ removebat, inque alio conclavi includebat, luce facta iterum apponebat et admirabilem illum tyrannum devocabat, serpentis instar ex specula prorepentem. (2) Et vero Aratus, qui non vi et armis, sed legitimum virtute et perpetuum sibi paraverat imperium, in toga aut qualibet chlamyde obambulans; quum quidem omnium tyrannorum manifestum se hostem profiteretur, nobilissimum inter Græcos genus in hunc usque diem propagavit. Eorum autem qui arces occupaverunt, stipatores aluerunt, defendendique sui corporis causa portas, arma et cataractas objecerunt, pauci leporum instar violentam mortem effugerunt, domus autem, genus, aut sepulcrum honore affectum aliquo, nullius illorum exstat.

XXVII. Sæpenumero Aratus et occulte et palam aggressus Argos occupare et Aristippum exscindere, successu frustratus est. Semel scalis applicatis audacter in murum, paucis comitatus, evasit, custodesque occurrentes obtruncavit. Die autem facta, quum undique a tyranno peteretur, Argivis, quasi non pro ipsorum libertate pugnaretur, sed

αὐτῷ προσβάλλοντος, οἱ μὲν Ἀργεῖοι, καθάπερ οὐχ e ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας τῆς μάχης οὔσης, ἀλλ' ὡς τὸν ἀγῶνα τῶν Νεμείων βραβεύοντες, ἴσοι καὶ δίκαιοι θεαταὶ καθῆντο τῶν γινομένων, πολλὴν ἡσυχίαν ἄγοντες, ὁ δὲ Ἄρατος εὐρώστως ἀμυνόμενος λόγχῃ μὲν ἐκ χειρὸς διελαύνεται τὸν μηρὸν, ἐκράτησε δὲ τῶν τόπων, ἐν οἷς ἦν, καὶ οὐκ ἐξεώσθη μέχρι νυκτὸς ἐνοχλούμενος ὑπὸ τῶν πολεμίων. Εἰ δὲ καὶ τὴν νύκτα τῷ πόνῳ προσεταλαιπώρησεν, οὐκ ἂν διήμαρτεν· ὁ γὰρ τύραννος ἤδη περὶ δρασμὸν εἶχε καὶ πολλὰ τῶν ἰδίων ἐπὶ θάλασσαν προεξέπεμψε· νῦν δὲ τοῦτο μὲν οὐδενὸς ἐξαγγείλαντος πρὸς τὸν Ἄρατον, ὕδατος δὲ ἐπιλείποντος, f ἑαυτῷ δὲ χρήσασθαι διὰ τὸ τραῦμα μὴ δυνάμενος ἀπήγαγε τοὺς στρατιώτας.

XXVIII. Ἐπεὶ δὲ ταύτην ἀπέγνω τὴν ὁδὸν, ἐμβαλὼν φανερῶς τῷ στρατοπέδῳ τὴν Ἀργολίδα χώραν ἐπόρθει· καὶ περὶ τὸν Χάρητα ποταμὸν ἰσχυρᾶς μάχης γενομένης πρὸς Ἀρίστιππον, αἰτίαν ἔσχεν ὡς ἐγκαταλιπὼν τὸν ἀγῶνα καὶ προέμενος τὸ νίκημα. Τῆς γὰρ ἄλλης δυνάμεως ὁμολογουμένως ἐπικρατούσης καὶ 1040 τῷ διωγμῷ πολὺ προελθούσης εἰς τοὔμπροσθεν, αὐ- a τὸς οὐχ οὕτως ἐκβιασθεὶς ὑπὸ τῶν καθ' αὑτὸν, ὡς ἀπιστῶν τῷ κατορθώματι καὶ φοβηθεὶς ἀνεχώρησε τεταραγμένος εἰς τὸ στρατόπεδον. (2) Ἐπεὶ δὲ ἀπὸ τῆς διώξεως ἐπανελθόντες οἱ λοιποὶ χαλεπῶς ἔφερον, ὅτι τρεψάμενοι τοὺς πολεμίους καὶ πολὺ πλείονας ἐκείνων καταβαλόντες ἢ σφῶν αὐτῶν ἀπολέσαντες παραλελοίπασι τοῖς ἡττημένοις στῆσαι κατ' αὐτῶν τρόπαιον, αἰσχυνθεὶς πάλιν ἔγνω διαμάχεσθαι περὶ τοῦ τροπαίου καὶ μίαν ἡμέραν διαλιπὼν αὖθις ἐξέτασσε τὴν στρατιάν. Ὡς δὲ ᾔσθετο πλείονας γεγονότας καὶ θαρβαλεώτερον ἀνθισταμένους τοὺς περὶ τὸν τύραννον, οὐκ b ἐτόλμησεν, ἀλλ' ἀπῆλθε τοὺς νεκροὺς ὑποσπόνδους ἀνελόμενος. (3) Οὐ μὴν ἀλλὰ τῇ περὶ τὴν ὁμιλίαν καὶ πολιτείαν ἐμπειρίᾳ καὶ χάριτι τὴν διαμαρτίαν ταύτην ἀναμαχόμενος προσηγάγετο τὰς Κλεωνὰς τοῖς Ἀχαιοῖς καὶ τὸν ἀγῶνα τῶν Νεμείων ἤγαγεν ἐν Κλεωναῖς ὡς πάτριον ὄντα καὶ μᾶλλον προσήκοντα τούτοις. Ἤγαγον δὲ καὶ Ἀργεῖοι, καὶ συνεχύθη τότε πρῶτον ἡ δεδομένη τοῖς ἀγωνισταῖς ἀσυλία καὶ ἀσφάλεια, πάντας τῶν Ἀχαιῶν, ὅσους ἔλαβον ἠγωνισμένους ἐν Ἄργει, διὰ τῆς χώρας πορευομένους, ὡς πολεμίους ἀποδομένων. Οὕτω σφοδρὸς ἦν καὶ ἀπαραίτητος ἐν τῷ μισεῖν τοὺς τυράννους.

XXIX. Ὀλίγῳ δὲ ὕστερον ἀκούσας τὸν Ἀρίστιππον c ἐπιβουλεύειν μὲν ταῖς Κλεωναῖς, φοβεῖσθαι δὲ ἐκεῖνον ἐν Κορίνθῳ καθεζόμενον, ἤθροισεν ἐκ παραγγέλματος στρατείαν. Καὶ σιτία κελεύσας πλειόνων ἡμερῶν κομίζειν εἰς Κεγχρεὰς κατῆλθεν ἐκκαλούμενος δι' ἀπάτης τὸν Ἀρίστιππον ὡς αὐτοῦ μὴ παρόντος ἐπιθέσθαι τοῖς Κλεωναίοις· ὃ καὶ συνέβη. (2) Παρῆν γὰρ εὐθὺς ἐξ Ἄργους ἔχων τὴν δύναμιν. Ὁ δὲ Ἄρατος εἰς Κόρινθον ἤδη σκοταῖος ἐκ Κεγχρεῶν ὑποστρέψας καὶ τὰς ὁδοὺς φυλακαῖς διαλαβὼν ἦγε τοὺς Ἀχαιοὺς ἑπομένους οὕτω

in Nemeo certamine judices ac præmiorum distributores sederent, justos se et æquos spectatores eorum quæ gerebantur alto in otio præbentibus, fortiter pugnans lancea cominus femur transadigitur, locum tamen, in quo constiterat, obtinuit, neque, quamquam usque ad noctem ab hostibus vexatus est, pelli potuit. Quodsi noctem quoque eum laborem sustinuisset, potitus eo quod petebat fuisset; jam enim fugam tyrannus parabat, ac multa suorum bonorum ad mare præmittebat: nunc Aratus, nemine id renuntiante, aqua deficiente, et quum ipsum vulnus inutilem rebus gerendis fecisset, retro suos abduxit.

XXVIII. Desperata ergo hac ratione, aperte cum exercitu in Argolicam irrupit, eamque vastavit. Ad Charetem autem fluvium acri cum Aristippo commissa pugna, vitio ei datum est, quod prœlium deseruisset victoriamque prodidisset. Quum enim Achæorum exercitus altera pars haud dubie hostibus superior esset, eosque persequendo procul processisset, ipse non tam pulsus a sua parte, quam victoriæ diffidens et metuens, perturbatus in castra rediit. (2) Ceteris autem ab insequendo hoste reversis et inique ferentibus quod, quum ipsi hostem pulissent multoque plures de iis stravissent quam suorum amisissent, passi tamen essent ut victi de victoribus trophæum statuerent: motus verecundia statuit denuo de trophæo pugna decernere, unaque die intermissa, rursum in aciem suos eduxit. Sed quum hostes numero auctos sensisset et audacius resistere, congredi non ausus, discessit cadaveribus ex pacto receptis. (3) Hunc suum errorem Aratus quum peritia civili et gratia in alloquendo populo correxisset, Cleonas Achæis adjunxit, Nemeumque certamen Cleonis celebravit, magis patrium his magisque deberi quam alteris sentiens. Celebraverunt idem certamen etiam Argivi, ac tum primum securitas et libertas certatoribus antiquitus concessa, violata est, Achæis omnes, quoscunque Argis certasse comperissent, per suam ditionem proficiscentes vendentibus tanquam hostes. Tam acre et implacabile erat tyrannorum odium in animo Arati.

XXIX. Paullo post quum inaudivisset Aristippum Cleonis insidiari, se tamen Corinthi agentem metuere, edicto proposito milites ad expeditionem contraxit, jussosque multorum dierum cibaria secum ferre, Cenchreas deduxit; in fraudem inducendi Aristippi causa, ut is tanquam eo absente Cleonas adoriretur. Neque Aratum spes fefellit. (2) Statim enim cum exercitu Argis profectus Aristippus Cleonas petiit, Aratus autem jam tenebris obortis ex Cenchreis Corinthum reversus, itineribus per intervalla custodiis munitis Achæos tanto ordine, celeritate atque alacritate duxit,

μὲν εὐτάκτως, οὕτω δὲ ταχέως καὶ προθύμως, ὥστε μὴ d μόνον ὁδεύοντας, ἀλλὰ καὶ παρελθόντας εἰς τὰς Κλεωνὰς ἔτι νυκτὸς οὔσης καὶ συνταξαμένους ἐπὶ μάχην ἀγνοεῖσθαι καὶ λανθάνειν τὸν Ἀρίστιππον. (3) Ἅμα δὲ ἡμέρᾳ τῶν πυλῶν ἀνοιχθεισῶν καὶ τῆς σάλπιγγος ἐγκελευσαμένης, δρόμῳ καὶ ἀλαλαγμῷ προσπεσὼν τοῖς πολεμίοις εὐθὺς ἐτρέψατο καὶ κατεῖχε διώκων ᾗ μάλιστα φεύγειν ὑπενόει τὸν Ἀρίστιππον, ἐκτροπὰς πολλὰς τῶν χωρίων ἐχόντων. Γενομένης δὲ τῆς διώξεως ἄχρι Μυκηνῶν, ὁ μὲν τύραννος ὑπὸ Κρητός τινος, ὡς Δεινίας ἱστορεῖ, τοὔνομα Τραγίσκου καταληφθεὶς ἀποσφάττεται, τῶν δὲ ἄλλων ἔπεσον ὑπὲρ χιλίους πεντακοσίους. (4) Ὁ δὲ Ἄρατος οὕτω λαμπρῶς εὐτυχήσας καὶ μηδένα e τῶν αὑτοῦ στρατιωτῶν ἀποβαλών, ὅμως οὐκ ἔλαβε τὸ Ἄργος οὐδὲ ἠλευθέρωσε, τῶν περὶ Ἀγίαν καὶ τὸν νεώτερον Ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων καὶ κατασχόντων τὰ πράγματα. Τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς καὶ λόγους καὶ σκώμματα καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους καὶ διεξιόντων ἐκείνοις χαριζομένων, ὡς τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκταράττοιτο μὲν ἡ κοιλία παρὰ τὰς μάχας, κάρος δὲ προσπίπτοι καὶ ἴλιγγος ἅμα τῷ παραστῆναι τὸν σαλπιγκτήν, ἐκτάξας δὲ τὴν δύναμιν καὶ τὸ σύνθημα παρεγγυήσας καὶ πυθόμενος τῶν ὑποστρατήγων f καὶ λοχαγῶν, μή τις αὐτοῦ χρεία παρόντος (βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους), ἀπέρχοιτο καραδοκήσων πόῤῥωθεν τὸ συμβησόμενον. (5) Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν καὶ τὸ χρῶμα τρέπεσθαι καὶ τὴν κοιλίαν ἐξυγραίνεσθαι παρὰ τὰ φαινόμενα δεινὰ δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος, ὀνομάζειν ἀεὶ τὸν Ἄρατον, ὡς ἀγαθὸν μὲν ὄντα στρατηγόν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας.

1041 XXX. Ὡς δ' οὖν τὸν Ἀρίστιππον ἀνεῖλεν, εὐθὺς a ἐπεβούλευσε Λυδιάδῃ τῷ Μεγαλοπολίτῃ, τυραννοῦντι τῆς ἑαυτοῦ πατρίδος. Ὁ δὲ οὐκ ὢν ἀγεννὴς οὐδὲ ἀφιλότιμος τὴν φύσιν οὐδὲ ὥσπερ οἱ πολλοὶ τῶν μονάρχων ἀκρασίᾳ καὶ πλεονεξίᾳ πρὸς ταύτην ῥυεὶς τὴν ἀδικίαν, ἀλλ' ἐπαρθεὶς ἔρωτι δόξης ἔτι νέος καὶ λόγους ψευδεῖς καὶ κενοὺς λεγομένους περὶ τυραννίδος, ὡς μακαρίου καὶ θαυμαστοῦ πράγματος, εἰς μέγα φρόνημα παραδεξάμενος ἀνοήτως καὶ καταστήσας ἑαυτὸν τύραννον ταχὺ μεστὸς ἦν τῆς ἐκ μοναρχίας βαρύτητος. (2) Ἅμα δὲ ζηλῶν εὐημεροῦντα καὶ δεδοικὼς ἐπιβουλεύοντα τὸν Ἄρατον, ὥρμησε καλλίστην ὁρμὴν μεταβαλόμενος πρῶτον μὲν ἑαυτὸν ἐλευθερῶσαι μίσους καὶ φόβου καὶ φρου- b ρᾶς καὶ δορυφόρων, εἶτα τῆς πατρίδος εὐεργέτης γενέσθαι. Καὶ μεταπεμψάμενος τὸν Ἄρατον ἀφῆκε τὴν ἀρχὴν καὶ τὴν πόλιν εἰς τοὺς Ἀχαιοὺς μετεκόσμησεν. Ἐφ' οἷς μεγαλύνοντες αὐτὸν οἱ Ἀχαιοὶ στρατηγὸν εἵλοντο. (3) Φιλοτιμούμενος δὲ εὐθὺς ὑπερβαλεῖν δόξῃ τὸν Ἄρατον, ἄλλας τε πολλὰς πράξεις οὐκ ἀναγκαίας εἶναι δοκούσας καὶ στρατείαν ἐπὶ Λακεδαιμονίους πα-

ut non modo inter proficiscendum, sed et noctu intrantes Cleonas et ad prœlium instructi, Aristippum fallerent. (3) Summo mane portis apertis, classicum cecinit, atque cum cursu et vociferatione impetu facto hostes fudit, fugientibusque institit, ea maxime qua fugere tyrannum suspicabatur, locis istis multa diverticula habentibus. Persecutus autem est hostem Mycenas usque; ibi Aristippus a Crete quodam, ut Dinias refert, nomine Tragisco, deprehensus necatur, amissis suorum plus quam mille quingentis viris. (4) Attamen Aratus tam splendida potitus victoria, ne uno quidem suorum amisso, Argos tamen neque cepit, neque liberavit; Agias enim et Aristomachus minor cum exercitu regio irruperant eo et rerum potestatem occupaverant. Magnam quidem partem cavillorum dicteriorumque et scurrilium insectationum, quibus eum adulatores tyrannorum traducebant, refutavit, qui in gratiam dominorum dictitare solebant duci Achæorum tempore prœlii alvum conturbari, vertiginem ei et gravem soporem oboriri simul atque tubæ sonitum exaudivisset; itaque ut primum aciem instruxisset et tesseram dedisset, percontari solitum legatos et centuriones : ecquid sua præsentia opus foret (nam vertebras esse vulneratas), atque ita digredientem quam longissime eventum pugnæ exspectare. (5) Hæc quidem ita obtinuit opinio, ut philosophi etiam in scholis disputantes, tremorne cordis et mutatio coloris atque alvi profusio in opinato periculo timidorum sit, an cujusdam intemperiei in corpore et frigoris nativi, semper Aratum adduxerint exempli loco, quod ei quanquam præclaro duci, tamen ea semper in obeundis certaminibus accidissent.

XXX. Aristippo cæso, Aratus statim Lydiadæ insidias struxit, Megalopolis patriæ suæ tyranno. Erat is Lydiades homo minime pravo ingenio aut a studio laudis alieno, neque, ut plerique alii tyranni, intemperantia eum et avaritia ad patriæ inferendam eam injuriam impulerat, sed juvenis adhuc gloriæ amore excitatus, imprudenter admissis in animum suum altis spiritibus plenum inanibus et falsis de tyrannide ut re beata et mirifica sermonibus, occupata tyrannide, statim ex ejus incommodis maximas ceperat molestias. (2) Itaque tum et Arati felicitatem atque gloriam suspiciens et eum sibi insidiantem metuens, pulcherrimam mutationem aggressus est, qua quum se ipsum ab odio, metu, præsidio, stipatoribusque liberaret, tum de patria bene mereretur. Accito namque Arato, imperio se abdicavit, urbemque Achæorum reipublicæ adjunxit. (3) Propterea magni eum facientes Achæi, prætorem delegerunt. Atque is statim conatus gloriam Arati superare, quum alia multa non necessaria suscepit negotia, tum expe-

ρήγγελλεν. Ἐνιστάμενος δὲ ὁ Ἄρατος αὐτῷ φθονεῖν ἐδόκει· καὶ τό γε δεύτερον ὁ Λυδιάδης στρατηγὸς ᾑρέθη, ἀντιπράττοντος ἄντικρυς Ἀράτου καὶ σπουδάζοντος ἑτέρῳ c παραδοθῆναι τὴν ἀρχήν· αὐτὸς μὲν γὰρ, ὡς εἴρηται, παρ' ἐνιαυτὸν ἦρχε. (4) Μέχρι μὲν οὖν τρίτης στρατηγίας ὁ Λυδιάδης εὖ φερόμενος διετέλει καὶ παρ' ἐνιαυτὸν ἦρχεν ἐναλλὰξ τῷ Ἀράτῳ στρατηγῶν, φανερὰν δ' ἐξενεγκάμενος ἔχθραν καὶ πολλάκις αὐτοῦ κατηγορήσας ἐν τοῖς Ἀχαιοῖς ἀπεῤῥίφη καὶ παρώφθη πεπλασμένῳ δοκῶν ἤθει πρὸς ἀληθινὴν καὶ ἀκέραιον ἀρετὴν ἁμιλλᾶσθαι. Καὶ καθάπερ τῷ κόκκυγί φησιν Αἴσωπος ἐρωτῶντι τοὺς λεπτοὺς ὄρνιθας, ὅ τι φεύγοιεν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔσται ποτὲ ἱέραξ, οὕτως ἔοικε τῷ Λυδιάδῃ παρακολουθεῖν ἐκ τῆς τυραννίδος ὑποψία βλάπτουσα τὴν d φύσιν αὐτοῦ τῆς μεταβολῆς.

XXXI. Ὁ δὲ Ἄρατος εὐδοκίμησε καὶ περὶ τὰς Αἰτωλικὰς πράξεις, ὅτε συμβαλεῖν μὲν αὐτοῖς πρὸ τῆς Μεγαρικῆς ὡρμημένων τῶν Ἀχαιῶν καὶ τοῦ βασιλέως τῶν Λακεδαιμονίων Ἄγιδος ἀφικομένου μετὰ δυνάμεως καὶ συνεξορμῶντος ἐπὶ τὴν μάχην τοὺς Ἀχαιοὺς, ἐναντιωθεὶς καὶ πολλὰ μὲν ὀνείδη, πολλὰ δ' εἰς μαλακίαν καὶ ἀτολμίαν καὶ σκώμματα καὶ χλευασμὸν ὑπομείνας οὐ προήκατο τὸν τοῦ συμφέροντος λογισμὸν διὰ τὰ φαινόμενον αἰσχρὸν· ἀλλὰ παρεχώρησε τοῖς πολεμίοις ὑπερβαλοῦσι τὴν Γεράνειαν ἀμαχεὶ παρελθεῖν εἰς Πελοπόννησον. e (2) Ὡς μέντοι παρελθόντες ἐξαίφνης Πελλήνην κατέλαβον, οὐκέτ' ἦν ὁ αὐτὸς οὐδ' ἔμελλε διατρίβων καὶ περιμένων ἀθροισθῆναι καὶ συνελθεῖν εἰς ταὐτὸ πανταχόθεν τὴν δύναμιν, ἀλλ' εὐθὺς ὥρμησε μετὰ τῶν παρόντων ἐπὶ τοὺς πολεμίους ἐν τῷ κρατεῖν ἀσθενεστάτους δι' ἀταξίαν καὶ ὕβριν ὄντας. Ἅμα γὰρ τῷ παρελθεῖν εἰς τὴν πόλιν οἱ μὲν στρατιῶται διασπαρέντες ἐν ταῖς οἰκίαις ἦσαν ἐξωθοῦντες ἀλλήλους καὶ διαμαχόμενοι περὶ τῶν χρημάτων, ἡγεμόνες δὲ καὶ λοχαγοὶ τὰς γυναῖκας καὶ τὰς θυγατέρας τῶν Πελληνέων περιιόντες ἥρπαζον, καὶ τὰ κράνη τὰ αὐτῶν ἀφαιροῦντες ἐκείναις f περιετίθεσαν τοῦ μηδένα λαβεῖν ἄλλον, ἀλλὰ τῷ κράνει δῆλον εἶναι τὸν δεσπότην ἑκάστης. (3) Οὕτω δὲ διακειμένοις αὐτοῖς καὶ ταῦτα πράττουσιν ἐξαίφνης ὁ Ἄρατος ἐπιπεσὼν προσηγγέλθη. Καὶ γενομένης ἐκπλήξεως, οἵαν εἰκὸς ἐν ἀταξίᾳ τοιαύτῃ, πρὶν ἢ πάντας πυθέσθαι 1042 τὸν κίνδυνον, οἱ πρῶτοι περὶ τὰς πύλας τοῖς Ἀχαιοῖς καὶ a τὰ προάστεια συμπεσόντες ἔφευγον ἤδη νενικημένοι καὶ κατεπίμπλασαν ἐλαυνόμενοι προτροπάδην ἀπορίας τοὺς συνισταμένους καὶ προσβοηθοῦντας.

XXXII. Ἐν τούτῳ δὲ τῷ ταράχῳ μία τῶν αἰχμαλώτων Ἐπιγήθους ἀνδρὸς ἐνδόξου θυγάτηρ, αὐτὴ δὲ κάλλει καὶ μεγέθει σώματος εὐπρεπὴς, ἔτυχε μὲν ἐν τῷ ἱερῷ καθεζομένη τῆς Ἀρτέμιδος, οὗ κατέστησεν αὐτὴν ὁ ἐπιλεκτάρχης ἑλὼν ἑαυτῷ καὶ περιθεὶς τὴν τριλοφίαν, ἄφνω δὲ ἐκδραμοῦσα πρὸς τὸν θόρυβον, ὡς ἔστη πρὸ τῶν θυρῶν τοῦ ἱεροῦ καὶ κατέβλεψεν εἰς τοὺς μαχομένους ἄνωθεν ἔχουσα τὴν τριλοφίαν, αὐτοῖς τε τοῖς πολίταις θέαμα σεμνότερον ἢ κατ' ἄνθρωπον ἐφάνη καὶ b

ditionem contra Lacedæmonios indixit. Aratus autem quum ei repugnaret, invidia adductus id facere videbatur. Et vero etiam iterum Lydiades prætor Achæorum creatus est, palam refragante Arato, eumque magistratum transferre ad alium satagente; imperabat autem alternis, ut dictum est, annis. (4) Usque ad tertiam præturam Lydiades in gratia fuit, alternis cum Arato imperans. Ceterum ut apertas contra eum suscepit inimicitias, ac sæpius apud Achæos accusavit, abjectus ab iis est et contemptui erat, quod videbatur fictis moribus adversus veram et sinceram virtutem contendere. Et quemadmodum cuculo, Æsopus ait, interroganti ex parvis aviculis, cur se fugerent, responsum ab iis esse : Quod olim eum accipitrem futurum putarent : ita Lydiadem videtur suspicio quædam ingenium ejus lædens a tyrannide consecuta esse de metuenda mutatione.

XXXI. Ab Ætolico etiam bello gloriam Aratus reportavit. Etenim quum Achæi pugna decertare ante Megaricam cum Ætolis vellent, rexque Spartanorum Agis cum exercitu superveniens ad pugnam provocaret; ipse repugnans ei sententiæ, multa convicia, multas timiditatis et mollitiei exprobrationes, multas sannas perferens, ob speciem turpitudinis dimoveri se de sano et utili suo consilio non est passus, concessitque hostibus ut citra prœlium Geranea monte superato in Peloponnesum intrarent. (2) Sed quum iidem in transitu subito Pellenen occupassent, nequaquam easdem rationes secutus, neque mora ulla interposita dum omnes contraheret copias, statim cum iis qui ad manum erant adversus hostem contendit, in ipsa victoria propter ordinis neglectionem et libidinem imbecillissimum. Nam ut urbem ingressi sunt et milites per domos dispersi, de præda digladiabantur, seque mutuo pellebant, et duces ac centuriones circumibant, filias Pellenæorum atque uxores rapientes, galeasque sibi detractas iis imponebant, ut nemo alius eas raperet, sed galeæ singularum dominos indicarent. (3) Hæc illis agentibus, subito annuntiatur Aratum adesse; et terrore, qualem par erat sequi tantam confusionem, exorto, priusquam ad omnes nuntius ejus periculi perveniret, jam ii, qui apud portas et suburbia Achæis se objecerant, victi fugatique retro cursim tendebant ceterosque jam agmen facientes et subvenire parantes pavore implebant.

XXXII. Eo in tumultu una de captivis, filia Epigethis viri illustris, ipsa forma et statura corporis eximia, forte tum in fano Dianæ sedebat, quo eam delectorum militum præfectus collocaverat, sibi prædæ ductam, suaque galea tribus cristis insignem. Ea subito ad tumultum ex fano procurrens, quum ante fores astitisset templi et in pugnantes inspexisset, capiti impositam gestans galeam illam, cum ipsis civibus spectaculum divinum visa fuit, tum hostes divinitus objectum spectrum cernere putantes terrore et consterna-

τοῖς πολεμίοις φάσμα θεῖον ὁρᾶν δοκοῦσι φρίκην ἐνέβαλε καὶ θάμβος, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν. (2) Αὐτοὶ δὲ Πελληνεῖς λέγουσι τὸ βρέτας τῆς θεοῦ τὸν μὲν ἄλλον ἀποκεῖσθαι χρόνον ἄψαυστον, ὅταν δὲ κινηθὲν ὑπὸ τῆς ἱερείας ἐκφέρηται, μηδένα προσβλέπειν ἐναντίον, ἀλλ' ἀποτρέπεσθαι πάντας· οὐ γὰρ ἀνθρώποις μόνον ὅραμα φρικτὸν εἶναι καὶ χαλεπὸν, ἀλλὰ καὶ δένδρα ποιεῖν ἄφορα καὶ καρποὺς ἀπαμβλίσκειν, δι' ὧν ἂν κομίζηται. (3) Τοῦτο δὴ τότε τὴν ἱέρειαν ἐξενεγκαμένην καὶ τρέπουσαν ἀεὶ κατὰ τοὺς Αἰτωλοὺς ἀντιπρόσωπον ἔκφρονας καταστῆσαι καὶ παρελέσθαι τὸν λογισμόν. c Ὁ δὲ Ἄρατος οὐδὲν ἐν τοῖς ὑπομνήμασιν εἴρηκε τοιοῦτον, ἀλλά φησι τρεψάμενος τοὺς Αἰτωλοὺς καὶ φεύγουσι συνεισπεσὼν εἰς τὴν πόλιν ἐξελάσαι κατὰ κράτος, ἑπτακοσίους δὲ ἀποκτεῖναι. Τὸ δὲ ἔργον ἐν τοῖς μεγίστοις διεβοήθη, καὶ Τιμάνθης ὁ ζωγράφος ἐποίησεν ἐμφαντικῶς τῇ διαθέσει τὴν μάχην ἔχουσαν.

XXXIII. Οὐ μὴν ἀλλὰ πολλῶν ἐθνῶν καὶ δυναστῶν ἐπὶ τοὺς Ἀχαιοὺς συνισταμένων, εὐθὺς ὁ Ἄρατος ἔπραττε φιλίαν πρὸς τοὺς Αἰτωλοὺς καὶ Πανταλέοντι τῷ πλεῖστον Αἰτωλῶν δυναμένῳ συνεργῷ χρησάμενος οὐ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν τοῖς Ἀχαιοῖς πρὸς τοὺς d Αἰτωλοὺς ἐποίησε. (2) Τοὺς δὲ Ἀθηναίους σπουδάζων ἐλευθερῶσαι διεβλήθη καὶ κακῶς ἤκουσεν ὑπὸ τῶν Ἀχαιῶν, ὅτι σπονδὰς πεποιημένων αὐτῶν πρὸς τοὺς Μακεδόνας καὶ ἀνοχὰς ἀγόντων, ἐπεχείρησε τὸν Πειραιᾶ καταλαβεῖν. Αὐτὸς δὲ ἀρνούμενος ἐν τοῖς ὑπομνήμασιν οἷς ἀπολέλοιπεν Ἐργῖνον αἰτιᾶται, μεθ' οὗ τὰ περὶ τὸν Ἀκροκόρινθον ἔπραξεν. Ἐκεῖνον γὰρ ἰδίᾳ τῷ Πειραιεῖ προσβαλόντα καὶ τῆς κλίμακος συντριβείσης διωκόμενον ὀνομάζειν καὶ καλεῖν συνεχῶς Ἄρατον ὥσπερ παρόντα καὶ διαφυγεῖν οὕτως ἐξαπατήσαντα, τοὺς πολεμίους. (3) Οὐ μὴν δοκεῖ πιθανῶς ἀπολογεῖσθαι. e Τὸν γὰρ Ἐργῖνον, ἄνθρωπον ἰδιώτην καὶ Σύρον, ἀπ' οὐδενὸς ἦν εἰκότος ἐπὶ νοῦν βαλέσθαι τὴν τηλικαύτην πρᾶξιν, εἰ μὴ τὸν Ἄρατον εἶχεν ἡγεμόνα καὶ παρ' ἐκείνου τὴν δύναμιν καὶ τὸν καιρὸν εἰλήφει πρὸς τὴν ἐπίθεσιν. Ἐδήλωσε δὲ καὶ αὐτὸς ὁ Ἄρατος οὐ δὶς οὐδὲ τρὶς, ἀλλὰ πολλάκις, ὥσπερ οἱ δυσέρωτες, ἐπιχειρήσας τῷ Πειραιεῖ καὶ πρὸς τὰς διαμαρτίας οὐκ ἀποκαμὼν, ἀλλὰ τῷ παρὰ μικρὸν ἀεὶ καὶ σύνεγγυς ἀποσφάλλεσθαι τῶν ἐλπίδων πρὸς τὸ θαῤῥεῖν ἀνακαλούμενος. Ἅπαξ δὲ καὶ τὸ σκέλος ἔσπασε διὰ τοῦ Θριασίου φεύγων· καὶ τομὰς ἔλαβε πολλὰς θεραπευόμενος καὶ πολὺν χρόνον ἐν f φορείῳ κομιζόμενος ἐποιεῖτο τὰς στρατείας.

XXXIV. Ἀντιγόνου δὲ ἀποθανόντος καὶ Δημητρίου τὴν βασιλείαν παραλαβόντος, ἔτι μᾶλλον ἐνέκειτο ταῖς Ἀθήναις καὶ ὅλως κατεφρόνει τῶν Μακεδόνων. Διὸ καὶ κρατηθέντος αὐτοῦ μάχῃ περὶ Φυλακίαν ὑπὸ Βίθυος τοῦ Δημητρίου στρατηγοῦ καὶ λόγου γενομένου πολλοῦ μὲν ὡς ἑάλωκε, πολλοῦ δὲ ὡς τέθνηκεν,
1043b μὲν τὸν Πειραιᾶ φρουρῶν Διογένης ἔπεμψεν ἐπιστο- a
λὴν εἰς Κόρινθον ἐξίστασθαι τῆς πόλεως κελεύων τοὺς Ἀχαιοὺς, ἐπειδὴ Ἄρατος ἀπέθανεν· ἔτυχε δὲ τῶν γραμ-

tione implevit, animumque repugnandi omnem excussit. (2) Pellenæi quidem affirmant deæ simulacrum reliquo tempore intactum stare, quum vero ab antistita efferatur, neminem contra intueri, sed omnes se avertere; non enim modo hominibus spectatu difficile esse ac terribile, verum etiam arboribus sterilitatem inferre et corrumpere fruges per quas transferatur. (3) Id simulacrum tum antistitam protulisse ejusque faciem identidem obvertisse Ætolis, itaque eos ad vecordiam et stuporem redegisse. Nihil tale in suis commentariis Aratus commemorat, sed ait se Ætolos in fugam conjectos in urbem ipsam Pellenen insecutum, cæsis septingentis ex ea profligasse. Inter maximas res gestas id factum celebratum fuit, et Timanthes pictor eam pugnam compositione sua illustrem reddidit.

XXXIII. Ceterum multis populis atque principibus adversus Achæos conspirantibus, statim in eo fuit Aratus, ut cum Ætolis amicitiam jungeret, ususque in ea re Pantaleontis, qui largiter apud eos poterat, opera, non pacem modo, sed et societatem Achæis cum Ætolis composuit. (2) Athenienses autem liberare cupiens, male audivit apud suos, quod, quum ipsi inducias cum Macedonibus pacti essent, Piræeum occupare conatus esset. Id crimen ipse in commentariis, quos reliquit, a se amolitur, et in Erginum, quo usus erat in Acrocorintho occupando, confert. Eum suo injussu perhibet Piræeum tentasse, scalisque attritis quum fugeret et ab hostibus urgeretur, continenter Aratum nominatim inclamasse, tanquam præsentem, atque ita deceptis hostibus effugisse. (3) Verum hæc excusatio probabilis non videtur. Neque enim verisimilitudinem habet hoc, Erginum hominem Syrum atque privatum tantam rem conaturum fuisse, nisi Aratum ducem habuisset, ab eoque auxilium et occasionem rei tentatæ accepisset. Et ostendit hoc ipse Aratus, non bis aut ter, sed sæpius, perinde atque ii quibus res in amore minus secundæ sunt, Piræeum aggressus, neque ob infelicem successum defatigatus, sed eo ipso, quod non multum a potiundo eo abfuisset, animum confirmans, aliquando etiam per campum Thriasium fugiens crus luxavit, ut multis sectionibus curatus, lectica aliquamdiu vectus expeditiones obiverit.

XXXIV. Antigono mortuo, quum ad Demetrium regnum rediisset, majore adhuc studio Athenas occupare conatus est, omnino spretis Macedonibus. Itaque quum a Bithye Demetrii duce apud Phylaciam pugna esset victus, rumorque increbuisset partim captum, partim cæsum esse: Diogenes Piræei præsidio præfectus, missis Corinthum litteris, ea urbe Achæos cedere, quoniam mortuus esset Aratus, jussit. Forte tum aderat Corinthi Aratus, quum literæ illæ

μάτων κομισθέντων παρὼν αὐτὸς ἐν Κορίνθῳ, καὶ διατριβὴν οἱ τοῦ Διογένους καὶ γέλωτα πολὺν παρασχόντες ἀπηλλάγησαν. (2) Αὐτὸς δὲ ὁ βασιλεὺς ἐκ Μακεδονίας ναῦν ἔπεμψεν, ἐφ' ἧς κομισθήσεται πρὸς αὐτὸν ὁ Ἄρατος δεδεμένος. Πᾶσαν δὲ Ἀθηναῖοι κουφότητα κολακείας τῆς πρὸς Μακεδόνας ὑπερβάλλοντες ἐστεφανηφόρησαν, ὅτε πρῶτον ἠγγέλθη τεθνηκώς. Διὸ καὶ πρὸς ὀργὴν εὐθὺς ἐκστρατεύσας ἐπ' αὐτοὺς ἄχρι τῆς Ἀκαδημίας προῆλθεν· εἶτα πεισθεὶς οὐδὲν ἠδίκησεν. b (3) Οἱ δὲ Ἀθηναῖοι συμφρονήσαντες αὐτοῦ τὴν ἀρετήν, ἐπεὶ Δημητρίου τελευτήσαντος ὥρμησαν ἐπὶ τὴν ἐλευθερίαν, ἐκεῖνον ἐκάλουν. Ὁ δέ, καίπερ ἑτέρου μὲν ἄρχοντος τότε τῶν Ἀχαιῶν, αὐτὸς δὲ δι' ἀῤῥωστίαν τινὰ μακρὰν κλινήρης ὑπάρχων, ὅμως ἐν φορείῳ κομιζόμενος ὑπήντησε τῇ πόλει πρὸς τὴν χρείαν καὶ τὸν ἐπὶ τῆς φρουρᾶς Διογένη συνέπεισεν ἀποδοῦναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν καὶ τὴν Σαλαμῖνα καὶ τὸ Σούνιον τοῖς Ἀθηναίοις ἐπὶ πεντήκοντα καὶ ἑκατὸν ταλάντοις, ὧν αὐτὸς ὁ Ἄρατος εἴκοσι τῇ πόλει συνεβάλετο. (4) Προσεχώρησαν δ' εὐθὺς Αἰγινῆται καὶ Ἑρμιονεῖς c τοῖς Ἀχαιοῖς, ἥ τε πλείστη τῆς Ἀρκαδίας αὐτοῖς συνετέλει. Καὶ Μακεδόνων μὲν ἀσχόλων ὄντων διά τινας προσοίκους καὶ ὁμόρους πολέμους, Αἰτωλῶν δὲ συμμαχούντων, ἐπίδοσιν μεγάλην ἡ τῶν Ἀχαιῶν ἔλαβε δύναμις.

XXXV. Ὁ δὲ Ἄρατος ἐξεργαζόμενος τὴν παλαιὰν ὑπόθεσιν καὶ δυσανασχετῶν τὴν ἐν Ἄργει τυραννίδα γειτνιῶσαν αὐτοῖς, ἔπειθε πέμπων τὸν Ἀριστόμαχον εἰς μέσον θεῖναι καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν καὶ ζηλώσαντα Λυδιάδην ἔθνους τηλικούτου μετ' εὐφημίας καὶ τιμῆς στρατηγὸν εἶναι μᾶλλον ἢ μιᾶς πόλεως κινδυνεύοντα καὶ μισούμενον τύραννον. (2) Ὑπακούσαντος d δὲ τοῦ Ἀριστομάχου καὶ κελεύσαντος αὐτῷ πεντήκοντα τάλαντα πέμψαι τὸν Ἄρατον, ὅπως ἀπαλλάξῃ καὶ διαλύσηται τοὺς παρ' αὐτῷ στρατευομένους, καὶ τῶν χρημάτων ποριζομένων, ὁ Λυδιάδης ἔτι στρατηγῶν καὶ φιλοτιμούμενος ἴδιον αὐτοῦ πολίτευμα τοῦτο πρὸς τοὺς Ἀχαιοὺς γενέσθαι, τοῦ μὲν Ἀράτου κατηγόρει πρὸς Ἀριστόμαχον ὡς δυσμενῶς καὶ ἀδιαλλάκτως ἀεὶ πρὸς τοὺς τυράννους ἔχοντες, αὐτῷ δὲ πείσας τὴν πρᾶξιν ἐπιτρέψαι, προσήγαγε τοῖς Ἀχαιοῖς τὸν ἄνθρωπον. (3) Ἔνθα δὴ μάλιστα φανερὰν ἐποίησαν οἱ σύνεδροι τῶν Ἀχαιῶν τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν καὶ πίστιν. e Ἀντειπόντος μὲν γὰρ αὐτοῦ, δι' ὀργὴν ἀπήλασαν τοὺς περὶ τὸν Ἀριστόμαχον· ἐπεὶ δὲ συμπεισθεὶς πάλιν αὐτὸς ἤρξατο περὶ αὐτῶν διαλέγεσθαι παρών, πάντα ταχέως καὶ προθύμως ἐψηφίσαντο καὶ προσεδέξαντο μὲν τοὺς Ἀργείους καὶ Φλιασίους εἰς τὴν πολιτείαν, ἐνιαυτῷ δὲ ὕστερον καὶ τὸν Ἀριστόμαχον εἵλοντο στρατηγόν. (4) Ὁ δὲ εὐημερῶν παρὰ τοῖς Ἀχαιοῖς καὶ βουλόμενος εἰς τὴν Λακωνικὴν ἐμβαλεῖν ἐκάλει τὸν Ἄρατον ἐξ Ἀθηνῶν. Ὁ δὲ ἔγραφε μὲν αὐτῷ τὴν στρατείαν ἀπαγορεύων καὶ τῷ Κλεομένει θράσος ἔχοντι καὶ παραβόλως αὐξανομένῳ συμπλέκεσθαι τοὺς Ἀχαιοὺς f

allatæ sunt, et legati a Diogene, risu jocisque exagitati discesserunt. (2) Ipse etiam rex navem ex Macedonia misit, qua ad se vinctus Aratus adveheretur. Et Athenienses nihil levissimæ adulationis reliquum sibi facientes, ut primum de obitu Arati renuntiatum est, coronas gestarunt. Itaque is irritatus, statim in Atticam facta impressione, usque ad Academiam processit, persuaderi tamen sibi passus est, ut a maleficio abstineret. (3) Ergo Athenienses, virtute ejus perspecta, quum Demetrio mortuo libertatem appeterent, eum acciverunt. Aratus vero, tametsi et alius tum prætor Achæorum erat et ipse diuturno morbo conflictaretur ac decumberet, tamen lectica eo advectus est, Diogenique præfecto præsidii persuasit, ut acceptis quinquaginta talentis (horum viginti Aratus ipse urbi largitus est), Piræeum, Munychiam, Salaminam et Sunium Atheniensibus redderet. (4) Statim ex eo Æginetæ atque Hermionenses et magna pars Arcadiæ se Achæis adjunxerunt, et quum Macedones bella quædam finitima occupatos detinerent, Ætoli autem Achæorum socii essent, magnopere tum aucta est horum potentia.

XXXV. Porro Aratus quum in pristino suo proposito perficiendo perseveraret, tyrannidem Argis in vicinia superstitem inique ferens, missis internuntiis Aristomachum hortatus est, libertatem Argis restitueret, Achæisque urbem adjungeret, exemploque Lydiadis mallet tantæ gentis cum laude et honore dux, quam unius urbis invisus et periculis expositus tyrannus esse. (2) Obtemperante Aristomacho et petente ut quinquaginta talenta Aratus sibi mitteret, quibus militibus suis satisfaceret eosque dimitteret, pecunia jam comparata, Lydiades adhuc præturam gerens, suumque id apud Achæos videri factum cupiens, Aratum, ut implacabili in tyrannos odio flagrantem, apud Aristomachum calumniatus est, persuasitque ut sibi rem totam committeret, atque ita hominem ad Achæos adduxit. (3) Quo quidem tempore præcipue Achæorum consiliarii suam erga Aratum benevolentiam fidemque declararunt. Quum enim is contradiceret, irati Aristomachum repudiarunt; rursus eo in alteram pertracto sententiam, eamque coram defendente, statim omnia libenti animo decreverunt, Argivosque et Phliasios in civitatem suam receperunt, ipsumque insequenti anno Aristomachum prætorem creaverunt. (4) Aristomachus quum suam Achæis operam probaret, inque Laconicam vellet irrumpere, Aratum Athenis ad se vocavit. Verum hic per litteras eam expeditionem dissuasit, quod Achæos committere cum Cleomene audaci homine et subitis incrementis elato nolebat, instanti tamen

μὴ βουλόμενος, ὡρμημένου δὲ πάντως ὑπήκουσε καὶ παρὼν συνεστράτευεν. Ὅτε δὴ καὶ κωλύσας περὶ τὸ Παλλάντιον τοῦ Κλεομένους ἐπιφανέντος αὐτοῖς μάχην συνάψαι τὸν Ἀριστόμαχον ὑπὸ Λυδιάδου κατηγορήθη, καὶ περὶ τῆς στρατηγίας εἰς ἀγῶνα καὶ ἀντιπαραγγελίαν αὐτῷ καταστὰς ἐκράτησε τῇ χειροτονίᾳ καὶ τὸ δωδέκατον ᾑρέθη στρατηγός.

XXXVI. Ἐν ταύτῃ τῇ στρατηγίᾳ περὶ τὸ Λύκαιον
1044 ἡττηθεὶς ὑπὸ τοῦ Κλεομένους ἔφυγε· καὶ πλανηθεὶς a
νυκτὸς ἔδοξε μὲν τεθνάναι καὶ πάλιν οὗτος ὁ λόγος κατ' αὐτοῦ πολὺς ἐξεφοίτησεν εἰς τοὺς Ἕλληνας· ἀνασωθεὶς δὲ καὶ τοὺς στρατιώτας συναγαγὼν οὐκ ἠγάπησεν ἀσφαλῶς ἀπελθεῖν, ἀλλ' ἄριστα τῷ καιρῷ χρησάμενος, οὐδενὸς προσδοκῶντος οὐδὲ συλλογιζομένου τὸ μέλλον, ἐξαίφνης ἐπέπεσε Μαντινεῦσι συμμάχοις οὖσι τοῦ Κλεομένους· καὶ τὴν πόλιν ἑλὼν φρουρὰν ἐνέβαλε καὶ τοὺς μετοίκους πολίτας ἐποίησεν αὐτῶν καὶ μόνος ἃ νικῶντες οὐκ ἂν ῥᾳδίως ἔσχον ἐκτήσατο νενικημένοις τοῖς Ἀχαιοῖς. Αὖθις δὲ τῶν Λακεδαιμονίων ἐπὶ Μεγάλην πόλιν στρατευσάντων, βοηθήσας ὤκνει μὲν ἀψιμαχοῦντι τῷ Κλεομένει λαβὴν παρασχεῖν καὶ τοῖς Μεγαλοπολίταις βια- b
ζομένοις ἀντεῖχεν, οὔτε ἄλλως πρὸς τὰς κατὰ στόμα μάχας εὖ πεφυκὼς καὶ τότε λειπόμενός τε πλήθει καὶ νέον ἤδη παρακμάζοντι τῷ θυμῷ καὶ κεκολασμένῃ τῇ φιλοτιμίᾳ συνεστηκὼς καὶ νομίζων, ἣν διὰ τοῦ τολμᾶν ἐκεῖνος ἐξ οὐχ ὑπαρχόντων ἐκτᾶτο δόξαν, αὐτῷ κεκτημένῳ φυλακτέον εἶναι διὰ τῆς εὐλαβείας.

XXXVII. Οὐ μὴν ἀλλὰ τῶν ψιλῶν ἐκδραμόντων καὶ ὠσαμένων τοὺς Σπαρτιάτας ἄχρι τοῦ στρατοπέδου καὶ περὶ τὰς σκηνὰς διασπαρέντων, ὁ μὲν Ἄρατος οὐδ' c
ὣς ἐπήγαγεν, ἀλλ' ἐν μέσῳ λαβὼν χαράδραν ἐπέστησε καὶ κατεκώλυσε διαβῆναι τοὺς ὁπλίτας· ὁ δὲ Λυδιάδης περιπαθῶν πρὸς τὰ γιγνόμενα καὶ τὸν Ἄρατον κακίζων ἀνεκαλεῖτο τοὺς ἱππεῖς ὡς αὐτὸν ἀξιῶν ἐπιφανῆναι τοῖς διώκουσι καὶ μὴ προέσθαι τὸ νίκημα μηδὲ ἐγκαταλιπεῖν αὐτὸν ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενον. (2) Πολλῶν δὲ συστραφέντων καὶ ἀγαθῶν, ἐπιῤῥωσθεὶς ἐνέβαλε τῷ δεξιῷ τῶν πολεμίων καὶ τρεψάμενος ἐδίωκεν, ὑπὸ θυμοῦ καὶ φιλοτιμίας ἀταμιεύτως ἐπισπασθεὶς εἰς χωρία σκολιὰ καὶ μεστὰ δένδρων πεφυτευμένων καὶ τάφρων πλατειῶν, ἐν οἷς ἐπιθεμένου τοῦ Κλεομένους ἔπεσε λαμπρῶς ἀγωνισάμενος τὸν κάλλιστον τῶν ἀγώνων ἐπὶ θύραις d
τῆς πατρίδος. Οἱ δ' ἄλλοι φεύγοντες εἰς τὴν φάλαγγα καὶ συνταράξαντες τοὺς ὁπλίτας ὅλον τὸ στράτευμα τῆς ἥττης ἐνέπλησαν. (3) Αἰτίαν δὲ μεγάλην ὁ Ἄρατος ἔλαβε δόξας προέσθαι τὸν Λυδιάδην· καὶ βιασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀπερχομένων πρὸς ὀργὴν ἠκολούθησεν αὐτοῖς εἰς Αἴγιον. Ἐκεῖ δὲ συνελθόντες ἐψηφίσαντο μὴ διδόναι χρήματα αὐτῷ μηδὲ μισθοφόρους τρέφειν, ἀλλ' αὐτῷ πορίζειν, εἰ δέοιτο πολεμεῖν.

XXXVIII. Οὕτω δὲ προπηλακισθεὶς ἐβουλεύσατο μὲν εὐθὺς ἀποθέσθαι τὴν σφραγῖδα καὶ τὴν στρατηγίαν ἀφεῖναι· λογισμῷ δὲ χρησάμενος τότε μὲν ὑπέμεινε, καὶ πρὸς Ὀρχομενὸν ἐξαγαγὼν τοὺς Ἀχαιοὺς μάχην ἔθετο e

omnino obtemperavit, sociumque ei se addidit. Quo tempore quum, apud Pallantium Cleomene occurrente, pugnam committere Aristomachum prohiberet, a Lydiade est accusatus, et in certamen cum eo de prætura descendens, suffragiis superavit et prætor duodecimum factus est.

XXXVI. Eo in bello apud Lycæum victus a Cleomene fugit; noctuque vagatus, quum periisse crederetur, multusque de ejus interitu rumor ad Græcos dissiparetur, collectis ad se militibus, non contentus se incolumem discedere posse, sed in rem suam præclare versa occasione, nemine quicquam tale exspectante, subito Mantinenses Cleomeni confœderatos adortus, urbem cepit, præsidium imposuit, inquilinos civitate donavit, et id, quod victores haud facile obtinuissent, victis Achæis confecit. (2) Rursum Lacedæmoniis Megalopolim exercitu petentibus, auxilio sociis profectus, ansam quidem prœlii captanti Cleomeni dare noluit, Megalopolitanosque manum conserere cupientes inhibuit, quum neque alias ad decernendum acie natura esset aptus et tunc militum numero hostibus impar, animo jam elanguescente et ambitione imminuta audaci juveni opponeretur, et gloriam, quam ille novam audacia sua paraverat, sibi jam pridem partam cautione conservandam existimaret.

XXXVII. Itaque quum levis armaturæ milites excursione facta Spartanos usque ad castra repulissent et apud tentoria dispersi essent, ne sic quidem suos eduxit Aratus, sed in medio convalle occupata retinuit graviter armatos et ne eam transirent inhibuit; Lydiades autem indigne ea quæ agebantur ferens, Aratumque culpans, equites ad se vocavit, rogans ut auxilium ferrent hostes consectantibus, neve proderent victoriam, sed ipsum pro patria sua propugnantem adjuvarent. (2) Multis ad eum bonisque viris confluentibus, audacter dextrum hostium cornu invasit, idque pulsum insecutus est, animi robore ambitioneque incautius pertractus in loca obliqua arboribusque consitis et amplis fossis plena, ubi Cleomenes eum adortus, præclare pugnantem pulcherrimumque certamen ante portas patriæ obeuntem interfecit. Reliqui in phalangem confugientes, militibus gravis armaturæ conturbatis, totum exercitum cladis participem fecerunt. (3) Graviter autem crimini datum est Arato, quod Lydiadem videbatur projecisse; Achæisque irato animo discedentibus, coactus est eos Ægium sequi. Ibi consilio habito, decretum est, ne ei pecunia daretur aut milites alerentur, sed si vellet, suis ipse sumptibus belligeraret.

XXXVIII. Ea ignominia motus quum statuisset illico sigillum publicum tradere et prætura se abdicare, tamen suo usus consilio in præsentia sustinuit, et ad Orchomenum ducto exercitu, cum Megistonoo Cleomenis vitrico conflixit.

πρὸς Μεγιστόνουν, τὸν Κλεομένους πατρῷον, ἐν ᾗ κρατήσας τριακοσίους μὲν ἀπέκτεινε, ζῶντα δὲ τὸν Μεγιστόνουν συνέλαβεν. Εἰωθὼς δὲ στρατηγεῖν παρ' ἐνιαυτὸν, ὡς ἡ τάξις αὐτῷ περιῆλθε, καλούμενος ἐξωμόσατο καὶ Τιμόξενος ᾑρέθη στρατηγός. (2) Ἐδόκει δὲ ἡ μὲν πρὸς τοὺς ὄχλους ὀργὴ πρόφασις εἶναι λεγομένη τῆς ἐξωμοσίας ἀπίθανος, αἰτία δ' ἀληθὴς τὰ περιεστῶτα τοὺς Ἀχαιοὺς, οὐκέθ' ὡς πρότερον ἀτρέμα καὶ σχέδην τοῦ Κλεομένους ἐπιβαίνοντος οὐδ' ἐμπλεκομένου ταῖς πολιτικαῖς ἀρχαῖς, ἀλλ' ἐπεὶ τοὺς Ἐφόρους ἀποκτείνας f καὶ τὴν χώραν ἀναδασάμενος καὶ πολλοὺς τῶν μετοίκων ἐμβαλὼν εἰς τὴν πολιτείαν ἔσχεν ἰσχὺν ἀνυπεύθυνον, εὐθὺς ἐπικειμένου τοῖς Ἀχαιοῖς καὶ τῆς ἡγεμονίας ἑαυτὸν ἀξιοῦντος. (3) Διὸ καὶ μέμφονται τὸν Ἄρατον ἐν σάλῳ καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην ἀφέντα καὶ προέμενον ἑτέρῳ τοὺς οἴακας, 1045 ὅτε καλῶς εἶχε καὶ ἀκόντων ἐπιστάντα σώζειν τὸ κοινόν· a εἰ δ' ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῷ Κλεομένει καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων, μηδὲ πληρῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν, μηδὲ οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς ὑπομνήμασι λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι συμμάχους ὑποκοριζόμενον. (4) Εἰ δὲ Κλεομένης ἦν, λεγέσθω γὰρ οὕτως, παράνομος καὶ τυραννικὸς, ἀλλ' Ἡρακλεῖδαι πατέρες αὐτῷ καὶ Σπάρτη πατρὶς, ἧς τὸν ἀφανέστατον ἠξίουν ἀντὶ τοῦ πρώτου Μακεδόνων ἡγε- b μόνα ποιεῖσθαι τοὺς ἔν τινι λόγῳ τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν. Καίτοι Κλεομένης ᾔτει τὴν ἀρχὴν παρὰ τῶν Ἀχαιῶν, ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις ἀντὶ τῆς τιμῆς καὶ τῆς προσηγορίας ἐκείνης, Ἀντίγονος δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθεὶς οὐχ ὑπήκουσε πρὶν τὸν μισθὸν αὐτῷ τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν Ἀκροκόρινθον, ἀτεχνῶς τὸν Αἰσώπου μιμησάμενος κυνηγόν. Οὐ γὰρ πρότερον ἐπέβη τοῖς Ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὑτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῇ φρουρᾷ καὶ τοῖς ὁμήροις ὥσπερ χαλινουμένους ἀνασχέσθαι. (5) Καίτοι πᾶσαν ὁ Ἄρατος ἀφίησι φωνὴν ἀπολογιζόμενος τὴν ἀνάγκην. Ὁ Πο- c λύβιος δὲ αὐτὸν ἐκ πολλοῦ φησι καὶ πρὸ τῆς ἀνάγκης ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλεομένους κρύφα τῷ Ἀντιγόνῳ διαλέγεσθαι καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον. Οὗτοι γὰρ ἐπιέζοντο τῷ πολέμῳ μάλιστα συνεχῶς ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ Κλεομένους. Ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων, ᾧ μὴ τοῦ Πολυβίου μαρτυροῦντος οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. Ἐνθουσιᾷ γὰρ, ὅταν ἅψηται τοῦ Κλεομένους, ὑπ' εὐνοίας καὶ καθάπερ ἐν δίκῃ τῇ ἱστορίᾳ τῷ μὲν ἀντιδικῶν d διατελεῖ, τῷ δὲ συναγορεύων.

XXXIX. Ἀπέβαλον δ' οὖν οἱ Ἀχαιοὶ τὴν Μαντίνειαν, πάλιν ἑλόντος αὐτὴν τοῦ Κλεομένους, καὶ μάχῃ

et trecentis hostium cæsis, ipsum Megistonoum vivum in potestatem suam redegit. Solitus autem alternis annis præturam gerere, quum ordo ipsum posceret vocatus ejuravit et Timoxenus prætor est creatus. (2) Equidem judicatum est eum causam ejurationis haud satis probabilem prætendisse, iram adversus populum, quum revera deterritus periculis Achæos circumstantibus fuerit. Non enim, ut ante, paulatim Cleomenes eos invadebat, neque jam civiles magistratus obibat, sed quum, occisis ephoris agrisque divisis, multisque inquilinis in civitatem cooptatis, potentiam nulli judicio obnoxiam obtineret, statim Achæos invadebat, principatumque sibi in eos postulabat. (3) Vitio itaque dant Arato, quod, rebus multo æstu gravique tempestate jactatis, veluti clavum gubernator dimiserit, aliique concesserit, quo tempore vel invitis præesse rempublicamque servare oportuisset; sin autem de rebus et civibus Achæorum desperabat, præstiterat concedere Cleomeni principatum, quam præsidiis rursus Macedonicis barbariem Græciæ inveheret, aut Acrocorinthum Illyricis et Gallicis armis impleret, aut eos quos ipse artibus suis consiliisque oppugnaverat inque commentariis conviciis laceravit crebris, jam sub honesto sociorum nomine dominos civitatibus imponeret. (4) Quodsi omnino (dicamus enim sic) Cleomenes injustus fuit atque tyrannicus, tamen Heraclidam genere, patria Spartanum fuisse, et quidem iis qui rationem aliquam Græcæ nobilitatis haberent, Spartanorum obscurissimum potius, quam primum inter Macedonas ducem deligendum fuisse existimabant. Quamquam Cleomenes principatum in Achæos petebat, multis ejus honoris ac tituli gratia beneficiis urbes eorum affecturum præ se ferens; Antigonus vero, terra marique dux cum libera potestate designatus, non prius annuit, quam præmii loco ei Acrocorinthus promitteretur, imitatus scilicet in eo venatorem Æsopicum. Neque enim prius inscendit in cervices Achæorum, suppliciter se ei per legatos et decreta submittentium, quam datis obsidibus ii et accepto præsidio tanquam frænum ferre didicissent. (5) Quamquam Aratus nihil non dicit, ut excusationem necessitatis afferat. Et Polybius scribit Aratum multo ante quam eo necessitatis res redirent, ab audacia Cleomenis rebus suorum metuentem, occulta cum Antigono agitasse colloquia ac Megalopolitanos subornasse, qui ab Achæis peterent, ut ii auxilium Antigoni implorarent. Nam Megalopolitani maxime omnium eo bello infestabantur, Cleomene res eorum continuo agente ac ferente. Eadem his de rebus Phylarchus retulit, cui, nisi Polybius astipularetur, non adeo magnam tribuam fidem. Etenim quoties mentio Cleomenis incidit, præ favore erga eum quasi extra se raptus videtur, et tanquam in judicio hunc in historia ubique defendit, illum criminatur.

XXXIX. Achæis quidem Mantinea iterum a Cleomene erepta est, et victi ab eodem apud Hecatombæum magno

μεγάλῃ περὶ τὸ Ἑκατόμβαιον ἡττηθέντες οὕτω κατεπλάγησαν, ὥστε πέμπειν εὐθὺς ἐφ' ἡγεμονίᾳ τὸν Κλεομένη καλοῦντες εἰς Ἄργος. Ὁ δὲ Ἄρατος ὡς ᾔσθετο βαδίζοντα καὶ περὶ Λέρναν ὄντα μετὰ τῆς δυνάμεως, φοβηθεὶς ἀπέστελλε πρέσβεις τοὺς ἀξιοῦντας ὡς παρὰ φίλους καὶ συμμάχους αὐτὸν ἥκειν μετὰ τριακοσίων· εἰ δὲ ἀπιστεῖ, λαβεῖν ὁμήρους. (2) Ταῦτα ὕβριν εἶναι καὶ χλευασμὸν αὐτοῦ φήσας ὁ Κλεομένης ἀνέζευξεν, ἐπιστολὴν γράψας τοῖς Ἀχαιοῖς ἐγκλήματα πολλὰ κατὰ τοῦ Ἀράτου καὶ διαβολὰς ἔχουσαν. Γέγραφε δὲ κἀκεῖνος e ἐπιστολὰς κατὰ τοῦ Κλεομένους· καὶ ἐφέροντο λοιδορίαι καὶ βλασφημίαι μέχρι γάμων καὶ γυναικῶν ἀλλήλους κακῶς λεγόντων. (3) Ἐκ τούτου κήρυκα πέμψας ὁ Κλεομένης πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς, μικροῦ μὲν ἔλαθε τὴν Σικυωνίων πόλιν ἁρπάσας διὰ προδοσίας, ἔγγυθεν δὲ ἀποτραπεὶς Πελλήνῃ προσέβαλε καὶ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκπεσόντος ἔσχε τὴν πόλιν. Ὀλίγῳ δὲ ὕστερον καὶ Φενεὸν ἔλαβε καὶ Πεντέλειον. Εἶτ' εὐθὺς Ἀργεῖοι προσεχώρησαν αὐτῷ καὶ Φλιάσιοι φρουρὰν ἐδέξαντο· καὶ ὅλως οὐδὲν ἔτι τῶν ἐπικτήτων f βέβαιον ἦν τοῖς Ἀχαιοῖς, ἀλλὰ θόρυβος πολὺς ἄφνω περιειστήκει τὸν Ἄρατον, ὁρῶντα τὴν Πελοπόννησον κραδαινομένην καὶ τὰς πόλεις ἐξανισταμένας ὑπὸ τῶν νεωτεριζόντων πανταχόθεν.

XL. Ἠτρέμει γὰρ οὐδὲν οὐδὲ ἔστεργεν ἐπὶ τοῖς 1046 παροῦσιν, ἀλλὰ καὶ Σικυωνίων αὐτῶν καὶ Κορινθίων ἐγένοντο a πολλοὶ καταφανεῖς διειλεγμένοι τῷ Κλεομένει καὶ πάλαι πρὸς τὸ κοινὸν ἰδίων ἐπιθυμίᾳ δυναστειῶν ὑπούλως ἔχοντες. Ἐπὶ τούτους ἐξουσίαν ἀνυπεύθυνον ὁ Ἄρατος λαβὼν τοὺς μὲν ἐν Σικυῶνι διεφθαρμένους ἀπέκτεινε, τοὺς δὲ ἐν Κορίνθῳ πειρώμενος ἀναζητεῖν καὶ κολάζειν ἐξηγρίαινε τὸ πλῆθος ἤδη νοσοῦν καὶ βαρυνόμενον τὴν ὑπὸ τοῖς Ἀχαιοῖς πολιτείαν. (2) Συνδραμόντες οὖν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν μετεπέμποντο τὸν Ἄρατον ἀνελεῖν ἢ συλλαβεῖν πρὸ τῆς ἀποστάσεως ἐγνωκότες. Ὁ δὲ ἧκε μὲν αὐτὸς ἐφελκόμενος τὸν ἵππον ὡς οὐκ ἀπιστῶν οὐδὲ ὑποπτεύων, ἀναπηδησάντων δὲ πολλῶν καὶ λοιδορουμένων αὐτῷ καὶ κατηγορούντων, εὖ πως καθεστῶτι b τῷ προσώπῳ καὶ τῷ λόγῳ πράως ἐκέλευε καθίσαι καὶ μὴ βοᾶν ἀτάκτως ἑστῶτας, ἀλλὰ καὶ τοὺς περὶ θύρας ὄντας εἴσω παριέναι· καὶ ταῦθ' ἅμα λέγων ὑπεξῄει βάδην ὡς παραδώσων τινὶ τὸν ἵππον. (3) Οὕτως δὲ ὑπεκδὺς καὶ τοῖς ὑπαντῶσι τῶν Κορινθίων ἀθορύβως διαλεγόμενος καὶ κελεύων πρὸς τὸ Ἀπολλώνιον βαδίζειν, ὡς ἔλαθε πλησίον τῆς ἄκρας γενόμενος, ἀναπηδήσας ἐπὶ τὸν ἵππον καὶ Κλεοπάτρῳ τῷ ἄρχοντι τῆς φρουρᾶς διακελευσάμενος ἐγκρατῶς φυλάττειν, ἀφίππευσεν εἰς Σικυῶνα, τριάκοντα μὲν αὐτῷ στρατιωτῶν ἑπομένων, τῶν δὲ ἄλλων ἐγκαταλιπόντων καὶ διαῤῥυέντων. (4) Αἰσθόμενοι c δ' οἱ Κορίνθιοι μετ' ὀλίγον τὴν ἀπόδρασιν αὐτοῦ καὶ διώξαντες, ὡς οὐ κατέλαβον, μετεπέμψαντο τὸν Κλεομένη καὶ παρέδοσαν τὴν πόλιν οὐδὲν οἰομένῳ λαμβάνειν παρ' αὐτῶν τοσοῦτον, ὅσου διήμαρτεν ἀφέντων Ἄρατον. Οὗτος μὲν οὖν, προσγενομένων αὐτῷ τῶν

prœlio, ita animis ceciderunt, ut statim Cleomeni imperium in se tradere cogitarent, eumque propterea Argos vocarent. Aratus ut eum venire sensit et jam apud Lernam cum copiis esse, metuens rebus suis legatos misit, qui peterent ut cum trecentis tantum viris ad suos amicos sociosque veniret, aut si diffideret, obsides acciperet. (2) Cleomenes rideri se ab eo et deludi dicens, retro abiit, missa ad Achæos epistola, criminibus et calumniis Arato intentatis plena. Scripsit et hic contra Cleomenem epistolas, mutuoque sibi conviciantes usque ad nuptiarum etiam et mulierum exprobrationes processerunt. (3) Secundum hæc misso præcone qui bellum Achæis indiceret, Cleomenes Sicyonem adortus proditione pæne cepit, sed quum jam prope urbem esset, deflectens Pellenen invasit et duce Achæorum profugiente occupavit; paullo post Pheneum cepit et Pentelëum. Statim quoque Argivi ei accesserunt et Phliasii præsidium acceperunt; omnino autem Achæis nihil eorum, quæ bello ante sibi adjecerant, fidum certumque erat, magnisque tumultibus repente Aratus agitabatur, concussam videns Peloponnesum urbesque passim a novarum rerum studiosis ad defectionem impelli.

XL. Nihil enim præsenti statu contentum videbat, quum multi etiam ipsorum Sicyoniorum et Corinthiorum deprehensi essent cum Cleomene colloquia agitasse, qui jam dudum dominationis adipiscendæ cupidine communes prodiderunt utilitates. Adversus eos Aratus libera potestate armatus, quos in Sicyonia corruptos reperit, eos necari jussit, Corinthi autem etiam inquirere et punire sontes aggressus multitudinem jam laborantem et Achæorum rempublicam inique ferentem exasperavit. (2) Itaque facto in Apollinis templum concursu, eo Aratum advocant, ut vel occiderent, vel captivum detinerent ante defectionem. Venit eo Aratus, ipse suum equum trahens, tanquam non diffidens ipsis, neque sinistri quicquam suspicans; multis vero exsilientibus et convicia ei facientibus, constanti vultu et leni sermone considere eos jussit, neque ita confuse vociferari, sed exspectare dum reliqui etiam intrarent; simulque pedetentim de fano recessit, quasi equi alicui tradendi causa. (3) Itaque se subtrahens, obviam factos Corinthios placide compellans et in ædem Apollinis ire jubens, ut nemine observante prope ad arcem pervenit, in equum insiluit, Cleopatroque præsidii arcis præfecto mandans, uti eam accurate custodiret, Sicyonem contendit, triginta omnino comitatus militibus; ceteri enim deseruerant eum, et in itinere diffluxerant. (4) Corinthii paullo post aufugisse Aratum comperientes frustraque insecuti, Cleomenem accersunt eique urbem tradunt, non tanti accessionem ejus urbis, quanti jacturam elapsi Arati facienti.

τὴν λεγομένην Ἀκτὴν κατοικούντων καὶ τὰς πόλεις ἐγχειρισάντων, ἀπεσταύρου καὶ περιετείχιζε τὸν Ἀκροκόρινθον.

XLI. Τῷ δὲ Ἀράτῳ συνῆλθον εἰς Σικυῶνα τῶν Ἀχαιῶν οἱ πολλοί· καὶ γενομένης ἐκκλησίας, ᾑρέθη στρατηγὸς αὐτοκράτωρ. Καὶ περιεστήσατο φρουρὰν ἐκ τῶν ἑαυτοῦ πολιτῶν, τριάκοντα μὲν ἔτη καὶ τρία πεπολιτευ- d μένος ἐν τοῖς Ἀχαιοῖς, πεπρωτευκὼς δὲ καὶ δυνάμει καὶ δόξῃ τῶν Ἑλλήνων, τότε δὲ ἔρημος καὶ ἄπορος συντετριμμένος, ὥσπερ ἐπὶ ναυαγίου τῆς πατρίδος ἐν τοσούτῳ σάλῳ καὶ κινδύνῳ διαφερόμενος. Καὶ γὰρ Αἰτωλοὶ, δεομένου βοηθεῖν, ἀπείπαντο καὶ τὴν Ἀθηναίων πόλιν χάριτι τοῦ Ἀράτου πρόθυμον οὖσαν οἱ περὶ Εὐκλείδην καὶ Μικίωνα διεκώλυσαν. (2) Ὄντων δὲ τῷ Ἀράτῳ καὶ χρημάτων ἐν Κορίνθῳ καὶ οἰκίας, ὁ Κλεομένης ἥψατο μὲν οὐδενὸς οὐδὲ ἄλλον εἴασε, μεταπεμψάμενος δὲ τοὺς φίλους αὐτοῦ καὶ τοὺς διοικητὰς ἐκέλευσε πάντα διοικεῖν καὶ φυλάσσειν ὡς Ἀράτῳ λόγον ὑφέξοντας· ἰδίᾳ e δὲ πρὸς αὐτὸν ἔπεμψε Τρίπυλον καὶ πάλιν Μεγιστόνουν τὸν πατρωὸν, ὑπισχνούμενος ἄλλα τε πολλὰ καὶ δώδεκα τάλαντα σύνταξιν ἐνιαύσιον, ὑπερβαλλόμενος τῷ ἡμίσει Πτολεμαῖον· ἐκεῖνος γὰρ ἓξ τάλαντα τῷ Ἀράτῳ κατ' ἐνιαυτὸν ἀπέστελλεν. Ἠξίου δὲ τῶν Ἀχαιῶν ἡγεμὼν ἀναγορευθῆναι καὶ κοινῇ μετ' αὐτῶν φυλάσσειν τὸν Ἀκροκόρινθον. (3) Τοῦ δὲ Ἀράτου φήσαντος ὡς οὐκ ἔχοι τὰ πράγματα, μᾶλλον δὲ ὑπ' αὐτῶν ἔχοιτο, καὶ κατειρωνεύσασθαι δόξαντος, ἐμβαλὼν εὐθὺς τὴν Σικυωνίαν f ἐπόρθει καὶ κατέφθειρε καὶ προσεκάθητο τῇ πόλει τρεῖς μῆνας, ἐγκαρτεροῦντος τοῦ Ἀράτου καὶ διαποροῦντος εἰ δέξεται τὸν Ἀντίγονον ἐπὶ τῷ παραδοῦναι τὸν Ἀκροκόρινθον· ἄλλως γὰρ οὐκ ἐβούλετο βοηθεῖν.

XLII. Οἱ μὲν οὖν Ἀχαιοὶ συνεληλυθότες εἰς Αἴγιον, ἐκεῖ τὸν Ἄρατον ἐκάλουν. Ἦν δὲ κίνδυνος τοῦ Κλεο-
1047 μένους πρὸς τῇ πόλει στρατοπεδεύοντος διελθεῖν. Καὶ a κατεῖχον οἱ πολῖται δεόμενοι καὶ προήσεσθαι τὸ σῶμα τῶν πολεμίων ἐγγὺς ὄντων οὐ φάσκοντες· ἐξήρτηντο δὲ αὐτοῦ καὶ γυναῖκες ἤδη καὶ παῖδες ὥσπερ πατρὸς κοινοῦ καὶ σωτῆρος περιεχόμενοι καὶ δακρύοντες. (2) Οὐ μὴν ἀλλὰ θαρρύνας καὶ παραμυθησάμενος αὐτοὺς ἐξίππευσεν ἐπὶ τὴν θάλατταν, ἔχων δέκα φίλους καὶ τὸν υἱὸν ἤδη νεανίαν ὄντα· καὶ παρορμούντων ἐκεῖ πλοίων ἐπιβάντες εἰς Αἴγιον παρεκομίσθησαν ἐπὶ τὴν ἐκκλησίαν, ἐν ᾗ καλεῖν τὸν Ἀντίγονον ἐψηφίσαντο καὶ παραδιδόναι τὸν Ἀκροκόρινθον. Ἔπεμψε δὲ καὶ τὸν υἱὸν Ἄρατος πρὸς αὐτὸν μετὰ τῶν ἄλλων ὁμήρων. Ἐφ' οἷς οἱ Κο- b ρίνθιοι χαλεπῶς φέροντες τά τε χρήματα διήρπασαν αὐτοῦ καὶ τὴν οἰκίαν τῷ Κλεομένει δωρεὰν ἔδωκαν.

XLIII. Τοῦ δ' Ἀντιγόνου προσιόντος ἤδη μετὰ τῆς δυνάμεως (ἦγε δὲ πεζοὺς δισμυρίους Μακεδόνας, ἱππεῖς δὲ χιλίους καὶ τετρακοσίους), ἀπήντα μετὰ τῶν δημιουργῶν ὁ Ἄρατος αὐτῷ κατὰ θάλατταν εἰς Πηγὰς λαθὼν τοὺς πολεμίους, οὐ πάνυ τι θαρρῶν τὸν Ἀντίγονον οὐδὲ πιστεύων τοῖς Μακεδόσιν. Ἤδει γὰρ ηὐξημένον ἑαυτὸν ἐξ ὧν ἐκείνους κακῶς ἐποίησε καὶ πρώτην εἰληφότα

Proinde adjungentibus se ei iis etiam, qui regionem Acten dictam incolunt, urbesque tradentibus, Acrocorinthum vallo munitionibusque clausit.

XLI. Ad Aratum autem multitudo Achæorum Sicyonem convenit; et in concione imperator cum plena potestate creatus, stipatores sibi ex suis civibus delegit. Annos jam triginta tres rempublicam Achæorum administrarat, ac potentia et gloria primum inter Græcos locum tenuerat, tunc vero destitutus et in maximis versans difficultatibus in patriæ velut naufragio in tanto æstu et tempestate jactabatur. Quippe et ab Ætolis auxilium petens repulsam tulit, et Athenienses ei cupientes Euclydes atque Micio prohibebant. (2) Bona et domum Arati, quæ is Corinthi habebat, Cleomenes neque attigit ipse, nec passus est a quoquam violari, sed amicis ejus et curatoribus accitis, omnia ita curare et administrare jussit, ut se Arato rationes reddituros scirent. Privatim autem Tripylum et deinde Megistonoum vitricum ad eum misit quum alia multa promittens, tum duodecim annua talenta, duplo superans Ptolemæum, qui sena talenta Arato annua mittebat, ea conditione, ut ipse Achæorum dux designaretur et una cum iis Acrocorinthum teneret. (3) Respondente Arato, res non in sua, sed se in rerum potestate esse, rideri se existimans, statim in Sicyoniam irrupit, eamque hostiliter vastavit; ac per tres menses Sicyonem obsedit, perferente Arato et adhuc dubitante, utrum traderet Antigono Acrocorinthum; aliter enim se auxilium laturum is negabat.

XLII. Interim Achæi convenerant Ægium, eoque ad se Aratum vocabant. Erat sane periculosum, hoste ante Sicyonem castra habente, eo proficisci; detinebaturque a civibus negantibus se hostibus in proximo sedentibus eum dimissuros; mulieres quoque jam et pueri, tanquam communem patrem servatoremque flentes amplectentesque uti maneret orabant. (2) Nihilominus consolatus eos, utque bona spe essent hortatus, ad mare equitavit, decem secum amicos ducens et filium adolescentem, ac conscensis quæ ibi in statione erant navigiis, Ægium ad concilium pervecti sunt. Decretum ibi est, ut tradito Acrocorintho Antigonus vocaretur, misitque inter reliquos obsides etiam filium suum Aratus. Qua re Corinthii irritati, bona ejus diripuerunt, domumque Cleomeni dono dederunt.

XLIII. Antigono jam cum exercitu adventante (ducebat autem viginti millia peditum Macedonum, equites mille quadringentos, Aratus ei clam hostibus ad Pagas cum principibus civitatis occurrit, haud admodum fidens Antigono ac Macedonibus. Norat enim se eos infestando atque lædendo potentiam suam parasse, primamque et maximam rerum

μεγίστην ὑπόθεσιν τῆς πολιτείας τὴν πρὸς Ἀντίγονον τὸν παλαιὸν ἔχθραν. Ἀλλὰ ὁρῶν ἀπαραίτητον ἐπικειμένην ἀνάγκην καὶ τὸν καιρὸν, ᾧ δουλεύουσιν οἱ δο- c
κοῦντες ἄρχειν, ἐχώρει πρὸς τὸ δεινόν. (2) Ὁ δὲ Ἀντίγονος, ὥς τις αὐτῷ προσιόντα τὸν Ἄρατον ἔφρασε, τοὺς μὲν ἄλλους ἠσπάσατο μετρίως καὶ κοινῶς, ἐκεῖνον δὲ καὶ περὶ τὴν πρώτην ἀπάντησιν ἐδέξατο τῇ τιμῇ περιττῶς καὶ κατὰ τἆλλα πειρώμενος ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος ἐνδοτέρω τῆς χρείας προσηγάγετο. Καὶ γὰρ ἦν ὁ Ἄρατος οὐ μόνον ἐν πράγμασι μεγάλοις ὠφέλιμος, ἀλλὰ καὶ σχολάζοντι βασιλεῖ συγγενέσθαι παρ' ὁντινοῦν ἐπίχαρις. Διὸ, καίπερ ὢν νέος ὁ Ἀντίγονος, ὡς κατενόησε τὴν φύσιν τοῦ ἀνδρὸς μηδὲν ἀργὸν εἰς φιλίαν βασιλικὴν οὖσαν, οὐ μόνον Ἀχαιῶν, ἀλλὰ καὶ Μακεδόνων τῶν σὺν αὐτῷ πάντα [πάντων μάλιστα] χρώμενος ἐκείνῳ διετέλει· καὶ τὸ σημεῖον ἀπέβαινεν, ὡς d
ὁ θεὸς ἐπὶ τῶν ἱερῶν ἔδειξε. (3) Λέγεται γὰρ οὐ πρὸ πολλοῦ θύοντι τῷ Ἀράτῳ δύο χολὰς ἐν ἥπατι φανῆναι μιᾷ πιμελῇ περιεχομένας· καὶ τὸν μάντιν εἰπεῖν, ὡς ταχὺ πρὸς τὰ ἔχθιστα καὶ πολεμιώτατα σύνεισιν εἰς ἄκραν φιλίαν. Τότε μὲν οὖν παρήνεγκε τὸ ῥηθὲν οὐδὲ ἄλλως πολὺ νέμων πίστεως ἱεροῖς καὶ μαντεύμασιν, ἀλλὰ τῷ λογισμῷ χρώμενος. Ἐπεὶ δὲ ὕστερον εὖ χωροῦντι τῷ πολέμῳ συναγαγὼν ὁ Ἀντίγονος ἑστίασιν ἐν Κορίνθῳ καὶ πολλοὺς ὑποδεχόμενος τὸν Ἄρατον ἐπάνω κατέκλινεν ἑαυτοῦ καὶ μετὰ μικρὸν αἰτήσας περιβόλαιον ἠρώτησεν, εἰ δοκεῖ κἀκείνῳ ψῦχος εἶναι, τοῦ δὲ καὶ e
πάνυ ῥιγοῦν φήσαντος, ἐκέλευσε προσχωρεῖν ἐγγυτέρω καὶ δάπιδος κομισθείσης ἀμφοτέρους ὁμοῦ περιέβαλλον οἱ παῖδες· τότε δὴ τὸν Ἄρατον ἀναμνησθέντα τῶν ἱερῶν ἐκείνων γέλως ἔλαβε, καὶ διηγεῖτο τῷ βασιλεῖ τὸ σημεῖον καὶ τὴν προαγόρευσιν. Ἀλλὰ ταῦτα μὲν ἐπράχθη χρόνοις ὕστερον.

XLIV. Ἐν δὲ ταῖς Πηγαῖς δόντες καὶ λαβόντες ὅρκους, εὐθὺς ἐβάδιζον ἐπὶ τοὺς πολεμίους. Καὶ περὶ τὴν πόλιν ἀγῶνες ἦσαν, εὖ πεφραγμένου τοῦ Κλεομένους καὶ τῶν Κορινθίων ἀμυνομένων προθύμως. Ἐν τούτῳ δὲ Ἀριστοτέλης ὁ Ἀργεῖος φίλος ὢν Ἀράτου δια- f
πέμπεται κρύφα πρὸς αὐτὸν, ὡς ἀποστήσων τὴν πόλιν, εἰ στρατιώτας ἐκεῖνος ἔχων ἔλθοι. (2) Τοῦ δὲ Ἀράτου φράσαντος τῷ Ἀντιγόνῳ καὶ μετὰ χιλίων καὶ πεντακοσίων εἰς Ἐπίδαυρον ἐξ Ἰσθμοῦ πλοίοις κομιζομένου κατὰ τάχος, οἱ μὲν Ἀργεῖοι προεξαναστάντες ἐπέθεντο
1048 τοῖς τοῦ Κλεομένους καὶ κατέκλεισαν εἰς τὴν ἀκρόπολιν, a
ὁ δὲ Κλεομένης πυθόμενος ταῦτα καὶ δείσας, μὴ κατασχόντες οἱ πολέμιοι τὸ Ἄργος ἀποκόψωσιν αὐτὸν τῆς οἴκαδε σωτηρίας, ἐκλιπὼν τὸν Ἀκροκόρινθον ἔτι νυκτὸς ἐβοήθει. Καὶ παρελθὼν μὲν εἰς Ἄργος ἔφθη καὶ τροπήν τινα τῶν πολεμίων ἐποίησεν, ὀλίγῳ δὲ ὕστερον Ἀράτου προσφερομένου καὶ τοῦ βασιλέως ἐπιφαινομένου μετὰ τῆς δυνάμεως, ἀπεχώρησεν εἰς Μαντίνειαν. (3) Ἐκ τούτου τοῖς μὲν Ἀχαιοῖς πάλιν αἱ πόλεις ἅπασαι προσεχώρησαν, Ἀντίγονος δὲ τὸν Ἀκροκόρινθον παρέλαβεν, Ἄρατος δὲ στρατηγὸς αἱρεθεὶς ὑπ' Ἀργείων, ἔπεισεν αὐ-

a se gestarum occasionem fuisse inimicitias cum superiore Antigono. Sed tamen summam necessitatem temposque cui serviunt etiam ii qui imperare alioquin videntur, ita postulare sentiens, periculum subiit. (2) Antigonus certior factus Aratum sibi obviam venire, reliquis vulgari comitate salutatis, eum primo congressu perquam honorifice amplexus est, expertusque in ceteris eum virum bonum esse et cordatum, usus est eo familiarissime. Erat enim Aratus non in rebus modo magnis utilis, sed et per otium regi grata ejus erat suavisque ut nullius alius consuetudo. Itaque Antigonus, quanquam juvenis, quum tale viri ingenium deprehendisset, ut regis amicitiæ commodissimum esse intelligeret, non modo Achæorum, sed etiam Macedonum quos circa se habebat, illo omnium maxime in omnibus rebus utebatur, evenitque Arato id, quod divinitus ei portentum fuerat. (3) Ferunt enim ei haud multo ante rem sacram facienti duas bilis vesicas apparuisse in jecinore, una pinguedine contentas, et haruspicem respondisse : mox futurum ut cum summis inimicis summam iniret amicitiam. Atque id tum nihil curavit Aratus, qui alioquin haud multum fidei extispicio et vaticiniis adhibebat, potiusque suis consiliis fidebat; sed postea temporis, quum res prospere succederent, Antigonus convivium Corinthi præbens, multis ad id vocatis, Aratum supra se accumbere jussit, ac paullo post vestem postulavit et ex eo quæsivit, an ipse etiam frigeret, quumque respondisset omnino se algere, admovere se propius et afferre pueros tapetem jussit, eoque se et Aratum tegi; ibi tum Arato ejus sacrificii recordato risus obortus est, isque regi ostentum ejusque interpretationem narravit. Verum hæc postea temporis evenerunt.

XLIV. Tunc autem Pagis juramento societate confirmata, statim adversus hostem contenderunt, certatumque etiam apud ipsam Corinthum est, quam et bene Cleomenes munierat et Corinthii acriter defendebant. Interim Aristoteles Argivus, Arati amicus, occulte missis nuntiis pollicetur se ei, si militem secum adduxisset, urbem traditurum. (2) Aratus, re cum Antigono communicata, ab Isthmo Epidaurum mari cum mille quingentis militibus propere vectus est, et Argivi ante ejus adventum contra Cleomenis præsidium insurrexerunt idque in arcem compulerunt. Cleomenes autem, his auditis, veritus ne occupatis ab hoste Argis sibi domum revertendi occasio occluderetur, omisso Acrocorintho nocte eadem Argos contendit, inque urbem præventis hostibus intravit, et nonnihil etiam eos pulit, pugna congressus; paullo post Arato accedente et Antigono cum copiis se ostentante, Mantineam discessit. (3) Ex eo rursum Achæis omnes se urbes adjunxerunt et Antigonus traditum sibi Acrocorinthum accepit, Aratus autem ab Argivis prætor creatus,

τοὺς Ἀντιγόνῳ τά τε τῶν τυράννων καὶ τὰ τῶν προδοτῶν χρήματα δωρεὰν δοῦναι. Τὸν δὲ Ἀριστόμαχον ἐν Κεγχρεαῖς b στρεβλώσαντες κατεπόντισαν, ἐφ' ᾧ καὶ μάλιστα κακῶς ἤκουσεν ὁ Ἄρατος, ὡς ἄνθρωπον οὐ πονηρόν, ἀλλὰ καὶ κεχρημένον ἐκείνῳ καὶ πεπεισμένον ἀφεῖναι τὴν ἀρχὴν καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν ὅμως περιιδὼν παρανόμως ἀπολλύμενον.

XLV. Ἤδη δὲ καὶ τῶν ἄλλων ἐκείνῳ τὰς αἰτίας ἐπέφερον, οἷον ὅτι τὴν μὲν Κορινθίων πόλιν Ἀντιγόνῳ δωρεὰν ἔδωκαν, ὥσπερ κώμην τὴν τυχοῦσαν, τὸν Ὀρχομενὸν δὲ συνεχώρησαν αὐτῷ διαρπάσαντι φρουρὰν ἐμβαλεῖν Μακεδονικήν, ἐψηφίσαντο δὲ ἄλλῳ μὴ γράφειν βασιλεῖ μηδὲ πρεσβεύειν πρὸς ἄλλον ἄκοντος Ἀντιγόνου, τρέφειν τε καὶ μισθοδοτεῖν ἠναγκάζοντο τοὺς Μακεδόνας c, θυσίας δὲ καὶ πομπὰς καὶ ἀγῶνας Ἀντιγόνῳ συνετέλουν, ἀρξαμένων τῶν Ἀράτου πολιτῶν καὶ δεξαμένων τῇ πόλει τὸν Ἀντίγονον ὑπ' Ἀράτου ξενιζόμενον· ὧν ᾐτιῶντο πάντων ἐκεῖνον, ἀγνοοῦντες ὅτι τὰς ἡνίας ἐκείνῳ παραδεδωκὼς καὶ τῇ ῥύμῃ τῆς βασιλικῆς ἐφελκόμενος ἐξουσίας οὐδενὸς ἦν ἢ μόνης φωνῆς ἔτι κύριος ἐπισφαλῆ τὴν παρρησίαν ἐχούσης. (2) Ἐπεὶ φανερῶς γε πολλὰ τῶν πραττομένων ἐλύπει τὸν Ἄρατον, ὥσπερ τὸ περὶ τῶν εἰκόνων· ὁ γὰρ Ἀντίγονος τὰς μὲν τῶν ἐν Ἄργει τυράννων καταβεβλημένας ἀνέστησε, τὰς δὲ d τῶν ἑλόντων τὸν Ἀκροκόρινθον ἑστώσας ἀνέτρεψε πλὴν μιᾶς τῆς ἐκείνου· καὶ πολλὰ περὶ τούτων δεηθεὶς ὁ Ἄρατος οὐκ ἔπεισεν. (3) Ἐδόκει δὲ καὶ τὰ περὶ Μαντίνειαν οὐχ ἑλληνικῶς διῳκῆσθαι τοῖς Ἀχαιοῖς. Κρατήσαντες γὰρ αὐτῶν δι' Ἀντιγόνου, τοὺς μὲν ἐνδοξοτάτους καὶ πρώτους ἀπέκτειναν, τῶν δ' ἄλλων τοὺς μὲν ἀπέδοντο, τοὺς δ' εἰς Μακεδονίαν ἀπέστειλαν πέδαις δεδεμένους, παῖδας δὲ καὶ γυναῖκας ἠνδραποδίσαντο, τοῦ δὲ συναχθέντος ἀργυρίου τὸ τρίτον αὐτοὶ διείλοντο, τὰς δὲ δύο μοίρας ἔνειμαν τοῖς Μακεδόσι. (4) Καὶ ταῦτα μὲν ἔσχε τὸν τῆς ἀμύνης νόμον· καὶ γὰρ εἰ δεινὸν ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς οὕτω μεταχειρίσασθαι δι' ὀργήν e, ἀλλ' ἐν ἀνάγκαις γλυκὺ γίνεται καὶ οὐ σκληρόν, κατὰ Σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων. (5) Τὰ δὲ μετὰ ταῦτα πραχθέντα περὶ τὴν πόλιν οὔτ' εἰς καλὴν οὔτ' εἰς ἀναγκαίαν ἔστι θέσθαι τῷ Ἀράτῳ πρόφασιν. Τῶν γὰρ Ἀργείων τὴν πόλιν παρ' Ἀτιγόνου δωρεὰν λαβόντων καὶ κατοικίζειν ἐγνωκότων, αὐτὸς οἰκιστὴς αἱρεθεὶς καὶ στρατηγὸς ὢν ἐψηφίσατο μηκέτι καλεῖν Μαντίνειαν, ἀλλ' Ἀντιγόνειαν, ὃ καὶ μέχρι νῦν καλεῖται. Καὶ δοκεῖ δι' ἐκεῖνον ἡ μὲν ἐρατεινὴ Μαντίνεια παντάπασιν ἐξαληλῖφθαι, διαμένει δὲ ἡ πόλις ἐπώνυμος τῶν f ἀπολεσάντων καὶ ἀνελόντων τοὺς πολίτας.

XLVI. Ἐκ τούτου Κλεομένης μὲν ἡττηθεὶς μάχῃ μεγάλῃ περὶ Σελλασίαν ἐξέλιπε τὴν Σπάρτην καὶ ἀπέπλευσεν εἰς Αἴγυπτον, Ἀντίγονος δὲ πάντα τὰ δίκαια
1049 καὶ φιλάνθρωπα τῷ Ἀράτῳ πεποιηκὼς ἀνέζευξεν εἰς Μακεδονίαν· κἀκεῖ νοσῶν ἤδη τὸν διάδοχον τῆς βασιλείας Φίλιππον, οὔπω πάνυ μειράκιον ὄντα, πέμπων

persuasit eis, ut Antigono bona tyrannorum et proditorum dono darent. Iidem Cenchreis Aristomachum excruciatum in mare demerserunt; idque factum magnam infamiam Arato peperit, quod tam injuste necari passus esset hominem non malum, quocum multum fuisset et quem induxisset ad deponendum imperium urbemque Achaico fœderi conjungendam.

XLV. Ac jam cetera quoque ei imputabantur, ut quod Corinthus Antigono, tanquam vilis aliquis pagus, dono est datus, quod Orchomenum ei diripiendam et præsidio Macedonico tenendam permiserunt; quod decreverunt, ne cui regi scriberent, aut legationem ad aliquem regem mitterent injussu Antigoni, quod alere Macedonas et stipendia illis persolvere coacti sunt, quod sacrificia, pompæ et spectacula in honorem Antigoni celebrabantur, Sicyoniis ejus rei initium præbentibus, qui Antigonum Arati hospitem urbe exceperant. Horum omnium culpam vulgus Arato ascribebat, ignorans eum, traditis regni habenis, ejus potentiæ impetu trahi, nihilque præter vocem, cujus periculosa erat libertas, in sua habere potestate. (2) Nam haud obscurum erat pleraque eorum quæ agebantur, Arato graviter displicere, quale fuit, quod Antigonus tyrannorum statuas Argis dejectas reposuit, et eorum, qui Acrocorinthum ceperant, stantes omnes, excepta Arati, dejecerat, diu multumque, sed frustra deprecato Arato. (3) Jam Achæi quæ de Mantinea statuerunt, nequaquam Græco more statuisse judicantur. Capta enim Antigoni opera Mantinea, primos nobilissimosque civium necarunt, reliquos partim vendiderunt, partim compedibus vinctos in Macedoniam miserunt, mulieres et pueros in servitutem abduxerunt, pecuniæque ex mancipiis partæ trientem ipsi inter se diviserunt, besse Macedonibus tributo. (4) Hæc quidem ultionis jure defendi possunt; quippe tametsi atrox est facinus propter iram homines cognatos ac populares ita tractare, tamen necessitate urgente dulce est, ut ait Simonides, neque durum animo tanquam æstuanti præ dolore remedium aliquod adhibere, eumque exsatiare. Quæ vero postea in urbem patrata sunt ab Arato, neque necessariam neque honestam habent excusationem. Quum enim Antigonus Mantineam Argivis dono dedisset, iique coloniam eo ducere statuissent, præfectus ei rei ab ipsis Aratus et prætura fungens decretum fecit, ut urbs non amplius Mantinea, sed Antigonea appellaretur, quod quidem nomen ea adhuc retinet; videturque culpa Arati elegans illa Mantinea protinus deleta, urbsque nunc restare, quæ nomen ab iis servet, qui eam deleverunt et Mantinenses exciderunt.

XLVI. Secundum hæc Cleomenes magna pugna apud Sellasiam victus, relicta Sparta in Ægyptum navigavit, Antigonus erga Aratum omni justitia benignitateque usus, in Macedoniam se recepit; jamque ibi morbo conflictans, successorem regni Philippum, nondum plane adultum, in Pe-

εἰς Πελοπόννησον Ἀράτῳ μάλιστα προσέχειν ἐκέλευσε καὶ δι' ἐκείνου ταῖς πόλεσιν ἐντυχεῖν καὶ γνωρισθῆναι τοῖς Ἀχαιοῖς. Καὶ μέντοι καὶ παραλαβὼν αὐτὸν ὁ Ἄρατος οὕτως διέθηκεν, ὥστε πολλῆς μὲν εὐνοίας πρὸς αὐτὸν, πολλῆς δὲ πρὸς τὰς Ἑλληνικὰς πράξεις φιλοτιμίας καὶ ὁρμῆς μεστὸν εἰς Μακεδονίαν ἀποστεῖλαι.

XLVII. Τελευτήσαντος δὲ Ἀντιγόνου, καταφρονήσαντες Αἰτωλοὶ τῶν Ἀχαιῶν διὰ τὴν ῥᾳθυμίαν (ἐθισθέντες γὰρ ἀλλοτρίαις σώζεσθαι χερσὶ καὶ τοῖς Μακεδόνων b ὅπλοις αὑτοὺς ὑπεσταλκότες ἐν ἀργίᾳ πολλῇ καὶ ἀταξίᾳ διῆγον), ἐπέθεντο τοῖς κατὰ Πελοπόννησον πράγμασι· καὶ τὴν μὲν Πατρέων καὶ Δυμαίων λεηλασίαν ὁδοῦ πάρεργον ἐποιήσαντο, τὴν δὲ Μεσσήνην ἐμβαλόντες ἐπόρθουν. (2) Ἐφ' οἷς ὁ Ἄρατος ἀγανακτῶν καὶ τὸν στρατηγοῦντα τότε τῶν Ἀχαιῶν Τιμόξενον ὁρῶν ὀκνοῦντα καὶ διατρίβοντα τὸν χρόνον, ἤδη τῆς στρατηγίας αὐτῷ τελευτώσης, αὐτὸς ᾑρημένος ἄρχειν μετ' ἐκεῖνον προέλαβεν ἡμέραις πέντε τὴν ἀρχὴν ἕνεκα τοῦ βοηθῆσαι Μεσσηνίοις. Καὶ συναγαγὼν τοὺς Ἀχαιοὺς τοῖς τε σώμασιν ἀγυμνάστους ὄντας καὶ ταῖς διανοίαις c ἐκλελυμένους πρὸς τὸν πόλεμον, ἡττᾶται περὶ Καφύας· (3) καὶ θυμικώτερον ἐστρατηγηκέναι δόξας, οὕτως αὖ πάλιν ἀπημβλύνθη καὶ προήκατο τὰ πράγματα καὶ τὰς ἐλπίδας, ὥστε πολλάκις λαβὴν τοὺς Αἰτωλοὺς παρασχόντας ἀνέχεσθαι καὶ περιορᾶν ὥσπερ κωμάζοντας ἐν τῇ Πελοποννήσῳ μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Αὖθις οὖν τὰς χεῖρας ὀρέγοντες εἰς Μακεδονίαν ἐπεσπῶντο καὶ κατῆγον ἐπὶ τὰς Ἑλληνικὰς πράξεις τὸν Φίλιππον οὐχ ἥκιστα διὰ τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν αὐτοῦ καὶ πίστιν ἐλπίζοντες εὐκόλῳ περὶ πάντα χρήσεσθαι καὶ χειροήθει.

XLVIII. Καὶ τότε πρῶτον Ἀπελλοῦ καὶ Μεγαλαίου καί τινων αὐλικῶν ἄλλων διαβαλλόντων τὸν Ἄρατον, d ἀναπεισθεὶς ὁ βασιλεὺς καὶ συναρχαιρεσιάσας τοῖς ἀπὸ τῆς ἐναντίας στάσεως ἐσπούδασε τοὺς Ἀχαιοὺς ἑλέσθαι στρατηγὸν Ἐπήρατον. Ὡς δ' ἐκείνου μὲν καταφρονουμένου τελέως ὑπὸ τῶν Ἀχαιῶν, τοῦ δὲ Ἀράτου παραμελοῦντος, ἐγίνετο τῶν χρησίμων οὐδὲν, ἔγνω διαμαρτάνων τοῦ παντὸς ὁ Φίλιππος. Καὶ ἀνακρουσάμενος αὖθις ἐπὶ τὸν Ἄρατον, ὅλος ἦν ἐκείνου, καὶ τῶν πραγμάτων αὐτῷ πρός τε δύναμιν καὶ πρὸς εὐδοξίαν ἐπιδιδόντων, ἐξήρτητο τοῦ ἀνδρὸς, ὡς δι' ἐκεῖνον εὐδοκιμῶν καὶ αὐξόμενος. (2) Ἐδόκει τε πᾶσιν ὁ Ἄρατος οὐ μόνον δημοκρατίας, ἀλλὰ καὶ βασιλείας ἀγαθὸς εἶναι e παιδαγωγός. Ἡ γὰρ προαίρεσις αὐτοῦ καὶ τὸ ἦθος ὡς χρῶμα ταῖς πράξεσι τοῦ βασιλέως ἐπεφαίνετο. Καὶ γὰρ ἡ πρὸς Λακεδαιμονίους ἁμαρτόντας μετριότης τοῦ νεανίσκου καὶ ἡ πρὸς Κρῆτας ὁμιλία, δι' ἧς ὅλην προσηγάγετο τὴν νῆσον ἡμέραις ὀλίγαις, ἥ τε πρὸς Αἰτωλοὺς στρατεία γενομένη θαυμαστῶς ἐνεργὸς εὐπειθείας μὲν τῷ Φιλίππῳ δόξαν, εὐβουλίας δὲ τῷ Ἀράτῳ προσετίθει. (3) Καὶ διὰ ταῦτα μᾶλλον οἱ βασιλικοὶ φθονοῦντες, ὡς οὐδὲν ἐπέραινον κρύφα διαβάλλοντες, ἀναφανδὸν ἐλοιδοροῦντο καὶ προσέκρουον αὐτῷ παρὰ

loponnesum misit, mandato ut quam maxime Arato animum adverteret, ejusque opera cum civitatbius colloqueretur, et Achæis innotesceret. Atque hunc sane Aratus acceptum ita tractavit, ut benevolentiæ erga ipsum summique rerum Achaicarum studii plenus in Macedoniam redierit.

XLVII. Mortuo Antigono, Ætoli, contemptis Achæis, qui aliorum manibus assueti servari ac defendi, armis Macedonum se commiserant, altoque in otio et nullo ordine agebant, res Peloponnesiacas aggressi sunt; obiterque præda ex Patrensium et Dymæorum agris acta, in Messeniam irruperunt eamque depopulati sunt. (2) Quod indigne ferens Aratus Timoxenumque eo tempore Achæorum prætorem videns cunctari et tempus terere, quum jam magistratus ejus esset in exitu, ipse prætor designatus, auxilii Messeniis ferendi gratia quinque diebus præturam antecepit, conductisque Achæis, quorum neque corpora exercitationibus ad bellum parata et animi dissoluti erant, apud Caphyas succubuit. (3) Quum autem eam expeditionem creditus esset nimis animose suscepisse, ita tum rursus elanguit, itaque spem omnem et rem dimisit, ut sæpe sibi ansam nocendi præbentes Ætolos impune passus sit multa cum petulantia et ferocia quasi per comessationem insultare Peloponneso. Itaque rursus Achæi in Macedoniam manus intendentes, Philippum ut rebus Græcis operam navaret acciverunt, sperantes ob benevolentiam præcipue ejus erga Aratum se eum facilem mansuetumque in omnibus experturum.

XLVIII. Verum is tum primum calumniis adversus Aratum Apellis et Megalæi aliorumque nonnullorum aulicorum persuasus, contrariæ factioni in deligendo prætore se addidit fautorem, effecitque ut ab Achæis prætor crearetur Eperatus. Sed quum is ab Achæis omnino despiceretur, Aratus rempublicam negligeret atque ita nihil utile ageretur, intelligens Philippus vehementer se errasse, iterum ad Aratum se contulit totumque se ei tradidit. Quumque res ita succederent, ut et gloria et potentia cresceret, totus ab eo dependit, gloriam et incrementa sua ei accepta referens. (2) Videbaturque tum Aratus non popularis modo, sed etiam regii imperii bonus esse magister, cujus ingenium et consilia tanquam color quidam in actionibus regis elucescebant. Nam et animi moderatio juvenis in delicto Lacedæmoniorum puniendo et colloquium cum Cretensibus, quo paucis diebus totam sibi adjunxit insulam, et in Ætolos expeditio, multarum rerum gestarum gloria nobilitata, de Philippo obedientiæ, de Arato prudentiæ opinionem excitaverunt. (3) Eo magis invidentes aulici, quum clandestinis calumniis nihil proficerent, palam convicia ei

τοὺς πότους μετὰ πολλῆς ἀσελγείας καὶ βωμολοχίας· f ἅπαξ δὲ καὶ λίθοις βάλλοντες ἀπιόντα εἰς τὴν σκηνὴν μετὰ τὸ δεῖπνον κατεδίωξαν. Ἐφ' οἷς ὁ Φίλιππος ὀργισθεὶς εὐθὺς μὲν αὐτοὺς ἐζημίωσεν εἴκοσι ταλάντοις, ὕστερον δὲ λυμαίνεσθαι τὰ πράγματα καὶ ταράττειν δοκοῦντας ἀπέκτεινεν.

XXIX. Ἐπεὶ δὲ τῆς τύχης εὐροούσης ἐπαιρόμενος τοῖς πράγμασι πολλὰς μὲν ἀνέφυε καὶ μεγάλας ἐπιθυ-
1050μίας, ἡ δ' ἔμφυτος κακία τὸν παρὰ φύσιν σχηματισμὸν ἐκβιαζομένη καὶ ἀναδύουσα κατὰ μικρὸν ἀπεγύμνου καὶ διέφαινεν αὐτοῦ τὸ ἦθος, a πρῶτον μὲν ἰδίᾳ τὸν νεώτερον Ἄρατον ἠδίκει περὶ τὴν γυναῖκα καὶ πολὺν χρόνον ἐλάνθανεν ἐφέστιος ὢν καὶ ξενιζόμενος ὑπ' αὐτῶν· ἔπειτα πρὸς τὰς Ἑλληνικὰς ἐξετραχύνετο πολιτείας καὶ φανερὸς ἦν ἤδη τὸν Ἄρατον ἀποσειόμενος. (2) Ἀρχὴν δὲ ὑποψίας τὰ Μεσσηνιακὰ παρέσχε. Στασιασάντων γὰρ αὐτῶν, ὁ μὲν Ἄρατος ὑστέρει βοηθῶν, ὁ δὲ Φίλιππος ἡμέρᾳ μιᾷ πρότερον ἐλθὼν εἰς τὴν πόλιν εὐθὺς οἶστρόν τινα κατ' ἀλλήλων ἐνέβαλε τοῖς ἀνθρώποις, ἰδίᾳ μὲν ἐρωτῶν τοὺς στρατηγοὺς τῶν Μεσσηνίων, εἰ νόμους κατὰ τῶν πολλῶν οὐκ ἔχουσιν, ἰδίᾳ δὲ πάλιν b τοὺς τῶν πολλῶν προεστῶτας, εἰ χεῖρας κατὰ τῶν τυραννούντων οὐκ ἔχουσιν. Ἐκ δὲ τούτου θαῤῥήσαντες οἱ μὲν ἄρχοντες ἐπελαμβάνοντο τῶν δημαγωγῶν, ἐκεῖνοι δὲ μετὰ τῶν πολλῶν ἐπελθόντες τούς τε ἄρχοντας ἀπέκτειναν καὶ τῶν ἄλλων ὀλίγον ἀπολείποντας διακοσίων.

L. Οὕτω δὲ δεινὸν ἔργον ἐξειργασμένου τοῦ Φιλίππου καὶ συγκρούοντος ἔτι μᾶλλον ἑαυτοῖς τοὺς Μεσσηνίους, ἐπελθὼν ὁ Ἄρατος αὐτός τε δῆλος ἦν φέρων βαρέως καὶ τὸν υἱὸν ἐπιτιμῶντα πικρῶς τῷ Φιλίππῳ καὶ λοιδορούμενον οὐκ ἐκώλυσεν. Ἐδόκει δὲ ὁ νεανίσκος ἐρᾶν τοῦ Φιλίππου· καὶ τότε λέγων εἶπε πρὸς αὐτὸν, ὡς οὐδὲ καλὸς ἔτι φαίνοιτο τὴν ὄψιν αὐτῷ τοιαῦτα c δράσας, ἀλλὰ πάντων αἴσχιστον. (2) Ὁ δὲ Φίλιππος ἐκείνῳ μὲν οὐδὲν ἀντεῖπε, καίπερ ἐπίδοξος ὢν ὑπ' ὀργῆς καὶ πολλάκις ἐξυλακτήσας λέγοντος αὐτοῦ, τὸν δὲ πρεσβύτερον, ὡς ἐνηνοχὼς πράως τὰ λεχθέντα καί τις ὢν μέτριος καὶ πολιτικὸς τὴν φύσιν, ἀνέστησεν ἐκ τοῦ θεάτρου τὴν δεξιὰν ἐμβαλὼν καὶ προσῆγεν εἰς τὸν Ἰθωμάταν τῷ τε Διὶ θύσων καὶ θεωρήσων τὸν τόπον. Ἔστι γὰρ οὐχ ἧττον εὐερκὴς τοῦ Ἀκροκορίνθου καὶ λαβὼν φρουρὰν γίνεται χαλεπὸς καὶ δυσεκβίαστος τοῖς παροικοῦσιν. (3) Ἀναβὰς δὲ καὶ θύσας, ὡς προσήνεγκεν αὐτῷ τὰ σπλάγχνα τοῦ βοὸς ὁ μάντις, ἀμφοτέραις d ταῖς χερσὶν ὑπολαβὼν ἐδείκνυε τῷ τε Ἀράτῳ καὶ τῷ Φαρίῳ Δημητρίῳ παρὰ μέρος ἀποκλίνων εἰς ἑκάτερον καὶ πυνθανόμενος, τί καθορῶσιν ἐν τοῖς ἱεροῖς, κρατοῦντα τῆς ἄκρας αὐτὸν ἢ τοῖς Μεσσηνίοις ἀποδιδόντα. Γελάσας οὖν ὁ « Δημήτριος Εἰ, μὲν, ἔφη, μάντεως ἔχεις ψυχὴν, ἀφήσεις τὸν τόπον· εἰ δὲ βασιλέως, ἀμφοτέρων τῶν κεράτων τὸν βοῦν καθέξεις, » αἰνιττόμενος τὴν Πελοπόννησον ὡς, εἰ προσλάβοι τὸν Ἰθωμάταν τῷ Ἀκροκορίνθῳ, παντάπασιν ἐσομένην ὑποχείριον καὶ

facere impudenterque et scurriliter rixari cum eo in conviviis cœperunt; semel etiam redeuntem a cœna in tentorium lapidibus impetentes persecuti sunt. Quos Philippus iratus viginti talentis statim mulctavit, et post, quum obesse rebus gerendis turbasque dare viderentur, necavit.

XLIX. Enimvero felici successu rerum elato rege et erumpentibus jam multis vehementibusque cupiditatibus, insita a natura vitia asciticium habitum vicerunt, paulatimque foras se proripuerunt et ingenium regis detexere. Primum privatim minorem Aratum offendit, uxorem ejus corrumpendo, diuque fefellit, quod domesticus esset Aratorum eorumque hospitio uteretur. Deinde rebus publicis Græcis adversari cœpit, neque obscure indicavit excussurum se Arati societatem. (2) Initium suspicionis res Messeniacæ præbuerunt. Quum enim Messenii seditione laborarent, Aratum eo ut opem ferret civitati properantem uno die prævertit Philippus, urbemque ingressus, statim stimulos uni contra alteram factioni indidit, seorsum ex magistratibus quærens, nullasne contra plebem leges et ex ducibus plebis, nullasne contra tyrannos manus haberent. Eo modo utrisque instigatis, magistratus compescere duces vulgi intendit, hi vero cum multitudine facto impetu, magistratus trucidaverunt et de ceteris prope ducentos.

L. Hoc tam atrox facinus quum edidisset Philippus Messeniorumque seditioni quasi flammam addidisset, superveniens Aratus haud dissimulavit indigne se id ferre, filiumque acerbe cum Philippo expostulantem et convicia addentem non inhibuit. Videbatur autem junior Aratus amator esse Philippi; ac tum inter cetera huic dicebat : ne formam quidem ejus sibi jam placere, sed ob id factum sibi eum omnium turpissimum videri. (2) Huic Philippus nihil respondit, quamquam propter iram videbatur sibi non temperaturus, et dicente eo aliquoties sublatraverat. Seniorem autem, simulans modesto et civili se ingenio præditum æquo animo dicta ejus tulisse, manu apprehensum in Ithomatam adduxit, Jovi ibi rem sacram facturus et locum contemplaturus. Est autem arx haud minus munita quam Acrocorinthus; quæ si præsidio teneatur, multum incommodare vicinis vixque omnino expugnari potest. (3) Eo quum ascendisset sacrisque esset operatus, ab haruspice ad se allata exta bovis utraque manu excipiens, Arato et Demetrio Phario monstravit, alternis ad utrumque inclinans interrogansque, ecquid ea teneri a se arcem, an vero Messeniis reddi juberent. Ibi Demetrius ridens, Siquidem, inquit, haruspicis tibi est animus, dimittes arcem; sin regius, utroque cornu bovem tenebis; innuebat autem obscure Peloponnesum, si Philippus Acrocorintho Ithomatam addidisset, plane sub ejus potestate humilemque fore. (4) Aratus

ταπεινήν. (1) Ὁ δὲ Ἄρατος ἐπὶ πολὺ μὲν ἡσύχαζε, δεομένου δὲ τοῦ Φιλίππου τὸ φαινόμενον λέγειν, « Πολλὰ e μὲν, εἶπεν, ὦ Φίλιππε, Κρητῶν ὄρη καὶ μεγάλα, πολλαὶ δὲ Βοιωτῶν ἄκραι καὶ Φωκέων ἐκπεφύκασι τῆς γῆς· εἰσὶ δέ που πολλοὶ καὶ τῶν Ἀκαρνάνων τοῦτο μὲν χερσαῖοι, τοῦτο δὲ ἔναλοι τόποι θαυμαστὰς ὀχυρότητας ἔχοντες· ἀλλ' οὐδένα τούτων κατείληφας καὶ πάντες ἑκουσίως σοι ποιοῦσι τὸ προστασσόμενον. Λῃσταὶ γὰρ ἐμφύονται πέτραις καὶ κρημνῶν περιέχονται, βασιλεῖ δὲ πίστεως καὶ χάριτος ἰσχυρότερον οὐδὲν οὐδὲ ὀχυρώτερον. Ταῦτά σοι τὸ Κρητικὸν ἀνοίγει πέλαγος, ταῦτα τὴν Πελοπόννησον. Ἀπὸ τούτων ὁρμώμενος σὺ τοσοῦτος ἡλικίαν τῶν μὲν ἡγεμὼν, τῶν δὲ κύριος ἤδη καθέστηκας. » Ἔτι λέγοντος αὐτοῦ, τὰ μὲν σπλάγχνα f τῷ μάντει παρέδωκεν ὁ Φίλιππος, ἐκεῖνον δὲ τῆς χειρὸς ἐπισπασάμενος, « Δεῦρο τοίνυν, ἔφη, τὴν αὐτὴν ὁδὸν ἴωμεν, » ὥσπερ ἐκβεβιασμένος ὑπ' αὐτοῦ καὶ τὴν πόλιν ἀφῃρημένος.

LI. Ὁ δὲ Ἄρατος ἀποῤῥέων ἤδη τῆς αὐλῆς καὶ κατὰ μικρὸν ἑαυτὸν ἀνακομιζόμενος ἐκ τῆς πρὸς τὸν 1051 Φίλιππον συνηθείας, διαβαίνοντος εἰς Ἤπειρον αὐτοῦ a καὶ δεομένου συστρατεύειν, ἀπείπατο καὶ κατέμεινε, δεδιὼς ἀναπλησθῆναι δόξης πονηρᾶς ἀφ' ὧν ἐκεῖνος ἔπραττεν. Ἐπεὶ δὲ τάς τε ναῦς ὑπὸ Ῥωμαίων ἀπολέσας αἴσχιστα καὶ ὅλως ἀποτυχὼν ταῖς πράξεσιν ἐπανῆλθεν εἰς Πελοπόννησον καὶ τοὺς Μεσσηνίους αὖθις ἐπιχειρήσας φενακίζειν καὶ μὴ λαθὼν ἠδίκει φανερῶς καὶ τὴν χώραν αὐτῶν ἐπόρθει, παντάπασιν ὁ Ἄρατος ἀπεστράφη καὶ διεβλήθη πρὸς αὐτὸν ἤδη καὶ τῶν περὶ τὴν γυναικωνῖτιν ἀδικημάτων αἰσθόμενος καὶ φέρων ἀνιαρῶς αὐτὸς, ἀποκρυπτόμενος δὲ τὸν υἱόν· εἰδέναι γὰρ ὑβρισμένον περιῆν, ἄλλο δὲ οὐδὲν ἀμύνασθαι μὴ δυναμένῳ. Μεγίστην γὰρ ὁ Φίλιππος δοκεῖ καὶ b παραλογωτάτην μεταβαλέσθαι μεταβολὴν ἐξ ἡμέρου βασιλέως καὶ μειρακίου σώφρονος ἀνὴρ ἀσελγὴς καὶ τύραννος ἐξώλης γενόμενος. Τὸ δὲ οὐκ ἦν ἄρα μεταβολὴ φύσεως, ἀλλ' ἐπίδειξις ἐν ἀδείᾳ κακίας πολὺν χρόνον διὰ φόβον ἀγνοηθείσης.

LII. Ὅτι γὰρ ἦν μεμιγμένον αἰσχύνῃ καὶ φόβῳ τὸ πρὸς τὸν Ἄρατον αὐτοῦ πάθος ἀπ' ἀρχῆς συντεθραμμένον, ἐδήλωσεν οἷς ἔπραξε περὶ αὐτόν. Ἐπιθυμῶν γὰρ ἀνελεῖν τὸν ἄνδρα καὶ νομίζων οὐδ' ἂν ἐλεύθερος ἐκείνου ζῶντος εἶναι, μή τί γε τύραννος ἢ βασιλεὺς, βίᾳ μὲν οὐδὲν ἐπεχείρησε, Ταυρίωνα δὲ τῶν στρατηγῶν τινα καὶ φίλων ἐκέλευσεν ἀδήλῳ τρόπῳ τοῦτο c πρᾶξαι, μάλιστα διὰ φαρμάκων, αὐτοῦ μὴ παρόντος. (2) Ὁ δὲ ποιησάμενος τὸν Ἄρατον συνήθη, φάρμακον αὐτῷ δίδωσιν, οὐκ ὀξὺ καὶ σφοδρὸν, ἀλλὰ τῶν θέρμας τε μαλακὰς τὸ πρῶτον ἐν τῷ σώματι καὶ βῆχα κινούντων ἀμβλεῖαν, εἶτα οὕτως κατὰ μικρὸν εἰς φθορὰν περαινόντων. Οὐ μὴν ἔλαθέ γε τὸν Ἄρατον, ἀλλ' ὡς οὐδὲν ἦν ὄφελος ἐλέγχοντι, πράως καὶ σιωπῇ τὸ πάθος, ὡς δή τινα νόσον κοινὴν καὶ συνήθη νοσῶν, διήντλει. Πλὴν ἑνός γε τῶν συνήθων ἐν τῷ δωματίῳ παρόντος

quum diu tacuisset, rogatus a rege suam sententiam explicare: « Multi, ait, o rex, in Creta magnique montes ex terra enati sunt, multi in Bœotia et Phocide; tum in Acarnania quoque et mediterranei et maritimi loci mirifice muniti, quorum tu quum nullum occuparis, omnes tamen incolæ ultro imperata faciunt. Quippe saxis et præcipitiis latrones inhærent, rex fidelitate suorum et favore fortius tutiusve habet nihil. Ista tibi Creticum mare aperuerunt, ista Peloponnesum. His tu fretus tantula ætate eo pervenisti, ut aliorum jam dominus, aliorum dux sis. » Adhuc eo loquente, Philippus extis haruspici redditis ipsumque Aratum manu trahens, Agedum igitur, inquit, eadem eamus via; subindicans se ab eo victum ac urbe ea privatum.

LI. Aratus vero exinde se jam ex aula subducens, paulatimque consuetudinem cum Philippo declinans, oratus ab eo in Epirum moliente expeditionem ut una proficisceretur, abnuit domique remansit, ne ejus mala facinora sibi ignominiam parerent. Ut vero Philippus turpiter a Romanis exutus classe, et re tota infeliciter gesta, in Peloponnesum rediit Messeniosque frustra aggressus fraude circumvenire, palam infestavit, agrumque eorum est populatus: omnino eum aversatus est Aratus et suspectum habuit, jam etiam injurias gynæceo suo illatas sentiens molesteque ferens, sed tamen clam filio habens; id enim unum restabat, ut is de illata sibi contumelia certior fieret, ulciscendi occasio non erat. Et quidem apparebat Philippum vehementer admodum et præter omnium exspectationem esse immutatum, qui ex adolescente temperante et rege mansueto homo impurus et tyrannus perditissimus esset factus. Verum ea non erat mutatio naturæ, sed in licentia demonstratio nequitiæ propter metum occultatæ.

LII. Quippe mixtam fuisse ex verecundia et metu illius erga Aratum voluntatem, qua ab initio imbutus fuit, iis quæ postea fecit demonstravit. Nam quum eum cuperet de medio sublatum, vivo eo non modo regem aut tyrannum, sed ne liberum quidem se futurum existimans; vi quidem abstinuit, Taurioni autem uni ducum amicorumque suorum rem conficiendam occulto modo et præcipue veneno, idque se absente, mandavit. (2) Atque is Taurio, inita cum Arato familiaritate, venenum ei propinavit, non acre aut vehemens, sed quod primo calores molles in corpore et obtusam efficeret tussim; itaque paulatim ad tabem perduceret. Neque id fefellit Aratum, sed quia detecto flagitio nihil erat effecturus, tacitus placide id malum, veluti communem aliquem et usitatum morbum, pertulit, tamen Ce-

ἀναπτύσας δίαιμον, ἰδόντος ἐκείνου καὶ θαυμάσαντος, « Ταῦτα, εἶπεν, ὦ Κεφάλων, ἐπίχειρα τῆς βασιλι- d κῆς φιλίας. »

LIII. Οὕτω δὲ αὐτοῦ τελευτήσαντος ἐν Αἰγίῳ τὸ ἑπτακαιδέκατον στρατηγοῦντος καὶ τῶν Ἀχαιῶν φιλοτιμουμένων ἐκεῖ γενέσθαι ταφὰς καὶ μνήματα πρέποντα τῷ βίῳ τοῦ ἀνδρὸς, Σικυώνιοι συμφορὰν ἐποιοῦντο μὴ παρ' αὐτοῖς τεθῆναι τὸ σῶμα. Καὶ τοὺς μὲν Ἀχαιοὺς ἔπεισαν ἐφιέναι, νόμου δὲ ὄντος ἀρχαίου μηδένα θάπτεσθαι τειχῶν ἐντὸς ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς Δελφοὺς ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν. Ἡ δὲ αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε·

Βουλεύου, Σικυών, ζωάγριον αἰὲν Ἀράτου e
ἀμφ' ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος;
Ὡς τὸ βαρυνόμενον τῷδ' ἀνέρι καὶ τὸ βαρῦνον
γαίης ἔστ' ἀσέβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

(2) Κομισθείσης δὲ τῆς μαντείας, οἵ τε Ἀχαιοὶ σύμπαντες ἥσθησαν καὶ διαφερόντως οἱ Σικυώνιοι, μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν νεκρὸν ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον· καὶ τόπον ἐξελόμενοι περίοπτον ὥσπερ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν. (3) Καὶ καλεῖται μέχρι νῦν Ἀράτιον, καὶ θύουσιν αὐτῷ f θυσίαν, τὴν μέν, ᾗ τὴν πόλιν ἀπήλλαξε τῆς τυραννίδος ἡμέρᾳ πέμπτῃ Δαισίου μηνὸς, ὃν Ἀθηναῖοι καλοῦσιν Ἀνθεστηριῶνα, καὶ τὴν θυσίαν ἐκείνην Σωτήρια προσαγορεύουσι, τὴν δὲ τοῦ μηνὸς, ἐν ᾧ γενέσθαι τὸν
1052 ἄνδρα διαμνημονεύουσι. Τῆς μὲν οὖν προτέρας τοῦ a Διὸς τοῦ Σωτῆρος κατήρχετο θυηπόλος, τῆς δὲ δευτέρας ὁ τοῦ Ἀράτου, στρόφιον οὐχ ὅλον λευκὸν, ἀλλὰ μεσοπόρφυρον ἔχων, μέλη δὲ ᾔδετο πρὸς κιθάραν ὑπὸ τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν καὶ συνεπόμπευεν ὁ γυμνασίαρχος ἡγούμενος τῶν τε παίδων καὶ τῶν ἐφήβων, εἶτα ἐφείπετο ἡ βουλὴ στεφανηφοροῦσα καὶ τῶν ἄλλων πολιτῶν ὁ βουλόμενος. Ὧν ἔτι δείγματα μικρὰ ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι διαφυλάττουσιν· αἱ δὲ πλεῖσται τῶν τιμῶν ὑπὸ χρόνου καὶ πραγμάτων ἄλλων ἐκλελοίπασιν.

LIV. Ἀλλὰ γὰρ ὁ μὲν πρεσβύτερος Ἄρατος οὕτω βιῶσαι καὶ τοιοῦτος γενέσθαι τὴν φύσιν ἱστορεῖται· τὸν δὲ υἱὸν αὐτοῦ μιαρὸς ὢν φύσει καὶ μετ' ὠμότητος b ὑβριστὴς ὁ Φίλιππος οὐ θανασίμοις, ἀλλὰ μανικοῖς ἐξέστησε τοῦ λογισμοῦ φαρμάκοις· καὶ παρέτρεψεν εἰς δεινὰς καὶ ἀλλοκότους ἐπιφορὰς πράξεων ἀτόπων καὶ σὺν αἰσχύνῃ παθῶν ὀλεθρίων ὀρεγόμενον, ὥστε τὸν θάνατον αὐτῷ, καίπερ ὄντι νέῳ καὶ ἀνθοῦντι, μὴ συμφορὰν, ἀλλὰ ἀπόλυσιν κακῶν καὶ σωτηρίαν γενέσθαι. (2) Δίκας γε μὴν ὁ Φίλιππος οὐ μεμπτὰς Διὶ ξενίῳ καὶ φιλίῳ τῆς ἀνοσιουργίας ταύτης τίνων διετέλεσε. Καταπολεμηθεὶς μὲν γὰρ ὑπὸ Ῥωμαίων ἐπέτρεψεν ἐκείνοις τὰ καθ' αὑτὸν, ἐκπεσὼν δὲ τῆς ἄλλης ἀρχῆς καὶ τὰς ναῦς πλὴν πέντε πάσας προέμενος καὶ χίλια προσεκτίσειν ὁμολογήσας τάλαντα καὶ τὸν υἱὸν ὁμηρεύσοντα

phalone, uno de suis familiaribus in cubiculo astante, cum cruentum exspuisset, vidente eo et admirante : Hæc, ait, præmia sunt amicitiæ regiæ.

LIII. Itaque eo Ægii exstincto, quo tempore decimum septimum præturam gerebat, Achæisque omni studio in id incumbentibus, ut ibidem digna ejus vita sepultura monumentisque ornaretur, Sicyonii calamitatis loco ducebant, si alibi quam apud se ille sepeliretur, impetraruntque ab Achæis, ut sibi humandus concederetur. Quia autem antiqua erat lex, ne quis intra muros sepeliretur, eamque legem magna comitabatur superstitio, Delphos miserunt ea de re sciscitatum Pythiam. Est autem iis tale oraculum redditum :

Perpetua acceptæ monumenta salutis Arato,
o Sicyon, si consultas : festos celebrandos
defuncto decerne duci et solemnia sacra.
Quippe nefastus erit terræ cœlive marisve
qui gravet heroem hunc locus impositumve gravetur.

(2) Hoc allato responso quum ceteri Achæi, tum vero præcipue Sicyonii delectati sunt, mutatoque in festivitatem luctu, coronati albisque induti vestibus corpus ejus statim ab Ægio Sicyonem deportarunt, pæanes choris accinentes, ac loco delecto, qui omnium conspectui pateret, tanquam conditorem servatoremque urbis sepeliverunt. (3) Loco etiamnum est nomen Aratium. Sacrificia duo in ejus honorem celebrabantur quotannis, alterum eo die, quo urbem tyrannide liberavit, quinto scilicet die Dæsii mensis, quem Athenienses Anthesterionem appellant, sacrificium a salute parta Soteria nominabant; alterum eo mense peragebatur, in quem ejus natalis competiisse traditur. Prius sacrificium Jovis servatoris sacerdos auspicabatur, posterius quidam Arati, strophium non totum album, sed semipurpureum tenens; ab histrionibus ad citharam carmina accinebantur, pompamque puerorum et epheborum juxta ducebat gymnasiarcha, sequente senatu coronato et ceteris, qui volebant, civibus. Ut defungantur suo officio Sicyonii, adhuc quædam eorum indicia servant ac celebrant; pleraque in honorem Arati instituta, temporum et rerum mutationes abolcverunt.

LIV. Atque ita vixisse Aratum majorem talemque ejus naturæ proprietatem fuisse memoriæ proditum est. Porro autem Aratum juniorem scelerosus homo et juxta injuriosus atque crudelis, Philippus, non letalibus, sed ad insaniam redigentibus venenis de potestate mentis deturbavit, ita ut absurdos atrocesque impetus ad facinora horrenda caperet, resque perniciosas cum dedecore appeteret, adeoque mors ei, quanquam juveni et florenti, non calamitas, sed liberatio a malis et salus accidit. (2) Præclaras autem pœnas Jovi hospitii amicitiæque tutori suorum scelerum dedit Philippus, easque continentes. Etenim debellatus a Romanis, quum suas res eorum arbitrio permisisset, misericordia eorum Macedoniam et ad eam pertinentes regiones obtinuit, reliquis omnibus spoliatus et navibus, præter quinque, universis, pactusque mille talenta se soluturum, filium obsidem

παραδοὺς δι' οἶκτον ἔτυχε Μακεδονίας καὶ τῶν συντελούντων. (3) Ἀποκτείνων δὲ ἀεὶ τοὺς ἀρίστους καὶ συγγενεστάτους, φρίκης ἐνέπλησε καὶ μίσους ὅλην τὴν βασιλείαν πρὸς αὐτόν. Ἓν δὲ μόνον ἐν τοσούτοις κακοῖς εὐτύχημα κτησάμενος, υἱὸν ἀρετῇ διαφέροντα, τοῦτον φθόνῳ καὶ ζηλοτυπίᾳ τῆς παρὰ Ῥωμαίοις τιμῆς ἀνεῖλε, Περσεῖ δὲ θατέρῳ τὴν ἀρχὴν παρέδωκεν, ὃν οὐ γνήσιον, ἀλλ' ὑπόβλητον εἶναί φασιν, ἐκ Γναθαινίου τινὸς ἀκεστρίας γενόμενον. Τοῦτον Αἰμίλιος ἐθριάμβευσε· καὶ κατέστρεψεν ἐνταῦθα τῆς Ἀντιγονικῆς βασιλείας ἡ διαδοχή. Τὸ δὲ Ἀράτου γένος ἐν τῇ Σικυῶνι καὶ τῇ Πελλήνῃ διέμεινε καθ' ἡμᾶς.

c tradidit. (3) Proinde optimos quosque et genere proximos necans metu et odio sui quum totum implevisset regnum, filium virtute præstantem (quod unum ei inter tot mala bonum supererat) invidia honoris, in quo is apud Romanos erat, interfecit; Perseo alteri filio, quem non genuinum fuisse, sed suppositicium, Gnathænio sartrice natum perhibent, regnum reliquit. De hoc Perseo triumphavit Æmilius, inque eo successio regum ab Antigono prognatorum d desiit. Arati genus Sicyone et Pellenæ in hunc usque diem propagatum est.

ΓΑΛΒΑΣ.

Ὁ μὲν Ἀθηναῖος Ἰφικράτης τὸν μισθοφόρον ἠξίου στρατιώτην καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν ἀγωνίζηται b παραβολώτερον, οἱ δὲ πλεῖστοι, καθάπερ ἐῤῥωμένον σῶμα τὸ στρατιωτικὸν ἀξιοῦσιν ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. Διὸ καὶ Παῦλον Αἰμίλιον λέγουσι τὴν ἐν Μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας, οἷον διαστρατηγοῦσαν, ἀνάπλεων, παρεγγυῆσαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. (2) Ὁ δὲ Πλάτων οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ; στρατιᾶς μὴ σωφρονούσης μηδὲ ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν ὁμοίως τῇ βασιλικῇ νομίζων φύσεώς τε γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι μάλιστα τῷ πράῳ καὶ φιλανθρώπῳ τὸ θυμοει- c δὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλὰ καὶ τὰ Ῥωμαίοις συμπεσόντα μετὰ τὴν Νέρωνος τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. (3) Δημάδης μὲν γὰρ Ἀλεξάνδρου τελευτήσαντος εἴκαζε τὴν Μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ Κύκλωπι πολλὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους· τὴν δὲ Ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις Τιτανικοῖς πάθεσι καὶ κινήμασι κατελάμβανεν εἰς d πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν, οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ δι' ἀλλήλων ὥσπερ ἥλους τοὺς ἡγεμόνας ἐκκρούοντος. (4) Καίτοι Διονύσιος Φεραῖον ἄρξαντα Θετταλῶν δέκα μῆνας, εἶτα εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει τύραννον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. Ἡ δὲ τῶν Καισάρων ἑστία, τὸ Παλάτιον, ἐν ἐλάσσονι χρόνῳ τέσσαρας αὐτοκράτορας ὑπεδέξατο, τὸν μὲν εἰσαγόντων ὥσπερ διὰ σκηνῆς, τὸν δ' ἐξαγόντων. Ἀλλ' ἦν γε παραμυθία τοῖς κακῶς πά- e σχουσι μία τὸ μὴ δεηθῆναι δίκης ἑτέρας ἐπὶ τοὺς αἰτίους, ἀλλ' ὁρᾶν αὐτοὺς ὑφ' ἑαυτῶν φονευομένους, πρῶτον δὲ καὶ δικαιότατα πάντων τὸν δελεάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ Καίσαρος, ὅσον αὐτὸς ὑπέσχετο κάλλιστον ἔργον διαβαλὼν τῷ μισθῷ, τὴν ἀπὸ Νέρωνος ἀποστασίαν προδοσίαν γενομένην.

II. Νυμφίδιος γὰρ Σαβῖνος ὢν ἔπαρχος, ὥσπερ εἴρηται, μετὰ Τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ Νέρωνος ἀπέγνωστο παντάπασι καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς Αἴγυπτον, ἔπεισε τὸ στρατιωτικόν, ὡς μηκέτι παρόντος, ἀλλ' ἤδη πεφευγότος, αὐτοκράτορα Γάλβαν ἀναγο- f ρεῦσαι, καὶ δωρεὰν ὑπέσχετο κατ' ἄνδρα τοῖς αὐλικοῖς καὶ στρατηγικοῖς προσαγορευομένοις δραχμὰς ἑπτακισ-

GALBA.

Iphicrates quidem Atheniensis in mercenario milite quum divitiarum tum voluptatum cupiditatem requirit, ut sumptus quærens, qui ad voluptates perfruendas suppeditent, tanto audacius pericula adeat. Plerique exercitum veluti validum corpus, nullo proprio impetu, sed ducis tantum motibus cieri debere asserunt. Quapropter ferunt Æmilium Paulum, quum is exercitum in Macedonia accepisset loquacitatis et curiositatis plenum et se curis muneribusque imperatoriis ingerentem, præcepisse ei, ut unusquisque manum promptam et acutum gladium præstaret, sibi reliqua curæ fore. (2) Platoni etiam bonum imperatorem et ducem nihil efficere posse perhibenti, nisi eodem modo affectum et moderatum habeat exercitum, virtutemque obtemperandi haud minus quam regiam existimanti indigere et generosa indole et educatione philosophica, quæ prærsertim concinne temperet mansuetudine vehementiam iracundiamque animi: quum alii multi casus testimonium perhibent, tum ea quæ post Neronis obitum acciderunt Romanis, ostenduntque ea nihil esse in imperio terribilius exercitu qui impetibus ab imperitia profectis nullaque ratione aut consilio coercitus feratur. (3) Demades Macedonicum exercitum Alexandro vita functo Cyclopi excæcato conferebat, videns eum multis inordinatis et incertis agitari motibus: Romanorum vero imperium iisdem affectum est malis atque motibus, quibus Titanas ferunt, simul et in multas divulsum partes et in sese passim mutuo incidens, neque id tantum ambitione designatorum imperatorum, quantum avaritia et libidine militum, imperatorem imperatore velut clavum clavo expellentium. (4) Quanquam Dionysius Pheræum illum, qui tyrannide per decem tantum menses in Thessalos obtenta interfectus fuit, Tragicum vocabat tyrannum, subitæ mutationi illudens. At vero Palatium, Cæsarum domus, breviori temporis spatio quattuor imperatores excepit, militibus tanquam in scena modo introducentibus aliquem, modo educentibus. Id unicum consolabatur eos qui in calamitatem incidebant, quod non aliam vindictam expetendam sibi ab auctoribus malorum, sed ipsos ab se ipsis interfici cernebant. Primum eo modo pœnas luit Nymphidius Sabinus et quidem justissimas, qui primus animos hominum inescaverat, docueratque mutatione Cæsaris magnum præmium quærere, et pulcherrimum facinus, defectionem scilicet a Nerone, mercede promissa in proditionem verterat.

II. Is enim Nymphidius, præfectus, uti demonstravimus, aulæ cum Tigellino, ut primum Nero rebus suis deploratis videbatur in Ægyptum fuga abiturus, perinde ac si is non amplius adesset, sed jam perfugisset, militibus persuasit uti Galbam imperatorem crearent, promisitque ejus rei gratia aulicis et prætoriis, ut vocant, militibus viritim denarios septies mille et quingenos, iis qui in provinciis milita-

χιλίας, τοῖς δὲ ἐκτὸς στρατευομένοις πεντήκοντα καὶ
διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν
1054 μὴ πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν ἀνθρώ- a
ποις ὧν Νέρων παρέσχε. (2) Τοῦτο γὰρ εὐθὺς μὲν
ἀπώλεσε Νέρωνα, μετ' ὀλίγον δὲ καὶ Γάλβαν. Τὸν
μὲν γὰρ ὡς ληψόμενοι προήκαντο, τὸν δὲ μὴ λαμβά-
νοντες ἀπέκτειναν. Εἶτα τὸν τοσοῦτον δώσοντα ζη-
τοῦντες ἔφθησαν ἐν ταῖς ἀποστάσεσι καὶ προδοσίαις
ἀναλώσαντες αὑτοὺς ἢ τυχόντες ὧν ἤλπισαν. Τὰ μὲν
οὖν καθ' ἕκαστα τῶν γενομένων ἀπαγγέλλειν ἀκριβῶς
τῆς πραγματικῆς ἱστορίας ἐστίν· ὅσα δὲ ἄξια λόγου τοῖς
τῶν Καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδὲ
ἐμοὶ προσήκει παρελθεῖν.

III. Γάλβας Σουλπίκιος ὅτι μὲν ἰδιώτης πλουσιώτα-
τος ἁπάντων εἰς τὸν Καισάρων παρῆλθεν οἶκον, ὁμολο-
γεῖται· μέγα δὲ ἔχων εὐγενείας ἀξίωμα τὸν Σερουίων b
οἶκον, αὐτὸς ἐφρόνει μεῖζον ἐπὶ τῇ Κάτλου συγγενείᾳ,
πρωτεύσαντος ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτὸν,
εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν. Ἦν
δέ τι καὶ Λιβίᾳ τῇ Καίσαρος γυναικὶ κατὰ γένος προσ-
ήκων ὁ Γάλβας, καὶ διὰ τοῦτο Λιβίας παρασχούσης
ὕπατος ἐκ Παλατίου προῆλθε. (2) Λέγεται δὲ καὶ
στρατεύματος ἐν Γερμανίᾳ καλῶς ἄρξαι καὶ Λιβύης
ἀνθύπατος γενόμενος σὺν ὀλίγοις ἐπαινεθῆναι. Τὸ δὲ
εὔκολον αὐτοῦ τῆς διαίτης καὶ φειδωλὸν ἐν δαπάναις
καὶ ἀπέριττον αἰτίαν ἔσχεν αὐτοκράτορος γενομένου
μικρολογίας, ἣν ἕωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ c
σωφροσύνης. Ἐπέμφθη δὲ ὑπὸ Νέρωνος Ἰβηρίας ἄρ-
χων, οὔπω δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι
μεγάλους τῶν πολιτῶν. Ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι
πρᾴῳ γεγονέναι προσετίθει πίστιν εὐλαβείας τὸ γῆρας.

IV. Ἐπεὶ δὲ, τῶν ἀλιτηρίων ἐπιτρόπων ὠμῶς καὶ
ἀγρίως τὰς ἐπαρχίας ἐκείνῳ διαφορούντων, ἄλλο μὲν
εἶχεν οὐδὲν βοηθεῖν, αὐτῷ δὲ τῷ φανερὸς εἶναι συναλ-
γῶν καὶ συναδικούμενος ἁμωσγέπως ἀναπνοήν τινα καὶ
παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις
παρέσχε· καὶ ποιημάτων εἰς Νέρωνα γινομένων καὶ
πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν d
οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις· ἐφ' οἷς ἔτι μᾶλλον
ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων. Καὶ γὰρ ἦν ἤδη συνήθης,
ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων, ἐν ᾧ Ἰούνιος Οὐίν-
διξ ἐπανέστη Νέρωνι Γαλατίας ὢν στρατηγός. (2) Λέ-
γεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς ἀποστάσεως γράμ-
ματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ Οὐίνδικος, οἷς
μήτε πιστεῦσαι μήτε μηνῦσαι καὶ κατειπεῖν, ὡς ἕτεροι
τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν
πρὸς Νέρωνα καὶ διέφθειραν ὅσον ἐπ' αὐτοῖς τὴν πρᾶ-
ξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν αὑτῶν οὐδὲν
ἧττον ἢ ἐκείνου προδόται γεγονέναι. (3) Ἀλλ' ἐπειδὴ e
λαμπρῶς τὸν πόλεμον ἐκφήνας ὁ Οὐίνδιξ ἔγραψε τῷ
Γάλβᾳ παρακαλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν καὶ πα-
ρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν, ταῖς
Γαλατίαις, δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις
ἄλλας τε πλείονας ὁπλίσαι δυναμέναις, προὔθηκε βουλὴν

bant, mille ducenos et quinquagenos: quam pecuniam, nisi sexcenties pluribus quam Nero maleficiis totum humanum genus affecisset, nullo modo comparare poterat. (2) Ea promissio primum Neronem, mox Galbam perdidit. Quorum alterum spe accipiendi prodiderunt, alterum quod non pendebat necaverunt. Ac postea quærentes eum qui tantundem daret, priusquam voto potirentur, inter defectiones et proditiones perierunt ipsi. Singula eventa commemorare, amplioris est historiæ; quæ autem digna memoratu Cæsaribus acciderunt, prætermittenda mihi nequaquam duxi.

III. Sulpicium Galbam privatorum omnium opulentissimum in domum Cæsarum intrasse constat. Quum esset autem ob nobilitatem gentis Serviorum magni nominis, majores tamen sibi sumebat spiritus propterea, quod ad Catulum stemma suum pertineret, hominem virtute et gloria inter æquales primum, licet potentiam ultro aliis concessisset. Liviam quoque Augusti uxorem cognatione attingebat Galba, eaque ita operam dante, consul ex Palatio progressus est. (2) Fertur, quum exercitui in Germania præclare præfuisset, tum ita proconsul Africam gubernasse, ut inter paucos laudem meruerit. Frugalitas ejus in victu, et in sumptibus faciendis parsimonia imperium adepto tanquam sordes vitio data est, unde marcidam quandam moderationis atque frugalitatis consequebatur gloriam. Missus est ad regendam Hispaniam a Nerone, nondum sibi a civibus magnæ existimationis metuere docto; Galba, vel natura mansueto habito, cautionis opinionem senectus adjungebat.

IV. Quum autem ibi scelerati procuratores Neronis crudeliter provincias lacerarent, quia nihil aliud poterat auxilii ferre, manifesta tamen sua miseratione et indignatione utcunque respirandi occasionem et consolationem iis qui damnabantur vendebanturque præbuit; quumque in Neronem carmina componerentur et passim circumferrentur atque cantarentur, non prohibuit, neque ut procuratores indigne tulit. Propterea gratior erat acceptiorque hominibus, jam diuturnitate etiam temporis familiaris factus. Octavum enim jam annum provinciæ præerat, quum Junius Vindex Galliæ præfectus contra Neronem insurrexit. (2) Sane ferunt ad eum a Vindice etiam antequam palam deficeret literas missas, quibus ille quum non fideret, non divulgasse tamen rem, neque more aliorum provinciarum præfectorum fecisse, qui epistolas ad se scriptas ad Neronem miserunt, et quantum in ipsis fuit, consilia Vindicis, irrita fecerunt, qui ipsi tamen deinde, quum ejus actioni socios se adjungerent, fassi sunt se non minus ipsorum quam Galbæ proditores fuisse. (3) Sed postquam Vindex manifestum bellum parans ad eum scripsit, hortans ut imperium susciperet, seque valido corpori caput quærenti imponeret, Galliæ nimirum, quæ centum hominum millia in armis haberet et armare plura posset; ibi tum Galba deliberationem cum ami-

τοῖς φίλοις. Ὧν οἱ μὲν ἠξίουν περιμένειν καραδοκοῦντα, τίνα κίνησιν ἡ Ῥώμη καὶ φορὰν ἕξει πρὸς τὸν νεωτερισμόν. Τίτος δὲ Οὐίνιος ὁ τοῦ στρατηγικοῦ τάγματος ἡγεμὼν εὐθὺς εἶπεν, « Ὦ Γάλβα, τίνα τρόπον βουλεύεσθε; τὸ γὰρ ζητεῖν, Νέρωνι εἰ πιστοὶ μενοῦμεν, οὐκ ἤδη μενόντων ἐστίν. Ὡς οὖν ὑπάρχοντος ἐχθροῦ Νέρωνος, οὐ δὴ προετέον τὴν τοῦ Οὐίνδικος φιλίαν ἢ καὶ f
κατηγορητέον εὐθὺς αὐτοῦ καὶ πολεμητέον, ὅτι σὲ βούλεται Ῥωμαίους ἔχειν ἄρχοντα μᾶλλον ἢ Νέρωνα τύραννον. »

V. Ἐκ τούτου προγράμματι μὲν ἐδήλωσεν ὁ Γάλ-
1055 βας ἡμέραν, ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώ- a
σει τοῖς δεομένοις, λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν νεωτερισμόν. Οὐκ ἔφθη γοῦν φανερὸς ἐπὶ τοῦ βήματος γενόμενος καὶ πάντες αὐτὸν ὁμοφώνως αὐτοκράτορα προσεῖπον. Ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν, κατηγορήσας δὲ τοῦ Νέρωνος καὶ τῶν ἀνῃρημένων ἀνδρῶν ὑπ' αὐτοῦ τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος ὡμολόγησεν ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε Καῖσαρ οὔτ' αὐτοκράτωρ, στρατηγὸς δὲ συγκλήτου καὶ δήμου Ῥωμαίων ὀνομαζόμενος. (2) Ὅτι δ' ὀρθῶς ὁ Οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλεῖτο τὸν Γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπιστώσατο b
μάρτυρι τῷ Νέρωνι. Προσποιούμενος γὰρ ἐκείνου καταφρονεῖν καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ Γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Γάλβαν (ἔτυχε δὲ λελουμένος καὶ ἀριστῶν) ἀνέτρεψε τὴν τράπεζαν. Οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πολέμιον τὸν Γάλβαν, αὐτός τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους βουλόμενος οὐ φαύλην ἔφη πρόρρησιν ἐμπεπτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ· καὶ τὰ μὲν Γαλατῶν, ὅταν ὑποχείριοι γένωνται, λαφυραγωγήσεσθαι καὶ λίαν, ἡ δὲ Γάλβα πάρεστιν οὐσία χρῆσθαι καὶ πωλεῖν ἤδη πολεμίου πεφηνότος. Οὗτός τε δὴ τὰ Γάλβα πιπράσκειν ἐκέλευε, καὶ Γάλβας ἀκούσας ὅσα Νέρωνος c
ἦν ἐν Ἰβηρίᾳ κηρύττων εὕρισκε πολλοὺς προθυμοτέρους ὠνητάς.

VI. Ἀφισταμένων δὲ πολλῶν τοῦ Νέρωνος καὶ πάντων ἐπιεικῶς τῷ Γάλβᾳ προστιθεμένων, μόνος Κλώδιος Μάκρος ἐν Λιβύῃ καὶ Οὐεργίνιος Ῥοῦφος ἐν Γαλατίᾳ τοῦ Γερμανικοῦ στρατεύματος ἡγούμενος, αὐτοὶ καθ' ἑαυτοὺς ἔπραττον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες. Ἀλλ' ὁ μὲν Κλώδιος ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις ἀνδρῶν, δι' ὠμότητα καὶ πλεονεξίαν δῆλος ἦν ἐν τῷ μήτε κατέχειν μήτε ἀφιέναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος, Οὐεργίνιος δὲ ταγμάτων ἐπιστατῶν δυνατωτάτων πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα d
καὶ βιαζομένων, οὔτε αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν οὔτε ἄλλῳ περιόψεσθαι διδομένην, ὃν ἂν μὴ ἡ σύγκλητος ἕληται. (2) Ταῦτα τὸν Γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον· ἐπεὶ δὲ τὰ Οὐεργινίου καὶ Οὐίνδικος στρατεύματα τρόπον τινὰ βίᾳ τοὺς ἡγεμόνας, ὥσπερ ἡνιόχους κρατῆσαι χαλινῶν μὴ δυνηθέντας, εἰς μάχην

cis instituit. Pars eorum exspectandum censebant tantisper dum appareret, qui motus Romæ ad novas res exsisterent. T. autem Vinius, prætoriæ cohortis dux, illico, Quid deliberatis, inquit, o Galba? equidem quærere si Neroni fidem servemus, jam non servantium est. Ergo Neronem pro hoste haud dubie habentibus, nequaquam Vindicis societas est dimittenda, aut profecto accusandus statim est belloque petendus, quod te Romanorum imperatorem, quam Neronem tyrannum esse mavult.

V. Proinde edicto diem Galba indicavit, quo libertatem singulatim petentibus esset daturus; interim rumor dissipatus multitudinem hominum accivit, novarum rerum cupidam. Itaque vix in tribunali conspectus est, quum una omnium voce Imperator est salutatus. Quo ille in præsentia nomine repudiato, in Neronem invectus clarissimisque eorum quos ille necaverat deploratis, professus est se suam patriæ prudentiam utendam dare, neque vel Cæsaris, vel imperatoris, sed legati senatus populique Romani nomen accipere. (2) Recte atque prudenter Vindicem egisse, quod Galbæ summam rerum detulit, ipse Nero testatum fecit. Simulans enim is se Vindicem contemnere, neque quicquam curare motus Gallicos, simul ac de Galba inaudiit, mensam, ut tum a balneo prandebat, subvertit. Verumtamen quum senatus Galbam hostem decrevisset, ludendi et se animosum ostentandi causa amicis dixit, non incommodum sibi pecunia indigenti mentis monitum incidisse: nam et Gallorum subactorum bona sibi prædæ cessura et Galbæ jam hostis judicati opibus uti et vendere sibi licere. Itaque bona Galbæ sub hasta vendi jussit. Quo audito, Galba bona Neronis, quæ is in Hispania habebat, proscripsit, multosque ad emendum promptiores reperit.

VI. Quum a Nerone multi deficerent omnesque propemodum Galbæ se adjungerent, soli aliud in Africa Clodius Macer, in Gallia Germanicarum legionum præfectus Virginius Rufus, sed diverso tamen consilio, agebant. Clodius, qui rapinis et cædibus continuis grassatus fuerat, propter crudelitatem suam et avaritiam eo in statu erat, ut constaret eum neque retinere neque dimittere imperium posse; Virginius, potentissimarum præfectus legionum et ab iis sæpe imperator salutatus, neque se imperium accepturum neque cuiquam injussu senatus tradi passurum affirmabat. (2) Hæc initio haud mediocriter Galbam perturbabant. Sed ubi Virginii et Vindicis exercitus vi quodammodo duces, tanquam aurigas habenarum impotentes, ad magnam conserendam pugnam perpulerunt; quum in ea Vindex viginti

ἐξενεγκόντα μεγάλην συνέρραξαν, καὶ Οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δισμυρίοις Γαλατῶν πεσοῦσι, διῆλθε λόγος ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ τὸν Οὐεργίνιον ἀναδέξασθαι τὴν ἡγεμονίαν ἢ πάλιν μεταβαλουμένων πρὸς Νέρωνα, τότε δὴ παντάπασι περίφοβος γενόμενος ὁ e Γάλβας ἔγραψε τῷ Οὐεργινίῳ παρακαλῶν κοινοπραγεῖν καὶ διαφυλάσσειν ἅμα τὴν ἡγεμονίαν καὶ τὴν ἐλευθερίαν Ῥωμαίοις· αὖθις δὲ μετὰ τῶν φίλων εἰς Κλουνίαν, Ἰβηρικὴν πόλιν, ἀναχωρήσας ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων καὶ ποθεῖν τὴν συνήθη καὶ σύντροφον ἀπραγμοσύνην μᾶλλον ἢ πράττειν τι τῶν ἀναγκαίων διέτριβεν.

VII. Ἦν δὲ θέρος ἤδη καὶ βραχὺ πρὸ δείλης ἧκεν ἀπὸ Ῥώμης Ἴκελος, ἀνὴρ ἀπελεύθερος, ἑβδομαῖος. Πυθόμενος δὲ τὸν Γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτὸν, ἐβάδιζε συντόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθὼν ἀπήγγειλεν, ὅτι καὶ ζῶντος ἔτι τοῦ Νέρωνος, οὐκ ὄντος δὲ φανεροῦ, τὸ f στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος αὐτοκράτορα τὸν Γάλβαν ἀναγορεύσειεν, ὀλίγον δὲ ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος· οὐ μὴν αὐτός γε πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλὰ ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον θεασάμενος, οὕτως ἐξελθεῖν. (2) Ταῦτα ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν Γάλβαν, 1056 καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκτεθαρρηκότων a ὑπ' αὐτοῦ βεβαίως. Καίτοι τὸ τάχος ἦν ἄπιστον. Ἀλλὰ καὶ δυσὶν ἡμέραις Οὐίνιος Τίτος πολλὰ τῶν ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων. Οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη· τῷ δ' ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε καὶ Μαρκιανὸς ὁ Ἴκελος ἤδη καλούμενος εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν.

VIII. Ἐν δὲ Ῥώμῃ Νυμφίδιος Σαβῖνος οὐκ ἠρέμα καὶ κατὰ μικρὸν, ἀλλὰ συλλήβδην ὁμοῦ πάντα πράγματα φέρων περιήνεγκεν εἰς ἑαυτὸν, ὡς Γάλβαν μὲν ὄντα πρεσβύτην καὶ μόλις εἰς Ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆναι διὰ γῆρας· ἦν γὰρ ἐτῶν τριῶν καὶ b ἑβδομήκοντα· τὰ δὲ αὐτόθι στρατεύματα καὶ πάλαι πρὸς αὐτὸν εὐνόως ἔχοντα καὶ νῦν ἑνὸς ἐξηρτημένα μόνου διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, Γάλβαν δὲ χρεωφειλέτην. (2) Εὐθὺς οὖν Τιγελλίνῳ μὲν τῷ συνάρχοντι προσέταξεν ἀποθέσθαι τὸ ξίφος, ὑποδοχὰς δὲ ποιούμενος ἐδείπνιζε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικοὺς ἔτι τὸ Γάλβα προστιθεὶς ὄνομα ταῖς κλήσεσιν, ἔν τε τῷ στρατοπέδῳ πολλοὺς παρεσκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς Γάλβαν αἰτουμένους ἔπαρχον εἰσαεὶ Νυμφίδιον ἄνευ συνάρχοντος. Ἃ δὲ ἡ σύγκλητος εἰς τιμὴν ἔπραττεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας καὶ παντὸς ἐξάρχειν δόγματος ἀξιοῦσα c καὶ βεβαιοῦν, ἔτι περαιτέρω τόλμης ἀνῆγεν αὐτὸν, ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσι μὴ μόνον ἐπίφθονον, ἀλλὰ καὶ φοβερὸν εἶναι. (3) Τῶν δ' ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντας τῷ

millibus Gallorum suorum amissis mortem sibi conscivisset, rumorque esset Virginii milites, tanta victoria elatos, in hoc consensisse, ut vel ducem suum imperatorem crearent, vel illo detrectante rursus ad Neronem deficerent: extremo in metu constitutus Galba, Virginium per literas hortatus est, ut sibi socium se adjungeret in libertate imperioque Romanis conservando. Ipse cum amicis Cluniam Hispaniæ oppidum reversus, magis pœnitentia factorum et desiderio pristini consuetique otii, quam rebus necessariis parandis deditus, tempus traxit.

VII. Erat tum æstas. Paullo ante occasum solis eo Icelus quidam pervenit libertus, septimo quam Roma abierat die. Is quum seorsum decumbere Galbam accepisset, illico ad conclave ejus contendit, invitisque cubiculariis aperuit ostium, ingressusque renuntiavit ei: vivente etiamnum Nerone, sed latente, a militibus primum, deinde a populo etiam et senatu Galbam Imperatorem dictum; paullo post de obitu Neronis allatum nuntium, cui tamen non ante fidem adhibuerit, quam ipse ad cadaver accurrisset, eo viso demum se discessisse. (2) Hic nuntius Galbæ animum erexit, eoque confirmatorum hominum multitudo ad ipsum confluebat, tametsi celeritas videbatur incredibilis. Sed duabus post diebus Titus Vinius cum multis aliis a castris venit, singillatim ea quæ decrevisset senatus annuntians. Atque is quidem honestum ad locum evectus est; liberto jus aurei annuli Galba dedit, ac deinceps Marcianus Icelus nominatus, primus potentia inter libertos fuit.

VIII. At Romæ Nymphidius Sabinus non sensim aut paulatim, sed simul ac semel totam ad se rerum summam rapiebat, quippe et Galbæ senectutem (natus is tum erat annos septuaginta tres) exprobrabat, ob quam vix satis virium haberet uti lectica Romam gestaretur; et milites Romæ agentes jam pridem bene erga ipsum affecti, ac tum ab uno dependentes, Galbam debitorem suum, Sabinum ob magnitudinem promissi donarii benefactorem putabant. (2) Ergo Sabinus statim Tigellino collegæ suo mandat, uti gladium deponat, ipse conviviis consulares et principes viros excipit, Galbæ nomine eos a se vocari adhuc prætexens, et subornat multos, qui in castris autumarent, mittendos esse ad Galbam qui petant ut Nymphidium perpetuum prætorii præfectum absque collega esse vellet. Aucta deinde hominis est confidentia senatus decretis ad honorem ei et potentiam facientibus, quum et benefactor appellaretur et quotidie ad fores ejus concursans senatus, auctorem eum sententiæ ac confirmatorem decretorum rogaret; ita brevi temporis spatio effectum est ut non invidiosus modo iis qui eum colebant, sed et formidabilis exsisteret. (3) Quum consules destinassent publicos famulos, qui decreta ad Im-

αὐτοκράτορι καὶ τὰ καλούμενα διπλώματα σεσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπιταχύνουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν, ὅτι μὴ παρ' αὐτοῦ καὶ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἀπέπεμψαν, ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων, εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις d καὶ δεηθεῖσιν ἀνῆκε. (4) Τῷ δὲ δήμῳ χαριζόμενος οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν Νέρωνος ἀποτυμπανίζειν. Σπῖκλον μὲν οὖν τὸν μονομάχον ἀνδριάσι Νέρωνος ἑλκομένοις ὑποβαλόντες ἐν ἀγορᾷ διέφθειραν, Ἀπόνιον δέ τινα τῶν κατηγορικῶν ἀνατρέψαντες ἁμάξας λιθοφόρους ἐπήγαγον, ἄλλους δὲ διέσπασαν πολλούς, ἐνίους μηδὲν ἀδικοῦντας, ὥστε καὶ Μαυρίσκον, ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα, πρὸς τὴν σύγκλητον εἰπεῖν, ὅτι φοβεῖται μὴ ταχὺ Νέρωνα ζητήσωσιν.

IX. Οὕτω δὲ προσάγων ὁ Νυμφίδιος ἐγγυτέρω ταῖς e ἐλπίσιν οὐκ ἔφευγε Γαΐου Καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ Τιβέριον ἄρξαντος. Ἐγνώκει γὰρ ὁ Γάϊος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτὸν ἔτι μειράκιον ὢν οὐκ ἀειδῆ τὴν ὄψιν οὖσαν, ἐκ δ' ἀκεστρίας ἐπιμισθίου Καλλίστῳ, Καίσαρος ἀπελευθέρῳ, γεγενημένην. Ἀλλ' ἦν ἡ πρὸς Γάϊον ἔντευξις αὐτῆς, ὡς ἔοικε, νεωτέρα τῆς Νυμφιδίου γενέσεως, αἰτίαν δὲ ἔσχεν ἐκ Μαρτιανοῦ τοῦ μονομάχου γεγονέναι, τῆς Νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. (2) Ἀλλ' ὁμολογῶν γε Νυμφιδίας εἶναι μητρὸς, ἔργον μὲν αὐτοῦ μόνου τὴν Νέρωνος f ἐποιεῖτο κατάλυσιν, ἆθλα δὲ αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς καὶ τὰ χρήματα καὶ τὸ Σπόρῳ τοῦ Νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γα-
1057 μετῆς εἶχε τάξει καὶ Ποππαίαν προσηγόρευεν, ἐπὶ τὴν a διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. Καὶ τὰ μὲν αὐτὸς ἐν Ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο, καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων, ἕνα δὲ τῶν φίλων Γελλιανὸν εἰς Ἰβηρίαν ἔπεμψεν [καὶ παρείκει] κατασκεψόμενον.

X. Τῷ δὲ Γάλβᾳ μετὰ τὴν Νέρωνος τελευτὴν ἐχώρει πάντα. Οὐεργίνιος δὲ Ῥοῦφος ἀμφίβολος ὢν ἔτι φροντίδα παρεῖχε, μὴ τῷ δυνάμεως πολλῆς καὶ μαχιμωτάτης ἄρχειν προσειληφὼς τὸ νενικηκέναι Οὐίνδικα καὶ κεχειρῶσθαι μέγα μέρος τῆς Ῥωμαίων ἡγεμονίας, ἐν b σάλῳ γενομένην ἀποστατικῶς Γαλατίαν ἅπασαν, ὑπακούσαι τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν. (2) Οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον οὐδὲ εἶχε δόξαν οὐδεὶς ὅσην ὁ Οὐεργίνιος, ὡς μεγίστη ῥοπὴ τοῖς Ῥωμαίων πράγμασι τυραννίδος ὁμοῦ χαλεπῆς καὶ Γαλατικῶν πολέμων ἀπαλλαγῇ γενόμενος. Ἀλλ' ἐκεῖνος τότε τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος. Καίτοι φανερᾶς γε τῆς Νέρωνος τελευτῆς γενομένης, τό τε πλῆθος ἐνέκειτο τῷ Οὐεργινίῳ πάλιν καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ

peratorem perferrent, iisque obsignata diplomata tradidissent, quibus agnitis singularum urbium magistratus dispositis vehiculis iter tabellariorum accelerarent, haud mediocriter indignatus est, quod non ab ipso militibus sigilloque acceptis isti missi essent, quumque de animadvertendo in consules jam deliberaret, excusatione eorum et deprecatione est mitigatus. (4) Populo autem ut rem gratam præstaret, liberum fecit, ut in quoscunque Neronianos incidisset, eos occideret. Itaque Spicillum gladiatorem statuis Neronis, quæ tum in foro trahebantur, subjectum necarunt, Aponium ex delatoribus unum in vultum prostratum superinductis saxa vehentibus carris interfecerunt, multos alios discerpserunt, inque his aliquot insontes, ita ut Mauriscus, vir et re ipsa et opinione optimus, ad senatum dixerit: vereri se, ne mox Neronem essent desideraturi.

IX. Interim Nymphidius ad majorem subinde spem veniens non abhorruit filius C. Cæsaris Caligulæ vocari. Is enim, ut creditum est, adolescens adhuc cum Sabini matre rem habuerat, muliere formæ non inelegantis, ex sartrice mercenaria et Cæsaris liberto Callisto, genita. Sed videbatur nato jam Nymphidio Caligula cum ea coiisse, credebaturque Sabinus Martiani gladiatoris filius, quem ob famam Nymphidia amasset, et vero forma hunc magis referre videbatur. (2) Enimvero Nymphidiæ filium se esse professus, sibique soli excidium Neronis ascribens, neque tamen satis præmii eam ob rem se adeptum putans, quod tantis honoribus affectus, tantas opes consecutus, cum Sporo Neronis (quem statim a rogo adhuc ardente Neronis acciverat, locoque uxoris habebat, Poppæaque ei nomen fecerat) dormiret: ad successionem imperii aspiravit. Ac quædam ipse Romæ clanculum opera amicorum conficiebat et cum mulieribus quibusdam, senatoriique ordinis viris clam ei suffragantibus, atque unum de amicis suis Gellianum in Hispaniam misit, exploratum ut res se ibi haberent.

X. Galbæ autem post mortem Neronis omnia succedebant. Virginius modo Rufus, de quo nihil adhuc certi constabat, anxium tenebat, ne qui præter hoc, quod magno et fortissimo præerat exercitui, nuper etiam victo Vindice gloriam auxisset, Galliamque magnam Romani imperii partem et rebellione fluctuantem in sua haberet potestate, imperium ipsi deferentibus obtemperaret. (2) Neque sane tum quisquam majori, quam Virginius Rufus, gloria fuit, existimabaturque et molesta tyrannide et Gallicis bellis sublatis maximum rebus Romanis momentum attulisse. Verum is tunc institutum suum servans, senatui electionem imperatoris integram reservabat. Quanquam Nerone mortuo et urgeret rursus multitudo et quidam tribunorum mi-

σπασάμενος τὸ ξίφος ἐκέλευε τὸν Οὐεργίνιον δέχεσθαι c τὴν ἡγεμονίαν ἢ τὸν σίδηρον. (3) Ἐπεὶ δὲ Φάβιος Οὐάλης ἄρχων ἑνὸς τάγματος ὤρκωσε πρῶτος εἰς Γάλβαν καὶ γράμματα ἧκεν ἀπὸ Ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ μόλις, ἔπεισε δ' οὖν τοὺς στρατιώτας αὐτοκράτορα τὸν Γάλβαν ἀνειπεῖν· καὶ πέμψαντος αὐτοῦ διάδοχον Φλάκκον Ὁρδεώνιον ἐδέξατο. Καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν αὐτὸς ἀπήντησε τῷ Γάλβᾳ πρόσω χωροῦντι καὶ συνανέστρεφεν οὔτε ὀργῆς οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. (4) Αἴτιος δὲ τοῦ μὲν αὐτὸς ὁ Γάλβας αἰδούμενος τὸν ἄνδρα, τοῦ δὲ οἱ φίλοι καὶ μάλιστα Οὐίνιος Τίτος, ὑπὸ φθόνου τὸν d Οὐεργίνιον οἰόμενος μὲν κολούειν, ἠγνόει δὲ ἄρα τῷ Οὐεργινίου χρηστῷ δαίμονι συνεργῶν ἤδη τὸν ἄνδρα πολέμων καὶ κακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκύμονα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεστὸν ὑπεκτιθεμένῳ.

XI. Γάλβαν δὲ περὶ Νάρβωνα, πόλιν Γαλατικήν, οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυχόντες ἠσπάζοντο καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως. Ὁ δὲ τάς τε ἄλλας παρεῖχεν ἐντεύξεις καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικὰς πρός τε τὰς ἑστιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας βασιλικῆς παρούσης, ἣν ἐκ τῶν Νέρωνος ὁ Νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων, ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν, εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ κρείττων ἀπειροκαλίας φαινόμενος. Ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν Οὐίνιος e ἀποφαίνων καὶ κομψότητα μεγάλων ἀπαξιοῦσαν αὑτήν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς Νέρωνος καὶ περὶ τὰς ὑποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας. Καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ὑπὸ τῷ Οὐινίῳ γενησομένου παρεῖχεν ὁ πρεσβύτης.

XIII. Ἦν δ' Οὐίνιος ἀργυρίου μὲν ἐσχάτως καὶ παρ' ὁντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας f ἁμαρτήμασιν. Ἔτι γὰρ ὢν νέος καὶ στρατευόμενος ὑπὸ Καλβισίῳ Σαβίνῳ τὴν πρώτην στρατείαν, ἀκόλαστον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος παρεισήγαγε νύκτωρ εἰς τὸ στρατόπεδον ἐν ἐσθῆτι στρατιωτικῇ καὶ διέφθειρεν ἐν τοῖς ἀρχείοις, ἃ Πριγκίπια καλοῦσι Ῥωμαῖοι. Ἐπὶ τούτῳ δὲ Γάϊος Καῖσαρ ἔδησεν αὐτόν· ἐκείνου δὲ ἀποθανόντος, εὐτυχίᾳ χρησάμενος ἀπελύθη. 1058 (2) Δειπνῶν δὲ παρὰ Κλαυδίῳ Καίσαρι ποτήριον ἀργυ- a ροῦν ὑφείλετο· πυθόμενος δὲ ὁ Καῖσαρ τῇ ὑστεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν, ἐλθόντι δὲ ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμεα πάντα προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. Τοῦτο μὲν οὖν διὰ τὴν Καίσαρος μετριότητα κωμικωτέραν γενομένην γέλωτος, οὐκ ὀργῆς, ἄξιον ἔδοξεν· ἃ δὲ τὸν Γάλβαν ἔχων ὑφ' αὑτῷ καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν ἔπραττε, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν παρέσχεν.

XIII. Ὁ γὰρ Νυμφίδιος, εὐθὺς ἐπανελθόντος τοῦ Γελλιανοῦ πρὸς αὐτόν, ὃν ἔπεμψε τοῦ Γάλβα τρόπον

litum aderant ad tabernaculum stricto ense eum vel imperium vel ensem admittere jussisset. (3) Sed quum Fabius Valens, unius legionis dux, primus Galbæ ut imperatori suos sacramento obligavit, literæque Roma, quibus S. C. continebatur, venerunt: magno quidem labore, sed tamen persuasit suis Virginius, ut Galbam imperatorem pronuntiarent, missumque sibi successorem Flaccum Hordeonium admittens, traditis ei copiis, ipse Galbæ jam accedenti occurrit, ac se comitem ei addidit, et neque ira ejus manifesta, neque ullo honore acceptus est. (4) Id fiebat partim quod ipse Galba virum eum reverebatur, partim quod amici ejus Virginio invidebant, præcipue Titus Vinius, qui dum se eum deprimere putabat, non animadvertit se bono Virginii genio operam navare, jam eum bellis aliisque malis, quibus ceteri erant obnoxii duces, subtrahenti, inque vita tranquilla et senectute pacis otiique plena collocare molienti.

XI. Galbam apud Narbonem, Galliæ urbem, missi a senatu Romano legati convenerunt, salutatumque hortati sunt, ut quamprimum populo ipsum desideranti se ostenderet. His se et in congressibus colloquiisque comem popularemque præbuit, et quum ad convivia multum regalis apparatus atque famulitii suppeteret, quem ex Neroniana supellectile ei Nymphidius miserat, nihil illis, sed suis tantum usus rebus laudem invenit, magnanimusque et ab ineptiis vulgaribus alienus est creditus. Mox autem Vinius præclaras istas virtutes civilemque fastus vacuitatem popularis auræ captationem dicens et calliditatem, quæ magnificentia se ipsa habeat indignam, persuasit ei ut pecunia Neroniana uteretur, inque conviviis splendorem regium adhiberet. Omnino autem Galbam senem apparebat sensim eo deductum iri, ut totus Vinii in potestate esset.

XII. Erat is Vinius non modo pecuniæ mancipium, ita ut nemo quisquam magis, sed etiam maxime libidinibus in mulieres flagrabat, quippe juvenis adhuc sub Calvisio Sabino prima merens stipendia, ducis uxorem, mulierem impudicam, noctu veste indutam militari in castra deduxerat et apud principia constupraverat; ejusque rei causa a Caligula Cæsare in vincula conjectus, fortunæ beneficio evaserat, illo mortuo. (2) Idem apud Claudium Cæsarem cœnans, furtim poculum argenteum sustulerat; re cognita Cæsar eum postridie ad cœnam iterum vocavit, mandavitque famulis ut nullum ei argenteum, tantum figlina pocula apponerent. Atque hoc quidem ob moderationem animi Cæsaris comicam, risu magis quam ira dignum videri potest; ea autem quæ tum, quum Galbam in sua haberet manu et plurimum posset, mercede perpetravit, tragicis malis atque gravissimis calamitatibus qua causam, qua prætextum præbuerunt.

XIII. Nymphidius enim, quum Gellianus, quem speculatum res Galbæ missum fuisse demonstravimus, reversus

τινὰ κατάσκοπον, ἀκούσας τῆς μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι Κορνήλιον Λάκωνα, τὸ b δὲ σύμπαν εἶναι τοῦ Οὐινίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ Γάλβα στῆναι πλησίον ἐγγεγονέναι μηδὲ ἐντυχεῖν ἰδίᾳ, πάντων αὐτὸν ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη· καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ στρατεύματος, ἔφη Γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιστα δὲ τοῖς αὑτοῦ χρώμενον λογισμοῖς ὑπὸ Οὐινίου καὶ Λάκωνος οὐκ εὖ διοικεῖσθαι. Πρὶν οὖν λαθεῖν αὐτοὺς ἣν ἔσχε Τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους πεμπτέον εἶναι πρὸς τὸν ἡγεμόνα πρέσβεις ἀπὸ στρατοπέδου τοὺς διδάξοντας, ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος ἡδίων παρέσται πᾶσι c καὶ ποθεινότερος. (2) Ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γευόμενον ἐξουσίας μειράκιον, οἷς χρήσεται φίλοις ἢ μή, ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος ἔγραφε τῷ Γάλβᾳ δεδιττόμενος, νῦν μέν, ὡς ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δέ, Κλώδιον Μάκρον ἐν Λιβύῃ τὰ σιτηγὰ κατέχειν, αὖθις δὲ παρακινεῖν τὰ Γερμανικὰ τάγματα, καὶ περὶ τῶν ἐν Συρίᾳ καὶ Ἰουδαίᾳ δυνάμεων ὅμοια πυνθάνεσθαι. (3) Τοῦ δὲ Γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν· καίτοι Κλώδιος Κέλσος Ἀντιοχεύς, ἀνὴρ ἔμφρων, εὔνους δὲ ἐκείνῳ καὶ πιστός, d ἀπηγόρευε λέγων οὐκ ἂν οἴεσθαι μίαν ἐν Ῥώμῃ συνοικίαν Καίσαρα προσειπεῖν Νυμφίδιον. Ἀλλὰ πολλοὶ κατεγέλων καὶ Μιθριδάτης ὁ Ποντικὸς ἐπισκώπτων τὴν φαλακρότητα καὶ ῥυσσότητα τοῦ Γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι Ῥωμαίοις, ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων, ἃς καλεῖται Καῖσαρ, ὄνειδος.

XIV. Ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας ἀναδεικνύειν αὐτοκράτορα τὸν Νυμφίδιον. Πρῶτος δὲ τῶν χιλιάρχων Ἀντώνιος Ὁνωρᾶτος ἑσπέρας γενομένης τοὺς ὑφ' ἑαυτῷ στρατιώτας συναγαγὼν ἐκάκιζε μὲν αὑτόν, ἐκάκιζε δὲ ἐκείνους ἐν e ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους κατ' οὐδένα λογισμὸν οὐδὲ αἵρεσιν ἀμεινόνων, ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος. (2) « Καὶ τὰ μὲν πρῶτα προφάσεις ἔχει τὰ Νέρωνος ἐγκλήματα, νῦν δὲ Γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας ἢ σφαγὴν γυναικός, ἢ ποίαν αἰδουμένους θυμέλην ἢ τραγῳδίαν τοῦ αὐτοκράτορος; Ἀλλ' οὐδὲ ἐκεῖνον ἐπὶ τούτοις ὑπεμείναμεν ἐγκαταλιπεῖν, ἀλλὰ Νυμφιδίῳ πεισθέντες, ὅτι πρῶτος ἡμᾶς ἐγκατέλιπε καὶ πέφευγεν εἰς Αἴγυπτον. Πότερον οὖν Νέρωνι Γάλβαν ἐπιθυσώμεθα καὶ τὸν ἐκ Νυμφιδίας ἑλόμενοι Καίσαρα τὸν ἐκ Λιβίας f ἀνέλωμεν, ὡς τὸν ἐξ Ἀγριππίνης ἀνείλομεν; ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε τιμωροὶ μὲν Νέρωνος, Γάλβα
1059 δὲ φύλακες ἀγαθοὶ καὶ πιστοὶ φανῶμεν. » (3) Ταῦτα a λέγοντι τῷ χιλιάρχῳ προσέθεντο πάντες οἱ στρατιῶται καὶ τοὺς ἄλλους προσιόντες ἐμμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει, καὶ τοὺς πλείους μετέστησαν. Ἀρθείσης δὲ βοῆς εἴτε πεισθεὶς ὁ Νυμφίδιος, ὥς φασιν

renuntiasset prætorio præfectum esse Cornelium Laconem, omnia autem nutu Vinii agi, sibi nunquam licuisse propius Galbæ assistere, aut seorsum eum compellare, sed suspectum fuisse habitum ab omnibus et exclusum, perturbatus est; conductisque in unum ducibus copiarum, retulit Galbam quidem bonum esse moderatumque senem, verum suis minime uti consiliis, a Vinio et Lacone non recte regi. Itaque priusquam hi ad eam, in qua fuerat ante Tigellinus, imprudentibus ipsis pervenirent potentiam, mittendos ad eum nomine militum legatos, qui ostenderent eum, si tantum duos istos suos amicos amovisset, omnibus gratiorem jucundioremque adventurum. (2) Non persuasum hoc amicis Nymphidii; videbatur enim absurdum et ineptum, senem imperatorem instar adolescentis primum potestatis gustum percipientis docere velle quibus uti vel non uti deberet amicis. Itaque alia rem aggressus via, Galbam per epistolas terret: modo in urbe multa esse parum fida atque tuta, modo in Africa Clodium Macrum vecturam rei frumentariæ interclusisse, modo Germanicas legiones rebus novis esse intentas, modo de iis quæ in Syria erant et Judæa eadem referri scribens. (3) Quum vero Galba ei non magnopere animum fidemque adhiberet, maturius invadendi imperii consilium capit; tametsi Clodius Celsus Antiochensis, vir prudens eique benevolus et fidus, dehortaretur, dicens sibi non videri ullam fore Romæ familiam, quæ Nymphidium esset Cæsarem appellatura. Sed Galbam et alii deridebant et Mithridates Ponticus in calvitiem rugasque Galbæ ludens, in præsentia aiebat eum a Romanis pro aliquo haberi; ubi primum in conspectum venisset, omnes eas dies, quibus Cæsaris nomen obtinuisset, opprobrium judicaturos.

XIV. Proinde statuerunt Nymphidium, in castra de media nocte deductum, imperatorem salutare. Primus de tribunis militum Antonius Honoratus, sub vesperam militibus suis congregatis, et se ipsum et ipsos incusavit, qui tam brevi temporis spatio tam sæpe mutati essent, nullo melioris conditionis assequendæ proposito, sed quasi genio quodam ab una proditione ad aliam compellente (2) « Jam priora, inquit, ista flagitiis Neronis excusare possumus, Galbam autem nunc prodituri, quam, quæso, huic principi cædem matris aut uxoris objiciemus, quod scenicorum ministeriorum aut tragœdiarum actarum dedecus? Et vero ne ipsum quidem Neronem propter ista deserere sustinuimus: Nymphidio obtemperavimus, qui eum, prius nobis destitutis, in Ægyptum profugisse affirmavit. Utrum ergo post Neronem Galbam mactabimus, et Nymphidiæ filio pro Cæsare accepto, ducentem a Livia genus jugulabimus, quemadmodum ante Agrippina natum interfecimus? an vero dignam factis suis pœnam Nymphidio irrogantes, ultores nos Neronis, Galbæ custodes fideles bonosque præstabimus? » (3) Assensi sunt huic tribuni orationi milites omnes, accesseruntque etiam ceteros, hortantes ut fidem imperatori datam servarent, et plerosque sibi adjunxerunt. Sublato clamore, Nymphidius sive (ut quidam tra-

ἔνιοι, καλεῖν αὐτὸν ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ προῄει λόγον τινὰ κομίζων ἐν βιβλίῳ γεγραμμένον ὑπὸ Κιγγωνίου Βάῤῥωνος, ὃν ἐκμεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. (4) Ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους ἔδεισε· καὶ προσιὼν ἠρώτα, τί βούλονται καὶ τίνος κε- b λεύσαντος ἐν ὅπλοις γεγόνασιν. Ἀπαντώσης δ' αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, Γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει καὶ τοὺς ἑπομένους ἐκέλευε. Τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, αὐτὸς ἀκοντίζεται λόγχῃ· καὶ ταύτην μὲν ἐδέξατο πρὸ αὐτοῦ θυρεῷ Σεπτίμιος, ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς ἐν οἰκήματι στρατιώτου σφάττεται. Καὶ τὸν νεκρὸν εἰς μέσον ἑλκύσαντες καὶ περιβαλόντες κιγκλίδα θέαμα τοῖς βουλομένοις μεθ' ἡμέραν παρέσχον.

XV. Οὕτω δὲ τοῦ Νυμφιδίου καταστρέψαντος, ὁ Γάλβας πυθόμενος καὶ τῶν συνωμοτῶν αὐτοῦ κελεύσας ἀπο- c θανεῖν ὅσοι μὴ δι' αὐτῶν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ Κιγγώνιος ὁ τὸν λόγον γράψας καὶ Μιθριδάτης ὁ Ποντικός, ἔδοξε μὴ νομίμως, εἰ καὶ δικαίως, μηδὲ δημοτικῶς ἀνῃρηκέναι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. Ἕτερον γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατώμενοι συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. (2) Ἔτι δὲ μᾶλλον ἠνίασεν αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ Νέρωνι πιστὸς ἀποθανεῖν κελευσθείς, Πετρώνιος Τουρπιλιανός. Μάκρον γὰρ ἐν Λιβύῃ διὰ Τρεβωνιοῦ καὶ Φοντήιον ἐν Γερμανίᾳ διὰ Οὐάλεντος ἀνελὼν πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι· Τουρπιλιανὸν δέ, γέροντα γυμνὸν καὶ ἄνοπλον, λόγου d μεταλαβεῖν οὐδὲν ἐκώλυεν, εἴ τις ἣν ἐπαγγέλλεται μετριότητα τοῖς πράγμασιν ἔργῳ φυλάξειν ἔμελλε. Ταῦτα μὲν οὖν τοιαύτας ἔχει μέμψεις. (3) Ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πόλεως περὶ πέντε καὶ εἴκοσι σταδίους, ἐνετύγχανεν ἀκοσμίᾳ καὶ θορύβῳ τῶν ἐρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. Οὗτοι δὲ ἦσαν, οὓς εἰς ἓν τάγμα ὁ Νέρων συλλοχίσας ἐπέφηνε στρατιώτας· καὶ τότε παρόντες ἐκβεβαιώσασθαι τὴν στρατείαν οὔτ' ὀφθῆναι τοῖς ἀπαντῶσιν οὔτ' ἀκουσθῆναι παρίεσαν τὸν αὐτοκράτορα, ἀλλ' ἐθορύβουν βοῇ ση- e μεῖα τῷ τάγματι καὶ χώραν αἰτοῦντες. (4) Ἐκείνου δὲ ὑπερτιθεμένου καὶ πάλιν εἰπεῖν κελεύσαντος, ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες ἠγανάκτουν καὶ παρείποντο μὴ φειδόμενοι βοῆς. Ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ Γάλβας. Ὑπέστη δὲ οὐδεὶς ἐκείνων, ἀλλ' οἱ μὲν εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες διεφθάρησαν, οὐ χρηστὸν οὐδὲ αἴσιον ποιοῦντες τῷ Γάλβᾳ τὸν οἰωνὸν εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν. Ἀλλ' εἰ καί τις αὐτοῦ κατεφρόνει πρότερον ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐγένετο.

XVI. Βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας f

dunt) vocari jam se a militibus ratus, sive ut tumultuantes et adhuc ambigentes compescere occuparet, multis prælucentibus facibus progreditur, orationem in libello scriptam a Cingonio Varrone gestans, quam memoriæ mandarat, ut ea milites alloqueretur. (4) Portas autem castrorum clausas videns multosque circa muros in armis astare, territus accedit, ac quid sibi velint, cujusque jussu in armis sint, perquirit. Ab omnibus una voce acclamatum est, Galbam se imperatorem agnoscere, atque ipse quoque idem acclamat, suosque ita facere jubet. Intromissus deinde per custodes portarum cum paucis, hasta petitur, quam Septimius objecto ante ipsum scuto excepit, reliquis autem strictis ensibus impetum facientibus, in militis cujusdam tabernaculo obtruncatur. Cadaver in medium protractum cancellis septum est, interdiuque spectaculo iis qui vellent propositum.

XV. Hunc ad modum Nymphidio sublato, Galba re cognita etiam eos qui cum ipso conspirassent interfici jussit, nisi qui voluntaria morte supplicium antecepissent. In his fuit etiam Cingonius, quem orationis auctorem fuisse diximus, et Mithridates Ponticus. Existimabatur autem ut non injuste, ita præter leges tamen et morem populi viros haud obscuros indicta causa necavisse. Alium enim imperii ejus vultum universi speraverunt primo, ut fieri solet, decepti rumore. (2) Auxit offensas mori jussus Petronius Turpilianus, vir consularis et notæ in Neronem fidei. Quod in Africa Clodium Macrum opera Trebonii et Fonteium in Germania ministerio Fabii Valentis necavit, eo defendi potuit, quod ab iis arma exercitusque tenentibus sibi metuisset: Turpilianum autem, senem nudum et inermem, nihil obstabat quin audiret, si quam præ se ferebat moderationem ipsam ostendere voluisset. Tales erant reprehensiones, quas ob hæc incurrit facinora. (3) Quum Romam contendens Galba ab urbe circa viginti quinque stadia abesset, tumultum offendit remigum, qui viam occupaverant et undique circumfundebantur. Hos classiarios in unam legionem decuriatos justos milites fecerat Nero, tumque aderant et confirmari sibi jus militiæ volebant, magno cum tumultu et clamore signa legioni locumque postulantes, eosque qui obviam imperatori processerant, neque conspici ab eo neque exaudiri sinentes. (4) Quum rem in aliud tempus rejiceret, dilationem negationis esse speciem dicentes, succensuerunt, nulloque clamandi fine facto insecuti sunt. Nonnulli etiam gladios strinxerunt. In eos equitatum immisit Galba, quem illi non subsistentes, partim statim, partim in fuga obtriti sunt. Neque id lætum auspicatumve Galbæ omen fuit, per tantum sanguinis totque per cadavera in urbem intranti, et quum antè eum nonnulli propter senectam et imbecillitatem despexissent, universis tum terribilis est visus.

XVI. Ut autem ostenderet se plurimum ab immoderatione

καὶ πολυτελείας τοῦ Νέρωνος ἀποδεικνύναι μεγάλην 1060 μεταβολὴν ἀστοχεῖν ἐδόκει τοῦ πρέποντος. Κάνου γὰρ a αὐλήσαντος αὐτῷ παρὰ δεῖπνον (ἀκρόαμα δὲ ἦν ὁ Κάνος εὐδοκιμούμενον), ἐπαινέσας καὶ ἀποδεξάμενος ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον· καὶ λαβὼν χρυσοῦς τινας ἐπέδωκε τῷ Κάνῳ, φήσας ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων χαρίζεσθαι. (2) Τὰς δὲ δωρεάς, ἃς Νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίστραν, ἀπαιτεῖσθαι συντόνως κελεύσας πλὴν τοῦ δεκάτου μέρους, εἶτα μικρὰ καὶ γλίσχρα κομιζόμενος (ἀνηλώκεσαν γὰρ οἱ πλεῖστοι τῶν λαβόντων, ἐφήμεροι καὶ σατυρικοὶ τοῖς βίοις ἄνθρωποι), τοὺς πριαμένους παρ' αὐτῶν ἢ λαβόντας ὁτιοῦν ἀνεζήτει καὶ παρ' ἐκείνων ἐξέπραττε. (3) Τοῦ δὲ πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόρρω b νεμομένου καὶ προϊόντος ἐπὶ πολλούς, αὐτὸς μὲν ἠδόξει, φθόνον δὲ καὶ μῖσος εἶχεν Οὐίνιος, ὡς τοῖς μὲν ἄλλοις ἅπασιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀσώτως καὶ λαμβάνων πάντα καὶ πιπράσκων. Ὁ μὲν γὰρ Ἡσίοδος

Ἀρχομένου τε πίθου καὶ λήγοντος κορέσασθαι

φησὶ δεῖν, ὁ δ' Οὐίνιος ὁρῶν ἀσθενῆ καὶ γέροντα τὸν Γάλβαν, ἐνεπίμπλατο τῆς τύχης, ὡς ἅμα μὲν ἀρχομένης, ἅμα δὲ φθινούσης.

XVII. Ὁ δὲ πρεσβύτης ἠδικεῖτο, τὰ μὲν πρῶτα τοῦ Οὐινίου κακῶς διοικοῦντος, ἃ δὲ αὐτὸς ὀρθῶς προῃρεῖτο διαβάλλοντος ἢ κωλύοντος· οἷον ἦν τὸ περὶ τὰς c κολάσεις τῶν Νερωνιανῶν. Ἀπέκτεινε γὰρ τοὺς πονηρούς, ἐν οἷς ἦν ὁ Ἥλιος καὶ Πολύκλειτος καὶ Πετῖνος καὶ Πατρόβιος. Ὁ δὲ δῆμος ἐκρότει καὶ δι' ἀγορᾶς αὐτῶν ἀγομένων ἐβόα καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπήν, ἀπαιτεῖν δὲ καὶ θεοὺς καὶ ἀνθρώπους τὸν διδάσκαλον καὶ παιδαγωγὸν τῆς τυραννίδος Τιγελλῖνον. Ἐφθάκει δὲ ὁ γενναῖος προειληφὼς ἀῤῥαβῶσι μεγάλοις τὸν Οὐίνιον. (2) Εἶτα Τουρπιλιανὸς μέν, ὅτι μὴ προεδίδου μηδὲ ἐμίσει τὸν ἡγεμόνα τοιοῦτον ὄντα, μισούμενος, ἄλλο δὲ μηδὲ ἓν μέγα συναδικήσας ἀπέθανεν· ὁ δὲ καὶ ποιήσας ἄξιον θανάτου Νέρωνα καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδοὺς περιῆν, μέγα δίδαγμα τοῦ d μηδὲν ἄπρακτον εἶναι παρὰ Οὐινίῳ μηδὲ ἀνέλπιστον τοῖς διδοῦσιν. (3) Οὐδενὸς γὰρ οὕτω θεάματος ἐρασθεὶς ὁ Ῥωμαίων δῆμος, ὡς τοῦ Τιγελλῖνον ἰδεῖν ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις καὶ σταδίοις αἰτούμενος ἐκεῖνον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος, Τιγελλῖνον μὲν οὐ πολὺν ἔτι βιώσεσθαι φάσκοντος χρόνον ὑπὸ φθινάδος νόσου δαπανώμενον, ἐκείνους δὲ παραιτουμένου μὴ διαγριαίνειν μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. (4) Ἀχθομένου δὲ τοῦ δήμου καταγελῶντες ὁ μὲν Τιγελλῖνος ἔθυσε σωτήρια καὶ παρεσκεύασε e λαμπρὰν ἑστίασιν, ὁ δ' Οὐίνιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖπνον ἐκώμασεν ὡς ἐκεῖνον, ἄγων τὴν θυγατέρα χήραν οὖσαν. Καὶ προὔπιεν ὁ Τιγελλῖνος αὐτῇ πέντε καὶ εἴκοσι μυριάδας ἀργυρίου, καὶ τῶν παλλακίδων τὴν ἀγελαρχοῦσαν ἐκέλευσε τὸν περιδέραιον

et luxuria Neronis in donando abesse, videtur a decoro aberrasse. Cano enim ad cœnam canenti (Canus celebre erat acroama), quum probasset eum ac laudasset, jussis adferri suis loculis, aliquot aureos de iis depromptos dono dedit, de suo ei se hos, non de publico largiri addens. (2) Munera quæ Nero scenicis et xysticis dederat, exigi severe, decima tantum parte iis relicta, jussit, quumque pauca admodum et lente reciperet (plerique enim ea quæ accepissent, jam consumpserant, utpote homines leves et in diem viventes), in eos inquirebat, qui ab iis aliquid vel emissent, vel accepissent, ab iisque repetebat. (3) Ea res quum finem nullum haberet, lateque et ad multos pertineret, male audivit Galba, in Vinium autem invidia et odium exarsit, qui quum præparcum omnibus et illiberalem effecisset principem, ipse prodige utens omnia et acciperet et venderet. Nam quemadmodum Hesiodus jubet « initio et fine dolii saturari, » ita Vinius videns imbecillum esse et senem Galbam, ejus fortuna se implebat, simul eam et incipere et desinere ratus.

XVII. Injuria autem seni fiebat, quum et Vinius male res gravissimas administraret, et si quid Galba præclarum instituisset, prohiberet atque criminaretur; cujus generis fuit Neronianorum punitio. Nam improbos necari jussit Galba, inter quos erant Helius, Polycletus, Petinus, Patrobius; et quum populus, iis per forum ad supplicium ductis, plausum daret, pulchramque eam esse et diis acceptam pompam vociferaretur, poscique ad supplicium a diis hominibusque præceptorem tyrannidis Tigellinum, hunc egregius ille Vinius, magnis ab eo muneribus acceptis obligatus, pœnæ eripuit. (2) Et vero Turpilianus nullam aliam ob culpam, nisi quod Neronem talem ducem non prodidisset neque odio habuisset, morte est affectus; Tigellinus, qui et ita informaverat Neronem, ut cæde dignus esset, et ita a se institutum deseruerat atque prodiderat, supplicium evasit, magno argumento nihil a Vinio donis datis non posse obtineri. (3) Nullum enim majori desiderio spectaculum populus Romanus expetierat, quam ut Tigellinum videret ad supplicium duci, et quum in theatris et circis finem ejus flagitandi nullum faceret, edicto Imperator increpuit, Tigellino affirmans haud diuturnam vitam fore, moxque eum tabe exstinctum iri; populumque deprecans, ne ferociret neve suo imperio sævitiæ maculam aspersam vellet. (4) Graviter hoc ferente populo, ludibrio illi ejus indignationem habentes, Tigellinus quidem pro salute sua sacrificavit, Vinius autem a cœna ab Imperatore digressus, ad Tigellinum comessatum ivit, filiam secum suam, tum marito viduam, ducens. Ei mulieri Tigellinus decies sestertium propinavit pellicumque primariæ jussit, ut monile suum collo

κόσμον ἀφελομένην ἐκείνῃ περιάψαι, πεντεκαίδεκα μυριάδων εἶναι λεγόμενον.

XVIII. Ἐκ δὲ τούτου καὶ τὰ μετρίως πραττόμενα διαβολὴν εἶχεν, ὥςτε τὰ πρὸς τοὺς Γαλάτας Οὐίνδικι συναραμένους. Ἐδόκουν γὰρ οὐ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος, ἀλλὰ ὠνούμενοι παρὰ Οὐινίου τυγχάνειν ἀνέσεώς τε δασμῶν καὶ πολιτείας. Οἱ μὲν οὖν πολλοὶ f διὰ ταῦτα πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο, τοὺς δὲ στρατιώτας τὴν δωρεὰν μὴ κομιζομένους ἐν ἀρχῇ μὲν ἐλπὶς παρῆγεν, ὡς, εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ὅσον Νέρων ἔδωκεν, ἀποδώσοντος. Ἐπεὶ δὲ μεμφομένους ἀκούσας ἀφῆκε φωνὴν ἡγεμόνι μεγάλῳ πρέπουσαν, εἰ-
1061 πὼν εἰωθέναι καταλέγειν στρατιώτας, οὐκ ἀγοράζειν, a πυθομένοις τοῦτο δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν. Ἐδόκει γὰρ οὐκ αὐτὸς ἀποστερεῖν μόνος, ἀλλὰ νομοθετεῖν καὶ διδάσκειν τοὺς μεθ' αὐτὸν αὐτοκράτορας. (2) Ἀλλὰ τῶν μὲν ἐν Ῥώμῃ τυφλὸν ἦν ἔτι κίνημα καί τις αἰδὼς ἅμα πρὸς παρόντα τὸν Γάλβαν ἀμβλύτητα καὶ μέλλησιν ἐνεποίει τῷ νεωτερισμῷ καὶ τὸ μηδεμίαν ἀρχὴν ἐμφανῆ μεταβολῆς ὁρᾶσθαι συνέστελλε καὶ συνέκρυπτεν ἀμωσγέπως τὴν δυσμένειαν αὐτῶν. Οἱ δὲ πρότερον ὑπὸ Οὐεργινίῳ γενόμενοι, τότε δ' ὄντες ὑπὸ Φλάκκῳ περὶ Γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὑτοὺς διὰ τὴν μάχην, ἣν ἐμαχέσαντο πρὸς Οὐίνδικα, b μηδενὸς δὲ τυγχάνοντες, ἀπαρηγόρητοι τοῖς ἄρχουσιν ἦσαν. Αὐτὸν δὲ τὸν Φλάκκον ὑπὸ συντόνου ποδάγρας ἀδύνατον ὄντα τῷ σώματι καὶ πραγμάτων ἄπειρον ἐν οὐδενὶ λόγῳ τὸ παράπαν ἐποιοῦντο. Καί ποτε θέας οὔσης καὶ τῶν χιλιάρχων καὶ λοχαγῶν τὸ Ῥωμαίοις σύνηθες εὐτυχίαν ἐπευχομένων τῷ αὐτοκράτορι Γάλβᾳ, διεθορύβησαν οἱ πολλοὶ τὸ πρῶτον, εἶτα ταῖς εὐχαῖς ἐπιμενόντων ἐκείνων, ἀντεφώνουν « Εἰ ἄξιος. »

XIX. Τοιαῦτα δὲ ἕτερα καὶ τῶν ὑπὸ Τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις ἐπέμπετο γράμματα τῷ Γάλβᾳ παρὰ τῶν ἐπιτρόπων· ὁ δὲ φοβηθείς, ὡς μὴ c μόνον διὰ τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν ἀπαιδίαν καταφρονούμενος, ἐβουλεύετο παῖδα θέσθαι τῶν ἐπιφανῶν τινα νεανίσκον καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς. (2) Ἦν δὲ Μάρκος Ὄθων, ἀνὴρ γένει μὲν οὐκ ἀφανής, τρυφῇ δὲ καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀλίγοις Ῥωμαίων διεφθαρμένος· ὡς δὲ τὸν Ἀλέξανδρον Ὅμηρος Ἑλένης πόσιν ἠυκόμοιο, μηδὲν ἔχοντα πρὸς δόξαν ἄλλο σεμνύνων ἀπὸ τῆς γυναικὸς ὀνομάζει πολλάκις, οὕτως γεγονὼς περιβόητος ἐν Ῥώμῃ διὰ τὸν Ποππαίας γάμον, ἧς ἤρα μὲν ὁ Νέρων Κρισπίνῳ συνούσης, ἔτι δ' αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα καὶ τὴν μητέρα φοβούμενος ὑφῆκε τὸν Ὄθωνα πειρῶντα τὴν Ποππαίαν. (3) Φίλῳ δὲ d τῷ Ὄθωνι καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο καὶ σκωπτόμενος ὑπ' αὐτοῦ πολλάκις εἰς μικρολογίαν καὶ ἀνελευθερίαν ἔχαιρε. Λέγεται δέ ποτε μύρῳ τῶν πολυτελῶν χρισαμένου τοῦ Νέρωνος καὶ τὸν Ὄθωνα καταβρέξαντος, ἐκεῖνος πάλιν τῇ ὑστεραίᾳ δεχόμενος αὐτὸν ἅμα πολλαχόθεν ἀργυροῦς καὶ χρυσοῦς προβαλεῖν ἄφνω σωλῆνας ὥσπερ ὕδωρ τὸ μύρον ἐκχέοντας καὶ κατακλύ-

detractum ei appenderet, quod sexcenta sestertia æquasse pretio traditur.

XVIII. Inde factum est ut etiam quæ recte agerentur, in reprehensiones incurrerent; adeo ut quum Gallis, qui Vindicem adjuverant, tributum esset remissum et civitas donata, viderentur id non humanitate Imperatoris, sed corrupto muneribus Vinio impetrasse. Hæc erant quæ populo Galbæ dominationem invisam reddebant; milites vero, quum donarium promissum non persolveretur, initio spes ducebat, fore ut si non totum, attamen quantum Nero dedisset, a Galba acciperent. Sed ubi eorum indignatione percepta vocem magno Imperatore dignam emisit Galba: solitum se militem legere, non emere: immane contra se militum odium concitavit; non enim ipsum modo privare eos promisso, sed legem etiam exemplumque idem faciendi subsecuturis Cæsaribus præscribere censebant. (2) Sed motus Romæ adhuc obscuri et ipsa Galbæ præsentis verecundia cunctationem hæsitationemque novas res molientibus injiciebat, reprimebanturque utcumque et tegebantur odia, quod nullum apertum mutandarum rerum exstabat initium. Ceterum qui prius sub Virginio, tum sub Flacco in Germania merebant milites, ob pugnam contra Vindicem factam magna sibi præmia polliciti, neque adepti quicquam, a ducibus suis placari nullo modo poterant; Flaccum autem corporis ob continentem podagram impotentem, rerumque ignarum, omnino contemnebant. Quin et ludis quibusdam tribunis militum et centurionibus more Romano Imperatori Galbæ felicitatem optantibus, plerique milites initio tumultuati, perseverantibus illis in voto, acclamaverunt: Si quidem dignus est.

XIX. Mittebantur et litteræ ad Galbam a procuratoribus, quibus ostendebant Tigellino subditas legiones eodem genere contumeliæ uti. Itaque sibi metuens Galba, ut qui non ob senium modo, sed orbitatem contemptui haberetur, adoptandum sibi aliquem primarium juvenem regnique successorem faciendum statuit. (2) Erat M. Otho vir genere non obscuro editus, verum ita luxu et voluptatum studio ab ineunte ætate ut nemo alius Romanus perditus. Quemadmodum vero Alexandrum Homerus sæpenumero ab uxore nominat, vocatque maritum

Tyndaridos pulchris ornatæ crinibus,

quod is vir nihil aliud ad gloriam sibi conducens haberet; sic Otho Romæ nuptiis Poppææ nobilitatus fuit. Hanc Nero matrimonio tum junctam Crispino amabat, adhuc tamen uxorem suam reverens ac matrem metuens, Othonem submisit, qui de adulterio Poppæam sollicitaret. (3) Nam Othone amico et convictore utebatur, luxuria ejus delectatus ac sæpe ab eo sordium et illiberalitatis causa dicteriis impetitus, gratum habebat. Ac ferunt quodam tempore Othonem, quum a Nerone esset pretiosissimo unguento aspersus, quo is se unxerat, postridie convivio accepto domi suæ Nerone, subito variis ex partibus argen-

ζοντας. (1) Ἀλλὰ τήν γε Ποππαίαν προμοιχεύσας τῷ Νέρωνι καὶ διαφθείρας ταῖς εἰς ἐκεῖνον ἐλπίσιν ἔπεισεν ἀποστῆναι τοῦ ἀνδρός. Ἐλθούσης δὲ παρ' αὐτὸν ὡς γαμετῆς οὐκ ἠγάπα μετέχων, ἀλλ' ἤσχαλλε μεταδιδοὺς, οὐδὲ αὐτῆς ἀχθομένης, ὥς φασι, τῇ ζηλοτυπίᾳ τῆς Ποππαίας. Καὶ γὰρ ἀποκλεῖσαι τὸν Νέρωνα λέγε- e ται μὴ παρόντος τοῦ Ὄθωνος, εἴτε τῆς ἡδονῆς ἀφαιροῦσα τὸ πλήσμιον, εἴτε, ὥς φασιν ἔνιοι, βαρυνομένη τὸν Καίσαρος γάμον, ἐραστῇ δὲ μὴ φεύγουσα χρῆσθαι διὰ τὸ φιλακόλαστον. Ἐκινδύνευσεν οὖν ὁ Ὄθων ἀποθανεῖν· καὶ παράλογον ἦν, ὅτι τὴν γυναῖκα καὶ ἀδελφὴν ἀποκτείνας διὰ τὸν Ποππαίας γάμον ἐφείσατο τοῦ Ὄθωνος.

XX. Σενέκαν δὲ εἶχεν εὔνουν· κἀκείνου τὸν Νέρωνα πείσαντος καὶ παραινέσαντος, ἐξεπέμφθη Λυσιτανῶν f στρατηγὸς ἐπὶ τὸν Ὠκεανόν. Καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν οὐδὲ ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὑποκόρισμα καὶ παρακάλυμμα τὴν ἀρχὴν αὐτῷ δεδομένην. Ἀποστάντος δὲ Γάλβα, πρῶτος αὐτῷ προσεχώρησε τῶν
1062 ἡγεμόνων, καὶ φέρων ὅσον εἶχεν ἐν ἐκπώμασι καὶ τρα- a πέζαις ἄργυρον καὶ χρυσὸν ἔδωκε κατακόψαι ποιουμένῳ νόμισμα καὶ τῶν οἰκετῶν ἐδωρήσατο τοὺς εἰθισμένους περὶ δίαιταν ἡγεμόνι ἐμμελῶς ὑπουργεῖν. (2) Καὶ τὰ ἄλλα πιστὸς ἦν αὐτῷ καὶ διδοὺς πεῖραν οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι· καὶ βαδίζοντι τὴν ὁδὸν ἅπασαν ἐφ' ἡμέρας πολλὰς συνοχούμενος διετέλεσεν. Ἐν δὲ τῇ συνοδίᾳ καὶ συνηθείᾳ τὸν Οὐίνιον ἐξεθεράπευσεν ὁμιλίᾳ καὶ δώροις, μάλιστα δὲ τῶν πρωτείων ὑφιέμενος αὐτῷ. Τὸ δὲ μετ' ἐκεῖνον δύνασθαι δι' ἐκεῖνον εἶχε βεβαίως. Τῷ δὲ ἀνεπιφθόνῳ περιῆν προῖκα συμπράττων πάντα τοῖς δεομένοις καὶ παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. (3) Πλεῖστα δὲ τοῖς στρατιωτικοῖς συνελάμβανε καὶ προῆγε b πολλοὺς ἐφ' ἡγεμονίας, τὰ μὲν αἰτούμενος ἀπὸ τοῦ αὐτοκράτορος, τὰ δὲ τὸν Οὐίνιον καὶ τοὺς ἀπελευθέρους παρακαλῶν Ἴκελον καὶ Ἀσιατικόν· οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιστα τῶν περὶ τὴν αὐλήν. Ὁσάκις δὲ τὸν Γάλβαν εἱστία, τὴν παραφυλάττουσαν ἀεὶ σπεῖραν ἐδέκαζε χρυσοῦν ἑκάστῳ διανέμων, τοῖς τιμᾶν αὐτὸν ἐδόκει καταπολιτευόμενος καὶ δημαγωγῶν τὸ στρατιωτικόν.

XXI. Ἀλλ' οὖν βουλευομένου γε τοῦ Γάλβα περὶ διαδόχου, τὸν Ὄθωνα παρεισῆγεν ὁ Οὐίνιος, οὐδὲ τοῦτο προῖκα πράσσων, ἀλλ' ἐπὶ γάμῳ τῆς θυγατρὸς, ὁμολογίας γενομένης γαμεῖν αὐτὴν τὸν Ὄθωνα παῖδα τοῦ c Γάλβα καὶ διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας. Ὁ δὲ Γάλβας ἀεὶ μὲν ἦν δῆλος πρὸ τοῦ ἰδίου τὸ κοινὸν τιθέμενος καὶ ζητῶν οὐχ αὐτῷ θέσθαι τὸν ἥδιστον, ἀλλὰ Ῥωμαίοις τὸν ὠφελιμώτατον. (2) Δοκεῖ δὲ μηδ' ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἑλέσθαι τὸν Ὄθωνα κληρονόμον, ἀκόλαστον εἰδὼς καὶ πολυτελῆ καὶ πεντακισχιλίων μυριάδων ὀφλήμασι βεβαπτισμένον. Ὅθεν ἀκούσας τοῦ Οὐινίου σιωπῇ καὶ πράως, ὑπερέθετο τὴν διάθεσιν. Ἀποδείξας δ' αὐτὸν ὕπατον καὶ συνάρχοντα τὸν Οὐίνιον ἐπίδοξος ἦν ἔτους ἀρχῇ τὸν διάδοχον ἀνα-

teos aureosque aperuisse tubulos, qui aquæ instar unguentum effunderent. (4) Eam Otho primum spe de conjugio Neronis illectam constupravit, utque ad se, marito deserto, veniret persuasit. Quum vero ad ipsum uxoris nomine se ea contulisset, non satis habuit consuetudinis cum illa esse participem, sed iniquo animo tulit Neronem rivalem, feruntque hanc æmulationem Poppææ quoque non ingratam fuisse, quæ et absente Othone Neronem excluserit, sive ut satietati voluptatis præveniret, sive a nuptiis Cæsarianis abhorrens et tamen ob impudicitiam amorem ejus non recusans. Certe in discrimen vitæ propter eam Otho venit: mirumque est Neronem, qui propter Poppææ nuptias uxori sororique necem intulisset, Othoni pepercisse.

XX. Sed id benevolentia Senecæ consecutus est, qui Neroni persuasit ut eum in Lusitaniam ad Oceanum præfectum provinciæ mitteret. Non ingratum se ibi neque molestum subditis Otho gessit, etsi non nescius eam præfecturam sibi ad prætexendum exsilium invidiamque ejus nominis mitigandam obtigisse. Quum defecisset Galba, primus ipse omnium præfectorum ad eum accesserat, et quantum auri argentique in vasis mensisque habebat, ad eum attulerat ac nomisma tum cudenti concidendum præbuerat; famulos etiam, qui periti essent eleganter administrare principi quæ ad vitæ usum quotidianum pertinent, dono dederat. (2) Ceteris quoque in rebus fidum se ei præstiterat, specimenque exhibens, nulli in rerum peritia inferior esse videbatur, inque itinere Romam versus per multos dies eodem vehiculo cum Imperatore vectus erat. Inter itineris societatem et consuetudinem etiam T. Vinium sibi devinxerat colloquio et donis, eoque maxime, quod primas illi ultro partes concedebat. Itaque et secundas ipse ejus opera obtinebat et citra invidiam suam indigentibus gratis operam navabat, comem se omnibus et facilem præbens. (3) Præsertim vero militibus astipulabatur, eorumque multos ad gradum aliquem honoris et imperia provehebat, qua ipso ab Imperatore id impetrans, qua Vinii et libertorum Iceli Asiaticique (qui tum in aula plurimum poterant) opera conficiens. Quoties Galbam convivio acciperet, semper cohortem custodiæ causa comitantem viritim aureo donabat: quo facto quum videretur honorare Cæsarem, occulte corrumpebat sibique devinciebat milites.

XXI. Enimvero Galba deliberante de successore adoptando, Vinius Othonem commendavit, ne hoc quidem gratis; nam ita cum Othone pactus erat, ut is filius Galbæ et successor designatus, filiam suam uxorem duceret. Galba autem nunquam obscure præ se tulerat, magis de re publica se, quam de privata esse sollicitum; neque eum adoptare sibi velle qui ipsi jucundissimus, sed qui Romanis esset commodissimus. (2) Imo ne suarum quidem facultatum hæredem ex asse videbatur delecturus Othonem, intemperantem sciens esse et luxuriosum et ære alieno bis millies sestertium obrutum. Itaque Vinio placide et cum silentio audito, deliberationem aliud in tempus distulit: se et Vinium consules in proximum annum designavit, omninoque existimabatur tunc imperii successorem proditurus. Et militibus

γορεύσειν. Καὶ τὸ στρατιωτικὸν ἡδέως εἶχε τὸν Ὄθωνα παρ' ὁντινοῦν ἄλλον ἀναγορευθῆναι.

XXII. Καταλαμβάνει δ' αὐτὸν ἔτι μέλλοντα καὶ βουλευόμενον ἐκραγέντα τὰ Γερμανικά. Κοινῇ γὰρ ἅπαντες οἱ στρατευόμενοι τὸν Γάλβαν ἐμίσουν οὐκ ἀποδιδόντα τὴν δωρεάν· ἰδίας δὲ ἐκεῖνοι προφάσεις ἐποιοῦντο Οὐεργίνιόν τε Ῥοῦφον ἀπεῤῥιμμένον ἀτίμως καὶ Γαλατῶν τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας, ὅσοι δὲ μὴ προσέθεντο Οὐίνδικι κολαζομένους, ᾧ μόνῳ τὸν Γάλβαν χάριν εἰδέναι καὶ τιμᾶν τεθνηκότα καὶ γεραίρειν δημοσίοις ἐναγισμοῖς, ὡς ὑπ' ἐκείνου Ῥωμαίων ἀποδεδειγμένον αὐτοκράτορα. (2) Τοιούτων ἀναφανδὸν ἤδη λόγων ἐν τῷ στρατοπέδῳ περιφερομένων, ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνός, ἣν καλάνδας Ἰανουαρίας καλοῦσι· τοῦ δὲ Φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον, ὃν ἔθος ἐστὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ Γάλβα προσελθόντες ἀνέτρεψαν καὶ κατέσπασαν, αὐτοὶ δὲ ὀμόσαντες ὑπὲρ συγκλήτου καὶ δήμου Ῥωμαίων διελύθησαν. (3) Εἶτα τοῖς ἡγεμονικοῖς παρίστατο δεδοικέναι τὴν ἀναρχίαν ὡς ἀπόστασιν. Λέγει δέ τις ἐν αὐτοῖς· « Τί πάσχομεν, ὦ συστρατιῶται, μήτ' ἄλλον ἡγεμόνα ποιούμενοι μήτε τὸν νῦν ὄντα φυλάττοντες, ὥσπερ οὐ Γάλβαν, ἀλλ' ὅλως ἄρχοντα καὶ τὸ ἄρχεσθαι φεύγοντες; Φλάκκον μὲν οὖν Ὁρδεώνιον οὐδὲν ἄλλο ἢ σκιὰν ὄντα Γάλβα καὶ εἴδωλον ἐατέον, ἡμέρας δὲ μιᾶς ὁδὸν ἀφέστηκεν ἡμῶν Οὐιτέλλιος, ὁ τῆς ἑτέρας Γερμανίας ἡγούμενος, πατρός τε τιμητοῦ καὶ τρὶς ὑπάτου γενομένου καὶ Κλαυδίῳ Καίσαρι
1063 τρόπον τινὰ συνάρξαντος, αὐτός τε τὴν λοιδορουμένην ὑπ' ἐνίων πενίαν δεῖγμα λαμπρὸν ἔχων χρηστότητος καὶ μεγαλοφροσύνης. Φέρε τοῦτον ἑλόμενοι δείξωμεν ἀνθρώποις πᾶσιν, ὡς Ἰβήρων καὶ Λυσιτανῶν ἀμείνους ἐσμὲν αὐτοκράτορα αἱρεῖσθαι. » (4) Ταῦτα τῶν μὲν ἤδη προσιεμένων, τῶν δ' οὐ προσιεμένων, εἷς ὑπεξελθὼν σημαιοφόρος ἀπήγγειλε τῷ Οὐιτελλίῳ, νυκτὸς ἑστιωμένων πολλῶν παρ' αὐτῷ. Τοῦ δὲ λόγου διαπεσόντος εἰς τὰ στρατεύματα, πρῶτος Φάβιος Οὐάλης, ἡγεμὼν ἑνὸς τάγματος, τῇ ὑστεραίᾳ μετὰ ἱππέων συχνῶν ἐλάσας αὐτοκράτορα τὸν Οὐιτέλλιον προσεῖπεν. (5) Ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος, τότε δέ φασιν οἴνου διάπλεων καὶ τροφῆς ὄντα μεσημβρινῆς προελθεῖν καὶ ὑπακοῦσαι Γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ Καίσαρος οὐ προσδεξάμενον. Εὐθὺς δὲ καὶ τὸ μετὰ Φλάκκου στράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες ὤμοσαν Οὐιτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προστασσόμενον.

XXIII. Οὕτω μὲν ἀνηγορεύθη Οὐιτέλλιος αὐτοκράτωρ ἐν Γερμανίᾳ. Πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ Γάλβας οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλλετο. Γινώσκων δὲ τῶν φίλων ἐνίους μὲν ὑπὲρ Δολοβέλλα, τοὺς δὲ πλείστους ὑπὲρ Ὄθωνος ἀρχαιρεσιάζοντας, ὧν οὐδέτερον ἐδοκίμαζεν αὐτός, ἄφνω μηδὲν προειπών, μετεπέμψατο Πείσωνα, Κράσσου καὶ Σκριβωνίας ἐκγο-

d de Othone posthabitis omnibus aliis ad eam rem evehendo spes grata erat.

XXII. Cunctantem adhuc et deliberantem Galbam Germanicorum militum defectio erumpens occupavit. Etenim quum universi milites ob non repræsentatum donarium Galbæ essent infensi, Germanici peculiares afferebant causas, abjectum ignominiose Virginium Rufum, Gallos, qui contra ipsos pugnassent, donis affectos, punitos qui non adjunxissent se Vindici, huic soli Galbam gratias agere, ejusque defuncti colere honorem et publicis exsequiis venerari, quasi ejus opera esset Romanorum imperator creatus.
e (2) His sermonibus aperte jam tota castra pervagantibus Calendæ; Januariæ appetierunt. Ibi milites quum eos Flaccus convocasset ut pro more in nomen Imperatoris jurarent, statuas Galbæ aggressi dejecerunt, quumque in senatus populique Romani nomen jurassent, digressi sunt. (3) Secundum hoc ducibus metus incidit, ne ob contemptionem magistratuum ad defectionem res deveniret. Tum quidam eorum : « Quid agimus, inquit, commilitones? neque alium ducem quærimus, et præsentem recusamus, ut non Galbam, sed omnino imperium videamus subterfugere?
f Quin nos Flaccum Hordeonium, qui nihil est aliud quam umbra et imago Galbæ, missum facimus? abest unius diei iter a nobis Vitellius, alterius Germaniæ præfectus, patre natus censore, et tribus consulatibus insigni et eo, qui collega quodammodo Claudii Cæsaris in imperio fuerit, atquo
a ipse paupertatem, quam nonnulli probro dant, præclarum habet bonitatis magnanimitatisque argumentum. Agedum, deligamus hunc ducem, ostendamusque omnibus hominibus nos in deligendo imperatore Hispanis Lusitanisque esse potiores. » (4) Hæc quum partim militum probassent, partim nondum accepissent, quidam signifer occulte se subducens Vitellio noctu indicavit, multos secum habenti convivas. Rumore in castra dilato, primus Fabius Valens, unius dux legionis, postridie multis cum equitibus accurrit et Vitellium Imperatorem salutavit. (5) At vero Vitellius, qui prioribus diebus recusare eum titulum visus fuerat, magnitudine im-
b perii deterritus, tunc, ut ferunt, vino ciboque meridiano repletus, progressus est, repudiatoque Cæsaris nomine, Germanici, quod ei imposuerunt, accepit. Statim quoque Flacci legiones, præclaris illis et popularibus in verba senatus valere jussis juramentis, Vitellio Imperatori se facturas imperata sacramento confirmarunt.

XXIII. Hoc modo Vitellius in Germania Imperator est declaratus. Ceterum Galba, nuntiis de ea rerum mutatione allatis, adoptionem non ulterius differendam sensit; animadvertensque alios Dolabellæ, alios Othoni eum locum
c ambire, neutrum eorum ipse probans, subito nulloque ea de re verbo facto Pisonem accivit, Crassi et Scriboniæ, quos

νον, οὓς Νέρων ἀνῃρήκει, νεανίαν ἐν τῇ πρὸς πᾶσαν ἀρετὴν εὐφυΐᾳ τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα· καὶ κατέβαινεν εἰς τὸ στρατόπεδον ἐκεῖνον ἀποδείξων Καίσαρα καὶ διάδοχον. (2) Καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημεῖαι παρηκολούθουν, ἀρξαμένου δὲ τὰ μὲν λέγειν ἐν τῷ στρατοπέδῳ, τὰ δὲ ἀναγινώσκειν, τοσαυτάκις ἐβρόντησε καὶ κατήστραψε καὶ τοσοῦτος ὄμβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς κατάδηλον εἶναι μὴ προσιέμενον μηδὲ ἐπαινοῦν τὸ δαιμόνιον γινομένην οὐκ ἐπ' ἀγαθῷ τὴν εἰσποίησιν. Ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκυθρωπά, μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. (3) d Τοῦ δὲ Πείσωνος οἱ παρόντες ἐθαύμασαν τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ τηλικαύτην χάριν ἀνεκπλήκτως, οὐ μὴν ἀναισθήτως δεχομένου, ὥσπερ αὖ τοῦ Ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀπότευξιν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ Γάλβα πρὸς αὐτόν. Ὅθεν οὐδὲ ἄφοβος ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν Πείσωνα δεδιὼς καὶ τὸν Γάλ- e βαν προβαλλόμενος καὶ τῷ Οὐινίῳ χαλεπαίνων ἀπῄει πολλῶν παθῶν πλήρης. (4) Οὐδὲ γὰρ τὸ ἐλπίζον ἐκλιπεῖν οὐδὲ ἀπαγορεῦσαι παντάπασιν εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ Χαλδαῖοι, εἰς τὰ μάλιστα δὲ Πτολεμαῖος ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις, ὡς οὐκ ἀποκτενεῖ Νέρων αὐτόν, ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περιέσται καὶ ἄρξει Ῥωμαίων· ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν· οὐχ ἥκιστα δ' οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστένοντες ὡς ἀχάριστα πεπονθότι· πλεῖστοι δὲ τῶν περὶ Τιγελλῖνον καὶ Νυμφίδιον ἐν τιμῇ γεγονότων ἀπερριμμένοι f τότε καὶ ταπεινὰ πράττοντες ἐφθείροντο πρὸς αὐτὸν καὶ συνηγανάκτουν καὶ παρώξυνον.

XXIV. Ἐν δὲ τούτοις Οὐετούριος καὶ Βάρβιος, ὁ μὲν ὀπτίων, ὁ δὲ τεσσεράριος· οὕτω γὰρ καλοῦνται οἱ διαγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες. Μεθ'
1064 ὧν Ὄθωνος ἀπελεύθερος Ὀνομαστὸς, ἐπιφοιτῶντες a τοὺς μὲν ἀργυρίῳ, τοὺς δὲ ἐλπίσι διέφθειρον ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. Οὐ γὰρ ἦν ἡμερῶν τεσσάρων ἔργον ὑγιαίνοντος στρατοπέδου μεταστῆσαι πίστιν, ὅσαι μεταξὺ τῆς εἰσποιήσεως ἐγένοντο καὶ τῆς σφαγῆς. Ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι Ῥωμαῖοι πρὸ δεκαοκτὼ καλανδῶν Φεβρουαρίων. (2) Ἐκείνῃ γὰρ ἕωθεν εὐθὺς ὁ μὲν Γάλβας ἔθυεν ἐν Παλατίῳ, τῶν φίλων παρόντων, ὁ δὲ θύτης Ὀμβρίκιος ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα, προϊδεῖν οὐ δι' αἰνιγμῶν, ἀλλ' ἄντικρυς ἔφη σημεῖα μεγάλης ταραχῆς καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι, μονονουχὶ τὸν Ὄθωνα τοῦ b θεοῦ χειρὶ ληπτὸν παραδιδόντος. Παρῆν γὰρ ὄπισθεν τοῦ Γάλβα καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ Ὀμβρικίου. Θορυβουμένῳ δὲ αὐτῷ καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους παραστὰς

Nero interfecerat, sobolem, juvenem quum indole ad omnem virtutem optima, tum moribus compositis ac gravibus præditum, eumque ut Cæsarem et successorem sibi designaret, in castra descendit. (2) Verum modo egredientem magna sunt consecuta prodigia; sed quum in castris quædam perorare de scripto recitata cœpisset, tanta fulgurum tonitruumque multitudo, tantum imbris et caliginis incidit urbi et castris, ut facile appareret infaustam adoptionem deos non admittere neque probare. Erant sane et militum animi tum malevolentia suffusi, quod ne tum quidem promissum ipsis donum repræsentaretur. (3) Qui negotio ei intererant, ex vultu Pisonis voceque conjiciebant eum sine ulla animi temeraria elatione, cogitabundum tamen accipere id beneficium, idque mirabantur In Othonis etiam vultu multa apparebant indicia, acerbe et infenso animo ferentis spe tantæ se frustratum rei, qua primus omnium dignus habitus et tantum non potitus, quod ea excidisset, id odii et malevolentiæ Galbæ erga se documentum interpretabatur. Inde in summa de futuro sollicitudine et Pisonem metuens et Galbæ iratus, et Vinio succensens, variis repletus affectibus discedebat. (4) Neque enim vates et Chaldæi, quos secum habebat, plane eum desperare patiebantur; Ptolemæus præsertim, qui sæpenumero magna contentione affirmarat, non occisum iri a Nerone Othonem, sed superfuturum ei et Romanis, imperaturum quorum prius quum exitûs probasset, ne de posteriori quidem abjiciendam spem censebat. Eodem plurimum conducebant ii, qui occulte vicem ejus dolebant, tanquam malam gratiam experti; et plurimi de sociis Nymphidii ac Tigellini, olim magno honore potiti, tunc abjecti et humiles, ad eum se conferebant, augentes irritantesque ejus indignationem.

XXIV. Inter hos erant Veturius et Barbius, optio alter, alter tesserarius; ita nominant eos qui per nuntios et speculatores ministeria obeunt. Atque una Onomastus Othonis libertus alios pecunia, alios pollicitando subruebat, jam ante nutantes et opportunitatem quærentes. Alioquin enim exercitus sani fides quatriduo corrumpi non potuisset, neque inter adoptionem et cædem Galbæ plus temporis intervenit. Sexto enim die interfectus est cum Pisone, qui dies est a. d. XVIII Cal. Februarias. (2) Eo die cum multo mane, amicis præsentibus, in Palatio rem divinam faceret Galba, Umbricius haruspex, simul atque exta in manus sumpsit, non obscure, sed palam magnum motum capitique Imperatoris ex insidiis impendens periculum se videre dixit. Et quidem deus Othonem Galbæ tantum non manu apprehendendum obtulerat, astantem a tergo Galbæ, animoque perturbato et vultu præ metu varie sese mutante ea audientem, quæ Umbricius referebat atque

Ὀνομαστὸς ἀπελεύθερος ἥκειν ἔφη καὶ περιμένειν αὐτὸν οἴκοι τοὺς ἀρχιτέκτονας. Ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν Ὄθωνα τοῖς στρατιώταις. Εἰπὼν οὖν ὅτι παλαιὰν ἐωνημένος οἰκίαν βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε καὶ διὰ τῆς Τιβερίου καλουμένης οἰκίας καταβὰς ἐβάδιζεν εἰς ἀγοράν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς c Ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν.

XXV. Ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορά φασι μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. Διό, καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ θηλύτητα τῇ ψυχῇ διατεθρυμμένος, ἀλλὰ ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. Οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον ἐκέλευον αἴρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι καὶ τοὺς φορειαφόρους ἐπιταχύνοντος. Ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. (2) Φερομένῳ δὲ οὕτω δι' d ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον. Εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι Καίσαρα καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. Τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου Μαρτίαλις, ὥς φασι, μὴ συνειδώς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς ἀφῆκεν εἰσελθεῖν. Γενομένῳ δὲ ἐντὸς οὐδεὶς ἀντέπεσεν. Οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι καθ' ἕνα καὶ δύο σποράδες ὑπὸ δέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. (3) Εἰς δὲ τὸ Παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ Γάλβᾳ, παρόντος ἔτι τοῦ θύτου καὶ τῶν ἱερῶν ἐν e χερσὶν ὄντων, ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀτενῶς ἔχοντας ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον· ὄχλου δὲ παντοδαποῦ συῤῥέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν Οὐίνιος καὶ Λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι παρέστησαν, ὁ δὲ Πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. Τοῦ δ' Ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι Βιψανίᾳ στρατοπεδεύοντος ἀπεστάλη Μάριος Κέλσος, ἀνὴρ ἀγαθός, προκαταληψόμενος.

XXVI. Βουλευομένου δὲ τοῦ Γάλβα προελθεῖν καὶ Οὐινίου μὲν οὐκ ἐῶντος, Κέλσου δὲ καὶ Λάκωνος παρορμώντων f καὶ σφοδρότερον τοῦ Οὐινίου καθαπτομένων, θροῦς διῆλθε πολὺς ὡς ἀνῃρημένου τοῦ Ὄθωνος ἐν τῷ στρατοπέδῳ· καὶ μετὰ μικρὸν ὤφθη Ἰούλιος Ἀττικος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος καὶ βοῶν ἀνῃρηκέναι τὸν Καίσαρος πολέμιον· ὠσάμενος δὲ διὰ τῶν 1065 προεστώτων, ἔδειξε τῷ Γάλβᾳ τὸ ξίφος ᾑμαγμένον. Ὁ δὲ a βλέψας πρὸς αὐτόν, « Τίς σε, εἶπεν, ἐκέλευσε; » Τοῦ δὲ ἀνθρώπου τὴν πίστιν εἰπόντος καὶ τὸν ὅρκον, ὃν ὤμοσε, καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ κροτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο τῷ τε Διὶ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. (2) Ἐμ-

ostendebat; quum subito ei a tergo assistens Onomastus libertus domum redire et ibi operiri fabros jussit. Hæc autem erat tessera temporis, qua edita occurrere Othonem militibus convenerat. Itaque dicens se domum antiquam emisse et venditoribus velle quæ ruinosa viderentur ostendere, discessit, ac per Tiberii quam dicunt domum descendens in forum perrexit, quo loco aurea posita est columna, in quam viæ quæ Italiam secant omnes desinunt.

XXV. Ferunt primos, qui eum ibi exceperint Imperatoremque salutarint, haud plures viginti tres fuisse; itaque, etsi corporis ignavia atque mollities nequaquam animum ejus effeminaverat, sed audax intrepidusque rebus adversis erat, tamen tunc pertimuit; profugere volentem milites non dimiserunt, sed nudis gladiis lecticam ejus stipantes, eam provehi jusserunt, quanquam identidem clamitantis, actum de se esse, et lecticarios ut accelerarent fugam hortantis. Nam exaudiverant quidam vocem, ab paucitatem eorum qui aderant facinori, mirantes magis quam perturbati. (2) Ita per forum vehenti alii totidem occurrerunt, hisque deinceps terni quaternique alii se adjunxerunt, tandemque agmine facto universi strictos protendentes gladios Cæsarem eum appellarunt. Ferunt tribunum militum Martialem, cui eo die custodia castrorum cesserat, non conscium conspirationis, inopinata tamen re perculsum, eos intromisisse. Othoni, ut semel in castra pervenit, restitit nemo. Quos enim quæ agerentur latebat, ii, dedita ad hoc opera, inter conscios detenti sparsim singuli binique metu primum, deinde persuasi accesserunt. (3) Statim hæc in Palatium Galbæ renuntiata sunt, præsente adhuc haruspice, manibusque exta tenente, adeo ut qui omnino ejusmodi divinationes nihil curarent, tum obstupefacti prodigium admirati sint. Concurrente a foro promiscua turba, Galbæ Vinius et Laco et libertorum quidam cum strictis ensibus astiterunt; Piso progressus stipatores aulam custodientes compellavit. Missus etiam Celsus Marius, vir egregius, ad præoccupandos animos Illyricæ cohortis in porticu quæ dicitur Vipsania tendentis.

XXVI. Quum progredi Galba vellet, Celso etiam et Lacone hortantibus, acriterque Vinium id prohibentem increpantibus, rumor increbuit, Othonem in castris esse cæsum; paulloque post Julius Atticus, spiculatorum non postremus, visus est stricto cum gladio accurrere, interfectum a se Cæsaris hostem vociferans, ac per obstantes ad ipsum Galbam se proripuit, gladium cruentatum ei demonstrans. Quumque in eum intuitus Galba dixisset : Et quis tibi hoc mandavit? Fides, respondit, et sacramentum quo me obligavi, acclamante populo, bene factum esse, atque applaudente. Proinde conscensa lectica provectus est Galba, ut Jovi sacrificaret et se civibus ostenderet. (2) Ut in forum pervenit, adversi instar venti fama ei occur-

βαλόντος δὲ εἰς τὴν ἀγορὰν, ὥσπερ τροπαία πνεύματος, ἀπήντησε φήμη κρατεῖν τὸν Ὄθωνα τοῦ στρατεύματος. Οἷα δὲ ἐν πλήθει τοσούτῳ, τῶν μὲν ἀναστρέφειν, τῶν δὲ προϊέναι, τῶν δὲ θαῤῥεῖν, τῶν δὲ ἀπιστεῖν βοώντων καὶ τοῦ φορείου, καθάπερ ἐν κλύδωνι, δεῦρο κἀκεῖ διαφερομένου καὶ πυκνὸν ἀπονεύοντος, ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται διὰ τῆς Παύλου βασιλικῆς προσφερόμενοι, μιᾷ φωνῇ μέγα βοῶντες ἐκποδὼν ἵστασθαι b τὸν ἰδιώτην. Τῶν μὲν οὖν πολλῶν δρόμος ἦν, οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. (3) Ἀτιλλίου δὲ Βεργελίωνος εἰκόνα Γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι περιηκόντισαν τὸ φορεῖον· ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν. Ἤμυνε δὲ οὐδεὶς οὐδὲ ὑπέστη πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς Ῥωμαίων ἡγεμονίας· Σεμπρώνιος ἦν Δῆνσος, ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ Γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν προέστη τοῦ φορείου. Καὶ c τὸ κλῆμα πρῶτον, ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους, ἐπαράμενος τοῖς ἐπιφερομένοις ἐβόα καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. Ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσε.

XXVII. Τὸν δὲ Γάλβαν ἀποκλινθέντος τοῦ φορείου περὶ τὸν Κουρτίου καλούμενον λάκκον ἐκκυλισθέντα, τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. Ὁ δὲ τὴν σφαγὴν προτείνας, « Δρᾶτε, εἶπεν, εἰ τοῦτο τῷ δήμῳ Ῥωμαίων ἄμεινόν ἐστι. » Πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας, ἀπέσφαξε δὲ αὐτὸν, ὡς οἱ πλεῖστοι λέγουσι, Καμούριός τις ἐκ τοῦ d πεντεκαιδεκάτου τάγματος. Ἔνιοι δὲ Τερέντιον, οἱ δ' Ἀρκάδιον ἱστοροῦσιν, οἱ δὲ Φάβιον Φάβουλον, ὃν καί φασιν ἀποκόψαντα τὴν κεφαλὴν κομίζειν τῷ ἱματίῳ συλλαβόντα διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν· ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα πρεσβύτου πρόσωπον ἄρχοντός τε κοσμίου καὶ ἀρχιερέως καὶ ὑπάτου δρόμῳ χωρεῖν, ὥσπερ αἱ βάκχαι, πολλάκις μεταστρεφόμενον καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταῤῥεομένην. (2) Τὸν δ' Ὄθωνα, τῆς κεφαλῆς κομισθείσης, ἀνακραγεῖν λέ- e γουσιν· « Οὐδέν ἐστι τοῦτο, ὦ συστρατιῶται, τὴν Πείσωνός μοι κεφαλὴν δείξατε. » Μετ' ὀλίγον δὲ ἧκε κομιζομένη· τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος καὶ καταδιωχθεὶς ὑπὸ Μούρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς Ἑστίας. (3) Ἀπεσφάττετο δὲ καὶ Οὐίνιος ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν Γάλβαν συνωμοσίας· ἐβόα γὰρ ἀποθνήσκειν παρὰ τὴν Ὄθωνος γνώμην. Ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ Λάκωνος ἐκόμισαν πρὸς τὸν Ὄθωνα δωρεὰς αἰτοῦντες. Ὡς δέ φησιν Ἀρχίλοχος·

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆες ἐσμέν·

rit, potitum castris Othonem. Ceterum in tanta hominum turba, aliis retro ire, aliis procedere, aliis bono esse animo, aliis diffidere rebus jubentibus, jactata hinc inde tanquam æstu et undis lectica, et modo hac modo illac incitata, primum equites, deinde armati pedites per Pauli Basilicam in forum irruperunt, contentaque voce uno omnes ore privatum cedere e medio jusserunt. Plerique cursim abierunt, non ut fuga dissipati, sed porticus et edita fori loca tanquam spectaculi causa occuparunt. (3) Primus Atilius Vergelio statuam Galbæ humo afflixit: eo initio belli arrepto, eminus jaculis lectica impetita est; quumque id frustra esset, strictis in eam gladiis impetum fecerunt. Nemo Galbam tutatus est, nemo substitit, uno excepto viro, quem solum tot inter hominum millia dignum Romano imperio sol conspexit. Sempronius is fuit Densus centurio, nullo privatim Galbæ beneficio obstrictus, sed pro legibus tum honestateque pugnans, ante lecticam astitit, primumque arrepto palmite vitis, quo meritos verberibus plectunt centuriones, eum attollens alta voce monuit incurrentes, uti Imperatori parcerent. Deinde manum iis conserentibus, stricto gladio tantisper vim propulsavit, dum poplitem suffossus concideret.

XXVII. Galbam lectica apud Curtium lacum delapsum (erat autem thorace armatus) incursione facta milites ictibus impetierunt. Atque is jugulum protendens ; Hoc agite, dixit, si quidem ita ex re est populi Romani. Multa accepit vulnera in pedes et brachia; jugulatus est, ut plerique memorant, a Camurio decimæ quintæ legionis milite; alii Terentio ascribunt, alii Arcadio, alii Fabio Fabulo; atque hunc ferunt caput Galbæ amputatum vestimento, quod ob calvitiem teneri aliter vix posset, ad Othonem detulisse, ac sociis non permittentibus celari, sed omnibus ostentari tam præclarum facinus volentibus, hastæ præfixisse senis caput, ejusque principis boni, pontificis maximi atque consulis, eaque vibrata Bacchæ in modum discurrisse subinde se convertentem, quassantemque hastam cruore madentem. (2) Othonem vero, capite Galbæ viso, fama est exclamasse : Nihil est hoc, o commilitones; caput Pisonis mihi ostendite. Estque id paullo post allatum; nam juvenis sauciatus fugerat, insequentibusque hostibus, a Murco quodam apud ædem Vestæ interfectus fuerat. (3) Jugulatus est etiam T. Vinius, fassus se conjurationis in Galbam socium fuisse, quippe necari se præter Othonis sententiam vociferabatur. Nihilominus et hujus caput et Laconis amputata milites ad Othonem attulerunt, præmium eo nomine poscentes. Nam ut ait Archilochus,

Septem enim occisi ceciderunt, quos calcavimus pede:
mille sumus interfectores;

οὕτως τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας f δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο καὶ δωρεὰς ᾔτουν βιβλία διδόντες τῷ Ὄθωνι. Εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματίων, οὓς ὁ Οὐιτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν. (4) Ἧκε δὲ καὶ Μάριος Κέλσος εἰς τὴν παρεμβολήν. Καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ Γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος, Ὄθων οὐκ ἐβούλετο· φοβούμενος δὲ ἀντιλέγειν οὐχ οὔ- 1066 τως ἔφη ταχέως ἀποκτενεῖν αὐτόν· εἶναι γὰρ ἃ δεῖ πρό- a τερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. Ἐκέλευσεν οὖν δήσαντας φυλάττειν καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις.

XXVIII. Εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. Καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γεγονότων, συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ Ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε· καὶ Καίσαρα καὶ Σεβαστὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐῤῥιμμένων ἐπὶ τῆς ἀγορᾶς. (2) Ταῖς δὲ κεφαλαῖς ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν Οὐινίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο, τὴν δὲ Πείσωνος ἔλαβεν ἡ γυνὴ Οὐερανία δεηθεῖσα, τὴν δὲ Γάλβα τοῖς Πατροβίου [καὶ Οὐιτελλίου] δούλοις ἐδω- b ρήσαντο. Λαβόντες δὲ ἐκεῖνοι καὶ πάντα τρόπον αἰκισάμενοι καὶ καθυβρίσαντες ἔῤῥιψαν ᾗ τοὺς ὑπὸ τῶν Καισάρων κολαζομένους θανατοῦσιν· ὁ δὲ τόπος Σεσσώριον καλεῖται. Τὸ δὲ σῶμα τοῦ Γάλβα Πρίσκος Ἑλβίδιος ἀνείλετο, τοῦ Ὄθωνος ἐπιτρέψαντος· ἔθαψε δὲ νυκτὸς Ἀργεῖος ἀπελεύθερος.

XXIX. Τοιαῦτα τὰ κατὰ τὸν Γάλβαν, ἄνδρα μήτε γένει μήτε πλούτῳ πολλῶν ἀπολειφθέντα Ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα πάντων τῶν καθ' αὑτὸν, πέντε δ' αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης· ὥστε τῇ δόξῃ μᾶλλον ἢ τῇ δυνάμει καθελὼν Νέρωνα, τῶν συνεπιτιθεμένων τότε τοὺς μὲν οὐδεὶς ἠξίωσε τῆς ἡγεμονίας, οἱ δ' ἑαυτοὺς ἠξίωσαν, Γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτο- c κράτωρ καὶ τῇ Οὐίνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόστασιν ἐποίησε πόλεμον ἐμφύλιον ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. (2) Ὅθεν οὐχ ἑαυτῷ τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν ἄρχειν ἠξίου τῶν ὑπὸ Τιγελλίνου καὶ Νυμφιδίου τετιθασευμένων, ὡς Σκηπίων ἦρχε καὶ Φαβρίκιος καὶ Κάμιλλος τῶν τότε Ῥωμαίων. Ὑπερειπόμενος δὲ τῷ γήρᾳ μέχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων ἄκρατος ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ, Οὐινίῳ δὲ καὶ Λάκωνι καὶ τοῖς ἀπελευθέροις πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν, οἷον Νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχὴν, οἰκτείραντας δὲ τοὺς πολ- d λοὺς τὸν θάνατον ἀπέλιπεν.

---

ita tunc quoque multi qui cædibus non interfuissent, manibus et gladiis cruentatis se ostentarunt Othoni, libellisque exhibitis præmia poposcerunt. Sane ex iis libellis centum et viginti postea inventi sunt, quos omnes Vitellius conquisitos interfecit. (4) Venit et Marius Celsus in castra; quem quum multi accusarent, quod ad ferendum Galbæ auxilium milites esset hortatus et vulgus necare vellet, Otho prohibuit, non ausus tamen contradicere : Non tam subito occidendum, dixit, sed prius ex eo quædam necessaria cognitu expiscanda. Jussit itaque vinctum asservari, iisque tradidit, quorum summa credebatur fides.

XXVIII. Statim concilium est convocatum, et quasi vel ipsi mutati essent, vel dii alii exstitissent, convenientes in unum, juramento se in nomen Othonis obstrinxerunt, quod ipse quoque juravit et non servavit, Cæsaremque eum et Augustum appellaverunt, cadaveribus capite truncatis consulari vestitu adhuc in foro jacentibus. (2) Capitibus quum ad satietatem usque se oblectassent, Vinii caput filiæ ejus bis mille denariis vendiderunt, Pisonis uxoris Veraniæ precibus concesserunt, Galbæ, Patrobii servis dono dederunt. Iique id quum omnibus contumeliis ludibriisque affecissent, in Sessorium projecerunt, quo abjiciuntur eorum capita, qui Cæsarum jussu supplicio afficiuntur. Corpus Galbæ permissu Othonis Helvidius Priscus sustulit, noctu Argivus libertus sepelivit.

XXIX. Hac usus est fortuna Galba, vir neque generis nobilitate, neque opum splendore cuiquam æqualium secundus, et qui, sua ætate quinque imperatoribus rerum potitis, omnium eorum in principatu cum honore et gloria vixerit, ut magis auctoritate sua quam potentia Neronem exciderit, sociorum autem ejus facinoris alteros nemo imperio dignos judicaret, alteri semet ipsos tantum. Galba et vocatus est ad imperium et oblatum Imperatoris titulum accepit, Vindicisque conatui nomen suum accommodans, quod prius novarum rerum molitio et motus defectioque appellabatur, effecit ut ducem auctoritate præditum nactus pro civili bello haberetur. (2) Itaque non se res in suam accepisse potestatem ratus, sed se ipsum iis tribuisse, ita imperare iis, quos jam Nymphidius Tigellinusque cicuraverant, ut priscis Romanis Scipio, Fabricius et Camillus intendit. Subrutus autem senectute, in armis et castris quidem integrum se et antiqui moris Imperatorem gessit, Vinio autem, Laconi et libertis omnia venalia habentibus se committens atque dedens (quemadmodum Nero insatiabilibus sese hominibus addixerat) neminem qui imperium ejus desideraret, multos qui mortem miserarentur, reliquit.

ΟΘΩΝ.

Ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον ἔθυσε· καὶ κελεύσας Μάριον Κέλσον e ἀχθῆναι πρὸς αὐτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον ἢ τῆς ἀφέσεως μνημονεύειν. Τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτὸ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν, ἐγκεκλῆσθαι γὰρ ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν, ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων καὶ τὸ στρατιωτικὸν ἐπῄνεσεν. (2) Ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, f ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἤμελλε, τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ, τοῖς δὲ ἀποδεδειγμένοις ὑπὸ Νέρωνος ἢ Γάλβα πᾶσιν ἐτήρησε τὰς ὑπατείας. Ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας ἢ δόξαν ἐκόσμησε. Τοῖς δὲ ἐπὶ 1067 Νέρωνος φυγοῦσι καὶ κατελθοῦσιν ἐπὶ Γάλβα συγκλητικοῖς a πᾶσιν ἀπέδωκεν ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἕκαστον ἐξεύρισκεν. Ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον, ὡς οὐχ ἀνδρὸς, ἀλλά τινος ἢ Ποινῆς ἢ παλαμναίου δαίμονος ἄρνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἡδίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν ὥσπερ διαμειδιῶσαν.

II. Ὁμοῦ δὲ Ῥωμαίους πάντας οὐδὲν εὔφρανεν οὕτως οὐδ' ᾠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ Τιγελλῖνον. Ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέστοις σώματος, αὐτάς τε τὰς ἀνοσίους καὶ ἀῤῥήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, b αἷς ἔτι προσέσπαιρε δυσθανατοῦντος αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντάξια θανάτων οἱ σωφρονοῦντες. Ἠνία δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. (2) Ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διῃτᾶτο πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω. Καὶ τόν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπεχείρησε παρεῖναι· μὴ πεισθέντος δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον, ἐδεήθη δὲ ὑπομεῖναι ἕως ἂν ἀποξύρηται τὸ γένειον· καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν.

III. Οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς c ὁ Καῖσαρ αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τὸ παράπαν ἐμνησικάκησε, τοῖς δὲ πολλοῖς χαριζόμενος οὐκ ἔφευγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι· καί τινων εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐκ ἐκώλυσε. Κλούβιος δὲ Ῥοῦφος εἰς Ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους, τὸ τοῦ Νέρωνος θετὸν ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ Ὄθωνος. Οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος ἐπὶ τούτῳ δυσχεραίνοντας ἐπαύσατο. (2) Τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν

OTHO.

Prima luce novus Imperator in Capitolium progressus rem sacram fecit, atque jussit ad se adduci Marium Celsum, eumque salutavit et comiter collocutus, hortatus est ut magis causæ, ob quam in vincula esset conditus, oblivisci, quam dimissionis meminisse vellet. Responsum est a Celso neque parum ingenue neque imprudenter, ipsam culpam ingenii sui esse documentum; crimini enim sibi datum, quod Galbæ, cui nullam debuisset gratiam, servasset fidem. Admirati utrumque præsentes sunt, et collaudavit exercitus. (2) In senatu Otho multa benigne populariterque locutus, consulatus sibi destinati partem Virginio Rufo assignavit; honores eorum, quos consules Nero aut Galba designaverant, ratos habuit. Sacerdotiis eos qui ætate aut gloria reliquis anteirent, ornavit. Quos sub Nerone in exsilium profectos Galba restituerat senatores, iis omnia bona, quæcunque non divendita reperisset, reddidit. Quo factum est ut civium primi atque præstantissimi, qui prius exhorruerant, non hominem rati, sed pœnam quandam aut impurum genium subito reipublicæ incidisse, in meliorem tum spem venerint, imperio lætum quasi vultum quendam ostendente.

II. Interim Romanos universos nihil tanta affecit lætitia eorumque studia paravit, quam sumptum de Tigellino supplicium. Ille quidem jam pridem imprudens ipso poenæ metu pœnas luebat, quas tanquam publicum debitum exposcebat civitas, et morbis corporis desperatis. Ipsas sceleratas ejus et infandas inter scorta et impuras mulieres volutationes, quas moribundi hominis libido etiamnum pruriebat, vel pro extremo supplicio multisque mortibus pari interpretabantur homines cordati. Nihilominus vulgo indigne ferebant, frui adhuc conspectu solis eum, propter quem tot tantique viri ejus conspectu essent privati. (2) Misit igitur qui eum trucidaret Otho in Sinuessanum agrum; nam ibi commorabatur, navibus in portu stantibus, ac de ulteriore fuga cogitabat. Primum multo oblato auro tentavit percussorem, ut se missum faceret, sed quum frustra id esset, nihilominus ei dono dedit, oravitque ut tantisper operiretur dum ipse sibi mentum raderet, eoque impetrato, fauces ipse sibi præcidit.

III. Hac Cæsar justissima voluptate oblata populo, ipse privatarum injuriarum causa neminem quenquam offendit. In gratiam quoque multitudinis Neronis cognomentum, quod ei primum in theatris tribuebatur, non repudiavit, et quum a nonnullis statuæ Neronis in publicum reponerentur, non prohibuit. Cluvius Rufus auctor est, allata in Hispaniam esse diplomata per tabellarios, in quibus Othonis nomini adoptivum Neronis nomen fuerit ascriptum. Tamen quum offendi ea re animos optimatum sentiret, desiit. (2) Hunc in modum constituto imperio, mercenarii milites

αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτούς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ d κολούειν τοὺς ἀξιολόγους, εἴτ' ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. (3) Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ τὴν ἑπτακαιδεκάτην σπεῖραν Ὠστίας ἀπάξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ θρασύτατοι πάντες ἐβόων οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον, ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις καὶ τὰ ὅπλα κατὰ Καίσαρος, οὐ Καίσαρι παρακομίζεσθαι. (4) Τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος, οἱ μὲν ἐπελαμβάνοντο τῶν ἁμαξῶν, οἱ δὲ τοὺς ἐνισταμένους ἑκατον- e τάρχας δύο καὶ τὸν Κρισπῖνον αὐτὸν ἀπέκτειναν, πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους Καίσαρι βοηθεῖν ἤλαυνον εἰς τὴν Ῥώμην· καὶ πυθόμενοι παρ' αὐτῷ δειπνεῖν ὀγδοήκοντα συγκλητικούς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες ἐν ταὐτῷ πάντας ἀνελεῖν τοὺς Καίσαρος πολεμίους. (5) Ἡ μὲν οὖν πόλις ὡς αὐτίκα διαρπαγησομένη θόρυβον εἶχε πολύν, ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρομαὶ καὶ τὸν Ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. Φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν, αὐτὸς ἦν φοβερὸς ἐκείνοις καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. Ἅμα f δὲ τοὺς ἐπάρχους ἀπέστελλε τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας καθ' ἑτέρας θύρας ἀφῆκε· καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων ὠθουμένων εἰς τὸν ἀνδρῶνα καὶ πυνθανομένων, τί γεγόνασιν οἱ Καίσαρος πολέμιοι. (6) Τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας καὶ δεηθεὶς καὶ μηδὲ δακρύων
1068 φεισάμενος μόλις ἀπέπεμψεν αὐτούς· τῇ δ' ὑστεραίᾳ δω- a ρησάμενος ἅπαντας κατ' ἄνδρα χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ' ἀγαθῷ φήσας ὑποικουρεῖν διαβάλλοντας αὐτοῦ τὴν μετριότητα καὶ τὴν ἐκείνων εὐστάθειαν ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. Ἐπαινούντων δὲ πάντων καὶ κελευόντων, δύο μόνους παραλαβών, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολασθεῖσιν, ἀπηλλάγη.

IV. Ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες b ἐθαύμαζον τὴν μεταβολήν, οἱ δ' ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο δημαγωγοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. Ἤδη γὰρ ἠγγέλλετο βεβαίως Οὐιτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς· καὶ πτεροφόροι συνεχῶς ἐφοίτων ἀεί τι προσχωρεῖν ἐκείνῳ φράζοντες, ἕτεροι δὲ τὰ Παννονικὰ καὶ τὰ Δαλματικὰ καὶ τὰ περὶ Μυσίαν στρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγεμόνων Ὄθωνα. Ταχὺ δὲ ἀφίκετο καὶ παρὰ Μουκιανοῦ γράμματα καὶ παρὰ Οὐεσπασιανοῦ φίλια, τοῦ μὲν ἐν Συρίᾳ, τοῦ δὲ ἐν Ἰουδαίᾳ μεγάλας δυνάμεις ἐχόντων. (2) Ὑφ' ὧν ἐπαιρόμενος ἔγραψεν

difficiles sese præbuerunt, hortantes Othonem, ne principibus in republica viris crederet, sed ab iis sibi caveret et eorum consiliis obstaret, sive omnino benevolentia Imperatoris adducti ab iis ei metuebant, sive hinc movendarum turbarum et bellorum materiam quærebant. (3) Missus ab Othone ad decimam septimam cohortem Crispinus, ut de colonia Ostiensi abduceret, is quum noctu se pararet armaque vehiculis imponeret, ferocissimus quisque militum vociferari cœpit : nihil boni molientem adesse Crispinum, senatum res novas agitare, arma contra Cæsarem, non pro Cæsare in urbem advehi. (4) Eo rumore omnes attingente atque irritante, alii currus inhibuerunt, alii centuriones duos et ipsum Crispinum prohibentes vim occiderunt, omnesque illico armis sumptis et sese mutuo ad ferendam Cæsari opem cohortati, Romam contenderunt. Ibi quum audirent cum Cæsare octoginta senatores cœnare, tempus sibi oblatum vociferantes omnes simul inimicos Cæsaris trucidandi, ad Palatium se proripuerunt. (5) Urbs vero in præsentem direptionis metum conjecta, turbarum erat plena. In Palatio discurrebatur et Otho animi anxius et metuebat senatoribus et ab ipsis metuebatur, cernens eos ab ipsius nutu dependere mutos consternatosque; quidam etiam cum uxoribus ad cœnam venerant. Mittit ergo præfectos qui milites alloquerentur ac sedarent, simulque convivas excitos per aliud ostium dimittit; paulloque ante ii effugerunt, quam milites, perruptis stipatorum custodiis, in cœnaculum venerunt, quærentes quonam inimici Cæsaris evasissent. (6) Quum quidem Otho rectus in lecto stans multis verbis, multis precibus, ac ne lacrimis quidem suppressis, ægre tandem obtinuit, ut in castra redirent. Postridie singulos quinis numûm millibus donavit, et ingressus in castra multitudinem benevolentiæ erga se et promptitudinis ergo collaudavit, paucos autem quosdam occulte in castris mala consilia miscere, suamque moderationem animi et militum constantiam ab iis calumniis objici questus, oravit ut in iis puniendis sibi adessent. Laudantibus omnibus et punire sontes jubentibus, in duos tantum, quorum supplicio neminem offensum iri intelligeret, animadvertit, atque ita digressus est.

IV. Quidam diligentes jam Othonem, eique fidentes, quum in hæc intuerentur, ita immutatum hominem mirabantur, alii necessitate compulsum eum ista agere sentiebant, tempori inservientem, favoremque multitudinis propter impendentia bella captantem. Jam enim annuntiabatur Vitellium nomen copiasque imperatorias assumpsisse, atque identidem pterophori adventabant, aliquid illi quotidie accessisse referentes. Alii Pannoniæ, Dalmatiæ Mysiæque exercitus ducesque imperatorem Othonem pronuntiasse indicabant, et amicæ a Muciano Vespasianoque afferebantur literæ, quorum alter in Syria, alter in Judæa magnum exercitum regebat. (2) His animatus Vitellium per

Οὐιτελλίῳ παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον καὶ ἥδιστον βίον μεθ' ἡσυχίας. Ἀντέγραψε δὲ κἀκεῖνος c αὐτῷ κατειρωνευόμενος ἡσυχῇ πρῶτον· ἐκ δὲ τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ ψευδῶς μὲν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τὸν ἕτερον, ἃ προσῆν ἀμφοτέροις ὀνείδη, λοιδοροῦντος. Ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ χρεῶν πλήθους ἔργον ἦν εἰπεῖν ὁποτέρῳ μεῖον αὐτῶν μέτεστι. (3) Σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ Καπιτωλίῳ Νίκης ἐφεστώσης ἅρματι τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν d μὴ δυναμένης, καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ Γαΐου Καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ γεγονότος μήτε πνεύματος, ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς τὰς ἀνατολάς· ὅ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ Οὐεσπασιανὸν ἐμφανῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. (4) Καὶ τὸ περὶ τὸν Θύμβριν δὲ σύμπτωμα σημεῖον ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. Ἦν μὲν γὰρ ὥρα, περὶ ἣν μάλιστα οἱ ποταμοὶ πλήθουσιν, ἀλλ' οὔπω τοσοῦτος ἤρθη πρότερον οὐδὲ ἀπώλεσε τοσαῦτα καὶ διέφθειρεν ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως, πλεῖστον δὲ ἐν ᾧ τὸν ἐπὶ πράσει e διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.

V. Ἐπεὶ δὲ τὰς Ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο Κεκίνας καὶ Οὐάλης Οὐιτελλίῳ στρατηγοῦντες, ἐν Ῥώμῃ Δολοβέλλας, εὐπατρίδης ἀνὴρ, ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. Ἐκεῖνον μὲν οὖν εἴτε αὐτὸν εἴτε ἄλλον δεδοικὼς εἰς πόλιν Ἀχύνιον παρέπεμψε παραθαῤῥύνας. Καταλέγων δὲ τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἐν τούτοις καὶ Λεύκιον τὸν Οὐιτελλίου ἀδελφὸν οὔτε προσθεὶς οὐδὲν οὔτε ἀφελὼν ἧς εἶχε τιμῆς. Ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ Οὐιτελλίου καὶ τῆς γυναικὸς, ὅπως μηδὲν φοβήσονται περὶ αὐτῶν. Τῆς δὲ Ῥώμης φύλακα Φλάουιον f Σαβῖνον, ἀδελφὸν Οὐεσπεσιανοῦ, κατέστησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ Νέρωνος (παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ Σαβῖνος, ἀφείλετο δὲ Γάλβας αὐτόν), εἴτε μᾶλλον εὔνοιαν ἐνεδείκνυτο Οὐεσπεσιανῷ καὶ πίστιν αὔξων Σαβῖνον. (2) Αὐτὸς μὲν οὖν ἐν Βριξίλλῳ, πόλει τῆς Ἰταλίας, περὶ τὸν Ἠριδανὸν ἀπε-
1069 λείφθη, στρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέπεμψε Μάριόν a τε Κέλσον καὶ Σουητώνιον Παυλῖνον, ἔτι τε Γάλλον καὶ Σπουρίναν, ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ἐπὶ τῶν πραγμάτων ὡς προῃροῦντο τοῖς ἑαυτῶν λογισμοῖς δι' ἀταξίαν καὶ θρασύτητα τῶν στρατιωτῶν. Οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. (3) Ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. Οὐ μὴν ἀλλ' ἐκείνοις ἐμπειρία τε

epistolam hortatus est, ne ultra stipendia aspiraret, magnam ei pecuniam daturum promittens et urbem, in qua otiosus suavissimam ageret vitam. Rescribens Vitellius, initio latenter eum subsannavit, post irritatis animis, multa mutua per literas convicia lascive impudiceque fecerunt, non quidem vana objicientes, stulte tamen, adeoque ridicule alter alteri ea exprobrantes, quæ difficile judicatu est utri eorum minora affuerint, luxuriam scilicet, mollitiem, belli imperitiam et æris alieni e priore egestate contracti molem. (3) Multa eo tempore prodigia, pleraque rumore et auctore incerto referebantur. In Capitolio quidem Victoriam bigis insistentem habenas manu dimisisse, veluti retinere non valentem, omnes viderunt. In Tiberina insula C. Julii Cæsaris statua nullo vel terræ motu vel vento impulsa ab occidua parte ad ortum solis se convertit, quod iis evenisse diebus ferunt, quibus Vespasianus palam sibi summam rerum vindicare est aggressus. (4) Tiberis autem exundationem plerique in ostentum infelix rapuerunt, eo quidem factam tempore, quo maxime turgent fluvii, sed nunquam ante ita excreverat, neque ulla unquam eluvione tantum damni dederat; nam quum magnam urbis partem proluit, tum eum præsertim locum, ubi frumentum venale reponebatur, opplevit, magnamque permultorum dierum difficultatem effecit.

V. Quum renuntiaretur Alpes jam a Cæcina et Valente Vitellii legatis occupatas esse, Romæ Dolabella, vir patricius, militibus in suspicionem tentatarum novarum rerum venit; quem Otho sive ejus sive alterius metu Aquinum seposuit. Deligens autem de principibus viris, qui secum comites irent, inter hos L. quoque Vitellium, Vitellii fratrem, esse voluit, neque auctum honore, neque eo, quem tum gerebat, spoliatum. Matri quoque et uxori Vitellii accurate prospexit, ne quid sibi timerent. Urbi præfecit Flavium Sabinum, Vespasiani fratrem, sive Neronis id honori tribuens, qui Sabinum ea dignatione affecerat, post a Galba ei adempta, sive ornando Sabino studium suum fidemque Vespasiano demonstrans. (2) Et Otho quidem ipse Brixelli, quod est Italiæ ad Padum flumen oppidum, substitit; duces copiarum emisit Marium Celsum, Suetonium Paulinum, Gallum et Spurinam, viros illustres, sed qui rem suo arbitrio ut instituerant gerere nequirent ob militum contumaciam atque ferociam, aliis obtemperare dedignantium, quippe quum ab ipsis imperium princeps nactus esset. (3) Nec hostium milites in omnes partes sani erant, neque ducibus obtemperantes, sed eandem causam feroces et contumaces. Verum hi periti pugnarum

παρῆν τοῦ μάχεσθαι καὶ τὸ κάμνειν ἐθάδες ὄντες οὐκ ἔφευγον, οὗτοι δὲ μαλακοὶ μὲν ἦσαν ὑπὸ σχολῆς καὶ διαίτης ἀπολέμου πλεῖστον χρόνον, ἐν θεάτροις καὶ πανη- b γύρεσι καὶ παρὰ σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ κόμπῳ ἐπαμπέχειν ἐβούλοντο προσποιήσασθαι τὰς λειτουργίας ὡς κρείττονες ἀπαξιοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. (4) Ὁ δὲ Σπουρίνας προσβιαζόμενος αὐτοὺς ἐκινδύνευσε μικροῦ ἐλθόντας ἀνελεῖν αὐτόν. Ὕβρεως δὲ καὶ βλασφημίας οὐδεμιᾶς ἐφείσαντο, προδότην καὶ λυμεῶνα τῶν Καίσαρος καιρῶν καὶ πραγμάτων λέγοντες. Ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτὸς ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφόδιον αἰτοῦντες· εἶναι γὰρ αὐτοῖς πρὸς Καίσαρα βαδιστέον, ὅπως ἐκείνου κατηγορήσωσιν.

VI. Ὤνησε δὲ τὰ πράγματα καὶ Σπουρίναν ἐν τῷ παραυτίκα λοιδορία περὶ Πλακεντίαν γενομένη τῶν c στρατιωτῶν. Οἱ γὰρ Οὐιτελλίου τοῖς τείχεσι προσβάλλοντες ἐχλεύαζον τοὺς Ὄθωνος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ πυρριχιστὰς καὶ Πυθίων καὶ Ὀλυμπίων θεωρούς, πολέμου δὲ καὶ στρατείας ἀπείρους καὶ ἀθεάτους ἀποκαλοῦντες καὶ μέγα φρονοῦντας ἐπὶ τῷ γέροντος ἀνόπλου κεφαλὴν ἀποτεμεῖν (τὸν Γάλβαν λέγοντες), εἰς δὲ ἀγῶνα καὶ μάχην ἀνδρῶν οὐκ ἂν ἐκφανῶς καταβάντας. (2) Οὕτω γὰρ ἐταράχθησαν ὑπὸ τούτων τῶν ὀνειδῶν καὶ διεκάησαν, ὥστε προσπεσεῖν τῷ Σπουρίνᾳ δεόμενοι χρῆσθαι καὶ προστάττειν αὐτοῖς οὐδένα κίνδυνον οὐδὲ πόνον ἀπολεγομένοις. Ἰσχυρᾶς d δὲ συστάσης τειχομαχίας καὶ μηχανημάτων πολλῶν προσαχθέντων, ἐκράτησαν οἱ τοῦ Σπουρίνα καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι διετήρησαν ἔνδοξον πόλιν καὶ τῶν Ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. (3) Ἦσαν δὲ καὶ τἄλλα τῶν Οὐιτελλίου στρατηγῶν οἱ Ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις· ἐκείνων δὲ Κεκίνας μὲν οὔτε φωνὴν οὔτε σχῆμα δημοτικός, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος, σώματος μεγάλου, Γαλατικῶς ἀναξυρίσι καὶ χειρῖσιν ἐνεσκευασμένου, σημείοις καὶ ἄρχουσι Ῥωμαϊκοῖς διαλεγόμενος. Καὶ τὴν γυναῖκα παρέπεμπον αὐτῷ λογάδην ἱππεῖς ὀχουμένην ἵππῳ κεκοσμημένην ἐπιφανῶς. (4) Φάβιον δὲ Οὐάλεντα τὸν ἕτερον στρατηγὸν οὔτε e ἁρπαγαὶ πολεμίων οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμμάχων ἐνεπίμπλασαν χρηματιζόμενον, ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁδεύων ὑστερῆσαι τῆς προτέρας μάχης. Οἱ δὲ τὸν Κεκίναν αἰτιῶνται σπεύδοντα τὴν νίκην ἑαυτοῦ γενέσθαι, πρὶν ἐκεῖνον ἐλθεῖν, ἄλλοις τε μικροτέροις περιπεσεῖν ἁμαρτήμασι καὶ μάχην οὐ κατὰ καιρὸν οὐδὲ γενναίως συνάψαι μικροῦ πάντα τὰ πράγματα διαφθείρασαν αὐτοῖς.

VII. Ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς Πλακεντίας ὁ Κεκίνας ἐπὶ Κρεμώνην ὥρμησεν, ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν Ἄννιος Γάλλος πρὸς Πλα- f κεντίαν Σπουρίνᾳ βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν τοὺς Πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν Κρεμώνῃ, μετήγαγεν ἐκεῖ τὸ στράτευμα καὶ κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων· ἔπειτα καὶ τῶν

erant, laboremque ob consuetudinem non fugiebant, Othoniani molles erant, in otio et pace educati, et plurimum temporis in theatris ac conventibus festivis versati, superboque fastu detrectationem ministeriorum tegere videri volebant, non ut ad ferendum impares, sed tanquam se indigna. (4) Spurinam cogere tentantem paullum abfuit quin interficerent. Nullo vero contumeliæ in eum genere et petulantiæ abstinuerunt, proditorem, Cæsarisque rerum ac temporum pestem vocantes. Quidam etiam noctu ebrii ad tentorium ejus adiverunt viaticumque poposcerunt, eundum sibi ejus accusandi gratia ad Cæsarem dicentes.

VI. Rebus Othonis et Spurinæ in præsentia profuit exprobratio militum Vitellianorum, a quibus Placentiæ obsidebantur. Vitelliani enim muros aggredientes, Othonianos propugnaculis astantes subsannabant, scenicos eos et saltatores, et Pythiorum Olympiorumque spectatores ignominiose vocitantes, ac qui bellum pugnamque nunquam ne vidissent quidem, eo tantum superbientes, quod inermis senis (Galbam notabant) caput amputassent, ad certamen apertum descendere cumque viris dimicare nunquam ausi. (2) His conviciis Othoniani ita perturbati inflammatique sunt, ut ad Spurinam supplicum modo venerint, nullumque se laborem, nullum periculum subterfugere professi sint, uteretur modo ipsis et imperaret. Acriter Vitellianis mœnia oppugnantibus multasque machinas adhibentibus, vicere tamen milites Spurinæ; hosteque magna cum cæde profligato, nobilem atque florentissimam Italiæ urbem servarunt. (3) Erant alioqui Othonis duces alteris multo gratiores et publice privatimque acceptiores. Dux erat Vitellianorum Cæcina, ne habitu quidem popularis, sed molestus peregrino apparatu, vir magna corporis mole, braccas et manicas indutus Gallico modo, nutu signisque vel duces Romanorum alloquens. Uxorem ejus equo vehentem, splendideque ornatam, delecti equites comitabantur. (4) Ejus collega Fabius Valens tanta laborabat avaritia, ut neque rapinis hostilibus neque expilatione et donis a sociis accipiendis expleri posset; quin etiam pugnæ prioris tempus neglexisse fertur, ea de causa lentius proficiscens. Alii tamen Cæcinæ eam culpam imputant, qui festinans ante adventum Fabii potiri victoria quum alia leviora peccata admiserit, tum illo prœlio neque tempestive neque strenue facto prope rem Vitellianam pessumdederit.

VII. Quum enim repulsus a Placentia Cremonam, urbem ipsam quoque magnam et opulentam, peteret, primum Annius Gallus, qui ad ferendas Spurinæ suppetias Placentiam ducebat, audita in itinere victoria collegæ et Cremonæ cognito periculo, eo traduxit exercitum et prope hostem consedit; mox ceteri etiam Othoniani duces Mario Celso

ἄλλων ἕκαστος ἐβοήθει τῷ στρατηγῷ. (2) Τοῦ δὲ Κεκίνα λοχήσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλίτας, ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συν-
1070 άψωσιν οἱ πολέμιοι, κατὰ μικρὸν ἀναχωρεῖν καὶ ανα- a
φεύγειν, ἄχρις ἂν ὑπάγοντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξήγγειλαν αὐτόμολοι τῷ Κέλσῳ. Καὶ οὗτος μὲν ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει καὶ τὴν ἐνέδραν περισχὼν καὶ συνταράξας ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ στρατοπέδου. (3) Καὶ δοκοῦσιν ἂν ἐπελθόντες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ Κεκίνα στράτευμα συντρῖψαι καὶ ἀνελεῖν ἐπισπόμενοι τοῖς ἱππεῦσι· νυνὶ δὲ ὁ Παυλῖνος ὀψὲ καὶ σχολῇ προσβοηθήσας αἰτίαν ἔσχεν ἐνδεέστερον τῆς δόξης στρατηγῆσαι δι' εὐλάβειαν. Οἱ δὲ πολλοὶ τῶν στρατιωτῶν καὶ προδοσίαν ἐνεκάλουν αὐτῷ καὶ παρώξυνον τὸν Ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν, τῆς δὲ νίκης οὐκ ἐπίπαν προελθού- b
σης κακίᾳ τῶν στρατηγῶν. (4) Ὁ δὲ Ὄθων οὐχ οὕτως ἐπίστευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπιστεῖν. Ἔπεμψεν οὖν Τιτιανὸν ἐπὶ τὰ στρατεύματα τὸν ἀδελφὸν καὶ Πρόκλον τὸν ἔπαρχον, ὃς εἶχεν ἔργῳ τὴν πᾶσαν ἀρχήν, πρόσχημα δὲ ἦν ὁ Τιτιανός. Οἱ δὲ περὶ τὸν Κέλσον καὶ Παυλῖνον ἄλλως ἐφείλκοντο συμβούλων ὄνομα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. (5) Ἦν δὲ θορυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις, μάλιστα δὲ τοῖς ὑπὸ τῷ Οὐάλεντι· καὶ τῆς περὶ τὴν ἐνέδραν μάχης ἀπαγγελθείσης, ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο μηδὲ ἤμυναν, ἀνδρῶν τοσούτων ἀποθανόντων. Μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτοὺς βάλλειν, ἀνέζευξε καὶ c
συνῆψε τοῖς περὶ Κεκίναν.

VIII. Ὁ δὲ Ὄθων παραγενόμενος εἰς τὸ Βητριακὸν εἰς τὸ στρατόπεδον (ἔστι δὲ πολίχνη πλησίον Κρεμώνης τὸ Βητριακόν) ἐβουλεύετο περὶ τῆς μάχης. Καὶ Πρόκλῳ μὲν ἐδόκει καὶ Τιτιανῷ, τῶν στρατευμάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίσασθαι καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμβλύνοντα τῆς δυνάμεως καὶ περιμένοντα Οὐιτέλλιον αὐτὸν ἐκ Γαλατίας ἐπελθεῖν. Παυλῖνος δὲ τοῖς μὲν πολεμίοις ἔφη πάντα, μεθ' ὧν μαχοῦνται, παρεῖναι καὶ μηδὲν ἐνδεῖν, Ὄθωνι δὲ τῆς ἤδη παρούσης οὐκ ἐλάττονα προσδόκιμον εἶναι δύναμιν ἐκ Μυσίας καὶ Παννονίας, ἂν τὸν αὐτοῦ περιμένῃ καιρόν, ἀλλὰ μὴ στρατηγῇ πρὸς τὸν τῶν d
πολεμίων· οὐ γὰρ ἀμβλυτέροις γε χρήσεσθαι τότε τοῖς νῦν θαρροῦσιν ἀπ' ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιουσίας ἀγωνιεῖσθαι· καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνοις πᾶσιν ὄντων, ἐκείνοις δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων ἐν πολεμίᾳ καθεζομένοις. (2) Ταῦτα λέγοντι Παυλίνῳ Μάριος Κέλσος ἐγένετο σύμψηφος. Ἄννιος δὲ Γάλλος οὐ παρῆν μέν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς ἀφ' ἵππου, γράψαντος δὲ Ὄθωνος αὐτῷ, συνεβούλευε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ Μυσίας περιμένειν δύναμιν ἤδη καθ' ὁδὸν οὖσαν. Οὐ μὴν

pem tulerunt. (2) Postquam Cæcina locis saltuosis et silvestribus multos milites abdidit, equites provehere jussit, qui hostibus manum conferentibus docti erant paulatim retro cedere et subterfugere tantisper, dum eos in insidias pertraherent. Id quum ex transfugis comperisset Celsus, cum bonis equitibus obviam factus Cæcinæ equites profligavit, cauteque insecutus, eos qui in insidiis latebant circumvenit, iisque perturbatis, peditatum castris excivit. (3) Quodsi is mature equites subsecutus præsto fuisset, nullum eum de hostibus reliquisse, sed potuisse Cæcinæ milites occidione cædi creditum est; nunc Paulinus sero et lente succurrens, dum nimium cautus est, non convenienter existimationi suæ rem gessisse culpatus est. Et multi militum proditionis eum insimulabant, Othonemque irritabant, jactantes se victoria potitos, sed ducum malitia ne ea plena obtineretur effectum. (4) Otho non tam credens hoc, quam non credere se dissimulans, Titianum fratrem suum ad exercitus misit et Proculum præfectum, penes quem revera erat summa rerum, Titiano titulum gerente; Celsus quoque et Paulinus, vano amicorum et consiliariorum nomine utentes, nulla in rebus majoribus potestate præditi erant atque vi. (5) Apud hostes quoque tumultus erat maximeque apud Valentis milites. Hi, ut relatum est de pugna apud insidias commissa, indignatione accensi sunt, quod non subsidio suis venissent, totque homines perire passi essent. Et Valens, ægre exoratis militibus jam eum saxis petere aggredientibus, castra movit et cum Cæcina conjunxit.

VIII. Otho Bedriacum in castra venit, quod est propinquum Cremonæ oppidulum. Ibi proposita de prœlio deliberatione, Proculus et Titianus decertandum censuerunt, exercitibus ad hoc alacribus et recenti victoria, neque copiarum vigorem desidendo hebetandum, exspectandumve dum ex Gallia ipse veniret Vitellius. Contra Paulinus, hostibus ea omnia in promptu esse, quibus freti pugnam sint commissuri, deesse nihil, Othoni haud pauciores præsentibus copias ex Mysia et Pannonia exspectandas, modo suo, non hostium tempori intentus esse velit; neque vero minus ad pugnandum alacritatis habituros pluribus accedentibus eos, qui nunc minoribus viribus fidant, imo tanto acriores fore et ex abundanti certaturos; etiam cunctationem ipsis commodam, omnium rerum copia affluentibus, Vitellianis in hostico morantibus tempus penuriam necessariarum rerum allaturum. (2) Huic suffragatus est Marius Celsus. Et Annius Gallus absens (ab equo enim delapsus curabatur) per literas ab Othone sententiam rogatus, non festinandum, sed exspectandas e Mysia copias censuit, quæ

ἐπείθετο τούτοις, ἀλλὰ ἐκράτησαν οἱ πρὸς τὴν μάχην e παρορμῶντες.

IX. Αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται· προδήλως δὲ οἱ στρατηγικοὶ προσαγορευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας καὶ τὰς ἐν Ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπολέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐχ ἦσαν καθεκτοί, σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. Δοκεῖ δὲ μηδὲ αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα μηδὲ ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμούς, ἐκπονούμενος δὲ ταῖς φροντίσι σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ, μεθεῖναι τὰ f πράγματα πρὸς τὸ συντυχόν. Καὶ τοῦτο μὲν διηγεῖτο Σεκοῦνδος ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ Ὄθωνος. (2) Ἑτέρων δὲ ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρίσταντο ὁρμαὶ πολλάκις εἰς
1071 ταὐτὸ συνελθεῖν· καὶ μάλιστα μὲν αὐτοὺς ὁμοφρονή- a σαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον, εἰ δὲ μή, τὴν σύγκλητον ὁμοῦ καθίσαντας ἐφεῖναι τὴν αἵρεσιν ἐκείνῃ τοῦ αὐτοκράτορος. (3) Καὶ οὐκ ἀπεικός ἐστι, μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς τοῖς γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν στρατιωτῶν, ὡς ἔχθιστον εἴη καὶ δεινόν, ἃ πάλαι διὰ Σύλλαν καὶ Μάριον, εἶτα Καίσαρα καὶ Πομπήιον ᾠκτείροντο δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν ἢ Οὐιτελλίῳ λαιμαργίας καὶ οἰνοφλυγίας ἢ τρυφῆς καὶ ἀκολασίας Ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. Ταῦτ' οὖν ὑπονοοῦσι b τούς τε περὶ τὸν Κέλσον αἰσθανομένους ἐμβαλεῖν διατριβήν, ἐλπίζοντας ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα, καὶ τοὺς περὶ τὸν Ὄθωνα φοβουμένους ἐπιταχῦναι τὴν μάχην.

X. Αὐτὸς δὲ πάλιν εἰς Βριξίλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτών, οὐχ ὅτι μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ καὶ τοὺς ἐρρωμενεστάτους καὶ προθυμοτάτους δι' αὑτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγὼν φυλακὴν τοῦ σώματος ὡσπερεί τι σῶμα τῆς δυνάμεως ἀπέκοψε. (2) Συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν Ἠριδανὸν ἀγῶνα γενέσθαι, τοῦ μὲν Κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δὲ Ὄθωνος εἰργόντων c καὶ προσμαχομένων. Ὡς δὲ οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ πλοῖα δᾷδα θείου καὶ πίττης ἀνάπλεω, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν ἄφνω τὴν παρεσκευασμένην ὕλην ἐπὶ τοὺς πολεμίους ἐξερρίπιζε. Καπνοῦ δὲ πρῶτον, εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν τάς τε ναῦς ἀνέτρεπον καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. Οἱ δὲ Γερμανοὶ τοῖς Ὄθωνος μονομάχοις περὶ νησῖδα τοῦ ποταμοῦ προσμίξαντες ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους.

XI. Γενομένων δὲ τούτων καὶ τῶν ἐν Βητριακῷ

jam essent in itinere. Ceterum his Otho non paruit, sed vicit eorum sententia, qui ad pugnam hortabantur.

IX. Causæ ejus rei multæ ab aliis aliæ referuntur; palam autem prætoriani milites, qui speculatores principis erant, tunc semel seriam experti militiam, desiderio vitæ quam in urbe extra bellum in otio et festivitatibus egerant, contineri nullo modo quibant, pugnam accelerantes et primo impetu a se sublimes abripi hostes posse sibi persuadentes. Ipso etiam Otho videtur incertitudinem eventus non sustinere amplius exspectando potuisse, insolentia et mollitie victus, quoties magnitudinem periculi secum perpenderet; itaque oneri cogitationum succumbens, veluti de præcipitio quodam clausis oculis, ita se et res in discrimen eventus misit. Atque ita narrabat Secundus rhetor, qui ei fuit ab epistolis. (2) Non defuere qui affirmarent, utrimque exercitibus sæpe incidisse cogitationem in unum conveniendi, ac de communi sententia, ex ducibus Romanis, qui tum maxime gloria florerent, optimo imperium deferendi; sin id non succederet, senatu convocato, ei potestatem deligendi Imperatoris committendi. (3) Neque profecto veri dissimile est, quum uterque designatorum imperatorum infamia laboraret, veris et exercitatis sanaque mente præditis militibus hujusmodi cogitationes ad animum accidisse: indignam rem esse ac turpissimam, ea quæ olim cives propter Syllam et Marium, tum Cæsarem ac Pompeium invicem se passos doluerint, nunc ea tolerare, ut vel Vitellio gulæ ebrietatisque vel Othoni luxuriæ effusionisque sumptibus futurum imperium pararent. Hæc illos sentire animadversum Celso; itaque eum mora injecta sperasse absque pugna et sudoribus posse rem confici: eorundemque metu Othonem prœlium accelerasse.

X. Abiit ergo rursus Brixellum Otho, inque eo graviter peccavit, non tantum quia conspectus sui verecundiam et studium certantibus subtraxit, sed et quod fortissimum quemque et strenuissimum equitum peditumque stipandi corporis causa secum abducens, veluti corpus quoddam exercitus abstulit. (2) Iisdem diebus apud Padum pugnatum est. Trajectum moliebatur Cæcina, pontemque ejus rei gratia struebant; Othoniani in eo prohibendo laborabant. Quumque rescindere opus hostium non possent, faces pice et sulfure plenas in naves jaculabantur, sed ventus trajectui incumbens, materiam in hostes præparatam accendit et fumus primum, mox flamma erumpens, a vento in Othonianos est lata, ita ut perturbati et prosilientes in amnem et naves subverterint et corpora cum risu hostibus objecerint. Ac Germani apud insulam, quæ in flumine modica est, gladiatores Othonis adorti, multos eorum interfecerunt.

XI. His ita actis, quum Bedriaci morantes Othonis milites

στρατιωτῶν τοῦ Ὄθωνος ἐκφερομένων μετ' ὀργῆς, ἐπὶ d τὴν μάχην προήγαγεν αὐτοὺς ὁ Πρόκλος ἐκ τοῦ Βητριακοῦ καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε, τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀεννάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. (2) Τῇ δὲ ὑστεραίᾳ βουλόμενον προάγειν ἐπὶ τοὺς πολεμίους ὁδὸν, οὐκ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν Παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν καὶ μὴ προπονεῖν ἑαυτοὺς μηδὲ εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους, καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προΐασιν αὐτοὶ τοσαύτην ὁδὸν, ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολού- e θων. (3) Οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' Ὄθωνος ἱππεὺς τῶν καλουμένων Νομάδων, γράμματα κομίζων κελεύοντα μὴ μένειν μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. Ἐκεῖνοι μὲν οὖν ἄραντες ἐχώρουν. Ὁ δὲ Κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ στρατόπεδον. Ὡπλισμένων δὲ ἤδη τῶν πολλῶν καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ Οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε τὰ τάγματα, τοὺς ἀρίστους f τῶν ἱππέων προεξέπεμψαν.

XII. Ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν Ὄθωνος ἐκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν Οὐιτελλίου στρατηγῶν πρὸς αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φιλίως συστρατιώτας προσαγορεύσαντες. Ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων ὡς προδιδόν-
1072 των παρέστη. (2) Καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάρα- a ξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. Εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον, ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει τάφρων ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιιόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. (3) Μόναι δὲ δύο λεγεῶνες (οὕτω γὰρ τὰ τάγματα Ῥωμαῖοι καλοῦσιν) ἐπίκλησιν ἡ μὲν Οὐιτελλίου Ἅρπαξ, ἡ δὲ Ὄθωνος Βοηθὸς, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον νόμιμόν τινα μάχην συμπεσοῦσαι φαλαγγηδὸν ἐμάχοντο πολὺν χρόνον. Οἱ μὲν οὖν Ὄθωνος ἄνδρες ἦσαν εὔρωστοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες· οἱ δὲ Οὐιτελλίου πολλῶν ἀγώνων ἐθάδες, b ἤδη δὲ γηραιοὶ καὶ παρακμάζοντες. Ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ Ὄθωνος ἐώσαντο καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες· οἱ δὲ ὑπὸ αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς τόν τε πρεσβευτὴν τοῦ τάγματος Ὀρφίδιον ἔκτειναν καὶ πολλὰ τῶν σημείων ἥρπασαν. (4) Τοῖς δὲ μονομάχοις ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν

irati pugnam poscerent, produxit eos Bedriaco Proculus ad quinquaginta stadia et castra posuit adeo imprudenter atque imperite, ut, quanquam verno tempore anni et tot circum fontium et amnium perennitatibus, penuria tamen aquæ fatigarentur. (2) Postridie volentem in hostes (a quibus haud minus quinquaginta stadiis aberant) ducere, Paulinus prohibebat, operiendum affirmans, neque defatigandum exercitum, statimve ex itinere pugnam committendum cum hominibus qui, dum ipsi tantum iter cum jumentis suis atque calonibus perficerent, interim per otium arma aptare et aciem instruere possent. (3) Disputantibus adhuc ducibus eques Numida intervenit, literas ab Othone afferens, quibus mandabat, ne cunctarentur vel moras traherent, sed statim in hostem pergerent. Illi ergo signis motis processerunt. Cæcina, hostium adventu cognito perturbatus, subito et operibus et fluvio relicto, in castra se recipit. Plerisque militum jam armatis et tesseram a Valente doctis, dum in ordinem legiones componerentur, equitum optimorum turma præmittitur in hostem.

XII. Ibi in prima Othonianorum acie incertum qua occasione opinio dispergitur atque rumor, fore ut Vitelliani duces ad ipsos transirent. Itaque eos, quum invicem appropinquassent agmina, amice salutarunt, commilitonesque appellarunt: quam salutationem quum Vitelliani non benigne, sed hostili murmure accepissent, salutatores quidem consternati sunt, ceteri autem proditionis eos suspectos habuere. (2) Id primum Othonianos perturbavit, jam præsente hoste. Deinde et reliquorum nihil suo ordine gestum, quum et impedimenta pugnantibus permista multum confusionis parerent et ipsa loci natura aciem magnopere divelleret, fossis ac sulcis referti, a quibus sibi metuentes, coacti sunt promiscue et catervatim cum hostibus congredi. (3) Duæ tantum legiones, Vitelliana nomine Rapax, et Othoniana nomine Adjutrix, quæ in aperto et nudo campo explicatæ fuerunt, justa pugna concurrentes turmatim diu decertaverunt. Erant autem Othoniani robusti quidem et animosi, ceterum belli rudes, neque in aciem ante unquam deductæ. Vitelliani multis prœliis assuefacti, senes jam erant et languescente robore. Itaque impetu facto Othoniani eos pulerunt, aquilamque eripuerunt, omnibus prope qui in prima acie stabant trucidatis; at Vitelliani simul pudore, simul ira conciti, in hostem irruerunt, et legato Orphidio necato, multis signis potiti sunt. (4) Gladiatoribus, qui et peritiam et audaciam secum ad pugnam afferre

ἐπείθετο τούτοις, ἀλλὰ ἐκράτησαν οἱ πρὸς τὴν μάχην e παρορμῶντες.

IX. Αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται· προδήλως δὲ οἱ στρατηγικοὶ προσαγορευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας καὶ τὰς ἐν Ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπολέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐκ ἦσαν καθεκτοί, σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. Δοκεῖ δὲ μηδὲ αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα μηδὲ ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμούς, ἐκπονούμενος δὲ ταῖς φροντίσι σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ, μεθεῖναι τὰ f πράγματα πρὸς τὸ συντυχόν. Καὶ τοῦτο μὲν διηγεῖτο Σεκοῦνδος ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ Ὄθωνος. (2) Ἑτέρων δὲ ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρίσταντο ὁρμαὶ πολλάκις εἰς
1071 ταὐτὸ συνελθεῖν· καὶ μάλιστα μὲν αὐτοὺς ὁμοφρονή- a σαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον, εἰ δὲ μή, τὴν σύγκλητον ὁμοῦ καθίσαντας ἐφεῖναι τὴν αἵρεσιν ἐκείνῃ τοῦ αὐτοκράτορος. (3) Καὶ οὐκ ἀπεικός ἐστι, μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς τοῖς γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν στρατιωτῶν, ὡς ἔχθιστον εἴη καὶ δεινόν, ἃ πάλαι διὰ Σύλλαν καὶ Μάριον, εἶτα Καίσαρα καὶ Πομπήιον ᾠκτείροντο δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν ἢ Οὐιτελλίῳ λαιμαργίας καὶ οἰνοφλυγίας ἢ τρυφῆς καὶ ἀκολασίας Ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. Ταῦτ' οὖν ὑπονοοῦσι b τούς τε περὶ τὸν Κέλσον αἰσθανομένους ἐμβαλεῖν διατριβήν, ἐλπίζοντας ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα, καὶ τοὺς περὶ τὸν Ὄθωνα φοβουμένους ἐπιταχῦναι τὴν μάχην.

X. Αὐτὸς δὲ πάλιν εἰς Βριξιλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτών, οὐχ ὅτι μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ καὶ τοὺς ἐρρωμενεστάτους καὶ προθυμοτάτους δι' αὐτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγὼν φυλακὴν τοῦ σώματος ὥσπερεί τι σῶμα τῆς δυνάμεως ἀπέκοψε. (2) Συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν Ἠριδανὸν ἀγῶνα γενέσθαι, τοῦ μὲν Κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δὲ Ὄθωνος εἰργόντων c καὶ προσμαχομένων. Ὡς δὲ οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ πλοῖα δᾷδα θείου καὶ πίττης ἀνάπλεω, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν ἄφνω τὴν παρεσκευασμένην ὕλην ἐπὶ τοὺς πολεμίους ἐξεῤῥίπιζε. Καπνοῦ δὲ πρῶτον, εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν τάς τε ναῦς ἀνέτρεπον καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. Οἱ δὲ Γερμανοὶ τοῖς Ὄθωνος μονομάχοις περὶ νησῖδα τοῦ ποταμοῦ προσμίξαντες ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους.

XI. Γενομένων δὲ τούτων καὶ τῶν ἐν Βητριακῷ

jam essent in itinere. Ceterum his Otho non paruit, sed vicit eorum sententia, qui ad pugnam hortabantur.

IX. Causæ ejus rei multæ ab aliis aliæ referuntur; palam autem prætoriani milites, qui speculatores principis erant, tunc semel seriam experti militiam, desiderio vitæ quam in urbe extra bellum in otio et festivitatibus egerant, contineri nullo modo quibant, pugnam accelerantes et primo impetu a se sublimes abripi hostes posse sibi persuadentes. Ipse etiam Otho videtur incertitudinem eventus non sustinere amplius exspectando potuisse, insolentia et mollitie victus, quoties magnitudinem periculi secum perpenderet; itaque oneri cogitationum succumbens, veluti de præcipitio quodam clausis oculis, ita se et res in discrimen eventus misit. Atque ita narrabat Secundus rhetor, qui ei fuit ab epistolis. (2) Non defuere qui affirmarent, utrimque exercitibus sæpe incidisse cogitationem in unum conveniendi, ac de communi sententia, ex ducibus Romanis, qui tum maxime gloria florerent, optimo imperium deferendi; sin id non succederet, senatu convocato, ei potestatem deligendi Imperatoris committendi. (3) Neque profecto veri dissimile est, quum uterque designatorum imperatorum infamia laboraret, veris et exercitatis sanaque mente præditis militibus hujusmodi cogitationes ad animum accidisse: indignam rem esse ac turpissimam, ea quæ olim cives propter Syllam et Marium, tum Cæsarem ac Pompeium invicem se passos doluerint, nunc ea tolerare, ut vel Vitellio gulæ ebrietatisque vel Othoni luxuriæ effusionisque sumptibus futurum imperium pararent. Hæc illos sentire animadversum Celso; itaque eum mora injecta sperasse absque pugna et sudoribus posse rem confici: eorundemque metu Othonem prœlium accelerasse.

X. Abiit ergo rursus Brixellum Otho, inque eo graviter peccavit, non tantum quia conspectus sui verecundiam et studium certantibus subtraxit, sed et quod fortissimum quemque et strenuissimum equitum peditumque stipandi corporis causa secum abducens, veluti corpus quoddam exercitus abstulit. (2) Iisdem diebus apud Padum pugnatum est. Trajectum moliebatur Cæcina, pontemque ejus rei gratia struebant; Othoniani in eo prohibendo laborabant. Quumque rescindere opus hostium non possent, faces pice et sulfure plenas in naves jaculabantur, sed ventus trajectui incumbens, materiam in hostes præparatam accendit et fumus primum, mox flamma erumpens, a vento in Othonianos est lata, ita ut perturbati et prosilientes in amnem et naves subverterint et corpora cum risu hostibus objecerint. Ac Germani apud insulam, quæ in flumine modica est, gladiatores Othonis adorti, multos eorum interfecerunt.

XI. His ita actis, quum Bedriaci morantes Othonis milites

στρατιωτῶν τοῦ Ὄθωνος ἐκφερομένων μετ' ὀργῆς, ἐπὶ d τὴν μάχην προήγαγεν αὐτοὺς ὁ Πρόκλος ἐκ τοῦ Βητριακοῦ καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε, τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀεννάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. (2) Τῇ δὲ ὑστεραίᾳ βουλόμενον προάγειν ἐπὶ τοὺς πολεμίους ὁδὸν, οὐχ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν Παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν καὶ μὴ προπονεῖν ἑαυτοὺς μηδὲ εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους, καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προΐασιν αὐτοὶ τοσαύτην ὁδὸν, ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολούθων. e (3) Οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' Ὄθωνος ἱππεὺς τῶν καλουμένων Νομάδων, γράμματα κομίζων κελεύοντα μὴ μένειν μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. Ἐκεῖνοι μὲν οὖν ἄραντες ἐχώρουν. Ὁ δὲ Κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ στρατόπεδον. Ὡπλισμένων δὲ ἤδη τῶν πολλῶν καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ Οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε τὰ τάγματα, τοὺς ἀρίστους f τῶν ἱππέων προεξέπεμψαν.

XII. Ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν Ὄθωνος ἔκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν Οὐιτελλίου στρατηγῶν πρὸς αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φιλίως συστρατιώτας προσαγορεύσαντες. Ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων ὡς προδιδόν-1072των παρέστη. (2) Καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάρα- a ξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. Εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον, ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει τάφρων ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιιόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. (3) Μόναι δὲ δύο λεγεῶνες (οὕτω γὰρ τὰ τάγματα Ῥωμαῖοι καλοῦσιν) ἐπίκλησιν ἡ μὲν Οὐιτελλίου Ἅρπαξ, ἡ δὲ Ὄθωνος Βοηθὸς, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον νόμιμόν τινα μάχην συμπεσοῦσαι φαλαγγηδὸν ἐμάχοντο πολὺν χρόνον. Οἱ μὲν οὖν Ὄθωνος ἄνδρες ἦσαν εὔρωστοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες· οἱ δὲ Οὐιτελλίου πολλῶν ἀγώνων ἐθάδες, b ἤδη δὲ γηραιοὶ καὶ παρακμάζοντες. Ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ Ὄθωνος ἐώσαντο καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες· οἱ δὲ ὑπὸ αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς τόν τε πρεσβευτὴν τοῦ τάγματος Ὀρφίδιον ἔκτειναν καὶ πολλὰ τῶν σημείων ἥρπασαν. (4) Τοῖς δὲ μονομάχοις ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν

irati pugnam poscerent, produxit eos Bedriaco Proculus ad quinquaginta stadia et castra posuit adeo imprudenter atque imperite, ut, quanquam verno tempore anni et tot circum fontium et amnium perennitatibus, penuria tamen aquæ fatigarentur. (2) Postridie volentem in hostes (a quibus haud minus quinquaginta stadiis aberant) ducere, Paulinus prohibebat, operiendum affirmans, neque defatigandum exercitum, statimve ex itinere pugnam committendum cum hominibus qui, dum ipsi tantum iter cum jumentis suis atque calonibus perficerent, interim per otium arma aptare et aciem instruere possent. (3) Disputantibus adhuc ducibus eques Numida intervenit, literas ab Othone afferens, quibus mandabat, ne cunctarentur vel moras traherent, sed statim in hostem pergerent. Illi ergo signis motis processerunt. Cæcina, hostium adventu cognito perturbatus, subito et operibus et fluvio relicto, in castra se recipit. Plerisque militum jam armatis et tesseram a Valente doctis, dum in ordinem legiones componerentur, equitum optimorum turma præmittitur in hostem.

XII. Ibi in prima Othonianorum acie incertum qua occasione opinio dispergitur atque rumor, fore ut Vitelliani duces ad ipsos transirent. Itaque eos, quum invicem appropinquassent agmina, amice salutarunt, commilitonesque appellarunt: quam salutationem quum Vitelliani non benigne, sed hostili murmure accepissent, salutatores quidem consternati sunt, ceteri autem proditionis eos suspectos habuere. (2) Id primum Othonianos perturbavit, jam præsente hoste. Deinde et reliquorum nihil suo ordine gestum, quum et impedimenta pugnantibus permista multum confusionis parerent et ipsa loci natura aciem magnopere divelleret, fossis ac sulcis referti, a quibus sibi metuentes, coacti sunt promiscue et catervatim cum hostibus congredi. (3) Duæ tantum legiones, Vitelliana nomine Rapax, et [illegible] nomine Adjutrix, quæ in aperto et nudo campo [illegible] fuerunt, justa pugna concurrentes [illegible] verunt. Erant autem Othoniani [illegible] mosi, ceterum belli rudes, [illegible] deductæ. Vitelliani multis [illegible] erant et languescente robore. [illegible] niani eos pulerunt, aquilamque [illegible] qui in prima acie stabant [illegible] pudore, simul ira conciti, [illegible] Or[illegible], multis [illegible] bu[illegible]

Ὀνομαστὸς ἀπελεύθερος ἥκειν ἔφη καὶ περιμένειν αὐτὸν οἴκοι τοὺς ἀρχιτέκτονας. Ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν Ὄθωνα τοῖς στρατιώταις. Εἰπὼν οὖν ὅτι παλαιὰν ἑωνημένος οἰκίαν βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε καὶ διὰ τῆς Τιβερίου καλουμένης οἰκίας καταβὰς ἐβάδιζεν εἰς ἀγορὰν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς c Ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν.

XXV. Ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορά φασι μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. Διὸ, καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ θηλύτητα τῇ ψυχῇ διατεθρυμμένος, ἀλλὰ ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. Οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον ἐκέλευον αἴρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι καὶ τοὺς φορειαφόρους ἐπιταχύνοντος. Ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. (2) Φερομένῳ δὲ οὕτω δι' d ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον. Εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι Καίσαρα καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. Τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου Μαρτίαλις, ὥς φασι, μὴ συνειδὼς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς ἀφῆκεν εἰσελθεῖν. Γενομένῳ δὲ ἐντὸς οὐδεὶς ἀντέπεσεν. Οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι καθ' ἕνα καὶ δύο σποράδες ὑπὸ δέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. (3) Εἰς δὲ τὸ Παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ Γάλβᾳ, παρόντος ἔτι τοῦ θύτου καὶ τῶν ἱερῶν ἐν e χερσὶν ὄντων, ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀτενῶς ἔχοντας ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον· ὄχλου δὲ παντοδαποῦ συῤῥέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν Οὐίνιος καὶ Λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι παρέστησαν, ὁ δὲ Πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. Τοῦ δ' Ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι Βιψανίᾳ στρατοπεδεύοντος ἀπεστάλη Μάριος Κέλσος, ἀνὴρ ἀγαθὸς, προκαταληψόμενος.

XXVI. Βουλευομένου δὲ τοῦ Γάλβα προελθεῖν καὶ Οὐινίου μὲν οὐκ ἐῶντος, Κέλσου δὲ καὶ Λάκωνος παρορμώντων f καὶ σφοδρότερον τοῦ Οὐινίου καθαπτομένων, θροῦς διῆλθε πολὺς ὡς ἀνῃρημένου τοῦ Ὄθωνος ἐν τῷ στρατοπέδῳ· καὶ μετὰ μικρὸν ὤφθη Ἰούλιος Ἀττικος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος καὶ βοῶν ἀνῃρηκέναι τὸν Καίσαρος πολέμιον· ὠσάμενος δὲ διὰ τῶν προεστώτων, 1065 ἔδειξε τῷ Γάλβᾳ τὸ ξίφος ἡμαγμένον. Ὁ δὲ a βλέψας πρὸς αὐτὸν, « Τίς σε, εἶπεν, ἐκέλευσε; » Τοῦ δὲ ἀνθρώπου τὴν πίστιν εἰπόντος καὶ τὸν ὅρκον, ὃν ὤμοσε, καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ κροτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο τῷ τε Διὶ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. (2) Ἐμ-

ostendebat; quum subito ei a tergo assistens Onomastus libertus domum redire et ibi operiri fabros jussit. Hæc autem erat tessera temporis, qua edita occurrere Othonem militibus convenerat. Itaque dicens se domum antiquam emisse et venditoribus velle quæ ruinosa viderentur ostendere, discessit, ac per Tiberii quam dicunt domum descendens in forum perrexit, quo loco aurea posita est columna, in quam viæ quæ Italiam secant omnes desinunt.

XXV. Ferunt primos, qui eum ibi exceperint Imperatoremque salutarint, haud plures viginti tres fuisse; itaque, etsi corporis ignavia atque mollities nequaquam animum ejus effeminaverat, sed audax intrepidusque rebus adversis erat, tamen tunc pertimuit; profugere volentem milites non dimiserunt, sed nudis gladiis lecticam ejus stipantes, eam provehi jusserunt, quanquam identidem clamitantis, actum de se esse, et lecticarios ut accelerarent fugam hortantis. Nam exaudiverant quidam vocem, ab paucitatem eorum qui aderant facinori, mirantes magis quam perturbati. (2) Ita per forum vehenti alii totidem occurrerunt, hisque deinceps terni quaternique alii se adjunxerunt, tandemque agmine facto universi strictos protendentes gladios Cæsarem eum appellarunt. Ferunt tribunum militum Martialem, cui eo die custodia castrorum cesserat, non conscium conspirationis, inopinata tamen re perculsum, eos intromisisse. Othoni, ut semel in castra pervenit, restitit nemo. Quos enim quæ agerentur latebat, ii, dedita ad hoc opera, inter conscios detenti sparsim singuli binique metu primum, deinde persuasi accesserunt. (3) Statim hæc in Palatium Galbæ renuntiata sunt, præsente adhuc haruspice, manibusque exta tenente, adeo ut qui omnino ejusmodi divinationes nihil curarent, tum obstupefacti prodigium admirati sint. Concurrente a foro promiscua turba, Galbæ Vinius et Laco et libertorum quidam cum strictis ensibus astiterunt; Piso progressus stipatores aulam custodientes compellavit. Missus etiam Celsus Marius, vir egregius, ad præoccupandos animos Illyricæ cohortis in porticu quæ dicitur Vipsania tendentis.

XXVI. Quum progredi Galba vellet, Celso etiam et Lacone hortantibus, acriterque Vinium id prohibentem increpantibus, rumor increbuit, Othonem in castris esse cæsum; paulloque post Julius Atticus, spiculatorum non postremus, visus est stricto cum gladio accurrere, interfectum a se Cæsaris hostem vociferans, ac per obstantes ad ipsum Galbam se proripuit, gladium cruentatum ei demonstrans. Quumque in eum intuitus Galba dixisset: Et quis tibi hoc mandavit? Fides, respondit, et sacramentum quo me obligavi, acclamante populo, bene factum esse, atque applaudente. Proinde conscensa lectica provectus est Galba, ut Jovi sacrificaret et se civibus ostenderet. (2) Ut in forum pervenit, adversi instar venti fama ei occur-

ϐαλόντος δὲ εἰς τὴν ἀγορὰν, ὥσπερ τροπαία πνεύματος, ἀπήντησε φήμη κρατεῖν τὸν Ὄθωνα τοῦ στρατεύματος. Οἷα δὲ ἐν πλήθει τοσούτῳ, τῶν μὲν ἀναστρέφειν, τῶν δὲ προϊέναι, τῶν δὲ θαῤῥεῖν, τῶν δὲ ἀπιστεῖν βοώντων καὶ τοῦ φορείου, καθάπερ ἐν κλύδωνι, δεῦρο κἀκεῖ διαφερομένου καὶ πυκνὸν ἀπονεύοντος, ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται διὰ τῆς Παύλου βασιλικῆς προσφερόμενοι, μιᾷ φωνῇ μέγα βοῶντες ἐκποδὼν ἵστασθαι b τὸν ἰδιώτην. Τῶν μὲν οὖν πολλῶν δρόμος ἦν, οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. (3) Ἀτιλλίου δὲ Βεργελίωνος εἰκόνα Γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι περιηκόντισαν τὸ φορεῖον· ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν. Ἤμυνε δὲ οὐδεὶς οὐδὲ ὑπέστη πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς Ῥωμαίων ἡγεμονίας· Σεμπρώνιος ἦν Δῆνσος, ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ Γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν προέστη τοῦ φορείου. Καὶ c τὸ κλῆμα πρῶτον, ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους, ἐπαράμενος τοῖς ἐπιφερομένοις ἐβόα καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. Ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσε.

XXVII. Τὸν δὲ Γάλβαν ἀποκλινθέντος τοῦ φορείου περὶ τὸν Κουρτίου καλούμενον λάκκον ἐκκυλισθέντα, τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. Ὁ δὲ τὴν σφαγὴν προτείνας, « Δρᾶτε, εἶπεν, εἰ τοῦτο τῷ δήμῳ Ῥωμαίων ἄμεινόν ἐστι. » Πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας, ἀπέσφαξε δὲ αὐτὸν, ὡς οἱ πλεῖστοι λέγουσι, Καμούριός τις ἐκ τοῦ d πεντεκαιδεκάτου τάγματος. Ἔνιοι δὲ Τερέντιον, οἱ δ' Ἀρκάδιον ἱστοροῦσιν, οἱ δὲ Φάβιον Φάβουλον, ὃν καί φασιν ἀποκόψαντα τὴν κεφαλὴν κομίζειν τῷ ἱματίῳ συλλαβόντα διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν· ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα πρεσβύτου πρόσωπον ἄρχοντός τε κοσμίου καὶ ἀρχιερέως καὶ ὑπάτου δρόμῳ χωρεῖν, ὥσπερ αἱ βάκχαι, πολλάκις μεταστρεφόμενον καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταῤῥεομένην. (2) Τὸν δ' Ὄθωνα, τῆς κεφαλῆς κομισθείσης, ἀνακραγεῖν λέ- e γουσιν· « Οὐδέν ἐστι τοῦτο, ὦ συστρατιῶται, τὴν Πείσωνός μοι κεφαλὴν δείξατε. » Μετ' ὀλίγον δὲ ἧκε κομιζομένη· τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος καὶ καταδιωχθεὶς ὑπὸ Μούρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς Ἑστίας. (3) Ἀπεσφάττετο δὲ καὶ Οὐίνιος ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν Γάλβαν συνωμοσίας· ἐβόα γὰρ ἀποθνήσκειν παρὰ τὴν Ὄθωνος γνώμην. Ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ Λάκωνος ἐκόμισαν πρὸς τὸν Ὄθωνα δωρεὰς αἰτοῦντες. Ὡς δέ φησιν Ἀρχίλοχος·

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσὶν,
χίλιοι φονῆες ἐσμέν·

rit, potitum castris Othonem. Ceterum in tanta hominum turba, aliis retro ire, aliis procedere, aliis bono esse animo, aliis diffidere rebus jubentibus, jactata hinc inde tanquam æstu et undis lectica, et modo hac modo illac incitata, primum equites, deinde armati pedites per Pauli Basilicam in forum irruperunt, contentaque voce uno omnes ore privatum cedere e medio jusserunt. Plerique cursim abierunt, non ut fuga dissipati, sed porticus et edita fori loca tanquam spectaculi causa occuparunt. (3) Primus Atilius Vergelio statuam Galbæ humo afflixit: eo initio belli arrepto, eminus jaculis lectica impetita est; quumque id frustra esset, strictis in eam gladiis impetum fecerunt. Nemo Galbam tutatus est, nemo substitit, uno excepto viro, quem solum tot inter hominum millia dignum Romano imperio sol conspexit. Sempronius is fuit Densus centurio, nullo privatim Galbæ beneficio obstrictus, sed pro legibus tum honestateque propugnans, ante lecticam astitit, primumque arrepto palmite vitis, quo meritos verberibus plectunt centuriones, eum attollens alta voce monuit incurrentes, uti Imperatori parcerent. Deinde manum iis conserentibus, stricto gladio tantisper vim propulsavit, dum poplitem suffossus concideret.

XXVII. Galbam lectica apud Curtium lacum delapsum (erat autem thorace armatus) incursione facta milites ictibus impetierunt. Atque is jugulum protendens ; Hoc agite, dixit, si quidem ita ex re est populi Romani. Multa accepit vulnera in pedes et brachia; jugulatus est, ut plerique memorant, a Camurio decimæ quintæ legionis milite; alii Terentio ascribunt, alii Arcadio, alii Fabio Fabulo; atque hunc ferunt caput Galbæ amputatum vestimento, quod ob calvitiem teneri aliter vix posset, ad Othonem detulisse, ac sociis non permittentibus celari, sed omnibus ostentari tam præclarum facinus volentibus, hastæ præfixisse senis caput, ejusque principis boni, pontificis maximi atque consulis, eaque vibrata Bacchæ in modum discurrisse subinde se convertentem, quassantemque hastam cruore madentem. (2) Othonem vero, capite Galbæ viso, fama est exclamasse : Nihil est hoc, o commilitones; caput Pisonis mihi ostendite. Estque id paullo post allatum; nam juvenis sauciatus fugerat, insequentibusque hostibus, a Murco quodam apud ædem Vestæ interfectus fuerat. (3) Jugulatus est etiam T. Vinius, fassus se conjurationis in Galbam socium fuisse, quippe necari se præter Othonis sententiam vociferabatur. Nihilominus et hujus caput et Laconis amputata milites ad Othonem attulerunt, præmium eo nomine poscentes. Nam ut ait Archilochus,

Septem enim occisi ceciderunt, quos calcavimus pede :
mille sumus interfectores;

οὕτως τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας f δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο καὶ δωρεὰς ᾔτουν βιβλία διδόντες τῷ Ὄθωνι. Εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματίων, οὓς ὁ Οὐιτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν. (4) Ἧκε δὲ καὶ Μάριος Κέλσος εἰς τὴν παρεμβολήν. Καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ Γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος, Ὄθων οὐκ ἐβούλετο· φοβούμενος δὲ ἀντιλέγειν οὐχ 1066 οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτόν· εἶναι γὰρ ἃ δεῖ πρό- a τερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. Ἐκέλευσεν οὖν δήσαντας φυλάττειν καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις.

XXVIII. Εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. Καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γεγονότων, συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ Ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε· καὶ Καίσαρα καὶ Σεβαστὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐῤῥιμμένων ἐπὶ τῆς ἀγορᾶς. (2) Ταῖς δὲ κεφαλαῖς ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν Οὐινίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο, τὴν δὲ Πείσωνος ἔλαβεν ἡ γυνὴ Οὐερανία δεηθεῖσα, τὴν δὲ Γάλβα τοῖς Πατροβίου [καὶ Οὐιτελλίου] δούλοις ἐδω- b ρήσαντο. Λαβόντες δὲ ἐκεῖνοι καὶ πάντα τρόπον αἰκισάμενοι καὶ καθυβρίσαντες ἔῤῥιψαν ᾗ τοὺς ὑπὸ τῶν Καισάρων κολαζομένους θανατοῦσιν· ὁ δὲ τόπος Σεσσώριον καλεῖται. Τὸ δὲ σῶμα τοῦ Γάλβα Πρίσκος Ἑλβίδιος ἀνείλετο, τοῦ Ὄθωνος ἐπιτρέψαντος· ἔθαψε δὲ νυκτὸς Ἀργεῖος ἀπελεύθερος.

XXIX. Τοιαῦτα τὰ κατὰ τὸν Γάλβαν, ἄνδρα μήτε γένει μήτε πλούτῳ πολλῶν ἀπολειφθέντα Ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα πάντων τῶν καθ' αὐτόν, πέντε δ' αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης· ὥστε τῇ δόξῃ μᾶλλον ἢ τῇ δυνάμει καθελὼν Νέρωνα, τῶν συνεπιτιθεμένων τότε τοὺς μὲν οὐδεὶς ἠξίωσε τῆς ἡγεμονίας, οἱ δ' ἑαυτοὺς ἠξίωσαν, Γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτο- c κράτωρ καὶ τῇ Οὐίνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόστασιν ἐποίησε πόλεμον ἐμφύλιον ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. (2) Ὅθεν οὐχ ἑαυτῷ τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν ἄρχειν ἠξίου τῶν ὑπὸ Τιγελλίνου καὶ Νυμφιδίου τετιθασευμένων, ὡς Σκηπίων ἦρχε καὶ Φαβρίκιος καὶ Κάμιλλος τῶν τότε Ῥωμαίων. Ὑπερειπόμενος δὲ τῷ γήρᾳ μέχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων ἄκρατος ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ, Οὐινίῳ δὲ καὶ Λάκωνι καὶ τοῖς ἀπελευθέροις πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτόν, οἷον Νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχήν, οἰκτείραντας δὲ τοὺς πολ- d λοὺς τὸν θάνατον ἀπέλιπεν.

---

ita tunc quoque multi qui cædibus non interfuissent, manibus et gladiis cruentatis se ostentarunt Othoni, libellisque exhibitis præmia poposcerunt. Sane ex iis libellis centum et viginti postea inventi sunt, quos omnes Vitellius conquisitos interfecit. (4) Venit et Marius Celsus in castra; quem quum multi accusarent, quod ad ferendum Galbæ auxilium milites esset hortatus et vulgus necare vellet, Otho prohibuit, non ausus tamen contradicere : Non tam subito occidendum, dixit, sed prius ex eo quædam necessaria cognitu expiscanda. Jussit itaque vinctum asservari, iisque tradidit, quorum summa credebatur fides.

XXVIII. Statim concilium est convocatum, et quasi vel ipsi mutati essent, vel dii alii exstitissent, convenientes in unum, juramento se in nomen Othonis obstrinxerunt, quod ipse quoque juravit et non servavit, Cæsaremque eum et Augustum appellaverunt, cadaveribus capite truncatis consulari vestitu adhuc in foro jacentibus. (2) Capitibus quum ad satietatem usque se oblectassent, Vinii caput filiæ ejus bis mille denariis vendiderunt, Pisonis uxoris Veraniæ precibus concesserunt, Galbæ, Patrobii servis dono dederunt. Iique id quum omnibus contumeliis ludibriisque affecissent, in Sessorium projecerunt, quo abjiciuntur eorum capita, qui Cæsarum jussu supplicio afficiuntur. Corpus Galbæ permissu Othonis Helvidius Priscus sustulit, noctu Argivus libertus sepelivit.

XXIX. Hac usus est fortuna Galba, vir neque generis nobilitate, neque opum splendore cuiquam æqualium secundus, et qui, sua ætate quinque imperatoribus rerum potitis, omnium eorum in principatu cum honore et gloria vixerit, ut magis auctoritate sua quam potentia Neronem exciderit, sociorum autem ejus facinoris alteros nemo imperio dignos judicaret, alteri semet ipsos tantum. Galba et vocatus est ad imperium et oblatum Imperatoris titulum accepit, Vindicisque conatui nomen suum accommodans, quod prius novarum rerum molitio et motus defectioque appellabatur, effecit ut ducem auctoritate præditum nactus pro civili bello haberetur. (2) Itaque non se res in suam accepisse potestatem ratus, sed se ipsum iis tribuisse, ita imperare iis, quos jam Nymphidius Tigellinusque cicuraverant, ut priscis Romanis Scipio, Fabricius et Camillus intendit. Subrutus autem senectute, in armis et castris quidem integrum se et antiqui moris Imperatorem gessit, Vinio autem, Laconi et libertis omnia venalia habentibus se committens atque dedens (quemadmodum Nero insatiabilibus sese hominibus addixerat) neminem qui imperium ejus desideraret, multos qui mortem miserarentur, reliquit.

ΟΘΩΝ.

Ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον ἔθυσε· καὶ κελεύσας Μάριον Κέλσον e ἀχθῆναι πρὸς αὐτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον ἢ τῆς ἀφέσεως μνημονεύειν. Τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτὸ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν, ἐγκεκλῆσθαι γὰρ ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν, ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων καὶ τὸ στρατιωτικὸν ἐπῄνεσεν. (2) Ἐν δὲ συγκλήτῳ πολλὰ f δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἤμελλε, τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ, τοῖς δὲ ἀποδεδειγμένοις ὑπὸ Νέρωνος ἢ Γάλβα πᾶσιν ἐτήρησε τὰς ὑπατείας. Ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας ἢ δόξαν ἐκόσμησε. Τοῖς δὲ ἐπὶ Νέ-
1067 ρωνος φυγοῦσι καὶ κατελθοῦσιν ἐπὶ Γάλβα συγκλητικοῖς a πᾶσιν ἀπέδωκεν ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἕκαστον ἐξεύρισκεν. Ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον, ὡς οὐκ ἀνδρὸς, ἀλλά τινος ἢ Ποινῆς ἢ παλαμναίου δαίμονος ἄφνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἡδίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν ὥσπερ διαμειδιῶσαν.

II. Ὁμοῦ δὲ Ῥωμαίους πάντας οὐδὲν εὔφρανεν οὕτως οὐδὲ ᾠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ Τιγελλῖνον. Ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέστοις σώματος, αὐτάς τε τὰς ἀνοσίους καὶ ἀρρήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυ- b λινδήσεις, αἷς ἔτι προσέσπαιρε δυσθανατοῦντος αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντάξια θανάτων οἱ σωφρονοῦντες. Ἠνία δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. (2) Ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διῃτᾶτο πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω. Καὶ τόν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπεχείρησε παρεῖναι· μὴ πεισθέντος δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον, ἐδεήθη δὲ ὑπομεῖναι ἕως ἂν ἀποξύρηται τὸ γένειον· καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν.

III. Οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀπο- c δοὺς ὁ Καῖσαρ αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τὸ παράπαν ἐμνησικάκησε, τοῖς δὲ πολλοῖς χαριζόμενος οὐκ ἔφευγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι· καί τινων εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐκ ἐκώλυσε. Κλούβιος δὲ Ῥοῦφος εἰς Ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους, τὸ τοῦ Νέρωνος θετὸν ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ Ὄθωνος. Οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος ἐπὶ τούτῳ δυσχεραίνοντας ἐπαύσατο. (2) Τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν

OTHO.

Prima luce novus Imperator in Capitolium progressus rem sacram fecit, atque jussit ad se adduci Marium Celsum, eumque salutavit et comiter collocutus, hortatus est ut magis causæ, ob quam in vincula esset conditus, oblivisci, quam dimissionis meminisse vellet. Responsum est a Celso neque parum ingenue neque imprudenter, ipsam culpam ingenii sui esse documentum; crimini enim sibi datum, quod Galbæ, cui nullam debuisset gratiam, servasset fidem. Admirati utrumque præsentes sunt, et collaudavit exercitus. (2) In senatu Otho multa benigne populariterque locutus, consulatus sibi destinati partem Virginio Rufo assignavit; honores eorum, quos consules Nero aut Galba designaverant, ratos habuit. Sacerdotiis eos qui ætate aut gloria reliquis anteirent, ornavit. Quos sub Nerone in exsilium profectos Galba restituerat senatores, iis omnia bona, quæcunque non divendita reperisset, reddidit. Quo factum est ut civium primi atque præstantissimi, qui prius exhorruerant, non hominem rati, sed pœnam quandam aut impurum genium subito reipublicæ incidisse, in meliorem tum spem venerint, imperio lætum quasi vultum quendam ostendente.

II. Interim Romanos universos nihil tanta affecit lætitia eorumque studia paravit, quam sumptum de Tigellino supplicium. Ille quidem jam pridem imprudens ipso poenæ metu pœnas luebat, quas tanquam publicum debitum exposcebat civitas, et morbis corporis desperatis. Ipsas sceleratas ejus et infandas inter scorta et impuras mulieres volutationes, quas moribundi hominis libido etiamnum pruriebat, vel pro extremo supplicio multisque mortibus pari interpretabantur homines cordati. Nihilominus vulgo indigne ferebant, frui adhuc conspectu solis eum, propter quem tot tantique viri ejus conspectu essent privati. (2) Misit igitur qui eum trucidaret Otho in Sinuessanum agrum; nam ibi commorabatur, navibus in portu stantibus, ac de ulteriore fuga cogitabat. Primum multo oblato auro tentavit percussorem, ut se missum faceret, sed quum frustra id esset, nihilominus ei dono dedit, oravitque ut tantisper operiretur dum ipse sibi mentum raderet, eoque impetrato, fauces ipse sibi præcidit.

III. Hac Cæsar justissima voluptate oblata populo, ipse privatarum injuriarum causa neminem quenquam offendit. In gratiam quoque multitudinis Neronis cognomentum, quod ei primum in theatris tribuebatur, non repudiavit, et quum a nonnullis statuæ Neronis in publicum reponerentur, non prohibuit. Cluvius Rufus auctor est, allata in Hispaniam esse diplomata per tabellarios, in quibus Othonis nomini adoptivum Neronis nomen fuerit ascriptum. Tamen quum offendi ea re animos optimatum sentiret, desiit. (2) Hunc in modum constituto imperio, mercenarii milites

αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτούς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ d κολούειν τοὺς ἀξιολόγους, εἴτ' ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. (3) Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ τὴν ἑπτακαιδεκάτην σπεῖραν Ὠστίας ἀπάξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ θρασύτατοι πάντες ἐβόων οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον, ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις καὶ τὰ ὅπλα κατὰ Καίσαρος, οὐ Καίσαρι παρακομίζεσθαι. (4) Τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος, οἱ μὲν ἐπελαμβάνοντο τῶν ἁμαξῶν, οἱ δὲ τοὺς ἐνισταμένους ἑκατον- e τάρχας δύο καὶ τὸν Κρισπῖνον αὐτὸν ἀπέκτειναν, πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους Καίσαρι βοηθεῖν ἤλαυνον εἰς τὴν Ῥώμην· καὶ πυθόμενοι παρ' αὐτῷ δειπνεῖν ὀγδοήκοντα συγκλητικούς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες ἐν ταὐτῷ πάντας ἀνελεῖν τοὺς Καίσαρος πολεμίους. (5) Ἡ μὲν οὖν πόλις ὡς αὐτίκα διαρπαγησομένη θόρυβον εἶχε πολύν, ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρομαὶ καὶ τὸν Ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. Φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν, αὐτὸς ἦν φοβερὸς ἐκείνοις καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. f Ἅμα δὲ τοὺς ἐπάρχους ἀπέστελλε τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας καθ' ἑτέρας θύρας ἀφῆκε· καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων ὠθουμένων εἰς τὸν ἀνδρῶνα καὶ πυνθανομένων, τί γεγόνασιν οἱ Καίσαρος πολέμιοι. (6) Τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας καὶ δεηθεὶς καὶ μηδὲ δακρύων
1068 φεισάμενος μόλις ἀπέπεμψεν αὐτούς· τῇ δ' ὑστεραίᾳ δω- a ρησάμενος ἅπαντας κατ' ἄνδρα χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ' ἀγαθῷ φήσας ὑποικουρεῖν διαβάλλοντας αὐτοῦ τὴν μετριότητα καὶ τὴν ἐκείνων εὐστάθειαν ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. Ἐπαινούντων δὲ πάντων καὶ κελευόντων, δύο μόνους παραλαβών, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολασθεῖσιν, ἀπηλλάγη.

IV. Ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες b ἐθαύμαζον τὴν μεταβολήν, οἱ δ' ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο δημαγωγοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. Ἤδη γὰρ ἠγγέλλετο βεβαίως Οὐιτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς· καὶ πτεροφόροι συνεχῶς ἐφοίτων ἀεί τι προσχωρεῖν ἐκείνῳ φράζοντες, ἕτεροι δὲ τὰ Παννονικὰ καὶ τὰ Δαλματικὰ καὶ τὰ περὶ Μυσίαν στρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγεμόνων Ὄθωνα. Ταχὺ δὲ ἀφίκετο καὶ παρὰ Μουκιανοῦ γράμματα καὶ παρὰ Οὐεσπασιανοῦ φίλια, τοῦ μὲν ἐν Συρίᾳ, τοῦ δὲ ἐν Ἰουδαίᾳ μεγάλας δυνάμεις ἐχόντων. (2) Ὑφ' ὧν ἐπαιρόμενος ἔγραψεν

difficiles sese præbuerunt, hortantes Othonem, ne principibus in republica viris crederet, sed ab iis sibi caveret et eorum consiliis obstaret, sive omnino benevolentia Imperatoris adducti ab iis ei metuebant, sive hinc movendarum turbarum et bellorum materiam quærebant. (3) Missus ab Othone ad decimam septimam cohortem Crispinus, ut de colonia Ostiensi abduceret, is quum noctu se pararet armaque vehiculis imponeret, ferocissimus quisque militum vociferari cœpit : nihil boni molientem adesse Crispinum, senatum res novas agitare, arma contra Cæsarem, non pro Cæsare in urbem advehi. (4) Eo rumore omnes attingente atque irritante, alii currus inhibuerunt, alii centuriones duos et ipsum Crispinum prohibentes vim occiderunt, omnesque illico armis sumptis et sese mutuo ad ferendam Cæsari opem cohortati, Romam contenderunt. Ibi quum audirent cum Cæsare octoginta senatores cœnare, tempus sibi oblatum vociferantes omnes simul inimicos Cæsaris trucidandi, ad Palatium se proripuerunt. (5) Urbs vero in præsentem direptionis metum conjecta, turbarum erat plena. In Palatio discurrebatur et Otho animi anxius et metuebat senatoribus et ab ipsis metuebatur, cernens eos ab ipsius nutu dependere mutos consternatosque; quidam etiam cum uxoribus ad cœnam venerant. Mittit ergo præfectos qui milites alloquerentur ac sedarent, simulque convivas excitos per aliud ostium dimittit; paulloque ante ii effugerunt, quam milites, perruptis stipatorum custodiis, in cœnaculum venerunt, quærentes quonam inimici Cæsaris evasissent. (6) Quum quidem Otho rectus in lecto stans multis verbis, multis precibus, ac ne lacrimis quidem suppressis, ægre tandem obtinuit, ut in castra redirent. Postridie singulos quinis numûm millibus donavit, et ingressus in castra multitudinem benevolentiæ erga se et promptitudinis ergo collaudavit, paucos autem quosdam occulte in castris mala consilia miscere, suamque moderationem animi et militum constantiam ab iis calumniis objici questus, oravit ut in iis puniendis sibi adessent. Laudantibus omnibus et punire sontes jubentibus, in duos tantum, quorum supplicio neminem offensum iri intelligeret, animadvertit, atque ita digressus est.

IV. Quidam diligentes jam Othonem, eique fidentes, quum in hæc intuerentur, ita immutatum hominem mirabantur, alii necessitate compulsum eum ista agere sentiebant, tempori inservientem, favoremque multitudinis propter impendentia bella captantem. Jam enim annuntiabatur Vitellium nomen copiasque imperatorias assumpsisse, atque identidem pterophori adventabant, aliquid illi quotidie accessisse referentes. Alii Pannoniæ, Dalmatiæ Mysiæque exercitus ducesque imperatorem Othonem pronuntiasse indicabant, et amicæ a Muciano Vespasianoque afferebantur literæ, quorum alter in Syria, alter in Judæa magnum exercitum regebat. (2) His animatus Vitellium per

Οὐιτελλίῳ παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον καὶ ἥδιστον βίον μεθ' ἡσυχίας. Ἀντέγραψε δὲ κἀκεῖ- c νος αὐτῷ κατειρωνευόμενος ἡσυχῇ πρῶτον· ἐκ δὲ τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ ψευδῶς μέν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τὸν ἕτερον, ἃ προσῆν ἀμφοτέροις ὀνείδη, λοιδοροῦντος. Ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ χρεῶν πλήθους ἔργον ἦν εἰπεῖν ὁποτέρῳ μεῖον αὐτῶν μέτεστι. (3) Σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ Καπιτωλίῳ Νίκης ἐφεστώσης ἅρματι τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν d μὴ δυναμένης, καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ Γαΐου Καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ γεγονότος μήτε πνεύματος, ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς τὰς ἀνατολάς· ὅ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ Οὐεσπασιανὸν ἐμφανῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. (4) Καὶ τὸ περὶ τὸν Θύμβριν δὲ σύμπτωμα σημεῖον ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. Ἦν μὲν γὰρ ὥρα, περὶ ἣν μάλιστα οἱ ποταμοὶ πλήθουσιν, ἀλλ' οὔπω τοσοῦτος ἤρθη πρότερον οὐδὲ ἀπώλεσε τοσαῦτα καὶ διέφθειρεν ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως, πλεῖστον δὲ ἐν ᾧ τὸν ἐπὶ πρά- e σει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.

V. Ἐπεὶ δὲ τὰς Ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο Κεκίνας καὶ Οὐάλης Οὐιτελλίῳ στρατηγοῦντες, ἐν Ῥώμῃ Δολοβέλλας, εὐπατρίδης ἀνήρ, ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. Ἐκεῖνον μὲν οὖν εἴτε αὐτὸν εἴτε ἄλλον δεδοικὼς εἰς πόλιν Ἀχύνιον παρέπεμψε παραθαῤῥύνας. Καταλέγων δὲ τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἐν τούτοις καὶ Λεύκιον τὸν Οὐιτελλίου ἀδελφὸν οὔτε προσθεὶς οὐδὲν οὔτε ἀφελὼν ἧς εἶχε τιμῆς. Ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ Οὐιτελλίου καὶ τῆς γυναικός, ὅπως μηδὲν φοβήσονται περὶ αὐτῶν. Τῆς δὲ Ῥώμης φύλακα Φλάουιον f Σαβῖνον, ἀδελφὸν Οὐεσπεσιανοῦ, κατέστησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ Νέρωνος (παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ Σαβῖνος, ἀφείλετο δὲ Γάλβας αὐτόν), εἴτε μᾶλλον εὔνοιαν ἐνεδείκνυτο Οὐεσπεσιανῷ καὶ πίστιν αὔξων Σαβῖνον. (2) Αὐτὸς μὲν οὖν ἐν Βριξίλλῳ, πόλει τῆς Ἰταλίας, περὶ τὸν Ἠριδανὸν ἀπε-
1069 λείφθη, στρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέπεμψε Μάριόν a
τε Κέλσον καὶ Σουητώνιον Παυλῖνον, ἔτι τε Γάλλον καὶ Σπουρίναν, ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ἐπὶ τῶν πραγμάτων ὡς προῃροῦντο τοῖς ἑαυτῶν λογισμοῖς δι' ἀταξίαν καὶ θρασύτητα τῶν στρατιωτῶν. Οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. (3) Ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. Οὐ μὴν ἀλλ' ἐκείνοις ἐμπειρία τε

epistolam hortatus est, ne ultra stipendia aspiraret, magnam ei pecuniam daturum promittens et urbem, in qua otiosus suavissimam ageret vitam. Rescribens Vitellius, initio latenter eum subsannavit, post irritatis animis, multa mutua per literas convicia lascive impudiceque fecerunt, non quidem vana objicientes, stulte tamen, adeoque ridicule alter alteri ea exprobrantes, quæ difficile judicatu est utri eorum minora affuerint, luxuriam scilicet, mollitiem, belli imperitiam et æris alieni e priore egestate contracti molem. (3) Multa eo tempore prodigia, pleraque rumore et auctore incerto referebantur. In Capitolio quidem Victoriam bigis insistentem habenas manu dimisisse, veluti retinere non valentem, omnes viderunt. In Tiberina insula C. Julii Cæsaris statua nullo vel terræ motu vel vento impulsa ab occidua parte ad ortum solis se convertit, quod iis evenisse diebus ferunt, quibus Vespasianus palam sibi summam rerum vindicare est aggressus. (4) Tiberis autem exundationem plerique in ostentum infelix rapuerunt, eo quidem factam tempore, quo maxime turgent fluvii, sed nunquam ante ita excreverat, neque ulla unquam eluvione tantum damni dederat; nam quum magnam urbis partem proluit, tum eum præsertim locum, ubi frumentum venale reponebatur, opplevit, magnamque permultorum dierum difficultatem effecit.

V. Quum renuntiaretur Alpes jam a Cæcina et Valente Vitellii legatis occupatas esse, Romæ Dolabella, vir patricius, militibus in suspicionem tentatarum novarum rerum venit; quem Otho sive ejus sive alterius metu Aquinum seposuit. Deligens autem de principibus viris, qui secum comites irent, inter hos L. quoque Vitellium, Vitellii fratrem, esse voluit, neque auctum honore, neque eo, quem tum gerebat, spoliatum. Matri quoque et uxori Vitellii accurate prospexit, ne quid sibi timerent. Urbi præfecit Flavium Sabinum, Vespasiani fratrem, sive Neronis id honori tribuens, qui Sabinum ea dignatione affecerat, post a Galba ei adempta, sive ornando Sabino studium suum fidemque Vespasiano demonstrans. (2) Et Otho quidem ipse Brixelli, quod est Italiæ ad Padum flumen oppidum, substitit; duces copiarum emisit Marium Celsum, Suetonium Paulinum, Gallum et Spurinam, viros illustres, sed qui rem suo arbitrio ut instituerant gerere nequirent ob militum contumaciam atque ferociam, aliis obtemperare dedignantium, quippe quum ab ipsis imperium princeps nactus esset. (3) Nec hostium milites in omnes partes sani erant, neque ducibus obtemperantes, sed eandem causam feroces et contumaces. Verum hi periti pugnarum

παρῆν τοῦ μάχεσθαι καὶ τὸ κάμνειν ἐθάδες ὄντες οὐκ ἔφευγον, οὗτοι δὲ μαλακοὶ μὲν ἦσαν ὑπὸ σχολῆς καὶ διαίτης ἀπολέμου πλεῖστον χρόνον, ἐν θεάτροις καὶ πανηγύρεσι b καὶ παρὰ σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ κόμπῳ ἐπαμπέχειν ἐβούλοντο προσποιήσασθαι τὰς λειτουργίας ὡς κρείττονες ἀπαξιοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. (4) Ὁ δὲ Σπουρίνας προσβιαζόμενος αὐτοὺς ἐκινδύνευσε μικροῦ ἐλθόντας ἀνελεῖν αὐτόν. Ὕβρεως δὲ καὶ βλασφημίας οὐδεμιᾶς ἐφείσαντο, προδότην καὶ λυμεῶνα τῶν Καίσαρος καιρῶν καὶ πραγμάτων λέγοντες. Ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτὸς ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφόδιον αἰτοῦντες· εἶναι γὰρ αὐτοῖς πρὸς Καίσαρα βαδιστέον, ὅπως ἐκείνου κατηγορήσωσιν.

VI. Ὤνησε δὲ τὰ πράγματα καὶ Σπουρίναν ἐν τῷ παραυτίκα λοιδορία περὶ Πλακεντίαν γενομένη τῶν c στρατιωτῶν. Οἱ γὰρ Οὐιτελλίου τοῖς τείχεσι προσβάλλοντες ἐχλεύαζον τοὺς Ὄθωνος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ πυρριχιστὰς καὶ Πυθίων καὶ Ὀλυμπίων θεωρούς, πολέμου δὲ καὶ στρατείας ἀπείρους καὶ ἀθεάτους ἀποκαλοῦντες καὶ μέγα φρονοῦντας ἐπὶ τῷ γέροντος ἀνόπλου κεφαλὴν ἀποτεμεῖν (τὸν Γάλβαν λέγοντες), εἰς δὲ ἀγῶνα καὶ μάχην ἀνδρῶν οὐκ ἂν ἐκφανῶς καταβάντας. (2) Οὕτω γὰρ ἐταράχθησαν ὑπὸ τούτων τῶν ὀνειδῶν καὶ διεκάησαν, ὥστε προσπεσεῖν τῷ Σπουρίνᾳ δεόμενοι χρῆσθαι καὶ προστάττειν αὐτοῖς οὐδένα κίνδυνον οὐδὲ πόνον ἀπολεγομένοις. Ἰσχυρᾶς d δὲ συστάσης τειχομαχίας καὶ μηχανημάτων πολλῶν προσαχθέντων, ἐκράτησαν οἱ τοῦ Σπουρίνα καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι διετήρησαν ἔνδοξον πόλιν καὶ τῶν Ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. (3) Ἦσαν δὲ καὶ τἆλλα τῶν Οὐιτελλίου στρατηγῶν οἱ Ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις· ἐκείνων δὲ Κεκίνας μὲν οὔτε φωνὴν οὔτε σχῆμα δημοτικός, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος, σώματος μεγάλου, Γαλατικῶς ἀναξυρίσι καὶ χειρίσιν ἐνεσκευασμένου, σημείοις καὶ ἄρχουσι Ῥωμαϊκοῖς διαλεγόμενος. Καὶ τὴν γυναῖκα παρέπεμπον αὐτῷ λογάδην ἱππεῖς ὀχουμένην ἵππῳ κεκοσμημένην ἐπιφανῶς. (4) Φάβιον δὲ Οὐάλεντα τὸν ἕτερον στρατηγὸν οὔτε e ἁρπαγαὶ πολεμίων οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμμάχων ἐνεπίμπλασαν χρηματιζόμενον, ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁδεύων ὑστερῆσαι τῆς προτέρας μάχης. Οἱ δὲ τὸν Κεκίναν αἰτιῶνται σπεύδοντα τὴν νίκην ἑαυτοῦ γενέσθαι, πρὶν ἐκεῖνον ἐλθεῖν, ἄλλοις τε μικροτέροις περιπεσεῖν ἁμαρτήμασι καὶ μάχην οὐ κατὰ καιρὸν οὐδὲ γενναίως συνάψαι μικροῦ πάντα τὰ πράγματα διαφθείρασαν αὐτοῖς.

VII. Ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς Πλακεντίας ὁ Κεκίνας ἐπὶ Κρεμώνην ὥρμησεν, ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν Ἄννιος Γάλλος πρὸς Πλακεντίαν f Σπουρίνᾳ βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν τοὺς Πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν Κρεμώνῃ, μετήγαγεν ἐκεῖ τὸ στράτευμα καὶ κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων· ἔπειτα καὶ τῶν

erant, laboremque ob consuetudinem non fugiebant, Othoniani molles erant, in otio et pace educati, et plurimum temporis in theatris ac conventibus festivis versati, superboque fastu detrectationem ministeriorum tegere videri volebant, non ut ad ferendum impares, sed tanquam se indigna. (4) Spurinam cogere tentantem paullum abfuit quin interficerent. Nullo vero contumeliæ in eum genere et petulantiæ abstinuerunt, proditorem, Cæsarisque rerum ac temporum pestem vocantes. Quidam etiam noctu ebrii ad tentorium ejus adiverunt viaticumque poposcerunt, eundum sibi ejus accusandi gratia ad Cæsarem dicentes.

VI. Rebus Othonis et Spurinæ in præsentia profuit exprobratio militum Vitellianorum, a quibus Placentiæ obsidebantur. Vitelliani enim muros aggredientes, Othonianos propugnaculis astantes subsannabant, scenicos eos et saltatores, et Pythiorum Olympiorumque spectatores ignominiose vocitantes, ac qui bellum pugnamque nunquam ne vidissent quidem, eo tantum superbientes, quod inermis senis (Galbam notabant) caput amputassent, ad certamen apertum descendere cumque viris dimicare nunquam ausi. (2) His conviciis Othoniani ita perturbati inflammatique sunt, ut ad Spurinam supplicum modo venerint, nullumque se laborem, nullum periculum subterfugere professi sint, uteretur modo ipsis et imperaret. Acriter Vitellianis mœnia oppugnantibus multasque machinas adhibentibus, vicere tamen milites Spurinæ; hosteque magna cum cæde profligato, nobilem atque florentissimam Italiæ urbem servarunt. (3) Erant alioqui Othonis duces alteris multo gratiores et publice privatimque acceptiores. Dux erat Vitellianorum Cæcina, ne habitu quidem popularis, sed molestus peregrino apparatu, vir magna corporis mole, braccas et manicas indutus Gallico modo, nutu signisque vel duces Romanorum alloquens. Uxorem ejus equo vehentem, splendideque ornatam, delecti equites comitabantur. (4) Ejus collega Fabius Valens tanta laborabat avaritia, ut neque rapinis hostilibus neque expilatione et donis a sociis accipiendis expleri posset; quin etiam pugnæ prioris tempus neglexisse fertur, ea de causa lentius proficiscens. Alii tamen Cæcinæ eam culpam imputant, qui festinans ante adventum Fabii potiri victoria quum alia leviora peccata admiserit, tum illo prœlio neque tempestive neque strenue facto prope rem Vitellianam pessumdederit.

VII. Quum enim repulsus a Placentia Cremonam, urbem ipsam quoque magnam et opulentam, peteret, primum Annius Gallus, qui ad ferendas Spurinæ suppetias Placentiam ducebat, audita in itinere victoria collegæ et Cremonæ cognito periculo, eo traduxit exercitum et prope hostem consedit; mox ceteri etiam Othoniani duces Mario Celso

ἄλλων ἕκαστος ἐβοήθει τῷ στρατηγῷ. (2) Τοῦ δὲ Κεκίνα λοχήσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλίτας, ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συν- 1070 άψωσιν οἱ πολέμιοι, κατὰ μικρὸν ἀναχωρεῖν καὶ ἀνα- a φεύγειν, ἄχρις ἂν ὑπάγοντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξήγγειλαν αὐτόμολοι τῷ Κέλσῳ. Καὶ οὗτος μὲν ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει καὶ τὴν ἐνέδραν περισχὼν καὶ συνταράξας ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ στρατοπέδου. (3) Καὶ δοκοῦσιν ἂν ἐπελθόντες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ Κεκίνα στράτευμα συντρῖψαι καὶ ἀνελεῖν ἐπισπόμενοι τοῖς ἱππεῦσι· νυνὶ δὲ ὁ Παυλῖνος ὀψὲ καὶ σχολῇ προσβοηθήσας αἰτίαν ἔσχεν ἐνδεέστερον τῆς δόξης στρατηγῆσαι δι' εὐλάβειαν. Οἱ δὲ πολλοὶ τῶν στρατιωτῶν καὶ προδοσίαν ἐνεκάλουν αὐτῷ καὶ παρώξυνον τὸν Ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν, τῆς δὲ νίκης οὐκ ἐπίπαν προελθού- b σης κακίᾳ τῶν στρατηγῶν. (4) Ὁ δὲ Ὄθων οὐχ οὕτως ἐπίστευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπιστεῖν. Ἔπεμψεν οὖν Τιτιανὸν ἐπὶ τὰ στρατεύματα τὸν ἀδελφὸν καὶ Πρόκλον τὸν ἔπαρχον, ὃς εἶχεν ἔργῳ τὴν πᾶσαν ἀρχὴν, πρόσχημα δὲ ἦν ὁ Τιτιανός. Οἱ δὲ περὶ τὸν Κέλσον καὶ Παυλῖνον ἄλλως ἐφείλκοντο συμβούλων ὄνομα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. (5) Ἦν δὲ θορυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις, μάλιστα δὲ τοῖς ὑπὸ τῷ Οὐάλεντι· καὶ τῆς περὶ τὴν ἐνέδραν μάχης ἀπαγγελθείσης, ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο μηδὲ ἤμυναν, ἀνδρῶν τοσούτων ἀποθανόντων. Μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτοὺς βάλλειν, ἀνέζευξε καὶ c συνῆψε τοῖς περὶ Κεκίναν.

VIII. Ὁ δὲ Ὄθων παραγενόμενος εἰς τὸ Βητριακὸν εἰς τὸ στρατόπεδον (ἔστι δὲ πολίχνη πλησίον Κρεμώνης τὸ Βητριακόν) ἐβουλεύετο περὶ τῆς μάχης. Καὶ Πρόκλῳ μὲν ἐδόκει καὶ Τιτιανῷ, τῶν στρατευμάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίσασθαι καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμβλύνοντα τῆς δυνάμεως καὶ περιμένοντα Οὐιτέλλιον αὐτὸν ἐκ Γαλατίας ἐπελθεῖν. Παυλῖνος δὲ τοῖς μὲν πολεμίοις ἔφη πάντα, μεθ' ὧν μαχοῦνται, παρεῖναι καὶ μηδὲν ἐνδεῖν, Ὄθωνι δὲ τῆς ἤδη παρούσης οὐκ ἐλάττονα προσδόκιμον εἶναι δύναμιν ἐκ Μυσίας καὶ Παννονίας, ἂν τὸν αὐτοῦ περιμένῃ καιρὸν, ἀλλὰ μὴ στρατηγῇ πρὸς τὸν τῶν d πολεμίων· οὐ γὰρ ἀμβλυτέροις γε χρήσεσθαι τότε τοῖς νῦν θαῤῥοῦσιν ἀπ' ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιουσίας ἀγωνιεῖσθαι· καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνοις πᾶσιν ὄντων, ἐκείνοις δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων ἐν πολεμίῳ καθεζομένοις. (2) Ταῦτα λέγοντι Παυλίνῳ Μάριος Κέλσος ἐγένετο σύμψηφος. Ἄννιος δὲ Γάλλος οὐ παρῆν μὲν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς ἀφ' ἵππου, γράψαντος δὲ Ὄθωνος αὐτῷ, συνεβούλευε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ Μυσίας περιμένειν δύναμιν ἤδη καθ' ὁδὸν οὖσαν. Οὐ μὴν

pem tulerunt. (2) Postquam Cæcina locis saltuosis et silvestribus multos milites abdidit, equites provehere jussit, qui hostibus manum conferentibus docti erant paulatim retro cedere et subterfugere tantisper, dum eos in insidias pertraherent. Id quum ex transfugis comperisset Celsus, cum bonis equitibus obviam factus Cæcinæ equites profligavit, cauteque insecutus, eos qui in insidiis latebant circumvenit, iisque perturbatis, peditatum castris excivit. (3) Quodsi is mature equites subsecutus præsto fuisset, nullum eum de hostibus reliquisse, sed potuisse Cæcinæ milites occidione cædi creditum est; nunc Paulinus sero et lente succurrens, dum nimium cautus est, non convenienter existimationi suæ rem gessisse culpatus est. Et multi militum proditionis eum insimulabant, Othonemque irritabant, jactantes se victoria potitos, sed ducum malitia ne ea plena obtineretur effectum. (4) Otho non tam credens hoc, quam non credere se dissimulans, Titianum fratrem suum ad exercitus misit et Proculum præfectum, penes quem revera erat summa rerum, Titiano titulum gerente; Celsus quoque et Paulinus, vano amicorum et consiliariorum nomine utentes, nulla in rebus majoribus potestate prœditi erant atque vi. (5) Apud hostes quoque tumultus erat maximeque apud Valentis milites. Hi, ut relatum est de pugna apud insidias commissa, indignatione accensi sunt, quod non subsidio suis venissent, totque homines perire passi essent. Et Valens, ægre exoratis militibus jam eum saxis petere aggredientibus, castra movit et cum Cæcina conjunxit.

VIII. Otho Bedriacum in castra venit, quod est propinquum Cremonæ oppidulum. Ibi proposita de prœlio deliberatione, Proculus et Titianus decertandum censuerunt, exercitibus ad hoc alacribus et recenti victoria, neque copiarum vigorem desidendo hebetandum, exspectandumve dum ex Gallia ipse veniret Vitellius. Contra Paulinus, hostibus ea omnia in promptu esse, quibus freti pugnam sint commissuri, deesse nihil, Othoni haud pauciores præsentibus copias ex Mysia et Pannonia exspectandas, modo suo, non hostium tempori intentus esse velit; neque vero minus ad pugnandum alacritatis habituros pluribus accedentibus eos, qui nunc minoribus viribus fidant, imo tanto acriores fore et ex abundanti certaturos; etiam cunctationem ipsis commodam, omnium rerum copia affluentibus, Vitellianis in hostico morantibus tempus penuriam necessariarum rerum allaturum. (2) Huic suffragatus est Marius Celsus. Et Annius Gallus absens (ab equo enim delapsus curabatur) per literas ab Othone sententiam rogatus, non festinandum, sed exspectandas e Mysia copias censuit, quæ

ἐπείθετο τούτοις, ἀλλὰ ἐκράτησαν οἱ πρὸς τὴν μάχην e παρορμῶντες.

IX. Αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται· προδήλως δὲ οἱ στρατηγικοὶ προσαγορευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας καὶ τὰς ἐν Ῥώμῃ διατριβὰς καὶ διαίτας ἀπολέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐκ ἦσαν καθεκτοὶ, σπεύδοντες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐπιδρομῆς ἀναρπασόμενοι τοὺς ἐναντίους. Δοκεῖ δὲ μηδὲ αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα μηδὲ ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν δεινῶν ἐκλογισμοὺς, ἐκπονούμενος δὲ ταῖς φροντίσι σπεύδειν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ, μεθεῖναι τὰ f πράγματα πρὸς τὸ συντυχόν. Καὶ τοῦτο μὲν διηγεῖτο Σεκοῦνδος ὁ ῥήτωρ, ἐπὶ τῶν ἐπιστολῶν γενόμενος τοῦ Ὄθωνος. (2) Ἑτέρων δὲ ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρίσταντο ὁρμαὶ πολλάκις εἰς
1071 ταὐτὸ συνελθεῖν· καὶ μάλιστα μὲν αὐτοὺς ὁμοφρονή- a σαντας ἐκ τῶν παρόντων ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον, εἰ δὲ μὴ, τὴν σύγκλητον ὁμοῦ καθίσαντας ἐφεῖναι τὴν αἵρεσιν ἐκείνῃ τοῦ αὐτοκράτορος. (3) Καὶ οὐκ ἀπεικός ἐστι, μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς τοῖς γνησίοις καὶ διαπόνοις καὶ σωφρονοῦσι τῶν στρατιωτῶν, ὡς ἔχθιστον εἴη καὶ δεινὸν, ἃ πάλαι διὰ Σύλλαν καὶ Μάριον, εἶτα Καίσαρα καὶ Πομπήιον ᾠκτείροντο δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν ἢ Οὐιτελλίῳ λαιμαργίας καὶ οἰνοφλυγίας ἢ τρυφῆς καὶ ἀκολασίας Ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους. Ταῦτ' οὖν ὑπονοοῦσι b τούς τε περὶ τὸν Κέλσον αἰσθανομένους ἐμβαλεῖν διατριβὴν, ἐλπίζοντας ἄνευ μάχης καὶ πόνων κριθήσεσθαι τὰ πράγματα, καὶ τοὺς περὶ τὸν Ὄθωνα φοβουμένους ἐπιταχῦναι τὴν μάχην.

X. Αὐτὸς δὲ πάλιν εἰς Βριξίλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμαρτὼν, οὐχ ὅτι μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ καὶ τοὺς ἐῤῥωμενεστάτους καὶ προθυμοτάτους δι' αὐτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγὼν φυλακὴν τοῦ σώματος ὡσπερεί τι σῶμα τῆς δυνάμεως ἀπέκοψε. (2) Συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν Ἠριδανὸν ἀγῶνα γενέσθαι, τοῦ μὲν Κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δὲ Ὄθωνος εἰργόντων c καὶ προσμαχομένων. Ὡς δὲ οὐδὲν ἐπέραινον, ἐνθεμένων εἰς τὰ πλοῖα δᾷδα θείου καὶ πίττης ἀνάπλεω, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν ἄφνω τὴν παρεσκευασμένην ὕλην ἐπὶ τοὺς πολεμίους ἐξεῤῥίπιζε. Καπνοῦ δὲ πρῶτον, εἶτα λαμπρᾶς φλογὸς ἐκπεσούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν τάς τε ναῦς ἀνέτρεπον καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. Οἱ δὲ Γερμανοὶ τοῖς Ὄθωνος μονομάχοις περὶ νησῖδα τοῦ ποταμοῦ προσμίξαντες ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους.

XI. Γενομένων δὲ τούτων καὶ τῶν ἐν Βητριακῷ

jam essent in itinere. Ceterum his Otho non paruit, sed vicit eorum sententia, qui ad pugnam hortabantur.

IX. Causæ ejus rei multæ ab aliis aliæ referuntur; palam autem prætoriani milites, qui speculatores principis erant, tunc semel seriam experti militiam, desiderio vitæ quam in urbe extra bellum in otio et festivitatibus egerant, contineri nullo modo quibant, pugnam accelerantes et primo impetu a se sublimes abripi hostes posse sibi persuadentes. Ipso etiam Otho videtur incertitudinem eventus non sustinere amplius exspectando potuisse, insolentia et mollitie victus, quoties magnitudinem periculi secum perpenderet; itaque oneri cogitationum succumbens, veluti de præcipitio quodam clausis oculis, ita se et res in discrimen eventus misit. Atque ita narrabat Secundus rhetor, qui ei fuit ab epistolis. (2) Non defuere qui affirmarent, utrimque exercitibus sæpe incidisse cogitationem in unum conveniendi, ac de communi sententia, ex ducibus Romanis, qui tum maxime gloria florerent, optimo imperium deferendi; sin id non succederet, senatu convocato, ei potestatem deligendi Imperatoris committendi. (3) Neque profecto veri dissimile est, quum uterque designatorum imperatorum infamia laboraret, veris et exercitatis sanaque mente præditis militibus hujusmodi cogitationes ad animum accidisse: indignam rem esse ac turpissimam, ea quæ olim cives propter Syllam et Marium, tum Cæsarem ac Pompeium invicem se passos doluerint, nunc ea tolerare, ut vel Vitellio gulæ ebrietatisque vel Othoni luxuriæ effusionisque sumptibus futurum imperium pararent. Hæc illos sentire animadversum Celso; itaque eum mora injecta sperasse absque pugna et sudoribus posse rem confici: eorundemque metu Othonem prœlium accelerasse.

X. Abiit ergo rursus Brixellum Otho, inque eo graviter peccavit, non tantum quia conspectus sui verecundiam et studium certantibus subtraxit, sed et quod fortissimum quemque et strenuissimum equitum peditumque stipandi corporis causa secum abducens, veluti corpus quoddam exercitus abstulit. (2) Iisdem diebus apud Padum pugnatum est. Trajectum moliebatur Cæcina, pontemque ejus rei gratia struebant; Othoniani in eo prohibendo laborabant. Quumque rescindere opus hostium non possent, faces pice et sulfure plenas in naves jaculabantur, sed ventus trajectui incumbens, materiam in hostes præparatam accendit et fumus primum, mox flamma erumpens, a vento in Othonianos est lata, ita ut perturbati et prosilientes in amnem et naves subverterint et corpora cum risu hostibus objecerint. Ac Germani apud insulam, quæ in flumine modica est, gladiatores Othonis adorti, multos eorum interfecerunt.

XI. His ita actis, quum Bedriaci morantes Othonis milites

στρατιωτῶν τοῦ Ὄθωνος ἐκφερομένων μετ' ὀργῆς, ἐπὶ d τὴν μάχην προήγαγεν αὐτοὺς ὁ Πρόκλος ἐκ τοῦ Βητριακοῦ καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε, τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀεννάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. (2) Τῇ δὲ ὑστεραίᾳ βουλόμενον προάγειν ἐπὶ τοὺς πολεμίους ὁδὸν, οὐκ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν Παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν καὶ μὴ προπονεῖν ἑαυτοὺς μηδὲ εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους, καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προΐασιν αὐτοὶ τοσαύτην ὁδὸν, ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολού- e θων. (3) Οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' Ὄθωνος ἱππεὺς τῶν καλουμένων Νομάδων, γράμματα κομίζων κελεύοντα μὴ μένειν μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. Ἐκεῖνοι μὲν οὖν ἄραντες ἐχώρουν. Ὁ δὲ Κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ στρατόπεδον. Ὡπλισμένων δὲ ἤδη τῶν πολλῶν καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ Οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε τὰ τάγματα, τοὺς ἀρίστους f τῶν ἱππέων προεξέπεμψαν.

XII. Ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν Ὄθωνος ἔκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν Οὐιτελλίου στρατηγῶν πρὸς αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάσαντο φιλίως συστρατιώτας προσαγορεύσαντες. Ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς ἀμειψαμένων, τοῖς μὲν ἀσπασαμένοις ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων ὡς προδιδόν-
1072 των παρέστη. (2) Καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάρα- a ξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. Εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον, ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει τάφρων ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιιόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. (3) Μόναι δὲ δύο λεγεῶνες (οὕτω γὰρ τὰ τάγματα Ῥωμαῖοι καλοῦσιν) ἐπίκλησιν ἡ μὲν Οὐιτελλίου Ἅρπαξ, ἡ δὲ Ὄθωνος Βοηθὸς, εἰς πεδίον ἐξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον νόμιμόν τινα μάχην συμπεσοῦσαι φαλαγγηδὸν ἐμάχοντο πολὺν χρόνον. Οἱ μὲν οὖν Ὄθωνος ἄνδρες ἦσαν εὔρωστοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες· οἱ δὲ Οὐιτελλίου πολλῶν ἀγώνων ἐθάδες, b ἤδη δὲ γηραιοὶ καὶ παρακμάζοντες. Ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ Ὄθωνος ἐώσαντο καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες· οἱ δὲ ὑπὸ αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς τόν τε πρεσβευτὴν τοῦ τάγματος Ὀρφίδιον ἔκτειναν καὶ πολλὰ τῶν σημείων ἥρπασαν. (4) Τοῖς δὲ μονομάχοις ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν

irati pugnam poscerent, produxit eos Bedriaco Proculus ad quinquaginta stadia et castra posuit adeo imprudenter atque imperite, ut, quanquam verno tempore anni et tot circum fontium et amnium perennitatibus, penuria tamen aquæ fatigarentur. (2) Postridie volentem in hostes (a quibus haud minus quinquaginta stadiis aberant) ducere, Paulinus prohibebat, operiendum affirmans, neque defatigandum exercitum, statimve ex itinere pugnam committendum cum hominibus qui, dum ipsi tantum iter cum jumentis suis atque calonibus perficerent, interim per otium arma aptare et aciem instruere possent. (3) Disputantibus adhuc ducibus eques Numida intervenit, literas ab Othone afferens, quibus mandabat, ne cunctarentur vel moras traherent, sed statim in hostem pergerent. Illi ergo signis motis processerunt. Cæcina, hostium adventu cognito perturbatus, subito et operibus et fluvio relicto, in castra se recipit. Plerisque militum jam armatis et tesseram a Valente doctis, dum in ordinem legiones componerentur, equitum optimorum turma præmittitur in hostem.

XII. Ibi in prima Othonianorum acie incertum qua occasione opinio dispergitur atque rumor, fore ut Vitelliani duces ad ipsos transirent. Itaque eos, quum invicem appropinquassent agmina, amice salutarunt, commilitonesque appellarunt: quam salutationem quum Vitelliani non benigne, sed hostili murmure accepissent, salutatores quidem consternati sunt, ceteri autem proditionis eos suspectos habuere. (2) Id primum Othonianos perturbavit, jam præsente hoste. Deinde et reliquorum nihil suo ordine gestum, quum et impedimenta pugnantibus permista multum confusionis parerent et ipsa loci natura aciem magnopere divelleret, fossis ac sulcis referti, a quibus sibi metuentes, coacti sunt promiscue et catervatim cum hostibus congredi. (3) Duæ tantum legiones, Vitelliana nomine Rapax, et Othoniana nomine Adjutrix, quæ in aperto et nudo campo explicatæ fuerunt, justa pugna concurrentes turmatim diu decertaverunt. Erant autem Othoniani robusti quidem et animosi, ceterum belli rudes, neque in aciem ante unquam deductæ. Vitelliani multis prœliis assuefacti, senes jam erant et languescente robore. Itaque impetu facto Othoniani eos pulerunt, aquilamque eripuerunt, omnibus prope qui in prima acie stabant trucidatis; at Vitelliani simul pudore, simul ira conciti, in hostem irruerunt, et legato Orphidio necato, multis signis potiti sunt. (4) Gladiatoribus, qui et peritiam et audaciam secum ad pugnam afferre

ἐπήγαγεν Οὔαρος Ἀλφῆνος τοὺς καλουμένους Βατάβους. Εἰσὶ δὲ Γερμανῶν ἱππεῖς ἄριστοι, νῆσον οἰκοῦντες ὑπὸ τοῦ Ῥήνου περιῤῥεομένην. Τούτους ὀλίγοι μὲν τῶν μονομάχων ὑπέστησαν, οἱ δὲ πλεῖστοι φεύγοντες ἐπὶ c τὸν ποταμὸν ἐμπίπτουσιν εἰς σπείρας τῶν πολεμίων αὐτόθι τεταγμένας, ὑφ' ὧν ἀμυνόμενοι πάντες ὁμαλῶς διεφθάρησαν. Αἴσχιστα δὲ ἠγωνίσαντο πάντων οἱ στρατηγικοὶ μηδὲ ὅσον ἐν χερσὶ γενέσθαι τοὺς ἐναντίους ὑπομείναντες, ἀλλὰ καὶ τοὺς ἀηττήτους ἔτι φόβου καὶ ταραχῆς ἀνεπίμπλασαν φεύγοντες δι' αὐτῶν. Οὐ μὴν ἀλλὰ πολλοί γε τῶν Ὄθωνος νενικηκότες τοὺς καθ' αὑτοὺς ἐβιάσαντο καὶ διεξέπεσον διὰ τῶν πολεμίων κρατούντων εἰς τὸ στρατόπεδον.

XIII. Τῶν δὲ στρατηγῶν οὔτε Πρόκλος οὔτε Παυλῖνος συνεισελθεῖν ἐτόλμησαν, ἀλλ' ἐξέκλιναν φοβούμενοι τοὺς στρατιώτας ἤδη τὴν αἰτίαν ἐπὶ τοὺς στρατηγοὺς τρέποντας. Ἄννιος δὲ Γάλλος ἀνελάμβανεν ἐν d τῇ πόλει καὶ παρεμυθεῖτο τοὺς ἐκ τῆς μάχης συλλεγομένους, ὡς ἀγχωμάλου γεγενημένης καὶ πολλοῖς κεκρατηκότας μέρεσι τῶν πολεμίων. (2) Μάριος δὲ Κέλσος τοὺς ἐν τέλει συναγαγὼν ἐκέλευσε σκοπεῖν τὸ κοινὸν, ὡς ἐπὶ συμφορᾷ τηλικαύτῃ καὶ φόνῳ τοσούτῳ πολιτῶν μηδὲ Ὄθωνος, εἴπερ ἀνὴρ ἀγαθός ἐστιν, ἐθελήσοντος ἔτι πειρᾶσθαι τῆς τύχης, ὅπου καὶ Κάτων καὶ Σκηπίων Καίσαρι κρατοῦντι μετὰ Φάρσαλον εἶξαι μὴ θελήσαντες αἰτίαν ἔχουσιν, ὡς πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἐν Λιβύῃ παραναλώσαντες οὐκ ἀναγκαίως, καίπερ ἀγωνιζόμενοι περὶ τῆς Ῥωμαίων ἐλευθερίας. Τὰ γὰρ ἄλλα κοινὴν ἡ τύχη παρέχουσα πᾶσιν ἑαυτὴν ἓν οὐκ ἀφαι- e ρεῖται τῶν ἀγαθῶν, τὸ, κἂν πταίσωσιν, εὐλογιστεῖν πρὸς τὰ συντυγχάνοντα. (3) Ταῦτα λέγων ἔπειθε τοὺς ἡγεμονικούς. Ἐπεὶ δὲ πειρώμενοι τοὺς στρατιώτας ἑώρων εἰρήνης δεομένους, καὶ Τιτιανὸς ἐκέλευε πρεσβεύειν ὑπὲρ ὁμονοίας, ἔδοξε Κέλσῳ καὶ Γάλλῳ βαδίζειν καὶ διαλέγεσθαι τοῖς περὶ τὸν Κεκίναν καὶ Οὐάλεντα. Βαδίζουσι δὲ αὐτοῖς ἀπήντησαν ἑκατοντάρχαι τὴν μὲν δύναμιν ἤδη κεκινημένην λέγοντες ἐρχομένην ἐπὶ τὸ Βητριακὸν, αὐτοὶ δὲ ὑπὸ τῶν στρατηγῶν ἀπεστάλθαι περὶ ὁμονοίας. Ἐπαινέσαντες οὖν οἱ περὶ τὸν Κέλσον ἐκέλευσαν αὐτοὺς ἀναστρέψαντας πάλιν ἀπαντᾶν μετ' αὐτῶν τοῖς περὶ τὸν Κεκίναν. (4) Ἐπεὶ δὲ ἐγγὺς ἦσαν, f ἐκινδύνευσεν ὁ Κέλσος. Ἔτυχον γὰρ οἱ περὶ τὴν ἐνέδραν ἡττημένοι πρότερον ἱππεῖς προεξελαύνοντες. Ὡς οὖν προσιόντα τὸν Κέλσον κατεῖδον, εὐθὺς βοήσαντες ὥρμησαν ἐπ' αὐτόν. Οἱ δὲ ἑκατοντάρχαι προέστησαν ἀνείργοντες· καὶ τῶν ἄλλων λοχαγῶν φείδεσθαι βοώντων, 1073 οἱ περὶ τὸν Κεκίναν πυθόμενοι καὶ προσελάσαντες τὴν a ἀκοσμίαν ταχὺ τῶν ἱππέων ἔπαυσαν, τὸν δὲ Κέλσον ἀσπασάμενοι φιλοφρόνως ἐβάδιζον μετ' αὐτῶν εἰς τὸ Βητριακόν. (5) Ἐν δὲ τούτῳ μετάνοια Τιτιανὸν ἔσχεν ἐκπέμψαντα τοὺς πρέσβεις· καὶ τῶν στρατιωτῶν τοὺς θρασυνομένους αὖθις ἀνεβίβαζεν ἐπὶ τὰ τείχη καὶ τοὺς ἄλλους παρεκάλει βοηθεῖν. Τοῦ δὲ Κεκίνα προσελάσαντος τῷ ἵππῳ καὶ τὴν δεξιὰν ὀρέγοντος, οὐδεὶς ἀντέ-

videbantur, Batavos induxit Alphenus Varus, equitum Germanorum optimos, in insula natos, quam Rhenus circumfluit. Hos pauci gladiatorum substiterunt, plerique ad flumen fugientes, in cohortes hostium instructas ibi inciderunt, ab iisque defendentes sese, universi occisi sunt. Turpissime omnium se gesserunt prætoriani milites, ne dum ad manus quidem perveniretur subsistere ausi, sed fuga per nondum superatos se proripientes, eos quoque metu et perturbatione impleverunt. Multi tamen Othonianorum, sibi oppositis superatis, per hostes jam victores in castra perruperunt.

XIII. De ducibus neque Proculus neque Suetonius simul cum iis castra intrare ausi, sed declinaverunt ea, metu militum jam tum cladis culpam in ductores conferentium. Annius Gallus eos qui in urbe ex pugna conveniebant collegit, animosque eorum confirmabat, incerta victoria discessum et multis partibus superatos hostes asserens. (2) Marius Celsus, primariis viris convocatis, deliberare eos in commune jussit, quippe tanta accepta clade totque interemptis civibus ne Othonem quidem ipsum, siquidem vir bonus sit, ultra fortunam experiri cogitaturum : quando Scipio etiam et Cato, quod Cæsari Pharsalico prœlio victori concedere noluissent, male audiverint, ut qui nulla necessitate adacti multos bonosque viros in Africa perdidissent, tametsi ii pro libertate patriæ decertarint. Fortunam quidem quum et alias omnibus communis sit, tantum tamen in bonos non posse, ut rebus adversis bene de eventis consultandi facultatem eis eripiat. (3) Hanc ejus orationem probaverunt principes, et quum, tentatis militum animis, pacem eos viderent desiderare, Titianusque de concordia ineunda legatos mittendos censeret, placuit ut Celsus et Gallus irent, ac de ea re cum Cæcina et Valente colloquerentur. Proficiscentibus ipsis, centuriones Vitelliani obviam facti sunt, castra suorum jam versus Bedriacum mota renuntiantes, se autem pacificationis causa missos a ducibus; quos collaudatos Celsus secum reverti et Cæcinæ obviam ire jussit. (4) Quum appropinquassent Vitellianis, in grave periculum Celsus venit. Nam equites ab eo ante apud insidias superati quum præmissi erant, ipsumque adventare conspexerunt, statim clamorem sustulerunt, impetumque in eum fecerunt. Centuriones ante Celsum consistentes arcuerunt eos, reliquis etiam ductoribus sublato clamore parcere eos jubentibus. Cæcina re cognita celeriter accurrit, tumultumque equitum compescuit, salutatumque amice Celsum secum ad Bedriacum adduxit. (5) Interim Titianum pœnituit, quod legatos misisset, militesque quos inveniebat ferocientes rursus in muros sustulit, reliquis ut auxilium ferrent jussis. Sed quum Cæcina equo advectus dextram pro-

σχεν, ἀλλ' οἱ μὲν ἀπὸ τῶν τειχῶν ἠσπάζοντο τοὺς στρατιώτας, οἱ δὲ τὰς πύλας ἀνοίξαντες ἐξῄεσαν καὶ ἀνεμίγνυντο τοῖς προσήκουσιν. Ἠδίκει δὲ οὐδείς, ἀλλὰ καὶ φιλοφροσύναι καὶ δεξιώσεις ἦσαν, ὤμοσαν δὲ πάντες περὶ τοῦ Οὐιτελλίου καὶ προσεχώρησαν.

XIV. Οὕτω μὲν οἱ πλεῖστοι τῶν παραγενομένων b ἀπαγγέλλουσι γενέσθαι τὴν μάχην, οὐδὲ αὐτοὶ σαφῶς ὁμολογοῦντες εἰδέναι τὰ καθ' ἕκαστα διὰ τὴν ἀταξίαν καὶ διὰ τὴν ἀνωμαλίαν. Ἐμοὶ δὲ ὕστερον ὁδεύοντι διὰ τοῦ πεδίου Μέστριος Φλῶρος, ἀνὴρ ὑπατικὸς τῶν τότε μὴ κατὰ γνώμην, ἀλλ' ἀνάγκῃ μετὰ τοῦ Ὄθωνος γενομένων, νεὼν ὄντα παλαιὸν ἐπιδείξας διηγεῖτο μετὰ τὴν μάχην ἐπελθὼν ἰδεῖν νεκρῶν σωρὸν τηλικοῦτον, ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἀετῶν. Καὶ τὴν αἰτίαν ἔφη ζητῶν οὔτε αὐτὸς εὑρεῖν οὔτε παρ' ἄλλου του πυθέσθαι. Θνήσκειν μὲν γὰρ παρὰ τοὺς ἐμφυλίους πολέμους, ὅταν τροπὴ γένηται, πλείονας εἰκός ἐστι τῷ μη- c δένα ζωγρεῖν· χρῆσθαι γὰρ οὐκ ἔστι τοῖς ἁλισκομένοις, ἡ δ' ἐπὶ ταὐτὸ σωρεία καὶ συμφόρησις οὐκ ἔχει τὴν αἰτίαν εὐσυλλόγιστον.

XV. Τῷ δὲ Ὄθωνι πρῶτον μὲν ἀσαφής, ὥσπερ εἴωθε, περὶ τῶν τηλικούτων προσέπεσε λόγος· ἐπεὶ δὲ καὶ τετρωμένοι τινὲς ἧκον ἐκ τῆς μάχης ἀπαγγέλλοντες, τοὺς μὲν φίλους ἧττον ἄν τις ἐθαύμασεν οὐκ ἐῶντας ἀπαγορεύειν, ἀλλὰ θαρρεῖν παρακελευομένους, τὸ δὲ τῶν στρατιωτῶν πάθος ἅπασαν ὑπερέβαλε πίστιν, ὡς οὐκ ἀπῆλθεν οὐδεὶς οὐδὲ μετέστη πρὸς τοὺς κρατοῦντας, οὐδ' ὤφθη τὸ καθ' αὑτὸν ζητοῦν, ἀπεγνωσμένου τοῦ ἡγεμόνος, πάντες δ' ὁμαλῶς ἐπὶ θύρας ἦλθον, ἐκάλουν αὐτοκράτορα, προελθόντος ἐγίνοντο προστρόπαιοι, μετὰ d βοῆς καὶ ἱκεσίας χειρῶν ἥπτοντο, προσέπιπτον, ἐδάκρυον, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, μὴ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ χρῆσθαι, μέχρι ἂν ἐμπνέωσι, καὶ ψυχαῖς καὶ σώμασιν ὑπὲρ αὐτοῦ. Ταῦτα ὁμοῦ πάντες ἱκέτευον. Εἷς δὲ τῶν ἀφανεστέρων ἀνατείνας τὸ ξίφος καὶ εἰπὼν « Ἴσθι, Καῖσαρ, οὕτως ὑπὲρ σοῦ παρατεταγμένους ἅπαντας » ἀπέσφαξεν ἑαυτόν. (2) Ἀλλὰ τούτων οὐδὲν ἐπέκλασε τὸν Ὄθωνα, φαιδρῷ δὲ καὶ καθεστῶτι προσώπῳ πανταχόσε τὰς ὄψεις περιαγαγών, « Ταύτην, εἶπεν, ὦ συστρατιῶται, τὴν ἡμέραν ἐκεί- e νης, ἐν ᾗ με πρῶτον ἐποιήσατε αὐτοκράτορα, μακαριωτέραν ἡγοῦμαι τοιούτους ὁρῶν ὑμᾶς καὶ τηλικούτων ἀξιούμενος. Ἀλλὰ μὴ μείζονος ἀποστερεῖτε τοῦ καλῶς ἀποθανεῖν ὑπὲρ τοσούτων καὶ τοιούτων πολιτῶν. Εἰ τῆς Ῥωμαίων ἡγεμονίας ἄξιος γέγονα, δεῖ με τῆς ἐμῆς ψυχῆς ὑπὲρ τῆς πατρίδος ἀφειδεῖν. (3) Οἶδα τὴν νίκην τοῖς ἐναντίοις οὔτε βεβαίαν οὔτε ἰσχυρὰν οὖσαν. Ἀπαγγέλλουσι τὴν ἐκ Μυσίας ἡμῶν δύναμιν οὐ πολλῶν ἡμερῶν ὁδὸν ἀπέχειν, ἤδη καταβαίνουσαν ἐπὶ τὸν Ἀδρίαν· Ἀσία καὶ Συρία καὶ Αἴγυπτος καὶ τὰ πολεμοῦντα Ἰουδαίοις στρατεύματα μεθ' ἡμῶν ἥ τε σύγκλητος παρ' ἡμῖν καὶ τέκνα τῶν ἐναντίων καὶ γυναῖκες. Ἀλλ' οὐκ ἔστι f πρὸς Ἀννίβαν οὐδὲ Πύῤῥον οὐδὲ Κίμβρους ὁ πόλεμος ὑπὲρ τῆς Ἰταλίας, ἀλλὰ Ῥωμαίοις πολεμοῦντες ἀμφό-

tendisset, nemo ultro restitit, alii de muris Vitellianos salutaverunt, alii apertis portis egressi suos adierunt : ab omni temperatum est maleficio, blande mutuo accepti et salutati, universi in nomen Vitellii jurarunt atque ad eum transierunt.

XIV. Hoc modo pugnam factam plerique eorum perhibent, qui interfuerunt, ipsi quoque fatentes propter confusionem et inæqualitatem non satis sibi de omnibus constare. Mihi autem per eum campum, ubi pugnatum est, iter facienti Mestrius Florus, vir consularis ex numero eorum, qui non sua voluntate, sed coacti Othonem secuti fuerant, quum fanum aliquod vetustum demonstrasset, retulit se post prœlium eo accedentem vidisse tantum cadaverum cumulum, ut qui in superficie jacerent, fastigium fani attingerent : seque causam ejus rei quærentem, neque ipsum invenire, neque ex alio quoquam cognoscere potuisse. Sane apparet bellis civilibus plures in pugna clade accepta necari, quam alias, eo quod nemo vivus capitur, quum ejusmodi mancipiorum nullus sit usus. Istius tamen cadaverum congeriei causa difficulter colligi potest.

XV. Ad Othonem obscurus primum, ut fieri solet in tanti rebus momenti cladis nuntius, est allatus, deinde et saucii a prœlio quidam venerunt qui certiorem illum de clade fecerunt. Hic minus miretur aliquis amicos ejus, animum despondere prohibentes verbisque confirmantes : militum incredibilis fuit fides; nemo eorum neque discessit, neque ad victorem se contulit, neque visus est rebus Imperatoris desperatis de suo sollicitus: omnes ad fores ejus se contulerunt, Imperatorem salutarunt; progresso eo, supplices facti magna cum voce et summis precibus contenderunt, se prosternentes et lacrimantes, ne deserere ipsos aut prodere hostibus vellet, sed uti, dum animi adhuc corporaque ipsorum spirarent. Quin et unus de obscurioribus gladium intendens, Scias, inquit, Cæsar, hoc modo omnes pro te paratos; itaque locutus, se ipsum eo transadegit. (2) Nihil horum Othonem inflexit, sed sereno constantique vultu oculos per omnes partes circumferens, « Hunc, inquit, commilitones, diem, feliciorem illa qua me Imperatorem primum creavistis, judico, tales vos cernens, tantarumque rerum appetentes. Sed nolite me majori bono spoliare, quod morte pro tot tamque bonis civibus oppetenda præclare sum consecuturus. Nam si dignus imperio Romano fui, oportet me vitam meam patriæ impendere. (3) Neque me prætcrit victoriam hostibus neque firmam esse, neque constantem. Nuntiatur exercitus ad nos ex Mœsia veniens jam mare Adriaticum conscendisse, ac paucorum a nobis dierum itinere abesse. A nostra parte Asia est et Syria et Ægyptus, et contra Judæos bellum gerentes copiæ; senatus apud nos est et liberi et conjuges hostium. Sed enim non contra Hannibalem, aut Pyrrhum, aut Cimbros bellum pro Italia, sed contra Romanos gerimus, et utrim-

τεροι τὴν πατρίδα καὶ νικῶντες ἀδικοῦμεν καὶ νικώμενοι. Καὶ γὰρ τὸ ἀγαθὸν τοῦ κρατοῦντος ἐκείνῃ κακόν ἐστιν. Πιστεύσατε πολλάκις, ὅτι δύναμαι κάλλιον ἀποθανεῖν ἢ ἄρχειν. Οὐ γὰρ ὁρῶ, τί τηλικοῦτον Ῥωμαίοις ὄφελος ἔσομαι κρατήσας, ἡλίκον ἐπιδοὺς ἐμαυ-
1074 τὸν ὑπὲρ εἰρήνης καὶ ὁμονοίας καὶ τοῦ μὴ πάλιν ἡμέραν a τοιαύτην ἐπιδεῖν τὴν Ἰταλίαν.»

XVI. Τοιαῦτα διαλεχθεὶς καὶ πρὸς τοὺς ἐνίστασθαι καὶ παρακαλεῖν ἐπιχειροῦντας ἀπισχυρισάμενος, τοῖς τε φίλοις ἐκέλευεν ἀπαλλάττεσθαι καὶ τῶν συγκλητικῶν τοῖς παροῦσι· τοῖς δὲ μὴ παροῦσιν ἐπέστελλε καὶ γράμματα πρὸς τὰς πόλεις, ὅπως παρακομισθῶσιν ἐντίμως καὶ μετὰ ἀσφαλείας. Προσαγαγόμενος δὲ τὸν ἀδελφιδοῦν Κοκκήιον ἔτι μειράκιον ὄντα, θαῤῥεῖν παρεκάλει καὶ μὴ δεδιέναι Οὐιτέλλιον, οὗ καὶ μητέρα καὶ γενεὰν καὶ γυναῖκα αὐτὸς, ὥσπερ οἰκείων κηδόμενος διαφυλάξαι. Διὰ τοῦτο γὰρ οὐδὲ θέσθαι παῖδα βουλόμενος αὐτὸν, ἀλλ' ἀναβαλέσθαι τὴν εἰσποίησιν ὅπως συνάρχοι b κρατήσαντος αὐτοῦ, μὴ προσαπόλοιτο πταίσαντος. «Ἐκεῖνο δὲ, εἶπεν, ὦ παῖ, παρεγγυῶμαί σοι τελευταῖον, μήτ' ἐπιλαθέσθαι παντάπασι μήτ' ἄγαν μνημονεύειν, ὅτι Καίσαρα θεῖον ἔσχες.» (2) Γενόμενος δὲ ἀπὸ τούτων, μετὰ μικρὸν ἤκουσε θορύβου καὶ βοῆς ἐπὶ θύραις. Οἱ γὰρ στρατιῶται τῶν συγκλητικῶν τοῖς ἀπιοῦσι διηπείλουν ἀποσφάξειν, εἰ μὴ παραμενοῦσιν, ἀλλὰ οἰχήσονται τὸν αὐτοκράτορα καταλιπόντες. Πάλιν οὖν προῆλθεν ὑπὲρ τῶν ἀνδρῶν φοβηθεὶς καὶ τοὺς στρατιώτας οὐκέτι δεητικὸς οὐδὲ πρᾶος, ἀλλὰ τραχὺς ὀφθεὶς καὶ μετ' ὀργῆς εἰς τὸ θορυβοῦν μάλιστα διαβλέψας ἀπελθεῖν ἐποίησεν εἴξαντας καὶ διατρέσαντας.

XVII. Ἤδη δὲ ἑσπέρας οὔσης ἐδίψησε, καὶ πιὼν c ὀλίγον ὕδατος, δυεῖν ὄντων αὐτῷ ξιφῶν, ἑκατέρου κατεμάνθανε τὸ σπάσμα πολὺν χρόνον καὶ τὸ ἕτερον ἀπέδωκε, θάτερον δὲ εἰς τὰς ἀγκάλας ἀναλαβὼν τοὺς οἰκέτας προσεκαλεῖτο. Καὶ φιλοφρονούμενος διένεμε τῶν χρημάτων τῷ μὲν πλέον, τῷ δὲ ἔλαττον, οὐχ ὥσπερ ἀλλοτρίων ἀφειδῶν, ἀλλὰ τὸ κατ' ἀξίαν καὶ τὸ μέτριον ἐπιμελῶς φυλάττων. (2) Ἀποπέμψας δὲ τούτους, ἤδη τὸ λοιπὸν ἀνεπαύετο τῆς νυκτὸς, ὥστε τοὺς κατευναστὰς αἰσθάνεσθαι βαθέως αὐτοῦ καθεύδοντος. Ὄρθρου δὲ καλέσας ἀπελεύθερον, ᾧ συνδιῴκησε τὰ περὶ τοὺς συγκλητικοὺς, μαθεῖν προσέταξε· καὶ πυθόμενος γεγο- d νέναι τοῖς ἀπερχομένοις ὧν ἕκαστος ἔχρῃζεν, «Ἴθι τοίνυν, ἔφη, σὺ καὶ ποίει τοῖς στρατιώταις ἐμφανῆ σεαυτὸν, εἰ μὴ θέλεις κακῶς ὑπ' αὐτῶν ἀποθανεῖν ὡς ἐμοὶ συμπράξας τὸν θάνατον.» (3) Ἐξελθόντος δὲ τοῦ ἀνθρώπου, τὸ ξίφος ὑποστήσας ὀρθὸν ἀμφοτέραις ταῖς χερσὶ καὶ περιπεσὼν ἄνωθεν ὅσον ἅπαξ στενάξαι μόνον ᾔσθετο τοῦ πόνου καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχεν. Ἀραμένων δὲ τῶν παίδων οἰμωγὴν, εὐθὺς ἅπαν τὸ στρατόπεδον καὶ τὴν πόλιν ἐπεῖχε κλαυθμὸς, καὶ μετὰ βοῆς οἱ στρατιῶται προσέπεσον ἐπὶ τὰς θύρας καὶ ὠλοφύροντο περιπαθοῦντες καὶ λοιδοροῦντες ἑαυτοὺς μὴ φυλάξαντας τὸν αὐτοκράτορα μηδὲ κωλύσαντας ἀπο- e

que seu vincentes, seu victi, patriam injuria afficimus, cui damno est victoris bonum. Pro certo habete, mori mihi esse honestius, quam imperare; neque enim tantum Romanis prodero victoriam obtinens, quantum si me ipsum patriæ impendam morteque mea pacem ei et concordiam redimens efficiam ne rursus talem diem Italia videat.»

XVI. Hæc locutus, rejectis iis qui obstare et dehortari intenderent, discedere amicos jussit et quotquot aderant senatorii ordinis; absentibus scripsit eosque per literas ad civitates missas commendavit, quo tutius et honestius domum redirent. Fratris deinde filium Cocceium, adolescentem etiamnum, ad se vocavit, bonoque esse animo jussit, neque sibi a Vitellio metuere, cujus ipse matrem, liberos uxoremque tanquam suos incolumes præstitisset. «Ideo autem, aiebat, te nondum adoptavi, sed in aliud tempus rejeci adoptionem, ut, me victore, collega imperii esses, neque, si quid mihi adversi accidisset, una perires. Id modo extremum tibi præceptum scias, ne patruum tibi Cæsarem fuisse aut obliviscare unquam, aut nimium memineris.» (2) His peractis, paullo post tumultum et vociferationem apud fores exaudivit. Nam milites senatoribus abire parantibus necem minabantur, si destituere Imperatorem pergerent neque manerent. Quibus metuens Otho rursus conspiciendum se præbuit, progressusque milites non jam orans, neque sereno, sed truci vultu et iræ pleno in tumultuantes præsertim intuens, discedere jussit, obtemperantes et perterritos.

XVII. Vesperascente die sitim aquæ haustu modico restinxit. Duos habebat pugiones; horum utriusque quum diu pertentasset aciem, altero reddito, alterum sub axilla tenuit. Famulis deinde vocatis ac familiariter compellatis pecuniam distribuit, plus uni, alteri minus, neque id quòd tanquam alieno parceret, sed ut pro merito unicuique daretur sollicitus. (2) His dimissis, reliquum noctis somno exegit ita ut cubicularii quoque eum alto somno sepultum sentirent. Primo mane vocato liberto, cui mandaverat negotium senatorum expediendorum, percontatus est, factane essent quæ jussisset, auditoque singulis quantum opus esset obtigisse, Abi jam nunc, inquit, teque militibus ostende, ne te meæ necis adjutorem illi putantes mala morte afficiant. (3) Eo digresso, in gladium erectum atque utraque manu suffultum superne incubuit, semelque tantum ad dolorem vulneris ingemuit. Quem gemitum quum qui extra cubiculum erant exaudivissent, sublato a pueris ejulatu, illico tota castra et urbem luctus pervasit, militesque cum clamore et lamentatione ad fores accurrerunt, gravissimo dolore perculsi, sibique ipsis maledicentes, qui non custodivissent Im-

θανεῖν ὑπὲρ αὐτῶν. (4) Ἀπέστη δὲ οὐδεὶς τῶν κατ' αὐτὸν, ἐγγὺς ὄντων τῶν πολεμίων, ἀλλὰ κοσμήσαντες τὸ σῶμα καὶ πυρὰν κατασκευάσαντες ἐξεκόμιζον ἐν τοῖς ὅπλοις, οἱ φθάσαντες ὑποδῦναι καὶ βαστάσαι τὸ λέχος ἐπιγαυρούμενοι. Τῶν δὲ ἄλλων οἱ μὲν τὸ τραῦμα τοῦ νεκροῦ κατεφίλουν προσπίπτοντες, οἱ δὲ ἥπτοντο τῶν χειρῶν, οἱ δὲ προσεκύνουν πόῤῥωθεν. Ἔνιοι δὲ τῇ πυρᾷ λαμπάδας ὑφέντες ἑαυτοὺς ἀπέσφαξαν, οὐδὲν ἐκδήλως οὔτε πεπονθότες χρηστὸν ὑπὸ τοῦ τεθνηκότος οὔτε πείσεσθαι δεινὸν ὑπὸ τοῦ κρατοῦντος δεδιότες. Ἀλλ' ἔοικε μηδενὶ τῶν πώποτε τυράννων ἢ βασιλέων δεινὸς οὕτως f ἔρως ἐγγενέσθαι καὶ περιμανὴς τοῦ ἄρχειν, ὡς ἐκεῖνοι τοῦ ἄρχεσθαι καὶ ὑπακούειν Ὄθωνος ἠράσθησαν· οὕς γε μηδ' ἀποθανόντος ὁ πόθος προὔλιπεν, ἀλλὰ παρέμεινεν εἰς ἀνήκεστον ἔχθος Οὐιτελλίῳ τελευτήσας.

XVIII. Τὰ μὲν οὖν ἄλλα καιρὸν οἰκεῖον ἔχει λεχθῆναι· κρύψαντες δὲ τῇ γῇ τὰ λείψανα τοῦ Ὄθωνος οὔτε 1075 μεγέθει σήματος οὔτ' ἐπιγραφῆς ὄγκῳ τὸν τάφον ἐποίησαν a ἐπίφθονον. Εἶδον δὲ ἐν Βριξίλλῳ γενόμενος καὶ μνῆμα μέτριον καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσαν, εἰ μεταφρασθείη· « Δηλώσει Μάρκου Ὄθωνος. » (2) Ἀπέθανε δὲ Ὄθων ἔτη μὲν ἑπτὰ καὶ τριάκοντα βιώσας, ἄρξας δὲ τρεῖς μῆνας, ἀπολιπὼν δὲ μὴ χείρονας μηδ' ἐλάττους τῶν τὸν βίον αὐτοῦ ψεγόντων τοὺς ἐπαινοῦντας τὸν θάνατον. Βιώσας γὰρ οὐδὲν ἐπιεικέστερον Νέρωνος ἀπέθανεν εὐγενέστερον. (3) Οἱ δὲ στρατιῶται, Πολλίωνος τοῦ ἑτέρου τῶν ἐπάρχων ὀμνύειν εὐθὺς εἰς τὸν Οὐιτέλλιον κελεύσαντος, ἐδυσχέραινον· καὶ πυθόμενοι τῶν συγκλητικῶν ἐνίους ἔτι παρεῖναι, τοὺς μὲν ἄλλους ἀφῆκαν, Οὐεργινίῳ δὲ Ῥούφῳ πράγματα παρεῖχον, ἅμα τοῖς ὅπλοις ἐλθόντες ἐπὶ τὴν οἰκίαν, καὶ b κατακαλοῦντες αὖθις καὶ κελεύοντες ἄρχειν ἢ πρεσβεύειν ὑπὲρ αὐτῶν. (4) Ὁ δὲ τὴν ἡγεμονίαν ἡττωμένων παραλαβεῖν νενικηκότων πρότερον μὴ θελήσας μανικὸν ἡγεῖτο· πρεσβεύειν δὲ πρὸς τοὺς Γερμανοὺς δεδιὼς τοὺς πολλὰ βεβιάσθαι παρὰ γνώμην ὑπ' αὐτοῦ δοκοῦντας, ἔλαθε δι' ἑτέρων θυρῶν ἐκποδὼν ποιήσας ἑαυτόν. Ὡς δὲ τοῦτο ἔγνωσαν οἱ στρατιῶται, τούς τε ὅρκους ἐδέξαντο καὶ τοῖς περὶ τὸν Κεκίναν προσέθεντο συγγνώμης τυχόντες.

peratorem ac pro ipsis mori prohibuissent. (4) Nemo omnino eorum qui cum eo fuerunt, quanquam hostes in proximo erant, defecit, sed composito cadavere et exstructo rogo, armati funus extulerunt, gloriæque sibi ducebant qui feretro subire occupassent. Ceteri pars vulnus Imperatoris deosculati sunt in cadaver incumbentes, pars manus attigerunt, pars eminus adoraverunt; nonnulli, facibus in rogum conjectis, se ipsos jugulaverunt. Et quidem neque ullo evidenti beneficio erant ab eo affecti, neque erat cur grave aliquod malum a victore exspectarent, sed videtur nulli unquam tyranno tam acer atque insanus imperandi amor innatus fuisse, quantum illi obtemperandi Othoni habuerunt; quando ne mortuo quidem desiderium ejus apud ipsos desiit, sed permansit, inque extremum adversus Vitellium odium vertit.

XVIII. Sed reliqua suum locum habent quo referantur. Reliquiis terræ mandatis sepulcrum impositum est neque mole neque inscriptionis fastu, invidiosum. Vidi ipse, quum Brixelli essem, et monumentum modicum et inscriptionem hanc: *Memoriæ M. Othonis*. (2) Obiit anno ætatis trigesimo septimo, quum imperasset menses tres; neque deteriores neque pauciores mortis suæ laudatores, quam vitæ vituperatores reliquit. Vita enim Neroni nihil præstitit, morte longe honestius obita. (3) Milites vero, Pollione præfectorum altero statim eos jurare in nomen Vitellii jubente, graviter fremuerunt, auditoque nonnullos senatorii ordinis adhuc adesse, dimissis reliquis, Virginio Rufo molestiam exhibuerunt, armati ad domum ejus venientes evocantesque, vel imperium in ipsos susciperet, vel legatus causam eorum ageret. (4) At Virginius imperium, quod in victores renuisset, in victos accipere, dementis esse judicabat; periculosum vero, ad Germanos legati munere fungi, quibus vim multis in rebus fecisse videbatur; itaque per aliud ostium, nemine observante, se subduxit. Eo cognito, milites sacramento se obligari Vitellio passi sunt et impetrata venia Cæcinæ se conjunxerunt.